This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

B 647015

Digitized by Google

1837
ARTES VERITAS SCIENTIA
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

[illegible] ch of Con[illegible]tinople

Digitized by Google

# PHOTII

# BIBLIOTHECA

EX RECENSIONE

IMMANUELIS BEKKERI.

TOMUS PRIOR.

---

BEROLINI
TYPIS ET IMPENSIS GE. REIMERI
A. 1824.

Digitized by Google

PA
5330
.M9
1825

Digitized by Google

# INDEX CODICUM MSS.

## AB EDITORE COLLATORUM.

*A*. Codex olim Bessarioneus, nunc inter Venetos S. Marci 450, membranaceus, forma maxima, foliis 537, paginis bipartitis, versibus fere tricenis senis, iisque litterarum vicenarum senarum vel tricenarum. manus similis Aristophani Ravennati. in prima pagina post indicem (φωτίου ἀρχιεπισκόπου κωνσταντινουπόλεως καὶ οἰκουμενικοῦ πατριάρχου) versus vacuus, deinde epistola ad Tarasium: in secunda pagina et deinceps foliis tribus summaria codicum, qui numerantur σοη' vel post correctionem σοϑ' (corrector enim S. Chrysostomi cum ab initio unus codex esset, σος', duos fecit, σος' et σοη'): folio quinto ἀπογραφὴ καὶ συναρίθμησις etc.

*B*. Codex Parisiensis Regius 1266, bombycinus, forma quadrata, paginis 434 versuum tricenorum quaternorum quinorumve, non antiquus. margo subinde madore corruptus. incipit, post folia tria lacera et inversa, ab illis in cod. 230 (p. ed. Rothom. 845,40) καὶ ἔστι θεὸς ἀληθινός. eiusdem codicis caret iis quae sunt inter διαςπο (p. 877, 24) et δυνάμενον εἶναι (p. 885, 51): quippe folia tria inter paginas 20 et 21 ita evulsa sunt, ut paucorum versuum paucae supersint litterae. deinde post Stephanum Gobarum (p. 908) non Methodium ponit sed Proclum, idque exemplo Bessarionei. in Iosepho ubi editur ἐνοχλήσας (p. 969, 12) — ἐπιστεύοντο (p. 980 ima), vacuum habet folium inter paginas 84 et 85. Himerium non ultra illud μερίζεται (p. 1125, 20) ponit, Aristidem ad χείρων ἐστί (p. 1245, 4): deinde paginas vacuas ha-

Digitized by Google

bet quinque inter p. 225 et 226. Hunc ego cum A ita comparavi, ut dissensum notarem, consensum omitterem.

*C.* Codex Parisiensis Regius 1226, chartaceus, forma maxima, foliis 369, paginis versuum tricenorum septenorum, manu Ioanni Rhoso simili. deest epistola ad Tarasium.

*D.* Codex Parisiensis Regius 1227, chartaceus, forma maxima, paginis versuum tricenorum, manu Angelo Vergecio simili. incipit ab *Ἀπογραφῇ*, desinit in illis (p. R. 53, 10) *ἐπὶ Σεσώστριδος*.

Digitized by Google

# ΑΠΟΓΡΑΦΗ ΚΑΙ ΣΥΝΑΡΙΘΜΗΣΙΣ
# ΤΩΝ ΑΝΕΓΝΩΣΜΕΝΩΝ ΗΜΙΝ ΒΙΒΛΙΩΝ

### ΩΝ ΕΙΣ ΚΕΦΑΛΑΙΩΔΗ ΔΙΑΓΝΩΣΙΝ Ο ΗΓΑΠΗΜΕΝΟΣ ΗΜΩΝ ΑΔΕΛΦΟΣ ΤΑΡΑΣΙΟΣ ΕΞΗΤΗΣΑΤΟ.

ΕΣΤΙ ΔΕ ΤΑΥΤΑ ΕΙΚΟΣΙ ΔΕΟΝΤΩΝ ΕΦ' ΕΝΙ ΤΡΙΑΚΟΣΙΑ.

pag. ed. Genev. et Rothomag. 1. Hoeschel. 892.

## Φώτιος ἠγαπημένῳ ἀδελφῷ Ταρασίῳ ἐν κυρίῳ χαίρειν.

Ἐπειδὴ τῷ τε κοινῷ τῆς πρεσβείας καὶ τῇ βασιλείῳ ψήφῳ πρεσβεύειν ἡμᾶς ἐπ' Ἀσσυρίους αἱρεθέντας ἠτήσας τὰς ὑποθέσεις ἐκείνων τῶν βιβλίων, οἷς μὴ παρέτυχες ἀναγινωσκομένοις, γραφῆναί σοι, ἀδελφῶν φίλτατέ μοι Ταράσιε, ἵν' ἔχοις ἅμα μὲν τῆς διαζεύξεως ἣν βαρέως φέρεις παραμύθιον, ἅμα δὲ καὶ ὧν οὔπω εἰς ἀκοὰς ἡμῶν ἀνέγνως εἰ καὶ διατυπωτικήν τινα καὶ κοινοτέραν τὴν ἐπίγνωσιν (ταῦτα δέ ἐστι πεντεκαιδεκάτῳ μέρει τῶν τριακοσίων ἐφ' ἑνὶ καὶ οὐ πλέον ἀπολείποντα· τοσαῦτα γὰρ, οἶμαι, τῆς σῆς οὐ τυχόντα παρουσίας ἀναγνωσθῆναι συνέπεσεν), ὀψὲ μὲν ἴσως τοῦ σοῦ διαπύρου πόθου καὶ τῆς θερμῆς αἰτήσεως, θᾶττον δὲ ἢ ὅσα ἄν τις ἄλλος ἐλπίσειε, τυχόντες ὑπογραφέως, ὅσας αὐτῶν ἡ μνήμη διέσωζε, τὸν σὸν ὥσπερ ἀφοσιούμενοι πόθον καὶ τὴν ἀξίωσιν, ἐκδεδώκαμεν. οὔτω δὲ τάξεως αἱ ὑποθέσεις ἐπιλήψονται, ὡς ἂν ἑκάστην αὐτῶν ἡ μνήμη προβάλοι, οὐ χαλεπὸν ὂν καὶ εἴ τις ἕλοιτο ἰδίᾳ μὲν τούτων ὅσα τῆς ἱστορίας ἐστὶν, ἰδίᾳ δὲ ὅσα πρὸς ἄλλον καὶ ἄλλον σκοπὸν ἀναφ ........................ εἶδος ........................ ἀλλὰ περιττῆς ........... ..... τιμίας μᾶλλον ................. νομίζων ἀξι ................... δὲ καὶ τὸ ποικίλον ............. ἐν πολλοῖς καὶ πολλάκις ὁρμ ... καὶ κόρον οὐκ οἶδε τίκτειν εἰς μι .... εἰ δέ σοί ποτε κατ' αὐτὰ γενομένῳ τὰ τεύχη καὶ φιλοπονουμένῳ τινὰ ὑποθέσεων ἐλλιπῶς ἢ οὐκ εἰς τὸ ἀκριβὲς δόξουσιν ἀπομεμνημονεῦσθαι, μηδὲν θαυμάσῃς. μίαν μὲν γὰρ ἑκάστην βίβλον ἀναλεγομένῳ τὴν ὑπόθεσιν συλλαβεῖν καὶ μνήμῃ καὶ γραφῇ παραδοῦναι ἀξ ἔργον ἐστὶ τῷ βουλομένῳ· ὁμοῦ δὲ πλειόνων, καὶ τότε χρόνου μεταξὺ διαῤῥυέντος, εἰς ἀνάμνησιν μετὰ
4 G. et R. τοῦ ἀκριβοῦς ἐφικέσθαι οὐκ οἶμαι ῥᾴδιον εἶναι. ἡμῖν δὲ ὅσον ἐπιπολάζει τῶν ἀνεγνωσμένων καὶ οὐδὲ τὰς σὰς διὰ τὸ πρόχειρον ἴσως διαπέφευγε μελέτας, οὐδὲ τούτοις τὴν ἐπὶ τοῖς ἄλλοις ὁμοίαν ἐθέμεθα φροντίδα, ἀλλὰ κατὰ τὸ ἑκούσιον τὸ ἀκριβὲς αὐτῶν ὑπερώφθη. εἰ δέ τι καὶ ἄλλο χρειῶδες καὶ τῆς σῆς αἰτήσεως ἐπὶ πλέον ταῖς ὑποθέσεσι συνεισπίπτει, αὐτὸς μᾶλλον συνήσεις. χρησιμεύσει δέ σοι δηλονότι τὰ ἐκδεδομένα εἴς τε κεφαλαιώδη μνήμην καὶ ἀνάμνησιν τῶν εἴτε κατὰ σεαυτὸν ἀναλεξάμενος ἐπῆλθες, καὶ εἰς ἕτοιμον εὕρεσιν τῶν ἐν αὐτοῖς ἐπιζητουμένων, οὐ μὴν ἀλλὰ καὶ εἰς εὐχερεστέραν ἀνάληψιν τῶν οὔπω τὴν ἀνάγνωσιν τῆς σῆς συνέσεως ὑπελθόντων.

### 1.

1 H. Ἀνεγνώσθη ΘΕΟΔΩΡΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ, ὅτι γνησία ἡ τοῦ ἁγίου Διονυσίου βίβλος. διελύοντο δὲ ἐν τῷ λόγῳ ἐνστάσεις τέσσαρες, μία μὲν ὅτι εἰ ἦν γνησία, πῶς οὐκ ἐμνήσθησαν τῶν ἐν αὐτῇ ῥητῶν τε καὶ χρήσεών τινες τῶν μεταγενεστέρων πατέρων; δευτέρα δέ, ὅτι Εὐσέβιος ὁ Παμφίλου ἀναγραφὴν ποιησάμενος τῶν συγγεγραμμένων τοῖς μακαρίοις πατράσιν ἡμῶν βιβλίων οὐδεμίαν ταύτης μνήμην ἐποιήσατο· τρίτη δέ, ὅτι πῶς τῶν κατὰ προκοπὴν ἐν τῇ ἐκκλησίᾳ καὶ διὰ μακροῦ τοῦ χρόνου αὐξηθέντων παραδόσεων ἡ βίβλος αὕτη λεπτομερῆ τὴν ἐξήγησιν ποιεῖται; ὁ

Epist. v. 5. πλέον ς i. e. vulgata: quam ubi simpliciter pono, receptae a me lectionis auctor est A. 10. ἀναφ] hinc in A altera incipit primae paginae columna: cuius versus primi, maiore ex parte membrana recenti cooperti, ultra principia legi non possunt. iis igitur quot litterae deesse videbantur, tot posui puncta. nam quae editor Rothomagensis suffecit, nec sententiam explent nec spatium. ἀναφ] ἀναγράφειν καὶ κατ' οἰκεῖον Roth. εἶδος] εἶδος συνεμβάλλειν Roth. 11. τιμίας] φιλοτιμίας Roth. μᾶλλον] μᾶλλον εἶναι Roth. ἀξι] ἀξιῶ τὸ ἀδιάφορον Roth. δὲ] ἔτι Roth. 12. ἐν] ἐμποιεῖ γὰρ ἐν Roth. ὁρμ] ὁρμήν τινα Roth. μι] μνήμην Roth. 15. ἀξ] ἀξιόλογον Roth. καὶ τότε i. e. καὶ ταῦτα. μεταξὺ A: μὲν ς. 20. εἴτε] an legendum εἴτι?

A

Digitized by Google

μὲν γὰρ μέγας Διονύσιος σύγχρονος ἦν, ὡς δῆλον ἐκ τῶν πράξεων, τοῖς ἀποστόλοις· ἃ δὲ ἡ βίβλος περιέχει, τὰ πλεῖστα τῶν κατὰ προκοπὴν ϗ ἐς ὕστερον ἐν τῇ ἐκκλησίᾳ αὐξηθεισῶν παραδόσεών ἐστιν ἀναγραφή· ἀπίθανον οὖν, φησί, μᾶλλον δὲ κακόπλαστον, τὰ μετὰ πολὺν χρόνον τῆς τελευτῆς τοῦ μεγάλου Διονυσίου ἐν τῇ ἐκκλησίᾳ αὐξηθέντα Διονύσιον ὑπολαμβάνειν ἀναγράψαι. τετάρτη δέ, πῶς μέμνηται τῆς τοῦ θεοφόρου Ἰγνατίου ἐπιστολῆς ἡ βίβλος; ὁ μὲν γὰρ Διονύσιος τοῖς τῶν ἀποστόλων ἐνήκμασε χρόνοις, Ἰγνάτιος δὲ ἐπὶ Τραϊανοῦ τὸν διὰ μαρτυρίου ἤθλησεν ἀγῶνα· ὃς ϗ πρὸ βραχὺ τῆς τελευτῆς ταύτην τὴν ἐπιστολήν, ἧς ἡ βίβλος μνημονεύει, γράφει. ταύτας οὖν τὰς τέσσαρας ἀπορίας διαλῦσαι ἐπαγωνισάμενος, βεβαιοῖ τό γε ἐπ' αὐτῷ γνησίαν εἶναι τοῦ μεγάλου Διονυσίου τὴν βίβλον.

## 2.

Ἀνεγνώσθη ΑΔΡΙΑΝΟΥ εἰσαγωγὴ τῆς γραφῆς. χρήσιμος τοῖς εἰσαγομένοις ἡ βίβλος.

## 3.

5 R "Ἀνεγνώσθη ΝΟΝΝΟΣΟΥ ἱστορία, ἐν ῇ διαλαμβάνεται πρεσβεία αὐτοῦ πρός τε Αἰθίοπας ϗ Ἀμερίτας ϗ Σαρακηνούς, τὰ ἰσχυρότερα τῶν τότε ἐθνῶν, ἔτι δὲ ϗ πρὸς ἄλλα ἀνατολικὰ ἔθνη. Ἰουστινιανὸς δὲ τὸ τηνικαῦτα τὴν Ῥωμαϊκὴν περιεῖπε πολιτείαν· φύλαρχος δὲ τῶν Σαρακηνῶν ἐχρημάτιζε Καϊσος, ἀπόγονος Ἀρέθα, ϗ αὐτοῦ φυλάρχου γεγενημένου, πρὸς ὃν ὁ Νοννόσου πάππος ἐπρεσβεύσατο παρὰ Ἀναστασίου τότε βασιλεύοντος ἀποσταλείς, ϗ τὰ πρὸς εἰρήνην ἐσπείσατο. οὐ 2 H. μὴν ἀλλὰ ϗ ὁ πατὴρ Νοννόσου (Ἀβράμης δ' ἦν αὐτῷ ὄνομα) πρὸς Ἀλαμένδαρον φύλαρχον Σαρακηνῶν ἐπρεσβεύσατο, ϗ δύο στρατηγοὺς Ῥωμαίων, Τιμόστρατον ϗ Ἰωάννην, νόμῳ πολέμου συλληφθέντας ἀνεσώσατο· Ἰουστίνῳ δὲ τῷ βασιλεῖ τὴν τῶν στρατηγῶν διηκονεῖτο ἀνάρρυσιν. ὁ μέντοι Καϊσος, πρὸς ὃν ἐστέλλετο Νόννοσος, δύο γενῶν ἡγεῖτο τῶν παρὰ τοῖς Σαρακηνοῖς ἐπισημοτάτων, Χινδηνῶν καὶ Μααδηνῶν. πρὸς τοῦτον δὴ τὸν Καϊσον ϗ ὁ Νοννόσου πατήρ, πρὶν ἢ Νόννοσον πρεσβεύειν αἱρεθῆναι, Ἰουστινιανοῦ πέμποντος ἀπέσταλτο ϗ εἰρηνικὰς ἔθετο σπονδάς, ὥστε ϗ τὸν υἱὸν Καΐσου (Μαυίας δὲ ἐκαλεῖτο) ὅμηρα λαβεῖν ϗ πρὸς Ἰουστινιανὸν ἐς Βυζάντιον ἀποκομίσαι. μεθ' ὃν χρόνον ἐπρεσβεύσατο Νόννοσος ἐπὶ δυσὶ τούτοις, Καϊσον, εἰ δυνατόν, πρὸς βασιλέα ἀγαγεῖν, ϗ πρὸς τὸν τῶν Αὐξουμιτῶν ἀφικέσθαι βασιλέα (Ἐλεσβαᾶς δὲ τότε ἐκράτει τοῦ ἔθνους), ϗ πρὸς τούτοις ϗ εἰς τοὺς Ἀμερίτας παραγενέσθαι. ἡ δὲ Αὔξουμις πόλις ἐστὶ μεγίστη ϗ οἷον μητρόπολις τῆς ὅλης Αἰθιοπίας, κεῖται δὲ μεσημβρινωτέρα ϗ ἀνατολικωτέρα τῆς Ῥωμαίων ἀρχῆς. ὁ δὲ Νόννοσος πολλὰς μὲν ἐπιβουλὰς ἐθνῶν ὑποστάς, πολλὰς δὲ θηρίων χαλεπότητας παρὰ τὴν ὁδόν, ϗ πολλαῖς δυσχωρίαις ϗ ἀπορίαις πολλάκις περιπεσών, ὅμως ϗ τὰ δόξαντα ἐξετέλεσεν ϗ σῶος τῇ πατρίδι ἀποδίδοται.

ὅτι Καϊσος Ἀβράμου πάλιν πρὸς αὐτὸν πρεσβεύσαντος πρὸς τὸ Βυζάντιον παραγίνεται, ϗ τὴν ἰδίαν φυλαρχίαν Ἄμβρῳ ϗ Ἰεζίδῳ τοῖς ἀδελφοῖς διανειμάμενος αὐτὸς τὴν Παλαιστινῶν ἡγεμονίαν παρὰ βασιλέως ἐδέξατο, πλῆθος πολὺ τῶν ὑποτεταγμένων αὐτῷ σὺν αὐτῷ ἐπαγόμενος.

ὅτι τὰ σανδάλια, φησί, νυνὶ λεγόμενα ἀρβύλας ἔλεγον οἱ παλαιοί, ϗ τὸ φακιόλιον φασώλιν.

ὅτι τῶν Σαρακηνῶν οἱ πλεῖστοι, οἵ τε ἐν τῷ Φοινικῶνι ϗ οἱ τοῦ Φοινικῶνος ϗ τῶν ὀνομαζομένων Ταυρηνῶν ὀρῶν ἐπέκεινα, ἱερόν τι χωρίον νομίζουσιν, ὁτῳδὴ θεῶν ἀνειμένον, ϗ ἐνταῦθα συλλέγονται κατ' ἐνιαυτὸν ἕκαστον δίς. ὧν τὴν μὲν τῶν πανηγύρεων αὐτῶν μὴν ὅλος μετρεῖ παρατείνων, σχεδόν που τοῦ ἔαρος κατὰ τὸ μέσον τελουμένην, ὅτε τὸν ταῦρον ὁ ἥλιος ἐπιπορεύεται. ἡ δὲ ἑτέρα πανήγυρις δυσὶ μησὶ παρατείνεται· μετὰ θερινὰς τροπὰς ἄγουσι ταύτην. ἐν ταύταις, φησί, ταῖς πανηγύρεσιν πᾶσαν ἄγουσιν εἰρήνην, οὐ πρὸς ἀλλήλους μόνον ἀλλὰ καὶ πρὸς ἅπαντας τοὺς ἐνδημοῦντας ἀνθρώπους· φασὶ δὲ ὅτι ϗ τὰ θηρία πρὸς τοὺς ἀνθρώπους, οὐ μόνον δὲ ἀλλὰ ϗ αὐτὰ πρὸς ἄλληλα. λέγεται δὲ ϗ ἄλλα πολλὰ παράδοξα ϗ μύθων οὐδὲν διαλλάττοντα.

"ὅτι διεστηκέναι φησὶ τὴν Ἄδουλιν τῆς Αὐξούμεως ιε 6 R. ἡμερῶν ὁδόν. ἀπιοῦσι δὲ εἰς τὴν Αὔξουμιν Νοννόσῳ τε ϗ τοῖς μετ' αὐτὸν μέγιστον ἐφάνη θέαμα περὶ χωρίον Αὔην προσονομαζόμενον (κεῖται δὲ ἡ Αὔη ἐν μέσῳ τῆς τε τῶν Αὐξουμιτῶν ϗ τῆς τῶν Ἀδουλιτῶν πόλεως), ἐλεφάντων πλῆθος οὐκ ὀλίγον, ἀλλὰ σχεδὸν 3 H. ὡς χιλιάδων πέντε. ἐνέμοντο δὲ οὗτοι οἱ ἐλέφαντες ἐν πεδίῳ μεγάλῳ· ϗ πελάζειν αὐτοῖς οὐδενὶ τῶν ἐγχω-

a. 5. malim φασί. 12. τὴν add A. 19. φασώλιν] φασκιόλιον Suicer. Thes. 2. p. 1411. 21. Ἀμερίτας] γρ καὶ ὁμηρίτας· οἱ γὰρ ἐξ ἀρχῆς βασιλεῖς δι' ὁμήρων ἐπιστοῦντο τὴν τούτων ὑποταγήν mg A. 23. τὸ add A. 36. χινδίνων ς.
b. 2. ἐλεσβαὰς vel ἐλεσβαὰς A: ἐλεβαὰς ς. 25. ὅλως ς. 26. ὁ om ς. 28. post θερινὰς cum A omisi δὲ. 35. αὐξουμένης A. 37. μετ'] περὶ p. 3 a 34. 41. ὡς A: ὅσον ς.

Digitized by Google

ρίων ἦν εὔκολον, οὐδὲ εἴργειν τῆς νομῆς. τοῦτο μὲν ἐν μεταξὺ τὸ θέαμα αὐτοῖς προσεγεγόνει.

Χρὴ δὲ καὶ τὰ περὶ τῆς κράσεως τῶν ἀέρων εἰπεῖν, οἷα ἀπὸ τῆς Αὔης ἐπὶ τὴν Αὔξουμιν διαδέχεται. ἐναντίως γὰρ περί τε θέρος καὶ χειμῶνα διάκειται. τοῦ γὰρ ἡλίου τὸν καρκίνον τε καὶ λέοντα καὶ παρθένον διερχομένου μέχρι μὲν τῆς Αὔης, ὥσπερ καὶ παρ' ἡμῖν, θέρος τε καὶ ξηρότης διακρατεῖ τὸν ἀέρα, ἀπὸ δὲ τῆς Αὔης ἐπὶ τὴν Αὔξουμιν καὶ τὴν ἄλλην Αἰθιοπίαν χειμὼν ἐπίκειται σφοδρός, οὐ δι' ὅλης ἡμέρας, ἀλλὰ γὰρ ἀπὸ μεσημβρίας ἀρχόμενος ἑκάστοτε, συννεφῆ τε τὸν ἀέρα ποιῶν καὶ ὄμβροις ῥαγδαίοις τὴν χώραν ἐπικλύζων. τηνικαῦτα δὲ ἄρα καὶ ὁ Νεῖλος πολὺς ἐπὶ τὴν Αἴγυπτον ἐρχόμενος πελαγίζει τε καὶ κατάρδει τὴν γῆν. ὅτε δὲ ὁ ἥλιος τὸν αἰγόκερών τε καὶ ὑδροχόον καὶ ἰχθύας ἐπιπορεύεται, ἀνάπαλιν ὁ ἀὴρ τοῖς μὲν Ἀδουλίταις μέχρι τῆς Αὔης ὄμβροις ἐπικλύζει τὴν χώραν, τοῖς δὲ ἀπὸ τῆς Αὔης μέχρι Αὐξούμεως καὶ τῆς ἄλλης Αἰθιοπίας θέρος τε καὶ τὰ ὡραῖα τηνικαῦτα τούτοις ἡ γῆ παραδίδωσιν.

ὅτι ἀπὸ τῆς Φαρσὰν πλέοντι τῷ Νοννόσῳ, ἐπὶ τὴν ἐσχάτην τῶν νήσων κατηντηκότι, τοιόνδε τι συνέβη, θαῦμα καὶ ἀκοῦσαι. ἐνέτυχε γάρ τισι μορφὴν μὲν καὶ ἰδέαν ἔχουσιν ἀνθρωπίνην, βραχυτάτοις δὲ τὸ μέγεθος καὶ μέλασι τὴν χρόαν, ὑπὸ δὲ τριχῶν δεδασυσμένοις διὰ παντὸς τοῦ σώματος. εἵποντο δὲ τοῖς ἀνδράσι καὶ γυναῖκες παραπλήσιαι καὶ παιδάρια ἔτι βραχύτερα τῶν παρ' αὐτοῖς ἀνδρῶν. γυμνοὶ δὲ ἦσαν ἅπαντες· πλὴν δέρματί τινι μικρῷ τὴν αἰδῶ περιεκάλυπτον οἱ προβεβηκότες ὁμοίως ἄνδρες τε καὶ γυναῖκες. ἄγριον δὲ οὐδὲν ἐπεδείκνυντο οὐδὲ ἀνήμερον, ἀλλὰ καὶ φωνὴν εἶχον μὲν ἀνθρωπίνην, ἄγνωστον δὲ παντάπασι τὴν διάλεκτον τοῖς τε περιοίκοις ἅπασι καὶ πολλῷ πλέον τοῖς περὶ τὸν Νόννοσον. διέζων δὲ ἐκ θαλαττίων ὀστρέων καὶ ἰχθύων τῶν ἀπὸ τῆς θαλάσσης εἰς τὴν νῆσον ἀποῤῥιπτομένων. θάρσος δὲ εἶχον οὐδέν, ἀλλὰ καὶ ὁρῶντες τοὺς καθ' ἡμᾶς ἀνθρώπους ὑπέπτησσον, ὥσπερ ἡμεῖς τὰ μείζω τῶν θηρίων.

4.

Ἀνεγνώσθη ΘΕΟΔΩΡΟΥ ΑΝΤΙΟΧΕΩΣ ὑπὲρ Βασιλείου κατὰ Εὐνομίου ἐν λόγοις κε΄. ἔστι δὲ τὴν μὲν φράσιν οὐ πάνυ λαμπρός, ταῖς δὲ διανοίαις καὶ τοῖς ἐπιχειρήμασι λίαν πυκνός, καὶ ταῖς γραφικαῖς ἄριστα πλουτῶν μαρτυρίαις. κατὰ λέξιν δὲ σχεδὸν τῶν Εὐνομίου λόγων τὴν ἀνασκευὴν ποιεῖται, ἰσμαθῆ τε λίαν τῶν τε θύραθεν μαθημάτων καὶ πολλῷ μᾶλλον τῆς καθ' ἡμᾶς θεοσοφίας διὰ πολλῶν ἐπιδεικνύς. ὁ δὲ Μοψουεστίας γεγονὼς ἐπίσκοπος οὗτός ἐστιν, οἶμαι.

5.

Ἀνεγνώσθη ὁμοίως ΣΩΦΡΟΝΙΟΥ ὑπὲρ Βασιλείου κατὰ Εὐνομίου. σαφέστερος μὲν Θεοδώρου καὶ πολλῷ συντομώτερος, καὶ οὐδὲ "πᾶσι τοῖς Εὐνομίου ἐπεξιών," ἀλλ' 4 H. 9 R.
ἐκεῖνα γυμνάζων καὶ ἐλέγχῳ καθυποβάλλων, ἃ δοκεῖ συνεκτικὰ καὶ κεφάλαια τῆς Εὐνομίου αἱρέσεως εἶναι. ἀφοριστικῷ δὲ κέχρηται χαρακτῆρι, καὶ ὡς ἐπίπαν ἀπόλυτός ἐστιν αὐτῷ καὶ ἀσύνδετος ὁ λόγος, οὐκ ἄχαρις δέ, ἀλλὰ καὶ λογικοῖς ἐπιχειρήμασι περιηνθισμένος.

6.

Ἀνεγνώσθη ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ ὁμοίως ὑπὲρ Βασιλείου κατ' Εὐνομίου. τὴν μὲν φράσιν, εἴ τις ἄλλος ῥητόρων, λαμπρὸς καὶ ἡδονῆς ὤσιν ἀποστάζων, οὐ μέντοι καθεξῆς οὐδ' αὐτὸς τὴν Εὐνομίου γραφὴν ἀπελέγχει. διὸ καὶ συντομώτερός ἐστι Θεοδώρου, Σωφρονίου δὲ πλατύτερος· πλεονάζει γὰρ τοῖς ἐνθυμήμασι καὶ τοῖς παραδείγμασιν. ἔστι δὲ ἀδεκάστως εἰπεῖν ὡς ὅσον ὑπερβάλλει κάλλει τε καὶ λαμπρότητι καὶ τῷ ἡδυτάτῳ Θεόδωρον, τοσοῦτον ἐκείνου τοῦτον τὸ πλῆθος τῶν ἐπιχειρημάτων καὶ τὸ γόνιμον εἰς τὸ προέχειν ἐκβιάζεται.

7.

Ἀνεγνώσθη ἑτέρα πραγματεία τοῦ αὐτοῦ ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ περὶ τῆς αὐτῆς ὑποθέσεως, ἐν ᾗ λογικώτερον Εὐνομίῳ συμπλακεὶς κατὰ κράτος αἱρεῖ, πάντα σαθρώσας τῆς δυσσεβείας αὐτοῦ τὰ ὀχυρώματα. τὸ δὲ κάλλος τοῦ λόγου καὶ ἡ σύγκρατος λαμπρότης γλυκύτητι κἀνταῦθα διαπρεπῶς ἐπιδείκνυται.

8.

Ἀνεγνώσθη ΩΡΙΓΕΝΟΥΣ τὸ περὶ ἀρχῶν, λόγοι δ΄, ὧν ὁ μὲν πρῶτος περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ἐν ᾧ πλεῖστα βλασφημεῖ, τὸν μὲν υἱὸν ὑπὸ τοῦ πατρὸς πεποιῆσθαι λέγων, τὸ δὲ πνεῦμα ὑπὸ τοῦ υἱοῦ, καὶ διήκειν μὲν τὸν πατέρα διὰ πάντων τῶν ὄντων, τὸν δὲ υἱὸν μέχρι τῶν λογικῶν μόνων, τὸ δὲ πνεῦμα μέχρι μόνων τῶν σεσωσμένων. λέγει δὲ καὶ ἄλλα παραλογώτατα καὶ δυσσεβείας πλήρη· μετεμψυ-

a. 15. αἰγοκέρωτα pr A. 24. τὸ om A. 25. μέλασι] μελανὴν A. 34. νόννωσον, ut saepe, A. 35. ὀστρέων ς. 37. ὑπέπτησαν ς. 41. μὲν om A. b. 9. ante συντομώτερος cum A omisi συνετώτερος καί. 17. νύσης A. 20. αὐτὸς] οὐ A. 21. ἐπελέγχει ς. 22. γὰρ] δὲ γὰρ ς. 40 et 41. μόνον ς.



Digitized by Google

χύσεις τε γο̃ ληρῳδεῖ, ϰ̀ ἐμψύχους τοὺς ἀςέρας, ϰ̀ ἕτερα τοιούτοις παραπλήσια. ἔςι δ' ὁ μὲν πρῶτος αὐτῷ μεμυθολογημένος περὶ πατρὸς ϰ̀ (ὡς ἐκεῖνός φησι) περὶ Χριςοῦ ϰ̀ περὶ ἁγίου πνεύματος, ἔτι καὶ περὶ λογικῶν φύσεων· ὁ δὲ δεύτερος περὶ κόσμου καὶ τῶν ἐν αὐτῷ κτισμάτων, ϰ̀ ἔτι ὅτι εἷς θεὸς νόμου ϰ̀ προφητῶν, ϰ̀ ὅτι ὁ αὐτὸς παλαιᾶς καὶ καινῆς διαθήκης θεός, καὶ περὶ τῆς τοῦ σωτῆρος ἐνανθρωπήσεως, ϰ̀ ὅτι τὸ αὐτὸ πνεῦμα ἐν Μωϋσῇ ϰ̀ τοῖς ἄλλοις προφήταις ϰ̀ ἁγίοις ἀποςόλοις· ἔτι περὶ ψυχῆς, περὶ ἀναςάσεως, περὶ κολάσεως, περὶ ἐπαγγελιῶν. ὁ δὲ τρίτος περὶ αὐτεξουσίου· πῶς ὁ διάβολος ϰ̀ αἱ ἀντικείμεναι δυνάμεις κατὰ τὰς γραφὰς ςρατεύονται τῷ ἀνθρωπίνῳ γένει· ὅτι γενητὸς ὁ κόσμος καὶ φθαρτὸς ἀπὸ χρόνου ἀρξάμενος. ὁ δὲ τέταρτος περὶ τέλους· ὅτι θεῖαι αἱ γραφαί. τέλος, ὅπως δεῖ ἀναγινώσκειν ϰ̀ νοεῖν τὰς γραφάς.

9.

Ἀνεγνώσθη εὐαγγελικῆς προπαρασκευῆς ΕΥΣΕΒΙΟΥ λόγοι ιέ, ἐν οἷς ὡς ἔπος εἰπεῖν τὴν Ἑλλήνων ματαιολογίαν ἐλέγχει, ϰ̀ ὡς ἀσύμφωνοι αὐτοὶ πρὸς ἑαυτοὺς διετέλεσαν. μέμνηται δὲ ἐν ἀρχῇ τοῦ πεντεκαιδεκάτου λόγου ϰ̀ ἐν τῷ τέλει ἑτέρας πραγματείας, ἣν εὐαγγελικὴν ἀπόδειξιν ἐξονομάζει, ἀκόλουθον οὖσαν τῇ εὐαγγελικῇ προπαρασκευῇ, ὅτι ἡ μὲν ἔλεγχός ἐςι σχεδὸν τῆς Ἑλλήνων πλάνης, ἡ δὲ βεβαίωσις τοῦ κηρύγματος τοῦ εὐαγγελικοῦ.

12 R. 5 H.

10.

Ἀνεγνώσθη ΕΥΣΕΒΙΟΥ ἡ εὐαγγελικὴ ἀπόδειξις ἐν βιβλίοις κ'.

11.

Ἀνεγνώσθη ΕΥΣΕΒΙΟΥ ἐκκλησιαςικὴ προπαρασκευὴ ἐν βιβλίοις .., ἐν οἷς ἐκλογαί.

12.

Ἀνεγνώσθη ΕΥΣΕΒΙΟΥ ἐκκλησιαςικὴ ἀπόδειξις ἐν βιβλίοις ..

13.

Ἀνεγνώσθη ΕΥΣΕΒΙΟΥ ἐλέγχου ϰ̀ ἀπολογίας λόγοι δύο, καὶ ἕτεροι δύο, οἵ τινες πρὸς τοὺς προτέρους δύο ἔν τισι ῥητοῖς παραλλάσσοντες ἐν τοῖς ἄλλοις τῇ τε λέξει ϰ̀ τῇ διανοίᾳ οἱ αὐτοί εἰσιν. εἰσάγει δὲ ὡς ἀπὸ τῶν Ἑλλήνων τινὰς ἀπορίας κατὰ τῆς ἀμωμήτου θρησκείας ἡμῶν, ϰ̀ ταύτας καλῶς, εἰ ϰ̀ μὴ ἐν πᾶσιν, ἐπιλύεται. τὴν δὲ φράσιν οὐκ ἔςιν οὐδαμοῦ οὔτε ἡδὺς οὔτε λαμπρότητι χαίρων. πολυμαθὴς δέ ἐςιν ὁ ἀνήρ, εἰ καὶ τὴν ἀγχίνοιαν ϰ̀ τὸ ςαθηρὸν τοῦ ἤθους, ὡς παρὰ τὴν ἀκρίβειαν τὴν ἐν τοῖς δόγμασιν, ἐνδεέςερος· καὶ γο̃ κἂν τούτοις ἐν πολλοῖς ἔςιν αὐτὸν ἰδεῖν τὸν υἱὸν βλασφημοῦντα, καὶ δεύτερον αἴτιον καλοῦντα ϰ̀ ἀρχιςράτηγον ϰ̀ ἄλλα τινὰ τῆς Ἀρειανικῆς λύσσης βλαςήματα. δῆλον ὡς ἐπὶ Κωνςαντίνου τοῦ μεγάλου ἔτος ἤνθησε. γέγονε δὲ ϰ̀ τῆς Παμφίλου τοῦ ἱερομάρτυρος ἀρετῆς διάπυρος ἐραςής, δι' ἣν αἰτίαν φασί τινες αὐτὸν καὶ τῆς τοῦ Παμφίλου ἐπωνυμίας μετεσχηκέναι.

14.

Ἀνεγνώσθη ΑΠΟΛΙΝΑΡΙΟΥ πρὸς Ἕλληνας καὶ περὶ εὐσεβείας καὶ περὶ ἀληθείας. ἔςι δὲ Ἱεραπολίτης ὁ συγγραφεύς, τῆς ἐν Ἀσίᾳ Ἱεραπόλεως γεγονὼς ἐπίσκοπος· ἤνθησε δὲ ἐπὶ Μάρκου Ἀντωνίνου Βήρου βασιλέως Ῥωμαίων. ἀξιόλογος δὲ ὁ ἀνὴρ καὶ φράσει ἀξιολόγῳ κεχρημένος. λέγεται δὲ αὐτοῦ καὶ ἕτερα συγγράμματα ἀξιομνημόνευτα εἶναι, οἷς οὔπω ἡμεῖς ἐντύχομεν.

15.

Ἀνεγνώσθη πρακτικὸν τῆς πρώτης συνόδου ἐν τρισὶ τόμοις· ΓΕΛΑΣΙΟΥ δὲ ἔφερε τὸ βιβλίον ἐπιγραφήν, οὐ μᾶλλον ὑπάρχον πρακτικὸν ἢ ἱςορικόν. εὐτελὴς δὲ ϰ̀ ταπεινὸς τὴν φράσιν, πλήν γε λεπτομερῶς διέξεισι τὰ ἐν τῇ συνόδῳ.

16.

Ἀνεγνώσθη ΠΡΑΚΤΙΚΟΝ ΤΗΣ ΤΡΙΤΗΣ ΣΥΝΟΔΟΥ, σχεδόν τι δι' ἐπιςολῶν τοῦ τε θείου πρὸς Νεςόριον Κυρίλλου καὶ τοῦ δυσσεβοῦς ἐκείνου πρὸς αὐτὸν συντεθειμένον.

17.

Ἀνεγνώσθη ΠΡΑΚΤΙΚΟΝ ΤΗΣ ΤΕΤΑΡΤΗΣ ΣΥΝΟΔΟΥ, ἐν βιβλίοις μὲν διαφόροις, πράξεσι δὲ ιέ, ἐν αἷς Διόσκορος μὲν καθῄρηται ϰ̀ Εὐτυχής, ἀναθέματι δὲ σὺν αὐτοῖς ὑπεβλήθη καὶ Νεςόριος, Φλαβιανὸς δὲ ὁ ἐν ἁγίοις καὶ μετὰ θάνατον δεδικαίωται, Εὐσέβιός τε ὁ Δορυλαίου καὶ Θεοδώρητος καὶ Ἴβας. ἐπράχθη δὲ καὶ ἕτερά τινα ἐπὶ μέρους, καὶ τὸ τῆς εὐσεβείας ἐκρατύναντο φρόνημα. 13 R.

a. 2. αὐτῷ μυθολογούμενος λόγος περὶ ς. 9. μωσεῖ ς. 23. ὀνομάζει ς.
b. 1. ἀπολύεται ς. 8. δῆλον δὲ ὡς ς. 17. ἀντωνίου ς. 23. ἀνεγν. καὶ πρακτικὸν ς. 31. νεςόρειον A. 39. δορυλαίου καὶ θεοδώριτος ς. 41. ἐκρατύνατο ς. cf. p. 5 a 18. ἐβεβαίωσαν.

## 18.

6 H. Ἀνεγνώσθη ΠΡΑΚΤΙΚΑ ΤΗΣ ΠΕΜΠΤΗΣ ΣΥΝΟΔΟΥ, ἐν οἷς τὰ λεγόμενα τρία κεφάλαια ἐπρακτεύθη τὰ περὶ Ὠριγένους, καὶ ἀνεθεματίσθη αὐτὸς καὶ τὰ συγγράμματα αὐτοῦ τὰ περὶ Διοδώρου Ταρσοῦ καὶ Θεοδώρου τοῦ Μοψουεστίας, καὶ αὐτοὶ ὁμοίως ἀνεθεματίσθησαν. ἀνεθεματίσθη δὲ καὶ Θεοδωρήτου τὰ κατὰ τοῦ Κυρίλλου γραφέντα κεφάλαια ιβʹ. ἐγένοντο δὲ καὶ πρὸ ταύτης πράξεις τινὲς περί τε Ζωόρα καὶ Ἀνθίμου τοῦ ἐκ Τραπεζοῦντος τὸν Κωνσταντινουπόλεως θρόνον ὑπελθόντος, ἄλλαι τέ τινες, αἳ ταύτῃ συμπεριέχονται.

## 19.

Ἀνεγνώσθη ΠΡΑΚΤΙΚΑ ΤΗΣ ΕΚΤΗΣ ΣΥΝΟΔΟΥ, ἐν πράξεσιν .., ἐν αἷς Σέργιος, Κῦρος, Πύῤῥος Κωνσταντινουπόλεως ἀνεθεματίσθησαν, μεθ᾿ ὧν Ὁνώριος Ῥώμης, Πολυχρόνιος καὶ ἕτεροι σὺν αὐτοῖς, ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ εἰπεῖν τολμήσαντες. τὸ δὲ τῆς ἀληθείας δόγμα ἐβεβαίωσαν.

## 20.

Ἀνεγνώσθη ΠΡΑΚΤΙΚΑ ΤΗΣ ΕΒΔΟΜΗΣ ΣΥΝΟΔΟΥ, ἐν πράξεσιν .., ἐν αἷς ἥ τε τῶν εἰκονομάχων αἵρεσις ἐθριαμβεύθη καὶ τῶν ὀρθοδόξων διέλαμψεν ἡ πίστις.

## 21.

Ἀνεγνώσθη ΙΩΑΝΝΟΥ ΦΙΛΟΠΟΝΟΥ ὁ περὶ ἀναστάσεως λόγος ἐν τόμοις .., ἐν οἷς τὴν τῶν σωμάτων ἀνάστασιν ἀναιρεῖ πολλά τε ἀπερισκέπτως λέγει, ἐπιχλευάζων καὶ τοὺς μακαρίους καὶ ἁγίους πατέρας ἡμῶν.

## 22.

Ἀνεγνώσθη ΘΕΟΔΟΣΙΟΥ ΜΟΝΑΖΟΝΤΟΣ τῶν
16 R. τῷ Φιλοπόνῳ Ἰωάννῃ παραληφθέντων χρήσεων κατὰ τῆς τῶν σωμάτων ἀναστάσεως ἐσπουδασμένη ἀνατροπή, καὶ παράθεσις ῥητῶν γραφικῶν τε καὶ πατρικῶν εἰς ἔλεγχον τῆς Ἰωάννου ματαιοπονίας.

## 23.

Ἀνεγνώσθη ΚΟΝΩΝΟΣ καὶ ΕΥΓΕΝΙΟΥ καὶ ΘΕΜΙΣΤΙΟΥ κατὰ Ἰωάννου, τὴν περὶ ἀναστάσεως αὐτοῦ ματαιοπονίαν στηλιτευόντων· ἐν οἷς πολλὴν αὐτοῦ καταδρομὴν ποιοῦνται, ὥστε καὶ ἀλλότριον λέγειν αὐτὸν παντελῶς τοῦ δόγματος τῶν Χριστιανῶν. καίτοι καὶ αὐτοὶ τῆς αὐτῆς αὐτῷ δόξης ἐκοινώνουν, τὴν ἐν Χαλκηδόνι, ὡς ἐκεῖνος, οὐ παραδεχόμενοι σύνοδον.

## 24.

Ἀνεγνώσθη βιβλίον ἔχον πεπραγμένα συστάντα παρὰ τῷ τῆς βασιλίδος ἐπισκόπῳ Ἰωάννῃ, Ἰουστίνου βασιλεύοντος· ἅ τινα συνέστησαν μεταξὺ Κόνωνος καὶ Εὐγενίου τῶν τριθεϊτῶν καὶ Παύλου καὶ Στεφάνου, καὶ αὐτῶν τῆς τῶν διακρινομένων αἱρέσεως τυγχανόντων. ἐν ᾧ φαίνονται Κόνων καὶ Εὐγένιος ἀντιποιούμενοι τοῦ Φιλοπόνου· τῶν γὰρ περὶ Παῦλον καὶ Στέφανον ἀπαιτούντων αὐτοὺς ἀναθεματίσαι τὸν Φιλόπονον, οὗτοι οὐκ ἠνέχοντο, ἀλλὰ καὶ προεκόμιζον μαρτυρίας ὡς συνῳδὰ Σεβήρῳ καὶ Θεοδοσίῳ τοῖς ἑαυτῶν φρονεῖ διδασκάλοις. οὗτοι δὲ τὰς μὲν ἄλλας περὶ τὴν θεολογίαν λέγουσι φωνὰς εὐσεβεῖς, τριάδα ὁμοούσιον καὶ ὁμοφυῆ, καὶ θεὸν ἕνα, καὶ μίαν θεότητα· βλασφημοῦσι δὲ λέγοντες μερικὰς οὐσίας καὶ ἰδικὰς θεότητας καὶ ἰδικὰς φύσεις τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα, ἑαυτοῖς 7 H.
τε καὶ τῇ ἀληθείᾳ μαχόμενοι. καὶ ἄλλα ἄττα ληροῦσι παραπλήσια ταύτης τῆς ματαιότητος.

## 25.

Ἀνεγνώσθη τοῦ ΧΡΥΣΟΣΤΟΜΟΥ ἐπιγραφὴν ἔχον σχόλια εἰς τὸν θάνατον, λόγοι μικροὶ εἴκοσι δύο. καὶ ἐν τῷ αὐτῷ λόγοι παραπλήσιοι εἰς τὴν ἀνάληψιν τοῦ κυρίου κβʹ, καὶ ἔτι εἰς τὴν πεντηκοστὴν ὡσαύτως λόγοι ιζʹ.

## 26.

Ἀνεγνώσθη ἐπισκόπου Κυρήνης, ΣΥΝΕΣΙΟΣ αὐτῷ ὄνομα, περὶ προνοίας, περὶ βασιλείας καὶ περὶ ἄλλων τινῶν· τὴν μὲν φράσιν ὑψηλὸς καὶ ὄγκον ἔχων, ἀποκλίνων δὲ καὶ πρὸς τὸ ποιητικώτερον. ἀνεγνώσθησαν δὲ αὐτοῦ καὶ ἐπιστολαὶ διάφοροι, χάριτος καὶ ἡδονῆς ἀποστάζουσαι μετὰ τῆς ἐν τοῖς νοήμασιν ἰσχύος καὶ πυκνότητος. ἦν δ᾿ οὗτος τῶν Ἑλλήνων, φιλοσοφίᾳ σχολάζων· ὅν φασι πρὸς τὸν θειασμὸν τοῦ χριστιανισμοῦ νεύσαντα τὰ μὲν ἄλλα παραδέχεσθαι εὐπειθῶς, τὸν δὲ 17 R.
περὶ ἀναστάσεως οὐκ ἐθέλειν προσίεσθαι λόγον. ἀλλ᾿ ὄν καὶ οὕτω διακείμενον ἐμύησάν τε τὰ ἡμέτερα καὶ ἔτι καὶ ἀρχιερωσύνης ἠξίωσαν, πρὸς τὴν ἄλλην τοῦ ἀνδρὸς καλοκαγαθίαν καὶ τὸ καθαρὸν ἀφορῶντες τοῦ βίου, καὶ ὅτι οὐκ ἂν οὕτω βιοὺς ἄνθρωπος τὸ τῆς ἀνα-

a. 8. ἐγένοντο ς. 10. ἐπελθόντος ς. 11. περιέχονται ς. 35. ματαιότητος ς. 39. ματαιολογίαν ς. αὐτοὶ] οὗτοι A.
b. 9. φαίνεται A. 11. Φιλόπονον] φίλιππον pr A. 23. σχόλιον ς. λόγῳ ς. 31. πολιτικώτερον ς. ἀνεγνώσθη A.
37. post ἀναστάσεως quae vulgo tanquam Photii verba ponuntur (τοῦτο εἰ μὲν καὶ ἄλλοθεν, οὐκ οἶδα· τέως δὲ ἀπὸ τῆς πρὸς Θεόφιλον αὐτοῦ ἐπιστολῆς ἀριδήλως καταλαμβάνεται), ea in mg re habet A.

Digitized by Google

στάσεως οὐκ ἐλλαμφθείη φέγγος.' καὶ τῆς ἐλπίδος οὐκ ἐψεύσθησαν· ῥᾷστα γὰρ αὐτῷ, ἐπεὶ ἀρχιεράτευσε, καὶ τὸ τῆς ἀναστάσεως εἰς πίστιν ἀπεκατέστη δόγμα. ἐπεκόσμει δὲ Κυρήνην, ὅτε Θεόφιλος Ἀλεξανδρείας ἐπεστάτει.

27.

Ἀνεγνώσθη ΕΥΣΕΒΙΟΥ ἐκκλησιαστικὴ ἱστορία ἐν τόμοις δέκα. ἄρχεται ἀπὸ παρουσίας Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν, καὶ διέρχεται τὰ κατὰ τοὺς τυράννων χρόνους ἐπιμελέστερον, καὶ καταλήγει μέχρι τῆς Κωνσταντίνου βασιλείας τοῦ μεγάλου, λεπτότερον ὅσα ταῖς ἐκκλησίαις ἐπὶ αὐτοῦ τε καὶ ὑπ' αὐτοῦ ἐπρυτανεύθη ἀναγραφόμενος.

28.

Ἀνεγνώσθη ΣΩΚΡΑΤΟΥΣ ἐκκλησιαστικὴ ἱστορία, ἐφεξῆς οὖσα τῆς Εὐσεβίου· ἄρχεται μὲν γὰρ ἀπὸ τῆς Κωνσταντίνου βασιλείας, καὶ κάτεισιν ἕως τῆς τοῦ νέου Θεοδοσίου βασιλείας. ὁ δὲ συγγραφεὺς παρὰ Ἀμμωνίῳ καὶ Ἑλλαδίῳ τοῖς Ἀλεξανδρεῦσι γραμματικοῖς φοιτῶν ἔτι παῖς ὢν τὰ τῆς γραμματικῆς ἐδιδάσκετο, ἑλληνισταῖς οὖσι καὶ διὰ στάσιν ἐκπεσοῦσι τῆς πατρίδος καὶ ἐν Κωνσταντινουπόλει διατρίβουσιν. περιέχει δὲ ἡ βίβλος χρόνον ἐτῶν ρμ'· ἡ δὲ πᾶσα ἱστορία ἐν τόμοις αὐτῷ συντέθειται ἑπτά. ἡ δὲ φράσις οὐδὲν ἔχει ἀξιόλογον. ἀλλὰ καὶ ἐν τοῖς δόγμασιν οὐ λίαν ἐστὶν ἀκριβής.

29.

Ἀνεγνώσθη ΕΥΑΓΡΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ ἀπὸ ὑπάρχων, πόλεως δὲ ἐπιφανοῦς τῆς κατὰ τὴν κοίλην Συρίαν, ἐκκλησιαστικὴ ἱστορία ἐν τόμοις ἕξ, ἀρχὴν ποιουμένη τὸ τέλος τῆς Σωκράτους καὶ Θεοδωρήτου ἱστορίας, καὶ κατιοῦσα μέχρι τῆς βασιλείας Μαυρικίου, ἔτος δωδέκατον ἐν τῇ βασιλείᾳ διανύοντος. ἔστι δὲ τὴν φράσιν οὐκ ἄχαρις, εἰ καί πως περιττεύεσθαι ἐνίοτε δοκεῖ·
8 H. ἐν τῇ δὲ τῶν δογμάτων ὀρθότητι ἀκριβὴς τῶν ἄλλων μᾶλλον ἱστορικῶν. ἔχει δὲ καὶ χρήσεις περὶ εἰκόνων.

30.

Ἀνεγνώσθη Σαλαμάνου ΕΡΜΕΙΟΥ ΣΩΖΟΜΕΝΟΥ σχολαστικοῦ ἐκκλησιαστικὴ ἱστορία ἐν λόγοις θ'. προσφωνεῖ δὲ τὴν ἱστορίαν πρὸς Θεοδόσιον τὸν νέον. ἄρχεται δὲ ἀπὸ τῆς ὑπατείας Κρίσπου καὶ τοῦ πατρὸς Κωνσταντίνου, καὶ κάτεισι μέχρι τῆς τοῦ νέου Θεοδοσίου βασιλείας. οὗτος δὲ δίκας ἦν λέγων ἐν Κωνσταντινουπόλει. ἔστι δὲ Σωκράτους ἐν τῇ φράσει βελτίων, διαφωνεῖ δὲ αὐτῷ καὶ κατά τινας ἱστορίας.

31.

Ἀνεγνώσθη ΘΕΟΔΩΡΗΤΟΥ ἐκκλησιαστικὴ ἱστο- 20 B.
ρία. πάντων τῶν εἰρημένων κατάλληλον φράσιν τῇ ἱστορίᾳ μᾶλλον οὗτος ἐπέθηκε· σαφὴς γάρ τε καὶ ὑψηλὸς καὶ ἀπέριττος, πλὴν ὅτι ἐνίοτε ταῖς μεταφοραῖς παραβόλως καὶ ὥσπερ ἀπειροκάλως ἐχρήσατο. οὗτος καὶ πλατύτερον τῶν εἰρημένων τὰ περὶ τῆς δευτέρας συνόδου διέλαβε, σχεδόν τι τῶν ἄλλων ὥσπερ μόνον διὰ τῆς ἐπιδρομῆς ἀφοσιουμένων, ἀλλ' οὐ βουλομένων τι περὶ αὐτῆς εἰπεῖν· πλὴν ἀλλὰ καὶ οὗτος οὐ πάντα λεπτομερῶς λέγει. ἄρχεται δὲ τῆς ἱστορίας ἀπὸ τῆς Ἀρείου αἱρέσεως, καὶ καταλήγει μέχρι τῆς Θεοδοσίου τοῦ νέου βασιλείας καὶ μέχρι τῆς Διοδώρου τελευτῆς, ἡνίκα καὶ Κωνσταντινουπόλεως Σισίννιος ἦρχεν.

32.

Ἀνεγνώσθησαν ΑΘΑΝΑΣΙΟΥ ἐπιστολαὶ διάφοροι, ἐν αἷς ἐμφέρονται καὶ αἱ τῆς γεγενημένης αὐτοῦ φυγῆς ὥσπερ ἀπολογίαν περιέχουσαι, κομψῶς τε καὶ λαμπρῶς καὶ ἔτι σαφῶς συντεθειμέναι, καὶ τὸ πιθανὸν μετὰ τοῦ χαρίεντος ἀνθοῦσαι· ἡδονὴ τῆς ἐκεῖθεν ἀπολογίας ἀκούειν.

33.

Ἀνεγνώσθη ΙΟΥΣΤΟΥ ΤΙΒΕΡΙΕΩΣ χρονικόν, οὗ ἡ ἐπιγραφὴ Ἰούστου Τιβεριέως Ἰουδαίων βασιλέων τῶν ἐν τοῖς στέμμασιν. οὗτος ἀπὸ πόλεως τῆς ἐν Γαλιλαίᾳ Τιβεριάδος ὡρμᾶτο. ἄρχεται δὲ τῆς ἱστορίας ἀπὸ Μωϋσέως, καταλήγει δὲ ἕως τελευτῆς Ἀγρίππα τοῦ ἑβδόμου μὲν τῶν ἀπὸ τῆς οἰκίας Ἡρώδου, ὑστάτου δὲ ἐν τοῖς Ἰουδαίων βασιλεῦσιν, ὃς παρέλαβε μὲν τὴν ἀρχὴν ἐπὶ Κλαυδίου, ηὐξήθη δὲ ἐπὶ Νέρωνος καὶ ἔτι μᾶλλον ὑπὸ Οὐεσπασιανοῦ, τελευτᾷ δὲ ἔτει τρίτῳ Τραϊανοῦ, οὗ καὶ ἡ ἱστορία κατέληξεν. ἔστι δὲ τὴν φράσιν συντομώτατός τε, καὶ τὰ πλεῖστα τῶν ἀναγκαιοτάτων παρατρέχων. ὡς δὲ τὰ Ἰουδαίων νοσῶν, Ἰουδαῖος καὶ αὐτὸς ὑπάρχων τὸ γένος, τῆς Χριστοῦ παρουσίας καὶ τῶν περὶ αὐτὸν τελεσθέντων καὶ τῶν ὑπ' αὐτοῦ τερατουργηθέντων οὐδενὸς ὅλως μνήμην ἐποιήσατο. οὗτος παῖς μὲν ἦν Ἰουδαίου τινὸς ὄνομα Πίστου, ἀνθρώπων δέ, ὥς φησιν Ἰώσηπος, κακουργότατος, χρημάτων τε καὶ ἡδονῶν ἥττων. ἀντεπολιτεύετο δὲ Ἰωσήπῳ, καὶ πολλὰς κατ' ἐκείνου λέγεται ἐπιβουλὰς ῥάψαι· ἀλλὰ τόν γε Ἰώσηπον, καίτοι ὑπὸ χεῖρα πολ-

a. 3. ἀποκατέστη ς. 6. τὰ κατὰ A: τὰ ἐν ταῖς κατὰ ς. τυράννων] immo τῶν τυράννων. 16. παρὰ] περὶ A. 35. σλεμάνου A: cf. Vales. de Vita et Scriptis Socratis et Sozomeni p. (ed. Amstel.) 5. b. 9. ἀφωσιουμένων ς. 16. ἀνεγνώσθη A. 20. ἡδονὴν (omisso ἀκούειν) ς. 28. ὕστατον ς. 32. Τραϊανοῦ] τοῦ αὐτοῦ Dodwellus ap. Spanhem. ad Ioseph. de Vita sua 1: Δομετιανοῦ Aldrich. ad Ioseph. B. Iud. 2, 14, 4. 34. Ἰουδαῖός τε καὶ ς. 35. τὸ om A. 37. οὐδὲν A: malim οὐδ'. 38. πιστοῦ ς.

Digitized by Google

λάκις λαβόντα τὸν ἐχθρόν, λόγους μόνον ὀνειδίσαντα
ἀπαθῆ κακῶν ἀφεῖναι. καὶ τὴν ἱστορίαν δέ, ἣν ἐκεῖ-
9 H. νος "ἔγραψε, πεπλασμένην τὰ πλεῖστά φασι τυγχά-
νειν, καὶ μάλιστα οἷς τὸν Ῥωμαϊκὸν πρὸς Ἰουδαίους
διέξεισι πόλεμον καὶ τὴν Ἱεροσολύμων ἅλωσιν.

34.

Ἀνεγνώσθη ΑΦΡΙΚΑΝΟΥ ἱστορικόν. οὗτός ἐστιν ὁ
καὶ τοὺς λεγομένους κεστοὺς ἐν λόγοις συντάξας ιδʹ. ἔστι
δὲ σύντομος μέν, ἀλλὰ μηδὲν τῶν ἀναγκαίων ἱστορη-
θῆναι παραλιμπάνων. ἄρχεται δὲ ἀπὸ τῆς Μωϋσαϊ-
κῆς κοσμογενείας, καὶ κάτεισιν ἕως τῆς Χριστοῦ παρου-
σίας. ἐπιτροχάδην δὲ διαλαμβάνει καὶ τὰ ἀπὸ Χριστοῦ
μέχρι τῆς Μακρίνου τοῦ Ῥωμαίων βασιλέως βασιλείας,
21 R. "ὅτε αὐτῷ, ὥς φησι, καὶ ἤδε ἡ συγγραφὴ συνετελεῖτο,
ἐτῶν οὖσα ͵εψκγʹ. τεύχη δὲ τὸ βιβλίον πέντε. Οὗτος καὶ
πρὸς Ὠριγένην γράφει περὶ τοῦ κατὰ Σωσάνναν διη-
γήματος, ὡς οὐκ εἴη αὐτῷ ἐν τοῖς Ἑβραϊκοῖς ἀνεγνω-
σμένον, καὶ ὡς οὐδ' ἀκόλουθον τῇ Ἑβραϊκῇ ἐτυμολο-
γίᾳ οὔτε τὸ ἀπὸ τοῦ πρίνου πρῖσαι οὔτε τὸ ἀπὸ τοῦ σχίνου
σχίσαι· ἃ καὶ ἐπιλυόμενος Ὠριγένης ἀντέγραψε.

Γράφει δὲ Ἀφρικανὸς καὶ πρὸς Ἀριστείδην, ἐν οἷς
ἱκανῶς τὴν νομιζομένην διαφωνίαν παρὰ Ματθαίῳ καὶ
Λουκᾷ περὶ τῆς τοῦ σωτῆρος ἡμῶν γενεαλογίας σύμ-
φωνον ἔδειξεν.

35.

Ἀνεγνώσθη βιβλίον ΦΙΛΙΠΠΟΥ ΣΙΔΗΤΟΥ,
οὗ ἡ ἐπιγραφὴ Χριστιανικὴ ἱστορία. ἀπάρχεται δὲ ἀπὸ
τοῦ ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς [τὸν οὐρανὸν καὶ τὴν γῆν],
καὶ διέξεισι τὰ μὲν συντέμνων τὰ δὲ πλατύνων τὴν
Μωσαϊκὴν ἱστορίαν, ὅμως ἐν πολλοὺς ἐν πᾶσι λόγους
ἀναλίσκων. ἡ πρώτη ἐν αὐτοῦ βίβλος λόγους περιέχει
κδʹ· ὡσαύτως δὲ καὶ αἱ ἄλλαι αὐτοῦ κγʹ βίβλοι ἀνὰ
λόγων κδʹ, ἃς τέως ἡμεῖς εἴδομεν. ἔστι δὲ πολύχους
ταῖς λέξεσιν, οὐκ ἀστεῖος δὲ οὐδὲ ἐπίχαρις, ἀλλὰ καὶ
προσκορής, μᾶλλον δὲ καὶ ἀηδής, καὶ ἐπιδεικτικὸς
μᾶλλον ἢ ὠφέλιμος, καὶ παρεντιθεὶς ὡς πλεῖστα μηδὲν
πρὸς τὴν ἱστορίαν συντείνοντα, ὡς οὐδὲν μᾶλλον ἱστορίαν
εἶναι ἢ πραγμάτων ἑτέρων τὴν πραγματείαν διάλη-
ψιν· οὕτως ἀπειροκάλως ἐκκέχυται. σύγχρονος δὲ Σι-
σιννίου καὶ Πρόκλου, οἳ Κωνσταντινουπόλεως ἐπεσκόπησαν.
ἐν δὲ τῇ αὐτοῦ τῆς ἱστορίας συγγραφῇ πολλὴν καταδρο-
μὴν Σισιννίου ποιεῖται, ὅτι τὸν αὐτὸν κλῆρον ἄμφω πλη-
ρούντων, κἂν λόγοις πρωτεύειν Φιλίππου δοκοῦντος, Σι-
σίννιος (φασίν) εἰς τὸν ἀρχιερατικὸν θρόνον ἐξελήλαται.

36.

Ἀνεγνώσθη βιβλίον, οὗ ἡ ἐπιγραφὴ ΧΡΙΣΤΙΑΝΟΥ
βίβλος ἑρμηνεία εἰς τὴν ὀκτάτευχον· Παμφίλῳ δέ
τινι προσφωνεῖ τὸ βιβλίον. ἦν δὲ ταῖς Ἰουστίνου τοῦ Ῥω-
μαίων βασιλέως ἡμέραις ἐνακμάζων. ὑπάρχεται μὲν
οὖν ὑπέρ τινων ἐκκλησιαστικῶν δογμάτων γραφικαῖς,
ὡς ἐδόκει, μαρτυρίαις ἀγωνίζεσθαι· ἔστι δὲ ταπεινὸς τὴν
φράσιν καὶ συντάξεως οὐδὲ τῆς κοινῆς μετέχων. ἀλλὰ
καί τινα κατὰ τὴν ἱστορίαν "ἀπίθανα συντίθησι· διὸ 24 R.
καὶ μυθικώτερον μᾶλλον ἢ ἀληθέστερον ἡγεῖσθαι τὸν
ἄνθρωπον δίκαιον. ὑπὲρ ὧν δὲ δόγματα ἐνίσταται, ἔστι
ταῦτα, ὅτι ὁ οὐρανὸς οὐκ ἔστι σφαιρικὸς οὐδὲ ἡ γῆ, ἀλλ'
ὁ μὲν ὡσεὶ καμάρα, ἡ δὲ ἑτερομήκης, καὶ κεκόλληται
τὰ πέρατα "τοῦ οὐρανοῦ πρὸς τὰ πέρατα τῆς γῆς, καὶ 10 H.
ὅτι πάντες οἱ ἀστέρες κινοῦνται ἀγγέλων αὐτοῖς τῇ κι-
νήσει διακονούντων, καὶ ἕτερά τινα τοιαῦτα. ποιεῖ-
ται καὶ ὡς ἐν παρεκβάσει μνήμην τῆς γενέσεως καὶ
τῆς ἐξόδου, διατρίβει δὲ τῇ διηγήσει καὶ τῇ θεω-
ρίᾳ ὡς εἰπεῖν τῆς σκηνῆς· ἐπιτρέχει δὲ καὶ τοὺς
προφήτας, κἀκεῖθεν τοὺς ἀποστόλους. λέγει δὲ ὅτι
τὸ μέγεθος ἔχει ὁ ἥλιος δύο κλιμάτων, καὶ ὅτι οἱ ἄγ-
γελοι οὐκ εἰσὶν ἐν τῷ οὐρανῷ ἀλλὰ μόνον ὑπὸ τὸ στε-
ρέωμα καὶ μεθ' ἡμῶν, καὶ ὅτι ὁ Χριστὸς ἀνελθὼν ἀπὸ
τῆς γῆς εἰς τὸ μεταξὺ τοῦ οὐρανοῦ καὶ τοῦ στερεώματος
εἰσῆλθε, καὶ ὅτι τοῦτό ἐστι καὶ μόνον ἡ βασιλεία τῶν
οὐρανῶν. λέγει δὲ καὶ ἄλλα τινὰ ἀλλόκοτα. προσφωνεῖ
δὲ τοὺς μὲν ἓξ αὐτοῦ λόγους Παμφίλῳ τινί· τῶν δὲ λοι-
πῶν ἓξ (οἱ γὰρ πάντες αὐτοῦ δώδεκά εἰσι) τὸν μὲν ἕβδο-
μον Ἀναστασίῳ, ἐν ᾧ ὅτι ἀκατάλυτοί εἰσιν οἱ οὐρανοί,
τὸν ὄγδοον δέ, ὅς ἐστιν εἰς τὴν ᾠδὴν Ἐζεκίου καὶ εἰς τὸν
ἀναποδισμὸν τοῦ ἡλίου, Πέτρῳ προσφωνεῖ, ἐν ᾧ ὅτι
ὑπεμνημάτισε τὰ ᾄσματα τῶν ᾀσμάτων λέγει. οἱ δὲ
λοιποὶ τέσσαρες οὐ πρός τι πρόσωπον αὐτῷ συνετά-
γησαν.

a. 3. πεπλασμένην ante ἣν ponit A. legendum fortasse φησι. 8. ιδʹ] κδʹ Suidas v. Ἀφρικανός. 11. κοσμογονίας ς. 15. τοῦ βιβλίου ς. cf. cod. 56: τοσοῦτοι δὲ ὄντες τὸ βιβλίον τυγχάνουσι. 16. σωσάνναν A. 17. οὐκ ἦν αὐτὸ ς. 18. οὐκ ς. 20. ἐπιλυόμενος mg editionum: ἐπιλαβόμενος A. 28. τὸν οὐρανὸν καὶ τὴν γῆν om A. 31. περιέχει λόγους ς. 36. παρεντιθεὶς ς. b. 5. ἐξελήλαται A. 7. χριστιανῶν ς. eum librum ab Allatio quoque Christino cuidam s. Christiano datum nunc inscribi Κοσμᾶ χριστιανικὴν τοπογραφίαν monet Fabricius B. Gr. t. 4. p. 253 ed. Harles. 9. τῶν ῥωμαίων ς. 10. μὲν om pr A. 11. ἂν om A. ὑπὲρ] ἀπὸ A. 22. μνήμην καὶ τῆς ς. 27. ὑπὸ A: ὑπὲρ ς. Cosmas p. 286: ἅμα ἡμῖν ἐν τῷ χώρῳ τούτῳ διάγουσι καὶ ἄνω τις ἐξ αὐτῶν ἠξιώθη τῶν ἄνω τέως τυχεῖν. et p. 313: τὰ ἄστρα πάντα κάτωθέν ἐστι τοῦ στερεώματος — κινούμενα ὑπὸ — τῶν ἀοράτων δυνάμεων. καὶ ἐκ τούτου διδασκόμεθα ἐπέκεινα τῶν ἄστρων ἄγγελον μὴ ὑπερβαίνειν. 35. ὅτι καὶ εἰς τὴν ς.

Digitized by Google

## 37.

Ἀνεγνώσθη *ΠΕΡΙ ΠΟΛΙΤΙΚΗΣ* ὡς ἐν διαλόγῳ, Μηνᾶν πατρίκιον καὶ Θωμᾶν ῥεφερενδάριον τὰ διαλεγόμενα εἰσάγων πρόσωπα. περιέχει δὲ ἡ πραγματεία λόγους ἕξ, ἐν οἷς καὶ ἕτερον εἶδος πολιτείας παρὰ τὰ τοῖς παλαιοῖς εἰρημένα εἰσάγει, ὃ καὶ καλεῖ δικαιαρχικόν. ἐπιμέμφεται δὲ τῆς Πλάτωνος δικαίως πολιτείας. ἣν δ' αὐτοὶ πολιτείαν εἰσάγουσιν, ἐκ τῶν τριῶν εἰδῶν τῆς πολιτείας δέον αὐτὴν συγκεῖσθαί φασι, βασιλικοῦ καὶ ἀριστοκρατικοῦ καὶ δημοκρατικοῦ, τὸ εἰλικρινὲς αὐτῇ ἑκάστης πολιτείας συνεισαγούσης, κἀκείνην τὴν ὡς ἀληθῶς ἀρίστην πολιτείαν ἀποτελούσης.

## 38.

Ἀνεγνώσθη *ΘΕΟΔΩΡΟΥ ΑΝΤΙΟΧΕΩΣ*, οὗ ἡ ἐπιγραφὴ ἑρμηνεία τῆς κτίσεως· ἐν τόμοις ἑπτὰ ἡ πρώτη βίβλος ἐπεραίνετο. τὴν δὲ φράσιν οὔτε λαμπρὸς οὔτε λίαν σαφής, φεύγων δὲ τὸν δυνατὸν αὐτῷ τρόπον τὰς ἀλληγορίας, καὶ κατὰ τὴν ἱστορίαν τὴν ἑρμηνείαν ποιούμενος. ταυτολογεῖ δὲ τὰ πλεῖστα, καὶ ἄχαρίς πως καὶ ἀηδὴς εἶναι δοκεῖ, ἀλλὰ καὶ τὸ Νεστορίου δόγμα, εἰ καὶ πρὸ Νεστορίου ὑπῆρχεν, ὑπερευγόμενος. οὗτος δέ ἐστιν ὁ Μοψουεστίας, ὃν καὶ πλείστας εὐθύνας Ἰωάννης ὁ Φιλόπονος, ὡς αὐτός φησι, τῆς τοιαύτης ἑρμηνείας ἐν οἰκείῳ τῷ εἰς τὴν κτίσιν πονήματι ἐδείχθη σπουδαίως εἰσπραττόμενος.

## 39.

Ἀνεγνώσθη *ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ* ἀνασκευαστικὸν βιβλιδάριον πρὸς τοὺς ὑπὲρ Ἀπολλωνίου τοῦ Τυανέως Ἱεροκλέους λόγους.

## 40.

25 R. Ἀνεγνώσθη *ΦΙΛΟΣΤΟΡΓΙΟΥ*, Ἀρειανοῦ τὴν θρησκείαν, ὡς δῆθεν ἐκκλησιαστικὴ ἱστορία. ἱστορεῖ δὲ τἀναντία σχεδὸν ἅπασι τοῖς ἐκκλησιαστικοῖς ἱστορικοῖς. ἐξαίρει τοὺς ἀρειανίζοντας ἅπαντας, λοιδορίαις πλύνει τοὺς ὀρθοδόξους, ὡς εἶναι τὴν ἱστορίαν αὐτοῦ μὴ ἱστορίαν μᾶλλον, ἀλλ' ἐγκώμιον μὲν τῶν αἱρετικῶν, ψόγον δὲ γυμνὸν καὶ κατηγορίαν τῶν ὀρθοδόξων. ἔστι
11 H. δὲ τὴν φράσιν κομψὸς καὶ ποιητικαῖς, ἀλλ' οὐ κατακόρως οὐδ' ἀχαρίστοις λέξεσι κεχρημένος. καὶ ἡ τροπὴ δὲ αὐτῷ τῷ ἐμφατικῷ τὴν χάριν μετὰ τοῦ ἡδέος ἐφέλκεται· πλὴν ἐνίοτε παραβόλως αὐταῖς καὶ πλεῖστον ἀποτετραμμέναις χρώμενος εἰς ψυχρολογίαν καὶ ἀκαιρολογίαν ἐκπίπτει. περιβέβληται δὲ αὐτῷ ποικίλως ὁ λόγος καὶ ἐν κόρῳ, ὡς εἰς τὸ ἀσαφὲς καὶ οὐκ ἀεὶ χαρίεν τὸν ἀκροατὴν ὑποσύρεσθαι. ἐν πολλοῖς δὲ καὶ οἰκείως γνωμολογεῖ. ἱστορεῖ δὲ τὰ ἀπὸ τῆς Ἀρείου περὶ τὴν αἵρεσιν σπουδῆς τε καὶ κατάρξεως μέχρι τῆς Ἀετίου τοῦ δυσσεβεστάτου ἀνακλήσεως. οὗτος δὲ ὁ Ἀέτιος παρ' αὐτῶν μὲν τῶν συναιρεσιωτῶν, διὰ τὸ κἀκείνους ὑπερβαλέσθαι τῇ δυσσεβείᾳ, ὡς αὐτὸς οὗτος καὶ μὴ βουλόμενος ἱστορεῖ, τῆς διακονίας καθῃρέθη, ὑπὸ δὲ τοῦ δυσσεβεστάτου Ἰουλιανοῦ ἀνεκλήθη τε καὶ φιλοφρόνως ἐδεξιώθη. καὶ ἡ μὲν ἱστορία αὐτοῦ δι' ἑνὸς βιβλίου, τόμοις ἓξ συμπληρουμένη, μέχρι τοῦδε πρόεισι τοῦ χρόνου. ἔστι δὲ ὁ ἀνὴρ ψευδολόγος τε καὶ οὐδὲ μυθολογίας ἀπεχόμενος. ἐξαίρει δὲ ἐν μὲν λόγοις μάλιστα Ἀέτιον καὶ Εὐνόμιον, μόνους ἀνακαθᾶραι τὰ τῆς εὐσεβείας δόγματα τῷ χρόνῳ συγκεχωσμένα τερατευόμενος, ἐν τεραστίοις δὲ καὶ βίῳ Εὐσέβιον τὸν Νικομηδείας, ὃν καὶ μέγαν ἀποκαλεῖ, καὶ Θεόφιλον τὸν Ἰνδὸν καὶ ἄλλους πλείονας. κατηγορεῖ δὲ Ἀκακίου μάλιστα, τοῦ Καισαρείας τῆς κατὰ Παλαιστίνην ἐπισκοπήσαντος, δεινότητά τε ἀνυπέρβλητον καὶ πανουργίαν ἄμαχον, μεθ' ὧν καὶ πάντων φησὶ κατισχῦσαι τῶν τε ὁμοφρονεῖν δοκούντων, εἰς ἔχθραν δέ τινα καταστάντων, καὶ τῶν τἀναντία θρησκευόντων.

Καὶ ταῦτα μέν μοι ἤδη ἀνέγνωστο, μετ' οὐ πολὺ δὲ ἐν ἄλλῳ βιβλίῳ καὶ ἕτεροι αὐτοῦ λόγοι ἕξ, ὡς συμπληροῦσθαι αὐτοῦ τὴν σύμπασαν πραγματείαν ἐν λόγοις ιβ', ὧν αἱ ἀπαρχαὶ συντιθέμεναι τὸ τοῦ συγγεγραφότος ἀπαρτίζουσι Φιλοστοργίου ὄνομα. κάτεισι δὲ μέχρι τῶν Θεοδοσίου τοῦ νέου χρόνων, κατ' ἐκεῖνον τὸν χρόνον παυόμενος καθ' ὃν Οὐαλεντινιανῷ τῷ νέῳ, τῷ Πλακιδίας καὶ Κωνσταντίνου υἱῷ, Ὁνωρίου τελευτήσαντος Θεοδόσιος τὰ τῆς Ῥώμης σκῆπτρα τῷ ἀδελφιδῷ ἐνεχείρισεν. οὗτος δὲ ὁ Φιλοστόργιος, καίτοι κατὰ τῶν ὀρθοδόξων λυσσῶν, Γρηγορίου μὲν τοῦ Θεολόγου κάθαψασθαι οὐκ ἐτόλμησεν, ἀλλὰ καὶ τὴν παιδείαν καὶ ἄκων συνομολογεῖ, Βασιλείου δὲ τοῦ μεγάλου ἐπεχείρησεν ὑφᾶναι μῶμον, δι' οὗ λαμπρότερον ἔδειξε. τὴν μέν γ' ἰσχὺν καὶ τὸ κάλλος τῆς ἐν ταῖς πανηγύρεσιν ὁμιλίας ὑπ' αὐτῆς τῆς τῶν πραγμάτων ἐναργείας ἐβιάσθη συμφθέγξασθαι, θρασὺν δὲ αὐτὸν ὁ δείλαιος ἀποκαλεῖ καὶ ἀντιλογικῶν λόγων ἄπειρον, ὅτι, φησίν, ἀπετόλμησεν Εὐνομίου ταῖς συγγραφαῖς ἀντιτάξασθαι.

a. 1. cf. Ang. Maius ad Cic. de re publica p. XVI. 3. ῥαιφερενδάριον ς. 16 et 17: οὔτε ς. 29. libri ἱεροκλέως. 39. malim ἀχαρίτως. 40. ἐμφαντικῷ corr A.
b. 7. ὑπερβάλλεσθαι ς. 12. ὃ libris deest. 20. πανεργίαν ς. 31. Κωνσταντίου Schottus.

Digitized by Google

41.

28 R. Ἀνεγνώσθη ΙΩΑΝΝΟΥ ἐκκλησιαστικὴ ἱστορία. ἄρχεται ἀπὸ τῆς Θεοδοσίου τοῦ νέου βασιλείας, ἀπ' αὐτῆς που τῆς Νεστορίου βλασφημίας καὶ καθαιρέσεως, καὶ κάτεισι μέχρι Ζήνωνος καὶ τῆς καθαιρέσεως Πέτρου τοῦ αἱρετικοῦ, ὃς τὸν Ἀντιοχικὸν ὑφήρπασε θρόνον. ἔστι δὲ οὗτος τὴν φράσιν σαφὴς καὶ ἀνθηρός. 12 H. διέρχεται δὲ τὴν τρίτην σύνοδον τὴν ἐν Ἐφέσῳ λεπτομερῶς. ἀλλὰ καὶ τὴν μετὰ ταύτην ἐν αὐτῇ συναγελασθεῖσαν, τὴν λῃστρικὴν λέγω· ἣν οὗτος θειάζει, καὶ τὸν ταύτης ἡγεμόνα Διόσκορον καὶ τοὺς σὺν αὐτῷ. διέξεισι δὲ καὶ τὴν ἐν Καλχηδόνι σύνοδον, διασύρων ταύτην. ἐξ ὧν ἔστι συμβαλεῖν Ἰωάννην εἶναι τὸν πατέρα τοῦ βιβλίου τὸν πρεσβύτερον τὸν Αἰγεάτην, ὃς καὶ ἰδίως ὡς αἱρετικὸς κατὰ τῆς ἐν Καλχηδόνι συνόδου βιβλίον συνέταξε. τῆς μέντοιγε ἱστορίας αὐτοῦ δέκα τυγχάνουσι τόμοι, ὡς καὶ αὐτὸς ἐκεῖνος ἐπαγγέλλεται· ὧν ἡμῖν τοὺς πέντε γέγονεν ἀναγνῶναι, περιέχοντας (ὡς ἔφημεν) ἀπὸ τῆς Νεστορίου βλασφημίας μέχρι τῆς τοῦ αἱρετικοῦ Πέτρου καθαιρέσεως.

42.

Ἀνεγνώσθη ΒΑΣΙΛΕΙΟΥ ΚΙΛΙΚΟΣ ἐκκλησιαστικὴ ἱστορία. ἄρχεται ἀπὸ τῆς τελευτῆς Σιμπλικίου τοῦ Ῥώμης, ὃς πρὸς Ἀκάκιον τὸν Κωνσταντινουπόλεως ἔγραψεν ἀποστῆναι τῆς πρὸς Πέτρον τὸν Ἀλεξάνδρειαν λυμαινόμενον κοινωνίας, ᾧ ἐπίκλην Μογγός· οὗτος γὰρ τὴν ἐν Καλχηδόνι ἁγίαν σύνοδον δημοσίᾳ καὶ ἐν ἐκκλησίᾳ ἀνεθεμάτιζε. δι' ὃν καὶ Ἀκάκιος καλῶς πρότερον κατ' αὐτοῦ κεκινημένος, ὕστερον οὐκ ἀποστρεφόμενος αἱρετικοῦ δόξαν παρὰ πολλοῖς ἐκτήσατο, τοῖς δὲ Ῥωμαίοις καὶ ὑπὸ καθαίρεσιν ἔπεσεν. ἐπὶ Ζήνωνος δὲ τὸ δεύτερον ταῦτα ἐπράττετο. ἄρχεται μὲν οὖν ἐκ τῶνδε τῶν χρόνων, καὶ κάτεισι μέχρι τελευτῆς Ἀναστασίου, ὃς εἰκοσιεπτὰ ἔτη καὶ μῆνας τρεῖς, ὡς οὗτός φησιν, ἐν τῇ βασιλείᾳ διήρκεσεν· μεθ' ὃν Ἰουστῖνον τὸν Θρᾷκα ἀναῤῥηθῆναι γράφει βασιλέα. ἀλλ' ἡ μὲν βίβλος αὕτη ἐνταῦθά που τὴν γραφὴν ἵστησιν, ἀπὸ Ζήνωνος μέχρι τῆς τελευτῆς Ἀναστασίου καὶ τῆς Ἰουστίνου ἀναῤῥήσεως κατιοῦσα. λέγει δὲ οὗτος ὡς εἴησαν αὐτῷ καὶ ἕτεραι δύο πεπονημέναι βίβλοι, πρώτη καὶ τρίτη· ὧν τὴν μὲν ἀπὸ Μαρκιανοῦ τοῦ βασιλέως ἄρχεσθαι, καταλήγειν δὲ ἕως Ζήνωνος, ἀφ' οὗ τὴν ἀρχὴν ἡ δευτέρα ἐπεποίητο, τὴν δὲ τρίτην ποιεῖσθαι προοίμιον τὸ τέλος τῆς δευτέρας καὶ ἀπὸ τῆς βασιλείας Ἰουστίνου ἀπάρχεσθαι.

Ἔστι δὲ ὁ συγγραφεὺς οὐ λίαν τὴν φράσιν ἀπηκριβωμένος, ἀλλὰ καὶ ἀνωμάλως ἔχων πρὸς ἑαυτόν. κέχρηται δὲ μάλιστα ταῖς παρ' ἀλλήλων τῶν ἐπισκόπων στελλομέναις ἐπιστολαῖς, εἰς πίστιν (ὥς φησιν) ὧν αὐτὸς γράφει· αἳ καὶ πολύστιχον ποιοῦσι τὸ βιβλίον καὶ ἐν πλήθει λόγων ὀλίγην συνάγον ἱστορίαν· διὸ καὶ τὸ σαφὲς τῆς ἱστορίας τῷ πλήθει περικόπτεται τῶν παρεντιθεμένων.

43.

Ἀνεγνώσθη ΙΩΑΝΝΟΥ ΤΟΥ ΦΙΛΟΠΟΝΟΥ εἰς τὴν ἑξαήμερον. ἔστι δὲ ἐν τούτῳ τῷ βιβλίῳ καθαρὸς καὶ σαφὴς καὶ κρείττων τῇ λέξει ἑαυτοῦ, καὶ συμφωνῶν 29 R. σχεδὸν ἐν τοῖς πλείστοις Βασιλείῳ τῷ μεγάλῳ, ἀντιπίπτων δὲ δι' ὅλου τῷ Μοψουεστίας Θεοδώρῳ, ὃς τὴν αὐτὴν ὑπόθεσιν ἐνστησάμενος ἑρμηνείαν τῆς κτίσεως τὸ βιβλίον ἐπέγραψεν· οὗ τὰς δόξας διελέγχων ὁ Φιλόπονος τὴν ἐναντίαν ἐτράπετο.

44.

Ἀνεγνώσθη ΦΙΛΟΣΤΡΑΤΟΥ ΤΥΡΙΟΥ εἰς τὸν τοῦ Ἀπολλωνίου τοῦ Τυανέως βίον λόγοι ὀκτώ. ἔστι δὲ 13 H. τὴν φράσιν σαφὴς ἐπίχαρίς τε καὶ ἀφοριστικός, καὶ βρύων γλυκύτητος, καὶ τῷ ἀρχαϊσμῷ καὶ ταῖς καινοπρεπεστέραις τῶν συντάξεων ἐμφιλοτιμούμενος. ἱστορεῖ δὲ τὸν Ἀπολλώνιον πρός τε Ἰνδοὺς, οὓς καλεῖ καὶ Βραχμᾶνας, ἀπιέναι, ἐξ ὧν καὶ πλεῖστα τῆς παρ' αὐτοῖς θεοσοφίας ἐκμαθεῖν, καὶ πρὸς τοὺς Αἰθιόπων σοφοὺς, οὓς καὶ γυμνοὺς ὀνομάζει, ὅτι γυμνοὶ τὸν βίον ὅλον διάγουσι, μηδὲ τοῦ ἀέρος διοχλοῦντος αὐτοὺς εἰς περιβολὴν ἐλθεῖν. πολλῷ δέ φησι τοὺς Ἰνδῶν τῶν ἐν τῇ Αἰθιοπίᾳ σοφῶν προέχειν, ὅτι τέ φησι πρὸς ἀκτῖνα οἰκοῦντες ἡλίου μᾶλλόν εἰσι τὴν διάνοιαν ὀξεῖς καὶ καθαροί, καὶ ὅτι καὶ χρόνῳ προήκοντες. τῷ μέντοι Ἀπολλωνίῳ οὐδὲν ὅλως φησὶ τελεσθῆναι, οἷα ὁ μυθώδης αὐτῷ χαρίζεται λόγος· φιλόσοφον δέ τινα καὶ ἐγκρατῆ βίον ἀποσεμνύνει αὐτὸν βιοῦντα, ἅτε καὶ Πυθαγορικὴν ἐπιδεικνύμενον φιλοσοφίαν ἔν τε ἤθεσι καὶ ἐν δόγμασι. τὸν δὲ θάνατον αὐτοῦ ἄδηλόν τε καὶ πολλοῖς διαφωνούμενον λέγει γενέσθαι, αὐτοῦ ἐκείνου τοῦτο σπουδάσαντος· καὶ γὰρ καὶ ζῶντα ἔτι λέγειν ὡς δεῖ τὸν σοφὸν τοὺς πολλοὺς λαθόντα βιῶναι, εἰ δὲ μή, κἂν γοῦν ἀποβιῶναι λαθόντα· τάφον δὲ αὐτοῦ μηδαμοῦ γῆς

a. 11. 14. 26. Χαλκηδόνι ς. 24. τὸν τὴν Ἀλεξάνδρειαν ς.

b. 4. πρὸς] καὶ πρὸς A. 8. συνάγον A: συναγαγεῖν ς. 22. ἀσαφὴς ἐπίχαρις δὲ Hamaker. lect. Philostrat. fasc. 1. p. VI. 28. ὅτι] ὅτι καὶ ς. 36. ἀποσεμνύνει mg editorum: scripti ἀποσεμνύνειν. 40. ἔτι λέγειν mg: ἐπιλέγειν A.

ἐγνώσθη. λέγει δὲ αὐτὸν μάλιστα χρημάτων κρείττω γενέσθαι, ὡς καὶ τὴν κτῆσιν αὐτοῦ τῷ τε ἰδίῳ ἀδελφῷ καὶ ἑτέροις καταλιπεῖν καὶ παρὰ μηδενὸς τῶν ἐπ' ἐξουσίαις, καίτοι πολλὰ ἀξιούντων, πεισθῆναι λαβεῖν χρήματα. φησὶν αὐτὸν τὸν ἐν Ἐφέσῳ λοιμὸν καὶ προϊδεῖν καὶ γεγονότα παῦσαι. καὶ λέοντα δὲ ἰδεῖν, καὶ εἰπεῖν ὡς ἡ τοῦ Ἀμάσιδος τοῦ Αἰγυπτίων βασιλέως ψυχὴ ἐν τῷ θηρίῳ εἴη, ὑπέχουσα δίκην τῶν βεβιωμένων· καὶ Ἔμπουσαν ἐλέγξαι ἐν ὑποκρίσει ἑταίρας ἐρᾶν Μενίππου προσποιουμένην· καὶ κόρην ἐν Ῥώμῃ ἄρτι τεθνάναι δοκοῦσαν ἐπαναστρέψαι τῷ βίῳ· καὶ λῦσαι τὸ σκέλος ἐν τῷ δεσμωτηρίῳ ὄντα δεδεμένον· καὶ ἀπολογήσασθαι μὲν πρὸς Δομιτιανὸν ὑπέρ τε αὐτοῦ καὶ Νερβα, ὃς μετὰ Δομιτιανὸν Ῥωμαίων ἐβασίλευσεν, ἀφανισθῆναι δὲ μετὰ τὴν ἀπολογίαν τοῦ δικαστηρίου καὶ πρὸς Δημήτριον καὶ Δάμιν, οὕτω καὶ συνθέμενον αὐτοῖς, παραγενέσθαι, οὐ διὰ χρόνου παραυτίκα δέ, καίτοι ὁδὸν ἡμερῶν τινῶν διεστηκότας. ταῦτα μὲν περὶ αὐτοῦ ἀναπλάττει, οὐ μέντοιγε ὡς εἴη τελεστής, εἴ τινα διετελέσατο τῶν ἐνίοις διαθρυλουμένων ὑπ' αὐτοῦ πεποιῆσθαι τελεσμάτων· φιλοσοφίᾳ δὲ καὶ βίου καθαρότητι, καὶ ἅπερ αὐτὸς ἔφησεν, ἐκεῖνον εἰσάγει διαπεπρᾶχθαι· ἀπεχθάνεσθαι δὲ μᾶλλον μάγοις καὶ φαρμακοῖς, μὴ ὅτι γε αὐτὸν τῇ μάγων προσανακεῖσθαι τέχνῃ. περὶ δὲ τῶν Ἰνδῶν οὗτος τὰ πάντα παραλογώτατα καὶ ἀπιστότατα διαῤῥαψῳδεῖ· πίθους γοῦν αὐτοῖς πλήρεις ὄμβρων καὶ ἀνέμων δοὺς ὕειν τὴν χώραν ἀνομβρίας
32 R. ἐπεχούσης ἐξικμάζειν τε αὖ καταῤῥηγνυμένων ὄμβρων ταῖς ἐκ πίθων ἀνὰ μέρος χορηγίαις κυρίους ἐκάθισε, παραπλήσια τούτοις ἀνοίας μεστὰ καὶ ἕτερα πλεῖστα τερατευσάμενος. ἐν ὀκτὼ δὲ λόγοις ἡ πᾶσα αὐτῷ τῆς ματαιοπονίας σπουδὴ κατηνάλωται.

## 45.

14 H. Ἀνεγνώσθησαν ΑΝΔΡΟΝΙΚΙΑΝΟΥ πρὸς Εὐνομιανοὺς λόγοι βραχεῖς δύο. ὑπισχνεῖται μὲν οὖν ἐν προοιμίοις μεγάλα, οὐ τοιαῦτα δὲ ἃ διέρχεται, καὶ μάλιστά γε ἐν τῷ δευτέρῳ λόγῳ. ἔστι δὲ οὗτος φιλοσοφίας ἐραστὴς τῷ τε ἤθει καὶ τῇ διανοίᾳ καὶ τοῦ λόγου τῷ χήματι, χριστιανὸς δὲ τῷ σεβάσματι.

## 46.

Ἀνεγνώσθη ΘΕΟΔΩΡΗΤΟΥ ἐπισκόπου Κύρου λόγοι κζ πρὸς διαφόρους θέσεις· ὧν ὁ μὲν πρῶτος λόγος πρὸς τοὺς λέγοντας μίαν φύσιν γεγενῆσθαι τὸν θεὸν λόγον καὶ τὴν ἐκ σπέρματος Δαβὶδ ληφθεῖσαν ἀπαρχὴν καὶ προσάπτοντας τὰ πάθη τῇ θεότητι, ὁ δὲ δεύτερος πρὸς τοὺς αὐτοὺς γραφικώτερον συμπλεκόμενος, καὶ ὁ τρίτος περὶ τῆς αὐτῆς ὑποθέσεως. ὁ δὲ τέταρτος διδασκαλίας τῶν ἁγίων πατέρων περιέχει περὶ τῆς ἐνδόξου οἰκονομίας τοῦ δεσπότου ἡμῶν Χριστοῦ, τοῦ υἱοῦ τοῦ θεοῦ. ὁ μέντοι πέμπτος αἱρετικῶν δόξας ἀθροίζει, καὶ παρατίθησιν αὐτὰς τῇ δόξῃ τῶν μὴ ὁμολογούντων ἐπὶ Χριστοῦ δύο φύσεις, καὶ δείκνυσι πολλὴν πρὸς ἀλλήλους διασῴζοντας τὴν συγγένειαν. ὁ δὲ ἕκτος διαλαμβάνει ὅτι εἷς ἐστὶν υἱὸς ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός. ὁ ἕβδομος ἐπιστολῆς ἐπέχει τόπον· ἐν οἷς τὸ πρῶτον συνεπληροῦτο βιβλίον. ὁ δὲ ὄγδοος πρὸς τοὺς πλήθει μόνῳ κρίνοντας τὴν ἀλήθειαν. ὁ ἔννατος πρὸς τοὺς λέγοντας μὴ δεῖν ἀπὸ τῶν γραφῶν ζητεῖν ἢ λαλεῖν, ἀλλ' ἀρκεῖσθαι τῇ παρ' ἑαυτοῖς πίστει. ὁ ι' πρὸς τοὺς προβάλλοντας κακοήθως τὸ „ὁ λόγος σὰρξ ἐγένετο." ὁ ια' πρὸς τοὺς κωλύοντας δύο φύσεις ἐπὶ τῆς ἐνανθρωπήσεως ἐκλαμβάνειν. ὁ ιβ' πρὸς τοὺς λέγοντας ὅτι ὁ λέγων ἄλλο μὲν τὸν λόγον ἄλλο δὲ τὴν σάρκα δύο υἱοὺς λέγει. ὁ ιγ' πρὸς τοὺς λέγοντας ὅτι τὸ καὶ ἄνθρωπον γινώσκειν τὸν Χριστὸν ταὐτὸν ἐστι τῷ καὶ εἰς ἄνθρωπον ἔχειν τὰς ἐλπίδας. ὁ ιδ' πρὸς τοὺς λέγοντας „ἔπαθεν ἀπαθῶς." ὁ ιε' πρὸς τοὺς λέγοντας „ἔπαθεν ὡς ἠθέλησεν." ὁ ιϛ' πρὸς τοὺς λέγοντας ὅτι χρὴ δέχεσθαι τὰς φωνὰς καὶ μὴ σκοπεῖν τὰ δι' αὐτῶν σημαινόμενα, ὡς πάντας ὑπερβαίνοντα. ὁ ιζ' πρὸς τοὺς λέγοντας „ἔπαθεν ὁ λόγος σαρκί." ὁ ιη' πρὸς τοὺς λέγοντας „ποίαν δώσουσιν οἱ Ἰουδαῖοι δίκην, εἰ μὴ θεὸν ἐσταύρωσαν;" ὁ ιθ' πρὸς τοὺς λέγοντας „Ἰουδαῖός ἐστιν ὁ μὴ θεὸν ἐσταυρῶσθαι λέγων." ὁ κ' πρὸς τοὺς λέγοντας ὅτι καὶ ἄγγελοι ἐπὶ τοῦ Ἀβραὰμ ἐσθίοντες οὐ πάντως σαρκὸς φύσιν ἐπεφέροντο. ὁ κα' πρὸς τοὺς σμικρύνοντας ἕκαστον θαῦμα τῷ ἀρνεῖσθαι τὴν σάρκα. ὁ κβ' πρὸς τοὺς ζημιοῦντας 33 R.
ἡμῶν τὸ γένος τῷ μὴ λέγειν ἐκ τῆς φύσεως ἡμῶν εἰλῆφθαι τὴν ἀπαρχήν. ὁ κγ' πρὸς τοὺς λέγοντας πιστεύειν ἁπλῶς οἷς λέγουσι καὶ μὴ κατανοεῖν τί πρέπον ἢ ἀπρεπές. ὁ κδ' πρὸς τοὺς ἀναιροῦντας τὴν τῶν φύσεων διαφορὰν μετὰ τὸ πάθος καὶ τὴν ἀνάληψιν. ὁ κε' ἀνακεφαλαίωσις τῶν κατὰ μέρος ῥηθέντων. ὁ κϛ'

a. 3. ἐπ' mg: libri ὑπ'. 4. πεισθῆναι et 5. φησὶν add A. 5. λιμὸν ς. 13 et 14. Δομετιανὸν ς. 18. τινῶν] malim τριῶν. vid. Vit. Apollonii 7, 41. 19. ἑαυτοῦ ς. εἰ] ἢ A. 23. φαρμάκοις ς. 24. μάγων, nisi fallor, A. 25. πάντα] πάντων corr A. 28. ἐξικμάζειν A, vulgata pro γραφῇ apposita. 29. ἐκ] immo ἐκ τῶν. 34. ἀνεγνώσθη A. b. 12. ἐστὶν add A. 14. συμπληροῦται ς. 15. ὄγδοος καὶ πρὸς ς. 39. οὓς ς.

περὶ τῆς ὕστερον μηνυθείσης συνθέσεως ἤτοι συνουσιώσεως. ὁ κζ´ περὶ τοῦ κατὰ τὸν κοινὸν ἄνθρωπον ὑποδείγματος. δῆλον δὲ καὶ ἐκ μόνης αὐτῶν τῆς ὑποθέσεως, ποῖοι τῶν εἰρημένων λόγων τὸ ὀρθόδοξον
15 H. κρατύνουσι φρόνημα, καὶ τίνες ἐκκλίνουσιν.

Ἔτι ἐν τῷ αὐτῷ τεύχει ἀνεγνώσθησαν τοῦ αὐτοῦ λόγοι τρεῖς, μείζους τῶν προειρημένων· ἐρανιστὴς ἢ πολύμορφος ἔφερον ἐπιγραφήν. ὧν ὁ μὲν πρῶτος, ὅτι ἄτρεπτος ὁ θεὸς λόγος· ὁ δεύτερος, ὅτι ἀσύγχυτος ἡ ἕνωσις· ὁ τρίτος, ὅτι ἀπαθὴς ὁ θεὸς λόγος. ἔτι καὶ τέταρτος, ἐν ᾧ συλλογισμοῖς τῆς αὐτῆς ὑποθέσεως ὑπεραγωνίζεται. εἰσὶ δὲ οἱ τρεῖς λόγοι ἐν διαλόγῳ εἰσὶν αὐτῷ διεσκευασμένοι, οἱ δὲ ἄλλοι καταλογάδην. σαφὴς δέ ἐστιν ἐν ἅπασι τὴν φράσιν, ὡς εὐκρινὴς καὶ καθαρός, καὶ οὐκ ἀμοιρῶν τοῦ ἡδέος, καταλλήλως τε τοῖς νοήμασιν ἐνευθηνόμενος.

## 47.

Ἀνεγνώσθη ΙΩΣΗΠΟΥ Ἰουδαίου τὰ κατὰ Ἰουδαίους πάθη, ἐν οἷς ἥ τε τῆς Ἱερουσαλὴμ ἐπὶ τέλει τῶν λόγων ἅλωσις καὶ ἡ τῆς Μασάδας πολίχνης, πρὸ δὲ τούτων ἡ τῶν Ἰωταπάτων, ἐν ᾗ καὶ αὐτὸς Ἰώσηπος ἥλω, ἔτι δὲ Γισχάλων ἅλωσις καὶ ἄλλων Ἰουδαϊκῶν φρουρίων ἐρημία. ἔστι δὲ αὐτῷ τὸ σύνταγμα ἐν λόγοις ἑπτά. καθαρὸς τὴν φράσιν, καὶ ἀξίωμα λόγου μετὰ εὐκρινείας καὶ ἡδονῆς δεινὸς ἐκφῆναι, πιθανός τε ταῖς δημηγορίαις καὶ ἐπίχαρις, κἂν ἐπὶ τἀναντία ὁ καιρὸς καλῇ χρήσασθαι τῷ λόγῳ, δεξιὸς καὶ γόνιμος ἐνθυμημάτων ἐφ᾽ ἑκάτερα, καὶ γνωμολογικὸς δὲ ὡς εἴ τις ἄλλος, καὶ πάθη τῷ λόγῳ παραστῆσαι ἱκανώτατος, καὶ ἐγεῖραι πάθος καὶ πραΰναι δοκιμώτατος. πολλὰ δὲ σύμβολα καὶ σημεῖα λέγει προϋπάρξαι τῆς Ἱερουσαλὴμ ἁλώσεως· βοῦν τε γοῦν ἐπὶ θυσίαν ἀγομένην ἄρνα τεκεῖν, καὶ φῶς ἀναλάμψαι ἐν τῷ ναῷ, καὶ φωνῆς ἐκεῖθεν ἐπακοῦσαι „μεταβαίνομεν ἐντεῦθεν," καὶ τὰς τοῦ ἱεροῦ πύλας οὐδ᾽ ὑπὸ ἀνδρῶν εἴκοσιν ἀνοιγομένας αὐτομάτως ἀνεῷχθαι, καὶ στρατὸν ἑσπέρας ἐπιφαίνεσθαι ὅπλοις περιπεφραγμένον, καὶ ἄνθρωπόν τινα (ὄνομα αὐτῷ ὁ τοῦ Ἀνανίου Ἰησοῦς) μηδὲν ἄλλο ἐπιφθέγγεσθαι ἐπὶ ἔτη ς´ καὶ μῆνας γ´, ὥσπερ βεβακχευμένον ὄντα ἐπ᾽ αὐτὸ τοῦτο, ἢ τὸ αἲ αἲ τῇ Ἱερουσαλήμ· ὃς καὶ ὑπὲρ τούτου αἰκισθεὶς πλὴν ταύτης τῆς φωνῆς οὐδὲν ἄλλο ἀπεκρίνατο, ἐν αὐτῇ τε τῇ ἁλώσει παρὼν καὶ ἑαυτῷ τὴν τοιαύτην φωνὴν ἐπειπών, λίθῳ βληθεὶς ὑπὸ τῶν πολεμίων, ἐτελεύτησε. τὰ μὲν οὖν προδειχθέντα τῆς 36 R. ἁλώσεως σημεῖα ταῦτα· ἡ στάσις δὲ τῶν ἐμφυλίων ἢ οἱ πολέμιοι τὴν πόλιν ἐπόρθησαν. εἰς ζηλωτὰς γοῦν ἑαυτοὺς καὶ σικαρίους διαστήσαντες ἀλλήλους τε ἔφθειρον, καὶ τὸ κοινὸν σῶμα ὁ δῆμος ὑπ᾽ ἀμφοῖν πικρῶς τε καὶ ἀνηλεῶς ἐσπαράττετο. λιμός τε οὕτω κατέχεν ὡς καὶ εἰς ἄλλα μὲν παράνομα τοὺς ἀνθρώπους ἐκδιαιτηθῆναι, καὶ γυναῖκα δὲ τὸ οἰκεῖον τέκνον θοινήσασθαι. καὶ τῷ λιμῷ ὁ λοιμὸς συνεπιλαβόμενος ἐδείκνυ πᾶσιν ἐμφανῶς θεομηνίας ἔργον καὶ τῆς δεσποτικῆς προῤῥήσεως καὶ ἀπειλῆς τὴν τῆς πόλεως ὑπάρξαι πανωλεθρίαν καὶ ἅλωσιν.

## 48.

Ἀνεγνώσθη ΙΩΣΗΠΟΥ περὶ τοῦ παντός, ὃ ἐν ἄλλοις ἀνέγνων ἐπιγραφόμενον περὶ τῆς τοῦ παντὸς αἰτίας, ἐν ἄλλοις δὲ περὶ τῆς τοῦ παντὸς οὐσίας. ἔστι 16 H. δὲ ἐν δυσὶ λογιδίοις. δείκνυσι δὲ ἐν αὐτοῖς πρὸς ἑαυτὸν στασιάζοντα Πλάτωνα, ἐλέγχει δὲ καὶ περὶ ψυχῆς καὶ ὕλης καὶ ἀναστάσεως Ἀλκίνουν ἀλόγως τε καὶ ψευδῶς εἰπόντα, ἀντεισάγει δὲ τὰς οἰκείας περὶ τούτων τῶν ὑποθέσεων δόξας, δείκνυσί τε πρεσβύτερον Ἑλλήνων πολλῷ τὸ Ἰουδαίων γένος. δοξάζει δὲ συγκεῖσθαι τὸν ἄνθρωπον ἐκ πυρὸς καὶ γῆς καὶ ὕδατος, καὶ ἔτι ἐκ πνεύματος, ὃ καὶ ψυχὴν ὀνομάζει. περὶ οὗ πνεύματος αὐταῖς λέξεσιν οὕτω φησί· „τοῦτο τὸ κυριώτερον ἀνελόμενος ἅμα τῷ σώματι ἔπλασε, καὶ διὰ παντὸς μέλους καὶ ἄρθρου πορείαν αὐτῷ κατεσκεύασεν· ὃ τῷ σώματι συμπλασθὲν καὶ διὰ παντὸς διικνούμενον τῷ αὐτῷ εἴδει τοῦ βλεπομένου σώματος τετύπωται, τὴν οὐσίαν δὲ ψυχρότερον ὑπάρχει πρὸς τὰ τρία, δι᾽ ὧν τὸ σῶμα συνήρμοσται." οὕτω μὲν οὖν ἀναξίως τῆς τε τῶν Ἰουδαίων περὶ ἀνθρώπου φυσιολογίας ταῦτα εἰπὼν καὶ τῆς ἄλλης αὐτοῦ περὶ τοὺς λόγους ἀσκήσεως, διέξεισι καὶ περὶ τῆς κοσμογονίας κεφαλαιωδῶς. περὶ μέντοι Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν ὡς ἔγγιστα θεολογεῖ, κλῆσίν τε αὐτὴν ἀναφθεγγόμενος Χριστοῦ, καὶ τὴν ἐκ πατρὸς ἄφραστον γέννησιν ἀμέμπτως ἀναγράφων. ὃ τινας ἴσως καὶ ἀμφιδοξεῖν, ὡς Ἰωσήπου εἴη τὸ συνταγμάτιον, ἀναπείσειεν. οὐδὲν δὲ τὸ τῆς φράσεως αὐτῷ πρὸς τὰ ὑπόλοιπα τοῦ ἀνδρὸς ἀποδεῖ. εὗρον δὲ ἐν παραγραφαῖς ὅτι οὐκ ἔστιν ὁ λόγος Ἰωσήπου, ἀλλὰ ΓΑΙΟΥ τινὸς πρεσβυτέρου ἐν Ῥώμῃ διατρίβοντος, ὅν φασι συντάξαι καὶ τὸν λαβύρινθον· οὗ καὶ διάλο-

a. 6. ἀνεγνώσθη τοῦ αὐτοῦ A, ἀνεγνώσθησαν αὐτοῦ ς. 16. εὐθηνούμενος ς. 22. Γισχάλων A. 23. αὐτὸ ς. 34. μεταβαίνωμεν ς. 39. καὶ om A. 42. ἑαυτῷ] αὐτὸς esse videtur in A. b. 27. παρεσκεύασεν A. 40. δὲ om A.

γος φέρεται πρὸς Πρόκλον τινὰ ὑπέρμαχον τῆς τῶν Μοντανιστῶν αἱρέσεως. ἀνεπιγράφου δὲ καταλειφθέντος τοῦ λόγου φασὶ τοὺς μὲν Ἰωσήπου ἐπιγράψαι, τοὺς δὲ Ἰουστίνου τοῦ μάρτυρος, ἄλλους δὲ Εἰρηναίου, ὥσπερ καὶ τὸν λαβύρινθόν τινες ἐπέγραψαν Ὠριγένους. ἐπεὶ Γαΐου ἐστὶ πόνημα τῇ ἀληθείᾳ τοῦ συντεταχότος τὸν λαβύρινθον, ὡς καὶ αὐτὸς ἐν τῷ τέλει τοῦ λαβυρίνθου διεμαρτύρατο ἑαυτοῦ εἶναι τὸν περὶ τῆς τοῦ παντὸς οὐσίας λόγον. εἰ δ' ἕτερος καὶ οὐχ οὗτός ἐστιν, οὔπω μοι γέγονεν εὔδηλον. τοῦτον τὸν Γάϊον πρε-
37 R. σβύτερόν φασι γεγενῆσθαι τῆς κατὰ Ῥώμην ἐκκλησίας ἐπὶ Οὐίκτορος καὶ Ζεφυρίνου τῶν ἀρχιερέων, χειροτονηθῆναι δὲ αὐτὸν καὶ ἐθνῶν ἐπίσκοπον. συντάξαι δὲ καὶ ἕτερον λόγον ἰδίως κατὰ τῆς Ἀρτέμωνος αἱρέσεως, καὶ κατὰ Πρόκλου δὲ σπουδαστοῦ Μοντανοῦ σπουδαίαν διάλεξιν συντεταχέναι, ἐν ᾗ τρισκαίδεκα μόνας ἐπιστολὰς ἀριθμεῖται Παύλου, οὐκ ἐγκρίνων τὴν πρὸς Ἑβραίους.

49.

Ἀνεγνώσθη τοῦ ἐν ἁγίοις ΚΥΡΙΛΛΟΥ τοῦ Ἀλεξανδρείας κατὰ τῶν τοῦ Νεστορίου βλασφημιῶν, ἐν λόγοις πέντε. φυλάττει δὲ κἀν τούτοις τῶν οἰκείων λόγων τὸν χαρακτῆρα καὶ τὸ ἰδίωμα, σαφέστερος δέ ἐστι τοῦ πρὸς Ἑρμείαν καὶ τοῦ περὶ τῆς ἐν πνεύματι λατρείας. ὁ δὲ λόγος αὐτῷ πεποιημένος καὶ εἰς ἰδιάζουσαν ἰδέαν ἐκβεβιασμένος, καὶ οἷον λελυμένη καὶ τὸ μέτρον ὑπερορῶσα ποίησις.

50.

17 H. Ἀνεγνώσθη ΝΙΚΙΟΥ ΜΟΝΑΧΟΥ κατὰ τῶν τοῦ Φιλοπόνου κεφαλαίων ἑπτά, ὧν διεμνημόνευσεν ἐν τῷ καλουμένῳ αὐτοῦ λόγῳ διαιτητής. ἔστι δὲ τὴν φράσιν ἁπλοῦς καὶ σύντομος καὶ ταῖς ἀντιῤῥήσεσιν ἱκανὸς καὶ ἀπέριττος.

Ἀνεγνώσθη δὲ τοῦ αὐτοῦ καὶ κατὰ τοῦ δυσσεβοῦς Σεβήρου, ἔτι δὲ καὶ κατὰ Ἑλλήνων λόγοι δύο.

51.

Ἀνεγνώσθη ΗΣΥΧΙΟΥ πρεσβυτέρου Κωνσταντινουπόλεως εἰς τὸν χαλκοῦν ὄφιν λόγοι δ'. ἔστι δὲ ὁ λόγος εἰς ἐπίδειξιν διεσκευασμένος καὶ ἐν ἠθοποιίας εἴδει μεμελετημένος, ἐν οἷς δημηγορίαι τε διατυποῦνται τοῦ Μωϋσέως πρὸς τὸν λαόν, καὶ αὐτῶν πάλιν κατασχηματίζονται πρὸς τὸν Μωϋσέα διαλαλιαί, ἔτι δὲ καὶ τοῦ θείου πρός τε Μωϋσέα καὶ τὸν λαόν, καὶ τούτων ἐν τύπῳ δεήσεων καὶ ἀπολογίας ἐκπεποιημένοι λόγοι· ἐν οἷς καὶ ὁ πολὺς αὐτῷ κατηνάλωται τοῦ βιβλίου λόγος, πολύστιχον ὄγκον ἐμπεριειληφώς. ὁ δέ γε ἀνήρ, ὡς ἔστιν ἐκ τοῦδε αὐτοῦ τεκμηριῶσαι τοῦ συντάγματος, τῶν ὀρθοδοξούντων ἐστίν.

52.

Ἀνεγνώσθη ΣΥΝΟΔΟΣ γενομένη ἐν Σίδη ΚΑΤΑ τῆς αἱρέσεως τῶν ΜΕΣΑΛΙΑΝΩΝ ἤγουν Εὐχιτῶν ἤτοι Ἀδελφιανῶν· ἐξῆρχε δὲ τῆς συνόδου Ἀμφιλόχιος ὁ τοῦ Ἰκονίου, συνεδρευόντων αὐτῷ καὶ ἑτέρων ἐπισκόπων τὸν ἀριθμὸν πέντε καὶ εἴκοσιν. ἐν τῇ αὐτῇ δὲ βίβλῳ ἀνεγνώσθη τῆς αὐτῆς συνόδου πρὸς τὸν μέγαν Φλαβιανὸν τὸν Ἀντιοχείας ἐπιστολὴ συνοδική, τῶν πεπραγμένων ποιουμένη τὴν διδασκαλίαν. διόπερ καὶ αὐτὸς συναθροίζει σύνοδον κατὰ τῶν αὐτῶν αἱρετικῶν, συμπαρόντων μὲν αὐτῷ ἐπισκόπων τριῶν, Βίζου τοῦ Σελευκείας καὶ Μαρούθα τοῦ Σοφαρηνῶν ἔθνους καὶ Σάμου· πρεσβύτεροι δὲ καὶ διάκονοι συμπαρῆσαν μέχρι τριάκοντα. ἐν ταύτῃ τῇ συνόδῳ μετάνοιαν ἐπαγγελλόμενον τὸν
Ἀδελφιὸν οὐκ ἐδέξαντο, οὐδὲ τὴν αἵρεσιν ἀπαρνούμενον 40 H.
προσήκαντο· οὐδὲ γὰρ ἐκ καρδίας οὔτε ἡ τῆς αἱρέσεως ἄρνησις οὔτε ἡ μετάνοια ἐπεδείκνυτο. ἦσαν δὲ οἱ ταύτης γεννήτορες τῆς αἱρέσεως Ἀδελφιός τις ὁ ῥηθείς, οὔτε μοναστῶν οὔτε ἱερέων ἐγκατειλεγμένος κλήρῳ, ἀλλ' ἐν λαϊκοῖς ἐξεταζόμενος, καὶ Σάβας τὸ τῶν μοναχῶν ὑπεισδὺς σχῆμα, ὃν ἐκ τῆς πράξεως ἐκάλουν ἀπόκοπον, καὶ ἕτερος Σάβας, καὶ Εὐστάθιος Ἐδεσηνὸς καὶ Δαδώης καὶ Συμεώνης, τῶν πονηροῦ τὰ ζιζάνια, καὶ ἕτεροι τούτοις συμπαραφυόμενοι. κατεκρίθη δὲ Ἀδελφιὸς καὶ οἱ σὺν αὐτῷ, καίτοι μετανοίας τόπον, ὡς ἔφημεν, ἐπιζητοῦντες· πλὴν ταύτης οὐκ ἔτυχον, διότι ἐγγράφως, οὓς ἀνεθεμάτισαν ὡς Μεσαλιανούς, τούτοις ὡς ὁμόφροσιν ἐφωράθησαν κοινωνήσαντες. ἐγράφη δὲ Φλαβιανῷ πρὸς τοὺς ἐν Ὀσροήνῃ ἐπιστολὴ τὰ περὶ αὐτοὺς πραχθέντα ἐκδιδάσκουσα, ἐν ᾗ ἐμφέρεται ὡς οἱ αἱρετικοὶ ἐτυπτήθησαν καὶ ἀνεθεματίσθησαν· καὶ ἀντεγράφη παρὰ τῶν δεξαμένων ἐπισκόπων Φλαβιανῷ εὐχαριστία ὑπὲρ τούτων καὶ συμφωνία. ἔγραψε δὲ καὶ Λιτώϊος ὁ Ἀρμενίας ἐπίσκοπος, διαπυνθανόμενος τὰ περὶ τῶν Μεσαλιανιτῶν· καὶ ἐγράφη αὐτῷ ἡ περὶ αὐτῶν συνοδικὴ ψῆφος καὶ ἀπόφασις. ἔγραψε δὲ ὁ μέγας Φλαβιανὸς καὶ Ἀρμενίῳ τινὶ ἐπισκόπῳ περὶ

a. 4. εἰρηνίου ς. 6. τοῦ A: αὐτοῦ ς. 16. διάλεξιν] δὲ λέξιν A. 19. ἀλεξανδρείας A. 28. τοῦ om A.
b. 5. ὀρθοδόξων ς. 10. εἰκονίου A. ἐπισκόπων κέ ἐν ς. 16. βύζου ς. 25 et 27. Σάββας ς. 27. ἐδεσηνὸς corr A, αἰδεσινὸς pr: αἰδέσιμος ς. 28. δαδόης καὶ σημεώνης ς. 34. ῥοίνῃ ς.

Digitized by Google

τῆς αὐτῆς ὑποθέσεως δεύτερον· ἐν δὲ τῇ δευτέρᾳ 18 H. ἐπιστολῇ "καὶ ἔγκλησιν προσάγει, ὅτι προστασίας τινὸς παρ' αὐτοῦ οἱ Μεσαλιανῖται τυγχάνουσιν. ἔγραψε μέντοι καὶ ὁ Κωνσταντινουπόλεως Ἀττικὸς τοῖς ἐν Παμφυλίᾳ ἐπισκόποις, ἵνα πανταχόθεν τοὺς Μεσαλιανοὺς ὡς ἄγη καὶ μύση ἀπελαύνωσιν· ἔτι δὲ ὁ αὐτὸς καὶ πρὸς Ἀμφιλόχιον τὸν Σίδης ὁμοίως. ἔγραψε δὲ καὶ Σισίννιος ὁ Κωνσταντινουπόλεως καὶ Θεόδοτος ὁ Ἀντιοχείας κοινὴν ἐπιστολὴν πρὸς Βερινιανὸν καὶ Ἀμφιλόχιον καὶ λοιποὺς τοὺς ἐν Παμφυλίᾳ ἐπισκόπους, ἧς ἡ ἐπιγραφὴ „τοῖς θεοφιλεστάτοις συλλειτουργοῖς Βερινιανῷ καὶ Ἀμφιλοχίῳ, καὶ πᾶσι τοῖς ἐν Παμφυλίᾳ ἐπισκόποις, Σισίννιος καὶ Θεόδοτος καὶ πᾶσα ἡ ἁγία σύνοδος ἡ κατὰ θείαν χάριν συγκροτηθεῖσα ἐν τῇ μεγαλοπόλει Κωνσταντινουπόλει τῆς χειροτονίας ἕνεκα τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἐπισκόπου Σισιννίου, θεσπίσματι τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως Θεοδοσίου, ἐν κυρίῳ χαίρειν." ἐν ταύτῃ τῇ συνοδικῇ ἐπιστολῇ καὶ Νέων ἐπίσκοπος ἐξεφώνησεν, ὡς εἴ τις μετὰ τὸν ἀναθεματισμὸν φωραθείη τῷ χρόνῳ ἢ διὰ ῥημάτων ἢ διὰ πραγμάτων εἰς τὴν ὑποψίαν τῆς νόσου ταύτης ἐμπίπτων, μηκέτι λοιπὸν αὐτὸν χώραν ἔχειν, μηδ' ἂν μυριάκις ἐπαγγέλληται, τὴν τάξιν ἀναπληροῦν τῶν μετανοούντων· συγκινδυνεύειν δὲ αὐτῷ καὶ τὸν συγκροτοῦντα αὐτόν, εἴτε ἐπίσκοπος εἴτε ἄλλος τις εἴη. ἐγράφη δὲ καὶ ἐπιστολὴ Ἰωάννου Ἀντιοχείας πρὸς Νεστόριον περὶ τῶν Μεσαλιανιτῶν. ἐξήνεγκε δὲ καὶ ὅρον ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος, ἡ ἐν Ἐφέσῳ τρίτη, ἀπογυμνώσασα αὐτῶν καὶ τὰ ἐν τῷ λεγομένῳ αὐτῶν βιβλίῳ ἀσκητικῷ βλάσφημα καὶ αἱρετικὰ κεφάλαια, καὶ καθυποβαλοῦσα τῷ ἀναθέματι. ἔγραψε δὲ καὶ Ἀρχέλαος ὁ Καισαρείας τῆς Καππαδοκῶν ἐπίσκοπος ἀναθεματισμοὺς εἰκοσιτέσσαρας τῶν 41 R. κεφαλαίων αὐτῶν. "συνέταξε δὲ κατ' αὐτῶν καὶ Ἡρακλείδας ὁ Νύσσης ἐπίσκοπος ἐπιστολὰς δύο, ὧν ἐν τῇ δευτέρᾳ καὶ χρῆσις φέρεται τῆς ἀρχαιότητος τῶν σεπτῶν εἰκόνων.

Ἔγραψε δὲ χρόνῳ ὕστερον καὶ Γερόντιος, πρεσβύτερος καὶ ἡγούμενος τῶν ἐν Γλίτιδι μοναχῶν, πρὸς Ἀλύπιον ἀρχιεπίσκοπον τῆς ἐν Καππαδοκίᾳ Καισαρείας, ἐγκλήματα κατὰ Λαμπετίου κινῶν, ὃς καὶ πρῶτος τῆς εἰρημένης αἱρέσεως ἴσχυσεν ἐκκλέψαι τὸ τῆς ἱερωσύνης καὶ ὑπελθεῖν ἀξίωμα, βέβηλος ὢν καὶ ἀπατεών. Ἀλύπιος δὲ τὰ γραφέντα δεξάμενος, πρὸς τὸν ἐπίσκοπον Κομάνης Ὁρμίζην ἐπιστέλλει τὰ περὶ Λαμπετίου ἐξετάσαι λεγόμενα. καὶ ἦν τὰ ἐγκαλούμενα, ὅτι κόρην κατὰ στόμα φιλῶν ἐνηγκαλίζετο, καὶ ὅτι αὐτὸς ἐκεῖνος ἔφη Λαμπέτιος ἐν Ἱεροσολύμοις μετά τινος διακονίσσης ἐξαμαρτεῖν, καὶ ὅτι προσελθόντων τινῶν καὶ νοσήματος ἴασιν ἐξαιτουμένων ἔφη „φέρε μίαν κόρην πρὸς ἐμὲ καλήν, καὶ δείξω σοι ἁγιωσύνην," καὶ ὅτι τοὺς τὰς ὥρας ψάλλοντας ἐξεμυκτήριζε καὶ διέσυρεν ὡς ὑπὸ νόμον ἔτι τυγχάνοντας. καὶ ἄλλα ἄττα ἀθέμιτα διεβέβλητο, ἃ τοῖς Μεσαλιανοῖς καὶ ποιεῖται καὶ λέγεται, καθὼς καὶ ἡμεῖς, ὡς οἷόν τε ἡμῖν, τινὰς τῆς τοιαύτης πλάνης ἀπάγοντες, "ἄρτι βλαστάνειν ἐκεῖθεν 19 H. ἀρξαμένης, πολλὴν σηπεδόνα παθῶν καὶ κακίας τὰς ἐκείνων ψυχὰς ἐπιβοσκομένην ἑωράκαμεν. ἀλλ' ὅ γε Λαμπέτιος Ὁρμίζου μὲν τοῦ ἐπισκόπου δικάζοντος, Γεροντίου δὲ τοῦ πρεσβυτέρου κατηγοροῦντος, καὶ τὰ μὲν διὰ μαρτύρων ἐξελεγχθείς, τὰ δὲ τῷ οἰκείῳ στόματι περιπαρείς, ἁπάσαις ψήφοις τῆς ἱερωσύνης καθῄρηται, συμψήφου γεγενημένου καὶ τοῦ Καισαρείας Ἀλυπίου, ὃς καὶ τὸν δείλαιον ἐκεῖνον ἐξαπατηθεὶς εἰς τὸν τοῦ πρεσβυτερίου βαθμὸν ἐτύγχανε προενηνοχώς. οὗτος δὲ ὁ τρισαλιτήριος Λαμπέτιος καὶ λόγον τινὰ συνέθηκεν, ὃν καὶ διαθήκην ἐπεκάλεσεν, ἐν ᾗ καί τινα τῆς δυσσεβείας αὐτοῦ ἐνέσπαρται· ἣν καὶ Σευῆρος ὁ τὸν Ἀντιοχικὸν θρόνον ὑπεισδύς, ἔτι πρεσβυτέρων ἐπέχων τάξιν, ἀνέτρεψεν. Ἀλφειὸς μέντοι τις ἐπίσκοπος Ῥινοκορούρων ὑπεραπολογεῖται Λαμπετίου ὡς μηδὲν ὧν ἐνεκλήθη ἢ εἰπόντος ἢ ποιήσαντος· ἐκθέμενος δὲ καὶ λόγον τινὰ οὐδὲν ἐν αὐτῷ, ὅσον ἔστι συνιδεῖν, βλασφημεῖ· καθῃρέθη μέντοιγε ὡς τὰ Λαμπετίου φρονῶν. καὶ Ἀλφειὸς δέ τις ἄλλος, ὁμώνυμος τῷ καθηγητῇ, χειροτονηθεὶς πρεσβύτερος ὑπὸ Τιμοθέου τοῦ Ἀλεξανδρείας, διὰ τὴν αὐτὴν καθῃρέθη αἵρεσιν, ὡς ἡ τοῦ Πτολεμαίου τοῦ Ῥινοκορούρων ἐπισκόπου πρὸς Τιμόθεον τὸν προειρημένον ἐκδιδάσκει ἀναφορά.

## 53.

Ἀνεγνώσθη βιβλίον Η ΚΑΤΑ ΠΕΛΑΓΙΟΥ ΚΑΙ ΚΕΛΕΣΤΙΟΥ ΣΥΝΟΔΟΣ ἐν Καρταγένῃ συστᾶσα ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ Φαύστου Ὁνωρίου τὸ τῆς ἑσπερίου βασιλείας φρουροῦντος ἀξίωμα· ἐξῆρχε δὲ ταύτης

a. 2. καὶ om A. 14. θείαν] θεοῦ A. 16. καὶ ἁγιωτάτου add A. 23. ἐπαγγέληται A. 24. συγκινδυνεύει ς. 27. ἀντιοχέως A. 29. αὐτὸν ς.
b. 2. δὲ A: καὶ ς. 7. ἐλθόντων A. 15. ἀρξαμένους A. 22. πρεσβυτέρου ς. 25. τινα τῶν τῆς ς. 26. σευῆρος ς. 27. τάξιν ἐπέχων ς. 28 et 32. ἀλφιὸς A. 28 et 35. ῥινοκουρούρων A. 34. ἀλεξανδρέως A. 40. κελισίου A.

τῆς συνόδε Αὐρήλιος ἐπίσκοπος καὶ Δοτιανὸς Τεπτεντεσίε τε πρώτε θρόνε ἐπαρχίας Βυζακηνῆς, οἷς συνήδρευον ἐκ διαφόρων ἐπαρχιῶν ἄνδρες διαπρέποντες ἱερωσύνῃ, τὸν ἀριθμὸν σκέ. αὕτη ἡ σύνοδος
44 R. τὲς θνητὸν πλασθῆναι τὸν Ἀδὰμ λέγοντας ἀλλὰ μὴ ἐκ παραβάσεως τῦτο καταδικασθῆναι ἀναθεματίζει· ὡσαύτως τὲς τὰ βρέφη τὰ ἀρτίτοκα μὴ χρείαν ἔχειν βαπτίσματος διὰ τὸ μὴ ἕλκειν αὐτὰ προγονικὴν ἁμαρτίαν τὴν ἐξ Ἀδὰμ ἀναθεματίζει. καὶ τὲς λέγοντας μέσον τόπον κολάσεως καὶ παραδείσε, εἰς ὃν καὶ τὰ ἀβάπτιςα βρέφη μετατιθέμενα ζῆν μακαρίως, κ̀ τέτες ἐν ἀναθεματίζει. ἔτι δὲ κ̀ ἕτερα ἓξ ἀναθεματίζει παραπλήσια τέτοις κεφάλαια, ἃ τοῖς Πελαγιανιςαῖς καὶ Κελεςιανοῖς πρεσβεύεται. ἔγραψε δὲ καὶ Θεοδόσιος καὶ Ὁνώριος οἱ βασιλεῖς πρὸς Αὐρήλιον ἐπίσκοπον κατὰ τῶν αὐτῶν. ἔγραψε μετὰ ταῦτα καὶ Κωνςαντῖνος ὁ Πλακιδίας ἀνήρ, Οὐαλεντινιανε̃ δὲ τε̃ μικρε̃ πατήρ, περὶ τε̃ ἐξορισθῆναι Κελέςιον τὸν αἱρετικόν· ἔγραψε δὲ τὴν κατ' αὐτε̃ ψῆφον πρὸς Οὐο-
20 H. λοσιανὸν ἔπαρχον πόλεως. ἔγραψε δὲ καὶ Λέων ὁ Ῥώμης περὶ τῶν ἐπιςρεφόντων Πελαγιανιςῶν, ὅπως ὀφείλεσιν ἐπιςρέφοντες δεχθῆναι, ὅτι ἐγγράφως αὐτῶν τὸ φρόνημα ἀναθεματίζοντες. ἀλλὰ καὶ ἐν τῇ πρὸς Νεςόριον Κελεςίνε τε̃ ἐπισκόπε Ῥώμης ἐπιςολῇ ἡ κατ' αὐτῶν ἔγκειται διαβολή. ἔγραψε δὲ ὁ αὐτὸς τοῖς ἐν Γαλλίαις ἐπισκόποις περί τε τῆς τε̃ ἁγίε Αὐγεςίνε πίςεως καὶ κατὰ τῶν ἀλαζονευομένων ἐπὶ τῇ τῆς αἱρέσεως ἐξεσίᾳ. ἔγραψε δὲ καὶ Ἱερώνυμος πρεσβύτερος πρὸς Κτησιφῶντα κατὰ τῶν λεγόντων ἀπάθειαν ἤτοι κατὰ Πελαγίε. ἔτος δὲ ὁ Πελάγιος μοναχὸς ἦν, μαθητὴν κτησάμενος τὸν Κελέςιον.

54.

Ἀνεγνώσθη κατὰ τῆς Πελαγιανῆς καὶ Κελεςιανῆς αἱρέσεως, ἧ ἡ ἐπιγραφὴ „ΙΣΑ ΠΕΠΡΑΓΜΕΝΩΝ ἐν τοῖς δυτικοῖς ἐπισκόποις ΚΑΤΑ ΤΩΝ ΝΕΣΤΟΡΙΑΝΩΝ δογμάτων." ἐν ᾧ γέγραπται ὡς ἡ Νεςοριανὴ καὶ Κελεςιανὴ αἵρεσις ἡ αὐτή ἐςι. φέρει δὲ κ̀ μάρτυρα Κύριλλον τὸν Ἀλεξανδρείας, γράφοντα πρὸς Θεοδόσιον τὸν βασιλέα ὡς ἡ αὐτή ἐςιν αἵρεσις ἡ Νεςοριανὴ τῇ Κελεςιανῇ. δῆλον δέ, φησίν· οἱ μὲν γὰρ Κελεςιανοὶ περὶ τε̃ σώματος ἤτοι τῶν μελῶν τε̃ Χριςε̃, τετέςι τῆς ἐκκλησίας, ἀποθρασύνονται ὅτι περ ἐχὶ ὁ θεός, τετέςι τὸ πνεῦμα τὸ ἅγιον, τήν τε πίςιν αὐτοῖς καὶ πάντα τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν καὶ σωτηρίαν διαιρεῖ ἰδίᾳ ἑκάςῳ, καθὼς βέλεται, ἀλλ' ὅτι περ ἡ κατατεταγμένη τε̃ ἀνθρώπε φύσις, ἡ διὰ τὴν παράβασιν καὶ τὴν ἁμαρτίαν τῆς μὲν μακαριότητος ἐκπεσε̃σα κ̀ τε̃ θεε̃ χωρισθεῖσα, τῷ δὲ θανάτῳ παραδοθεῖσα, αὕτη κατὰ τὴν τῆς προαιρέσεως ἀξίαν τὸ πνεῦμα τὸ ἅγιον καὶ προσκαλεῖται κ̀ ἀπωθεῖται· οἱ δὲ Νεςοριανοὶ κ̀ περὶ αὐτὴν τὴν τε̃ σώματος κεφαλήν, τὸν Χριςόν, τὴν αὐτὴν διάνοιαν κ̀ τόλμαν ἔχεσι. λέγεσι γὰρ ὅτι ἐπεὶ τῆς ἡμετέρας φύσεώς ἐςιν ὁ Χριςός, ὁ δὲ θεὸς πάντας ἀνθρώπες ὁμοίως θέλει σωθῆναι κ̀ οἰκείᾳ προαιρέσει ἕκαςον τὸ ἑαυτε̃ πταῖσμα 45 R.
ἐπανορθώσασθαι καὶ ἄξιον ἑαυτὸν αὐτε̃ ποιῆσαι, διὰ τε̃το ἐκ ἔςιν ὁ λόγος ὁ τεχθείς, ἀλλ' ὁ γεννηθεὶς ἐκ Μαρίας διὰ τὴν τῆς φυσικῆς προαιρέσεως ἀξίαν εἶχεν ἑπόμενον τὸν λόγον, μόνῃ τῇ ἀξίᾳ καὶ τῇ ὁμωνυμίᾳ κεκοινωνηκὼς τῷ λόγῳ τῆς υἱότητος. αὕτη μέντοι ἡ Πελαγιανὴ ἤτοι Κελεςιανὴ αἵρεσις ἤκμασεν ἐν τῇ ἀνατολῇ, διεδόθη δὲ καὶ ἐν τῇ δύσει. καὶ ἐν μὲν τῇ Καρταγένῃ τῆς Ἀφρικῆς διηλέγχθη κ̀ ἐφωράθη ὑπό τε Αὐρηλίε κ̀ Αὐγεςίνε, ἀπεκηρύχθη δὲ διαφόραις συνόδοις. ἐξεβλήθησαν δὲ κ̀ οἱ ἔτω φρονε̃ντες τῆς ἐκκλησίας ὡς αἱρετικοὶ ἐν τοῖς χρόνοις Θεοφίλε τε̃ Ἀλεξανδρείας καὶ Ἰνοκεντίε Ῥώμης ὑπό τε Ῥωμαίων καὶ Ἄφρων κ̀ τῶν λοιπῶν δυτικῶν ἐπισκόπων. ὁ μέντοι Πελάγιος ἐν Παλαιςίνῃ συνόδε συςάσης (τεσσαρεσκαίδεκα δὲ τὴν σύνοδον ἐπλήρεν ἀρχιερεῖς) ἠθωώθη, τὰ μὲν τῶν κεφαλαίων παντελῶς ἐξαρνησάμενος ὡς μωρὰ καὶ ἀναθεματίσας, τὰ δὲ εἰρηκέναι μὲν φήσας, ἐχὶ δὲ ὡς οἱ κατήγοροι ἐξειλήφασι, συμφώνως δὲ μᾶλλον τῇ καθολικῇ ἐκκλησίᾳ. οἱ μέντοι κατηγορε̃ντες αὐτε̃ Νέπορος ἦν καὶ Λάζαρος οἱ Γάλλοι ἐπίσκοποι, οἳ ἐδὲ παρεγένοντο

a. 1. αὐρίλιος A: ἀβρίλιος ς. Δοτιανὸς] διά τινος A. τεπτεντεσίε A: τε̃ τε πτεντεσίε ς. 2. πρώτε θρόνε] πρωτοθρόνε corr A. ἐπαρχίας βυζακινης A: Βυζακηνῆς ἐπαρχίας ς. 6. τε̃τον ς. 15. ἀβρίλιον ς. 16. ἔγραψε δὲ μετὰ ς. 19. post Οὐολοσιανὸν vulgo haec addunt: ἔτος ἦν θεῖος τῆς ἁγίας Μελενης (μελανίης cod.) ἑλληνόφρων, ἐν δὲ τῷ ἀποθνήσκειν μεταθέμενος πρὸς τὸ ὀρθόδοξον καὶ φωτισθεὶς παρὰ τε̃ ἁγίε Πρόκλε τε̃ Κωνςαντινεπόλεως· αὐτε̃ γὰρ εὑρέθη πρέσβις ὑποςωλεὶς, ὅτε καὶ τῇ ἁγίᾳ ἐνέτυχεν ἐξ Ἱεροσολύμων καταλαβέσῃ τὴν βασιλίδα τῶν πόλεων. quae in mg habet A, a rc manu addita.

b. 18. αὐτε̃ A: αὐτὸς ς. 19. ἀλλ' ὁ] ἀλλ' ὅτι A. 25. χαρταγένη A, qui et infra χαρταγένης. 32. δεκατέσσαρες ς.

*ἐν τῇ ἐξετάσει αὐτοῦ, διὰ τὴν κάκωσιν θατέρου αὐτῶν τὴν παρουσίαν παραιτησάμενοι. οὕτως Αὐγουστῖνος ἐν τοῖς πρὸς Αὐρήλιον τὸν Καρταγένης πάπαν διέξεισιν. μετὰ μέντοιγε θάνατον τοῦ ἐν ἁγίοις Αὐγουστίνου ἤρξαντό τινες τῶν ἐν τῷ κλήρῳ τὸ μὲν δυσσεβὲς κρατύνειν δόγμα, κακῶς δὲ λέγειν Αὐγουστῖνον καὶ διασύρειν ὡς ἀναίρεσιν τοῦ αὐτεξουσίου εἰσηγησάμενον· ἀλλὰ καὶ Κελεστῖνος ὁ Ῥώμης ὑπέρ τε τοῦ θείου ἀνδρὸς καὶ κατὰ τῶν ἀνακινούντων τὴν αἵρεσιν τοῖς ἐγχωρίοις γράφων ἐπισκόποις, τὴν κινουμένην πλάνην ἔστησεν. χρόνου δὲ παριόντος καὶ τῶν ἀπὸ τῆς αἱρέσεως διὰ τὸ ἀναθεματίσαι τὴν οἰκείαν αἵρεσιν τῇ ἐκκλησίᾳ παραδεχθέντων, πάλιν ἐξ αὐτῶν ἀρχὴν ἐλάμβανε τὸ κακόν· ἀλλὰ Σέπτιμος ἐπίσκοπος ἀρχομένης τῆς λύμης ἐπέχε τὴν φοράν, γράψας πρὸς Λέοντα τὸν Ῥώμης τηνικαῦτα προεδρεύοντα, ὃς διαπύρῳ ζήλῳ κατὰ τῆς δυσσεβείας ἠγωνίσατο. μετ' οὐ πολὺ δὲ πάλιν ὥσπερ ἀναφύειν τῆς πικρᾶς ῥίζης ἀναισχυντούσης, ἐν τῇ Ῥώμῃ τινὲς ὑπὲρ τῆς αἱρέσεως ἐπαῤῥησιάζοντο· ἀλλὰ Πρόσπερός τις, ἄνθρωπος ὡς ἀληθῶς τοῦ θεοῦ, λιβέλλους κατ' αὐτῶν ἐπιδεδωκὼς ἀφανεῖς αὐτοὺς ἀπειργάσατο, ἔτι Λέοντος τοῦ προειρημένου τὸν Ῥωμαϊκὸν θρόνον ἰθύνοντος. ἀνεθεματίσθη δὲ αὕτη ἡ αἵρεσις καὶ ἐν τῇ Ἐφεσίων ἁγίᾳ συνόδῳ. ἀναθεματίζει δὲ καὶ Ἰωάννης ὁ Ἀλεξανδρείας ἐν τῇ πρὸς Γελάσιον τὸν Ῥώμης ἀπολογίᾳ οὐ μόνον τὴν Πελαγιανὴν αἵρεσιν ἀλλὰ καὶ Πελάγιον καὶ Κελέστιον, καὶ ἔτι Ἰουλιανόν, ὃς καὶ αὐτῶν ἐγνώσθη διάδοχος.*

## 55.

*Ἀνεγνώσθη ΙΩΑΝΝΟΥ ΤΟΥ ΦΙΛΟΠΟΝΟΥ, μᾶλλον δὲ ματαιοπόνου, κατὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς τετάρτης συνόδου. ἐν οἷς ἐστὶ τὴν μὲν φράσιν*
8 R. *ὅμοιος ἑαυτῷ, ὠθεῖν δὲ πειρᾶται ἀναισχύντως τὴν σύνοδον εἰς τὸ Νεστορίου φρόνημα, καὶ λέγει καταδέξασθαι τὴν σύνοδον τὸν ἀναθεματισμὸν Νεστορίου ἅτε μηδὲν ἡγουμένην εἰς ἄνθρωπον ἐξαμαρτεῖν ἐπικυρώσει δόγματος, ὃ καὶ αὐτὸς ὁ βαλλόμενος τῷ ἀναθέματι πάντων ὑπερετίμα καὶ ἔστεργε, πρᾶγμα πλάττων καὶ τερατευόμενος, δι' τῆς ἐκείνου φρενὸς καὶ τῆς ἀστηρίκτου γνώμης καθέστηκεν ἄξιον. τοιαῦτα μὲν κατὰ ταύτης ματαιολογεῖ καὶ θρασύνεται, ἐν τμήμασι δὲ τέσσαρσι ποιεῖται τὴν ὅλην κατ' αὐτῆς κωμῳδίαν, οὐδὲν πιθανὸν ἢ διανοίας λέγων ἐχόμενον.*

*Ἀνεγνώσθη δὲ ἐν τῷ αὐτῷ καὶ ΙΩΑΝΝΟΥ ἄλλου, τὴν θρησκείαν Νεστοριανοῦ, κατὰ τῆς αὐτῆς ἁγίας τετάρτης συνόδου. οὗτός ἐστιν ὁ Αἰγεάτης, δυσσεβὴς μέν, καλλιεπείᾳ δὲ καὶ τῷ ἤδει μετὰ τῆς σαφηνείας καὶ λαμπρότητος κεχρημένος.*

## 56.

*Ἀνεγνώσθη ΘΕΟΔΩΡΗΤΟΥ Κύρου κατὰ τῶν αἱρέσεων τῶν ἀπὸ Σίμωνος ἀρξαμένων καὶ μέχρις ὧν ἐκεῖνος τὴν ἀκμὴν κατείληφε τὴν βλάστην προβαλλομένων. προσφωνεῖ ταῦτα Σποραχίῳ εἰς αἴτησιν τῆς τοιαύτης φιληκοΐας καταστάντι. κατέρχεται δὲ μέχρι Νεστορίου καὶ τῆς αἱρέσεως αὐτοῦ, ἄκρατον αὐτοῦ κα- 22 H.*
*ταχέων τὸν ἔλεγχον. πρόεισι δὲ καὶ μέχρι τῆς Εὐτυχιανῆς αἱρέσεως. ἐν δὲ τῷ πέμπτῳ λόγῳ (τοσοῦτοι δὲ ὄντες τὸ βιβλίον τυγχάνουσι) τῶν θείων καὶ ὀρθῶν δογμάτων τὴν ἐπιτομὴν ἐν παραθέσει ποιησάμενος πρὸς τὰς αἱρετικὰς ἀδολεσχίας, τὸ ἀσύγχυτον αὐτῆς καὶ καθαρὸν ἐπιδεικνύει καὶ ἀμώμητον. ἔστι δὲ τὴν φράσιν σαφὴς καὶ ἀπέριττος.*

## 57.

*Ἀνεγνώσθη ΑΠΠΙΑΝΟΥ Ῥωμαϊκὴ ἱστορία, ἐν μὲν τεύχεσι τρισί, λόγοις δὲ κδ΄. ὧν ὁ μὲν πρῶτος τόμος τῶν ἑπτὰ βασιλέων, Ῥωμύλου, Νουμᾶ Πομπιλίου, Ἄγκου Ὁστιλίου, καὶ Ἄγκου ἑτέρου τοῦ καὶ Μαρκίου, ἐπιγόνου Νουμᾶ, Ταρκυνίου, Σερβίου Τυλλίου, καὶ Ταρκυνίου Λευκίου τοῦ Ταρκυνίου, τούτων τῶν ἑπτὰ ἔργα τε καὶ πράξεις περιέχει. ὧν ὁ πρῶτος κτίστης τε Ῥώμης καὶ οἰκιστὴς γεγονώς, ἄρξας τε πατρικῶς μᾶλλον ἢ τυραννικῶς, ὅμως ἐσφάγη, ἢ ὡς ἄλλοι φασίν, ἠφανίσθη. ὁ δὲ δεύτερος οὐδὲν ἧττον βεβασιλευκώς, εἰ μὴ καὶ μᾶλλον, τὸν ἑαυτοῦ βίον ἐτελεύτησε ζήσας. ὁ δὲ τρίτος ἐκεραυνώθη· νόσῳ δὲ τὸν βίον ὁ τέταρτος ὑπεξῆλθεν· ὁ δὲ πέμπτος ὑπὸ ποιμένων ἐσφάγη, καὶ ὁ ἕκτος ὁμοίως σφαγῇ κατέστρεψε τὸν βίον. ὁ δὲ ἕβδομος καὶ τῆς πόλεως καὶ τῆς βασιλείας παρανομῶν ἐξηλάθη· ἐξ οὗ τῆς βασιλείας καταλυθείσης εἰς τοὺς ὑπάτους τὰ τῆς ἀρχῆς μετετέθη. ἃ μὲν οὖν ὁ πρῶτος λόγος περιέχει, ταῦτά ἐστιν· ἐπιγράφεται δὲ Ῥωμαϊκῶν βασιλική. ὁ δὲ δεύτερος τὰ εἰς τὴν ἄλλην Ἰταλίαν χωρὶς τῆς παρὰ τὸν κόλπον τὸν Ἰόνιον· οὗ ἡ ἐπιγραφὴ Ῥωμαϊκῶν Ἰταλική. ὁ δὲ ἐφεξῆς περιέχει τὸν πρὸς τοὺς Σαυνίτας Ῥωμαίων πόλεμον, ἔθνος μέγα τε καὶ χαλεπὸν πολέμοις γεγονός, ὅπερ ἐν ἔτεσιν ὀγδοήκοντα Ῥωμαῖοι πολε-*

a. 39. *περιετίμα* ς. *πράττων* ς. b. 9. malim *προβαλομένων*. 16. *ἐπιστολὴν* corr *A*: *δ' ἐπιτομὴν* ς. 17. *ἀσύγχυτον*] *ἀσύγκριτον A*. 25. *τοῦ Ταρκυνίου* add *A*. 30. *βεβασιλευκὼς εὖ εἶ* Casaubonus. 31. *ζήσας*] *deest* [illegible] Hoeschelius. 33. *κατέτρεψε* ς. 37. *οὖν* om *A*. 39. *τὰ εἰς τὴν*] *ταῦτά ἐστιν A*: *περιέχει τὰ εἰς τὴν* ς. 40. *ἰώνιον* ς.

μοῦντες μόλις ὑπηγάγοντο, σὺν αὐτοῖς δὲ καὶ ὅσα αὐτοῖς συνεμάχει ἔθνη· ἐπιγράφεται δὲ Ῥωμαϊκῶν Σαυνιτική. ὁ δὲ τέταρτος, ἐπεὶ τὸν πρὸς Κελτοὺς περιέχει
49 R. Ῥωμαίων πόλεμον, ἐπιγράφεται Ῥωμαϊκῶν Κελτική. καὶ οἱ λοιποὶ κατὰ τὸν αὐτὸν λόγον, ὁ μὲν πέμπτος Ῥωμαϊκῶν Σικελικὴ καὶ νησιωτική, ἐπεὶ πρὸς Σικελοὺς καὶ νησιώτας, ὁ δὲ ἕκτος Ῥωμαϊκῶν Ἰβηρική, ὁ δὲ ἕβδομος Ῥωμαϊκῶν Ἀννιβαϊκή, ἐπεὶ τὸν πρὸς Ἀννίβαν τὸν Καρχηδόνιον περιέχει πόλεμον, ὁ ὄγδοος Ῥωμαϊκῶν Λιβυκὴ Καρχηδονικὴ καὶ Νομαδική, ὁ δὲ ἔνατος Ῥωμαϊκῶν Μακεδονική, ὁ δὲ δέκατος Ῥωμαϊκῶν Ἑλληνικὴ καὶ Ἰωνική, ὁ δὲ ἑνδέκατος Ῥωμαϊκῶν Συριακὴ καὶ Παρθική, ὁ δὲ δωδέκατος Ῥωμαϊκῶν Μιθριδάτειος. καὶ τὰ μὲν πρὸς ἀλλοφύλους Ῥωμαίοις ἐπιδεδειγμένα ἔργα τε καὶ οἱ πόλεμοι ἐν τούτοις καὶ οὕτω τυγχάνει τοῖς λόγοις ἐνταῦθα διῃρημένα· ὅσα δὲ αὐτοὶ Ῥωμαῖοι πρὸς ἀλλήλους ἐστασίασαν καὶ ἐπολέμησαν, αἱ ἐφεξῆς βίβλοι δηλοῦσιν, ἐπιγραφὴν δεξάμεναι ἐμφυλίων πρώτη, ἐμφυλίων δευτέρα, καὶ ἑξῆς μέχρι τῆς ἐμφυλίων μὲν ἐνάτης, τῆς δὲ ὅλης ἱστορίας εἰκοστῆς πρώτης. ὁ δὲ εἰκοστὸς δεύτερος λόγος ἐπιγράφεται ἑκατονταετία, ὁ δὲ ἐφεξῆς Δακική, καὶ ὁ εἰκοστὸς τέταρτος Ἀράβιος. οὕτω μὲν τῆς ὅλης ἱστορίας ἡ
23 H. διαίρεσις. ἐμπεριέχεται δὲ τοῖς ἐμφυλίοις πρῶτον μὲν τὰ περὶ Μάριον καὶ Σύλλαν ἀλλήλοιν ἐκπολεμησάντοιν, ἔπειτα τὰ περὶ Πομπήϊον καὶ Ἰούλιον τὸν Καίσαρα, καὶ τούτοιν ἐς ἀλλήλους στασιασάντοιν καὶ μεγάλαις μάχαις προσραγέντοιν, ὅτε καὶ ἡ τύχη πλέον Ἰουλίῳ ῥοπὴν παρασχοῦσα ἐς νῶτα καὶ φυγὴν Πομπήϊον ἔτρεψεν· ἐφεξῆς δὲ τὰ περὶ Ἀντώνιον καὶ Ὀκτάυϊον Καίσαρα, τὸν καὶ Αὔγουστον, πρὸς τοὺς ἀνδροφόνους τοῦ προτέρου Καίσαρος, καθ᾽ ὃν καιρὸν καὶ πολλοὶ τῶν ἐπισήμων Ῥωμαίων δίκης ἁπάσης χωρὶς τὴν ἐπὶ θανάτῳ ἀπήχθησαν· τελευταῖον δὲ οὗ ἐς ἀλλήλους συνέπεσεν, Ἀντώνιόν φημι καὶ Αὔγουστον, οἳ πολέμοις κρατεροῖς ἀλλήλους διεπολέμησαν καὶ πολλῶν στρατοπέδων φθορὰν ἐνειργάσαντο, εἰ καὶ Αὐγούστῳ ὕστερον ἡ νίκη ἐμβλέψασα ἔρημον συμμάχων εἰς Αἴγυπτον φυγάδα τὸν Ἀντώνιον ἤλασεν, ἐφ᾽ ἧς καὶ αὐτοχειρίᾳ τὸν βίον κατέστρεψεν. ᾧ τινὶ τῶν ἐμφυλίων ὄντι λόγῳ τελευταίῳ καὶ Αἴγυπτος δηλοῦται, ὡς ὑπὸ Ῥωμαίοις ἐγένετο καὶ τὰ Ῥωμαίων ἐς μοναρχίαν καὶ Αὔγουστον ἐπανέδραμεν.

Ἄρχεται μὲν οὖν τῆς ἱστορίας ἀπὸ Αἰνείου τοῦ Ἀγχίσου τοῦ Κάπυος· ὃς ἐν τῷ Τρωϊκῷ ἤκμασε πολέμῳ, μετὰ δὲ τὴν ἅλωσιν τῆς Τροίας ἔφυγε, καὶ μετὰ μακρὰν πλάνην καταπλεῖ ἔς τινα τῆς Ἰταλίας αἰγιαλόν, Λώρεντον ἐπικαλούμενον, ἔνθα καὶ στρατόπεδον αὐτοῦ δείκνυται, καὶ τὴν ἀκτὴν ἀπ᾽ ἐκείνου Τροίαν καλοῦσιν. ἦρχε τότε Ἀβοριγίνων τῶν τῆδε Ἰταλῶν Φαῦνος ὁ τοῦ Ἄρεως, ὃς καὶ ζεύγνυσιν Αἰνείᾳ τὴν θυγατέρα αὑτοῦ Λαουινίαν, καὶ γῆν δίδωσιν ἐκ περιόδου σταδίων τετρακοσίων. ὁ δὲ πόλιν ἔκτισε, καὶ ἀπὸ τῆς γυναικὸς Λαουίνιον ἐπωνόμασε. τρίτῳ δὲ ἔτει τοῦ Φαύνου τελευτήσαντος ἐκδέχεται τὴν ἀρχὴν ὁ Αἰνείας κατὰ τὸ κῆδος, καὶ τοὺς Ἀβοριγίνας ἀπὸ τοῦ κηδεστοῦ Λατίνου Φαύνου Λατίνους ἐπωνόμασε. τρίτῳ δὲ ἔτει πάλιν διὰ Λαουινίαν τὴν γυναῖκα ὑπὸ Ῥουτούλων τῶν Τυῤῥηνῶν, προμνηστευθεῖσαν αὐτῶν τῷ βασιλεῖ, ἀναιρεῖται πολέμου νόμῳ ὁ Αἰνείας, καὶ τὴν ἀρχὴν διεδέξατο Εὐρυλέων, Ἀσκάνιος μετονομασθείς, ὃς ἐγεννήθη τῷ Αἰνείᾳ ἐκ Κρεούσης τῆς Πριάμου, τῆς ἐν Ἰλίῳ γενομένης αὐτῷ γυ- 52 R.
ναικός· οἱ δὲ ἐκ τῆς Λαουινίας Ἀσκάνιον αὐτῷ γεννηθῆναί φασι, τὸν διάδοχον τῆς ἀρχῆς. Ἀσκανίου δὲ τελευτήσαντος ἔτει τετάρτῳ μετὰ τὴν Ἄλβης οἴκισιν (καὶ γὰρ καὶ οὗτος ἔκτισε πόλιν, Ἄλβην καλέσας, καὶ ἀπὸ Λαουινίας τὸν λαὸν μετῴκισεν) ἐκδέχεται τὴν ἀρχὴν Σιλούιος. καὶ Σιλουίου παῖδα Αἰνείαν Σιλούιόν φασιν, Αἰνείου δὲ Λατῖνον Σιλούιον, τοῦ δὲ Κάπυν, Κάπυος δὲ Κάπετον γενέσθαι, Καπέτου δὲ Τιβερῖνον, τοῦ δὲ Ἀγρίππαν, τοῦ δὲ Ῥωμύλον. καὶ τόνδε μὲν βληθῆναι κεραυνῷ· οὗ γενέσθαι παῖδα Ἀβεντῖνον, Ἀβεντίνου δὲ Πρόκαν γενέσθαι. καὶ πᾶσι δὲ τὸν Σιλούιον ἐπώνυμον εἶναι. τῷ δὲ Πρόκᾳ δύο ἐγενέσθην υἱοί, πρεσβύτερος μὲν Νεμέτωρ, νεώτερος δὲ Ἀμούλιος. λαβόντος δὲ τοῦ πρεσβυτέρου παρὰ τοῦ πατρὸς τελευτῶντος τὴν ἀρχήν, ὁ νεώτερος ὕβρει καὶ βίᾳ κατέσχεν ἀφελόμενος.
καὶ τὸν μὲν παῖδα τοῦ ἀδελφοῦ Ἔγεστον κτείνει, τὴν 24 H.
θυγατέρα δὲ Ῥέαν Σιλουίαν ἱέρειαν, ἵνα ἄπαις διαμείνῃ, καθίστησι· τὸν μέντοι Νεμέτορα τῆς εἰς τὸ

a. 3. κελτοὺς A: τοὺς κόλπους ς. 6. πρὸς τοὺς σικελοὺς ς. 8. ἀνίβατον κ. A. 10. λυδικὴ ς. 15. πολέμιοι A. 19. πρώτη — β A: πρῶτος — δεύτερος ς. 22. καὶ ὁ A: ὁ δὲ ς. 23. ἀῤῥάβιος ς. 26. ἔπειτα δὲ τὰ ς. 30. Ἀντωνῖνον καὶ ὅτι κατὰ Ἄβριον καισ. ς. 34. συνέπεσον ς. 35. ante φημι cum A omisi τέ. 40. λόγων ὄντι ς.
b. 1. ῥωμαίους ς. 5. ἤκμαζε A. 7. κατέπλει A. 12. δίδωσι γῆν — σταδίων τριῶν ς. 13. πόλιν τε ἔκτισε — γυναικὸς λαουίνιας λαουίνιον ς. 25. οἴκισιν Hoeschelius: libri οἴκησιν. 28. συλούιος ς. 31. ἀγρίππαν A. τόνδε A: τὸν ς. 34. υἱώ ς. 39. σερούιαν ς. 40. καθίστησι καὶ τὸν ς.

Digitized by Google

σῶμα ἐπιβολῆς ἡ τῶν ἠθῶν ἐξεῖλκε πραότης καὶ ἡ πολλὴ ἐπιείκεια. ἀλλ' ἡ Σιλβία ἔκυε παρὰ τὸν νόμον. καὶ τὴν μὲν Ἀμούλιος ἐπὶ κολάσει συνελάμβανε, δύο δὲ παῖδας ἐκ τῆσδε γενομένους ποιμέσιν ἔδωκεν, εἰς τὸν πλησίον ποταμὸν ἐμβαλεῖν τὰ βρέφη· Θύβρις ἦν ὄνομα τῷ ποταμῷ, Ῥῶμος δὲ καὶ Ῥωμύλος οἱ παῖδες, ἐξ Αἰνείου ἕλκοντες μητρόθεν τὸ γένος· τὸ γὰρ τοῦ φύντος ἄδηλον.

Ἄρχεται μὲν οὖν, ὡς εἴρηται, ἡ ἱστορία ἐν ἐπιδρομῇ ἀπὸ Αἰνείου ἄχρι τῶν παίδων· ἀπὸ δὲ Ῥωμύλου τοῦ οἰκιστοῦ λεπτομερῶς ἅπαντα διεξιοῦσα κάτεισι μέχρι τοῦ Σεβαστοῦ, σποράδην δὲ καὶ ἐξ ἐπιδρομῆς καὶ ἕως Τραϊανοῦ.

Οὗτος δὲ ὁ Ἀππιανὸς τὸ μὲν γένος ἦν Ἀλεξανδρεύς, ἐν Ῥώμῃ δὲ τὰ πρῶτα δίκαις συνηγόρει, ἔπειτα δὲ καὶ βασιλέων ἐπιτροπεύειν ἠξιώθη. ἔστι δὲ τὴν φράσιν ἀπέριττος καὶ ἰσχνός, τὴν δὲ ἱστορίαν, ὡς οἷόν τ' ἐστί, φιλαλήθης, καὶ στρατηγικῶν διὰ τῆς ἱστορίας μεθόδων, εἰ καί τις ἄλλος, ὑποφήτης, ἐπᾶραί τε λόγοις τεταπεινωμένον φρόνημα στρατοῦ καὶ διαπραῧναι φλεγμαῖνον καὶ πάθος δηλῶσαι καὶ εἴτι ἄλλο λόγοις ἐκμιμήσασθαι ἄριστος. ἤκμασε δὲ ἐν τοῖς χρόνοις Τραϊανοῦ καὶ Ἀδριανοῦ.

58.

Ἀνεγνώσθη ΑΡΡΙΑΝΟΥ Παρθικὰ ἐν βιβλίοις ιζ'. οὗτος δὲ συντάττει πάντων ἄμεινον καὶ τὰ κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα, ἔτι δὲ καὶ ἄλλην πραγματείαν, τὰ πάτρια τῆς Βιθυνίας, ἐξ ἧς καὶ αὐτὸς ἔφυ, ἐπιγράψας τὸ βιβλίον Βιθυνιακά· συγγράφεται δὲ καὶ τὰ κατὰ Ἀλανούς, ἣν ἐπέγραψεν Ἀλανικήν. διέρχεται δὲ ἐν ταύτῃ τῇ πραγματείᾳ τοὺς πολέμους, οὓς ἐπολέμησαν Ῥωμαῖοι καὶ Πάρθοι Ῥωμαίων αὐτοκράτορος ὄντος Τραϊανοῦ. φησὶ δὲ τὸ Πάρθων γένος Σκυθικόν, ἀποστῆναι δὲ τῆς τῶν Μακεδόνων ἐπικρατείας, ἅμα Περσῶν καταστραφέντων πάλαι δουλωθέν, δι' αἰτίαν τοιαύτην. Ἀρσάκης καὶ Τηριδάτης ἤστην ἀδελφὼ Ἀρσακίδαι, τοῦ υἱοῦ Ἀρσάκου τοῦ Φριαπίτου ἀπόγονοι. οὗτοι Φερεκλέα τὸν ὑπὸ Ἀντιόχου τοῦ βασιλέως (Θεὸν αὐτὸν
32 B. ἐπίκλην ὠνόμαζον), "ἀλλ' οἵ γε Ἀρσακίδαι τὸν ὑπὸ Ἀντιόχου σατράπην αὐτῶν τῆς χώρας καταστάντα Φερεκλέα, ἐπεὶ τὸν ἕτερον τῶν ἀδελφῶν αἰσχρῶς ἐπείρασε βιασάμενος, οὐκ ἐνεγκόντες τὴν ὕβριν ἀνεῖλόν τε τὸν ὑβρίσαντα, καὶ ἑτέροις πέντε τὴν πρᾶξιν ἀνακοινωσάμενοι καὶ τὸ ἔθνος Μακεδόνων ἀπέστησαν, καὶ καθ' ἑαυτοὺς ἦρξαν, καὶ ἐπὶ μέγα δυνάμεως ἤλασαν, ὡς καὶ Ῥωμαίοις ἀντιῤῥόπους μάχας θέσθαι, ἐνίοτε δὲ καὶ μεθ' ἑαυτῶν τὴν νίκην ἔχοντας τοῦ πολέμου ἀπελθεῖν. Πάρθους δέ φησιν ἐπὶ Σεσώστριδος τοῦ Αἰγυπτίων βασιλέως καὶ Ἰανδύσου τοῦ Σκυθῶν ἀπὸ τῆς σφῶν χώρας Σκυθίας εἰς τὴν νῦν μετοικῆσαι. οὓς ὁ Ῥωμαίων αὐτοκράτωρ Τραϊανὸς κατὰ κράτος ταπεινώσας ὑποσπόνδους ἀφῆκεν, αὐτὸς αὐτοῖς τὸν βασιλέα καταστησάμενος.

Οὗτος ὁ Ἀῤῥιανὸς φιλόσοφος μὲν ἦν τὴν ἐπιστή- 25 H.
μην, εἷς τῶν ὁμιλητῶν Ἐπικτήτου, κατὰ δὲ τοὺς χρόνους Ἀδριανοῦ καὶ Ἀντωνίνου τοῦ Πίου καὶ Μάρκου τοῦ Ἀντωνίνου ἐγνωρίζετο· ἐπωνόμαζον δὲ αὐτὸν Ξενοφῶντα νέον. διὰ δὲ τὸ τῆς παιδείας ἐπίσημον ἄλλας τε πολιτικὰς ἀρχὰς ἐπιστεύθη, καὶ εἰς τὸ τῶν ὑπάτων ἀνέβη τέλος. ἔγραψε δὲ βιβλία καὶ ἕτερα, τῶν μὲν διατριβῶν Ἐπικτήτου τοῦ διδασκάλου ὅσα ἴσμεν βιβλία ὀκτώ, τῶν δὲ ὁμιλιῶν τοῦ αὐτοῦ Ἐπικτήτου βιβλία δώδεκα. ἰσχνὸς δὲ τὴν φράσιν ἐστὶ καὶ μιμητὴς ὡς ἀληθῶς Ξενοφῶντος. φασὶ δὲ αὐτὸν καὶ ἕτερα γράψαι, ἃ οὔπω εἰς ἡμετέραν ἀφίκετο γνῶσιν. δῆλον δὲ ὡς οὐδὲ ῥητορικῆς σοφίας τε καὶ δυνάμεως ἀπελείπετο.

59.

Ἀνεγνώσθη ΣΥΝΟΔΟΥ ΤΗΣ παρανόμου ΚΑΤΑ τοῦ ἐν ἁγίοις ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ συγκροτηθείσης, ἐν ᾗ ὑπῆρχον κατάρχοντες Θεόφιλός τε ὁ Ἀλεξανδρείας, Ἀκάκιος ὁ Βεροίας, Ἀντίοχος ὁ Πτολεμαΐδος καὶ ὁ Σεβηριανὸς Γαβάλων καὶ Κυρῖνος ὁ Καλχηδόνος, οἱ τὰ μάλιστα δυσμενῶς ἔχοντες πρὸς τὸν ἄνδρα· οἳ ἅμα πάντα, καὶ κριταὶ καὶ κατήγοροι καὶ μάρτυρες ἦσαν. ἐν ὑπομνήμασι δὲ ταῦτα ἐπράχθη ιγ'· ἀλλὰ τὰ μὲν δυοκαίδεκα κατὰ τοῦ ἁγίου, τὸ δὲ τρισκαιδέκατον περιέχει τὰ κατὰ Ἡρακλείδου τοῦ εἰς Ἔφεσον ὑπ' αὐτοῦ χειροτονηθέντος, ὅπερ οὐδὲ τὴν καθαίρεσιν ἴσχυσαν τελειῶσαι, ἑτέρων τινῶν κωλυσάντων. ὁ δὲ κατήγορος Ἡρακλείδου τῆς Μαγνήτων πόλεως ἐπίσκοπος ἦν ὀνόματι Μακάριος. ὁ δὲ τοῦ μακαρίου Ἰωάννου προφανὴς ἐχθρὸς καὶ πρῶτος κατήγορος Ἰωάννης ὁ διάκονος αὐτοῦ ἦν. κατηγόρει δὲ τοῦ Χρυσοστόμου ὅτι τε αὐτὸν ἠδίκησεν, ἀφορίσας αὐ-

a. 1. σῶμα τοῦ ἀδελφοῦ ἐπιβολῆς ς. ἐξεῖλκε corr A. 7. φύσαντος Schweighaeuserus. sed et infra p. R. 680, 32 τὰς φύντας εἰς τοὺς φυομένους et p. 1052, 4 καὶ ὁ παῖς καὶ ὁ φύς. cf. p. 165, 16. 175, 53. 613, 87. 8. post ἄδηλον quae adiciuntur, βδελυττόμενοι τούτῳ μᾶλλον ἐγκαυχώμενοι ἦσαν, om ACD. 11. διεξιοῦσα καὶ κάτ. A. 18. καί add A. 29. αὐτῇ A. 36. ἀπὸ A. 38. αὐτῶν A: αὐτῆς ς. b. 1. ἔθνος τῶν μακεδ. ς. 23. ἀπελίπετο A. 28. ὁ post καὶ add A. βεῤῥοίας ς. 30. Χαλκηδόνος ς. 32. ταῦτα A: αὐτὰ ς. 33. ιγ' A: δέκα πρὸς τοῖς τρισὶν ς.



Digitized by Google

τόν, διότι τὸν οἰκεῖον παῖδα Εὐλάλιον ἔτυψε· δεύτερον δὲ ὅτι Ἰωάννης τις μοναχὸς ἐξ ἐπιτροπῆς τοῦ Χρυσοστόμου ἐτυπτήθη, ὥς φησι, καὶ ἐσύρη καὶ μετὰ τῶν δαιμονώντων ἐσιδηροφόρησε· τρίτον ὅτι τὰ κειμήλια πλῆθος πολὺ διέπρασε· τέταρτον ὅτι τὰ μάρμαρα τῆς ἁγίας Ἀναστασίας, ἃ Νεκτάριος εἰς μαρμάρωσιν τῆς ἐκκλησίας ἐναπέθετο, οὗτος διέπρασε· πέμπτον ὅτι τοὺς κληρικοὺς ἀτίμους καὶ διεφθαρμένους καὶ αὐτοπαραχρήτους καὶ τριοβολιμαίους ὑβρίζει· ἕκτον ὅτι τὸν ἅγιον Ἐπιφάνιον λῆρον ἐκάλει καὶ δαιμονιάριον· ἕβδομον ὅτι κατὰ Σεβηριανοῦ συ-
56 R. σκευὴν ἐποιήσατο, "κινήσας κατ' αὐτοῦ τοὺς δεκανούς· ὄγδοον ὅτι καὶ κατὰ τοῦ κλήρου συκοφαντικὸν βιβλίον κατεσκεύασεν· ἔννατον ὅτι συγκροτήσας συνέδριον παντὸς τοῦ κλήρου ἔστησε τρεῖς διακόνους, Ἀκάκιον, Ἐδάφιον, Ἰωάννην, κατηγορήσας ὡς τὸ μαφόριον αὐτοῦ κλέψαντας, λέγων μὴ καὶ εἰς ἄλλο τι αὐτὸ ἔλαβον· δέκατον ὅτι Ἀντώνιον ἐλεγχθέντα τυμβωρύχον ἐχειροτόνησεν ἐπίσκοπον· ἑνδέκατον ὅτι Ἰωάννην τὸν κόμητα ἐν τῇ στάσει τῶν στρατιωτῶν αὐτὸς κατεμήνυσεν· δωδέκατον ὅτι οὔτε προϊὼν ηὔξατο εἰς τὴν ἐκκλησίαν οὔτε εἰσιών· τρισκαιδέκατον ὅτι ἄνευ θυσιαστηρίου χειροτονίας διακόνων καὶ πρεσβυτέρων ἐποίησε· τεσσαρεσκαιδέκατον ὅτι ἐν μιᾷ χειροτονίᾳ
26 H. "τέσσαρας ἐπισκόπους ἐποίησε· πεντεκαιδέκατον ὅτι δέχεται γυναῖκας μονοπρόσμονα, πάντας ἐκβάλλων ἔξω· ἑξκαιδέκατον ὅτι τὴν κληρονομίαν τὴν ἀπὸ Θέκλας καταλειφθεῖσαν πέπρακε διὰ Θεοδούλου· ἑπτακαιδέκατον ὅτι τὰ προσόδια τῆς ἐκκλησίας οὐδεὶς οἶδε ποῦ ἀπῆλθεν· ὀκτωκαιδέκατον ὅτι Σαραπίωνα ὑπὸ ἔγκλημα ὄντα πρεσβύτερον ἐχειροτόνησεν· ἐννεακαιδέκατον ὅτι τοὺς κοινωνικοὺς τῆς οἰκουμένης κατὰ γνώμην αὐτοῦ ἐγκλεισθέντας καὶ τελευτήσαντας ἐν τῇ φυλακῇ ὑπερεῖδε, καὶ οὐδὲ προπέμψαι τὰ σκηνώματα αὐτῶν κατηξίωσεν· εἰκοστὸν ὅτι τὸν ἁγιώτατον Ἀκάκιον ὕβρισε καὶ οὔτε λόγου μετέδωκεν αὐτῷ· εἰκοστὸν πρῶτον ὅτι Πορφύριον τὸν πρεσβύτερον παρέδωκεν Εὐτροπίῳ ἐξορισθῆναι· εἰκοστὸν δεύτερον ὅτι καὶ Βενέριον πρεσβύτερον παρέδωκε μεθ' ὕβρεως πολλῆς· εἰκοστὸν τρίτον ὅτι αὐτῷ μόνῳ λουτρὸν ὑποκαίεται, καὶ μετὰ τὸ λούσασθαι αὐτὸν Σαραπίων ἀπολύει τὴν ἔμβασιν, ὥστε ἄλλον τινὰ μὴ λούεσθαι· εἰκοστὸν τέταρτον ὅτι πολλοὺς ἀμαρτύρως ἐχειροτόνησεν· εἰκοστὸν πέμπτον ὅτι μόνος ἐσθίει ἀσώτως, ζῶν Κυκλώπων βίον· εἰκοστὸν ἕκτον ὅτι αὐτὸς κατηγορεῖ, αὐτὸς μαρτυρεῖ, αὐτὸς ἀποφαίνεται (καὶ δῆλον ἐκ τῶν περὶ Μαρτύριον τὸν πρωτοδιάκονον, καὶ ἐκ τῶν περὶ Προαιρέσιόν φασι τὸν Λυκίας ἐπίσκοπον)· εἰκοστὸν ἕβδομον ὅτι γρόνθον ἔδωκε Μέμνονι ἐν τοῖς ἀποστόλοις, καὶ ῥέοντος τοῦ αἵματος ἐκ τοῦ στόματος αὐτοῦ προήνεγκε τὰ μυστήρια· εἰκοστὸν ὄγδοον ὅτι ἐν θρόνῳ ἀποδύεται καὶ ἐνδύεται καὶ πάστιλον τρώγει· εἰκοστὸν ἔννατον ὅτι καὶ χρήματα τοῖς ὑπ' αὐτοῦ χειροτονουμένοις ἐπισκόποις δίδωσιν, ἵνα δι' αὐτῶν καταπονῇ τοῦ κλήρου. τὰ μὲν κατὰ τοῦ ἁγίου κεφάλαια ταῦτα. ἐκεῖνος δὲ τέταρτον προσκληθεὶς οὐ παρεγένετο, δηλοποιήσας τοῖς προσκαλουμένοις ὅτι „εἰ τοὺς προφανεῖς ἐχθροὺς ἀπὸ τῆς τάξεως τῶν κρινόντων παραστέλλετε, ἕτοιμός εἰμι καὶ παραγενέσθαι καὶ ἀπολογεῖσθαι, εἴ τίς τί μου κατηγορεῖ· εἰ δὲ τοῦτο ποιεῖν οὐ βούλεσθε, ὁσάκις ἂν ἀποστείλητε, οὐδὲν πλέον ἀνυσθήσεται." ἐξήτασαν δέ, ὡς ἐνόμισαν, ἐκ τῶν κεφαλαίων τούτων τὸ πρῶτον καὶ τὸ δεύτερον, εἶτα ἤρξαντο περὶ Ἡρακλείδου καὶ Παλλαδίου τοῦ Ἑλενουπόλεως τῶν ἐπισκόπων ἐξετάζειν· καὶ ἐπέδωκε λίβελλον πάλιν ὁ μοναχὸς Ἰωάννης, οὗ ὁ διάκονος Ἰωάννης ἐν ταῖς κατὰ τοῦ Χρυσοστόμου κατηγορίαις ἐμνήσθη, ἐγκαλῶν κατὰ Ἡρακλείδου ὅτι Ὠριγενειαστής ἐστι, "καὶ ὅτι κλέπτης ἐφωράθη ἐν Καισαρείᾳ 57 R.
τῆς Παλαιστίνης, ἱμάτια τοῦ διακόνου Ἀκυλίνου κλέπτων, καὶ ὅτι αὐτόν, φησίν, ὁ ἐπίσκοπος Ἰωάννης τοιοῦτον ὄντα εἰς Ἔφεσον ἐχειροτόνησεν. ἐνεκάλει δὲ καὶ κατ' αὐτοῦ τοῦ Χρυσοστόμου, ὡς πολλὰ κακὰ παθὼν χάριν τῶν Ὠριγενειαστῶν διὰ Σαραπίωνος καὶ παρ' αὐτοῦ ἐκείνου. εἶτα τούτων ἐξετασθέντων ἐξητάσθη πάλιν τὸ ἔννατον κεφάλαιον τῶν ἐγκλημάτων, εἶτα τὸ εἰκοστὸν ἕβδομον. εἶτα πάλιν κατηγόρησεν Ἰσαάκιος ἐπίσκοπος τοῦ Ἡρακλείδου ὡς Ὠριγενειαστοῦ καὶ ὡς μὴ παραδεχθέντος "Ἐπιφανίῳ τῷ ἁγιωτάτῳ μήτε εἰς εὐχὴν μήτε εἰς 27 I
συνεστίασιν. ἐπέδωκε δὲ ὁ αὐτὸς Ἰσαάκιος καὶ λίβελλον κατὰ τοῦ Χρυσοστόμου, περιέχοντα ταῦτα, πρῶτον περὶ τοῦ πολλάκις μνημονευθέντος Ἰωάννου τοῦ μοναχοῦ, ὅτι ἐδάρη διὰ τοὺς Ὠριγενειαστὰς καὶ ὅτι ἐσιδηροφόρησε· δεύτερον ὅτι ὁ μακάριος Ἐπιφάνιος διὰ τοὺς Ὠριγενειαστὰς Ἀμμώνιον Εὐθύμιον Εὐσέβιον καὶ Ἡρακλείδην καὶ Παλλάδιον οὐκ ἠθέλησε κοινωνῆσαι· τρίτον

a. 4. τῶν κειμηλίων A. 6. ἃ] ἃ ὁ ς. 9. αὐτοπαρακλήτους mg editorum. 11. ἀπεκάλει ς. 17. ὠμοφόριον ς. 26. μόνας πρὸς μόνας ς. ἐκβαλὼν ς. 27. ἀπὸ] praestat ὑπό. 34. προπέμψαι post αὐτῶν ponit ς. ἠξίωσεν ς. 38. Βερένιον ς. 41. ἀποκλείει mg edd. b. 9. πασῖλον ς. 12. μὲν οὖν κατὰ ς. 15. παραστείλατε A. 22. ἀπέδωκε ς. 28. ἐγκαλεῖ ς. 30. post ἐκείνου cum A omisi ἀπέστειλεν. 33 et 36. Ἰσάκιος A, et p. 18 a 29 Ἰσάκιον.

ὅτι τὴν φιλοξενίαν ἀθετεῖ, μονοσιτίαν ἐπιτηδεύων· τέταρτον ὅτι ἐπ' ἐκκλησίας λέγει τράπεζαν Ἐριννύων πεπληρωμένην· πέμπτον ὅτι καυχᾶται ἐπ' ἐκκλησίας λέγων „ἐρῶ, μαίνομαι," καὶ ὅτι ὀφείλει ἑρμηνεῦσαι τίνες εἰσὶν Ἐριννύες, καὶ τί ἐστι τὸ λέγειν „ἐρῶ, μαίνομαι·" ἡ γὰρ ἐκκλησία οὐκ οἶδε ταῦτα· ἕκτον ὅτι ἄδειαν παρέχει τοῖς ἁμαρτάνουσι, διδάσκων „ἐὰν πάλιν ἁμάρτῃς, πάλιν μετανόησον, καὶ ὁσάκις ἂν ἁμάρτῃς, ἐλθὲ πρός με, καὶ ἐγώ σε θεραπεύσω·" ἕβδομον ὅτι βλασφημεῖ ἐπ' ἐκκλησίας, λέγων ὅτι ὁ Χριστὸς προσευξάμενος οὐκ εἰσηκούσθη, ἐπεὶ μὴ δεόντως προσηύξατο· ὄγδοον ὅτι τοῖς λαοῖς ὑποβάλλει στασιάζειν κατὰ τῆς συνόδου· ἔννατον ὅτι Ἕλληνας πολλὰ κακὰ τοῖς Χριστιανοῖς διαθεμένους ὑπεδέξατο καὶ ἔχει ἐν τῇ ἐκκλησίᾳ καὶ προΐσταται αὐτῶν· δέκατον ὅτι ἐπιβαίνει ἀλλοτρίαις ἐπαρχίαις καὶ χειροτονεῖ ἐπισκόπους· ἐνδέκατον ὅτι ὑβρίζει τοὺς ἐπισκόπους καὶ ἐκπιγγάτους κελεύει ἐκβληθῆναι τῆς οἰκίας αὐτοῦ· δωδέκατον ὅτι τοὺς κληρικοὺς ξέναις ὕβρεσιν ὑβρίζει· τρισκαιδέκατον ὅτι παραθήκας ἀλλοτρίας ἥρπασε βίᾳ· τεσσαρεσκαιδέκατον ὅτι ἄνευ συνεδρίου καὶ παρὰ γνώμην τοῦ κλήρου ποιεῖ τὰς χειροτονίας· πεντεκαιδέκατον ὅτι τοὺς μὲν Ὠριγενειαστὰς ἐδέξατο, τοὺς δὲ κοινωνικοὺς τῆς ἐκκλησίας μετὰ συστατικῶν ἐλθόντας γραμμάτων καὶ ἐν τῇ φυλακῇ βληθέντας οὐκ ἐξείλετο, ἀλλὰ καὶ ἀποθανόντας ἐν αὐτῇ οὐδ' ὅλως ἐπεσκέψατο· ἑξκαιδέκατον ὅτι δούλους ἀλλοτρίους μήπω ἐλευθερωθέντας, ἀλλὰ καὶ διαβεβλημένους, ἐχειροτόνησεν ἐπισκόπους· ἑπτακαιδέκατον ὅτι αὐτὸν τοῦτον Ἰσαάκιον πολλὰ παρ' αὐτοῦ συνέβη κακωθῆναι. τούτων οὖν τῶν κατηγοριῶν τὸ μὲν πρῶτον ὥστε δὴ προεξετασθέν, ὡς ἐνόμιζον, οὐκέτι ἐξητάσθη, τὸ δὲ δεύτερον ἐξητάσθη καὶ τὸ ἕβδομον. εἶτα ἐξητάσθη πάλιν τὸ τρίτον ἔγκλημα τῶν ὑπὸ τοῦ διακόνου Ἰωάννου ἐπιδοθέντων. ἐν τούτῳ δὲ τῷ κεφαλαίῳ καὶ Ἀρσάκιος ὁ πρωτοπρεσβύτερος, ὁ αὐτὸν τὸν Χρυσόστομον διαδεξάμενος, καὶ Ἀττικὸς ὁ πρεσβύτερος οὐκ
60 B. οἶδ' ὅπως μάρτυρες ἔστησαν καὶ τοῦ ἁγίου κατεμαρτύρησαν· καὶ Ἐλπίδιος δὲ ὁ πρεσβύτερος. οἱ αὐτοὶ δὲ κατεμαρτύρησαν, καὶ σὺν αὐτοῖς καὶ ὁ πρεσβύτερος Ἀκάκιος, ἐπὶ τῷ τετάρτῳ κεφαλαίῳ. τούτων οὖν ἐξετασθέντων αὐτοί τε οἱ προειρημένοι πρεσβύτεροι, καὶ Εὐδαίμων ἔτι καὶ Ὀνήσιμος, ᾐτοῦντο ἐπιταχῦναι τῇ ἀποφάσει, καὶ πρῶτος τῆς συνόδου Παῦλος ὁ Ἡρακλείας ἠξίωσεν ἅπαντας ἀποφήνασθαι. καὶ ἀπεφήναντο τὴν τοῦ ἁγίου, ὡς ἔδοξαν ἑαυτοῖς, καθαίρεσιν, ἀρξαμένου Γυμνασίου ἐπισκόπου καὶ τελευτήσαντος Θεοφίλου τοῦ 28 H.
Ἀλεξανδρείας, οἱ πάντες τὸν ἀριθμὸν τεσσαράκοντα πέντε. εἶτα ἐγράφη τῷ κλήρῳ Κωνσταντινουπόλεως, ὡς δῆθεν ἀπὸ συνόδου, περὶ τῆς τοῦ ἁγίου καθαιρέσεως· ἀνηνέχθη καὶ τοῖς βασιλεῦσιν. ἐπεδόθησάν ἔτι καὶ λίβελλοι τρεῖς, παρὰ Γεροντίου, παρὰ Φαυστίνου, παρὰ Εὐγνωμονίου, οἳ ἔλεγον ἑαυτοὺς ἀδίκως ὑπὸ Ἰωάννου καθῃρῆσθαι. ἐγένετο καὶ ἀντιγραφὴ βασιλικὴ πρὸς τὴν σύνοδον· ἐν οἷς καὶ ἡ δωδεκάτη πρᾶξις. ἡ δὲ τρισκαιδεκάτη, ὡς ἐῤῥήθη, ἔχει τὰ περὶ Ἡρακλείδην τὸν Ἐφέσου ἐπίσκοπον.

## 60.

Ἀνεγνώσθη ΗΡΟΔΟΤΟΥ ἱστοριῶν λόγοι θ', κατὰ ἀριθμὸν καὶ ἐπωνυμίαν τῶν ἐννέα Μουσῶν. Ἰωνικῆς δὲ διαλέκτου κανὼν ἂν οὗτος εἴη, ὡς Ἀττικῆς Θουκυδίδης. κέχρηται δὲ μυθολογίαις καὶ παρεκβάσεσι πολλαῖς, δι' ὧν αὐτῷ ἡ κατὰ διάνοιαν γλυκύτης διαῤῥεῖ, εἰ καὶ πρὸς τὴν τῆς ἱστορίας κατάληψιν καὶ τὸν οἰκεῖον αὐτῆς καὶ κατάλληλον τύπον ἐνίοτε ταῦτα ἐπισκοτεῖ, οὐκ ἐθελούσης τῆς ἀληθείας μύθοις αὐτῆς ἀμαυροῦσθαι τὴν ἀκρίβειαν, οὐδὲ πλέον τοῦ προσήκοντος ἀποπλανᾶσθαι ταῖς παρεκβάσεσιν. ἄρχεται δὲ τῆς ἱστορίας ἀπὸ τῆς Κύρου βασιλείας, τοῦ πρώτου Περσῶν βασιλεύσαντος, ὅθεν τε ἔφυ καὶ ὅπως ἐτράφη τε καὶ ηὐξήθη καὶ ἐβασίλευσε· καὶ κάτεισι μέχρι τῆς Ξέρξου βασιλείας καὶ τῆς κατὰ τῶν Ἀθηναίων ἐπελάσεως καὶ τῆς φυγῆς τῆς ἐκεῖθεν. τέταρτος δέ ἐστιν ἀπὸ Κύρου Ξέρξης· δεύτερος γὰρ Καμβύσης καὶ τρίτος Δαρεῖος. ὁ γὰρ μεταξὺ Σμέρδις ὁ μάγος οὐκ ἀριθμεῖται τούτοις, ἅτε δὴ τύραννος καὶ οὐ προσήκουσαν αὐτῷ ἀρχὴν δόλῳ καὶ ἀπάτῃ ὑπελθών. Δαρείου δὲ διάδοχος ὁ υἱὸς Ξέρξης, ἐφ' οὗ ἡ ἱστορία καταλήγει, οὐδὲ μέχρι τέλους τῆς αὐτοῦ προελθοῦσα βασιλείας. ὁ δὲ Ἡρόδοτος ἐν αὐτοῖς τούτοις ἤκμασε τοῖς χρόνοις, ὡς ἄλλοι τε καὶ ὁ Σικελιώτης Διόδωρος ἱστορεῖ. λέγεται δὲ ἀναγινωσκομένης αὐτῷ τῆς ἱστορίας κομιδῇ νέον ὄντα παρὰ τῷ πατρὶ Θουκυδίδην ἀκοῦσαι καὶ δακρῦσαι· τὸν δὲ Ἡρόδοτον ἀποφήνασθαι ὡς εἴη ὁ παῖς, ὦ Ὄλουρε, ὁ σὸς ὀργῶσαν ἔχων τὴν φύσιν πρὸς μαθήματα.

a. 3. ἐκκλησίᾳ ϛ. 4. καὶ A: ἕκτον ϛ. 6. ἕκτον A: ἕβδομον ϛ. 8. ἁμαρτάνῃς ϛ. 9. ἕβδομον A: ὄγδοον ϛ. 10. ὅτι εἰ ὁ A. 12. ὄγδοον A: ἔννατον ϛ. στασιάζειν καὶ κατὰ ϛ. 13. ἔννατον A: δέκατον ϛ. 17. ὅτι ὑβρίζει — δωδέκατον om A. 26. οὐδ' ὅλως A: οὐκ ϛ. ἑκκαιδέκατον ϛ.
b. 3. ἔδοξεν ϛ. 8. βασιλεῦσι ϛ. 12. ἡ post καὶ add A. 13. ἐῤῥέθη ϛ. 18. οὗτος ἂν ϛ. 32. σμερδης.

## 61.

Ἀνεγνώσθη ΑΙΣΧΙΝΟΥ οἱ τρεῖς λόγοι, ὁ κατὰ Τιμάρχου, ὃς ἐστι καὶ πρῶτος τῶν αὐτοῦ λόγων, καὶ ὁ παραπρεσβείας, τρίτος δὲ ϗ τελευταῖος ὁ κατὰ Κτησιφῶντος. τρεῖς γὰρ μόνους αὐτοῦ φασὶ γνησίους εἶναι, καὶ ἐννέα ἐπιστολάς· διὸ τοὺς μὲν λόγους αὐτοῦ τινὲς Χάριτας ὠνόμασαν διά τε τὸ χαρίεν τοῦ λόγου ϗ τὸν
61 B. ἀριθμὸν τῶν Χαρίτων, Μούσας δὲ τὰς ἐπιστολὰς διὰ τὸν ἀριθμὸν τῶν ἐννέα Μουσῶν. φέρεται δὲ αὐτοῦ καὶ ἄλλος λόγος, ὁ Δηλιακὸς νόμος· οὐκ ἐγκρίνει δὲ αὐτὸν ὁ Καικίλιος, ἀλλ' Αἰσχίνην ἄλλον σύγχρονον τοῦδε Ἀθηναῖον τὸν πατέρα εἶναι τοῦ λόγου φησίν.

Οὗτος ὁ Αἰσχίνης εἷς ἦν τῶν δέκα ῥητόρων· κατηγορηθεὶς δὲ παραπρεσβείας ὑπὸ Δημοσθένους οὐχ ἑάλω, ἅτε δὴ Εὐβούλου τοῦ δημαγωγοῦ, ᾧ ὑπηρέτησε, συναγωνισαμένου αὐτῷ κατὰ Δημοσθένους ἐν τῷ παρασκευάσαι τοὺς δικαστὰς ἀναστῆναι ἔτι τοῦ Δημοσθένους λέγοντος. ὕστερον δὲ κατηγορήσας τοῦ ψηφίσματος ὡς παρανόμου, ὃ κατὰ Κτησιφῶντος ἔγραψε Δημοσθέ-
29 H. νης, καὶ ὁρίσας τὸ πρόστιμον αὐτὸς ἑαυτῷ, ἐὰν μὴ δείξῃ παράνομον, μὴ δείξας ὡς ὑπέσχετο ἐξέπεσε τῆς πατρίδος. καὶ πρὸς μὲν Ἀλέξανδρον τὸν Φιλίππου ἐν Ἀσίᾳ στρατεύοντα φεύγειν ὁρμηθεὶς ἐπεσχέθη, τὸν ἐκείνου θάνατον ἀκούσας καὶ μεστοὺς θορύβων τοὺς ἐκείνου μαθὼν διαδόχους, εἰς Ῥόδον δὲ πλεύσας κατέμεινε χρόνον, ἐν ᾧ τοὺς νέους ἐπαίδευε. θαυμαζόντων δὲ τῶν ἀκροατῶν, καὶ ἀπορούντων ὅπως τοσαύτην ἔχων δύναμιν τοῦ γράφειν ὑπὸ Δημοσθένους ἡττήθη, ἔφη „εἰ ἠκούσατε τοῦ θηρίου ἐκείνου" θηρίον καλῶν τὸν Δημοσθένην „οὐκ ἂν ὑμῖν τοῦτο ἠπόρητο." λέγεται δὲ οὗτος πρῶτος ἐκεῖσε σχολάζων τὰ πλάσματα καὶ τὰς λεγομένας μελέτας συνθεῖναι. γηράσας δὲ ἀπὸ Ῥόδου εἰς Σάμον μετέστη, κἀκεῖ τελευτᾷ. ἦν δὲ πατρὸς μὲν Ἀτρομήτου, μητρὸς δὲ Γλαυκοθέας τῆς ἱερείας, ἀσήμου γένους· ἀδελφοὺς δὲ εἶχε δύο, Ἀφόβητον καὶ Φιλόχαριν. τὸ μὲν οὖν πρῶτον ἐτριταγωνίστει μεγαλόφωνος ὤν, ἔπειτα ἐγραμμάτευε τῇ βουλῇ, ϗ κατ' ὀλίγον ἐπὶ τὸ δημαγωγεῖν προῆλθε. τῆς δὲ τῶν φιλιππιζόντων ἐν Ἀθήναις μοίρας ἦν· διὸ ϗ διεπολιτεύετο Δημοσθένει. διακοῦσαι δὲ αὐτὸν Πλάτωνος ϗ Ἀνταλκίδα φασὶ μαθητεῦσαι, ϗ εἶναί τι ϗ ἑκατέρου δεῖγμα διὰ τῶν Αἰσχίνου λόγων, τὸ μέγεθος τῶν ὀνομάτων ϗ τὴν σεμνότητα τῶν πλασμάτων. Διονύσιος δέ ποτε ὁ σοφιστὴς ἐντυχὼν τῷ κατὰ Τιμάρχου λόγῳ, καὶ τὴν ἀρχὴν ἀναγνοὺς τοῦ προοιμίου „οὐδένα πώποτε οὔτε γραφὴν γραψάμενος οὔτε ἐν εὐθύναις λυπήσας," εἴθε πολλοὺς ἐγράψω, ἔφη, εἴθε πολλοὺς ἐλύπησας, ἵνα πλείους καταλελοιπὼς ἐτύγχανες λόγους· οὕτως ἥσθη τῷ χαρακτῆρι τοῦ ῥήτορος. ἔστι δὲ ὁ λόγος αὐτῷ ὥσπερ αὐτοφυὴς ϗ αὐτοσχέδιος, οὐ τοσοῦτον διδοὺς τὴν τέχνην ἀποθαυμάζειν τοῦ ἀνδρὸς ὅσον τὴν φύσιν. ϗ γὰρ ὅσα δεινότητος ἔχεται, ταῦτα ἔστιν εὑρεῖν παρὰ τοῖς λόγοις αὐτοῦ, ϗ ἃ φύσεως μᾶλλόν ἐστι δείγματα. περί τε γὰρ τὴν ὀνομασίαν ἐστὶν ἀφελὴς ϗ εὔσημος, ϗ περὶ τὴν τῶν λόγων σύνθεσιν οὔτε ἄγαν ἄτονος ὥσπερ Ἰσοκράτης, οὔτε πεπιεσμένος καὶ συνεσφιγμένος ὥσπερ ὁ Λυσίας· πνεύματι δὲ ϗ τόνῳ οὐδὲν Δημοσθένους ἀπολείπει. σχήματι δὲ κέχρηται διανοίας τε καὶ λέξεως, οὐ πρὸς τὸ δοκεῖν τι σὺν τέχνῃ λέγειν, ἀλλὰ πρὸς τὸ ἀναγκαιότατον τοῖς ὑποκειμένοις πράγμασι. διὸ καὶ ἀπανοῦργός πως ὁ λόγος εἶναι δοκεῖ, καὶ ὡς τοὺς ἐν πλήθει ῥητορείας ϗ τοὺς ἰδιωτικοὺς λόγους μάλιστα ἐμπρέπων· καὶ γὰρ οὐδὲ ἐπιχειρήμασιν οὐδὲ ἐνθυμήμασι συνεχής τις ϗ λίαν ἐκβεβιασμένος. τὸν μέντοι Λυ- 64 R.
σανίου Αἰσχίνην ἄλλοι τε καὶ Φρύνιχος μᾶλλον, ὃν ϗ Σωκρατικὸν καλοῦσιν, εἰς τοὺς ἀρίστους ἐγκρίνει, κανόνα μετά γε τοὺς πρώτους Ἀττικοῦ λόγου τοὺς ἐκείνου ἀποφαινόμενος λόγους.

## 62.

Ἀνεγνώσθη ΠΡΑΞΑΓΟΡΟΥ τοῦ Ἀθηναίου τῆς 30 H.
κατὰ τὸν μέγαν Κωνσταντῖνον ἱστορίας βιβλία δύο. ἐν οἷς λόγοις διέξεισιν ὅτι ὁ πατὴρ Κωνσταντίνου Κωνστάντιος Βρετανίας ἐβασίλευσε, Μαξιμῖνος δὲ τῆς Ῥώμης καὶ τῆς ἄλλης Ἰταλίας ϗ Σικελίας, ὁ δὲ ἕτερος Μαξιμῖνος τῆς τε Ἑλλάδος ϗ τῆς κάτω Ἀσίας ϗ Θρᾴκης· Διοκλητιανὸς δέ, ὁ καὶ τῶν ἄλλων πρεσβύτατος, τῆς τε Βιθυνίας ἦρχε ϗ τῆς Ἀραβίας καὶ τῆς Λιβύης ϗ τῆς Αἰγύπτου, ὅσην ὁ Νεῖλος ἐπερχόμενος ἄρδει. τὸν οὖν Κωνσταντῖνον ὁ πατὴρ πέμπει παρὰ Διοκλητιανὸν εἰς Νικομήδειαν παιδευθησόμενον. παρὼν δέ, φησί, Μαξιμῖνος ὁ τῆς κάτω Ἀσίας βασιλεύων εἰς ἐπιβουλὰς ὥρμησε τοῦ νέου, ϗ πρὸς μά-

a. 2. ἀνεγνώσθησαν ς. 4. δὲ ὁ καὶ ς. 5. φησὶ A. 11. κικίλλος A: καικίλιος ς. 21. δείξει ς. δείξας δὲ ὡς ς. 41. εἶναί τι καὶ A: ἦν ἔτι ς. b. 1. διὰ τῶν — λόγων A: τὸν — λόγον ς. 2. ἡ σεμνότης A. 4. προοιμίου ὡς οὐδένα — γραψάμενος ὤφθην οὔτε ς. 9. ἀποθαυμ. τὴν τέχνην ς. 20. ταῖς — ῥητορείαις καὶ τοῖς ἰδιωτικοῖς λόγοις ς. 27. post λόγους illa ὅτι οἱ μαργαρῖται — πολὺ ἐν τῇ χρήσει ponit A, quae p. 22 a 12 leguntur. 29. Πραξαγόρου] πραξαγόρα τοῦ πραξαγόρου A. 32. βρεττανίας καὶ σικιλίας ἐβασ. ς. 39. παρὰ A: πρὸς ς.

χην λέοντι ἀγρίῳ καθίησι τὸν νεανίαν· ὁ δὲ τὸ μὲν θηρίον κρατήσας ἀνεῖλε, τῆς δὲ ἐπιβουλῆς αἰσθόμενος φεύγει πρὸς τὸν πατέρα. οὗ τὸν βίον λιπόντος ὁ παῖς ἐκδέχεται τὴν βασιλείαν. ταύτης δὲ ἐπιβὰς Κελτοὺς καὶ Γερμανούς, ἔθνη πρόσοικα καὶ βάρβαρα, κατεστρέψατο. ἀσελγῶς δὲ καὶ βαρέως τῶν ὑπηκόων ἄρχειν Μαξέντιον μαθὼν (ἔτος δ' ἄρ' ἦν μετὰ Μαξιμῖνον τῶν ἐν Ῥώμῃ καταστὰς κύριος) ἐστράτευσεν ἐπ' αὐτόν, δίκας τῆς εἰς τοὺς ἀρχομένους παρανομίας πραττόμενος. καὶ μάχῃ νικήσας ἐς φυγὴν ἔτρεψε. φεύγων δέ, ἣν τοῖς πολεμίοις αὐτὸς ἀπωλείας ἐδολοῤῥάφει μηχανήν, ταύτην εὕρατο τοῦ βίου καταστροφήν, τῇ παρ' αὐτοῦ κατασκευασθείσῃ διώρυγι περιπεσών. τὴν μέντοι τούτου κεφαλὴν τινες τῶν Ῥωμαίων ἀποτεμόντες καὶ ξύλῳ ἀρτήσαντες τὴν πόλιν περιεπόλευον. Κωνσταντίνῳ δὲ καὶ ἥδε ἡ βασιλεία προθύμως καὶ χαίρουσα προσεχώρησεν. ἐπεὶ δὲ καὶ Λικίνιον ὠμῶς καὶ ἀπανθρώπως τοῖς ὑπηκόοις ἀποκεχρημένον ἐπυνθάνετο (οὗτος δὲ τῆς μοίρας ἐκείνης ἐβασίλευσεν, ἧς Μαξιμῖνος ὁ τὴν ἐπιβουλὴν Κωνσταντίνῳ διὰ τοῦ λέοντος προσενεγκὼν ἐπεστάτει, αὐτοῦ τὸν βίον λιπόντος), οὐκ ἐνεγκὼν ὁμοφύλων ὕβριν ἀφόρητον ἐστράτευεν ἐπ' αὐτόν, τῆς τυραννίδος αὐτὸν εἰς τὸ βασιλικῶς ἄρχειν μεταστησόμενος. Λικίνιος δὲ τὴν τοῦ βασιλέως ἐπιστρατείαν ἀκούσας καὶ δείσας ἔκρυπτέ τε τὴν ὠμότητα φιλανθρωπίας προσχήματι, καὶ ὅρκους ὑπέτεινεν ἀγαθόν τε ἑαυτὸν τοῖς ὑπὸ χεῖρα παρασχέσθαι καὶ ἃς ἔθετο σπονδὰς συντηρεῖν ἀπαραβάτους. διὸ τότε μὲν ὁ βασιλεὺς ἀπέστη τοῦ πολεμεῖν· ὕστερον δέ, ἐπεὶ κακία ἠρεμεῖν οὐχ οἵα τέ ἐστι, καὶ τῶν ὅρκων ἠφειδηκότα καὶ ἐς πᾶν κακότητος ἐληλακότα καταπολεμήσας μάχαις καρτεραῖς καὶ ἐν τῇ Νικομηδείᾳ συγκλείσας ἐπολιόρκει. κἀκεῖθεν ἐν ἱκέτου πρὸς βασιλέα καταφυγόντα σχήματι κατέλιπεν ἡ βασιλεία, καὶ συνέβη τὸν μέγαν Κωνσταντῖνον, τῆς μεγάλης ἀρχῆς τὸν ἄξιον ἐπιζητούσης, εἰς ἑαυτὸν τὰς εἰρημένας βασιλείας ἐπισπάσασθαι· τῆς τε γὰρ πατρῴας κληρονόμος ἐγένετο, καὶ τῆς Ῥωμαίων καταλύσας Μαξιμῖνον, Ἑλλάδος τε καὶ Μακεδονίας
65 R. καὶ τῆς κάτω Ἀσίας παραλύσας τῆς ἀρχῆς τὸν ῥηθέντα Λικίνιον. οὐ μὴν ἀλλὰ καὶ τῆς ἄλλης μοίρας,
31 H. ἧς ἦρχε Διοκλητιανός, αὐτὸς ἀνεδήσατο τὸ κράτος· ὁ γὰρ Λικίνιος καὶ ταύτην εἶχεν ὑφ' ἑαυτόν, Μαξιμίνου πολέμου νόμῳ ἀφελών, ὃς Διοκλητιανοῦ διάδοχος ἐγεγόνει. κρατυνάμενος οὖν καὶ μίαν δείξας τὴν σύμπασαν βασιλείαν, κτίζει τὸ Βυζάντιον ἐπώνυμον ἑαυτῷ. φησὶν οὖν ὁ Πραξαγόρας, καίτοι τὴν θρησκείαν Ἕλλην ὤν, ὅτι πάσῃ ἀρετῇ καὶ καλοκαγαθίᾳ καὶ παντὶ εὐτυχήματι πάντας τοὺς πρὸ αὐτοῦ βεβασιλευκότας ὁ βασιλεὺς Κωνσταντῖνος ἀπεκρύψατο. ἐν οἷς αὐτῷ καὶ οἱ δύο συμπεραίνονται λόγοι.

Ἔτος δὲ τῆς ἡλικίας ἦγε δεύτερον καὶ εἰκοστὸν Πραξαγόρας, ὡς αὐτός φησιν, ὅτε ταῦτα συνέγραφε. συνεγράψατο δὲ ὁ αὐτὸς καὶ ἕτερα βιβλία δύο, περὶ τῶν Ἀθήνησι βασιλευσάντων, ἔτος ἄγων ἐννεακαιδέκατον. συνέταξε δὲ καὶ ἕτερα βιβλία ἓξ εἰς τὸν τῶν Μακεδόνων βασιλέα Ἀλέξανδρον, τριακοστὸν πρῶτον ἐλαύνων ἐνιαυτόν. ἔστι δὲ τὴν φράσιν σαφὴς καὶ ἡδύς, ὀλίγον δὲ τοῦ δέοντος ἀτονώτερος. κέχρηται δὲ Ἰωνικῇ διαλέκτῳ.

## 63.

Ἀνεγνώσθη ΠΡΟΚΟΠΙΟΥ τοῦ ῥήτορος ἱστορικὸν ἐν βιβλίοις ὀκτώ. ἱστορεῖ δὲ τὰ ἐπὶ Ἰουστινιανοῦ συνενεχθέντα πρός τε Πέρσας Ῥωμαίοις καὶ πρὸς Βανδήλους καὶ Γότθους, ἃ Βελισάριος στρατηγῶν διεπράξατο μάλιστα· ᾧ καὶ τὰ πολλὰ ὁ ῥήτωρ συνὼν τὴν ἱστορίαν ἐξ ὧν ὄψει παρείληφε συνεγράψατο. ἐν μὲν οὖν τῷ πρώτῳ βιβλίῳ διέξεισιν ὡς ἀποβιοὺς Ἀρκάδιος ὁ Ῥωμαίων βασιλεὺς Θεοδοσίῳ τῷ παιδὶ Ἰσδιγέρδην τὸν Περσῶν βασιλέα κηδεμόνα κατέλιπεν ἐν ταῖς διαθήκαις, ὁ δὲ ταύτας δεξάμενος ἐπετρόπευσε τοῦ παιδὸς σωφρόνως καὶ Θεοδοσίῳ τὴν βασιλείαν διεσώσατο. εἶτα Οὐαραράνης τὸν Ἰσδιγέρδην τελευτήσαντα διαδεξάμενος ἐστράτευσεν ἐπὶ Ῥωμαίους· Ἀνατολίου δὲ τοῦ τῆς ἑῴας στρατηγοῦ παρὰ Θεοδοσίου εἰς Πέρσας ἐπὶ πρεσβείᾳ σταλέντος Οὐαραράνης ὁ Περσῶν βασιλεὺς τὴν πρεσβείαν δεξάμενος ὑπέστρεψε σπονδὰς θέμενος. εἶτα Περόζης ὁ Περσῶν βασιλεύς, Ἰσδιγέρδην ἄλλον τὸν Οὐαραράνου παῖδα διαδεξάμενος, ἐπολέμησε πρὸς Οὔννους, ἔθνος οὕτω καλουμένους Ἐφθαλίτας, οὓς καὶ λευκοὺς καλοῦσι· λευκοὶ γάρ εἰσι καὶ οὐκ ἄμορφοι τὰς ὄψεις, οὐδ' ὅμοιοι τοῖς ἄλλοις Οὔννοις· οὔτε γὰρ νομαδικοί εἰσιν οὔτε ἄγριοι, ἀλλὰ πολιτείᾳ τε νομίμῳ χρῶνται καὶ ὑπὸ σφῶν βασιλέα τάττονται. προσοικοῦσι δὲ πρὸς Βοῤῥᾶν ἄνεμον Πέρσαις· διὸ καὶ ὁροθεσίων

a. 10. τοῖς πολ. — μηχανὴν A: αὐτὸς τοῖς πολεμίοις ἐδολοῤῥάφει μηχανὴν τῆς ἀπωλείας ς. 23. μετασχησόμενος ς. 25. ὠμότητα καὶ φιλανθρωπίας ς. 31. κρατεραῖς ς. 34. κατέλειπεν ς. 41. αὐτὸς add A. 42. Μαξιμῖνον Casaubonus. b. 2. κρατυνόμενος A. 16. δὲ καὶ Ἰωνικῇ ς. 21. βανδίλους A. 22. βελισσάριος ς et hic et infra. 26. τὸν] τῶν A. 42. ὁροθετῶν A.

Digitized by Google

ἕνεκα ἐπὶ τοὺς Ἐφθαλίτας Περόζης ἐστράτευσεν. ἀλλὰ τὸ μὲν πρῶτον δυσχωρίαις περιπεσὼν ἐκ προνοίας τῶν Ἐφθαλιτῶν, αἰσχρῶς καὶ μόλις σπονδὰς θέμενος ὑπέστρεψε· προσεκύνησε γὰρ ὥστε κύριον τὸν βασιλέα τῶν Ἐφθαλιτῶν, καὶ μήποτε ἐπιστρατεύειν διομοσάμενος ἀπηλλάγη. παρασπονδήσας δὲ ὕστερον καὶ ἐπιστρατεύσας ἀκλεῶς ἅμα τῷ παντὶ στρατῷ διεφθάρη, τάφροις τισὶ καὶ διώρυξι περιπεσὼν διεσκευασμένοις, τέταρτον δὲ καὶ εἰκοστὸν τῆς βασιλείας αὐτοῦ ἐλαύνων ἐνιαυτόν· ἐν ᾧ καὶ τὸν πολυθρύλητον μάργαρον, ὅσπερ ἐξ ὠτὸς τοῦ δεξιοῦ Περόζου ἀπεκρέματο, συνέβη ἀφανισθῆναι.

68 R. ὅτι οἱ μαργαρῖται καὶ μάργαροι λέγονται καὶ μαργαρίδαι. εὕρηται γὰρ ὁ μάργαρος παρά τε Προκοπίῳ τῷ ῥήτορι καὶ ἄλλοις ἀξιολόγοις, τὸ δὲ μαργαρίδαι παρά τε Πραξαγόρᾳ ἰωνίζοντι ἐν τῇ περὶ τὸν μέγαν Κωνσταντῖνον δευτέρᾳ ἱστορίᾳ καὶ παρ' ἄλλοις. οἱ δὲ μαργαρῖται σύνηθες καὶ πολὺ ἐν τῇ χρήσει.

52 H. Εἶτα μετὰ Περόζην ὁ νεώτατος υἱὸς Καβάδης ὡς ἐβασίλευσεν, ὅπως τε παρανομῶν εἰς τὸ τῆς λήθης φρούριον ὑπ' αὐτῶν Περσῶν ἐνετέθη, ὅπως τε λαθὼν διὰ τῆς γυναικὸς εἰς τοὺς Ἐφθαλίτας ἀπέδρα, καὶ ὅπως ἐκεῖσε κηδεύσας, στρατῷ μεγάλῳ Ἐφθαλιτῶν ἐπὶ Πέρσας ἐλάσας, ἀμαχητὶ τὴν ἀρχὴν ἀνεκτήσατο, καὶ Βλάσιν τὸν Περόζου ἀδελφὸν ἀντ' αὐτοῦ βασιλεύσαντα ἔρημον λαβὼν τῶν ἀμυνομένων ἐξετύφλωσε, ζέον ἔλαιον τοῖς ὀφθαλμοῖς ἠνεῳγμένοις ἐπεγχέας· τρόπῳ γὰρ τῷδε Πέρσαι τυφλοῦσιν. τά τε περὶ Πακουρίου τοῦ Περσῶν βασιλέως καὶ Ἀρσάκου Ἀρμενίων. τῆς τε τῶν ἐπαοιδῶν ὑποθήκης κατὰ Ἀρσάκου τῷ Πακουρίῳ γεγενημένης, εἰ μὴ μῦθος ταῦτα συνέθετο.

ὅτι Καβάδης ὁ προειρημένος ὀφλὼν Ἐφθαλίταις χρήματα Ἀναστάσιον βασιλέα ᾐτεῖτό οἱ δανεῖσαι, τοῦ δὲ μὴ δόντος ἄνευ ἄλλης αἰτίας ἀθρόον πολλὰ τῆς Ἀρμενίας κατέδραμε καὶ Ἀμίδαν ἐπολιόρκει, ἀπορήσας δὲ ἀνεχώρει, ἀναχωροῦντι δὲ ἡ τῶν ἑταιρίδων γυναικῶν αἰσχροπραγμοσύνη αἰτία τῆς ὑποστροφῆς κατέστη, καὶ πολιορκήσας θυμῷ καὶ ὀργῇ Καβάδης τήν τε πόλιν κατὰ κράτος εἷλε καὶ τοὺς ἐν αὐτῇ ἠνδραποδίσατο. ὕστερον δὲ πολλοὺς τῶν αἰχμαλώτων ἀφῆκε προῖκα, οὓς καὶ Ἀναστάσιος ἐς τὰ μάλιστα ἐφιλοφρονήσατο.

ὅτι πολιορκουμένην Ἀμίδαν μαθὼν Ἀναστάσιος στρατεύματος πλῆθος λίαν κατὰ Περσῶν ἔστειλε, στρατηγοὺς ἐπιστήσας Ἀρεόβινδόν τε τὸν ἑῴας στρατηγόν, ὃς ἦν Ὀλυβρίου κηδεστὴς τοῦ μικρῷ πρόσθεν τῆς ἑσπέρας βασιλεύσαντος, Κέλερά τε τὸν μάγιστρον Πατρίκιόν τε τὸν Φρύγα καὶ Ὑπάτιον τὸν οἰκεῖον ἀδελφιδοῦν. οὗτοι μὲν οὖν στρατηγοὶ τέσσαρες, συνῆν δὲ αὐτοῖς καὶ Ἰουστῖνος ὁ μετὰ Ἀναστάσιον βασιλεύσας, ἄλλοι τε πολλοὶ καὶ ἀγαθοὶ τὰ πολέμια· στράτευμα γὰρ τοιοῦτον οὔποτε ἐπὶ Πέρσας Ῥωμαίοις φασὶ ξυστῆναι, ἀλλ' ὑστερησάντων ἡ πόλις ἑάλω, καὶ οὐχ ἅμα Καβάδῃ πολεμήσαντες, ἀλλὰ χωρὶς ἕκαστοι, ἀκλεῶς ἀπηλλάγησαν, πολλοὺς τῶν οἰκείων ἀποβαλόντες. ὕστερον δὲ ἐς Ἀμίδαν ἀφικόμενοι ἐπολιόρκουν τὴν πόλιν· χρονοτριβέντων δὲ οἱ ἐντὸς Πέρσαι, ἤδη δὲ καὶ ἀπορέμενοι, ἐς σπονδὰς Ῥωμαίοις ἔτεσιν ἑπτὰ συνέβησαν, Κέλερος μὲν ὑπὲρ Ῥωμαίων, Ἀσπεβέδου δὲ ἀντὶ Περσῶν αὐτὰς ποιησαμένων.

ὅτι τὸ Κιλίκων ὄρος ὁ Ταῦρος ἀμείβει μὲν τὰ πρῶτα Καππαδόκας καὶ Ἀρμενίους καὶ τῶν Περσαρμενίων τὴν γῆν, εἶτα Ἀλβανοὺς καὶ Ἴβηρας, καὶ ὅσα ἄλλα αὐτόνομα ἔθνη καὶ Πέρσαις κατήκοα ταύτῃ φκηνται. ὑπερβάντι δὲ τοὺς Ἰβήρων ὅρους ἀτραπός ἐστιν ἐν στενοχωρίᾳ πολλῇ ἐπὶ σταδίους πεντήκοντα ἐξικνουμένη, αὕτη τε ἡ ἀτραπὸς ἐς ἀπότομόν τινα καὶ ὅλως ἄβατον τελευτᾷ χῶρον· δίοδος γὰρ οὐδεμία φαίνεται, πλήν γε δὴ ὅτι ὥσπερ τινὰ χειροποίητον πυλίδα ἐνταῦθα ἡ φύσις ἐξεῦρεν, ἣ Κασπία ἐκ παλαιοῦ ἐκλήθη. τὰ 69 R.
δὲ ἐνθένδε πεδία τέ ἐστιν ἱππήλατα καὶ ὑδάτων πολλῶν ἀτέχνως ἔμπλεα, καὶ χώρα πολλὴ ἱππόβοτός τε 53 H.
καὶ ἄλλως ὑπτία, οὗ δὴ τὰ Οὔννων ἔθνη σχεδόν τι πάντα ἵδρυνται ἄχρι ἐς τὴν Μαιῶτιν διήκοντα λίμνην. οὗτοι δὴ ἢν μὲν διὰ τῆς πυλίδος, ἧς ἄρτι ἐμνήσθην, ἴωσιν ἐς τὰ Περσῶν καὶ Ῥωμαίων ἤθη, ἀκραιφνέσι τοῖς ἵπποις ἴενται· μόνοις γὰρ τοῖς εἰρημένοις πεντήκοντα σταδίοις τῆς δυσχωρίας ταλαιπωροῦνται, οἵπερ ἐς τοὺς Ἰβηρίας ὅρους, ὥσπερ ἐρρήθη, διήκουσιν· ἐπ' ἄλλας δέ τινας ἐξόδους ἰόντες πόνῳ τε πολλῷ καὶ μόλις εἰς τὰ Περσῶν καὶ Ῥωμαίων ἤθη παραγίνονται. ὅπερ ἐπειδὴ ὁ Φιλίππου Ἀλέξανδρος κατενόησε, πύλας τε ἐν χώρῳ τῷ εἰρημένῳ ἐτεκτήνατο καὶ φυλακτήριον κατεστήσατο. τοῦτο ἐν ταῖς Ἀναστασίου ἡμέραις Ἀμβαζούκης κατεῖχεν, Οὖννος μὲν τὸ γένος, Ῥωμαίοις δὲ καὶ Ἀναστασίῳ φίλος, ὃς καὶ ἐνεχείριζεν Ἀναστασίῳ τὰς πύλας. ὁ δὲ

a. 6. καὶ om A. 8. διωρύξεσι A. 10. πολυθρύλλητον ς. 14. post ἄλλοις cum A omisi τε. 19. τε A: δὲ ς. 24. βλάσην ς. 26. ἀνεῳγμένοις ς.
b. 2. Ὀλυμβρίου ς. 6. βασιλεὺς ς. 17. κέλικος A. 21. ἰβήρους A. 22. πεντήκοντα A: ξ ς. 33. ἑξήκοντα ς. 34. εἰς ς. 41. τὸ om A. ἀναστασίου A.

τῆς μὲν προθυμίας ἀπεδέχετο, οὐκ ἀνεδέχετο δὲ τὴν φροντίδα. Καβάδης δὲ τελευτήσαντος Ἀμβαζούκου ἐβιάσατο τοὺς παῖδας ϗ τὰς πύλας ἔχειν. Ἀναστάσιος δέ, ἐπεὶ αἱ πρὸς Καβάδην ἐγένοντο σπονδαί, πόλιν ἐδείματο ἐν χωρίῳ Δαρᾶς ἐχυρὰν Περσῶν οὐκ ἐθελόντων, καὶ ἑτέραν πόλιν ἐν Ἀρμενίοις, ἐγγυτάτω τῶν Περσαρμενίας ὁρίων, ἥτις πρὶν ἐκαλεῖτο Θεοδοσίου πόλις, ἅτε Θεοδοσίου πόλεως αὐτῇ ἀξίωμα ἀντὶ κώμης περιθεμένου.

ὅτι Ἀναστασίου τελευτήσαντος, καίτοι πολλῶν ὄντων τῶν πρὸς γένους ἀξίων τῆς βασιλείας, πάντων ταύτης ἀπεληλαμένων Ἰουστῖνος τὴν ἀρχὴν διεδέξατο. πρὸς ὃν Καβάδης, Χοσρόη τῷ νεωτάτῳ παιδὶ τὴν βασιλείαν μέλλων ἀσφαλῶς καταλιπεῖν, γράμματα ἔγραψεν υἱοποιηθῆναι αὐτῷ τὸν Χοσρόην αἰτούμενος. Ἰουστῖνος δὲ περιχαρὴς ἐδέξατο τὴν αἴτησιν, ἀλλά γε δὴ καὶ Ἰουστινιανὸς ὁ ἀνεψιός, ἤδη ἐπίδοξος ὢν τὴν βασιλείαν ἐκδέξασθαι. ἀλλὰ Πρόκλου τοῦ κυαίστορος ταῖς συμβουλαῖς μετέμελε τὰ δόξαντα, ϗ Χοσρόης ἐσποιητὸς υἱὸς Ἰουστίνῳ οὐκ ἐγένετο· τὸν γὰρ υἱὸν ἔφασκε ϗ κληρονόμον εἶναι τῆς πατρῴας ἀρχῆς νόμιμον. ἐπὶ δὲ τοὺς περὶ Χοσρόην λόγους ϗ τὴν εἰρήνην Περσῶν μὲν Σεόσης ὁ Καβάδην σώσας πάλαι ϗ Βεόδης ἐστάλησαν, Ῥωμαίων δὲ Ῥουφῖνος καὶ Ὑπάτιος. καὶ Βεόδης μὲν Σεόσην Πέρσαις ἐνδιαβαλὼν ἀναιρεθῆναι πεποίηκε, Ῥουφῖνος δὲ Ὑπάτιον εἰς βασιλέα διαβαλὼν παραλυθῆναι τῆς ἀρχῆς παρεσκεύασεν.

ὅτι μεταξὺ Βοσπόρου καὶ Χερσῶνος, αἳ διέχουσιν ἀλλήλων ὁδὸν ἡμερῶν εἴκοσι, τὰ ἐν μέσῳ Οὐννικὰ ἔθνη αὐτόνομα ὄντα πρότερον Ἰουστίνῳ κατήκοα γέγονεν· ἡ δὲ Χερσὼν ἐσχάτη τῆς Ῥωμαϊκῆς ὑπῆρχε γῆς. προσεχώρησαν δὲ ϗ Ἴβηρες Ἰουστίνῳ ἅμα Γουργένῃ τῷ σφῶν ἡγεμόνι, ὑπὸ Περσῶν ταλαιπωρούμενοι. ϗ ὑπὲρ αὐτῶν Ῥωμαίοις καὶ Πέρσαις ἠρέθη πόλεμος.

ὅτι ἔτι ζῶν Ἰουστῖνος Ἰουστινιανὸν κοινωνὸν τῆς βασιλείας ἐποιήσατο, τελευτήσαντος δὲ τοῦ θείου ἐς μόνον Ἰουστινιανὸν τὰ τῆς ἀρχῆς περιελήλυθε. Βελισάριος δὲ καὶ Σίττας δορυφόρω ἤστην Ἰουστινιανοῦ ἔτι
34 H. στρατηγοῦντος. "ὑπὸ δὲ Ἰουστίνου τῶν ἐν Δαρᾶς καταλό-
72 B. γων Βελισάριος ἄρχων κατέστη," ὅτε ϗ Προκόπιος ὁ συγγραφεὺς σύμβουλος αὐτῷ ἡρέθη. μοναρχήσαντος δὲ Ἰουστινιανοῦ Βελισάριος τῆς ἕω στρατηγὸς καταστὰς ἐπὶ Πέρσας στρατεύειν ἐτέτακτο. Καβάδης δὲ Περόζην ἄνδρα Πέρσην, μιῤῥάνην δὲ τὸ ἀξίωμα, τοῦ οἰκείου στρατοῦ ἡγεμόνα κατεστήσατο· καὶ ἄμφω τὰ στρατεύματα περὶ Δαρᾶς ἐστρατοπεδεύσαντο. καὶ Περόζης Βελισαρίῳ ἐδήλου ἐν παρασκευῇ τὸ ἐν πόλει βαλανεῖον ἔχειν· βούλεσθαι γὰρ αὐτὸν λούσασθαι τῇ ὑστεραίᾳ. διὸ δὴ Ῥωμαῖοι τὰ ἐς τὴν συμβολὴν κρατερῶς ἐξηρτύοντο. παρατάξεως δὲ γενομένης ἑκατέρου στρατεύματος, Ἀνδρέας τις Βυζάντιος παιδοτρίβης καὶ παλαίστρας ἐν Βυζαντίῳ προεστηκώς, ὃς δὴ καὶ ἐν τοῖς τοῦ Βούζου τοῦ συστρατηγοῦντος Βελισαρίῳ οἰκείοις ἐτύγχανεν, ἅτε τοῦ Βούζου σώματος ἐν βαλανείῳ ἐπιμελούμενος, οὗτος προκλήσεως ἐς μονομαχίαν γεγενημένης λαθὼν ἅπαντας, δεύτερον μονομαχήσας, ἐνίκησε, καὶ ἀρξαμένου τοῦ πολέμου διελύθησαν. ὕστερον δὲ πάλιν συστάντος αὐτοῖς πολέμου πολλῷ καθυπέρτεροι Ῥωμαῖοι ἐγένοντο καὶ Περσῶν πολὺς ἐῤῥύη φόνος, καὶ ἀπ᾿ αὐτοῦ οὐκέτι ἤθελον ἐκ τοῦ εὐθέος μάχην διενεγκεῖν ἐς Ῥωμαίους, ἔφοδοι δὲ ἐξ ἐπιδρομῆς ἀμφοτέροις ἐγίνοντο.

ὅτι Καβάδης ἄλλο στράτευμα ἐς Ἀρμενίαν τὴν Ῥωμαίοις κατήκοον ἔπεμψεν, ὃ δὴ στράτευμα Περσαρμενίων ϗ Σαυνιτῶν ϗ Σαβίρων ἦν· τούτῳ τῷ στρατῷ Μερμερόης ἡγεῖτο. Δωρόθεος δὲ ὁ Ἀρμενίας στρατηγὸς καὶ Σίττας, ὃς παντὸς ἐφεστήκει τοῦδε τοῦ Ῥωμαϊκοῦ στρατεύματος, συμβαλόντες τοῖς πολεμίοις ὀλίγοι πολὺ πλειόνων ἐκράτησαν· ἐξ οὗ δὴ ϗ ἐπ᾿ οἴκου οἱ τῇδε Πέρσαι ἀνεχώρησαν. τότε καὶ ἄλλα μὲν Περσικὰ χωρία Ῥωμαῖοι κατέχον, κατέχον δὲ ϗ τὸ Φαράγγιον καλούμενον, ὅθεν δὴ καὶ τὸν χρυσὸν Πέρσαι ὀρύσσοντες βασιλεῖ φέρουσι. καὶ Τζάνοι δὲ οἱ πάλαι Σάνοι καλούμενοι, αὐτόνομοι ὄντες καὶ λῃστρικώτερον τοὺς πλησιοχώρους κατατρέχοντες, ὑπὸ Σίττα καταστρατηγηθέντες εἰς τὸ ἡμέτερόν τε μεταβληθέντες Χριστιανοὶ γεγόνασι ϗ κατήκοοι Ῥωμαίοις, ὡς ϗ ἐς λόγους στρατοῦ Ῥωμαϊκοῦ κατατάττεσθαι.

ὅτι Καβάδης ἄμφω τῶν στρατευμάτων αὐτοῦ ἡττηθέντων ἐν ἀπορίᾳ ἦν, Ἀλαμένδαρος δὲ ὁ τῶν παρὰ Πέρσαις Σαρακηνῶν βασιλεύς, ἀνὴρ ὢν δεινὸς τὰ πολέμια ϗ δραστήριος, ὃς ἐς γόνυ τὰ Ῥωμαίων ἔκλινε πράγματα ἔτεσι πεντήκοντα, οὗτος ὑπέθετο Καβάδῃ

a. 5. Δαρᾶς ἐχυρὰν A: Δαῤῥοῦς καὶ Ἀγχοῦ ς. 11. γένος ς. 14. καταλ. ἀσφ. ς. 16. περιχαρῶς ς. 18. ἀναδέξασθαι A. κυίστορος A, κοαίστορος ς. 20. Ἰουστίνου ς. 23 et 24. Βεώδης ς. 28. ὅτι τὰ μεταξὺ A. 32. Γουργογένει ς. 34. ἠρέθη A. malim ἤρθη. 38. Σίλας ς. 39. δάρας A, qui sic et infra. b. 3. μηράνην ς. 7. post ὑστεραίᾳ cum A omisi ἔφη. 8. libri συμβολήν. ἐξηρτοῦντο ς. 18. πολὺς A: πολλοὺς ς. 19. ἐς ῥωμαίους A: ῥωμαίοις ς. 23. σαβήρων ς. 27. οἱ add A. 32. σάνοι A: σαῦνοι ς. alibi legitur Ἴσαυροι. Casaubonus. 33. τοῖς πλησιοχώροις ς. 40. ὃς add A.

Digitized by Google

ἐς Ἀντιόχειαν τότε ἀφύλακτον οὖσαν καὶ τὰ ταύτῃ χωρία ἐσβαλεῖν. γνοὺς δὲ Βελισάριος κατὰ τάχος ὑπηντίαζε, στράτευμα Ἰσαύρων καὶ Ἀρέθαν τὸν τῶν παρὰ Ῥωμαίοις Σαρακηνῶν βασιλέα ἅμα τοῦ οἰκείου συνεπαγόμενος λαοῦ. Ἀλαμένδαρος δὲ καὶ Ἀζαρέθης ὀῤῥωδήσας ἐπ' οἴκου ἀπεχώρει· καὶ Βελισάριος εἵπετο, ἔτι ἐς χεῖρας ἐλθεῖν προαιρούμενος, τὴν δίωξιν δὲ χηματιζόμενος. ἀλλὰ τό γε πλῆθος ἐλοιδορεῖτο αὐτῷ, 35 H. πρῶτον μὲν οὐκ εἰς τὸ ἐμφανές· ἐπεὶ δὲ ἐμφανῶς ἐκάκιζον, ἄκων συγκροτεῖ τὸν πόλεμον. καὶ τὰ μὲν πρῶτα πιπτόντων ἑκατέρωθεν ἀγχώμαλος ἡ μάχη ἐγένετο, ἔπειτα δὲ τραπέντος τοῦ περὶ Ἀρέθαν λαοῦ καὶ τῶν Ἰσαύρων κατὰ κράτος ἐνίκων Πέρσαι· καὶ εἰ μὴ ἀπὸ τοῦ ἵππου καταβὰς Βελισάριος τοῖς καταλελειμμένοις συνετάττετο καὶ ἠμύνετο, ἅπαντες ἂν διεφθάρησαν. Ἀζαρέθης μέντοι ὁ Περσῶν στρατηγὸς 73 R. ὑποστρέψας πρὸς Καβάδην οὐκ ἀπώνατο τῆς νίκης· πολλοὺς γὰρ ἦν καὶ αὐτὸς ἀποβαλὼν ἐν τῇ μάχῃ, εἰ καὶ πολὺ πλείους τῶν ἀντιπάλων διεφθάρησαν· διὸ ἐν τοῖς ἀτίμοις ἐτέλει.

ὅτι Βελισάριον ὁ βασιλεὺς ἐς Βυζάντιον μετακαλεσάμενος, ἐφ' ᾧ ἐπὶ Βανδάλους στρατεύσειε, Σίτταν φυλάξοντα τὴν ἑῴαν ἀπέστειλεν· ἐν ᾧ καὶ Πέρσαι κατὰ Ῥωμαίων ἐσβάλλουσι, καὶ Καβάδου τελευτήσαντος ὁ παῖς Χοσρόης τὴν βασιλείαν ἐκδέχεται. Ῥουφῖνος δὲ καὶ Ἀλέξανδρος καὶ Θωμᾶς σὺν Ἑρμογένει παρὰ Χοσρόην παραγίνονται ἐπὶ πρεσβείαν· οἷς τὴν εἰρήνην ἀπέραντον ἔφησε θέσθαι δέκα καὶ ἑκατὸν κεντηναρίοις. ἀλλὰ τότε μὲν ἄπρακτοι διελύθησαν, ὕστερον δὲ τὴν ἀπέραντον εἰρήνην ἐσπείσαντο, ἕκτον ἤδη ἔτος τὴν βασιλείαν Ἰουστινιανοῦ ἔχοντος. καὶ Ῥωμαῖοι μὲν τά τε χρήματα καὶ τὸ φαράγγιον καὶ Βῶλον τὸ φρούριον Πέρσαις παρέδοσαν, Πέρσαι δὲ Ῥωμαίοις τά τε Λαζικῆς ὅρια καὶ Δάγαριν, ἄνδρα ἀγαθὸν τὰ πολέμια, ἀντ' αὐτοῦ ἕτερον κεκομισμένοι οὐκ ἀφανῆ ἄνδρα. εὐθὺς μέντοι ἑκατέρῳ βασιλεῖ ἐπιβουλὴν ξυνηνέχθη γενέσθαι πρὸς τῶν ὑπηκόων. καὶ Χοσρόην μὲν ἅτε θορυβώδη καὶ ἄτακτον ὁ Περσῶν μισήσας λεώς, Καβάδην τὸν Ζάμου τοῦ ἀδελφοῦ παῖδα βασιλέα σφίσιν ἐβουλεύσαντο στήσασθαι· ἀλλὰ γνοὺς ὁ Χοσρόης Ζάμην τε τὸν ἀδελφὸν καὶ τοὺς ἄλλους ἀδελφοὺς ἅμα τῶν μεταχόντων τῆς βουλῆς ἀνελὼν τὴν στάσιν ἔπαυσε. Καβάδης δὲ ὁ Ζάμου, κομιδῇ νέος ὤν, προνοίᾳ Χαναράγγου τοῦ Ἀδέργου Δουβάνδου διέφυγε τὸν θάνατον· καὶ ὁ Χαναράγγης ὕστερον διὰ τοῦτο ὑπὸ Χοσρόου ἀνῄρηται. Ἰουστινιανὸν δὲ ὁ δῆμος ἐπιβουλεύων Ὑπάτιον ἄκοντα, τὸν Ἀναστασίου τοῦ βεβασιλευκότος ἀδελφιδοῦν, βασιλέα σφῶν ἀνηγόρευσαν, ἀρξάμενοι τῆς ἐπιβουλῆς καὶ τῆς στάσεως ἀπὸ τῆς ἐν τοῖς ἱπποδρομίοις ἔριδος· βασιλεὺς δὲ Ἰουστινιανός, Βελισαρίῳ τε καὶ Μούνδῳ τοῖς στρατηγοῖς χρώμενος, τόν τε Ὑπάτιον καθεῖλε καὶ πολλοὺς τῶν στασιωτῶν ἀνεῖλεν, ἄχρι καὶ ἐς τρεῖς μυριάδας τοῦ ἀναιρεθέντος λαοῦ συντελοῦντος. συνέπραττον δὲ τῷ βασιλεῖ Βοραΐδης καὶ Ἰοῦστος, οἱ αὐτοῦ ἀνεψιοί.

Ἐν αὐτῷ δὲ τῷ λόγῳ περὶ Τριβωνιανοῦ τοῦ ἐκ Παμφυλίας ἕλκοντος τὸ γένος διέξεισιν, ὃς τὴν κυαίστορος διεῖπεν ἀρχήν, περί τε τῆς φιλοχρηματίας καὶ τῆς ἄλλης αἱμυλίας, καὶ περὶ Ἰωάννου τοῦ ἐπάρχου τοῦ ἐκ Καππαδοκῶν, τῆς τε πανουργίας καὶ ἀπληστίας καὶ μέθης καὶ τῆς ἄλλης κακότητος· ὅπως τε Ἀντωνῖνα ἡ τοῦ Βελισαρίου γυνὴ δι' Εὐφημίας τῆς αὐτοῦ θυγατρὸς φρεναπατήσασα Ἰωάννην ἐπίβουλον ἔδειξε βασιλέως, ὅπως 36 H. τε ὕστερον, Εὐσεβίου τοῦ ἐπισκόπου Κυζίκου ἐξ ἐπιβουλῆς ἀναιρεθέντος, σύνεργος ὑπονοηθεὶς τοῦ μιάσματος ᾐκίσθη τὸ σῶμα καὶ ἀκλεῶς ἐξορίᾳ πικρᾷ καὶ τελευταίᾳ παρεδόθη.

ὅτι ἐν τῷ δευτέρῳ λόγῳ διέξεισιν ὅπως τε Χοσρόην μελετῶντα λῦσαι τὰς σπονδὰς διὰ τὴν τῶν Ῥωμαίων κατὰ Λιβύην ἐπικράτειαν (φθόνῳ γὰρ ἐβάλλετο) Οὐίττιγις ὁ τῶν Γότθων βασιλεὺς διά τινων Λιγούρων κοινολογησάμενος μᾶλλον ἐπώτρυνεν· εἶτα καὶ Βασσάκου ἅμα τῶν Ἀρμενίων ἀποστάντων μὲν Ῥωμαίων καὶ Σίτταν τὸν στρατηγὸν ἐν μάχῃ ἀνελόντων, Πέρσαις δὲ προσχωρησάντων, τὰς ἀπεράντους σπονδὰς καλουμένας λύσας Χοσρόης πολεμεῖν ἔγνω, Ἰουστινια- 76 R. νὸς δὲ μαθὼν παραίνεσιν αὐτῷ δι' Ἀναστασίου προσῆγε μὴ παρασπονδεῖν. ἐν τούτῳ καὶ Οὐίττιγις αἰχμάλωτος παρὰ Βελισαρίου εἰς Βυζάντιον ἀνεπέμφθη. Χοσρόης δὲ τὰ Ῥωμαίων ὅρια καταδραμὼν τὴν Σούρων πόλιν εἷλε καὶ Σουρήνας ἠνδραποδίσατο. ὕστερον

a. 1. ταύτῃ apographum Stephani: ταύτης ς. 3. τὸν om A. 4. τῷ οἰκείῳ — λαῷ ς. 7. ἅτε ς. 9. ἐπεὶ ἀφανῶς ς. 13. ἐνίκων πέρσαι κατακράτος ς. 16. ἀζαρέθης ς. 17. πρὸς A: εἰς ς. 21. εἰς ς. 22. βανδίλους A. 23. φυλάξαντα ς. 32. βόλον A. 34. δαγάρην ς. 35. αὐτοῦ δὲ καὶ ἕτερον κεκοσμημένον ς. 40. ζάμον ς.

b. 1. τοῖς μετασχοῦσι ς. 2. ζαμοῦ A. 4. δουβάνδου ς. διὰ τοῦτο ὕστερον ς. 5. ἰουστινιανῷ ς. 7. ἀνηγόρευσεν ς. 14. βαραΐδης ς. 16. τὴν τοῦ κοιαίστωρος ς. 25. ἀνηλεῶς ς. 28. τῶν add A. 29. λιβύων A. ὁ Οὐίττιγις ς. 31. Βασάκου ὅτε ἅμα ς. 32. μὲν] μὲν τῶν ς. 34. καλουμένας σπονδὰς ς. 39. σύρον — συρίνους ς.

Digitized by Google

μέντοι εἰς δισχιλίους ϗ μυρίους ὄντας τοὺς αἰχμαλώτους δυοῖν ὁμολογίᾳ κεντηναρίων ἀφῆκεν ἅπαντας, Κανδίδου τοῦ ἐπισκόπου Σεργιουπόλεως ἐκτῖσαι τὸ χρέος ὑποσχομένου· ὁ δὲ τῆς ὑποσχέσεως ἀλογήσας τὴν δικαίαν εἰσεπράττετο ἔκτισιν. Χοσρόης δὲ τὴν Ἱεράπολιν πολιορκεῖν ἀρξάμενος, ἐπεὶ ὁ Βεροίας αὐτῷ ἐπίσκοπος ἀργύρου σταθμὰ δισχίλια ἔθετο, ἀπέστη τῆς πολιορκίας, ὁμολογήσας καὶ πάσης ἀποστῆναι τῆς ἑῴας, εἰ δέκα χρυσοῦ κεντηνάρια λάβοι. Βούζης δὲ ὁ τῆς ἑῴας στρατηγός, ἀξιόμαχον ἑαυτὸν οὐκ οἰόμενος τῷ Χοσρόῃ, ὧδε κἀκεῖσε περιεπλανᾶτο. Χοσρόης δὲ ἐπὶ Βέροιαν στρατεύσας ᾔτει μὲν πολλὰ χρήματα, λαβὼν δὲ δισχίλια σταθμὰ ἀργυρίου ἄλλα τοσαῦτα προσεπεζήτει, μὴ διδόντων δὲ ἰσχυρῶς ἐπολιόρκει. τοῦ δὲ σφῶν ἐπισκόπου παραγενομένου (Μέγας ἦν ὄνομα αὐτῷ) καὶ Χοσρόην λιπαροῦντος τοὺς μὲν Βεροιαίους κακῶν ἀπαθεῖς ἀφῆκεν ἰέναι, ὅπῃ φίλον ἑκάστῳ εἴη· οἱ δὲ στρατιῶται οἱ πλεῖστοι ἑκόντες εἵποντο στρατευόμενοι Χοσρόῃ, ὅτι αὐτοὺς ὁ βασιλεὺς τῶν συντάξεων ἀπεστέρει. Χοσρόης δέ, ἐπεὶ χρήματα Ἀντιοχεῖς αἰτήσας οὐκ ἔλαβεν, ἐπολιόρκει τὴν Ἀντιόχειαν· σφοδρῶς δὲ πολιορκουμένης Θεόκτιστος ϗ Μολάτζης, ἅμα τῶν ἑπομένων αὐταῖς ἀπὸ τοῦ Λιβάνου στρατιωτῶν, ὑπεξελθόντες ἔφυγον, καὶ οὕτω Χοσρόης ἀταλαιπώρως Ἀντιόχειαν παρεστήσατο ϗ τοὺς ἐν αὐτῇ ἠνδραποδίσατο. πρέσβεων δὲ παρ' αὐτὸν ἡκόντων Ἰωάννου τε τοῦ Ῥουφίνου καὶ Ἰουλιανοῦ τοῦ γραμματέως τῶν ἀποῤῥήτων, καὶ πολλῆς δικαιολογίας ἀναμεταξὺ αὐτῶν τε ϗ Χοσρόου γεγενημένης, τέλος ἀλλήλοις συνέβησαν ἐφ' ᾧ Χοσρόην ἐν μὲν τῷ παραυτίκα κεντηνάρια πεντήκοντα παρὰ Ῥωμαίων λαβόντα, πέντε δὲ φερόμενον ἐπέτειον ἄλλον δασμὸν εἰς τὸν πάντα αἰῶνα, μηδὲν αὐτοὺς ἐργάσασθαι περαιτέρω κακόν· πρέσβεις τε πάλιν παρὰ βασιλέως στελλομένους τὰς ἀμφὶ τῇ εἰρήνῃ σπονδὰς ἐμβεβαιωθήσεσθαι. ἀλλὰ καίτοι ταῦ-
Σ B. τα θέμενος Χοσρόης, ἐπί τε τὴν Ἀπάμειαν ἤει, Θωμᾶ τότε ἀρχιερατεύοντος, καὶ χρήματα μεγάλα εἰσεπράττετο· τέλος τά τε ἱερὰ καὶ τὰ ἀναθήματα πάντα λαβὼν ἀπιὼν ᾤχετο. ἐν ᾧ καὶ περὶ τῶν τιμίων καὶ ζωοποιῶν ξύλων τεθαυματούργηται. εἴρηται καὶ ὅπως Χοσρόης ἱπποδρόμιον ἐκεῖ ἐθεάσατο. ἀλλ' ἐκεῖθεν Χοσρόης ἐπὶ Χαλκίδα πάλιν ἐπορεύετο, ὑπὲρ ἧς δύο λαβὼν κεντηνάρια παρὰ τῶν οἰκούντων ἀπολιόρκητον εἴασε. καὶ ἐπὶ Ἔδεσσαν δὲ πορευθείς, δύο λαβὼν κεντηνάρια, τισὶ δὲ καὶ θεοσημείαις ἀπειληθείς, ἀπολιόρκητον εἴασε κἀκείνην. αὕτη ἐστὶν Ἔδεσσα, ἐν ᾗ Αὔγαρός τε καὶ τὰ περὶ Αὔγαρον πάλαι πρὸς Χριστοῦ ἐπράχθη· οὗτος δὲ ὁ Αὔγαρος καὶ παρ' Αὔγουστον τὸν τότε Ῥωμαίων αὐτοκράτορα παραγεγονὼς φίλος τε ἐς τὰ μάλιστα ἐχρημάτισε, καὶ τὴν ἐς τὰ οἰκεῖα ἐπάνοδον σοφίᾳ κατεπράξατο. ἀλλ' οὐ γε Χοσρόης ἐξ Ἐδέσσης ἀπάρας ἐπορεύετο, τότε καὶ Ἰουστινιανὸς ἔγραψε τοῖς 77 B. πρέσβεσιν, ἐπιτελέσειν τὰ συντεθέντα ὁμολογῶν. Χοσρόης δὲ ἔτι Κωνσταντιαίους χρήματα εἰσεπράττετο, ϗ ἐπὶ Δαρὰς ἐλθὼν ἐπολιόρκει τὴν πόλιν, Μαρτίνου τοῦ στρατηγοῦ ἔνδον μαχομένου. ἀπορήσας δὲ τῆς πολιορκίας, καὶ χίλια σταθμὰ ἀργυρίου λαβών, ἐς τὰ Περσῶν ἤθη ἐχώρει, καὶ τοὺς Ἀντιοχεῖς ἅπαντας, πόλιν ἐν Ἀσσυρίοις δειμάμενος ὁδὸν ἡμέρας ἀπὸ Κτησιφῶντος διέχουσαν, Ἀντιόχειάν τε τὴν Χοσρόου καλέσας, ἐν αὐτῇ συνῴκισε, πολλῇ φιλοφροσύνῃ καὶ χάριτι ἐς αὐτοὺς χρησάμενος, ϗ οὐδενὶ ὑποκεῖσθαι αὐτοὺς τῶν ἀρχόντων πλὴν ἑαυτῷ θεσπίσας, ἱπποδρομίαις τε ϗ ταῖς ἄλλαις ἐψυχαγώγει τέρψεσιν.

ὅτι Βελισάριος ἐξ Ἰταλίας μετακληθεὶς στρατηγὸς ἐπὶ Χοσρόην καὶ Πέρσας ἅμα ἦρι ἀρχομένῳ ἐστάλη, καὶ ἐν Μεσοποταμίᾳ γενόμενος ἄνοπλον ὄντα σχεδόν τι τὸν στρατὸν καὶ κατεπτηχότα τὸ Περσῶν ὄνομα ὥπλιζέ τε ἐπιμελῶς καὶ ἐπεθάῤῥυνε. Χοσρόης δέ, Λαζῶν αὐτὸν ἐπαγομένων, ἅτε δὴ αὐτῶν τε ϗ Γουβάζου τοῦ σφῶν ἡγεμόνος Πέρσαις προσκεχωρηκότων διὰ τὴν Ἰωάννου φορολογίαν τε ϗ καπηλείαν, ἐπὶ Πέτρας τὴν πόλιν, ἐπιθαλασσίαν οὖσαν ἐν Κόλχοις πρὸς τῷ Εὐξείνῳ καλουμένῳ πόντῳ, ἠπείγετο, καὶ ταύτην πολιορκῶν, ἕως μὲν Ἰωάννης περιῆν, οὐδὲν ἤνυεν, ἐπεὶ δὲ βέλει τρωθεὶς τὸν τράχηλον ἐτελεύτησε, τὴν πόλιν παρεστήσατο, τοὺς μέντοι ἐνοικοῦντας ἀπαθεῖς κακῶν ἀφῆκεν· ὁμολογίᾳ γὰρ αὐτοὺς προσελάβετο, καὶ μόνα τὰ τοῦ Ἰωάννου χρήματα, ἅπερ ἀπὸ τοῦ μονοπωλίου αὐτῷ συνείλεκτο, ἐληΐσατο πολὺ πλῆθος ὄντα. Βελισάριος δὲ Νισίβιδος μὲν ἀποπειράσας οὐδὲν ἴσχυσε, τὴν Σισαύρων δὲ πόλιν πολιορκήσας καὶ βιασάμενος ὁμολογίᾳ παρεστήσατο, Βληχάμην τε τὸν στρατηγὸν καὶ τοὺς λογιωτάτους Περ-

a. 1. χιλίους ς. 3. ὑποσχουμένου ς. 6. βεῤῥοίας ς. 13. διδόντων ς. 15. παραγενομένου A. 30. παρὰ] πρὸς A. 31. ἄλλον A: μᾶλλον ς. 34. τὴν εἰρήνην ς. 35. ἤει A: εἴη ς. 41. πόλιν ς.
b. 1. κεντηνάρια λαβὼν ς. 2. δὲ add A. 15. ἀργύρου A. 16. πάντας ς. 17. Ἀσσυρίᾳ ς. 19. συνῴκισε Schottus: libri συνῴκησε. 20. αὐτοὺς post πλὴν ponit A. 28. δὴ A: δὲ ς. γουνάζου ς. 38. πολυπληθῆ ς. 39. ante πόλιν in A lacuna quattuor litterarum. 41. τε A: δὲ ς.

D

σῶν ἐν αὐτῷ λαβὼν ἐς τὸ Βυζάντιον ἔπεμψε. καὶ Ἀρέθαν ἅμα στρατῷ ἐν Ἀσσυρίοις πέμψας τὰ ἐκείνῃ χωρία ἐληΐζετο· ἐξ ἧς χρήματα πολλὰ οἱ περὶ Ἀρέθαν περιβαλλόμενοι οὐκ ἤθελόν ὑποστρέφειν ἐπὶ Βελισάριον. Βελισάριος δὲ τοῦ στρατοῦ νοσοῦντος καὶ τῶν περὶ Ἀρέθαν ἀγνοουμένων, καὶ Ῥεκιθάγγου καὶ Θεοκτίστου ἀποπορεύεσθαι μελλόντων ἐς φυλακὴν τῶν περὶ
38 H. Φοινίκην ″χωρίων, ἃ ὑπὸ Ἀλαμουνδάρου κατετρέχετο, διὰ ταῦτα ἐξ ἠθῶν τῶν Περσῶν εἰς τὰ οἰκεῖα ἐπανήει, καὶ ἐς Βυζάντιον παρὰ βασιλέως μετεπέμπετο.

## 64.

Ἀνεγνώσθη ΘΕΟΦΑΝΟΥΣ ΒΥΖΑΝΤΙΟΥ ἱστορικῶν λόγοι δέκα. ἄρχεται δὲ ὁ πρῶτος λόγος ἀπὸ τοῦ Περσικοῦ πολέμου τοῦ συστάντος μετὰ τὴν διάλυσιν τῶν σπονδῶν, ἃς Ἰουστινιανὸς ὁ βασιλεὺς καὶ Χοσρόης ὁ Περσῶν ἀλλήλοις ἔθεντο, ἔλυσε δὲ Χοσρόης τε αὐτὸς καὶ Ἰουστῖνος διάδοχος Ἰουστινιανοῦ καταστάς, δευτέρου ἔτους
80 R. τῆς ἀρχῆς αὐτῷ περαιουμένου. ″ἀρχόμενος δὲ ἐντεῦθεν τῆς ἱστορίας κάτεισι μέχρι δεκάτου ἔτους αὐτοῦ τοῦ πολέμου. μέμνηται δὲ ἐν τῷδε τῷ πρώτῳ τοῦ βιβλίου λόγῳ καὶ τὰ κατὰ Ἰουστινιανὸν ἱστορῆσαι· οὐ μὴν ἀλλὰ δῆλός ἐστιν ὡς καὶ ἐφεξῆς τῶν δέκα λόγων ἑτέρους συνέταξε. διέξεισι δὲ ἐν μὲν τῷδε τῷ λόγῳ ὅπως αἱ σπονδαὶ συνεχύθησαν Ἰουστίνου μὲν διὰ Κομεντιόλου Σουανίαν παρὰ Χοσρόου ἀπαιτοῦντος, αὐτοῦ δὲ ὑποτιθεμένου, οὐ μέντοι διδοῦντος, ὅπως τε ἡ Μεσοποταμία πᾶσα ἐσείσθη, προοίμιον τῶν ἐπελευσομένων κακῶν γενομένη.

ὅτι τὰ πρὸς Εὖρον ἄνεμον τοῦ Ταναΐδος Τοῦρκοι νέμονται, οἱ πάλαι Μασσαγέται καλούμενοι, οὓς Πέρσαι οἰκείᾳ γλώσσῃ Κερμιχίωνάς φασι. καὶ αὐτοὶ δὲ ἐν τῷ τότε δῶρα καὶ πρέσβεις πρὸς βασιλέα Ἰουστῖνον ἔστειλαν, δεόμενοι μὴ ὑποδέξασθαι αὐτὸν τοὺς Ἀβάρους· ὁ δὲ τὰ δῶρα λαβὼν καὶ ἀντιφιλοφρονησάμενος ἀπέλυσεν εἰς τὰ οἰκεῖα. τοῖς δὲ Ἀβάροις ὕστερον ἐλθοῦσιν, καὶ Παννονίαν οἰκῆσαι καὶ εἰρήνης τυχεῖν δεομένοις, διὰ τὸν πρὸς τοὺς Τούρκους λόγον καὶ τὰς συνθήκας οὐκ ἐσπείσατο.

ὅτι τὴν τῶν σκωλήκων γένεσιν ἀνὴρ Πέρσης βασιλεύοντος Ἰουστινιανοῦ ἐν Βυζαντίῳ ὑπέδειξεν, οὔπω πρότερον ἐγνωσμένην Ῥωμαίοις. οὗτος δὲ ἐκ Σηρῶν ὁρμηθεὶς ὁ Πέρσης τὸ σπέρμα τῶν σκωλήκων ἐν νάρθηκι λαβὼν μέχρι Βυζαντίου διεσώσατο, καὶ τοῦ ἔαρος ἀρξαμένου ἐπὶ τὴν τροφὴν τῶν συκαμίνων φύλλων ἐπαφῆκε τὰ σπέρματα· τὰ δὲ τραφέντα τοῖς φύλλοις ἐπτεροφύησέ τε καὶ τἆλλα εἰργάσατο. ὧν τήν τε γένεσιν καὶ τὴν ἐργασίαν ὁ βασιλεὺς Ἰουστῖνος ὕστερον τοῖς Τούρκοις ὑποδείξας ἐθάμβησεν· οἱ γὰρ Τοῦρκοι τότε τά τε Σηρῶν ἐμπόρια καὶ τοὺς λιμένας κατεῖχον. ταῦτα δὲ πρὶν μὲν Πέρσαι κατεῖχον, Ἐφθαλάνου δὲ τοῦ Ἐφθαλιτῶν βασιλέως, ἐξ οὗ καὶ τὸ γένος ἔσχε τὴν κλῆσιν, Περόζην καὶ Πέρσας νικήσαντος ἀφῃρέθησαν μὲν τούτων οἱ Πέρσαι, δεσπόται δὲ κατέστησαν Ἐφθαλῖται· οὓς μικρῷ ὕστερον μάχῃ νικήσαντες Τοῦρκοι ἀφεῖλον ἐξ αὐτῶν καὶ ταῦτα. Ἰουστῖνος δὲ Ζήμαρχον ἐς τοὺς Τούρκους πρέσβυν ἀπέστειλεν· ὃς καὶ λαμπρῶς ἑστιάσας τε τοὺς Τούρκους καὶ ἐς τὰ μάλιστα φιλοφρονηθεὶς ἐς τὸ Βυζάντιον ἐπανήει. διὸ καὶ ὁ Χοσρόης ἐπ' Αἰθίοπας, φίλους ὄντας Ῥωμαίοις, τοὺς πάλαι μὲν Μακροβίους νῦν δὲ Ὁμηρίτας καλουμένους, ἐστράτευσε, καὶ τόν τε βασιλέα τῶν Ὁμηριτῶν Σανατούρκην διὰ Μηράνου τοῦ Περσῶν στρατηγοῦ ἐζώγρησε, τήν τε πόλιν αὐτῶν ἐξεπόρθησε, καὶ τὸ ἔθνος παρεστήσατο. διέξεισι δὲ καὶ ὅπως Ἀρμένιοι ″ὑπὸ Σουρήνου κακούμενοι, καὶ μάλιστα περὶ τὴν εὐσέ- 39 H.
βειαν, τόν τε Σουρήναν ὁμοφρονήσαντες διὰ Οὐαρδάνου, οὗ τὸν ἀδελφὸν Μανουὴλ ἐτύγχανεν ἀνελών, καὶ δι' ἑτέρου τινὸς Οὐάρδου ἀνεῖλον, καὶ Περσῶν ἀποστάντες Ῥωμαίοις προσεχώρησαν, τὸ Δούβιος τὸ πόλισμα, ἐν ᾧ κατῴκουν, ἀπολιπόντες καὶ πρὸς τὰ Ῥωμαίων ἤθη γενόμενοι· καὶ τοῦτο μάλιστα γέγονε τῆς τῶν Περσῶν πρὸς Ῥωμαίους σπονδῶν καταλύσεως αἴτιον. ἀπέστησαν δὲ παραυτίκα καὶ Ἴβηρες, καὶ προσεχώρησαν Ῥωμαίοις, Γοργένους αὐτῶν ἡγεμονεύοντος· ἦν δὲ τῶν Ἰβήρων τότε ἡ Τίφιλις μητρόπολις.

ὅτι Μαρκιανὸς ὁ τοῦ Ἰουστίνου τοῦ βασιλέως ἐξάδελφος, τῆς ἕω χειροτονηθεὶς στρατηγός, εἰς τὸν πρὸς Χοσρόην πόλεμον ὀγδόῳ ἔτει τῆς Ἰουστίνου βασιλείας ἐξαποστέλ-
λεται. ″Ἰωάννης δὲ ὁ τῆς Ἀρμενίας στρατηγὸς καὶ Μι- 81 R.
ράνης ὁ τῶν Περσῶν, ὁ καὶ Βαραμαάνης, τὴν στρατείαν συνήθροιζον. καὶ τοῖς μὲν Ἀρμενίοις συνεμάχουν Κόλχοι, Ἀβασγοὶ καὶ Σαρώης ὁ Ἀλανῶν βασιλεύς, τῷ δὲ Μιράνῃ Σάβιροι καὶ Δαγάνες καὶ τὸ Διλιμαϊνὸν ἔθνος. πολεμήσας δὲ ὁ Μαρκιανὸς τὸν Μιράνην περὶ τὴν Νισιβηνῶν πόλιν αὐτὸν μὲν ἐς φυγὴν ἔτρεψεν, ἀνεῖλε δὲ ἐν τῇ μάχῃ χιλίους καὶ διακοσίους, καὶ

a. 2. πρὸς ἀσσυρίους ς. ἐκεῖσε ς. 7. ἀποπορεύεσθαι ς. 8. φοινίκων A. κατεστρέφετο ς. 10. post μετεπέμπετο in A lacuna trium columnarum. 13. δὲ add A. 15. Ἰουστῖνος ς. 18. αὐτοῦ A. 26. διδόντος ς. 28. τὰ] libri τε. 29. μασαγέται ς. 32. αὐτῶν pr A. b. 17. τε add A. 21. Σουρίνου et 22 Σουρῖναν ς. 30. τιφλὶς ς. 34. Μηράνης ς. 37. Σαρόης ς. 38. Δαβάνες καὶ τὸ Διλιμνιτῶν Labbeus. 39. πολεμίσας ς. 40. νισιβινῶν A.

Digitized by Google

ζῶντες ἑλήφθησαν ὁ· Ῥωμαίων δὲ ἄνδρες ἀνῃρέθησαν ζ· ἐπολιόρκει τε ἤδη καὶ τὸ τῶν Νισιβηνῶν τεῖχος. Χοσρόης δὲ ταῦτα μαθὼν τεσσαράκοντα μὲν χιλιάδας ἱππέων, πεζῶν δὲ ὑπὲρ τὰς ἑκατὸν συναγείρας ἠπείγετο βοηθεῖν καὶ πολεμεῖν Ῥωμαίους. ἐν τούτῳ δὲ διαβάλλεται ὁ Μαρκιανὸς τῷ βασιλεῖ ὡς ἐρῶν τυραννίδος, καὶ ὁ βασιλεὺς πεισθεὶς αὐτὸν μὲν παρέλυσε τῆς ἀρχῆς, Θεόδωρον ἀντικαταστήσας τὸν τοῦ Ἰουστινιανοῦ παῖδα, Τζίρον ἐπίκλην. ἀταξίας δὲ διὰ ταῦτα συμβάσης τῆς τε πολιορκίας Ῥωμαῖοι ἀπέχοντο, καὶ Χοσρόης τὸ Δαρὰς πολιορκήσας παρεστήσατο.

65.

Ἀνεγνώσθη ΘΕΟΦΥΛΑΚΤΟΥ ἀπὸ ἐπάρχων καὶ ἀντιγραφέως ἱστοριῶν λόγοι ὀκτώ. ἔστι δὲ οὗτος ὁ Θεοφύλακτος τῷ γένει Αἰγύπτιος. ἡ μέντοι φράσις αὐτῷ ἔχει μέν τι χάριτος, πλήν γε δὴ ἡ τῶν τροπικῶν λέξεων καὶ τῆς ἀλληγορικῆς ἐννοίας κατακορὴς χρῆσις εἰς ψυχρολογίαν τινὰ καὶ νεανικὴν ἀπειροκαλίαν ἀποτελευτᾷ. οὐ μὴν ἀλλὰ καὶ ἡ τῆς γνωμολογίας οὐκ ἐν καιρῷ παρεμβολὴ φιλοτιμίας ἐστὶ περιέργου καὶ περιττῆς. τὰ δ᾽ ἄλλα οὔ τι ἐς μῶμον ἥκει. ἄρχεται δὲ ἀπὸ τῆς ἀρχῆς τοῦ Μαυρικίου, καὶ κάτεισι μέχρι τῆς Φωκᾶ ἀναῤῥήσεως. ἐν μὲν οὖν τῷ πρώτῳ λόγῳ διέξεισιν ὅπως ὁ Μαυρίκιος ὑπὸ Τιβερίου τοῦ βασιλέως ἀναγορεύεται βασιλεύς, Ἰωάννου κατ᾽ ἐκεῖνο καιροῦ τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας προεστῶτος· ὅσα τε εἰς νουθεσίαν εἶπε Μαυρικίου, Ἰωάννῃ τῷ κυαίστορι χρώμενος ὑπουργῷ τῶν λόγων, ὃς πρός τε αὐτὸν Μαυρίκιον καὶ τὸν δῆμον τὴν ἐν τῷ λόγῳ πρᾶξιν ἐτάχθη πληροῦν τοῦ βασιλέως· ὅπως τε αὐτῷ τὴν θυγατέρα κατενεγύησεν· ὅπως τε τῇ ὑστεραίᾳ τῆς Μαυρικίου ἀναῤῥήσεως ἐτελεύτησε, καὶ ὡς πρὶν ἢ τελευτῆσαι αὐτὸν εἶδεν ὄψιν λέγουσαν αὐτῷ „τάδε σοι, Τι-
10 H. βέριε, τὸ τρισάγιον "λέγει· οἱ τύραννοι τῆς ἀσεβείας ἐπὶ τῆς σῆς βασιλείας οὐ φοιτήσουσι χρόνοι·" ἦν δ᾽ ἄρα ταῦτα ἐκεῖνα τραγῳδίας τινὸς προαγόρευσις τῆς ἀνὰ τὸν παλαμναῖον Φωκᾶν ἀνοσιουργοῦ τυραννίδος. ἔτι δὲ καὶ ὡς πρὸς Ἀβάρους ἤδη μακρῷ πρόσθεν τὸ Σίρμιον πολιορκήσαντας Μαυρίκιος σπονδὰς ἔθετο, ἀν᾽ ἔτος ἕκαστον τοῖς βαρβάροις συνθέμενος ἐγκαταβάλλεσθαι δι᾽ ἐμπορείας ἀργύρου τε καὶ ἐσθῆτος χρυσοῦ χιλιάδας π΄. αἳ μέχρις ἐνιαυτῶν δύο διήρκεσαν, ὑπὸ τῆς βαρβαρικῆς ἀπληστίας λυθεῖσαι· εἴκοσι γὰρ χιλιάδων χρυσοῦ ὁ βάρβαρος προσθήκην ἐζήτει. ἐξ οὗ λύσις γέγονε τῶν σπονδῶν· καὶ ἁλίσκεται ὑπὸ τῶν βαρβάρων Σιγγηδὼν ἡ πόλις καὶ Αὐγοῦστα καὶ τὸ Βιμινάκιον, πολιορκεῖται δὲ καὶ Ἀγχιαλὸς πόλις. καὶ πρεσβεύονται Ἐλπίδιος καὶ Κομεντίολος Ῥωμαίων πρέσβεις πρὸς τὸν τῶν Ἀβάρων Χαγάνον, καὶ ἀτιμοῦνται, ἅτε δὴ Κομεν- 84 R.
τιόλου παῤῥησιασαμένου πρὸς τὸν βάρβαρον. τοῦ δὲ ἐπιγενομένου ἔτους πάλιν Ἐλπίδιος πρὸς τὸν Χαγάνον διαπρεσβεύεται ἐπὶ τῷ καὶ τὰς εἴκοσι χιλιάδας προστεθῆναι, καὶ λαβὼν Ταργίτιόν τινα ἀπὸ τῶν Ἀβάρων ἐς Βυζάντιον ἧκεν. ἐπεὶ δὲ οἱ βάρβαροι πολλὰ τῶν Ῥωμαίων ἐληΐζοντο, Ταργίτιος εἰς Χαλκίδα νῆσον ἐξορίζεται, μηνῶν ἓξ τῇ ἐξορίᾳ παραταθέντων. στρατηγὸς δὲ αἱρεθεὶς Κομεντίολος κατὰ Σκλαβηνῶν ἠνδραγάθησε. καὶ ὅπως πάλιν ὁ Χαγάνος τὰς σπονδὰς συγχεῖ καὶ περὶ Βουκολάβρα τοῦ μάγου· πόρθησίς τε πλείστων πόλεων Ῥωμαϊκῶν ὑπὸ τῶν βαρβάρων. εἶτα τὸν πόλεμον διέξεισι τῶν Περσῶν καὶ Ῥωμαίων τὸν ἐπὶ τὸν Νύμφιον ποταμόν, τόν τε γάμον Μαυρικίου καὶ Κωνσταντίνης τῆς Τιβερίου θυγατρός. διαλαμβάνει δὲ καὶ περὶ τοῦ γενομένου ἐμπρησμοῦ, ὃς ἐν τῷ φόρῳ κατὰ τὰ προοίμια τῆς βασιλείας Μαυρικίου συνέβη, καὶ περὶ τῆς ἀναιρέσεως Παυλίνου τοῦ γόητος, καὶ περὶ τοῦ θαύματος τοῦ κατὰ τὴν κόγχην Γλυκερίας τῆς μάρτυρος, ὅπως τε Ἰωάννης ὁ πατριάρχης, φιλανθρωπότερον δοκοῦντος ἔχειν τοῦ βασιλέως, αὐτὸς πυρὶ παραδοθῆναι τὸν γόητα διισχυρίζετο, παρυφαίνων τῷ λόγῳ καὶ τὴν ἀποστολικὴν ῥῆσιν· καὶ ὅτι Παυλῖνός τε καὶ ὁ παῖς, κοινωνὸς ὢν τῆς ἀσεβείας, τὴν ἐπὶ θανάτῳ ἀπήχθησαν, ξίφει τὸν βίον καταστρεψάμενοι. ἔτι τε περὶ τῶν Ἀφέμων καὶ Ἀκβᾶς τῶν φρουρίων. ἐμπεριέχεται δὲ τῷ λόγῳ μάχη Ῥωμαίων καὶ Περσῶν, καὶ ὅπως ὁ Ἰωάννης καταστρατηγεῖται ὑπὸ τῶν βαρβάρων. ἔτι δὲ καὶ ὁ μέγας σεισμὸς ὁ γενόμενος κατὰ τὴν ἀρχὴν τῆς ἀναγορεύσεως Μαυρικίου, καὶ περὶ τῆς ὑπατείας αὐτοῦ. ὅπως τε Φιλιππικός, ὁ ἐπ᾽ ἀδελφῇ τοῦ βασιλέως

a. 1. post ἄνδρες in A lacuna quinque vel sex litterarum. 2. νισιβινῶν A. 4. ἱππείας A. 5. ῥωμαίοις ς. 7. καὶ βασιλεὺς πεισθεὶς A, καὶ πεισθεὶς ὁ βασιλεὺς ς. 11. post παρεστήσατο in A versus quattuordecim vacui. 21. ἥκοι ς. 27. κοιαίστορι ς. 30. κατηγγύησεν ς. 33. εὐσεβείας pr A. 35. ταῦτα add A: in quo quae sit ultima sequentis vocabuli littera, non liquet. 38. ἀνὰ ς. b. 1. ἐμπορίας ς. 13. Ταργήτιόν et 15 Ταργήτιος ς. 14. βάρβαροι A: ἄβαροι ς. 17. προαιρεθεὶς ς. 19. Βουκολάβρα ς. 24. ὃς A: ὡς ς. 25. Μαυρικίου βασιλείας ς. 28. εἰ θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν, τὸ ἀγαθὸν ποίει καὶ τὰ ἑξῆς· καὶ ἔκδικος ἐστι τῷ τὸ κακὸν πράσσοντι· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ. (Rom. 13, 3.) ταύτην οἶμαί φησιν ἀποστολικὴν ῥῆσιν mg A. 33. nonne καταστρεψόμενοι? 35. Ἰωάννου ς. 37. ὁ post σεισμὸς add A. 39. τε ὁ Φιλ. ς.



Digitized by Google

Γορδίᾳ γαμβρός, τῆς ἑῴας δυνάμεως προχειρίζεται στρατηγός, καὶ ἀνδραγαθίαι αὐτοῦ, ἀναχώρησίς τε ἐκ τῆς Μηδικῆς τῶν Ῥωμαίων, καὶ ὅπως ἀνυδρίᾳ τὸ Ῥωμαϊκὸν ἐκινδύνευσεν, ὅπως τε τὴν Ἀρζανηνὴν χώραν ὁ Ῥωμαίων στρατηγὸς προνομῇ παραδέδωκεν, ἀριστεία τε τῆς Ῥωμαίων δυνάμεως, καὶ ὅπως τὰ κατὰ τὴν Μαρτυρόπολιν ὁ Περσῶν στρατηγὸς κατεπόρθησε, πρεσβεία τε Περσῶν πρὸς Ῥωμαίους πρώτη καὶ δευτέρα. ταῦτα μὲν ἐν τῷ πρώτῳ λόγῳ.

Ἐν δὲ τῷ δευτέρῳ διαλαμβάνει περὶ τοῦ ὄρους τοῦ Ἰζαλά, περί τε τῆς κατὰ τὸν Καρδαριγὰν τὸν τῶν Περσῶν στρατηγὸν ἀλαζονείας, ὅπως τε Φιλιππικοῦ τε
41 H. καὶ Ῥωμαίων πρὸς τὸν Καρδαριγὰν καὶ Πέρσας μάχη περὶ τὸ Ἀρζάμων συνέστη, καὶ ὅπως ὁ Φιλιππικὸς τὴν ἀχειροποίητον εἰκόνα φέρων περιῄει καθαγιάζων τὸ στράτευμα, καὶ ὡς νίκη ἐπιφανεστάτη τότε Ῥωμαίων ἐγένετο, ὅπως τε ἡ ἀχειροποίητος πρὸς Συμεώνην τὸν ἐπίσκοπον Ἀμίδης μετὰ σεβασμιότητος ἀποστέλλεται. σκυλεύεται δὲ ὑπὸ Ῥωμαίων τὸ βάρβαρον, καὶ φεύγει ὁ Καρδαριγὰν ἐπὶ τὸ Δαράς· καὶ ὅπως οἱ Δαρηνοὶ ἀπὸ τοῦ ἄστεος αὐτὸν ἀποπέμπονται διὰ τὸ κατὰ κράτος ἡττηθῆναι. ὅπως τε ὁ Ῥωμαίων στρατιώτης τὸ σῶμα κατετέτρωτο· ἦν δὲ τῆς τῶν Κουαρτοπάρθων τάξεως, οὕτω καλουμένων τῶν ἐν Βεροίᾳ πόλει τῆς Συρίας τὰς διατριβὰς ποιουμένων. περί τε τῆς ἐπιστρατείας Ῥωμαίων κατὰ τῆς Ἀρζανηνῆς, καὶ ὅπως Μαρουθᾶς καὶ Ἰώβιος οἱ ἡγεμόνες αὐτῆς αὐτομολοῦσι πρὸς Φιλιππικὸν καὶ Ῥωμαίους. καὶ περὶ τῆς ἰδιωτικῆς δυνάμεως τῆς συναθροισθείσης ὑπὸ τοῦ
85 R. Καρδαριγὰν εἰς τὸ ἐξαπατῆσαι Ῥωμαίους. καὶ ὅπως Ἡράκλειος ὁ Ἡρακλείου τοῦ αὐτοκράτορος πατὴρ ὑπὸ τοῦ Φιλιππικοῦ ἐπὶ κατασκοπῇ τῶν πολεμίων ἀποσταλεὶς παραδόξως διασώζεται. καὶ περὶ Ζαβέρτα τοῦ Πέρσου, καὶ ὅπως τῆς τῶν Χλομαρῶν πολιορκίας Ῥωμαῖοι ἀπέσχοντο. ἔτι δὲ περὶ τῆς ἀθρόας καὶ ἀλόγου φυγῆς Φιλιππικοῦ, καὶ τῆς γενομένης ἀταξίας τοῖς Ῥωμαϊκοῖς ἐκστρατεύμασι. περί τε τῆς ἐνεχθείσης τῷ Φιλιππικῷ νόσου, καὶ ὅτι Ἡράκλειος ὁ Ἡρακλείου τοῦ αὐτοκράτορος πατὴρ τὰς φροντίδας τῆς ἡγεμονίας ἀναδέχεται. ὅπως τε τοῖς μεσημβρινοῖς τῆς Μηδικῆς προσβάλλει ὁ τῆς Ῥωμαίων δυνάμεως ὑποστράτηγος· καὶ ὡς ἔαρος ὥρᾳ προσβάλλουσι Ῥωμαῖοι κατὰ τῆς Περσῶν πολιτείας. διαλαμβάνει τε ὡς Κομεντίολος κατὰ τῶν Ἀβάρων ἐκστρατεύει, ἔχων ὑποστρατήγους Μαρῖνον καὶ Κάστον, καὶ ὡς εὐδοκιμοῦσιν οὗτοι κατὰ τῶν Ἀβάρων· ὕστερον δὲ ζωγρεῖται ὁ Κάστος. καὶ ὅτι Ἀνσιμοὺθ τὸν ἔξαρχον τῆς πεζικῆς Ῥωμαίων δυνάμεως οἱ Ἄβαροι ζωγρίαν ἔλαβον, καὶ κατέδραμον τὰ ἀνὰ τὴν Θρᾴκην αἱ δυνάμεις αὐτῶν. καὶ Κομεντιόλου διάσκεψις εἰ χρὴ ἐπιτίθεσθαι τοῖς Ἀβάροις, καὶ δημηγορία ἐπὶ τὸ δεῖν ἐπιτίθεσθαι, καὶ ἀντιδημηγορία. ὅπως φωνὴ ἐμπεσοῦσα τῷ στρατῷ τῶν Ἀβάρων ἄπρακτον τὴν τοῦ Κομεντιόλου ἐπίθεσιν τὴν κατὰ τοῦ Χαγάνου εἰργάσατο. καὶ περὶ Βουσᾶ τοῦ στρατιώτου, ὅπως τε κυνηγῶν ἑάλω ὑπὸ τῶν Ἀβάρων, καὶ ὅπως ὑπὸ τῶν ὁμοφύλων ὑπεροφθεὶς πρῶτος διὰ τοῦτο τοὺς Ἀβάρους πολιορκητικὰ ὄργανα ἐδίδαξε κατασκευάζεσθαι. ὅπως τε ὑπὸ τοῦ Χαγάνου πολιορκεῖται Βερόη, καὶ ὅπως ἀποτυγχάνει τοῦ ἐγχειρήματος. ὅπως τε Διοκλητιανοῦ πόλιν ὁ αὐτὸς πολιορκήσας ἀπρακτεῖ. καὶ ὅπως ὁ βασιλεὺς Μαυρίκιος ὑπὸ τοῦ ἀγελαίου πλήθους τῶν Βυζαντίων ἐλοιδορεῖτο διὰ τὰ ἀπὸ τῶν βαρβάρων συμβεβηκότα περὶ τὴν Εὐρώπην δυστυχήματα, ὅπως τε ἐκπέμπει στρατηγὸν τὸν Ἰωάννην, ὃν ἐπεκάλουν Μυστάκωνα, ὑποστράτηγον αὐτῷ καταστησάμενος Δρόκτωνα, ὃς καὶ πολιορκουμένης ὑπὸ τῶν Ἀβάρων τῆς Ἀδριανουπόλεως συμμίξας τοῖς πολεμίοις τὴν πόλιν διεσώσατο. διαλαμβάνει δὲ καὶ ὅπως 42 H.
ὁ Ἡράκλειος φρούριον Περσικὸν ἐνεχείρει τοῖς ὅπλοις ἑλεῖν, καὶ περὶ τοῦ Βεϊουδάες φρουρίου, καὶ ὅπως παραδόξῳ ἀριστείᾳ Σάπηρος τοῦ στρατιώτου εἷλον τὸ φρούριον Ῥωμαῖοι. καὶ τὴν ἐνδημίαν δὲ Φιλιππικοῦ περὶ τὸ βασίλειον ἄστυ.

Ὁ δὲ τρίτος λόγος διέξεισιν ὅπως χειροτονεῖται ἀντὶ Φιλιππικοῦ στρατηγὸς ὁ Πρίσκος τῆς ἑῴας δυνάμεως, ὅπως τε Φιλιππικὸς διαφθονούμενος Πρίσκῳ πρὸς Ἡράκλειον ἔγραψεν ἐμφανίσαι τῷ στρατῷ τῶν σιτήσεων αὐτῶν τὴν μείωσιν, καὶ ὅτι Πρίσκος προσπελάζων τῷ στρατοπέδῳ οὐκ ἀπέβη τοῦ ἵππου κατὰ τὸ παλαιὸν ἔθος καὶ οὕτως ἠσπάσατο τὸ στρατιωτικόν· διὸ τὸ στρατιωτικόν, ὅτι τε αἱ σιτήσεις ὑπετέμνοντο καὶ ὅτι ἠτιμοῦντο, ἐστασίαζον. καὶ Πρίσκος ἐλιφρέδα θεὶς τὴν ἀχειροποίητον δι' αὐτῆς ἐκλιπαρεῖν τὸ πλῆθος ἐτέχναζεν· οἱ δὲ καὶ ταύτην λίθοις ἔβαλον. διὸ φεύγει μὲν ἐν Κων-

a. 2. καὶ αἱ ἀνδρ. ς. 11. Ἴζηλα ς. 11 et 13. Καρδαρίγαν ς. 13. καὶ ante Ῥ. om A. 14. Ἀρζαμὼν ς. 18. ἀμήδης ς. 20. Καρδαρίγας ς. δάρας A. 26. ῥωμαίων καὶ κατὰ τῆς ἀζηρνίνης ς. 30. Καρδαρίγα ς. 34. χλομάρων ς. 36. τοῖς om A. 40. ἀνεδέχετο ς. b. 4. ὁ add A. 8. τοῖς A: τότε ς. 11. τοῦ add A. 13. τε] τε καὶ ς. 23. μυστάκωνα ς. 25. ἀνδριανουπόλεως ς. 38. διὸ καὶ τὸ ς. 40. ἐλιφρέφα ς.

στιτίνη Πρίσκος, καὶ αἱρεῖται ὑπὸ τῆς στρατιᾶς Γερμανὸς αὐτοῖς στρατηγὸς ἀκούσιος· καὶ ταύτης τῆς τυραννίδος κρατούσης πολλαὶ παρὰ Περσῶν συμφοραὶ τοῖς Ῥωμαίοις ἐναπετίκτοντο. διὸ καὶ βασιλεὺς παύει
88 R. μὲν Πρίσκον, ἀνταποστέλλει δὲ Φιλιππικὸν πάλιν στρατηγόν. ἡ δὲ στρατιὰ καὶ πρὸς αὐτὸν ἐστασίαζε. καὶ πολιορκεῖται μὲν Κωνσταντῖνα ὑπὸ Περσῶν, ῥύεται δὲ τῶν κινδύνων ἐπιστάντος αὐτῇ Γερμανοῦ. καὶ πόλεμος Πέρσαις καὶ Ῥωμαίοις κατὰ τὴν Μαρτυρόπολιν γίνεται, καὶ νικῶσι Ῥωμαῖοι λαμπρῶς, ἅτε τοῦ Περσῶν στρατηγοῦ Μαρόζα καὶ τρισχιλίων πεσόντων, χιλίων δὲ ζωγρηθέντων. καὶ διαλλάσσεται πρὸς τὸν αὐτοκράτορα δι' Ἀριστοβούλου τὸ στρατόπεδον· γίνεταί τε κατὰ τὸ φρούριον Γιλιγερδῶν τῶν δεσμωτῶν Ῥωμαίων ἀριστεία. καὶ Γρηγόριος ὁ Ἀντιοχείας ἀρχιερεὺς Φιλιππικὸν διὰ πρεσβείας ἀποκαθίστησι τῷ στρατεύματι. ἁλίσκεται δὲ ὑπὸ Περσῶν ἡ Μαρτυρόπολις διὰ Σίττα δόλῳ, καὶ ἀποχειροτονεῖται Φιλιππικός, καὶ Κομεντίολος ἀντ' αὐτοῦ τὸν Περσικὸν ὑπὸ τοῦ αὐτοκράτορος πιστεύεται πόλεμον. οἱ δὲ Γέται ἤτοι Σκλάβοι τὰ περὶ τὴν Θρᾴκην ἐλυμαίνοντο, ἡ Ῥώμη δὲ πρὸς τοὺς Λογγιβάρδους ἀνθωπλίζετο, καὶ Λιβύη τῶν Μαυρουσίων περιεγίνετο. Κομεντιόλου δὲ στρατηγοῦντος συμπλέκονται περὶ τὸ Σισάρβανον πλησίον Νίσιβος Πέρσαι καὶ Ῥωμαῖοι, καὶ νικῶσι κατὰ κράτος Ῥωμαῖοι, Ἡρακλείου περιφανῶς ἐνευδοκιμοῦντος τῷ δόρατι· πίπτει γὰρ καὶ αὐτὸς ὁ τῶν Περσῶν στρατηγὸς Φραάτης, καὶ σκυλεύεται τὸ πολέμιον. Ἔτι δὲ διαλαμβάνει ὅπως ὁ Βαρὰμ Τούρκους καταπολεμήσας, καὶ πολὺν πλοῦτον Ὁρμίσδῃ τῷ βασιλεῖ ἐκεῖθεν χορηγήσας, ἦρε τὴν μάχαιραν καὶ κατὰ Σουανίας· Ῥωμαῖοι δὲ Ῥωμανοῦ στρατηγοῦντος συμπλέκονται Βαρὰμ καὶ τῷ ὑπ' αὐτῷ στρατῷ, καὶ κατὰ κράτος νικῶσι. καὶ ὡς διὰ τὴν ἧτταν Ὁρμίσδας τῷ Βαρὰμ ἐπονειδίζων γυναικείαν ἔστειλεν ἐσθῆτα· ὁ δὲ ἀνθύβριζε, θυγατέρα Χοσρόου ἀλλ' οὐχ υἱὸν Ὁρμίσδαν τοῖς γράμμασιν ἐπιγραφόμενος. ἐν ᾧ καὶ Ἀρμένιοι ὑποθήκαις Σαββατίου τὸν μὲν
43 H. σφῶν στρατηγὸν Ἰωάννην ἀναιροῦσι, προσχωρεῖν δὲ Πέρσαις ἐγχειροῦσι. Κομεντίολος δὲ σταλεὶς ὑπὸ τοῦ βασιλέως τήν τε στάσιν κατευνάζει καὶ Σαββάτιον ἐς Βυζάντιον ἄγει· ὁ δὲ θηρίοις βορὰ γενέσθαι καταδικάζεται, φιλανθρωπίᾳ δὲ βασιλικῇ τοῦ θανάτου ἀπολύεται. Ὁρμίσδας δὲ Σαράμην κατὰ Βαρὰμ ἀποστέλλει· Βαρὰμ δὲ μάχῃ νικήσας Σαράμην ἐλεφάντων βορὰν ἐποιήσατο καὶ ἀναφανδὸν κατὰ Ὁρμίσδα παρατάσσεται. ὁ δὲ Βαρὰμ ἐπὶ τοσοῦτο δόξης ἦν κεχωρηκὼς πρὶν ἢ μελετῆσαι τὰ τῆς ἀποστασίας ὡς μετά γε βασιλέα μηδένα τῶν πάντων μείζονα δόξαν ἔχειν αὐτοῦ· ὃ γὰρ κουροπαλάτην Ῥωμαῖοι καλοῦσι, ταύτης ἀπήλαυε τῆς τιμῆς. Ἐμπεριέχεται δὲ τῷ λόγῳ καὶ ἀναδρομὴ τῶν συγκυρησάντων περὶ τοὺς πρεσβυτέρους χρόνους, καὶ σύντομος ἀφήγησις τῶν κεκινημένων ἐπὶ τῆς βασιλείας Ἰουστίνου καὶ Τιβερίου τῶν αὐτοκρατόρων, καὶ περὶ τῆς ὠμότητος Ὁρμίσδου τοῦ Περσῶν βασιλέως, καὶ τῆς Περσικῆς γενεαρχίας ἀφήγησις. ταῦτα μὲν καὶ ὁ γʹ.

Ὁ δὲ τέταρτος διαλαμβάνει ὅπως τε Πέρσαις ὁ ἐμφύλιος ἐκρατύνετο πόλεμος, καὶ ὅσα συνεκύρησε κατὰ τὴν τυραννίδα Βαρὰμ τρόπαιά τε καὶ εὐτυχήματα· καὶ ἡ τοῦ Φερεχάνους ἀναίρεσις καὶ ἡ Ζαδέσπρα προσχώρησις· ὅπως τε ὑπὸ Βινδόου καθαιρεῖται τῆς βασιλείας Ὁρμίσδας· ὅπως τε ᾔτησε δέσμιος ὢν δημηγορῆσαι, καὶ ὡς δημηγορεῖ· ὅπως τε Βινδόης δημηγορεῖ, καὶ κατασφάζεται ἐνώπιον Ὁρμίσδα ὁ παῖς καὶ τεμαχίζεται ἡ βασιλίς, καὶ 89 R. τυφλοῦται καὶ αὐτὸς Ὁρμίσδας· ὅπως τε ὕστερον ὑπὸ τοῦ παιδὸς Χοσρόου, ὃν ἐστήσαντο Πέρσαι βασιλέα, ῥοπάλοις ἀναιρεῖται. ἐπικράτειά τε τῆς τυραννίδος Βαράμ, καὶ φυγὴ Χοσρόου τοῦ Περσῶν βασιλέως, ὅπως τε ἐπὶ τὸ Κιρκήσιον ὁ Περσῶν βασιλεὺς παραγίνεται, προσχωρήσας Μαυρικίῳ τῷ αὐτοκράτορι, ὅπως τε διαπρεσβεύεται πρὸς αὐτόν. περὶ Βαρὰμ δὲ πάλιν, ὅπως τεχναζόμενος ὑπ' αὐτῶν ἀναῤῥηθῆναι βασιλεὺς καὶ μὴ τυχὼν ἑαυτὸν ἀνηγόρευσε βασιλέα. ὅπως ὁ βασιλεὺς Χοσρόην ἐπὶ τὴν ἱερὰν πόλιν μετάγει, βασίλειον αὐτῷ θεραπείαν συστησάμενος. καὶ περὶ τῶν συγκυρησάντων Βαρὰμ καὶ Χοσρόῃ πρὸ τῆς Ῥωμαϊκῆς συμμαχίας, καὶ ὡς διαπρεσβευσάμενος Βαρὰμ πρὸς τὸν αὐτοκράτορα Μαυρίκιον ἀποπέμπεται, διαπρεσβεύεται δὲ πάλιν Χοσρόης καὶ τυγχάνει. ὅπως ὁ βασιλεὺς τὸν τῆς Μελιτηνῆς ἱερέα ἅμα Γρηγορίῳ τῷ Ἀντιοχείας ἀρχιερεῖ πρὸς Χοσρόην ἐξέπεμψε. περὶ τῆς δολοφονίας Βαράμ, ἣν Ζαμέρδης καὶ Ζοανάμβης συνεσκευάσαντο, καὶ περὶ τοῦ φόνου τῶν εἰς τοῦτο συμπραξαμένων. περὶ Βινδόου τοῦ Πέρσου, καὶ ὅπως δραπετεύει Περσίδα, τῆς κατὰ Βαρὰμ ἐπιβουλῆς κοινωνὸς γεγονώς. ὅπως ἡ Μαρτυρόπολις ὑπὸ Χοσρόου ἀποδίδοται Ῥωμαίοις, καὶ περὶ τῆς Σίττα διὰ πυρὸς

a. 1. στρατιᾶς mg: στρατείας ς. 9. μαρτυρούπολιν A. 14. γιλιγέρδων ς. 21. λογγιβάρδους habere videtur A. 32. ὑπ' αὐτὸν ς. 36. τὸν] καὶ τὸν ς. 39. Σαββάτιον mg: libri συμβάτιον. b. 3. τοσούτω A, τοσοῦτον ς. πρὶν] τὸ πρὶν A. 5. ἣν γὰρ κουροπαλάτου ς. 14. συνεκύρωσε ς. 16. προχώρησις ς. 35. μελιτινῆς ς. ἅμα τῷ Γρηγ. ς. 38. Ζωανάμβης ς. 42. τῆς] τῆς τοῦ ς.

Digitized by Google

ἐγκαιρέσεως, ἢ ἑορταστικὴ τοῦ ἐπισκόπου Μελιτηνῆς (Δομετιανὸς ὄνομα αὐτῷ) ἐπὶ τῇ ἀναλήψει τοῦ ἄστεος. ἐν οἷς καὶ ὁ τέταρτος λόγος.

Ὁ δὲ πέμπτος διέξεισιν ὅπως Χοσρόης ὁ Περσῶν βασιλεὺς ἀπορίᾳ τὴν ψυχὴν κατατρυχόμενος ἐπρέ-
44 H. σβευσε τὸν ἐν μάρτυσι Σέργιον, ὃν καὶ τὰ λοιπὰ βάρβαρα πρεσβεύουσιν ἔθνη, λύσιν τῶν δυστυχημάτων εὑρεῖν· καὶ ὡς σταυρῷ χρυσῷ λιθοκολλήτῳ ἐτίμησεν· ἐντεῦθέν τε Ζαδέσπρας διὰ Ῥοσοῦ δολοφονεῖται Βληχάνους ὑποθήκαις, καὶ τἄλλα θυμήρη Χοσρόῃ συναντᾷ. περὶ τοῦ ἐκδανεισθέντος χρυσίου Χοσρόῃ τῷ Περσῶν βασιλεῖ ὑπὸ Μαυρικίου τοῦ αὐτοκράτορος, καὶ ὡς χειρογραφεῖ Χοσρόης τὸ δάνεισμα. πρεσβεία τε Χοσρόου ἐφ' ᾧ ἀποστῆναι Κομεντίολον τῆς ἡγεμονίας, καὶ χειροτονία Ναρσοῦ ἀντὶ Κομεντιόλου, καὶ συμμαχία Ῥωμαίων κατὰ τοῦ τυράννου Βαράμ. καὶ περὶ τῶν βασιλικῶν δώρων τῶν σταλέντων Χοσρόῃ ὑπὸ τοῦ αὐτοκράτορος· καὶ ὅπως τὰς κλεῖς τοῦ Δαρὰς ὁ Χοσρόης διὰ τοῦ πρέσβεως Δόλβζα παραδέδωκε τῷ βασιλεῖ. δημηγορία τοῦ Δομετιανοῦ Μελιτηνῆς, προτρέπουσα τὸ Ῥωμαϊκὸν συμμαχεῖν Χοσρόῃ κατὰ Βαράμ· καὶ περὶ τῶν συγκυρησάντων εὐτυχημάτων πρὸ τῆς συμπλοκῆς Ῥωμαίων τε καὶ Περσῶν Χοσρόῃ, καὶ ὅπως οἱ βασιλικοὶ θησαυροί τά τε Περσικὰ βασίλεια ἀποκαθίσταται Χοσρόῃ διὰ Βινδόου. ἕνωσις τῶν Ῥωμαϊκῶν δυνάμεων Ἀρμενίας τε καὶ τῆς ἑῴας, καὶ μάχη κατὰ Βαράμ, καὶ νίκη Ῥωμαίων περιφανεστάτη· ἐν ᾗ μάχῃ Ναρσοῦ στρατηγοῦντος καὶ Τοῦρκοι συνελήφθησαν, οἳ ἐπὶ τῶν μετώπων τὸν τύπον ἔφερον τοῦ σταυροῦ, ὃ ἐπέθεντο, ὡς ἐκεῖνοι διηγοῦντο, εἰς ἀπαλλαγὴν τῆς πάλαι προσπεσούσης αὐτοῖς λοιμικῆς νόσου. τὰ κατὰ τὴν Γολινδοὺχ ἐν Περσίδι γεγονότα, καὶ οἷον ἐκείνη βίον ἀσκητικὸν ἠγωνίσατο. ἐπανάζευξίς τε Χοσρόου εἰς τὰ οἰκεῖα βασίλεια. καὶ περὶ τῶν σταλέντων δώρων παρὰ Χοσρόου Σεργίῳ τῷ μάρτυρι. πρεσβεία τε τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν ἅγιον, ὥστε ἐκ τῆς Σειρὲμ παιδοποιήσασθαι· Χρι-
92 R. στιανὴ δὲ ἐτύγχανεν αὕτη. καὶ ἐπιτυχία τε τῆς αἰτήσεως, καὶ δώρων πολυτελῶν ἀποστολὴ παρ' αὐτοῦ εἰς τὸν νεὼν τοῦ μάρτυρος. ὅπως τε Χοσρόης τοὺς κεκοινωνηκότας τῇ τυραννίδι καὶ Βινδόην αὐτόν, ὡς κατὰ βασιλέως χεῖρας ἄραντα, θανάτῳ διώλεσε. περὶ τῶν προαγορευθέντων ὑπὸ Χοσρόου, καὶ ὡς στασιάσει τὰ Ῥωμαίων πράγματα τυράννοις δουλεύοντα. πρεσβεία τε Πρόβου τοῦ Καλχηδόνος προέδρου, καὶ περὶ τῆς εἰκόνος τῆς θεομήτορος, καὶ ὅσα κατὰ τὴν πρεσβείαν ἀπήντησε. ἐκδημία τε τοῦ αὐτοκράτορος ἐπὶ τὴν τῆς Εὐρώπης Ἀγχίαλον, καὶ περὶ τοῦ συναντήσαντος αὐτῷ ἐν ὕπνῳ φάσματος. ὅπως τε ὑπέστρεψεν εἰς τὰ βασίλεια ὁ αὐτοκράτωρ, πρεσβείας Περσικῆς ἐπιστάσης διὰ Ζαλαβζάν. ἐν οἷς καὶ ὁ πέμπτος λόγος.

Ὁ δὲ ἕκτος λόγος περιέχει ὅπως ἀπὸ τῆς πόλεως ἐξιόντι τῷ βασιλεῖ ἐνέσκηψε κλύδων θαλάττιος. ὅπως τε περὶ Ἡράκλειαν, ἐκεῖσε τοῦ βασιλέως διατρίβοντος, τέρας ἐγεννήθη, παιδίον μήτε χεῖρας μήτε ὄμματα ἔχον μήτε ὀφρῦς μήτε βλέφαρα, πρὸς δὲ τῷ ἰσχίῳ ἰχθύος οὐρὰ ἀπεκρέματο· καὶ ὅπως τὸ τέρας ἀνῄρητο. περὶ τῶν τριῶν Σκλαβηνῶν τῶν κιθάρας ἐπιφερομένων, οἳ ἐκ τῶν μερῶν τοῦ ὠκεανοῦ ἐλέγοντο πρὸς τὸν Χαγάνον ἀπεστάλθαι· οἳ καὶ ἐνεφανίσθησαν Μαυρικίῳ τῷ βα- 45 H.
σιλεῖ. πρεσβεία τε Φράγκων πρὸς τὸν βασιλέα ἐφ' ᾧ συμμαχεῖν ἐπὶ δώροις, καὶ ἀποστροφὴ τῆς αἰτήσεως· Βόσσος καὶ Βέττος οἱ πρέσβεις, ὁ δὲ ἀποστείλας ὀνόματι Θεοδώριχος. περὶ τῆς ἀγέλης τῶν ἐλάφων, καὶ ὅπως ἡ μείζων βάλλεται καὶ εἰς λόχμην τινὰ φεύγει, καὶ ὡς ἐπιδιώκεται ὑπό τινος τῶν δορυφόρων καὶ ἑτέρου τινὸς Γήπαιδος, ὅπως τε ὁ δορυφόρος διὰ τὰ περὶ αὐτὸν χρύσεια δολοφονεῖται, καὶ ὡς χρόνῳ μακρῷ ὕστερον ὁ Γήπαις δολοφονῆσαι φωραθεὶς πυρὶ παραδίδοται. στρατεία Ἀβάρων κατὰ Ῥωμαίων καὶ πολιορκία Σιγγιδόνος τῆς πόλεως, χειροτονία τε Πρίσκου τοῦ στρατηγοῦ, καὶ ὅπως τοῦ κατὰ τὴν Εὐρώπην πολέμου τοῦτον προεστήσατο. καὶ ὅπως ὁ Χαγάνος εἰς Δριζίπερα γενόμενος τὸν νεὼν Ἀλεξάνδρου τοῦ μάρτυρος ἐπυρπόλησε. καὶ ὅπως ἐν Τζουρουλῷ τῇ πόλει Ῥωμαῖοι συγκλεισθέντες ὑπὸ τοῦ Χαγάνου πολιορκοῦνται, ὅπως τε δόλῳ φενακίζει τὸν βάρβαρον ὁ Μαυρίκιος καὶ τῆς πολιορκίας ἀπάγει. πρεσβεία τε Ἀβάρων πρὸς Ῥωμαίους, καὶ ὅσα τῷ Ἀρδαγάστῳ ἐκ τῆς Ῥωμαίων ἀπήντησε δυνάμεως, ἔτι δὲ καὶ τὰ κατὰ τὸν Τατίμερ. ἀνδραγαθία τε τοῦ Ῥωμαίων ταξιάρχου Ἀλεξάνδρου, καὶ ἀνδραγαθία Ῥωμαίων, καὶ Σκλαβηνῶν ἀναίρεσις, ἔφοδός τε Σκλαβηνῶν κατὰ Ῥωμαίων. περὶ τῶν τεχθέντων τεράτων πρὸ τοῦ ἄστεως τῆς βασιλίδος, ὡς τὸ μὲν ἦν τετράπουν παιδίον, τὸ δὲ δικόρυφον. ὅπως Πρίσκος ἀποχειροτονεῖται

a. 19. δόλβα ς. 22. συγκυρωσάντων ς. τῆς add A. 30. libri ἐπαλλαγήν. τῆς add A. 36. Ἰερὲμ ς. 37. καὶ add A.
b. 2. Χαλκηδόνος ς. 4. ἐκδημία τε A: καὶ ἐκδημίαν ς. 7. ζαλαμβὰν ς. 12. ἐγεννήθη ς. 18. φράγγων A.
23. τῶν δορυφόρων A: δορυφόρου ς. 24. γήπιδος A, 31. ἐπολιόρκησε ς. 32. τζουρουλῷ ς. 35. πρέσβυς A.
37. Τατίμερον ς. 41. ἄστεος ς. ὡς] καὶ pr A. ἦν om pr A.

τῷ δοῦναι τῷ Χαγάνῳ ἀπὸ τῆς τῶν Σκλαβηνῶν λείας, καὶ Πέτρος ἀντιχειροτονεῖται στρατηγὸς τῆς κατὰ τὴν Εὐρώπην μάχης· καὶ περὶ Θεοδώρου τοῦ πρέσβεως σταλέντος πρὸς τὸν Χαγάνον ὑπὸ τοῦ Πρίσκου, τῆς τε περὶ αὐτὸν παιδείας καὶ δεξιότητος. ἐν οἷς καὶ ὁ ἕκτος λόγος.

Ὁ δὲ ἕβδομος λόγος διαλαμβάνει περὶ τῆς γεγενημένης ἀταξίας ταῖς Ῥωμαίων δυνάμεσιν, ἀριστείαν τε Ῥωμαίων κατὰ Σκλαβηνῶν ἤτοι Γετῶν· Γέται γὰρ τὸ παλαιὸν ἐκαλοῦντο. καὶ περὶ τῶν ἐν Ἀσίμῳ τῇ Θρᾳκῴᾳ πόλει Πέτρῳ τε καὶ τοῖς πολίταις συμβεβηκότων. καὶ ὡς Πιράγαστος ὁ τῆς τῶν Σκλαβηνῶν δυνάμεως
93 B. φύλαρχος ἀνῄρηται· καὶ ἀνδραγαθία Ῥωμαίων. περὶ τῆς ἀνυδρίας τῆς παρακολουθησάσης ταῖς Ῥωμαίων δυνάμεσι. καὶ ὅπως τοῦ Πέτρου καταπολεμηθέντος ὑπὸ Σκλαβηνῶν Πρίσκος αὖθις γίνεται στρατηγός. θάνατος Ἰωάννου τοῦ νηστευτοῦ Κωνσταντινουπόλεως, καὶ περὶ τῶν ἐκδανεισθέντων αὐτῷ χρημάτων ὑπὸ Μαυρικίου, καὶ περὶ τοῦ ἐν τῇ ὁμολογίᾳ χειρογραφήματος, καὶ ὅπως διὰ τιμῆς ἦγεν ὁ φιλευσεβὴς ὡς ἀληθῶς αὐτοκράτωρ τὰ εὑρεθέντα τῷ ἀρχιερεῖ μετὰ θάνατον ῥάκια. περὶ τῶν Μαυρουσίων τῶν συστραφέντων κατὰ Καρχηδόνος τῆς πόλεως, καὶ ὅπως τῇ τοῦ Γενναδίου τόλμῃ ὁ πόλεμος ἔσβεστο. καὶ περὶ τοῦ κομήτου τοῦ φανέντος ἐπὶ ἡμέρας πολλάς. περὶ τοῦ ἐμφυλίου πολέμου τοῦ γενομένου τοῖς Τούρκοις, καὶ ἐν ἐκθέσει τὰ περὶ τῆς τῶν Τούρκων πολιτείας. καὶ ὡς τὸν ἐθνάρχην τῶν Ἐφθαλιτῶν ὁ Χαγάνος τῶν Τούρκων ἀνελὼν καὶ δουλώσας τὸ ἔθνος, ἔτι δὲ καὶ τοὺς Ὀγὼρ τὸ ἔθνος, καὶ δὴ καὶ τοὺς Κόλχους ἄχρι τριάκοντα μυριάδων διέφθειρεν. ἀλλὰ καὶ τὸν ἐπανα-
46 H. στάντα αὐτῷ Τουροὺμ ἀνελὼν ἐπινίκιον ἐπιστολὴν Μαυρικίῳ τῷ αὐτοκράτορι ἔστειλεν· ἐδουλώσατο δὲ καὶ Ἀβάρους. διέξεισι δὲ καὶ περὶ τῶν κατὰ τὴν Ταυγὰς ἐθνῶν καὶ περὶ τοῦ Μουκρί, ἐν οἷς οἱ Ἄβαροι ἡττηθέντες διεσπάρησαν. καὶ περὶ τοῦ Οὐὰρ καὶ Χουνὶ τῶν ἐθνῶν, ἐξ ὧν ἐπὶ Ἰουστινιανοῦ ἀπόμοιρα τῶνδε τῶν ἐθνῶν ἐνδημεῖ τῇ Εὐρώπῃ, οἳ καὶ Ἀβάρους ἑαυτοὺς ἐπεφήμισαν. καὶ ὡς ἡ Τούρκων χώρα σεισμοῦ καὶ λοιμοῦ ἀπείρατος. περί τε τοῦ χρυσοῦ λεγομένου ὄρους, καὶ περὶ τῆς Ταυγάς, περί τε τῶν σκωλήκων τῶν τικτόντων τὴν ἐσθῆτα τὴν Σηρικήν, καὶ ὡς πολλή ἐστι περὶ τὴν λεγομένην Χουβδὰν ἡ τῆς μετάξεως γένεσις, καὶ τὰ περὶ αὐτὴν νόμιμα. καὶ περὶ τῶν Ἰνδῶν τῶν λευκῶν τὸ σῶμα. διάλεξις πρὸς τὸν Πρίσκον Χαγάνου περὶ ἀνδραποδισμοῦ τῆς Σιγγιδόνος, καὶ ἀντιλογία Πρίσκου πρὸς αὐτόν, καὶ ὅπως ὁ Πρίσκος Σιγγιδόνα σώζει τὴν πόλιν. ὅσα τε κατὰ Δαλματίαν οἱ βάρβαροι διεπράξαντο καὶ πόλεις ἐπόρθησαν, ὅπως τε ὁ Γουνδοὺϊς παρὰ Πρίσκου σταλεὶς κατὰ τῶν ἐν Δαλματίᾳ βαρβάρων ἠρίστευσεν. ὅτι τῷ ἐννεακαιδεκάτῳ ἔτει τῆς βασιλείας Μαυρικίου προαγορεύει μοναχός τις τὸν αὐτοῦ θάνατον καὶ τῶν τέκνων· ξίφος γὰρ γυμνώσας, ἀπὸ τοῦ φόρου μέχρι τῶν προαυλίων τῶν ἀνακτόρων διαδραμών, αὐτόν τε Μαυρίκιον καὶ τὰ τέκνα ξίφει τεθνάναι προηγόρευσεν. ἀλλὰ καὶ Ἡρωδιανός τις ὀνόματι τῷ βασιλεῖ διεῖπε τὰ συμβησόμενα. περὶ τοῦ συμβάντος λιμοῦ τοῖς στρατεύμασι, καὶ ὡς ὁ Χαγάνος παραδόξῳ φιλανθρωπίᾳ πενθημέρους σπονδὰς τοῖς λιμώττουσιν ἔθετο, ὡς ἂν ὁ ἐπισιτισμὸς ἀπὸ τῶν βαρβάρων τοῖς Ῥωμαίοις ἀδεὴς ἔσοιτο· καὶ ὡς ἀρώμασιν ὑπὸ Πρίσκου φιλοτιμηθεὶς ἐπὶ τὰ κατὰ Μυσίαν ἐχώρησεν. ὡς συνῆψεν ὁ Χαγάνος περὶ τὴν Μυσίαν πρὸς Κομεντίολον μάχην, ἐπιβουλῇ δὲ Κομεντιόλου διαφθείρεται ὑπὸ τῶν βαρβάρων τὸ Ῥωμαϊκόν. καὶ φεύγει Κομεντίολος, καὶ πρὸς Δριζίπερα τὴν πόλιν παραγίνεται, καὶ ἀποπέμπεται τῆς πόλεως ὡς φυγάς, καὶ πρὸς τὰ μακρὰ παραγίνεται τείχη. οἱ δὲ βάρβαροι κατόπιν ἰόντες πρῶτον τὰ Δριζίπερα αἱροῦσι, καὶ τὸν Ἀλεξάνδρου τοῦ μάρτυρος ἐμπρήσαντες νεὼν καὶ τὸ σῶμα τῆς θήκης ἐκσύραντες ὕβρισαν. θεία δὲ δίκη μετῆλθε τοὺς ὑβριστὰς τοῦ μάρτυ-
ρος· ἑπτὰ γὰρ παῖδες τοῦ Χαγάνου ἐν ἡμέρᾳ μιᾷ βου- 47 H.
βῶσι περιληφθέντες ἐτελεύτησαν. Κομεντίολος δὲ μετὰ τῶν θορύβων ἐνδημεῖ τῇ Κωνσταντινουπόλει, οἱ δὲ βάρβαροι τοῖς μακροῖς πλησιάζουσι τείχεσι. καὶ οἱ τοῦ Βυζαντίου ἐπὶ τοσοῦτον ἔδεισαν, ὡς καὶ καταλιπεῖν Εὐρώπην καὶ πρὸς τὴν Ἀσίαν περαιωθῆναι διεμελέτησαν. πρεσβεύεται δ' οὖν ὅμως ὁ βασιλεὺς πρὸς τὸν Χάγανον δι' Ἁρμάτωνος, καὶ δώροις λαμπροῖς καὶ προσθήκαις χρυσοῦ χιλιάδων εἴκοσι πείθει μόλις τὴν εἰρήνην δέξασθαι, λέγοντα „κρῖναι ὁ θεὸς ἀνὰ μέσον Χαγάνου καὶ Μαυρικίου καὶ ἀνὰ μέσον Ῥωμαίων

a. 1. τῷ δοῦναι — ἀντιχειροτονεῖται add A. 1. 8. 11. σκαυηνῶν A. 3. σταλ] τοῦ σταλ. A. 9. ἀσήμῳ ς. 14. ὑπὸ σκαυήνων A, ὑπὸ τῶν σκλαβήνων ς. 17. ἐνδανεισθέντων ς. 23. ἔσβετο ς. 24. πολέμου om A. 26. τῶν Ἐφθαλιτῶν] τῶν ἀβδελῶν ἤτοι τῶν ἐφθαλιτῶν A. 27. καὶ δουλώσας τὸ ἔθνος A: τὸ ἔθνος ἐδουλώσατο ς. 28. ὄγωρ A: Ἀγὰρ ς, Labbeus Ἀβασγῶν vel Ἀβάρων. 32 et 38. Ταύγας. 33. Νουκρὶ ς. 34. Χουνὶ τῶν] χουνιτῶν A. 37. ἀπείρατος ς. b. 1. μετάξης ς. 2. καὶ τὰ περὶ A. 3. τῆς A: τοῦ ς. 7. Γουνδούης ς. 14. ὀνόματι add A. 15. λιμοῦ corr A: λοιμοῦ ς. 19. δωρήμασιν Scaliger. 23 et 26. Δριζίπερα ς.

Digitized by Google

καὶ Ἀβάρων." περὶ τῶν φανέντων ἀνθρωπομόρφων τεράτων ἐν τοῖς Νειλῴοις ὕδασι, καὶ περὶ τῆς τοῦ Νείλου ἀναβάσεως δόξαι διάφοροι. ὁ δὲ συγγραφεὺς 47 H. Ἀγαθαρχίδου τοῦ Κνιδίου "τῇ δόξῃ προστίθεται· φησὶ δὲ οὗτος ἀν' ἔτος ἕκαστον ἐν τοῖς κατὰ τὴν Αἰθιοπίαν μεγάλους καὶ συνεχεῖς γίνεσθαι ὄμβρους ἀπὸ θερινῶν τροπῶν μέχρι τῆς ἰσημερίας τῆς ἐν τῷ μετοπώρῳ γινομένης καθ' ἕκαστα· εὐλόγως οὖν τὸν Νεῖλον ἐν μὲν τῷ χειμῶνι συστέλλεσθαι, κατὰ φύσιν ἔχοντα ῥύσιν ἀπὸ μόνων τῶν ἑαυτοῦ πηγῶν, κατὰ δὲ τὸ θέρος διὰ τοὺς ἐκεῖθεν ἐκχεομένους εἰς αὐτὸν ὄμβρους λαμβάνειν τὴν αὔξησιν. ταῦτα μὲν καὶ ὁ ἕβδομος.

Ὁ δὲ ὄγδοος λόγος διαλαμβάνει ὅπως ὁ Χοσρόης διὰ τὰς ἐπιδρομὰς τῶν Σαρακηνῶν τῶν ὑπὸ Ῥωμαίοις ταττομένων λῦσαι τὰς σπονδὰς ἐνεχείρησε, Γεωργίου δὲ πρὸς αὐτὸν σταλέντος αἱ σπονδαὶ μεμενήκασι· καὶ Γεώργιος ἀτιμάζεται ὡς εἰπόντος Χοσρόου διὰ Γεώργιον ἀλύτους τηρεῖν τὰς σπονδάς, ἀλλ' οὐ διὰ τὸν βασιλέα Μαυρίκιον. ὅπως τε Κομεντίολος προδοσίας κρίνεται, καὶ διαλλαγαὶ τῶν Ῥωμαϊκῶν στρατευμάτων πρὸς αὐτόν, καὶ ὅπως αὖθις ὑπὸ τοῦ αὐτοκράτορος στρατηγὸς στέλλεται. μάχη Ῥωμαίων καὶ Ἀβάρων στρατηγοῦντος Πρίσκου καὶ Κομεντιόλου, καὶ Κομεντιόλου μὲν ἀπομάχου διά τινας προσποιήσεις ὄντος, Πρίσκου δὲ τῷ στρατοπέδῳ παρόντος ἀριστεία Ῥωμαίων καὶ ἀναίρεσις τῶν Ἀβάρων μέχρι τεσσάρων χιλιάδων. δευτέρα μάχη, καὶ ἀναίρεσις τῶν αὐτῶν ἄχρι χιλιάδων ἐννέα. τρίτη μάχη, καὶ ἔτι τῶν αὐτῶν ὄλεθρος μέχρι πεντεκαίδεκα χιλιάδων. τετάρτη μάχη, καὶ νίκη πάλιν Ῥωμαίων λαμπρά, καὶ ἀναίρεσις Ἀβάρων ἅμα Γηπαίδων χιλιάδων τριάκοντα. πέμπτη μάχη, καὶ νίκη Ῥωμαίων, καὶ ἀναίρεσις Ἀβάρων, καὶ ἅλωσις τῶν μὲν ζωγρηθέντων Ἀβάρων τρισχιλίων, ἄλλων δὲ βαρβάρων τετρακισχιλίων, καὶ ἑτέρων δισχιλίων καὶ διακοσίων, καὶ Σαβήνων χιλιάδων ὀκτώ· ἐξ ὧν ὁ Χαγάνος ἀπατήσας τὸν αὐτοκράτορα τοὺς ζωγρηθέντας Ἀβάρους ἀνέλαβε. περὶ τῆς Κομεντιόλου μελαγχολίας, καὶ ὅπως τῇ τούτου ἀβουλίᾳ πλῆθος Ῥωμαίων, πρὸς Φιλιππούπολιν ἀπαίροντος, τῷ κρύει διώλοντο, ὡς Πέτρος αὖθις στρατηγὸς τῆς Εὐρώπης ὑπὸ τοῦ αὐτοκράτορος προχειρίζεται. περί τε τοῦ γάμου [τοῦ παιδὸς] Θεοδοσίου τοῦ παιδὸς Μαυρικίου ἐπὶ τῇ θυγατρὶ Γερμανοῦ. καὶ περὶ τῆς σιτοδείας τῆς γενομένης τῇ βασιλίδι τῶν πόλεων, καὶ τῆς συμβάσης ἀταξίας τῶν δήμων λιτανεύοντος τοῦ βασιλέως, καὶ περὶ τῆς μακροθυμίας αὐτοῦ, καὶ ἐξορίας τῶν στρατιωτῶν καὶ μονοημέρου ἐπανόδου. ὅπως Μαυρίκιος ἐπέστελλε Πέτρον παντὶ τρόπῳ τὰς Θρακῴας "δυνάμεις εἰς τὸ ἀντιπέρας τοῦ Ἴστρου διατρίβειν, ὅπως 97 R. τε θεία προσέπεσεν ὀμφὴ τῷ Πέτρῳ. καὶ ὅπως στάσις ταῖς Ῥωμαϊκαῖς εἰσήρρησε δυνάμεσι, καὶ τυραννὶς συνέστη κατὰ τοῦ αὐτοκράτορος, Φωκᾶ τοῦ τυράννου ὑπὸ τοῦ πλήθους ἀναρρηθέντος. ὅπως τε φεύγει Πέτρος, καὶ ὅπως ἡ στάσις διαγγέλλεται τῷ βασιλεῖ. καὶ ὅπως τὰ πρῶτα διὰ τῶν δημάρχων Σεργίου καὶ Κοσμᾶ πολυπραγμονεῖ τὸ πλῆθος τῶν δήμων, καὶ εὑρίσκεται πρασίνων μὲν ἀφ´, Βενέτων δὲ ἐνναχοσίων, καὶ ὅπως τοῖς δημοτικοῖς φιλοτιμίας παρέχετο. πρεσβεία τε τοῦ αὐτοκράτορος πρὸς τὰς στασιαζούσας δυνάμεις, καὶ "ἀποστροφὴ τῆς πρεσ- 48 H. βείας· ὅπως τε περιφρουρεῖ τὴν βασιλίδα τῶν πόλεων. πρεσβεία τε τῶν στρατευμάτων πρὸς Θεοδόσιον τὸν Μαυρικίου υἱόν, ἀξιοῦσα ἢ αὐτὸν ἢ τὸν πενθερὸν Γερμανὸν βασιλέα σφῶν ἀναρρηθῆναι. γνῶσίς τε τούτων εἰς Μαυρίκιον ἀφιγμένη, καὶ ὑπόνοια εἰς Γερμανὸν ὡς αἴτιον τῆς τυραννίδος, καὶ ἀπειλή, καὶ μήνυσις τῆς βασιλικῆς ἀπειλῆς διὰ τοῦ γαμβροῦ Θεοδοσίου, καὶ καταφυγὴ Γερμανοῦ πρὸς τὸν νεὼν τῆς θεομήτορος. τῶν Κύρου καὶ Στεφάνου τοῦ εὐνούχου, ὃς ἐπίτροπος ἐτέτακτο τοῖς βασιλέως παισί, πρὸς Γερμανὸν ἀποστολὴ εἰς τὸ ἐξελθεῖν αὐτὸν τοῦ ναοῦ καὶ ἀπραξία· καὶ ἡ διὰ ῥάβδων μαστίγωσις Θεοδοσίου τοῦ παιδὸς ὑπὸ τοῦ πατρὸς ἕνεκα τῆς πρὸς τὸν πενθερὸν καταμηνύσεως. καὶ μεταφοίτησις Γερμανοῦ ἀπὸ τοῦ νεὼ τῆς θεομήτορος ἐπὶ τὴν ἁγίαν Σοφίαν, καὶ πάλιν πρόσκλησις ἐπὶ τὸ ἐξελθεῖν, καὶ ἀπείθεια, Ἀνδρέα τινὸς συνεχῶς φοιτῶντος ταῖς λιτανείαις τὴν ἔξοδον κεκωλυκότος. θόρυβοί τε καὶ ἐμπρησμὸς τῆς κατὰ τὴν πόλιν οἰκίας Κωνσταντίνου τοῦ πατρικίου, ὃν Λαρδοῦν ἐπεκάλει τὰ πλήθη· καὶ ἀπορία Μαυρικίου καὶ ἀπόδρασις. ὅπως κλύδωνος γεγονότος ἐγκοπὴν πρὸς τὴν ἀπόδρασιν λαμβάνει. καὶ ἀποστολὴ Θεοδοσίου τοῦ παιδὸς πρὸς Χοσρόην, καὶ ὑποστροφὴ πάλιν ἀπὸ Νικαίας τῇ ἐπιδείξει τοῦ δακτυλίου, ὃ ἦν εἰς σύν-

a. 1. Ἀβάρων A: βαρβάρων ς. 4. Ἀγαθαρχίδου Schottus: libri ἀναρχίδου. 5. ἀνὰ ς. post Αἰθιοπίαν addiderim ὄρεσιν collato Diodoro Sic. 1, 41. 12. μὲν οὖν καὶ ς. 18. ἀλύτους A: αὐτοὺς ς. 23. alterum καὶ Κομεντιόλου add A. 31. Ἀβάρων A: βαρβάρων ς. γηπίδων A. 35. Σκλαβήνων mg. 39. ἀπαίροντες apographum Stephani.
b. 7. ἔστελλε ς. 10. εἰσείρησε ς. 12. τε add A. 16. ἐνναχοσίων] τ ς. τοῖς δημοτικοῖς A: τῆς δημιουργικῆς ς. 27. εὐνούχου A: ἡμιάρρενος ς. 34. Ἀνδρέου ς. 37. Λάρδων ς. vide Anecd. nostra p. 1195.

Digitized by Google

*θημα τῷ παιδὶ παρὰ τοῦ πατρὸς ποιηθέν. ὅπως τε πρὸς τὸν τύραννον οἱ τοῦ ἄστεως, ἐν οἷς ἦν καὶ ὁ Ἐδομίτης, προσεχώρησαν. ὅπως τε Γερμανὸς κατασκευάζων ἑαυτῷ τὴν βασιλείαν ἀποτυγχάνει, τῶν πρασίνων ἀπειπόντων τὴν ἀνάῤῥησιν διὰ τὸ τῆς αἱρέσεως αὐτὸν εἶναι, ὡς ἐκεῖνοι ἔφασκον, τῶν Βενέτων. εἶτα ἀναγόρευσις ἐν τῷ ναῷ τοῦ ἁγίου Ἰωάννου ἐν τῷ ἑβδόμῳ τοῦ Φωκᾶ· Κυριακὸς δὲ τηνικαῦτα τοὺς τῆς βασιλίδος ἀρχιερατικοὺς ἐγκεχείριστο νόμους. εἴσοδός τε Φωκᾶ πρὸς τὰ βασίλεια, καὶ ἀνάῤῥησις Λεοντίας τῆς γυναικὸς Φωκᾶ. καὶ περὶ τὴν τόπων στάσιν τῶν δημάρχων ἔρις, καὶ ὠθισμὸς Κοσμᾶ τοῦ δημάρχου τῶν Βενέτων ὑπὸ Ἀλεξάνδρου, καὶ ὕβρις εἰς Ἀλέξανδρον. καὶ μνήμη Μαυρικίου, ὡς οὐκ ἀπέθανε, καὶ διὰ τοῦτο τοῦ τυράννου πρὸς τὸν φόνον τοῦ βασιλέως μᾶλλον ὁρμή. ἀναίρεσίς τε τῶν τοῦ βασιλέως παίδων ἐνώπιον τοῦ πατρὸς ἐν τοῖς Εὐτροπίου, καὶ φιλοσοφία καὶ εὐχαριστία τοῦ βασιλέως, καὶ αὐτοῦ ἐκείνου διὰ Λιλίου ἀναίρεσις. καὶ περὶ τῆς ἐπὶ Ἡρακλείου τοῦ βασιλέως εὑρεθείσης διαθήκης Μαυρικίου τοῦ αὐτοκράτορος. ὅπως τε τὰ σώματα τῶν βασιλέων τῷ θαλαττίῳ ῥοθίῳ παρεδόθησαν. ἐπιτάφιός τε εἰς Μαυρίκιον· καὶ ὅπως τὰς ἀντιδόσεις τῶν παρανομηθέντων αὐταῖς εἰς Μαυρίκιον αἱ Ῥωμαϊκαὶ δυνάμεις κρίσει προνοίας θείας ἐλάμβανον, ὡς ἐν ὀλίγῳ χρόνῳ μηδένα τῶν κοινωνησάντων*
100 B. *τῆς τυραννίδος ἐκ τοσούτου πλήθους ὑπολειφθῆναι, "ἀλλ' οἱ μὲν λοιμῷ, οἱ δὲ πυρὶ οὐρανίῳ, οἱ δὲ καὶ στόματι διεφθάρησαν μαχαίρας, ὥστε ἡνίκα Ἡράκλειος ὁ βασιλεὺς πρὸς Ῥαζάτην τὸν Πέρσην πολεμεῖν ἔγνω, ἔκταξιν τῆς στρατείας ποιησάμενος δύο μόνους εὗρεν ὑπολελειμμέ-*
19 H. *νους "τῆς φιλοτυράννου πληθύος, καὶ τότε ἤρξατο τὸ Ῥωμαϊκὸν κατὰ Περσῶν ἐνισχύειν· μέχρι γὰρ ἂν ἐκεῖνοι περιῆσαν, ἡ νίκη τοῖς Πέρσαις ἐνηυλίζετο. ἀναίρεσις ὑπὸ τοῦ τυράννου δι' Ἀλεξάνδρου Θεοδοσίου τοῦ βασιλέως τοῦ αὐτοκράτορος παιδός, καὶ Πέτρου καὶ Κομεντιόλου καὶ Κωνσταντίνου τοῦ Λαρδοῦ· πλάνη τε περὶ Θεοδοσίου, ὡς οὐ πεφόνευται. καὶ ὅπως κατὰ τὴν Ἀλεξάνδρειαν τὰ ἀγάλματα τῆς οἰκείας ἕδρας ἀποφοιτῶντα προηγόρευον τὰ γεγονότα Καλλιγράφῳ τινί, κατὰ τὸ Τυχαῖον οὕτω καλούμενον, ἀπὸ δείπνου πρὸς τὰ οἴκοι διερχομένῳ. ὅπως τε ὁ Μαυρίκιος λέγεται τρίτην μοῖραν τῶν φόρων συγχωρῆσαι τοῖς ὑπηκόοις, καὶ τριάκοντα δοῦναι τάλαντα τοῖς Βυζαντίοις εἰς νευργίαν τοῦ τῶν ὑδάτων ὁλκοῦ· καὶ ὅπως ἐφιλοτιμεῖτο λαμπρῶς τοὺς τῶν μαθημάτων ἐραστάς. καὶ περὶ τῶν γεγονότων παραδόξων τῆς τῶν αἱμάτων ῥύσεως Εὐφημίας τῆς μάρτυρος, καὶ ὡς Μαυρίκιος πειράσας μᾶλλον τὸ θαῦμα δι' ἀπιστίας ἐπίστωσε. καὶ ὅπως ὁ τύραννος Κωνσταντῖναν τὴν τοῦ βασιλέως Μαυρικίου γυναῖκα ἅμα ταῖς θυγατράσιν ἐν ἰδιωτικῇ οἰκίᾳ ἐνέκλεισε. πρεσβεία τοῦ τυράννου πρὸς Χοσρόην τὸν Περσῶν βασιλέα, καὶ ἀποτυχία, κατάλυσίς τε τῶν σπονδῶν προφασιζομένου Χοσρόου τὴν ὁσίαν διεκδικεῖν Μαυρικίου· καὶ οὕτως ὁ Λίλιος (οὗτος γὰρ ὁ πρεσβεύων ἦν) ἀνεχώρησεν ἄπρακτος. ἀναίρεσις Ἀλεξάνδρου τοῦ συννεωτερίσαντος τῷ Φωκᾷ, δι' ὑπόνοιαν ὅτι Θεοδόσιον τὸν Μαυρικίου παῖδα, ὃν ἀνεῖλε, περιεποιήσατο. ἐν οἷς καὶ τῆς ὅλης ἱστορίας τὸ πέρας.*

66.

*Ἀνεγνώσθη ἱστορικὸν σύντομον* ΝΙΚΗΦΟΡΟΥ *τοῦ ἐν ἁγίοις Κωνσταντινουπόλεως ἀρχιερέως. ἄρχεται ἀπὸ τῆς ἀναιρέσεως Μαυρικίου, καὶ κάτεισι μέχρι τῆς εἰς γάμον κοινωνίας Λέοντος καὶ Εἰρήνης. ἔστι δὲ τὴν φράσιν ἀπέριττός τε καὶ σαφής, καλλιλεξίᾳ τε καὶ συνθήκῃ λόγου οὔτε λελυμένῃ οὔτε αὖ πάλιν συμπεπιεσμένῃ περιέργως κεχρημένος, ἀλλ' οἵᾳ ἂν χρήσαιτο ὁ ῥητορικὸς ὡς ἀληθῶς καὶ τέλειος ἀνήρ· τό τε γὰρ νεωτεροποιὸν ἐκκλίνει, καὶ τὸ ἀρχαιότροπον καὶ ἐξησκημένον οὐ παρατρέχει. ἔτι δὲ καὶ ἡδονὴ κέκραται αὐτοῦ σὺν χάριτι τοῖς λόγοις. καὶ ὅλως πολλοὺς ἐστὶ τῶν πρὸ αὐτοῦ ἀποκρυπτόμενος τῇδε τῆς ἱστορίας τῇ συγγραφῇ, εἰ μή τῳ τὸ λίαν συντετμημένον οὐχ ὁλόκληρον δόξει διαπεραίνειν τὴν χάριν.*

67.

*Ἀνεγνώσθη* ΣΕΡΓΙΟΥ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ. *ἄρχεται ἀπὸ τῶν τοῦ Μιχαὴλ πράξεων, "καὶ ἀνατρέχει* 101 R.
*ἐπὶ τὰ τοῦ Κοπρωνύμου ἀθέμιτα καὶ ἐβδελυγμένα ἔργα, καὶ κάτεισιν ἐκεῖθεν ἐφεξῆς διεξιὼν μέχρι τοῦ ὀγδόου ἔτους αὐτοῦ Μιχαήλ, τάς τε κατὰ τὴν πολιτειαν καὶ τὰς κατὰ τὴν ἐκκλησίαν ἀναγραφόμενος αὐτοῦ πράξεις, οὐ μὴν ἀλλὰ καὶ ἃ κατὰ πόλεμον αὐτῷ ξυνηνέχθη, καὶ οἷος ἐτύγχανε τὴν δόξαν περὶ τοῦ θείου, πάντα λεπτομερῶς διεξιών. ἔστι δὲ τὴν φράσιν, εἴπερ τις, σαφηνείᾳ καὶ τῷ ἀπεριέργῳ κοσμούμενος ἔν τε τῷ εὐσήμῳ τῶν λέξεων καὶ τῇ συνθήκῃ καὶ τῇ ἄλλῃ τοῦ λόγου οἰκονομίᾳ, ὥστε δοκεῖν καὶ αὐτοσχεδίᾳ πως αὐτῷ συγγεγράφθαι· ἐμφύτῳ γὰρ ὁ λόγος ἀνθῶν χάριτι τὴν ἐκ περιεργίας οὔ τι προσ-*

a. 2. ἄστεος ς. ἦν add A. ἐδομίτης A: Ἑβδομήτης ς. 11. τὴν] τὴν τῶν ς. 12. καὶ ὕβρις εἰς Ἀλέξανδρον add A. 15. μᾶλλον A: πάλιν ς. 19. αὐτοκράτορος ἀνάγνωσις. ὅπως ς. 33. διὰ ς. sed eiusmodi minutias ut nunquam sine codice mutavi, ita non amplius memorabo. 36. τὴν add A. 37. προηγόρευε ς. 39. διερχομένου A. 40. συγχωρεῖν ς. b. 5. κωνσταντίαν ς. 34. καὶ τὰς A: τάς τε ς.

ἥκατο μόρφωσιν. διὸ καὶ πρέπων ὁ λόγος ἐκκλησιαστικῇ μάλιστα ἱστορίᾳ· ὃ καὶ βούλεται.

## 68.

50 H. Ἀνεγνώσθη ΚΕΦΑΛΙΩΝΟΣ σύντομον ἱστορικόν. ἄρχεται ἀπὸ τῆς βασιλείας Νίνου καὶ Σεμιράμεως, καὶ κάτεισι μέχρι τῶν τοῦ βασιλέως Ἀλεξάνδρου χρόνων. συμπεραίνεται δὲ αὐτοῦ ἡ ἱστορία ἐν λόγοις θ' κατ' ἐπωνυμίαν τῶν θ' Μουσῶν, Κλειοῦς, Θαλείας, Πολυμνίας, Μελπομένης, Τερψιχόρης, Εὐτέρπης, Καλλιόπης, Ἐρατοῦς, Οὐρανίης· ἐν ᾗ καὶ τὰ κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα διέξεισιν. ἔστι δὲ τὴν φράσιν ἰωνίζων, καὶ τοῦ προσήκοντος πλέον τῇ συντομίᾳ ἀποχρώμενος, οὐδ' ἄλλο οὐδὲν ἄξιον θαυμάσαι καὶ ζηλῶσαι ἐνδεικνύμενος πλὴν τῆς κατὰ τὴν ἱστορίαν μαθήσεως. οὗτος τὸ μὲν γένος αὐτοῦ καὶ πατρίδα, ὡς αὐτὸς ἐκεῖνός φησιν, ὥσπερ Ὅμηρος ἀποσιωπᾷ, ὅτι δὲ διατρίβων ἐν Σικελίᾳ φυγῆς ἕνεκα τὴν ἱστορίαν συνέταξεν, ἀποφαίνεται, τὸ μὲν ἀναγκαῖον, πατρίδα εἰπεῖν καὶ γένος, παρείς, τὸ δὲ καὶ μικροψυχίαν ἐμφαῖνον ἐν μνήμῃ πεποιηκώς. καὶ τὸ ἐκ τόσων δὲ καὶ τόσων συνειλέχθαι αὐτῷ τὴν ἱστορίαν σεμνύνεσθαι οὐ πάνυ ψυχῆς τὸ μικρολόγον τε καὶ τὴν παιδαριώδη φιλοτιμίαν ἀποσειομένης ἀπόδειξις. φησὶ δ' ὅμως τὸν πρῶτον αὐτῷ τῆς ἱστορίας συνειλέχθαι ἐκ λόγων μὲν φο', ὧν πατέρας λ' καὶ α' ἀπομνημονεύει· τὸν δὲ δεύτερον ἐκ βιβλίων σή', συγγραφέων δὲ κέ'· καὶ τὸν τρίτον δὲ ἐκ βιβλίων μὲν χ', συγγραφέων δὲ κϛ'· τὸν μέντοι τέταρτον ἐκ βιβλίων μὲν ων', συγγραφέων δὲ λβ'· καὶ τὸν πέμπτον δὲ ἐκ βιβλίων μὲν σ', συγγραφέων δὲ κϛ'· τὸν δὲ ἕκτον ἐκ βιβλίων μὲν . ., συγγραφέων δὲ . .· τὸν δὲ ἕβδομον ἐκ βιβλίων μὲν . ., συγγραφέων δὲ . .· τὸν δὲ ὄγδοον ἐκ βιβλίων μὲν . ., συγγραφέων δὲ . ., καὶ τὸν ἔννατον δὲ ἐκ βιβλίων μὲν . ., συγγραφέων δὲ τριάκοντα· ἐν οἷς καὶ ἡ Κεφαλίωνος ἱστορία.

## 69.

Ἀνεγνώσθη μοι βιβλίον ἱστορικὸν ὡς ἐν συνόψει κοσμικῆς ἱστορίας· ὁ δὲ συγγραφεὺς ἩΣΥΧΙΟΣ Ὁ ἸΛΛΟΥΣΤΡΙΟΣ, Μιλήσιος μὲν ἐκ πατρίδος, παῖς δὲ Ἡσυχίου καὶ Φιλοσοφίας, καθ' ὃ καὶ ἡ ἐπιγραφὴ τοῦ βιβλίου μετὰ τοῦ ἱστορίας Ῥωμαϊκῆς τε καὶ παντοδαπῆς τυγχάνει. ἄρχεται μὲν οὖν ἀπὸ τῆς τοῦ Βήλου τοῦ Ἀσσυρίων βασιλέως βασιλείας, κάτεισι δὲ μέχρι τῆς τελευτῆς Ἀναστασίου, ὃς Ῥωμαίων γέγονεν αὐτοκράτωρ. ἔστι δὲ σύντομος καὶ καλλιεπής· λέξει τε γὰρ ἀνθηρᾷ 104 B. καὶ εὐσήμῳ κέχρηται, καὶ ἡ συνθήκη τοῦ λόγου κατὰ λόγον αὐτῷ ἡρμοσμένη· κυριολογίᾳ μὲν μάλιστα χαίρων· εἰ δέ που καὶ τρέψοιτο, τῷ τε εὐσήμῳ καὶ ἐμφατικωτάτῳ τῆς λέξεως ἥδυνε μὲν τῇ τροπῇ τὸν ἀκροατήν, οὐδὲν δὲ ἧττον, εἰ μὴ καὶ μᾶλλον σαφῶς τὸ πρᾶγμα, ἢ εἰ μὴ ἐτέτραπτο, παρεστήσατο. ὑπισχνεῖται δὲ καὶ ἀληθείας εἶναι φροντιστής. διαιρεῖται δὲ αὐτῷ τὸ σπούδασμα εἰς τμήματα ἕξ, ὧν τὸ μὲν πρῶτον τμῆμα περιέχει τὰ πρὸ τῶν Τρωϊκῶν, τὸ δὲ δεύτερον τὰ ἀπὸ Ἰλίου ἁλώσεως ἕως τῆς κτίσεως Ῥώμης, τὸ δὲ τρίτον τὰ ἀπὸ τῆς κτίσεως Ῥώμης μέχρις ὅτου Ῥωμαίοις ἡ τῶν ὑπάτων εἰσήχθη ἡγεμονία καταλύσασι τοὺς βασιλέας, κατὰ τὴν ὀγδόην καὶ ἑξηκοστὴν Ὀλυμπιάδα, τὸ δὲ τέταρτον, ἐξ οὗπερ Ῥωμαίων ἡγήσαντο ὕπατοι, ἤτοι ἀπὸ τῆς ὀγδόης καὶ ἑξηκοστῆς Ὀλυμπιάδος, μέχρι δευτέρας καὶ ὀγδοηκοστῆς καὶ ἑκατοστῆς Ὀλυμπιάδος, οὗ καὶ ἔληξεν ἡ τοιαύτη ἀρχὴ Ἰουλίου τοῦ 51 H. Καίσαρος μοναρχήσαντος. τὸ δὲ πέμπτον τμῆμα περιέχει τὰ ἀπὸ τῆς Ἰουλίου τοῦ Καίσαρος μοναρχίας μέχρις ὅτου Βυζάντιον ἐπὶ μέγα δόξης ἰσχύος ἤρθη, Ὀλυμπιάδος ἑβδόμης καὶ ἑβδομηκοστῆς καὶ διακοσιοστῆς ἱσταμένης. τὸ δὲ ἕκτον, ἐξ οὗ βασιλέα Κωνσταντινούπολις εὐτύχησε Κωνσταντῖνον, μέχρι τῆς Ἀναστασίου τελευτῆς, ὃν οὗτος ὁ συγγραφεὺς πρᾳότητι καὶ ἡμερότητι οὐκ οἶδ' ὅπως πολλῶν ἀποσεμνύνει διενεγκεῖν· οὗ συνέπεσεν ἡ τελευτὴ κατὰ τὴν ἑνδεκάτην ἰνδικτιῶνα, Μάγνου μόνου ὑπατεύοντος. ἡ δὲ περιοχὴ τῶν χρόνων χιλίων καὶ ἐνενήκοντα καὶ ἑκατόν. ἐν οἷς καὶ ἡ συγγραφή.

Ἀνεγνώσθη δέ μοι καὶ ἑτέρα τοῦ αὐτοῦ βίβλος, ἐν ᾗ περιείχετο τά τε Ἰουστίνῳ πραχθέντα, ὅπως τε Ἀναστασίου τελευτήσαντος αὐτὸς ἀνεῤῥήθη. εἶτα καὶ τὴν Ἰουστινιανοῦ τοῦ μετὰ Ἰουστῖνον ἔστιν ἀνάῤῥησιν κατιδεῖν, καὶ τὰς ἄλλας πράξεις μέχρις ἐτῶν τινῶν τῆς αὐτοῦ βασιλείας. καὶ τὸ λοιπὸν ὁ συγγραφεὺς ἐπεσχέθη, θανάτῳ τοῦ παιδὸς Ἰωάννου τὴν ψυχὴν καιρίαν βληθεὶς καὶ τῆς πρὸς τὸ γράφειν ὁρμῆς ἐκκοπείς.

*a.* 4 et 33. *Κεφαλαίωνος* ς. cf. p. R. 104, 43 et 341, 34. adde Allatium de patria Homeri c. 1. et Niebuhr. de Eusebio Armen. (in Actis academ. Berolin. a. 1820—21) p. 43. 8. *Πολυμνείας* ς. 22. *ἀποσειμένης A.* 23. *αὐτῷ* add *A.* *μὲν ἐκ λόγων* ς. 26. *μὲν* add *A.* 28. *λς* ς. alterum *δὲ* add *A.* *μὲν* om *A.* 29. *κϛ*] *κα* vel *κδ* (incertum enim) *A.* lacunae eaedem in *AC.* 32. *δὲ* ante *ἐκ* add *A.* 36. *μοι* add *A.* 38. *Ἰλούστριος A.* 39. *Σοφίας* ς. 40. *τοῦ* add *A.* *b.* 3. *γὰρ* om pr *A.* 6. *τέρψοιτο* ς. 14. *ὅτου*] *ὅτε A.* 23. *ἰσχύος*] malim *καὶ ἰσχύος.* 26. *ηὐτύχησε* ς. *τῆς*] *καὶ τῆς* ς. 27. *καὶ*] *τε καὶ* ς. 30. *μόνον* ς. 37. *τινῶν*] fortasse legendum *τριῶν.*

Digitized by Google

70.

Ἀνεγνώσθη μοι ΔΙΟΔΩΡΟΥ ΣΙΚΕΛΙΩΤΟΥ βιβλίον ἱστορικὸν ἐν λόγοις μ', οἰκουμενικὴν περιέχουσιν ἱστορίαν. ἔστι δὲ πολλῷ πλατύτερος τοῦ τε Κεφαλίωνος, ἐν οἷς τοὺς αὐτοὺς χρόνους συμβαίνει αὐτοῖς ἀναγράφειν, καὶ τοῦ Ἡσυχίου τοῦ Ἰλλουστρίου. κέχρηται δὲ φράσει σαφεῖ τε καὶ ἀκόμψῳ καὶ ἱστορίᾳ μάλιστα πρεπούσῃ, καὶ μήτε τὰς (ὡς ἂν εἴποι τις) λίαν ὑπερηττικισμένας ἢ ἀρχαιοτρόπους διώκων συντάξεις, μήτε πρὸς τὴν καθωμιλημένην νεύων παντελῶς, ἀλλὰ τῷ μέσῳ τῶν λόγων χαρακτῆρι χαίρων, φεύγων τε τροπὰς καὶ τἄλλα, πλὴν τῶν παρ' Ἕλλησι μυθολογουμένων θεῶν τε καὶ ἡρώων, ὅσα τὸ ποιητικὸν ἔθος νέμει. ἄρχεται μὲν οὖν τῆς ἱστορίας ἀπὸ τῶν μυθολογουμένων παρ' Ἕλλησι καὶ βαρβάροις, ἑξῆς διιὼν μέχρι τῆς ἀρχῆς τοῦ συστάντος πολέμου Ῥωμαίοις τε καὶ Κελτοῖς, καθ' ὃν χρόνον Γάϊος Ἰούλιος Καῖσαρ, ᾧ διὰ τὰς πράξεις θεὸν ἐπίκλην ἔθεντο Ῥωμαῖοι, κατεπολέμησε τὰ πλεῖστα καὶ μαχιμώτατα τῶν Κελτῶν ἔθνη· ἐν τριάκοντα δὲ ἔτεσιν, ὥς αὐτός φησι, περὶ ταύτην ἐπόνησε τὴν ἱστορίαν, τόπους τε πολλοὺς ἀμείβων χάριν πολυμαθίας, καὶ ταλαιπωρίαις οἷα εἰκὸς ἐντυγ-
105 B. χάνων. Σικελιώτης δὲ ὢν ἐξ Ἀγυρίου τὸ γένος ἔχει, καὶ διὰ τὴν ἐπιμιξίαν τῶν Ῥωμαίων πολλὴν ἐμπειρίαν τῆς Ῥωμαίων εἰληφὼς διαλέκτου πάσας τὰς ἡγεμονικὰς αὐτῆς πράξεις καὶ πάθη ἀκριβῶς ἀνελάβετο. ἐν μ' δὲ βιβλίοις τὴν ὅλην συμπεραινόμενος πραγματείαν ἐν μὲν ς' ταῖς πρώταις τὰς πρὸ τῶν Τρωϊκῶν πράξεις τε καὶ μυθολογίας ἐκτίθεται, ἐν δὲ ταῖς ἐφεξῆς ια' τὰς ἀπὸ τῶν Τρωϊκῶν κοινὰς πράξεις εὑρήσεις ἀναγεγραμμένας ἕως τῆς τελευτῆς Ἀλεξάνδρου τοῦ Μακεδόνων βασιλέως. ἐν δὲ ταῖς ὑπολοίποις κγ' βίβλοις αἱ λοιπαὶ τυγχάνουσι πράξεις ἀναγεγραμμέναι, μέχρις ὅτου Ῥωμαίοις πρὸς Κελτοὺς ὁ πόλεμος συνεῤῥάγη,
54 H. καθ' ὃν ἡγούμενος Γάϊος Ἰούλιος Καῖσαρ ἐκράτησε μὲν τῶν πλείστων καὶ μαχίμων παρὰ Κελτοῖς ἐθνῶν τῷ πολέμῳ, προεβίβασε δὲ τὴν ἡγεμονίαν τῆς Ῥώμης μέχρι τῶν Βρεττανικῶν νήσων· ἐν οἷς καὶ ἡ ἱστορία τελευτᾷ.

71.

Ἀνεγνώσθη βιβλίον Κασσιανοῦ Κοκκιανοῦ ἢ Κοκκίου ΔΙΩΝΟΣ, ἐν λόγοις π'. ἄρχεται μὲν ἀπὸ τῆς Αἰνείου ἐπὶ τὴν Ἰταλίαν ἐκ Τροίας καθόδου καὶ τῆς κτίσεως Ἀλβαπόλεως καὶ Ῥώμης, διέρχεται δὲ καθεξῆς, ἀποπαυόμενος εἰς τὴν τοῦ Ἀντωνίνου, ὃν Ἐλαγάβαλον ἀπεκάλουν, σφαγήν· τοῦτον δὲ καὶ Τιβερῖνον καὶ Σαρδανάπαλον καὶ Ψευδαντωνῖνον καὶ Ἀσσύριον ἀπὸ τῶν αὐτῷ πραττομένων ἐπωνόμαζον. οὐ μόνον δὲ ἀλλὰ καὶ εἰς τὴν ἀρχὴν κάτεισιν Ἀλεξάνδρου, ὃς Ἀντωνίνου σφαγέντος (σὺν αὐτῷ γὰρ τὸ κράτος εἶχεν, ἀναληφθεὶς ὑπ' αὐτοῦ) μόνος τὸν ἐπ' αὐτῷ μελετηθέντα κίνδυνον φυγὼν τὴν βασιλείαν ἐκδέχεται. τοῦτόν φησι τὸν Ἀλέξανδρον καὶ συνυπατεῦσαι αὐτῷ ὁ συγγραφεὺς τὸ δεύτερον, καὶ τὸ ὑπὲρ τῆς ἀρχῆς κατὰ τὸ προσῆκον ἀνάλωμα φιλοτιμίᾳ τῇ ἐς τὸν συνύπατον αὐτὸν τὸν αὐτοκράτορα ἀναλῶσαι. οὗτος δ' ὁ συγγραφεὺς Περγάμου μὲν καὶ Σμύρνης (Μακρῖνος αὐτῷ τὴν ἀρχὴν ὁ αὐτοκράτωρ ἐγχειρίζει) ἐπεστάτησεν, ἔπειτα τῆς Ἀφρικῆς ἡγεμόνευσεν εἶτα Παννονίας ἦρξε, καὶ ὑπατεύσας τὸ δεύτερον, ὡς ἐῤῥήθη, οἴκαδε ἀπῆρε παρειμένος ἐπὶ τῇ τῶν ποδῶν ἀῤῥωστίᾳ, ἐκεῖ τὸ λοιπόν, ὡς καὶ τὸ δαιμόνιον αὐτῷ (φησί) προεῖπεν ἐν Βιθυνίᾳ διατρίβοντι, βιωσόμενος ἔκ τ' ἀνδροκτασίης ἔκ θ' αἵματος ἔκ τε κυδοιμοῦ. ἔχει δὲ πατρίδα τὴν ἐν Βιθυνίᾳ Νίκαιαν, ἣν κατὰ μέρη ἡ καλουμένη λίμνη Ἀσκανία περιλιμνάζει. ἔστι δὲ τὴν φράσιν μεγαλοπρεπῶς τε καὶ ἐς ὄγκον διεσκευασμένος, ὅτι καὶ μεγάλων ἔργων ἐννοίας ἀπαγγέλλει. ἀρχαϊκῶν τε αὐτῷ συντάξεων ὁ λόγος μεστὸς καὶ λέξεων πρεπουσῶν μεγέθει, περίοδοί τε μετὰ παρενθέσεων παρατεταμέναι, καὶ ὑπερβατῶν εὔκαιρος χρῆσις. ῥυθμός τε καὶ ἀναπαύσεις εἰς ἐπιμέλειαν ἠσκημένα διὰ τὸ σαφὲς οὐκ ἔστι τοῖς ἁπλῶς ἀναγινώσκουσιν ἐμφανῆ. ἐν δέ γε ταῖς δημηγορίαις ἄριστος καὶ μιμητὴς Θουκυδίδου, πλὴν εἴ τι πρὸς τὸ σαφέστερον ἀφορᾷ. σχεδὸν δὲ κἂν τοῖς ἄλλοις Θουκυδίδης ἐστὶν αὐτῷ ὁ κανών.

72.

Ἀνεγνώσθη βιβλίον ΚΤΗΣΙΟΥ τοῦ Κνιδίου τὰ Περσικά, ἐν βιβλίοις κγ'. ἀλλ' ἐν μὲν τοῖς πρώτοις ς' τά 108 R.
τε Ἀσσύρια διαλαμβάνει καὶ ὅσα πρὸ τῶν Περσικῶν, ἀπὸ μέντοι τοῦ ζ' τὰ Περσικὰ διεξέρχεται. καὶ ἐν μὲν τῷ ζ' καὶ η' καὶ ι' καὶ ια' καὶ ιβ' καὶ ιγ' διέξεισι τὰ περὶ Κύρου καὶ Καμβύσου καὶ τοῦ μάγου Δαρείου τε καὶ τοῦ Ξέρξου, σχεδὸν ἐν ἅπασιν ἀντικείμενα Ἡροδότῳ ἱστορῶν, ἀλλὰ καὶ ψεύστην αὐτὸν ἀπελέγχων ἐν πολλοῖς καὶ λογοποιὸν ἀποκα-

a. 2. ἀνεγνώσθη βιβλίον διοδ. σικ. ς. 6. Ἰλλουστρίου A. 10. καθωμαλισμένην ς. 13. ἔθνος Stephanus et Casaubonus. b. 2. ἄλβης πόλεως Schottus. 5. ἀσύριον A. 11. τὸ βιβλίον δεύτερον ς. 17. παννονίας A. 21. ἔκ τ' ἀνδρ.] Hom. Il. 11, 164. 27. μέγεθη ς. παρατετραμμέναι ς. 29. ἀνάπαυσις ς. 30. ἐμφανὲς A. 31. ταῖς ἱστορίαις καὶ δημηγορίαις ς. καὶ μιμητὴς ἄριστος ς. 37. ἀσύρια A. 42. ἀπελέγχων A: ἀποκαλῶν ς.



Digitized by Google

λῶν· καὶ γὰρ νεώτερος μέν ἐστιν αὐτοῦ, φησὶ δὲ αὐτὸν τῶν πλειόνων, ἃ ἱστορεῖ, αὐτόπτην γενόμενον ἢ παρ᾽ αὐτῶν Περσῶν, ἔνθα τὸ ὁρᾷν μὴ ἐνεχώρει, αὐτήκοον καταστάντα, οὕτω τὴν ἱστορίαν συγγράψαι. οὐχ Ἡροδότῳ δὲ
53 H. μόνῳ τἀναντία ἱστορεῖ, "ἀλλὰ καὶ πρὸς Ξενοφῶντα τὸν Γρύλλου ἐπ᾽ ἐνίων διαφωνεῖ. ἤκμασε δὲ ἐν τοῖς χρόνοις Κύρου τοῦ ἐκ Δαρείου καὶ Παρυσάτιδος, ὃς ἀδελφὸς Ἀρτοξέρξου, εἰς ὃν ἡ Περσικὴ βασιλεία κατῆλθεν, ἐτύγχανεν.

Φησὶν οὖν αὐτίκα περὶ τοῦ Ἀστυάγους, ὡς οὐδὲν αὐτοῦ Κῦρος πρὸς γένος ἐχρημάτιζεν· οὗτος δὲ αὐτὸν καὶ Ἀστυΐγαν καλεῖ. φυγεῖν δὲ ἀπὸ προσώπου Κύρου Ἀστυΐγαν Ἐκβατάνοις, καὶ κρυφθῆναι ἐν τοῖς κριοκράνοις τῶν βασιλείων οἰκημάτων, κρυψάντων αὐτὸν τῆς τε θυγατρὸς Ἀμύτιος καὶ τοῦ ἀνδρὸς αὐτῆς Σπιτάμα. ἐπιστάντα δὲ Κῦρον ἐπιτάξαι ἀνακρίνειν διὰ στρεβλώσεως Σπιτάμαν τε καὶ Ἀμύτιν, ἀλλὰ καὶ τοὺς παῖδας αὐτῶν Σπιτάκην τε καὶ Μεγαβέρνην, περὶ Ἀστυΐγα· τὸν δὲ ἑαυτὸν προσαγγεῖλαι, ἵνα μὴ δι᾽ αὐτὸν στρεβλωθείησαν οἱ παῖδες. ληφθέντα δὲ πέδαις παχείαις ὑπὸ Οἰβάρα δεθῆναι, λυθῆναι δὲ ὑπ᾽ αὐτοῦ Κύρου μετ᾽ οὐ πολὺ καὶ ὡς πατέρα τιμηθῆναι, καὶ τὴν θυγατέρα Ἀμύτιν πρότερον μὲν μητρικῆς ἀπολαῦσαι τιμῆς, ἔπειτα δὲ καὶ εἰς γυναῖκα ἀχθῆναι τῷ Κύρῳ, Σπιτάμα τοῦ ἀνδρὸς αὐτῆς ἀνῃρημένου, ὅτι ἐψεύσατο ἀγνοεῖν εἰπὼν ἐρευνώμενον Ἀστυΐγαν. ταῦτα λέγει Κτησίας περὶ Κύρου, καὶ οὐχ οἷα Ἡρόδοτος. καὶ ὅτι πρὸς Βακτρίους ἐπολέμησε, καὶ ἀγχώμαλος ἡ μάχη ἐγένετο· ἐπεὶ δὲ Βάκτριοι Ἀστυΐγαν μὲν πατέρα Κύρου γεγενημένον, Ἀμύτιν δὲ μητέρα καὶ γυναῖκα ἔμαθον, ἑαυτοὺς ἑκόντες Ἀμύτι καὶ Κύρῳ παρέδοσαν. καὶ ὅτι πρὸς Σάκας ἐπολέμησε Κῦρος, καὶ συνέλαβεν Ἀμόργην τῶν Σακῶν μὲν βασιλέα, ἄνδρα δὲ Σπαρέθρης, ἥτις καὶ μετὰ τὴν ἅλωσιν τοῦ ἀνδρὸς στρατὸν συλλέξασα ἐπολέμησε Κύρῳ, ἀνδρῶν μὲν στράτευμα τριάκοντα μυριάδας ἐπαγομένη, γυναικῶν δὲ εἴκοσι, καὶ νικᾷ Κῦρον, καὶ συλλαμβάνει ζωγρίαν μετὰ καὶ ἄλλων πλείστων Παρμίσην τε τὸν Ἀμύτιος ἀδελφὸν καὶ τρεῖς αὐτοῦ παῖδας· δι᾽ οὓς ὕστερον καὶ Ἀμόργης ἠφέθη, ἐπεὶ κἀκεῖνοι ἠφέθησαν. καὶ ὅτι στρατεύει Κῦρος ἐπὶ Κροῖσον καὶ πόλιν Σάρδεις, συνεργὸν ἔχων Ἀμόργην. ὅπως τε βουλῇ Οἰβάρα Περσῶν εἴδωλα ξύλινα ἀνὰ τὸ τεῖχος φανέντα εἰς δέος μὲν κατέστησε τοὺς ἐνοικοῦντας, ἥλω δὲ διὰ ταῦτα καὶ αὐτὴ ἡ πόλις. ὅπως τε πρὸ τῆς ἁλώσεως δίδοται ὁ παῖς Κροίσου ἐν ὁμήρου λόγῳ, δαιμονίου φαντάσματος ἀπατήσαντος Κροῖσον· ὅπως τε δολοῤῥαφοῦντος Κροίσου ὁ παῖς κατ᾽ ὀφθαλμοὺς ἀναιρεῖται· καὶ ὅπως ἡ μήτηρ τὸ πάθος ἰδοῦσα ἑαυτὴν τοῦ τείχους ἀποκρημνίζει "καὶ θνήσκει. ὅπως τε ἁλούσης τῆς πόλεως 109 R.
πρὸς τὸ ἐν τῇ πόλει ἱερὸν τοῦ Ἀπόλλωνος καταφεύγει ὁ Κροῖσος, καὶ ὡς τρὶς ἐν τῷ ἱερῷ πεδηθεὶς ὑπὸ Κύρου λύεται τρίτον ἀοράτως, καίτοι σφραγίδων τῷ ἱερῷ ἐπικειμένων καὶ τούτων τὴν φυλακὴν Οἰβάρα ἐμπεπιστευμένου· ὅπως τε οἱ συνδέμενοι Κροίσῳ τὰς κεφαλὰς ἀπετέμνοντο ὡς καταπροδιδόντες λύεσθαι Κροῖσον· καὶ ὅτι ἀναληφθεὶς ἐν τοῖς βασιλείοις καὶ δεθεὶς ἀσφαλέστερον βροντῶν καὶ σκηπτῶν ἐπενεχθέντων λύεται πάλιν, καὶ τότε μόλις ὑπὸ Κύρου ἀφίεται. ἐξ οὗ καὶ περιείπετο, "καὶ ἔδωκε 54 H.
Κῦρος Κροίσῳ πόλιν μεγάλην Βαρήνην ἐγγὺς Ἐκβατάνων, ἐν ᾗ ἦσαν ἱππεῖς μὲν πεντακισχίλιοι, πελτασταὶ δὲ καὶ ἀκοντισταὶ καὶ τοξόται μύριοι.

Ἔτι διαλαμβάνει ὡς ἀποστέλλει Κῦρος ἐν Περσίδι Πετησάκαν τὸν εὐνοῦχον, μέγα παρ᾽ αὐτῷ δυνάμενον, ἐνέγκαι ἀπὸ Βαρκανίων Ἀστυΐγαν· ἐπόθει γὰρ αὐτός τε καὶ ἡ θυγάτηρ Ἀμύτις τὸν πατέρα ἰδεῖν. καὶ ὡς Οἰβάρας βουλεύει Πετησάκᾳ ἐν ἐρήμῳ τόπῳ καταλιπόντα Ἀστυΐγαν λιμῷ καὶ δίψει ἀπολέσαι· ὃ καὶ γέγονε. δι᾽ ἐνυπνίων δὲ τοῦ μιάσματος μηνυθέντος Πετησάκας, πολλάκις αἰτησαμένης Ἀμύτιος, εἰς τιμωρίαν παρὰ Κύρου ἐκδίδοται· ἡ δὲ τοὺς ὀφθαλμοὺς ἐξορύξασα καὶ τὸ δέρμα περιδείρασα ἀνεσταύρωσεν. Οἰβάρας δὲ δεδιὼς μὴ τὰ ὅμοια πείσεται, καίτοι Κύρου μηδὲν τοιοῦτον ἰσχυριζομένου παραχωρῆσαι, αὐτὸς μὲν ἀποκαρτερήσας δι᾽ ἡμερῶν δέκα ἑαυτὸν ἐξήγαγεν, Ἀστυΐγας δὲ μεγαλοπρεπῶς ἐτάφη. καὶ ἐν τῇ ἐρήμῳ δὲ ἄβρωτος αὐτοῦ διέμεινεν ὁ νεκρός· λέοντες γὰρ αὐτοῦ, φησί, μέχρι Πετησάκαν πάλιν ἐλθεῖν καὶ ἀναλαβεῖν ἐφύλαττον τὸν νεκρόν.

Κῦρος δὲ στρατεύει ἐπὶ Δέρβικας Ἀμοραίου βασιλεύοντος αὐτῶν. καὶ ἐξ ἐνέδρας οἱ Δέρβικες ἱστῶσιν ἐλέφαντας, καὶ τοὺς ἱππεῖς Κύρου τρέπουσι. καὶ πίπτει καὶ αὐτὸς Κῦρος ἐκ τοῦ ἵππου, καὶ Ἰνδὸς ἀνὴρ (συνεμάχουν γὰρ Ἰνδοὶ τοῖς Δερβίκεσιν, ἐξ ὧν καὶ τοὺς ἐλέφαντας ἔφε-

a. 7. Ἀρταξέρξου ς. 10. Ἀστυΐγᾶν ς. sic et infra. 11. ante Ἐκβατάνοις cum pr A omisi ἐν. 12. κριοκράνοις ς. 14. Ἀμύντιος ς. 16. καὶ τὴν Ἄμυντιν ς. 19. Οἰβαρᾶ ς. 21. Ἄμυντιν πρῶτον ς. 23. Σπιταμᾶ ς. 31. τοῦ] malim τόν. 37 et 38. ἀφείθη - ἀφείθησαν ς. 39. πόλιν] πόλεις A. τε] τε τῇ ς. b. 7. καὶ οὐ θνήσκει ς. 9. Κροῖσος, καὶ θνήσκει, καὶ ὡς. 17. βαρήνην A. 20. ἔτι δὲ καὶ λαμβάνει ς. 21. Πετισακᾶν ς. εὐνοῦχον A: ἡμιάῤῥενα ς. 24. Πετισακᾶν ς. 25. δίψῃ ς. ὃ add A. 30. πήσεται A. 31. μὲν] ὅμως ς. 34. πετισάκαν ς. 40. γὰρ] γὰρ καὶ ς. δερβικέσιν A.

Digitized by Google

ρον) ἔτος ὁ Ἰνδὸς πεπτωκότα Κῦρον βάλλει ἀκοντίῳ ὑπὸ τὸ ἰσχίον εἰς τὸν μηρόν· ἐξ οὗ καὶ τελευτᾷ. τότε δὲ ζῶντα ἀνελόμενοι αὐτὸν οἱ οἰκεῖοι ἐπὶ τὸ στρατόπεδον ἧισαν. ἀπέθανον δὲ ἐν τῇ μάχῃ καὶ Περσῶν πολλοὶ καὶ Δερβίκων ἴσοι· μύριοι γὰρ καὶ αὐτοί. Ἀμόργης δὲ περὶ Κύρου ἀκούσας σπουδῇ παραγίνεται, ἔχων Σακῶν δισμυρίους ἱππέας. καὶ πολέμου συῤῥαγέντος Περσῶν καὶ Δερβίκων νικᾷ κατὰ κράτος ὁ Περσικὸς καὶ Σακῶν στρατός, ἀναιρεῖται δὲ καὶ ὁ τῶν Δερβίκων βασιλεὺς Ἀμοραῖος καὶ αὐτὸς καὶ οἱ δύο παῖδες αὐτοῦ. ἀπέθανον δὲ Δερβίκων μὲν τρισμύριοι, Περσῶν δὲ ἐνακισχίλιοι, καὶ προσεχώρησεν ἡ χώρα Κύρῳ.

Κῦρος δὲ μέλλων τελευτᾶν Καμβύσην μὲν τὸν πρῶτον υἱὸν βασιλέα καθίστη, Τανυοξάρκην δὲ τὸν νεώτερον ἐπέστησε δεσπότην Βακτρίων καὶ τῆς χώρας καὶ Χοραμνίων καὶ Παρθίων καὶ Καρμανίων, ἀτελεῖς ἔχειν τὰς χώρας διορισάμενος. τῶν δὲ Σπιτάμα παίδων Σπιτάκην μὲν Δερβίκων ἀπέδειξε σατράπην, Μεγαβέρνην δὲ Βαρκανίων· τῇ μητρὶ δὲ πάντα πείθεσθαι προσέταττε. καὶ Ἀμόργην φίλον τούτοις τῶν δεξιῶν ἐμβαλλομένων ἐποι-
112R. εῖτο, καὶ ἀλλήλοις· "καὶ τοῖς μὲν ἐμμένουσι ταῖς πρὸς ἀλλήλους εὐνοίαις ἀγαθὰ ηὔχετο, ἐπηρᾶτο δὲ τοῖς χειρῶν ἄρξουσιν ἀδίκων. ταῦτα εἴπας ἐτελεύτησε τρίτῃ ὕστερον ἀπὸ τοῦ τραύματος ἡμέρᾳ, βασιλεύσας ἔτη λ'. ἐν οἷς ὁ ιά Κτησίου λόγος τοῦ Κνιδίου.

Ἄρχεται δὲ ὁ ιβ' ἀπὸ τῆς Καμβύσου βασιλείας. οὗτος βασιλεύσας ἀπέστειλε τὸν τοῦ πατρὸς νεκρὸν διὰ Βαγαπάτου τοῦ εὐνούχου εἰς Πέρσας ταφῆναι, καὶ τἆλλα, ὡς ὁ πατὴρ ὥρισεν, διῳκήσατο. μέγιστον δὲ παρ' αὐτῷ
55H. ἠδύνατο "Ἀρτασύρας Ὑρκάνιος, τῶν δὲ εὐνούχων Ἰζαβάτης τε καὶ Ἀσπαδάτης καὶ Βαγαπάτης, ὃς καὶ παρὰ τῷ πατρὶ μέγιστος ἦν μετὰ τὸν Πετησάκα θάνατον. οὗτος στρατεύει ἐπ' Αἴγυπτον καὶ τῶν Αἰγυπτίων τὸν βασιλέα Ἀμυρταῖον, καὶ νικᾷ Ἀμυρταῖον, Κομβάφεως τοῦ εὐνούχου, ὃς ἦν μέγα δυνάμενος παρὰ τῷ Αἰγυπτίων βασιλεῖ, καταπροδόντος τάς τε γεφύρας καὶ τἆλλα τῶν Αἰγυπτίων πράγματα, ἐφ' ᾧ γενέσθαι ὕπαρχος Αἰγύπτου. καὶ γέγονε· ταῦτα γὰρ αὐτῷ Καμβύσης διὰ Ἰζαβάτου τοῦ Κομβάφεως ἀνεψιοῦ συνέθετο, καὶ αὐτὸς δὲ οἰκειοφώνως ὕστερον. ζωγρίαν δὲ λαβὼν τὸν Ἀμυρταῖον οὐδὲν ἄλλο κακὸν εἰργάσατο ἢ ὅτι εἰς Σοῦσα ἀνάσπαστον σὺν ἑξακισχιλίοις Αἰγυπτίοις, οὓς αὐτὸς ἠρετίσατο, ἐποιήσατο. καὶ τὴν Αἴγυπτον δὲ πᾶσαν ὑπέταξεν. ἀπέθανον δὲ ἐν τῇ μάχῃ Αἰγυπτίων μὲν μυριάδες πέντε, Περσῶν δὲ ἑπτακισχίλιοι.

Μάγος δέ τις Σφενδαδάτης ὄνομα, ἁμαρτήσας καὶ μαστιγωθεὶς ὑπὸ Τανυοξάρκου, ἀφικνεῖται πρὸς Καμβύσην ἐνδιαβάλλων τὸν ἀδελφὸν Τανυοξάρκην ὡς ἐπιβουλεύοντα αὐτῷ· καὶ σημεῖον ἐδίδου τῆς ἀποστάσεως, ὡς εἰ κληθείη ἐλθεῖν, οὐκ ἂν ἔλθοι. δηλοῖ τοίνυν ὁ Καμβύσης ἐλθεῖν τὸν ἀδελφόν· ὁ δέ, χρείας ἄλλης ἀπαιτούσης μένειν, ἀνεβάλετο. παῤῥησιάζεται ταῖς διαβολαῖς πλέον ὁ μάγος. Ἀμύτις δὲ ἡ μήτηρ τὰ τοῦ μάγου ὡς ἦν ὑπονοοῦσα, ἐνουθέτει Καμβύσην τὸν υἱὸν μὴ πείθεσθαι· ὁ δὲ ὑπεκρίνετο μὴ πείθεσθαι, ἐπείθετο δὲ μάλιστα. διαπεμψαμένου δὲ τρίτον Καμβύσου πρὸς τὸν ἀδελφὸν παραγίνεται. καὶ ἀσπάζεται μὲν αὐτὸν ὁ ἀδελφός, οὐδὲν δὲ ἧττον ἀνελεῖν ἐμελέτα· κρύφα δὲ Ἀμύτιος εἰς πρᾶξιν ἀγαγεῖν τὴν μελέτην ἔσπευδε. καὶ λαμβάνει πέρας ἡ πρᾶξις· ὁ γάρ τοι μάγος βουλῆς τῷ βασιλεῖ κοινωνῶν βουλεύει τοιοῦτον. ὅμοιος ἦν αὐτὸς ὁ μάγος κάρτα τῷ Τανυοξάρκῃ· βουλεύει τοιγαροῦν αὐτὸν μὲν ἐν τῷ φανερῷ, ὡς δῆθεν ἀδελφοῦ βασιλέως κατειπόντα, τὴν κεφαλὴν προστάξαι ἀποτμηθῆναι, ἐν δὲ τῷ κρυπτῷ ἀναιρεθῆναι Τανυοξάρκην, καὶ τὴν ἐκείνου στολὴν ἀμφιασθῆναι τὸν μάγον, ὥστε καὶ τῷ ἀμφιάσματι νομίζεσθαι Τανυοξάρκην. καὶ γίνεται ταῦτα· αἵματι γὰρ ταύρου, ὃ ἐξέπιεν, ἀναιρεῖται Τανυοξάρκης, ἀμφιάζεται δὲ ὁ μάγος καὶ νομίζεται Τανυοξάρκης. καὶ λανθάνει πάντας ἐπὶ πολὺν χρόνον, πλὴν Ἀρτασύρα καὶ Βαγαπάτου καὶ Ἰζαβάτου· τούτοις γὰρ μόνοις Καμβύσης ἐθάῤῥησε τὴν πρᾶξιν. Λάβυξον δὲ τῶν εὐνούχων τὸν πρῶτον, οἳ ἦσαν Τανυοξάρκεω, προσκαλεσάμενος ὁ Καμβύσης καὶ τοὺς ἄλλους, ὑποδείξας τὸν μάγον ὡς ἐσχηματιστο καθεζόμενον, „τοῦτον" ἔφη „νομίζετε Τανυοξάρκην;" ὁ δὲ Λάβυξος θαυμάσας „καὶ τίνα ἄλλον" ἔφη „νομιοῦμεν;" "τοσοῦτον ἐλάνθανε τῇ ὁμοιότητι ὁ μάγος. 113B.
ἐκπέμπεται οὖν εἰς Βακτρίους, καὶ πράττει πάντα ὡς Τανυοξάρκης. πέντε δὲ ἐνιαυτῶν διελθόντων μηνύεται ἡ Ἀμύτις τὸ δρᾶμα διὰ Τιβέθεως τοῦ εὐνούχου, ὃν ὁ

a. 1. ὁ] οὖν ὁ ς. 9. καὶ add A. 11. ἐννακισχίλιοι ς. 15. ἐπέστη ς. 17. Σπιτάδην. vid. p. 36 a 16. 23. εἰπὼν ς. 25. ια] πρῶτος A. 26. ιβ] δεύτερος A. 28. εὐνούχου A: ἡμιάῤῥενος ς. ταφῆναι νεκρόν. καὶ ς. 29. ὡρίσατο ς. 30. εὐνούχων A: ἡμιαῤῥένων ς. Ἰζαλβάτης A. 32. ἦν. καὶ μετὰ ς. 34 et 39. Κομφαβέως ς. 35. ἡμιάῤῥενος ς. 40. δὲ ante οἰκ. add A. b. 5. post ἑπτακισχίλιοι cum A omisi δύο. 6. Σφανδαδάτης ς. 12. παῤῥ. δὲ ταῖς ς. 17. ἀδελφὸς ἐπεὶ οὐδὲν ς. 22. τανυοξάρκει A. 30. Βαγαπάθου ς. 32 et 36. Λάβυξον — Λάβυζος ς. ἡμιαῤῥένων ς. 34. ὑποδ.] καὶ ὑποδ. ς. 40. ἡμιάῤῥενος ς.

μάγος τυπτήσας ἐτύγχανε· καὶ αἰτεῖ τὸν Σφενδαδάτην παρὰ Καμβύσου, ὁ δὲ οὐ δίδωσιν. ἡ δὲ ἐπαρᾶται, καὶ πιοῦσα φάρμακον τελευτᾷ. θύει ὁ Καμβύσης, καὶ τῶν
56 H. ἱερείων σφαζομένων αἷμα οὐκ ἀποῤῥεῖ, καὶ ἀθυμεῖ. καὶ τίκτει αὐτῷ ἡ Ῥωξάνη παιδίον ἀκέφαλον, καὶ πλέον ἀθυμεῖ· καὶ οἱ μάγοι λέγουσιν αὐτῷ τὴν τῶν τεράτων δήλωσιν, ὅτι οὐ καταλείψει τῆς ἀρχῆς διάδοχον. καὶ ἐφίσταται αὐτῷ ἡ μήτηρ ἐν νυκτὶ ἀπειλοῦσα τῆς μιαιφονίας, καὶ πλέον ἀθυμεῖ. ἀφικόμενος δὲ εἰς Βαβυλῶνα, καὶ ξέων ξυλάριον μαχαίρᾳ διατριβῆς χάριν, παίει τὸν μηρὸν εἰς τὸν μῦν, καὶ ἑνδεκαταῖος τελευτᾷ, βασιλεύσας δυοῖν δέοντα εἴκοσι.

Βαγαπάτης δὲ καὶ Ἀρτασύρας, πρὶν ἢ Καμβύσης τελευτήσει, ἐβουλεύσαντο βασιλεῦσαι τὸν μάγον· καὶ ἐβασίλευσεν ἐκείνου τελευτήσαντος. λαβὼν δὲ τὸ Καμβύσου σῶμα Ἰζαβάτης ἦγεν εἰς Πέρσας. τοῦ μάγου δὲ βασιλεύσαντος ἐπ᾽ ὀνόματι τοῦ Τανυοξάρκου ἧκεν Ἰζαβάτης ἐκ Περσίδος, καὶ κατειπὼν τῇ στρατιᾷ πάντα καὶ θριαμβεύσας τὸν μάγον κατέφυγεν εἰς τὸ ἱερόν, ἐκεῖθέν τε συλληφθεὶς ἀπετμήθη. ἐντεῦθεν ἑπτὰ τῶν Περσῶν ἐπίσημοι συνέθεντο ἀλλήλοις κατὰ τοῦ μάγου, Ὀνόφας, Ἰδέρνης, Νορονδαβάτης, Μαρδόνιος, Βαρίσσης, Ἀταφέρνης καὶ Δαρεῖος Ὑστάσπεω. τούτων ἀλλήλοις πίστεις δόντων προσλαμβάνεται καὶ ὁ Ἀρτασύρας, εἶτα καὶ ὁ Βαγαπάτης, ὃς τὰς κλεῖς πάσας τῶν βασιλείων εἶχε. καὶ εἰσελθόντες διὰ τοῦ Βαγαπάτου οἱ ἑπτὰ εἰς τὰ βασίλεια εὑρίσκουσι τὸν μάγον παλλακῇ Βαβυλωνίᾳ συγκαθεύδοντα. ὡς δὲ εἶδεν, ἀνεπήδησε, καὶ μηδὲν εὑρὼν τῶν πολεμικῶν ὀργάνων (πάντα γὰρ ὁ Βαγαπάτης λάθρᾳ ὑπεξήγαγε) δίφρον χρύσεον συντρίψας καὶ λαβὼν τὸν πόδα ἐμάχετο, καὶ τέλος κατακεντηθεὶς ὑπὸ τῶν ἑπτὰ ἀπέθανε, βασιλεύσας μῆνας ἑπτά. βασιλεύει δὲ τῶν ἑπτὰ ὁ Δαρεῖος, τοῦ ἵππου, καθὰ συνέκειτο ἀλλήλοις, πρώτου μηχανῇ τινὶ καὶ τέχνῃ, ἐπειδὰν ὁ ἥλιος πρὸς ἀνατολὰς ἐγένετο, χρεμετίσαντος. ἄγεται τοῖς Πέρσαις ἑορτὴ τῆς μαγοφονίας, καθ᾽ ἣν Σφενδαδάτης ὁ μάγος ἀνῄρηται.

Δαρεῖος προστάσσει τάφον ἑαυτῷ κατασκευασθῆναι ἐν τῷ δισσῷ ὄρει, καὶ κατασκευάζεται. ἐπιθυμήσας δὲ ἰδεῖν αὐτὸν ὑπό τε τῶν Χαλδαίων καὶ τῶν γονέων κωλύεται. οἱ δὲ γονεῖς ἀνελθεῖν βουληθέντες, ἐπεὶ οἱ ἱερεῖς εἶδον ὄφεις οἱ ἀνέλκοντες αὐτοὺς καὶ ἐφοβήθησαν καὶ φοβηθέντες ἀφῆκαν τὰ σχοινία, ἔπεσον καὶ ἐτελεύτησαν. καὶ ἐλυπήθη Δαρεῖος λίαν, καὶ ἀπετμήθησαν αἱ κεφαλαὶ τεσσαράκοντα ὄντων τῶν ἀνελκόντων.

ὅτι ἐπιτάσσει Δαρεῖος Ἀριαράμνῃ τῷ σατράπῃ Καππαδοκίας ἐπὶ Σκύθας διαβῆναι καὶ ἄνδρας καὶ γυναῖκας αἰχμαλωτίσαι· ὁ δὲ διαβὰς πεντηκοντόροις λʹ ᾐχμαλώτισε. συνέλαβε δὲ καὶ τὸν ἀδελφὸν τοῦ βασιλέως τοῦ Σκυθῶν Μαρσαγέτην, ἐπὶ κακώσει εὑρὼν παρὰ τοῦ οἰκείου ἀδελφοῦ δεδεμένον. Σκυθάρβης δὲ ὁ Σκυθῶν βασιλεὺς ὀργισθεὶς ἔγραψεν ὑβρίζων Δαρεῖον, καὶ ἀντεγράφη αὐτῷ ὁμοίως. στράτευμα δὲ ἀγείρας Δαρεῖος πʹ μυριάδας, καὶ ζεύξας τὸν Βόσπορον καὶ τὸν Ἴστρον, διέβη ἐπὶ Σκύθας, ὁδὸν ἐλάσας ἡμερῶν ιεʹ. καὶ ἀντέπεμπον ἀλλήλοις τόξα. ἐπικρατέστερον δ᾽ ἦν τὸ τῶν Σκυθῶν.
διὸ καὶ φεύγων Δαρεῖος διέβη τὰς γεφυρώσεις, καὶ ἔλυσε σπεύδων πρὶν ἢ τὸ ὅλον διαβῆναι στράτευμα. καὶ ἀπέθανον ὑπὸ Σκυθάρβεω οἱ καταλειφθέντες ἐν τῇ Εὐρώπῃ μυριάδες ὀκτώ. Δαρεῖος δὲ τὴν γέφυραν διαβὰς Χαλκηδονίων οἰκίας καὶ ἱερὰ ἐνέπρησεν, ἐπεὶ τὰς πρὸς αὐτοῖς γεφύρας ἐμελέτησαν λῦσαι, καὶ ὅτι τὸν βωμόν, ὃν περῶν Δαρεῖος κατέθετο ἐπ᾽ ὀνόματι διαβατηρίου Διός, ἠφάνισαν. Δᾶτις δὲ ἐπανιὼν ἐκ Πόντου καὶ τοῦ Μηδικοῦ στόλου ἡγούμενος ἐπόρθει νήσους καὶ τὴν Ἑλλάδα. ἐν Μαραθῶνι δὲ Μιλτιάδης ὑπαντιάζει, καὶ νικᾷ τοὺς βαρβάρους, καὶ πίπτει καὶ αὐτὸς Δᾶτις· καὶ οὐδὲ τὸ σῶμα Πέρσαις αἰτησαμένοις ἐδόθη. Δαρεῖος δὲ ἐπανελθὼν εἰς Πέρσας καὶ θύσας καὶ ἡμέρας νοσήσας λʹ τελευτᾷ, ζήσας μὲν ἔτη οβʹ, βασιλεύσας δὲ ἔτη λαʹ. ἀπέθανε δὲ καὶ Ἀρτασύρας. καὶ ὁ Βαγαπάτης δὲ τὸ σῆμα Δαρείου παρακαθίσας ἔτη ζʹ ἐτελεύτησε.

Βασιλεύει Ξέρξης ὁ υἱός, καὶ Ἀρτάπανος ὁ Ἀρτασύρα παῖς γίνεται δυνατὸς παρ᾽ αὐτῷ ὡς ὁ πατὴρ παρὰ τῷ πατρί, καὶ Μαρδόνιος ὁ παλαιός· εὐνούχων δὲ μέγιστον ἠδύνατο Νατάκας. γαμεῖ δὲ Ξέρξης Ὀνόφα θυγατέρα Ἄμηστριν, καὶ γίνεται αὐτῷ παῖς Δαρειαῖος, καὶ ἕτερος μετὰ δύο ἔτη Ὑστάσπης, καὶ ἔτι Ἀρτοξέρξης, καὶ θυγατέρες δύο, ὧν ἡ μὲν Ἀμύτις κατὰ τὴν ὀνομασίαν τῆς μάμμης, ἡ δὲ Ῥοδογύνη. ὁ δὲ δὴ Ξέρξης στρατεύει ἐπὶ τοὺς Ἕλληνας, ὅτι τε

a. 1. Σφανδαδάτης ς. 7. οὐκ ἐγκαταλείψει ς. 15. libri ἐβασίλευσαν. 16. Ἰξαβάτης ς. 18. πάντα A: πᾶσῃ ς. 22. Νορονδαβάτης ς. Βαρίσης ς. 34. πρῶτον ς. b. 1. ὄφεις om pr A. 5. Ἀριάμνῃ ς. 9. Μασαγέτην ς. 10. Σκυθάρκης ς. 15. δ᾽ ἦν om pr A. τὸ om A. 18. Σκυθάρκου ς. 20. Καρχηδονίων ς. 22. περῶν A: περῶντ ς. 24. Μηδικοῦ A: ποντικοῦ ς. 29. οβ A: ιβ πρὸ τοῦ βασιλεῦσαι ς. 33. υἱὸς αὐτοῦ καὶ ς. 35. ἡμιαρρένων ς. 36. Ναθάκας ς. ὀνοφᾶ A. 37. Ἄμιστριν ς. δαριαῖος A. 39. Ἀρταξέρξης ς.

Καλχηδόνιοι λῦσαι τὴν γέφυραν, ὡς ἤδη εἴρηται, ἐπειράθησαν, καὶ ὅτι τὸν βωμὸν ὃν ἔστησε Δαρεῖος καθεῖλον, καὶ ὅτι Δᾶτιν Ἀθηναῖοι ἀνεῖλον καὶ οὐδὲ τὸν νεκρὸν ἔδοσαν. πρότερον δὲ εἰς Βαβυλῶνα ἀφίκετο, καὶ ἰδεῖν ἐπεθύμησε τὸν Βελιτανοῦ τάφον, καὶ εἶδε διὰ Μαρδονίου, καὶ τὴν πύελον ἐλαίου οὐκ ἴσχυσεν, ὥσπερ καὶ ἐγέγραπτο, πληρῶσαι. ἐξελαύνει Ξέρξης εἰς Ἐκβάτανα, καὶ ἀγγέλλεται αὐτῷ ἀπόστασις Βαβυλωνίων καὶ Ζωπύρου τοῦ στρατηγοῦ αὐτῶν ὑπὸ σφῶν ἀναίρεσις. οὕτω καὶ περὶ τούτων φησὶ Κτησίας, καὶ οὐχ ὡς Ἡρόδοτος· ἃ δὲ περὶ Ζωπύρου ἐκεῖνος λέγει, πλὴν ὅτι ἡμίονος αὐτῷ ἔτεκεν, ἐπεὶ τά γε ἄλλα Μεγάβυζον οὗτος λέγει διαπράξασθαι, ὃς ἦν γαμβρὸς ἐπὶ τῇ θυγατρὶ Ἀμύτι τοῦ Ξέρξου. οὕτω μὲν ἥλω διὰ τοῦ Μεγαβύζου Βαβυλών. δίδωσι δὲ αὐτῷ Ξέρξης ἄλλα τε πολλὰ καὶ μύλην χρυσῆν ἓξ ἕλκουσαν τάλαντα· ὃ τιμιώτατον τῶν βασιλικῶν δώρων παρὰ Πέρσαις ἐστί. Ξέρξης δὲ συναγείρας στρατιὰν Περσικήν, ἄνευ τῶν ἁρμάτων ὀγδοήκοντα μυριάδας, καὶ τριήρεις χιλίας, ἤλαυνεν ἐπὶ τὴν Ἑλλάδα, ζευγνὺς τὴν Ἄβυδον. Δημάρατος δὲ ὁ Λακεδαιμόνιος παρεγένετο ἤδη πρῶ-
117 R. τον, καὶ συνῆν αὐτῷ ἐν τῇ διαβάσει, "καὶ ἀπεῖργε τῆς εἰς Λακεδαίμονα ἐφόδου. Ξέρξης δὲ προσβάλλει ἐν Θερμοπύλαις Λεωνίδᾳ τῷ στρατηγῷ τῶν Λακεδαιμονίων δι' Ἀρταπάνου, ἔχοντος μυρίους· καὶ κατεκόπη τὸ Περσικὸν πλῆθος, τῶν Λακεδαιμονίων δύο ἢ τριῶν ἀναιρεθέντων. εἶτα προσβαλεῖν κελεύει μετὰ δισμυρίων, καὶ ἧττα γίνεται κἀκείνων. εἶτα μαστιγοῦν-
18 H. ται ἐπὶ τῷ πολεμεῖν, καὶ μαστιγούμενοι ἔτι" ἡττῶντο. τῇ δὲ ὑστεραίᾳ κελεύει μάχεσθαι μετὰ πεντακισμυρίων· καὶ ἐπεὶ οὐδὲν ἤνυεν, ἔλυσε τότε τὸν πόλεμον. Θώραξ δὲ ὁ Θεσσαλὸς καὶ Τραχινίων οἱ δυνατοί, Καλλιάδης καὶ Τιμαφέρνης, παρῆσαν στρατιὰν ἔχοντες. καλέσας δὲ Ξέρξης τούτους τε καὶ τὸν Δημάρατον καὶ τὸν Ἡγίαν τὸν Ἐφέσιον, ἔμαθεν ὡς οὐκ ἂν ἡττηθεῖεν Λακεδαιμόνιοι, εἰ μὴ κυκλωθείησαν. ἡγουμένων δὲ τῶν δύο Τραχινίων διὰ δυσβάτου στρατὸς Περσικὸς διελήλυθε, μυριάδες τέσσαρες, καὶ κατὰ νώτου γίνονται τῶν Λακεδαιμονίων· καὶ κυκλωθέντες ἀπέθανον μαχόμενοι ἀνδρείως ἅπαντες. Ξέρξης δὲ πάλιν στράτευμα πέμπει κατὰ Πλαταιέων, μυριάδας ιβ', ἡγούμενον αὐτοῖς Μαρδόνιον ἐπιστήσας· Θηβαῖοι δ' ἦσαν οἱ κατὰ Πλαταιέων τὸν Ξέρξην κινοῦντες. ἀντιστρατεύει δὲ Παυσανίας ὁ Λακεδαιμόνιος, τριακοσίους μὲν ἔχων Σπαρτιήτας, χιλίους δὲ τῶν περιοίκων, ἐκ δὲ τῶν ἄλλων πόλεων χιλιάδας ἕξ· καὶ νικᾶται κατὰ κράτος ἡ Περσικὴ στρατιά, καὶ φεύγει τραυματισθεὶς καὶ Μαρδόνιος. οὗτος ὁ Μαρδόνιος πέμπεται συλῆσαι τὸ τοῦ Ἀπόλλωνος ἱερὸν παρὰ Ξέρξου, κἀκεῖ, φησί, θνήσκει χαλάζης ἐπιπεσούσης παχείας· ἐφ' ᾧ λίαν Ξέρξης ἐλυπήθη. Ξέρξης δὲ ἐπ' αὐτὰς Ἀθήνας ἐλαύνει, καὶ Ἀθηναῖοι πληρώσαντες ἑκατὸν δέκα τριήρεις φεύγουσιν εἰς Σαλαμῖνα. καὶ Ξέρξης τὴν πόλιν κενὴν αἱρεῖ καὶ ἐμπίπρησι, πλὴν τῆς ἀκροπόλεως· ἐν αὐτῇ γὰρ ἔτι τινὲς ὑπολειφθέντες ἐμάχοντο. τέλος κἀκείνων νυκτὶ φυγόντων κἀκείνην συνέφλεξαν. ὁ δὲ Ξέρξης αὐτόθεν ἐλθὼν ἐπὶ στενότατον τῆς Ἀττικῆς (Ἡράκλειον καλεῖται) ἐχώννυε χῶμα ἐπὶ Σαλαμῖνα, πεζῇ ἐπ' αὐτὴν διαβῆναι διανοούμενος. βουλῇ δὲ Θεμιστοκλέους Ἀθηναίου καὶ Ἀριστείδου τοξόται μὲν ἀπὸ Κρήτης προσκαλοῦνται καὶ παραγίνονται, εἶτα ναυμαχία Περσῶν καὶ Ἑλλήνων γίνεται, Περσῶν μὲν ναῦς ἐχόντων ὑπὲρ τὰς χιλίας, στρατηγοῦντος αὐτοῖς Ὀνόφα, Ἑλλήνων δὲ ἑπτακοσίας. καὶ νικῶσιν Ἕλληνες, καὶ διαφθείρονται Περσικαὶ πεντακόσιαι νῆες, καὶ φεύγει Ξέρξης, βουλῇ πάλιν καὶ τέχνῃ Ἀριστείδου καὶ Θεμιστοκλέους· ἐν δὲ ταῖς λοιπαῖς ἁπάσαις μάχαις ἀπέθανον Περσῶν δώδεκα μυριάδες. Ξέρξης δὲ περάσας εἰς τὴν Ἀσίαν, καὶ ἀπελαύνων εἰς Σάρδεις, ἔπεμπε Μεγάβυζον τὸ ἐν Δελφοῖς ἱερὸν συλῆσαι· ἐπεὶ δὲ ἐκεῖνος παρῃτεῖτο, ἀποστέλλεται Ματάκας ὁ εὐνοῦχος, ὕβρεις τε φέρων τῷ Ἀπόλλωνι καὶ πάντα συλήσων· καὶ δὴ οὕτω ποιήσας πρὸς Ξέρξην ὑπέστρεφεν.

Ξέρξης ἀπὸ Βαβυλῶνος εἰς Πέρσας παραγίνεται, καὶ Μεγάβυζος κατὰ τῆς γυναικὸς τῆς ἰδίας Ἀμύτιος, ἣ θυγάτηρ, ὡς προείρηται, Ξέρξου ἐτύγχανεν, ὡς μεμοιχευμένης λόγους ἐκίνει. καὶ ἐπιτιμᾶται Ἀμύτις λόγοις ὑπὸ τοῦ πατρός, καὶ ὑπισχνεῖται σωφρονεῖν.

Ἀρτάπανος δὲ μέγα παρὰ Ξέρξῃ δυνάμενος μετ' Ἀσπαμίτρου τοῦ εὐνούχου, "καὶ αὐτοῦ μέγα δυναμέ- 120 R.
νου, βουλεύονται ἀνελεῖν Ξέρξην, καὶ ἀναιροῦσι, καὶ πεί-

a. 1. καρχηδόνιοι ς. 6. ἐλαίας A 15. δὲ om A. 18. στρατιὰν mg: στρατείαν ς. 21. δὲ add A. 29. τὸ ς. b. 1. ἡγούμενον δὲ αὐτοῖς ς. 5. χιλιάδας ἕξ] ϛ A. 13. ἐμπιμπρησι ς. 15. συνέφλεξεν ς. 16. στενώτατον ς. 17. Ἡρ.] ὃ Ἡρ. ς. 30. Ματάκας] idemne qui supra (p. 38 b 36.) Νατάκας? 34. Ξέρξης δὲ ἀπὸ ς. 39. Ἀρτύβας ς. 40 ἡμιάῤῥενος ς. libri μετὰ Σπαμίτρου cf. p. 40 a 13. 41. ἀνελεῖν] ἀναιρεῖν A.

θουσιν Ἀρτοξέρξην τὸν υἱὸν ὡς Δαρειαῖος αὐτὸν ὁ ἕτερος παῖς ἀνεῖλε. καὶ παραγίνεται Δαρειαῖος ἀγόμενος ὑπὸ Ἀρταπάνου εἰς τὴν οἰκίαν Ἀρτοξέρξου, πολλὰ 59 H. βοῶν καὶ ἀπαρνούμενος ὡς οὐκ εἴη φονεὺς τοῦ πατρός, καὶ ἀποθνήσκει. καὶ βασιλεύει Ἀρτοξέρξης σπουδῇ Ἀρταπάνου. καὶ ἐπιβουλεύεται πάλιν ὑπ' αὐτοῦ, καὶ λαμβάνει κοινωνὸν τῆς βουλῆς Ἀρτάπανος Μεγάβυζον ἤδη λελυπημένον ἐπὶ τῇ ἰδίᾳ γυναικὶ Ἀμύτι διὰ τὴν τῆς μοιχείας ὑπόληψιν· καὶ ὅρκοις ἀλλήλους ἀσφαλίζονται, ἀλλὰ μηνύει πάντα Μεγάβυζος, καὶ ἀναιρεῖται Ἀρτάπανος ᾧ τρόπῳ ἔμελλεν ἀναιρεῖν Ἀρτοξέρξην. καὶ γίνεται πάντα δῆλα τὰ εἰργασμένα ἐπὶ Ξέρξῃ καὶ Δαρειαίῳ, καὶ ἀπόλλυται πικρῷ καὶ κακίστῳ θανάτῳ Ἀσπαμίτρης, ὃς ἦν κοινωνὸς ἐπὶ τοῖς φόνοις Ξέρξου καὶ Δαρειαίου· σκαφεύεται γοῦν καὶ οὕτως ἀναιρεῖται. μάχη δὲ γίνεται μετὰ τὸν θάνατον Ἀρταπάνου τῶν τε συνωμοτῶν αὐτοῦ καὶ τῶν ἄλλων Περσῶν, καὶ πίπτουσιν ἐν τῇ μάχῃ οἱ τρεῖς τοῦ Ἀρταπάνου υἱοί, τραυματίζεται δὲ καὶ Μεγάβυζος ἰσχυρῶς· καὶ θρηνεῖ Ἀρτοξέρξης καὶ ἡ Ἀμύτις καὶ ἡ Ῥοδογένη καὶ ἡ μήτηρ αὐτῶν Ἀμῆστρις, καὶ μόλις πολλῇ ἐπιμελείᾳ περισώζεται Ἀπολλωνίδου ἰατροῦ τοῦ Κῴου.

Ἀφίσταται Ἀρτοξέρξου Βάκτρα καὶ ὁ σατράπης, ἄλλος Ἀρτάβανος· καὶ γίνεται μάχη ἰσοπαλής. καὶ γίνεται πάλιν ἐκ δευτέρου, καὶ ἀνέμου κατὰ πρόσωπον Βακτρίων πνεύσαντος νικᾷ Ἀρτοξέρξης, καὶ προσχωρεῖ αὐτῷ πᾶσα Βακτρία.

Ἀφίσταται Αἴγυπτος, Ἰνάρου Λυδίου ἀνδρὸς καὶ ἑτέρου Αἰγυπτίου τὴν ἀπόστασιν μελετήσαντος, καὶ εὐτρεπίζεται τὰ πρὸς πόλεμον· πέμπουσι καὶ Ἀθηναῖοι αἰτησαμένου αὐτοῦ τεσσαράκοντα νῆας. καὶ μελετᾷ αὐτὸς Ἀρτοξέρξης ἐκστρατεῦσαι, καὶ τῶν φίλων οὐ συμβουλευόντων πέμπει Ἀχαιμενίδην τὸν ἀδελφόν, τεσσαράκοντα μὲν μυριάδας ἐπαγόμενον στράτευμα πεζικόν, νῆας δὲ π', συμβάλλει πόλεμον Ἴναρος πρὸς Ἀχαιμενίδην, καὶ νικῶσιν Αἰγύπτιοι, καὶ βάλλεται Ἀχαιμενίδης ὑπὸ Ἰνάρου, καὶ θνήσκει, καὶ ἀποπέμπεται ὁ νεκρὸς αὐτοῦ εἰς Ἀρτοξέρξην. ἐνίκησεν Ἴναρος καὶ κατὰ θάλατταν, Χαριτιμίδου εὐδοκιμήσαντος, ὃς τῶν ἐξ Ἀθηνῶν μ' νηῶν ἐχρημάτιζε ναύαρχος· καὶ ν' Περσῶν νῆες, αἱ μὲν κ' αὐτοῖς ἀνδράσιν ἐλήφθησαν, αἱ δὲ λ' διεφθάρησαν.

εἶτα πέμπεται κατὰ Ἰνάρου Μεγάβυζος, ἐπαγόμενος ἄλλο στράτευμα πρὸς τῷ ὑπολειφθέντι, μυριάδας κ', καὶ νῆας τ', καὶ ἐπιστάτην αὐταῖς Ὀρίσκον, ὡς εἶναι χωρὶς τῶν νεῶν τὸ ἄλλο πλῆθος ν' μυριάδας· Ἀχαιμενίδης γοῦν ὅτε ἔπεσε, δέκα μυριάδες αὐτῷ, ἐξ ὧν ἦγε μ', συνδιεφθάρησαν. γίνεται οὖν μάχη κρατερά, καὶ πίπτουσιν ἀμφοτέρωθεν πολλοί, πλείους δὲ Αἰγύπτιοι. καὶ βάλλει Μεγάβυζος εἰς τὸν μηρὸν Ἴναρον, καὶ τρέπεται, καὶ νικῶσι Πέρσαι κατὰ κράτος. φεύγει δὲ πρὸς τὴν Βύβλον Ἴναρος (πόλις ἰσχυρὰ ἐν Αἰγύπτῳ αὕτη) καὶ οἱ Ἕλληνες δὲ μετ' αὐτοῦ, ὅσοι μὴ ἐν τῇ μάχῃ καὶ μετὰ Χαριτιμίδου ἀπέθανον. προσχωρεῖ δὲ 121 R. Αἴγυπτος πλὴν Βύβλου πρὸς Μεγάβυζον. ἐπεὶ δὲ ἐκείνη ἀνάλωτος ἐδόκει, σπένδεται πρὸς Ἴναρον καὶ τοὺς Ἕλληνας, ἑξακισχιλίους ὄντας καὶ ἔτι πρός, ὁ Μεγάβυζος, ἐφ' ᾧ μηδὲν κακὸν παρὰ βασιλέως 60 H. λαβεῖν, καὶ τοὺς Ἕλληνας, ὅτε βούλοιντο, πρὸς τὰ οἰκεῖα ἐπανελθεῖν. καθίσησι δὲ τῆς Αἰγύπτου σατράπην Σαρσάμαν. καὶ λαβὼν Ἴναρον καὶ τοὺς Ἕλληνας παραγίνεται πρὸς Ξέρξην, καὶ εὑρίσκει λίαν κατὰ Ἰνάρου τεθυμωμένον, ὅτι τὸν ἀδελφὸν Ἀχαιμενίδην ἀπεκτονὼς εἴη. διηγεῖται τὰ γεγονότα Μεγάβυζος, καὶ ὡς πίστεις δοὺς Ἰνάρῳ καὶ τοῖς Ἕλλησι Βύβλον εἴληφε· καὶ ἐξαιτεῖται λιπαρῶς βασιλέα περὶ τῆς αὐτῶν σωτηρίας, καὶ λαμβάνει, καὶ ἐξάγεται τέλος τῇ στρατιᾷ ὡς Ἴναρος καὶ οἱ Ἕλληνες οὐδὲν κακὸν πείσονται. Ἀμύτις δὲ ὑπὲρ τοῦ παιδὸς Ἀχαιμενίδου δεινὰ ἐποιεῖτο, εἰ μὴ τιμωρήσαιτο Ἴναρον καὶ τοὺς Ἕλληνας· καὶ αἰτεῖται ταῦτα βασιλεῖ, ὁ δὲ οὐκ ἐνδίδωσιν, εἶτα Μεγαβύζῳ, ὁ δὲ ἀποπέμπεται. εἶτα ἐπεὶ διώχλει τὸν υἱόν, κατειργάσατο, καὶ πέντε παρελθόντων ἐτῶν λαμβάνει τὸν Ἴναρον παρὰ βασιλέως καὶ τοὺς Ἕλληνας, καὶ ἀνεσταύρωσε μὲν ἐπὶ τρισὶ σταυροῖς· πεντήκοντα δὲ Ἑλλήνων, ὅσους λαβεῖν ἴσχυσε, τούτων ἔτεμε τὰς κεφαλάς. καὶ ἐλυπήθη λύπην σφοδρὰν Μεγάβυζος, καὶ ἐπένθησε, καὶ ᾐτήσατο ἐπὶ Συρίαν τὴν ἑαυτοῦ χώραν ἀπιέναι· ἐνταῦθα λάθρᾳ καὶ τοὺς ἄλλους τῶν Ἑλλήνων προέπεμπε. καὶ ἀπῄει, καὶ ἀπέστη βασιλέως, καὶ ἀθροίζει μεγάλην δύναμιν, ἄχρι ιε' μυριάδων χωρὶς τῶν ἱππέων καὶ τῶν πεζῶν.

a. 1. Ἀρταξέρξην ς hic et infra. δαριαῖος A, qui saepe ita. 2. Ἀρταξέρξης ς. 3. Ἀρτοξέρξου corr A: Δαρειαίου ς. 4. ἀπαρνούμενος A: παραινούμενος ς. 21. Ἀπολλωνίδου Stephanus: libri Ἀπολλωνίου. 27. Λυδίου] immo Λίβυος. vid. Thucydid. 1, 104. 37. θάλασσαν ς. χαρισιμίδου A. 39. ἐχρημάτισε ς.
b. 3. libri αὐτοῖς. Ὠρίσκον ς. 8. ἰνάρω A. 10. πόλις δὲ ἰσχ. ς. 11. τῇ] αὐτῇ A. 19. Σαρτάμαν ς. 22. γεγ. πάντα Μεγ. ς. 25. αὐτοῦ ς. ἐξάγεται τέλος] infra (p. 41 a 30.) τέλος ἔπεμπε. 27. πήσονται A. ἀχαιμενίδους A. 28. τιμωρῆσαι τὸν Ἴναρον ς. 30. Μεγάβυζον ς.

Digitized by Google

καὶ πέμπεται Οὔσιρις κατ' αὐτοῦ σὺν κ' μυριάσι, καὶ συνάπτεται πόλεμος, καὶ βάλλουσιν ἀλλήλους Μεγάβυζος καὶ Οὔσιρις, ὁ μὲν ἀκοντίῳ, καὶ τυγχάνει Μεγαβύζου εἰς τὸν μηρὸν καὶ τιτρώσκει ἄχρι δακτύλων δύο, ὁ δὲ ὡσαύτως ἀκοντίῳ τὸν τοῦ Οὐσίριος μηρόν· εἶτα βάλλει εἰς τὸν ὦμον, κἀκεῖνος πίπτει ἐκ τοῦ ἵππου, καὶ περισχὼν Μεγάβυζος προστάσσει ἀναλαβεῖν καὶ περισῶσαι. ἔπιπτον δὲ πολλοὶ τῶν Περσῶν, καὶ ἐμάχοντο ἀνδρείως οἱ τοῦ Μεγαβύζου παῖδες Ζώπυρος καὶ Ἀρτύφιος, καὶ νίκη γίνεται Μεγαβύζῳ κραταιά. περιποιεῖται Οὔσιριν ἐπιμελῶς, καὶ ἀποπέμπει τοῦτο αἰτησάμενον πρὸς Ἀρτοξέρξην. πέμπεται δὲ κατ' αὐτοῦ ἑτέρα στρατιά, καὶ Μενοστάτης ὁ τοῦ Ἀρταρίου παῖς· ὁ δὲ Ἀρτάριος σατράπης μὲν ἦν Βαβυλῶνος, Ἀρτοξέρξου δὲ ἀδελφός. καὶ συμβάλλουσιν ἀλλήλοις, καὶ φεύγει ἡ Περσικὴ στρατιά, καὶ Μενοστάτης βάλλεται εἰς τὸν ὦμον ὑπὸ Μεγαβύζου, εἶτα εἰς τὴν κεφαλὴν τοξεύεται οὐ καιρίαν, φεύγει δὲ ὅμως αὐτὸς καὶ οἱ μετ' αὐτοῦ, καὶ νίκη λαμπρὰ γίνεται Μεγαβύζῳ. Ἀρτάριος δὲ πέμπει πρὸς Μεγάβυζον, καὶ παραινεῖ σπείσασθαι βασιλεῖ· ὁ δὲ δηλοῖ σπείσασθαι μὲν βούλεσθαι καὶ αὐτόν, οὐ μέντοι παραγενέσθαι πρὸς βασιλέα, ἀλλ' ἐφ' ᾧ μένειν ἐν τῇ ἑαυτοῦ. ἀπαγγέλλεται ταῦτα βασιλεῖ, καὶ συμβουλεύουσιν Ἀρτοξάρης τε ὁ Παφλαγὼν εὐνοῦχος, ἀλλὰ καὶ ἡ Ἀμῆστρις, σπουδῇ σπείσασθαι. πέμπεται οὖν Ἀρτάριός τε αὐτὸς καὶ Ἀμύτις ἡ γυνὴ καὶ Ἀρτοξάρης, ἐτῶν ἤδη ὢν εἴκοσι, καὶ Πετήσας ὁ Οὐσίριος καὶ Σπι-
124 R. τάμα πατήρ. πολλοῖς οὖν ὅρκοις καὶ λόγοις πληροφορήσαντες Μεγάβυζον μόλις ὅμως πείθουσι πρὸς βα-
61 H. σιλέα παραγενέσθαι, καὶ βασιλεὺς τέλος ἔπεμπε παραγενομένῳ συγγνώμην ἔχειν τῶν ἡμαρτημένων. ἐξέρχεται βασιλεὺς ἐπὶ θήραν, καὶ λέων ἐπέρχεται αὐτῷ, μετεώρου δὲ φερομένου τοῦ θηρίου βάλλει ἀκοντίῳ Μεγάβυζος καὶ ἀναιρεῖ· καὶ ὀργίζεται Ἀρτοξέρξης ὅτι πρὶν ἢ αὐτὸς τύχῃ Μεγάβυζος ἔβαλε, καὶ προστάσσει τὴν κεφαλὴν τὸν Μεγάβυζον ἀποτμηθῆναι, Ἀμήστριος δὲ καὶ Ἀμύτιος καὶ τῶν ἄλλων τῇ παραιτήσει τοῦ μὲν θανάτου ῥύεται, ἀνάσπαστος δὲ γίνεται εἰς τὴν ἐρυθρὰν ἔν τινι πόλει, ὀνόματι Κύρται, ἐξορίζεται δὲ καὶ Ἀρτοξάρης ὁ εὐνοῦχος εἰς Ἀρμενίαν, ὅτι πολλάκις ὑπὲρ Μεγαβύζου βασιλεῖ ἐπαῤῥησιάσατο. ὁ δὲ Μεγάβυζος πέντε διατρίψας τῇ ἐξορίᾳ ἔτη ἀποδιδράσκει, ὑποκριθεὶς τὸν πισάγαν· πισάγας δὲ λέγεται παρὰ Πέρσαις ὁ λεπρός, καὶ ἔστι πᾶσιν ἀπρόσιτος. ἀποδρὰς οὖν παραγίνεται πρὸς Ἀμύτιν καὶ τὸν οἶκον, καὶ μόλις ἐπιγινώσκεται. καὶ δι' Ἀμήστριος καὶ Ἀμύτιος καταλλάσσεται ὁ βασιλεύς, καὶ ποιεῖ αὐτὸν ὡς τὸ πρόσθεν ὁμοτράπεζον. ζήσας δὲ ἓξ καὶ ἑβδομήκοντα ἔτη ἀπέθανε, καὶ κάρτα ἠχθέσθη βασιλεύς.

Τελευτήσαντος δὲ Μεγαβύζου κάρτα ἦν Ἀμύτις ἀνδράσιν ὁμιλοῦσα, καὶ πρό γε ταύτης καὶ ἡ μήτηρ Ἀμῆστρις ὁμοίως. ὁ δὲ Ἀπολλωνίδης ὁ ἰατρὸς ὁ Κῷος, ἐπεὶ ἀσθενῶς εἶχεν Ἀμύτις, εἰ καὶ βληχρῶς καὶ οὐκ ἰσχυρῶς, ἐκεῖνος δὲ ἠράσθη αὐτῆς, ἔφη εἰς τὴν ὑγείαν αὐτὴν ἐπανελθεῖν, ἐὰν ἀνδράσιν ὁμιλήσῃ· τῆς γὰρ ὑστέρας εἶναι τὸ νόσημα. ἐπεὶ δὲ αὐτῷ ἐξεγένετο τὸ ἐπιτήδευμα καὶ ὡμίλει αὐτῇ, ἡ δὲ ἄνθρωπος ἐμαραίνετο, ἀπέστη τῆς συνουσίας. τελευτῶσα δὴ οὖν ἐπήγγειλε τῇ μητρὶ ἀμύνασθαι Ἀπολλωνίδην. ἡ δὲ ἀπήγγειλε πάντα Ἀρτοξέρξῃ τῷ βασιλεῖ, ὅπως τε ὡμίλει καὶ ὅπως ἀπέστη ὑβρίσας, καὶ ὅπως ἡ θυγάτηρ ἐπήγγειλεν Ἀπολλωνίδην ἀμύνασθαι· ἐκεῖνος δὲ τῇ μητρὶ τὸ παριστάμενον αὐτῇ πράττειν ἐπιτρέπει. ἡ δὲ λαβοῦσα ἔδησε τὸν Ἀπολλωνίδην δυσὶ μησὶ κολάζουσα, ἔπειτα ζῶντα κατώρυξεν, ὅτε καὶ Ἀμύτις ἀπέθανεν.

Ζώπυρος δὲ ὁ Μεγαβύζου καὶ Ἀμύτιος παῖς, ἐπεὶ αὐτῷ ὅ τε πατὴρ καὶ ἡ μήτηρ ἐτελεύτησεν, ἀπέστη βασιλέως καὶ εἰς Ἀθήνας ἀφίκετο, κατὰ τὴν τῆς μητρὸς εἰς αὐτοὺς εὐεργεσίαν. εἰς Καῦνον δὲ ἅμα αὐτῶν ἑπομένων εἰσέπλευσε, καὶ ἐκέλευσε παραδιδόναι τὴν πόλιν· Καύνιοι δὲ αὐτῷ μὲν παραδιδόναι τὴν πόλιν ἔφασκον, Ἀθηναίοις δὲ τοῖς συνεπομένοις οὐκέτι. εἰσιόντι δὲ Ζωπύρῳ εἰς τὸ τεῖχος λίθον Ἀλκίδης Καύνιος ἐμβάλλει εἰς τὴν κεφαλήν, καὶ οὕτω Ζώπυρος ἀποθνήσκει· Ἀμῆστρις δὲ ἡ μάμμη τὸν Καύνιον ἀνεσταύρωσεν. ἀποθνήσκει δὲ καὶ ἡ Ἀμῆστρις κάρτα γραῦς γενομένη. καὶ Ἀρτοξέρξης δὲ ἀποθνήσκει μ' καὶ β' ἔτεα βασιλεύσας. τελευτᾷ ἱστορία ιζ', ἄρχεται ιη'.

Ἀρτοξέρξου τελευτήσαντος Ξέρξης ὁ υἱὸς βασιλεύει, ὃς μόνος ἦν γνήσιος ἐκ Δαμασπίας, ἣ ἐν αὐτῇ τῇ ἡμέρᾳ, ἐν ᾗ καὶ Ξέρξης ἐτελεύτησεν, ἀπεβίω. Βαγόραζος δὲ τὸν νεκρὸν τοῦ πατρὸς καὶ τῆς μητρὸς ἀπήγαγεν εἰς Πέρσας. ἑπτακαίδεκα δὲ νόθους

a. 1. Ὄσιρις ς. sic et posthac, 10. Ἀρτίφιος ς. 23. αὐτοῦ ς. 27. Πετίσας ς. 35. ἔβαλλεν A 43. τῇ] ἐν τῇ ς. b. 1. τὸν] εἰς τὸν ς. 4. Ἀμύτιος] δι' Ἀμύτιος ς. 11. ἀβληχρῶς ς. 18. τῷ om pr A. 26. τῆς om A. 27. ἅμα τῶν ἑπομένων A: ἅμα τοῖς ἑπομένοις ς. 35. δὲ om A. 36. τελευτᾷ — ιη'] τελ ἱστορ ιζ ἄρχεται ιη A: τέλος τῆς ιζ' ἱστορίας, ἀρχὴ δὲ τῆς ιη' ς. cf. p. 43 b 1. 38. Ἀρταξέρξου δὲ τελευτ. ς.

υἱοὺς ἔσχεν ὁ Ἀρτοξέρξης, ἐξ ὧν ἐστὶ καὶ Σεκυδιανὸς 62 H. "ὁ ἐξ Ἀλογούνης τῆς Βαβυλωνίας, καὶ Ὦχος, 125 R. "καὶ Ἀρσίτης ὁ ἐκ Κοσμαρτιδηνῆς, καὶ αὐτῆς Βαβυλωνίας· ὁ δὲ Ὦχος ὕστερον καὶ βασιλεύει. ἔτι δὲ παῖδες αὐτοῦ πρὸς τοῖς εἰρημένοις καὶ Βαγαπαῖος καὶ Παρύσατις ἐξ Ἀνδρίας, καὶ αὐτῆς Βαβυλωνίας· αὕτη ἡ Παρύσατις Ἀρτοξέρξου καὶ Κύρου μήτηρ ἐγένετο. τὸν δὲ Ὦχον ζῶν ὁ πατὴρ Ὑρκανίων σατράπην ἐποίησε, δοὺς αὐτῷ καὶ γυναῖκα Παρύσατιν ὄνομα, ἥτις ἦν Ξέρξου μὲν θυγάτηρ, ἀδελφὴ δὲ οἰκεία. ὁ δὲ Σεκυδιανὸς προσποιησάμενος Φαρνακύαν τὸν εὐνοῦχον, ὃς ἦν μετὰ Βαγόραζον καὶ Μενοστάνη καὶ ἑτέρους τινάς, μεθύοντος ἐν ἑορτῇ τινὶ τοῦ Ξέρξου καὶ καθεύδοντος ἐν τοῖς βασιλείοις εἰσελθόντες ἀποκτείνουσιν αὐτόν, τεσσαρακοστῆς καὶ πέμπτης ἡμέρας διαγενομένης ἀπὸ τῆς τοῦ πατρὸς τελευτῆς. συνέβη οὖν ἀμφοτέρους ἅμα εἰς Πέρσας ἀποκομισθῆναι· αἱ γὰρ ἄγουσαι τὴν ἁρμάμαξαν ἡμίονοι, ὥσπερ ἀναμένουσαι καὶ τὸν τοῦ παιδὸς νεκρόν, οὐκ ἤθελον πορεύεσθαι, ὅτε δὲ κατέλαβε, σὺν προθυμίῃ ἀπήεσαν.

Βασιλεύει δὲ Σεκυδιανός, καὶ γίνεται ἀζαβαρίτης αὐτῷ Μενοστάνης. ἀπιὼν δὲ Βαγόραζος καὶ ὑποστρέψας πρὸς Σεκυδιανόν, ἐπεὶ παλαιὰ αὐτοῖς ἔχθρα ὑπετύφετο, ὡς δῆθεν ἄνευ τῆς ἑαυτοῦ γνώμης τοῦ πατρὸς λιπὼν τὸν νεκρὸν αὐτοῦ, προστάξει βασιλέως λιθόλευστος ἐγεγόνει· ἐφ' ᾧ ἡ στρατιὰ εἰς λύπην κατηνέχθη. ὁ δὲ δῶρα αὐτῇ ἐδίδου· οἱ δὲ ἐμίσουν αὐτόν, ὅτι τε τὸν ἀδελφὸν Ξέρξην ἀπεκτόνει καὶ ὅτι Βαγόραζον. διαπέμπεται Σεκυδιανὸς προσκαλούμενος Ὦχον· ὁ δὲ ὑπισχνεῖται μέν, οὐ παραγίνεται δέ. καὶ γίνεται τοῦτο πολλάκις. τέλος περιβάλλεται Ὦχος πολλὴν στρατιάν, καὶ ἐπίδοξος ἦν βασιλεύειν. ἀφίσταται Ἀρβάριος ὁ τῶν ἱππέων Σεκυδιανοῦ ἄρχων πρὸς Ὦχον, εἶτα Ἀρξάνης ὁ Αἰγύπτου σατράπης· καὶ Ἀρτοξάρης δὲ ὁ εὐνοῦχος ἐξ Ἀρμενίας ἧκε πρὸς Ὦχον. καὶ ἐπέθεντο αὐτῷ τὴν κίταριν, οὔτι ἑκόντος. βασιλεύει Ὦχος, καὶ μετονομάζεται Δαρειαῖος. καὶ μετέρχεται ἀπάτῃ καὶ ὅρκοις, ὑποθήκῃ Παρυσάτιδος, τὸν Σεκυδιανόν, πολλὰ Μενοστάνους παραινοῦντος Σεκυδιανὸν μὴ πιστεύειν τοῖς ὅρκοις μηδὲ σπένδεσθαι τοῖς ἐξαπατῶσι. πείθεται δ' οὖν ὅμως, καὶ ἁλίσκεται, καὶ εἰς τὴν σποδὸν ἐμβάλλεται καὶ ἀπόλλυται βασιλεύσας μῆνας ἕξ, ἡμέρας δεκαπέντε.

Βασιλεύει οὖν μόνος Ὦχος ὁ καὶ Δαρειαῖος. εὐνοῦχοι δὲ τρεῖς ἠδύναντο παρ' αὐτῷ, μέγιστον μὲν Ἀρτοξάρης, δεύτερος δὲ Ἀρτιβαρζάνης καὶ τρίτος Ἀθῶος. ἐχρῆτο δὲ συμβούλῳ μάλιστα τῇ γυναικί· ἐξ ἧς πρὸ τῆς βασιλείας δύο ἔσχε τέκνα, Ἄμηστριν θυγατέρα καὶ Ἀρσάκαν υἱόν, ὃς ὕστερον μετωνομάσθη Ἀρτοξέρξης. τίκτει δὲ αὐτῷ ἕτερον υἱὸν βασιλεύουσα, καὶ τίθεται τὸ ὄνομα αὐτοῦ ἀπὸ τοῦ ἡλίου Κῦρον· εἶτα τίκτει Ἀρτόστην, καὶ ἐφεξῆς μέχρι παίδων δεκατριῶν. καί φησιν ὁ συγγραφεὺς αὐτὸς παρ' αὐτῆς ἐκείνης τῆς Παρυσάτιδος ταῦτα ἀκοῦσαι. ἀλλὰ τὰ μὲν ἄλλα τῶν τέκνων ταχὺ ἀπεβίω, οἱ δὲ περιγεγονότες οἵ τε προῤῥηθέντες τυγχάνουσι καὶ ἔτι τέταρτος υἱός, Ὀξένδρας ὠνομασμένος.

Ἀφίστανται βασιλέως Ἀρσίτης ὁ οἰκεῖος ἀδελφός, ὁμοπάτριος καὶ ὁμομήτριος, καὶ Ἀρτύφιος ὁ Μεγαβύζου. πέμπεται "Ἀρτασύρας κατ' αὐτῶν, καὶ πολεμεῖ 63 H. Ἀρτύφιον, καὶ δυσὶ μάχαις Ἀρτασύρας ἡττᾶται." εἶτα 126 R. πάλιν συμβαλὼν νικᾷ Ἀρτύφιον, καὶ ὑπάγεται τοὺς σὺν αὐτῷ Ἕλληνας δώροις, καὶ καταλιμπάνονται αὐτῷ Μιλήσιοι μόνοι τρεῖς. τέλος ὅρκους καὶ πίστεις λαβὼν παρὰ Ἀρτασύρα, ἐπεὶ ὁ Ἀρσίτης οὐκ ἐφαίνετο, προσεχώρησε βασιλεῖ. Παρύσατις δὲ βουλεύεται βασιλεῖ, ὁρμῶντι πρὸς τὸν Ἀρτυφίου θάνατον, μὴ ἀνελεῖν τέως· ἔσεσθαι γὰρ τοῦτο ἀπάτην καὶ εἰς τὴν προσχώρησιν τοῦ Ἀρσίτου· ἐπειδὰν δὲ κἀκεῖνος ἀπατηθεὶς ἁλῷ, δεῖν τότε ἄμφω διαχρήσασθαι. καὶ γέγονεν οὕτως, εὐοδωθείσης τῆς συμβουλῆς, καὶ ἐμβάλλεται εἰς τὴν σποδὸν Ἀρτύφιος καὶ Ἀρσίτης· καίτοι Ἀρσίτην ὁ βασιλεὺς οὐκ ἐβούλετο ἀπολέσαι. ἀλλ' ἡ Παρύσατις τὰ μὲν πείθουσα τὰ δὲ βιαζομένη ἀπώλεσε. κατελεύσθη δὲ καὶ Φαρνακύας ὁ συνανελὼν Σεκυδιανῷ Ξέρξην. ἀνῃρέθη δὲ καὶ Μενοστάνης ὑφ' ἑαυτοῦ, ἤδη πρὸς θάνατον συλλαμβανόμενος.

Ἀφίσταται Πισούθνης, καὶ ἀποστέλλεται κατ' αὐτοῦ Τισαφέρνης καὶ Σπιθραδάτης καὶ Παρμίσης. ἀντεπεξῄει δὲ Πισούθνης, ἔχων καὶ Λύκωνα τὸν Ἀθηναῖον ἅμα Ἑλλήνων ὧν ἐκεῖνος ἦρχε. λαμβάνουσι δὲ οἱ τοῦ βασιλέως στρατηγοὶ χρήμασι Λύκωνα καὶ τοὺς Ἕλληνας, καὶ ἀφιστῶσι Πισούθνου· εἶτα δόντες αὐτῷ πίστεις

a. 1. Σεκυνδιανὸς ς hic et posthac. 3. ἐκ γυναικὸς Μαρτιδηνῆς ς. 7. ἡ om A. 26. ἡ add A. 27. οἱ] αὐταὶ A. 34. ὁ εὐνοῦχος add A. 36. ἑκόντι ς. 37. δαριαῖος ς. 38. πολλὰ μὲν Ὀσάνους ς. b. 1. βασιλεύσας add A. idem hoc loco reposuit, quae vulgo v. 5. post Δαρειαῖος leguntur, μῆνας ς΄ ἡμέρας ιε΄. 4. Ἀρτοξάνης ς. 5. Ἀρτιβαζάνης ς. 6. μάλιστα τῇ γυναικὶ συμβούλῳ ς. 27. δεῖ A. 31. ἀπολέσθαι ς. 33. φαρνακύτας A. 37. Σπιθαραδάτης ς. 39. Ἕλλησιν ς. 40. χρήματα ς.

Digitized by Google

καὶ λαβόντες ἄγουσι παρὰ βασιλέα. ὁ δὲ εἰς τὴν σποδὸν ἐνέβαλε, Τισσαφέρνῃ δοὺς τὴν Πισούθνου σατραπείαν. ἔλαβε δὲ Λύκων καὶ πόλεις καὶ χώρας ὑπὲρ τῆς προδοσίας.

Ἀρτοξάρης ὁ εὐνοῦχος, ὃς μέγα ἠδύνατο παρὰ βασιλεῖ, ἐπιβουλεύει βασιλέα, θέλων αὐτὸς βασιλεῦσαι· πώγωνα γὰρ καὶ ὑπόρρινα προσέταξεν αὐτῷ γυναικὶ κατασκευάσαι, ἵνα ὡς ἀνὴρ φαίνοιτο. δι' ἧς καὶ καταμηνύεται καὶ συλλαμβάνεται. καὶ παραδίδοται Παρυσάτιδι, καὶ ἀναιρεῖται.

Ἀρσάκης ὁ τοῦ βασιλέως παῖς, ὁ καὶ ὕστερον μετονομασθεὶς Ἀρτοξέρξης, γαμεῖ τὴν Ἰδέρνεω θυγατέρα Στάτειραν, τὴν δὲ τοῦ βασιλέως θυγατέρα ὁ τοῦ Ἰδέρνεω υἱός· Ἀμῆστρις ἦν ἡ θυγάτηρ, τῷ δὲ ταύτης νυμφίῳ ὄνομα Τεριτούχμης, ὃς καὶ τοῦ πατρὸς τελευτήσαντος ἀντ' αὐτοῦ σατράπης κατέστη. ἦν δὲ ὁμοπατρία αὐτῷ ἀδελφὴ Ῥωξάνη, καλὴ τῷ εἴδει καὶ τοξεύειν καὶ ἀκοντίζειν ἐμπειροτάτη. ἐρῶν δὲ ταύτης ὁ Τεριτούχμης καὶ συγγινόμενος ἐμίσει Ἀμῆστριν, καὶ τέλος ἐμβαλεῖν αὐτὴν εἰς σάκκον καὶ κατακεντηθῆναι ὑπὸ τριακοσίων ἀνδρῶν, μεθ' ὧν καὶ τὴν ἀπόστασιν ἐμελέτησεν, ἐβουλεύσατο. ἀλλά τις Οὐδιάστης ὄνομα, ἰσχὺν ἔχων παρὰ Τεριτούχμῃ, καὶ γράμματα παρὰ βασιλέως πολλὰς ὑποσχέσεις ἔχοντα, εἰ περισωθείη αὐτῷ ἡ θυγάτηρ, δεξάμενος, ἐπιτίθεται καὶ ἀναιρεῖ Τεριτούχμην, γενναίως ἐν τῇ ἐπαναστάσει ἀνδρισάμενον καὶ πολλοὺς ἀποκτείναντα· μέχρι γὰρ λ' καὶ ζ' φασιν αὐτὸν ἀποκτεῖναι. ὁ δὲ υἱὸς τοῦ Οὐδιάστου Μιθραδάτης, ὑπασπιστὴς ὢν Τεριτούχμου καὶ μὴ παρών, ἐπεὶ ἔμαθε, πολλὰ τῷ πατρὶ κατηράσατο, καὶ πόλιν Ζάριν καταλαβὼν ἐφύλασσε ταύτην τῷ παιδὶ τοῦ Τεριτούχμεω. ἡ δὲ Παρύσατις τήν τε μητέρα τὴν Τεριτούχμεω καὶ τοὺς ἀδελφοὺς Μιτρώστην καὶ Ἥλικον καὶ τὰς ἀδελφάς, δύο οὔσας χωρὶς τῆς Στατείρας, ζώσας ἐκέλευσε καταχῶσαι,
44 H. τὴν δὲ Ῥωξάνην ζῶσαν κατατεμεῖν· καὶ ἐγένετο. ὁ δὲ βασιλεὺς εἶπε τῇ γυναικὶ Παρυσάτιδι ποιῆσαι ὁμοίως
29 R. καὶ Στάτειραν τὴν Ἀρσάκου γυναῖκα τοῦ παιδός· ἀλλ' ὅ γε Ἀρσάκης πολλὰ τὴν μητέρα καὶ τὸν πατέρα δάκρυσι καὶ κοπετοῖς ἐξιλεωσάμενος, ἐπεὶ ἡ Παρύσατις ἐπεκάμφθη, συνεχώρησε καὶ Ὦχος ὁ Δαρειαῖος, εἰπὼν Παρυσάτιδι πολλὰ μεταμελήσειν αὐτήν. τελευτᾷ ἡ ιη'.

Ἐν δὲ τῇ ιθ' ἱστορίᾳ διαλαμβάνει ὡς Ὦχος ὁ Δαρειαῖος ἀπέθανεν ἀσθενήσας ἐν Βαβυλῶνι, ἔτη βασιλεύσας τριάκοντα πέντε, βασιλεύει δὲ Ἀρσάκης ὁ μετονομασθεὶς Ἀρτοξέρξης. καὶ ἐκτέμνεται ὁ Οὐδιάστης τὴν γλῶτταν, καὶ ἐξελκύεται ταύτην ἐξόπισθεν, καὶ θνήσκει· ὁ δὲ παῖς αὐτοῦ Μιτραδάτης ἀντὶ τοῦ πατρὸς καθίσταται σατράπης. ἐπράχθη δὲ ταῦτα σπουδῇ Στατείρας, καὶ ἠνιᾶτο Παρύσατις. διαβάλλεται Κῦρος ὑπὸ Τισσαφέρνους πρὸς Ἀρτοξέρξην τὸν ἀδελφόν, καὶ καταφεύγει Παρυσάτιδι τῇ μητρί, καὶ ἀπολύεται τῆς διαβολῆς. ἀπελαύνει Κῦρος ἠτιμωμένος παρὰ τοῦ ἀδελφοῦ πρὸς τὴν οἰκείαν σατραπείαν, καὶ μελετᾷ ἐπανάστασιν. διαβάλλει Σατιβαρζάνης Ὀρόνδην, ὡς Παρυσάτιδι μίγνυται, καίτοι λίαν αὐτῆς σωφρονούσης· καὶ ἀναιρεῖται Ὀρόνδης, καὶ ὀργίζεται ἡ μήτηρ τῷ βασιλεῖ. ὅτι Παρύσατις φαρμάκῳ διαφθείρει τὸν Τεριτούχμεω υἱόν. καὶ περὶ τοῦ θάψαντος τὸν πατέρα διὰ τοῦ πυρὸς παρὰ τὸν νόμον· ἐξ οὗ καὶ ἔλεγχος Ἑλλανίκου καὶ Ἡροδότου, ὡς ψεύδονται. ἀπόστασις Κύρου ἀπὸ τοῦ ἀδελφοῦ, καὶ συναγωγὴ Ἑλληνικοῦ στρατεύματος καὶ βαρβαρικοῦ, καὶ στρατηγῶν Κλέαρχος Ἑλλήνων. ὅπως τε Συέννεσις ὁ Κιλίκων βασιλεὺς ἄμφω συνεμάχει, Κύρῳ τε καὶ Ἀρτοξέρξῃ. ὅπως τε Κῦρος τῇ ἰδίᾳ στρατείᾳ καὶ Ἀρτοξέρξης πάλιν τῇ οἰκείᾳ παρῄνεσαν. Κλέαρχος δὲ ὁ Λακεδαιμόνιος, ὃς ἦρχε τῶν Ἑλλήνων, καὶ Μένων ὁ Θετταλός, οἳ μετὰ Κύρου ἦσαν, ἀεὶ διάφοροι ἀλλήλοις ἐτύγχανον, διότι τῷ μὲν Κλεάρχῳ ἅπαντα ὁ Κῦρος συνεβούλευε, τοῦ δὲ Μένωνος λόγος οὐδεὶς ἦν. ηὐτομόλουν δὲ ἀπὸ μὲν Ἀρτοξέρξου πρὸς Κῦρον πολλοί, πρὸς δὲ Ἀρτοξέρξην ἀπὸ Κύρου οὐδείς· διὸ καὶ Ἀρταβάριος προσχωρῆσαι Κύρῳ μελετήσας καὶ διαβληθεὶς εἰς τὴν σποδὸν ἐνεβλήθη. προσβολὴ Κύρου πρὸς τὴν βασιλέως στρατιάν, καὶ νίκη Κύρου· ἀλλὰ καὶ θάνατος Κύρου ἀπειθοῦντος Κλεάρχῳ, καὶ αἰκισμὸς τοῦ σώματος Κύρου ὑπὸ τἀδελφοῦ Ἀρτοξέρξου· τήν τε γὰρ κεφαλὴν καὶ τὴν χεῖρα, μεθ' ἧς τὸν Ἀρτοξέρξην ἔβαλεν, αὐτὸς ἀπέτεμε καὶ ἐθριάμβευσεν. ἀναχώρησις Κλεάρχου τοῦ Λακεδαιμονίου ἅμα τῶν σὺν αὐτῷ

a. 2. Τισσαφερνίδης τὴν ϛ. 5. ὁ εὐνοῦχος A: δὲ ϛ, additis (post βασιλεῦσαι) ἐκτομίας ὑπάρχων. 11. Ἀρσάκης δὲ ὁ ϛ. 13. στατεῖραν A. 15. ὄνομα om pr A. 20. σάκον A. 21. μελετήσασα ϛ. 22. Οὐδιαστὴς ϛ. 27. ἀποκτείνοντα ϛ. 28. μιστροδάτις A. 33. Μητρώστην ϛ. 34. στρατείας A. 39. ἐξιλεούμενος ϛ. ἐπεὶ δὲ ἡ ϛ. 40. δαρειαῖος A. b. 1. αὐτήν] nonne αὐτῇ? 2. τελευτᾷ ἡ] τέλος τῆς ϛ. post ιη cum A omisi ἱστορίας. 3. δαρειαῖος A. 24. Συνέννεσις ϛ. 33. Ἀρταβάριος] ὁ βάρβαρος A. 37. τοῦ ἀδελφοῦ ϛ. 40. τοῖς — Ἕλλησι ϛ.

Ἑλλήνων τῆς νυκτός, καὶ τῶν τῆς Παρυσάτιδος πόλεων μιᾶς κατάληψις· εἶτα σπονδαὶ βασιλέως πρὸς τοὺς Ἕλληνας. ὡς Παρύσατις εἰς Βαβυλῶνα ἀφίκετο πενθοῦσα Κῦρον, καὶ μόλις ἐκομίσατο τὴν κεφαλὴν αὐτοῦ καὶ τὴν χεῖρα, καὶ ἔθαψεν, καὶ ἀπέστειλεν εἰς Σοῦσα. τὰ περὶ Βαγαπάτου τοῦ ἀποτεμόντος προστάξει βασιλέως τὴν κεφαλὴν ἀπὸ τοῦ σώματος Κύρου, ὅπως ἡ μήτηρ μετὰ βασιλέως κύβοις ἐπὶ συνθήκαις παίξασα καὶ νικήσασα ἔλαβε Βαγαπάτην, καὶ ὃν τρόπον 65 H. τὸ δέρμα περιαιρεθεὶς ἀνεσταυρίσθη ὑπὸ Παρυσάτιος, ὅτε καὶ τὸ πολὺ ἐπὶ Κύρῳ πένθος αὐτῇ ἐπαύσατο 130 R. διὰ τὴν πολλὴν τοῦ Ἀρτοξέρξου δέησιν. ὡς Ἀρτοξέρξης δῶρα ἔδωκε τῷ ἐνέγκαντι τὸν Κύρου πῖλον, καὶ ὡς τὸν Κᾶρα τὸν δοκέοντα Κῦρον βαλεῖν Ἀρτοξέρξης ἐτίμησε, καὶ ὡς Παρύσατις τὸν τιμηθέντα Κᾶρα αἰκισαμένη ἀπέκτεινεν. ὡς Ἀρτοξέρξης παρέδωκεν αἰτησαμένῃ Μιτραδάτην Παρυσάτιδι, ἐπὶ τραπέζης μεγαλαυχήσαντα ἀποκτεῖναι Κῦρον, κἀκείνη λαβοῦσα πικρῶς ἀνεῖλε. ταῦτα ἡ ιθʹ καὶ ἡ κʹ ἱστορία.

Ἐν δὲ τῇ κά καὶ βʹ καὶ γʹ, ἥτις καὶ τῆς ὕλης πέρας ἐστὶν ἱστορίας, τάδε περιείληπται, ὡς Τισαφέρνης ἐπιβουλεύει τοῖς Ἕλλησι, καὶ προσεταιρισάμενος Μένωνα τὸν Θεσσαλὸν δι᾽ αὐτοῦ Κλέαρχον καὶ τοὺς ἄλλους στρατηγοὺς ἀπάτῃ καὶ ὅρκοις ἐχειρώσατο, τοῦ Κλεάρχου καὶ προαισθομένου καὶ ἀποκρουομένου τὴν ἐπιβουλήν· ἀλλά τό τε πλῆθος διὰ Μένωνος ἀπατηθὲν κατηνάγκασε καὶ ἄκοντα Κλέαρχον πρὸς Τισαφέρνην παραγενέσθαι, καὶ Πρόξενος ὁ Βοιώτιος αὐτὸς ἤδη προαλοὺς ἀπάτῃ συμπαρῄνει. ὡς εἰς Βαβυλῶνα πρὸς Ἀρτοξέρξην Κλέαρχον καὶ τοὺς ἄλλους ἀπέστειλεν ἐν πέδαις, καὶ ὡς ἐπὶ θέαν Κλεάρχου ἅπαντες συνερρύησαν. ὡς Κτησίας αὐτὸς ἰατρὸς ὢν Παρυσάτιδος πολλὰ Κλεάρχῳ ἐν τῷ δεσμωτηρίῳ ὄντι πρὸς ἡδονὴν καὶ θεραπείαν δι᾽ αὐτῆς ἔπραξε· καὶ τῶν δεσμῶν ἂν Παρύσατις ἔλυσε καὶ ἀφῆκεν, εἰ μὴ Στάτειρα τὸν ἄνδρα Ἀρτοξέρξην ἀνέπεισε τοῦτον ἀναιρεθῆναι. καὶ ἀνῃρέθη Κλέαρχος, καὶ τέρας ἐπὶ τῷ σώματι συνέστη· αὐτομάτως γὰρ ἐπ᾽ αὐτῷ τάφος, μεγίστου πνεύσαντος ἀνέμου, ἐπὶ μέγα ἠρμένος ἐπισυνέστη. ἀνῃρέθησαν δὲ καὶ οἱ σὺν αὐτῷ ἀναπεμφθέντες Ἕλληνες πλὴν Μένωνος. λοιδορία Παρυσάτιδος πρὸς Στάτειραν, καὶ ἀναίρεσις διὰ φαρμάκου τοῦτον διασκευασθέντος τὸν τρόπον· ἐφυλάττετο γὰρ Στάτειρα λίαν μὴ παθεῖν ὃ πέπονθε. μαχαιρίου τὸ ἓν μέρος ἐπαλείφεται τῷ φαρμάκῳ, τὸ δὲ λοιπὸν οὐ μετεῖχε. τούτῳ τέμνεται ὀρνίθιον μικρόν, μέγεθος ἴσον ᾠοῦ· ῥυνδάκην Πέρσαι τὸ ὀρνίθιον καλοῦσι. τέμνεται δὲ δίχα, καὶ τὸ μὲν καθαρεῦον τοῦ ἰοῦ ἥμισυ αὐτὴ λαβοῦσα Παρύσατις ἐσθίει, τὸ δὲ προσομιλῆσαν τῷ φαρμάκῳ ὀρέγει Στατείρᾳ· ἡ δέ, ἐπειδὴ ἐσθίουσαν τὴν ἐπιδοῦσαν ἑώρα τὸ ἥμισυ, μηδὲν συνιδεῖν δυνηθεῖσα καὶ αὐτὴ συνεσθίει τοῦ θανάτου τὸ φάρμακον. ὀργὴ διὰ ταῦτα τοῦ βασιλέως πρὸς τὴν μητέρα, καὶ σύλληψις τῶν εὐνούχων αὐτῆς καὶ αἰκισμὸς καὶ ἀναίρεσις. καὶ ἔτι σύλληψις Γίγγης, ἣ ᾠκείωτο Παρυσάτιδι, καὶ κρίσεις ἐπ᾽ αὐτῇ, καὶ ἀθώωσις μὲν παρὰ τῶν κριτῶν, καταδίκη δὲ παρὰ βασιλέως, καὶ αἰκισμὸς Γίγγης καὶ ἀναίρεσις, καὶ ὀργὴ διὰ τοῦτο Παρυσάτιδος πρὸς τὸν υἱὸν κἀκείνου πρὸς τὴν μητέρα. καὶ τὸ χῶμα δὲ τοῦ Κλεάρχου δι᾽ ἐτῶν ὀκτὼ μεστὸν ἐφάνη φοινίκων, οὓς ἦν κρύφα Παρύσατις, καθ᾽ ὃν καιρὸν ἐκεῖνος ἐτελεύτησε, διὰ εὐνούχων καταχώσασα.

Αἰτίαι δι᾽ ἃς Εὐαγόρᾳ βασιλεῖ Σαλαμῖνος βασιλεὺς Ἀρτοξέρξης διηνέχθη. καὶ ἄγγελοι Εὐαγόρα 66 H. πρὸς Κτησίαν ὑπὲρ τοῦ λαβεῖν παρὰ Ἀβουλήτου τὰς ἐπιστολάς, καὶ Κτησίου πρὸς αὐτὸν ἐπιστολὴ περὶ τοῦ διαλλαγῆναι αὐτὸν Ἀναξαγόρᾳ τῷ Κυπρίων βασιλεῖ. τῶν παρὰ Εὐαγόρα ἀγγέλων εἰς Κύπρον ἄφιξις, 133 R. καὶ τῶν παρὰ Κτησίου γραμμάτων ἀπόδοσις Εὐαγόρᾳ. καὶ Κόνωνος πρὸς Εὐαγόραν λόγος ὑπὲρ τοῦ πρὸς βασιλέα ἀναβῆναι, καὶ Εὐαγόρα ἐπιστολὴ περὶ ὧν ἠξιώθη ὑπ᾽ αὐτοῦ. καὶ Κόνωνος πρὸς Κτησίαν ἐπιστολή, καὶ βασιλεῖ παρὰ Εὐαγόρα φόρος, καὶ τῶν ἐπιστολῶν Κτησίᾳ ἀπόδοσις. Κτησίου λόγος πρὸς βασιλέα περὶ Κόνωνος καὶ ἐπιστολὴ πρὸς αὐτόν. τῶν παρὰ Εὐαγόρου δώρων ἀπόδοσις Σατιβαρζάνῃ, καὶ τῶν ἀγγέλων τῶν εἰς Κύπρον ἄφιξις, καὶ Κόνωνος ἐπιστολὴ πρὸς βασιλέα καὶ Κτησίαν. ὡς ἐτηρήθησαν οἱ παρὰ Λακεδαιμονίων ἄγγελοι πεμφθέντες πρὸς βασιλέα. βασιλέως ἐπιστολὴ πρὸς Κόνωνα καὶ Λακεδαιμονίους, ἃς Κτησίας αὐτὸς ἐκόμισεν. ὡς ὑπὸ Φαρναβάζου ναύαρχος Κόνων ἐγένετο. Κτησίου εἰς Κνίδον τὴν πατρίδα ἄφιξις καὶ εἰς Λακεδαίμονα, καὶ κρίσις πρὸς τοὺς Λακεδαιμονίων ἀγγέλους ἐν Ῥόδῳ, καὶ ἄφεσις.

a. 1. πόλεως A. 10. ἀνεσταυρώθη ς. 11. αὕτη ς. 14. βαλεῖν Κῦρον ς. 17. Μιθριδάτην ς. 18. Κῦρον] τὸν Κῦρον ς. πικρῶς ἂν ἀνεῖλε ς. 19. ταῦτα καὶ ἡ ς. 21. διείληπται ς. b. 3. ἴσον A: ὅσον ς. ῥυνδάκην ς. 5. αὕτη ς. 7. ἐπεὶ ς. 10. τῶν ὑπηρετούντων εὐνούχων αὐτῇ ς. 18. post εὐνούχων cum A omisi τῶν ὑπηρετούντων αὐτῇ. 37. καὶ πρὸς Λακ. ς. 38. ὡς A: ἣν ς. 41. Ῥόδῳ A: λόγῳ ς.

Ἀπὸ Ἐφέσου μέχρι Βάκτρων καὶ Ἰνδικῆς ἀριθμὸς σταθμῶν, ἡμερῶν, παρασαγγῶν. κατάλογος βασιλέων ἀπὸ Νίνου καὶ Σεμιράμεως μέχρι Ἀρτοξέρξου. ἐν οἷς καὶ τὸ τέλος.

Ἔστι δὲ οὗτος ὁ συγγραφεὺς σαφής τε καὶ ἀφελὴς λίαν, διὸ καὶ ἡδονῇ αὐτῷ σύγκρατος ἐστιν ὁ λόγος. κέχρηται δὲ τῇ Ἰωνικῇ διαλέκτῳ, εἰ καὶ μὴ δι' ὅλου, καθάπερ Ἡρόδοτος, ἀλλὰ κατ' ἐνίας τινὰς λέξεις. οὐδὲ πρὸς ἐκτροπὰς δέ τινας ἀκαίρους, ὥσπερ ἐκεῖνος, ἀπάγει τὸν λόγον. τῶν μέντοι γε μύθων, ἐν οἷς ἐκείνῳ λοιδορεῖται, οὐδ' οὗτος ἀφίσταται, καὶ μάλιστα ἐν τοῖς ἐπιγραφομένοις αὐτῷ Ἰνδικά. ἡ δὲ ἡδονὴ τῆς ἱστορίας αὐτοῦ τὸ πλεῖστον ἐν τῇ τῶν διηγημάτων αὐτοῦ γίνεται διασκευῇ, τὸ παθητικὸν καὶ ἀπροσδόκητον ἐχούσῃ πολὺ καὶ τὸ ἐγγὺς τοῦ μυθώδους αὐτὴν διαποικίλλειν. καὶ διαλελυμένος δέ ἐστι πλέον τι τοῦ δέοντος αὐτῷ ὁ λόγος, ὡς καὶ εἰς ἰδιωτισμὸν ἐκπίπτειν. ὁ δὲ τοῦ Ἡροδότου λόγος ταύτῃ τε καὶ τῇ ἄλλῃ τοῦ ἔπους δυνάμει καὶ τέχνῃ κανών ἐστιν Ἰωνικῆς διαλέκτου.

144 B. Ἀνεγνώσθη δὲ αὐτοῦ καὶ τὰ ἸΝΔΙΚΑ, ἐν ἑνὶ βιβλίῳ, ἐν οἷς μᾶλλον ἰωνίζει. λέγει περὶ τοῦ Ἰνδοῦ ποταμοῦ τὸ μὲν στενὸν αὐτοῦ εὖρος μ' σταδίων εἶναι, τὸ δὲ πλατύτατον καὶ διακοσίων. λέγει περὶ αὐτῶν τῶν Ἰνδῶν ὅτι πλείους σχεδὸν συμπάντων ἀνθρώπων. περὶ τοῦ σκώληκος τοῦ ἐν τῷ ποταμῷ, ὃ καὶ μόνον τῶν ἄλλων θηρίων ἐν αὐτῷ γίνεται. περὶ τοῦ μὴ οἰκεῖν ἐπέκεινα αὐτῶν ἀνθρώπους. ὅτι οὐχ ὕει, ἀλλ' ὑπὸ τοῦ ποταμοῦ ποτίζεται ἡ Ἰνδική. περὶ παντάρβας τῆς σφραγῖδος, καὶ ὡς υοζ' σφραγῖδας ἀποῤῥιφείσας καὶ τιμίους λίθους εἰς τὸν ποταμόν, ἅτινα ἦν τοῦ Βακτρίων καπήλου, αὕτη ἀνείλκυσεν ἐχομένας ἀλλήλων. περὶ τῶν τειχοκαταλυτῶν ἐλεφάντων. περὶ τῶν μικρῶν πιθήκων τῶν ἐχόντων οὐρὰς τετραπήχεις, καὶ περὶ τῶν ἀλεκτρυόνων τῶν μεγίστων, καὶ περὶ τοῦ ὀρνέου τοῦ

67 H. βιττάκου, ὅτι γλῶσσαν ἀνθρωπίνην ἔχει καὶ φωνήν, μέγεθος μὲν ὅσον ἱέραξ, πορφύρεον δὲ πρόσωπον, καὶ πώγωνα φέρει μέλανα, αὐτὸ δὲ κυάνεόν ἐστιν ὡς τὸν τράχηλον ὥσπερ κιννάβαρι· διαλέγεσθαι δὲ αὐτὸ ὥσπερ ἄνθρωπον, Ἰνδιστί, ἂν δὲ Ἑλληνιστὶ μάθῃ, καὶ Ἑλληνιστί.

Περὶ τῆς κρήνης τῆς πληρουμένης ἀν' ἔτος ὑγροῦ χρυσίου, ἐξ ἧς ἑκατὸν πρόχοι ὀστράκινοι ἀν' ἔτος ἀρύονται· ὀστρακίνους δὲ δεῖ εἶναι, ἐπεὶ πήγνυται ὁ χρυσὸς ἀπαρυόμενος, καὶ ἀνάγκη τὸ ἀγγεῖον θλάσαι καὶ οὕτως ἐξαγαγεῖν αὐτόν. ἡ δὲ κρήνη τετράγωνός ἐστιν, ἑκκαίδεκα μὲν πηχῶν ἡ περίμετρος, τὸ δὲ βάθος ὀργυιά· ἑκάστη δὲ προχοὴ τάλαντον ἕλκει. καὶ περὶ τοῦ ἐν τῷ πυθμένι τῆς κρήνης σιδήρου, ἐξ οὗ καὶ δύο ξίφη Κτησίας φησὶν ἐσχηκέναι, ἓν παρὰ βασιλέως καὶ τὸ ἄλλο παρὰ τῆς τοῦ βασιλέως μητρὸς Παρυσάτιδος. φησὶ δὲ περὶ αὐτοῦ ὅτι πηγνύμενος ἐν τῇ γῇ νεφους καὶ χαλάζης καὶ πρηστήρων ἐστὶν ἀποτρόπαιον· καὶ ἰδεῖν αὐτὸν ταῦτά φησι βασιλέως δὶς ποιήσαντος.

Περὶ τῶν κυνῶν τῶν Ἰνδικῶν, ὅτι μέγιστοί εἰσιν, ὡς καὶ λέοντι μάχεσθαι. περὶ τῶν ὀρῶν τῶν μεγάλων, ἐξ ὧν ἥ τε σαρδὼ ὀρύσσεται καὶ οἱ ὄνυχες καὶ αἱ ἄλλαι σφραγῖδες. ὅτι ἀλέα πολλή, καὶ ὅτι ὁ ἥλιος δεκαπλασίων τὸ μέγεθος ἢ ἐν ταῖς ἄλλαις χώραις αὐτὸς ἑαυτοῦ φαίνεται, καὶ πολλοὶ ἐνταῦθα τῷ πνίγει φθείρονται. καὶ θάλασσάν φησιν αὐτόθι οὐδὲν ἔλαττον τῆς Ἑλληνικῆς· τὸ δὲ ἄνω αὐτῆς ἕως τεσσάρων δακτύλων θερμὸν εἶναι, ὥστε μὴ ἰχθὺν ζῆν προσπελάσαντα τῷ θερμῷ, ἀλλὰ κάτωθεν διαιτᾶσθαι.

Ὅτι ὁ Ἰνδὸς ποταμὸς ῥέων διὰ πεδίων καὶ δι' ὀρέων ῥεῖ, ἐν οἷς καὶ ὁ λεγόμενος Ἰνδικὸς κάλαμος φύεται, πάχος μὲν ὅσον δύο ἄνδρε περιωργυιωμένοι περιλάβοιεν, τὸ δὲ ὕψος ὅσον μυριοφόρου νεὼς ἱστός· εἰσὶ καὶ ἔτι μείζους καὶ ἐλάττους, οἵους εἰκὸς ἐν ὄρει μεγάλῳ. εἶναι δὲ τῶν καλάμων καὶ ἄῤῥενας καὶ θηλείας· ὁ μὲν οὖν ἄῤῥην ἐντεριώνην οὐκ ἔχει καὶ ἔστι κάρτα ἰσχυρός, ἡ δὲ θήλεια ἔχει.

Καὶ περὶ τοῦ μαρτιχόρα τοῦ ἐν αὐτοῖς ὄντος θηρίου, ὡς τὸ πρόσωπον ἐοικὼς ἀνθρώπῳ μέγεθος μέν ἐστιν ὥσπερ λέων, καὶ χροιὰν ἐρυθρὸς ὡς κιννάβαρι, τρίστιχοι 145 R. δὲ ὀδόντες· ὦτα δὲ ὥσπερ ἀνθρώπου, καὶ ὀφθαλμοὺς γλαυκοὺς ὁμοίους ἀνθρώπῳ, τὴν δὲ κέρκον ἔχει οἵαν περ σκορπίος ὁ ἠπειρώτης, ἐν ᾗ καὶ τὸ κέντρον ἔχει, μείζω ὑπάρχουσαν πήχεος. ἔχει δὲ καὶ ἐκ πλαγίου τῆς κέρκου ἔνθα καὶ ἔνθα κέντρα, ἔχει δὲ καὶ ἐπ' ἄκρου ὥσπερ σκορπίος κέντρον. καὶ τούτῳ μέν, ἐὰν προσέλθῃ τις, κεντεῖ τῷ κέντρῳ, καὶ πάντως ὁ κεντηθεὶς ἀποθνήσκει· ἐὰν δέ τις πόῤῥωθεν μάχηται πρὸς αὐτόν, καὶ

a. 23. πλατύτατον Stephanus: πλατύτερον ς. περὶ τῶν αὐτῶν ς. 25. τοῦ σκώληκος] cf. Schneiderus Aristotel. H. A. t. 4. p. 474. 29. οζ' ς 31. αὐτὴ A. 33 et 34. καὶ add A. 37. δὲ] δὲ καὶ ς. ad αὐτὸ cf. αὐτοὶ p. 46 b 10. ὡς] ὡς . . . ., ἐρυθρὸν δὲ? b. 1. προχοαὶ ς. 4. ἐξάγειν ς. 8. τὸ ἄλλο A: ἓν ς. 11. ἀποτρόπαιος ς. 19. praestat ἐλαττόνα. 23. δύο ς. 26. μυριαμφόρου Lobeck. ad Phrynich. p. 662. 32. ἐοικὸς ς. 37. ὑπάρχουσα ς. πήχεως ς.

ἔμπροσθεν ἰςὰς τὴν ἐρὰν ὥσπερ ἀπὸ τόξε βάλλει τοῖς κέντροις, καὶ ὄπισθεν ἐπ᾽ εὐθείας ἀποτείνων. βάλλει δὲ ὅσον πλέθρον εἰς μῆκος, καὶ πάντα, οἷς ἂν βάλῃ, πάντως ἀποκτείνει, πλὴν ἐλέφαντος. τὰ δὲ κέντρα αὐτε ἐςὶ τὸ μὲν μῆκος ὅσον ποδιαῖα, τὸ δὲ πλάτος ὅσον σχοῖνος λεπτότατος. μαρτιχόρα δὲ Ἑλληνιςὶ ἀνθρωποφάγον, ὅτι πλεῖςα ἐσθίει ἀναιρῶν ἀνθρώπες· ἐσθίει δὲ καὶ τὰ ἄλλα ζῶα. μάχεται δὲ καὶ τοῖς ὄνυξι καὶ τοῖς κέντροις· τὰ δὲ κέντρα πάλιν φησίν, ἐπειδὰν ἐκτοξευθῇ, ἀναφύεσθαι. ἔςι δὲ πολλὰ ἐν τῇ Ἰνδικῇ. ἀποκτείνεσι δὲ αὐτὰ τοῖς ἐλέφασιν ἐποχέμενοι ἄνθρωποι κἀκεῖθεν βάλλοντες.

68 H. Περὶ τῶν Ἰνδῶν, ὅτι δικαιότατοι, καὶ περὶ τῶν ἐθῶν καὶ νομίμων αὐτῶν. περὶ τε ἱερε χωρίε τε ἐν τῇ ἀοικήτῳ, ὃ ἐπ᾽ ὀνόματι τιμῶσιν ἡλίε καὶ σελήνης· ἐν ᾧ διὰ ιε΄ ἡμερῶν ἀπὸ τε ὄρες τῆς σαρδες τις παραγίνεται. καὶ ὅτι λε΄ ἡμέραις ὁ ἥλιος ψύχει ἐκεῖσε τε ἐνιαυτε διὰ τὴν ἑορτήν, ἵνα ἄφλεκτοι αὐτὴν τελέσωσι καὶ ὑποςρέψωσιν. ὅτι βρονταὶ καὶ ἀςραπαὶ καὶ ὑετοὶ ἐκ εἰσὶν ἐν τῇ Ἰνδικῇ, ἄνεμοι δὲ πολλοὶ καὶ πρηςῆρες πολλοί, καὶ ἁρπάζεσιν ὅ τι ἂν λάβωσιν. ὁ δὲ ἥλιος ἀνίσχων τὸ ἥμισυ τῆς ἡμέρας ψῦχος ποιεῖ, τὸ δ᾽ ἄλλο λίαν ἀλεεινὸν ἐν τοῖς πλείςοις τῶν τῆς Ἰνδικῆς τόπων. ὅτι οἱ Ἰνδοὶ ἐχ ὑπὸ τε ἡλίε εἰσὶ μέλανες, ἀλλὰ φύσει· εἶναι γάρ φησιν ἐν αὐτοῖς κ᾽ ἄνδρας κ᾽ γυναῖκας λευκοτάτες πάντων, εἰ κ᾽ ἐπ᾽ ἔλαττον· ἰδεῖν δὲ καὶ αὐτὸν τοιαύτας Ἰνδὰς δύο γυναῖκας κ᾽ πέντε ἄνδρας. ὅτι πιςῶσαι τὰ περὶ τε ἡλίε βελόμενος, ὡς ἐν λε΄ ἡμέραις ἐν Ἰνδίᾳ ψύχει, λέγει ὅτι κ᾽ τὸ πῦρ ἐκ τῆς Αἴτνης ῥέον τὸν μέσον χῶρον, ἅτε δικαίων ἀνδρῶν ὄντα, ἐ φθείρει, φθεῖρον τὰ ἄλλα· καὶ ἐν Ζακύνθῳ κρηνῖδας ἰχθυοφόρες εἶναι ἐξ ὧν αἴρεται πίσσα, καὶ ἐν Νάξῳ κρήνην ἐξ ἧς οἶνος ἐνίοτε ῥεῖ καὶ μάλα ἡδύς· καὶ ὅτι πῦρ ἐςὶν ἐγγὺς Φασήλιδος ἐν Λυκίᾳ ἀθάνατον, καὶ ὅτι ἀεὶ καίεται ἐπὶ πέτρας καὶ νύκτα καὶ ἡμέραν, καὶ ὕδατι μὲν οὐ σβέννυται ἀλλὰ ἀναφλέγει, φορυτῷ δὲ σβέννυται.

Ὅτι ἐν μέσῃ τῇ Ἰνδικῇ ἄνθρωποί εἰσι μέλανες, καλοῦνται πυγμαῖοι, ὁμόγλωσσοι τοῖς ἄλλοις Ἰνδοῖς· μικροὶ δέ εἰσι λίαν, οἱ μακρότατοι αὐτῶν πηχέων δύο, οἱ δὲ πλεῖστοι ἑνὸς ἡμίσεως πήχεος. κόμην δὲ ἔχεσι μακροτάτην, μέχρις ἐπὶ τὰ γόνατα καὶ ἔτι κατώτερον, καὶ πώγωνα μέγιστον πάντων ἀνθρώπων· ἐπειδὰν ἐν τὸν πώγωνα μέγαν φύσωσιν, ἐκέτι ἀμφιέννυνται 148 R. ἐδὲν ἱμάτιον, ἀλλὰ τὰς τρίχας τὰς μὲν ἐκ τῆς κεφαλῆς ὄπισθεν καθίενται πολὺ κάτω τῶν γονάτων, τὰς δὲ ἐκ τε πώγωνος ἔμπροσθεν μέχρι ποδῶν ἑλκομένας, ἔπειτα περιπυκασάμενοι τὰς τρίχας περὶ ἅπαν τὸ σῶμα ζώννυνται, χρώμενοι αὐταῖς ἀντὶ ἱματίου. αἰδοῖον δὲ μέγα ἔχεσιν, ὥςε ψαύειν τῶν σφυρῶν αὐτῶν, καὶ παχύ. αὐτοὶ δὲ σιμοί τε καὶ αἰσχροί. τὰ δὲ πρόβατα αὐτῶν ὡς ἄρνες, καὶ οἱ ὄνοι καὶ αἱ βόες σχεδὸν ὅσον κριοί, καὶ οἱ ἵπποι αὐτῶν καὶ ἡμίονοι καὶ τὰ ἄλλα κτήνη πάντα ἐδὲν μείζω κριῶν. ἕπονται δὲ τῷ βασιλεῖ τῶν Ἰνδῶν τέτων τῶν πυγμαίων ἄνδρες τρισχίλιοι· σφόδρα γάρ εἰσι τοξόται. δικαιότατοι δέ εἰσι καὶ νόμοισι χρῶνται ὥσπερ καὶ οἱ Ἰνδοί. λαγούς τε καὶ ἀλώπεκας θηρεύεσιν, ἐ τοῖς κυσὶν ἀλλὰ κόραξι καὶ ἰκτῖσι καὶ κορώναις καὶ ἀετοῖς. ὅτι λίμνη ἐςὶν ἐν αὐτοῖς (ςαδίων ὀκτακοσίων ἡ περίμετρος), ἐν ᾗ ἀνέμε μὴ πνέοντος ἐπάνω τῆς λίμνης ἔλαιον ἐφίςαται· καὶ πλοιαρίοις πλέοντες δι᾽ αὐτῆς ἐκ μέσης αὐτῆς σκαφίοις τε ἐλαίε ἀπαρύονται καὶ χρῶνται. χρῶνται δὲ καὶ σησαμίνῳ. ἔχει δὲ ἡ λίμνη καὶ ἰχθύας. καὶ τῷ καρυίνῳ δὲ χρῶνται· κρεῖσσον δὲ τὸ λιμναῖον.

Ἔστι δὲ αὐτόθι ἄργυρος πολὺς καὶ ἀργύρεα μέταλλα, ἐ βαθέα· ἀλλὰ βαθύτερα εἶναί φασι τὰ ἐν 69 H. Βάκτροις. ἔςι δὲ καὶ χρυσὸς ἐν τῇ Ἰνδικῇ χώρᾳ, ἐκ ἐν τοῖς ποταμοῖς εὑρισκόμενος καὶ πλυνόμενος, ὥσπερ ἐν τῷ Πακτωλῷ ποταμῷ, ἀλλ᾽ ὄρη πολλὰ κ᾽ μεγάλα, ἐν οἷς οἰκεσι γρῦπες, ὄρνεα τετράποδα, μέγεθος ὅσον λύκος, σκέλη καὶ ὄνυχες οἷάπερ λέων· τὰ ἐν τῷ ἄλλῳ σώματι πτερὰ μέλανα, ἐρυθρὰ δὲ τὰ ἐν τῷ ςήθει. δι᾽ αὐτὲς δὲ ὁ ἐν τοῖς ὄρεσι χρυσὸς πολὺς ὢν γίνεται δυσπόριςος.

Ὅτι τὰ πρόβατα τῶν Ἰνδῶν καὶ αἱ αἶγες μείζες ὄνων εἰσί, καὶ τίκτεσιν ἀνὰ τεσσάρων καὶ ἓξ ὡς ἐπὶ τὸ πολύ. ἔχεσι δὲ οὐρὰς μεγάλας· διὸ τῶν τοκάδων ἀποτέμνεσιν, ἵνα δύνωνται ὀχεύεσθαι. ὗς δὲ ἔτε ἥμερος ἔτε ἄγριος ἔςιν ἐν τῇ Ἰνδικῇ. οἱ δὲ φοίνικες οἱ ἐν Ἰνδοῖς καὶ οἱ τέτων βάλανοι τριπλάσιοι τῶν ἐν Βαβυλῶνι. καὶ ποταμόν φησιν ἐκ πέτρας ῥέοντα μέλι.

a. 3. πάντας οὓς ἂν βάλλῃ ς. 15. τιμῶσιν in mg habet A. 16. τῆς σαρδοῦς τὸ ὄρος A. 17. ἡμέρας ς. 18. ἵνα] ἵνα μὴ ς. 21. πολλοί] ποικίλοι? 24. οἱ add A. 26. εἰ A: ἢ ς. 27. ἄνδρας πέντε ς. 31. ὄντα] ὄντων A. 38. ἐν om A. 39. καὶ καλ. ς. τοῖς ἄλλοις ὁμόγλωσσοι ς. 41. ἡμίσεος πήχεως ς. b. 1. μέχρις A: μέχρι καὶ ς. 3. μέγα ς. 10. δὲ] τε ς. 11. αἱ βόες καὶ οἱ ὄνοι ς. 12. καὶ οἱ ἡμίονοι ς. 13. κτήνη πάντα A: πάντα ζῶα. 16. ὥσπερ] οἵπερ? λαγωούς ς. 22. σησάμῳ ς. 25. ἀργύρια A. 36. τέσσαρα ς.

Digitized by Google

Πολλὰ δὲ λέγει περὶ τῆς δικαιοσύνης αὐτῶν, καὶ τῆς περὶ τὸν σφῶν βασιλέα εὐνοίας, καὶ τῆς τοῦ θανάτου καταφρονήσεως. λέγει δὲ ὅτι πηγή ἐστι, καὶ ἐπειδάν τις ἀρύσῃ τὸ ὕδωρ αὐτῆς, πήγνυται ὥσπερ τυρός. τούτου οὖν τοῦ πηκτοῦ ὅσον τρεῖς ὀβολοὺς ἐὰν τρίψας δῷς ἐν ὕδατι πιεῖν, ἐξαγγέλλει πάντα ὅσα ἔπραξε· παραφρονεῖ γὰρ καὶ μαίνεται ταύτην τὴν ἡμέραν. χρῆται δὲ αὐτῷ ὁ βασιλεὺς ἐφ' ὧν κατηγορουμένων τἀληθὲς εὑρεῖν ἐθελήσει· κἂν μὲν ἐξείπῃ, προστάσσεται ἀποκαρτερῆσαι, ἂν δὲ μηδὲν ἐλεγχθῇ, ἀφίεται.

Ὅτι φησὶν ὡς Ἰνδῶν οὐδεὶς κεφαλαλγεῖ οὐδὲ ὀφθαλμιᾷ οὐδὲ ὀδονταλγεῖ, οὐδὲ ἑλκοῦται τὸ στόμα, οὐδὲ σηπεδόνα οὐδεμίαν ἴσχει· ἡ δὲ ζωὴ αὐτῶν ρκ' καὶ λ' καὶ ν', καὶ σ' οἱ τὰ πλεῖστα βιοῦντες.

149R. Ἔστιν ὄφις σπιθαμιαῖος ἐν αὐτοῖς, "τὸ δὲ εἶδος αὐτοῦ ὡς ἡ καλλίστη πορφύρα, ἡ δὲ κεφαλὴ λευκοτάτη· ὀδόντας δὲ οὐδ' ὅλως ἔχει. θηρεύεται ἐκ τῶν καυματωδεστάτων ὀρέων, ὅθεν ἡ σαρδὼ ὀρύσσεται. οὗτος δάκνει μεν οὔ, ὅτου δ' ἂν κατεμέσῃ, τοῦτο τὸ χωρίον πάντως σήπεται. ποιεῖ δὲ φάρμακον διττὸν ἀπὸ τῆς οὐρᾶς κρεμάμενος, ἠλεκτροειδὲς καὶ μέλαν. καὶ τὸ μὲν ζῶντος ἀποῤῥεῖ, τὸ δὲ μέλαν θανόντος· καὶ τὸ μὲν ὅσον σήσαμον διδόμεναν, ὃ ζῶντος ἔῤῥευσεν, αὐτίκα φθείρει τοῦ ἐγκεφάλου τοῦ πιόντος διὰ τῶν ῥινῶν ἀποῤῥεύσαντος, τὸ δὲ ἄλλο διδόμενον εἰς φθίσιν ἀπάγει καὶ δι' ἐνιαυτοῦ μόλις διόλλυσι.

Καὶ ὄρνεον, φησίν, ἐπικαλούμενον δίκερον, ὅπερ Ἑλληνιστὶ δίκαιον σημαίνει, τὸ μέγεθος ὅσον πέρδικος ᾠόν, τοῦτο τὸν ἀπόπατον κατορύσσει, ἵνα μὴ εὑρεθῇ· εὑρισκόμενον δὲ ἂν ποθῇ αὐτοῦ ὅσον σησάμου ἕωθεν, ὕπνος ἐπιλαμβάνει, καὶ καθεύδει μηδὲν αἰσθανόμενος, καὶ δύνοντος τοῦ ἡλίου τελευτᾷ. καὶ ξύλον ἐστι, πάρηβον καλούμενον, τὸ μέγεθος ὅσον ἐλαία· ἐν τοῖς βασιλείοις μόνοις εὑρίσκεται κήποις· οὔτε ἄνθος φέρει οὔτε καρπόν, δεκαπέντε δὲ μόνας ῥίζας ἔχει, καὶ ταύτας παχείας κατὰ γῆς. ἔστι δὲ τὸ πάχος αὐτῆς ὅσον βραχίων, τὸ λεπτότατον. αὕτη ἡ ῥίζα ὅσον σπιθαμὴ λαμβανομένη, οὗ ἂν προσαχθῇ, πάντα ἕλκει πρὸς ἑαυτήν, χρυσόν, ἄργυρον, χαλκόν, λίθους, καὶ τἄλλα πάντα πλὴν ἠλέκτρου. εἰ δὲ ὅσον πήχεος ἡ ῥίζα ληφθῇ, ἕλκει καὶ ἄρνας καὶ ὄρνεα· ταύτῃ γὰρ καὶ 79H. τὰ πλεῖστα τῶν ὀρνέων θηρεύουσι. καὶ ἐὰν "βούλῃ καὶ ὕδωρ πῆξαι ὅσον χόα, τῆς ῥίζης ἐμβαλὼν ὅσον ὀβολὸν πήξεις αὐτό, καὶ ἐὰν οἶνον, ὡσαύτως, καὶ ἕξεις τῇ χειρὶ αὐτὸ ὥσπερ κηρόν· τῇ δὲ ὑστεραίᾳ διαχεῖται. δίδοται δὲ κοιλιακοῖς βοήθημα.

Ἔστι δὲ καὶ ποταμὸς διαῤῥέων διὰ τῆς Ἰνδικῆς, οὐ μέγας μέν, ἀλλ' ὡς ἐπὶ δύο σταδίους τὸ εὖρος· ὄνομα δὲ τῷ ποταμῷ Ἰνδιστὶ μὲν Ὕπαρχος, Ἑλληνιστὶ δὲ φέρων πάντα τὰ ἀγαθά. οὗτος τοῦ ἐνιαυτοῦ λ' ἡμέρας ἤλεκτρον καταῤῥεῖ. φασὶ γὰρ ἐν τοῖς ὄρεσι δένδρα εἶναι ὑπερέχοντα τοῦ ὕδατος· ὕδατι γὰρ ῥεῖται τὰ ὄρη· εἶτα ὥρα ἐστὶν ὅτε δάκρυα φέρει, ὥσπερ ἀμυγδαλῆ ἢ πίτυς ἢ ἄλλο τι δένδρον, μάλιστα δὲ εἰς λ' ἡμέρας τοῦ ἐνιαυτοῦ· εἶτα ἀποπίπτει τὰ δάκρυα ταῦτα εἰς τὸν ποταμὸν καὶ πήγνυται. τῷ δενδρέῳ δὲ τούτῳ ὄνομά ἐστιν Ἰνδιστὶ σιπταχώρα· Ἑλληνιστὶ σημαίνει γλυκύ, ἡδύ. κἀκεῖθεν οἱ Ἰνδοὶ συλλέγουσι τὸ ἤλεκτρον. φέρειν δὲ καὶ καρπὸν τὰ δένδρα βότρυς, ὥσπερ ἄμπελος, ἔχειν δὲ τὰς ῥῶγας ὥσπερ κάρυα τὰ Ποντικά.

Ἐν τοῖσδε τοῖς ὄρεσι φησὶν ἀνθρώπους βιοτεύειν κυνὸς ἔχοντας κεφαλήν· ἐσθῆτας δὲ φοροῦσιν ἐκ τῶν ἀγρίων θηρίων, φωνὴν δὲ διαλέγονται οὐδεμίαν, ἀλλ' ὠρύονται ὥσπερ κύνες, καὶ οὕτω συνιᾶσιν αὐτῶν τὴν φωνήν. ὀδόντας δὲ μείζους ἔχουσι κυνός, καὶ τοὺς ὄνυχας ὁμοίους κυνός, μακροτέρους δὲ καὶ στρογγυλωτέρους. οἰκοῦσι δὲ ἐν τοῖς ὄρεσι μέχρι τοῦ Ἰνδοῦ ποταμοῦ. μέλανες δέ εἰσι καὶ δίκαιοι πάνυ, ὥσπερ καὶ οἱ ἄλλοι Ἰνδοί, οἷς καὶ ἐπιμίγνυνται. καὶ συνιᾶσι μὲν τὰ παρ' ἐκείνων λεγόμενα, αὐτοὶ δὲ οὐ δύνανται διαλέγεσθαι, ἀλλὰ τῇ ὠρυγῇ καὶ ταῖς χερσὶ καὶ τοῖς δακτύλοις σημαίνουσιν, ὥσπερ οἱ κωφοί. "καλοῦνται δὲ ὑπὸ τῶν 152R. Ἰνδῶν καλύστριοι, ὅπερ ἐστὶν Ἑλληνιστὶ κυνοκέφαλοι. τὸ δὲ ἔθνος ἐστὶν ἕως δώδεκα μυριάδων. παρὰ δὲ τὰς πηγὰς τοῦ ποταμοῦ τούτου ἐστὶ πεφυκὸς ἄνθος πορφυροῦν, ἐξ οὗ πορφύρα βάπτεται οὐδὲν ἧττων τῆς Ἑλληνικῆς, ἀλλὰ καὶ πολὺ εὐανθεστέρα.

Ὅτι αὐτόθι ἐστὶ γινόμενα θηρία τὸ μέγεθος ὅσον κάνθαρος, ἐρυθρὰ δὲ ὥσπερ κιννάβαρι· πόδας δὲ ἔχει μακροὺς σφόδρα. μαλακὸν δέ ἐστιν ὥσπερ σκώληξ. καὶ γίνεται ταῦτα ἐπὶ τῶν δένδρων τῶν τὸ ἤλεκτρον φερόντων, καὶ τὸν καρπὸν κατεσθίει αὐτῶν καὶ διαφθείρει, ὥσπερ ἐν τοῖς Ἕλλησιν οἱ φθεῖρες τὰς ἀμπέλους. ταῦτα οὖν τὰ θηρία τρίβοντες οἱ Ἰνδοὶ βάπτουσι

a. 11. φησὶν ὡς *A*: φησὶ τῶν ς. 16. δὲ om *A*. 27. δίκαιρον ς. 34. μόνον ς. 40. πήχεως ς, ut solet. 42. καὶ ne habeat *A* an aliud quid, non liquet. b. 15. σιπαχόρα ς. 16. οἱ om *A*. 17. ἴσχει *A*. 19. φασὶν — βιοτεύειν *A*. 24. ὁμοίως κυνῶν ς. 29. ὀρυγῇ ς. 30. post κωφοί cum *A* omisi, quae vulgo adduntur, καὶ ἄλαλοι. 33. τούτου τοῦ ποταμοῦ ς. 34. ἧττον *A*. 37. δὲ post ἐρυθρὰ add *A*.

τὰς φοινικίδας καὶ τοὺς χιτῶνας καὶ ἄλλο ὅ τι ἂν βούλωνται. καὶ εἰσὶ βελτίω τῶν παρὰ Πέρσαις βαμμάτων.

Ὅτι οἱ κυνοκέφαλοι οἰκοῦντες ἐν τοῖς ὄρεσιν οὐκ ἐργάζονται, ἀπὸ θήρας δὲ ζῶσιν· ὅταν δὲ ἀποκτείνωσιν αὐτά, ὀπτῶσι πρὸς τὸν ἥλιον. τρέφουσι δὲ καὶ πρόβατα πολλὰ καὶ αἶγας καὶ ὄνους, πίνουσι δὲ γάλα καὶ ὀξύγαλα τῶν προβάτων. ἐσθίουσι δὲ καὶ τὸν καρπὸν τοῦ σιπταχόρου, ἀφ᾽ οὗ τὸ ἤλεκτρον (γλυκὺς γάρ ἐστι)· καὶ ξηραίνοντες αὐτοὺς σπυρίδας συῤῥάπτουσιν, ὥσπερ ἐν τοῖς Ἕλλησι τὴν ἀσταφίδα. οἱ δὲ κυνοκέφαλοι σχεδίαν ποιησάμενοι καὶ ἐπιθέντες ἀπάγουσι φόρτον τούτου καὶ τῆς πορφύρας, τὸ ἄνθος καθαρὸν 91 H. ποιήσαντες, [καὶ τοῦ ἠλέκτρου] ξ´ καὶ σ´ τάλαντα τοῦ ἐνιαυτοῦ, καὶ ὅτῳ τὸ φοινίκιον βάπτεται, τοῦ φαρμάκου ἕτερα τοσαῦτα. καὶ ἠλέκτρου χίλια τάλαντα ἀπάγουσι κατ᾽ ἐνιαυτὸν τῷ Ἰνδῶν βασιλεῖ. καὶ ἕτερα δὲ κατάγοντες πωλοῦσι τοῖς Ἰνδοῖς πρὸς ἄρτους καὶ ἄλφιτα καὶ ξύλινα ἱμάτια. πωλοῦσι δὲ καὶ ξίφη, οἷς χρῶνται πρὸς τὴν τῶν θηρίων ἄγραν, καὶ τόξα καὶ ἀκόντια· πάνυ γὰρ καὶ δεινοί εἰσιν ἀκοντίζειν καὶ τοξεύειν. ἀπολέμητοι δ᾽ εἰσὶ διὰ τὸ οἰκεῖν αὐτοὺς ὄρεα ἄβατα καὶ ὑψηλά. δίδωσι δὲ αὐτοῖς διὰ πέμπτου ἔτους δῶρα ὁ βασιλεύς, λ´ μὲν μυριάδας τόξων, καὶ ἀκοντίων τοσαύτας, πελτῶν δὲ ιβ´, καὶ ξίφη δὲ πεντακισμύρια. τούτοις τοῖς κυνοκεφάλοις οὐκ εἰσὶν οἰκίαι, ἀλλ᾽ ἐν σπηλαίοις διαιτῶνται. θηρεύουσι δὲ τὰ θηρία τοξεύοντες καὶ ἀκοντίζοντες, καὶ διώκοντες καταλαμβάνουσι· ταχὺ γὰρ τρέχουσι. λοῦνται δὲ αἱ γυναῖκες αὐτῶν ἅπαξ τοῦ μηνός, ὅταν τὰ καταμήνια αὐταῖς ἔλθῃ, ἄλλοτε δ᾽ οὔ· οἱ δὲ ἄνδρες οὐ λοῦνται μέν, τὰς δὲ χεῖρας ἀπονίζονται. ἐλαίῳ δὲ χρίονται τρὶς τοῦ μηνός, τῷ ἀπὸ τοῦ γάλακτος γινομένῳ, καὶ ἐκτρίβονται δέρμασι. τὴν δὲ ἐσθῆτα ἔχουσιν οὐ δασεῖαν, ἀλλὰ ψιλῶν τῶν μαθλημάτων, ὡς λεπτοτάτων, καὶ αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν. οἱ δὲ πλουσιώτατοι αὐτῶν λινᾶ φοροῦσιν· οὗτοι δ᾽ εἰσὶν ὀλίγοι. κλῖναι δὲ αὐτοῖς οὐκ εἰσίν, ἀλλὰ στιβάδας ποιοῦνται. οὗτος δ᾽ αὐτῶν πλουσιώτατος νομίζεται εἶναι, ᾧ ἂν πλεῖστα πρόβατα ᾖ· ἡ δὲ ἄλλη οὐσία παραπλησία. οὐρὰν δὲ ἔχουσι πάντες, καὶ ἄνδρες καὶ γυναῖκες, ὑπὲρ τῶν ἰσχίων, οἵαν περ κύων, μείζονα δὲ καὶ δασυτέραν. καὶ μίσγονται ταῖς γυναιξὶ τετραποδιστί, ὥσπερ οἱ κύνες· ἄλλως 153 R. δὲ μιγῆναι αὐτοῖς ἐστὶν αἰσχρόν. δίκαιοι δέ εἰσι, καὶ μακροβιώτατοι πάντων ἀνθρώπων· ζῶσι γὰρ ἔτη ρ´ καὶ σ´, ἔνιοι δὲ αὐτῶν καὶ σ´.

Ὑπὲρ δὲ τούτων ἑτέρους φασὶ βιοτεύειν, ἄνω τῶν πηγῶν τοῦ ποταμοῦ. οὗτοι δὲ οἱ ἄνθρωποι μέλανες μέν εἰσιν ὥσπερ οἱ ἄλλοι Ἰνδοί, ἐργάζονται δὲ οὐδέν, οὐδὲ ἐσθίουσι σῖτον, οὐδὲ πίνουσιν ὕδωρ, πρόβατα δὲ πολλὰ τρέφουσι, καὶ βοῦς καὶ αἶγας καὶ ὄϊς· πίνουσι δὲ τὸ γάλα, ἄλλο δὲ οὐδέν. ὅταν δὲ γένηταί τινι αὐτῶν παιδίον, οὐ τέτρηται τὴν πυγὴν οὐδὲ ἀποπατεῖ, ἀλλὰ τὰ μὲν ἰσχία ἔχει, τὸ δὲ τρῆμα σύμπεφυκε. διὸ ἀποπατοῦσι μὲν οὔ, οὐρεῖν δὲ ὥσπερ τυρὸν αὐτούς φασιν οὐ πάνυ παχὺν ἀλλὰ θολερόν. ἐπὰν δὲ πρωῒ πίωσι τοῦ γάλακτος, καὶ εἰς μέσον ἡμέρας αὖθις πιόντες, ῥίζαν φασὶ παρ᾽ αὐτοῖς εἶναι γλυκεῖαν, ἥτις οὐκ ἐᾷ τὸ γάλα πήγνυσθαι ἐν τῇ κοιλίᾳ· ταύτην οὖν τρώγοντες εἰς ἑσπέραν ἔμετον ποιοῦνται, καὶ ἐξεμοῦσιν ἅπαντα εὐκόλως.

Ὅτι εἰσὶν ὄνοι ἄγριοι ἐν τοῖς Ἰνδοῖς, ἴσοι ἵπποις καὶ μείζους· λευκοὶ δέ εἰσι τὸ σῶμα, τὴν κεφαλὴν πορφυροῖ, καὶ ὀφθαλμοὺς ἔχουσι κυανέους. κέρας δὲ ἔχει ἐν τῷ μετώπῳ, ἑνὸς πήχεος τὸ μέγεθος. καὶ ἔστι τὸ μὲν κάτω τοῦ κέρατος, ὅσον ἐπὶ δύο παλαιστὰς πρὸς τὸ μέτωπον, πάνυ λευκόν· τὸ δὲ ἐπάνω ὀξύ ἐστι τοῦ κέρατος. τοῦτο δὲ φοινικοῦν ἐστιν, ἐρυθρὸν πάνυ· τὸ δὲ ἄλλο τὸ ἐν τῷ μέσῳ μέλαν. ἐκ τούτων οἱ πιόντες (κατασκευάζουσι γὰρ ἐκπώματα) σπασμῷ, φασίν, οὐ λαμ- 92 H. βάνονται οὔτε τῇ ἱερᾷ νόσῳ, ἀλλ᾽ οὐδὲ φαρμάκοις ἁλίσκονται, οὔτ᾽ ἂν προπίωσιν οὔτ᾽ ἂν τῷ φαρμάκῳ ἐπιπίωσιν ἢ οἶνον ἢ ὕδωρ ἢ ἄλλο τι ἐκ τῶν ἐκπωμάτων. οἱ μὲν οὖν ἄλλοι ὄνοι καὶ ἥμεροι καὶ ἄγριοι καὶ τἄλλα μώνυχα θηρία πάντα ἀστραγάλους οὐκ ἔχουσιν οὐδὲ χολὴν ἐπὶ τοῦ ἥπατος· οὗτοι δὲ καὶ ἀστράγαλον καὶ χολὴν ἐπὶ τοῦ ἥπατος ἔχουσι, τὸν δὲ ἀστράγαλον κάλλιστον ὧν ἐγὼ ἑώρακα, οἷόν περ βοὺς καὶ τὸ εἶδος καὶ τὸ μέγεθος βαρὺς δ᾽ ὡς μόλιβδος, τὴν δὲ χρόαν ὥσπερ κιννάβαρι, καὶ διὰ βάθους. ταχύτατον δὲ ἐστι τὸ ζῶον τοῦτο καὶ ἀλκιμώτατον· οὐδὲν δὲ οὔτε ἵππος οὔτε ἄλλο τι διωκόμενον καταλαμβάνει. ἄρχεται δὲ τρέχον βραδύτερον· ὅσον δ᾽ ἂν πλέον χρόνον τρέχῃ, ἐντείνεται δαιμονίως καὶ μᾶλλον καὶ θᾶσσον τρέχει. ἄλλως μὲν οὖν ἀθήρατόν ἐστι τὸ ζῶον τοῦτο· ὅταν δὲ τὰ τέκνα μικρὰ ὄντα

a. 2. καὶ εἰσὶ A: εἰσὶ δὲ καὶ ς. 7. ὄνους A: ὄϊς ς. 11. σταφίδα ς. 12. ἐπάγουσι A. 14. ἠλέκτρου om pr A. 15. ὅτῳ] οὕτω ς. 30. αὐτῆς ς. 32. χρῶνται ς. b. 5. τούτους ς. βιωτεύειν A. 6. οὗτοι A: αὐτοὶ ς. οἱ] καὶ οἱ ς. 21. καὶ et ἔχουσι om A. 26. πίνοντες ς. 29. τοῦ φαρμάκου A. 32. οὐκ ἔχουσιν add rc A. 33. οὗτοι] ἔχουσιν αὐτοὶ ς. 40. πλείονα Stephanus. 41. οὖν om A.

Digitized by Google

περιάγωσιν ἐπὶ τὴν βοτάνην καὶ ὑπὸ ἱππείας πολλῆς περιληφθῶσιν, οὐ βούλονται φεύγειν καταλιπόντες τοὺς πώλους, ἀλλὰ μάχονται καὶ κέρατι καὶ λακτίσμασι καὶ δήγμασι, καὶ πολλοὺς καὶ ἵππους καὶ ἄνδρας ἀπολλύουσιν, ἁλίσκονται δὲ καὶ αὐτοὶ τοξευόμενοι καὶ ἀκοντιζόμενοι· ζῶντα γὰρ οὐκ ἂν λάβοις. τὰ δὲ κρέα διὰ τὴν πικρότητα ἄβρωτά ἐστι. θηρεύεται δὲ τῶν κεράτων καὶ τῶν ἀστραγάλων ἕνεκεν.

Ὅτι ἐν τῷ ποταμῷ τῶν Ἰνδῶν σκώληξ γίνεται τὸ μὲν εἶδος, οἷόν περ ἐν ταῖς συκαῖς εἴωθε γίνεσθαι, τὸ δὲ μῆκος πήχεις ἑπτά, καὶ μείζους δὲ καὶ ἐλάττους· τὸ δὲ πάχος δεκαετέα παῖδα μόλις φασὶ ταῖς χερσὶ περιλαβεῖν. ἔχουσι δὲ ὀδόντας δύο, ἕνα ἄνω καὶ ἕνα κάτω· 156 R. καὶ ὅ τι ἂν λάβωσι τοῖς ὀδοῦσι, κατεσθίουσι. καὶ τὴν μὲν ἡμέραν ἐν τῇ ἰλύϊ τοῦ ποταμοῦ διαιτῶνται, τῇ δὲ νυκτὶ ἐξέρχονται, καὶ ἐάν τινι ἐντύχῃ ἐν τῇ γῇ βοῒ ἢ καμήλῳ καὶ δάκῃ, συλλαβὼν ἕλκει εἰς τὸν ποταμόν, καὶ πάντα κατεσθίει πλὴν τῆς κοιλίας. ἀγρεύεται δὲ ἀγκίστρῳ μεγάλῳ, ἔριφον ἢ ἄρνα ἐνδησάντων καὶ ἁλύσεσι σιδηραῖς ἐναρμοσάντων. ἀγρεύσαντες δὲ τριάκοντα ἡμέρας κρεμῶσιν αὐτὸν καὶ ἀγγεῖα ὑποτιθέασι, καὶ ῥεῖ ἐξ αὐτοῦ ὅσον δέκα κοτύλας Ἀττικὰς τὸ πλῆθος. ὅταν δὲ παρέλθωσιν αἱ τριάκοντα ἡμέραι, ἀποῤῥίπτουσι τὸν σκώληκα, καὶ τὸ ἔλαιον ἀσφαλισάμενοι ἄγουσι τῷ βασιλεῖ μόνῳ τῶν Ἰνδῶν· ἄλλῳ δὲ οὐκ ἔξεστιν ἐξ αὐτοῦ ἔχειν. τοῦτο τὸ ἔλαιον, ἐφ' ὃ ἂν ἐπιχυθῇ, ἀνάπτει, καὶ καταφλέγει ξύλα καὶ ζῶα, καὶ ἄλλως οὐ σβέννυται εἰ μὴ πηλῷ πολλῷ τε καὶ παχεῖ.

Ὅτι ἐστὶ δένδρα ἐν Ἰνδοῖς ὑψηλὰ ὥσπερ κέδρος ἢ κυπάριττος, τὰ δὲ φύλλα ὥσπερ φοῖνιξ, ὀλίγον πλατύτερα· καὶ μασχαλίδας οὐκ ἔχει. ἀνθεῖ δὲ ὥσπερ ἡ ἄρσην δάφνη, καρπὸν δ' οὐκ ἔχει. ὀνομάζεται δὲ Ἰνδιστὶ μὲν κάρπιον, Ἑλληνιστὶ δὲ μυρορόδα. ἔστι δὲ σπάνια. ῥέουσι δὲ ἐξ αὐτοῦ ἐλαίου σταγόνες, οὓς ἐρίῳ ἀναψῶντες ἀπὸ τοῦ δένδρου ἀποπιέζουσιν εἰς ἀλαβάστρους λιθίνους. ἔστι δὲ τὸ μὲν χρῶμα ἀτρέμας ὑπέρυθρον καὶ 93 H. ὑπόπαχυ, ὄζει δὲ πάντων ἥδιστον· ὄζειν δέ φασιν αὐτὸ καὶ ἐπὶ πέντε σταδίους. μόνῳ δὲ βασιλεῖ κτητόν ἐστι τοῦτο καὶ τοῖς συγγενέσιν αὐτοῦ. καὶ ἔπεμψεν ὁ Ἰνδῶν τῷ Περσῶν βασιλεῖ, καί φησιν ἰδεῖν αὐτὸ Κτησίας, καὶ ὀσφρανθῆναι ὀσμῆς οἵας οὔτε εἰπεῖν ἦν οὔτε εἰκάσαι.

Ὅτι τὸν τυρὸν καὶ τὸν οἶνον πάντων φησὶ γλυκύτατον, ὡς αὐτός, φησί, φαγὼν διὰ πείρας ἔμαθεν.

Ὅτι κρήνην ἐν Ἰνδοῖς φησίν, ὅσον πέντε ὀργυιῶν ἡ περίμετρος, τετράγωνος δέ. ἔστι δὲ τὸ ὕδωρ ἐν πέτρᾳ· βάθος δὲ εἶναι μέχρι τοῦ ὕδατος τριῶν πηχῶν, τὸ δὲ καθ' ὕδατος τριῶν ὀργυιῶν. λούονται δὲ ἐν αὐτῷ οἱ ἐπισημότατοι τῶν Ἰνδῶν, καὶ ἄνδρες καὶ παῖδες καὶ γυναῖκες· κολυμβῶσι δὲ ἐπὶ πόδας ῥίπτοντες ἑαυτούς. ὅταν δὲ εἰσπηδῶσιν, ἐκβάλλει αὐτοὺς τὸ ὕδωρ ἄνω. οὐκ ἀνθρώπους δὲ μόνον ἀναῤῥίπτει, ἀλλὰ καὶ ἄλλο ὅ τι ἂν ᾖ ζῶον ἐκρίπτει εἰς τὸ ξηρόν, καὶ ζῶν καὶ τεθνηκός, καὶ ἁπλῶς πάντα τὰ ἐμβαλλόμενα πλὴν σιδήρου καὶ ἀργύρου καὶ χρυσοῦ καὶ χαλκοῦ· ταῦτα δὲ δέχεται κάτω. ἔστι δὲ τὸ ὕδωρ πάνυ ψυχρὸν καὶ ἡδὺ πιεῖν· ψόφον δὲ παρέχει μέγαν, ὥσπερ ὕδωρ ζέον ἐκ λέβητος. καθαίρει δὲ τὸ ὕδωρ τοῦτο ἀλφοὺς καὶ ψωριῶντας. καλεῖται δὲ Ἰνδιστὶ βαλλάδη, Ἑλληνιστὶ δὲ ὠφελίμη.

Εἰσὶν ἐν τοῖς ὄρεσι τοῖς Ἰνδικοῖς, ὅπου ὁ κάλαμος αὐτῶν φύεται, ἄνθρωποι τὸ πλῆθος αὐτῶν ἄχρι καὶ τριῶν μυριάδων. τούτων αἱ γυναῖκες ἅπαξ τίκτουσιν ἐν τῷ βίῳ, καὶ τὰ τικτόμενα ὀδόντας ἔχει καὶ τὰ ἄνω καὶ τὰ κάτω πάνυ καλούς· καὶ τὰς τρίχας τάς τε ἐν τῇ κεφαλῇ καὶ ταῖς ὀφρύσι πολιὰς ἔχει πάντα ἐκ γενετῆς, καὶ τὰ θήλεα καὶ τὰ ἄῤῥενα. μέχρι μὲν οὖν λ' ἐτῶν λευκὰς ἔχει ἕκαστος τῶν ἀνθρώπων ἐκείνων τὰς τρίχας καθ' ὅλου τοῦ σώματος, ἄρχονται δὲ ἐκεῖθεν μελαίνεσθαι· ἑξήκοντα δὲ ἐτῶν γενομένους ἔστιν ἰδεῖν αὐτοὺς πάσας ἔχοντας μελαίνας. ἔχουσι δὲ οὗτοι οἱ ἄνθρωποι 157 R. ἀνὰ ὀκτὼ δακτύλους ἐφ' ἑκατέρᾳ χειρί, ὡσαύτως ἀνὰ ὀκτὼ καὶ ἐπὶ τοῖς ποσί, καὶ ἄνδρες καὶ γυναῖκες ὡσαύτως. εἰσὶ δὲ σφόδρα πολεμισταί, καὶ βασιλεῖ τῶν Ἰνδῶν ἕπονται τοξόται τούτων πεντακισχίλιοι καὶ ἀκοντισταί. τὰ δὲ ὦτά φησι τηλικαῦτα ἔχειν, ὥστε τοὺς βραχίονας αὐτῶν ὑπ' αὐτῶν καλύπτεσθαι μέχρι τῶν ἀγκώνων, καὶ ὄπισθεν τὸν νῶτον ὑπ' αὐτὰ συγκαλύπτειν· τὸ δὲ οὖς τὸ ἕτερον τοῦ ἑτέρου θιγγάνει.

Ταῦτα γράφων καὶ μυθολογῶν Κτησίας λέγει τἀληθέστατα γράφειν, ἐπάγων ὡς τὰ μὲν αὐτὸς ἰδὼν γρά-

a. 3. κέρασι ς. 9. malim τῷ Ἰνδῷ. 11. πήχεων ς. 16. ἐάν τινι ἐντύχῃ A: τούτων ὃς ἂν ἐντύχῃ τινὶ ς. 19. ἐνδησάντων τῷ ἀγκίστρῳ καὶ ς. 21. αὐτὸ A. 26. ὃ] ᾧ A. 30. κυπάρισσος ς. 34. οὓς] nonne ἃς? ἀνάψαντες ς. 39. καὶ ἔπεμψεν A: ἔπεμψε δὲ ἐξ αὐτοῦ ς. 40. φασιν ς. b. 5. κρήνη ς. 6. τετράγωνος om. ς. 15. καὶ ἀργύρου post χαλκοῦ ponit ς. 20. ἔστιν A. 24. τὰ add A. καὶ τρίχας ἔν τε τῇ ς. 25. πολιὰς A: πεπολιωμένας ς. 26. θήλεια ς. 28. καθ'] καὶ A: δι' ς. 29. γινομένους ς. 30. post μελαίνας cum A omisi τρίχας. 31. ἑκάστῃ ς. 37. ὑπ' αὐτὰ A: ἅπαντα ς.

φειν, τὰ δὲ παρ' αὐτῶν μαθὼν τῶν ἰδόντων, πολλὰ δὲ τούτων καὶ ἄλλα θαυμασιώτερα παραλιπεῖν διὰ τὸ μὴ δόξαι τοῖς μὴ τεθεαμένοις ἄπιστα συγγράφειν. ἐν οἷς καὶ ταῦτα.

## 73.

Ἀνεγνώσθη ἩΛΙΟΔΩΡΟΥ Αἰθιοπικόν. ἔστι δὲ τὸ σύνταγμα δραματικόν, φράσει δὲ πρεπούσῃ τῇ ὑπο-
94 H. θέσει κέχρηται· καὶ γὰρ ἀφελείᾳ καὶ γλυκύτητι πλεονάζει. καὶ πάθεσι δὲ τὰ μὲν παροῦσι, τὰ δὲ ἐλπιζομένοις, τὰ δὲ καὶ ἀνελπίστοις διαποικίλλεται ἡ διήγησις, καὶ παραδόξοις ἐκ συμφορῶν σωτηρίαις, λέξεσί τε εὐσήμοις καὶ καθαραῖς. καὶ εἴ που, ὡς εἰκός, καὶ ταῖς εἰς τροπὴν κλινούσαις ἀποχρήσαιτο, εὔσημοί τέ εἰσι καὶ ἐναργῶς παριστῶσαι τὸ προκείμενον. περίοδοι σύμμετροι καὶ πρὸς τὸ βραχύτερον οἷα δὴ συστελλόμεναι, καὶ ἡ συνθήκη δὲ καὶ τἆλλα τῷ λόγῳ ἀνάλογα.

Ἔρωτα μὲν ἀνδρὸς ὑφαίνει καὶ γυναικός, σωφροσύνης δὲ δείκνυσι πόθον καὶ φυλακὴν ἀκριβῆ. καὶ ἔστιν αὐτῷ ἡ τοῦ δράματος ὑπόθεσις Χαρίκλεια καὶ Θεαγένης, σώφρονες ἀλλήλων ἐρασταί, καὶ πλάνη τούτων καὶ αἰχμαλωσία παντοδαπὴ καὶ φυλακὴ τῆς σωφροσύνης. τὰ δὲ ἐμφερόμενα ὀνόματα καὶ ὡς ἐν κεφαλαίῳ τὰ πάθη καὶ αἱ πράξεις, ἑορτὴ Ἀθηναίων καὶ Χαρίκλεια ἱερατεύουσα καὶ Θεαγένης σταδιοδρόμος, καὶ πρὸς ἀλλήλους ἔρως ἀπὸ τῆς ὄψεως, καὶ νόσος Χαρικλείας ἀπὸ τοῦ ἔρωτος, καὶ ἁρπαγὴ ταύτης ἑκούσης ἀπὸ Χαρικλέους, ὃς ἐνομίζετο αὐτῇ πατήρ· Θεαγένης δ' ἦν ὁ ἡρπακὼς διὰ Καλασίριδος. ἀπόπλους καὶ κατάπλους ἐπὶ Ζάκυνθον, καὶ ἔρως τοῦ ναυάρχου πρὸς Χαρίκλειαν, καὶ πεπλασμένη παρὰ Καλασίριδος τοῦ γάμου ὑπόσχεσις, καὶ κατάλυσις παρὰ τὸν αἰγιαλὸν τῶν περὶ Χαρίκλειαν, καὶ μήνυσις παρὰ τοῦ ὑποδεξαμένου ἁλιέως ὅτι Τραχινὸς ὁ λῄσταρχος ἁρπαγὴν τῆς κόρης βουλεύεται, καὶ ἀπόπλους διὰ τοῦτο Καλασίριδος καὶ τῶν περὶ Χαρί-
160 R. κλειαν, καὶ ἐπιδίωξις Τραχινοῦ, καὶ κατάληψις τῆς νεώς, καὶ ἔρως Τραχινοῦ, καὶ ὑπόκρισις εἰς συγκατάθεσιν Χαρικλείας, καὶ ἐξαίτησις Θεαγένους ὡς ἀδελφοῦ, ὡς δὲ πατρὸς Καλασίριδος, καὶ ἐκπλήρωσις τῆς αἰτήσεως, καὶ τρικυμία θαλάσσης, καὶ διαφυγὴ ναυαγίων, καὶ προσόρμησις μέρεσί τισι τῆς Αἰγύπτου, καὶ Τραχινὸς τοῦ γάμου Χαρικλείας μιμνησκόμενος, καὶ Καλάσιρις ὁ δῆθεν πατὴρ ὑπισχνούμενος, καὶ ἀπάτη, καὶ γαμήλιος εὐωχία, καὶ Πέλωρος ἔρως Καλασίριος παροτρύνοντος, καὶ ἔρις Τραχινοῦ καὶ Πελώρου περὶ Χαρικλείας, καὶ τέλος σφαγὴ καὶ ἀπώλεια παρ' ἀλλήλων τῶν λῃστῶν συνεργούσης καὶ Χαρικλείας τῇ ἐκείνων ἀπωλείᾳ τοῖς τοξεύμασι, καὶ θρῆνος Χαρικλείας ἐπὶ Θεαγένην τραύμασι κείμενον. λῃστῶν πάλιν ἄλλων ἔφοδος, καὶ τούτων ἐπὶ Χαρικλείᾳ ἔκπληξις, εἶτα σύλληψις αὐτῆς καὶ Θεαγένους, καὶ ἀπαγωγὴ πρὸς Θύαμιν, ὃς ἐπῆρχε τῶν βουκόλων λῃστῶν· τοῦτο γὰρ αὐτοῖς ὄνομα, ὅσοι τὴν νῆσον ᾤκουν. ἐρᾷ πάλιν Θύαμις Χαρικλείας, καὶ ὁ Θεαγένης εἰς ἀδελφὸν ὀνομάζεται. ἐπιδρομὴ κατὰ τῶν βουκόλων καὶ πόλεμος, καὶ σφαγὴ τῶν βουκόλων, καὶ φυγὴ Θυάμιδος, καὶ φυγὴ Ἑρμούθιος. Κνήμων καὶ Θεαγένης· καὶ ἐν τῷ σπηλαίῳ Χαρίκλεια, καὶ Θίσβη κατὰ τὰς εἰσόδους τοῦ σπηλαίου ἐσφαγμένη καὶ κειμένη νεκρά, καὶ Θεαγένους ὡς ἐπὶ Χαρικλείᾳ πένθος ἀφόρητον, ἕως ἔνδοθεν Χαρίκλεια ἀνεβόησε· καὶ ἀπορία 95 H.
ἐπὶ τῆς Θίσβης τῇ σφαγῇ, καὶ Ἑρμούθις ἐπ' αὐτῇ ὀδυρόμενος. καὶ ἀποπορεία Κνήμωνος καὶ Ἑρμούθιος, καὶ δι' ἑτέρας Χαρικλείας καὶ Θεαγένους, καὶ Κνήμων ἀπολιμπάνων Ἑρμουθιν. καὶ συνάντησις Καλασίριος καὶ Κνήμωνος, καὶ διήγησις τῶν συμπεσόντων ἀλλήλοις, Κνήμων μὲν περὶ Θίσβης καὶ Δημαινέτης τῆς μητρυιᾶς καὶ τοῦ ἐξοστρακισμοῦ καὶ τῆς ἄλλης δυστυχίας, Καλάσιρις δὲ περὶ Χαρικλέους καὶ περὶ Χαρικλείας καὶ Θεαγένους. καὶ θρῆνος ἐπὶ τούτοις. εἶτα Κνήμων εὐαγγελιζόμενος ὅτι σώζοιτο Χαρίκλεια καὶ Θεαγένης, καὶ ὅτι Θύαμις αὐτόν τε κἀκείνους εἶχε. Ναυσικλῆς ἄγων Χαρίκλειαν, παρ' ᾧ καὶ Καλάσιρις ᾤκει, ἐν ὀνόματι Θίσβης· καὶ ταραχὴ διὰ Θίσβην Κνήμωνος (ᾔδει γὰρ αὐτὴν τεθνηκυῖαν) καὶ χαρὰ ἐπὶ Χαρίκλειαν. ἐπιζήτησις πρώτη Θεαγένους, καὶ γάμος Κνήμωνος καὶ Ναυσικλείας. καὶ ἀποδημία Καλασίριος σὺν Χαρικλείᾳ ἐπὶ τὴν Θεαγένους ζήτησιν. καὶ γραῦς καταλαμβανομένη ἐπὶ παιδὶ κατὰ πόλεμον πεσόντι κωκύουσα καὶ μαγγανείαις τὸν τοῦ παιδὸς ἐπερωτῶσα νεκρόν· καὶ Χαρίκλεια

a. 1. ἰδόντων A: εἰδότων ς. 3. τεθεαμένοις A: ταῦτα θεασαμένοις ς. ἐν οἷς καὶ ταῦτα om C. addit mg rc A: ἐθέλω μὲν ψεύδεσθαι λέγειν καὶ αὐτὸς τὸν τοιοῦτον Κνίδιον συγγραφέα· ἀλλ' ἐξ ὧν ἀπισχυρίζονται οἱ παρὰ τοῖς ἀνατολικωτέροις μέρεσιν ἐμφιλοχωρήσαντες ἡμέτεροι ἱερωμένοι, καὶ τοῦ νεκροῦ δὲ σώματος, ὃ οὐ πρὸ πολλοῦ Ἰταλοί τινες διεκόμισαν ἐνταυθοῖ, ἀνθέλκομαι φάναι ἴσως ἀληθεύειν αὐτόν. 6. αἰθιοπικά ς: cf. cod. 94 Ἰαμβλίχου δραματικόν. 10. καὶ ante ἐλπιζ. ponit ς. 11. ἐκ] δὲ ἐκ ς. 15. πρὸς A: εἰς ς. συστελλόμεναι add A. 27. πατήρ. καὶ Θεαγ. ς. 30 et 32. παρὰ A: περὶ ς. b 4 et 36. Καλασίριδος ς. 8. malim Θεαγένει — κειμένῳ. 16. Κνήμονος καὶ Θεαγένους ς. 18. καὶ add A. 19. ὡς delet A. 21. τῇ σφαγῇ Hoeschelius: libri τῆς σφαγῆς. 22. ἀπορία ς. 26. Δημαινέτης ς. 32. ἐν] ἐν τῷ ς. 33. Θίσβης ς. 34. immo Χαρικλείᾳ. 38. παιδίῳ ς, μαγγανίαις ς.

Digitized by Google

καὶ Καλάσιρις ὁρῶντες τὰ ποιούμενα. ἐρώτησις πάλιν βιαία πρὸς τὸν νεκρόν, εἰ περισωθείη αὐτῇ ὁ ἕτερος υἱός· καὶ ἀρὰ κατὰ τῆς μητρός, ὅτι βιάζεται καὶ ὅτι πράττει ἀθέμιστα, καὶ ὅτι καὶ ὁ ἕτερος υἱὸς σφαγήσεται, αὐτὴ δὲ πρὸ ἐκείνου ἀνθ᾽ ὧν ἀθέμιτα εἰς τὸν νεκρὸν ἔδρασε. καὶ σφαγὴ τῆς γραός, κλάσματι δορατίου ἑκούσης περιπεσούσης. Θύαμις καὶ Θεαγένης ϗ τὸ ἄλλο λῃστρικὸν σύνταγμα ἐπὶ πόλιν Αἰγυπτίων Μέμφιν, ἐπὶ ἀναζητήσει τῆς ἱερωσύνης, ἣν αὐτὸν ἀφελὼν ὁ νεώτερος εἶχεν ἀδελφὸς Πετόσιρις· ϗ θόρυβος περὶ τὴν πόλιν. καὶ Ἀρσάκη προκαθημένη καὶ παύειν 161 R. ἐπιχειροῦσα τὸν πόλεμον, "ϗ μονομαχεῖν ἀλλήλοιν τοῖν ἀδελφοῖν ἐπιτρέπουσα, καὶ τῷ νικῶντι τὴν ἱερωσύνην ἁρμόζειν δικάζουσα. μάχη τῶν ἀδελφῶν καὶ ἄκοντος Πετοσίριος· ἄπειρος γὰρ οὗτος ἦν πολέμου, Θύαμις δὲ ἐγεγόνει ἐμπειρότατος. διὸ καὶ τρέπεται τὸν ἀδελφόν· ὁ δὲ πάντα ῥίψας φεύγει, καὶ ἐπιδιώκει Θύαμις, καὶ κυκλοῦται πολλάκις ἡ πόλις ὑπὸ τοῦ δρόμου. καὶ παρέπεται Θεαγένης Θυάμιδι, καὶ ἐρᾷ τοῦτον ἰδοῦσα Ἀρσάκη ἡ Ὀροονδάτου γυνή. ϗ καταλαμβάνει Καλάσιρις ϗ Χαρίκλεια. καὶ ὁ μὲν ἰδὼν τοὺς παῖδας κατ᾽ ἀλλήλων φονῶντας (παῖδες γὰρ Καλασίριδι Θύαμις ϗ Πετόσιρις) προστρέχει, ἀναβοᾷ, μόλις ἐπέχει τὸν θάνατον μόλις τῶν παίδων αὐτὸν ἐπεγνωκότων· ἡ δὲ Χαρίκλεια ἐπιπίπτει Θεαγένει. καὶ τοῦ πολέμου συσταλέντος δέχεται Θύαμις τὴν ἱερωσύνην παρὰ πατρός, αὐτὸς δὲ τελευτᾷ. ἄλλη πάλιν ἐπιβουλὴ Ἀρσάκης κατὰ τῶν νεανιῶν Θεαγένους καὶ Χαρικλείας, καὶ Κυβέλης τῆς θεραπαινίδος αὐτῆς πρόθυμος εἰς πάντα ὑπουργία, καὶ πρόσκλησις αὐτῶν ἐπὶ τὴν οἰκίαν Ἀρσάκης, καὶ ἔρως αὐτῆς πρὸς Θεαγένην ἀκατάσχετος, καὶ μηχαναὶ πᾶσαι ϗ μέθοδοι 95 H. κακώσεών τε καὶ θεραπειῶν, καὶ ἐπιβουλὴ "Κυβέλης διὰ φαρμάκου κατὰ Χαρικλείας. σωτηρία Χαρικλείας· καὶ ἀναίρεσις, δι᾽ ὧν ἀναιρεῖν ἐμελέτησε, Κυβέλης. στρέβλωσις ϗ κάκωσις Χαρικλείας καὶ Θεαγένους, ὅτι μὴ συντίθεται πρὸς τὸν Ἀρσάκης ἔρωτα ὁ Θεαγένης· καὶ Χαρικλείας εἰς πῦρ καταδίκη, καὶ τοῦ πυρὸς διὰ τῆς παντάρβης τοῦ λίθου κατάσβεσις, καὶ τῆς Χαρικλείας τέως ἄφεσις, καὶ Ἀρσάκη μαινομένη καὶ θάνατον ἐς αὔριον Χαρικλείᾳ εὐτρεπίζουσα. ἀποστολὴ Ὀροονδάτου τοῦ τῆς Ἀρσάκης ἀνδρός, ϗ ἀνάληψις διὰ τῆς νυκτὸς τῶν νεανιῶν· τοῦτο γὰρ προσετέτακτο, ἐπεὶ ὁ παῖς τῆς Κυβέλης ἀποτυχὼν τοῦ πρὸς Χαρίκλειαν γάμου πάντα, ὅσα τῇ Ἀρσάκῃ διαπέπρακτο, πρὸς τὸν δεσπότην ἀπάρας ἀπήγγειλεν. ἐπίθεσις τῶν Αἰθιόπων, καὶ ἁρπαγὴ Θεαγένους καὶ Χαρικλείας, ϗ πρὸς Ὑδάσπην τὸν βασιλέα τῶν Αἰθιόπων ἀπαγωγή. εἶτα ἀφιέρωσις τούτων εἰς τὸ τυθῆναι, τὴν μὲν τῇ σελήνῃ, τὸν δὲ τῷ ἡλίῳ. εἶτα ἀγῶνες καὶ θυσίαι, ϗ Σισιμίθρου τοῦ πρώτου τῶν γυμνοσοφιστῶν καὶ αὐτῶν παρουσία, καὶ Περσίνης τῆς γυναικὸς τοῦ βασιλέως. καὶ αἴτησις Χαρικλείας ἵνα δικαιολογηθῇ Ὑδάσπῃ, ϗ δικαιολογία, ϗ κρίσις Σισιμίθρου ϗ μαρτυρία ὅτι Χαρίκλεια παῖς εἴη Ὑδάσπου ϗ Περσίνης. πείθεται μόλις Ὑδάσπης. ἀλλὰ καὶ οὕτως ἄγειν ἔμελλεν εἰς θυσίαν, τιμῶν τὸν πάτριον νόμον. ὁ δὲ δῆμος ἀπηγόρευε, ϗ ἀφίεται Χαρίκλεια, καὶ χαρὰ πάντων ἐπὶ τῇ ἀφέσει. ἀγὼν πάλιν ἄλλος Χαρικλείᾳ, Θεαγένης ἔτι δέσμιος ἐπὶ τῇ θυσίᾳ, καὶ λόγοι περὶ αὐτοῦ πρὸς τὸν πατέρα πολλοὶ καὶ ποικίλοι, τοῦ δὲ πατρὸς ἀπόνευσις ἐπὶ τῇ ἀθῳώσει Θεαγένους, ϗ ἀδημονία Χαρικλείας, ϗ πρὸς τὴν μητέρα ἐξαγόρευσις πάντων, ὅσα αὐτῇ συνηνέχθη καὶ Θεαγένει. καὶ ἀριστεία Θεαγένους ἐπὶ τῷ ταύρῳ, ϗ τοῦ δήμου τέρψις. ἔτι ἀριστεία ἐν τῇ πρὸς τὸν Αἰθίοπα τὸν μέγιστον πάλῃ, ϗ νίκη λαμπρά, ϗ κρότος τοῦ δήμου· "ἀλλ᾽ ἔτι πρὸς τὴν θυσίαν ϗ μετὰ τοὺς στεφάνους Θεαγένης 164 R. ἀγόμενος. Χαρικλῆς ἀπὸ Ἀθηνῶν πρὸς αὐτὸ τὸ στάδιον ἐφιστάμενος, καὶ τὸν βασιλέα τὴν νομιζομένην αὐτῷ θυγατέρα αἰτούμενος. καὶ συγκατάθεσις βασιλέως διδόναι, ἂν αὐτὸς εὕρῃ· ὁ δὲ οὐχ ηὕρισκεν, ἁρπαγή τε ὑπὸ αὐτοῦ καὶ συρμὸς Θεαγένους, καὶ βοὴ ὡς οὗτός ἐστιν ὁ τὴν ἐμὴν ἁρπάσας ἐξ Ἀθηνῶν θυγατέρα, ϗ κρίσις, ϗ τέλος ἀθῴωσις ϗ Θεαγένους Σισιμίθρου ἐπικρίναντος ϗ μηκέτι τὴν ἐπ᾽ ἀνθρώπων ὀλέθρῳ θυσίαν γίνεσθαι διατυπώσαντος. εὐφροσύνη ἁπάντων καὶ θυμηδία πολλή, ϗ Θεαγένης ϗ Χαρίκλεια μετὰ μυρίους κινδύνους ἀλλήλους ἀπολαμβάνοντες, καὶ τὰς ἱερωσύνας ἡ μὲν παρὰ τῆς μητρὸς ὁ δὲ παρὰ τοῦ κηδεστοῦ ἐκδεχόμενοι, ϗ θύοντες, ϗ πρὸς τοὺς γάμους εὐτρεπιζόμενοι. ταῦτα δὲ συνέγραψε Φοῖνιξ ἀνὴρ Ἀμινδηνὸς Θεοδοσίου παῖς Ἡλιόδωρος· ἐν οἷς ϗ τὸ τέλος. τοῦτον δὲ καὶ ἐπισκοπικοῦ τυχεῖν ἀξιώματος ὕστερόν φασιν.

a. 1. ὁρῶντες καὶ τὰ ς. 2. αὐτῆς ς. 4. ἀθέμιτα ς. καὶ ante ὁ add *A*. σφαγίζεται ς. 9. αὐτῶν ς. 20. Ὀροδάτου ς. 25. συστάντος ς. 26. περὶ ς. 41. τοῦ add A.
b. 2. διεπέπρακτο ς. 17. περὶ αὐτοῦ vulgo post πατέρα ponunt. 26. ἀφιστάμενος ς. 28. εὕρισκεν ς. 34. Θεαγένους καὶ Χαρικλείας ς. 38. Ἀμινδηνὸς] ἐμισηνὸς corr *A*. 40. ἐπισκόπου ς.

## 74.

97 H. Ἀνεγνώσθησαν ΘΕΜΙΣΤΙΟΥ λόγοι πολιτικοὶ λϛ', ὧν εἰσὶ καὶ οἱ πρὸς Κωνςάντιον τὸν βασιλέα καὶ εἰς Οὐάλεντα καὶ Οὐαλεντινιανὸν τὸν νέον, ἀλλὰ καὶ εἰς Θεοδόσιον, τὺς βασιλεῖς, ἐπαίνυς αὐτῶν καὶ ἐγκώμια περιέχοντες. ἔςι δὲ τὴν φράσιν σαφὴς καὶ ἀπέριττος καὶ ἀνθηρός, καὶ λέξεσι πολιτικαῖς ϗ εἰς τὸ σεμνόν τι ἐπικλινέσαις χρώμενος. ἤκμαζε δὲ μάλιςα ἐν τοῖς Οὐάλεντος χρόνοις, ὡς κἀκ τῶν αὐτοῦ λόγων δῆλον· ἐπὶ δὲ Κωνςαντίυ ἔτι νέος ἦν, ὑφ' ὗ καὶ ἐνετάγη τῇ τῶν Ῥωμαίων γερυσίᾳ, ὡς καὶ ἡ πρὸς αὐτὴν τὴν ἐν Ῥώμῃ γερυσίαν ὑπὲρ αὐτῦ παρὰ τῦ βασιλέως ἐπιςολὴ ἀποςαλεῖσα δηλοῖ. πατὴρ δὲ ἦν Θεμιςίυ Εὐγένιος, ϗ αὐτὸς φιλοσοφήσας.

Τύτυ τῦ Θεμιςίυ εἰς πάντα τὰ Ἀριςοτελικὰ φέρονται ὑπομνήματα· ὐ μόνον δὲ ἀλλὰ ϗ μεταφράσεις αὐτῦ εἴδομεν, εἰς τὸ χρήσιμον ἐπιτετμημένας, τῶν τε ἀναλυτικῶν καὶ τῶν περὶ ψυχῆς βιβλίων ϗ τῶν τῆς φυσικῆς ἀκροάσεως καὶ ἑτέρων τοιύτων. εἰσὶ δὲ καὶ εἰς τὰ Πλατωνικὰ αὐτῦ ἐξηγητικοὶ πόνοι, καὶ ἁπλῶς ἐραςὴς ἐςι καὶ σπυδαςὴς φιλοσοφίας.

Ἀνεγνώσθησαν δὲ καὶ ΛΕΣΒΩΝΑΚΤΟΣ λόγοι πολιτικοὶ δεκαέξ. οὗτος δὲ ὁ Λεσβῶναξ

## 75.

Ἀνεγνώσθη ΙΩΑΝΝΟΥ ΤΟΥ ΦΙΛΟΠΟΝΟΥ βιβλιδάριον κατὰ τῶν ἐνθέως δογματισθέντων περὶ τῆς ἁγίας ϗ ὁμουσίυ τριάδος ὑπὸ τῦ ἐν ἁγίοις Ἰωάννυ ἀρχιεπισκόπυ Κωνςαντινυπόλεως, τοῦ ἀπὸ σχολαςικῶν, ἐν τῷ κατηχητικῷ λόγῳ, ὃν εἶπεν ἐπὶ τῆς πρώτης ἐπινεμήσεως βασιλεύοντος Ἰουςίνου. ἔςι δὲ τὴν φράσιν ὅμοιος ἑαυτῷ· σαφής τε γὰρ καὶ ὐδὲν μετέχων τόνου ἢ σεμνότητος. τοῖς ἐπιχειρήμασι δὲ οὐ

165 R. μόνον ἀσεβής, ἀλλὰ ϗ λίαν σαθρὸς ϗ ἀνίσχυρος "καὶ μηδ' ἐπιπολαίῳ φαντασίᾳ τῆς ἀληθείας τὰ οἰκεῖα δυνηθεὶς ἐπιχρῶσαι κατὰ τῆς εὐσεβείας σοφίσματα· φύσεις γὰρ ϗ ὐσίας ϗ θεότητας ϗ θεὺς πλασάμενος, ἐντεῦθεν ἀθυροςόμως πᾶσαν βλασφημίαν τῆς Χριςιανῶν καταχέει πίςεως, τὸ ἓν πόσα σημαίνει σμικρολογῶν· κἀκ τῆς τεχνικῆς αὐτῦ, ὡς οἴεται, ματαιολογίας, μᾶλλον δὲ παιδαριώδυς ἀπειροκαλίας, τὴν θεολογικὴν ἡμῶν ἐξυθενεῖν ἐφρυάξατο μυςαγωγίαν. ὐ μόνον δ' ἐν τύτοις ἐςὶ τοῖς ἐπιχειρήμασιν ἀσθενὴς καὶ ἀνόητος, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν αὐτῦ συντάγμασιν, ὧν ἐςὶν αὐτὸς πατήρ, ἀλλὰ μὴ ἀλλαχόθεν ἐκκλέψας τὰς εὑρέσεις ὑπεβάλλετο, λίαν ἐςὶν ἀπῳκισμένος τῶν συνιδεῖν ἐχόντων τὸ ψεῦδος ἢ τἀληθὲς καὶ τῶν εἰς δριμύτητα τεινόντων νοημάτων ἐφάψασθαι. ἃ δ' ἐςὶν αὐτῷ ὑποβολιμαῖα, σώζει μὲν τῶν φύντων τὸν χαρακτῆρα, πλὴν ἔςι καὶ ἃ τῇ μοχθηρᾷ παρ' αὐτῦ διαίτῃ ϗ διασκευῇ τῦ λόγυ τὸ γενναῖον καὶ ἀῤῥενωπὸν τῶν γεννησαμένων ἀπεβάλλετο, καὶ ἔςιν ὥσπερ σύνθετα, φυὴν μὲν ἄριςα, τροφῇ δὲ καὶ διαίτῃ τὸ νόθον ϗ μοχθηρὸν ὑποφαίνοντα. πλὴν ἀλλ' ἔν γε τύτῳ τῷ λόγῳ ϗ πατέρων ῥήσεις παραφέρει, τῦ τε θεολόγυ Γρηγορίυ καὶ τῦ μεγάλυ Βασιλείυ Ἀθανασίυ τε τῦ πολυάθλυ καὶ τῦ ἐν ἁγίοις Κυρίλλυ· ἀλλ' ὐδὲν αὐτῷ συντελῦσιν ὐδ' αὗται εἰς τὸν προκείμενον καὶ ἠσεβημένον σκοπόν.

## 76.

Ἀνεγνώσθη ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ Ἰουδαϊκῆς 98 H.
ἀρχαιολογίας, ἐν λόγοις κ'. ἄρχεται ἀπὸ τῆς Μωϋσέως κοσμογονίας, τὰ πολλὰ συνᾴδων τῇ Μωϋσέως συγγραφῇ, ἔςι δὲ ἔνθα ἀλλοιότερον συγγραφόμενος. κάτεισι δὲ μέχρι τῆς ἀρχῆς τῦ πρὸς Ῥωμαίυς Ἰυδαίων πολέμυ· ἐβασίλευε δὲ τότε τῶν Ἰυδαίων Ἀγρίππας ὁ τῦ Ἀγρίππα τῦ μεγάλου παῖς, ὃς Ἰησῦν τὸν τοῦ Γαμαλιὴλ τὴν ἀρχιερωσύνην ἀφελόμενος δίδωσι Ματθίᾳ τῷ Θεοφίλου. πρῶτος δὲ Ἀντίοχος καὶ ὁ ςρατηγὸς αὐτῦ Λυσίας, ἀφ' ὗ τοῖς Ἰυδαίοις ἀρχιερωσύνης ἐγνώσθη ἀξίωμα, εἰς ταύτην τὴν τολμηρὰν κατέςη ἐγχείρησιν· τὸν γὰρ Ὀνίαν, ᾧ Μενέλαος ἐπίκλην, τὴν ἀρχιερωσύνην ἀφελόμενοι καὶ ἀνελόντες, εἶτα ϗ τὸν παῖδα τῆς διαδοχῆς ἀπελάσαντες, καθιςᾶσιν Ἰάκιμον, γένυς μὲν τῦ Ἀαρῶνος, ὐκ ὄντα δὲ τῆς οἰκίας ταύτης. πρὸ δὲ τύτυ διὰ βίυ ἀρχιερατεύειν νενόμιςο ἀπὸ Ἀαρῶνος ἀρξάμενος, καὶ παῖς παρὰ πατρὸς τὴν τιμὴν διεδέχετο. τελευτήσαντος δὲ Ἰακίμου, τρισὶν ἐνιαυτοῖς ἀρχιερατεύσαντος, ἔμεινεν ἡ πόλις ἐνιαυτὺς ἑπτὰ χωρὶς ἀρχιερέως. ὁ δὲ τῦ Ἀσαμωναίυ ἔγγονος Ματθίας καὶ οἱ τύτου παῖδες, τὴν προςασίαν τῦ ἔθνυς πιςευθέντες καὶ πολεμήσαντες Μακεδόσιν, Ἰωνάθην ἀρχιερέα καθιςῶσιν. ἐξ ἧς γενεᾶς ἦν καὶ Ἰύδας ὁ ἐπικληθεὶς Ἀριςόβυλος, ὃς καὶ πρῶτος διά-

a. 9. Οὐάλεντος ς. 12. ἀποσταλεῖσα ἐπιςολὴ ς. 29. λόγῳ] αὐτοῦ λόγῳ ς. 36. καὶ θεότητας add A. 37. κατέχεται ς. 39. ὡς οἴεται A: προσθετέοι ς. 41. ἐν τούτοις ἐςὶ τοῖς ἐπιχειρήμασιν A: τύτων τοῖς ἐπιχειρήμασιν ἐςιν ς. b. 3. ὑπεβάλλετο] malim aoristum. 4. λίαν δέ ἐστιν ς. 5. ἐς ς. 10. ἀπεβάλετο margo, nescio an recte. 20. γραφῇ ς. 26. τῷ] τε τοῦ ς. 31. καθιστῶσιν Ἰάκειμον ς. 32. Ἀαρῶν ς. 33. νενόμιστο add A. 34. παρὰ τοῦ πατρὸς ς. 35. Ἰακείμου ς. 37. οἱ — ἔγγονοι C. 38. ματαθίας C.

δημα περιέθετο, ἀρχιερεὺς ὁ αὐτὸς ἅμα καὶ βασιλεὺς χρηματίσας. καὶ ἐπιβιοὺς ἐνιαυτὸν ἕνα, διάδοχον ἔσχε καὶ τῆς βασιλείας καὶ τῆς ἱερατικῆς ἀρχῆς τὸν 168 R. ἀδελφόν, Ἀλέξανδρος αὐτῷ ὄνομα, ὃς ἐπεβίω τῇ ἀρχῇ ἔτη κζ΄. καὶ διέδραμεν ἡ βασιλεία μετὰ τῆς ἀρχιερωσύνης τοῖς ἀπὸ Ἀσαμωναίου σωζομένη μέχρις Ὑρκάνου, ὃν Πομπήϊος ὁ Ῥωμαίων στρατηγός, πορθήσας τὰ Ἱεροσόλυμα, τὴν μὲν βασιλείαν ἀφείλατο, ἀρχιερατεύειν δὲ τοῦ ἔθνους κατέλιπεν· ἄρξας δὲ τὰ πάντα ἔτη τριάκοντα καὶ τρία αἰχμάλωτος ὑπὸ Φαρναβάζου καὶ Πακόρου τῶν τῆς Παρθυηνῆς δυναστῶν γίνεται, καὶ καθίσταται ὑπ' αὐτῶν ὁ τοῦ Ἀριστοβούλου ἀδελφοῦ υἱὸς Ἀντίγονος βασιλεύς. ὃν τρεῖς μῆνας καὶ τρία ἔτη ἄρξαντα Σόσσιος ὁ Ῥωμαίων στρατηγὸς καὶ Ἡρώδης ὁ πρῶτος, ὁ τοῦ Ἀντιπάτρου τοῦ Ἀσκαλωνίτου τοῦ ἱεροδούλου καὶ τῆς Κύπριδος τῆς Ἀραβίσσης παῖς, ἐξεπολιόρκησαν, Ἀντώνιος δὲ εἰς Ἀντιόχειαν ἀναχθέντα ἀνεῖλε. καὶ παύεται τὸ Ἀσαμωναίων γένος, καὶ λαμβάνει τὴν τῶν Ἰουδαίων βασιλείαν παρὰ Ῥωμαίων Ἡρώδης· ὃς τοῖς τυχοῦσι νέμων τὴν ἀρχιερωσύνην καὶ τοῖς διαδόχοις αὐτοῦ τὸ αὐτὸ τοῦτο ποιεῖν ἀρχὴ γέγονε καὶ παράδειγμα. κάτεισιν οὖν, ὥσπερ εἴρηται, ὁ συγγραφεὺς ἐν τοῖς εἴκοσι βιβλίοις, ἀρξάμενος ἀπὸ τῆς κοσμογονίας, μέχρι τῆς ἀρχῆς τοῦ τελευταίου πρὸς Ῥωμαίους Ἰουδαίων πολέμου, καθ' ὃν καιρὸν Ἰουδαίων μὲν ἐβασίλευεν ὑπὸ Ῥωμαίων καταστὰς Ἀγρίππας ὁ τοῦ Ἀγρίππα, ἐπετρόπευε δὲ τῆς Συρίας καὶ Ἰουδαίας Γέσιος Φλῶρος, Ἀλβίνου διάδοχος· οὗ τὴν κακουργίαν καὶ ὠμότητα τὸ Ἰουδαίων 53 H. ἔθνος οὐ φέροντες ἐστασίασαν, κρεῖσσον ἡγησάμενοι ἀθρόον καὶ σὺν ἐλευθερίᾳ ἢ κατ' ὀλίγον καὶ σὺν δουλείᾳ ἀπολέσθαι. δεύτερον δ' ἦν ἔτος τῆς Φλώρου ἐπιτροπῆς, δωδέκατον δὲ τῆς Νέρωνος ἀρχῆς, ὅτε ὁ πόλεμος ἐλάμβανε κίνησιν· ἐν οἷς καὶ τῆς ἱστορίας τὸ πέρας. οἷος δὲ τὴν φράσιν ἐστίν, ἔμπροσθεν εἴρηται.

Ἔστι δὲ ὁ Ἰώσηπος γένος μὲν Ἰουδαῖος, ἱερεὺς καὶ ἐξ ἱερέων τὰ πρὸς πατρὸς ἄνωθεν καταγόμενος, ἐκ βασιλείου δὲ φυλῆς ἀπὸ τῆς μητρός· τῶν γὰρ Ἀσαμωναίου παίδων, οἳ ἐπὶ μακρότατον τῶν ὁμοφύλων ἱεράτευσάν τε καὶ ἐβασίλευσαν, ἡ γεννησαμένη ἀπόγονος. γίνεται δὴ ἐξ αὐτῆς καὶ Ματθίου κατὰ τὸ πρῶτον ἔτος τῆς Γαΐου Ῥωμαίων ἡγεμονίας Ἰώσηπος, ἐκ νέας μὲν φιλολογῶν· περὶ δὲ τὸ ἑκκαιδέκατον ἔτος γεγονὼς ἐπέβαλε καὶ ταῖς παρὰ Ἰουδαίοις αἱρέσεσι (τρεῖς δ' εἰσί) καὶ πάσας εὐτόνως μετῄει ὑπὲρ τοῦ πασῶν πεῖραν εἰληφότα ἑλέσθαι τὴν ἀμείνω. εἰσὶ δ' αἱ αἱρέσεις Φαρισαῖοι, Σαδδουκαῖοι καὶ Ἐσσηνοί· ἃς διελθὼν ἔξεισιν ἐπὶ τὴν ἔρημον, κἀκεῖ συνδιατρίβει ἀνθρώπῳ τινὶ τὸν ἐρημικὸν ἀθλοῦντι βίον ἐπὶ ἔτη τρία. ἦν δὲ τῷ ἀνθρώπῳ ἐσθὴς μὲν ἐκ δένδρων, καὶ τροφὴ τῶν αὐτοφυῶν αἱ βοτάναι, καὶ ψυχροῦ ὕδατος λουτρὸν πολλάκις καὶ τῆς ἡμέρας καὶ τῆς νυκτὸς πρὸς ἁγνείαν. ἐκεῖθεν περὶ τὸ ἐννεακαιδέκατον ἔτος ἐπάνεισι πρὸς τὴν πόλιν, τὴν Φαρισαίων αἵρεσιν στέργων, ἣν καὶ τῇ παρ' Ἕλλησί φασιν ἐοικέναι ἐπιλεγομένῃ Στωϊκῇ. εἶτα περὶ τὸ τριακοστὸν ἔτος πέμπεται παρὰ τῶν Ἱεροσολυμιτῶν τῶν ἐν Γαλιλαίᾳ προνοήσων· ἀρχὴν γὰρ ταραχῆς ἐδέχετο τὰ Ἰουδαίων, πολλαῖς ἀταξίαις ἤδη συναλλοιουμένων. εἶτα καὶ στρατηγὸς τῶν περὶ τὴν Γαλιλαίαν χειροτονηθεὶς εὖ τε προὔστη τοῦ ἔθνους, καὶ μυρίας καὶ ποικιλωτάτας ὑπὸ τῶν ἀντιπολιτευομένων ἐπιβουλὰς ὑποστὰς πάσας ἐξέφυγε, καὶ 169 R. μετρίως τοῖς ἐχθροῖς ἔχων ὑπεξουσίους πολλάκις ἐχρήσατο. καὶ τὸν πρὸς Ῥωμαίους πόλεμον ἄκων ἀναδεξάμενος καὶ ἀνδρείως διενεγκών, ἐν Ἰωταπάτοις ὅμως ζωγρείᾳ Οὐεσπασιανῷ Ῥωμαίων τότε στρατηγοῦντι ἁλίσκεται. εἶτα τυγχάνει λίαν εὐμενοῦς αὐτοῦ τότε τε καὶ ἐπὶ πλέον Ῥωμαίων ἄρξαντος, οὐκ αὐτοῦ δὲ μόνου ἀλλὰ καὶ τῶν παίδων Τίτου καὶ Δομετιανοῦ ἐκ διαδοχῆς βεβασιλευκότων, ὡς καὶ τῆς Ῥωμαϊκῆς τυχεῖν πολιτείας καὶ πάντων ἐν ἀφθονίᾳ καταστῆναι. ἀπηρτίσθη ἡ ἱστορία νϛ΄ ἄγοντι ἐνιαυτόν, Ῥωμαίων Δομετιανοῦ ἔτος τῆς ἀρχῆς ἄγοντος τρισκαιδέκατον.

## 77.

Ἀνεγνώσθη ΕΥΝΑΠΙΟΥ χρονικῆς ἱστορίας τῆς μετὰ Δέξιππον, νέας ἐκδόσεως, ἐν βιβλίοις τεσσαρεσκαίδεκα. ἄρχεται μὲν τῆς ἱστορίας ἀπὸ τῆς Κλαυδίου βασιλείας, ἐς ὃν Δεξίππῳ ἡ ἱστορία καταλήγει, ἀποτελευτᾷ δὲ εἰς τὴν Ὀνωρίου καὶ Ἀρκαδίου τῶν Θεοδοσίου παίδων βασιλείαν, ἐκεῖνον τὸν χρόνον τέλος τῆς ἱστορίας ποιησάμενος, ὃν Ἀρσάκιος μὲν τοῦ χρυσοῦ τῆς ἐκκλησίας στό-

a. 1. ὃ] δὲ ὁ ς. 8. ἀφείλετο ς. 10. ἔτη om A. 13. Σόσσιος ς. cf. Hudson. ad Ioseph. B. Iud. 1. prooem. 9: 18. Ἀσαμωναίου ς. 21. τοῦτο ποιεῖν ἀρχὴ] τοῦτο ἀρχὴ A, τοῦτο ποιεῖν καταλιπὼν ἀρχὴ ς. 31. δ' ἦν A: δὴ ς. 35. ὁ add A. 36. ἐκ βασ. δὲ A: καὶ ἐκ βασ. ς. 40. δὴ A: δὴ οὖν ς. b. 14. φασιν] malim φησιν. cf. Ioseph. Vit. a. extr. 16. προνοησόμενος ς. 19. προέστη ς. 22. μέτριον A. ὑπεξουσίας A, ὑπεξουσίοις ς. 24. Ἰωταπάτοις ς. 25. ζωγρείᾳ corr A: ζωγρίαν ς. 26. τότε τε A: τε τότε ς. 28. κατὰ διαδοχὴν ς. 29. τῶν om A. 31. ἡ] δὲ ἡ ς. 32. ἔχοντος ς. 35. τεσσαρακαίδεκα ς. cf. Boissonad. Eunap. p. XL. 37. Δεξίππου ς.

Digitized by Google

ματος Ἰωάννου ἀπελαθέντος εἰς τὸν ἀρχιερατικὸν θρόνον ἀνηγμένος ἱεράτευεν, ἡ δὲ τοῦ βασιλεύοντος Ἀρκαδίου γυνὴ κατὰ γαστρὸς ἔχουσα καὶ ἀμβλώσασα τὸν
100a H. βίον ἀπέλιπεν. οὗτος δ' Εὐνάπιος Σαρδιανὸς μὲν γένος ἐστὶ (τὰς γὰρ ἐν Λυδίᾳ Σάρδεις ἔσχε πατρίδα), δυσσεβὴς δὲ τὴν θρησκείαν ὢν (τὰ Ἑλλήνων γὰρ ἐτίμα) τοὺς μὲν εὐσεβείᾳ τὴν βασιλείαν κοσμήσαντας παντὶ τρόπῳ καὶ ἀνέδην κακίζων διασύρει, καὶ μάλιστά γε τὸν μέγαν Κωνσταντῖνον, ἐξαίρει δὲ τοὺς δυσσεβεῖς, καὶ τῶν ἄλλων πλέον Ἰουλιανὸν τὸν παραβάτην, καὶ σχεδόν τι τὸ τῆς ἱστορίας αὐτῷ εἰς τὸ ἐκείνου ἐγκώμιον συντεθὲν ἐξεπονήθη. ἐστὶ δὲ καλλιεπὴς τὴν φράσιν, εἰ περιέλοι τις αὐτοῦ τῶν λόγων τὸ ἀλεκτρυονῶδες καὶ ἐλαφωδέστερον καὶ συωδέστερον, καὶ δέκα τοὺς ἱερακώδεις καὶ κορακώδεις καὶ πιθηκώδεις, καὶ τὸ ποταμῶδες δάκρυον, καὶ τὰ ὅμοια· τούτοις γὰρ καὶ τὴν ἄλλην τῶν ὀνομάτων περιλυμαίνεται καὶ διανοθεύει εὐγένειαν. καὶ τροπαῖς μὲν κέχρηται παραβόλως, ὅπερ ὁ τῆς ἱστορίας οὐκ ἐθέλει νόμος· ἀφαιρεῖται δὲ τὸ λυποῦν ἡ τῆς λέξεως ἔμφασις τὰ πολλὰ καὶ ἀστειότης. τῇ συνθήκῃ δὲ καὶ τῷ σαφεῖ πρὸς ἱστορίαν καὶ ταῖς περιόδοις συμμέτρως καὶ οἰκείως ἔχει· πλὴν ἐνιαχοῦ δικανικώτερον μᾶλλον ἢ ἱστορικώτερον μεσοῖ καὶ περιβάλλει τὸν λόγον. νεωτερίζει δ' οὐκ ὀλίγα καὶ περὶ τὰς συντάξεις, πλὴν οὐκ εἰς τὸ ἄχαρι οὐδ' εἰς τὸ ταῖς μεθόδοις λαβὴν ἐπιδοῦναι.

Δύο δὲ πραγματείας τὴν αὐτὴν περιεχούσας ἱστορίαν συνεγράψατο, πρώτην καὶ δευτέραν. καὶ ἐν μὲν τῇ πρώτῃ πολλὴν κατὰ τῆς καθαρᾶς ἡμῶν τῶν Χριστιανῶν πίστεως κατασπείρει βλασφημίαν, καὶ τὴν Ἑλληνικὴν ἀποσεμνύνει δεισιδαιμονίαν, πολλὰ τῶν εὐσεβῶν βασιλέων καθαπτόμενος· ἐν δὲ τῇ δευτέρᾳ, ἣν καὶ νέαν ἔκδοσιν ἐπιγράφει, τὴν μὲν πολλὴν ὕβριν καὶ ἀσέλγειαν, ἣν
172 R. κατὰ τῆς εὐσεβείας ἐσκέδαζεν, ὑποτέμνεται, τὸ δὲ λοιπὸν τῆς συγγραφῆς σῶμα συνείρας νέαν ἔκδοσιν, ὡς ἔφημεν, ἐπιγράφει, ἔτι πολλὰ τῆς ἐκεῖσε λύσσης ὑποφαίνουσαν. ἀμφοῖν δὲ ταῖς ἐκδόσεσιν ἐν παλαιοῖς ἐνετύχομεν βιβλίοις, ἰδίως ἑκατέραν ἐν ἑτέρῳ τεύχει καὶ ἑτέρῳ συντεταγμένην· ἐξ ὧν αὐτῶν καὶ τὴν διαφορὰν ἀναλεξάμενοι ἔγνωμεν. συμβαίνει οὖν ἐν τῇ νέᾳ ἐκδόσει πολλὰ τῶν χωρίων διὰ τὰς γεγενημένας τῶν ῥητῶν περικοπὰς ἀσαφῶς ἐκκεῖσθαι, καίτοι φροντιστής ἐστι τοῦ σαφοῦς· ἀλλ' ὅτῳ τρόπῳ λέγειν οὐκ ἔχω, μὴ καλῶς κατὰ τὰς περικοπὰς ἁρμόσας τοὺς λόγους ἐν τῇ δευτέρᾳ ἐκδόσει τὸν νοῦν λυμαίνεται τῶν ἀναγινωσκομένων. ἐν οἷς καὶ τὸ τέλος.

## 78.

Ἀνεγνώσθη ΜΑΛΧΟΥ σοφιστοῦ Βυζαντιακὰ ἐν βιβλίοις ἑπτά. ἄρχεται μὲν ἐξ οὗ Λέοντα τὸν βασιλέα ἡ νόσος ἐπίεζε, τούτῳ δὲ τῆς βασιλείας ἔτος ἑπτακαιδέκατον παρετείνετο· διέρχεται δὲ τήν τε Ζήνωνος ἀνάρρησιν, καὶ τὴν ὑπερόριον τῆς βασιλείου δόξης διατριβήν, καὶ τὴν Βασιλίσκου ἀνάρρησιν, καὶ τὴν τῆς ἀλουργίδος ἀπόθεσιν, καὶ τὴν ἐπὶ τῇ βασιλείᾳ πάλιν κάθοδον Ζήνωνος, τήν τε τοῦ προειρημένου Βασιλίσκου διὰ ξίφους ἀναίρεσιν, ἧς καὶ γυνὴ καὶ τέκνα παρανόμῳ κρίσει ἐκοινώνησαν. καὶ ὅτι Ἁρμάτος ὁ Ζήνωνα κατάγων τοιαύτης ἀντιμισθίας ἀπώνατο, διὰ Ὀνούλφου δεξάμενος τὴν σφαγήν. διαλαμβάνει δὲ καὶ τὴν Θευ- 101 H
δερίχου τοῦ Ὀτριαρίου στάσιν, καὶ τὴν Θευδερίχου τοῦ Μαλαμείρου φιλίαν, καὶ τὸν πρὸς τὸν τοῦ Ὀτριαρίου Θευδέριχον πόλεμον, καὶ τὴν κατὰ Ζήνωνος πάλιν στάσιν, καὶ τὴν Μαρκιανοῦ ἐπανάστασιν, καὶ πρό γε τούτου τὴν τῆς πενθερᾶς Βηρίνης ἐπιβουλήν, καὶ τὴν διὰ τοῦτο φυγαδείαν τὴν ἀΐδιον, καὶ τὴν κατὰ Ἴλλου πρότερον ἐπιβουλὴν Βηρίνῃ συσκευασθεῖσαν, καὶ τὴν Ἐπιδάμνου ὑπὸ Θευδερίχου τοῦ Μαλαμείρου ἐν δόλῳ κατάσχεσιν. ταῦτα διεξιὼν διέξεισι καὶ τὰ ἐπὶ Ῥώμης, καὶ τέλος τοῦ ἑβδόμου λόγου ποιεῖται τὸν Νέπωτος θάνατον, ὃς ἐκβαλὼν τῆς ἀρχῆς Γλυκέριον τήν τε Ῥωμαϊκὴν ἰσχὺν περιεβάλετο, καὶ εἰς σχῆμα κείρας κληρικοῦ ἀντὶ βασιλέως ἀρχιερέα κατέστησεν· ὑφ' οὗ καὶ ἐπιβουλευθεὶς ἀνῄρηται. οὗτοι οἱ ζ' τῆς ἱστορίας λόγοι καὶ προηγουμένους ὑποφαίνουσιν αὐτῷ λόγους ἄλλους διαπεπονῆσθαι· καὶ ἡ ἀπαρχὴ δὲ τῶν ἑπτὰ τοῦ πρώτου λόγου τοῦτο παραδηλοῖ· οὐ μὴν ἀλλὰ καὶ ἑπομένους, εἰ τὸ ζῆν προσῆν τῷ συγγραφεῖ, ὡς τοῦ ἑβδόμου λόγου τὸ πέρας ἐνδείκνυσιν.

Ἔστι δ' ὁ συγγραφεὺς Φιλαδελφεύς, εἴ τις ἄλλος, κατὰ συγγραφὴν ἱστορίας ἄριστος, καθαρός, ἀπέριττος, εὐκρινής, λέξεων ταῖς ἀνθηροτάταις καὶ εὐσήμοις καὶ εἰς ὄγκον τινὰ ἀνηγμέναις χρώμενος· καὶ οὐδὲ αἱ καινοπρεπεῖς αὐτῷ, ὅσαι τὸ ἐμφατικὸν καὶ εὔηχον καὶ μεγαλεῖον ἔχουσι, παραβλέπονται· καὶ ὅλως κανών ἐστιν ἱστορικοῦ λόγου. σο-

a. 14. δέκα] δὴ καὶ Max. Margunius: ῖ A. 19. οὐ θέλει ς. 25. περιόδους ς. 37. quidni ἑκατέρᾳ — συντεταγμένη? b. 3. τὸν γὰρ νοῦν ἐκλαμβάνεται ς. 12. ἐπὶ A: ἐν ς. 15. ἁρμάτιος corr A. 16. ὀνούλφου rc A, ῥοιουλφου vel νοιούλφου pr. 19. τοῦ add A. 20. πάλιν στάσιν A: πάλην ς. 22. διὰ τοῦτο A: τούτου ς. 24. ἐπιδαύρου ς. 28. τε A: τότε ς. 31. προηγουμένως ς. 39. καὶ om A. 41. παραβλέπονται] παραβλέπονται ὥσπερ . . τὸ . . . . . . . καὶ τοιαῦθ' ἕνια A. ὅλος ς.

φιςὴς δ᾽ ἦν τὸ ἐπιτήδευμα, καὶ ῥητορικῆς εἰς ἄκρον ἐληλακώς, κ̀ τὴν θρησκείαν ὐκ ἔξω τῦ χριςιανικῦ θιάσυ.

79.

173 R. Ἀνεγνώσθησαν ΚΑΝΔΙΔΟΥ ἱςορίας λόγοι τρεῖς. ἄρχεται μὲν τῆς ἱςορίας ἀπὸ τῆς Λέοντος ἀναῤῥήσεως, ὃς ἦν ἐκ Δακίας μὲν τῆς ἐν Ἰλλυριοῖς, ςρατιωτικῷ παραγγείλας τάγματι καὶ τελῶν ἄρξας τῶν ἐν Σηλυμβρίᾳ, τὴν βασιλείαν δὲ σπυδῇ Ἄσπαρος ἐγχειρισθείς, ὃς ἦν Ἀλανὸς μὲν γένος, ἐκ νεαρᾶς δὲ ςρατευσάμενος ἡλικίας, καὶ παιδοποιησάμενος ἐκ τριῶν γάμων Ἀρδαβέριον, Πατρίκιον, Ἑρμενάριχον, κ̀ θηλείας δύο. ποιεῖται μὲν ὁ συγγραφεύς, ὡς εἴρηται, ἀρχὴν τῆς ἱςορίας τὴν ἀρχὴν τῆς Λέοντος βασιλείας, τελευτᾷ δ᾽ εἰς τὴν ἀναγόρευσιν Ἀναςασίυ. ἔςι δὲ πατρίδος μὲν Ἰσαυρίας, ὡς αὐτός φησι, τῆς τραχείας, ἐπιτήδευμα δὲ ἔχων ὑπογραφεὺς τῶν ἐν Ἰσαύροις πλεῖςον ἰσχυσάντων. τὴν δὲ θρησκείαν Χριςιανὸς ἦν καὶ ὀρθόδοξος· τήν τε γὰρ τετάρτην σύνοδον ἐπαίνοις ςέφει, κ̀ τὺς κατ᾽ αὐτῆς καινοτομῦντας καθάπτεται δικαίως. τὴν δὲ φράσιν ὐκ ἔχει πρέπυσαν λόγῳ ἱςορικῷ· ταῖς τε γὰρ ποιητικαῖς λέξεσιν ἀπειροκάλως τε κέχρηται κ̀ μειρακιωδῶς, καὶ ἡ συνθήκη αὐτῷ εἰς τὸ τραχύτερον καὶ δύσηχον ἐκδιθυραμβῦται, ὥσπερ αὖ πάλιν εἰς τὸ ἐκλελυμένον τε καὶ ἐκμελὲς ὑπτιάζει. νεωτερίζει δὲ κ̀ ταῖς συντάξεσιν, ὐκ εἰς τὸ γλαφυρὸν μᾶλλον κ̀ ἐπαφρόδιτον, ὥσπερ ἕτεροι, ἀλλ᾽ ὥςε δυσχερὴς ἀκῦσαι κ̀ τῦ ἡδέος ὑπερόριος. πλὴν αὐτὸς ἑαυτῦ πολὺ βελτίων ἐνιαχῦ τοῖς λόγοις πάντα γινόμενος, συμμιγῆ τὴν ἱςο- 102 H. ρίαν καὶ ἐξ ἀνομοιοτάτων ἁρμόζων ἁλίσκεται. ὗτος ἰσχυρίζεται τὴν Ἰσαυρίαν ἀπὸ τοῦ Ἡσαῦ λαβεῖν τὴν ἐπωνυμίαν.

Διέρχεται δὲ ἐν μὲν τῷ πρώτῳ λόγῳ τὴν Ἄσπαρος καὶ τῶν παίδων αὐτῦ δυναςείαν, τὴν ἀνάῤῥησιν διὰ τοῦ Ἄσπαρος Λέοντος, τὸν συμβάντα τῇ πόλει ἐμπρησμόν, καὶ ὅσα Ἄσπαρι περὶ τύτυ ἐπὶ τὸ κοινῇ συμφέρον διαπέπρακται. κ̀ περὶ Τιτιανῦ κ̀ Βιβιανῦ, καὶ ὡς περὶ αὐτῶν διηνέχθη Ἄσπαρ καὶ ὁ βασιλεύς, κ̀ οἷα εἰς ἀλλήλυς ἀπεφθέγξαντο. κ̀ ὡς ὁ βασιλεὺς διὰ τῦτο ἠταιρίσατο τὸ Ἰσαύρων γένος διὰ Ταρασικοδίσσα Ῥυσυμβλαδεώτυ, ὃν κ̀ Ζήνωνα μετονομάσας γαμβρὸν ἐποιήσατο, τὴν προτέραν γυναῖκα θανάτου νόμῳ ἀποβαλόντα. καὶ ὡς Ἀρδαβάριος εἰς τὸ ἐναντίον μελετῶν τῷ βασιλεῖ κ̀ αὐτὸς οἰκειοποιήσασθαι τὺς Ἰσαύρυς διενοήθη· κ̀ ὅτι Μαρτῖνος, οἰκεῖος ὢν Ἀρδαβυρίου, μηνύει Ταρασικοδίσσᾳ ἅπερ Ἀρδαβυρίῳ κατὰ βασιλέως ἐτυρεύετο· κ̀ ὡς ἐντεῦθεν ἐς τὸ τραχύτερον τῆς ἐς ἀλλήλυς ὑπονοίας προϊύσης ἀναιρεῖ Λέων ὁ βασιλεὺς Ἄσπαρα καὶ τὺς παῖδας, Ἀρδαβέριον κ̀ Πατρίκιον τὸν Καίσαρα. ἀλλ᾽ ὁ μὲν Καῖσαρ τῶν πληγῶν ἀνενεγκὼν παραδόξως διεσώθη κ̀ διέζησεν. ἀλλὰ καὶ ὁ ἕτερος τῶν παίδων Ἀρμενέριχος οὐ συμπαρὼν τῷ φύντι τὸν φόνον τότε διέφυγε. Ταρασικοδίσσαν δὲ γαμβρὸν ἐπὶ θυγατρὶ Ἀριάδνῃ Λέων ὁ βασιλεὺς ποιεῖται, καὶ μετονομάζει Ζήνωνα, ςρατηγὸν τῆς ἕω χειροτονήσας. καὶ τὰ κατὰ Ἀφρικὴν Βασιλίσκου εὐτυχήματά τε καὶ δυςυχήματα. καὶ ὡς Λέων πολλὰ βυληθεὶς καὶ διαμηχανησάμενος Ζήνωνα τὸν γαμβρὸν ἀνειπεῖν βασιλέα, τῶν ὑπηκόων μὴ παραδεχομένων, ὐκ ἴσχυσε. καὶ ὡς πρὸ τελευτῆς αὐτῦ τὸν 176 R. ἔγγονον μὲν αὐτῦ ἐκ Ζήνωνος φύντα τῇ Ἀριάδνῃ κ̀ ὡς μετὰ τελευτὴν Λέοντος ὁ παῖς Λέων Ζήνωνα τὸν πατέρα, συναινέσει τῆς βυλῆς, βασιλέα ἔςεψε. λεπτομερής τε τῆς Ἰσαύρων γενεαλογίας ἀφήγησις· καὶ ὡς εἴησαν ἀπόγονοι τῦ Ἡσαῦ, πολλὴ σπυδὴ καὶ διήγησις. ὅπως τε Ζήνων ὑπὸ Βηρίνης ἀπατηθεὶς φεύγει γυναικὶ ἅμα καὶ μητρὶ τῆς πόλεως καὶ τῆς βασιλείας· καὶ ὡς Βηρῖνα, ἐλπίδι τῦ συναφθῆναι Πατρικίῳ τῷ μαγίςρῳ καὶ βασιλεύειν αὐτὸν τὸν γαμβρὸν αὐτῆς φυγαδεύσασα ἐξ ἀπάτης, κ̀ αὐτὴ τῆς ἐλπίδος ἐσφάλη, τῶν ἐν τέλει Βασιλίσκον τὸν αὐτῆς ἀδελφὸν ἀνειπόντων βασιλέα, περί τε τῆς Ἰσαύρων ἐν Κωνςαντινυπόλει ἀμυθήτυ σφαγῆς. καὶ ὡς μετὰ Νέπωτα βασιλέα Ῥώμης Αὐγυςύλον ὁ πατὴρ Ὀρέςης Ῥώμης κατεπράξατο βασιλεύειν. ταῦτα ὁ πρῶτος λόγος.

Ὁ δὲ δεύτερος, ὅπως Πατρίκιος ὁ μάγιςρος, ὁ Βηρίνῃ συμφθειρόμενος, ἐπαγανακτήσαντος αὐτῷ Βασιλίσκυ ἀπεβίω, κ̀ διὰ τῦτο Βηρῖνα δι᾽ ἔχθρας πρὸς τὸν ἀδελφὸν καταςᾶσα, καὶ Ζήνωνι διὰ χρημάτων τὴν τῆς βασιλείας ἀνάληψιν συμπράττυσα, τὰ ἔσχατα ἔπαθεν ὑπὸ τῦ ἀδελφῦ, καὶ εἰ μὴ διέκλεψεν αὐτὴν Ἀρμάτος ἐκ τῦ ναῦ, τάχα ἂν κ̀ διεφθάρη. ὡς Ἀρ- 103 H. μάτος τῇ γαμετῇ συνδιαφθειρόμενος Βασιλίσκυ ἐπὶ μέγα δυναςείας ἤρθη, καὶ ὡς ὕςερον τὸν κατὰ Ζήνωνος πιςευθεὶς πόλεμον ἀπέκλινεν ἐπὶ συνθήκαις δι᾽

a. 2. θειασμοῦ A. 8. δὲ om A. 9. μὲν] μὲν τὸ ς. 13. τῆς ἱς.] τὴν ἱς. A. 19. τοὺς — καινοτομοῦντας A. 36. Τατιανοῦ Labbeus. 39. τὸ] τὸ τῶν ς. 39 et b 3. Ταρασικοδίσσα ς. b. 3. Ἀρδαβούριος ς. 5. ἐπινοίας A. 11. λέων λαβὼν ὁ A. 20. βασ.] καὶ βασ. ς. 26. αὐτῶν ς. 27. αὐτῆς ς. 38. ὑπὸ ς. 39. ἅρματος pr A, ἁρμάτιος corr. ὡς] καὶ ὡς ς. 40. γαμετῇ A: γυναικὶ ς.

Ἴλλου πρὸς αὐτόν, καὶ εὐδοκιμῶν ἐπὶ Ζήνωνος, ὡς καὶ τὸν υἱὸν Βασιλίσκον Καίσαρα ἰδεῖν, ὕστερον ἐκρεουργήθη, καὶ ὁ παῖς ἐκ τοῦ Καίσαρος εἰς τοὺς ἐν Βλαχέρναις ἀναγνώστας ἐτέλεσεν. ὡς πρὸ τούτων Βασιλίσκος Μάρκον τὸν ἴδιον υἱὸν Καίσαρα ἀνεῖπεν, εἶτα καὶ βασιλέα. καὶ ὡς Ἴλλους συνέβη Ζήνωνι εἰς φιλίαν, καὶ πάλιν ἀναλαβεῖν παρεσκεύασε τὴν βασιλείαν, καὶ ὡς καταστασιασθεὶς βασιλεὺς σὺν τῇ γυναικὶ Ζηνωνίδι καὶ τέκνοις καταφεύγει εἰς τὴν ἐκκλησίαν, κἀκεῖθεν ἀπάτῃ Ἀρμάτου ἐκβληθεὶς ἐξορίζεται εἰς Καππαδοκίαν, εἶτα παγγενεὶ κατασφάζεται. ὡς Πέτρου τοῦ δυσσεβοῦς τὰς τῆς ἀνατολῆς ταράσσοντος ἐκκλησίας Καλανδίωνα Ζήνων ὁ βασιλεὺς εἰς τὸ ἱερᾶσθαι Ἀντιοχείας ἀπέστειλε, καὶ δεόμενος χρημάτων ἐκ μηνυμάτων ἐπέτυχε, καὶ πολλοὶ νεωτερίσαντες κατ' αὐτοῦ καὶ ἑαλωκότες δίκην ἔδοσαν. ὡς Ἴλλους πολλὰ τῇ Ῥωμαίων συνήνεγκε πολιτείᾳ ταῖς τε κατὰ πόλεμον ἀνδραγαθίαις καὶ ταῖς κατὰ πόλιν φιλοτιμίαις τε καὶ δικαιοπραγίαις. ὡς μετὰ τὴν ἀναίρεσιν τοῦ βασιλέως Νέπωτος Ῥώμης καὶ τὸν διωγμὸν τοῦ μετ' αὐτὸν Αὐγουστούλου Ὀδόακρος Ἰταλίας καὶ αὐτῆς ἐκράτησε Ῥώμης· καὶ στασιασάντων αὐτῷ τῶν δυσμικῶν Γαλατῶν, διαπρεσβευσαμένων τε αὐτῶν καὶ Ὀδοάκρου πρὸς Ζήνωνα, Ὀδοάκρῳ μᾶλλον ὁ Ζήνων ἀπέκλινεν. ὡς Ἀλανός τις Ἴλλουν ἀνελεῖν βουληθεὶς καὶ πλήξας Ἐπινίκιον εἶπεν, ὃς ἦν οἰκεῖος Βηρίνῃ, τὴν ἀναίρεσιν ὑποθέσθαι· καὶ ὡς ἐξεδόθη Ἐπινίκιος Ἴλλου· καὶ ὡς ὑποσχέσει καὶ ἀμνηστίας καὶ εὐεργεσιῶν ἐξεῖπε πάντα Ἐπινίκιος, ὅσα ἐπεβούλευε Βηρῖνα κατὰ Ἴλλου· 177R. καὶ ὡς Ζήνων Βηρῖναν διὰ τοῦτο ἐκδίδωσιν, ὁ δὲ αὐτὴν εἰς φρούριον Κιλικίας ὑπερορίσας ἠσφαλίσατο. ὡς Παμπρεπίῳ τῷ δυσσεβεῖ διὰ Μάρσου Ἴλλους φιλιωθεὶς ἅπαντα κατὰ μικρὸν συνέχεε τὰ αὐτοῦ. ὡς ἐμφύλιος συνέστη Ζήνωνι πόλεμος ἐξάρχοντος Μαρκιανοῦ καὶ Προκοπίου, υἱῶν τοῦ βασιλεύσαντος Ῥώμης Ἀνθεμίου· καὶ κρατήσαντος Ζήνωνος δι' Ἴλλου πρεσβύτερος μὲν Μαρκιανὸς ἐχειροτονήθη, ὁ δὲ Προκόπιος πρὸς Θεοδώριχον τὸν ἐν Θρᾴκῃ διέφυγε. καὶ ὡς ὑπερορισθεὶς Μαρκιανὸς ἐν Καππαδοκίᾳ καὶ διαφυγὼν ἐτάραξε τὴν κατ' Ἄγκυραν Γαλατίαν, εἶτα συλληφθεὶς εἰς Ἰσαυρίαν διωκίσθη. καὶ ὡς ἡ πρὸς Ἴλλουν ἔχθρα τῷ βασιλεῖ συνέστη καὶ ηὐξήθη. οὕτω μὲν οὖν καὶ ὁ δεύτερος.

Ὁ δὲ τρίτος ἄλλα τε περιέχει, καὶ ὡς εἰς τὸ ἐμφανὲς Ἴλλους ἐπαναστὰς Ζήνωνι βασιλέα Λεόντιον σὺν Βηρίνῃ ἀνεῖπεν, ὅπως τε δυσπραγήσαντες ἐπολιορκήθησαν καὶ ἁλόντες ἀπετμήθησαν, καὶ τἆλλα ἕως τῆς Ζήνωνος τελευτῆς.

## 80.

Ἀνεγνώσθησαν ὈΛΥΜΠΙΟΔΩΡΟΥ ἱστορικοὶ λόγοι κβ΄. ἄρχεται ἀπὸ τῆς Ὀνωρίου τοῦ βασιλέως Ῥώμης τῆς ὑπατείας τὸ ἕβδομον καὶ Θεοδοσίου τὸ δεύτερον, καταλήγει δὲ μέχρις ὅτε Βαλεντινιανὸς ὁ Πλακιδίας καὶ Κωνσταντίνου παῖς εἰς τὴν βασίλειον τῆς Ῥώμης ἀνεῤῥήθη 104H. ἀρχήν. οὗτος ὁ συγγραφεὺς Θηβαῖος μέν ἐστιν, ἐκ τῶν πρὸς Αἴγυπτον Θηβῶν τὸ γένος ἔχων, ποιητής, ὡς αὐτός φησι, τὸ ἐπιτήδευμα, Ἕλλην τὴν θρησκείαν, σαφὴς μὲν τὴν φράσιν, ἄτονος δὲ καὶ ἐκλελυμένος καὶ πρὸς τὴν πεπατημένην κατενηνεγμένος χυδαιολογίαν, ὥστε μηδ' ἄξιος εἰς συγγραφὴν ἀναγράφεσθαι ὁ λόγος. ὃ καὶ αὐτὸς ἴσως συνιδὼν οὐ συγγραφὴν αὐτῷ ταῦτα κατασκευασθῆναι, ἀλλὰ ὕλην συγγραφῆς ἐκποριεσθῆναι διαβεβαιοῦται· οὕτως ἄμορφος καὶ ἀνίδεος καὶ αὐτῷ τοῦ λόγου ὁ χαρακτὴρ κατεφαίνετο. καὶ γὰρ οὐδεμιᾷ τῶν ἰδεῶν καλλωπίζεται, πλὴν εἴ τις ἔν τισι τῇ ἀφελείᾳ πλησιάζειν ἐκβιάσοιτο· τῷ γὰρ λίαν ταπεινῷ καὶ ἐξηυτελισμένῳ καὶ ταύτης ἐκπίπτων εἰς ἰδιωτισμὸν ὅλως ὑπενήνεκται. ὕλην δὲ αὐτὸς ἱστορίας ταῦτα καλῶν ὅμως καὶ λόγοις διαιρεῖ καὶ προοιμίοις πειρᾶται κοσμεῖν, καὶ πρὸς Θεοδόσιον τὸν βασιλέα, ὃς ἀνεψιὸς ἐχρημάτιζεν Ὀνωρίου καὶ Πλακιδίας, Ἀρκαδίου δὲ παῖς, πρὸς τοῦτον τὴν ἱστορίαν ἀναφωνεῖ.

Διαλαμβάνει τοίνυν περὶ Στελίχωνος, ὅσην τε περιεβέβλητο δύναμιν, καταστὰς ἐπίτροπος τῶν παίδων Ἀρκαδίου καὶ Ὀνωρίου ὑπ' αὐτοῦ τοῦ πατρὸς αὐτῶν Θεοδοσίου τοῦ μεγάλου, καὶ ὡς Σερῆναν νόμῳ γάμου ἠγάγετο, Θεοδοσίου καὶ ταύτην αὐτῷ κατεγγυήσαντος. ὅτι τε μετὰ ταῦτα Στελίχων εἰς τὴν ἑαυτοῦ θυγατέρα Θερμαντίαν τὸν βασιλέα Ὀνώριον γαμβρὸν ἐποιήσατο, καὶ ὡς ἐπὶ πλεῖστον ἔτι μᾶλλον ἤρθη δυνάμεως, καὶ πολλοὺς πολέμους ὑπὲρ Ῥωμαίων πρὸς πολλὰ τῶν ἐθνῶν κατώρθωσε· καὶ ὅτι μιαιφόνῳ καὶ ἀπανθρώπῳ σπουδῇ Ὀλυμπίου, ὃν αὐτὸς τῷ βασιλεῖ προσῳκείωσε, τὸν διὰ ξίφους ὑπέμεινε θάνατον.

Ὅτι Ἀλάριχος ὁ τῶν Γότθων φύλαρχος, ὃν Στε- 180

a. 3. ἐκ τοῦ A: ἀπὸ ς. 5. εἶπεν A. 11. παγγενῆ A. 13. ἀπέσταλκε ς. 27. ἀμνηστείας ς. 38. Ζήνωνι] τῷ Ζήνωνι ς. 42. μὲν οὖν om A. b. 9. τοῦ δευτέρου ς. 10. πλακίδας pr A. Κωνσταντίου Schottus, Sylburgius, Labbeus. 13. ποιητὴς i. e. operator chymicus. vid. Fabric. Biblioth. Gr. t. 7. p. 541, ed. Harles. 20. ἀνείδεος libri. 31. ἐπίτροπος add A.

Digitized by Google

λίχων μετεκαλέσατο ἐπὶ τῷ φυλάξαι Ὀνωρίῳ τὸ Ἰλλυρικόν (τῇ γὰρ αὐτοῦ ἦν παρὰ Θεοδοσίου τοῦ πατρὸς ἐκνενεμημένον βασιλείᾳ), οὗτος ὁ Ἀλάριχος διά τε τὸν φόνον Στελίχωνος, καὶ ὅτι οὐ συνέκειτο αὐτῷ ἃ ἐλάμβανε, πολιορκεῖ καὶ ἐκπορθεῖ τὴν Ῥώμην· ἐξ ἧς χρήματά τε ἄπειρα ἐξεκόμισε, καὶ τὴν ἀδελφὴν Ὀνωρίου Πλακιδίαν ἐν Ῥώμῃ διάγουσαν ᾐχμαλώτισε. καὶ πρὸ τῆς ἁλώσεως δὲ ἕνα τινὰ τῶν κατὰ τὴν Ῥώμην ἐπιδόξων (Ἄτταλος ἦν ὄνομα αὐτῷ) τὴν ἐπαρχότητα τότε διέποντα εἰς βασιλέα ἀνηγόρευσεν. ἐπράχθη δὲ αὐτῷ ταῦτα διά τε τὰς προειρημένας αἰτίας, καὶ ὅτι Σάρον, καὶ αὐτὸν Γότθον ὄντα, καὶ πλήθους μὲν ὀλίγου ἐπάρχοντα (ἄχρι γὰρ σʹ ἢ καὶ τʹ αὐτῷ ὁ λαὸς ἐξετείνετο) ἄλλως δὲ ἡρωϊκόν τινα καὶ ἐν μάχαις ἀκαταγώνιστον, τοῦτον ὅτι Ῥωμαῖοι ᾑταιρίσαντο δι' ἔχθρας Ἀλαρίχῳ ὄντα, ἄσπονδον ἐχθρὸν Ἀλάριχον ἐποιήσαντο.

ὅτι ἐν τῇ πολιορκίᾳ τῆς Ῥώμης ἀλληλοφαγία τῶν ἐνοικούντων ἐγίνετο.

ὅτι Ἀλάριχος ἔτι ζῶντος Στελίχωνος μʹ κεντηνάρια μισθὸν ἔλαβε τῆς ἐκστρατείας.

ὅτι μετὰ θάνατον Στελίχωνος ἀναιρεῖται ἐναποπνιγεῖσα καὶ Σερῆνα ἡ τούτου γυνή, αἰτία νομισθεῖσα τῆς ἐπὶ Ῥώμην ἐφόδου Ἀλαρίχου· ἀναιρεῖται δὲ πρότερον 105 H. μετὰ τὴν ἀναίρεσιν Στελίχωνος ὁ ταύτης κἀκείνου παῖς Εὐχέριος.

ὅτι τὸ Βουκελλάριος ὄνομα ἐν ταῖς ἡμέραις Ὀνωρίου ἐφέρετο κατὰ στρατιωτῶν οὐ μόνον Ῥωμαίων ἀλλὰ καὶ Γότθων τινῶν· ὡς δ' αὔτως καὶ τὸ φοιδεράτων κατὰ διαφόρου καὶ συμμιγοῦς ἐφέρετο πλήθους.

ὅτι Ὀλύμπιος ὁ ἐπιβουλεύσας Στελίχωνα μάγιστρος τῶν ὀφφικίων γέγονεν, εἶτα ἐξέπεσε τῆς ἀρχῆς, εἶτα πάλιν ἐπέβη ταύτης, ἔπειτα ἐξέπεσεν, εἶτα ἐκπεσὼν ῥοπάλοις ὕστερον ὑπὸ Κωνσταντίου, ὃς ἠγάγετο Πλακιδίαν, παιόμενος ἀναιρεῖται, τὰς ἀκοὰς πρότερον ἐκκοπείς· καὶ ἡ δίκη τὸν ἀνοσιουργὸν εἰς τέλος οὐκ ἀφῆκεν ἀτιμώρητον.

ὅτι τῶν μετὰ Ῥοδογάϊσον Γότθων οἱ κεφαλαιῶται ὀπτίματοι ἐκαλοῦντο, εἰς δώδεκα συντείνοντες χιλιάδας, οὓς καταπολεμήσας Στελίχων Ῥοδογάϊσον προσηταιρίσατο.

ὅτι Ἀλαρίχου νόσῳ τελευτήσαντος διάδοχος αὐτοῦ Ἀδαοῦλφος καθίσταται, ὁ τῆς γυναικὸς ἀδελφός.

ὅτι τὸν ξηρὸν ἄρτον βουκελλάτον ὁ συγγραφεὺς καλεῖσθαί φησι, καὶ χλευάζει τὴν τῶν στρατιωτῶν ἐπωνυμίαν, ὡς ἐκ τούτου βουκελλαρίων ἐπικληθέντων.

ὅτι Κωνσταντῖνος εἰς τυραννίδα ἀρθεὶς πρεσβεύεται πρὸς Ὀνώριον, ἄκων μὲν καὶ ὑπὸ τῶν στρατιωτῶν βιασθεὶς ἀπολογούμενος ἄρξαι, συγγνώμην δὲ αἰτῶν καὶ τὴν τῆς βασιλείας ἀξιῶν κοινωνίαν· καὶ βασιλεὺς διὰ τὰ ἐνεστηκότα δυσχερῆ τέως καταδέχεται τὴν τῆς βασιλείας κοινωνίαν. κατὰ τὰς Βρεττανίας δὲ ὁ Κωνσταντῖνος ἐτύγχανεν ἀνηγορευμένος, στάσει τῶν ἐκεῖσε στρατιωτῶν εἰς ταύτην ἀνηγμένος τὴν ἀρχήν. καὶ γὰρ ἐν ταύταις ταῖς Βρεττανίαις, πρὶν ἢ Ὀνώριον τὸ ἕβδομον ὑπατεῦσαι, εἰς στάσιν ὁρμῆσαν τὸ ἐν αὐταῖς στρατιωτικὸν Μάρκον τινὰ ἀνεῖπον αὐτοκράτορα· τοῦ δὲ ὑπ' αὐτῶν ἀναιρεθέντος Γρατιανὸς αὐτοῖς ἀντικαθίσταται· ἐπεὶ δὲ καὶ οὗτος εἰς τετράμηνον αὐτοῖς προσκορὴς γεγονὼς ἀπεσφάγη, Κωνσταντῖνος τότε εἰς τὸ τοῦ αὐτοκράτορος ἀναβιβάζεται ὄνομα. οὗτος Ἰουστῖνον καὶ Νεοβιγάστην 101 R. στρατηγοὺς προβαλόμενος, καὶ τὰς Βρεττανίας ἐάσας, περαιοῦται ἅμα τῶν αὐτοῦ ἐπὶ Βονωνίαν, πόλιν οὕτω καλουμένην, παραθαλασσίαν καὶ πρώτην ἐν τοῖς τῶν Γαλλιῶν ὁρίοις κειμένην. ἔνθα διατρίψας, καὶ ὅλον τὸν Γάλλον καὶ Ἀκύτανον στρατιώτην ἰδιοποιησάμενος, κρατεῖ πάντων τῶν μερῶν τῆς Γαλατίας μέχρι τῶν Ἄλπεων τῶν μεταξὺ Ἰταλίας τε καὶ Γαλατίας. οὗτος δύο παῖδας ἔχε, Κώνσταντα καὶ Ἰουλιανόν, ὧν τὸν μὲν Κώνσταντα Καίσαρα χειροτονεῖ, εἶτα ὕστερον κατὰ τὰς αὐτὰς ἡμέρας καὶ τὸν Ἰουλιανὸν νωβελίσσιμον.

ὅτι Ἄτταλος βασιλεύσας κατὰ Ὀνωρίου ἐπὶ Ῥάβενναν ἐκστρατεύεται, καὶ πέμπεται πρὸς αὐτόν, ὡς ἐκ βασιλέως Ὀνωρίου πρὸς βασιλέα, Ἰοβιανὸς ἔπαρχος καὶ πατρίκιος, καὶ Οὐάλης στρατηγὸς ἑκατέρας δυνάμεως, καὶ Ποτάμιος ὁ κυαίστωρ, καὶ Ἰουλιανὸς πριμικήριος τῶν νοταρίων· οἳ ἐδήλουν Ἀττάλῳ ἐπὶ κοινωνίᾳ τῆς βασιλείας ἀπεστάλθαι παρὰ Ὀνωρίου. ὁ δὲ ἀπένευσεν, ἀλλὰ νῆσον οἰκεῖν ἢ ἕτερόν τινα τόπον, ὃν ἂν βούλοιτο, συγχωρεῖν Ὀνώριον, κακῶν ἀπαθῆ. ἀποκρίνεται δὲ Ἰοβιανὸς ἡσθείς, ἐπαγγελλόμενος καὶ σινῶσαι καθ' ἑνὸς 106 H. μέλους τὸν βασιλέα Ὀνώριον. ἐφ' ᾧ ἐπετίμησεν Ἄτταλος Ἰοβιανῷ, ὡς ἐθενὸς ἔθους ὄντος σινοῦσθαι βασιλέα ἑκοντὶ τὴν βασιλείαν ἀποτιθέμενον. ἀλλὰ Ἰοβιανὸς

a. 1. τῷ] τὸ A. 3. ὃ] οὗν ὁ ς. 5. τὴν πόλιν Ῥώμην A. 16. Ἀλάριχος ἐποιήσατο ς. 22. καὶ Σερῆνα A: καισαρίνα ς. 24. παῖς ὁ Εὐχ. ς. 33. Κωνσταντίνου ς. 35. ἀφεῖκεν ς. 36. κεφαλιῶται ς. b. 14. αὐτοῦ ς. 19. libri προβαλλόμενος. 20. τῶν A: τοῖς ς. 21. Γαλατῶν ὅροις ς. 23. ἀκύταλλον A, ἀκύτυρον ς. correxit Schottus. 24. Γαλλίας ς. 25. τε add A. Γαλλίας ς. 31 et 41. Ἰωβιανὸς ς. 39. μέρους ς. 40. Ἰωβίῳ ς.



Digitized by Google

μὲν πολλάκις πρεσβεύσας καὶ μηδὲν ἀνύσας καταμένει πρὸς Ἄτταλον, πατρίκιος Ἀττάλου δυσμαθείς, μετέρχεται δὲ κατὰ τὴν Ῥάβενναν ἐπὶ τὸν πρεπόσιτον Εὐσέβιον ἡ δυναστεία, ὃς μετὰ ἱκανὸν χρόνον Ἀλλοβίχου ἐπηρείᾳ καὶ ὑποθήκῃ δημοσίᾳ καὶ ἐπ᾽ ὄψεσι τοῦ βασιλέως ῥάβδοις ἀναιρεῖται. χρόνος ἔῤῥευσεν ἱκανός, καὶ μὴ πειθόμενος Ἄτταλος Ἀλαρίχῳ, σπουδῇ δὲ μάλιστα Ἰοβιανοῦ, ὃς ἦν τὴν Ὁνωρίου πρεσβείαν προδεδωκώς, καθαιρεῖται τῆς βασιλείας, καὶ μένει τὸν ἰδιώτην παρὰ Ἀλαρίχῳ βίον ἀνθηρημένος. ἔπειτα μετὰ χρόνον τινὰ βασιλεύει, εἶτα καθαιρεῖται. καὶ μετὰ ταῦτα ὕστερον ἐπὶ Ῥάβενναν παραγεγονὼς καὶ τοὺς τῆς δεξιᾶς χειρὸς δακτύλους ἀκρωτηριασθεὶς ἐξορίᾳ παραπέμπεται.

ὅτι Ἀλλόβιχος μετὰ βραχύ, τὴν ἐφ᾽ ᾧ τὸν πρεπόσιτον Εὐσέβιον ἀνεῖλε δίκην τιννύς, γνώμῃ τοῦ βασιλέως κατὰ πρόσωπον αὐτοῦ ἀναιρεῖται· καὶ Κωνσταντῖνος ὁ τύραννος τὸν Ἀλλοβίχου θάνατον μαθών, ἐπειγόμενος πρὸς Ῥάβενναν ὥστε σπείσασθαι Ὁνωρίῳ, φοβηθεὶς ὑποστρέφει.

ὅτι τὸ Ῥήγιον μητρόπολίς ἐστι τῆς Βρεττίας, ἐξ οὗ φησιν ὁ ἱστορικὸς Ἀλάριχον ἐπὶ Σικελίαν βουλόμενον περαιωθῆναι ἐπισχεθῆναι· ἄγαλμα γάρ φησι τετελεσμένον ἱστάμενον ἐκώλυσε τὴν περαίωσιν. τετέλεστο δέ, ὡς μυθολογεῖ, παρὰ τῶν ἀρχαίων ἀποτρόπαιόν τε τοῦ ἀπὸ τῆς Αἴτνης πυρὸς καὶ πρὸς κώλυσιν παρόδου διὰ θαλάσσης βαρβάρων· ἐν γὰρ τῷ ἑνὶ ποδὶ πῦρ ἀκοίμητον ἐτύγχανε, καὶ ἐν τῷ ἑτέρῳ ὕδωρ ἀδιάφθορον. οὗ καταλυθέντος ὕστερον ἔκ τε τοῦ Αἰτναίου πυρὸς καὶ ἐκ τῶν βαρβάρων βλάβας ἡ Σικελία ἐδέξατο. κατέστρεψε δὲ τὸ ἄγαλμα Ἀσκληπιὸς ὁ τῶν ἐν Σικελίᾳ κτημάτων Κωνσταντίου καὶ Πλακιδίας διοικητὴς καταστάς.

ὅτι Κωνσταντίνου τοῦ τυράννου καὶ Κώνσταντος τοῦ παιδός, ὃς πρότερον μὲν Καῖσαρ ἔπειτα δὲ καὶ 184 R. βασιλεὺς ἐκεχειροτόνητο, τούτων ἡττηθέντων καὶ πεφευγότων Γερόντιος ὁ στρατηγός, τὴν πρὸς τοὺς βαρβάρους ἀσμενίσας εἰρήνην, Μάξιμον τὸν ἑαυτοῦ παῖδα, εἰς τὴν τῶν δομεστίκων τάξιν τελοῦντα, βασιλέα ἀναγορεύει· εἶτα ἐπιδιώξας Κώνσταντα κατεπράξατο ἀναιρεθῆναι, καὶ κατὰ πόδας εἵπετο διώκων καὶ τὸν πατέρα Κωνσταντῖνον. ἐν ᾧ δὲ ταῦτα ἐγίνετο, Κωνστάντιος καὶ Οὐλφιλᾶς ἀποστέλλονται παρὰ Ὁνωρίου κατὰ Κωνσταντίνου, καὶ καταλαβόντες τὴν Ἀρήλατον, ἔνθα τὰς διατριβὰς ἐποιεῖτο Κωνσταντῖνος σὺν Ἰουλιανῷ τῷ παιδί, ταύτην πολιορκοῦσι. καὶ Κωνσταντῖνος καταφυγὼν εἰς εὐκτήριον πρεσβύτερος τότε χειροτονεῖται, ὅρκων αὐτῷ ὑπὲρ σωτηρίας δοθέντων· καὶ τοῖς πολιορκοῦσιν αἱ πύλαι τῆς πόλεως ἀναπετάννυνται. καὶ πέμπεται σὺν τῷ υἱῷ Κωνσταντῖνος πρὸς Ὁνώριον· ὁ δὲ μνησικακῶν αὐτοῖς ὑπὲρ τῶν ἀνεψιῶν αὐτοῦ, οὓς ἐτύγχανε Κωνσταντῖνος ἀνελών, πρὸ τριάκοντα τῆς Ῥαβέννης μιλίων παρὰ τοὺς ὅρκους προστάττει τούτους ἀναιρεθῆναι. Γερόντιος δὲ παραγενομένων Οὐλφιλᾶ καὶ Κωνσταντίνου φεύγει, καὶ κατα- 107 H. ληφθείς, ὅτι ἐγκρατῶς ἦρχε τοῦ οἰκείου στρατοῦ, ὑπ᾽ αὐτῶν ἐκείνων ἐπιβουλεύεται· πῦρ γὰρ κατὰ τῆς οἰκίας αὐτοῦ ἀνῆψαν. ὁ δὲ πρὸς τοὺς ἐπαναστάντας κρατερῶς ἐμάχετο, ἕνα συναγωνιστὴν ἔχων Ἀλανὸν τὸ γένος, εἰς δούλους αὐτοῦ ἀριθμούμενον. τέλος τόν τε Ἀλανὸν καὶ τὴν γυναῖκα, τοῦτο προθυμουμένους, ἀναιρεῖ, ἐπικατασφάζει δὲ καὶ ἑαυτόν. Μάξιμος δὲ ὁ παῖς ταῦτα μαθὼν πρὸς τοὺς ὑποσπόνδους φεύγει βαρβάρους.

ὅτι Ἰοβῖνος ἐν Μουνδιακῷ τῆς ἑτέρας Γερμανίας κατὰ σπουδὴν Γώαρ τοῦ Ἀλανοῦ καὶ Γυντιαρίου, ὃς φύλαρχος ἐχρημάτιζε τῶν Βουργουντιόνων, τύραννος ἀνηγορεύθη. πρὸς ὃν παραγενέσθαι Ἄτταλος Ἀδαοῦλφον παραινεῖ· καὶ παραγίνεται ἅμα τοῦ πλήθους. καὶ Ἰοβῖνος ἀνιᾶται ἐπὶ τῇ Ἀδαούλφου παρουσίᾳ, καὶ μέμφεται δι᾽ αἰνιγμάτων τῷ παραινέσαντι Ἀττάλῳ τὴν ἄφιξιν. καὶ Σάρος δὲ ἔμελλε πρὸς Ἰοβῖνον παραγενέσθαι· ἀλλ᾽ Ἀδαοῦλφος τοῦτο μαθὼν προϋπαντιάζει, χιλιάδας δέκα συνεπαγόμενος στρατιώτην, ἔχοντι ἄνδρας περὶ αὐτὸν [Ἀσάρῳ] ὀκτωκαίδεκα ἢ καὶ εἴκοσιν. ὃν ἔργα ἡρωϊκὰ καὶ θαυμάσαι ἄξια ἐπιδειξάμενον μόλις σάκκοις ἐζώγρησαν, καὶ ὕστερον ἀναιροῦσι. Σάρος δ᾽ ἦν ἀποστὰς Ὁνωρίου, ὅτι Βελλερίδου, ὃς ἦν αὐτῷ δομέστικος, ἀναιρεθέντος οὐδεὶς λόγος τῷ βασιλεῖ τῆς ἀναιρέσεως οὐδὲ τοῦ φόνου γίνεται εἴσπραξις.

ὅτι διαλαμβάνει περὶ Δονάτου καὶ περὶ τῶν Οὔννων, καὶ περὶ τῶν ῥηγῶν αὐτῶν τῆς εὐφυεστάτης τοξείας, καὶ ὡς πρὸς αὐτοὺς καὶ Δονάτον ὁ ἱστορικὸς ἐπρέσβευσε· καὶ τὴν διὰ θαλάσσης αὐτοῦ πλάνην ἐκτραγῳδεῖ καὶ τὸν κίνδυνον. καὶ ὅπως ὅρκῳ Δονάτος ἀπατηθεὶς ἐκθέσμως ἀποσφάζεται, καὶ ὅπως Χαράτων ὁ τῶν ῥηγῶν πρῶτος ἐπὶ τῷ φόνῳ εἰς θυμὸν ἀνάπτεται, ὅπως τε πάλιν βασιλικοῖς δώροις διαπραΰνεται καὶ

a. 4. ἀλαβίχου A. 13. περιπέμπεται ς. 20. Βρεττανίας ς. 23. ἐκώλυε ς. 32. κωνσταντίνου pr A, κωνσταντίου corr. b. 15. αὐτῷ ς. 19 et 23. Ἰωβῖνος ς. 19. Μογουντιακῷ Hoeschelius. 20. σπουδὴν A. 21. Βουργουντιόνων ς. 22. ὃν] οὓς rc A: pr enim om. 23. τῷ πλήθει ς. 28. στρατιώτῃ ς. Ἀσάρῳ om pr A. 30. σάκκοις ς. 34. ἐγίνετο ς.

ἡσυχάζει· ἐν οἷς καὶ ἡ πρώτη τῆς ἱστορίας δεκάλογος.

Ἄρχεται δὲ ἡ δευτέρα ὧδε, ὅτι Ἰοβῖνος παρὰ γνώμην Ἀδαούλφου τὸν ἴδιον ἀδελφὸν Σεβαστιανὸν βασιλέα χειροτονήσας εἰς ἔχθραν Ἀδαούλφῳ κατέστη. ϗ πέμπει 185 R. Ἀδάουλφος πρὸς Ὀνώριον πρέσβεις, ὑπισχνόμενος τάς τε τῶν τυράννων κεφαλὰς ϗ εἰρήνην ἄγειν, ὧν ὑποστρεψάντων καὶ ὅρκων μεσιτευσάντων Σεβαστιανοῦ μὲν πέμπεται τῷ βασιλεῖ ἡ κεφαλή, Ἰοβῖνος δὲ ὑπὸ Ἀδαούλφου πολιορκούμενος ἑαυτὸν ἐκδίδωσι. καὶ πέμπεται κἀκεῖνος τῷ βασιλεῖ, ὃν αὐθεντήσας Δάρδανος ὁ ἔπαρχος ἀναιρεῖ· ϗ ἀποτίθενται ἄμφω αἱ κεφαλαὶ Καρθαγένης ἔξωθεν, ἔνθα καὶ ἡ Κωνσταντίνου ϗ ἡ Ἰουλιανοῦ ἀπετμήθησαν πρότερον, ἥ τε Μαξίμου ϗ ἡ Εὐγενίου, οἳ ἐπὶ Θεοδοσίου τοῦ μεγάλου τυραννίδι ἐπιθέμενοι εἰς τοῦτο τέλος κατέστρεψαν. Ἀδάουλφος δὲ Πλακιδίαν ἀπῃτεῖτο κατὰ σπουδὴν μάλιστα Κωνσταντίου, ὃς ὕστερον αὐτῇ ϗ εἰς γάμους ἔζευξεν· ἀλλὰ τῶν πρὸς Ἀδάουλφον ὑποσχέσεων μὴ περαινομένων, καὶ μάλιστα τῆς σιτοπομπίας, οὔτε ταύτην ἀπεδίδου καὶ εἰς μάχην ἐμελέτα τὰ τῆς εἰρήνης διαλύεσθαι.

ὅτι Ἀδάουλφος ἀπαιτούμενος Πλακιδίαν ἀνταπῄτει 108 H. τὸν ὁρισθέντα σῖτον. ἀπόρων δ' ὄντων τῶν ὑποσχομένων εἰς τὸ δοῦναι, οὐδὲν δὲ ἧττον ὁμολογούντων, εἰ λάβοιεν Πλακιδίαν, παρασχεῖν, ϗ ὁ βάρβαρος τὰ ὅμοια ὑπεκρίνετο, ϗ πρὸς Μασσαλίαν, πόλιν οὕτω καλουμένην, παραγενόμενος δόλῳ ταύτην λαβεῖν ἤλπιζεν. ἔνθα πληγεὶς Βονηφατίου τοῦ γενναιοτάτου βαλόντος, ϗ μόλις τὸν θάνατον διαφυγών, εἰς τὰς οἰκείας ὑπεχώρησε σκηνάς, τὴν πόλιν ἐν εὐθυμίᾳ λιπὼν καὶ δι' ἐπαίνων καὶ εὐφημίας ποιουμένην Βονηφάτιον.

ὅτι Ἀδάουλφος τὸν γάμον μελετῶν Πλακιδίας, Κωνσταντίου ταύτην ἀπαιτοῦντος βαρυτέρας προὔτεινεν αἰτήσεις, ἵνα διὰ τὴν ἀποτυχίαν τῶν αἰτήσεων εὔλογον δόξῃ τὴν κατάσχεσιν αὐτῆς πεποιηκέναι.

ὅτι Κωνστάντιος δισίγνατος πάλαι γεγονὼς ὕπατος κατὰ τὴν Ῥάβενναν προέρχεται, μεθ' οὗ κατὰ τὴν Κωνσταντινούπολιν ὑπατεύει Κώνστας· καὶ χρυσίον μὲν σύμμετρον ϗ ἱκανὸν πρὸς τὸ τῆς ὑπατείας ἀνάλωμα εὕρηται ἐκ τῶν τοῦ Ἡρακλειανοῦ, ὃς τυραννίδα μελετῶν ἀνῄρηται, οὐ μήν γε τοσοῦτον εὑρέθη ὅσον ϗ ἠλπίζετο. χρυσίον μὲν γὰρ οὐδὲ μέχρι κεντηναρίων κʹ εὕρηται, ἡ δὲ ἀκίνητος αὐτοῦ οὐσία ϗ αὐτὴ εἰς δισχιλίας λίτρας συνέτεινε. καὶ ταύτην ἅπασαν τὴν ὑπόστασιν Κωνστάντιος ἐκ μιᾶς αἰτήσεως παρὰ Ὀνωρίου εἰλήφει. ἦν δὲ Κωνστάντιος ἐν μὲν ταῖς προόδοις κατηφὴς ϗ σκυθρωπός, μεγαλόφθαλμός τε καὶ μεγαλαύχην ϗ πλατυκέφαλος, νεύων δι' ὅλου ἐπὶ τὸν τράχηλον τοῦ φέροντος αὐτὸν ἵππου, ϗ οὕτω τῇδε κἀκεῖσε λοξὸν ἐκπέμπων τὸ ὄμμα, ὡς (τὸ τοῦ λόγου) πᾶσι φαίνεσθαι εἶδος ἄξιον τυραννίδος. ἐν δὲ δείπνοις καὶ συμποσίοις τερπνὸς καὶ πολιτικός, ὡς καὶ ἐρίζειν τοῖς μίμοις πολλάκις παίζουσι πρὸ τῆς τραπέζης.

ὅτι Ἀδαούλφῳ σπουδῇ καὶ ὑποθήκῃ Κανδιδιανοῦ ὁ πρὸς Πλακιδίαν συντελεῖται γάμος, μηνὸς Ἰανουάριος ἐνισταμένου, ἐπὶ δὲ τῆς πόλεως Νάρβωνος, ἐν οἰκίᾳ Ἰγγενίου τινὸς πρώτου τῶν ἐν τῇ πόλει· ἔνθα προκαθεσθείσης Πλακιδίας ἐν παστάδι τε Ῥωμαϊκῶς ἐσκευασμένῃ ϗ σχήματι βασιλικῷ συγκαθέζεται αὐτῇ ϗ Ἀδάουλφος ἐνδεδυμένος χλανίδα ϗ τὴν ἄλλην Ῥωμαίων ἐσθῆτα. ἐν οἷς μετὰ τῶν ἄλλων γαμικῶν δώρων δωρεῖται 188 R. Ἀδάουλφος καὶ νʹ εὐειδεῖς νεανίας σηρικὴν ἐνδεδυμένους ἐσθῆτα, φέροντος ἑκάστου ταῖς χερσὶν ἀνὰ δύο μεγίστων δίσκων, ὧν ὁ μὲν χρυσίου πλήρης, ὁ δὲ τιμίων λίθων, μᾶλλον δὲ ἀτιμήτων ἐτύγχανεν· ἃ τῆς Ῥώμης ὑπῆρχε κατὰ τὴν ἅλωσιν τοῖς Γότθοις ἀποσυληθέντα. εἶτα λέγονται καὶ ἐπιθαλάμιοι, Ἀττάλου πρῶτον εἰπόντος, εἶτα Ῥουστικίου καὶ Φοιβαδίου· καὶ συντελεῖται ὁ γάμος παιζόντων ϗ χαιρόντων ὁμοῦ τῶν τε βαρβάρων καὶ τῶν ἐν αὐτοῖς Ῥωμαίων.

ὅτι μετὰ τὴν ὑπὸ Γότθων ἅλωσιν τῆς Ῥώμης Ἀλβῖνος ὁ τῆς Ῥώμης ἔπαρχος, ἤδη ταύτης πάλιν ἀποκαθισταμένης, ἔγραψε μὴ ἐξαρκεῖν τὸ χορηγούμενον μέρος τῷ δήμῳ εἰς πλῆθος ἤδη τῆς πόλεως ἐπιδιδούσης· ἔγραψε γὰρ ϗ ἐν μιᾷ ἡμέρᾳ τετέχθαι ἀριθμὸν χιλιάδων δεκατεσσάρων.

ὅτι Ἀδάουλφος τεχθέντος αὐτῷ ἐκ τῆς Πλακιδίας 109 H. παιδός, ᾧ ἐπέθετο κλῆσιν Θεοδόσιον, πλέον ἠσπάζετο τὴν πρὸς Ῥωμαίους φιλίαν· Κωνσταντίου δὲ ϗ τῶν περὶ Κωνστάντιον ἀντιπραττόντων ἔμενεν ἄπρακτος ἡ τούτου ϗ Πλακιδίας ὁρμή. τελευτήσαντος δὲ τοῦ παιδὸς πένθος μέγα ποιοῦσιν ἐπ' αὐτῷ, ϗ θάπτουσιν ἐν λάρνακι

a. 3. ἰοβιος A. 4. σιβαστῖνον A. 12. καρταγένης ς. Schottus Ῥαβέννης. 17. δὲ] ὃν A. 19. περαιουμένων A. 20. ἐμελετοῦτο A: ἀπεδίδου ς. 28. βαλόντος rc A, λαβόντος pr: βαλλόντος ς. 32. Κωνσταντίῳ — ἀπαιτοῦντι ς. 36. διαίγματος Κωνστάντιος ς. 40. ἠρακλιανοῦ A. b. 8. οὕτω mg: libri οὔπω. 17. σπαστάδι A. ῥωμαίαν A. 23. μεγίστους δίσκους ς. 27. Ῥουστακίου ς. 34. γὰρ A: δὲ ς. τετάχθαι ς. 37. ἐπέθηκε ς. 40. καὶ τῆς Πλ. ς.



Digitized by Google

καταθέντες ἀργυρᾷ πρὸ τῆς Βαρκέλλωνος ἔν τινι εὐκτηρίῳ. εἶτα ἀναιρεῖται κ᾽ Ἀδαῦλφος, εἰς ἐπιτήρησιν τῶν οἰκείων ἵππων, ὡς εἴθιςο αὐτῷ, διατρίβων ἐν τῷ ἱππῶνι. ἀναιρεῖ δὲ αὐτὸν εἷς τῶν οἰκείων Γότθων Δέβιος τὔνομα, ἔχθραν παλαιὰν καιροφυλακήσας· πάλαι γ᾽ ἦν ὁ τέτε δεσπότης, μοίρας Γοτθικῆς ῥήξ, ὑπὸ Ἀδαύλφε ἀνῃρημένος, ἐξ ὃ καὶ τὸν Δούβιον λαβὼν Ἀδαῦλφος ᾠκειώσατο· ὁ δὲ τῷ πρώτῳ δεσπότῃ ἀμύνων τὸν δεύτερον διεχρήσατο. τελευτῶν δὲ Ἀδαῦλφος προσέταττε τῷ ἰδίῳ ἀδελφῷ ἀποδῦναι τὴν Πλακιδίαν, καί, εἴτι δύναιντο, τὴν Ῥωμαίων φιλίαν ἑαυτοῖς περιποιήσαςθ. διάδοχος δὲ ὁ τῦ Σάρε ἀδελφὸς Σιγγέριχος, σπεδῇ μᾶλλον καὶ δυναςείᾳ ἢ ἀκολεθίᾳ καὶ νόμῳ, γίνεθ· ὃς τά τε παιδία, ἃ ἐκ τῆς προτέρας γυναικὸς ἐτύγχανεν Ἀδαύλφῳ γεγεννημένα, ἀνεῖλε, βίᾳ τῶν τῦ ἐπισκόπε Σιγησάρε κόλπων ἀποσπάσας, καὶ τὴν βασιλίδα Πλακιδίαν εἰς ὕβριν Ἀδαύλφε ἐκ ποδὸς προηγήσαςθ τῦ ἵππε ἅμα λοιπῶν αἰχμαλώτων ἐπέταξε· καὶ τὸ διάςημα ἦν τῆς προπομπῆς ἐκ τῆς πόλεως μέχρι δωδεκάτε σημείε. ἑπτὰ δὲ ἡμέρας ἄρξας ἀναιρεῖθ, ἡγεμὼν δὲ τῶν Γότθων Οὐαλίας καθίςαται.

ὅτι ὁ ἱςορικός φησι παρὰ Οὐαλερίου τινὸς τῶν ἐπισήμων ἀκῦσαι περὶ ἀνδριάντων ἀργυρῶν τετελεσμένων εἰς βαρβάρων ἀποκώλυσιν. ἐν γ᾽ ταῖς ἡμέραις, φησί, Κωνςαντίε τῦ βασιλέως ἐν τῇ Θρᾴκῃ Οὐαλερίε ἄρχοντος μήνυσις γέγονεν ὡς θησαυρὸς εὑρεθείη. Οὐαλέριος δὲ παρὰ τὸν τόπον παραγενόμενος μανθάνει παρὰ τῶν ἐπιχωρίων ἱερὸν εἶναι τὸν τόπον, καὶ ἐξ ἀρχαίας τελετῆς ἀνδριάντας ἐν αὐτῷ ἀφιερῶςθ. εἶτα ἀναφέρει ταῦτα τῷ βασιλεῖ, καὶ δέχεται γράμμα ἐπιτρέπον αὐτῷ ἀναλαβεῖν τὰ μηνυθέντα. ἀνορυχθέντος τοίνυν τῦ τόπε εὑρίσκονται τρεῖς ἀνδριάντες δι᾽ ὅλε ἐξ ἀργύρε πεποιημένοι, ἐν ςχήματι βαρβαρικῷ κατακείμενοι κ᾽ ἐξηγκωνισμένοι κατ᾽ ἀμ-
189R. φοῖν ταῖν χεροῖν, ἐνδεδυμένοι δὲ βάρβαρον πεποικιλμένην ἐσθῆτα, καὶ κομῶντες τὰς κεφαλάς, νεύοντες ἐπὶ τὸ ἀρκτῷον μέρος, τετέςι κατὰ τῦ βαρβαρικῦ χώρε. ὧν ἀνδριάντων ἀναληφθέντων παραυτα καὶ μετ᾽ ὀλίγας ἡμέρας πρῶτον μὲν τὸ Γότθων ἔθνος πᾶσαν ἐπιτρέχει τὴν Θρᾴκην, ἔμελλε δὲ μικρὸν ὕςερον καὶ τὸ τῶν Οὔννων καὶ τὸ τῶν Σαρματῶν καταδραμεῖσθ τό τε Ἰλλυρικὸν καὶ αὐτὴν τὴν Θρᾴκην· ἐν μέσῳ γ᾽ αὐτῆς τε Θρᾴκης κ᾽ τῦ Ἰλλυρικῦ κατέκειτο τὰ τῆς τελετῆς, καὶ ἐῴκει τῶν τριῶν ἀνδριάντων ὁ ἀριθμὸς κατὰ παντὸς ἔθνες τετελέσθ βαρβάρε.

ὅτι ὁ ἱςορικὸς περὶ τῦ οἰκείε διαλαμβάνων διά- 190R.
πλε πολλὰ παθεῖν καὶ δυςυχῆσαί φησι. λέγει δὲ καὶ εἰς τὰς Ἀθήνας καταρᾶι, καὶ τῇ αὐτῦ σπουδῇ καὶ ἐπιμελείᾳ εἰς τὸν σοφιςικὸν θρόνον ἀναχθῆναι Λεόντιον ὅπω ἐθέλοντα. λέγει δὲ καὶ περὶ τοῦ τρίβωνος, ὡς ἐκ ἐξῆν κατὰ τὰς Ἀθήνας περιβαλέσθ αὐτόν τινα, καὶ μάλιςα ξένον, ᾧ μὴ τῶν σοφιςῶν ἡ γνώμη ἐπέτρεπε καὶ αἱ κατὰ τὺς σοφιςικὺς νόμες τελεταὶ ἐβεβαίεν τὸ ἀξίωμα. ἦν δὲ τὰ τελέμενα τοιαῦτα. πρῶτον μὲν κατήγοντο ἐπὶ τὸ δημόσιον βαλανεῖον ὅσοι νεήλυδες, ἄν τε μικροὶ ἄν τε μεγάλοι. ἐξ ὧν κ᾽ οἱ πρὸς τὸν τρίβωνα ἐπιτήδειοι, ἡλικίας ἤδη καιρῦ γεγονότες, ὓς εἰς μέσον ἔβαλλον οἱ κατάγοντες ςχολαςικοί. εἶτα τῶν μὲν ἔμπροσθεν τρεχόντων καὶ κωλυόντων, τῶν δὲ ὠθέντων καὶ ἐπεχόντων, πάντων δὲ τῶν κωλυόντων ταῦτα βοώντων „ςᾶ, ςᾶ, ὁ λέει," κατακρατεῖν δῆθεν τῦ ἀγῶνος ἐδόκουν οἱ ἀντωθῦντες εἰς τιμὴν τῦ καταγομένε ςχολαςικῦ, ὅςις μετὰ πολλὴν ὥραν, ςάσεως πολλῆς ἐπὶ τοῖς προαχθεῖσιν ἐθίμοις ῥήμασι προγενομένης, εἰσάγεθ εἰς τὸν θερμὸν οἶκον καὶ ἀπολούεται· εἶτα ἐνδυσάμενος ἐδέχετο τὴν τοῦ τρίβωνος ἐξεσίαν, καὶ αὐτόθεν μετὰ τῦ τρίβωνος ἐκ τῦ βαλανείου ἐντίμῳ καὶ περιδόξῳ δορυφορούμενος πομπῇ ἀπῄει, δαπάνας ἐπιγνὺς φανερὰς εἰς τὺς τῶν διατριβῶν προςάτας τὺς λεγομένες Ἀκρωμίτας.

ὅτι οἱ Οὐάνδαλοι τὺς Γότθες Τρέλες καλῦσι διὰ τὸ λιμῷ πιεζομένες αὐτὺς τροῦλαν σίτου παρὰ τῶν Οὐανδάλων ἀγοράζειν ἑνὸς χρυσίνε· ἡ δὲ τρῦλα ἐδὲ τρίτον ξέςε χωρεῖ.

ὅτι κατὰ τὰς Ἱσπανίας τῶν Οὐανδάλων καταδραμόντων, καὶ τῶν Ῥωμαίων εἰς τὰς τετειχισμένας πόλεις καταφυγόντων, τοσῦτος αὐτῶν λιμὸς κατεκράτησεν ὡς εἰς ἀλληλοφαγίαν ἐκβιασθῆναι. κ᾽ γυνὴ τέσσαρα τέκνα ἔχεσα πάντα κατέφαγε, πρόφασιν ἐφ᾽ ἑκάςε ποιεμένη τὴν τῶν ὑπολοίπων τροφὴν κ᾽ σωτηρίαν, ἕως ἂν πάντα καταφαγῦσα λίθοις ὑπὸ τῦ δήμε ἀνῃρέθη.

a. 4. εἰς om A. 4 et 7. Δόββιος — Δόββιον ς. 6. ὁ om A. 9. διεχειρίσατο ς. 18. λοιποῖς αἰχμαλώτοις ς. 19. ἦν] δὲ ἦν ς. 24. τετελεσμένων] vid. Kuster. ad Suid. v. Μάλιος. 29. παρὰ A: περὶ ς. τὸν τόπον εἶναι ς. 30. ἐν om A. 35. βαρβαρικοῦ ς. 40. τὸ] τὸ τῶν ς. ἔθνος A: μέρος ς. b. 5. ἔθνους om A. τελέσθαι ς. 9. εἰς] καὶ εἰς ς. 12. ἡ ante τῶν ponit ς. 14. ἦν δὲ] cf. Wyttenbach. Eunap. 2. p. 280. 27. ἐξουσίαν A: ἀξίαν ς. 33. χρυσίου ς.

Digitized by Google

ὅτι Εὐπλούτιος ὁ μαγιστριανὸς πρὸς Οὐάλιον, ὃς τῶν Γότθων ἐχρημάτιζε φύλαρχος, ἀποστέλλεται ἐφ' ᾧ σπονδάς τε θέσθαι εἰρηνικὰς καὶ ἀπολαβεῖν τὴν Πλακιδίαν· ὁ δὲ ἑτοίμως δέχεται. καὶ ἀποσταλέντος αὐτῷ σίτου ἐν μυριάσιν ἑξήκοντα ἀπολύεται Πλακιδία παραδοθεῖσα Εὐπλουτίῳ πρὸς Ὁνώριον τὸν οἰκεῖον αὐτῆς ἀδελφόν.

ὅτι ζητήματος ἐν ταῖς Ἀθήναις ἀνακύψαντος περὶ
192 R. τῶν κεκολλημένων βιβλίων μαθεῖν τοῖς ἐπιζητοῦσι τὸ μέτρον τοῦ κόλλου, Φιλτάτιος ὁ τοῦ ἱστορικοῦ ἑταῖρος, εὐφυῶς περὶ γραμματικὴν ἔχων, τοῦτο ἐπέδειξε, καὶ εὐδοκιμήσας τυγχάνει παρὰ τῶν πολιτῶν εἰκόνος.

ὅτι περὶ τῆς Ὀάσεως ὁ συγγραφεὺς πολλὰ παρα-
111 H. δοξολογεῖ, περί τε τῆς εὐκρασίας αὐτῆς, καὶ ὅτι οἱ τὴν ἱερὰν νόσον ἔχοντες οὐ μόνον ἐκεῖσε οὐ γίνονται, ἀλλὰ καὶ ἀλλαχόθεν παραγινόμενοι ἀπαλλάττονται τοῦ νοσήματος διὰ τὴν τοῦ ἀέρος εὐκρασίαν. καὶ περὶ τῆς ψάμμου τῆς πολλῆς ἐκείνης καὶ τῶν ὀρυσσομένων φρεάτων, ὡς εἰς διακοσίους καὶ τριακοσίους, ἔσθ' ὅτε δὲ καὶ εἰς πεντακοσίους πήχεις ὀρυσσόμενα ἀναβλύζουσι τὸ ῥεῖθρον αὐτοῦ τοῦ στομίου προχεόμενον· ἐξ οὗ κατὰ διαδοχὴν ἀρυόμενοι, ὅσοις κοινὸν γέγονε τὸ ἔργον, τὰς οἰκείας ἀρούρας ποτίζουσιν οἱ γεωργοί. καὶ ὅτι αἱ ὀπῶραι ἀεὶ τοῖς δένδρεσι φέρονται, καὶ ὅτι ὁ σῖτος παντὸς κρείττων ἐστὶ καὶ χιόνος λευκότερος, καὶ ὅτι ἔσθ' ὅτε δὶς τοῦ ἔτους σπείρεται ἡ κριθή, τρὶς δὲ ἀεὶ ἡ κέγχρος. ἀρδεύουσι δὲ τὰ γήδια αὐτῶν ἐν θέρει μὲν διὰ τρίτης ἡμέρας, ἐν χειμῶνι δὲ διὰ ἕκτης, ἐξ οὗ καὶ ἡ εὐφορία γίνεται. καὶ ὅτι οὐδέποτε συννεφία γίνεται. καὶ περὶ τῶν ποιουμένων αὐτοῦ ὡρολογίων. λέγει δὲ ὅτι νῆσος τὸ παλαιὸν ἦν καὶ ἀπεχερσώθη, καὶ ὅτι ταύτην καλεῖ Ἡρόδοτος μακάρων νήσους· Ἡρόδωρος δέ, ὁ τὴν Ὀρφέως καὶ Μουσαίου συγγράψας ἱστορίαν, Φαιακίδα ταύτην καλεῖ. τεκμηριοῖ δὲ νῆσον αὐτὴν γεγονέναι ἔκ τε τοῦ ὄστρακα θαλάσσια καὶ ὄστρεα λίθοις τοῦ ὄρους προσπεπλασμένα εὑρίσκεσθαι τοῦ ἐπὶ τὴν Ὄασιν ἀπὸ τῆς Θηβαΐδος φέροντος, δεύτερον ὅτι ψάμμαθος πολλὴ ἐπεκχεῖται ἀεὶ καὶ τὰς τρεῖς ἀναπληροῖ Ὀάσεις. τρεῖς γάρ φησιν Ὀάσεις καὶ αὐτὸς εἶναι, δύο μεγάλας, τὴν μὲν ἐξωτέρω, τὴν δὲ ἐσωτέρω, καταντικρὺ κειμένας ἀλλήλαις, συντείνοντος εἰς ἑκατὸν σημεῖα τοῦ μεταξὺ διαστήματος· ἔστι δὲ καὶ ἄλλη τρίτη μικρά, πολλῷ διαστήματι τῶν δύο κεχωρισμένη. λέγει δὲ εἰς πίστιν τοῦ νῆσον γενέσθαι ὅτι καὶ ὑπὸ ὀρνέων ὁρᾶσθαι συμβαίνει πολλάκις ἰχθῦς φερομένους καὶ ἰχθύων ἄλλοτε λείψανα, ὡς ἐντεῦθεν εἰκάζεσθαι μὴ πολὺ πόρρω εἶναι τὴν θάλασσαν. φησὶ δὲ καὶ Ὅμηρον ἐκ τῆς πρὸς ταύτῃ Θηβαΐδος ἕλκειν τὸ γένος.

ὅτι ὕπατος ὁ βασιλεὺς Ὁνώριος προελθὼν τὸ ἑνδέκατον, καὶ σὺν αὐτῷ Κωνστάντιος τὸ δεύτερον, τὸν Πλακιδίας γάμον ἐπιτελοῦσιν· ἐφ' ᾧ πολλὰ μὲν αὐτὴ ἀνανεύουσα Κωνστάντιον παρεσκεύασε κατὰ τῶν αὐτῆς ὀργίζεσθαι θεραπόντων. τέλος ἐν τῇ τῆς ὑπατείας ἡμέρᾳ ἀπὸ χειρὸς ταύτην ὁ βασιλεὺς καὶ ἀδελφὸς Ὁνώριος ἄκουσαν λαβὼν ἐγχειρίζει παραδιδοὺς Κωνσταντίῳ, καὶ ἐπιτελεῖται εἰς τὸ λαμπρότατον ὁ γάμος. εἶτα καὶ παῖς αὐτοῖς τίκτεται, ἣν ὀνομάζουσιν Ὁνωρίαν, καὶ ἕτερος πάλιν, ᾧ κλῆσιν ἔθεντο Οὐαλεντινιανός· ὃς ζῶντος μὲν Ὁνωρίου νοβελίσσιμος γίνεται βιασαμένης τῆς Πλακιδίας τὸν ἀδελφόν, μετὰ δὲ τὸν θάνατον τοῦ βασιλέως, καὶ ἔτι μετὰ τὴν κατάλυσιν τοῦ τυραννήσαντος Ἰωάννου, καὶ Ῥώμης βασιλεὺς ἀποδείκνυται. ὁ δὲ Κωνστάντιος συμβασιλεύει τῷ Ὁνωρίῳ, αὐτοῦ μὲν χειροτονοῦντος, ἀλλὰ σχεδόν τι ἄκοντος. χειρο- 193 R.
τονεῖται δὲ καὶ ἡ Πλακιδία Αὐγοῦστα, τοῦ τε ἰδίου ἀδελφοῦ καὶ τοῦ ἰδίου ἀνδρὸς χειροτονησάντων. εἶτα πέμπεται πρὸς Θεοδόσιον, ὃς ἀδελφιδοῦς ὢν Ὁνωρίου τῶν πρὸς 112 H.
ἕω μερῶν ἐβασίλευεν, ἡ ἀνάρρησις μηνυομένη τῆς τοῦ Κωνσταντίου βασιλείας, καὶ μένει ἀπαράδεκτος. ἐφίσταται νόσος Κωνσταντίῳ, καὶ μετέμελεν αὐτῷ ἡ βασιλεία, ὅτι οὐκέτι ἦν αὐτῷ ἐπ' ἀδείας ὥσπερ πρότερον ἐξιέναι τε καὶ ἀπιέναι ὅπῃ καὶ ὅπως βούλοιτο, καὶ ὅτι οὐκ ἐξῆν χρῆσθαι βασιλεύοντι οἷς ἔθος εἶχε χρῆσθαι παιγνίοις. τέλος ἑπτὰ βασιλεύσας μῆνας, ὥσπερ αὐτῷ καὶ ὁ ὄνειρος εἶπεν „ἓξ ἤδη πεπλήρωνται καὶ ἄρχονται ἑπτά," πλευριτικῇ νόσῳ τελευτᾷ, συντελευτησάσης αὐτῷ καὶ τῆς κατὰ τὴν ἀνατολὴν ὀργῆς καὶ ὁρμῆς, ἣν ὤδινεν, ὅτι τὴν ἀναγόρευσιν αὐτοῦ τῆς βασιλείας οὐ προσήκαντο.

ὅτι Οὐαλίου τοῦ φυλάρχου τελευτήσαντος Θευδέριχος τὴν ἀρχὴν διαδέχεται.

a. 5. ἀπολύεται A: ἀποστέλλεται ς. 8. κεκολωμένων A, altero ω correcto. 9. κώλου A. Φιλλάτιος ς. 10. ἀπέδειξε ς. 15. τοῦ νοσήματος post εὐκρασίαν ponit A. 21. τὰς] καὶ τὰς ς. 23. κρείσσων παντὸς ς. 28. καὶ ὅτι οὐ περὶ A. 29. αὐτοῖς ὡρολογείων A. 35. πεπλασμένα ς. 38 μεγάλας καὶ τὴν ς. — b. 6. φασὶ ς. 17. immo Οὐαλεντινιανόν: supra certe (p. 59 b 37) ᾧ ἐπέθετο κλῆσιν Θεοδόσιον. cf. 64 b 17. 19. τὸν post δὲ add A: quanquam μετὰ θάνατον est p. 4 b 38 et 31 a 20: μετὰ τελευτὴν p. 55 b 19: πρὸ τελευτῆς p. 56 b 17. 21. ἀναδείκνυται ς. 23. το add A. 27. ἐβασίλευσεν ς. τοῦ add A. 32. ἐξῆν αὐτῷ χρῆσθαι ς. 36. τὴν om A. 37. τῆς βασιλείας αὐτοῦ ς. 39. Οὐάλη ς.

Digitized by Google

ὅτι κατὰ θάλασσαν πολλὰ παθὼν ὁ συγγραφεὺς μόλις διασώζεται. ἐν ᾧ καὶ περὶ ἀστέρος τινὸς τερατολογεῖ, ἐπιβρίσαντος τῷ ἱστίῳ τοῦ πλοίου μέλλειν αὐτοὺς βυθίζεσθαι· οὐρανίαν δὲ τὸ φανὲν παρὰ τῶν ναυτῶν καλεῖσθαι. λέγει δὲ περὶ ψιττακοῦ, ᾧ εἴκοσιν ἔτεσι συνδιῆγεν, ὡς σχεδόν τι οὐδὲν τῶν ἀνθρώπῳ πραττομένων ἀμίμητον κατελίμπανεν· ὠρχεῖτό τε γὰρ καὶ ᾖδε καὶ ἐκάλει ἐξ ὀνόματος καὶ τἄλλα ἔπραττεν.

ὅτι ὁ ἱστορικός φησι διάγοντος αὐτοῦ κατὰ τὰς Θήβας καὶ τὴν Σοήνην ἱστορίας ἕνεκα, ἐν ἐπιθυμίᾳ γενέσθαι τοὺς φυλάρχους καὶ προφήτας τῶν κατὰ τὴν Τάλμιν βαρβάρων, ἤτοι τῶν Βλεμμύων, τῆς ἐντυχίας αὐτοῦ· ἐκίνει γὰρ αὐτοὺς ἐπὶ τοῦτο ἡ φήμη. καὶ ἔλαβόν με, φησί, μέχρι αὐτῆς τῆς Τάλμεως, ὥστε κἀκείνους τοὺς χώρους ἱστορῆσαι, διέχοντας ἀπὸ τῶν Φιλῶν διάστημα ἡμερῶν πέντε, μέχρι πόλεως τῆς λεγομένης Πρῖμα, ἥτις τὸ παλαιὸν πρώτη πόλις τῆς Θηβαΐδος ἀπὸ τοῦ βαρβαρικοῦ ἐτύγχανε· διὸ παρὰ τῶν Ῥωμαίων Ῥωμαίᾳ φωνῇ Πρῖμα ἤτοι πρώτη ὠνομάσθη, καὶ νῦν οὕτω καλεῖται καίτοι ἐκ πολλοῦ οἰκειωθεῖσα τοῖς βαρβάροις μεθ' ἑτέρων τεσσάρων πόλεων, Φοινικῶνος, Χίριδος, Θάπιδος, Τάλμιδος. παρὰ τούτους τοὺς χώρους φησὶ καὶ σμαράγδου μέταλλα εἶναι μαθεῖν, ἐξ ὧν τοῖς Αἰγυπτίων βασιλεῦσιν ἡ σμάραγδος ἐπλεόναζε. καὶ ταῦτα, φησίν, οἱ προφῆται τῶν βαρβάρων προὔτρεπόν με θεάσασθαι· ἀλλ' οὐκ ἦν τοῦτο δυνατὸν γενέσθαι χωρὶς βασιλικῆς προστάξεως.

ὅτι Λιβάνιόν τινα τερατολογεῖ, Ἀσιανὸν τὸ γένος, κατὰ τὴν βασιλείαν Ὀνωρίου καὶ Κωνσταντίου ἐπὶ Ῥάβενναν παραγενέσθαι. ἄκρον δὲ τοῦτον εἶναι τελεστικόν. καὶ δύνασθαι δέ φησι καὶ ὑπισχνεῖσθαι αὐτὸν χωρὶς ὁπλιτῶν καὶ κατὰ βαρβάρων ἐνεργεῖν. εἶτα πεῖραν δούς, φησίν, οὗτος τῆς ὑποσχέσεως, καὶ τῆς φήμης δραμούσης ὥστε καὶ Πλακιδίαν τὴν βασιλίδα μαθεῖν, ἀναιρεῖται ὁ τελεστής· ἠπείλει γάρ, φησίν, ἡ Πλακιδία Κωνσταντίῳ χωρισμὸν τοῦ γάμου, εἰ τοῖς ζῶσι Λιβάνιος περιλείποιτο, ἀνὴρ γόης καὶ ἄπιστος.

ὅτι Κωνστάντιος Ἰλλυριὸς ἦν τὸ γένος, ἀπὸ Ναΐσου πόλεως τῆς Δακίας, καὶ πολλὰς στρατείας ἀπὸ

113 H. τῶν Θεοδοσίου χρόνων τοῦ μεγάλου διελθὼν ὕστερον καὶ

196 R. τὴν βασίλειον ἀρχήν, ὡς εἴρηται, ὑπέδυ. ἦν δὲ τἄλλα μὲν ἐπαινετός, καὶ χρημάτων δὲ κρείττων πρὶν ἢ συναφθῆναι Πλακιδίᾳ· ἐπεὶ δὲ αὐτῇ συνέζευκτο, εἰς φιλοχρηματίαν ἐξώκειλε. μετὰ μέντοι τὸν αὐτοῦ θάνατον δεήσεις κατ' αὐτοῦ τῶν εἰς χρήματα ἀδικηθέντων ἐπὶ Ῥάβενναν πανταχόθεν συνέῤῥεον· ἀλλ' ἡ τοῦ Ὀνωρίου, φησί, κουφότης καὶ ἡ τῆς Πλακιδίας πρὸς αὐτὸν οἰκειότης ἀπράκτους αὐτῶν τὰς αἰτήσεις καὶ τὴν ἰσχὺν τοῦ δικαίου ἀπέφηνεν.

ὅτι τοσαύτη διάθεσις Ὀνωρίῳ πρὸς τὴν οἰκείαν ἀδελφήν, ἐξ οὗπερ ὁ ταύτης ἀνὴρ Κωνστάντιος ἀπεβίω, παρεμπεφύκει, ὡς τὴν ἄμετρον ἀγάπην αὐτῶν καὶ τὰ συνεχῆ κατὰ στόμα φιλήματα εἰς ὑπόληψιν αἰσχρὰν αὐτοὺς τοῖς πολλοῖς ἐμβαλεῖν. ἀλλὰ τοσαύτη πάλιν αὐτοῖς ἐναπετέχθη ἔχθρα σπουδῇ Σπαδούσης καὶ Ἐλπιδίας (τροφὸς δ' ἦν αὕτη Πλακιδίας), αἷς καὶ τὰ πολλὰ προσεῖχε, συμπράττοντος αὐταῖς καὶ Λεοντέως τοῦ ταύτης κουράτορος, ὥστε στάσεις μὲν πολλάκις ἐν τῇ Ῥαβέννῃ συστῆναι (περιῆν γὰρ κἀκείνῃ πλῆθος βαρβάρων ἐκ τῆς πρὸς Ἀδαοῦλφον συναφείας καὶ ἐκ τῆς πρὸς Κωνστάντιον συζυγίας) καὶ πληγὰς δὲ προελθεῖν ἐξ ἑκατέρου μέρους. τέλος ἐκ τῆς ἀναφθείσης ἐκείνης ἔχθρας καὶ τοῦ ἀντιῤῥόπου τῆς πρὶν φιλίας μίσους εἰς Βυζάντιον Πλακιδία, τοῦ ἀδελφοῦ ὑπερισχύσαντος, σὺν τοῖς οἰκείοις παισὶν ἐξορίζεται. καὶ μόνος αὐτῇ Βονηφάτιος τὰ πιστὰ φυλάττων ἀπὸ τῆς Ἀφρικῆς, ἧς ἦρχε, καὶ χρήματα ὡς ἐδύνατο ἔπεμπε καὶ πρὸς τὴν ἄλλην αὐτὸς ἔσπευδε θεραπείαν, ὕστερον δὲ καὶ εἰς τὴν τῆς βασιλείας ἀνάληψιν ἅπαντα συνεβάλετο.

ὅτι Ὁνώριος ὑδερικῷ νοσήματι ἁλοὺς πρὸ ἓξ καλανδῶν Σεπτεμβρίων τελευτᾷ· καὶ πέμπονται γράμματα πρὸς τὴν ἀνατολὴν τὸν βασιλέως θάνατον μηνύοντα. ἐν ᾧ δὲ ταῦτα ἐπέμποντο, Ἰωάννης τις αὐθεντήσας τυραννεῖ. ἐφ' οὗ καὶ τῆς ἀναῤῥήσεως γινομένης ἐῤῥέθη ὥσπερ ἀπό τινος προῤῥήσεως προαχθὲν „πίπτει, οὐ στήκει," καὶ τὸ πλῆθος ὥσπερ ἀναλύοντες ἐπὶ τὸ ῥηθὲν ἀναφωνοῦσι „στήκει, οὐ πίπτει."

ὅτι Βονηφάτιος ἀνὴρ ἦν ἡρωϊκός, καὶ κατὰ πολλῶν πολλάκις βαρβάρων ἠρίστευσεν, ἄλλοτε μὲν σὺν ὀλίγοις ἐπερχόμενος, ἄλλοτε δὲ καὶ σὺν πλείοσιν, ἐνίοτε δὲ καὶ μονομαχῶν· καὶ ἁπλῶς εἰπεῖν, παντὶ τρόπῳ πολλῶν βαρβάρων καὶ διαφόρων ἐθνῶν ἀπήλλαξε τὴν Ἀφρικήν. ἦν δὲ καὶ δικαιοσύνης ἐραστὴς καὶ χρημάτων κρείτ-

a. 4. ναυτῶν A: αὐτῶν ς. 7. καταλιμπάνας ς. τε add A. 9. αὐτοῦ om A. τὰς add A. 10. Σοήνην ς. 14. μέχρις ς. 15. διέχοντος ς. Labbeus διέχοντα vel διεχούσης. φίλων ς. 18. διετύγχανε ς. 35. Λιβάνιος περιλίποιτο τοῖς ζῶσιν ς. 37. ἀπὸ Ναΐσου Labbeus. 39. καὶ εἰς τὴν ς. b. 1. αὐτῇ add A. 3. χρημάτων ς. 8. Ὀνωρίου ς. 10. αὐτῶν ἀγάπην ς. 11. αὐτοὺς] αὐτῶν A. 13. Σπαδούσης καὶ A: σπουδαζούσης ς. 30. πρὸς A: εἰς ς. 32. γενομένης ς. 33. πραχθὲν ς. 34. ἀναλύοντες] fortasse leg. ἀλύοντες. ἐπὶ τὸ ῥηθὲν A: τὸ ῥῆμα ς.

Digitized by Google

των. ἐπράχθη δὲ αὐτῷ ϗ τι τοιοῦτον. ἀνήρ τις ἄγροικος, ἔχων ἀνθοῦσαν γυναῖκα τὴν ὥραν, ὑπό τινος τῶν συμμάχων βαρβάρων ἐμοιχεύετο. δεῖται τοιγαροῦν Βονηφατίου, τὴν ὕβριν ὀλοφυρόμενος. ὁ δὲ Βονηφάτιος μαθὼν τὸ διάστημα τοῦ τόπου καὶ τὸ ὄνομα τοῦ ἀγροῦ, 114 H. ἐν ᾧ τὰ τῆς μοιχείας ἐπράττετο, τὸν μὲν ἱκέτην τέως ἀπέπεμπε, προστάξας πάλιν τῇ ἑξῆς αὐτῷ προσελθεῖν, ὀψίας δὲ λαθὼν ἅπαντας, καὶ ἐπὶ τὸν ἀγρὸν ἐλάσας ἑβδομήκοντα διεστάμενον σταδίοις, ϗ εὑρὼν τὸν βάρβαρον τῇ μοιχευομένῃ συγκαθεύδοντα, τέμνει τε αὐτοῦ τὴν κεφαλὴν καὶ δι᾽ αὐτῆς ὑποστρέφει νυκτός. προσελθόντι δὲ κατὰ τὸ πρόσταγμα εἰς τὴν αὔριον τῷ ἀνδρὶ ἐπιδίδωσι τοῦ βαρβάρου τὴν κεφαλήν, δια- 197 R. πυνθανόμενος εἰ ἐπιγινώσκοι αὐτήν. ὁ δὲ τοῖς παροῦσιν ἅμα καταπλαγεὶς ϗ ἀμηχανήσας, ἔπειτα ἐπιγνοὺς καὶ πολλὰ τῆς δικαιοσύνης εὐχαριστήσας, σὺν χαρᾷ ἀπῄει.

ὅτι ἕκαστος τῶν μεγάλων οἴκων τῆς Ῥώμης, ὥς φησιν, ἅπαντα εἶχεν ἐν ἑαυτῷ ὁπόσα πόλις σύμμετρος ἠδύνατο ἔχειν, ἱππόδρομον ϗ φόρους ϗ ναοὺς ϗ πηγὰς ϗ λουτρὰ διάφορα. διὸ ϗ ὁ συγγραφεὺς ἀπεφθέγξατο

ὡς δόμος ἄστυ πέλει· πόλις ἄστεα μυρία κεύθει.

ἦσαν δὲ καὶ λουτρὰ δημόσια παμμεγέθη. αἱ δὲ Ἀντωνιαναὶ οὕτω καλούμεναι εἰς χρείαν τῶν λουομένων καθέδρας εἶχον παρακειμένας χιλίας ἑξακοσίας, ἐκ μαρμάρου κατεσκευασμένας ξεστοῦ· αἱ δὲ Διοκλητιαναὶ ἐγγὺς διπλασίους. τό τε τεῖχος τῆς Ῥώμης μετρηθὲν παρὰ Ἄμμωνος τοῦ γεωμέτρου, καθ᾽ ὃν καιρὸν Γότθοι τὴν προτέραν κατ᾽ αὐτῆς ἐπιδρομὴν ἐποιήσαντο, εἴκοσι ϗ ἑνὸς μιλίου διάστημα ἔχον ἀπεδείχθη.

ὅτι πολλοὶ οἶκοι Ῥωμαίων προσόδους κατ᾽ ἐνιαυτὸν ἐδέχοντο ἀπὸ τῶν κτημάτων αὐτῶν ἀνὰ μ΄ χρυσοῦ κεντηνάρια, χωρὶς τοῦ σίτου καὶ τοῦ οἴνου καὶ τῶν ἄλλων ἁπάντων εἰδῶν, ἃ εἰς τρίτον συνέτεινεν, εἰ ἐπιπράσκετο, τοῦ εἰσφερομένου χρυσίου. τῶν δὲ μετὰ τοὺς πρώτους δευτέρων οἴκων τῆς Ῥώμης πεντεκαίδεκα ϗ δέκα κεντηναρίων ἡ πρόσοδος ἦν. καὶ ὅτι Πρόβος ὁ παῖς Ὀλυμπίου, τελέσας τὴν οἰκείαν πραιτοῦραν κατὰ τὸν καιρὸν τῆς Ἰωάννου τυραννίδος, δώδεκα κεντηνάρια χρυσοῦ ἀνήλωσε· Σύμμαχος δὲ ὁ λογογράφος, συγκλητικὸς ὢν τῶν μετρίων, πρὶν ἢ τὴν Ῥώμην ἁλῶναι, τοῦ παιδὸς Συμμάχου πραιτοῦραν τελοῦντος κ΄ κεντηνάρια ἐδαπάνησε· Μάξιμος δέ, εἷς τῶν εὐπόρων, εἰς τὴν τοῦ υἱοῦ πραιτοῦραν μ΄ κατεβάλετο κεντηνάρια. ἑπτὰ δὲ ἡμέραις οἱ πραίτωρες τὰς πανηγύρεις ἐτέλουν.

ὅτι ὁ συγγραφεὺς τῷ Ὀδυσσεῖ τὴν πλάνην οὐ κατὰ Σικελίαν φησὶ γεγενῆσθαι, ἀλλὰ κατὰ τὰ πέρατα τῆς Ἰταλίας· καὶ τὴν εἰς Ἅιδου κάθοδον παρὰ τὸν ὠκεανὸν γεγενῆσθαι, ἐν ᾧ ϗ ἡ πολλὴ πλάνη. ἀγωνίζεται δὲ διὰ πολλῶν τοῦτο παραστῆσαι. ἡμεῖς δὲ ϗ ἄλλους διαφόρους ἀνέγνωμεν ἐν τούτοις αὐτῷ συμφωνοῦντας.

ὅτι ἀποστέλλεται ἀπὸ Κωνσταντινουπόλεως παρὰ Θεοδοσίου Πλακιδία ἅμα παισὶ κατὰ τοῦ τυράννου, ϗ ἐπαναλαμβάνει αὐτὴ μὲν τὸ τῆς Αὐγούστης, ὁ δὲ Οὐαλεντινιανὸς τὸ τοῦ νωβελισσίμου ἀξίωμα· συνεκπέμπεται δὲ αὐτοῖς ϗ στρατὸς ϗ στρατοπεδάρχης ἑκατέρας δυνάμεως Ἀρδαβούριος ἅμα τῷ παιδὶ Ἄσπαρι, ϗ τρίτος Κανδιδιανός. 115 H. κατὰ δὲ τὴν Θεσσαλονίκην Ἡλίων ὁ τῶν ὀφφικίων μάγιστρος παρὰ Θεοδοσίου ἀποσταλεὶς ἐνδύει Βαλεντινιανὸν ἐπ᾽ αὐτῆς Θεσσαλονίκης τὴν τοῦ Καίσαρος ἐσθῆτα, πέμπτον ἔτος ἄγοντα τῆς ἡλικίας. κατιόντων δὲ αὐτῶν Ἀρδαβούριος μὲν ἁλίσκεται παρὰ τῶν τοῦ τυράννου, καὶ ἀναπέμπεται πρὸς αὐτόν, ϗ φιλιάζει αὐτῷ· ὁ δὲ τούτου παῖς ἅμα Πλακιδίᾳ ἐν ἀθυμίᾳ καὶ λύπῃ ἦσαν· Κανδιδιανὸς δὲ πολλὰς πόλεις αἱρῶν καὶ εὐδοκιμῶν λαμπρῶς τὸ λυποῦν διεσκέδαζε καὶ ἐψυχαγώγει. εἶτα σφάζεται ὁ τύραννος Ἰωάννης, ϗ Πλακιδία ἅμα Καίσαρι τῷ παιδὶ εἰσέρχεται εἰς τὴν Ῥάβενναν. Ἡλίων δὲ ὁ μάγιστρος ϗ πατρίκιος καταλαβὼν τὴν Ῥώμην, ϗ πάντων ἐκεῖσε συνδραμόντων, 200 R. τὴν βασιλικὴν ἐσθῆτα ἑπταετηρὸν ὄντα ἐνδύει Βαλεντινιανόν. ἐν οἷς καὶ τὰ τῆς ἱστορίας.

## 81.

Ἀνεγνώσθη βιβλιδάριον ΘΕΟΔΩΡΟΥ περὶ τῆς ἐν Περσίδι μαγικῆς, καὶ τίς ἡ τῆς εὐσεβείας διαφορά, ἐν λόγοις τρισί. προσφωνεῖ δὲ αὐτοὺς πρὸς Μαστούβιον ἐξ Ἀρμενίας ὁρμώμενον, χωρεπίσκοπον δὲ τυγχάνοντα. ϗ ἐν μὲν τῷ πρώτῳ λόγῳ προτίθεται τὸ μιαρὸν Περσῶν δόγμα, ὃ Ζαράδης εἰσηγήσατο, ἤτοι περὶ τοῦ Ζουρουάμ, ὃν ἀρχηγὸν πάντων εἰσάγει, ὃν καὶ τύχην καλεῖ· ϗ ὅτι σπένδων, ἵνα τέκῃ τὸν Ὁρμίσδαν, ἔτεκεν ἐκεῖνον καὶ τὸν Σατανᾶν· καὶ περὶ τῆς αὐτῶν αἱμο-

a. 3. ἐμοιχεύετο A: ἔγνω αὐτὴν μοιχευομένην ς. 6. οἰκέτην ς. 14. ἐπιγινώσκει ς. 16. ἀπευχαριστήσας ς.
22. κεύθει A: τεύχει ς. 25. εἶχε ς. 27. τὸ δὲ τῆς Ῥώμης τεῖχος ς. 29. καταδρομὴν ς. 32. κεντηναρίων apographum Stephani. 38. Ἀλοπίου ς. 40. ἀνάλωσε ς. 41. Ῥώμην A: πόλιν ς. b. 7. Ἰταλίας] „quid si Hispaniae legas?" Labbeus. 10. συμφρονοῦντας ς. 19. ἐνδύει ς. 37. ἐκτίθεται ς. μ. τῶν Περσῶν ς.
38. Ζαοράδης ς. Ζαρουάμ ς. 41. τῆς αὐτῆς αὐτῶν ς.

μιξίας. καὶ ἁπλῶς τὸ δυσσεβὲς καὶ ὑπέραισχρον δόγμα κατὰ λέξιν ἐκθεὶς ἀνασκευάζει ἐν τῷ πρώτῳ λόγῳ. ἐν δὲ τοῖς λοιποῖς δυσὶ λόγοις τὰ περὶ τῆς εὐσεβοῦς διέρχεται πίστεως, ἀπὸ τῆς κοσμογονίας ἀρξάμενος, καὶ περὶ αὐτῆς τῆς χάριτος ὁμοίως καὶ ἐπιτροχάδην διελθών.

Οὗτος ὁ Θεόδωρος ὁ Μοψουεστίας εἶναι δοκεῖ· τήν τε γοῦν Νεστορίου αἵρεσιν, καὶ μάλιστα ἐν τῷ τρίτῳ λόγῳ, κρατύνων προαναφωνεῖ, ἀλλὰ καὶ τὴν τῶν ἁμαρτωλῶν ἀποκατάστασιν τερατεύεται.

## 82.

Ἀνεγνώσθη ΔΕΞΙΠΠΟΥ τὰ μετὰ Ἀλέξανδρον, ἐν λόγοις τέσσαρσιν. ἀνεγνώσθη δὲ αὐτοῦ καὶ ἕτερον σύντομον ἱστορικόν, μέχρι τῆς Κλαυδίου ἐπιτρέχον τὰς κεφαλαιώδεις πράξεις βασιλείας. ἀνεγνώσθη δὲ αὐτοῦ καὶ τὰ Σκυθικά, ἐν οἷς αἱ Ῥωμαίων αὐτῷ καὶ Σκυθῶν ἀναγράφονται πρὸς ἀλλήλους μάχαι τε καὶ ἀξιόλογοι πράξεις. ἔστι δὲ τὴν φράσιν ἀπέριττός τε καὶ ὄγκῳ καὶ ἀξιώματι χαίρων, καὶ (ὡς ἄν τις εἴποι) ἄλλος μετά τινος σαφηνείας Θουκυδίδης, μάλιστά γε ἐν ταῖς Σκυθικαῖς ἱστορίαις.

Ἄρχεται δὲ ἐν τοῖς μετὰ Ἀλέξανδρον ἀπ᾽ αὐτῆς τῆς τοῦ βασιλέως τελευτῆς, καὶ διέξεισιν ὅπως εἰς τὸν ἀδελφὸν Ἀλεξάνδρου τὸν Ἀριδαῖον, ὃς ἦν ἐκ Φιλίνης τῆς Λαρισαίας τῷ Φιλίππῳ γεγενημένος, ἡ τῶν Μακεδόνων ἀρχὴ περιέστη, εἰς αὐτόν τε καὶ εἰς τὸν μέλλοντα Ἀλεξάνδρου παῖδα τίκτεσθαι ἐκ Ῥωξάνης (ἐν γαστρὶ γοῦν ἔχουσα καταλέλειπτο) καὶ εἰς τοὺς ἀμφὶ Περδίκκαν, οἳ κρίσει τῶν Μακεδόνων ἐπετρόπευον αὐτοῖς τὴν ἀρχήν. διέξεισι καὶ ὅπως ἡ τοῦ Ἀλεξάνδρου διενε-
116 H. μήθη ἀρχή. τὰ μὲν οὖν τῆς Ἀσίας οὕτω. Πτολεμαῖος ὁ Λάγου Αἰγύπτου πάσης καὶ Λιβύης καὶ τῆς ἐπέκεινα γῆς, ὁπόση Αἰγύπτῳ συνάπτει, ἄρχειν ἐτάχθη· ὁ δὲ τῷ βασιλεῖ Ἀλεξάνδρῳ ἐπὶ τῇ σατραπείᾳ ταύτῃ τεταγμένος Κλεομένης ὕπαρχος Πτολεμαίῳ ἀποκατέστη. Λαομέδων δὲ ὁ Μιτυληναῖος Σύρων ἡγεῖσθαι ἀπεφάνθη, καὶ Φιλώτας μὲν Κιλικίας, Πίθων δὲ Μηδίας, Εὐμένης δὲ Καππαδοκίας τε καὶ Παφλαγονίας καὶ τῶν ἐπὶ τὸν εὔξεινον πόντον κατιόντων μέχρι καὶ ἐς Τραπεζοῦντα, Ἀντίγονος δὲ Παμφύλων καὶ Κιλίκων μέχρι Φρυγίας, Καρῶν δὲ Ἄσανδρος,
201 R. Μένανδρος δὲ Λυδῶν, Λεωνάτος δὲ τῆς ἐφ᾽ Ἑλλησπόντῳ Φρυγίας. καὶ τῶν μὲν Ἀσιανῶν οὕτω, τῶν δ᾽ Εὐρωπαίων Θρᾴκης μὲν καὶ Χερρονήσου Λυσίμαχος, Ἀντίπατρος δὲ ἐπὶ πᾶσι Μακεδόσι καὶ Ἕλλησι καὶ Ἰλλυριοῖς καὶ Τριβαλλοῖς καὶ Ἀγριᾶσι καὶ ὅσα τῆς ἠπείρου ἐξέτι Ἀλεξάνδρου στρατηγὸς αὐτοκράτωρ ἐτέτακτο. τὴν δὲ κηδεμονίαν καὶ ὅση προστασία τῆς βασιλείας, Κρατερὸς ἐπετράπη, ὃ δὴ πρώτιστον τιμῆς τέλος παρὰ Μακεδόσι· Περδίκκας δὲ τὴν Ἡφαιστίωνος χιλιαρχίαν. ἦσαν δὲ ἄρχοντες Ἰνδῶν μὲν ἁπάντων Πῶρος καὶ Ταξίλης· ἀλλ᾽ ὁ μὲν Πῶρος οἱ ἐν μέσῳ Ἰνδοῦ ποταμοῦ καὶ Ὑδάσπου νέμονται, Ταξίλης δὲ τῶν λοιπῶν. Πίθων δέ τις τῶν τούτοις ὁμόρων ἡγεῖτο, πλὴν Παραμισάδων. οἱ δὲ συνάπτοντες Ἰνδοῖς, ὅσοι ὑπὸ τοῖς Καυκασίοις ὄρεσι νέμονται, Ὀξυάρτῃ τῷ Βακτρίῳ, ὃς ἦν Ῥωξάνης πατήρ, εἰς ἀρχὴν ἀπενεμήθησαν· ἧς ἐτέχθη παῖς μετὰ τὸν τοῦ πατρὸς Ἀλεξάνδρου θάνατον, ᾧ τὸ Μακεδόνων πλῆθος τοῦ πατρὸς τὴν προσηγορίαν Ἀλέξανδρον ἔθεντο. Ἀραχωσίων δὲ καὶ Γαδρωσίων ἐπῆρχε Σιβύρτιος, καὶ Στασάνωρ ὁ Σόλιος Ἀρείων καὶ Δράγγων ἡγεῖτο. Φιλίππου δὲ ἦν ἀρχὴ Σογδιανοὶ καὶ Ῥαδαφέρνους Ὑρκανίαι καὶ Νεοπτολέμου Καρμανία. Πέρσαι δὲ ὑπὸ Πευκέστῃ ἐτάχθησαν. τὴν δὲ Σογδιανῶν βασιλείαν Ὀρώπιος εἶχεν, οὐ πάτριον ἔχων ἀρχήν, ἀλλὰ δόντος αὐτοῦ Ἀλεξάνδρου· ἐπεὶ δὲ τύχη τις αὐτῷ συνέπεσεν, ἐπαναστάσεως αἰτίαν φεύγοντι παραλυθῆναι τῆς ἀρχῆς, τότε κοινῶς αὐτῶν τὴν ἀρχὴν εἶχε. Βαβυλωνίων δὲ καὶ τῆς μέσης τῶν ποταμῶν Τίγρητος καὶ Εὐφράτου, τῶν μὲν Σέλευκος, τῆς δὲ Μεσοποταμίας Ἀρχέλαος ἦρχε. τοσόσδε ἀριθμὸς ἐθνῶν τε καὶ ἔθνεσιν ἀρχόντων ἦν, ὅτε Περδίκκας μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν τὰς ἀρχὰς ἔνειμε. καὶ τὰ ἄλλα διέξεισιν ἐν πολλοῖς, ὡς κἂν τούτοις, Ἀρριανῷ κατὰ τὸ πλεῖστον σύμφωνα γράφων.

## 83.

Ἀνεγνώσθη ΔΙΟΝΥΣΙΟΥ ἉΛΙΚΑΡΝΑΣΣΕΩΣ τοῦ Ἀλεξάνδρου βιβλία ἱστορικῶν λόγων εἴκοσιν. ἄρχεται ἀπὸ τῆς Αἰνείου μετὰ Τροίας ἅλωσιν ἐπὶ τὴν Ἰταλίαν ἀφίξεως, καὶ διέξεισιν ἐν πολλῇ λεπτολογίᾳ τήν τε τῆς Ῥώμης οἴκισιν καὶ τὴν Ῥέμου καὶ Ῥωμύλου γέννησιν καὶ ἁπλῶς ἐφεξῆς ἅπαντα, μέχρις ὅτου Ῥωμαίοις ὁ πρὸς Πύρρον τὸν ἠπειρώτην πόλεμος συνέστη. διέρχεται δὲ καὶ αὐτὸν ἐκεῖνον, καὶ τελευτᾷ ἐς τὴν ρ´ καὶ κη´ Ὀλυμπιάδα,

a. 6. οὗτος δ᾽ ὁ ς. 8. ἐπικρατύνων ς. προσαναφωνεῖ ς. 15. αἱ] αἱ τῶν ς. 16. τε add *A*. 23. ἀρριδαῖον *A*. 24. Λαρισσαίας ς. 36. πείθων pr *A*, πύθων corr. 39. τραπεζοῦντος *A*. 41. ἑλλησπόντου corr *A*.
b. 5. ἐξέτι *A*: ἐξ ἔτη ς. 12. πύθων corr *A*. παραμεισαδων *A*: verum est Παροπαμισαδῶν. 14. τὰ Καυκάσια ὄρη ς. 32. Ἀρειανῷ ς. post γράφων in *A* versus viginti duo vacui. 34. ἁλικαρνασέως ς. 36. μετὰ τὴν τῆς Τροίας ς. 38. libri οἴκησιν. Ῥέμου] ῥώμου corr *A*.

Digitized by Google

117 H. ἔτους "αὐτῆς ἐνεστηκότος τρίτου· ἀφ' ἧς καὶ φησιν ἀπάρξασθαι τὸν Μεγαλοπολίτην Πολύβιον τῆς ἱστορίας. ἤκμασε δὲ οὗτος ἐπὶ τῶν Αὐγούστου χρόνων, καταπλεύσας εἰς Ἰταλίαν ἅμα τῷ καταλυθῆναι τὸν ἐμφύλιον πόλεμον, ὃς αὐτῷ τε Αὐγούστῳ καὶ Ἀντωνίῳ ἐπολεμήθη· διατρίψας δέ, ὥς φησιν, ἔτη δύο καὶ εἴκοσι, καὶ τήν τε Ῥωμαϊκὴν ἐξακριβώσας διάλεκτον, καὶ τὰ παρ' αὐτοῖς ἀρχαῖα ἐκμαθών, καὶ πάντα ὅσα πρὸς τὴν ἱστορίαν τείνει παρασκευασάμενος, οὕτως ἄρχεται τῆς πραγματείας. ἔστι δὲ τὴν φράσιν καὶ τὴν λέξιν καινοπρεπὴς 204 R. καὶ ἐς τὸ ἀνακεχωρηκὸς τῶν πολλῶν "τὸν λόγον ἐκβιαζόμενος· ἡ δὲ κατὰ μέρος διήγησις μετέχειν τε τῆς κατὰ διάνοιαν ἀφελείας ποιεῖ, καὶ οὐδ' εἰς τὸ ἄχαρι καὶ σκληρὸν ἐπιτρέπει παρασυρῆναι. κέχρηται δὲ καὶ παρεκβάσεσι οὐκ ὀλίγῃ, τὸν ἀκροατὴν ἀπὸ τοῦ περὶ τὴν ἱστορίαν κόρου διαλαμβάνων ταύτῃ καὶ ἀναπαύων καὶ ἀνακτώμενος. εἰπεῖν δὲ συντόμως, ὅτι καὶ τὸ κομψὸν τοῦ λόγου, τῇ τε κατὰ μέρος ἀφηγήσει καὶ τῇ παρεκβάσει κεκραμένον, τὴν ἐπὶ τὸ τραχύτερον ῥέπουσαν θεραπεύει συνέπειαν.

84.

Ἀνεγνώσθη τοῦ αὐτοῦ σύνοψις τῶν τῆς ἱστορίας κ' βιβλίων ἐν ε' βιβλίοις· ἐν ᾗ μᾶλλον δοκεῖ ἑαυτοῦ κομψότερος μέν, ἀφῃρημένος δὲ τὸ ἥδυνον, εἰ καὶ τῷ χρησίμῳ μᾶλλον διαπρέπει, ἅτε χωρὶς τῶν ἀναγκαίων μηδὲν τῷ λόγῳ καταμιγνύμενος. ἀλλ' εἴπεν ἄν τις, ὡς ἂν ἀπὸ σκήπτρου θεμιστεύων, καὶ τῷ ἀπερίττῳ καὶ συντετμημένῳ, καὶ ἔτι τῇ τε συνθήκῃ καὶ τῇ λέξει, ἠχώ τινα πέμπων, τραχύτερός πώς ἐστι τοῖς ἀκροαταῖς προσφερόμενος. πλὴν συνόψει μὲν ὁ λόγος οὐκ ἀνάρμοσος, τῷ δὲ τελείῳ καὶ ὁλοκλήρῳ τῆς ἱστορίας οὔτι πρόσφορος. δῆλον δ' ὡς οὗτος ὁ συγγραφεὺς Δίωνός τε τοῦ Κοκκίου καὶ Ἀππιανοῦ τοῦ Ἀλεξανδρέως, τῶν τὰς Ῥωμαϊκὰς ἱστορίας συντεταχότων, χρόνῳ καθέστηκεν ἀρχαιότερος.

85.

Ἀνεγνώσθη ἩΡΑΚΛΕΙΑΝΟΥ ἐπισκόπου Καλχηδόνος κατὰ Μανιχαίων ἐν βιβλίοις κ'. ἔστι δὲ τὴν φράσιν συντετμημένος καὶ ἀπέριττος καὶ ὑψηλός, οὐδὲ τοῦ σαφοῦς ἐκκλίνων· ἀλλὰ σύγκρατος αὐτοῦ τῷ μεγέθει ἡ σαφήνεια, ἅτε καὶ τῷ ἀττικισμῷ τὸ καθωμιλημένον μιγνύντος καὶ παίδων ἡγουμένου εἰς ἅμιλλαν καθισαμένων τὸν (ὡς ἂν εἴποι τις) ὑπεραττικισμόν. ἀνατρέπει δὲ τὸ παρὰ τοῖς Μανιχαίοις καλούμενον εὐαγγέλιον καὶ τὴν Γιγάντειον βίβλον καὶ τοὺς θησαυρούς. καταλέγει καὶ ὅσοι πρὸ αὐτοῦ κατὰ τῆς τοῦ Μανιχαίου συνέγραψαν ἀθεότητος, Ἡγεμόνιόν τε τὸν τὰς Ἀρχελάου πρὸς αὐτὸν ἀντιλογίας ἀναγράψαντα, καὶ Τίτον, ὃς ἔδοξε μὲν κατὰ Μανιχαίων γράφειν, ἔγραψε δὲ μᾶλλον κατὰ τῶν Ἄδδου συγγραμμάτων, ἔτι δὲ καὶ τὸν Λαοδικέα Γεώργιον, τοῖς αὐτοῖς σχεδὸν οἷς ὁ Τίτος κατὰ τῆς ἀσεβείας κεχρημένον ἐπιχειρήμασι, καὶ Σεραπίωνα τὸν τῆς Θμιούεως ἐπίσκοπον, καὶ τὸν Διόδωρον, ἐν κ' καὶ ε' βιβλίοις τὸν κατὰ Μανιχαίων ἀγῶνα ἀγωνισάμενον, ὃς διὰ μὲν τῶν πρώτων "βι- 118 H. βλίων ἑπτὰ οἴεται μὲν τὸ τοῦ Μανιχαίου ζῶν εὐαγγέλιον ἀνατρέπειν, οὐ τυγχάνει δὲ ἐκείνου, ἀλλὰ ἀνατρέπει τὸ ὑπὸ Ἄδδα γεγραμμένον, ὃ καλεῖται μόδιον· διὰ δὲ τῶν ἐφεξῆς τὴν τῶν γραφικῶν ῥητῶν, ἃ οἱ Μανιχαῖοι ἐξοικειοῦνται πρὸς τὸ σφίσι βεβουλημένον, ἀνακαθαίρει χρῆσιν καὶ διασαφεῖ. καὶ ὁ μὲν Διόδωρος οὕτως. τούτων δὲ τῶν (ὥς αὐτός φησιν ὁ θεοσεβέστατος Ἡρακλειανός) πατέρων μνήμην πεποιηκώς, ὅσα μὲν ἀσθενῶς αὐτοῖς εἴρηται, ἐπισημαινόμενος παρατρέχει, ὅσα δὲ ἐλλιπῶς, εὐλαβῶς ἀναπληροῖ, καὶ ὅσα ἀρκούντως, ἀδεκάστως ἀποδεχόμενος δι' εὐφημίας ποιεῖται, συντάττων αὐτοῖς καὶ ἅπερ αὐτῷ διενοήθη. "ἔστι δὲ ὁ ἀνὴρ πνέων καὶ τὴν ἀπὸ φιλοσοφίας ἰσχύν, 205 R. καὶ τὴν ἀπὸ τῶν ἄλλων μαθημάτων πλουτῶν θεωρίαν· διὸ καὶ τὰ παραλόγως μυθολογηθέντα τῷ Μανιχαίῳ εἰς τὸ σφοδρότατον ἀνατρέπει, ἐξ αὐτῆς τῆς τῶν ὄντων θεωρίας τὴν περὶ τοῦ ὄντος αὐτῷ μεμυθολογημένην ἀπελέγχων φλυαρίαν. ἐγράφη δὲ αὐτῷ ἡ εἰκοσάβιβλος αὕτη ἡ κατὰ τῶν Μανιχαίων πρὸς Ἀχίλλιον αἰτησάμενον, ὃν καὶ πιστὸν καὶ ποθεινότατον ἀποκαλεῖ τέκνον· ὁ γοῦν Ἀχίλλιος, ὁρῶν τὴν τῶν Μανιχαίων εἰς πλάτος ἐπιδιδοῦσαν ἀσέβειαν, ᾔτησε τὴν κατ' αὐτῆς ἀναγραφῆναι στήλην, καὶ εἰς ἀπαράγραπτον ἀναγέγραπται θρίαμβον. ἦν δ' οὗτος ὁ θεοσεβέστατος Ἡρακλειανὸς κατὰ τοὺς χρόνους

86.

Ἀνεγνώσθησαν ἐπιστολαὶ τοῦ ἐν ἁγίοις πατρὸς ἸΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ, ἃς μετὰ τὴν ἄδικον καὶ ἀπάνθρωπον ἐξορίαν πρὸς διαφόρους ἔγραψεν· ἐν

a. 1. ἐνεστηκότος αὐτῆς ς. 7. τε add A. 19. κεκρυμμένον A. 24. μὲν κομψότερος ς. 37. Χαλκηδόνος ς. 42. καθισαμένου τῷ — ὑπεραττικισμῷ ς. accusativos dedit C. b. 10. ἀσεβείας A: ἀληθείας ς. ἐπιχειρήματα ς. 14. ἐστὶ τὸ — ἀνατρέπει ς. 21 et 37. ἡρακλιανὸς A. 22. αὐτοῖς ἀσθενῶς ς. 26. τὴν add A. 32. Ἀγχίλλιον ς. 34. Ἀγχίλλιος ς. 38. post χρόνους in A versus quattuor vacui.

αἷς εἰς τὸ χρειῶδες μᾶλλον συντείνουσαι αἵ τε πρὸς τὴν εὐλαβεστάτην Ὀλυμπιάδα τὴν διάκονον αὐτῷ γεγραμμέναι δεκαεπτά, καὶ αἱ πρὸς Ἰννοκέντιον τὸν Ῥώμης, ἐν αἷς καὶ ὅσα αὐτῷ συνηνέχθη ὡς ἐν ἐπιστολῆς εἴδει ἐξιστορεῖ. κέχρηται δὲ κἂν ταύταις ταῖς ἐπιστολαῖς τῷ συνήθει τοῦ λόγου χαρακτῆρι· λαμπρός τε γάρ ἐστι καὶ σαφὴς καὶ ἀνθῶν μετὰ τοῦ ἡδέος τὴν πιθανότητα, πλὴν ὅσον ἐμμελέστερόν πως δοκοῦσιν αἱ πρὸς Ὀλυμπιάδα αὐτῷ συγκεῖσθαι ἐπιστολαί, εἰ καὶ τοῦ ἐπιστολιμαίου τύπου, τῶν πραγμάτων τότε εἰς τὴν ἑαυτῶν ἰσχὺν τοὺς τῶν ῥημάτων νόμους ἐκβιασαμένων, οὐ λίαν ἐγράφησαν στοχαζόμεναι.

## 87.

Ἀνεγνώσθησαν Ἀλεξανδρέως ΑΧΙΛΛΕΩΣ ΤΑΤΙΟΥ τῶν περὶ Λευκίππην καὶ Κλειτοφῶντα λόγοι η΄. ἔστι δὲ δραματικόν, ἔρωτάς τινας ἀτόπους ἐπεισάγον. καὶ λέξει μὲν καὶ συνθήκῃ δοκεῖ διαπρέπειν· εὐσήμῳ τε γὰρ καὶ ἐπὶ τροπὴν οἰκείως τετραμμένῃ, ὅτε καὶ ταύτῃ χρῷτο· ἀφοριστικαί τε καὶ σαφεῖς καὶ τὸ ἡδὺ φέρουσαι αἱ πλεῖσται περίοδοι, καὶ τὴν ἀκοὴν τῷ ἤχῳ λεαίνουσαι. ἀλλὰ τό γε λίαν ὑπέραισχρον καὶ ἀκάθαρτον τῶν ἐννοιῶν καὶ τὴν τοῦ γεγραφότος φαυλίζει γνώμην ἐν πάσῃ καὶ σπουδήν, καὶ τοῖς ἀναγινώσκειν ἐθέλουσι κατάπτυστον τὴν ἀνάγνωσιν ποιεῖται καὶ φευκτήν. πολλὴν δὲ ὁμοιότητα ἐν τῇ διασκευῇ καὶ πλάσει τῶν διηγημάτων, πλὴν σχεδόν τι τῶν προσώπων τῆς ὀνομασίας καὶ τῆς μυσαρᾶς αἰσχρότητος, πρὸς τὰ τοῦ Ἡλιοδώρου δράματα φυλάττει.

## 88.

119 H. Ἀνεγνώσθη βιβλίον, ὡς ἐν ἱστορίας τύπῳ, τὰ κατὰ τὴν ἐν Νικαίᾳ σύνοδον πραχθέντα· τόμοι δὲ τὸ βιβλίον
208 B. τρεῖς. λέγει δὲ τὸν μὲν Ὅσιον τὸν τοῦ Κουδρούβης καὶ Βίτωνα καὶ Βικέντιον, Ῥωμαϊκοὺς ἱερέας, ἐκ προσώπου Σιλβέστρου τοῦ Ῥώμης παρεῖναι, Εὐστάθιον δὲ τὸν Ἀντιοχείας αὐτὸν ἐκεῖνον, Ἀλέξανδρον δέ, ὃς τότε πρεσβυτέρου ἀξίωμα εἶχεν, εἰς πρόσωπον τοῦ Κωνσταντινουπόλεως Μητροφάνους παρεῖναι· ἐκεῖνος γὰρ ἐκωλύετο βαθυτάτῳ γήρᾳ, ἐπεὶ αὐτῷ ὁ χρόνος τοῦ βίου ὑπὲρ τὰ ἑκατὸν ἐξετείνετο ἔτη. συμπαρεῖναι καὶ Ἀλέξανδρον τὸν Ἀλεξανδρείας ἅμα Ἀθανασίῳ, ὃς ὕστερον καὶ διάδοχος τοῦ θρόνου κατέστη. ἔτι δὲ παρεῖναι καὶ τὸν Ἱεροσολύμων Μακάριον καὶ ἄλλο πλῆθος ἀρχιερέων καὶ ἱερέων. συγκροτηθῆναι δέ φησι τὴν σύνοδον ἑξκαιδεκάτῳ ἔτει τῆς Κωνσταντίνου βασιλείας, παραταθῆναι δὲ ταύτης τὰς πράξεις μέχρι δευτέρου καὶ εἰκοστοῦ ἡμίσεος, ἓξ δηλονότι ἔτεσι ταύτης συγκροτουμένης. φησὶ δὲ καθαιρεθῆναι μὲν Ἄρειον καὶ ἀναθέματι καθυποβληθῆναι, εἶτα πάλιν πειρᾶσθαι ὥστε παραδεχθῆναι· καὶ τοῦτο πολλάκις ἐπιτηδευθῆναι δι᾽ Εὐσεβίου, ὃς ἦρχε Νικομηδείας, καὶ δι᾽ Εὐτοκίου δὲ τοῦ Ἀρειανοῦ, πρεσβυτέρου ἔχοντος χειροθεσίαν, ὃν ἡ τοῦ βασιλέως ἀδελφὴ Κωνσταντῖνα, τὴν τέλειον ἡμέραν ὑπερχομένη τοῦ βίου, παρέθετο τῷ ἀδελφῷ. ἀλλ᾽ οὗτοι μὲν ἔσπευδον τὸν Ἄρειον ἐπαγαγεῖν τῇ ἐκκλησίᾳ· ἡ δὲ θεία δίκη οὐκ εἴασε τὸν ἐχθρὸν κατορχήσασθαι αὐτῆς τοῦ νεὼ καὶ τῆς ἐν αὐτῷ παστάδος, ἀλλ᾽ ἐν ἀφεδρῶσι τὸν βίον ἐδίκασε καταστρέψαι, καθ᾽ ἣν αὐτὸς καὶ οἱ σπουδασταὶ αὐτοῦ ὥρισαν ἡμέραν διὰ τῆς εἰσόδου αὐτοῦ τὴν ἐκκλησίαν βεβηλῶσαι τοῦ θεοῦ καὶ τὰ ἅγια. καὶ ἡ καταστροφὴ δὲ δημόσιος γίνεται· πλησίον γὰρ οἱ ἀφεδρῶνες ἐχρημάτιζον τοῦ φόρου. ἐφ᾽ ᾧ ἡσθῆναί τε τὸν μέγαν Κωνσταντῖνον γράφει, ὡς τοῦ ἀδεκάστου κριτοῦ οἷς ἔκρινε λύσαντος ἀμφισβήτησιν πᾶσαν, γράψαι τε αὐτὸν πολλοῖς ἐπιστολάς, τὴν ἔνδικον Ἀρείου καταστροφὴν στηλιτεύοντα. καὶ ὁ μὲν οὕτω φησί, συμφωνῶν ἐν τούτῳ Ἀθανασίῳ τε τῷ μεγάλῳ καὶ Θεοδωρήτῳ καὶ ἄλλοις πλείοσιν· ἐνίοις δὲ γράφειν ἔδοξεν οὐχὶ κατὰ τοὺς Κωνσταντίνου τοῦ μεγάλου χρόνους, ἀλλὰ τοῦ παιδὸς Κωνσταντίου βασιλεύοντος οὕτως αἰσχρῶς τὸν Ἄρειον ἐξ ἀνθρώπων ἀφανισθῆναι.

Καὶ ταῦτα μὲν τόδε τὸ βιβλίον· οὐ γὰρ ἐπεγέγραπτο αὐτῷ ἡ κλῆσις τοῦ γράψαντος. ἐν ἄλλῳ μέντοι ἔχοντι τὰ αὐτὰ ΓΕΛΑΣΙΟΥ τοῦ ἐπισκόπου Καισαρείας τῆς Παλαιστίνης εὗρον τὸ βιβλίον ἐπιγραφόμενον. ἡ δὲ φράσις εἰς τὸ ταπεινὸν καὶ χυδαῖον τοῦ λόγου λίαν κατενηνεγμένη. τίς ποτε δέ ἐστιν ὁ Γελάσιος οὗτος, οὐκ ἔχω σαφῶς ἐκμαθεῖν. μέχρι γὰρ νῦν τριῶν, ὡς ἔστιν εἰκάσαι, Γελασίων καὶ ἐπισκόπων Καισαρείας τῆς κατὰ Παλαιστίνην βιβλίοις ἐνετύχομεν, ἢ πάντως γε δύο. αἱ δὲ βίβλοι αἷς ἐνετύχομεν, ἡ μὲν ἐστι κατὰ Ἀνομοίων συντεταγμένη, αἱ δὲ ἄλλαι δύο ἐκκλησιαστικὰς ἀναγράφουσι πράξεις, ὧν μία ἧς νῦν ὡς ἐν κεφαλαίῳ ἐπεμνή-

a. 3. Ἰοκέντιον A. 18. ἐπὶ τροπὴν A: ἐπιτροπῇ ς. 19. ἡδὺ οὐ φέρουσαι ς. 22. γνώμην] καὶ γνώμην A. πάσῃ σπουδῇ ς. 25. ante πλὴν cum A omisi ἐμφαίνει. 31. τοῦ βιβλίου ς. 35. τότε A: τοῦ ς. 36. τοῦ A: αὐτοῦ τοῦ ς. 39. ἐξέτεινεν ς. b. 2. ἐκκαιδεκάτῳ ς. 4. καὶ add A. 5. ἓξ] ἓξ ἥμισυ A. 7. ὥστε add A. 11. τελείαν ς. 13. ἀπαγαγεῖν ς. 14. τὸν ἐχθρὸν οὐκ εἴασε ς. 19. δημοσίως ς. 23. στηλιτευούσας ς. 26. Κωνσταντίου τοῦ παιδὸς ς. 36. ὡς] πρὸς A, οὐκ ς. 37. καὶ add A. κατὰ Παλαιστίνην A: ἐν Παλαιστίνῃ γενομένων ς.

Digitized by Google

120 H. θημεν. ἔχει δὲ αὕτη, ἐν οἷς αὐτὴν ἐπιγεγραμμένην εὕρομεν, ἐπιγραφὴν ὥσπερ εἴρηται, „Γελασίου ἐπισκόπου Καισαρείας τῆς κατὰ Παλαιστίνην ἱστορίας ἐκ-
209 R. κλησιαστικῆς λόγοι γ΄," καὶ ἀπάρχεται δὲ οὕτω „τὰ κατὰ τὴν ἁγίαν καὶ μεγάλην καὶ οἰκουμενικὴν τῶν ἐπισκόπων συναθροισθεῖσαν σύνοδον ἐκ πασῶν ὡς ἔπος εἰπεῖν τῶν τοῦ Ῥωμαίου κόσμου ἐπαρχιῶν καὶ Περσίδος" καὶ ἑξῆς. καὶ τελευτᾷ δὲ εἰς τὴν τοῦ μεγάλου Κωνσταντίνου τελευτήν, ἐν ᾗ καὶ τὸ τῆς ἀφέσεως ἐδέξατο θεῖον λουτρόν, τὰς ἐν βίῳ κηλῖδας, οἷα εἰκὸς ἄνθρωπον ὄντα ταύτας ἐφέλκεσθαι, ἀπολουσάμενος. τυχεῖν δέ φησι τοῦ βαπτίσματος ὀρθοδόξου μυσταγωγήσαντος καὶ τελέσαντος, ἀλλ' οὐχ ὥς τισιν ἔδοξε, τῶν αἱρετικῶν τινὸς χειραπτήσαντος. ἡ δέ γε ἀναβολὴ αὐτῷ τοῦ βαπτίσματος παρετείνετο, ὅτι δι' ἐπιθυμίας πλείστης ἦν αὐτῷ τοῖς Ἰορδάνου βαπτισθῆναι. φησὶ δὲ αὐτὸν ὁ συγγραφεὺς οὗτος ἐπὶ Βασιλίσκου, ὃς ἐκβαλὼν Ζήνωνα ἐτυράννησεν, ἀκμάζειν, καὶ ἀνεγνωκέναι τὰς τῆς συνόδου πράξεις ἐν παλαιαῖς μεμβράναις ἔτι κατὰ τὴν πατρῴαν οἰκίαν διατρίβοντα· ὧν τὴν μνήμην ἔχοντα, καὶ ἐξ ἑτέρων γραμμάτων ὅσα χρήσιμα συναγείροντα, τὴν ἱστορίαν συντάξαι. μνημονεύει δ' οὗτος καὶ ῥητῶν τινῶν Γελασίου τινός, Γελάσιον αὐτὸν καὶ Ῥουφῖνον ἅμα καλῶν. λέγει δὲ αὐτοῦ καὶ πατρίδα τὴν Κύζικον, καὶ πατέρα τῶν κατ' αὐτὴν πρεσβυτέρων ἕνα τινά. καὶ οὗτος μὲν ὁ τοῦδε τοῦ βιβλίου πατήρ, καὶ ταῦτα αὕτη ἡ βίβλος.

## 89.

Ἡ δὲ λοιπὴ βίβλος ἐπιγραφὴν μὲν ἔχει τοιαύτην „προοίμιον ἐπισκόπου Καισαρείας Παλαιστίνης εἰς τὰ μετὰ τὴν ἐκκλησιαστικὴν ἱστορίαν Εὐσεβίου τοῦ Παμφίλου," ἄρχεται δὲ οὕτω „τοὺς μὲν ἄλλους ἐπὶ τὸ συγγράφειν ὡρμημένους καὶ τῶν γενομένων τὰς ἱστορίας τῇ μνήμῃ παραπέμπειν ἐγνωκότας" καὶ ἑξῆς. λέγει δὲ αὐτὸν ἀνεψιὸν πρὸς μητρὸς Κυρίλλου τοῦ Ἱεροσολύμων, καὶ ὑπ' ἐκείνου προτραπῆναι εἰς τήνδε τὴν συγγραφήν. ἡμεῖς δὲ εὕρομεν ἀνεγνωκότες ἐν ἄλλοις ὅτι αὐτός τε Κύριλλος καὶ Γελάσιος οὗτος τὴν Ῥουφίνου τοῦ Ῥωμαίου μετέφρασαν ἱστορίαν εἰς τὴν Ἑλλάδα γλῶσσαν, οὐ μέντοι ὅτι ἰδίαν συνετάξαντο ἱστορίαν. δῆλον δ' ὡς ἀρχαιότερος ἦν οὗτος τοῦ προειρημένου, εἴ γε κατὰ Κύριλλον ἤκμασε τὸν Ἱεροσολύμων. ἀλλ' οὗτος μὲν ὁ Γελάσιος ἐκείνου καὶ τῇ φράσει ἐπὶ τὸ λογιώτερον διαφέρει. ἑκάτερος μέντοι αὐτῶν πολὺ τοῦ κατὰ Ἀνομοίων συγγεγραφότος ἐνδεέστερος ὑπάρχει. ἐπίσκοπος δ' ἄρα κἀκεῖνος τῆς αὐτῆς ἐπιγράφεται Παλαιστίνης. ἀλλ' ἐκεῖνός γε ὁ Γελάσιος τῇ τε φράσει καὶ τῇ πολυμαθίᾳ καὶ ταῖς λογικαῖς ἐφόδοις, αἷς οὐκ οἶδ' ὅπως εἰπεῖν καὶ ἀπειροκάλως κατεχρήσατο, παρὰ πολὺ τούτους τὴν ἐν τοῖς λόγοις ἐλάττονα τάξιν ἐπέχειν ἀπελαύνει. εἰ δέ τις τούτων αὐτός ἐστιν ὁ γράψας, καὶ ταῦτα χρόνῳ συλλέξας καὶ συναυξήσας τὰ λείποντα, οὔπω μαθεῖν ἔχον.

## 90.

Ἀνεγνώσθη ὁ ΛΙΒΑΝΙΟΣ ἐν τεύχεσι δυσίν. οὗτος 121 H.
δὲ ἐν τοῖς πλασματικοῖς αὐτοῦ καὶ γυμναστικοῖς λόγοις 212 R.
μᾶλλόν ἐστιν ἢ ἐν τοῖς ἄλλοις αὐτὸς ἑαυτοῦ χρησιμώτερος· τῇ γοῦν πολλῇ περὶ τοὺς ἄλλους φιλοπονίᾳ τε καὶ περιεργίᾳ τήν τε ἔμφυτον τοῦ λόγου καὶ αὐτοσχέδιον (ὡς ἄν τις εἴποι) χάριν ἐλυμήνατο καὶ τέρψιν, καὶ εἰς τὸ ἀσαφέστερον περιέτρεψε, πολλὰ μὲν ἐπισκοτίζων παρενθήκαις, ἔνια δ' ἀφαιρέσει καὶ τοῦ ἀναγκαίου. τὰ δ' ἄλλα ἐν τούτοις κανών ἐστι καὶ στάθμη λόγου Ἀττικοῦ. ἔστι δὲ δόκιμος κἀν ταῖς ἐπιστολαῖς. πολλὰ δὲ αὐτοῦ καὶ παντοδαπὰ συγγράμματα φέρεται.

## 91.

Ἀνεγνώσθη ἈΡΡΙΑΝΟΥ τὰ κατὰ Ἀλέξανδρον ἐν λόγοις ἑπτά, ἐν οἷς διεξέρχεται τάς τε πρὸς Ἀθηναίους σπονδὰς καὶ τοὺς ἄλλους Ἕλληνας, ἄνευ μέντοι Λακεδαιμονίων, καὶ τὴν ἐπὶ τὴν Ἀσίαν περαίωσιν, ὅπως τε μάχαις τρισὶ κατεστρέψατο Πέρσας, ἐν Γρανίκῳ μὲν τοὺς σατράπας Δαρείου, στρατιὰν ἄγοντας δισμυρίους μὲν ἱππεῖς, πεζοὺς δὲ παρὰ μικρὸν ἴσους, τούτους σύμπαντας καταπολεμήσας, ἐν Ἰσσῷ δὲ αὐτόν τε Δαρεῖον καὶ τοὺς ἀμφ' αὐτὸν κατὰ κράτος τρεψάμενος, καὶ συλλαβὼν αἰχμαλώτους παῖδάς τε καὶ αὐτὴν γυναῖκα, ἐν Ἀρβήλοις δὲ ἤτοι ἐν Γαυγαμήλοις εἰς τέλος αὐτὸν ἐκνικήσας. ὅπως τε φεύγων Δαρεῖος ὑπὸ τῶν οἰκείων ἀνῃρέθη, ἀνεῤῥήθη δὲ ἀντ' αὐτοῦ ὑπὸ τῶν περὶ αὐτὸν εἰς βασιλέα Βῆσσος· ὅπως τε ὕστερον Βῆσσον Ἀλέξανδρος λαβὼν τῆς εἰς Δαρεῖον τόλμης ἐλωβήσατό τε καὶ ἀνεῖλεν. ἔτι τε ὅπως ἐν μάχαις Ἀλέξανδρος ἑπτάκις ἐτρώθη· καὶ ὅπως εἷλε τὰ ἐν Παγασαῖς βασίλεια χρήματα· καὶ ὅτι πεισθεὶς ὡς Φιλώτας εἴη βουλὴν κατ' αὐτοῦ μελετῶν, ἀνεῖλεν αὐτόν τε καὶ τὸν πατέρα Παρμενίωνα. ἐγένετο δὲ καὶ τῶν Σογδιανῶν βασιλειῶν κύριος, καὶ

a. 1. verbo ἔχει numerum infra (v. 27) omissum, πθ, apponit mg A. 11. ἐφελκόμενον ταύτας ς. 21. συναγείραντα ς. 23. ἅμα καλῶν A: ἀνακαλῶν ς. 25. οὕτω ς. 33. καὶ τὰ ἑξῆς ς. 37. τῶν ῥωμαίων A. 39. ὅτι om A. 41. τὸν A: τῶν ς. b. 4. τε et τῇ om A. 7. ante ἀπελαύνει cum A omisi διαγινωσκομένους. 8. συγγράψας ς. 27. τρισὶν A: τισὶ ς. 29. παρὰ A: κατὰ ς. 39. Πασαγάρδαις Schottus.



Digitized by Google

Σκύθας δὲ τοὺς ἐν τῇ Ἀσίᾳ μάχῃ ἐκράτησεν. ὅπως τε τὸ τοῦ Κλείτου πάθημα τῷ ποτῷ παρενεχθέντος Ἀλεξάνδρου συνέβη, καὶ οἷον πένθος ἀναλήψας ἐπεδείξατο. ἔτι δὲ καὶ ἡ ἐκ παίδων κατ' Ἀλεξάνδρου ἐπιβουλή, καὶ ἡ ἐπὶ τούτῳ κόλασις. ὅπως τε ἡ ἐν τῇ Σογδιανῇ Πέτρα ἑάλω καὶ ἡ γυνὴ Ὀξυάρτου, ὃς ταύτης τῆς χώρας ἐβασίλευεν· ἀλλὰ καὶ ἡ θυγάτηρ Ῥωξάνη, ἣν ὕστερον Ἀλέξανδρος γάμου νόμῳ γυναῖκα ἠγάγετο. καὶ ὡς Ἀλέξανδρος ἐκ Βάκτρων ἐπὶ Ἰνδοὺς ἐλάσας μάχαις ἐκράτησε, καὶ πόλεις αὐτῶν πολιορκίᾳ πολλὰς εἷλεν· ἐν οἷς καὶ τὴν καλουμένην ἄορνον παραλαβὼν εἰς τὴν Ἀσκάνων χώραν ἐμβάλλει. ἐζεύχθη δὲ αὐτῷ καὶ ὁ Ἰνδὸς ποταμὸς πλοίοις, καὶ διαβὰς Πῶρόν τε τὸν Ἰνδῶν βασιλέα ἐνίκησε μιᾷ μάχῃ καὶ εἷλε ζωγρίαν, εἶτα καὶ φιλοφρονησάμενος πλειόνων ἄρχειν ἢ πρόσθεν ἔδωκε. λέγει δὲ ὅτι οἱ Ἰνδοὶ ποταμοί, καθάπερ καὶ ὁ Νεῖλος, θέρους μὲν αὔξονται, χειμῶνος δὲ μειοῦνται, διαλαμβάνει δὲ καὶ ὅπως ἄλλον τινὰ Πῶρον, καὶ αὐτὸν Ἰνδῶν βασιλεύοντα, ὃν καὶ εἰς κακίαν ἐλάσαι λέγει, τοῦτον διώκων Ἀλέξανδρος τὸν Ὑδραώτην ποταμὸν ἐπεραιώθη, καὶ τοὺς ταύτῃ οἰκοῦντας Ἰνδοὺς ἐχειρώσατο, 122 H. καὶ πόλεις αὐτῶν μεγάλας καὶ πολυανθρώπους ἐκπολιορκήσας ἐπὶ τὸν Ὕφασιν ποταμὸν ἐχώρει. ἐπεὶ δὲ 213 R. διαβαίνειν καὶ τοῦτον Ἀλέξανδρος ἔμελλεν, ἐς στάσιν ἐκινήθη τὸ πλῆθος, οὐ φέροντες ἔτι τοὺς πόνους καὶ τὴν ἀπέραντον ἐκστρατείαν· καὶ τοῦτο αἴτιον Ἀλεξάνδρῳ τῆς ἀπ' Ἰνδῶν ὑποστροφῆς κατέστη. ἐν ᾧ καὶ ὁ πέμπτος τοῦ συγγραφέως ἀποπερατοῦται λόγος.

Ὑποστρέφοντι δὲ Ἀλεξάνδρῳ, ὡς ὁ ἕκτος ὑπολαμβάνει λόγος, μάχαι τε αὐτῷ καὶ νῖκαι γίνονται λαμπραί· ἐν οἷς λαμπρῶς ἀγωνιζόμενος ἐπὶ ταῖς προτέραις πέντε πληγαῖς δύο ἔτι βάλλεται, ὧν ἐπὶ τῇ ἑβδόμῃ καὶ τελευτᾶν ἐδόκει, εἰ καὶ οὐ χαλεπῶς περιεγένετο. καὶ αὐτὸς μὲν ἐξ Ἰνδῶν ὑποστρέφων διὰ γῆς ἐποιεῖτο τὴν ἐπάνοδον, Νεάρχῳ δὲ στρατιὰν παραχὼν ἐπέτρεψε τὴν διὰ θαλάσσης πορείαν· καὶ συμβάλλουσιν ἀλλήλοις τὰ ἀπὸ γῆς καὶ θαλάσσης στρατόπεδα περὶ Καρμανίαν. ἀπὸ Καρμανίας δὲ Ἀλέξανδρος μὲν ἐν Περσίδι, Νέαρχος δὲ ἐς τὴν Σουσιανῶν γῆν ἐπετράπη ἀποπλεῖν καὶ τοῦ Τίγρητος ποταμοῦ τὰς ἐκβολάς· καὶ διαλαμβάνει τὸν τοῦ Νεάρχου περίπλουν Ἰωνικῇ φράσει ἡ ἐπιγραφομένη αὐτῷ ἰδίως Ἰνδική. Ἀλέξανδρος δὲ καὶ τὸν Κύρου τάφον ἠμελημένον ἐπισκευάζει, καὶ Κάλανον τὸν γυμνοσοφιστὴν αἰτησάμενον εἰς πῦρ εἰσελθεῖν, ὅτι νόσος αὐτὸν ἠνώχλει, παρέχει κατὰ τὰ πάτρια τελευτῆσαι. ἐπιτελεῖ δὲ καὶ γάμους αὐτοῦ τε καὶ τῶν ἑταίρων λαμπρούς, αὐτὸς μὲν τὴν πρεσβυτάτην τῶν Δαρείου παίδων (Ἀρσινόη αὐτῇ ὄνομα) ἀγόμενος, καὶ τὴν νεωτάτην δὲ τῶν Ὤχου θυγατέρων (Παρύσατις ὠνομάζετο)· Ῥωξάνη γὰρ ἤδη προηγμένη ἐτύγχανε. τὴν μέντοι Δρυπέτιν, θυγατέρα καὶ αὐτὴν οὖσαν Δαρείου, Ἡφαιστίωνι δίδωσι, Κρατερῷ δὲ Ἀμαστρίνην, Πτολεμαίῳ δὲ καὶ Εὐμένει τὰς Ἀρταβάζου παῖδας Ἀρτακάμαν καὶ Ἀρτώνην, Νεάρχῳ δὲ τὴν Βαρσίνης καὶ Μέντορος παῖδα, Σελεύκῳ δὲ τὴν Σπιταμένους, καὶ τοῖς ἄλλοις ἑταίροις τὰς δοκιμωτάτας τῶν Περσῶν καὶ Μήδων παῖδας, ἄχρι καὶ ἐς ὀγδοήκοντα. καὶ οἱ γάμοι δὲ νόμῳ τῷ Περσικῷ ἐποιήθησαν. πέμπει δὲ καὶ τοὺς ἀπομάχους τῶν Μακεδόνων εἰς Μακεδονίαν, ἄλλους ἀντ' αὐτῶν νεοσυλλέκτους ἀποφέρειν αὐτῷ προστάξας Ἀντίπατρον. ἐν τούτῳ καὶ Ἅρπαλος βασιλικὰ λαβὼν ᾤχετο φεύγων χρήματα. τελευτᾷ καὶ Ἡφαιστίων, ἐφ' ᾧ μέγα πένθος Ἀλεξάνδρῳ ἐποιήθη, καὶ πολυδάπανος ἡ ἐπὶ τῷ σώματι πυρὰ καὶ κηδεία· ἐν ᾧ καὶ πρέσβεις Λιβύων τε καὶ Καρχηδονίων πρὸς αὐτὸν ἀφίκοντο. καὶ Ἰταλῶν δὲ παραγενέσθαι φησί, καὶ ὅτι τὴν αὔξησιν τῶν Ἰταλῶν ἐς αὐτοὺς ἰδὼν προεῖπε καὶ ἀπεφήνατο. ὁρμᾷ δὲ καὶ ἐπὶ Βαβυλῶνα, καὶ προλέγουσιν αὐτῷ οἱ μάντεις τὴν τελευτήν· καὶ ἐπικαθίζει τις αὐτοῦ τῷ θρόνῳ παραλόγως, ἐξ οὗ μᾶλλον ἐξοιωνίσθη τοῖς μάντεσιν αὐτοῦ ἡ τελευτή. παρεσκευάζετο δ' αὐτῷ ὅμως τὸ ναυτικὸν ὡς ἐπὶ Ἄραβας τοὺς πολλούς, οἳ δύο μόνον σέβουσι θεούς, Οὐρανὸν καὶ Διόνυσον. καὶ ταῦτα παρασκευαζόμενος, καὶ τῆς νόσου ἤδη ἐπικρατούσης, καταλύει τὸν βίον. ἡ δὲ τελευτὴ αὐτοῦ ἄλλοις ἄλλως ἀναγέ- 123 H. γραπται, καὶ πολλαὶ περὶ αὐτῆς ἐξηνέχθησαν διαφωνίαι. ἐβίω δὲ β' καὶ λ' ἔτη, καὶ τοῦ τρίτου μῆνας ἐπέλαβεν ὀκτώ· ἐβασίλευσε δὲ τούτων τούς τε ὀκτὼ μῆνας καὶ ἔτη ιβ'. ἐπαινεῖ δὲ αὐτὸν ἐπὶ πάσαις σχεδόν τι ταῖς ἀρεταῖς ἐς τὰ μάλιστα ὁ συγγραφεύς. καὶ ὁ ἕβδομος ἀπαρτίζεται λόγος, ὃν ἐκδέχεται βιβλίον ἕν, ἡ Ἰνδική.

a. 2. τῷ A: τοῦ τῷ ς. 12. ἀσακάνων ς. 20. Ὑδραώτην A: Ὑδάσπην ς. 28. libri ἀποπεραιοῦται. cf. p. R. 600 ima. 704, 9. 905, 46. 32. δύο] libri δεύτερον. 35. στρατείαν ς. 38. μὲν add A. 39. ἐς περσίδα ς. 40. ἐπιπλεῖν A. b. 6. ἑτέρων ς. 7. αὐτῆς ς. 9. Παρ.] ἡ Παρ. ς. 11. καὶ αὐτὴν θυγατέρα ς. 12. Ἀμαστίνην ς. 13. Ἀρτακάναν ς. 14. Μίλτωρος ς. 21. βασ.] τὰ βασ. A. 24. ante πρέσβεις cum A omisi οἱ. λιβύων — καρχηδόνων ς. 31. αὐτῶν A. 32. ἄρραβας ς. 36. αὐτὴν A.

## 92.

216 R. Συνεγράφη δὲ αὐτῷ καὶ τὰ μετὰ Ἀλέξανδρον ἐν λόγοις δέκα, ἐν οἷς διαλαμβάνει τήν τε στάσιν τῆς στρατιᾶς καὶ τὴν ἀνάῤῥησιν Ἀῤῥιδαίου, ὃς ἐκ Φιλίνης τῆς Θεσσαλῆς Φιλίππῳ τῷ Ἀλεξάνδρου πατρὶ ἐγεγέννητο, ἐφ᾽ ᾧ καὶ Ἀλέξανδρον, ὃν ἔμελλεν ἐξ Ἀλεξάνδρου τίκτειν Ῥωξάνη, συμβασιλεύειν αὐτῷ· ὃ καὶ γέγονεν εἰς φῶς ἀχθέντος τοῦ παιδός. τὸν Ἀῤῥιδαῖον δὲ ἀνειπόντες μετωνόμασαν Φίλιππον. διεφέρετο δὲ ἐς ἀλλήλους τὸ πεζὸν καὶ τὸ ἱππικόν, ὧν οἱ μέγιστοι τῶν ἱππέων καὶ τῶν ἡγεμόνων Περδίκκας ὁ Ὀρόντου καὶ Λεοννάτος ὁ Ἄνθους καὶ Πτολεμαῖος ὁ Λάγου, τῶν δὲ μετ᾽ ἐκείνους Λυσίμαχός τε ὁ Ἀγαθοκλέους καὶ Ἀριστόνους ὁ Πεισαίου καὶ Πίθων ὁ Κρατεύα καὶ Σέλευκος ὁ Ἀντιόχου καὶ Εὐμένης ὁ Καρδιανός. οὗτοι μὲν ἡγεμόνες τῶν ἱππέων, Μελέαγρος δὲ τῶν πεζῶν. εἶτα διαπρεσβεύονται πρὸς ἀλλήλους πολλάκις, καὶ τέλος συμβαίνουσιν οἵ τε τὸν βασιλέα ἀνειπόντες πεζοὶ καὶ οἱ τῶν ἱππέων ἡγεμόνες, ἐφ᾽ ᾧ Ἀντίπατρον μὲν στρατηγὸν εἶναι τῶν κατὰ τὴν Εὐρώπην, Κρατερὸν δὲ προστάτην τῆς Ἀῤῥιδαίου βασιλείας, Περδίκκαν δὲ χιλιαρχεῖν χιλιαρχίας ἧς ἦρχεν Ἡφαιστίων (τὸ δὲ ἦν ἐπιτροπὴ τῆς ξυμπάσης βασιλείας), Μελέαγρον δὲ ὕπαρχον Περδίκκου. Περδίκκας δὲ τὸν στρατὸν καθᾶραι σκηψάμενος τοὺς ἐπιφανεστάτους τῆς γενομένης συνέλαβε στάσεως, καὶ συλλαβὼν ὡς ἐκ προστάξεως Ἀῤῥιδαίου αὐτοῦ παρόντος ἀνεῖλε, δέος ἐμποιήσας τῷ λοιπῷ πλήθει. ἀναιρεῖ δὲ οὐ πολλῷ ὕστερον καὶ Μελέαγρον. ἐξ ὧν Περδίκκας ὕποπτος ἐς πάντας ἦν καὶ αὐτὸς ὑπώπτευεν. ὅμως ἐς σατραπείας ἀνειπεῖν οὓς ὑπώπτευεν, ὡς Ἀῤῥιδαίου κελεύοντος, ἔγνω. καὶ δὴ Πτολεμαῖος μὲν ὁ Λάγου Αἰγύπτου καὶ Λιβύης, καὶ ὅσα τῆς Ἀράβων γῆς ξύνορα Αἰγύπτῳ, ἄρχειν ἐπετάχθη· Κλεομένης δὲ ὁ ἐξ Ἀλεξάνδρου τῆς σατραπείας ταύτης ἄρχειν τεταγμένος Πτολεμαίῳ ὕπαρχος εἶναι· τῆς δὲ ἐπὶ ταύτῃ Συρίας Λαομέδων, Φιλώτας δὲ Κιλικίας καὶ Πίθων Μηδίας, Εὐμένης δὲ ὁ Καρδιανὸς Καππαδοκίας καὶ Παφλαγονίας, καὶ ὅσα τοῦ Πόντου τοῦ εὐξείνου σύνορα ἔστε ἐπὶ πόλιν Ἑλλάδα Τραπεζοῦντα, Σινωπέων ἄποικον· Παμφύλων δὲ καὶ Λυκίων καὶ Φρυγίας τῆς μεγάλης Ἀντίγονος, Καρῶν δὲ Κάσανδρος, Λυδῶν δὲ Μένανδρος, τῆς δὲ ἐφ᾽ Ἑλλησπόντῳ Φρυγίας Λεοννάτος, ἣν ἐξ Ἀλεξάνδρου μὲν Κάλας ὄνομα κατέχει, ἔπειτα Δήμαρχος ἐπετέτραπτο. τὰ μὲν κατὰ τὴν Ἀσίαν ὧδε ἐνεμήθη. τῶν δὲ κατὰ τὴν Εὐρώπην Θρᾴκης μὲν καὶ Χεῤῥονήσου, καὶ ὅσα Θρᾳξὶ σύνορα ἔθνη, ἔστε ἐπὶ θάλασσαν τὴν ἐπὶ Σαλμυδησσὸν τοῦ Εὐξείνου πόντου καθήκοντα, 124 H
Λυσιμάχῳ ἡ ἀρχὴ ἐπετράπη· τὰ δὲ ἐπέκεινα τῆς Θρᾴκης ὡς ἐπὶ Ἰλλυριοὺς καὶ Τριβαλλοὺς καὶ Ἀγριᾶνας, καὶ αὐτὴ Μακεδονία καὶ ἡ Ἤπειρος ὡς ἐπὶ τὰ ὄρη τὰ Κεραύνια ἀνήκουσα, καὶ οἱ Ἕλληνες σύμπαντες, Κρατερῷ καὶ Ἀντιπάτρῳ ἐνεμήθη. καὶ ἡ μὲν νέμησις οὕτως· πολλὰ δὲ καὶ ἀδιανέμητα ἔμεινεν ὑπὸ τῶν ἐγχωρίων ἀρχόντων, ὡς ἐτάχθησαν ὑπὸ Ἀλεξάνδρου, ἐχόμενα.

Ἐν τούτῳ Ῥωξάνη κύει καὶ τίκτει, καὶ εἰς βασιλέα τὸ τεχθὲν ἀνεῖπε τὸ πλῆθος. στάσεων δὲ 217 R.
μετὰ τὸν Ἀλεξάνδρου θάνατον πάντα ἐπληροῦτο. καὶ πολεμεῖ Ἀντίπατρος πρός τε Ἀθηναίους καὶ τοὺς ἄλλους Ἕλληνας, Λεωσθένους αὐτοῖς στρατηγοῦντος· καὶ τὰ πρῶτα ἡττώμενος καὶ εἰς ἀπορίαν συγκλειόμενος ὕστερον ἐκράτει. ἀλλὰ πίπτει καὶ Λεοννάτος ἐπιβοηθεῖν δοκῶν Ἀντιπάτρῳ. καὶ Λυσίμαχος δὲ Σεύθῃ τῷ Θρᾳκὶ πολεμῶν ὑπὲρ τῆς ἀρχῆς παραβόλως (σὺν ὀλίγοις γάρ) καὶ εὐδοκιμῶν ὅμως ἀνῃρέθη. πολεμεῖ δὲ καὶ Περδίκκας Ἀριαράθῃ τῷ Καππαδοκίας, ὅτι Εὐμένει ἄρχειν ἐπιτετραμμένῳ τῆς ἀρχῆς οὐκ ἐξίστατο· καὶ δυσὶ νικήσας μάχαις καὶ συλλαβὼν ἐκρέμασεν, Εὐμένει τὴν ἀρχὴν ἀποκαταστήσας. Κρατερὸς δὲ συμμαχῶν Ἀντιπάτρῳ κατὰ τῶν Ἑλλήνων αἴτιος τῆς νίκης, ἧς ἐνίκησαν αὐτούς, γέγονεν· ἐξ οὗ καὶ ἅπαντα, ἅπερ ἂν αὐτοῖς Κρατερὸς ἐπέταττε καὶ Ἀντίπατρος, ἀπροφασίστως ἐπράττετο. καὶ ταῦτα μέχρι τοῦ πέμπτου βιβλίου.

Ἐν δὲ τῷ ἕκτῳ διαλαμβάνει ὅπως ἐξ Ἀθηνῶν οἱ ἀμφὶ Δημοσθένην καὶ Ὑπερείδην ἔφυγον, Ἀριστόνικός τε ὁ Μαραθώνιος καὶ Ἱμεραῖος ὁ Δημητρίου τοῦ Φαληρέως ἀδελφός, τὰ μὲν πρῶτα εἰς Αἴγιναν· ἐκεῖ δὲ διαγόντων θάνατον αὐτῶν κατέγνω τὸ Ἀθηναίων πλῆθος εἰπόντος Δημάδου, καὶ Ἀντίπατρος εἰς ἔργον ἤγαγε τὸ ψήφισμα. καὶ ὡς Ἀρχίας ὁ Θούριος εἰς τὸν θάνατον αὐτῶν ὑπουργήσας, ἐν ἐσχάτῃ πενίᾳ καὶ ἀτιμίᾳ

a. 9. δὲ A: γὰρ ς. 12. Ἄντους ς. 14. ὁ τοῦ Κρατέα ς. 16. μὲν οὖν ἡγ. ς. ἱππέων καὶ Μελ. ς. 23. ξυμπάσης A: ὅλης ς. 24. ὕπαρχον] adde εἶναι. 30. σατραπείαν ς. 33. Αἰγύπτῳ om pr A. 36. ἐπὶ ταύτῃ A: ἐπ᾽ αὐτῇ ς. 37. μηδείας ς. 39. ἔστε A: ἔσται ς. Ἑλλάδα add A. 41. Καρῶν καὶ Κάσ. ς. b. 2. ἣν] ἣν A: ὃν ς. ἐξ om A. 3. κατέχειν A. 4. μὲν οὖν κατὰ ς. 7. ἐπὶ τὴν θάλ. A. 8. ἐπετέτραπτο ς. 10. ἡ add A. 20. Λεωσθένους A. 34. ὅπως οἱ ἐξ ς. 35. Ὑπερίδην ς. ἀριστόνικός A. 36. Ἡμεραῖος ς.

Digitized by Google

κατατρίψας ἐτελεύτησε τὸν βίον. καὶ ὡς Δημάδης οὐ πολλῷ ὕστερον ἐς Μακεδονίαν ἀχθεὶς ὑπὸ Κασάνδρου ἐσφάγη, τοῦ παιδὸς ἐν τοῖς κόλποις προαποσφαγέντος· αἰτίαν δ' ἐπῆγε Κάσανδρος, ὅτι τὸν αὐτοῦ πατέρα ἐξυβρίσειεν ἐν οἷς ἔγραψε Περδίκκᾳ σώζειν τοὺς Ἕλληνας ἀπὸ σαπροῦ καὶ παλαιοῦ στήμονος ἠρτημένους, οὕτω τὸν Ἀντίπατρον ἐπιχλευάζων. Δείναρχος δὲ ὁ Κορίνθιος ὁ κατήγορος ἦν. ἀλλ' ὅ γε Δημάδης τῆς αὐτοῦ δωροδοκίας καὶ προδοσίας καὶ ἐς πάντα ἀπιστίας τὴν ἀξίαν ἀπέτισε δίκην.

Διαλαμβάνει δὲ καὶ ὡς Θίβρων ὁ Λακεδαιμόνιος Ἅρπαλον τὸν τὰ Ἀλεξάνδρου χρήματα ζῶντος ἐκείνου ἁρπάσαντα καὶ φυγόντα πρὸς τὰς Ἀθήνας, τοῦτον ἐκεῖνος ἀποκτείνας, καὶ ὅσα ὑπελείπετο λαβὼν χρήματα, πρῶτα μὲν ἐπὶ Κυδωνίας τῆς ἐς Κρήτην ἐστάλη, ἔνθεν δὲ ἐς Κυρήνην διέβαλε μετὰ στρατιᾶς εἰς ἑξακισχιλίους συντελούσης· ἐπῆγον δὲ αὐτὸν τῶν ἐκ Κυρήνης καὶ Βαρκέων οἱ φυγάδες. ἐν οἷς πολλαῖς μὲν μάχαις πολλαῖς δὲ ἐπιβουλαῖς ἄλλοτε μὲν κρατῶν ἐνίοτε
125 H. δὲ ἡττώμενος, τέλος φεύγων ὑπὸ Λιβύων τινῶν συνωρίδας ἀγόντων συνελήφθη, καὶ παρ' Ἐπικύδην ἄγεται τὸν Ὀλύνθιον εἰς Τεύχειρα, ᾧ τὴν πόλιν ἐκείνην Ὀφέλλας ἐπετετρόφει, ἀνὴρ Μακεδών, ὃς ὑπὸ Πτολεμαίου τοῦ Λάγου ἐπὶ βοηθείᾳ τῶν Κυρηναίων ἐτύγχανε σταλείς. οἱ δὲ Τευχειρῖται, Ὀφέλλα τὴν ἐξουσίαν δόντος, ᾐκίσαντό τε τὸν Θίβρωνα καὶ εἰς τὸν τῶν Κυρηναίων ἔπεμψαν κρεμασθῆναι λιμένα. ἔτι δὲ τῶν περὶ Κυρήνην στασιαζόντων Πτολεμαῖος ἐπελθὼν καὶ πάντα καταστησάμενος ὀπίσω ἀπέπλευσε.

Περδίκκας δὲ Ἀντιγόνῳ ἐπιβουλεύων εἰς δικαστή-
220 R. ριον ἐκάλει· ὁ δὲ εἰδὼς ἐπιβουλεύεσθαι οὔτε ὑπήκουσε, καὶ εἰς ἔχθραν ἀλλήλοις κατέστησαν. ἐν τούτῳ δὲ παρὰ τὸν Περδίκκαν ἐκ Μακεδονίας ἧκον Ἰόλλας τε καὶ Ἀρχίας, ἄγοντες αὐτῷ τὴν Ἀντιπάτρου παῖδα Νίκαιαν εἰς γυναῖκα. ἀλλά γε καὶ Ὀλυμπιὰς ἡ Ἀλεξάνδρου μήτηρ ἔπεμπε παρ' αὐτὸν κατεγγυωμένη τὴν θυγατέρα Κλεοπάτραν, καὶ ὁ μὲν Εὐμένης ὁ Καρδιανὸς συνεβούλευεν ἄγειν Κλεοπάτραν, Ἀλκέτᾳ δὲ τῷ ἀδελφῷ εἰς Νίκαιαν ἔτεινεν ἡ συμβουλή· καὶ νικᾷ τὸ Νίκαιαν μᾶλλον ἀγαγεῖν. οὐ πολὺ δὲ ὕστερον καὶ τὸ περὶ Κυνάνην πάθος συνηνέχθη, ὃ Περδίκκας τε καὶ ὁ ἀδελφὸς Ἀλκέτας διεπράξαντο. ἡ δὲ Κυνάνη Φίλιππον μὲν εἶχε πατέρα, ὃν καὶ Ἀλέξανδρος, ἐκ δὲ μητρὸς Εὐρυδίκης ἦν, γυνὴ δὲ Ἀμύντου, ὃν ἔφθη Ἀλέξανδρος κτεῖναι, ὁπότε εἰς τὴν Ἀσίαν διέβαινεν. οὗτος δὲ Περδίκκου παῖς ἦν, ἀδελφὸς δὲ Φιλίππου Περδίκκας, ὡς εἶναι Ἀμύνταν τὸν ἀνῃρημένον Ἀλεξάνδρου ἀνεψιόν. ἦγε δὲ ἡ Κυνάνη Ἀδέαν τὴν αὐτῆς θυγατέρα, ἥτις ὕστερον Εὐρυδίκη μετωνομάσθη, τῷ Ἀῤῥιδαίῳ εἰς γυναῖκα· ἣν καὶ ὕστερον ἠγάγετο Περδίκκα διαπραξαμένου ἐφ' ᾧ παῦσαι τὴν Μακεδόνων στάσιν, ἥτις ἐπὶ τῷ Κυνάνης πάθει ἀναφθεῖσα ἐπὶ μέγα κακοῦ προεχώρει.

Ἀντίγονος δὲ ἐς Μακεδονίαν παρὰ Ἀντίπατρον καὶ Κρατερὸν ἔφυγε, καὶ τὴν εἰς αὐτὸν ἐπιβουλήν, ἣν Περδίκκας ἐβούλευσε, διηγήσατο, καὶ ὡς κατὰ πάντων ἡ αὐτὴ αὐτῷ μελέτη σπουδάζεται· ἀνεδίδαξέ τε καὶ τὸ τῆς Κυνάνης ἐκτραγῳδήσας πάθος. καὶ ταῦτα διαθέμενος εἰς πόλεμον αὐτῷ τούτους κατέστησε. καὶ Ἀῤῥιδαῖος δὲ ὁ τὸ τοῦ Ἀλεξάνδρου σῶμα φυλάσσων, παρὰ γνώμην αὐτὸ Περδίκκου λαβών, πρὸς Πτολεμαῖον παραγίνεται τὸν Λάγου, ἀπὸ Βαβυλῶνος διὰ Δαμασκοῦ ἐπ' Αἴγυπτον ἐλαύνων· ὃς πολλὰ μὲν ὑπὸ Πολέμωνος τοῦ προσοικειουμένου Περδίκκᾳ κωλυθεὶς ἐνίκησεν ὅμως εἰς τὸ τὴν ἑαυτοῦ γνώμην ἔργῳ ἐξενεγκεῖν. ἐν τούτῳ καὶ Εὐμένης παρὰ Περδίκκου δῶρα πρὸς Κλεοπάτραν ἐς Σάρδεις ἐκόμισε, καὶ ὅτι ἐγνωσμένον εἴη Περδίκκᾳ Νίκαιαν μὲν ἐκπέμπειν, ἀντ' ἐκείνης δὲ ταύτην ἄγεσθαι. οὗ μηνυθέντος (Μένανδρος δὲ ὁ Λυδίας σατράπης ἐμήνυσεν Ἀντιγόνῳ) καὶ δι' αὐτοῦ τοῖς περὶ Ἀντίπατρον καὶ Κρατερὸν δημοσιωθέντος, ἐπὶ μᾶλλον αὐτοῖς τὰ πρὸς Περδίκκαν ἐξεπεπολέμωτο. περαιοῦται δὴ Ἀντίπατρος καὶ Κρατερὸς ἀπὸ τῆς Χεῤῥονήσου τὸν Ἑλλήσποντον, τοὺς τὸν πόρον φυλάσσοντας διὰ πρεσβείας ὑπαγόμενοι. πρεσβεύονται δὲ καὶ πρὸς Εὐμένη καὶ πρὸς Νεοπτόλεμον, τοὺς ὑπὸ Περδίκκᾳ· καὶ Νεοπτόλεμος 126 H
μὲν πείθεται, Εὐμένης δὲ οὐκ ἀνέχεται. ὑποπτεύεται Εὐμένει Νεοπτόλεμος, καὶ συγκροτεῖται πρὸς ἀλλήλους πόλεμος, καὶ νικᾷ κατὰ κράτος Εὐμένης. φεύγει δὲ Νεοπτόλεμος παρὰ Ἀντίπατρον καὶ Κρατερὸν σὺν ὀλίγοις, καὶ πείθει τούτους ἐπὶ συμμαχίαν κατὰ Εὐμένους ἐλθεῖν αὐτῷ Κρατερόν· καὶ πολεμοῦσιν ἄμφω Εὐμένη. καὶ πάντα ποιήσας Εὐμένης ὥστε λαθεῖν τοὺς σὺν αὐτῷ Κρατερὸν αὐτῷ πολεμεῖν, ἵνα μὴ τῇ περὶ αὐτὸν ἁλόντες φήμῃ ἢ προσχωρήσωσιν αὐτῷ ἢ καὶ μένοντες ἀτολ-

a. 2. εἰς ς. 4. ἐπήνεγκε ς. 14. ἀπελίπετο ς. 15. Κυδωνίαν τὴν ἐν Κρήτῃ ς. 16. εἰς ς. 25. τευχερῖται A. 38. Ἀλκετίᾳ et 42. Ἀλκετίας ς. — b. 2. γυνὴ A: γένει ς. 3. ὅτε ς. 6. θυγατέραν A. 10. κακὸν ς. 17. τὸ add A. 22. ἔργῳ A: εἰς ἔργον ς. καὶ A: δὲ καὶ ς. 23. εἰς ς. 26. ἐμήνυεν A. 29. δὴ A: δὲ ς. 31. φυλ. καὶ διὰ ς. 33. Περδίκκαν ς. 39. Εὐμενεῖ ς.

Digitized by Google

μότεροι εἶεν, καὶ κρατήσας τοῖς τεχνάσμασι, κρατεῖ καὶ τῷ πολέμῳ· καὶ πίπτει μὲν Νεοπτόλεμος τῇ αὐτοῦ Εὐ- 221R. μένους τοῦ γραμματέως δεξιᾷ, "ἀνὴρ στρατιωτικὸς καὶ πολέμοις ἠριστευκώς, Κρατερὸς δὲ ὑπό τινων Παφλαγόνων, ἀφειδῶς πρὸς πάντα μαχόμενος καὶ χωρῶν ὥστε γνωσθῆναι· ἀλλ᾽ ἔφθη πεσὼν μὴ γνωσθείς, καίτοι καὶ τὴν καυσίαν τῆς κεφαλῆς ἀφελών. ἡ μέντοι πεζὴ στρατιὰ σῶα πρὸς Ἀντίπατρον ἐκ τοῦ πολέμου παρεγένετο, ὃ καὶ τὸ πολὺ τῆς ἀθυμίας ἐπεκούφισε. παραγίνεται ἀπὸ Δαμασκοῦ Περδίκκας ἐπ᾽ Αἴγυπτον σὺν τοῖς βασιλεῦσι καὶ τῇ δυνάμει Πτολεμαίῳ πολεμῆσαι. κατηγορήσας δὲ Πτολεμαίου, κἀκείνου ἐπὶ τοῦ πλήθους ἀπολυομένου τὰς αἰτίας, καὶ δόξας μὴ δίκαια ἐπικαλεῖν, ὅμως καὶ τοῦ πλήθους οὐχ ἑκόντος πολεμεῖ. καὶ δὶς ἡττηθείς, καὶ τραχὺς πρὸς τοὺς παρὰ Πτολεμαῖον ἐθέλοντας χωρῆσαι λίαν καταστάς, καὶ τἆλλα τῇ στρατιᾷ ὀγκηρότερον ἢ κατὰ στρατηγὸν προσφερόμενος, ὑπὸ τοῦ οἰκείου πλήθους τῶν ἱππέων ἀναιρεῖται, μαχόμενος καὶ αὐτός. Πτολεμαῖος δὲ μετὰ τὴν ἀναίρεσιν Περδίκκου πρός τε τοὺς βασιλεῖς ἐπεραιώθη τὸν Νεῖλον, καὶ δώροις φιλοφρονησάμενος καὶ τῇ ἄλλῃ θεραπείᾳ, οὐ μόνον δὲ ἀλλὰ καὶ τοὺς ὅσοι ἐν τέλει Μακεδόνων. ὁ δὲ καὶ τοῖς Περδίκκου φίλοις συναχθόμενός τε δῆλος ἐγένετο, καὶ ὅσοις τι κινδύνου ἔτι ἐκ Μακεδόνων ὑπελείπετο, καὶ τούτους ἀπαλλάξαι τοῦ δέους παντὶ τρόπῳ διεσπούδασεν· ἐφ᾽ οἷς παραυτίκα τε καὶ ἐς τὸ ἔπειτα εὐδοκιμῶν ἐγινώσκετο. συνεδρίου δὲ κροτηθέντος ἄρχοντες μὲν τῆς πάσης δυνάμεως ἀντὶ Περδίκκου Πίθων καὶ Ἀῤῥιδαῖος ἐν τῷ τέως ἀνεῤῥήθησαν, τῶν δὲ περὶ Εὐμένη τε καὶ Ἀλκέταν ἐς πεντήκοντα κατεγνώσθησαν, μάλιστα ἐπὶ τῇ Κρατεροῦ ἀναιρέσει τῶν Μακεδόνων πρὸς αὐτοὺς ἐκπολεμωθέντων. μετεκαλεῖτο δὲ καὶ Ἀντίγονος ἐκ Κύπρου, καὶ Ἀντίπατρος δέ, ἐπιταχῦναι πρὸς τοὺς βασιλέας. οὔπω δὲ καταλαβόντων ἡ Εὐρυδίκη Πίθωνα καὶ Ἀῤῥιδαῖον μηδὲν ἄνευ αὐτῆς ἠξίου πράττειν. οἱ δὲ τὰ πρῶτα μὲν οὐκ ἀντεῖπον, ἔπειτα δὲ μηδὲν αὐτὴν ἐπικοινωνεῖν τοῖς δημοσίοις ἀντέλεγον πράγμασιν· αὐτοῖς γάρ, ἕως Ἀντίγονος καὶ Ἀντίπατρος παραγένωνται, μελήσειν περὶ πάντων. ὧν παραγενομένων εἰς Ἀντίπατρον ἡ δυναστεία περιίσταται. καὶ ὁ στρατὸς αἰτεῖ τὰ παρὰ Ἀλεξάνδρου ὑποσχεθέντα αὐτοῖς ἐπὶ τῇ συστρατείᾳ χρήματα, καὶ Ἀντίπατρος παραυτίκα μὲν μηδὲν ἔχειν ἀποκρίνεται "φράζειν ἀκριβές, 127H. ἐξετάσας δὲ τούς τε βασιλείους θησαυροὺς καὶ τοὺς ὅσοι ἀλλαχόθι που κείμενοι ὦσι, τηνικαῦτα τὸν δυνατὸν τρόπον μὴ ἂν αὐτοῖς ἐπίμεμπτος νομισθῆναι· ἐφ᾽ ᾧ οὐχ ἡδέως ἡ στρατιὰ ἤκουσεν. Εὐρυδίκης δὲ συλλαμβανούσης ταῖς κατὰ Ἀντιπάτρου διαβολαῖς τῷ ἀπὸ τοῦ πλήθους ἄχθει στάσις γίνεται. καὶ δημηγορεῖ Εὐρυδίκη κατ᾽ αὐτοῦ, τοῦ γραμματέως Ἀσκληπιοδώρου ὑπηρετησαμένου τῷ λόγῳ· καὶ Ἄτταλος δέ. καὶ ῥύεται μόλις Ἀντίπατρος τῆς σφαγῆς, Ἀντιγόνου καὶ Σελεύκου τῇ παρακλήσει Ἀντιπάτρου ἀντιδημηγορησάντων ἐν τῷ πλήθει· οἳ καὶ αὐτοὶ διὰ τοῦτο ἐγγὺς ἐγένοντο τοῦ κινδύνου. ῥυσθεὶς δὲ Ἀντίπατρος τοῦ θανάτου πρὸς τὸ οἰκεῖον ὑπεχώρησε στρατόπεδον. καὶ οἱ ἵππαρχοι Ἀντιπάτρου καλοῦντος πρὸς αὐτὸν ἧκον, καὶ μόλις τῆς στάσεως πεπαυμένης "Ἀντίπατρον πάλιν, ὡς καὶ πρόσθεν, ἄρχειν 224R. εἵλοντο. καὶ ποιεῖται νέμησιν καὶ αὐτὸς τῆς Ἀσίας, τὰ μὲν τῆς προτέρας νεμήσεως ἐπικυρῶν, τὰ δὲ τοῦ καιροῦ βιαζομένου νεωτερίζων. Αἴγυπτον μὲν γὰρ καὶ Λιβύην καὶ τὴν ἐπέκεινα ταύτης τὴν πολλήν, καὶ ὅ τι περ ἂν πρὸς τούτοις δόριον ἐπικτήσηται πρὸς δυομένου ἡλίου, Πτολεμαίου εἶναι, Λαομέδοντι δὲ τῷ Μιτυληναίῳ Συρίαν ἐπιτετράφθαι. Φιλόξενον δὲ ἐπὶ Κιλικίας ἔταξεν, ἣν καὶ πρῶτον εἶχεν. τῶν δὲ ἄνω σατραπειῶν τὴν μὲν μέσην τῶν ποταμῶν γῆν καὶ τὴν Ἀρβηλῖτιν Ἀμφιμάχῳ τῷ τοῦ βασιλέως ἀδελφῷ ἔνειμε, Σελεύκῳ δὲ τὴν Βαβυλωνίαν προσέθηκεν. Ἀντιγένει δὲ τῷ πρώτῳ μὲν ἐπιθεμένῳ Περδίκκᾳ, τῶν δὲ ἀργυρασπίδων Μακεδόνων ἡγουμένῳ, τῆς Σουσιανῆς συμπάσης ἄρχειν· Πευκέστᾳ δὲ ἐβεβαίου τὴν Περσίδα· Καρμανίαν δὲ Τληπολέμῳ ἔνειμε, καὶ Μηδίαν Πίθωνι ἕως ἐπὶ πύλας τὰς Κασπίους, Φιλίππῳ δὲ τὴν Παρθυαίων γῆν· Ἀρείων δὲ καὶ τῆς Δραγγηνῶν χώρας Στάσανδρον καθίστη ἡγεμόνα, τῆς δὲ Βακτριανῆς καὶ Σογδιανῆς Στασάνορα τὸν Σόλιον, Ἀραχώτων δὲ Σιβύρτιον καὶ Παραπαμισάδας Ὀξυάρτῃ τῷ Ῥωξάνης πατρί, τῆς δὲ Ἰνδῶν γῆς τὰ μὲν σύνορα Παραπαμισάδαις Πίθωνι τῷ Ἀγήνορος, τὰς δὲ ἐχομένας σατραπείας, τὴν μὲν παρὰ τὸν Ἰνδὸν ποταμὸν καὶ Πάταλα τῶν ἐκείνῃ Ἰνδῶν πόλεων τὴν με-

a. 9. τὸ add A. 12. τὸ πλῆθος ς. 15. πρὸς τοὺς — ἐθέλοντας A: τοῖς — θελήσασι ς. 16. τὰ ἄλλα ς. 24. ἐκι A: αἴτιον ς. 28. πείθων pr A, πύθων corr: καὶ Πίθων ς. 30. Ἀλκιτέα ς. 31. κρατεροῦ ἀναιρέσει A: τῇ Κρατεροῦ ς. 32. ἐκπολεμηθέντων ς. 34. καταλαβόντος A: b. 1. στρατείᾳ ς. 5. ὧν ς. 22. δόριον A: δέριον ς. malim δορί: cf. Bast. comment. palaeograph. p. 771. 25. ξατραπειῶν A. 33. Κασπείας ς. 38. ξύνορα παραπαμεισάδαις A. 40. παρὰ A: περὶ ς. Ἰνδῶν ς. 41. ἐκεῖ ς.

Digitized by Google

γίστην Πώρῳ τῷ βασιλεῖ ἐπεχώρησε, τὴν δὲ παρὰ τὸν Ὑδάσπην ποταμὸν Ταξίλῃ, καὶ τούτῳ Ἰνδῷ, ἐπεὶ μηδὲ ῥᾴδιον μετακινῆσαι αὐτοὺς ἐξ Ἀλεξάνδρου τε ἐπιτετραμμένους τὴν ἀρχὴν καὶ δύναμιν ἱκανὴν ἔχοντας. τῶν δὲ ἀπὸ τοῦ Ταύρου ὄρους ὡς ἐπὶ τὴν ἄρκτον φερόντων Καππαδόκας μὲν Νικάνορι ἐπέτρεψεν, ἐπὶ δὲ Φρυγίας τῆς μεγάλης καὶ ἐπὶ Λυκάοσί τε καὶ Παμφύλοις καὶ Λυκίοις, ὡς καὶ πρόσθεν, Ἀντίγονον· Καρίαν δὲ Ἀσάνδρῳ ἔνειμε, Λυδία δὲ Κλείτῳ ἐδόθη, καὶ Ἀῤῥιδαίῳ Φρυγία ἡ πρὸς Ἑλλησπόντῳ. τῇ δὲ κατακομιδῇ τῶν ἐν Σούσοις χρημάτων Ἀντιγένην ἔταξε, καὶ τούτῳ τῶν στασιασάντων Μακεδόνων τοὺς μάλιστα τρισχιλίους παρέδωκε. σωματοφύλακας δὲ τοῦ βασιλέως
128 H. Αὐτόλυκόν τε τὸν Ἀγαθοκλέους παῖδα καὶ Ἀμύνταν τὸν Ἀλεξάνδρου παῖδα Πευκέστου δὲ ἀδελφόν, καὶ Πτολεμαῖον τὸν Πτολεμαίου καὶ Ἀλέξανδρον τὸν Πολυσπέρχοντος, Κάσανδρον δὲ τὸν ἑαυτοῦ παῖδα χιλιάρχην τῆς ἵππου, τῆς δυνάμεως δὲ τῆς πρόσθεν ὑπὸ Περδίκκᾳ τεταγμένης Ἀντίγονον ἡγεμόνα ἀπέφηνε, καὶ τούτῳ τοὺς βασιλέας φρουρεῖν τε καὶ θεραπεύειν προστάξας, τὸν πόλεμον ἅμα τὸν πρὸς Εὐμένη διαπολεμῆσαι αὐτῷ αἱρουμένῳ ἐπέτρεπεν. Ἀντίπατρος δὲ αὐτὸς πολλὰ ὑπὸ πάντων ἕνεκα πάντων ἐπαινούμενος ἐπ' οἴκου ἀνεχώρει. ἐν οἷς καὶ ὁ θ' λόγος.

Ὁ δὲ δέκατος διαλαμβάνει ὡς Εὐμένης τὰ περὶ Περδίκκαν μαθών, ὅτι καὶ πολέμιος ἐψηφίσθη Μακεδόσιν, ἐπὶ πόλεμον παρεσκευάζετο. καὶ ὡς Ἀλκέτας ὁ Περδίκκου ἀδελφὸς διὰ ταῦτα ἔφυγε. καὶ Ἄτταλος ὁ τῆς κατὰ Ἀντιπάτρου στάσεως οὐδενὸς φέρων τὰ δεύτερα, καὶ αὐτὸς φυγὼν συνέμιξε τοῖς ἄλλοις φυγάσι. καὶ συνήχθη Ἀττάλῳ στρατός, πεζοὶ
225 R. μὲν μύριοι, ἱππεῖς δὲ ὀκτακόσιοι. καὶ ὡς Ἄτταλος καὶ οἱ σὺν αὐτῷ, ἐπιθέσθαι Κνίδῳ καὶ Καύνῳ καὶ Ῥοδίοις ἐπιχειρήσαντες, ὑπὸ Ῥοδίων καρτερῶς ἀπεκρούσθησαν, Δημαράτου ναυαρχοῦντος αὐτοῖς. διαλαμβάνει δὲ καὶ ὡς Εὐμένης Ἀντιπάτρου ἐς Σάρδεις ἰόντος ἐς χεῖρας ἐλθεῖν ἐγγὺς ἦν, Κλεοπάτρα δὲ ἡ τοῦ Ἀλεξάνδρου ἀδελφή, ἵνα μὴ ἐς τὸ τῶν Μακεδόνων πλῆθος ἐν διαβολῇ γένηται ὡς αὐτὴ τὸν πόλεμον αὐτοῖς ἐπάγουσα, παραινεῖ καὶ πείθει Εὐμένη ἀποχωρῆσαι τῶν Σάρδεων. ἀλλ' ὅμως οὐδὲν ἧττον ὁ Ἀντίπατρος παραγενόμενος αὐτὴν ἐπωνείδιζε τῆς ἐς Εὐμένη καὶ Περδίκκαν φιλίας. ἡ δὲ πρός τε ταῦτα κρεῖσσον ἢ κατὰ γυναῖκα ἀπελογεῖτο, καὶ πολλὰ ἄλλα ἀντεπεκάλει· τέλος δὲ εἰρηνικῶς ἀλλήλων ἀπηλλάγησαν. ὅτι Εὐμένης ἐπελθὼν ἀπροσδόκητος τοῖς οὐχ ὑπ' αὐτῷ προσχώροις, καὶ λείαν πολλὴν καὶ χρήματα συλλαβών, τὸν οἰκεῖον στρατὸν κατεπλούτει. διαπρεσβεύεται δὲ καὶ πρὸς Ἀλκέταν καὶ τοὺς σὺν αὐτῷ, ἐς ταὐτὸν τὰς δυνάμεις συναγαγεῖν ἀξιῶν, καὶ οὕτω τοῖς κοινοῖς ἐχθροῖς μάχεσθαι· οἱ δέ, ἄλλων ἄλλα συμβουλευσαμένων, τέλος οὐ πείθονται. ὅτι Ἀντίπατρος Εὐμένει μὲν πολεμεῖν τέως οὐκ ἐθάῤῥει, κατὰ δὲ Ἀττάλου καὶ Ἀλκέτα πέμπει πολεμήσοντα Ἄσανδρον· καὶ ἀγχωμάλου τῆς μάχης γεγενημένης ἡττᾶται Ἄσανδρος. ὅτι διαφέρεται Κάσανδρος πρὸς Ἀντίγονον, καὶ παύεται Κάσανδρος τῆς κατὰ Ἀντιγόνου ἀταξίας Ἀντιπάτρου τοῦ πατρὸς διακωλύσαντος. ὅμως οὖν ὁ Κάσανδρος, περὶ Φρυγίαν συμβαλὼν τῷ πατρί, ἀναπείθει μήτε πόῤῥω τῶν βασιλέων ἀποχωρεῖν καὶ Ἀντίγονον δι' ὑπονοίας ἔχειν. ὁ δὲ τῇ τε μετριοφροσύνῃ καὶ τῇ ἄλλῃ θεραπείᾳ καὶ ἀρετῇ τὸν δυνατὸν τρόπον διέλυε τὴν ὑπόνοιαν. καὶ Ἀντίπατρος ἐπικλασθεὶς τῆς τε ξυνδιαβάσης αὐτῷ ἐς τὴν Ἀσίαν δυνάμεως πεζοὺς μὲν ἐπιτρέπει αὐτῷ Μακεδόνας ὀκτακισχιλίους καὶ πεντακοσίους, καὶ ἱππέας τῶν ἑτέρων ἴσους, ἐλέφαντας δὲ τῶν πάντων τοὺς ἡμίσεας ο', ὡς ῥᾷον διαπολεμήσειεν τὸν πρὸς Εὐμένη πόλεμον. καὶ Ἀν- 129 H.
τίγονος μὲν τοῦ πολέμου ἥπτετο, Ἀντίπατρος δὲ ἀναλαβὼν τοὺς βασιλεῖς καὶ τὴν ἄλλην δύναμιν ᾔει ὡς περαιωσόμενος ἐπὶ Μακεδονίαν. καὶ στασιάζει πάλιν ὁ στρατός, αἰτῶν τὰ χρήματα. Ἀντίπατρος δέ, ἐπειδὰν ἔλθῃ εἰς Ἄβυδον, ὡμολόγησε ποριεῖν αὐτά, καὶ δώσειν τυχὸν μὲν πάντα, ὅση ἡ δωρεά, εἰ δὲ μή, τήν γε πλείστην. καὶ ταύταις αὐτοὺς ταῖς ἐλπίσιν ἀναρτήσας, ἀστασιάστως τὸ λοιπὸν καταλαμβάνει τὴν Ἄβυδον. ἐκεῖ δὲ τέχνῃ τούτους παρακρουσάμενος, νυκτὸς ἅμα τοῖς βασιλεῦσι περαιοῦται τὸν Ἑλλήσποντον παρὰ Λυσίμαχον. τῇ δὲ ὑστεραίᾳ καὶ αὐτοὶ ἐπεραιώθησαν, ὑπὲρ τῆς ἀπαιτήσεως τῶν χρημάτων παραυτίκα ἡσυχάσαντες. ἐν οἷς καὶ τοῦ δεκάτου λόγου τὸ τέλος.

Ἔστι μὲν οὖν ὁ ἀνὴρ οὐδενὸς τῶν ἄριστα συνταξαμένων ἱστορίας δεύτερος· ἀπαγγεῖλαί τε γὰρ καὶ μετὰ

a. 1. ἐπεχώρισε ς. 7. Παμφυλίοις ς. 10. Ἑλλήσποντον ς. 15. δὲ τὸν ἀδελφὸν A. 26. καὶ ὅτι A: ὅτι καὶ ς. 30. τοῖς] καὶ ταῖς ς. 34. κρατερῶς ς. 36 et b 1. εἰς ς. 39. ἐν διαβολῇ A: διαβολὴ ς. b. 1. ὠνείδιζε ς. 3. ἀντενεκάλει ς. 5. ἀπροσδοκήτως — ὑπ' αὐτὸν ς. 7. πρὸς om A. 9. ἀναγαγεῖν ς. 10. βουλευσαμένων ς. 13 et 14. Ἄσσανδρον et Ἄσσανδρος ς. 13. γινομένης ς. 24. ἑταίρων A. 29. ἐπὶ A: τὴν ς. 31. ὡμολόγει ς. 33. γε A: τε ς. 34. ἀστασίαστον A. 35. τούτους τέχνῃ ς. 40. ὁ add A.

Digitized by Google

συντομίας κράτιστος, καὶ παρεκτροπαῖς ἀκαίροις οὐδὲ παρενθήκαις τὸ συνεχὲς τῆς ἱστορίας οὐδαμοῦ λυμαινόμενος, καινοπρεπὴς δὲ συνθήκῃ λόγου μᾶλλον ἢ λέξει, 228 R. καὶ οὕτως ὥστε μὴ ἂν ἄλλως "μήτε σαφέστερον μήτε ἐναργέστερον τὸ διήγημα δηλωθῆναι. εὐσήμῳ δὲ καὶ εὐήχῳ καὶ τῷ τῶν λέξεων ἀποκεχρημένος στρογγύλῳ, καὶ τὸ λεῖον ἔχει τῷ μεγέθει συγκιρνάμενον. καὶ ἡ καινότης τῶν λέξεων οὐχὶ εἰς τὸ πόῤῥω νεωτερίζεται, ἀλλ' ἔγγιστά τε καὶ εἰς τὸ ἐμφατικώτατον, ὡς σχηματισμὸν εἶναι λέξεως ἀλλ' οὐχὶ ἐναλλαγὴν συνήθους ὀνόματος. διὸ καὶ τὸ σαφὲς συνεφέλκεται οὐκ ἐν τούτῳ μόνον, ἀλλὰ κἂν τῇ διασκευῇ καὶ τάξει καὶ καταστάσει μάλιστα τοῦ διηγήματος. ὅπερ ἐστὶ καὶ τῆς σαφηνείας τὸ ἔντεχνον· ἡ γάρ τοι χρῆσις ἡ κατὰ τὰς εὐθείας τῶν περιόδων καὶ τοῖς ἰδιώταις πρόσεστι μάλιστα, καὶ εἰς ὑπτιότητα καὶ ταπεινότητα λίαν καταβιβάζει τὸν λόγον, ἄκρατος μάλιστα γινομένη· ὅπερ οὗτος, εἰ καὶ τοῦ σαφοῦς εἶναι δοκεῖ, οὐ προσήκατο. καὶ τῷ ἐλλείποντι δὲ τῶν τρόπων οὕτω κέχρηται, οὐ κατὰ τὰς περιοδικὰς ἐλλείψεις τοῦτο ποιῶν, ἀλλὰ κατά γε τὰς τῶν λέξεων, ὥστε μηδ' ἐλλείπειν διδόναι συναίσθησιν· καὶ εἴ τις τὸ λεῖπον ἐπιχειροίη προσθεῖναι, εἰς τὸ παρέλκον ἂν ἐπιτεῖναι δόξαι, ἀλλὰ μὴ τοῦ ἐλλειποῦς ἐξευρεῖν τὴν ἀναπλήρωσιν. ἄριστα δὲ αὐτοῦ καὶ τὸ πολυσχημάτιστον ἔχει, οὐκ ἀθρόον μεταβαλλόμενον ἀπὸ τῆς αὐτοσχηματίστου χρήσεως, ἀλλ' ἠρέμα καὶ ἐξ ἀρχῆς συμπλεκόμενον, ὡς μήτε τῷ προσκορεῖ ἀνιᾶν μήτε τῷ ἀθρόῳ ποιεῖν ἐκταράσσεσθαι. καὶ ἁπλῶς, εἴ τις κατ' αὐτὸν ἐπὶ τοὺς ἱστορικοὺς ἀναχθείη λόγους, πολλοὺς καὶ τῶν ἀρχαίων ἴδοι τῆς αὐτοῦ τάξεως ἱσταμένους ταπεινότερον.

## 93.

233 R. "Ἀνεγνώσθη τοῦ αὐτοῦ τὰ Βιθυνιακὰ ἐν βιβλίοις ὀκτώ, ἐν οἷς τά τε μυθικὰ τὰ περὶ Βιθυνίας καὶ τἆλλα, ὅσα συνέστη περὶ αὐτήν, εἰς λεπτὸν ἀναγράφει, τῇ πατρίδι δῶρον ἀναφέρων τὰ πάτρια· Νικομήδειον γάρ τι τὸ γένος αὐτοῦ ἐν ταύτῃ τῇ συγγραφῇ διορίζει, ἐν αὐτῇ τε γεννηθῆναι "καὶ τραφῆναι καὶ παιδευθῆναι 130 H.
καὶ ἱερέα τῆς Δήμητρος καὶ τῆς παιδὸς αὐτῆς, αἷς καὶ τὴν πόλιν ἀνακεῖσθαί φησι, χρηματίσαι. μέμνηται δὲ ἐν ταύτῃ τῇ συγγραφῇ καὶ ἑτέρων πραγματειῶν, ὧν ἡ μὲν ὅσα Τιμολέοντι τῷ Κορινθίῳ κατὰ Σικελίαν ἐπράχθη διαλαμβάνει, "ἡ δὲ τὰ Δίωνι τῷ Συρακουσίῳ 236 R.
ὅσα ἀξιαφήγητα ἔργα ἐπετελέσθη, ἡνίκα τὰς Συρακούσας καὶ πᾶσαν Σικελίαν ἀπὸ τοῦ δευτέρου Διονυσίου, ὃς ἦν παῖς τοῦ προτέρου, ἠλευθέρου, καὶ τῶν βαρβάρων, οὓς ὑπὲρ τοῦ βεβαίως τυραννεῖν Διονύσιος ἐπηγάγετο. φαίνεται δὲ τετάρτην γράφων τὴν τῆς πατρίδος ἀφήγησιν· μετὰ γὰρ τὰ περὶ Ἀλέξανδρον καὶ Τιμολέοντα καὶ Δίωνα [μετὰ τὰς περὶ αὐτοὺς ἱστορίας] ἥδε αὐτῷ ἡ συγγραφὴ ἐξεπονήθη, ἐξ ἀρχῆς μέν, ἀφ' οὗ γράφειν ἴσχυσε, ταύτην ἐνστήσασθαι καὶ συντάξαι τὴν ὑπόθεσιν βουληθέντι, τῆς δὲ παρασκευῆς τῷ ἐνδεῶς αὐτὸν ἔχειν παρατεινάσης τὸν χρόνον· ταύτην γὰρ αὐτὸς τῆς ἐπὶ τούτῳ βραδυτῆτος ἀποδίδωσιν αἰτίαν. ἄρχεται μὲν οὖν, ὥσπερ εἴρηται, ἀπὸ τῶν μυθικῶν τῆς ἱστορίας, κάτεισι δὲ μέχρι τελευτῆς τοῦ ἐσχάτου Νικομήδους, ὃς τελευτῶν τὴν βασιλείαν Ῥωμαίοις κατὰ διαθήκας ἀπέλιπεν, οὔπω βασιλευομένοις μετὰ τὴν τοῦ Ταρκυνίου ἐξέλασιν.

## 94.

Ἀνεγνώσθη ΙΑΜΒΛΙΧΟΥ δραματικόν, ἔρωτας ὑποκρινόμενον. ἔστι δὲ τῇ αἰσχρολογίᾳ τοῦ μὲν Ἀχιλλέως τοῦ Τατίου ἧττον ἐκπομπεύων, ἀναιδέστερον δὲ μᾶλλον ἢ ὁ Φοῖνιξ Ἡλιόδωρος προσφερόμενος. οἱ γὰρ τρεῖς οὗτοι σχεδόν τι τὸν αὐτὸν σκοπὸν προθέμενοι ἐρωτικῶν δραμάτων ὑποθέσεις ὑπεκρίθησαν, ἀλλ' ὁ μὲν Ἡλιόδωρος σεμνότερόν τε καὶ εὐφημότερον, ἧττον δὲ αὐτοῦ ὁ Ἰάμβλιχος, αἰσχρῶς δὲ καὶ ἀναιδῶς ὁ Ἀχιλλεὺς ἀποχρώμενος. καὶ ἥ γε λέξις αὐτῷ ῥέουσα καὶ μαλακή· καὶ ὅσον αὐτῆς ὑπόκροτον, οὐ πρὸς τόνον τινὰ ἀλλ' ἐπὶ τὸ γαργαλίζον, ὡς ἄν τις εἴποι, καὶ βλακῶδες παρακεκίνηται. ὁ μέντοι Ἰάμβλιχος, ὅσα γε εἰς λέξεως ἀρετὴν καὶ συνθήκης καὶ τῆς ἐν τοῖς διηγήμασι τάξεως, καὶ

a. 9. ἐμφαντικώτατον ς. 11. ἀλλ' ἐν ς. 17. οὕτως A. 27. ἐκταράττεσθαι ς. 32. βιθυνιὰ A, βιθυνικὰ ς. cf. p. 17 a 27. 34. εἰς λεπτὸν A: λεπτομερῶς ς. b. 4. ταύτῃ] ταύτῃ αὐτῇ A. 12. μετὰ] μετά τε ς. γὰρ — μετὰ om A. 14. ἐξ] καὶ ἐξ ς. 16. αὐτὸν ἔχειν A: ἔχειν αὐτὸν ς. 18. τοῦτο ς. 19. ὥσπερ εἴρηται post ἱστορίας ponit ς. 24. ΙΑΜΒΛΙΧΟΥ] οὗτος ὁ Ἰάμβλιχος Σύρος ἦν γένος πατρόθεν καὶ μητρόθεν, Σύρος δὲ οὐχὶ τῶν ἐπῳκηκότων τὴν Συρίαν Ἑλλήνων ἀλλὰ τῶν αὐτοχθόνων, γλῶσσαν δὲ Σύραν εἰδὼς καὶ τοῖς ἐκείνων ἔθεσι ζῶν, ἕως αὐτὸν τροφεύς, ὥς αὐτός φησι, Βαβυλώνιος λαβὼν Βαβυλωνίαν τε γλῶσσαν καὶ ἤθη καὶ λόγους μεταδιδάσκει, ὧν ἕνα τῶν λόγων εἶναί φησι καὶ ὃν νῦν ἀναγράφει. αἰχμαλωτισθῆναι δὲ τὸν Βαβυλώνιον καθ' ὃν καιρὸν Τραϊανὸς εἰσέβαλεν εἰς Βαβυλῶνα, καὶ πραθῆναι Σύρῳ ὑπὸ τῶν λαφυροπώλων. εἶναι δὲ τοῦτον σοφὸν τὴν βάρβαρον σοφίαν, ὡς καὶ τῶν βασιλέως γραμματέων ἐν τῇ πατρίδι διάγοντα γεγενῆσθαι. ὁ μὲν οὖν Ἰάμβλιχος οὗτος Σύραν τὴν πάτριον γλῶσσαν εἰδώς, ἐπιμαθὼν καὶ τὴν Βαβυλωνίαν, μετὰ ταῦτα καὶ τὴν Ἑλληνά φησιν ἀσκήσει καὶ χρήσει λαβεῖν, ὡς ἀγαθὸς ῥήτωρ γένοιτο. mg A.
31. post Ἀχιλλεὺς cum A omisi, quae vulgo addunt: ὁ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα ἐρωτικὰ ἐν βιβλίοις ή γράψας.



Digitized by Google

τοῖς σπουδαιοτάτοις τῶν πραγμάτων ἀλλ' οὐχὶ παιγνίοις καὶ πλάσμασιν ἄξιος τὴν τῶν λόγων τέχνην καὶ ἰσχὺν ἐπιδείκνυσθαι.

Εἰσὶ δὲ αὐτῷ πεποιημένα τοῦ δράματος πρόσωπα Σινωνὶς καὶ Ῥοδάνης, καλὴ καὶ καλὸς τὴν ὄψιν, νόμῳ γάμου ἐρῶντες ἀλλήλων καὶ δὴ καὶ ζευγνύμενοι, καὶ Γάρμος βασιλεὺς Βαβυλῶνος τῆς αὐτοῦ γυναικὸς θανούσης εἰς ἔρωτα ἀναπτόμενος Σινωνίδος, καὶ πρὸς γάμον ἄγειν ἐπειγόμενος. ἀνάνευσις Σινωνίδος καὶ δεσμὰ χρυσῷ τῆς ἁλύσεως διαπεπλεγμένης, καὶ Ῥοδάνης διὰ τοῦτο, Δάμα καὶ Σάκα τῶν βασιλικῶν εὐνούχων τὴν πρᾶξιν ἐπιτραπέντων, ἐπὶ σταυροῦ ἀναρτώμενος. ἀλλ' ἐκεῖθεν καθαιρεῖται σπουδῇ Σινωνίδος, καὶ φεύγουσιν ἄμφω, ὁ μὲν τὸν σταυρόν, ἡ δὲ τὸν γάμον. καὶ περιτέμνεται διὰ τοῦτο Σάκας καὶ Δάμας τὰ ὦτα καὶ τὰς ῥῖνας, καὶ ἐπὶ τὴν τούτων ἀποστέλλονται ζήτησιν, καὶ δίχα
131 H. μεριωθέντες "ἐπὶ τὴν ἔρευναν τρέπονται. καταλαμβάνονται σχεδόν τι παρά τινα λειμῶνα οἱ περὶ Ῥοδάνην ὑπὸ τοῦ διώκοντος Δάμα· ἁλιεὺς δ' ἦν ὃς τοὺς ποιμένας ἐμήνυσεν, οἳ στρεβλούμενοι τὸν λειμῶνα μόλις δεικνύουσιν. ἐν ᾧ καὶ χρυσὸν Ῥοδάνης εὕρισκε, τῆς στή-
237 R. λης τοῦ λέοντος ὑποδηλούμενον τῷ ἐπιγράμματι. "καὶ τράγου τι φάσμα ἐρᾷ Σινωνίδος· ἐξ ἧς αἰτίας καὶ οἱ περὶ Ῥοδάνην τοῦ λειμῶνος ἀπαίρουσι. Δάμας δὲ τὸν ἀπὸ τοῦ λειμῶνος τῆς Σινωνίδος στέφανον εὑρὼν πέμπει Γάρμῳ παραμύθιον. φεύγοντες δὲ οἱ περὶ Ῥοδάνην ἐντυγχάνουσιν ἐπὶ καλύβης γραΐ τινι γυναικί, καὶ κρύπτονται ὑπ' ἄντρῳ, ὃ διαμπερὲς ἦν ὀρωρυγμένον ἐπὶ σταδίους τριάκοντα· λόχμη δὲ τὸ στόμα ἐβέβυστο. καὶ οἱ περὶ τὸν Δάμαν ἐφίστανται, καὶ ἀνακρίνεται ἡ γραῦς, καὶ ξίφος γυμνὸν ἰδοῦσα ἐξέψυξεν. οἱ δὲ τοῦ Ῥοδάνους ἵπποι καὶ τῆς Σινωνίδος, οἷς ἐποχοῦντο, συλλαμβάνονται. καὶ περικαθίσταται στρατὸς τὸ χωρίον ἐν ᾧ Σινωνὶς καὶ Ῥοδάνης ἀπεκρύπτετο, καὶ καταῤῥήγνυταί τινος τῶν περιπόλων ἀσπὶς ἐκ χαλκοῦ τοῦ ὀρύγματος ὕπερθεν, καὶ τῷ διακένῳ τοῦ ἤχου τῶν κεκρυμμένων μήνυσις γίνεται, καὶ περιορύσσεται τὸ ὄρυγμα, καὶ πάντα Δάμας βοᾷ. καὶ γίνεται τοῖς ἔνδον συναίσθησις, καὶ φεύγουσιν ὑπὸ τοῖς τοῦ ἄντρου μυχοῖς, καὶ διεκπίπτουσι πρὸς τὴν ἑτέραν αὐτοῦ ὀπήν. καὶ μελιττῶν ἀγρίων σμήνη ἐκεῖθεν ἐπὶ τοὺς ὀρύσσοντας τρέπεται, καταῤῥεῖ δὲ τοῦ μέλιτος καὶ ἐπὶ τοὺς φεύγοντας· αἱ δὲ μέλισσαι καὶ τὸ μέλι ἐξ ἑρπετῶν πεφαρμακευμέναι τροφῆς, αἱ μὲν κρούσασαι τοὺς ἐπὶ τὸ ὄρυγμα ἠκρωτηρίαζον, οὓς δὲ καὶ ἀπέκτειναν. τῷ δὲ λιμῷ κρατούμενοι οἱ περὶ Ῥοδάνην διαλιχμησάμενοι, καὶ τὰς γαστέρας καταῤῥυέντες, πίπτουσι παρὰ τὴν ὁδὸν ὡσεὶ νεκροί. φεύγουσιν ὁ στρατὸς τῷ τῶν μελισσῶν πολέμῳ πονούμενοι, καὶ τοὺς περὶ Ῥοδάνην ὅμως διώκουσι, καὶ οὓς ἐδίωκον ὁρῶντες ἐῤῥιμμένους παρέτρεχον, νεκρούς τινας ὡς ἀληθῶς ὑπολαμβάνοντες. ἐν τούτῳ τῷ ἄντρῳ κείρεται τοὺς πλοκάμους ἡ Σινωνίς, δι' οὗ ὕδωρ αὐτοῖς ἀνιμήσοντο· καὶ τοῦτο εὑρὼν ἐκεῖσε Δάμας πέμπει τῷ Γάρμῳ, σύμβολον τοῦ ἐγγὺς εἶναι κἀκείνους συλλαβεῖν. ἐῤῥιμμένων δὲ παρὰ τὴν ὁδὸν τοῦ τε Ῥοδάνους καὶ τῆς Σινωνίδος, ὁ στρατὸς παρερχόμενος ὡς ἐπὶ νεκροῖς κατὰ τὸ πάτριον ἔθος οἱ μὲν χιτωνίσκους ῥίπτοντες ἐκάλυπτον, ἄλλοι δὲ ἄλλο τι τῶν προσόντων, καὶ κρεῶν δὲ μέρη καὶ ἄρτους, ἐπέῤῥιπτον· καὶ οὕτω παρῆλθεν ὁ στρατός. οἱ δὲ τῷ μέλιτι καρωθέντες μόλις ἀνίστανται, κοράκων μὲν τῶν περὶ τὰ κρέα διεριζόντων Ῥοδάνην, ἐκείνου δὲ Σινωνίδα διαναστήσαντος. ἀναστάντες οὖν πορεύονται τὴν ἐναντίαν τραπόμενοι τῷ στρατῷ, ἵνα μᾶλλον λάθοιεν μὴ ὄντες οἱ διωκόμενοι. καὶ εὑρόντες ὄνους δύο ἐπέβησάν τε καὶ τὰ φορτία ἐπέθεντο, ἃ συνεκεκόμιστο αὐτοῖς ἀφ' ὧν ὡσεὶ νεκροῖς ἐπέῤῥιψεν ὁ στρατός. εἶτα καταίρουσιν εἰς πανδοχεῖον, καὶ φεύγουσιν ἐκεῖθεν, καὶ περὶ πλήθουσαν ἀγορὰν εἰς ἄλλον σταθμὸν καταλύουσι. καὶ γίνεται τὸ πάθος τῶν ἀδελφῶν, καὶ κατηγοροῦνται φόνου, καὶ "ἀφίενται, 132 H.
τοῦ πρεσβυτέρου τῶν ἀδελφῶν, ὃς ἀνῃρήκει φαρμάκῳ τὸν ὕστερον, κατηγορήσαντος μέν, τῇ δὲ οἰκείᾳ ἀναιρέσει ἀθῳώσαντος· καὶ λανθάνει Ῥοδάνης ἀνελόμενος τὸ φάρμακον. καταίρουσιν εἰς οἴκημα λῃστοῦ τοὺς παροδίτας λῃστεύοντος καὶ τούτους ἑαυτῷ ποιουμένου τράπεζαν. καὶ στρατιωτῶν ὑπὸ τοῦ Δάμα σταλέντων, ἐπεὶ ὁ λῃστὴς συνείληπτο, πῦρ ἐμβάλλεται εἰς τὴν οἰκίαν· καὶ περιλαμβάνονται τῷ πυρί, "καὶ διαφεύγουσι μόλις τὸν ὄλεθρον 240 R.
τῶν ὄνων σφαγέντων καὶ τῷ πυρὶ εἰς δίοδον ἐπιτεθέντων. καθορῶνται νύκτωρ ὑπὸ τῶν τὸ πῦρ ἐμβαλόντων, καὶ ἐπερωτηθέντες τίνες εἶεν, εἴδωλα τῶν ὑπὸ τοῦ λῃστοῦ ἀναιρεθέντων ἀποκρίνονται, καὶ τῇ ὠχρότητι καὶ λεπτότητι τῆς ὄψεως καὶ τῇ ἀτονίᾳ τῆς φωνῆς ἔπεισάν τε τοὺς στρατιώτας καὶ ἐδειμάτωσαν. καὶ φεύγουσι πάλιν ἐκεῖθεν, καὶ καταλαμβάνουσι κόρην ἐπὶ

a. 5. Σιννωνὶς Suid. v. Σίννων. 11. εὐνούχων A: ἡμιαῤῥένων ς. 15. Δάμας καὶ Σάκας ς. 17. τρέπονται καὶ καταλαμβ. A. 28. ἄντρον ς. διαμπερὲς] cf. Suidas h. v. 33. περικάθηται ς. 39. τοὺς — μυχοὺς ς. 40. μελισσῶν ς. b. 1. κρούουσαι ς. 4. διαλιχμησάμενοι ς. παραῤῥυέντες ς. 12. παρὰ A: περὶ ς. 42. ἐκεῖθεν πάλιν ς.

Digitized by Google

ταφὴν ἀγομένην, καὶ συῤῥέουσιν ἐπὶ τὴν θέαν· καὶ Χαλδαῖος γέρων ἐπιστὰς κωλύει τὴν ταφήν, ἔμπνουν εἶναι τὴν κόρην ἔτι λέγων· καὶ ἐδείχθη οὕτως. χρησμῳδεῖ δὲ καὶ τῷ Ῥοδάνει ὡς βασιλεύσοι. καταλιμπάνεται κενὸς ὁ τῆς κόρης τάφος, καὶ πολλὰ τῶν πέπλων, ἃ ἔμελλεν ἐπικαίεσθαι τῷ τάφῳ, ἔτι τε σιτία καὶ ποτά· καὶ οἱ περὶ Ῥοδάνην τούτοις εὐωχοῦνται, καὶ λαμβάνουσί τινα καὶ τῶν ἀμφίων, καὶ καθεύδουσιν ἐν τῷ τῆς κόρης τάφῳ. οἱ δὲ τὸ πῦρ τῇ τοῦ λῃστοῦ οἰκίᾳ ἐμβαλόντες, ἡμέρας ἐπιλαβούσης ἠπατημένους ἑαυτοὺς ἐγνωκότες, ἐδίωκον κατ᾽ ἴχνη Ῥοδάνους καὶ Σινωνίδος, συνεργοὺς αὐτοὺς εἰκάζοντες εἶναι τοῦ λῃστοῦ· ἰχνηλατήσαντες δὲ μέχρι τοῦ τάφου, καὶ ἐνιδόντες αὐτοὺς ἐγκειμένους μὲν τῷ τάφῳ, ἀκινητίζοντας δὲ ἅτε ὕπνῳ καὶ οἴνῳ πεπεδημένους, ἔδοξαν νεκροὺς ὁρᾶν καὶ κατέλιπον, ἀπορούμενοι ὅτι ἐκεῖ τὰ ἴχνη ἔφερεν. ἀπαίρουσιν ἐκεῖθεν οἱ περὶ Ῥοδάνην, καὶ περῶσι τὸν ποταμόν, γλυκύν τε ὄντα καὶ διαυγῆ καὶ βασιλεῖ Βαβυλωνίων εἰς πόσιν ἀνακείμενον. καὶ πιπράσκει Σινωνὶς τὰ ἱμάτια, καὶ συλλαμβάνεται ὡς τάφον συλήσασα, καὶ ἀναφέρεται εἰς Σόραιχον, ὃς ἦν Σοραίχου τοῦ τελώνου υἱός, ἐπίκλην δὲ αὐτῷ δίκαιος. καὶ βουλεύεται πέμπειν αὐτὴν ἐπὶ βασιλέα Γάρμον διὰ τὸ κάλλος, καὶ κιρνᾶται διὰ τοῦτο τὸ τῶν ἀδελφῶν φάρμακον Ῥοδάνει καὶ Σινωνίδι· αἱρετώτερον γὰρ αὐτοῖς ὁ θάνατος ἢ Γάρμον ἰδεῖν. μηνύεται Σοραίχῳ διὰ τῆς θεραπαινίδος ἅ περ εἰς ἔργον ἔμελλε χωρεῖν Ῥοδάνει καὶ Σινωνίδι· καὶ λαθὼν ὁ Σόραιχος τὸ τοῦ θανάτου μὲν φάρμακον κενοῖ, πληροῖ δὲ τὴν κύλικα ὑπνωτικοῦ φαρμάκου· καὶ πίοντας καὶ ὑπνοῦντας λαβὼν ἐφ᾽ ἁρμαμάξης ἤλαυνε πρὸς βασιλέα. πλησιαζόντων δὲ Ῥοδάνης ἐνυπνίῳ δειματοῦται καὶ βοᾷ καὶ ἐξανιστᾷ Σινωνίδα· ἡ δὲ ξίφει αὐτῆς τὸ στέρνον πλήττει. καὶ ἀναπυνθάνεται τὰ κατ᾽ αὐτοὺς ἅπαντα Σόραιχος, καὶ λαβόντες πίστεις ἀπαγγέλλουσι, καὶ λύει αὐτούς, καὶ ὑποδείκνυσι τὸ τῆς Ἀφροδίτης ἱερὸν ἐν τῇ νησῖδι, ἐν ᾧ ἔμελλε καὶ τὸ τραῦμα ἡ Σινωνὶς θεραπευθήσεσθαι. ὡς ἐν παρεκβολῇ δὲ διηγεῖται καὶ τὰ περὶ τοῦ ἱεροῦ καὶ τῆς νησῖδος, καὶ ὅτι ὁ Εὐφράτης καὶ ὁ Τίγρις περιῤῥέοντες αὐτὴν ποιοῦσι
133 H. νησῖδα, καὶ ὅτι ἡ τῆς ἐνταῦθα Ἀφροδίτης ἱέρεια τρεῖς ἔσχε παῖδας, Εὐφράτην καὶ Τίγριν καὶ Μεσοποταμίαν, αἰσχρὰν τὴν ὄψιν ἀπὸ γενέσεως, ὑπὸ δὲ τῆς Ἀφροδίτης εἰς κάλλος μετασκευασθεῖσαν. δι᾽ ἣν καὶ ἔρις τριῶν ἐραστῶν γίνεται, καὶ κρίσις ἐπ᾽ αὐτοῖς· Βόχορος ὁ κρίνων ἦν, κριτῶν κατ᾽ ἐκείνους καιροὺς ἄριστος. ἐκρίνοντο δὲ καὶ ἤριζον οἱ τρεῖς, ὅτι τῷ μὲν ἡ Μεσοποταμία τὴν φιάλην ἐξ ἧς ἔπινεν ἔδωκε, τῷ δὲ τὸν ἀπὸ τῆς κεφαλῆς ἐξ ἀνθέων ἀφελομένη στέφανον περιέθηκε, τὸν δὲ ἐφίλησε. καὶ τοῦ φιληθέντος κρίσει νι- 241 R.
κήσαντος οὐδὲν ἔλαττον αὐτοῖς ἡ ἔρις ἤκμαζεν, ἕως ἀλλήλους ἀνεῖλον ἐρίζοντες. λέγει οὖν ὡς ἐν παρενθήκῃ περὶ τοῦ τῆς Ἀφροδίτης ἱεροῦ, καὶ ὡς ἀνάγκη τὰς γυναῖκας ἐκεῖσε φοιτώσας ἀπαγγέλλειν δημοσίᾳ τὰ ἐν τῷ ναῷ αὐταῖς ὁρώμενα ὄνειρα. ἐν ᾧ καὶ τὰ περὶ Φαρνούχου καὶ Φαρσίριδος καὶ Ταναΐδος, ἀφ᾽ οὗ καὶ Τάναϊς ὁ ποταμός, λεπτομερῶς διεξέρχεται, καὶ ὅτι τὰ περὶ τὸν τόπον καὶ τὴν χώραν τοῦ Ταναΐδος τοῖς κατοικοῦσιν Ἀφροδίτης μυστήρια Ταναΐδος καὶ Φαρσίριδός εἰσιν. ἐν δὲ τῇ προειρημένῃ νησῖδι ῥόδων ἐντραγὼν ὁ Τίγρις τελευτᾷ· κανθαρὶς γὰρ τοῖς τοῦ ῥόδου φύλλοις ἔτι συνεπτυγμένοις ἔσω ὑπεκάθητο. καὶ ἡ τοῦ παιδὸς μήτηρ ἥρωα πείθεται γενέσθαι τὸν υἱὸν ἐκμαγεύσασα. καὶ διεξέρχεται ὁ Ἰάμβλιχος μαγικῆς εἴδη, μάγον ἀκρίδων καὶ μάγον λεόντων καὶ μάγον μυῶν· ἐξ οὗ καλεῖσθαι καὶ τὰ μυστήρια ἀπὸ τῶν μυῶν (πρώτην γὰρ εἶναι τὴν τῶν μυῶν μαγικήν). καὶ μάγον δὲ λέγει χαλάζης καὶ μάγον ὄφεων, καὶ νεκυομαντείας καὶ ἐγγαστρίμυθον, ὃν καί φησιν ὡς Ἕλληνες μὲν Εὐρυκλέα λέγουσι Βαβυλώνιοι δὲ Σακχούραν ἀποκαλοῦσι. λέγει δὲ καὶ ἑαυτὸν Βαβυλώνιον εἶναι ὁ συγγραφεύς, καὶ μαθεῖν τὴν μαγικήν, μαθεῖν δὲ καὶ τὴν Ἑλληνικὴν παιδείαν, καὶ ἀκμάζειν ἐπὶ Σοαίμου τοῦ Ἀχαιμενίδου τοῦ Ἀρσακίδου, ὃς βασιλεὺς ἦν ἐκ πατέρων βασιλέων, γέγονε δὲ ὅμως καὶ τῆς συγκλήτου βουλῆς τῆς ἐν Ῥώμῃ, καὶ ὕπατος δέ, εἶτα καὶ βασιλεὺς πάλιν τῆς μεγάλης Ἀρμενίας. ἐπὶ τούτου γοῦν ἀκμάσαι φησὶν ἑαυτόν. Ῥωμαίων δὲ διαλαμβάνει βασιλεύειν Ἀντωνῖνον. καὶ ὅτε Ἀντωνῖνος, φησίν, Οὐῆρον τὸν αὐτοκράτορα καὶ ἀδελφὸν καὶ κηδεστὴν ἔπεμψε Βολογαίσῳ τῷ Παρθυαίῳ πολεμήσοντα, ὡς αὐτός τε προείποι καὶ τὸν πόλεμον, ὅτι γενήσεται, καὶ ὅποι τελευτήσοι. καὶ ὅτι Βολόγαισος μὲν ὑπὲρ τὸν Εὐφράτην καὶ Τίγριν ἔφυγεν, ἡ δὲ Παρθυαίων γῆ Ῥωμαίοις ὑπήκοος κατέστη.

Ἀλλ᾽ ὅ γε Τίγρις καὶ Εὐφράτης οἱ παῖδες ἐμφε-

a. 4 et 24. ῥοδάνη A. 10. διεγνωκότες ϛ. 20. Σηραὶχ Suid. v. Σίνων. 26. περ add A. 31. ἐν ὕπνῳ ϛ.
b. 1. Βόχορος] ἢ βόχορος A post erasum nescio quid: Βόροχος ἢ Βόρυχος ϛ. 18. συνεπτηγμένοις ϛ. 19. παιδὸς δὴ μήτηρ ϛ. 24. νεκυομαντίας ϛ. 27. ὁ add A. 33. φησὶν ἀκμάσαι ϛ. 35. Οὐῆρον Casaubonus: εὔχρον ϛ.
38. ὅποι A: ὅτι ποῖ ϛ. τελευτήσει ϛ.



Digitized by Google

ρεῖς ἀλλήλοις ἦσαν, καὶ Ῥοδάνης ἀμφοτέροις. τοῦ δὲ
παιδός, ὥσπερ ἔφημεν, τῷ ῥόδῳ τελειωθέντος Ῥο-
δάνης πρὸς τὴν νησῖδα ἅμα Σινωνίδι περαιοῦται, καὶ
βοᾷ ἡ μήτηρ τὸν τεθνηκότα αὐτῆς υἱὸν ἀναβιῶναι,
εἰς τὸν Ῥοδάνην ὁρῶσα, καὶ Κόρην αὐτῷ ἐκεῖθεν ἔπεισθη·
συνυποκρίνεται Ῥοδάνης ταῦτα, τῆς τῶν νησιωτῶν κα-
τεντρυφῶν εὐηθείας. μηνύεται Δάμας τὰ περὶ Ῥοδά-
244 R. κην, καὶ ὅσα Σόραιχος περὶ αὐτοὺς ἔπραξε· μηνυτὴς
δ' ἦν αὐτὸς ὁ ἰατρός, ὃν ὁ Σόραιχος κρύφα πέμψας
134 H. τὸ τῆς Σινωνίδος ἐθεράπευσε τραῦμα. συλλαμβά-
νεται διὰ τοῦτο Σόραιχος, καὶ ἄγεται ἐπὶ Γάρμον.
ἀποστέλλεται καὶ αὐτὸς ὁ μηνυτὴς γράμμα Δάμα ἐπι-
φερόμενος πρὸς τὸν τῆς Ἀφροδίτης ἱερέα, ἐφ' ᾧ
συλλαβεῖν τοὺς περὶ Σινωνίδα. διαβαίνει τὸν ποταμὸν
ὁ ἰατρὸς τῆς ἱερᾶς ἑαυτὸν ὡς ἔθος ἐξαρτήσας κα-
μήλου, τὸ δὲ γράμμα τῷ δεξιῷ παρενθεὶς τῶν ὤτων·
καὶ τέλος ὁ μηνυτὴς ἐναποπνίγεται τῷ ποταμῷ, δια-
βαίνει δὲ πρὸς τὴν νησῖδα ἡ κάμηλος, καὶ πάντα
μανθάνουσιν οἱ περὶ Ῥοδάνην, τὸ τοῦ Δάμα γράμμα
τῶν ὤτων ἀνελόμενοι τῆς καμήλου. φεύγουσιν ἐκεῖθεν
διὰ τοῦτο, καὶ συναντῶσιν ἀγόμενον Σόραιχον ἐπὶ
Γάρμον, καὶ καταλύουσιν ἅμα ἐν πανδοχείῳ. καὶ τῇ
τοῦ χρυσίου ἐπιθυμίᾳ νύκτωρ ἀναπείθει Ῥοδάνης, καὶ
ἀναιροῦνται οἱ Σοραίχου φύλακες, καὶ φεύγει σὺν αὐ-
τοῖς Σόραιχος, ἀμοιβὴν εὑρὼν τῆς προϋπαρξάσης
εὐεργεσίας. συλλαμβάνει Δάμας τὸν τῆς Ἀφροδίτης
ἱερέα, καὶ ἀνακρίνεται περὶ Σινωνίδος, καὶ τέλος κα-
τακρίνεται δήμιος γενέσθαι ἀντὶ ἱερέως ὁ πρεσβύτης·
καὶ τὰ περὶ τὸν δήμιον ἔθη καὶ νόμιμα. συλλαμβά-
νεται Εὐφράτης, ὅτι ὁ πατὴρ καὶ ἱερεύς, ὡς Ῥοδάνην
αὐτὸν ὑπολαβών, οὕτως ἐπεκάλει· καὶ φεύγει Μεσο-
ποταμία ἡ ἀδελφή. καὶ πρὸς τὸν Σάκαν ἀπάγεται
Εὐφράτης, καὶ ἀνακρίνεται περὶ Σινωνίδος· ὡς γὰρ
Ῥοδάνης ἠτάζετο. καὶ ἀποστέλλει Σάκας πρὸς Γάρμον
ὅτι Ῥοδάνης συνείληπται καὶ Σινωνὶς συλληφθήσεται·
ὁ γὰρ Εὐφράτης ὡς Ῥοδάνης κρινόμενος ἔφη τὴν Σι-
νωνίδα συλλαμβανομένου αὐτοῦ πεφευγέναι, Σινωνίδα
καλεῖν κἀκεῖνος ἐκβιαζόμενος τὴν ἀδελφὴν Μεσοπο-
ταμίαν.

ὅτι οἱ περὶ Ῥοδάνην καὶ Σινωνίδα φεύγοντες ἅμα
Σοραίχῳ καταίρουσιν εἰς γεωργοῦ· τῷ δ' ἦν κόρη θυ-
γάτηρ καλὴ τὴν ὄψιν, ἄρτι χηρωθεῖσα καὶ τῇ πρὸς
τὸν ἄνδρα εὐνοίᾳ τὰς τρίχας περικειραμένη. πέμπε-
ται αὕτη τῆς ἁλύσεως τῆς χρυσῆς ἀπεμπολῆσαι, ἣν
οἱ περὶ Ῥοδάνην ἐκ τῶν δεσμῶν ἐπεφέροντο· καὶ
ἄπεισι πρὸς τὸν χρυσοχόον ἡ τοῦ γεωργοῦ θυγάτηρ.
καὶ ἰδὼν ἐκεῖνος τήν τε ὄψιν τῆς κόρης καλὴν καὶ
τῆς ἁλύσεως τὸ μέρος, ἧς αὐτὸς ἐργάτης ἐτύγχανε,
καὶ τὴν κόμην περιῃρημένην, ὑπονοεῖ Σινωνίδα εἶναι,
καὶ πέμψας πρὸς Δάμαν καὶ λαβὼν φύλακας ἀπερ-
χομένην ἐφύλαττε κρύφα. ἡ δὲ ὑπονοήσασα τὸ πρατ-
τόμενον φεύγει εἰς ἔρημον κατάλυμα· ἐν ᾧ καὶ τὰ περὶ
τῆς κόρης τῆς ἐπικαλουμένης Τροφίμης καὶ τοῦ δούλου
τοῦ ἐραστοῦ καὶ φονέως, καὶ τοῦ κόσμου τοῦ χρυσοῦ, καὶ
αἱ ἔκθεσμοι τοῦ δούλου πράξεις, καὶ τὸ ἑαυτὸν ἐπισφάξαι,
καὶ τὸ αἱματωθῆναι τὴν τοῦ γεωργοῦ θυγατέρα τοῖς
τοῦ ἑαυτὸν διαχρησαμένου αἵμασι, καὶ ὁ τῆς κόρης διὰ
ταῦτα φόβος καὶ ἡ φυγή, καὶ ἡ ἔκστασις τῶν φυλάκων
καὶ φυγή, καὶ ἡ πρὸς τὸν πατέρα τῆς κόρης ἄφιξις
καὶ διήγησις τῶν συγκυρησάντων, καὶ φυγὴ ἐκεῖθεν
τῶν περὶ Ῥοδάνην, καὶ πρὸ τούτων γράμμα πρὸς Γάρ-
μον τοῦ χρυσοχόου ὅτι Σινωνὶς εὕρηται· καὶ ἦν πίστις
ἡ ἐξωνηθεῖσα ἅλυσις πεμπομένη καὶ τὰ ἄλλα, ἃ περὶ
τὴν τοῦ γεωργοῦ θυγατέρα ὑπωπτεύετο. Ῥοδάνης
ἀπιὼν ἐφ' ᾧ φεύγειν φιλεῖ τὴν κόρην τοῦ γεωρ- 135 H.
γοῦ, καὶ ἀνάπτεται εἰς ὀργὴν Σινωνὶς διὰ τοῦτο,
εἰς ὑπόνοιαν μὲν πρῶτον ἀφιγμένη τοῦ φιλήματος,
ἔπειτα καὶ ἀπὸ τῶν τοῦ Ῥοδάνου χειλέων ἀφελομένη 245 R.
τὸ αἷμα, ὃ φιλήσας αὐτὴν περιεκέχριστο, εἰς ἰσχυρὰν
πίστιν καταστᾶσα. ζητεῖ διὰ τοῦτο Σινωνὶς τὴν κόρην
ἀνελεῖν, καὶ ὑποστρέφειν πρὸς αὐτὴν ἠπείγετο καθάπερ
τις ἐμμανής· καὶ συνέπεται Σόραιχος, ἐπεὶ μὴ κατασχεῖν
τῆς μανιώδους ὁρμῆς ἴσχυε. καὶ καταίρουσιν εἰς πλουσίου
τινός, τὸ ἦθος δὲ ἀκολάστου, Σήταπος αὐτῷ ὄνομα, ὃς
ἐρᾷ τῆς Σινωνίδος καὶ πειρᾷ· ἡ δὲ ἀντερᾶν ὑποκρί-
νεται, καὶ μεθυσθέντα τὸν Σήταπον κατ' αὐτὴν τὴν νύκτα
καὶ τὴν ἀρχὴν τοῦ ἔρωτος ἀναιρεῖ ξίφει. καὶ ἀνοῖξαι
κελεύσασα τὴν αὔλιον, καὶ τὸν Σόραιχον ἀγνοοῦντα τὸ
πραχθὲν καταλιποῦσα, ἐπὶ τὴν τοῦ γεωργοῦ κόρην ἠλαύ-
νετο. Σόραιχος δὲ τὴν ἔξοδον αὐτῆς μαθὼν ἐδίωκεν
ὀπίσω, καὶ καταλαμβάνει ἔχων μεθ' ἑαυτοῦ καὶ τῶν
Σητάπου δούλων, οὓς ἦν μισθωσάμενος, ἵνα κωλύσῃ τὴν
σφαγὴν τῆς τοῦ γεωργοῦ κόρης· καταλαβὼν δὲ ἀναλαμ-
βάνει εἰς τὴν ἁρμάμαξαν (παρεσκεύαστο γὰρ καὶ τοῦτο)

a. 5. ἐκεῖθεν A: ἔθηκεν ς. 10. ἐθεράπευε ς. 11. διὰ A: δὲ ς. 14. τὸν] δὲ τὸν ς. 37. διαπεφευγέναι ς. b. 8. λαβὼν A: ἀνελὼν ς. 11. καλουμένης ς. 13. αἱ ἔκθεσμοι] τὰς ἐκθέσμους A. 15. ἑαυτοῦ διαχειρισαμένου ς. 19. πρὸς τούτοις A. 28. πίστιν καὶ καταστ. ς.

Digitized by Google

καὶ ἀπελαύνει ὀπίσω. ὑποστρεφόντων δὲ αὐτῶν οἱ τοῦ Στιτάπου θεράποντες, ἐπεὶ τὸν δεσπότην ἀνῃρημένον ἐθεάσαντο, ἀπήντησαν ὠργισμένοι, καὶ συλλαβόντες Σινωνίδα καὶ δήσαντες ἦγον ἐπὶ Γάρμον ὡς ἀνδροφόνον κολασθησομένην. καὶ Σόραιχος ἦν ἄγγελος Ῥοδάνει τῶν κακῶν, κόνιν τε κατὰ τῆς κεφαλῆς πασάμενος καὶ τὸν χιτῶνα περιεῤῥηγμένος. καὶ Ῥοδάνης ἀναιρεῖν ἑαυτὸν ὁρμᾷ· ἀλλ᾽ ἐκώλυε Σόραιχος. ὁ δὲ Γάρμος Σάκα δεξάμενος γράμμα ὅτιπερ Ῥοδάνης συνείληπται, καὶ παρὰ τοῦ χρυσοχόου ὅτι Σινωνὶς ἔχεται, ἔχαιρέ τε καὶ ἔθυε καὶ τοὺς γάμους ἡτοίμαζε, καὶ κήρυγμα ἥπλωτο πανταχοῦ πάντας δεσμώτας λύεσθαι καὶ ἀφίεσθαι· καὶ Σινωνὶς ὑπὸ τῶν Στιτάπου θεραπόντων δέσμιος ἀγομένη τῷ κοινῷ τοῦ κηρύγματος λύεται καὶ ἀφίεται. Δάμαν δὲ κελεύει Γάρμος παραδοθῆναι θανάτῳ, καὶ παραδίδοται δημίῳ ὃν αὐτὸς ἀπὸ ἱερέως εἰς τὸν δήμιον μετέστησεν· ἐδυσχέραινε δὲ τῷ Δάμᾳ ὁ Γάρμος, ὅτι παρ᾽ ἄλλοις Ῥοδάνης, ὡς ἐνόμιζε, καὶ Σινωνὶς συνεχέθησαν. διάδοχος δὲ Δάμα ὁ ἀδελφὸς καθίσταται Μόνασος.

Διάληψις περὶ Βερενίκης, ἥτις ἦν θυγάτηρ τοῦ βασιλέως Αἰγυπτίων, καὶ τῶν ἀγρίων αὐτῆς καὶ ἐκθέσμων ἐρώτων· καὶ ὅπως Μεσοποταμίᾳ συνεγένετο. καὶ ὡς ὕστερον ὑπὸ Σάκα συνελήφθη Μεσοποταμία, καὶ πρὸς Γάρμον ἅμα τῷ ἀδελφῷ Εὐφράτῃ ἀπάγεται. γράμμα δεξάμενος Γάρμος παρὰ τοῦ χρυσοχόου ὡς Σινωνὶς διαπέφευγε, προστάσσει ἐκεῖνόν τε ἀναιρεθῆναι καὶ τοὺς ἐπὶ φυλακῇ ταύτης καὶ ἀγωγῇ σταλέντας αὐταῖς γυναιξὶ καὶ τέκνοις ζῶντας κατορυχθῆναι.

Ὑρκανὸς κύων ὁ τοῦ Ῥοδάνους, εὑρὼν ἐν ἐκείνῳ τῷ ἀποτροπαίῳ καταγωγίῳ τὰ σώματα τῆς τε δυστυχοῦς κόρης καὶ τοῦ παλαμναίου καὶ δυσέρωτος δούλου, κατέφαγε πρῶτον τὸ τοῦ δούλου, ἔπειτα κατὰ μικρὸν καὶ τῆς κόρης· καὶ ἐφίσταται τῷ τόπῳ ὁ τῆς Σινωνίδος πατήρ, [136 H.] καὶ τὸν κύνα ὡς εἴη Ῥοδάνους εἰδὼς καὶ τὴν κόρην ἡμίβρωτον ἰδὼν σφάζει μὲν ὡς ἐπὶ Σινωνίδι τὸν κύνα, ἀναρτᾷ δὲ καὶ ἑαυτὸν βρόχῳ, καταχώσας τὸ ὑπόλοιπον τῆς κόρης σῶμα καὶ ἐπιγράψας αἵματι τοῦ κυνὸς „ἐνθάδε κατάκειται Σινωνὶς ἡ καλή." παραγίνονται τῷ τόπῳ Σόραιχος καὶ Ῥοδάνης, καὶ τόν τε κύνα ἐσφαγμένον [38 B.] τῷ τάφῳ ἰδόντες τόν τε πατέρα τῆς Σινωνίδος ἀνῃρτημένον τό τε τοῦ τάφου ἐπίγραμμα, ὁ μὲν Ῥοδάνης πρώτην πληγὴν ἑαυτῷ ἐπενεγκὼν προσέγραφε τῷ ἰδίῳ αἵματι ἐπὶ τῷ τῆς Σινωνίδος ἐπιγράμματι „καὶ Ῥοδάνης ὁ καλός," ὁ δὲ Σόραιχος βρόχῳ ἑαυτὸν ἐξῆπτεν. ἐν ᾧ δὲ καὶ τὴν τελευταίαν πληγὴν ὁ Ῥοδάνης ἐπάγειν ἤρχετο, ἡ τοῦ γεωργοῦ θυγάτηρ ἐπιστᾶσα μέγα ἐβόα „οὐκ ἔστι Σινωνίς, ὦ Ῥοδάνη, ἡ κειμένη." καὶ δραμοῦσα κόπτει τε τὸν βρόχον Σοραίχου καὶ τὸ ξίφος ἀφαιρεῖται Ῥοδάνους, καὶ πείθει μόλις, διηγησαμένη τά τε περὶ τὴν δυστυχῆ κόρην καὶ περὶ τοῦ χρυσίου τοῦ κατορωρυγμένου, καὶ ὡς ἐπὶ τῷ ἀναλαβεῖν τοῦτο ἥκοι. ἡ δὲ Σινωνὶς ἀπολυθεῖσα τῶν δεσμῶν ἐπὶ τὴν οἰκίαν ἔφθη τοῦ γεωργοῦ, ἔτι κατὰ τῆς κόρης ἐπιμαινομένη. μὴ εὑροῦσα δὲ αὐτὴν ἐπηρώτα τὸν πατέρα· ὁ δὲ τὴν ὁδὸν ἔφραζε, καὶ αὐτὴ ἐδίωκεν ὀπίσω, γυμνώσασα τὸ ξίφος. ὡς δὲ κατέλαβεν ἐῤῥιμμένον μὲν τὸν Ῥοδάνην, ἐκείνην δὲ μόνην παρακαθημένην καὶ τὸ τραῦμα τοῦ στήθους παραψήχουσαν (ὁ Σόραιχος γὰρ ἐπὶ ζήτησιν ἰατροῦ ἐξῄει), ὀργῆς τε καὶ ζηλοτυπίας μᾶλλον ἐμπίπλαται καὶ ὁρμᾷ κατὰ τῆς κόρης. ὁ δὲ Ῥοδάνης ὑπὸ τῆς βίας κρείττων τοῦ τραύματος γεγονὼς ὑπήντα καὶ ἐκώλυε τὴν Σινωνίδα, τὸ ξίφος ἁρπάσας ἀπ᾽ αὐτῆς. ἡ δὲ ὑπ᾽ ὀργῆς ἐκπηδήσασα τοῦ καταγωγίου, καὶ δρόμῳ ἐκχεομένη μανιώδει, τοῦτο πρὸς Ῥοδάνην εἰποῦσα ἀπέῤῥιψε μόνον „καλῶ σε σήμερον εἰς τοὺς Γάρμου γάμους." Σόραιχος δὲ παραγενόμενος καὶ μαθὼν ἅπαντα παρηγορεῖ μὲν Ῥοδάνην, καὶ ἰατρεύσαντες τὸ τραῦμα ἀπολύουσι. μετὰ τῶν χρημάτων τὴν κόρην πρὸς τὸν πατέρα.

Ἄγεται πρὸς Γάρμον Εὐφράτης ὡς Ῥοδάνης, καὶ ὡς Σινωνὶς Μεσοποταμία· ἄγεται καὶ Σόραιχος καὶ ὁ ἀληθὴς Ῥοδάνης. καὶ διαγνοὺς ὁ Γάρμος μὴ εἶναι Σινωνίδα τὴν Μεσοποταμίαν δίδωσι Ζοβάρᾳ παρὰ ποταμὸν Εὐφράτην καρατομῆσαι, ἵνα μή, φησί, καὶ ἑτέρα τις τοῦ τῆς Σινωνίδος ἐπιβατεύσῃ ὀνόματος. ὁ δὲ Ζοβάρας ἀπὸ πηγῆς ἐρωτικῆς πιὼν καὶ τῷ Μεσοποταμίας ἔρωτι σχεθεὶς σώζει τε ταύτην, καὶ πρὸς Βερενίκην Αἰγυπτίων ἤδη, ἅτε τοῦ πατρὸς τελευτήσαντος, βασιλεύουσαν, ἐξ ἧς ἦν καὶ ἀφελόμενος, ἄγει· καὶ γάμους Μεσοποταμίας ἡ Βερενίκη ποιεῖται, καὶ πόλεμος δι᾽ αὐτὴν Γάρμῳ καὶ Βερενίκῃ διαπειλεῖται. Εὐφράτης δὲ παραδίδοται τῷ πατρὶ ὡς δημίῳ, καὶ ἀναγνωσθεὶς σώζεται, καὶ πληροῖ μὲν αὐτὸς τὰ τοῦ πατρὸς ἔργα, ὁ δὲ πατὴρ οὐ μιαίνεται τοῖς ἀνθρώπων αἵμασιν· ὕστερον δέ, ὡς τοῦ δημίου κόρη, ἐξέρχεται τοῦ οἰκήματος καὶ διασώ-

a. 7. περιεῤῥιμμένος ς. 8. ὁρμᾷ A: τολμᾷ ς. ἐκώλυσε ς. ὁ δὲ om A. 9. παρὰ A: περὶ ς. 22. μεσοπ. τε συνεγίνετο A. 42. προσέγραφε ς. b. 10. ἔφθη A: ἔφυγε ς. 14. παρακαθημένην A: παραμυθουμένην ς. 15. παραψύχουσαν A. 31. καρατ.] καρατ. αὐτὴν ς. 34. σχεθεὶς ἔρωτι ς. αὐτὴν ς.

Digitized by Google

ζεται. ἐν ᾧ καὶ περὶ τῆς συγκαθευδούσης τῷ δημίῳ, τά τε περὶ αὐτὴν ἔθιμά τε καὶ νόμιμα, καὶ περὶ τῆς 137 H. τοῦ γεωργοῦ θυγατρός, ὅπως ἀνάσπαστος γίνεται, ἐπεὶ Σινωνὶς τῷ Συρίας βασιλεῖ γαμηθεῖσα ἔχεν ἰσχὺν τὴν ὀργὴν ἐπ' αὐτῇ πληρῶσαι· καὶ ὡς δημίῳ ταύτην συγκαθεύδειν καταδικάζει· καὶ ὅτι συνεκαθεύδησεν ἐν τῷ τῶν δημίων περιβόλῳ εἰσελθοῦσα τῷ Εὐφράτῃ, ὃς καὶ ἀντ' αὐτῆς εἰς τὸ ἐκείνης πρόσωπον ὑποκριθεὶς ἐξῆλθε τοῦ περιβόλου, καὶ ἐκείνη ἀντὶ τοῦ Εὐφράτου τὸ ἔργον ἔπραττε τοῦ δημίου. καὶ ταῦτα μὲν ὧδε προὔβαινε, παραδίδοται δὲ καὶ Σόραιχος ἐπὶ τῷ ἀνασταυρωθῆναι· ὁ δὲ τόπος ὥριστο, ἔνθα Ῥοδάνης καὶ Σινωνὶς τὰ πρῶτα 249 R. ηὐλίσαντο, ἐν τῷ λειμῶνι καὶ ἐν τῇ πηγῇ, ἐν οἷς καὶ τῷ Ῥοδάνει τὸ κεκρυμμένον ἐπεφώρατο χρυσίον, ὃ καὶ ἀπαγομένῳ ἐπὶ τὸν σταυρὸν Σοραίχῳ μηνύει. καὶ Ἀλανῶν στρατὸς ἀπόμισθος Γάρμῳ γεγονὼς καὶ ἀπεχθανόμενοι περὶ τὸν χῶρον, ἐν ᾧ Σόραιχος ἔμελλεν ἀνασταυροῦσθαι, διατρίβουσιν· οἳ καὶ ἀπελάσαντες τοὺς Σόραιχον ἄγοντας ἔλυσαν. ὁ δὲ τὸ μηνυθὲν χρυσίον εὑρών, καὶ τέχνῃ τινὶ καὶ σοφίᾳ ἐκ τοῦ ὀρύγματος ἀνιμώμενος, τοὺς Ἀλανοὺς ἔπειθεν ὡς ὑπὸ θεῶν ταῦτά τε καὶ τὰ ἄλλα ἐκδιδάσκοιτο. καὶ κατὰ μικρὸν ἑλκύσας εἴθισεν ὥστε σφῶν ἡγεῖσθαι βασιλέα, καὶ πολεμεῖ στρατὸν Γάρμου, καὶ νικᾷ. ἀλλ' ὕστερον ταῦτα· ὅτε δὲ Σόραιχος ἐπὶ τὸν σταυρὸν ἐπέμπετο, τότε καὶ Ῥοδάνης ὑπ' αὐτοῦ Γάρμου ἐστεφανωμένου καὶ χορεύοντος ἐπὶ τὸν πρότερον σταυρὸν πάλιν ἤγετο καὶ ἀνεσταυροῦτο, καὶ Γάρμος μεθύων ἅμα καὶ χορεύων περὶ τὸν σταυρὸν σὺν ταῖς αὐλητρίσιν ἔχαιρέ τε καὶ εὐφραίνετο. ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, Σάκας πρὸς Γάρμον γράμμα πέμπει ὡς Σινωνὶς τῷ Σύρων βασιλεῖ μειρακίῳ ὄντι γαμεῖται· καὶ Ῥοδάνης ἄνωθεν ἔχαιρε, Γάρμος δὲ ἑαυτὸν ἀνελεῖν ὥρμησεν. ἐπισχὼν δὲ κατάγει Ῥοδάνην ἄκοντα τοῦ σταυροῦ (θανεῖν γὰρ μᾶλλον ᾑρεῖτο) καὶ κοσμεῖ στρατηγικῶς, καὶ πέμπει τοῦ πολέμου, ὃν πρὸς τὸν τῶν Σύρων ἀνεκίνει βασιλέα, στρατηγὸν ὡς ἐραστὴν κατὰ τοῦ ἀντεραστοῦ, καὶ φιλοφρονεῖται ὑπούλως, καὶ γράμμα κρύφιον γράφει τοῖς ὑποστρατήγοις, εἰ νίκη γένηται καὶ συλληφθῇ Σινωνίς, ἀναιρεθῆναι Ῥοδάνην. Ῥοδάνης δὲ καὶ νικᾷ καὶ τὴν Σινωνίδα ἀπολαμβάνει, καὶ βασιλεύει Βαβυλωνίων. καὶ τοῦτο χελιδὼν προμηνύει· ταύτην γάρ, ὅτε παρῆν Γάρμος καὶ συνεξέπεμπε Ῥοδάνην, ἀετὸς ἐδίωκε καὶ ἰκτῖνος· ἀλλὰ τὸν μὲν ἀετὸν ἐξέφυγεν, ὁ δὲ ἰκτῖνος ταύτην ἥρπασεν. ἐν οἷς ὁ ιϛ' λόγος.

## 95.

Ἀνεγνώσθη ΙΩΑΝΝΟΥ ΣΚΥΘΟΠΟΛΙΤΟΥ σχολαστικοῦ κατὰ τῶν ἀποσχιστῶν τῆς ἐκκλησίας ἤτοι κατὰ Εὐτυχοῦς καὶ Διοσκόρου καὶ τῶν τὰ ὅμοια φρονούντων καὶ ἀθετούντων ἐν δύο φύσεσι τὸν Χριστὸν κηρύσσειν. ἀξιοῖ δὲ τὴν συγγραφὴν ἀρχιερεύς τις ὄνομα Ἰουλιανὸς συνταγῆναι· ἐν τόμοις δὲ ἀπαρτίζεται δυοκαίδεκα. ἔστι δὲ τὸν λόγον ὁ συγγραφεὺς σαφής τε καὶ καθαρός, καὶ λέξεσι λόγῳ συγγραφικῷ πρεπούσαις χρώμενος, καὶ κατὰ τῆς αἱρέσεως οὐκ ἀσθενῶς ἐπαγωνιζόμενος, καὶ ταῖς γραφικαῖς ἀποχρώμενος μαρτυρίαις μετὰ τοῦ μηδὲ τὰς λογικάς, ὅσαι τείνουσι πρὸς τὴν ὑπόθεσιν, παρατρέχειν 138 H. ἐφόδους. ὁ δέ γε τοῦ τῶν ἀποσχιστῶν συγγράμματος πατήρ, καθ' οὗ καὶ ὁ Σκυθοπολίτης οὗτος τὴν γραφὴν ἐνεστήσατο, τὸ οἰκεῖον ἀπέκρυψεν ὄνομα, ἐπιγραφὴν κακοῦργον ἐπιθεὶς τῷ γράμματι „κατὰ Νεστορίου," ἵνα τῇ ἐπιγραφῇ τοῦ συγγράμματος κλέπτειν ἔχοι τοὺς ἁπλουστέρους εἰς ἀκρόασιν. ἴσως δὲ Βασίλειός ἐστιν ὁ Κίλιξ, ὁ καὶ ὕστερον δραματικὸν καὶ τῆς αὐτοῦ θρησκείας ἐπάξιον κατὰ τοῦ Ἰωάννου διάλογον συμπλάσας.

## 96.

Ἀνεγνώσθη βιβλίον, τὰ περὶ τὸν Χρυσόστομον ἐπι- 252 R. γραφὴν ἔχον, ΓΕΩΡΓΙΟΥ ἐπισκόπου Ἀλεξανδρείας· ὅστις δ' ἐστὶν οὗτος, οὐκ ἔχω σαφές τι παραστῆσαι. ἔστι μέντοι τὴν φράσιν ἁπλοῦς καὶ εἰς πολλὴν χυδαιότητα κατενηνεγμένος, μηδὲ τοῦτο δὴ τὸ παρὰ τοῖς γραμματικοῖς κατὰ χεῖρας, τὴν τῶν ὀνομάτων καὶ ῥημάτων σύνταξιν ἠκριβωμένος. λέγει δὲ ἔκ τε Παλλαδίου (ἐπίσκοπος δὲ ὁ Παλλάδιος, καὶ διαλογικῷ τύπῳ καλῶς τε καὶ ἐσπουδασμένως τὰ περὶ τὸν Χρυσόστομον ἀνεγράψατο), ἔκ τε οὖν τούτου φησὶ καὶ Σωκράτους καὶ διαφόρων ἄλλων τὴν ἱστορίαν ἀναλεξάμενον εἰς ἓν συναθροίσασθαι.

Φησὶν οὖν τὸν μέγαν Ἰωάννην παῖδα γενέσθαι Σεκούνδου καὶ Ἀνθούσης· ἐπιφανεῖς δὲ οὗτοι τῶν ἐν Ἀντιοχείᾳ. Ἕλληνας δὲ αὐτοὺς τὴν θρησκείαν ὄντας ὁ ἐξ Ἀρμενίας Μελέτιος, τῇ Ἀντιοχέων ἐγκαταστὰς ἐκκλησίᾳ, ἐμύησέ τε καὶ τοῦ σωτηριώδους μεταχεῖν βα-

a. 5. ἐπ' αὐτῇ πληρῶσαι *A*: ἀντιπληρῶσαι ϛ. 6. εἰς τὸν — περίβολον ϛ. cf. p. 79 *b* 39: εἰσέρχεται ἐν τῇ πόλει. 11. καὶ add *A*. 21. τοὺς *A*: καὶ τοὺς ϛ. 22. ἔθισας ἔλυσεν *A*. 23. στρατῷ ϛ. 30. γράμματα *A*. 32. δὲ om *A*. 37. κρυφι *A*. 40. Βαβυλωνίαν ϛ. *b*. 3. ὁ *A*: καὶ ϛ. post λόγος in *A* lacuna est versuum duodecim et columnae, quam dicimus, totius. 10. συγγραφῆναι ϛ. 16. γράμματος ϛ. 35. nonne ἀναλεξάμενος? 40. συγκαταστὰς ϛ.

πτίσματος κατηξίωσε, τὸν υἱὸν πρότερον μυσταγωγήσας καὶ βαπτισάμενος. παραδίδοται τοίνυν ὁ μέγας Ἰωάννης φοιτᾷν εἰς διδασκάλου. εἰς ἄκρον δὲ ταπεινοφροσύνην ἐκ παιδὸς ἤσκει· διὸ οὐδὲ παῖδας, οἷα εἰκὸς τοὺς πλούτῳ ϗ δόξῃ περιῤῥεομένους μαλακίζεσθαι, οὐ μὲν οὖν ἔτι τούτους αὐτῷ παρέπεσθαι, ἀλλ' οὐδὲ ἐπιπάζεσθαι ἠνείχετο. εἶτα ἐν Ἀντιοχείᾳ τὰ μὲν γραμματικὰ καὶ ῥητορικὰ παρὰ Λιβάνιον φοιτῶν ἐπαιδεύετο, παρὰ Ἀνδραγάθιον δὲ τὰ φιλόσοφα. τελευτήσαντος δὲ τοῦ πατρὸς τοῦ πένθους ἦν τῇ μητρὶ παραμύθιον, πάντων ἀπεχόμενος παιγνίων τε καὶ ἡδονῶν, μόνοις δὲ προσανακείμενος τοῖς μαθήμασιν. ἀπαίρει γοῦν πρὸς τὰς Ἀθήνας, τὰ λείποντα προσλαβεῖν· καὶ ἐν ὀλίγῳ χρόνῳ πάντας ὑπερβαλόμενος διεφθονήθη Ἀνθεμίῳ, ὃς τηνικάδε ἱερεὺς Ἀθηνᾶς ἐχρημάτιζε καὶ πρῶτος τῶν ἐκεῖ σοφῶν ἐνομίζετο. ὁ δὲ τῆς πόλεως ἔπαρχος (Δημοσθένης ὄνομα αὐτῷ) μετακαλεῖται πολυτελῶς τὸν σοφὸν Ἰωάννην· ὁ δὲ λίαν εὐτελῶς παραγίνεται. καὶ λόγων ῥαγέντων μεταξὺ αὐτοῦ τε καὶ Ἀνθεμίου, κρατεῖ ὁ Ἰωάννης τῇ τε σοφίᾳ καὶ συνέσει καὶ τῇ εὐσεβείᾳ. ϗ πρῶτον αὐτῷ ἐπιτελεῖται τότε θαῦμα, τὸ τὸν Ἀνθέμιον δαιμονίῳ τε ἁλῶναι καὶ ἀπαλλαγῆναι γλώσσῃ καὶ εὐχῇ Ἰωάννου ὃς καὶ ὑπὸ τοῦ τῆς πόλεως ἐπισκόπου σὺν παντὶ τῷ οἴκῳ ἐβαπτίσατο. κατηχεῖται δὲ καὶ ὁ ἔπαρχος· πάλαι γὰρ ἦν οὗτος βαπτισθείς. ϗ ἄλλο δὲ πολὺ πλῆ-
139 H. θος Ἑλλήνων προσέδραμεν. ὁ δὲ τῆς πόλεως ἐπίσκοπος ἔμελλε χειροτονεῖν τὸν Ἰωάννην, καὶ ἀντ' αὐτοῦ καταλιμπάνειν ἐπίσκοπον· ὅπερ γνοὺς ἐκεῖνος λάθρα καὶ σπουδῇ πρὸς τὴν πατρίδα ἀπέπλευσε.

Τῆς δὲ πόλεως Ἀντιοχείας ἐπὶ δικανικὴν τάξιν ἀγόντων αὐτόν, αὐτὸς μᾶλλον πρὸς τὸν μονήρη βίον ἀπέκλινε, δέκατον καὶ ὄγδοον τῆς ἡλικίας ἔτος ἀνύων. τῶν δὲ συμφοιτησάντων αὐτῷ εἰς διδασκάλου πείθει τότε Θεόδωρον, ὃς ὕστερον Μοψουεστίας κατέστη ἐπίσκοπος, καὶ Μάξιμον (Σελευκείας δὲ καὶ οὗτος ἐπεσκόπησε) τὸν χρηματιστικὸν βίον διαπτύ-
238. σαντας ἑλέσθαι τὸν λιτόν. τὰ δὲ πολλὰ Βασιλείῳ συνῆν τῷ μεγάλῳ, ἀλλ' οὐχ, ὡς ἕτεροί φασιν, ἑτέρῳ ὃν καὶ διάκονον ὁ Μελέτιος χειροτονεῖ, καὶ τῶν ἄλλων πλέον ὁ Ἰωάννης εἰς φιλίαν προὔκρινεν. οὗτος προαποτάσσεται Ἰωάννου, καὶ προσκαλεῖται τὸν φίλον ἐφ' ᾧ τῆς αὐτῆς μετασχεῖν πολιτείας· ἡ δὲ μήτηρ τέως ἐκώλυε. Ζήνων δὲ ἀπὸ Ἱεροσολύμων ἐλθὼν ὁ ἐπίσκοπος ἀναγνώστην Ἰωάννην τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας καθίστησι. τελευτᾷ δὲ μετ' οὐ πολὺ ἡ μήτηρ Ἰωάννου, καὶ οὗτος καλῶς τὸν πατρῷον σκορπίσας οἶκον, ϗ τὴν πόλιν λιπών, τοῖς ἔξω ταύτης μοναστηρίοις ἑαυτὸν ἐκδίδωσι, ϗ γίνεται αὐτὸς τύπος ϗ κανὼν τῶν μοναζόντων.

ὅτι Ἡσύχιος μοναχός, Σύρος τῷ γένει, προγνώσεως ἀξιωθείς, θεωρεῖ ἄνδρας λευχειμονοῦντας, ὧν ὁ μὲν κατεῖχε τόμον, ὁ δὲ ἄλλος κλεῖς· καὶ ἐπεδίδουν ἑκάτερος αὐτῶν ταῦτα τῷ Ἰωάννῃ, ὁ μὲν ἑαυτὸν εἶναι τὸν ἀπόστολον Πέτρον, ὁ δὲ λέγων τὸν θεολόγον Ἰωάννην. καὶ ταῦτα ἀναγγέλλει τοῖς ἐν τῇ μονῇ, ἀσφαλισάμενος μὴ διαγνωσθῆναι τῷ Ἰωάννῃ, ἵνα μὴ διὰ ταπεινοφροσύνην ἄκραν ταύτης ἡμῶν, φησίν, ἀναχωρήσῃ τῆς μονῆς. τότε καὶ μεγάλους αὐτὸν ἀσκητικούς φασι διαπαλαῖσαι ἀγῶνας ϗ ἀσκητικοὺς συγγράψαι λόγους.

Γίνεται δὲ ϗ θαύματα ἐν τῷ μοναστηρίῳ παρ' αὐτοῦ. τὶς γὰρ τῶν τῆς πόλεως τὸ ἡμίκρανον τῆς κεφαλῆς ὑπεραλγῶν, ὥστε καὶ τὸν δεξιὸν αὐτοῦ ἐκκρέμασθαι ὀφθαλμόν, προσελθὼν αὐτῷ παραχρῆμα τυγχάνει τῆς ἰάσεως. καὶ Ἀρχέλαός τις τῶν ἐν ἀξιώματι καὶ πλούτῳ περίβλεπτος, λέπραν ἐν τῷ προσώπῳ ἔχων, κελεύσαντος ἐκ τοῦ λάκκου, οὗ οἱ ἀδελφοὶ ἔπινον, λούσασθαι ὑγιὴς γέγονεν· ὃς καὶ διαδοὺς τὰ ὑπάρχοντα αὐτοῦ, ἐν ᾧ ϗ ἰάθη μοναστηρίῳ ἀπετάξατο, καὶ πολλοὶ δ' ἕτεροι. ἄλλος δέ τις ὀνόματι Εὔκλειος ἐκ δαιμονικῆς ἐνεργείας τὸν δεξιὸν ἀπολέσας ὀφθαλμὸν προσῆλθε μονάσαι, ϗ ἀποκειρόμενος τὰς τρίχας προσευχομένου τοῦ ἁγίου ἀπείληφε τὸν ὀφθαλμόν. γυνὴ δέ τις αἱμόῤῥους ἐπὶ ἔτη ἑπτὰ ἔτυχε τῆς ἰάσεως. ϗ λέοντα δέ, ὥς φησι, πολλοὺς ὁδοιπόρους ἁρπάζοντα, τοῖς αἰτησαμένοις δοὺς τὸ τοῦ σταυροῦ σύμβολον, νεκρὸν ἔδειξεν ὑπὸ τῷ σταυρῷ.

ὅτι μετὰ τετραετίαν διὰ τὸν ὄχλον τῶν προσιόντων ἐξέρχεται τῆς μονῆς, καὶ ἔτι ἔτη δύο ἔν τινι σπηλαίῳ ἄϋπνος τὰ πολλὰ διετέλει, μὴ ἀναπεσὼν ὅλον 140 H.
τὸν χρόνον τῆς διετίας· ἐν ᾧ καὶ νεκρωθεὶς ὑπὸ τοῦ κρύους τὰ περὶ τὴν γαστέρα καὶ τοὺς νεφροὺς εἰσέρχεται διὰ τὴν νόσον ἐν τῇ πόλει· ἐν ᾧ καὶ χειροτονεῖται ὑπὸ Μελετίου διάκονος, καὶ ὑπηρετεῖ τῷ θυσιαστηρίῳ ἔτη

a. 2. malim βαπτίσας. 3. ταπεινοφροσύνης ς. 6 οὐδὲ ς. 14. ὑπερβαλόμενος corr A: ὑπερβαλλόμενος ς. 17. ὕπαρχος ς. 21. αὐτῷ om A. 22. τὸ add A. 34. διδασκάλους ς. 35. τότε] praestat τόν τε. 37. διαπτύσαντας βίον ς. b. 1. προκαλεῖται A. 5. ἡ] καὶ ἡ ς. 6. οἶκον A: πλοῦτον ς. 19. καὶ om A. 21. αὐτοῦ om A. 23. τις] τί τις ς. 28. ἐνεργείας A: ἐπηρείας ς. 29. ἀποκειρόμενος τὰς τρίχας προσευχομένου A: ἀποκειρομένου ς. 31. γυνὴ A: καὶ γυνὴ ς. 32. ὡς add A. 34. ἀπέδειξεν ὑπὸ τοῦ σταυροῦ ς. 39. τὴν om A.

πέντε. γράφει δὲ τότε ϗ τȣ̀ς πρὸς Σταγείριον τρεῖς λόγȣς ϗ τȣ̀ς περὶ ἱερωσύνης ϗ τȣ̀ς περὶ ἀκαταλήπτȣ. τελευτήσαντος δὲ Μελετίȣ ἐν Κωνσταντινȣπόλει ἀναχωρεῖ πάλιν ὁ θεῖος Ἰωάννης ἐν τῷ μοναστηρίῳ. Φλαβιανὸς δὲ ἀντὶ Μελετίȣ καταστὰς ἐκ θείας ἀποκαλύψεως χειροτονεῖ πρεσβύτερον, ἀπὸ τȣ̃ μοναστηρίȣ εἰς τὴν πόλιν αὐτὸν ἀγαγών, τῆς ἀποκαλύψεως ϗ Ἰωάννην χειροτονηθῆναι καὶ Φλαβιανὸν χειροτονῆσαι ἐπιτρεπȣ́σης. καὶ περιστερὰ δὲ ἐπιπτᾶσα καὶ ὑπὲρ κεφαλῆς τȣ̃ χειροτονȣμένȣ στᾶσα ἐδήλȣ τὴν ἐπ' αὐτῷ θείαν χάριν, ὅση ἔσται. ϗ διέτριψεν ἐν τῷ τῆς Ἀντιοχείας ἱερατείῳ
256 R. ἔτη ιβ'. ἦν δὲ διὰ ζῆλον σωφροσύνης ἐκ νέας ἡλικίας πικρός, ϗ θυμῷ μᾶλλον ἢ αἰδοῖ χαριζόμενος. πολλὰς δὲ ἐν Ἀντιοχείᾳ ἐγγράφȣς ἐποιήσατο ἐξηγήσεις, καὶ τȣ̃ ἐπισκόπȣ βιασαμένȣ καὶ αὐτοσχεδίως καθωμίλησε τῷ λαῷ ἐπὶ τȣ̃ ἄμβωνος.

ὅτι γυναικός τινος Εὐκλείας υἱὸς νόσῳ πυρεκτικῇ βληθεὶς ἀπεγνώσθη, ἔτυχε δὲ παρὰ Ἰωάννȣ τῆς ἰάσεως διὰ τοῦ ὕδατος, ὃ ἐκεῖνος σφραγίσας περιρῥανθῆναι ἔδωκε. καὶ γυνὴ δέ τις τῶν Μαρκιανιστῶν (ἀρχὰς δέ τινας τῶν ἐν τῇ πόλει ὁ ταύτης ἐγχείρισεν ἀνήρ) δυσεντερικῇ περιπεσȣ̃σα νόσῳ ἀπέγνωστο, τυχοῦσα δὲ τῆς ἰάσεως αὐτή τε καὶ ὁ ταύτης ἀνὴρ σὺν παντὶ τῷ οἴκῳ πρὸς τὴν ὀρθοδοξίαν ἐπέστρεψε, ϗ πολλοὶ ἄλλοι τῶν Μαρκιανιστῶν.

ὅτι Νεκταρίου Κωνσταντινȣπόλεως τελευτήσαντος μετάπεμπτος ἀπὸ Ἀντιοχείας ὁ Χρυσόστομος γίνεται, πολλὰ μὲν ἐναντιωθέντων τῶν Ἀντιοχέων (τὸ γὰρ οἰκεῖον ἀγαθὸν αὐτοὶ καὶ ἔχειν ἠξίȣν), ἐκνικησάσης δὲ ὅμως τῆς βασιλικῆς μεταπέμψεως. ϗ χειροτονεῖ τȣ̃τον ἄκων ὁ τῆς Ἀλεξανδρείας Θεόφιλος· ἐπεσείοντο γὰρ αὐτῷ, εἰ μὴ πρὸς τὴν χειροτονίαν κατανεύσοι, οἱ τῶν ἐγκλημάτων λίβελλοι. χειροτονεῖται γȣ̃ν ψήφῳ κοινῇ, ϗ δαιμονῶν ἐξ αὐτῆς τῆς παρ' αὐτȣ̃ τυγχάνει ἰάσεως.

ὅτι ὁ μέγας Χρυσόστομος παραυτίκα τοὺς ἔχοντας συνεισάκτȣς τȣ̃ ἔθȣς ἐξέκοψε, καὶ κατὰ τῶν ἀδίκων καὶ γαστριμάργων καὶ φιληδόνων λόγȣς μακρȣ̀ς κατέτεινεν. ἦν δὲ καὶ ἐλεήμων σφόδρα, ἐξ ȣ̃ παρὰ πολλοῖς ὁ τῆς ἐλεημοσύνης ἐπεκλήθη Ἰωάννης. ϗ ἁπλῶς πᾶσαν μὲν ἀρετὴν ἐδίδασκε, πάσης δὲ κακίας ἀπέτρεπεν. ἀπέστειλε δὲ καὶ εἰς Φοινίκην μοναχȣ̀ς ἐφ' ᾧ τȣ̀ς ἔτι τῇ εἰδωλολατρείᾳ κατεχομένȣς ἀπαλλάξαι τῆς πλάνης· ȣ̃ς καὶ νόμοις ὁπλίσας βασιλικοῖς τοὺς ναȣ̀ς τῶν εἰδώλων κατέστρεφε, τῶν ἀναλωμάτων τῶν ἐπὶ καταστροφῇ ἐκ τῶν εὐλαβῶν γυναικῶν παρεχομένων. καὶ τὸν Κελτικὸν δὲ ὅμιλον ἀρειανίζοντα, ὁμογλώσσȣς χειροτονήσας, μετέστρεψεν εἰς τὴν ὀρθοδοξίαν. ϗ ἐπὶ τὸν Ἴστρον πέμψας τȣ̀ς νομάδας Σκύθας ἐπὶ τὸν χριστια- 141 H.
νισμὸν ἑκόντας εἱλκύσατο. ϗ τὴν Μαρκίωνος αἵρεσιν κατὰ τὴν ἀνατολὴν φυομένην ἐξέτεμε. καὶ τὰς νυκτερινὰς ψαλμῳδίας ἐπηύξησε. μόνος δὲ ἤσθιεν, ὅτι τε οἶνον διὰ τὴν τῆς κεφαλῆς θέρμην ȣ̓κ ἔπινεν, εἰ μή πȣ ἐν τῷ θέρει τὸν διὰ ῥόδȣ, καὶ ὅτι κακόσιτος ὢν οὐκ ἐχρῆτο τοῖς παρακειμένοις αὐτῷ πολλάκις, ἀλλ' ἀντ' αὐτῶν ἄλλα ἐπεζήτει, καὶ τρίτον ὅτι πολλάκις σχολάζων ἄσιτος δι' ἡμέρας ἔμενεν. ἐδόκει δὲ τῷ κλήρῳ μάλιστα σκληρὸς εἶναι καὶ τραχύς. καὶ Σεραπίων δὲ ὁ διάκονος αὐτȣ̃ πολλȣ̃ μίσȣς αὐτῷ γέγονεν αἴτιος. πολλȣ̀ς δὲ καὶ ὁ Ἰωάννης ἄλλȣς δι' ἄλλας αἰτίας τῆς ἐκκλησίας ἐξέβαλε. προσκρȣ́ει δὲ Σεραπίων καὶ Σευηριανῷ τῷ Γαβάλων, ϗ τίκτεται μεγάλη αὐτȣ̃ πρὸς τὸν Ἰωάννην ἔχθρα, ἣν καὶ μέχρι τέλȣς συνετήρει. ὁ δὲ λαὸς διὰ τȣ̀ς ἐν τῇ ἐκκλησίᾳ λόγους σφόδρα ἠγάπα τὸν Ἰωάννην. ἠγάπα δὲ ȣ̃τος τὰς τȣ̃ ἁγίου Παύλου ἐπιστολὰς λίαν, καὶ ἡρμήνευεν αὐτάς· ἐμφανίζεται δὲ Πρόκλῳ ἐπὶ τρεῖς νύκτας ἐμπνεόμενος ὁ μέγας Ἰωάν- 257 R.
νης ὑπὸ τοῦ ἀποστόλȣ εἰς τὴν τῶν ἐπιστολῶν αὐτοῦ ἑρμηνείαν.

ὅτι προσκρούει τῇ βασιλίδι διὰ Θεοδώριχον τὸν πατρίκιον. τῆς μὲν γὰρ παραλόγȣ εἰσπράξεως, ἣν ἐποίει ἡ βασιλίς, μόλις ἀπαλλάσσει τὸν ἄνδρα· ὁ δὲ δίδωσι τῷ τῆς ἐκκλησίας πτωχείῳ εὐχαριστήριον τῷ θεῷ τὸ πολὺ μέρος αὐτȣ̃ τῆς ὑπάρξεως, ὑφ' ȣ̃ πρὸς κακίαν καὶ διαβολὴν ἀναφλέγεται ἡ Εὐδοξία.

ὅτι Εὐτρόπιος νόμον εἰσάγει τȣ̀ς πρόσφυγας τῆς ἐκκλησίας μὴ τυγχάνειν τȣ̃ τῆς ἀσυλίας προνομίȣ, ϗ μετ' ȣ̓ πολὺ καταφυγὼν αὐτὸς τῆς οἰκείας ἀπολαύει νομοθεσίας. ȣ̃ ὑπὸ τὸ θυσιαστήριον ἐῤῥιμμένȣ λόγον ἐλεγκτικὸν διεξῆλθεν ὁ μέγας Ἰωάννης, ϗ πολλȣ̀ς εἰς μῖσος ἐκίνησεν· ἐδόκει γὰρ ἀφιλανθρώπως λίαν ἐπιπλήττειν τὸν δυστυχȣ̃ντα.

ὅτι τῶν Ἀρειανῶν τὰς ἐκκλησίας ἀφείλετο, καὶ τὸν βασιλέα αἰτησάμενος τῆς πόλεως ἐξέβαλε. ϗ ἀντίφωνα ἐκείνων ἐπιτηδευσάντων εἰς ἐξαπάτην τῶν

a. 1. τάγιφον pr A. 15. καθωμ.] καὶ καθωμ. ς. 29. καὶ ἔχειν] fortasse leg. κατέχειν. 30. διαπέμψεως ς. 34. ἐξαυτῆς A: αὐτίκα ς.

b. 5. κατέστρεψεν ς. 11. τὸν pr A: τὸ ς. ῥόδων ς. 18. σαραπίων A. 17: ὁ om A. 25. post ἀποστόλου cum A omisi Παύλου. αὐτοῦ add A. 27. Θευδέριχον corr A.

ἀπλεστέρων αὐτὸς ὑπερέβαλε, συναραμένης τῆς βασιλίδος, ὥς καὶ σταυροὺς ἀργυροῦς τοῖς ἀντιφώνοις παραπήγνυσθαι· ἀρχὴν δέ φασι τῶν ἀντιφώνων Ἰγνάτιον γενέσθαι τὸν θεοφόρον, ἀγγέλους τὸ θεῖον ὑμνοῦντας τοῦτον τὸν τρόπον ἐκμιμησάμενον.

ὅτι Γαϊνᾶς ὁ Ἀρειανὸς δυνατὸς ὢν ᾔτησε τῷ βασιλεῖ ἐκκλησίαν, καὶ ὁ Ἰωάννης παρὼν μετὰ πολλῆς ἐπετίμησε τῆς παῤῥησίας καὶ τὴν αἴτησιν ἀπεκρούσατο. χρόνῳ δὲ ὕστερον χεῖρας ἀντάραντος βασιλεῖ μηδὲν μελλήσας ὁ Ἰωάννης, ἀξιούντων τοῦτο πάντων, πρὸς αὐτὸν παραγίνεται διαπρεσβεύσασθαι, καὶ παύει τότε τὴν ἐπανάστασιν.

ὅτι Εὐσέβιος ἀπὸ τοῦ Κελβιανοῦ ἐπίσκοπος Οὐαλεντινουπόλεως κατὰ Ἀντωνίνου τοῦ Ἐφεσίων λιβέλλους 142 H. ἐπιδίδωσι. περιείχετο δὲ τοῖς βιβλίοις "ἐγκλήματα ἑπτά, ἱεροσυλίας τρία, καὶ ὅτι παῖδα φονέα γεγονότα ἀνεπιτίμητον ἔχει μεθ' ἑαυτοῦ, καὶ ὅτι τὸ διαφέρον τῇ ἐκκλησίᾳ τόπιον, ὅπερ Βασιλίνα ἡ τοῦ Ἰουλιανοῦ μήτηρ κατέλιπε, πωλήσας ἐσφετερίσατο, καὶ ὅτι τῇ γυναικὶ ἀποταξάμενος συνήπτετο καὶ ἐπαιδοποίησεν ἐξ αὐτῆς, ἕβδομον δὲ ὅτι ἐπὶ χρήμασι χειροτονεῖ. ἐξετάζεται ὡς βαρύτερον τὸ ἕβδομον, καὶ τῆς δίκης ἐπὶ πολὺ παρατεινομένης (ἐχρηματίζετο γὰρ ἐθελοκακεῖν καὶ ὁ κατήγορος) ὁ μὲν Ἀντωνῖνος τελευτᾷ, ὁ δὲ μέγας Ἰωάννης πρὸς τὴν Ἔφεσον παραγίνεται, καὶ τοὺς ἐπὶ χρήμασι χειροτονηθέντας συγκαταθεμένους, ἓξ ὄντας τὸν ἀριθμόν, καθαιρεῖ. καθαιρεῖ δὲ καὶ ἑτέρους ἓξ ἐν τῇ αὐτῇ Ἀσίᾳ διὰ τὴν αὐτὴν νόσον. καὶ χειροτονεῖ ἀντὶ μὲν Ἀντωνίνου Ἡρακλείδην τὸν οἰκεῖον διάκονον, ἐφ' ᾧ καὶ στάσις συμβαίνει, καὶ ἀντὶ τῶν λοιπῶν ἑτέρους εὐλαβείᾳ καὶ τῇ ἄλλῃ ἀρετῇ πολὺ διαφέροντας. ἀλλ' οὗτοι πάντες ἐξορισθέντος τοῦ Χρυσοστόμου τῶν ἐπισκοπῶν ἀπηλάθησαν, τῶν κατεγνωσμένων καὶ ἐκβεβλημένων πάλιν τοῖς θρόνοις ἐγκαταστάντων.

ὅτι Σεβηριανὸς ὁ Γαβάλων μαθὼν Ἀντίοχον ἐν 269 B. Κωνσταντινουπόλει παραγεγονότα καὶ "χρήματα διὰ τὴν ῥητορείαν αὐτοῦ συλλεξάμενον καὶ αὐτὸς παραγίνεται, διδάσκειν δὲ αὐτὸν ἀπαίρων εἰς Ἔφεσον ὁ μέγας Ἰωάννης ἀντ' αὐτοῦ ἐπ' ἐκκλησίας ἐπιτρέπει, ἐξ οὗ καὶ τῷ βασιλεῖ καὶ πᾶσι γνώριμος γίνεται.

ὅτι Καλλιτρόπη ἡ χήρα γυνή τινος προναυκλήρου ζημίας εἰσπράττεται παραλόγους· Παυλάκιος δ' ἦν ὁ τῆς Ἀλεξανδρείας αὐγουστάλιος ὁ ταῖς ζημίαις ἐκτρίβων τὸ γύναιον, εἰς πεντακόσια δὲ νομίσματα ἐκεφαλαιοῦτο ἡ ζημία. καὶ καταφεύγει αὕτη πρὸς τὴν βασίλισσαν, καὶ ἀπαιτεῖται ὁ Παυλάκιος χρυσίου λίτρας ἑκατόν· τὸ δὲ ἐκτετρυχωμένον γύναιον λαμβάνει μόνα λϛʹ νομίσματα. προστρέχει τοίνυν τῷ κοινῷ τῶν χειμαζομένων λιμένι, τῷ μεγάλῳ Ἰωάννῃ. ἄγεται παρ' αὐτοῦ ὁ Παυλάκιος ἀπαιτούμενος τὰ πεντακόσια τῆς χήρας νομίσματα. γίνεται πρὸς αὐτὸν ἡ Εὐδοξία δι' ἔχθρας, ἀνεθῆναι τὸν Παυλάκιον σπεύδουσα καὶ οὐχ ὑπακουομένη. ὅμως ἀπαιτήσας ὁ δίκαιος δίδωσι τὸ ἀδίκημα τῇ ἠδικημένῃ. ἐν ᾧ καὶ θαῦμα γίνεται· ἀποσπάσαι γὰρ πέμπει ἡ Εὐδοξία τὸν Παυλάκιον καὶ ἄκοντος Ἰωάννου, ἄγγελος δὲ λογχοφόρος φανεὶς καὶ φοβήσας τοὺς ἀποσταλέντας ἀπράκτους ἐποίησεν. ἐκ δὲ τούτων καὶ τῶν τοιούτων Ἀκάκιος ὁ Βεροίας καὶ Θεόφιλος καὶ Ἀντίοχος καὶ Σεβηριανὸς συλλαμβανομένης Εὐδοξίας καὶ προκαταρχομένης σκευωροῦσι τὰ κατὰ τὸν Ἰωάννην, πολλῶν καὶ ἄλλων συνεπομένων, οὓς ἐλέγχων ἐλύπει.

ὅτι Θεόφιλος Πέτρον τὸν πρωτοπρεσβύτερον Ἀλεξανδρείας ἐν αἰτίᾳ ἐποιεῖτο ὡς γυναικὶ Μανιχαίᾳ τῶν μυστηρίων μεταδόντα· ὁ δὲ ἀπελογεῖτο "καὶ μετατε- 143 H. θεῖσθαι αὐτὴν καὶ τῇ ἐκείνου ἐπιτροπῇ τῶν μυστηρίων αὐτὴν ἀξιῶσαι, καὶ παρῆγε τοῦ λόγου μάρτυρα Ἰσίδωρον τὸν πρεσβύτερον καὶ ξενοδόχον τῆς Ἀλεξανδρείας. οὗτός ἐστιν ὁ διὰ τὴν αὐτοῦ ἀρετὴν παρὰ Θεοφίλου [πάλαι] πρὸς Δαμασσὸν σταλείς, καὶ κομίσας ἀπὸ Ῥώμης Φλαβιανῷ τὴν ἀποδοχὴν καὶ τὴν πρὸς αὐτὸν κοινωνίαν, ἐπὶ ἔτεσιν εἴκοσι διαφερομένων τῶν δύο ἐκκλησιῶν πρὸς ἀλλήλας. ὁ δὲ Ἰσίδωρος ἐμαρτύρει Πέτρῳ, καὶ ὠργίζετο ὁ Θεόφιλος. καὶ τὸν μὲν Πέτρον αὐτίκα τῆς ἐκκλησίας διώκει, κατὰ Ἰσιδώρου δὲ τοῦ θαυμασίου χάρτην ἀσελγείας συμπλάσας προκομίζει καὶ παῖδα κατήγορον μισθοῦται. καὶ τοῦ δράματος ἐλεγχθέντος εἰς πλείονα κακίαν ἐκκαίεται ὁ Θεόφιλος. συνῆπτε δὲ αὐτοῦ τὸ πάθος, ὅτι χρήματα λαβὼν μέχρι χιλίων νομισμάτων πτωχοῖς διανεῖμαι (Θεοδότη δ' ἦν ἡ παρασχομένη) οὕτω καὶ ἐποίησε, μηδὲν τούτων Θεοφίλῳ προσαναθέμενος. φεύγει οὖν διὰ τὴν ἐπικειμένην ὀργὴν ἐπὶ τὸ τῆς Νιτρίας ὄρος, ἐν ᾧ καὶ πρὶν κελλίῳ ἡσύχαζε. τῶν δὲ τῆς Αἰγύπτου μοναστηρίων Διόσκορος ἡγεῖτο καὶ "Αμ-

a. 9. libri μελήσας. 13. τὸ κελβιανὸν A. Οὐαλεντιανουπόλεως ς. 14. Ἀντωνίου ς. 18. τόπιον Cς, τὸ πᾶν A. 21. χρήματα ς. 22. ante ὡς cum A omisi δὲ. 39. ἐκκλησίαν ς. b. 12. πέμπει A: σπεύδει ς. 15. ἐποίει ς. 16. Βεῤῥοίας ς. 17. σκαιωροῦσι ς. 21. γυναῖκα μανιχαίαν A. 27. πάλαι om A, habet C. 36. συναπῆπται ς. 37. ὅτι καὶ χρήματα ς.

μώνιος καὶ Εὐθύμιος καὶ Εὐσέβιος ἀδελφοί, οὓς ἀπὸ τῆς τοῦ σώματος ἀναδρομῆς μακροὺς ἐκάλουν. συνέβη δὲ τότε τὸ κατὰ τῶν ἀνθρωπομορφιτῶν ἐκραγῆναι φιλονείκημα. καὶ στασιαζόντων τῶν κατὰ τὴν Αἴγυπτον
261 R. μοναχῶν, ἀγραμμάτων ὄντων καὶ ἀγροίκων τῶν πολλῶν, ὁ Θεόφιλος, ἐπεὶ ἐπέστησαν αὐτῷ, δεδοικώς, ὡς ἐδόκει, κατασοφίζεται, καὶ φησὶ πρὸς αὐτοὺς „εἶδον τὰ πρόσωπα ὑμῶν ὡς πρόσωπον θεοῦ.“ τῶν δὲ καὶ Ὠριγένην, ὡς ἀσχημάτιστον τὸ θεῖον λέγοντα, ἀναθεματισθῆναι προσεπιζητούντων, ὑπέσχετο ποιήσειν καὶ τοῦτο, καὶ διέφυγε τὸν θάνατον. ταύτης δραξάμενος κατὰ τῶν μακρῶν τῆς προφάσεως (οὐ γὰρ ἐβούλοντο ἔτι, ὥσπερ πρότερον, αὐτῷ συνδιαιτᾶσθαι· οὗτοι δὲ τὸ θεῖον ἀσχημάτιστον, ὡς ὁ ὀρθὸς λόγος, ἐπρέσβευον) διαβάλλει τούτους πρὸς τοὺς ἐν Αἰγύπτῳ μοναχούς, καὶ κινεῖ κατ' αὐτῶν τὸ ἀγελαῖον ἐκεῖνο πλῆθος, ἔτι δὲ καὶ κατὰ τοῦ προειρημένου Ἰσιδώρου, δι' ὃν μᾶλλον καὶ πρὸς ἐκείνους ἐξεπεπολέμωτο. τέλος μετὰ πολλὰς κακώσεις καὶ ἐπιβουλάς, καὶ μετὰ τὸν ἐμπρησμὸν τὸν ἐκκαέντα κατὰ τῶν κελλίων αὐτῶν, φεύγουσιν ἐκεῖθεν εἰς Κωνσταντινούπολιν. ὁ δὲ συμπαθέστατος Ἰωάννης ὑποδέχεται μὲν αὐτοὺς καὶ ἄλλως φιλοφρονεῖται, οὐ μεταδίδωσι δὲ διὰ Θεόφιλον κοινωνίας. γράφει δὲ αὐτῷ καὶ ἐπιστολήν, πρὸς εἰρήνην συμβιβάζων· ὁ δὲ παρακρούεται. ἐπιδιδοῦσιν οἱ μακροὶ κατὰ Θεοφίλου λιβέλλους. πείθει καὶ ἐκεῖνός τινας κατ' αὐτῶν ἐπιδιδόναι· ἀλλ' ὕστερον μὲν οὗτοι μηδὲν ἀποδεικνύντες ἐφυλακίσθησαν, καὶ μαστιχθέντες ἱκανῶς οἱ μὲν τῇ φυλακῇ ἐναπέθανον, οἱ δὲ τὴν Προκόννησον οἰκεῖν ἐξορίᾳ κατεδικάσθησαν. ὁ δὲ Ἰωάννης δηλοῖ Θεοφίλῳ περὶ τῶν κατ' αὐτοῦ λιβέλλων· καὶ γράφει Θεόφιλος ὀργιζόμενος „οἶμαι μὴ ἀγνοεῖν σε τὸ διάταγμα τῶν ἐν Νικαίᾳ κανόνων, ὅπως θεσπί-
144 H. ζουσιν ἐπίσκοπον ὑπερόριον μὴ κρίνειν δίκην. εἰ δὲ ἀγνοεῖς, μαθὼν ἀπόσχου τῶν καθ' ἡμῶν λιβέλλων.“ ἀλλὰ τότε ταῦτα γράφων Θεόφιλος ὕστερον αὐτὸς ὑπερόριον τὴν κατ' ἐκείνου ἔκρινε δίκην. οἱ δὲ μοναχοὶ τῶν κατὰ Θεοφίλου λιβέλλων οὐκ ἀφίσταντο, καὶ ὁρίζεται παρὰ βασιλέως Θεόφιλος ἐπὶ τὴν δίκην ἐλθεῖν. ὁ δὲ φθάνας κρατήσας ἐπὶ τὴν δίκην αὐτὸν Ἰωάννου καθίζει παραγεγονότα.

ὅτι Θεογνώστου συγκλητικοῦ δημευθέντος καὶ κατὰ τὴν ἐξορίαν τελευτήσαντος ἡ γυνὴ τὸν ὑπολειφθέντα αὐτῇ ἀγρὸν ὑπὸ τῆς βασιλίδος ἀφαιρεῖται. ἡ δὲ ἐπὶ τὸν τῶν χηρῶν καταφεύγει πρόμαχον. ὁ δὲ πολλὰ παρρησιασάμενος ὑπὲρ τῆς χήρας οὐδὲν ἤνυσεν, ἀλλὰ καὶ πρὸς ἔχθραν ἐκίνησε τὴν βασιλίδα. προστάσσει δὲ τῇ ἡμέρᾳ τῆς ὑψώσεως (τεσσαρεσκαιδεκάτη ἐστὶν αὕτη τοῦ Σεπτεμβρίου μηνός), ἐπειδὰν ἡ ἄδικος βασιλὶς προσέρχεσθαι μέλλῃ τῇ ἐκκλησίᾳ, ἀποκλεισθῆναι κατ' αὐτῆς τὰς πύλας. καὶ πληροῦται τὸ πρόσταγμα, καὶ κατησχυμμένη καὶ περιωργισμένη ἀποπέμπεται ἡ βασιλίς· καὶ ἤδη ἡ κατὰ τοῦ ἁγίου καθαίρεσις συνεκροτεῖτο παρ' αὐτῆς καὶ ἡ ἐξορία, καὶ εἴ τι ἄλλο δεινὸν ὁ θυμὸς ἐπέτρεπεν. ὅτε δὲ τῇ ἐκκλησίᾳ προσιοῦσα τὰς πύλας κατ' αὐτῆς ἀποκλεισθείσας ἐδέξατο, τότε τις τῶν σὺν αὐτῇ ξίφος κατὰ τῶν ἀποκλειόντων ἐνέτεινε, καὶ ἐξηράνθη τὴν χεῖρα· ὕστερον δὲ προσπεσὼν τῷ θαυμασίῳ Ἰωάννῃ ὑγιὴς γέγονεν.

ὅτι Ἐπιφάνιος ὁ μέγας, ὃν ὁ Θεόφιλος κατὰ Ἰω- 264 R.
άννου ἐξηπάτησε, παραγενόμενος ἐν Κωνσταντινουπόλει ἀταξίας ἐποίησε· διάκονον γὰρ ἐν τῷ ἑβδόμῳ (οὕτω καλεῖται ὁ τόπος) τῇ τοῦ ἁγίου Ἰωάννου ἐκκλησίᾳ παρὰ τὸν κανόνα ἐχειροτόνησε, καὶ χωρὶς τῆς τοῦ Χρυσοστόμου γνώμης ἐλειτούργει, καὶ ἀπῄτει αὐτὸν τὰ Ὠριγένους ἀναθεματίσαι. φησὶ δὲ αὐτὸν ὁ συγγραφεύς, ὥσπερ καὶ ὁ βίος αὐτοῦ λέγει, μὴ συνευδοκῆσαι, καθὼς ἑτέροις ἔδοξε λέγειν, ἐπὶ τῇ τοῦ Χρυσοστόμου καθαιρέσει, καίτοι τῆς βασιλίδος ἐκβιαζομένης. μνημονεύει δ' οὖν ὅμως καὶ οὗτος τῶν ἀμοιβαίων ἀλλήλοις προφητειῶν, ἐν αἷς ἐδηλοῦτο μηδέτερον ἔτι τὸν οἰκεῖον ὄψεσθαι θρόνον. πρὸ δὴ τῆς αὐτοῦ καταδίκης πυνθανόμενος ὀργᾶν τὴν Εὐδοξίαν, λόγον διεξέρχεται μακρὸν κατὰ γυναικῶν, καὶ τὸ πλῆθος ἥρπασε τὸ ῥηθὲν ἐκλαμβάνοντες εἰς τὴν βασιλίδα. καὶ τοῦ Θεοφίλου παραγεγονότος ἀρτύεται τὰ κατὰ τοῦ μεγάλου ἀθλητοῦ. καὶ μὴ παρουσιάσαντος αὐτοῦ τῇ συνόδῳ τὴν ψῆφον οἱ περὶ Θεόφιλον ἤνεγκαν, καίτοι βοῶντος αὐτοῦ καὶ διαμαρτυρομένου ἕτοιμον εἶναι καὶ παραγενέσθαι καὶ ἀπολογεῖσθαι, εἰ τοὺς προφανεῖς ἐχθροὺς τοῦ συνεδρίου ἐκστήσωσι. συνῆσαν δὲ αὐτῷ τεσσαράκοντα ἐπίσκοποι, οἳ καὶ τοῖς περὶ Θεόφιλον ἀπεμάχοντο· ὁ δὲ τούτους ποτνιωμένους παρεμυθεῖτο, καὶ παρῄνει τῆς ἐκκλησίας μὴ σχίζεσθαι. καθαιρεθεὶς δὲ ἐκπέμπε- 145 H.
ται εἰς τὸ τοῦ Βοσπόρου ἱερόν. καὶ σεισμοῦ θεηλάτου

a. 4. φιλονίκημα, ς. 10. ποιῆσαι ς. 16. ἐκεῖνος ς. 25. οἱ] δὲ οἱ ς. 27. μαστιγωθέντες ς. 29. Προικόννησον ς. 35. ταῦτα] μετὰ ταῦτα ς. Θεόφ.] ὁ Θεόφ. ς. 42. ὑποληφθέντα ς.
b. 5. αὕτη om A. 13. ἀποκλειούσας A. 19. ἑβδόμῳ ς. post οὕτω cum A omisi γάρ. 20. τῆς — ἐκκλησίας ς. 21. τῆς add A. 22. κἀπῄτει ς. 28. ἔτι A: αὐτῶν ς. 36. ἑτοίμου corr A. 38. ἐκστήσουσι ς. 39. οἱ add A.

Digitized by Google

γινομένου πάλιν ἐπὶ τὴν πόλιν κατάγεται, καὶ ἄκων εἰς τὸν θρόνον ἀνάγεται· οὐ γὰρ ἔφασκεν ἐθέλειν τῆς ποιμαντικῆς ἀρχῆς ἀπάρχεσθαι πρὶν ἂν εἰς ἐξέτασιν αὐτοῦ τὴν ἄδικον προτεθῆναι κρίσιν. τῆς δὲ Εὐδοξίας μετ' οὐ πολὺν χρόνον ἀναφλεχθείσης, ὅτι ἐπετίμα αὐτῇ μετὰ πολλῆς παῤῥησίας διὰ τὸν ἀνδριάντα, ὃς πλησίον τῆς ἐκκλησίας αὐτῇ ἀνεγήγερτο (θόρυβος γὰρ ἐκεῖθεν πολὺς τῇ ἐκκλησίᾳ ἐτίκτετο), πάλιν τὰ κατὰ τὸν μέγαν Ἰωάννην συσκευάζεται. ὁ δὲ Θεόφιλος ταύτῃ ἑρμαίῳ τῇ πράξει περιτυχών, αὐτὸς μὲν τὸ τῆς πόλεως μῖσος δεδιὼς οὐ παραγίνεται· ἐμισήθη γὰρ λίαν, ὅτι μετὰ τὴν Ἰωάννου καθαίρεσιν καὶ τοῖς μακροῖς, δι' οὓς ἐκείνῳ ἐπεβούλευεν, ἐκοινώνησε, καὶ τῶν Ὠριγενείων ἀναγνωσμάτων, ἐν οἷς ἐκεῖνον διέβαλλεν, οὐκ ἀπείχετο. οὐ παραγίνεται οὖν διὰ τὸ μῖσος, πέμπει δ' ἀντ' αὐτοῦ, μηδ' εἰς κρίσιν ἔτι καλεῖν ἀποθεσπίζων Ἰωάννην, ὡς μετὰ τὴν καθαίρεσιν τολμήσαντα ἱεράσασθαι, τῆς ἐν Ἀντιοχείᾳ συνόδου τῷ μετὰ καθαίρεσιν ἑαυτῷ τὴν ἱερωσύνην ἐκδικήσαντι οὐδὲ τόπον ὑπολιπούσης ἀπολογίας. οἱ δέ γε περὶ Ἰωάννην Ἀρειανῶν ἔλεγον εἶναι καὶ τὸν κανόνα καὶ τὴν σύνοδον, ἐπὶ συσκευῇ Ἀθανασίου ἐκτεθειμένου, ἣν οἱ ἐν Σαρδικῇ ἀπεφήναντο ἄκυρον, Ἀθανάσιον οὐκ εἰς ἀπολογίαν μόνον ἀλλὰ καὶ εἰς ἱερωσύνην ἅμα Μαρκέλλῳ παραδεξάμενοι. κωλύεται μὲν οὖν τότε ὁ Χρυσόστομος ἱερᾶσθαι καὶ ὅλως πρὸς τὴν ἐκκλησίαν κατέρχεσθαι· ἡ δὲ τῶν Χριστοῦ γενεθλίων ἑορτὴ ἐνειστήκει.
265 R. καὶ ἔμεινε μέχρι τῆς ἁγίας πεντηκοστῆς, καὶ ἔτι πρὸς ἡμέρας πέντε, σχολάζων καὶ μηδὲν ὅλως ἐκκλησιαστικὸν διαπραττόμενος. τότε δὲ τελείως καὶ τῆς ἐκκλησίας καὶ τῆς πόλεως ἐξεβλήθη, καὶ ἐξωρίσθη εἰς Κουκουσόν, ὅτε καὶ τὸ πῦρ ἀναφθὲν τῆς ἐκκλησίας τοῦ ἄμβωνος πολλὰ τῶν πέριξ κατενεμήσατο. καὶ πολλοὶ δὲ τῶν κατὰ τοῦ ἁγίου παρεδειγματίσθησαν, ἢ νόσοις ἐξαισίοις ἢ συμφοραῖς θεηλάτοις τὸν βίον ἀποῤῥήξαντες. ἐξορισθεὶς δὲ εἰς Κουκουσόν, ὡς οὗτός φησι, καὶ ἐδίδασκε καὶ ἐχειροτόνει πολλοὺς μὲν ἐπισκόπους, πλείους δὲ πρεσβυτέρους καὶ διακόνους. ἐπετέλει δὲ καὶ πολλὰ σημεῖα ἐν τῇ ἐξορίᾳ, ζῶν τε καὶ μετὰ θάνατον. τελευτᾷ δὲ οὐ μετὰ πολὺν χρόνον, τοῦ ἐπισκόπου Κομάνων καὶ μάρτυρος Βασιλίσκου τὴν τελευτὴν αὐτῷ προμηνύσαντος, καὶ θάπτεται ἐν τῇ αὐτῇ τοῦ μάρτυρος λάρνακι.

Κατέκριναν δὲ οἱ περὶ Θεόφιλον καὶ Ἡρακλείδην τὸν Ἐφέσου, ἀπόντα. καὶ Σεραπίωνα δὲ ποικίλαις ὑποβαλόντες τιμωρίαις καὶ τῆς ἐπισκοπῆς Ἡρακλείας, ἐν ᾗ αὐτὸν μετὰ τὴν πρώτην τῆς ἐξορίας ἐπάνοδον ἐτύγχανεν ὁ μέγας Ἰωάννης χειροτονήσας, καθεῖλον. χειροτονοῦσι δὲ ἀντὶ Ἡρακλείδου τὸν τοῦ τριβούνου Βίκτορος εὐνοῦχον, ἄνδρα ὑπέραισχρον. καὶ ἄλλους δὲ ἐπισκόπους, ἐγγὺς τῶν εἴκοσι, κακώσαντες ἀπήλασαν καὶ τῶν ἐπισκοπῶν, πρεσβυτέρους δὲ καὶ διακόνους πολλούς, καὶ λαϊκοὺς πλείους, ὅσοι προσκεῖσθαι Ἰωάννῃ διεβάλλοντο· καὶ γυ- 146 H.
ναῖκας δὲ τῶν εὐλαβῶν, ὧν αἱ ἐπίσημοι Ὀλυμπιὰς καὶ Πενταδία καὶ Πρόκλη καὶ Σιλβανή.

Ὁ δὲ Ῥώμης Ἰνοκέντιος πολλὰ ὑπὲρ τοῦ ἁγίου ἠγωνίσατο, εἰ καὶ ἄπρακτος αὐτοῦ γέγονεν ἡ σπουδή· καὶ γὰρ καὶ ἀποκρισιαρίους ἔπεμψεν, ἀλλὰ καὶ αὐτοὶ κακῶς ἀπεπέμφθησαν, καὶ γράμματα ἔγραφεν, ἀλλ' οὐδὲν ὧν ἔσπευδεν ἤνυεν. ὕστερον δὲ Νεκτάριος μόλις ἐντάσσει αὐτοῦ τοῖς διπτύχοις τὸ ὄνομα. καὶ Πρόκλος δὲ χρόνῳ ὕστερον εἰσάγει αὐτοῦ τῇ πόλει τὸ λείψανον.

Καὶ ταῦτα μὲν ὧδε. ὁ δὲ συγγραφεὺς οὗτος οὐκ ὀλίγα φαίνεται παρισορῶν· ἀλλ' οὐδὲν κωλύει τοὺς ἀναγινώσκοντας ἐκλεγομένους τὰ χρήσιμα τὰ λοιπὰ παρορᾶν.

## 97.

Ἀνεγνώσθη ΦΛΕΓΟΝΤΟΣ Τραλλιανοῦ, ἀπελευθέρου τοῦ αὐτοκράτορος Ἀδριανοῦ, ὀλυμπιονικῶν καὶ χρονικῶν συναγωγή. προσφωνεῖ τὸ σύνταγμα πρὸς Ἀλκιβιάδην τινά, ὃς εἷς ἦν τῶν εἰς τὴν φυλακὴν τεταγμένων τοῦ Ἀδριανοῦ. ἄρχεται δὲ τῆς συναγωγῆς ἀπὸ τῆς πρώτης Ὀλυμπιάδος, διότι τὰ πρότερα, καθὼς καὶ οἱ ἄλλοι σχεδόν τι πάντες φασίν, οὐκ ἔτυχεν ὑπό τινος ἀκριβοῦς καὶ ἀληθοῦς ἀναγραφῆς, ἀλλὰ ἄλλο τι ἄλλος τῶν ἐπιτυχόντων καὶ οὐ συμφώνως ἔγραψαν, ὅσοις καὶ γράψαι πεφιλοτίμηται. τὴν μὲν οὖν ἀρχὴν τοῦ συγγράμματος, ὥσπερ ἔφημεν, ἀπὸ τῆς πρώτης Ὀλυμπιάδος ποιεῖται· κάτεισι δέ, ὡς αὐτός φησι, μέχρι τῶν Ἀδριανοῦ χρόνων. ἐμοὶ δὲ ἀνεγνώσθη μέχρι τῆς ροζ' Ὀλυμπιάδος, ἐν ᾗ ἐνίκα Ἑκατόμνως Μιλήσιος στάδιον καὶ δίαυλον καὶ ὁπλίτην, τρίς, Ὑψικλῆς Σικυώνιος δόλιχον, Γάϊος Ῥωμαῖος δόλιχον, Ἀριστωνυμίδας Κῷος πένταθλον, 268 R.
Ἰσίδωρος Ἀλεξανδρεὺς πάλην, ἄπτωτος περίοδον, Ἀτυάνας Ἱπποκράτους Ἀδραμυτίου παῖς πύξ, Σφοδρίας Σικυώνιος παγκράτιον, Σωσιγένης Ἀσιανὸς παίδων στάδιον, Ἀπολλοφάνης Κυπαρισσιεὺς παίδων πά-

a. 6. πολλῆς add *A*. 9. ἑρμαίῳ ς. 11. δεδοικὼς ς. 18. τὸν — ἐκδικήσαντα *A*. b. 1. ποικίλαις *A*: πολλαῖς ς. 7. τῶν post ἐγγὺς om *A*. ἐπισκοπιῶν ς. cf. v. 2 et p. 81 a 32. 12. Ἰννοκέντιος ς. 16. Νεκτάριος *A*: Ἀρσάκιος Cς. 29. ἔτυχεν ὑπό] ἔτυχέ πω Scaliger. 30. ἄλλοτε ἄλλως ς. 36. Ἑκατόμνος ς. 38. ἀριστωνυμίδας *A*: ἀριστωνυμίας ς. 40. Ἀτραμυτείου ς.

λην, Σωτήριχος Ἠλεῖος παίδων πύξ, Κύλας Ἠλεῖος παίδων παγκράτιον, Ἑκατόμνως Μιλήσιος ὁπλίτην (οὗτος ἐν τῇ αὐτῇ τὰ τρία ἐστεφανώθη, στάδιον, δίαυλον, ὁπλίτην), Ἀριστόλοχος ὁ Ἠλεῖος τέθριππον, Ἀγήμονος Ἠλείου κέλης, Ἑλλανίκου Ἠλείου συνωρίς, τοῦ αὐτοῦ πωλικὸν τέθριππον, Κλητία Ἠλείου πωλικὴ συνωρίς, Καλλίππου Ἠλίου πωλικὸς κέλης. Λεύκολλος δὲ Ἀμισὸν ἐπολιόρκει, καὶ Μουρήναν ἐπὶ τῆς πολιορκίας καταλιπὼν μετὰ δυοῖν ταγμάτοιν αὐτὸς μετὰ τριῶν ἄλλων προῆγεν ἐπὶ Καβείρων, ὅπου διεχείμαζε. καὶ Ἀδριανὸν ἐπέταξε πολεμῆσαι Μιθριδάτῃ· καὶ πολεμήσας ἐνίκησε. καὶ σεισμοῦ ἐν Ῥώμῃ γενομένου πολλὰ ταύτης συνέπεσε. καὶ ἄλλα δὲ πλεῖστα ἐν ταύτῃ ξυνηνέχθη τῇ Ὀλυμπιάδι. καὶ Ῥωμαίων τῷ τρίτῳ αὐτῆς ἔτει ἀπετιμήθησαν μυριάδες ἐνενήκοντα καὶ μία. καὶ Σινατρούκην τὸν Πάρθων βασιλέα τελευτήσαντα διεδέξατο Φραάτης ὁ ἐπικληθεὶς θεός. καὶ Φαῖδρον τὸν Ἐπικούρειον διεδέξατο Πάτρων. καὶ Οὐεργίλιος Μάρων ὁ ποιητὴς ἐγεννήθη τούτου τοῦ ἔτους, εἰδοῖς Ὀκτωβρίαις. 147 H. τῷ δὲ τετάρτῳ ἔτει Τιγράνης καὶ Μιθριδάτης ἀθροίσαντες πεζοὺς μὲν τέσσαρας μυριάδας ἱππέας δὲ τρεῖς, καὶ τὸν Ἰταλικὸν αὐτοὺς τάξαντες τρόπον, ἐπολέμησαν Λευκόλλῳ· καὶ νικᾷ Λεύκολλος, καὶ πεντακισχίλιοι μὲν τῶν μετὰ Τιγράνους ἔπεσον, πλείους δὲ τούτων ᾐχμαλωτίσθησαν, χωρὶς τοῦ ἄλλου σύγκλυδος ὄχλου. καὶ τὸ Καπιτώλιον ἐν Ῥώμῃ Κάτλος καθιέρωσε. καὶ Μέτελλος ἐπὶ τὸν Κρητικὸν πόλεμον ὁρμήσας, τρία τάγματα ἔχων, ἦλθεν εἰς τὴν νῆσον, καὶ μάχῃ νικήσας τὸν Λασθένη αὐτοκράτωρ ἀνηγορεύθη, καὶ τειχήρεις κατέστησε τοὺς Κρῆτας. καὶ Ἀθηνόδωρος πειρατὴς ἐξανδραποδισάμενος Δηλίους τὰ τῶν λεγομένων θεῶν ξόανα διελυμήνατο· Γάϊος δὲ Τριάριος τὰ λελωβημένα τῆς πόλεως ἐπισκευάσας ἐτείχισε τὴν Δῆλον.

Μέχρι μὲν οὖν ταύτης μοι τῆς Ὀλυμπιάδος ἐν λόγοις πέντε ἡ ἀνάγνωσις γέγονεν. ἔστι δὲ τὴν φράσιν οὔτε λίαν χαμαιπετὴς οὔτε τὸν Ἀττικὸν ἐς τὸ ἀκριβὲς διασώζων χαρακτῆρα. ἄλλως τε δὲ καὶ ἡ περὶ τὰς Ὀλυμπιάδας καὶ τὰ ἐν αὐταῖς τῶν ἀγωνισμάτων ὀνόματα καὶ πράξεις καὶ ἡ περὶ τοὺς χρησμοὺς ἄκαιρος φιλοπονία τε καὶ φιλοτιμία, εἰς κόρον ἀπάγουσα τὸν ἀκροατὴν καὶ μηδὲν ἄλλο τῶν ἐν τῷ λόγῳ προκύπτειν συγχωροῦσα, ἀηδῆ τε τὸν λόγον δεικνύει καὶ χάριτος οὐδὲν ἔχειν παρατίθησι. χρησμοῖς δὲ παντοίοις ἐς ὑπερβολὴν ἐστι κεχρημένος.

98.

Ἀνεγνώσθη ἱστορικὸν λόγοις ἓξ ΖΩΣΙΜΟΥ κόμητος ἀπὸ φισκοσυνηγόρου. ἔστι τὴν θρησκείαν ἀσεβὴς καὶ πολλάκις ἐν πολλοῖς ὑλακτῶν κατὰ τῶν εὐσεβῶν, σύντομος δὲ καὶ τὴν φράσιν καὶ εὐκρινής τε καὶ καθαρός, 272 R. οὐδὲ τοῦ ἡδέος ἀπῳκισμένος. ἄρχεται μὲν τῆς ἱστορίας, ὡς ἄν τις εἴποι, ἀπὸ Αὐγούστου, ἐπιτρέχει δὲ πάντας τοὺς μέχρι Διοκλητιανοῦ, ψιλὴν ὥσπερ τὴν ἀνάῤῥησιν καὶ τὴν διαδοχὴν αὐτῶν ἀφηγούμενος. ἀπὸ δὲ Διοκλητιανοῦ πλατύτερον περὶ τῶν βεβασιλευκότων διαλαμβάνει ἐν βιβλίοις πέντε· τὸ γοῦν πρῶτον τοὺς μέχρι Διοκλητιανοῦ ἀπὸ Αὐγούστου ἀριθμεῖται. καὶ πληροῖ τὴν ἕκτην βίβλον ἐν ἐκείνοις ἀπαρτιζομένην τοῖς χρόνοις, ἐν οἷς Ἀλάριχος τὴν Ῥώμην τὸ δεύτερον πολιορκῶν, καὶ τῶν ἐνοικούντων ἀπορουμένων, λύει τὴν πολιορκίαν, βασιλέα τούτοις Ἄτταλον ἀνειπών. εἶτα δὲ καὶ τῆς βασιλείας τοῦτον παραλύσας διὰ τὸ μὴ δοκεῖν εὖ διατίθεσθαι τὰ τῆς ἐγκεχειρισμένης αὐτῷ βασιλείας, πρὸς Ὀνώριον τὸν βασιλέα κατὰ τὴν Ῥάβενναν διατρίβοντα ἐφ' ᾧ σπείσασθαι ᾤετο. ἀλλὰ Σάρος, Γότθος καὶ αὐτός, διάφορος ὢν Ἀλαρίχῳ, ἔχων τε ὑπ' αὐτὸν ἄχρι τριακοσίων καὶ προστεθεὶς Ὀνωρίῳ καὶ συμπολεμεῖν αὐτῷ κατὰ Ἀλαρίχου διατεινόμενος, ἐμποδὼν ἔστη. καὶ ἡ μὲν ἕκτη αὐτῷ ἱστορία ὧδε τελευτᾷ.

Εἴποι δ' ἄν τις οὐ γράψαι αὐτὸν ἱστορίαν, ἀλλὰ μεταγράψαι τὴν Εὐναπίου, τῷ συντόμῳ μόνον διαφέρουσαν, καὶ ὅτι οὐχ, ὥσπερ ἐκεῖνος, οὕτω καὶ οὗτος Στελίχωνα διασύρει· τὰ δ' ἄλλα κατὰ τὴν ἱστορίαν 148 H. σχεδόν τι ὁ αὐτός, καὶ μάλιστα ἐν ταῖς τῶν εὐσεβῶν βασιλέων διαβολαῖς: δοκεῖ δέ μοι καὶ οὗτος δύο ἐκδόσεις, ὥσπερ κἀκεῖνος, πεποιηκέναι. ἀλλὰ τούτου μὲν τὴν προτέραν οὐκ εἶδον· ἐξ ὧν δέ, ἣν ἀνέγνωμεν, ἐπέγραφε „νέας ἐκδόσεως" συμβαλεῖν ἦν καὶ ἑτέραν αὐτῷ, ὥσπερ καὶ τῷ Εὐναπίῳ, ἐκδεδόσθαι. σαφὴς δὲ μᾶλλον οὗτος καὶ συντομώτερος, ὥσπερ ἔφημεν, Εὐναπίου, καὶ ταῖς τροπαῖς, εἰ μὴ σπάνιον, οὐ κεχρημένος.

99.

Ἀνεγνώσθησαν ἩΡΩΔΙΑΝΟΥ ἱστορικοὶ λόγοι ὀκτώ. ἄρχεται ἐξ οὗ Μάρκος ὁ Ῥωμαίων βασιλεὺς ἐτελεύτησε, καὶ διέξεισιν ὅπως τε Κόμοδος ὁ Μάρκου υἱὸς

a. 2. Μιλ. καὶ ὁπλίτην ς. 6. Κλητεία ς. 7. Πηλείου ς. Λεύκολος δὲ ἀμισὸν ς. 17. Φράτης ς. 18. Οὐΐργίλιος ς. 21. ἱππέων ς. 23. Λευκούλλῳ — Λεύκουλλος ς. 25. συγκλύδους ς. 29. Λασθένη ς. 39. καὶ τὰς πράξεις Cς. 42. τε σχεδὸν τὸν ς. b. 5. φησκοσυνηγόρου A. 8. τῆς Αι τὰς ς. 21. πείσασθαι εἴετο. ἀλλ' Ἄσαρος ς.

ἐβασίλευσεν, ὅπως τε τῶν πατρῴων ἠθῶν ὑπὸ τῶν κολάκων ἐκδιαιτηθεὶς ὕϛερον ὑπὸ Μαρκίας τῆς αὐτȣ̃ παλλακῆς καὶ Λαίτȣ ϗ Ἐκλέκτου συσκευασθεὶς ἀνῃρέθη. ϗ βασιλεύει Περτίναξ πρεσβύτης ϗ καλὸς τὰ ἤθη· ὃν οἱ ϛρατιῶται, ἀπεχθανόμενοι τὸ σῶφρον, εἰσδραμόντες ἐν τῇ βασιλικῇ κτείνȣσιν οἰκίᾳ. ϗ ὅπως Ἰȣλιανὸς ὑπὸ τῶν ϛρατιωτῶν χρήμασι λαβὼν τὴν ἀρχήν, μετ' ȣ̓ πολὺ ταῖς αὐτῶν ἀνῃρέθη χερσίν. ὅπως τε Νίγρος, ἀνὴρ ἐπιεικὴς εἶναι δοκῶν, ζῶντος ἔτι Ἰȣλιανȣ̃ εἰς μοναρχίαν ἤρθη. καὶ Σεβῆρος δέ, ἀνὴρ ἀγχίνȣς τε ϗ πόνοις δεινὸς ἐγκαρτερεῖν ϗ βαθυγνώμων ἄλλως, ἀνῆλθέ τε εἰς τὴν βασίλειον ἀρχήν, καὶ Νίγρον μάχῃ νικᾷ καὶ ἀναιρεῖ, καὶ πᾶν τὸ ἀντιϛάτȣν ἢ μάχαις βιαίοις ἢ τέχναις δυσδιαφύκτοις ὑπηγάγετο, καὶ τῶν ὑπηκόων ἐπὶ τὸ σοβαρώτερον ἦρξε προϊών, καὶ τελευτᾷ νόσῳ τὸν πρὸς Βρεττανȣ̀ς διαχειρίζων πόλεμον. ϗ Ἀντωνῖνος ὁ τῶν αὐτȣ̃ παίδων πρεσβύτερος σπονδὰς πρὸς αὐτȣ̀ς θέμενος ἀναχωρεῖ, ϗ συμβασιλεύοντα ϗ ἄκων λαμβάνει τὸν ἀδελφὸν Γέταν, 273 R. ϗ μετ' ȣ̓ πολὺ Ἰȣλίας τῆς αὐτῶν μητρὸς πρὸς τοῖς κόλποις τȣ̃τον ἀναιρεῖ, καὶ εἰς ὠμότητα καὶ αἰσχρότητα ὑπερβαλέσθαι πάντας φιλονεικήσας περὶ Συρίαν διάγων ἐπιβȣλεύεται· Μακρῖνος δ' ἦν ὁ τὴν ἐπιβουλὴν συσκευάζων, δεδιὼς καὶ αὐτὸς θάνατον καὶ προλαμβάνειν ἀγωνισάμενος. ἐπεὶ δὲ ἀνῄρητο Ἀντωνῖνος, βασιλεύει Μακρῖνος, ἀνὴρ πρεσβύτης καὶ μελλητὴς καὶ οὐδ' ἐγκράτειαν ἀσκῶν, τὰ δ' ἄλλα δοκῶν ἐπιεικής. τῆς δὲ Μαίσης, ἥτις ἦν Ἰȣλίας ἀδελφή, δύο θυγατέρας ἐχȣ́σης, Σοαιμίδα καὶ Μαμαίαν, καὶ τῆς μὲν ἐχȣ́σης παῖδα ὄνομα Βασσιανόν, τῆς δὲ Ἀλεξῖνον, οἳ ἐξ Ἀντωνίνȣ λαθραίαις μίξεσιν ἐλέγοντο γεγεννῆσθαι, τὸ ϛρατιωτικὸν μικρᾶς λαβόμενοι προφάσεως ἐν τῷ σφῶν ἀναγορεύουσι ϛρατοπέδῳ τὸν Βασσιανόν, μετονομάσαντες Ἀντωνῖνον· καὶ μάχαις ἡττηθεὶς Μακρῖνος καὶ φεύγων ἐκ τῶν μεθορίων Φοινίκης τε καὶ Συρίας τὴν Χαλκηδόνα κατέλαβε, πρὸς τὴν Ῥώμην ἐκεῖθεν ἀφικέσθαι διανοȣ́μενος· ἀλλ' ἐπικαταλαβόντες αὐτὸν οἱ τȣ̃ Ἀντωνίνȣ ἐπὶ τȣ̃το ἀπεϛαλμένοι τέμνȣσί τε τὴν κεφαλὴν καὶ ὀπίσω ἀποκομίζȣσιν. Ἀντωνῖνος δέ, ἕως μὲν ἐπείθετο τῇ μάμμῃ, ἐσωφρόνει, καὶ ποιεῖται καὶ τὸν 169 H. Ἀλεξῖνον υἱόν τε ἅμα καὶ Καίσαρα, εἰς Ἀλέξανδρον μετακληθέντα· ἐπεὶ δὲ τοῖς κόλαξιν ἑαυτὸν ἐξέδωκεν, ȣ̓δεμίαν ὑπερβολὴν αἰσχρότητος καὶ ἀκρασίας ἀπέλιπεν. ἐπιβȣλεύειν δὲ καὶ Ἀλεξάνδρῳ ἐπιχειρήσας ὑπὸ τῶν ϛρατιωτῶν ἀνεκόπη· ὁ δὲ τȣ́τȣς τιμωρήσασθαι διανοηθεὶς ὑπ' αὐτῶν ἀνῃρέθη. ἐβασίλευσέ τε Ἀλέξανδρος ὁ Μαμαίας ἔτη ιδ', καὶ τό γε ἐπ' αὐτῷ καλῶς τε καὶ ἐπιεικῶς ἄρξας, καὶ χωρὶς αἱμάτων ὅλως· τῆς δὲ μητρὸς Μαμαίας, ὥς φησιν, ἥ τε φιλοχρηματία καὶ τὸ μικρολόγον εἰς σφαγὴν αὐτὸν τὴν ὑπὸ τῶν στρατιωτῶν σὺν αὐτῇ, Μαξιμίνου ἀναῤῥηθέντος, ἀπήνεγκεν. ἦρχε δὲ Μαξιμῖνος ἐπὶ ἔτη τρία ἐμβριθῶς τε καὶ τυραννικῶς, ἀνὴρ ὑπερμεγέθης καὶ τὸ ἦθος ὠμός. διόπερ τὸν Λιβύης ὑπάρχοντα ὑπ' αὐτȣ̃ καταϛάντα καὶ ὅμοιον ὄντα τοῖς τρόποις οἱ ἐκεῖσε ϛασιάσαντες καὶ ἀνελόντες, Γορδιανὸν ἀνθύπατον γεγονότα καὶ ὀγδοηκοϛὸν ἄγοντα ἔτος χειροτονȣ̃σι καὶ ἄκοντα βασιλέα. καὶ ἡ Ῥώμη περιχαρῶς αὐτȣ̃ τὴν ἀνάῤῥησιν δεξαμένη, πάσας τȣ̃ Μαξιμίνȣ τιμὰς καθεῖλε. συνανεῖπον δὲ αὐτῷ καὶ υἱὸν Γορδιανȣ̃ Γορδιανὸν βασιλέα. Μαξιμίνȣ δὲ παρασκευαζομένȣ πρὸς πόλεμον, ϗ Γορδιανὸς ἅμα τῷ υἱῷ τὴν Καρχηδόνα καταλαβὼν καὶ ἐν ἀπογνώσει τῶν ὅλων γεγονὼς βρόχῳ ἀνεπαύσατο τȣ̃ βίȣ· ὁ δὲ παῖς τῆς πρὸς Μαξιμῖνον μάχης κροτȣμένης ἀναιρεθεὶς ἠφανίσθη. οἱ δὲ Ῥωμαῖοι τῷ πάθει τȣ́των ὑπεραλγήσαντες, καὶ δεδιότες καὶ μισȣ̃ντες Μαξιμῖνον, ἀναγορεύȣσιν ἐν Ῥώμῃ Βαλβῖνόν τε καὶ Μάξιμον· καθ' ὧν ϛάσεως ὑπὸ τῶν ϛρατιωτῶν ἀνεγειρομένης συμβασιλεύει τȣ́τοις καὶ Γορδιανός, ἀπόγονος Γορδιανȣ̃ τȣ̃ πρώτȣ, κομιδῇ παῖς, θυγατρὸς υἱός. καὶ Μαξίμȣ ἐξιόντος κατὰ Μαξιμίνȣ ἀναιρεῖται Μαξιμῖνος ὑπὸ τῶν οἰκείων ϛρατιωτῶν, ϗ κομίζεται πρὸς Μάξιμον ἡ κεφαλή, εἶτα καὶ πρὸς αὐτὴν Ῥώμην. ȣ̓ πολὺ τὸ ἐν μέσῳ, καὶ οἱ ϛρατιῶται ϛασιάσαντες ἐξάγȣσι τῶν βασιλείων Βαλβῖνον καὶ Μάξιμον, καὶ πᾶσαν αὐτοὺς 276 R. αἰκίαν αἰκισάμενοι ἀναιρȣ̃σι, μόνον ἀνειπόντες βασιλέα Γορδιανόν, περὶ ἔτη τρισκαίδεκα γεγονότα· ἐν οἷς καὶ ὁ ὄγδοος τελειȣ̃ται λόγος.

Ἔϛι δὲ τὴν φράσιν σαφὴς καὶ λαμπρὸς καὶ ἡδύς, καὶ λέξει χρώμενος σώφρονι, μήτε ὑπεραττικιζȣ́σῃ καὶ τὴν ἔμφυτον ἐξυβριζȣ́σῃ χάριν τȣ̃ συνήθȣς, μήτε πρὸς τὸ ταπεινὸν ἐκλελυμένῃ καὶ τὴν ἔντεχνον ὑπερορώσῃ γνῶσιν. ȣ̓́τε δὲ περιττολογίαις ἐϛὶ σεμνυνόμενος, ȣ̓́τε τι τῶν ἀναγκαίων παραλιμπάνων, καὶ ἁπλῶς ἐν πά-

a. 6. οἰκείᾳ ϛ. 10. σευῆρος ϛ. 16. Βρετανοὺς ϛ. 24. παρασκευάζων ϛ. 30. ὀνόματι Βασιανὸν ϛ. 33. μετονομ. αὐτὸν Ἀντ. ϛ. 37. αὐτὸν add A. 38. τούτῳ ϛ. 41. ἀλεξιανὸν A. b. 1. ὑπερβολὴν post ἀκρασίας ponit ϛ. 5 et 7. Μαμμαίας ϛ. 11. τε add A. 14. ἀνελθόντες ϛ. 20. χαλκηδόνα ϛ. 42. ἁπλῶς] ἁπλῶς στορικῶν A.

σαις ταῖς κατὰ τὴν ἱστορίαν ἀρεταῖς οὐ πολλῶν ἐστὶ δεύτερος.

100.

Ἀνεγνώσθη ΑΔΡΙΑΝΟΥ τοῦ βασιλέως μελέται διάφοροι, εἰς τὸ μέτριον τοῦ λόγου ἀνηγμέναι ϗ οὐκ ἀηδεῖς.

101.

Ἀνεγνώσθησαν ΒΙΚΤΩΡΙΝΟΥ τοῦ Λαμπαδίου (Ἀντιοχεὺς δὲ οὗτος) ὑπατικοὶ λόγοι διάφοροι, καὶ βασιλικοὶ δὲ εἰς Ζήνωνα τὸν βασιλέα, ἐφ' οὗ καὶ εἰς βαθὺ
150 H. γῆρας ἦν ἐληλακώς. τὴν δὲ φράσιν τό τε σαφὲς καὶ τὸ ἀπέριττον καὶ τὸ σύνηθες ἐπικοσμεῖ.

102.

Ἀνεγνώσθη ἐν μονοβίβλῳ ΓΕΛΑΣΙΟΥ, ἐπισκόπου Καισαρείας τῆς Παλαιστίνης, κατὰ Ἀνομοίων. ἔστι δὲ τὴν φράσιν ἀπέριττός τε καὶ σύντονος, καὶ ἐξηττικισμέναις λέξεσι κεχρημένος, καὶ ἀξιώμασιν ἀπηκριβωμένος, καὶ οὐδὲ τοῖς ἐπιχειρήμασιν ἄπορος, καὶ πάντα καλὸς εἰ μὴ ὅτι κατακόρως ϗ μειρακιωδῶς, ὡς ἄρτι παρακύπτων εἰς τοὺς διαλεκτικοὺς λόγους, τοῖς τῆς λογικῆς τέχνης ϗ κανόσι ϗ αὐταῖς ἀπεχρήσατο λέξεσιν, εἰ ϗ ἀπολογίαν τῆς τοιαύτης ἀκαιρολογίας ἐνυφαίνει τῷ συγγράμματι· ὅπερ γὰρ εἰς ἀπολογίαν αὐτὸν καθιστάνειν ἔγνω, οὐδὲ τὴν ἀρχὴν ἐχρῆν αὐτὸ μεταχειρίζεσθαι. ϗ ἡ τάξις δὲ τοῦ λόγου οὐκ ἀνεπίμωμος.

Ἐμπεριείχετο δὲ τῇ δέλτῳ ϗ ΔΙΟΔΩΡΟΥ Ταρσοῦ περὶ τοῦ ἁγίου πνεύματος διάφορα ἐπιχειρήματα, ἐν οἷς ϗ τὴν Νεστορίου νόσον αὐτὸς ἐπιδείκνυται προηῤῥωστηκώς.

103.

Ἀνεγνώσθη ΦΙΛΩΝΟΣ τοῦ Ἰουδαίου νόμων ἱερῶν ἀλληγορίαι καὶ περὶ βίου πολιτικοῦ.

104.

Ἀνεγνώσθησαν δὲ καὶ τῶν παρὰ Ἰουδαίοις φιλοσοφησάντων τήν τε θεωρητικὴν καὶ τὴν πρακτικὴν φιλοσοφίαν βίοι· ὧν οἱ μὲν Ἐσσηνοὶ οἱ δὲ θεραπευταὶ ἐκαλοῦντο, οἳ καὶ μοναστήρια καὶ σεμνεῖα, ὡς αὐταῖς λέξεσι λέγει, ἐπήγνυντο, καὶ τῶν νῦν μοναζόντων τὴν πολιτείαν προϋπέγραφον.

105.

277 R. Ἀνεγνώσθη δὲ αὐτοῦ ϗ λόγος οὗ ἡ ἐπιγραφὴ „Γάϊος ψεγόμενος" καὶ „Φλάκκος ἢ Φλάκκων ψεγόμενος·" ἐν οἷς λόγοις μᾶλλον τῶν ἄλλων ἥ τε κατὰ τὴν ῥητορείαν ῥώμη καὶ τὸ κάλλος ἐπιφαίνεται αὐτοῦ τῶν λόγων. ἁμαρτάνει δὲ ἐν πολλοῖς, ἰδέας τε ὑποτιθέμενος, καὶ ἀλλ' ἄττα τῆς Ἰουδαϊκῆς φιλοσοφίας ἀλλότρια συγγραφόμενος. ἐν δὲ τοῖς χρόνοις ἤκμασε Γαΐου τοῦ Καίσαρος, πρὸς ὃν καὶ ὑπὲρ τοῦ ἰδίου ἔθνους γράφει πρεσβεῦσαι Ἀγρίππα τῆς Ἰουδαίας βασιλεύοντος. φέρεται δὲ αὐτοῦ πολλὰ καὶ ποικίλα συντάγματα, ἠθικοὺς λόγους περιέχοντα καὶ τῆς παλαιᾶς ὑπομνήματα, τὰ πλεῖστα πρὸς ἀλληγορίαν τοῦ γράμματος ἐκβιαζόμενα· ἐξ οὗ οἶμαι καὶ πᾶς ὁ ἀλληγορικὸς τῆς γραφῆς ἐν τῇ ἐκκλησίᾳ λόγος ἀρχὴν ἔσχεν εἰσρυῆναι. λέγεται δὲ αὐτὸν καὶ τὰ Χριστιανῶν μυηθέντα ὕστερόν τούτων διά τινα λύπην καὶ ὀργὴν ἐκπεσεῖν· ἀλλὰ πρότερόν γε αὐτόν φασιν, ἐπὶ Κλαυδίου τὴν Ῥώμην καταλαβόντα, Πέτρῳ τῷ κορυφαίῳ τῶν ἀποστόλων ἐντυχεῖν ϗ φιλίως διατεθῆναι, ἐξ οὗ καὶ τοὺς μαθητὰς Μάρκου τοῦ εὐαγγελιστοῦ (ἀκροατὴς δ' ὁ Μάρκος Πέτρου) μνήμης καὶ εὐφημίας ἀξιῶσαι· ἐκείνους γὰρ λέγειν αὐτόν φασι παρὰ Ἰουδαίοις πεφιλοσοφηκέναι. ὧν ϗ τὰς διατριβὰς μοναστήριά τε καλεῖ, καὶ τὸν ἀσκητικὸν διανύειν αὐτοὺς ἀνακηρύττει βίον, νηστείᾳ καὶ προσευχῇ καὶ ἀκτησίᾳ
προσανέχοντας. ἔστι δὲ τὸ γένος ἐξ ἱερέων καταγόμε- 161 H.
νος, Ἀλεξανδρεὺς δὲ τὴν πατρίδα. τοσοῦτον δ' αὐτὸν τοῖς Ἑλληνισταῖς παραχεῖν θαῦμα τῆς ἐν τοῖς λόγοις δυνάμεως, ὡς καὶ λέγειν αὐτοὺς „ἢ Πλάτων φιλωνίζει, ἢ Φίλων πλατωνίζει."

106.

Ἀνεγνώσθησαν ΘΕΟΓΝΩΣΤΟΥ Ἀλεξανδρέως 280 R.
λόγοι ἑπτά· οὗ ἡ ἐπιγραφὴ „τοῦ μακαρίου Θεογνώστου Ἀλεξανδρέως καὶ ἐξηγητοῦ ὑποτυπώσεις." ἐν μὲν οὖν τῷ πρώτῳ λόγῳ διαλαμβάνει περὶ τοῦ πατρός, ϗ ὅτι ἐστὶ δημιουργὸς ἐπιχειρῶν δεικνύναι, ϗ κατὰ τῶν ὑποτιθέντων συναΐδιον ὕλην τῷ θεῷ. ἐν δὲ τῷ δευτέρῳ τίθησι μὲν ἐπιχειρήματα δι' ὧν δεῖν φησὶ τὸν πατέρα ἔχειν υἱόν, υἱὸν δὲ λέγων κτίσμα αὐτὸν ἀποφαίνει, καὶ τῶν λογικῶν μόνων ἐπιστατεῖν, καὶ ἀλλ' ἄττα, ὥσπερ Ὠριγένης, ἐπιφέρει τῷ υἱῷ, εἴτε ὁμοίως ἐκείνῳ δυσσεβείᾳ ἑαλωκώς, εἴτε (ὡς ἄν τις εἴποι) ἐκβιασάμενος τὴν ὑπὲρ αὐτοῦ ἀπολογίαν, ἐν γυμνασίας λόγῳ καὶ οὐ δόξης ταῦτα προτιθείς, ἢ καὶ πρὸς τὴν τοῦ ἀκροατοῦ ἕξιν καὶ ἀσθένειαν, ἀμυήτου παντελῶς, εἰ τύχοι, ὄντος τοῦ τῶν Χριστιανῶν θειασμοῦ καὶ μὴ δυ-

a. 15. σύντονος] malim σύντομος. cf. p. 91 a 15. 18. μειρακοειδῶς ς. 22. αὐτῶν corr A. 31. ἀλληγορίαι ς. 33. καὶ add A. b. 1. φαίνεται ς. 2. ὑπερτιθέμενος ς. 10. ὁ om A. 11. ἔσχεν ἀρχὴν ς. 16. τοὺς μαθητὰς corr A: τῶν μαθητῶν ς. 18. αὐτὸν add A. φασι mg: φησι ς. 25. cf. Suid. vol. 1. p. 11, 10. 37. ἐπιφορεῖ A. 38. ἂν om A.

Digitized by Google

ταμένου δέξασθαι τὴν τῆς θρησκείας ἀκρίβειαν, ὑποκατασπώμενος τῆς ἀληθείας, καὶ τὴν ὁπωσδήποτε γνῶσιν νέου τῆς παντελοῦς ἀνηκοΐας καὶ ἀγνωσίας λυσιτελεστέραν νομίζων εἶναι τῷ ἀκροατῇ. ἀλλὰ διαλέξει μὲν ἡ τοιαύτη καταφυγὴ τοῦ μὴ λέγειν ὀρθῶς καὶ ἀναχώρησις οὐκ ἂν ἀπίθανος οὐδὲ ψόγου ἐχομένη δόξῃ· τὰ πολλὰ γὰρ τῇ τοῦ προσδιαλεγομένου γνώμῃ καὶ δόξῃ καὶ ἰσχύϊ διαπράττεται· ἐγγράφου δὲ λόγου καὶ κοινοῦ προκεῖσθαι μέλλοντος ἅπασι νόμου, εἴ τις τῆς ἐν αὐτῷ βλασφημίας τὴν προειρημένην εἰς ἀθώωσιν ἐπιφέρει ἀπολογίαν, εἰς ἀσθενῆ κατέδραμε συνηγορίαν. ὥσπερ δὲ ἐν τῷ δευτέρῳ, οὕτω καὶ ἐν τῷ τρίτῳ λόγῳ περὶ τοῦ ἁγίου πνεύματος διαλαμβάνων τίθησι μὲν ἐπιχειρήματα τὴν τοῦ παναγίου πνεύματος ὕπαρξιν δεικνύειν ἀποπειρώμενος, τὰ δ' ἄλλα, ὥσπερ Ὠριγένης ἐν τῷ περὶ ἀρχῶν, οὕτω καὶ αὐτὸς ἐνταῦθα παραληρεῖ. ἐν δὲ τῷ τετάρτῳ περὶ ἀγγέλων καὶ δαιμόνων ὁμοίως ἐκείνῳ κενολογεῖ, καὶ σώματα αὐτοῖς λεπτὰ ἀμφιέννυσιν. ἐν δὲ τῷ πέμπτῳ καὶ ἕκτῳ περὶ τῆς ἐνανθρωπήσεως τοῦ σωτῆρος διαλαμβάνων ἐπιχειρεῖ μέν, ὡς ἔθος αὐτῷ, δυνατὴν εἶναι δεικνύναι τὴν ἐνανθρώπησιν τοῦ υἱοῦ, πολλὰ δὲ ἐν αὐτοῖς κενοφωνεῖ, καὶ μάλιστα ὅταν ἀποτολμᾷ λέγειν ὅτι τὸν υἱὸν φανταζόμεθα ἄλλοτε ἐν ἄλλοις τόποις περιγραφόμενον, μόνῃ δὲ τῇ ἐνεργείᾳ μὴ περιγραφόμενον. ἐν δὲ τῷ ἑβδόμῳ, ὃ καὶ περὶ θεοῦ δημιουργίας ἐπιγράφει, εὐσεβέστερόν πως περί τε τῶν ἄλλων διαλαμβάνει, καὶ μάλιστα πρὸς τῷ τέλει τοῦ λόγου περὶ τοῦ υἱοῦ. ἔστι δὲ τὴν φράσιν ἀπέριττος καὶ βαθύς, καλλιλεξίᾳ τε ὡς ἐν Ἀττικῷ καὶ συνήθει χρώμενος λόγῳ, καὶ τοῦ συνήθους οὐδ' ἐν ταῖς συντάξεσιν ἀναχεχωρηκώς. τοῦ μέντοι μεγέθους δι' ἐνάργειαν καὶ ἀκρίβειαν τῶν ῥημάτων οὐ καταφέρεται. ἤκμασε δὲ

## 107.

MR. bH. „Ἀνεγνώσθη ΒΑΣΙΛΕΙΟΥ, πρεσβυτέρου Κίλικος, κατὰ Ἰωάννου τοῦ Σκυθοπολίτου, ὃν καὶ δικολόγον λέγει καὶ μυρία ἄλλα αὐτοῦ καταγράφει, ὅτι τε ἐν ὑπονοίᾳ γέγονεν μανιχαϊσμοῦ, καὶ ὅτι τὴν ἁγίαν τεσσαρακοστὴν εἰς τρεῖς ἑβδομάδας συγκλείων οὐδὲ ἐν ταύταις τῆς ἐκ τῶν πτηνῶν κρεοφαγίας ἀπείχετο, καὶ ὡς Ἑλληνικαῖς τελεταῖς συνήγετο, καὶ ὅτι ὡς ἐπίπαν ὑπὸ γαστριμαργίας ἐλαυνόμενος οὐδέποτε ἐκοινώνει τῆς ἱερουργίας τελειουμένης, ἀλλὰ μετὰ τὸ εὐαγγέλιον παισὶν ἅμα τῶν μυστηρίων μετελάμβανε, καὶ παραυτίκα πρὸς τὴν τράπεζαν ἀπέτρεχε. ταῦτα κατὰ τοῦ ἀνδρὸς σχεδόν τι δι' ὅλης αὐτοῦ τῆς βίβλου κατασπείρων ἐνασελγαίνει. τὸ δὲ σύγγραμμα δραματικὸν ποιεῖται· προσφωνεῖ δὲ αὐτὸ πρός τινα Λεόντιον αἰτησάμενον. τὰ δὲ τοῦ δράματος εἰσάγει πρόσωπα Λαμπάδιον μὲν ὑπερμαχοῦντα αὐτοῦ, Μαρῖνον δέ τινα ὡς δῆθεν ὑπὲρ τοῦ Ἰωάννου ἀγωνιζόμενον, ὃς καὶ μετά τινας διαλέξεις εἰσάγεται αὐτῷ καταγινώσκων μὲν οὗ ἐδόκει προσώπου ὑπερασπίζεσθαι, Λαμπαδίῳ δὲ προστιθέμενος· μεθ' ὃν Ταράσιόν τινα τὸν ἀγῶνα ὑπεισελθεῖν ὑποκρίνεται, ἐκεῖνα δὴ τούτους καὶ ἐρωτᾶν καταχηματίζων καὶ ἀποκρίνεσθαι, ἃ συνοίσειν μὲν ἑαυτῷ, μῶμον δὲ καὶ ἀπορίαν τῷ συνηγορουμένῳ δῆθεν ἑώρα κατασκευάζοντα. ἑξκαίδεκα δὲ λόγοις τὸ σύγγραμμα διαιρεῖ, καὶ ἐν μὲν τοῖς τρισὶ καὶ δέκα τὸν διαλογικὸν εἰσάγει τύπον, κατὰ τοῦ πρώτου μόνου τῶν Ἰωάννου λόγων τοσαύτην σπουδὴν καὶ πόνον εἰσενεγκάμενος, ἐν δὲ τοῖς λοιποῖς τρισὶ καταδρομὴν ποιεῖται τῶν ἐν τῷ δευτέρῳ καὶ τρίτῳ λόγῳ ῥηθέντων τῷ Ἰωάννῃ.

Ἐν μὲν οὖν τῷ πρώτῳ λόγῳ τὸν πρόλογον ἀπαρτίσας, κατὰ δύο κεφαλαίων ἵσταται, καθ' ἑνὸς μὲν τοῦ ὅτι ὁ λόγος ἔπαθε σαρκί, καθ' ἑτέρου δὲ τοῦ ὅτι ταὐτόν ἐστι τὸ λέγειν Χριστὸν τῷ λέγειν θεόν. ἐν δὲ τῷ β' λόγῳ ὅτι τε μάτην ἐλοιδορήθη πειρᾶται δεικνύναι, καὶ ὅτι τὸ „ἀναβήσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί" κακῶς ὁ Σκυθοπολίτης Ἰωάννης ἐξελάβετο. ἐν δὲ τῷ γ' ὡς δῆθεν συζητεῖ ὅπως δεῖ νοεῖν τὸ „νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ" καὶ τὰ ἑξῆς τοῦ ῥητοῦ. ἐν δὲ τῷ δ', πῶς ἴδιον λέγεται τοῦ θεοῦ τὸ σῶμα, καὶ περὶ ἑνώσεως, καὶ περὶ τοῦ „ἔχρισέ σε ὁ θεός, ὁ θεός σου," καὶ περὶ τοῦ „ἐγὼ ἁγιάζω ἐμαυτόν·" ἐν ᾧ λόγῳ καὶ ὁ Μαρῖνος τῆς ὡς δῆθεν ἀποστὰς ἀντιλογίας τῷ Λαμπαδίῳ συντίθεται. ἐν δὲ τῷ ε', ἔνθα καὶ ὁ Ταράσιος ἀναδέχεσθαι τὸν ἀγῶνα ἀντὶ Μαρίνου ὑποκρίνεται, τὰς κατὰ τοῦ Ἰωάννου κατηγορίας ἀναλαμβάνει πικρότερον, καὶ ὁ λόγος αὐτῷ σχεδόν τι ἐν ταύταις καταναλίσκεται. ἐν δὲ τῷ ϛ' δριμύτερόν πως κατατρέχει τῆς κατὰ Χριστὸν τὸν σωτῆρα ἡμῶν ἑνώσεως·

a. 3. εἶναι νομίζων λυσιτελεστέραν ς. 4. τῷ add *A*. 6. δόξῃ οὐδὲ ἐχομένη ψόγου. 9. ἅπασι νόμου *A*: νόμου τοῖς πᾶσιν ς. 14. δεικνύειν ὕπαρξιν ς. 18. καινολογεῖ ς. 20. διαλαμβάνειν *A*. 21. δυνατὴν εἶναι δεικνύναι post υἱοῦ ponit ς. 33. ἤκμασε δὲ om *A*, habet *C*. 39. ἐκ add *A*. b. 6. δραμ. ἤδη ποιεῖται ς. 9. ὡς *A*: φήσας ὡς ς. 25. ὁ add *A*. vid. 1. Petr. 4, 1. 26. τὸ om *A*. 28. ἀναβήσεται] Ies. 11, 1. 30. νῦν] Ioann. 13, 31. 32. λέγεται εἶναι ἴδιον ς. 34. ὁ θεὸς semel ponit ς. vid. Psalm. 45, 8. 35. ὁ add *A*. 36. Λαμπαδίῳ add rc *A*.

καὶ περὶ τοῦ „ἔχρισέ σε ὁ θεός, ὁ θεός σου," καὶ ὅπως ἡ κατ' αὐτὸν ἐκκλησία περὶ τοῦ ἐσαρκώθη δοξάζει. ἐν δὲ τῷ η' περὶ τοῦ „ὁ λόγος σὰρξ ἐγένετο" εἰς ἀτοπίας πολλὰς ἐκτραχηλίζεται, καὶ περὶ τοῦ „οὐδεὶς ἀναβέβηκεν 155 H. εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς 284 R. τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ." ἐν δὲ τῷ θ' περὶ τοῦ „ἡ δὲ πέτρα ἦν ὁ Χριστός," καὶ περὶ τοῦ „ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην πρὸ ὀφθαλμῶν ὑμῶν," καὶ περὶ τοῦ „ἡ πύλη αὕτη κεκλεισμένη ἔσται," πάντα ταῦτα δυσσεβῶς ἐκλαμβάνεται. ἐν δὲ τῷ ι' περὶ τοῦ „ὑμῖν ὁ λόγος τῆς σωτηρίας ἀπεστάλη," καὶ περὶ τοῦ „ὅς τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο," καὶ ὅτι „αἱ χεῖρες ὑμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς," καὶ περὶ τοῦ „οὕτως ἠγάπησεν ὁ θεὸς τὸν κόσμον ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ" καὶ ἑξῆς. ἐν δὲ τῷ ια' περὶ τοῦ „οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν·" „εἶτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη," καὶ περὶ τοῦ „ἀνάστα ὁ θεὸς κρίνων τὴν γῆν," καὶ περὶ τοῦ „ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα," καὶ πρὸς τοὺς λέγοντας μὴ δύνασθαι τοὺς ἀποστόλους διὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων διδάσκειν τἀληθές. ἐν δὲ τῷ ιβ', ὅτι εἷς τῆς τριάδος ὁ παθών, καὶ περὶ τοῦ „εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν," καὶ πῶς οὐ λέγομεν δύο Χριστούς, ἀσθενῶς καὶ κακοτρόπως ἀπολογεῖται, πρὸς τὸ οἰκεῖον μέντοι συμβαίνουσαν βούλημα τὴν ἀπολογίαν προάγει. ἐν δὲ τῷ ιγ' περὶ τοῦ πῶς οὐ δύο υἱοί· καίτοι ἐξ ὧν δοκεῖ ἀπολογεῖσθαι, ἀνάγκη λέγειν δύο υἱούς. ἐν ᾧ καὶ ὁ Ταράσιος ὡς δῆθεν ἐκνενικημένος σιωπᾷ, καὶ παύει καὶ ὁ Βασίλειος ἤτοι ὁ Λαμπάδιος τῆς κατὰ πεῦσιν καὶ ἀπόκρισιν σπουδῆς τὴν σχολήν, καὶ ποιεῖται τὸν ιδ' ιε' τε καὶ ις' λόγον διεξοδικωτέρῳ λόγῳ, καὶ κατατρέχει τῶν ἐν τῷ β' καὶ γ' βιβλίῳ εἰρημένων τῷ Ἰωάννῃ.

Ἦν δ' οὗτος ὁ Βασίλειος πρεσβύτερος, ὡς αὐτός φησι, τῆς κατὰ Ἀντιόχειαν ἐκκλησίας, ἀρχιερατεύοντος μὲν τῶν ἐκεῖσε Φλαβιανοῦ, Ῥωμαίων δὲ Ἀναστασίου βασιλεύοντος. ἔστι δὲ τὴν φράσιν χυδαῖος, καὶ μάλιστα ἐν τοῖς διαλογικοῖς αὐτοῦ οὐδὲ τῶν ἐκ τριόδου ῥημάτων ἀπέχεται· ἀλλ' οὐδὲ τὴν σύνταξιν ἀκριβής, ὥστε καὶ μέχρι τοῦ σφάλλειν καὶ σολοικισμοῖς κεχρῆσθαι πολλάκις ἐξάγεται· καὶ τὸ σαφὲς δέ, ὡς ἐν τοιούτοις, ἐπετήδευσε. τοῖς μέντοι κατὰ τῆς εὐσεβείας ἐπιχειρήμασι δριμύς τέ ἐστιν καὶ ἐντριβής, καὶ τὸν ὅλον βίον τούτοις, ὡς ἔοικε, τοῖς ματαίοις κατὰ τῆς εὐσεβείας πόνοις ἐγκατασαπείς. καὶ τὴν αἵρεσιν δὲ Νεστορίου νοσῶν Νεστόριον μὲν οὐκ οἰκειοῦται, Διόδωρον δὲ καὶ Θεόδωρον ἐπιγράφεται πατέρας. καὶ κατὰ μὲν τοῦ θεσπεσίου Κυρίλλου εἰς πρόσωπον οὕτως ἀναισχύντως οὐ βλασφημεῖ· τὸν μέντοι γε Ἰωάννην, καθ' οὗ τὴν γραφὴν ἐνεστήσατο, μηδενὶ ἄλλῳ ἀλλ' ἢ τοῖς Κυρίλλου φησὶν ἐπερείδεσθαι ιβ' κεφαλαίοις, καὶ τῷ δωδεκάτῳ φησὶ μάλιστα, ὃ παρεισάγει τὴν θεοπάθειαν· ἐν οἷς αὐτῷ καὶ τῆς ματαιοπονίας τὸ τέλος. τὸ δὲ σύνταγμα αὐτῷ πρὸς Λεόντιον, ὡς ἔφημεν, ἐποιήθη, ὃν ὁσιώτατον καὶ θεοφιλέστατον καὶ πατέρα ἀποσεμνύνει.

## 108.

Ἀνεγνώσθη ΘΕΟΔΩΡΟΥ μονάζοντος Ἀλεξανδρέως κατὰ Θεμιστίου, οὗ ἡ ἐπιγραφὴ „ἔλεγχος ὡς ἐν συντόμῳ τῆς ἄνωθεν καὶ ἐξ ἀρχῆς Θεμιστίου κατὰ τῶν ἡμῶν πατέρων προπετοῦς καὶ ἀλογωτάτης ἐνστάσεως, ἐκ προφάσεως νῦν ἡμῖν πεπονημένος τῶν προ- 285 R. βεβλημένων ὑπ' αὐτοῦ κατὰ τῆς ἀληθείας ζητημάτων τε καὶ προτάσεων, καὶ σαφὴς διευκρίνησις τῆς προ- 154 H. κειμένης ὑποθέσεως." ἡ μὲν οὖν ἐπιγραφὴ τοιαύτη, βιβλίον μᾶλλον ἢ ἐπιγραφὴ βιβλίου τυγχάνουσα· ἄμφω δέ, ὅ τε Θεόδωρος καὶ Θεμίστιος, αἱρετικοὶ καὶ τῆς τῶν θεοπασχιτῶν μερίδος ὑπάρχουσι, Σεβήρῳ προσανακείμενοι. ὁ μέντοι Θεμίστιος ἢ Καλώνυμος (ἐξονομάζει γὰρ καὶ οὕτως αὐτὸς ἑαυτόν) καὶ τῆς τῶν Ἀγνοϊτῶν προστάτης ἐστὶν αἱρέσεως, καὶ λόγον ὑπὲρ τῆς τοιαύτης νόσου συνέγραψεν, ὃν ἐπέγραψε „Καλωνύμου τοῦ καὶ Θεμιστίου ἀπολογία ὑπὲρ τοῦ ἐν ἁγίοις Θεοφοβίου," ἐν ᾧ καὶ Σεβήρου, ᾧ προσανάκειται, (τοιοῦτον γὰρ τὸ ψεῦδος καὶ οἱ ἐρασταὶ τοῦ ψεύδους) καθάπτεται. εὐθύνας δὲ ἐν τῷδε τῷ λόγῳ παρὰ Θεοδώρου εἰσπράττεται· τὰ γάρ τοι τοῦ Θεμιστίου ἐπιχειρήματα τέσσαρα μὲν ὄντα, τὴν ἄγνοιαν δέ, ὡς ᾤετο, ἐπὶ Χριστοῦ κατασκευάζοντα, καθ' ἓν ὁ Θεόδωρος ταξάμενος, ἕκαστον μυρίαις ἀτοπίαις ἐχόμενον δείκνυσιν. εἶτα πάλιν ὁ Θεμίστιος, ὥσπερ τὴν ἧτταν ἀνακαλούμενος, κατὰ Θεοδώρου μονόβιβλον ἔγραψε. καὶ ὁ Θεόδωρος πάλιν ἐν τρισὶ τόμοις τοὺς κατ' αὐτοῦ

a. 3. ὁ λόγος] Ioann. 1, 14. 4. οὐδεὶς] Ioann. 3, 13. 7. ἡ δὲ] 1 Cor. 10, 4. ὄψεσθαι] Deuter. 28, 66. 9. ἡ πύλη] Ezech. 46, 1. 11. ὑμῖν ὁ] Act. 13, 26. 12. ὅς τοῦ] Rom. 8, 32. ὅτι om *A*. αἱ χεῖρες] 1 Ioann. 1, 1. 13. περὶ τοῦ λόγου τῆς ζωῆς] haec cum ante ὅτι legerentur, transposui cum *A*. 14. οὕτως] Ioann. 3, 16. 15. καὶ τὰ ἑξῆς ς. 17. εἶτα] Baruch. 3, 38. 18. ἀνάστα] Psalm. 82, 8. 19. ὁ ἑωρακὼς] Ioann. 14, 9. 22. εἰ γὰρ] 1 Corinth. 2, 18. 24. ὅπως ς. 38. αὐτοῦ add *A*. b. 1. σαφὲς ἐν τούτοις ς. 12. καὶ om pr *A*. 19. ἡμῶν add *A*. 26. post Σεβήρῳ cum *A* omisi δὲ. 28. ἀγνοητῶν *A*. 34. παρὰ *A*: περὶ ς. 37. ἐχόμενα *A*.

Digitized by Google

ἐλέγχοις ἀποσκευασάμενος, τὴν οἰκείαν ἐπὶ τούτῳ δόξαν ἀληθῆ παρεστήσατο. ἔστι δὲ τούτων ἑκάτερος τοῦ τε συγγράφειν οὐκ ἀπείρως ἔχων, καὶ τὸ σαφὲς μετὰ τοῦ συντόνου καὶ τοῦ καθεστηκότος ἐν λόγοις διώκων.

## 109.

Ἀνεγνώσθη ΚΛΗΜΕΝΤΟΣ ἈΛΕΞΑΝΔΡΕΩΣ πρεσβυτέρου τεύχη βιβλίων τρία, ὧν τὸ μὲν ἐπιγραφὴν ἔλαχεν ὑποτυπώσεις, τὸ δὲ στρωματεύς, τὸ δὲ παιδαγωγός. αἱ μὲν οὖν ὑποτυπώσεις διαλαμβάνουσι περὶ ῥητῶν τινῶν τῆς τε παλαιᾶς καὶ νέας γραφῆς, ὧν καὶ κεφαλαιωδῶς ὡς δῆθεν ἐξήγησίν τε καὶ ἑρμηνείαν ποιεῖται. καὶ ἐν τισὶ μὲν αὐτῶν ὀρθῶς δοκεῖ λέγειν, ἐν τισὶ δὲ παντελῶς εἰς ἀσεβεῖς καὶ μυθώδεις λόγους ἐκφέρεται. ὕλην τε γὰρ ἄχρονον καὶ ἰδέας ὥς ἀπό τινων ῥητῶν εἰσαγομένας δοξάζει, καὶ τὸν υἱὸν εἰς κτίσμα κατάγει. ἔτι δὲ μετεμψυχώσεις καὶ πολλοὺς πρὸ τοῦ Ἀδὰμ κόσμους τερατεύεται· καὶ ἐκ τοῦ Ἀδὰμ τὴν Εὔαν, οὐχ ὡς ὁ ἐκκλησιαστικὸς λόγος βούλεται, ἀλλ' αἰσχρῶς τε καὶ ἀθέως ἀποφαίνεται· μίγνυσθαί τε τοὺς ἀγγέλους γυναιξὶ καὶ παιδοποιεῖν ἐξ αὐτῶν ὀνειροπολεῖ, καὶ μὴ σαρκωθῆναι τὸν λόγον ἀλλὰ δόξαι. λόγους τε τοῦ πατρὸς δύο τερατολογῶν ἀπελέγχεται, ὧν τὸν ἥττονα τοῖς ἀνθρώποις ἐπιφανῆναι, μᾶλλον δὲ οὐδὲ ἐκεῖνον· φησὶ γάρ „λέγεται μὲν καὶ ὁ υἱὸς λόγος, ὁμωνύμως τῷ πατρικῷ λόγῳ, ἀλλ' οὐχ οὗτός ἐστιν ὁ σὰρξ γενόμενος· οὐδὲ μὴν ὁ πατρῷος λόγος, ἀλλὰ δύναμίς τις τοῦ θεοῦ, οἷον ἀπόρροια τοῦ λόγου αὐτοῦ, νοῦς γενόμενος τὰς τῶν ἀνθρώπων καρδίας διαπεφοίτηκε." καὶ ταῦτα πάντα πειρᾶται ἀπὸ ῥητῶν τινῶν κατασκευάζειν τῆς γραφῆς. καὶ ἄλλα δὲ μυρία φλυαρεῖ καὶ βλασφημεῖ, εἴτε αὐτός, εἴτε τις ἕτερος τὸ αὐτοῦ πρόσωπον ὑποκριθείς. ἐποιήθησαν δὲ αὐτῷ αἱ βλάσφημοι αὗται τερατολογίαι ἐν τόμοις ὀκτώ. λέγει δὲ καὶ περὶ τῶν αὐτῶν πολλάκις,
288 R. καὶ σποράδην καὶ συγκεχυμένως ὥσπερ ἔμπληκτος παράγει τὰ ῥητά. ὁ δὲ ὅλος σκοπὸς ὡσανεὶ ἑρμηνεῖαι τυγχάνουσι τῆς γενέσεως, τῆς ἐξόδου, τῶν ψαλμῶν, τοῦ θείου Παύλου τῶν ἐπιστολῶν, καὶ τῶν καθολικῶν, καὶ τοῦ ἐκκλησιαστοῦ. μαθητὴς δέ, ὡς καὶ αὐτός φησι, γέγονε Πανταίνου, ἀλλὰ ταῦτα μὲν αἱ ὑποτυπώσεις.

## 110.

Ὁ δὲ παιδαγωγὸς ἐν τρισὶ τόμοις ἐστὶν αὐτῷ διαπεπονημένος, ἤθους καὶ βίου κατορθωτικός. ἔχει δὲ τούτων καὶ προηγούμενον καὶ συντασσόμενον λόγον ἕτερον, ἐν ᾧ τὴν Ἑλλήνων διελέγχει ἀθεότητα. οὐδὲν δὲ ὅμοιον ἔχουσι πρὸς τὰς ὑποτυπώσεις οὗτοι οἱ λόγοι· τῶν τε γὰρ ματαίων καὶ βλασφήμων ἀπηλλαγμένοι δοξῶν καθεστήκασι, καὶ ἡ φράσις ἀνθηρὰ καὶ εἰς ὄγκον ἠρμένη 155 H.
σύμμετρον μετὰ τοῦ ἡδέος, καὶ ἡ πολυμάθεια ἐμπρέπουσα. μνημονεύει δὲ πρὸς τῷ τέλει καὶ περὶ εἰκόνων.

## 111.

Οἱ δὲ στρωματεῖς εἰσὶ μὲν καὶ αὐτοὶ ἐν ὀκτὼ λόγοις καθ' Ἑλλήνων καὶ αἱρέσεων τὸν ἀγῶνα εἰσενηνεγμένοι, σποράδην δὲ καὶ ὥσπερ οὐκ ἐν τάξει τὴν τῶν κεφαλαίων παράθεσιν κἀνταῦθα ποιεῖται, καὶ τὴν αἰτίαν ὥσπερ ἀποδιδοὺς ἐν τῷ τέλει τοῦ ἑβδόμου λόγου αὐταῖς λέξεσιν οὕτως λέγει „τούτων ἡμῖν προδιηνυσμένων, καὶ τοῦ ἠθικοῦ τύπου ὡς ἐν κεφαλαίοις ὑπογραφέντος, σποράδην τε, ὡς ὑπεσχήμεθα, καὶ διερριμμένως τὰ ζώπυρα τῆς ἀληθοῦς γνώσεως ἐγκατασπειράντων μαθήματα, ὡς μὴ ῥᾳδίαν εἶναι τῷ περιτυχόντι τῶν ἀμυήτων τὴν τῶν ἁγίων εὕρεσιν" καὶ ἑξῆς. ἡ μὲν οὖν τοῦ διερριμμένως αὐτὰ κατατάξαι αὐτῷ αἰτία αὕτη, ὥς φησι, γέγονεν. εὗρον μέντοι γε ἔν τινι παλαιῷ βιβλίῳ τὴν αὐτὴν πραγματείαν οὐχὶ στρωματεῖς μόνον ἐπιγραφομένην, ἀλλ' ὁλοκλήρως οὕτως „Τίτου Φλαβίου Κλήμεντος, πρεσβυτέρου Ἀλεξανδρείας, τῶν κατὰ τὴν ἀληθῆ φιλοσοφίαν γνωστικῶν ὑπομνημάτων στρωματέων α', β', γ', δ', ε', ς', ζ' καὶ η'." ἀλλ' ὁ μὲν πρῶτος μέχρι τοῦ ἑβδόμου τὴν αὐτὴν ἔχουσιν ἐπιγραφὴν καὶ ἐνιαῖοι τυγχάνουσιν ἐν ἅπασι τοῖς βιβλίοις· ὁ μέντοι ὄγδοος διάφορός τέ ἐστι καὶ τῇ ἐπιγραφῇ καὶ τῷ ἐδάφει. ἐν τισὶ μὲν γὰρ „τίς ὁ σωζόμενος πλούσιος" ἐπιγράφεται, καὶ ἄρχεται οὕτως „οἱ μὲν τοὺς ἐγκωμιαστικοὺς λόγους" καὶ ἑξῆς· ἐν τισὶ δὲ στρωματεὺς ὄγδοος, ὥσπερ καὶ οἱ πρὸ αὐτοῦ ἑπτά, ἐπιγράφεται, καὶ ἀπάρχεται „ἀλλ' οὐδὲ οἱ παλαίτατοι τῶν φιλοσόφων" καὶ ἑξῆς. αὕτη δὲ ἡ τῶν στρωματέων βίβλος ἐνιαχοῦ οὐχ ὑγιῶς διαλαμβάνει, οὐ μέντοι γε ὥσπερ αἱ ὑποτυπώσεις, ἀλλὰ καὶ πρὸς πολλὰ τῶν ἐκεῖ διαμάχεται. ἐπαγγέλλεται δὲ καὶ ἄλλα πεποιῆσθαι αὐτῷ συγγράμματα οὐκ ὀλίγα, καί γε καὶ ὑφ' ἑτέρων πεποιηκέναι μεμαρτύρηται, περί τε τοῦ πάσχα καὶ περὶ νηστείας καὶ περὶ κακολογίας, περὶ κανόνων ἐκκλησιαστικῶν, κατὰ τῶν ἀκολουθέντων τῇ τῶν Ἰουδαίων πλάνῃ,

a. 1. ἐπὶ A: ἐν ς. 4. διώκων ἐν λόγοις ς. 8. δὲ ὁ παιδ. A. 22. τοῖς] αὐτοῖς A. 25. οὐχ] οὐ τῶν A. 28. πειρᾶται post τινῶν ponit ς. 30. βλασφημεῖ καὶ φλυαρεῖ ς. 36. τοῦ θείου — ἐπιστολῶν om pr A. 38. ἐκκλησιαστικοῦ ς. b. 16. ὑπογραφέντος ς. 17. τε, ὡς A: τέως ς. 20 et 35. καὶ τὰ ἑξῆς ς. 20. τοῦ et 21. αὕτη add rc A. 24. φλαυίου A. 27. πρῶτος] α A: ὄγδοος ς.

ὃν Ἀλεξάνδρῳ Ἱεροσολύμων ἐπισκόπῳ προσειπεῖν. ἤκμασε δὲ Σευήρου καὶ Ἀντωνίνου υἱοῦ αὐτοῦ Ῥώμης βασιλευόντων.

## 112. 113.

289 R. Ἀνεγνώσθη ΚΛΗΜΕΝΤΟΣ ΤΟΥ ΡΩΜΗΣ τεύχη βιβλίων δύο, ὧν τὸ μὲν ἐπιγράφεται „διαταγαὶ τῶν ἀποστόλων διὰ Κλήμεντος," ἐν ᾧ καὶ οἱ τῶν συνοδικῶν κανόνων τῷ ἀθροίσματι τῶν ἀποστόλων κανόνες ἐπιγραφόμενοι περιέχονται· τὸ δὲ τὴν προσφώνησιν ὡς ἐν ἐπιστολῆς εἴδει πρὸς Ἰάκωβον τὸν ἀδελφόθεον ποιεῖται, ἐν ᾧ αἵ τε λεγόμεναι τοῦ ἀποστόλου Πέτρου πράξεις καὶ αἱ πρὸς Σίμωνα τὸν μάγον διαλέξεις, καὶ ἔτι ὁ ἀναγνωρισμὸς Κλήμεντος καὶ τοῦ πατρὸς καὶ τῶν ἄλλων ἀδελφῶν, διὸ καὶ ἔν τισι τῶν βιβλίων ἡ ἐπιγραφὴ „Κλήμεντος τοῦ Ῥωμαίου ἀναγνωρισμός" ἐπιγράφεται. ἐν τισὶ δέ, ὡς ἔφημεν, ἐπιστολὴ προτάττεται, ὡς πρὸς τὸν ἀδελφόθεον Ἰάκωβον, καὶ αὕτη δὲ οὐχ ἡ αὐτή, οὐδὲ ὡς ἀπὸ τοῦ αὐτοῦ προσώπου προενηνεγμένη, ἀλλ' ἐπὶ μὲν τινων βιβλίων ὡς ἀπὸ Πέτρου τοῦ ἀποστόλου πρὸς Ἰάκωβον ἐπεσταλμένη, ἐφ' ἑτέρων δὲ ὡς ἀπὸ Κλήμεντος πρὸς Ἰάκω-
156 H. βον, ἄλλη καὶ ἄλλη, καθὼς προείπομεν. καὶ ἡ μὲν δηλοῖ Πέτρον τὰς οἰκείας συγγράψασθαι πράξεις καὶ πρὸς Ἰάκωβον αἰτησάμενον ταύτας ἀποστεῖλαι· ἡ δὲ διαλαμβάνει ὡς Κλήμης ταύτας κατὰ πρόσταγμα Πέτρου συγγράψειε, κἀκείνου πρὸς τὴν ἀγήρω μεταναστάντος ἀποστείλοι Κλήμης πρὸς Ἰάκωβον. ἔστιν οὖν εἰκασμῷ διαλαβεῖν ὡς δύο μὲν εἴησαν τῶν Πέτρου πράξεων ἐκδόσεις γεγενημέναι, τῷ δὲ χρόνῳ τῆς ἑτέρας διαῤῥυείσης ἐπεκράτησεν ἡ τοῦ Κλήμεντος· ἐν πᾶσι γὰρ τοῖς βιβλίοις ἃ εἴδομεν, καίτοι οὐκ ὀλίγων ὄντων, μετὰ τὰς διαφόρους ἐκείνας ἐπιστολὰς καὶ ἐπιγραφὰς τὴν αὐτὴν εὕρομεν ἀπαραλλάκτως πραγματείαν, ἀρχομένην „ἐγὼ Κλήμης" καὶ τὰ ἑξῆς ἐνταττόμενα. μυρίων δὲ ἀτοπημάτων ἡ πραγματεία γέμει αὕτη, καὶ τῆς εἰς τὸν υἱὸν βλασφημίας κατὰ τὴν Ἀρείου δόξαν ἐστὶν ἀνάπλεως. αἱ δέ γε διαταγαὶ τρισὶ μόνοις δοκοῦσιν ἐνέχεσθαι, κακοπλαστίᾳ, ἣν οὐ χαλεπὸν ἀποσκευάσασθαι, καὶ ὅτι κατὰ τοῦ δευτερονομίου ὕβρεις τινὰς ἐπαφίησιν, ἃ καὶ ῥᾷστον διαλύσασθαι, καὶ ἔτι ἀρειανισμῷ, ὅπερ ἄν τις καὶ βιαίως διακρούσαιτο. ἡ μέντοι γε τῶν τοῦ Πέτρου πράξεων βίβλος τῷ τε λαμπρῷ καὶ τῇ σεμνότητι καὶ ἔτι τῷ καθαρῷ καὶ συντόνῳ καὶ τῇ ἄλλῃ ἀρετῇ τοῦ λόγου καὶ πολυμαθείᾳ τοσοῦτον ἔχει πρὸς τὰς διαταγὰς τὸ παραλλάττον, ὡς μηδὲ συγκρίσει τῇ κατὰ τοὺς λόγους πρὸς ἀλλήλας παραβάλλεσθαι τὰς βίβλους.

Οὗτός ἐστιν ὁ Κλήμης περὶ οὗ φησιν ὁ θεσπέσιος Παῦλος ἐν τῇ πρὸς Φιλιππησίους ἐπιστολῇ „μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν με, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς". οὗτος καὶ ἐπιστολὴν ἀξιόλογον πρὸς Κορινθίους γράφει, ἥτις παρὰ πολλοῖς ἀποδοχῆς ἠξιώθη ὡς καὶ δημοσίᾳ ἀναγινώσκεσθαι. ἡ δὲ λεγομένη δευτέρα πρὸς τοὺς αὐτοὺς ὡς νόθος ἀποδοκιμάζεται, ὥσπερ ὁ ἐπιγραφόμενος ἐπ' ὀνόματι αὐτοῦ Πέτρου καὶ Ἀππίωνος πολύστιχος διάλογος. τοῦτόν φασιν οἱ μὲν δεύτερον μετὰ Πέτρον Ῥώμης ἐπισκοπῆσαι, οἱ δὲ τέταρτον· Λίνον γὰρ καὶ Ἀνάκλητον μεταξὺ αὐτοῦ καὶ Πέτρου Ῥώμης ἐπισκόπους διαγεγονέναι· τελευτῆσαι δὲ αὐτὸν τρίτῳ ἔτει Τραϊανοῦ.

## 114.

Ἀνεγνώσθη βιβλίον, αἱ λεγόμεναι τῶν ἀποστόλων 292 R.
περίοδοι, ἐν αἷς περιείχοντο πράξεις Πέτρου, Ἰωάννου, Ἀνδρέου, Θωμᾶ, Παύλου. γράφει δὲ αὐτάς, ὡς δηλοῖ τὸ αὐτὸ βιβλίον, ΛΕΥΚΙΟΣ ΧΑΡΙΝΟΣ. ἡ δὲ φράσις εἰς τὸ παντελὲς ἀνώμαλός τε καὶ παρηλλαγμένη· καὶ συντάξεσι γὰρ καὶ λέξεσι κέχρηται ἐνίοτε μὲν οὐκ ἠμελημέναις, κατὰ δὲ τὸ πλεῖστον ἀγοραίοις καὶ πεπατημέναις, καὶ οὐδὲν τῆς ὁμαλῆς καὶ αὐτοσχεδίου φράσεως καὶ τῆς ἐκεῖθεν ἐμφύτου χάριτος, καθ' ἣν ὁ εὐαγγελικός τε καὶ ἀποστολικὸς διαμεμόρφωται λόγος, οὐδ' ἴχνος ἐμφαίνων. γέμει δὲ καὶ μωρίας πολλῆς καὶ τῆς πρὸς ἑαυτὸν μάχης καὶ ἐναντιώσεως. φησὶ γὰρ ἄλλον εἶναι τὸν τῶν Ἰουδαίων θεὸν καὶ κακόν, οὗ καὶ Σίμωνα τὸν μάγον ὑπηρέτην καθεστάναι, ἄλλον δὲ τὸν Χριστόν, ὃν φησιν ἀγαθόν· καὶ φύρων ἅπαντα καὶ συγχέων καλεῖ αὐτὸν καὶ πατέρα καὶ υἱόν. λέγει δὲ μηδ' ἐνανθρωπῆσαι ἀληθῶς ἀλλὰ δόξαι, καὶ πολλὰ πολλάκις φανῆναι τοῖς μαθηταῖς, νέον καὶ πρεσβύτην πάλιν καὶ πάλιν παῖδα, καὶ μείζονα καὶ ἐλάττονα, καὶ μέγιστον, ὥστε 157 H.
τὴν κορυφὴν διήκειν ἔσθ' ὅτε μέχρις οὐρανοῦ. πολλὰς δὲ καὶ περὶ τοῦ σταυροῦ κενολογίας καὶ ἀτοπίας ἀναπλάττει, καὶ τὸν Χριστὸν μὴ σταυρωθῆναι, ἀλλ' ἕτερον ἀντ' αὐτοῦ, καὶ καταγελᾶν διὰ τοῦτο τῶν σταυρούντων. γάμους τε νομίμους ἀθετεῖ, καὶ πᾶσαν γένεσιν πονηράν

a. 1. post προσειπεῖν cum A omisi ἔδοξεν. 22. συγγράψαι ς. 25. μεταστάντος ς. b. 6. ἐπιστολῇ] 4, 5. 12. ὁ add A. 14. ἐπισκοπῆσαι Ῥώμης ς. 15. ἀνέγκλητον A. 30. libri ἑαυτὴν. 33. φυρῶν ς. 35. φανῆναι πολλάκις A. 42. δὲ ς.

τε ϗ τοῦ πονηρȣ̃ λέγει. ϗ πλάσιν τῶν δαιμόνων ἄλλον ἐκληρεῖ. νεκρῶν δὲ ἀνθρώπων ϗ βοῶν ϗ κτηνῶν ἄλλων παραλογωτάτας ϗ μειρακιώδεις τερατεύεται ἀναστάσεις. δοκεῖ δὲ ϗ κατ᾿ εἰκόνων τοῖς εἰκονομάχοις ἐν ταῖς Ἰωάννȣ πράξεσι δογματίζειν. ϗ ἁπλῶς αὕτη ἡ βίβλος μυρία παιδαριώδη ϗ ἀπίθανα ϗ κακόπλαστα ϗ ψευδῆ ϗ μωρὰ ϗ ἄλλοις μαχόμενα ϗ ἀσεβῆ καὶ ἄθεα περιέχει· ἣν εἰπών τις πάσης αἱρέσεως πηγὴν ϗ μητέρα ȣ̓κ ἂν ἀποσφαλείη τȣ̃ εἰκότος.

## 115.

Ἀνεγνώσθη βιβλίον ἀνώνυμον, οὗ ἡ ἐπιγραφὴ „λόγος πρὸς Ἰȣδαίȣς ϗ τȣ̀ς μετὰ τȣ́των αἱρετικȣ̀ς ϗ τȣ̀ς καλȣμένȣς τεσσαρεσκαιδεκατίτας, μὴ τῷ πρώτῳ καθ᾿ Ἑβραίȣς μηνὶ ἐπιτελȣ̃ντας τȣ̃ ἁγίου πάσχα τὴν ἑορτήν.“ οὗτος μὲν ὁ λόγος σύντομος ϗ ἀπέριττος ϗ κόμπου μετέχων, λέγει μέντοι τῇ ἁγίᾳ πέμπτῃ μὴ τὸ νομικὸν φαγεῖν πάσχα τὸν κύριον ἡμῶν Ἰησȣ̃ν Χριστόν· μηδὲ γὰρ εἶναι τότε τὸν καιρόν, ἀλλὰ τῇ ἐπιούσῃ. ϗ ὅτι ȣ̓δὲ νομικῶς τελῶν ἔφαγεν, ἅπερ ἔφαγεν, εἰς τὴν ἐπιοῦσαν· ȣ̎τε γὰρ ἀρνὸν ȣ̎τε ἄζυμα ȣ̎τε ἄλλο τι πράττων, ὅσα οἱ τὸ νομικὸν τελȣ̃ντες πάσχα ἔθος ἔχȣσι παραφυλάττειν· ἀλλ᾿ ἴδιον μυστικόν φησι δεῖπνον φαγεῖν, ἐξ ȣ̔ ϗ τοῖς μαθηταῖς ἄρτȣ ϗ ποτηρίȣ μεταδȣ̃ναι.

293 R. Ἐνεφέρετο δὲ λόγος ἕτερος ΜΗΤΡΟΔΩΡΟΥ τινός, ψῆφος ἐννεακαιδεκαετηρίδων κη΄ εἰς ἑαυτὴν ἀνακυκλȣμένη περὶ τῆς τȣ̃ ἁγίȣ πάσχα ἑορτῆς. ȣ̔̃τος ὁ Μητρόδωρος, ὅστις ποτὲ ἐστιν (ȣ̓ γὰρ ἄλλο τι ἔγνων εἰπεῖν περὶ αὐτȣ̃), ἀπὸ Διοκλητιανȣ̃ ἀρξάμενος φλγ΄ ἐτῶν συνήγαγε κατὰ τὴν λεγομένην ἀκριβῆ τῆς τεσσαρεσκαιδεκάτης ψηφοφορίαν ἡμέρας, ὅσα τῷ δοκεῖν, ἑορταστικάς· καὶ γὰρ ȣ̎τε νῦν ἡ ἐκκλησία ȣ̎τε ἡ παλαιὰ παράδοσις ταύταις φαίνεται κεχρημένη.

## 116.

Ἀνεγνώσθη βιβλίον, ὅσον ἐπὶ τῷ ὀνόματι τȣ̃ συντεταχότος, ἀνεπίγραφον· ἐπὶ τῇ γε βίβλῳ ἐπεγέγραπτο „περὶ τῆς ἁγίας τȣ̃ πάσχα ἑορτῆς λόγος τρίτος,“ ἐν τόμοις ὀκτώ. αὕτη ἡ βίβλος ἁπλῇ μὲν καὶ σαφεστάτῃ συγγέγραπται φράσει, πολλὰ δὲ ϗ καλὰ νοήματα περιέχει. ȣ̔̃τος ὁ συγγραφεὺς ἐν τῷ τετάρτῳ τόμῳ καὶ κατὰ Μητροδώρȣ ποιεῖται ἐλέγχȣς, ϗ ταῖς γραφικαῖς δὲ μαρτυρίαις ὠχύρωται, ϗ πολλὰ τῶν εἰς τὴν ἐξαίμερον χρησίμων, ὡς ἐν ἑρμηνείας τύπῳ, κατὰ τȣ́σδε τȣ̀ς περὶ τȣ̃ πάσχα λόγȣς συνυφαίνει. προσφωνεῖ δὲ Θεοδώρῳ τὸν λόγον, ὃν ἀγαπητόν τε καὶ ἀδελφὸν ὑπαγορεύει. πεποίηκε δὲ καὶ ἑτέρας περὶ τῆς αὐτῆς ὑποθέσεως πρότερον βίβλȣς· ἀλλ᾿ αὕτη πλατυτέρα τε ϗ χρησιμωτάτη, ὡς ἐπὶ λεπτῷ πάντα τὰ πρὸς τὴν ὑπό- 158 H. θεσιν χρήσιμα διεξιȣ̃σα. περί τε γὰρ βισέξτȣ ϗ ἐμβολίμȣ μηνὸς καὶ ἐπακτῶν ἡλίȣ καὶ ἐπακτῶν σελήνης καὶ ἐννεακαιδεκαετηρίδων καὶ μεθόδȣ τῆς εὑρέσεως αὐτῶν λεπτομερῶς καὶ σαφῶς διαλαμβάνει, καὶ περὶ μηνῶν καὶ νεομηνίας καὶ ἑβδομάδος ϗ τῶν ἐν αὐτῇ ἡμερῶν, τίνες τε κύκλοι ἐνιαυτοὶ προσαγορεύονται ϗ τίνες ἐμβόλιμοι ἐνιαυτοί, περί τε ὀκτωκαιεικοσαετηρίδος ἡλίȣ καὶ ἐννεακαιδεκατηρίȣ σελήνης, καὶ τῆς τεσσαρεσκαιδεκάτης αὐτῆς, καὶ περὶ μηνῶν σεληνιακῶν καὶ μηνῶν ἡλιακῶν, καὶ νȣμηνίας σεληνιακȣ̃ μηνὸς καὶ ἡλιακȣ̃, μηνός τε ὁμαλȣ̃ τῆς σελήνης ϗ μηνὸς ἀκριβȣ̃ς, ϗ ἀπαριθμήσεως τῶν ἐτῶν τȣ̃ κόσμȣ. φησὶ δὲ ȣ̔̃τος ὅτι κατὰ μὲν τȣ̀ς ἄλλȣς τῆς παρȣσίας αὐτȣ̃ ἐνιαυτȣ̀ς ὁ κύριος καὶ θεὸς ἡμῶν ὁ Χριστὸς τὸ νομικὸν ἐπετέλει πάσχα, καθ᾿ ὃν δὲ παρεδόθη ȣ̓κέτι· καὶ σκοπεῖν χρή. ὁ γὰρ Χρυσόστομος καὶ ἡ ἐκκλησία ϗ τότε φησὶν αὐτὸν ἐπιτελέσαι τὸ νομικὸν πρὸ τȣ̃ μυστικȣ̃ δείπνȣ.

## 117.

Ἀνεγνώσθη βιβλίον ὑπὲρ Ὠριγένȣς καὶ τῶν αὐτȣ̃ θεοστυγῶν δογμάτων, ἐν τόμοις ε΄. ἀνεπίγραφον δὲ τὴν ὀνομασίαν ἐτύγχανε τȣ̃ συντεταχότος, τὴν δὲ φράσιν ȣ̎τε σαφὲς ȣ̎τε καθαρόν, οὔτε εἰς ἄλλο τι ἀξιόλογον ἀνηγμένην ἔχον. ὁ δὲ τȣ̃ συγγράμματος πατὴρ μάρτυρας ὑπὲρ Ὠριγένȣς τε ϗ τῶν αὐτȣ̃ δογμάτων Διονύσιον προκομίζει τὸν Ἀλεξανδρείας, Δημήτριόν τε ϗ Κλήμεντα καὶ ἑτέρȣς πλείȣς· μᾶλλον δὲ τῶν ἄλλων ἁπάντων Παμφίλῳ τε τῷ μάρτυρι ἐπερείδεται καὶ τῷ Εὐσεβίῳ, ὃς τῆς κατὰ Παλαιστίνην Καισαρείας ἐπεσκόπησεν. ἡ δὲ ὑπὲρ αὐτοῦ ἀπολογία ȣ̓κ ἔστι λύσις 296 R. τῶν ἐπικλημάτων ὡς ἐπὶ πλεῖστον, ἀλλὰ συνηγορία τῆς κατηγορίας· ȣ̎τως ȣ̓δ᾿ ȣ̔̃τος ἀπήλλακτο τῶν ἐκείνȣ βλασφήμων δοξῶν τελείως. ψυχῶν τε γὰρ προὔπαρξιν συνομολογεῖ, γραφικαῖς καὶ πατρικαῖς φωναῖς (ὡς οἴεται) τὸν λῆρον τȣ̃τον ἐπισυγκροτῶν, καὶ σωμάτων ἄλλων εἰσάγει ἀνάληψιν. περὶ μέντοι τῆς ἁγίας τριάδος ȣ̓δὲν

a. 2. ἐκκληροῖ ς. ἄλλων add A. 7. ἄλλοις] immo ἀλλήλοις. 15. σύντονος ς. 19. ἅπερ ἔφαγεν add A. 31. ψηφηφορίαν ς. 39. περιέχει νοήματα ς. b. 5. πρότερον et mox τε add A. 7. βισέκτου A. 12. κύκλιοι Rothomag., κοινοὶ Scaliger. 13. τε add A. 16. σεληνιακοῦ μηνὸς] σεληνιακῆς A. 18. τοῦ et 22. καὶ post ἐκκλ. add A. 30. ἀνενηγμένην ς. 33. μᾶλλον] μάλιστα A. 37. ἐπὶ τὸ πλεῖστον ς.

οὗτος τῶν ἐσφαλμένων λέγει. φησὶ δὲ καὶ περὶ τοῦ Ὠριγένους μηδὲν αὐτὸν κατὰ δόξαν ἐσφάλθαι περὶ τῆς τριάδος, ἀντιφερόμενον δὲ τῇ αἱρέσει Σαβελλίου εἰς μέγα κακοῦ ἠρμένῃ τότε, καὶ τὴν τῶν προσώπων τριάδα ἐναργεστάτην καὶ πολλοῖς τρόποις διαφέρουσαν ἀγωνιζόμενον παραστῆσαι, πέρα τοῦ προσήκοντος καὶ εἰς τοὐναντίον ἀπενεχθῆναι, ἐξ οὗ δόξαι καὶ τῷ Ἀρειανῷ ἀῤῥωστήματι προεαλωκέναι. ὑπὲρ μέντοι γε τῶν ἄλλων αὐτοῦ δογμάτων, ὅσοις μήτε συγκαταθέσθαι τοῦ θαῤῥεῖν πρόφασιν ἔχει μήτε τὴν προειρημένην αἰτίαν πορίσασθαι δυνατὸν οἶδε, πολλὴν εἰσάγει σπουδὴν ἀποφῆναι ἢ γυμνασίας αὐτῷ χάριν εἰρῆσθαι ἢ ὑπό τινων ἑτεροδόξων τοῖς αὐτοῦ συγγράμμασι παρεμβεβλῆσθαι. καὶ προάγει καὶ αὐτὸν ἐκεῖνον τοῦτο βοῶντα καὶ διατεινόμενον· φωρᾶσαι γὰρ αὐτόν φησι καὶ ἔτι ζῶντα ταύτην κατ' αὐτοῦ τὴν ῥᾳδιουργίαν. ἔστι δέ, ἃ λέγει μάτην αὐτοῦ κατη- 159 H. γορηθῆναι, κεφάλαια πεντεκαίδεκα, ἅτινα καὶ διελέγχει διαβολὰς εἶναι, ἐκ τῶν αὐτοῦ ἐκείνου συγγραμμάτων ποιούμενος τοὺς ἐλέγχους ἐν τῷ τετάρτῳ τόμῳ, κατὰ δὲ τὸν πέμπτον γενόμενος καὶ ἑτέρων ὑπὲρ αὐτοῦ μαρτυρίαις ἀποῤῥαπίζων ταῦτα. τὰ δὲ κεφάλαιά ἐστι ταῦτα· φασὶν αὐτὸν παραγγέλλειν μὴ προσεύχεσθαι τῷ υἱῷ, καὶ μὴ εἶναι αὐτὸν ἁπλῶς ἀγαθόν, καὶ μὴ γινώσκειν τὸν πατέρα ὡς αὐτὸς ἑαυτόν, καὶ τὰς λογικὰς φύσεις εἰς ἀλόγων εἰσκρίνεσθαι σώματα, καὶ εἶναι μετενσωμάτωσιν, καὶ ὅτι ἡ τοῦ σωτῆρος ψυχὴ ἡ τοῦ Ἀδὰμ ἦν, καὶ ὅτι οὐκ ἔστιν αἰώνιος κόλασις οὐδὲ σαρκὸς ἀνάστασις, καὶ ὅτι οὐ κακὸν ἡ μαγεία, καὶ ὅτι ποιητικὴ τῶν πραττομένων ἡ ἀστρονομία, καὶ ὅτι παύεται ὁ μονογενὴς τῆς βασιλείας, καὶ ὅτι ἐκ καταπτώσεως ἦλθον οἱ ἅγιοι εἰς τὸν κόσμον ἀλλ' οὐ δι' ἑτέρων θεραπείαν, καὶ ὅτι ὁ πατὴρ καὶ τῷ υἱῷ ἀόρατος, καὶ ὅτι τὰ Χερουβὶμ ἐπίνοιαι τοῦ υἱοῦ εἰσίν, καὶ ὅτι ἡ εἰκὼν τοῦ θεοῦ, ὡς πρὸς ἐκεῖνον οὗ ἐστὶν εἰκών, καθ' ὃ εἰκών, οὐκ ἔστιν ἀλήθεια. ταῦτα ἀπελέγχει, ὡς προείρηται, ψευδῶς εἰρῆσθαι κατὰ Ὠριγένους, καὶ τό γε ἐπὶ τῇ αὐτοῦ σπουδῇ ἐκκλησιαστικὸν καὶ τῶν ὀρθοδόξων ἀποφαίνεται τὸν ἄνδρα. ἀλλ' οὐκ εἴ τις, ὦ βέλτιστε, μὴ πάντας τοὺς τρόπους ἐδείχθη δυσσεβῶν, οὐδ' ἐν οἷς προφανῶς βλασφημεῖ τὴν δίκην διαδιδράσκων ὀφθήσεται.

## 118.

Ἀνεγνώσθη ΠΑΜΦΙΛΟΥ τοῦ μάρτυρος καὶ ΕΥΣΕΒΙΟΥ ὑπὲρ Ὠριγένους. τόμοι δὲ τὸ βιβλίον ς', ὧν οἱ μὲν ε' Παμφίλῳ τὸ δεσμωτήριον οἰκοῦντι συμπαρόντος Εὐσεβίου ἐξεπονήθησαν, ὁ δὲ ἕκτος, ἐπεὶ ὁ μάρτυς ξίφει τοῦ ζῆν ἀπαχθεὶς ἀνέλυσε πρὸς ὃν ἐπόθει θεόν, Εὐσεβίῳ λοιπὸν ἀπαρτίζεται. καὶ ἄλλοι δὲ πλεῖστοι 297 R. κατ' ἐκεῖνο καιροῦ καὶ ἀξιολογώτατοι ἀπολογίας ὑπὲρ αὐτοῦ συνετάξαντο. φασὶ δὲ τὸν Ὠριγένην ἐν τοῖς κατὰ Σεβῆρον διωγμοῖς γράψαι Λεωνίδῃ τῷ πατρὶ ἐπαλείφοντα πρὸς τὸν τοῦ μαρτυρίου δρόμον, ὃν καὶ καλῶς δραμόντι τῶν βραβείων τυχεῖν ἐξεγένετο, καὶ αὐτὸν δὲ ἀποδύσασθαι σπεύδειν πρὸς τὸ τῶν ἀγωνισμάτων στάδιον, τὴν δὲ μητέρα καὶ ἄκοντα δυνηθῆναι τῆς ὁρμῆς ἐπισχεῖν· καὶ τοῦτο καὶ αὐτὸς ἐν ἐπιστολῇ οἰκείᾳ ἐπισημαίνεται. φασὶ δὲ αὐτὸν ὅ τε Πάμφιλος μάρτυς καὶ ἕτεροι πλεῖστοι, οἵ τινες ἀπ' αὐτῶν τῶν ἑωρακότων Ὠριγένην τὰ περὶ τοῦ ἀνδρὸς ἠκριβώσαντο, διαβοήτῳ μαρτυρίῳ τοῦ βίου ἐξεληλυθέναι ἐπ' αὐτῆς τῆς Καισαρείας Δεκίου τὴν κατὰ τῶν Χριστιανῶν ὠμότητα πνέοντος. οἱ δέ φασιν αὐτὸν ἕως Γάλλου καὶ Βολουσιανοῦ διαρκέσαντα, καὶ ἑξηκοστὸν ἔνατον ἔτος τῆς ἡλικίας ἄγοντα, ἐν Τύρῳ καὶ τελευτῆσαι καὶ ταφῇ παραδοθῆναι. ἔστι δὲ μᾶλλον οὗτος ὁ λόγος ἀληθής, εἴ γε αἱ φερόμεναι αὐτοῦ μετὰ τὸν Δεκίου διωγμὸν ἐπιστολαὶ οὐκ ἔχουσι τὸ πλαστόν. παντὸς δὲ μαθήματος ἰδέαν φασὶν αὐτὸν καὶ μετελθεῖν καὶ διδάσκειν. τοῦτον τοίνυν τὸν Ὠριγένην, ὃν καὶ ἀδαμάντιον ἐπονομάζεσθαί φασιν, ὅτι ἀδαμαντίνοις δεσμοῖς ἐῴκεσαν οὓς ἂν δήσειε λόγους, ἀκροατὴν καὶ διάδοχον λέγουσι γενέσθαι Κλήμεντος τοῦ στρωματέως καὶ τοῦ κατὰ τὴν Ἀλεξάνδρειαν ἐκκλη- 160 H. σιαστικοῦ διδασκαλείου· Κλήμεντα δὲ Πανταίνου γενέσθαι λέγουσι καὶ ἀκροατὴν καὶ τοῦ διδασκαλείου διάδοχον, Πάνταινον δὲ τῶν τε τοὺς ἀποστόλους ἑωρακότων ἀκροάσασθαι οὐ μὴν ἀλλὰ καί τινων αὐτῶν ἐκείνων διακοῦσαι.

Τὰς δὲ κατὰ Ὠριγένους κινήσεις ἐκεῖθεν λέγουσιν ἐκρυῆναι. Δημήτριος Ἀλεξανδρείας ἐπεσκόπει, ὃς Ὠριγένην δι' ἐπαίνων εἶχε καὶ ἐς τοὺς φιλτάτους συνέταττεν. ἀλλ' Ὠριγένης μέλλων ἀπαίρειν εἰς Ἀθήνας χωρὶς τῆς τοῦ οἰκείου γνώμης ἐπισκόπου εἰς πρεσβύτερον οὐ δέον ἀναβιβάζεται· Θεότεκνος δ' ἦν ὁ κατὰ Καισάρειαν τὴν ἐν Παλαιστίνῃ τὸν ἀρχιερατικὸν χειρίζων νόμον ὁ τῆς Ὠριγένους αὐτουργὸς χειροτονίας, ἔχων συνευδοκοῦντα καὶ τὸν Ἱεροσολύμων Ἀλέξανδρον. τρέπεται διὰ

a. 6. πέρα A: παρὰ ς. 8. ἑαλωκέναι ς. 9. libri συγκαθέσθαι. 22 εὔχεσθαι ς. 28. μαγία ς. 39. ἐν add A. b. 2. συμπ. καὶ Εὐσεβ. ς. 4. ξίφει om pr A. 8. τῷ add A. 20. ἔτος om A. 23. διωγμὸν Δεκίου ς. 24. αὐτὸν φασι ς. 25. καὶ ante μετελθεῖν om pr A. 37. μέλλων add A. 39. post δέον cum A omisi ὄν.

τοῦτο Δημητρίῳ εἰς μῖσος τὸ φίλτρον καὶ οἱ ἔπαινοι πρὸς τοὺς ψόγους, καὶ σύνοδος ἀθροίζεται κατὰ Ὠριγένους ἐπισκόπων καί τινων πρεσβυτέρων. ἡ δέ, ὡς ὁ Πάμφιλός φησι, ψηφίζεται μεταστῆναι μὲν ἀπὸ Ἀλεξανδρείας τὸν Ὠριγένην, καὶ μήτε διατρίβειν ἐν αὐτῇ μήτε διδάσκειν, τῆς μέντοι τοῦ πρεσβυτερίου τιμῆς οὐδαμῶς ἀποκεκινῆσθαι. ἀλλ' ὅ γε Δημήτριος ἅμα τισὶν ἐπισκόποις Αἰγυπτίοις καὶ τῆς ἱερωσύνης ἀπεκήρυξε, συνυπογραψάντων καὶ τῇ ἀποφάσει τῶν συμψήφων αὐτῷ γεγενημένων. φυγαδευθέντα δὲ τῆς Ἀλεξανδρείας τὸν Ὠριγένην Θεότεκνος ὁ Παλαιστίνης ἀσμένως τε διάγειν ἐν Καισαρείᾳ ὑπεδέξατο, καὶ τοῦ διδάσκειν πᾶσαν ἐξουσίαν ἐνεχείρισε. καὶ τὰς μὲν αἰτίας, ἐξ ὧν συνέβη τὰς διαβολὰς ἐκραγῆναι τῷ Ὠριγένει, ταύτας φησίν.

Τὴν δὲ ὑπὲρ Ὠριγένους ἀπολογίαν, ὡς ἔφημεν, ὁ Πάμφιλος σὺν Εὐσεβίῳ καθειργμένος τῷ οἰκήματι συνεγράψατο, καὶ ταύτην πρὸς τοὺς ἐν μετάλλοις διὰ
300 R. Χριστὸν ταλαιπωρουμένους ”διεπέμψατο, ὧν ἦν τὸ ἀκροθίνιον Πατερμούθιος ὁ μετὰ βραχὺ τῆς Παμφίλου ἀναλύσεως διὰ πυρὸς καὶ αὐτὸς σὺν ἑτέροις τὸν βίον τελειωθείς. ἦν δὲ Παμφίλου διδάσκαλος ὁ Πιέριος, τοῦ ἐν Ἀλεξανδρείᾳ καὶ αὐτὸς προεστηκὼς διδασκαλείου· μάρτυς δὲ καὶ ὁ Πιέριος ἅμα τῷ ἀδελφῷ Ἰσιδώρῳ τῶν ἀθλητικῶν ἀξιωθέντες στεφάνων, οἷς (ὥς φασι) καὶ νεὼς καὶ οἶκοι ὑπὸ τῶν εὐσεβούντων ἱδρύθησαν. ὁ δὲ θεῖος Πάμφιλος πρεσβύτερος ἦν. καὶ πολλὰ δὲ τῶν Ὠριγένους εἰς τὴν θείαν γραφὴν ἐξηγήσεων ἰδίᾳ χειρὶ λέγουσιν αὐτὸν γεγραφέναι.

## 119.

Ἀνεγνώσθη βιβλίον ΠΙΕΡΙΟΥ πρεσβυτέρου, ὃν καὶ σὺν τῷ ἀδελφῷ Ἰσιδώρῳ τὸν ὑπὲρ Χριστοῦ ἀγωνίσασθαί φασιν ἀγῶνα, Παμφίλου τε τοῦ μάρτυρος ὑφηγητὴν τῶν ἐκκλησιαστικῶν γενέσθαι μαθημάτων, καὶ τοῦ κατὰ Ἀλεξάνδρειαν ἡγήσασθαι παιδευτηρίου. λόγους δὲ τὸ βιβλίον περιεῖχε ιβʹ. ἔστι δὲ τὴν φράσιν σαφής τε καὶ λαμπρὸς καὶ ὥσπερ ῥέων τῷ λόγῳ, μηδέν τε ἐπιμελὲς ἐνδεικνύμενος, ἀλλ' ὡς ἐξ αὐτοσχεδίου ὁμαλῶς τε καὶ λείως καὶ ἠρέμα φερόμενος, τοῖς δὲ ἐνθυμήμασιν,
b εἴπερ τις ἄλλος, γονιμώτατος. ”πολλὰ δὲ ἔξω τῶν νῦν ἐν τῇ ἐκκλησίᾳ καθεστηκότων, ἀρχαιοτρόπως ἴσως, ἐκφαίνεται. ἀλλὰ περὶ μὲν πατρὸς καὶ υἱοῦ εὐσεβῶς πρεσβεύει, πλὴν ὅτι οὐσίας δύο καὶ φύσεις δύο λέγει, τῷ τῆς οὐσίας καὶ φύσεως ὀνόματι, ὡς δῆλον ἔκ τε τῶν ἑπομένων καὶ προηγουμένων τοῦ χωρίου, ἀντὶ τῆς ὑποστάσεως, καὶ οὐχ ὡς οἱ Ἀρείῳ προσανακείμενοι, χρώμενος. περὶ μέντοι τοῦ πνεύματος ἐπισφαλῶς λίαν καὶ δυσσεβῶς δογματίζει· ὑποβεβηκέναι γὰρ αὐτὸ τῆς τοῦ πατρὸς καὶ υἱοῦ ἀποφάσκει δόξης. ἔχει δὲ χρῆσιν εἰς τὸν λόγον οὗ ἐπιγραφὴ „εἰς τὸ κατὰ Λουκᾶν,” δι' ἧς ἐστι παριστᾶν ὅτι ἡ τῆς εἰκόνος τιμὴ καὶ ἡ ἀτιμία τοῦ πρωτοτύπου ἐστὶ τιμὴ ἢ πάλιν ἀτιμία. ὑπαινίττεται δὲ οὗτος, κατὰ τὸν Ὠριγένους ὕθλον, καὶ προΰπαρξιν ψυχῶν. ἔχει δὲ καὶ ἐν τῷ εἰς τὸ πάσχα καὶ τὸν Ὠσηὲ λόγῳ περί τε τῶν ποιηθέντων Χερουβὶμ τῷ Μωϋσεῖ καὶ περὶ τῆς τοῦ Ἰακὼβ στήλης, ἐν οἷς τὴν μὲν ποίησιν αὐτῶν ὁμολογεῖ, οἰκονομίας δὲ λόγῳ συγχωρηθῆναι ματαιολογεῖ, ὡς οὐδὲν ἦσαν, ὡς ἕτερον ἦσαν, ὡς ἕτερον τὰ γεγενημένα, οὐδὲ τύπον ἄλλον ἔφερε μορφῆς, ἀλλὰ μόνον πτερύγων κενολογεῖ φέρειν αὐτὰ σχῆμα.

Οὗτος ὁ Πιέριος πρεσβύτερος ἦν τῆς κατὰ Ἀλεξάνδρειαν ἐκκλησίας Θεωνᾶ τηνικαῦτα ταύτης ἀρχιερατεύοντος, ἡνίκα Κᾶρος καὶ Διοκλητιανὸς τὰ Ῥωμαίων σκῆπτρα ἔφερον. καὶ ἐπὶ τοσοῦτον δ' αὐτὸν ἐλάσαι λέγουσι φιλοπονίας καὶ εὐφυΐας καὶ τῆς ἐν πλήθεσιν ὁμιλίας τέρψιν παρέχειν σὺν ὠφελείᾳ, ὥστε καὶ νέον ὀνομασθῆναι Ὠριγένην· ἦν γὰρ τότε ἐν τοῖς ἀξιολογωτάτοις Ὠριγένης. διαλεκτικὴν δὲ καὶ ῥητορικὴν αὐτόν φασιν ἀσκηθῆναι, καὶ ἐγκρατείας δὲ καὶ ἑκουσίου πτωχείας ἐραστὴν γενέσθαι. καὶ οἱ μὲν αὐτὸν καὶ μαρτυρίῳ τὸν βίον τελειῶσαι, οἱ δὲ μετὰ τὸν διωγμὸν τὸν ὑπόλοιπον τοῦ ζῆν χρόνον ἐν Ῥώμῃ διαγεγονέναι.

## 120.

Ἀνεγνώσθη βιβλίον ΕΙΡΗΝΑΙΟΥ ἐπισκόπου Λουγδούνων (ἐν Κελτοῖς δὲ τὰ Λούγδουνα), λόγοι εʹ· οὗ ἡ ἐπιγραφὴ „ἐλέγχου καὶ ἀνατροπῆς τῆς ψευδωνύμου γνώσεως”, τοῦτο δέ ἐστι κατὰ αἱρέσεων. ὧν ὁ πρῶτος, διαλαμβάνων περὶ Οὐαλεντίνου ”καὶ 301 R.
τῆς κατ' αὐτὸν ἀθέου πλάνης, ἀπάρχεται ὥσπερ ἀναποδίζων καὶ ἄνωθεν διεξιὼν ἀπὸ Σίμωνος τοῦ μάγου μέχρι Τατιανοῦ, ὃς τὰ πρῶτα μαθητὴς Ἰουστίνου τοῦ μάρτυρος χρηματίσας ὕστερον εἰς πλάνην ἐξεκυλίσθη αἱρέσεως. ἔτι δὲ διαλαμβάνει περὶ τῶν ἰδίως γνωστικῶν καλουμένων καὶ τῶν Καϊνῶν, τὰ βδελυρὰ αὐτῶν ἐκ-

a. 2. κατὰ Ὠριγένους post πρεσβυτέρων ponit ς. 10. τὸν Ὠριγ. τῆς Ἀλεξ. ς. 26. ἱδρύνθησαν ς. 37. καὶ add A.
b 4. οἱ add A. 8 οὐ] οὐ ἡ ς. 9. ἡ post καὶ add A. 13. post Μωϋσεῖ cum Roth. omisi ὡς οὐδὲν ἦσαν. 16. ὡς ἕτερον ἦσαν add A. ἕτερα τὰ ς. 17. οὐδὲ A: ὡς οὐδὲ ς. 18. καινολογεῖ A. 19. Οὗτος — 30. διαγεγονέναι add A. eadem C habet in mg posita: ἐν ἄλλῳ ἀντιγράφῳ οὕτως ἔχον εὕρηται. 29. ὁ A. 39. ἄχρι ς. 40. μετακυλίσθη ς. 42. λεγομένων ς.

τιθεὶς δόγματα· ἐν οἷς καὶ ὁ πρῶτος λόγος. ὁ δὲ δεύτερος ἀνατροπὴν περιέχει τῶν τοῖς αἱρεσιώταις ἀσεβῶς δογματιζομένων. ὁ δὲ τρίτος καὶ γραφικὰς κατ᾽ αὐτῶν προκομίζει παντοδαπὰς μαρτυρίας. ὁ δὲ τέταρτος τὰς παρὰ τῶν αἱρετικῶν προτεινομένας ἀπορίας διαλύει. καὶ ὁ πέμπτος δέ, ὅσα διὰ παραβολῶν ἐλέχθη τε καὶ ἐπράχθη ὑπὸ τοῦ κυρίου, ἐκ τῶν ὑπολοίπων τῆς σωτηριώδους αὐτοῦ διδασκαλίας καὶ ἐκ τῶν ἀποστολικῶν ἐπιστολῶν ταῖς αἱρετικαῖς τερθρείαις εἰς ἔλεγχον ἁρμόζειν παρίστησι.

Πολλὰ δὲ τοῦ θεσπεσίου Εἰρηναίου καὶ παντοδαπὰ καὶ ἕτερα συγγράμματα καὶ ἐπιστολαὶ φέρονται, εἰ καὶ ἔν τισιν αὐτῶν ἡ τῆς κατὰ τὰ ἐκκλησιαστικὰ δόγματα ἀληθείας ἀκρίβεια νόθοις λογισμοῖς κιβδηλεύεται, ἃ χρὴ παρασημαίνεσθαι.

Τοῦτόν φασι γενέσθαι Πολυκάρπου μὲν τοῦ ἱερομάρτυρος Σμύρνης ἐπισκόπου μαθητήν, πρεσβύτερον δὲ Ποθεινοῦ, οὗ καὶ τῆς ἐπισκοπῆς τῶν Λουγδούνων διάδοχος κατέστη. Βίκτωρ δὲ ἄρα κατ᾽ ἐκεῖνο καιροῦ Ῥώμης ἐπεσκόπει, πρὸς ὃν καὶ πολλάκις γράφει, παραινῶν μὴ ἕνεκεν τῆς περὶ τοῦ πάσχα διαφωνίας τινὰς τῆς ἐκκλησίας ἀποκηρύττειν.

## 121.

Ἀνεγνώσθη βιβλιδάριον ἹΠΠΟΛΥΤΟΥ· μαθητὴς δὲ Εἰρηναίου ὁ Ἱππόλυτος. ἦν δὲ τὸ σύνταγμα κατὰ
162 H. αἱρέσεων λβʹ, ἀρχὴν ποιούμενον Δοσιθεανούς, καὶ μέχρι Νοητοῦ καὶ Νοητιανῶν διαλαμβάνον. ταύτας δέ φησιν ἐλέγχοις ὑποβληθῆναι ὁμιλοῦντος Εἰρηναίου, ὧν καὶ σύνοψιν ὁ Ἱππόλυτος ποιούμενος τόδε τὸ βιβλίον φησὶ συντεταχέναι. τὴν δὲ φράσιν σαφής ἐστι καὶ ὑπόσεμνος καὶ ἀπέριττος, εἰ καὶ πρὸς τὸν Ἀττικὸν οὐκ ἐπιστρέφεται λόγον. λέγει δὲ ἄλλα τέ τινα τῆς ἀκριβείας λειπόμενα, καὶ ὅτι ἡ πρὸς Ἑβραίους ἐπιστολὴ οὐκ ἔστι τοῦ ἀποστόλου Παύλου. λέγεται δὲ οὗτος καὶ προσομιλεῖν τῷ λαῷ κατὰ μίμησιν Ὠριγένους, οὗ καὶ συνήθης μάλιστα καὶ ἐραστὴς τῶν λόγων ὑπῆρχεν, ὡς καὶ προτρέψασθαι αὐτὸν τὴν θείαν ὑπομνηματίσαι γραφήν, ἐγκαταστήσας αὐτῷ καὶ ὑπογραφέας, ἑπτὰ ταχυγράφους καὶ ἑτέρους τοσούτους γράφοντας εἰς κάλλος, ὧν ἦν καὶ τῆς δαπάνης αὐτὸς χορηγός· καὶ ταῦτα ὑπηρετούμενος αὐτῷ ἀπαιτεῖν αὐτὸν ἀπαραιτήτως τὸ ἔργον, ἐξ οὗ καὶ ἐργοδιώκτην ἐν μιᾷ τῶν ἐπιστολῶν παρὰ Ὠριγένους κληθῆναι. πλεῖστα δὲ καὶ οὗτος λέγεται συγγεγραφέναι.

## 122.

Ἀνεγνώσθη ἘΠΙΦΑΝΙΟΥ τοῦ ἁγιωτάτου ἐπισκόπου τὰ πανάρια, ἐν τεύχεσι μὲν γʹ, τόμοις δὲ ζʹ, κατὰ αἱρέσεων δὲ πʹ. ἄρχεται μὲν ἀπὸ τοῦ βαρβαρισμοῦ, κάτεισι 304 R.
δὲ μέχρι τῶν Μεσσαλιανῶν. πάντων δὲ τῶν πρὸ αὐτοῦ κατὰ αἱρέσεων καταβεβληκότων πόνους πλατύτερός τε καὶ χρησιμώτερος, ὅτι ἅπερ τε ἐκείνοις ἐρρήθη τὸ χρήσιμον ἔχοντα, οὗτος οὐ παραλέλοιπε, καὶ εἴ τι προσεξευρεῖν ἠδυνήθη, προσέθηκε. τὴν δὲ φράσιν ταπεινός τε καὶ οἷα εἰκὸς Ἀττικῆς παιδείας ἀμελέτητον τυγχάνειν. ἀσθενὴς δὲ ἐκ τοῦ ἐπὶ πλεῖστον ἐν ταῖς κατὰ τῶν δυσσεβῶν αἱρέσεων συμπλοκαῖς· ἐνιαχοῦ μέντοι ἀριστεύει ταῖς ἐπιβολαῖς, εἰ καὶ τῶν ῥημάτων αὐτῷ καὶ τῆς συντάξεως οὐδὲν τὸ ἰδίωμα συμβελτιοῦται.

## 123.

Ἀνεγνώσθη τοῦ αὐτοῦ ὁ Ἀγκυρωτός, σύνοψις ὥσπερ τῶν παναρίων ὑπάρχουσα.

## 124.

Ἀνεγνώσθη τοῦ αὐτοῦ

## 125.

Ἀνεγνώσθη ἸΟΥΣΤΙΝΟΥ τοῦ μάρτυρος ἀπολογία ὑπὲρ Χριστιανῶν καὶ κατὰ Ἑλλήνων καὶ κατὰ Ἰουδαίων, καὶ ἔτι ἑτέρα αὐτοῦ πραγματεία κατὰ τοῦ πρώτου καὶ δευτέρου τῆς φυσικῆς ἀκροάσεως, ἤτοι κατὰ εἴδους καὶ ὕλης καὶ στερήσεως, ἐπιχειρηματικοὶ καὶ βίαιοι καὶ χρειώδεις λόγοι, καὶ κατὰ τοῦ πέμπτου σώματος ὁμοίως, καὶ κατὰ τῆς ἀϊδίου κινήσεως, ἣν Ἀριστοτέλης δεινότητι λογισμῶν ἐναπέτεκεν, ἔτι τε ἀποριῶν κατὰ τῆς εὐσεβείας κεφαλαιώδεις ἐπιλύσεις. ἔστι δὲ φιλοσοφίας μὲν ὁ ἀνὴρ τῆς τε καθ᾽ ἡμᾶς καὶ μάλιστά γε τῆς θύραθεν εἰς ἄκρον ἀνηγμένος, πολυμαθίᾳ τε καὶ ἱστοριῶν περιρρεόμενος πλούτῳ· ῥητορικαῖς δὲ τέχναις οὐκ ἔσχε σπουδὴν ἐπιχρῶσαι τὸ ἔμφυτον αὐτοῦ τῆς φιλοσοφίας κάλλος. διὸ καὶ οἱ λόγοι αὐτοῦ ἄλλως ὄντες δυνατοὶ καὶ τὸ ἐπιστημονικὸν διασώζοντες, τῶν ἐκεῖθεν οὐκ εἰσὶν ἀποστάζοντες ἡδυσμάτων, 163 H
οὐδὲ τῷ ἐπαγωγῷ καὶ θελκτηρίῳ τοὺς πολλοὺς τῶν ἀκροατῶν ἐφελκόμενοι. τέσσαρας δὲ πραγματείας κατὰ τῶν ἐθνῶν συνέταξεν, ὧν τὴν μὲν πρώτην Ἀντωνίνῳ τῷ ἐπίκλην Πίῳ καὶ τοῖς υἱέσι τῇ τε συγκλήτῳ ἐπέδωκε, τὴν δὲ δευτέραν ὁμοίως τοῖς ἐκείνου διαδόχοις. ἐν δὲ τῇ τρίτῃ περὶ φύσεως δαιμόνων διείλεκται. ὁ δὲ τέταρτος αὐτῷ λόγος, ὁμοίως κατὰ

a. 1. ὁ post καὶ add *A*. 21. ἕνεκα ς. 27. διαλαμβανόμενον ς. 34. οὗτος καὶ *A*: καὶ οὗτος ς.
b. 19. τοῦ αὐτοῦ om pr *A*. deinde lacuna in *A* versuum 3½, in *C* 1½. 31. πολυμαθείᾳ ς. 41. ἐπέδωκε ς.

Digitized by Google

τῶν ἐθνῶν συγκείμενος, ἔλεγχος ἐπιγραφὴν ἔχει. ἔστι δὲ αὐτῷ καὶ ὁ περὶ θεοῦ μοναρχίας, καὶ ὁ ἐπιγραφόμενος ψάλτης, καὶ μὴν καὶ κατὰ Μαρκίωνος, ἀναγκαῖοι λόγοι, καὶ ἡ κατὰ πασῶν αἱρέσεων χρήσιμος πραγματεία.

Οὗτος υἱὸς μὲν ἔφυ Πρίσκου Βακχείου, πατρίδα δὲ εἶχε Νεάπολιν τὴν ὑπὸ τὴν ἐπαρχίαν τελοῦσαν Παλαιστίνης, ἐν Ῥώμῃ δὲ τὰς διατριβὰς εἶχε, φιλόσοφος ὢν καὶ τοῖς λόγοις καὶ τῷ βίῳ καὶ τῷ σχήματι. διάπυ-
305 R. ρος δὲ τῆς εὐσεβείας ὢν ἐραστὴς, εἶχε Κρίσκην ἕνα τινὰ τῶν καλουμένων κυνικῶν ἀντιπολιτευόμενον αὐτῷ καὶ τῷ βίῳ καὶ τῇ θρησκείᾳ. ὑφ' οὗ καὶ συσκευασθεὶς ἀξίως τῆς ὅλης τοῦ βίου προαιρέσεως καὶ τὴν ἐπιβουλὴν συνδιέθηκε· μαρτυρίου γοῦν ταύτην ὑπόθεσιν ἐνστησάμενος, λαμπρῶς καὶ χαίρων τὸν ὑπὲρ Χριστοῦ θάνατον ἀνεδέξατο.

## 126.

Ἀνεγνώσθη βιβλιδάριον ἐν ᾧ ΚΛΗΜΕΝΤΟΣ ἐπιστολαὶ πρὸς Κορινθίους β' ἐνεφέροντο, ὧν ἡ πρώτη δι' αἰτίας αὐτοὺς ἄγει, στάσεσι καὶ ταραχαῖς καὶ σχίσμασι τὴν πρέπουσαν αὐτοῖς εἰρήνην καὶ ὁμόνοιαν ἐμπολιτεύεσθαι λύσαντας, καὶ παραινεῖ παύσασθαι τοῦ κακοῦ. ἁπλοῦς δὲ κατὰ τὴν φράσιν καὶ σαφής ἐστι καὶ ἐγγὺς τοῦ ἐκκλησιαστικοῦ καὶ ἀπεριέργου χαρακτῆρος. αἰτιάσοιτο δ' ἄν τις αὐτὸν ἐν ταύταις ὅτι τε τοῦ ὠκεανοῦ ἔξω κόσμους τινὰς ὑποτίθεται εἶναι, καὶ δεύτερον ἴσως ὅτι ὡς παναληθεστάτῳ τῷ κατὰ τὸν φοίνικα τὸ ὄρνεον ὑποδείγματι κέχρηται, καὶ τρίτον ὅτι ἀρχιερέα καὶ προστάτην τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐξονομάζων οὐδὲ τὰς θεοπρεπεῖς καὶ ὑψηλοτέρας ἀφῆκε περὶ αὐτοῦ φωνάς· οὐ μὴν οὐδ' ἀπαρακαλύπτως αὐτὸν οὐδαμοῦ ἐν τούτοις βλασφημεῖ. ἡ δὲ δευτέρα καὶ αὐτὴ νουθεσίαν καὶ παραίνεσιν κρείττονος εἰσάγει βίου, καὶ ἐν ἀρχῇ θεὸν τὸν Χριστὸν κηρύσσει, πλὴν ὅτι ῥητά τινα ὡς ἀπὸ τῆς θείας γραφῆς ξενίζοντα παρεισάγει· ὧν οὐδ' ἡ πρώτη ἀπήλλακτο παντελῶς. καὶ ἑρμηνείας δὲ ῥητῶν τινῶν ἀλλοκότους ἔχει. ἄλλως τε δὲ καὶ τὰ ἐν αὐταῖς νοήματα ἐρριμμένα πως καὶ οὐ συνεχῆ τὴν ἀκολουθίαν ὑπῆρχε φυλάττοντα.

Ἐν τῷ αὐτῷ δὲ βιβλιδαρίῳ ἀνεγνώσθη καὶ ΠΟΛΥΚΑΡΠΟΥ ἐπιστολὴ πρὸς Φιλιππησίους, γέμουσα πολλῆς νουθεσίας μετὰ σαφηνείας καὶ ἁπλότητος κατὰ τὸν ἐκκλησιαστικὸν τῆς ἑρμηνείας τύπον. λέγει δὲ καὶ τὰς ἐπιστολὰς αὐτοῖς Ἰγνατίου τοῦ θεοφόρου ἀπεσταλκέναι, καὶ αἰτεῖται ἀναδιδαχθῆναι παρ' αὐτῶν εἴ τι περὶ ἐκείνου διακούσαιεν.

## 127.

Ἀνεγνώσθη ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ ἡ εἰς Κωνσταντῖνον τὸν μέγαν βασιλέα ἐγκωμιαστικὴ 308 R.
τετράβιβλος, ἐν ᾗ περιέχεται ἥ τε τοῦ ἀνδρὸς ἄλλη πολιτεία ἐξ αὐτῆς πρώτης ἡλικίας ἀρχομένη, καὶ ὅσαι πρὸς τὴν ἐκκλησιαστικὴν ἱστορίαν συντελοῦσι πράξεις, 164 H.
μέχρις οὗ τὸν βίον ἀπέλιπεν, εἰς ἑξηκοστὸν καὶ τέταρτον παραταθέντα χρόνον. ἔστι μὲν οὖν κἀνταῦθα τὴν φράσιν ὅμοιος ἑαυτῷ, πλὴν μικρόν τι πρὸς τὸ λαμπρότερον ἐκβεβίασται αὐτῷ ὁ λόγος, καὶ λέξεις εἰς τὸ ἀνθηρότερον ἐνιαχοῦ συνελήφθησαν· τῆς μέντοι κατὰ τὴν ἑρμηνείαν ἡδονῆς καὶ χάριτος οὐδὲν μέγα, ὥσπερ οὐδὲ ἐν τοῖς ἄλλοις, ἐμφαίνεται. καταστρώννυσι δὲ ἐν ταύτῃ αὐτοῦ τῇ τετραβίβλῳ πάμπολλα χωρία ἐξ ὁλοκλήρου τῆς ἐκκλησιαστικῆς αὐτοῦ δεκαλόγου ἱστορίας. λέγει μὲν οὖν καὶ αὐτὸς ἐν Νικομηδείᾳ τὸν μέγαν Κωνσταντῖνον βαπτίσασθαι, μέχρι τότε τὸ λουτρὸν ἀναβαλλόμενον ἅτε δὴ ἐν ἐπιθυμίᾳ ποιούμενον τοῖς Ἰορδάνου τὸ λουτρὸν ὑποδέξασθαι· τίς δὲ ὁ βαπτίσας, οὐδὲν διασαφεῖ. περὶ μέντοι γε τῆς Ἀρειανῆς αἱρέσεως οὐδὲν σαφὲς ἀπαγγέλλει, οὐδ' εἰ τῆς δόξης ἐκείνης εἴχετο, οὐδ' ὅτι μεταβέβληται, ἀλλ' οὐδ' ὅτι φαύλως ἢ ὀρθῶς ἐδόξαζεν Ἄρειος, καίπερ ἀνάγκην ἔχων ἐν μνήμῃ ταῦτα ποιήσασθαι ἅτε δὴ μέγα μέρος ἐπεχούσης τῆς συνόδου τῶν τοῦ μεγάλου πράξεων Κωνσταντίνου, κἀκείνης πάλιν ἐξαπαιτούσης τὴν περὶ τούτων λεπτομερεστάτην ἱστορίαν. ἀλλὰ στάσιν μὲν ἐμπεσεῖν μεταξὺ Ἀρείου καὶ Ἀλεξάνδρου, τὴν αἵρεσιν οὕτω λέγων καὶ ὑποκρυπτόμενος, ἀποφαίνεται, ἐπί τε τῇ στάσει λίαν ἀλγῆσαι τὸν θεοφιλῆ βασιλέα, καὶ ἀγωνίσασθαι διά τε ἐπιστολῶν διά τε τοῦ Ὁσίου, ὃς Κουδρόβης ἐπεσκόπει, εἰς φιλίαν καὶ ὁμόνοιαν συζεῦξαι τὸ στασιάζον, τῆς πρὸς ἀλλήλους ἔριδος ἀφεμένους καὶ τῶν τοιούτων ζητήσεων, ὡς δ' οὐκ ἔπειθε, σύνοδον πανταχόθεν ἀθροῖσαι καὶ τὴν ἐμπεσοῦσαν ἔριν εἰς εἰρήνην διαλύσασθαι· οὐ μὴν εἰς τὸ ἀκριβὲς καὶ ἐπίδηλον ἀναγράφεται. οὗτος οὖν ὥσπερ αἰσχυνομένῳ ἐοικὼς καὶ μὴ βουλομένῳ δημοσιεύειν Ἄρειον τήν τε τῆς συνόδου ἐξενηνεγμένην κατ' αὐτοῦ ψῆφον καὶ τῶν συνασεβησάντων αὐτῷ καὶ συνεξωσθέντων τὴν δικαίαν εἴσπραξιν, οὐ μὴν ἀλλ'

a. 3. καὶ post μὴν om A. 10. κρισκῇ corr A. 14. συνέθηκε ς. 34. Χριστὸν τὸν θεὸν ς. 43. λέγεται A.
b. 31. οὕτω A: δ' οὕτω ς. 41. ἀρεῖον A.

Digitized by Google

οὐδ' ἣν θεόθεν πᾶς ὀφθαλμὸς εἶδεν ἔνδικον Ἀρείου καταστροφήν, οὐδὲν τούτων ἄγων εἰς φῶς, τήν τε περὶ τῆς συνόδου καὶ τῶν ἐν αὐτῇ πραχθέντων καὶ περὶ αὐτὴν ἱστορίαν παρέδραμε. διὸ καὶ περὶ τοῦ θεσπεσίου Εὐσταθίου διηγεῖσθαι μέλλων οὔτε τοῦ ὀνόματος μέμνηται, οὐδ' ὅσα περὶ αὐτὸν ἐτολμήθη καὶ εἰς ἔργον ἀποβέβηκεν· ἀλλ' εἰς στάσιν καὶ ταραχὴν ἀνάγων καὶ ταῦτα γαληνίας καὶ πάλιν ἐπιλέγει, ἐπισκόπων κατὰ τὴν Ἀντιόχειαν συνδεδραμηκότων σπουδῇ βασιλέως καὶ συνεργίᾳ, καὶ τὸ στασιάζον καὶ ταραττόμενον εἰς τὸ εἰρηναῖον μεταβεβληκότων. ὁμοίως δὲ καὶ ἐν οἷς ὁ πολύαθλος ἐσκευωρήθη Ἀθανάσιος, εἰς ταῦτα τὴν ἱστορίαν ὁρμήσας ἐπαφεῖναι, στάσεως μὲν ἐμπλησθῆναι πάλιν καὶ ταραχῆς τὴν Ἀλεξάνδρειαν λέγει, καὶ ταύτην πραϋνθῆναι ἐπισκόπων παρουσίᾳ τὴν βασιλικὴν ἐχόντων συμμαχίαν· οὔτε δὲ τίς ἦν ὁ στασιάζων οὐδ' ἥτις ἡ στάσις, ἢ τί καὶ πράξαντες τὴν ἔριν ἐπράϋναν, οὐδὲν οὐδ' ὅλως 309 R. 165 H. ποιεῖται ἐπίδηλον. "καὶ σχεδὸν ἐν οἷς "ἐπισκόπων πρὸς ἀλλήλους φιλονεικίαι περὶ δογμάτων ἢ περί τινων ἄλλων διαφωνίαι γεγόνασι, τὸν αὐτὸν τῆς ἐπικρύψεως ἐν τῇ διηγήσει τύπον διαφυλάττει.

## 128.

Ἀνεγνώσθη ΛΟΥΚΙΑΝΟΥ ὑπὲρ Φαλάριδος, καὶ νεκρικοὶ καὶ ἑταιρικοὶ διάλογοι διάφοροι, καὶ ἕτεροι διαφόρων ὑποθέσεων λόγοι, ἐν οἷς σχεδὸν ἅπασι τὰ Ἑλλήνων κωμῳδεῖ, τήν τε τῆς θεοπλαστίας αὐτῶν πλάνην καὶ μωρίαν καὶ τὴν εἰς ἀσέλγειαν ἄσχετον ὁρμὴν καὶ ἀκρασίαν, καὶ τῶν ποιητῶν αὐτῶν τὰς τερατώδεις δόξας καὶ ἀναπλάσεις, καὶ τὸν ἐντεῦθεν πλάνον τῆς πολιτείας, καὶ τοῦ ἄλλου βίου τὴν ἀνώμαλον περιφορὰν καὶ τὰς περιπτώσεις, καὶ τῶν φιλοσόφων αὐτῶν τὸ φιλόκομπον ἦθος καὶ μηδὲν ἄλλο πλὴν ὑποκρίσεως καὶ κενῶν δοξασμάτων μεστόν· καὶ ἁπλῶς, ὡς ἔφημεν, κωμῳδία τῶν Ἑλλήνων ἐστὶν αὐτῷ ἡ σπουδὴ ἐν λόγῳ πεζῷ. ἔοικε δὲ αὐτὸς τῶν μηδὲν ὅλως πρεσβευόντων εἶναι· τὰς γὰρ ἄλλων κωμῳδῶν καὶ διαπαίζων δόξας, αὐτὸς ἣν θειάζει οὐ τίθησι, πλὴν εἴ τις αὐτοῦ δόξαν ἐρεῖ τὸ μηδὲν δοξάζειν. τὴν μέντοι φράσιν ἐστὶν ἄριστος, λέξει εὐσήμῳ τε καὶ κυρίᾳ καὶ τῷ ἐμφατικῷ διαπρεπούσῃ κεχρημένος, εὐκρινείας τε καὶ καθαρότητος μετὰ τοῦ λαμπροῦ καὶ συμμέτρου μεγέθους, εἴ τις ἄλλος, ἐραστής. συνθήκη τε αὐτῷ [illegible]ος ἥρμοσται, ὥστε δοκεῖν τὸν ἀναγινώσκοντα μὴ λόγους λέγειν, ἀλλὰ μέλος τι τερπνὸν χωρὶς ἐμφανοῦς ᾠδῆς τοῖς ὠσὶν ἐναποστάζειν τῶν ἀκροατῶν. καὶ ὅλως, ὥσπερ ἔφημεν, ἄριστος ὁ λόγος αὐτῷ καὶ οὐ πρέπων ὑποθέσεσιν, ἃς αὐτὸς ἔγνω σὺν τῷ γελοίῳ διαπαῖξαι. ὅτι δὲ αὐτὸς τῶν μηδὲν ἦν ὅλως δοξαζόντων, καὶ τὸ τῆς βίβλου ἐπίγραμμα δίδωσιν ὑπολαμβάνειν· ἔχει γὰρ ὧδε

Λουκιανὸς τάδ' ἔγραψα, παλαιά τε μωρά τε εἰδώς·
μωρὰ γὰρ ἀνθρώποις καὶ τὰ δοκοῦντα σοφά.
οὐδὲν ἐν ἀνθρώποισι διακριδόν ἐστι νόημα·
ἀλλ' ὃ σὺ θαυμάζεις, τοῦθ' ἑτέροισι γέλως.

## 129.

Ἀνεγνώσθη ΛΟΥΚΙΟΥ ΠΑΤΡΕΩΣ μεταμορφώσεων λόγοι διάφοροι. ἐστὶ δὲ τὴν φράσιν σαφής τε καὶ καθαρὸς καὶ φίλος γλυκύτητος· φεύγων δὲ τὴν ἐν λόγοις καινοτομίαν, εἰς ὑπερβολὴν διώκει τὴν ἐν τοῖς διηγήμασι τερατείαν, καὶ ὡς ἄν τις εἴποι, ἄλλος ἐστὶ Λουκιανός. οἱ δέ γε πρῶτοι αὐτοῦ δύο λόγοι μόνον οὐ μετεγράφησαν Λουκίῳ ἐκ τοῦ Λουκιανοῦ λόγου ὃς ἐπιγέγραπται Λοῦκις ἢ ὄνος, ἢ ἐκ τῶν Λουκίου λόγων Λουκιανῷ. ἔοικε δὲ μᾶλλον ὁ Λουκιανὸς μεταγράφοντι, ὅσον εἰκάζειν· τίς γὰρ χρόνῳ πρεσβύτερος, οὔπω ἔχομεν γνῶναι. καὶ γὰρ ὥσπερ ἀπὸ πλάτους τῶν Λουκίου λόγων ὁ Λουκιανὸς ἀπολεπτύνας, καὶ περιελὼν ὅσα μὴ ἐδόκει αὐτῷ πρὸς τὸν οἰκεῖον χρήσιμα σκοπόν, αὐταῖς τε λέξεσι καὶ συντάξεσιν εἰς ἕνα τὰ λοιπὰ συναρμόσας λόγον, Λοῦκις ἢ ὄνος ἐπέγραψε τὸ ἐκεῖθεν ὑποσυλ[illegible]θέν. "γέμει δὲ ὁ ἑκατέρου λόγος πλασμάτων μὲν μυθικῶν, 312 R. ἀῤῥητοποιίας δὲ αἰσχρᾶς. πλὴν ὁ μὲν Λουκιανὸς "σκώ- 166 H. πτων καὶ διασύρων τὴν Ἑλληνικὴν δεισιδαιμονίαν, ὥσπερ κἂν τοῖς ἄλλοις, καὶ τοῦτον συνέταττεν· ὁ δὲ Λούκιος σπουδάζων τε, καὶ πιστὰς νομίζων τὰς ἐξ ἀνθρώπων εἰς ἀλλήλους μεταμορφώσεις τάς τε ἐξ ἀλόγων εἰς ἀνθρώπους καὶ ἀνάπαλιν καὶ τὸν ἄλλον τῶν παλαιῶν μύθων ὕθλον καὶ φλήναφον, γραφῇ παρεδίδου ταῦτα καὶ συνύφαινεν.

## 130.

Ἀνεγνώσθησαν ΔΑΜΑΣΚΙΟΥ λόγοι δ', ὧν ὁ μὲν πρῶτος ἐπιγραφὴν ἔχει περὶ παραδόξων ποιημάτων κεφάλαια τνβ', ὁ δὲ δεύτερος παραδόξων περὶ δαιμονίων διηγημάτων κεφάλαια νβ', ὁ δὲ τρίτος περὶ τῶν μετὰ θάνατον ἐπιφαινομένων ψυχῶν παραδόξων διηγημάτων κεφάλαια ξγ', ὁ δὲ τέταρτος καὶ παραδόξων φύσεων κεφάλαια ρέ· ἐν οἷς ἅπασιν ἀδύνατα

a. 3. καὶ περὶ αὐτὴν add A. 5. μέλλων διηγεῖσθαι ς. 14. libri λέγεται. 16. ὁ et 17. οὐδὲν add A. 43. μέρος ς. b. 12. μεταμορφώσεως ς. 17. δέ γε an habeat A, non liquet. 19 et 26. λουκὶς ς. 39. περὶ om A.

τε καὶ ἀπίθανα καὶ κακόπλαστα τερατολογήματα καὶ μωρὰ καὶ ὡς ἀληθῶς ἄξια τῆς ἀθεότητος καὶ δυσσεβείας Δαμασκίου, ὃς καὶ τοῦ φωτὸς τῆς εὐσεβείας τὸν κόσμον πληρώσαντος αὐτὸς ὑπὸ βαθεῖ σκότῳ τῆς εἰδωλολατρείας ἐκάθευδε. κεφαλαιώδης δὲ αὐτῷ ἐν τούτοις ὁ λόγος, καὶ οὔτε ἄκομψος οὔτε τὸ σαφὲς ὑπερορῶν, ὡς ἐν διηγήμασι τοιούτοις.

131.

Ἀνεγνώσθη ΑΜΥΝΤΙΑΝΟΥ εἰς Ἀλέξανδρον· προσφωνεῖ δὲ τὸν λόγον τῷ αὐτοκράτορι Ῥωμαίων Μάρκῳ, καὶ ἐπαγγέλλεται μὲν ἀξίως εἰπεῖν τῶν Ἀλεξάνδρου πράξεων, ἐδείχθη δὲ προϊὼν ὡς ἐπαγγεῖλαι μὲν ἐστιν ἔνθερμος καὶ τολμητής, πληρῶσαι δὲ τὴν ἐπαγγελίαν ψυχρὸς καὶ δειλός· πολὺ γὰρ καταδεέστερον καὶ τῶν ἔμπροσθεν εἰρηκότων λέγει περὶ αὐτοῦ, ἀτόνῳ δὲ καὶ ἐκλύτῳ χαρακτῆρι χρῆται. τοῦ μέντοι σαφοῦς οὐ διαπίπτει, πολλὰ δὲ τῶν ἀναγκαίων παραλιμπάνει.

Ὁ αὐτὸς δὲ καὶ ἑτέρους λόγους ἔγραψε διαφόρους, καὶ παραλλήλους συνέθηκε βίους, ὥσπερ Διονυσίου ϗ Δομιτιανοῦ ἐν δυσὶ λόγοις, Φιλίππου τε Μακεδόνων ϗ Αὐγούστου ἐν ἑτέροις δυσίν. ἔτι δὲ ϗ περὶ Ὀλυμπιάδος τῆς Ἀλεξάνδρου μητρὸς λόγον ἔγραψεν.

132. 133. 134. 135.

Ἀνεγνώσθησαν ΠΑΛΛΑΔΙΟΥ σοφιστοῦ μελέται διάφοροι, καὶ ΑΦΘΟΝΙΟΥ ϗ ΕΥΣΕΒΙΟΥ σοφιστοῦ καὶ ΜΑΞΙΜΟΥ σοφιστοῦ Ἀλεξανδρέως. ἀλλὰ τῶν ἄλλων ὁ Παλλάδιος κατὰ πᾶσαν ἀρετὴν τὴν ἐν λόγοις ἐπὶ πλεῖστον διενήνοχεν.

136.

Ἀνεγνώσθησαν ΚΥΡΙΛΛΟΥ οἱ θησαυροί. ἐπιχει-
313 B. ρηματικόν ἐστι τὸ βιβλίον, καὶ κατὰ τῆς Ἀρείου καὶ Εὐνομίου λύσσης γενναίως καὶ πολυτρόπως ἀγωνιζόμενον· καὶ γὰρ ϗ λογικαῖς ἐφόδοις ἐπιστημόνως αὐτῶν ἀπελέγχει τὴν ἄνοιαν, ϗ γραφικὰς αὐταῖς συμπλέκων καὶ συνυφαίνων χρήσεις πανταχόθεν τὸ σαθρὸν αὐτῶν στηλιτεύει τοῦ δόγματος. τίθησι δὲ καὶ μαρτυρίας ἁπλῶς τῆς γραφῆς ὁ θεσπέσιος Κύριλλος, εἰς ἀμηχανίαν αὐτῶν διὰ πάντων συγκλείων τὸ φρύαγμα. ἔστι δὲ τῶν ἑαυτοῦ λόγων ἐνταῦθα, ϗ μάλιστα τοῖς ἔννοιαν λαβοῦσι τῶν λογικῶν ἐφόδων, σαφέστατος.

137.

B. Ἀνεγνώσθη βιβλιδάριον ΕΥΝΟΜΙΟΥ, τῆς οἰκείας δυσσεβείας ἔκθεσις, ὃ ἡ ἐπιγραφή ..... τοῦτο τὸ βιβλιδάριον ἐπεὶ τοῖς συναιρεσιώταις Εὐνομίου διὰ θαύματος μὲν ἤγετο, κρύφιον δὲ καὶ ἀνέκφορον τοῖς ἄλλοις εἶναι διεσπούδαστο, μόλις ποτὲ ὁ μέγας Βασίλειος ἐπὶ χεῖρας λαβεῖν δυνηθείς, γενναίως τε ϗ λαμπρῶς, καὶ εἴ τις ἀρετὴ λόγων καὶ ἰσχύς, διὰ πασῶν ἐλθών, ἀνέτρεψέ τε ϗ ἀνεσκεύασεν, ὥσπερ τι νήπιον Βαβυλώνιον τῇ στερρᾷ τῆς ἀληθείας προσαράξας πέτρᾳ, καὶ θνησιμαῖον ϗ γέλωτα δείξας τό ποτε θαυμαζόμενον.

138.

Ἀνεγνώσθη τοῦ αὐτοῦ δυσσεβοῦς ΕΥΝΟΜΙΟΥ βιβλίον, ἐν λόγοις τρισίν, ὡς δῆθεν τῶν ἀποδεδειγμένων κατὰ τῆς βλασφημίας αὐτοῦ τῷ θείῳ Βασιλείῳ ἀτόπων ἔλεγχος. ταύτην τὴν βίβλον ὠδίνοντα πολλάς φασιν αὐτὸν ἐτῶν Ὀλυμπιάδας κατατρῖψαι, ἐν οἰκίσκῳ ἑαυτὸν καθειργνύντα, καὶ λαθραίαις μίξεσι τὸ πονηρὸν ἐκεῖνο τέρας κύοντα μόλις εἰς φῶς δι' ἐτῶν ἀμβλωθρίδιον ἐκτρῶσαι, θάλπειν τε ἐκεῖθεν, καὶ μόλις καὶ αὐτοῖς τοῖς συμμύσταις ἐπιδεικνύναι τὸ κύημα, δεδιότα μάλιστα μή πως καὶ αὐτὸ ταῖς Βασιλείου χερσὶ περιπεσὸν πρὶν ἢ πῆξιν λαβεῖν διασπασθῇ ϗ πρὸ τοῦ ἀνθῆσαι ξηρανθῇ ἄωρον ἀποφθαρέν. διόπερ ἐπιμελῶς καὶ ὥσπερ ὁ τοῦ Κρόνου μῦθος τὸ γέννημα καταπιὼν ἔκρυπτέ τε καὶ συνεκάλυπτε, μέχρις ἂν ἡ Βασιλείου ζωὴ τῷ ἐπικήρῳ παρατεινομένη βίῳ τὸν φόβον ἐπέσειεν. ἐπεὶ δὲ ὁ θεῖος ἐκεῖνος ἀνὴρ τὴν παροικίαν λιπὼν εἰς τὸν οἰκεῖον καὶ οὐράνιον κλῆρον ἀνέδραμε, τοῦ πολλοῦ λυθέντος δέους ὀψὲ τοῦ καιροῦ, δημοσιεύειν οὐδὲ τότε πᾶσιν ἀλλὰ τοῖς φίλοις ἐθάρρησεν. ᾧ περιτυχόντες Θεόδωρος ϗ Γρηγόριος Νύσσης ϗ Σωφρόνιος, ὧν ἐμνήσθημεν ἄνωθεν, πολλαῖς αἰκίαις λόγων λωβησάμενοι οὐδὲν ἧττον τοῦ προτέρου νεκρὸν καὶ πάσης ἀπόζον ἀκαθαρσίας τῷ γεγεννηκότι ἀπέρριψαν. τὰ μὲν οὖν τῆς ἀσεβείας οὕτως ἔδωκε δίκην, ὁ δὲ τοῦ λόγου χαρακτὴρ χάριτος μὲν καὶ ἡδονῆς οὐδ' εἴ τις ἐστιν οὐδ' ἐγγὺς γέγονε τοῦ εἰδέναι, κόμπον δέ τινα τερατώδη ϗ δύσηχον ἦχον φιλοτιμεῖται ψοφεῖν τῶν τε συμφώνων τῇ ἐπαλληλίᾳ καὶ τῶν λέξεων ταῖς δυσεκφράσοις ϗ 316 B.
πολυσυμφώνοις ϗ τοῦ ποιητικοῦ τύπου, ἢ μᾶλλον ἀκριβέστερον εἰπεῖν, τοῦ διθυραμβικοῦ εἴδους τυγχανούσαις. συνθήκη τε αὐτῷ ἐκβεβιασμένη καὶ συμπεπιεσμένη ϗ

a. 12. ἐπαγγεῖλαι] rectius scripseris ἐπαγγέλλεσθαι. 16. χρῆται AC: κέχρηται ς. 20. Δομετιανοῦ ς. 31. ἐστι A: δέ ἐστι ς. b. 1. post ἐπιγραφή lacuna in A versuum 2½, in C litterarum 13 vel 14. 7. ὥσπερ] Ps. 137, 9. 8. ἀληθείας A: πίστεως ς. 21. ἐμπεσὸν ς. 29. ὀψὲ A: ὅτε ς. δημοσιεύειν A: τὸ δημοσιεύειν ἐπῄχει ς. 36. alterum οὐδ' add A.

ἔκκροτος, ὡς ἀνάγκην εἶναι τῷ ἀναγινώσκοντι τὰ ἐκείνου τύπτειν σφοδρῶς τὸν ἀέρα τοῖς χείλεσιν, εἰ μέλλοι τρανῶς ἀπαγγέλλειν ἃ περιτραχύνων καὶ συστρέφων συνθλίβων τε καὶ παρεμβάλλων καὶ ἀκρωτηριάζων ἐκεῖνος μόλις συνέταττε. μακραί τε ἐνίοτε εἰς ἀμετρίαν περίοδοι ἐκτεινόμεναι, καὶ τὸ σκοτεινόν τε καὶ ἄδηλον δι᾽ ὅλου κεχυμένον τοῦ συγγράμματος, ἵνα δοκῇ τε τοῖς πολλοῖς δυνάμει δεινότητος ἐκφεύγειν αὐτῶν τὴν κατάληψιν, καὶ ὅσον ἀσθενὲς τῶν νοηθέντων (καὶ γάρ ἐστι πολύ) τῷ ἀσαφεῖ καὶ δυσκαταλήπτῳ ἐπισκιάζειν 168 H. ἔχῃ καὶ κρύπτειν τῆς διανοίας τὰ ἀῤῥωστήματα. δοκεῖ δὲ καὶ ταῖς λογικαῖς ἐπερείδεσθαι μεθόδοις, ἄλλους τε διασύρων ἐπὶ τούτῳ, καὶ αὐτὸς προθυμούμενος μὲν ἀποκεχρῆσθαι τούτοις ὅτι μάλιστα, ὀψιμαθὴς δὲ κἂν τούτοις καὶ οὐδ᾽ εἰς τὸ βάθος αὐτῶν ἐλθὼν ἐν πολλοῖς πολλάκις ἐλεγχόμενος.

Ἀνεγνώσθησαν δὲ καὶ ἐπιστολαὶ αὐτοῦ πρὸς διαφόρους, μέχρι τεσσαράκοντα. ἀλλὰ καὶ ἐν ταύταις τὸ αὐτὸ τῶν λόγων εἶδος λεπτουργῶν, παντελῶς τοῦ τῶν ἐπιστολῶν χαρακτῆρος οὐδὲ τοὺς νόμους ἀκούσας, μή τί γε τριβεὶς ἐν αὐτοῖς, εἰς τὸ στηλιτευθῆναι διέπεσεν.

## 139.

Ἀνεγνώσθη τοῦ μεγάλου ἈΘΑΝΑΣΙΟΥ ὑπόμνημα εἰς τὸν ἐκκλησιαστὴν καὶ εἰς τὰ ᾄσματα τῶν ᾀσμάτων. σαφὴς μέν ἐστιν, ὥσπερ πανταχοῦ τῶν λόγων αὐτοῦ, εἰς μέντοι τὴν χάριν καὶ τὸ κάλλος τῶν ἐπιστολῶν, αἳ τὴν ἀπολογίαν αὐτῷ τῆς φυγῆς καὶ τὰ περὶ αὐτὴν ἐξεργάζονται, οὔτε τόδε τὸ βιβλίον, ἀλλ᾽ οὐδ᾽ ἄλλο τι, ὅσα ἐμὲ τῶν αὐτοῦ εἰδέναι, οὐδὲν ἀναφέρεται.

## 140.

Ἀνεγνώσθη τοῦ αὐτοῦ ἁγίου ἡ κατὰ Ἀρείου καὶ τῶν αὐτοῦ δογμάτων πεντάβιβλος. τὴν μὲν φράσιν σαφής τέ ἐστιν, ὡς καὶ ἐν πᾶσι, καὶ ἀπέριττος καὶ ἀφελής, δριμὺς δὲ καὶ βαθὺς καὶ λίαν τοῖς ἐπιχειρήμασιν εὔτονος. καὶ τὸ γόνιμον δὲ αὐτοῦ ἐν τούτοις ἡλίκον, ὅσον καὶ θαυμάσιον. λογικαῖς τε μεθόδοις οὔτι γυμνῶς καὶ ἀπὸ τῶν ἐκεῖθεν λέξεων, ὥσπερ οἱ παῖδες καὶ ἀρτιμαθεῖς μειρακιώδη φιλοτιμίαν ἐπιδεικνύμενοι πράττουσιν, ἀλλ᾽ ἐμφιλοσόφως τε καὶ μεγαλοπρεπῶς καὶ ταῖς ἐννοίαις μόναις, καὶ ταύταις διεσχηματισμέναις, ἀποκέχρηται, γραφικαῖς τε μαρτυρίαις καὶ ἀποδείξεσιν εἰς τὸ καρτερὸν κατωχύρωται. καὶ ἁπλῶς ἀρκεῖ τὸ βιβλίον τοῦτο κατὰ πάσης Ἀρειανῆς παρατάξεως. καὶ εἴ τις τὸν θεολόγον Γρηγόριον καὶ τὸν θεῖον Βασίλειον ἐκ ταύτης ὥσπερ ἀπὸ πηγῆς ἀρυσαμένους φαίη τῆς βίβλου τοὺς καλοὺς ἐκείνους καὶ διειδεῖς τῶν οἰκείων λόγων κατὰ 317 R. τῆς πλάνης ῥεῦσαι ποταμούς, οὐκ ἂν οἶμαι σφαλείη τοῦ παραδείγματος.

## 141.

Ἀνεγνώσθη ΒΑΣΙΛΕΙΟΥ τοῦ θεσπεσίου τὰ εἰς τὴν ἑξαήμερον. ἄριστος μὲν ἐν πᾶσι τοῖς αὐτοῦ λόγοις ὁ μέγας Βασίλειος· λέξει τε γὰρ καθαρᾷ καὶ εὐσήμῳ καὶ κυρίᾳ καὶ ὅλως πολιτικῇ καὶ πανηγυρικῇ δεινός, εἴ τις ἄλλος, χρήσασθαι, νοημάτων τε τάξει καὶ καθαρότητι πρῶτος ἀλλ᾽ οὐδενὸς δεύτερος ᾔδεται, πιθανότητος δὲ καὶ γλυκύτητος καί γε λαμπρότητος ἐραστής, καὶ ῥέων τῷ λόγῳ, καὶ ὥσπερ ἐξ αὐτοσχεδίου πηγάζων τὸ ῥεῖθρον. καὶ τῷ πιθανῷ δὲ ἐπὶ τοσοῦτον ἧκεν ἀποκεχρημένος, ὡς εἴ τις πολιτικοῦ λόγου τοὺς αὐτοῦ λόγους παράδειγμα ἑαυτῷ θείη, ἔπειτα τούτους ἐκμελετῴη, μηδὲ τῶν εἰς τοῦτο συντελούντων δηλονότι νόμων ἄπειρος ὑπάρχων, οὐδενὸς αὐτὸν ἑτέρου δεήσεσθαι οἶμαι, οὔτε Πλάτωνος οὔτε Δημοσθένους, οἷς οἱ παλαιοὶ ἐνδιατρίβειν προτρέπονται, εἰς τὸ πολιτικόν τε καὶ πανηγυρικὸν ῥήτορα γενέσθαι.

## 142.

Ἀνεγνώσθησαν αὐτοῦ καὶ οἱ λεγόμενοι ἠθικοὶ λό- 169 H. γοι, ἐν οἷς ἅπασιν ἡ προειρημένη ἀρετὴ τῶν λόγων μάλιστα διαφαίνεται.

## 143.

Ἀνεγνώσθησαν δὲ αὐτοῦ καὶ ἐπιστολαί, αἵ τε κανονικαὶ καὶ τὸ ἄλλο πλῆθος, ἃς διαφόροις ἐπέστειλεν· ἐξ ὧν τό τε ἦθος ἔστι τοῦ ἀνδρός, ὁποῖον ἦν ἀξιάγαστον, χαρακτηρίσαι, καὶ κανόνα λαβεῖν, ἂν ἄλλως τις μὴ ἔχῃ, ἐπιστολιμαίου χαρακτῆρος.

## 144.

Ἀνεγνώσθη καὶ τὰ ἀσκητικά, ἤγουν ἀσκητικῆς πολιτείας ὑποθῆκαι, καθ᾽ ἃς τις βιοὺς τὴν οὐράνιον οἰκήσει βασιλείαν. ἐν μέντοι παρηλλαγμένον ἐστὶν ἰδεῖν, τὸ κεχρῆσθαι αὐτὸν ἐμφάσεσιν ἐν πολλοῖς κεφαλαίοις.

## 145.

Ἀνεγνώσθη λεξικὸν κατὰ στοιχεῖον ἙΛΛΑΔΙΟΥ, ὧν ἴσμεν λεξικῶν πολυστιχώτατον. οὐ λέξεων δὲ μόνον

a. 3. περιτυγχάνων ς. 20. ἀκούσαι A. 25. σαφὴς A: καὶ σαφὴς ς. 26. αἳ — ἐξεργάζονται A: αἷς — ἐξεργάζεται ς. 29. ὥρα φέρεται ς. 32. μὲν A: μὲν οὖν ς. 34. δὲ add A. 36. οὔτε ς. 37. τῶν add A. b. 4. ἀπὸ add A. 10. μὲν A: δὲ ς. 14. ᾄδεται an εἴδεται habeat A, non liquet: εἴδεται C: om ς. 17. δὲ om A. 20. οὐδενὸς A: καὶ οὐδενὸς ς. 32. ἄλλως] ἄλλον Casaubonus. 33. ἐπιστολιμαίους χαρακτῆρας ς. 35. ἤγουν om A. 37. ἐν μέντοι] ἐν μὲν τοῖς A.

Digitized by Google

ἡ συναγωγή, ἀλλ' ἐνίοτε καὶ κομματικῶν τινῶν χαριεστάτων λόγων καὶ εἰς κῶλα πολλάκις σύνθεσιν ἀπαρτιζομένων. πεζοῦ δὲ λόγου ἐστὶ τὸ πλεῖστον τῶν λέξεων, ἀλλ' οὐχὶ ποιητικοῦ, ὥσπερ ἡ Διογενιανῷ ἐκπονηθεῖσα συλλογή· οὐδὲ κατὰ πάσας τὰς συλλαβὰς τὴν τοῦ στοιχείου τάξιν φυλάττει, ἀλλὰ κατὰ μόνην τὴν ἄρχουσαν. πολύστιχος δὲ οὕτως ἡ συλλογὴ ὥστε μηδ' εἰς πέντε σύμμετρα τεύχη τὴν ὅλην πραγματείαν ἀπαρτίζεσθαι·
320 R. ἡμεῖς δ' ἐν ἑπτὰ τεύχεσιν αὐτῇ ἐνετύχομεν. χρήσιμον δὲ τὸ βιβλίον τοῖς τε συγγράφουσι καὶ τοῖς ἄλλως πολυμαθίαν τιμῶσιν· ἔχει γὰρ καὶ μαρτυρίας ῥητόρων τε καὶ τῶν εἰς ποιητικὴν μέγα κλέος ἐχόντων.

146.

Ἀνεγνώσθη λεξικὸν κατὰ στοιχεῖον καθαρᾶς ἰδέας. μέγα καὶ πολύστιχον τὸ βιβλίον, μᾶλλον δὲ πολύβιβλος ἡ πραγματεία. καὶ χρήσιμον, εἴπερ τι ἄλλο, τοῖς τὸν χαρακτῆρα μεταχειριζομένοις τῆς τοιαύτης ἰδέας.

147.

Ἀνεγνώσθη λεξικὸν σεμνῆς ἰδέας. εἰς μέγεθος ἐξετείνετο τὸ τεῦχος, ὡς ἄμεινον εἶναι δυσὶ μᾶλλον τεύχεσιν ἢ τρισὶ τοῖς ἀναγινώσκουσι τὸ φιλοπόνημα περιέχεσθαι. κατὰ στοιχεῖον δὲ ἡ πραγματεία, καὶ δῆλον ὡς χρησίμη τοῖς εἰς μέγεθος καὶ ὄγκον ἐπαίρειν τοὺς λόγους αὐτῶν ἐν τῷ συγγράφειν ἐθέλουσιν.

148.

Ἀνεγνώσθη λεξικὸν ἰδίως λόγου πολιτικοῦ, ἐν τρισὶ τεύχεσι πολυστίχοις. αὕτη ἡ πραγματεία πλήθει μὲν ἐστι πολλή, κατορθωθῆναι δὲ χρησιμωτάτη, καὶ ῥάστη δὲ εἰς ἀντίληψιν, εἴ τις ἄλλη· οὐ γὰρ νῦν μανθάνειν ἀλλὰ μόνον ἀποσημειώσασθαι τὰς ἐν αὐτῇ λέξεις τὸν ἀναγινώσκοντα δεήσει, εἴπερ μὴ παντάπασίν ἐστιν ἀνήκοος παλαιῶν ἀναγνωσμάτων. κατὰ στοιχεῖον δὲ καὶ ὁ πόνος οὗτος.

149.

Ἀνεγνώσθη ΠΟΛΛΙΩΝΟΣ λεξικὸν κατὰ στοιχεῖον. ἔχει πλείστας μὲν ποιητικὰς λέξεις, ἧττον δὲ Διογενιανοῦ· εἰς τὸ διπλάσιον δὲ αὐτῷ τῆς ἐκείνου πραγματείας τὸ φιλοπόνημα παρατείνεται.

150.

170 H. Ἀνεγνώσθη λεξικὸν ΙΟΥΛΙΑΝΟΥ τῶν παρὰ τοῖς δέκα ῥήτορσι λέξεων κατὰ στοιχεῖον. πολύστιχον δὲ καὶ τοῦτο τὸ βιβλίον, καὶ τῶν τε παρ' Ἀθηναίοις δικῶν ἑρμηνεῦον τὰ ὀνόματα, καὶ εἴ τι καθ' ἱστορίαν ἰδιάζουσαν αὐτοῖς οἱ ῥήτορες παρειλήφασιν ἢ κατά τι πάτριον ἔθος ἀπεχρήσαντο. δῆλον δ' ὅτι εἰς τὰς τῶν ῥητορικῶν λόγων συναναγνώσεις τὰ μέγιστα ἡ πραγματεία συμβάλλοιτ' ἄν.

Ἐνετύχομεν δὲ καὶ ΦΙΛΟΣΤΡΑΤΟΥ ΤΥΡΙΟΥ εἰς τὴν αὐτὴν ὑπόθεσιν οὐκ ἀδοκίμῳ σπουδάσματι· ἀλλ' ἄμεινον ὁ Ἰουλιανὸς διεπόνησεν.

Οὐδὲν δὲ ἧττον Ἰουλιανοῦ καὶ ΔΙΟΔΩΡΟΣ εἰς τὴν αὐτὴν ὑπόθεσιν διεπραγματεύσατο· πλὴν Ἰουλιανῷ ἡ τῶν μαρτυριῶν χρῆσις ἐπὶ πλέον παρατίθεται. ὅστις δὲ χρόνῳ τῶν δύο πρεσβύτερος (δοκεῖ γὰρ ὥσπερ μεταγραφὴ θατέρῳ τὸ σπούδασμα, ἀλλ' οὐχὶ ἰδίᾳ ἑκατέρῳ αὐτῶν συνειλέχθαι) ἀλλά τις ἐξ ἄλλου μετέγραψε, τέως οὐκ ἔχω λέγειν.

151.

Ἀνεγνώσθη ΤΙΜΑΙΟΥ πρὸς Γαιτιανὸν περὶ τῶν 321 R.
παρὰ Πλάτωνι λέξεων κατὰ στοιχεῖον βραχὺ πονημάτιον ἐν ἑνὶ λόγῳ.

152.

Περιείχετο δὲ τῷ τεύχει καὶ ΑΙΛΙΟΥ ΔΙΟΝΥΣΙΟΥ Ἁλικαρνασσέως Ἀττικῶν ὀνομάτων τῆς πρώτης ἐκδόσεως λόγοι πέντε, ἀπὸ τοῦ α μέχρι τοῦ ω τὰς Ἀττικὰς λέξεις κατὰ στοιχεῖον ἀναγράφοντες· Σχύμνῳ δὲ τὸ σύνταγμα προσφωνεῖ. χρησιμώτατος δ' ὁ πόνος οὗτος τοῖς τε ἀττικίζειν ἔχουσι φροντίδα καὶ τοῖς τῶν Ἀττικῶν συγγράμμασιν ἐνομιλεῖν προαιρουμένοις. ὅσαι τε γὰρ ἐπιχωριάζουσι λέξεις τοῖς Ἀθηναίοις περί τε τὰς ἑορτὰς καὶ τὰς δίκας, ἐντεῦθεν ἔστιν ἐκμαθεῖν· καὶ εἴ τι ἄλλο ἰδιοτρόπως αὐτοῖς λέγεται, οὐ χαλεπὸν εὑρεῖν, μάλιστα εἴ τις μὴ τοὺς τῆς πρώτης ἐκδόσεως μόνον τόμους διερευνῴη ἀλλὰ καὶ τῆς δευτέρας ἐκδόσεως, καὶ αὐτοὺς πέντε τόμους ὄντας καὶ ἀπὸ τοῦ α μέχρι τοῦ ω τὰς Ἀττικὰς λέξεις περιέχοντας, ὅσαι γε τῇ προτέρᾳ οὐ συμπεριελήφθησαν ἢ περιελήφθησαν μέν, μαρτυρίαις δὲ ταῖς οὔσαις οὐκ ἐβεβαιώθησαν· ἐν γὰρ τῇ δευτέρᾳ ἐκδόσει πλατύτερόν τε καὶ ἀφθονώτερον αἱ μαρτυρίαι παρατέθεινται. ὧν εἴ τις τὰς δύο πραγματείας εἰς ἓν συναγαγεῖν σύνταγμα βουληθείη, χρησιμώτερόν τε τὸ φιλοτέχνημα ἐπιδείξει καὶ μετὰ ῥᾳστώνης ἐκτελέσει.

153.

Ἀνεγνώσθη δὲ ἐν τῷ αὐτῷ τεύχει ΠΑΥΣΑΝΙΟΥ

a. 10. τε et 31. ἐστιν add A. 35. πολλίωνος AC, A quidem ante lacunam litterarum 12. Ἀλεξανδρέως inserit Hoeschelius. 36. μὲν om A. 42. δικῶν A: ῥητῶν ς. b. 14. αὐτῶν add A. μετέγραφε ς. 17. Γεντιανὸν ς. 21. περιείχοντο ς. 34. γε] libri τε. προτεραίᾳ ς. 37. τε add A. ἀφθονέστερον apographum Stephani. 39. σύνταγμα συναγαγεῖν ς.

λεξικῶν κατὰ στοιχεῖον, οὐδὲν ἔλαττον τῶν προειρημένων εἰς τὰς Ἀττικὰς συναναγνώσεις χρήσιμον, εἰ μὴ καὶ μᾶλλον. εἰ γὰρ καὶ ταῖς μαρτυρίαις ἐνδεέστερον ἔχει, ἀλλ' οὖν ἔν τισι τῶν στοιχείων πολὺ ταῖς λέξεσι πλεονάζει, ὡς ἀμφοτέραις ἅμα ταῖς Αἰλίου Διονυσίου Ἁλικαρνασσέως πραγματείαις τὴν μίαν ταύτην, καίτοι τῶν χρήσεων ἐπ' ἔλαττον (ὡς ἔφημεν) ἁπτομένην, ἐξισάζεσθαι τῷ τῆς γραφῆς ὄγκῳ. εἰ δέ τις ἐκείναις ταῖς δυσὶν ἐκδόσεσιν καὶ τὴν Παυσανίου ἐγκατατάξας ἓν ἀπεργάσαιτο σύνταγμα (ῥᾷστον δὲ τῷ βουλομένῳ), οὗτος ἂν εἴη τὸ κάλλιστον καὶ χρησιμώτατον τοῖς ἀναγινώσκουσι τὰς Ἀττικὰς βίβλους σπούδασμα εἰσενηνεγμένος.

## 154.

171 H. Ἀνεγνώσθη δ' ἐν τῷ αὐτῷ τεύχει ϗ ΒΟΗΘΟΥ λέξεων Πλατωνικῶν συναγωγὴ κατὰ στοιχεῖον, πολλῷ τῆς Τιμαίου συναγωγῆς χρησιμώτερον. προσφωνεῖ δὲ Μελάντᾳ τινὶ τὸ συνταγμάτιον.

## 155.

Συνετάγη δὲ αὐτῷ ϗ ἕτερόν τι Ἀθηναγόρᾳ προσφωνούμενον σπουδασμάτιον, ὃ περὶ τῶν παρὰ Πλάτωνι ἀπορουμένων λέξεων ἐπιγράφει. ὧν εἴ τις τὰς λέξεις εἰς ἓν συναγάγοι, συνεντάσσων ϗ τὰς συνηγμένας Τιμαίῳ, ἀπηρτισμένην τὴν ὠφέλειαν παράσχοι τοῖς τὰ Πλάτωνος ἀναγινώσκειν ἐθέλουσιν.

## 156.

324 B. Ἀνεγνώσθη δὲ ἐν τῷ αὐτῷ ϗ ΔΩΡΟΘΕΟΥ περὶ τῶν ξένως εἰρημένων λέξεων κατὰ στοιχεῖον. δῆλον δὲ ὡς οὐκ ἄχρηστον τοῖς φιλοπόνοις τὸ σύνταγμα.

## 157.

Ἔτι δὲ ϗ ΜΟΙΡΙΔΟΣ Ἀττικιστής· κατὰ στοιχεῖον δὲ καὶ τοῦτο τὸ πονημάτιον.

## 158.

Ἀνεγνώσθησαν ΦΡΥΝΙΧΟΥ ἈΡΑΒΙΟΥ σοφιστικῆς παρασκευῆς λόγοι λζ', ἔστι δὲ τὸ βιβλίον λέξεών τε συναγωγὴ ϗ λόγων κομματικῶν, ἐνίων δὲ καὶ εἰς κῶλα παρατεινομένων τῶν χαριέντως τε ϗ καινοπρεπῶς εἰρημένων τε καὶ συντεταγμένων. πολλὰ δὲ αὐτῶν ἔστι καὶ ἐν τῇ Ἑλλαδίου τῶν λέξεων εὑρεῖν συλλογῇ, ἀλλ' ἐκεῖ μὲν διεσπαρμένα ἐν τῷ πλήθει τῆς συναγωγῆς, ἐνταῦθα δὲ ὁμοῦ τὰ τοιαῦτα συνηγμένα, ἐπεὶ ϗ Φρυνίχῳ μὲν τὰ τοιαῦτα συναγαγεῖν γέγονε σκοπός, Ἑλλάδιος δὲ λέξεις ἀθροίζων ἁπλῶς, καὶ εἴ τι τῶν τοιούτων συνέταξε, τῷ κοινῷ λόγῳ τῶν λέξεων καὶ ταῦτα συμπεριειληφὼς ἐναπέθετο. κατὰ στοιχεῖον δὲ καὶ αὕτη ἡ συναγωγή.

Ἤκμασε δὲ ὁ ἀνὴρ ἐν τοῖς χρόνοις Μάρκου βασιλέως Ῥωμαίων καὶ τοῦ παιδὸς αὐτοῦ Κομμόδου, πρὸς ὃν ϗ τὴν ἀπαρχὴν τοῦ συντάγματος ποιεῖται ἐπιγράφων „Κομμόδῳ Καίσαρι Φρύνιχος χαίρειν." ἀλλὰ Κομμόδῳ τὸ βιβλίον προσφωνῶν, κἀκείνῳ προοιμιαζόμενος, καὶ παραίνεσιν φιλομαθίας κατατιθέμενος, καὶ ἐξαίρων τῷ λόγῳ τὸ βιβλίον, ἐν οἷς λέγει λζ αὐτῷ μέχρι τοῦ τότε καιροῦ συντετάχθαι λόγους, οὓς ϗ ἀνατεθεῖσθαι λέγει τῷ βασιλεῖ, ἐπαγγέλλεται ϗ ἄλλους τοσούτους φιλοπονήσασθαι τῆς ζωῆς αὐτὸν οὐκ ἀπολιμπανούσης. ἡμεῖς δέ, ὡς ἔφημεν, ἓξ καὶ τριάκοντα μόνους ἀνέγνωμεν, ἀπὸ τοῦ ᾱ περιλαμβάνοντας μέχρι τοῦ ῶ.

Ἀλλ' εἰ καὶ τῷ βασιλεῖ φησὶ τοὺς λόγους ἀνατεθεῖναι, ὅμως διαφόροις αὐτοὺς φαίνεται προσπεφωνηκώς. αὐτίκα τὸν πρῶτον αὐτὸν τοῦτον λόγον Ἀριστοκλεῖ τινὶ γράφει, παιδιάν τινα τῇ γενεθλίῳ ἡμέρᾳ τοῦ Ἀριστοκλέους ἁρμόττουσαν φιλοτιμούμενος γενέσθαι τὴν γραφὴν καὶ συμπαίστην ὑπάρχειν αὐτόν. ὡσαύτως δὲ καὶ τὸν δεύτερον λόγον αὐτῷ προσφωνεῖ, καὶ δὴ καὶ τὸν τρίτον. τὸν δὲ τέταρτον Ἰουλιανῷ τινὶ συμπολίτῃ ϗ φίλῳ προσφωνεῖ, καί φησιν ὅτι Ἀριστοκλεῖ μὲν ἐξ ἀρχῆς ὥριστο ἡ πραγματεία προσειρῆσθαι, ἐπεὶ δὲ ἐκεῖνος βασιλικῷ δόγματι τῆς ἐν Ῥώμῃ μεγάλης βουλῆς ἐγένετο κοινωνός, τοῦτον ἀντ' ἐκείνου καὶ φίλον καὶ συνουσιαστὴν τῶν καλῶν λαβεῖν, καὶ αὐτῷ ϗ κριτῇ ϗ ἐπιγνώμονι χρῆσθαι τῶν συγγραφομένων. ἀλλ' οὕτως 172 H. εἰπὼν ϗ ὑποσχόμενος τὸν πέμπτον ὅμως λόγον Μηνοδώρῳ τινὶ φίλῳ τε ϗ πεπαιδευμένῳ ἀνδρὶ προσφωνεῖ, ὃς ϗ αἰτίαν ἐπήνεγκεν αὐτῷ τοῦ ἐνδεῶς εἰρῆσθαι τὸ πρὸ τούτου περὶ κρίσεως ὀνομάτων πρόβλημα· ἐπιτάξαντος δὲ Μηνοδώρου λέγειν τὸν λόγον συντάτ- 325 B. τειν, ὑστερῆσαι δέ, ὅτι τρία νοσήματα αὐτῷ συμπεσεῖν συνέβη, τὴν σύντροφον τῷ γήρᾳ στραγγουρίαν, ϗ διαλόγιόν τινα καὶ μακρὰν φρενῖτιν, ϗ διὰ γαστρὸς αἵματος ῥύσιν, καὶ ἔτι δὲ καὶ ἕτερα πλεῖστα τῶν ἀρρωστημάτων· ἂν μέντοι τῶν νοσημάτων ἀπαλλαγεὶς ἐπιβιώῃ, ϗ τὸ νῦν ἐπίταγμα ἐς πέρας ἀγαγεῖν ὑπισχνεῖται, καὶ εἴ τι ἄλλο προστάττοι φιλοκαλίας τε καὶ πολυμαθείας καὶ καινότητος ἐχόμενον. ἀλλὰ καὶ τὸν ἕκτον

a. 10. ἀπεργάσαιτο A. 12. εἰσενηνεγμένος ς. supra (p. 89 b 10) εἰσὶ τὸν ἀγῶνα εἰσενηνεγμένοι. 16. τῆς add A. 28. παράσχοιτο τὴν ὠφέλειαν ς. 33. ἀλφαβίου ς. b. 6. ἀρχὴν ς. 9. φιλομαθείας ς. 11. τοῦ om A. 13. οὐ καταλιμπανούσης ς. 18. αὐτίκα] καὶ αὐτίκα ς. αὐτὸν τοῦτον ς. 21. συμπαίκτην ς. 27. ἐγένετο ς. καὶ ante φίλον add A. 33. κρίσεως AC: κινήσεως ς.

Digitized by Google

λόγον τῆς σοφιστικῆς ταύτης παρασκευῆς ἄλλῳ τινὶ πάλιν Τιβερίνῳ προσφωνεῖ. καὶ δὴ καὶ τὸν ἕβδομον ἑτέρῳ Μηνοφίλῳ, ὃν καί φησι παιδείας εἰς ἄκρον ἥκοντα καὶ ῥήσεις ὁλοκλήρους πρὸς τὰς ἀποδείξεις συντελέσας τοῦ ἕκτου λόγου τῆς σοφιστικῆς παρασκευῆς παραθεῖναι, καὶ προτρέπειν καὶ αὐτὸν ἐπὶ πλεῖστον ταύτας ἀθροίζειν τοῖς συγγράμμασι. τὸν μέντοι ὄγδοον πάλιν Ἰουλιανῷ ἀνατίθησι, καὶ αἰτεῖται αὐτόν, εἴ τι ἀτελῶς εἴρηται ἅτε δὴ καὶ μετὰ νόσον γράφοντι, ταῦτα διαθεῖναι πρὸς διόρθωσιν. τὸν δε ἔνατον Ῥουφίνῳ, φάσκων αἴτιον μὲν τοῦ ὑπάρξασθαι τῆς συγγραφῆς Ἀριστοκλέα γενέσθαι, τοῦ δὲ ἐπὶ πέρας ἐλθεῖν αὐτὸν αἴτιον ἔσεσθαι, ὅτι ἐντυχὼν τοῖς γεγραμμένοις τό τε χρήσιμον συνιδεῖν ἔχει καὶ ἐπαινέσειε τὸν πόνον. τὸν δὲ δέκατον πάλιν ἐπαναστραφεὶς πρὸς Ἀριστοκλέα συντάττει. ὁ δὲ ἐφεξῆς Μηνοδώρῳ προσπεφώνηται πάλιν, ἐν ᾧ καὶ Ἀριστείδου τοῖς λόγοις (ὥς φησιν) ἐντυχὼν ἄρτι, τότε ἀκμάζοντος, πολὺν τοῦ ἀνδρὸς ἔπαινον ποιεῖται, καὶ Μαρκιανόν φησι τὸν κριτικὸν συγγραφέα ὑπερορᾷν μὲν Πλάτωνος καὶ Δημοσθένους, τὰς δὲ Βρούτου τοῦ Ἰταλοῦ ἐπιστολὰς προκρίνειν καὶ κανόνα τῆς ἐν λόγῳ ἀρετῆς ἀποφαίνειν. ταῦτα δὲ οὗτός φησιν οὐχὶ τὴν τοιαύτην κρίσιν ἀποδεχόμενος, ἀλλ' εἰς τὸ μὴ θαυμάζειν εἴ τινες καὶ τῆς Ἀριστείδου δόξης ἐλάττονα τὸν ἄνδρα νομίζουσιν, οὕτω κλέους τοῦ ἐν λόγοις εἰς ἄκρον ἐλάσαντα· ἥψατο γὰρ ὁ φθόνος ὑπ' ἐνίων πεμπόμενος καὶ Ἀριστείδου, ὥσπερ καὶ ἄλλων πολλῶν παιδείᾳ διενεγκόντων. ἀλλ' ὁ μὲν ἑνδέκατος Μηνοδώρῳ ἐπιπεφώνηται, τῶν δὲ ἐφεξῆς, ἵνα μὴ καὶ ἡμεῖς κατ' ἐκεῖνον πολυλογίας αἰτίαν λάβοιμεν, ὁ μὲν Ῥηγίνῳ, ὁ δὲ πάλιν Ἀριστοκλεῖ, ὁ δὲ Βασιλείδῃ τῷ Μιλησίῳ σοφιστῇ προσεφωνήθη· ἐν ᾧ φησιν αὐτίκα τοῦ ἀνακύψαι τῆς νόσου ποιήσασθαι τὴν πρὸς αὐτὸν γραφήν, καὶ αἰτεῖται τῶν διὰ τὴν νόσον (ὡς εἰκός) αὐτῷ ἐν τῷ γράμματι παρασφαλέντων ἐπιθεῖναι τὴν διόρθωσιν. οἱ δὲ λοιποὶ σύμπαντες λόγοι, οὓς ἡμεῖς ἀνέγνωμεν, τῷ Μηνοφίλῳ πάλιν μέχρι τοῦ λ̅ ἀνετέθησαν.

Χρήσιμον δὲ δηλονότι τὸ βιβλίον τοῖς τε συγ-
173 H. γράφειν καὶ ῥητορεύειν ἐθέλουσιν. αὐτὸς δὲ διακρίνεσθαί φησι τὰς συνειλεγμένας αὐτῷ φωνὰς τοῦτον τὸν τρόπον· τὰς μὲν γὰρ αὐτῶν ῥήτορσιν ἀποδεδόσθαι, τὰς δὲ τοῖς συγγράφουσι, τὰς δὲ συνουσίαις ἐφαρμόζειν, ἐνίας δὲ καὶ εἰς τὰς σκωπτικὰς ὑπάγεσθαι λαλιάς, ἢ καὶ εἰς τοὺς ἐρωτικοὺς ἐκφέρεσθαι τρόπους. εἰλικρινοῦς δὲ καὶ καθαροῦ καὶ Ἀττικοῦ λόγου κανόνας καὶ στάθμας καὶ παράδειγμά φησιν ἄριστον Πλάτωνά τε καὶ Δημοσθένην μετὰ τοῦ ῥητορικοῦ τῶν ἐννέα χοροῦ, Θουκυδίδην τε καὶ Ξενοφῶντα καὶ Αἰσχίνην τὸν Λυσανίου τὸν Σωκρατικόν, Κριτίαν τε τὸν Καλλαίσχρου καὶ Ἀν- 328 R.
τισθένην μετὰ τῶν γνησίων αὐτοῦ δύο λόγων, τοῦ περὶ Κύρου καὶ τοῦ περὶ Ὀδυσσείας, τῶν μέντοι κωμῳδῶν Ἀριστοφάνην μετὰ τοῦ οἰκείου, ἐν οἷς ἀττικίζουσι, χοροῦ, καὶ τῶν τραγικῶν Αἰσχύλον τὸν μεγαλοφωνότατον καὶ Σοφοκλέα τὸν γλυκὺν καὶ τὸν πάνσοφον Εὐριπίδην. τούτους προκρίνων τῶν ἄλλων ἁπάντων καὶ ῥητόρων καὶ συγγραφέων καὶ ποιητῶν ἐξ αὐτῶν πάλιν προτάττει, οὓς ἂν (φησίν) οὐδ' αὐτὸς ὁ Μῶμος καταμέμψαιτο, οὐδ' εἴ τις δαίμων ὁ μυθολογούμενος Κωρυκαῖος εἰ ἐπεγχάνοι, χαιρήσειεν· οὗτοι δ' εἰσὶ Πλάτων καὶ Δημοσθένης καὶ ὁ τοῦ Λυσανίου Αἰσχίνης διὰ ἀρετὴν τῶν ἑπτὰ διαλόγων, ἃ καὶ ἀφαιρούμενοί τινες τῶν συγγραμμάτων Σωκράτει προσνέμουσιν. ἀλλ' ἐν τοσούτῳ περὶ τούτων.

Ἔστι δὲ ὁ συγγραφεύς, εἴ τις, πολυμαθέστατος, ἄλλως δὲ λάλος καὶ περιττός· καὶ γὰρ καὶ ταύτην τὴν πραγματείαν, μετὰ τοῦ μηδὲν τῶν ἀναγκαίων παραλιπεῖν, ἐνὸν μηδ' εἰς πέμπτον μέρος τοῦ ὅλου συγγράμματος ἀπαρτίσαι, αὐτὸς ἀκαιρολογῶν εἰς πλῆθος ἐξέτεινε δύσχρηστον, καὶ καλοῦ καὶ ὡραίου λόγου ὕλην ἄλλοις συναθροίζων αὐτὸς οὐ λίαν τοιούτῳ περὶ αὐτῶν ἀπαγγέλλων ἐχρήσατο.

## 159.

Ἀνεγνώσθη ἸΣΟΚΡΑΤΟΥΣ τοῦ ῥήτορος λόγοι κά καὶ ἐπιστολαὶ θ'. συμβουλευτικοὶ μὲν τῶν αὐτοῦ λόγων εἰσὶν ὅ τε πρὸς Δημόνικον καὶ ὁ πρὸς Νικοκλέα, χρησίμους παραινέσεις περιέχοντες, καὶ ἔτι ὁ δεύτερος πρὸς Νικοκλέα καὶ ὁ περὶ τῆς εἰρήνης. καὶ ὁ πανηγυρικὸς δὲ σκοπὸν ἔχειν ὑποτίθεται τὴν συμβουλήν, δι' ἧς ὁμόνοιά τε πρὸς ἀλλήλους τοῖς Ἕλλησι καὶ κοινὸς ὁ πρὸς τοὺς βαρβάρους καταπραχθείη πόλεμος·

a. 11. τοῦ — συγγραφῆς A: τῷ — γραφῆς ς. 12. αἴτιον Scaliger: libri ἄξιον. 19. κριτικὸν corr A, κριτικῶν Schottus, κριτικῶν Fabricius. 30. Ῥογίνῳ ς. cf. Vales. add. in annot. ad Socrat. p. 44. C. ed. Amst. 31. προσεπεφωνήθη ς. b. 2. συγγραφεῦσι Scaliger. 4. τοὺς add A. 9. Καλαίσχρου ς. 11. ὀδυσσῆ τὸν — κωμῳδὸν ς. 19. χαιρήσειεν A et corr C, qui pr χαρρήσειεν: χαιρήσειεν ς. Leichius χαρίσαιεν, omisso (ante ἐπεγχάνοι) εἰ. 27. πέμπτον] ἐν corr A, qui quid pr habuerit, non liquet. 31. ἐχρήσατο] add ς ὁ Φρύνιχος. 33. Ἀνεγνώσθησαν Coraes Isocrat. 2. p. μζ. 37. ὁ ante περὶ add A.

τὸ δὲ πλεῖστον τοῦ λόγου εἰς τὰ τῶν Ἀθηναίων ἐγκώμια κατατρίβεται. καὶ ὁ Ἀρεοπαγιτικὸς δὲ τῶν συμβουλευτικῶν ἐστί, προτρέπων τοὺς Ἀθηναίους ἐπ' ἀρετὴν ἐξ ἐπαίνου μὲν τῶν προγεγονότων, καταδρομῆς δὲ τῶν ἔτι τῷ βίῳ περιόντων. καὶ ὁ Πλαταϊκὸς δὲ συμβουλευτικός ἐστι. καὶ ὁ ἐπιγραφόμενος δὲ Ἀρχίδαμος συμβουλευτικός ἐστι· παρακαλεῖ Λακεδαιμονίους ἐπὶ τὸν κατ' Ἀθηναίων πόλεμον ὑπὲρ Μεσσηνίων. ὁ δὲ κατὰ τῶν σοφιστῶν ἐπιγραφόμενος κατηγορία τῶν ἀντιπολιτευομένων αὐτῷ ἐστὶ σοφιστῶν. ὁ δὲ ἐφεξῆς λόγος Βουσίριδος αὐτῷ ἐστὶν ἐγκώμιον, ὥσπερ καὶ ἐπιγέγραπται. ὁ δὲ ἑνδέκατος Ἑλένης ἐγκώμιον. καὶ ὁ δωδέκατος Εὐαγόρου ἐγκώμιον, ὃς Εὐαγόρας ἐπιγράφεται, προσπεφωνημένος Νικοκλεῖ τῷ υἱεῖ. ὁ δὲ ἐπιγραφόμενος Φίλιππος συμβουλευτικός ἐστι, Φιλίππῳ συμβουλεύων τῆς τε τῶν Ἑλλήνων φροντίζειν
174 H. ὁμονοίας καὶ τῆς κατὰ τῶν ἐν Ἀσίᾳ βαρβάρων συστρατείας. ὁ δὲ παναθηναϊκὸς ἐγκώμιόν ἐστι τῆς Ἀθηναίων πόλεως καὶ τῶν προγόνων, ὃν ἀπάρξασθαι μὲν φησι συγγράφειν ἐνενήκοντα καὶ τεττάρων ἐτῶν ἄγων ἡλικίαν, νόσου δὲ χαλεπῆς τριετίαν κατασχούσης ἐν τῷ ἐνενηκοστῷ ἑβδόμῳ εἰς πέρας ἀγαγεῖν τὸν λόγον. ὁ δὲ περὶ τῆς ἀντιδόσεως ἐπιγραφόμενος λόγος δικανικός τις εἶναι δοκεῖ, καὶ ἀπολογίαν ἔχων ὧν Λυσίμαχος
329 R. κακῶς εἶπεν Ἰσοκράτην· δύο δὲ καὶ ὀγδοήκοντα ἐτῶν ὄντι οὗτος αὐτῷ μέγιστος ὢν τῶν ἄλλων ὁ λόγος συνετάγη, ἔστι δ' ὁ λόγος σύμμικτος καὶ ποικίλος μᾶλλον ἢ οἱ ἄλλοι· παρατίθεται δὲ καὶ τῶν ἄλλων αὐτοῦ λόγων περικοπάς τινας, ἐξ ὧν οὐ φθείρειν τοὺς νέους ἀλλ' ὠφελεῖν τὸ κοινὸν ἐπιδεικνῦσιν ἑαυτόν. δικανικὸς δὲ καὶ ὁ πρὸς Καλλίμαχον· ὁμοίως δὲ καὶ ὁ Αἰγινητικὸς ὑπὲρ κλήρου ἀγωνιζόμενος. τῶν δικανικῶν δὲ καὶ ὁ πρὸς Εὐθίνουν ὑπὲρ Νικίου, καὶ ὁ τραπεζιτικός, καὶ ὁ πρὸς Λοχίτην, ὕβρεως καὶ πληγῶν δίκην ἀπαιτῶν. οὕτω μὲν καὶ τοσούτους ἔγνωμεν Ἰσοκράτους λόγους, ἕνα καὶ εἴκοσιν ὄντας. τῶν δ' ἐννέα ἐπιστολῶν αὐτοῦ μία μὲν ἐστι πρὸς Διονύσιον τὸν Σικελίας τύραννον, ἑτέρα δὲ πρὸς Ἀρχίδαμον, καὶ πρὸς Φίλιππον δύο, μία δὲ πρὸς Ἀλέξανδρον, καὶ πρὸς Ἀντίπατρον ἄλλη, καὶ δὴ καὶ πρὸς Τιμόθεον, καὶ πρὸς τοὺς Μιτυληναίων ἄρχοντας ἡ ἐνάτη.

Οὗτος μὲν οὖν ὁ ῥήτωρ σοφιστεύων μᾶλλον ἢ τῶν κοινῶν προστατεῖν, ὥσπερ οἱ ἄλλοι ἐννέα ῥήτορες, ὧν καὶ Δημοσθένης ἦν, εἵλετο, καίτοι καὶ πρὸ ἐκείνων τοῖς τῆς ῥητορικῆς ἀκμάζων λόγοις, καὶ κατ' ἐκείνους τὴν ἐπ' αὐτοῖς δόξαν οὐκ ἐλαττούμενος. κέχρηται δὲ μάλιστα μέν, ὡς αὐτίκα τοῖς ἀναγινώσκουσι δῆλον, εὐκρινείᾳ καὶ καθαρότητι, πολλήν τε ἐπιμέλειαν περὶ τὴν ἐργασίαν τῶν λόγων ἐπιδείκνυται, ὥστε καὶ εἰς περιττὸν αὐτῷ διεκπίπτειν τὸν κόσμον καὶ τὸ ἐπιμελές. καὶ αὐτὸ δὲ τὸ τῆς ἐργασίας πλεονάζον παρ' αὐτῷ οὐ τὸ γόνιμον μᾶλλον τῶν ἐπιχειρημάτων ἢ τὸ ἀπειρόκαλον παριστᾷ. ἦθος δὲ καὶ ἀλήθεια καὶ γοργότης οὐδὲ μέτεστιν αὐτῷ. μεγέθους δὲ αὐτῷ ὅσον εἰς τὸν πολιτικὸν ἐναρμόζει λόγον, ἄριστα καὶ παραπλησίως κέκραται τῇ σαφηνείᾳ. ἄτονος δὲ πλέον τοῦ δέοντος ὁ λόγος. οὐχ ἥκιστα δὲ αὐτοῦ σμικρολογίαν καὶ τὸ προσκορὲς τῶν παρισώσεων αἰτιῶνται. ἀλλὰ ταῦτά φαμεν πρὸς τὴν ἐν λόγοις αὐτοῦ ἀρετὴν τὸ ἐκπῖπτον ἐκείνης καὶ ἀνόμοιον ἐνδεικνύμενοι, ἐπεὶ πρός γε ἐνίους τῶν γράφειν λόγους ἐπαιρομένων ἀρεταὶ ἂν δόξωσι καὶ τὰ ἐκείνου ἐλαττώματα.

### 160.

Ἀνεγνώσθη ΧΟΡΙΚΙΟΥ σοφιστοῦ Γάζης μελέται καὶ 336 R.
συντάξεις λόγων διάφοροι. οὗτος χαίρει μὲν εὐκρινείᾳ καὶ καθαρότητι, εἰς τὸ χρήσιμον δὲ καὶ τῇ περιβολῇ κεχρημένος τῷ τε εὐκαίρῳ καὶ τῷ μὴ εἰς μῆκος περιόδου ταύτην παρατείνειν οὐδὲν τῇ σαφηνείᾳ λυμαίνεται, ἤθει τε καὶ ἀληθείᾳ συγκέκραται, οὐδὲ τῆς γνωμολογικῆς σπουδῆς ἀστοχῶν. ἡ δέ γε λέξις αὐτῷ τῶν λογάδων οὖσα ἐν πολλοῖς οὐκ ἀεὶ τὸ γνήσιον διώκει· 175 H.
ἔσθ' ὅτε γὰρ διὰ τὴν ἄκρατον τῆς τροπῆς ἐκτροπὴν εἰς ψυχρολογίαν ἐκπίπτει. καὶ πρὸς τὸ ποιητικώτερον δὲ ἔστιν οὗ παρασύρεται. χρήσιμος δέ ἐστιν αὐτὸς ἑαυτοῦ μᾶλλον ἐκφράσεις καὶ ἐγκώμια διερχόμενος. ἔστι δὲ καὶ τῆς εὐσεβείας ἐραστής, τὰ Χριστιανῶν ὄργια καὶ τεμένη τιμῶν· πλὴν οὐκ οἶδ' ὅπως ὀλιγώρως καὶ λόγῳ σὺν οὐδενὶ μύθους καὶ ἱστορίας Ἑλληνικάς, οὐ δέον, ἐγκαταμίγνυσι τοῖς ἑαυτοῦ συγγράμμασιν, ἔστιν ὅτε καὶ ἱερο- 337 R.
λογῶν. ποικίλα δὲ αὐτοῦ καὶ πολλὰ συγγράμματα φέρεται· πλασματικοῖς τε γὰρ καὶ πανηγυρικοῖς καὶ μονῳδίαις καὶ ἐπιθαλαμίοις καὶ ἀντιρρητικοῖς ἔστιν αὐτοῦ λόγοις ἐντυχεῖν καὶ τοιούτοις ἑτέροις. ἤκμασε δὲ ἐν τοῖς Ἰουστινιανοῦ χρόνοις. γέγονε δὲ μαθητὴς Προκοπίου ῥήτορος, ἑνὸς τῶν ἀρίστων, οὐ τοῦ Καισαρέως δέ, ὃς εἰς

a. 5. βίῳ A: βιβλίῳ ς. 7. παρακαλεῖ AC: καὶ παρακαλεῖ ς. 8. μεσηνίων A. 26. αὐτῷ A: αὐτὸς ς. ὁ add A. 27. λόγος καὶ σύμμ. καὶ A. 31. αἰγινικὸς A. 35. ἰσοκράτου A.
b. 7. αὐτῷ A: τῷ ς. 11. μέτ. παρ' αὐτῷ ς. 17. ἐμπῖπτον ς. 18. ἐνίους τῶν A: ἐνίων ς. 24. τῷ post καὶ om A. 26. γνωμονικῆς Cς. 29. προτροπῆς ς. 32. διεξερχόμενος ς. 35. δέον ὂν ἐγκ. ς.

Digitized by Google

μέγα κτῆμα καὶ ὄφελος κατ' ἐκεῖνο καιροῦ τὰς ἱστορικὰς γραφὰς συντάξας ἀείμνηστον αὐτοῦ κλέος τοῖς σπουδαιοτέροις καταλέλοιπεν· ἑτέρῳ δέ τινι προσωμίλησεν ἐν τῇ αὐτῇ πατρίδι καὶ αὐτῷ λαχόντι σοφιστεύειν, ὃς καὶ εἰς γῆρας ἐλάσας ἡδέως εἶχεν ὁρᾶν ἀνθ' ἑαυτοῦ τὸν ὁμιλητὴν τῆς σχολῆς ἐξηγούμενον. τούτου λόγοι πολλοί τε καὶ παντοδαποὶ φέρονται, ἄξιον ζήλου καὶ μιμήσεως χρῆμα, καὶ δὴ καὶ βιβλίον ὅλον, στίχων Ὁμηρικῶν μεταφράσεις εἰς ποικίλας λόγων ἰδέας ἐκμεμορφωμέναι, αἳ μάλιστα τὴν τοῦ ἀνδρὸς περὶ ῥητορικὴν δύναμιν καὶ μελέτην ἱκαναὶ πεφύκασιν ἀπαγγέλλειν· οὗ τινός, ὡς ἔστι δυνατὸν μαθητῇ, Χορίκιος μιμητὴς κατὰ τοὺς λόγους γέγονεν. ἄμφω δὲ ἤστην εὐσεβέε, καὶ πολλαχοῦ τοῖς λόγοις αὐτῶν, οὐδὲ παρέργως, περὶ τῆς ἱερᾶς εἰκονουργίας διαλαμβάνουσιν. γέγονε δὲ Χορικίῳ καὶ ἡ τοῦ διδασκάλου τελευτὴ ἐπιταφίου ὑπόθεσις.

## 161.

Ἀνεγνώσθησαν ἐκλογαὶ διάφοροι ἐν βιβλίοις ιβ' ΣΩΠΑΤΡΟΥ σοφιστοῦ. συνείλεκται δὲ αὐτῷ τὸ βιβλίον ἐκ πολλῶν καὶ διαφόρων ἱστοριῶν καὶ γραμμάτων. τὸ μὲν οὖν πρῶτον περὶ τῶν παρ' Ἕλλησι μυθολογουμένων θεῶν διαλαμβάνει· ὃ συνείλεκται ἐκ τῶν Ἀπολλοδώρου περὶ θεῶν γ' λόγου (Ἀθηναῖος δὲ ὁ Ἀπολλόδωρος, καὶ γραμματικὸς τὴν τέχνην). οὐκ ἐκ τοῦ τρίτου δὲ μόνον ἡ διαλογὴ αὐτῷ πεποίηται, ἀλλὰ δὴ καὶ ἐκ δ' καὶ ε' καὶ θ', τοῦ τε α' πάλιν καὶ ιβ' ιε' τε καὶ ις' καὶ μέχρι τοῦ κδ'. ἐν ᾗ συλλογῇ τά τε μυθικῶς περὶ θεῶν διαπεπλασμένα, καὶ εἴ τι καθ' ἱστορίαν εἴρηται, περιείληφε, περί τε τῶν παρ' αὐτοῖς ἡρώων καὶ Διοσκούρων, καὶ περὶ τῶν ἐν Ἅιδου, καὶ ὅσα παραπλήσια. ἔτι δὲ καὶ συνείλεκται αὐτῷ ἡ βίβλος καὶ ἐκ τοῦ δευτέρου λόγου τῶν περὶ γραφικῆς Ἰόβα, καὶ μὴν καὶ ἐκ τῶν Ἀθηναίου τοῦ Ναυκρατίτου δειπνοσοφιστῶν. καὶ ὁ μὲν πρῶτος λόγος ἐκ τούτων ἠθροίσθη καὶ τάδε περιλαμβάνει.

Ὁ δὲ δεύτερος ἔκ τε τῶν Σωτηρίδα Παμφίλης ἐπιτομῶν πρώτου λόγου καὶ καθεξῆς μέχρι τοῦ δεκάτου, καὶ
148B. ἐκ τῶν Ἀρτέμωνος τοῦ Μάγνητος τῶν κατ' ἀρετὴν γυναιξὶ πεπραγματευμένων διηγημάτων, ἔτι δὲ καὶ ἐκ τῶν Διογένους τοῦ Κυνικοῦ ἀποφθεγμάτων, καὶ μὴν καὶ ἐξ ἄλλων διαφόρων, ἀλλά γε καὶ ἀπὸ ὀγδόου λόγου τῆς Σαπφοῦς· ἐν οἷς καὶ ἡ δευτέρα βίβλος τῶν συλλόγων.

Ὁ δὲ τρίτος λόγος συλλέγεται αὐτῷ ἐκ τῆς Φαβωρίνου παντοδαπῆς ὕλης, ἔκ τε τοῦ ν̄ καὶ τοῦ ξ̄ καὶ καθεξῆς, πλὴν τοῦ τ̄, μέχρι τοῦ ω̄. ἐν οἷς διάφοροι ἱστορίαι καὶ τῶν κατὰ τὰ ὀνόματα θέσεων αἰτιολογίαι καὶ τοιαῦτα ἕτερα· εἰς ἃ καὶ ὁ τρίτος αὐτῷ συμπεραίνεται λόγος.

Ὁ δὲ τέταρτος αὐτῷ λόγος ἔκ τε ἀνεπιγράφου αὐτῷ βιβλίου συνηθροίσθη (θαυμάτων δὲ μόνον ἐπιγράφεται συναγωγὴ τὸ βιβλίον) καὶ ἐκ τῶν τοῦ Ἀριστοξένου συμ- 340R.
μίκτων ὑπομνημάτων, οὐκ ἐκ πάντων δὲ ἀλλ' ἔκ γε τοῦ ἑκκαιδεκάτου λόγου μόνου, καὶ ἐκ τοῦ ὀγδόου λόγου τῆς Ῥούφου δραματικῆς ἱστορίας· οἷς παράδοξά τε καὶ ἀπίθανα μάλιστα ἔνεστιν εὑρεῖν, καὶ τραγῳδῶν καὶ κωμῳδῶν διαφόρους πράξεις τε καὶ λόγους καὶ ἐπιτηδεύματα, καὶ τοιαῦθ' ἕτερα. ἀλλ' ἐν τούτοις μὲν καὶ ὁ τέταρτος.

Ὁ δὲ πέμπτος σύγκειται αὐτῷ ἔκ τε τῆς Ῥούφου μουσικῆς ἱστορίας πρώτου καὶ δευτέρου καὶ τρίτου βιβλίου, ἐν ᾧ τραγικῶν τε καὶ κωμικῶν ποικίλην ἱστορίαν εὑρήσεις, οὐ μόνον δὲ ἀλλὰ καὶ διθυραμβοποιῶν τε καὶ αὐλητῶν καὶ κιθαρῳδῶν, ἐπιθαλαμίων τε ᾠδῶν καὶ ὑμεναίων καὶ ὑπορχημάτων ἀφήγησιν, περί τε ὀρχηστῶν καὶ τῶν ἄλλων τῶν ἐν τοῖς Ἑλληνικοῖς θεάτροις ἀγωνιζομένων, ὅθεν τε καὶ ὅπως οἱ τούτων ἐπὶ μέγα κλέος παρ' αὐτοῖς ἀναδραμόντες γεγόνασιν, εἴτε ἄρρενες εἴτε καὶ τὴν θήλειαν φύσιν διεκληρώσαντο· τίνες τε τίνων ἐπιτηδευμάτων ἀρχὴ διεγνώσθησαν, καὶ τούτων δὲ τίνες τυράννων ἢ βασιλέων ἐρασταὶ καὶ φίλοι γεγόνασιν· οὐ μὴν ἀλλὰ καὶ τίνες τε οἱ ἀγῶνες καὶ ὅθεν, ἐν οἷς ἕκαστος τὰ τῆς τέχνης ἐπεδείκνυτο. καὶ περὶ ἑορτῶν δέ, ὅσαι πάνδημοι τοῖς Ἀθηναίοις. ταῦτα δὴ πάντα, καὶ εἴ τι ὅμοιον, ὁ πέμπτος ἀναγινώσκοντί σοι παραστήσει λόγος.

Ὁ δὲ ἕκτος αὐτῷ συνελέγη λόγος ἔκ τε τῆς αὐτῆς Ῥούφου μουσικῆς βίβλου πέμπτης καὶ τετάρτης, αὐλητῶν δὲ καὶ αὐλημάτων ἀφήγησιν ἔχει, ἄνδρες τε ὅσα ηὔλησαν καὶ δὴ καὶ γυναῖκες. καὶ Ὅμηρος δὲ αὐτῷ καὶ Ἡσίοδος καὶ Ἀντίμαχος οἱ ποιηταὶ τῆς διηγήσεως μέρος, καὶ τῶν ἄλλων πλεῖστοι τῶν εἰς τοῦτο τὸ γένος τῶν ποιητῶν ἀναγομένων. ἔτι δὲ καὶ περὶ γυναικῶν μαντικῶν ἀναγράφει, τίνες τε καὶ ὅθεν αἱ καλούμεναι Σίβυλλαι. καὶ ταῦτα μὲν ὡς ἀπὸ τῶν Ῥούφου, σύγκειται

a. 1. ἱστορικὰς add A. 6. λόγοι πολλοί] vid. Boissonad. ad Marin. p. 76. 13. ει in εὐσεβέε corr A. 18. βίβλοις A. 26. τε post τοῦ om A. ιε A: καὶ ιε ς. καὶ ante μέχρι add A. 27. θεῶν] αὐτῶν A. 31. τῶν] τοῦ A. 32. καὶ ante ἐκ om A. 40. λόγου AC: βίβλου ς.

b. 2. ὕλης C. τοῦ ante ξ add A. 11. τῆς τοῦ Ῥ. ς. 13. μάλιστα ἔνεστιν A: ἐστιν ς. 14. διαφόρους add A. 19. μόνον A: μὴν ς. 33. αὐτῆς] αὐτοῦ A.

δὲ αὐτῷ καὶ ἐκ τῶν *Δαμοστράτου* ἁλιευτικῶν δευτέρου λόγου, καὶ ἐκ τῶν *Λαερτίου Διογένους* φιλοσόφων βίων βιβλίου πρώτου καὶ πέμπτου ἐννάτου τε καὶ δεκάτου, ἐν οἷς τὰ περὶ τῶν φιλοσόφων διέξεισιν, ὅθεν τε τὸ φιλοσοφίας ἱερὸν χρῆμα τὴν ἀρχὴν ἔφυ, καὶ ὅπως ἤκμασε, τίνες τε τίνων αἱρέσεων ἀρχηγοὶ καὶ προστάται κατέστησαν, τίνας τε ἔσχον ἐραστὰς καὶ τίνας ἀντιτέχνους τίνες, ποῖόν 177 H. τε ἕκαστος αὐτῶν ἐπεδείκνυτο ἦθος, καὶ πόθεν εἷλκε τὸ γένος, καὶ οἷον τὸ ἐξ ἀρχῆς ἐπιτήδευμα, καὶ πότε καιροῦ ἤκμασε. καὶ περὶ ῥητόρων δὲ καὶ ῥητορικῆς τὰ παραπλήσιά σοι ἔστιν ἐκεῖθεν ἀναλαμβάνειν. ἔτι μὴν σύγκειται ὁ αὐτὸς λόγος καὶ ἐκ τῶν *Αἰλίου Δίου* περὶ Ἀλεξανδρείας, καὶ ἐκ τῶν *Αἰγυπτιακῶν Ἑλλανίκου*, δι' ὧν μυθικά τε καὶ πλασματικὰ πολλὰ συλλέξας καὶ διάφορα ἕτερα εἰς τὸ τέλος τοῦ ἕκτου λόγου καταντήσεις.

Ὁ δὲ ἕβδομος αὐτῷ λόγος διήνθισται ἐκ τῆς Ἡροδότου ἱστορίας.

Ὁ δὲ ὄγδοος ἐκ τόμου τινὸς ἀρχαίου· ἐκλογαὶ καὶ αὐτὸ τυγχάνει τὸ βιβλίον, οὐκ ἔχον ἐπιγραφόμενον τὸν συνηθροικότα· ἐν οἷς τὰς εἰς μέγα δόξης καὶ ὄνομα λαμπρὸν ἀρθείσας γυναῖκας καταλέγει, καὶ ἀνδρῶν ἐνίων ἔργα, καὶ ἐπὶ παιδείᾳ λόγων συνουσίας, ἀρετήν 341 R. τε αὖ φιλίας, καὶ τῶν σπουδαίων ἀποφθέγματα. σύγκειται δὲ αὐτῷ καὶ ἐκ τῶν *Πλουτάρχου* περὶ τοῦ πῶς δεῖ τὸν νέον ἀκούειν ποιημάτων, περί τε φύσεως καὶ πόνων, ὅπως τε πολλοὶ πολλάκις πόνῳ τὴν φύσιν οὐκ εὖ φερομένην ὤρθωσαν, ἕτεροι δὲ καλῶς ἔχουσαν ἐξ ἀμελείας διέφθειραν, ὅπως τε ἔνιοι ἐν μὲν νέοις βραδεῖς ἑωρῶντο πᾶσι καὶ ἀσύνετοι, ἀκμασάντων δὲ εἰς τὸ ταχὺ καὶ συνετὸν αὐτοῖς ἡ φύσις ἐξέλαμψε· καὶ ἐκ τοῦ περὶ δυσωπίας δὲ λόγου καὶ περὶ ἀδολεσχίας καὶ περὶ ὀργῆς, καὶ ἐκ τοῦ πῶς ἄν τις ὑπὸ ἐχθρῶν ὠφελοῖτο, καὶ περὶ εὐθυμίας δέ, καὶ τῶν πολιτικῶν αὐτοῦ παραγγελμάτων, περί τε πλούτου, καὶ ὅπως ἄν τις συναίσθοιτο ἑαυτοῦ πρὸς ἀρετὴν ἐπιδιδόντος, ἔκ τε τῶν ὑγιεινῶν αὐτοῦ καὶ γαμικῶν παραγγελμάτων. ἐν οἷς ἔστιν εὑρεῖν πλεῖστα καὶ ἀξιομνημόνευτα, λόγους καὶ ἔργα, καὶ πρὸς πολλά σοι χρησιμεύοντα. ταῦτα μὲν καὶ ἐκ τούτων καὶ ὁ ὄγδοος λόγος.

Καὶ δὴ καὶ ὁ ἔννατος αὐτῷ ὁμοίως ἐκ τῶν *Πλουτάρχου* συνετμήθη, ἔκ τε τοῦ ὅτι βράδιον οἱ θεοὶ τιμωροῦνται, καὶ δὴ καὶ ἐκ τοῦ βίου *Δημητρίου* καὶ *Βρούτου* τοῦ Ῥωμαίου, καὶ ἐκ τοῦ λόγου ὃς ἐπιγέγραπται αὐτῷ ἀνδρῶν ἐνδόξων ἀποφθέγματα, ἔκ τε τοῦ περὶ ποταμῶν, καὶ πῶς ἄν τις διακρίνειε τὸν κόλακα τοῦ φίλου, καὶ μὴν καὶ ἐκ τοῦ *Κράτητος* βίου *Δαϊφάντου* τε καὶ *Πινδάρου*, καὶ ἐκ τοῦ βιβλίου δὲ ὃ ἐπιγέγραπται αὐτῷ βασιλέων καὶ στρατηγῶν ἀποφθέγματα, σὺν οἷς καὶ ἐκ τῶν συμποσιακῶν αὐτοῦ, ἀπό τε τοῦ πρώτου καὶ ἐφεξῆς μέχρι τοῦ ὀγδόου. καὶ ἀπὸ μὲν τῶν *Πλουτάρχου* ἐκ τούτων· συνείλεκται δὲ καὶ ἐκ τῆς *Ῥούφου* Ῥωμαϊκῆς ἱστορίας πρώτου καὶ δευτέρου καὶ τρίτου βιβλίου καὶ τετάρτου, ἐν οἷς ἔστι περιτυχεῖν πολλοῖς ἀξιολόγοις, εἰ καὶ ἔνια αὐτῶν εἰς μύθους καὶ μακρὸν ἐκπίπτουσι λῆρον. ἀλλ' ὧδε μὲν καὶ ὁ ἔννατος.

Ὁ δέκατος δὲ συνηθροίσθη ἔκ τε τῆς *Κεφαλίωνος* Ἐρατοῦς, διαλαμβανούσης τὰ κατὰ Ἀλέξανδρον, καὶ δὴ καὶ ἐκ τῶν *Ἀπολλωνίου τοῦ Στωϊκοῦ*, ὅσαι γυναῖκες ἐφιλοσόφησαν ἢ καὶ ἄλλως τι ἐπίδοξον διεπράξαντο, καὶ δι' ἃς οἰκίαι εἰς εὔνοιαν συνεκράθησαν, καὶ ἐκ τῶν *Θεαγένους* δὲ Μακεδονικῶν πατρίων, ἔκ τε τῶν *Πλουτάρχου* περὶ βίων Νικίου καὶ Ἀλκιβιάδου Θεμιστοκλέους 178 H. τε καὶ Θησέως καὶ Λυκούργου Σόλωνός τε καὶ Ἀλεξάνδρου τοῦ Φιλίππου, ἔκ τε τῶν βίων Κίμωνος καὶ Λυσάνδρου Δημοσθένους τε καὶ Περικλέους καὶ Πελοπίδου καὶ Φωκίωνος καὶ Ἀριστείδου, ὧν τὰ πλεῖστα ἀξιαφήγητά τε καὶ ἀξιομνημόνευτα. ἀλλ' ἐν τούτοις μὲν καὶ ὁ δέκατος.

Ὁ δὲ ἑνδέκατος ἔσχε τὴν συναγωγὴν ὁμοίως ἐξ ὧν *Πλούταρχος* συνέταξε βίων, Ἐπαμινώνδου καὶ Δίωνος καὶ Ἀγησιλάου καὶ Ἄγιδος καὶ Κλεομένους Εὐμένους τε τοῦ Καρδιανοῦ καὶ Φιλοποίμενος καὶ Τιμολέοντος καὶ Ἀράτου, ὃς δημαγωγὸς καταστὰς τῶν Ἀχαιῶν ἑπτακαιδεκάκις ἐν αὐτοῖς ἐστρατήγησε, μεγάλα πράξας στρατηγῶν ἔργα· καὶ δὴ καὶ ἐκ τοῦ βίου Πύῤῥου τοῦ Ἠπειρώτου, ἀλλὰ μὴν καὶ ἐκ τῶν *Ἀριστοφάνους τοῦ γραμματικοῦ* περὶ ζώων βιβλίου πρώτου καὶ δευτέρου, καὶ ἐκ τῆς *Ἰόβα τοῦ βασιλέως* θεατρικῆς ἱστορίας ἑπτακαιδεκάτου λόγου. οὕτω μὲν καὶ ὁ ἑνδέκατος.

Ὁ δὲ δωδέκατος αὐτῷ λόγος συνήθροισται ἐξ ἄλλων τε διαφόρων, καὶ ἐκ τῆς *Καλλιξένου* ζωγράφων τε καὶ ἀνδριαντοποιῶν ἀναγραφῆς, καὶ ἐκ τῶν *Ἀριστονίκου* περὶ τοῦ ἐν Ἀλεξανδρείᾳ μουσείου, καὶ ἐκ τῶν *Ἀριστοτέλους* πολιτειῶν, Θετταλῶν τέ φημι καὶ Ἀχαιῶν

a. 1. ἐκ τοῦ δευτέρου λόγου τῶν Δαμ. ἁλ. ς. 3. τε om pr *A*. 11. μὲν ς. 12. Δίου *A*: δι' οὗ ς. Hoeschelius Διονυσίου. 13. ἐλανικοῦ *A*. 37. λόγους καὶ *A*: ἐν λόγοις ς. 38. καὶ ante ὁ add *A*. 40. οἱ add *A*.
b. 1. ποταμοῦ *A*. 3. τε add *A*. 11. ἐπιπίπτουσι ς. 16. καὶ post ἢ om pr *A*. 17. οἰκίαι *AC*: οἰκεῖαι ς. 27. Ἐπαμινώνδου ς. 35. τῆς] τῆς τοῦ ς. 39. ζωγρ.] καὶ ζωγρ. ς. 40. ἀριστονείκου *A*.

Digitized by Google

344 R. καὶ Παρίων Λυκίων τε καὶ Κίων, καὶ ὧν ἐκεῖνος ἁπλῶς ἐν τοῖς πολιτικοῖς αὐτοῦ διαλαμβάνει· ὧν τὸ χρήσιμον οὐκ ἄδηλον. ἀλλ᾽ ἐν τούτοις μὲν Σωπάτρῳ καὶ ὁ δωδέκατος τῶν συλλογῶν πόνος.

Πολλὴν δὲ τὴν χρείαν τοῦτο δὴ τὸ φιλοπόνημα τοῖς ἀναγινώσκουσι παρέχεται· εἰ γὰρ καὶ μύθων καὶ τεράτων ψευδῶν τε καὶ ἀπιθάνων, ὥς μοι καὶ πολλάκις εἴρηται, οὐ καθαρεύει, ἀλλ᾽ οὖν ἐν οἷς τε εἰς πολυμάθειαν ἐκ τοῦ ἑτοίμου συντελεῖ, καὶ πρὸς ἀρετὴν καὶ καλοκἀγαθίαν πλεῖστα ἔστιν αὐτῶν ἀπανθίσασθαι, πρός τε τὸ ῥητορεύειν καὶ σοφιστεύειν (ὡς καὶ αὐτὸς τοῖς ἑταίροις γράφων προοιμιάζεται) οὐκ ἐλαχίστην φέρει ῥοπήν, ἱκανὸν εἰς χρείαν καθέστηκεν. ἡ δὲ φράσις αὐτῷ ποικίλη καὶ οὐ μία τὴν ἰδέαν, εἰ καὶ διὰ πάσης τὸ σαφὲς ὥδευεν.

## 162.

Ἀνεγνώσθησαν ΕΥΣΕΒΙΟΥ τινός (ἐπίσκοπος ἦν τὸ ἀξίωμα καὶ τὴν πίστιν ὀρθόδοξος) τούτῳ λόγοι ί κατὰ Ἀνδρέου τινὸς ἐγκλειστοῦ συνεγράφησαν, τὴν αἰτίαν λαβόντες ἐκ τοῦ εἰρημένου ἐγκλειστοῦ. οὗτος γὰρ ἔγραψεν ἐπιστολὴν Εὐσεβίῳ (παραναγνωστικὸν δὲ καλεῖ τὴν ἐπιστολήν), ὅρκοις αὐτὸν εἰς τὴν ταύτης ἀνάγνωσιν ἐκκαλούμενος· ἣν Εὐσέβιος ἀναγνοὺς πρῶτον μὲν τὸν ἄνθρωπον ἐπιτιμᾷ, ἀμαθίαν ἅμα καὶ θράσος ἐπικαλῶν, καὶ δεικνὺς καὶ περὶ αὐτὰς πταίοντα τὰς συλλαβάς, καὶ ὅτι μηδένα στίχον ἀσόλοικον εἰπεῖν δεδυνημένος, ὁ δὲ καὶ ἐπὶ τὸ συγγράφειν ἤρθη, τοῦ ἐπαγγέλματος καὶ τῆς ἐν ἀσκήσει ἡσυχίας ἐπιλελησμένος· εἶτα τὸ αἱρετικὸν αὐτοῦ φρόνημα διὰ πολλῶν ἀπελέγχει. ἦν δὲ ἄρα τῶν λεγομένων ἀπὸ τῆς φαύλης δόξης τῶν ἐχόντων ἀφθαρτοδοκητῶν. καὶ πρῶτον μὲν δείκνυσιν αὐτὸν εὐθύνας ὑπέχοντα, ὅτι μονοσήμαντον τὸ τῆς φθορᾶς ἐξειληφὼς ὄνομα ἐπὶ μόνης ἁμαρτίας οἴεται τάττεσθαι, τῶν ἁγίων πατέρων ἡμῶν, δι᾽ ὧν ταῖς φωναῖς 179 H. ἀπεχρήσαντο, κατὰ διαφόρων πραγμάτων τοῦτο τὸ ὄνομα φέρεσθαι παραδεδωκότων. β´ ὅτι ἀθάνατον καὶ ἀπαθὲς καὶ ἄφθαρτον ἐξ αὐτῆς ἑνώσεως τὸ σῶμα τοῦ κυρίου, ὥσπερ ὁ Ἰουλιανός, ἐτόλμησεν ἀποφήνασθαι, καίτοι διατεινόμενος ἐν αὐτῷ τῷ γράμματι κατὰ Σεβήρου καὶ Ἰουλιανοῦ τὸν τοιοῦτον αὐτῷ διαπεπονῆσθαι πόνον, οὔτε δύο φύσεις ἢ δύο οὐσίας ἐπὶ Χριστοῦ εἰπεῖν ἐκείνων οὐκ ἀνεχομένων, οὐδὲ δύο ἰδιότητας, οὐδὲ δύο ἐνεργείας. γ´ ὅτι πρὸ τῆς παραβάσεως τὸ τοῦ Ἀδὰμ σῶμα οὔτε θνητὸν λέγει διαπεπλάσθαι οὔτε φθαρτὸν φύσει, ἵν᾽ ἐκ τούτου καθ᾽ ὁδὸν αὐτῷ χωρήσῃ τὸ καὶ τὸν Χριστὸν ἐξ αὐτῆς ἑνώσεως σῶμα ἄφθαρτον ἀνειληφέναι καὶ ἀπαθές, δέον καὶ νοεῖν καὶ λέγειν ὡς τὸ τοῦ Ἀδὰμ σῶμα θνητὸν ἦν φύσει καὶ παθητόν, θείᾳ δὲ χάριτι ἀθάνατον διεφυλάττετο καὶ ἀπαθές, μέχρις ἂν αὐτὸ ἡ παράβασις τῆς φυλακῆς ἀπεγύμνωσεν· οὕτω γὰρ καὶ ὁ τῶν ἁγίων χορὸς ἀποφαίνεται. δ´ ὅτι τὸν παρόντα κόσμον ἄφθαρτον καὶ ἀνώλεθρον λέγει, δέον εἰδέναι ὅτι φθαρτός ἐστι καὶ ἀλλοιωτός. καὶ ἕτερα δὲ σὺν τούτοις κεφάλαια κατὰ τὴν πρώτην ἀντιγραφὴν ὁ ἐπίσκοπος, τὰ μὲν ἀσαφῶς τὰ δὲ βλασφήμως ἀπελέγξας ἔχοντα, διορθωθῆναι παρηγγυήσατο τὸν Ἀνδρέαν.

Ὁ δὲ δεξάμενος τὴν ἐπὶ τῇ διορθώσει παραίνεσιν 345 R. ἐπὶ τὸ χεῖρον ἀπέκλινε, καὶ βιβλίον δεύτερον συνέταξεν, ἐν ᾧ καὶ τὰ προγεγραμμένα αὐτῷ πλατύτερον καὶ (ὡς οἴεται) δι᾽ ἀποδείξεων συγκροτεῖ. καθ᾽ οὗ δὴ καὶ τὴν εἰρημένην δεκάλογον ὁ εὐσεβὴς Εὐσέβιος συντάττει, δι᾽ ἧς ἐλέγχει μὲν αὐτὸν ὡς μὴ ἀρεσθέντα τῷ τῆς πίστεως ὅρῳ, ὃν αἱ ἅγιαι ἐξέθεντο σύνοδοι, ἰδίαν δέ τινα τολμηρῶς συνταξάμενον ἔκθεσιν πίστεως· εἶτα δὲ καὶ ὅτι πολλὰ τῶν ἁγίων ἀποσπαράξας ῥητὰ καὶ παραποιησάμενος εἰς τὴν ἰδίαν ὑπόληψιν ἐξεβιάσατο, καὶ ὅτι ἐναντιοῦται τῇ τε νέᾳ καὶ παλαιᾷ γραφῇ καὶ τοῖς ἁγίοις ἡμῶν πατράσιν ἄφθαρτον καὶ ἀνώλεθρον τὸν κόσμον δοξάζων. ἔτι δὲ καὶ ὅτι τὴν ἀλλοίωσιν καὶ μεταστοιχείωσιν καὶ ῥεῦσιν εὐδιάβλητα εἶναι λέγει ὥσπερ τὰ ἀπὸ κακίας πάθη, καὶ δὴ καὶ διὰ τοῦτο τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀναλλοίωτον καὶ ἀπαθὲς καὶ ἄφθαρτον καὶ ἄρρευστον ἀναλαβεῖν σῶμα. καὶ πάλιν εἰπόντα διελέγχει ἀΐδιον καὶ ἄφθαρτον καὶ ἀγένητον τὸν κόσμον, τὴν δὲ λεγομένην πρὸς τὸ ἀΐδιον αὐτοῦ μεταστοιχείωσιν μὴ παραδεχόμενον, ἅτε καὶ αὐτῆς τῶν εὐδιαβλήτων παθῶν παρ᾽ αὐτῷ δογματιζομένης. καὶ ὅτι τοῦ Ἀδὰμ ἄφθαρτον καὶ ἀθάνατον κατὰ φύσιν καὶ ἀπαθὲς διαπλασθῆναι λέγει τὸ σῶμα, καὶ οὐ τοῦτο μόνον, ἀλλ᾽ ὅτι καὶ αὐτὸς ὁ χοῦς ἄφθαρτος ἦν, ἐξ οὗ τὸ σῶμα διεπλάσθη. πάλιν ἐλέγχει αὐτὸν μονοσήμαντον τὸ τῆς φθορᾶς ὄνομα ἐξειληφότα, ἐν ᾧ καὶ δείκνυσιν ὅτι οὔτε φθορᾶς οὔτε θανάτου οὔτε τοῦ κατὰ κακίαν πάθους, ἀλλ᾽ οὐδὲ τῶν ἁμαρτητικῶν λογισμῶν οὐδενὸς τούτων δημιουργὸς ὑπάρχει ὁ θεός, εἰ καὶ τῶν φθαρτῶν

a. 11. ἑτέροις ς. 12. ῥοπὴν καὶ ἱκανὸν ς. 16. ἦν A: οὗτος ἦν ς. 35. ὅτι] cf. Suidas v. Ἰουλιανὸς Ἁλικαρνασσεύς. 37. κυρίου ἐξεῖπεν ὥσπερ ς. καίτοι add A. 38. Σευήρου ς. b. 2. αὐτοῦ ς. 10. καὶ om A. 12. δὲ] δὲ καὶ ς. 13. παρεγγυήσατο A. 16. αὐτῷ om pr A. 17. ἀποδείξεως ς. 19. ἐλέγχει A: λέγει ς. 22. ἁγίων A: ἰδίων ς. 23. παρεβιάσατο ς. 24. παλαιᾷ καὶ νέᾳ ς. 27. εὐδιάβλητα Casaubonus: libri ἐνδιάβλητα. 28. τὸν] καὶ τὸν A.

καὶ τῶν θνητῶν οὐσιῶν καθέστηκε δημιουργός· ἐκεῖνα γὰρ 180 H. "τῶν ἀνυπάρκτων ἐστὶ καὶ καθ' ἑαυτὰ μὴ ἐχόντων ὑπόστασιν. ἔτι δὲ διελέγχει αὐτὸν τὸ κυριακὸν σῶμα ἐξ αὐτῆς ἑνώσεως ἀπαθὲς καὶ ἄφθαρτον καὶ ἀναλλοίωτον ἀποφαινόμενον· ὅπερ ἵνα συστήσῃ, ὡς ἐνόμισε, δείκνυσιν αὐτὸν καὶ τὴν ἄλλην ἀτοπίαν περί τε τοῦ κόσμου καὶ τοῦ Ἀδὰμ ἀποφθέγξασθαι. δείκνυσι δὲ ἐν ταὐτῷ ὁ Εὐσέβιος καὶ τὸ τῆς φθορᾶς καὶ καταφθορᾶς καὶ δὴ καὶ τῆς διαφθορᾶς ὄνομα ἐπὶ τίνων καὶ πόσων σημαινομένων ἡ θεία γραφὴ ἀποδέχεται, καί φησιν ὅτι φέρεται μὲν ἐπὶ τῶν φυσικῶν καὶ ἀδιαβλήτων παθῶν, καὶ ἐπί τε τῶν ἀπὸ κόπου καὶ καμάτου καὶ γήρους· καὶ γὰρ φθορὰ μὲν τὸ γῆρας νεότητος καὶ οἱ κόποι δὲ καὶ κάματοι τοῦ σωματικοῦ τόνου. ἔτι δὲ ἐπὶ τῆς τοῦ σώματος ἐν ἀσκήσει καὶ πνευματικοῖς ἀγῶσι ταπεινώσεως· καὶ γάρ φησιν ὁ ἀπόστολος „εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος φθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται" καὶ ἑξῆς. φέρεσθαι δέ φησι καὶ ἐπὶ τῆς ἐγγινομένης τῷ σώματι ταπεινώσεως ἤτοι τηκεδόνος ἀπό τινων αἰκιῶν καὶ κολάσεων· ἔτι δὲ καὶ ἐπὶ τῆς βλάβης τῆς ἐγγινομένης τοῖς ζώοις καὶ σπέρμασι καὶ φυτοῖς, τῆς τε μερικῆς καὶ τῆς καθόλου. οὐ μὴν ἀλλὰ καὶ ἐπ' αὐτοῦ τοῦ θανάτου τὸ ὄνομα φέρεσθαι, καὶ ἔτι χωρὶς τῶν εἰρημένων ἐπὶ τῆς διαλύσεως καὶ ῥεύσεως τῶν σωμάτων τῆς ἐν τοῖς τάφοις συμβαινούσης· ἀλλὰ καὶ παρὰ ταῦτα ἐπὶ τοῦ κατὰ κακίαν πάθους ἤτοι τῶν ἁμαρτημάτων. τοσαυταχῶς οὖν τῆς φθορᾶς καὶ καταφθορᾶς καὶ διαφθορᾶς λαμβάνεσθαι δυνα- 348 R. μένης," εἰκότως διεσφάλθαι δεικνύει τὸν Ἀνδρέαν ὡς μονοσήμοις ἀποκεχρημένον ταῖς λέξεσι.

Παρατίθησι δὲ τὰς κατὰ τοὺς ἐλέγχους ἀποδείξεις ἔκ τε τῆς θείας γραφῆς, παλαιᾶς τε καὶ νέας, καὶ ἐκ τῶν λογάδων πατέρων, Ἀθανασίου καὶ τῶν τριῶν Γρηγορίων, τοῦ τε θαυματουργοῦ λέγω καὶ τοῦ θεολόγου καὶ τοῦ θεσπεσίου Νύσσης, Βασιλείου τε τοῦ Καισαρείας καὶ Ἰωάννου τοῦ Χρυσοστόμου Κυρίλλου τε τοῦ Ἀλεξανδρείας καὶ τοῦ Κωνσταντινουπόλεως Πρόκλου, ἀλλὰ δὴ καὶ Μεθοδίου τοῦ ἱερομάρτυρος καὶ Κοδράτου· ὧν ἐνίων καὶ ῥήσεις τινὰς ὁ Ἀνδρέας ἀποσπαράξας καὶ παραπλασάμενος, ἃ δὲ καὶ κακούργως ἢ καὶ ἀνοήτως ἐξειληφώς, ἐκεῖθεν (ὡς ᾤετο) τὴν οἰκείαν πλάνην ἐκράτυνεν. ἀλλὰ πάντων ἕνεκεν τῶν εἰρημένων Εὐσεβίῳ δίδωσι δίκας, τῆς τε παραποιήσεώς φημι καὶ κακουργίας ἢ καὶ ἀνοίας, καὶ ὅτι αἱρετικῶν ῥητά τινα παραλεξάμενος τοῖς ἁγίοις ἡμῶν πατράσιν ἐτόλμησεν ἀναθεῖναι ταῦτα.

Ἐπὶ τούτοις δείκνυσιν αὐτόν, ἐξ ὧν ἐματαιολόγει, δοξάζοντα ὅτι μὴ ἀλλοιωθεὶς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διὰ τῆς ἀναστάσεως ἐκ φθορᾶς εἰς ἀφθαρσίαν ὡσαύτως ἐστὶν ἀπαθὴς κατὰ τὴν ἀνθρωπότητα, ὥσπερ ἐστὶν ἀπαθὴς κατὰ τὴν θεότητα. καὶ ὅτι ἐτόλμησε βλασφήμους ἀποκαλέσαι τοὺς φρονοῦντας καὶ λέγοντας θνητῷ καὶ παθητῷ σώματι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν τῷ κόσμῳ πολιτεύσασθαι, αὐτὸς οὐκ ἐρυθριῶν μετὰ νίκην παθῶν καὶ θανάτου καὶ φθορᾶς ἀναίρεσιν παθητὸν τὸ κυριακὸν τερατεύεσθαι σῶμα, καὶ ὁ φθαρτολάτρας ἐνυβρίζων τοὺς ὀρθοδόξους λέληθεν αὐτὸν "δι' 181 H. ὧν λέγει παθητολάτρης ἀληθῶς ἀπελεγχόμενος. ἐντεῦθέν τε παρατίθησι πάλιν φωνὰς πατρικάς, καὶ παρίστησι παθητὸν καὶ θνητὸν καὶ κατὰ τοῦτο φθαρτὸν τὸ κυριακὸν σῶμα ἕως τῆς αὐτοῦ ἐνδόξου ἀναστάσεως, ἐκεῖθεν δὲ δι' αὐτῆς μεταβληθὲν εἰς ἀθανασίαν καὶ ἀπάθειαν. λέγει δὲ ὡς ματαιολογεῖ φθαρτολάτρας ὁ Ἀνδρέας ἐπιφημίζων τοὺς ὀρθοδόξους· Ἀρείῳ γὰρ καὶ Ἀετίῳ καὶ Εὐνομίῳ Ἀπολλιναρίῳ τε καὶ Νεστορίῳ, ἀλλ' οὐ τοῖς εὐσεβέσι κατάλληλος καὶ οἰκεία ἡ τοιαύτη κλῆσις. δογματίζει δὲ καὶ τοῦτο, ὡς ὁ κύριος καὶ θεὸς ἡμῶν τὰ φυσικὰ μὲν καὶ ἀδιάβλητα πάθη ὡς τῆς φύσεως δημιουργὸς ἀνεδέξατο (ἃ οὐδὲ κυρίως πάθη ἀλλ' ἔργα ἂν οἰκειότερον καλοῖτο τῆς φύσεως), τῶν δὲ κυρίως παθῶν, ἤτοι τῶν ἀπὸ κακίας, παντελῶς ἀνεπίδεκτος ἦν· καὶ ὅτι οὐχ, ὡς πρὸ τῆς ἀναστάσεως ἤσθιε καὶ ἔπινεν, οὕτω καὶ μετὰ τὴν ἀνάστασιν συνέφαγε καὶ συνέπιε τοῖς μαθηταῖς, ἀλλὰ τὸ μὲν ἔπραττε νόμῳ φύσεως, τὴν ῥέουσαν σάρκα βρώσει καὶ πόσει ὡς ἀληθῶς ἀνακτώμενος καὶ περικρατῶν, τὸ δὲ ἐτέλεσεν ὑπερφυῶς δι' οἰκονομίαν, ἵνα τοῖς μαθηταῖς πιστώσηται, καὶ δι' αὐτῶν πᾶσι πιστοῖς, ὡς αὐτὸ τὸ πεπονθὸς καὶ σταυρωθὲν ἀνέστη σῶμα, ἀλλ' οὐχ ἕτερον παρ' ἐκεῖνο, εἰ καὶ πρὸς ἀφθαρσίαν καὶ ἀπάθειαν μετεστοιχειώθη. ταῦτα φιλοθέως ἐπιδογματισάμενος τέλος ἐπιτίθησι τῷ δεκαλόγῳ. ἔστι δὲ σαφὴς καὶ ἁπλοῦς τὴν φράσιν, καθαρότητι χρώμενος, καὶ εἴ που δέοι, καὶ εὐκρινείᾳ.

## 163.

"Ἀνεγνώσθη ΟΥΙΝΔΑΝΙΟΥ ΑΝΑΤΟΛΙΟΥ Βηρύτου συναγωγὴ γεωργικῶν ἐπιτηδευμάτων· συνήθροι- 349 R.

a. 1. τῶν add *A*. 2. an forte ἐνυπάρκτων? 9. καὶ ante τῆς om *A*. 12. γήρως ς. 14. δὲ καὶ ἐπὶ ς. 16. εἰ] 2 Cor. 4, 16. 17. καὶ τὰ ἑξῆς ς. 23. ἐπὶ *A*: καὶ ἐπὶ ς. 25. παρὰ *A*: περὶ ς. 26. οὖν add *A*. 31. θείας add *A*. 33. τε om *A*. 35. τε add *A*. b. 7. κατὰ] καὶ κατὰ *A*. 12. ὁ add *AC*. 15. πάλιν παρατίθησι ς. 41. βηρύτιου *A*.

Digitized by Google

σται δὲ αὐτῷ τὸ βιβλίον ἔκ τε τῶν Δημοκρίτου Ἀφρικανοῦ τε καὶ Ταραντίνου καὶ Ἀπουληΐου καὶ Φλωρεντίου καὶ Οὐάλεντος καὶ Λέοντος καὶ Παμφίλου, καὶ δὴ καὶ ἐκ τῶν Διοφάνους παραδόξων· τόμοι δέ εἰσι τὸ βιβλίον ιβʹ. χρήσιμον δὲ τὸ βιβλίον, ὡς καὶ διὰ πείρας αὐτῆς ἐπὶ πολλῶν εἴδομεν, πρὸς τὰς κατὰ γῆν ἐργασίας καὶ τοὺς γεωργικοὺς πόνους, καὶ σχεδόν τι χρησιμώτερον τῶν ἄλλων, ὅσοι τῆς αὐτῆς αὐτῷ πραγματείας ἥψαντο. ἔχει δ᾽ ὅμως ἔνια καὶ τοῦτο τὸ βιβλίον τερατώδη καὶ ἄπιστα καὶ τῆς Ἑλληνικῆς πλάνης ὑπόπλεα, ἃ δεῖ τὸν εὐσεβῆ γηπόνον ἐκτρεπόμενον τῶν λοιπῶν συλλέγειν τὰ χρήσιμα. καὶ οἱ ἄλλοι δὲ τῶν τὰς γεωργικὰς πραγματείας συγγραψαμένων σχεδόν τι τὰ αὐτὰ περὶ τῶν αὐτῶν, ὅσα ἐμὲ εἰδέναι, ἀποφαίνονται, οὐκ ἐπὶ πολλοῖς δὲ διαφωνοῦσιν. ἐν οἷς δὲ διαπεφωνήκασιν, ἡ τοῦ Λέοντος τῶν ἄλλων προκρίνεται πεῖρα.

## 164.

Ἀνεγνώσθη ΓΑΛΗΝΟΥ περὶ αἱρέσεων. περὶ αἱρέσεων δὲ τῶν κατὰ τὴν ἰατρικὴν τὴν σύστασιν ἐσχηκυιῶν διαλαμβάνει, καί φησι τρεῖς κατ᾽ ἰατρικὴν καθολικὰς αἱρέσεις συστῆναι, τήν τε καλουμένην λογικήν, ἣν καὶ δογματικὴν ἐπονομάζει ἔτι δὲ καὶ ἀναλογιστικήν, δευτέραν δὲ τὴν καλουμένην ἐμπειρικήν, ἥτις καὶ τη-
182 H. ρητικὴ καὶ μνημονευτικὴ ἐπικαλεῖται, τρίτην δὲ τὴν μεθοδικήν. διαφέρουσι δὲ ἀλλήλων αὗται ἄλλοις τε καὶ τῷ τρόπῳ τῆς εὑρέσεως· ὁ μὲν γὰρ δογματικὸς λόγῳ κεχρημένος καὶ τὰς μεθόδους τῆς ἰατρείας εὑρίσκων τὴν τέχνην συνίστησιν, ὁ δὲ ἐμπειρικὸς οὐκέτι τῷ λόγῳ ἀλλὰ τῇ πείρᾳ καὶ τῇ τηρήσει· ὁ δὲ μεθοδικὸς ἐπαγγελλόμενος καὶ λόγῳ καὶ πείρᾳ κεχρῆσθαι, ἀκριβῶς δὲ μηδετέρῳ χρώμενος, εἰκότως ἀμφοῖν διοίσει. εἰς γʹ δὲ τμήματα διαιρεῖται τὸ παρὸν βιβλίον. καὶ ἐν μὲν τῷ πρώτῳ τὴν σύστασιν τῆς ἐμπειρικῆς καὶ δογματικῆς ἀναγράφει, ἐν ᾧ καὶ ὁποία ἡ ἑκάστης οὐσία διδάσκει· ἐν δὲ τῷ δευτέρῳ εἰσάγει τὰς δύο διαφιλονεικούσας αἱρέσεις ἀλλήλαις καὶ τῶν πρωτείων ἀμφισβητούσας· ἐν δὲ τῷ γʹ τμήματι τὴν καλουμένην εἰσάγει μεθοδικὴν ταῖς προειρημέναις δυσὶ μαχομένην, κἀκείνας πρὸς ταύτην, ἑκάστης τῶν τριῶν τὰ οἰκεῖα προβαλλομένης δίκαια καὶ σπευδούσης εἰς τὴν κατὰ τῶν ὑπολοίπων νίκην. ἐν οἷς καὶ τὸ τρίτον ἀπαρτίζεται τμῆμα. δῆλον δ᾽ ὅτι τὸ βιβλίον τοῦτο τῶν κατὰ τὴν ἰατρικὴν ἀναγνωσμάτων πάντων προτάττεσθαι ὀφείλει, εἴπερ δεῖ μαθεῖν ποία πασῶν ἀρίστη αἵρεσις, εἶθ᾽ οὕτω ταύτῃ κεχρῆσθαι. εἴη δ᾽ ἂν οὐδὲ κυρίως ἰατρικὸν τὸ βιβλίον, ἀλλὰ προοιμίου τόπον ἐπέχον καὶ φιλοσοφίᾳ μᾶλλον ἀνακείμενον. δῆλον δὲ ὅτι, ὅσα γε ἐπί τε λέξει καὶ συντάξει, καθαρόν ἐστι καὶ εὐκρινές· τούτων γάρ ἐστιν ἐν πᾶσιν ὁ Γαληνὸς φροντιστής, εἰ καὶ ἐν πολλοῖς αὐτοῦ τῶν συγγραμμάτων ἀκαιρολογίαις καὶ παρεκτροπαῖς καὶ τῷ τῶν περιόδων σχοινοτενεῖ 352 R.
φορτίζων τὰ βιβλία συγχεῖ καὶ σκοτοῖ τῶν γεγραμμένων τὸν νοῦν, τήν τε σύμφρασιν οἱονεὶ διακόπτων, καὶ εἰς ἀκηδίαν ἄγων διὰ τοῦ μακροῦ λήρου τὸν ἀκροατήν· ὧν τέως τὸ παρὸν βιβλίον ἀπήλλακται.

## 165.

Ἀνεγνώσθησαν ἹΜΕΡΙΟΥ σοφιστοῦ μελέται καὶ ἄλλως λόγοι διάφοροι, ὧν συμβουλευτικαὶ μὲν δύο, δικανικαὶ δὲ μελέται τρεῖς· τούτων δὲ καὶ προθεωρίας ἐκτίθεται. καὶ τῶν συμβουλευτικῶν μὲν τὴν πρώτην εἰς Ὑπερίδην διατυποῖ δῆθεν ὑπὲρ Δημοσθένους συμβουλεύσαντα, τὴν δὲ εἰς Δημοσθένην αὐτὸν ὑπὲρ Αἰσχίνου τὴν συμβουλὴν σχηματίζοντα. οἱ δὲ λοιποὶ τρεῖς, ὁ μὲν κατ᾽ Ἐπικούρου διαπλάττεται ἀσεβείας γραφὴν ὡσανεὶ φεύγοντος, ὁ δὲ κατὰ πλουσίου, πένητος ἀνδρὸς οἰκίαν ὅλην μυσαροῖς κενώσαντος δράμασι, καὶ αὐτὸν εἰσάγει τὸν πένητα διαγωνιζόμενον· ὁ δὲ τρίτος Θεμιστοκλέα παράγει βασιλεῖ Περσῶν ἀντιλέγοντα, ἐπειδὰν ὑποσχέσεις ἐκεῖνος προὔτεινεν ὑπὲρ τῆς τοῦ πολέμου καταλύσεως. οὗτοι δὴ αὐτῷ οἱ λόγοι τήν τε ἐν λόγοις ἀρετὴν αὐτοῦ καὶ τῶν νοημάτων τὸ ἀνθηρὸν καὶ ἧκον εἰς δύναμιν μᾶλλον τῶν ἄλλων δεικνύειν πως ἐμελετήθησαν· περιβολαῖς τε γὰρ κατὰ ζῆλον Δημοσθένους πλεονάζει, καὶ τῷ πολυσχηματίστῳ ποικίλλεται, καὶ ταῖς ἰδέαις καλῶς τοὺς λόγους κεράννυσι, τῷ μεγάλῳ μᾶλλον ὑψούμενος· καὶ λέξει δὲ χρῆται, ὅσον μὲν εἰς τύπον καὶ τῇ καθ᾽ ἑαυτὴν σημασίᾳ καὶ ἐμφάσει, οὐδὲν 183 H.
τοῦ σαφοῦς λειπομένῃ· τὸ δὲ λύσεις αὐτὰς ὀνομάτων ὡς ἐπὶ τὸ πλεῖστον εἶναι ξενίζει μὲν μετὰ τοῦ ἡδέος τὴν ἀκοήν, οὐ μέντοι τοῖς πολλοῖς ἐπ᾽ ἴσης παρέχεται τὴν κατάληψιν. σαφὴς δὲ καὶ τοῖς τῆς εὐκρινείας ἰδιώμασι. χρώμενος δ᾽, ὡς ἔφην, περιβολῇ τῇ τε κατ᾽ αἰτιολογίαν καὶ ἄλλως [κεχρημένος] φαίνεται· γοργοῖς μέντοι τοῖς σχήμασιν ἀποδιδοὺς τὴν ἐντεῦθεν ἀσάφειαν ἐκκαθαίρει. καὶ ὑπερβατῷ δὲ καὶ τροπῇ, εἰ καὶ τῆς

a. 35. καὶ τῶν AC: καὶ περὶ τῶν ς. 38. κἀκείνην ς. b. 9. φροντίζων ς. 15. ὧν add A. 18. ἐκτυ- καὶ ς. 26. προτείνειεν ς. 32. μεγαλείῳ ς. 34. οὐδὲ ς. 40. κεχρημένος om pr C. 41. τὴν A: τήν τε ς.

περιβολῆς ἐπ' ἔλαττον, ὅμως ἐνταῦθα πολλῇ καὶ εὐφυῶς χρῆται. καὶ σύντονος ἐν τούτοις καὶ γοργός, ὅπου δεήσοι. ἀλλ' ἐν μὲν τοῖς εἰρημένοις λόγοις τοιοῦτος.

Ἐφεξῆς δὲ τούτων τάττει τὸν πολεμαρχικόν, ὅς ἐγκώμιόν ἐστι τῶν ὑπὲρ ἐλευθερίας πρὸς Πέρσας ἐν μάχῃ πεσόντων καὶ πολέμου ἔπαινος. μεθ' ὃν ἐστιν ὁ Ἀρεοπαγιτικὸς ἢ καὶ ἐλευθερωτικὸς Ῥουφίνου τοῦ οἰκείου υἱοῦ· οὗτος οὐ πλασματικός, οὐδ' ὁ ἐφεξῆς, ἡ εἰς τὸν αὐτὸν υἱὸν τελευτήσαντα μονῳδία. εἶτα ἐπιθαλάμιος εἰς ἑταῖρον Σεβῆρον· οὐδ' οὗτος δὲ δηλονότι τῶν πλασματικῶν. τούτῳ δὲ πάλιν καὶ θεωρίαν προκαθίστησιν. ἐφ' οἷς Διογένης ἢ προπεμπτικός· σεμνύνεται δὲ καὶ οὗτος προθεωρίᾳ, καί γε καὶ ὡς διαλόγῳ τυποῦται πλαττόμενος. εἶτα πρὸς τοὺς ἑταίρους συντακτήριος, ὅτε ἐξῄει εἰς Κόρινθον. πάλιν εἰς Φλαβιανὸν προπεμπτήριος, προαχθέντα τῆς Ἀσίας ὕπατον. ἐφεξῆς εἰς τοὺς περὶ Πείσωνα νεήλυδας. πάλιν προπεμπτικὸς ἢ Διογένης. καὶ σχέδιον ἐφεξῆς ἐπὶ τῇ γενομένῃ στάσει ἐν
353R. τῇ διατριβῇ, εἴς τε τὴν τῶν Κυπρίων ἐπιδημίαν, καὶ εἰς τὸν πρῶτον ἐκ Καππαδοκίας αὐτοῦ ἀκροασάμενον. εἶτα ἐπίδειξις, ὅτε ἀναβαλλόμενος εἰπεῖν ἀξιούμενος εἰς αὐτὸ τοῦτο διείλεκται, ὅτι σπάνια τὰ καλά. καὶ εἰς Μουσώνιον δὲ τὸν ἀνθύπατον Ἑλλάδος, καὶ εἰς Σεβῆρον νέηλυν ἐπιστάντα συμπληγάδι. εἶτά λαλιά, καὶ εἰς τὸν κόμητα Οὐρσάκιον, καὶ εἰς Σεβῆρον ἕτερον, καὶ εἰς Σκυλάκιον ἀνθύπατον Ἑλλάδος, καὶ εἰς νεήλυδας Ἐφεσίους καὶ Μυσοὺς καὶ πολίτας τοῦ Λέοντος. εἶτα εἰς τοὺς ἐκ πατρίδος ἑταίρους, καὶ εἰς Ἀθήναιον κόμητα, καὶ εἰς Πριβᾶτον Ῥωμαῖον παιδεύοντα τὸν παῖδα Ἀμπελίου τοῦ ἀνθυπάτου, καὶ δὴ καὶ εἰς τὴν ἀπὸ Κορίνθου ἐπάνοδον, καὶ εἰς τὸν Ἀλεξάνδρου τοῦ ἀνθυπάτου παῖδα Φοῖβον, καὶ εἰς Ἀρκάδιον τὸν ἰατρὸν καὶ κόμητα. καὶ προπεμπτήριος εἰς τοὺς προσελθόντας ἑταίρους, προπεμπτικός τε εἰς Φλαβιανόν, καὶ ἐπιθαλάμιος ῥηθεὶς εἰς Παναθήναιον. εἶτα λαλιά, ἑτέρα λαλιά, καὶ διάλεξις ἐν Φιλίπποις, ὅτε ἀπῄει παρὰ Ἰουλιανοῦ βασιλέως καλούμενος, εἶτα ῥηθεὶς ἐν Κωνσταντινουπόλει εἰς αὐτήν τε τὴν πόλιν καὶ Ἰουλιανὸν τὸν βασιλέα, καὶ εἰς τὴν Μίθρου τελετήν. διάλεξις εἰς Σαλούστιον ἔπαρχον, ἧς ἐστὶ καὶ θεωρία. εἰς Φλαβιανὸν πάλιν τὸν ἀνθύπατον, καὶ εἰς τὴν γενέθλιον τοῦ ἑταίρου. καὶ λαλιὰ εἰς τὸ ὑγιαίνειν τὸν ἑταῖρον. ἔτι δὲ εἰς τοὺς ἐπιβουλεύοντας, καὶ εἰς τὸν ἀνθύπατον Βασίλειον, καὶ πάλιν εἰς τὸν αὐτὸν Βασίλειον. εἰς Ἑρμογένην τε τὸν τῆς Ἑλλάδος ἀνθύπατον, καὶ εἰς Πλοκιανὸν τὸν ἀνθύπατον. πάλιν εἰς Ἀμπέλιον τὸν ἀνθύπατον, καὶ εἰς τὸν ἀνθύπατον τῆς Ἑλλάδος Πραιτεξτάτον καὶ τοὺς ἑταίρους. εἶτα πρὸς τὸν 184 H
βασιλέα Ἰουλιανὸν ἀπαίρειν μέλλων. εἶτα ἐν Νικομηδείᾳ, προτραπεὶς ὑπὸ τοῦ ἐκεῖσε ἄρχοντος Πομπηϊανοῦ. μεθ' ὃν ὁ εἰς νεήλυδας. εἶτα εἰς νέηλυν. ἐπὶ τούτοις ὁ εἰς Ζήνωνα τὸν ἑταῖρον, καὶ μετ' αὐτὸν εἰς Ἀφοβῖνον νέηλυν, καὶ εἰς τὸν ἐκ τοῦ χρησμοῦ τοῦ Ποσειδῶνος φοιτήσαντα, εἴς τε τοὺς ἀπὸ Ἰωνίας ἐπιδημήσαντας, καὶ εἰς τοὺς Ἴωνας ξένους. καὶ εἰς τοὺς ἑταίρους σχέδιον ῥηθέν· καὶ ἣν ἐξέδωκεν ἑταίρῳ Κωνσταντινουπολίτῃ. διάλεξίς τε ἐν τοῖς ἑταίροις μετὰ τὴν ἀπὸ τῆς πατρίδος ἐπάνοδον, καὶ εἰς τὴν αὐτοῦ διατριβὴν ἐξ αὐτοσχεδίου διάλεξις. καὶ ἐπίπληξις τοῖς ῥαθύμως ἀκροωμένοις τῶν λόγων, καὶ σχέδιον εἴς τινας τῶν φοιτώντων δόξαντας ἀφηνιάζειν, καὶ εἰς τοὺς περὶ Κυτιανὸν ἀτάκτως ἀκούσαντας, ὅτε τὸ σχέδιον εἶπε. καὶ προτροπὴ πρὸς τὸ χρῆναι τὴν ἐν τοῖς λόγοις ποικιλίαν ἀσπάζεσθαι. καὶ ἡ μετὰ τὴν τοῦ τραύματος θεραπείαν διάλεξις. εἶτα ὁ μετὰ τὴν ἀπὸ Κορίνθου ἐπάνοδον, εἴς τε τὸ γραφεῖον καὶ τοὺς ἑταίρους, καὶ εἰς τὴν Λακεδαιμονίων πόλιν, ὅτε ὀνείρατι πειθόμενος τῷ Ἀμυκλαίῳ θεῷ ἐφοίτησεν εὔξασθαι. καὶ ὅτι οὐ δεῖ πάντως δημοσίᾳ τὰς ἀκροάσεις ἀπαγγέλλειν. καὶ λαλιὰ ὅτι δεῖ ἐν γυμνασίοις εἶναι. καὶ λαλιὰ ἐν Κορίνθῳ ἐκδεδομένη.

Τούτους οἶμαι τοὺς λόγους μόνους τοῦ σοφιστοῦ Ἱμερίου, περί που ο' ὄντας, κατὰ πρόσωπον ἡμῶν τὴν σὴν φιλοπονίαν ἀνεγνωκέναι. ἐν οἷς ἐστὶ πᾶσι τὸν μὲν τῆς λέξεως τύπον καὶ τὸ αὐτὸ σχῆμα φυλάττων, τῇ τε περιβολῇ καὶ τῇ τροπῇ χρώμενος, εἰ καὶ τὸν κόρον οὐκ ἔτεκεν ἡ μετ' εὐφυΐας χρῆσις καὶ οἰκείωσις τῆς τροπῆς· καὶ κατά γε ἐμὴν εἴδησιν οὐδεὶς οὕτως (οἶμαι) χρησάμενος τῇ 356 R.
τροπῇ καλῶς οὕτω καὶ ἡδέως ἀπήλλαξε. παραδείγμασι δὲ ἐξ ἱστορίας τε καὶ ἐκ μύθων παντοδαπῶν μεστὰ αὐτοῦ τυγχάνει τὰ γράμματα, ἢ πρὸς ἀπόδειξιν ἢ πρὸς ὁμοιότητα ἢ πρὸς ἡδονὴν καὶ κάλλος ὧν λέγει, τούτοις ἀπευθύνων τὸν λόγον καὶ ποικιλλόμενος. καὶ τὰ προοίμια δὲ καὶ οἱ ἐπίλογοι, ἔστι δὲ οὗ καὶ οἱ οἷον ἀγῶνες ἀπὸ τούτων αὐτῷ διασκευάζονται. πολλῇ δὲ κέχρηται καὶ τῇ προδιατυπώσει. ἀλλὰ τοιοῦτος ὢν ἐν τοῖς λόγοις ἀσεβὴς

a. 8. οὐ Stephanus: libri ὁ. 10. οὐδ' add A. 11. τῶν om A. 17. προτρεπτικὸς ς. 25. ἑταῖρον ς. 37. Κωνσταντίνου A: τῇ ς. 38. πόλιν A: Κωνσταντινούπολιν ς. τὸν ante Ἰουλιανὸν ponit A.
b. 5. ἑτέρους ς. 9. μετὰ τοῦτον ς. 12. ξένους Ἴωνας ς. 20. τοῖς add A. 28. μόνους om C. 34. οὔπω ς.

Digitized by Google

(ὡς δῆλον) ἐςὶ τὴν θρησκείαν, εἰ καὶ τοὺς λαθραίους μιμεῖται τῶν κυνῶν καθ' ἡμῶν ὑλακτῶν. ἤκμασε δὲ ἐπὶ Κωνςαντίου καὶ τοῦ δυσσεβεςάτου Ἰουλιανοῦ, καὶ τοῦ ἐν Ἀθήνησι κατὰ ῥητορείαν πρῶτος διδασκαλείου.

## 166.

Ἀνεγνώσθησαν ἈΝΤΩΝΙΟΥ ΔΙΟΓΕΝΟΥΣ τῶν ὑπὲρ Θούλην ἀπίςων λόγοι κδʹ. δραματικὸν οἱ λόγοι, σαφὴς ἡ φράσις, καὶ οὕτω καθαρὰ ὡς ἐπ' ἔλαττον εὐκρινείας δεῖσθαι, καὶ τότε κατὰ τὰς ἐκτροπὰς τῶν διηγημάτων. ταῖς δὲ διανοίαις πλεῖςον ἔχει τοῦ ἡδέος, ἅτε μύθων ἐγγὺς καὶ ἀπίςων ἐν πιθανωτάτῃ πλάσει καὶ διασκευῇ ὕλην ἑαυτῇ διηγημάτων ποιουμένη.

Εἰσάγεται τοίνυν ὄνομα Δεινίας κατὰ ζήτησιν ἰςο-
185 H. ρίας ἅμα τῷ παιδὶ Δημοχάρῃ ἀποπλανηθεὶς τῆς πατρίδος, καὶ διὰ τοῦ Πόντου καὶ ἀπὸ τῆς κατὰ Κασπίαν καὶ Ὑρκανίαν θαλάσσης πρὸς τὰ Ῥιπαῖα καλούμενα ὄρη καὶ τοῦ Ταναΐδος ποταμοῦ τὰς ἐκβολὰς ἀφιγμένοι, εἶτα διὰ τὸ πολὺ τοῦ ψύχους ἐπὶ τὸν Σκυθικὸν ἐπιςραφέντες ὠκεανόν, καὶ δὴ καὶ εἰς τὸν ἑῷον ἐμβαλόντες καὶ πρὸς ταῖς τοῦ ἡλίου ἀνατολαῖς γεγονότες, ἐντεῦθέν τε κύκλῳ τὴν ἐκτὸς περιελθόντες θάλασσαν ἐν χρόνοις μακροῖς καὶ ποικίλαις πλάναις· οἷς συνεφάπτονται τῆς πλάνης Καρμάνης καὶ Μηνίσκος καὶ Ἄζουλις. γίνονται δὲ καὶ ἐν Θούλῃ τῇ νήσῳ, ἐνταῦθα τέως καὶ ςαθμὸν ὥσπερ τῆς πλάνης τινὰ ποιούμενοι. ἐν ταύτῃ τῇ Θούλῃ Δεινίας κατ' ἔρωτος νόμον ὁμιλεῖ Δερκυλλίδι τινὶ καλουμένῃ, ἥτις γένει μὲν ὑπῆρχε Τυρία τῶν κατὰ τὴν πόλιν εὐπατριδῶν, ἀδελφῷ δὲ συνῆν ὄνομα Μαντινίᾳ. ταύτῃ Δεινίας ὁμιλῶν ἀναμανθάνει τήν τε τῶν ἀδελφῶν πλάνην, καὶ ὅσα Παάπις τις ἱερεὺς Αἰγύπτιος, τῆς πατρίδος αὐτοῦ λεηλατηθείσης καὶ παροικήσας Τύρον καὶ φιλοξενηθεὶς ὑπὸ τῶν τεκόντων τοὺς ἀδελφοὺς Δερκυλλίδα καὶ Μαντινίαν, καὶ δόξας τὰ πρῶτα εὔνους εἶναι τοῖς εὐεργέταις καὶ ὅλῳ τῷ οἴκῳ, μετὰ ταῦτα ὅσα κακὰ τόν τε οἶκον καὶ αὐτοὺς καὶ αὐτῶν γονέας εἰργάσατο· ὅπως εἰς Ῥόδον ἀπὸ τῆς κατὰ τὸν οἶκον συμφορᾶς σὺν τῷ ἀδελφῷ ἀπήχθη, κἀκεῖθεν εἰς Κρήτην ἐπλανήθη, εἶτα εἰς Τυῤῥηνούς, κἀντεῦθεν εἰς Κιμμερίους οὕτω καλουμένους· καὶ ὡς τὰ ἐν Ἅιδου παρ' αὐτοῖς ἴδοι καὶ πολλὰ τῶν ἐκεῖσε μάθοι, διδασκάλῳ χρωμένη Μύρτῳ θεραπαινίδι οἰκείᾳ, πάλαι τὸν βίον ἀπολιπούσῃ καὶ ἐκ τῶν νεκρῶν τὴν δέσποιναν ἀναδιδασκούσῃ.

Ταῦτα τοίνυν ἀπάρχεται Δεινίας διηγεῖσθαι Κύμβᾳ 357 R.
τινὶ ὀνόματι ἐξ Ἀρκαδίας πατρίδος, ὃν ςείλειε τὸ κοινὸν τῶν Ἀρκάδων ἐς Τύρον, αἰτούμενοι Δεινίαν πρὸς αὐτούς τε καὶ πατρίδα ἐπαναζεῦξαι. ἐπεὶ δὲ αὐτὸν τὸ βάρος τοῦ γήρως ἐκώλυεν, εἰσάγεται διηγούμενος ἅπερ τε αὐτὸς κατὰ τὴν πλάνην θεάσοιτο ἢ καὶ ἄλλων θεασαμένων ἀκήκοε, καὶ ἃ Δερκυλλίδος ἐν Θούλῃ διηγουμένης ἀνέμαθε, λέγω δὴ τήν τε προειρημένην πλάνην αὐτῆς, καὶ ὅπως μετὰ τὴν ἐξ Ἅιδου αὐτῆς ἀναχώρησιν σὺν Κηρύλλῳ καὶ Ἀςραίῳ, ἤδη τοῦ ἀδελφοῦ διασπασθεῖσα, ἐπὶ τὸν Σειρῆνης ἀφίκοντο τάφον· καὶ ὅσα πάλιν αὐτὴ ἐξ Ἀςραίου λέγοντος ἤκουσε, περί τε Πυθαγόρου φημὶ καὶ Μνησάρχου· οἷά τε Φιλώτιδος αὐτὸς Ἀστραῖος ἤκουσε, καὶ τὸ κατὰ τοὺς ὀφθαλμοὺς αὐτοῦ μυθῶδες θέαμα· καὶ ὅσα αὖθις Δερκυλλὶς ἐπὶ τὴν οἰκείαν ἐπανιοῦσα πλάνην ἀπήγγελλεν, ὡς περιπέσοι ἀνθρώπων πόλει κατὰ τὴν Ἰβηρίαν, οἳ ἑώρων μὲν ἐν νυκτί, τυφλοὶ δὲ ὑπὸ ἡμέρᾳ ἑκάςῃ ἐτύγχανον· καὶ ὅσα ἐκεῖ Ἀςραῖος αὐλῶν τοῖς πολεμίοις ἐκείνων εἰργάσατο· καὶ ὡς ἀφεθέντες εὐμενῶς ἐκεῖθεν περιπεπτώκασι τοῖς Κελτοῖς, ἔθνει ὠμῷ καὶ ἠλιθίῳ, ἵπποις τε αὐτοὺς ἐξέφυγον, καὶ ὅσα αὐτοῖς περὶ τῆς κατὰ τὴν χρόαν τῶν ἵππων ἐναλλαγῆς ἐγεγόνει. ὅπως τε κατὰ τοὺς Ἀκυτανοὺς ἐγένοντο, καὶ οἵας ἐκεῖ τιμῆς ἀπήλαυσαν Δερ- 186 H.
κυλλίς τε καὶ Κήρυλλος, καὶ ἔτι μᾶλλον Ἀςραῖος τῇ περὶ τοὺς οἰκείους ὀφθαλμοὺς αὐξομειώσει τὰς σεληνιακὰς σημαίνων αὐξομειώσεις, καὶ λύων ἔριδος τοὺς ἐκεῖσε περὶ τῆς ἀρχῆς βασιλεῖς, οἳ δύο ὄντες κατὰ τὰ τοιαῦτα τῆς σελήνης πάθη ἀλλήλων ἀντικαθίςαντο διάδοχοι· δι' ἃ καὶ ὁ ἐκεῖσε δῆμος τοῖς περὶ Ἀςραῖον ἔχαιρον.

Ἐντεῦθεν ἐπιμυθεύεται ὅπως τά τε ἄλλα Δερκυλλὶς εἶδέ τε καὶ ὑπήνεγκε, καὶ ὡς ἐν Ἀρτάβροις ἤχθη, οὗ γυναῖκες μὲν πολεμοῦσιν, ἄνδρες δὲ οἰκουροῦσι καὶ τὰ γυναικῶν ἐπιμελοῦνται. ἐπὶ τούτοις οἷα κατὰ τοὺς Ἀςύρους τὸ ἔθνος αὐτῇ τε καὶ Κηρύλλῳ συνεκύρησε, καὶ ἔτι ὅσα ἰδίως Ἀςραίῳ συνηνέχθη, καὶ ὡς παρ' ἐλπίδας πάσας τοὺς ἐν Ἀςύροις συχνοὺς κινδύνους ἐκπεφευγότες Κήρυλλος σὺν Δερκυλλίδι τὴν δίκην ὅμως,

a. 10. δὲ add A. 24. καὶ σταθμὸν — ποιούμενοι A: σταθμίον — ποιούμενα ς. 28. ἀδελφῇ ς. 30. Παάπις] Παάπιός A: παάσιός ς. 41. Μύρθῳ ς. Scaliger Μυρτοῖ.
b. 10. τε add A. 12. τοῦ om A. 13. ἀφίκοντο apographum Stephani: ἀφίκοιντο ς. 16. ὀφθαλμοὺς A: ἀδελφοὺς Cς. 20. ἡμέραν ἑκάστην ς. 23. βελτοῖς A.

οὗ ἦν ἀδικήματος παλαιοῦ ὠφληκὼς ἐτύγχανεν, ἐκ ἀπέφυγεν, ἀλλὰ παρὰ δόξαν πᾶσαν ὡς ἐσώθη τῶν κινδύνων, οὕτω καὶ ἐκρεουργήθη. μετὰ ταῦτα οἷα κατὰ τὴν Ἰταλίαν καὶ Σικελίαν πλανωμένη ἐθεάσατο, καὶ ὡς ἐν Ἔρυκι γενομένη πόλει Σικελίας συλλαμβάνεται καὶ πρὸς Αἰνησίδημον (ἐτυράννει δὲ τότε Λεοντίνων οὗτος) ἀπάγεται. ἐν ᾧ πάλιν Παάπιδι τῷ τρισαλιτηρίῳ περιπίπτει τῷ τυραννοῦντι συνόντι, καὶ τῆς ἀπροσδοκήτου συμφορᾶς ἀνέλπιστον εὑρίσκει παραμυθίαν τὸν ἀδελφὸν Μαντινίαν, ὃς πολλὰ πλανηθείς, καὶ πολλῶν ἀπιστοτάτων θεαμάτων περί τε ἀνθρώπους καὶ ἕτερα ζῶα περί τε αὐτὸν ἥλιον καὶ σελήνην καὶ φυτὰ καὶ νήσους μάλιστα ἐξηγητὴς αὐτῇ καταστάς, ὕλην ἄφθονον παρέσχε μυθοποιίας ἀπαγγέλλειν ὕστερον τῷ Δεινίᾳ· ἅπερ αὐτὸς συνείρων εἰσάγεται διηγούμενος τῷ Ἀρκάδι Κύμβᾳ.

Ἔπειτα ὡς λαβόντες Μαντινίας καὶ Δερκυλλὶς ἐκ Λεοντίνων τὸ Παάπιδος πηρίδιον μετὰ τῶν ἐν αὐτῷ βιβλίων, καὶ τῶν βοτανῶν τὸ κιβώτιον, ἀπαίρουσιν
360 R. εἰς Ῥήγιον κἀκεῖθεν εἰς Μεταπόντιον, ἐν ᾧ αὐτοὺς Ἀστραῖος ἐπικαταλαβὼν μηνύει κατὰ πόδας διώκειν Παάπιν· καὶ ὡς συναπαίρουσιν αὐτῷ ἐπὶ Θρᾷκας καὶ Μασσαγέτας, πρὸς Ζάμολξιν τὸν ἑταῖρον αὐτοῦ ἀπιόντι. ὅσα τε κατὰ ταύτην τὴν ὁδοιπορίαν ἴδοιεν, καὶ ὅπως ἐντύχοι Ἀστραῖος Ζαμόλξιδι παρὰ Γέταις ἤδη θεῷ νομιζομένῳ· καὶ ὅσα εἰπεῖν αὐτῷ καὶ δεηθῆναι Δερκυλλίς τε καὶ Μαντινίας Ἀστραῖον ὑπὲρ αὐτῶν ἠξίωσαν· καὶ ὡς χρησμὸς αὐτοῖς ἐκεῖθεν ἐξέπεσεν ἐπὶ Θούλην εἶναι πεπρωμένον ἐλθεῖν, καὶ ὡς ἐς ὕστερον καὶ πατρίδα ὄψονται, πρότερον ἄλλα τε ἐνταλαιπωροῦντες, καὶ δίκην τῆς ἐς τοὺς τοκέας ἀνοσιότητος (εἰ καὶ ἄκοντες ἥμαρτον) τιννύντες τῷ τὸν βίον αὐτοῖς εἰς ζωὴν καὶ θάνατον διαμερισθῆναι, καὶ ζῆν μὲν ἐν νυκτί, νεκροὺς δὲ ἐν ἑκάστῃ εἶναι ἡμέρᾳ· εἶτα ὡς τοιούτους χρησμοὺς λαβόντες ἀπαίρουσιν ἐκεῖθεν, τὸν Ἀστραῖον σὺν Ζαμόλξι λείποντες ὑπὸ Γετῶν δοξαζόμενον· καὶ ὅσα περὶ Βορρᾶν αὐτοῖς τεράστια ἰδεῖν καὶ ἀκοῦσαι συνηνέχθη.

187 H. Ταῦτα πάντα Δεινίας κατὰ Θούλην ἀκούσας διηγουμένης Δερκυλλίδος εἰσάγεται νῦν ἀπαγγέλλων τῷ Ἀρκάδι Κύμβᾳ. ἐπὶ τούτοις καὶ ὡς Παάπις διώκων μετ' ἴχνια τοὺς περὶ Δερκυλλίδα ἐπέστη αὐτοῖς ἐν τῇ νήσῳ, καὶ τὸ πάθος ἐκεῖνος τέχνῃ μαγικῇ ἐπέθηκε, θνήσκειν μὲν ἡμέρας, ἀναβιώσκειν δὲ νυκτὸς ἐπιγινομένης. καὶ τὸ πάθος αὐτοῖς ἐνέθηκεν ἐμπτύσας αὐτῶν κατὰ τὸ ἐμφανὲς τοῖν προσώποιν. καὶ ὡς Θρουσκανός τις Θουλίτης, ἐραστὴς διάπυρος Δερκυλλίδος, ἰδὼν πεσοῦσαν τῷ ἐκ Παάπιδος πάθει τὴν ἐρωμένην καὶ ὑπεραλγήσας, ἀθρόον τε ἐπιστάς, παίει ξίφει ἐκ τοῦ αἰφνιδίου τὸν Παάπιν καὶ ἀναιρεῖ, τοῦτο μόλις τῶν μυρίων κακῶν τέλος εὑράμενον. καὶ ὡς Θρουσκανός, ἐπεὶ Δερκυλλὶς ἔκειτο δοκοῦσα νεκρά, ἑαυτὸν ἐπικατασφάττει. ταῦτα πάντα καὶ τούτων ἕτερα πολλὰ παραπλήσια, τήν τε ταφὴν αὐτῶν καὶ τὴν ἐκεῖθεν ὑπαναχώρησιν καὶ τοὺς ἔρωτας Μαντινίου, καὶ ὅσα διὰ τοῦτο συνέβη, καὶ ἕτερα ὅμοια κατὰ Θούλην τὴν νῆσον Δεινίας μαθὼν μυθολογούσης Δερκυλλίδος εἰσάγεται νῦν συνυφαίνων τῷ Ἀρκάδι Κύμβᾳ· καὶ συμπληροῦται Ἀντωνίῳ Διογένει ὁ εἰκοστὸς τρίτος λόγος τῶν ὑπὲρ Θούλην ἐπιγραφομένων ἀπίστων, καίτοι μηδὲν ἢ βραχέα κατ' ἀρχὰς περὶ Θούλης τῆς συγγραφῆς ὑποδηλωσάσης.

Ὁ δὲ εἰκοστὸς τέταρτος λόγος εἰσάγει Ἄζουλιν διηγούμενον, κἀκεῖθεν Δεινίαν τοῖς ἔμπροσθεν αὐτῷ μυθολογηθεῖσι πρὸς Κύμβαν συνείροντα τὰ Ἀζούλιδος, ὡς κατανοήσοι τῆς γοητείας τὸν τρόπον, καθ' ὃν Παάπις ἐγοήτευσε Δερκυλλίδα καὶ Μαντινίαν νυκτὶ μὲν ζῶντας ἐν ἡμέρᾳ δὲ νεκροὺς εἶναι, καὶ ὡς ἀπήλλαξεν αὐτοὺς τοῦ πάθους, τόν τε τρόπον τῆς τιμωρίας ταύτης καὶ δὴ καὶ τῆς ἰάσεως ἐκ τοῦ πηριδίου ἀνευρὼν τοῦ Παάπιδος, ὃ συνεπεφέροντο Μαντινίας καὶ Δερκυλλίς. οὐ μόνον δὲ ἀλλ' εὗρε καὶ ὅπως Δερκυλλὶς καὶ Μαντινίας ἀπαλλάξειαν μεγάλου κακοῦ τοὺς τοκέας κειμένους, οὓς ὑποθήκαις Παάπιδος, ὡς ἂν ἐπὶ τῷ ἐκείνων 361 R.
συμφέροντι, αὐτοὶ ἐλυμήναντο, ἴσα κεῖσθαι νεκροῖς μακρὸν χρόνον κατεργασάμενοι. εἶτα ὡς ἐκεῖθεν Δερκυλλὶς ἅμα Μαντινίᾳ ἐπὶ τὴν πατρίδα ἔσπευδον ἐπὶ τῇ τῶν τεκόντων ἀναβιώσει καὶ σωτηρίᾳ. Δεινίας δὲ ἅμα Καρμάνῃ καὶ Μηνίσκῳ, ἀποχωρισθέντος αὐτοῖς Ἀζούλιδος, πρὸς τὰ ὑπὲρ τὴν Θούλην τὴν πλάνην ἐξέτεινον· καθ' ἣν πλάνην τὰ ὑπὲρ τὴν Θούλην ἄπιστα θεάσασθαι νῦν ἀπαγγέλλων εἰσάγεται Κύμβᾳ, ἐκεῖνα λέγων ἰδεῖν ἃ καὶ οἱ τῆς ἀστροθεάμονος τέχνης σπουδασταὶ ὑποτίθενται, οἷον ὡς ἔστιν ἐνίοις δυνατὸν κατὰ κορυφὴν τὴν ἄρκτον εἶναι, καὶ τὴν νύκτα μηνιαίαν, καὶ ἔλαττον

a. 2. περὶ ς. 6. Αἰνησίδημον Leichius p. IX. αἰνισίδημον A: σαινισίδημον Cς. 18. Λεοντιόνων ς. 23. μασαγέτας ς. 24. ἴδοι ς. 25. Γέτας ς. 36. λιπόντες A.

b. 4. τὸ πρόσωπον ς. 7. τε add A. 8. τούτων μόνων τῶν τυρίων κακὸν — εὑραμένων ς. 13. Μαντίου ς. 25. ἐν ἡμέρᾳ A: ἡμέρας ς. 29. ὅπως A: πῶς ς.

δὲ καὶ πλέον, ϗ ἐξαμηνιαίαν δέ, ϗ τὸ ἔσχατον ἐνιαυσιαίαν· οὐ μόνον δὲ τὴν νύκτα ἐπὶ τοσοῦτον παρατείνεσθαι, ἀλλὰ καὶ τὴν ἡμέραν ταύταις συμβαίνειν ἀκό- 188 H. λουθον· ϗ ἕτερα δὲ ἀπαγγέλλει ἰδεῖν ὅμοια. "καὶ ἀνθρώπους δὲ ἰδεῖν καὶ ἕτερά τινα τερατεύεται, ἃ μηδεὶς μήτε ἰδεῖν ἔφη μήτε ἀκοῦσαι, ἀλλὰ μηδὲ φαντασίαις ἀνετυπώσατο. ϗ τὸ πάντων ἀπιστότατον, ὅτι πορευόμενοι πρὸς Βορρᾶν ἐπὶ σελήνην, ὡς ἐπί τινα γῆν καθαρωτάτην, πλησίον ἐγένοντο, ἐκεῖ τε γενόμενοι ἴδοιεν ἃ εἰκὸς ἦν ἰδεῖν τὸν τοιαύτην ὑπερβολὴν πλασμάτων προαναπλάσαντα. εἶτα ϗ ὡς ἡ Σίβυλλα τὴν μαντικὴν ἀπὸ Καρμάνου ἀνέλαβε. μετὰ δὲ ταῦτα ὅτι εὐχὰς ἰδίας ἕκαστος ηὔξατο, καὶ τοῖς μὲν ἄλλοις ἑκάστῳ συνέπεσεν ὥσπερ ηὔξατο, αὐτὸν δέ φησιν ἐκεῖθεν ἀφυπνώσαντα εἰς Τύρον εἰς τὸν τοῦ Ἡρακλέος νεὼν εὑρεθῆναι, ἐκεῖθέν τε ἀναστάντα τήν τε Δερκυλλίδα καὶ τὸν Μαντινίαν ἀνευρεῖν εὖ πεπραγότας καὶ τοὺς τε γονεῖς τοῦ μακροῦ ἀπαλλάξαντας ὕπνου, μᾶλλον δὲ ὀλέθρου, καὶ τἆλλα εὐδαιμονοῦντας.

Ταῦτα Κύμβᾳ Δεινίας διεμυθολόγησε, ϗ κυπαριττίνας δέλτους προενεγκὼν ἐγγράψαι ταύτας τὸν Ἀθηναῖον Ἐρασινίδην συνεπόμενον τῷ Κύμβᾳ (ἦν γὰρ τεχνίτης λόγων) παρεκελεύσατο. ὑπέδειξε δὲ αὐτοῖς ϗ τὴν Δερκυλλίδα· αὕτη γὰρ καὶ τὰς κυπαριττίνας δέλτους ἤνεγκε. προσέταξέ τε τῷ Κύμβᾳ δίχα ταῦτα τὰ διαμυθολογηθέντα ἀναγράψασθαι, καὶ θατέραν μὲν τῶν δέλτων αὐτὸν ἔχειν, τὴν ἑτέραν δέ, καθ' ὃν ἀποβιώη καιρόν, τὴν Δερκυλλίδα πλησίον τοῦ τάφου κιβωτίῳ ἐμβαλοῦσαν καταθεῖναι.

Ὁ γοῦν Διογένης, ὁ ϗ Ἀντώνιος, ταῦτα πάντα Δεινίαν εἰσαγαγὼν πρὸς Κύμβαν τερατευσάμενον, ὅμως γράφει Φαυστίνῳ ὅτι τε συντάττει περὶ τῶν ὑπὲρ Θούλην ἀπίστων, καὶ ὅτι τῇ ἀδελφῇ Ἰσιδώρᾳ φιλομαθῶς ἐχούσῃ τὰ δράματα προσφωνεῖ. λέγει δὲ ἑαυτὸν ὅτι ποιητής ἐστι κωμῳδίας παλαιᾶς, καὶ ὅτι εἰ καὶ ἄπιστα καὶ ψευδῆ πλάττοι, ἀλλ' οὖν ἔχει περὶ τῶν πλείστων αὐτῷ μυθολογηθέντων ἀρχαιοτέρων μαρτυρίας, ἐξ ὧν σὺν καμάτῳ ταῦτα συναθροίσειε· προτάττει δὲ καὶ ἑκάστου βιβλίου τοὺς ἄνδρας οἳ τὰ τοιαῦτα προαπεφήναντο, ὡς μὴ δοκεῖν μαρτυρίας χηρεύειν τὰ ἄπιστα. ἐπιστολὴν μὲν οὖν κατ' ἀρχὰς τοῦ βιβλίου γράφει πρὸς τὴν ἀδελφὴν Ἰσιδώραν, δι' ἧς εἰ ϗ τὴν προσφώνησιν αὐτῇ τῶν συγγραμμάτων δείκνυται πεποιημένος, ἀλλ' οὖν εἰσάγει Βάλαγρον πρὸς τὴν οἰκείαν γυναῖκα, Φίλαν 364 B. τοὔνομα, γράφοντα (θυγάτηρ δὲ ἦν Ἀντιπάτρου αὕτη) ὅτι τῆς Τύρου ὑπὸ Ἀλεξάνδρου τοῦ βασιλέως Μακεδόνων εἰς ἅλωσιν ἐλθούσης καὶ πυρὶ τὰ πλεῖστα δαπανηθείσης στρατιώτης ἧκεν ὡς Ἀλέξανδρον, ξένον τι ϗ παράδοξον λέγων μηνύειν, εἶναι δὲ τὸ θέαμα τῆς πόλεως ἔξω. ὁ δὲ βασιλεὺς Ἡφαιστίωνα καὶ Παρμενίωνα συμπαραλαβὼν εἵπετο τῷ στρατιώτῃ, καὶ καταλαμβάνουσιν ὑπογείους λιθίνους σορούς, ὧν ἡ μὲν ἐπεγέγραπτο „Λυσίλλα ἐβίω ἔτη πέντε καὶ τριήκοντα," ἡ δὲ „Μνάσων Μαντινέου ἐβίω ἔτη ϛ' ϗ ξ' ἀπὸ ἑνὸς καὶ ο'", ἡ δὲ „Ἀριστίων Φιλοκλέους ἐβίω ἔτη ζ' ϗ μ' 189 H. ἀπὸ β' καὶ ν'", ἄλλη δὲ „Μαντινίας Μνάσωνος ἔτη ἐβίω β' καὶ μ' ϗ νύκτας ξ' καὶ ψ'", ἑτέρα δὲ „Δερκυλλὶς Μνάσωνος ἐβίω ἔτη θ' καὶ λ' καὶ νύκτας ξ' καὶ ψ'", ἡ δὲ ἕκτη σορὸς „Δεινίας Ἀρκὰς ἐβίω ἔτη ε' ϗ κ' ϗ ρ'." τούτοις διαποροῦντες πλὴν τῆς πρώτης σοροῦ (σαφὲς γὰρ τὸ ἐκείνης ἐπίγραμμα) ἐντυγχάνουσι παρὰ τοίχῳ κιβωτίῳ μικρῷ κυπαρίττου πεποιημένῳ, ᾧ ἐνεγέγραπτο „ὦ ξένε, ὅστις εἶ, ἄνοιξον, ἵνα μάθῃς ἃ θαυμάζεις." ἀνοίξαντες οὖν οἱ περὶ Ἀλέξανδρον τὸ κιβώτιον, εὑρίσκουσι τὰς κυπαριττίνας δέλτους, ἃς (ὡς ἔοικε) κατέθηκε Δερκυλλὶς κατὰ τὰς ἐντολὰς Δεινίου. ταῦτα Βάλαγρον εἰσάγει τῇ γυναικὶ γράφοντα, ϗ ὅτι τὰς κυπαριττίνους δέλτους μεταγραψάμενος διαπέμψειε τῇ γυναικί. ϗ λοιπὸν εἰσβάλλει ἐντεῦθεν ὁ λόγος εἰς τὴν τῶν κυπαριττίνων δέλτων ἀνάγνωσιν ϗ γραφήν, καὶ πάρεισι Δεινίας Κύμβᾳ διηγούμενος ἅπερ προείρηται. οὕτω μὲν οὖν καὶ ἐπὶ τούτοις ἡ τῶν δραμάτων πλάσις τῷ Ἀντωνίῳ Διογένει ἐσχημάτισται.

Ἔστι δ', ὡς ἔοικεν, οὗτος χρόνῳ πρεσβύτερος τῶν τὰ τοιαῦτα ἐσπουδακότων διαπλάσαι, οἷον Λουκιανοῦ, Λουκίου, Ἰαμβλίχου, Ἀχιλλέως Τατίου, Ἡλιοδώρου τε ϗ Δαμασκίου· καὶ γὰρ τοῦ περὶ ἀληθῶν διηγημάτων Λουκιανοῦ καὶ τοῦ περὶ μεταμορφώσεων Λουκίου πηγὴ καὶ ῥίζα ἔοικεν εἶναι τοῦτο. οὐ μόνον δὲ ἀλλὰ ϗ τῶν περὶ Σινωνίδα ϗ Ῥοδάνην, Λευκίππην τε ϗ Κλειτοφῶντα, ϗ Χαρίκλειαν ϗ Θεαγένην, τῶν τε περὶ αὐτοὺς πλασμάτων καὶ τῆς πλάνης ἐρώτων τε καὶ ἁρπαγῆς καὶ κινδύνων, ἡ Δερκυλλὶς καὶ Κήρυλλος ϗ Θρουσκανὸς ϗ Δεινίας ἐοίκασι παράδειγμα γεγονέναι. τὸν χρόνον

a. 22. ἐρασινίδην ἀθηναῖον A. 30. γοῦν] γὰρ A. malim δ' οὖν. 32. συντάττειν A. 36. ἔχοι ς. 37. μυθολ. αὐτῷ ς. addendum ante pronomen τῶν. 42. εἰ om A.
b. 6. ὡς] πρὸς A. 10. λιθίνους] quidni λιθίνας? et v. 26 κυπαριττίνας. 11. τριάκοντα ς. 16. ἐβίω Μνάσωνος ς. 19. ἐκείνης ἦν ἐπίγρ. ς. 20. τοῖχον ς. 27. ἐμβάλλει ς.

Digitized by Google

δέ, καθ' ὃν ἤκμασεν ὁ τῶν τηλικούτων πλασμάτων πατὴρ Διογένης ὁ Ἀντώνιος, οὔπω τι σαφὲς ἔχομεν λέγειν, πλὴν ἔστιν ὑπολογίσασθαι ὡς οὐ λίαν πόῤῥω τῶν χρόνων τοῦ βασιλέως Ἀλεξάνδρου. μνημονεύει δ' οὗτος ἀρχαιοτέρου τινὸς Ἀντιφάνους, ὅν φησι περὶ τοιαῦτά τινα τερατολογήματα κατεσχολακέναι. ἔστι δὲ ἐν αὐτοῖς καὶ μάλιστα, ὡς ἐν τηλικούτοις πλάσμασί τε καὶ μυθεύμασι, δύο τινὰ θηρᾶσαι χρησιμώτατα, ἓν μὲν ὅτι τὸν ἀδικήσαντά τι, κἂν μυριάκις ἐκφυγεῖν δόξῃ, εἰσάγει πάντως δίκην δεδωκέναι, καὶ δεύτερον ὅτι πολλοὺς ἀναιτίους, ἐγγὺς μεγάλου γεγονότας κινδύνου, παρ' ἐλπίδας δείκνυσι πολλάκις διασωθέντας.

## 167.

365 R. Ἀνεγνώσθη ΙΩΑΝΝΟΥ ΣΤΟΒΑΙΟΥ ἐκλογῶν, ἀποφθεγμάτων, ὑποθηκῶν, βιβλία τέσσαρα ἐν τεύχεσι δυσί. προσφωνεῖ δὲ ταῦτα, δι' ὃν καὶ τὴν συνάθροισιν φιλοπονῆσαι λέγει, Σεπτιμίῳ ἰδίῳ υἱῷ. ἡ δὲ συναγωγὴ αὐτῷ ἔκ τε ποιητῶν καὶ ῥητόρων καὶ τῶν κατὰ τὰς 190 H. πολιτείας λαμπρῶς βεβιωκότων ἐγένετο, ὧν (ὡς καὶ αὐτός φησι) τῶν μὲν τὰς ἐκλογὰς τῶν δὲ τὰ ἀποφθέγματα καί τινων ὑποθήκας συλλεξάμενος, ἐπὶ τῷ ῥυθμίσαι καὶ βελτιῶσαι τῷ παιδὶ τὴν φύσιν, ἀμαυρότερον ἔχουσαν πρὸς τὴν τῶν ἀναγνωσμάτων μνήμην, στείλειεν.

Ἔστι δὲ αὐτῷ τὸ μὲν α' βιβλίον φυσικόν, τοῦ δὲ β' τὸ μέν τι κατ' ἀρχὰς μέρος λογικόν, τὸ δὲ λοιπὸν καὶ πλεῖστον ἠθικόν· καὶ τὸ γ' δὲ καὶ τὸ δ', πλὴν ὀλιγίστων, ἠθικὰ καὶ πολιτικά. καὶ γοῦν τὸ μὲν α' ἔχει μὲν κεφάλαια ξ', οἷς καὶ τὰς τῶν παλαιῶν ἁρμόζει χρήσεις καὶ χρείας· ταῦτα δέ εἰσι μετὰ τὸ περὶ θεοῦ διαλαβεῖν, ὅτι δημιουργὸς τῶν ὄντων καὶ διέπει τὸ ὅλον τῷ τῆς προνοίας λόγῳ, δεύτερον περὶ τῶν νομιζόντων μὴ εἶναι πρόνοιαν καὶ ἑπομένας ταύτῃ θείας ἐπὶ τῇ τοῦ παντὸς διοικήσει δυνάμεις, εἶτα περὶ δίκης παρὰ τοῦ θεοῦ τεταγμένης ἐποπτεύειν τὰ γινόμενα ὑπὸ τῶν ἀνθρώπων, τιμωροῦσαν τῶν ἁμαρτανόντων, καὶ περὶ ἀνάγκης θείας, καθ' ἣν ἀπαραιτήτως τὰ κατὰ τὴν τοῦ θεοῦ γίνεται βούλησιν· περί τε εἱμαρμένης καὶ τῆς τῶν γινομένων εὐταξίας· περί τε τύχης ἢ ταυτομάτου, καὶ ὅτι ἀλόγιστος ἡ φορὰ τῆς τύχης· περί τε χρόνου οὐσίας καὶ μερῶν, καὶ πόσων εἴη αἴτιος· καὶ περὶ Ἀφροδίτης οὐρανίας καὶ ἔρωτος θείου· δέκατον περὶ ἀρχῶν καὶ στοιχείων καὶ τοῦ παντός. εἶτα περὶ ὕλης, περὶ ἰδέας, περὶ αἰτίων, περὶ σωμάτων καὶ περὶ τῆς τούτων τομῆς καὶ περὶ ἐλαχίστου, περὶ σχημάτων, περὶ χρωμάτων, περὶ μίξεως καὶ κράσεως, περὶ κενοῦ καὶ τόπου καὶ χώρας, περὶ κινήσεως. εἰκοστὸν δὲ περὶ γενέσεως καὶ φθορᾶς, περὶ κόσμου, καὶ εἰ ἔμψυχος καὶ προνοίᾳ διοικούμενος, καὶ ποῦ ἔχει τὸ ἡγεμονικόν, καὶ πόθεν τρέφεται· περὶ τάξεως τοῦ κόσμου· εἰ ἓν τὸ πᾶν· περὶ τῆς οὐρανοῦ οὐσίας καὶ διαιρέσεως· περὶ οὐσίας ἄστρων καὶ σχημάτων κινήσεώς τε καὶ ἐπισημασίας· περὶ οὐσίας ἡλίου καὶ μεγέθους σχήματός τε καὶ τροπῶν καὶ ἐκλείψεως καὶ σημείων καὶ κινήσεως· περὶ σελήνης οὐσίας μεγέθους καὶ σχήματος φωτισμῶν τε, καὶ περὶ ἐκλείψεως καὶ ἐμφάσεως, καὶ περὶ ἀποστημάτων καὶ σημείων· περὶ γάλακτος· περὶ κομητῶν καὶ διαττόντων καὶ τῶν τοιούτων· περὶ βροντῶν, ἀστραπῶν, κεραυνῶν, πρηστήρων, τυφώνων. τριακοστὸν δὲ περὶ ἴριδος, περὶ ἅλω καὶ παρηλίου καὶ ῥάβδων, καὶ δὴ καὶ περὶ νεφῶν, ὁμίχλης, ὑετῶν, δρόσου, χιόνος, πάχνης, χαλάζης· περὶ ἀνέμων· περὶ γῆς, εἰ μία καὶ πεπερασμένη· καὶ [περὶ] ποίου μεγέθους, καὶ περὶ θέσεως αὐτῆς, καὶ περὶ σχήματος γῆς· καὶ πότερα μένει ἡ γῆ ἢ κινεῖται· περί τε σεισμῶν γῆς· καὶ περὶ θαλάττης, πῶς ἄμπωτις καὶ πλημμῦραι γίνονται· περὶ ὑδάτων, περὶ τοῦ παντός, περὶ φύσεως καὶ τῶν συμβαινόντων ἐξ αὐτῆς αἰτίων, περὶ τῆς τῶν ζώων γενέσεως καὶ τὰ ἑξῆς, πόσα γένη ζώων, καὶ εἰ πάντα λογικὰ καὶ αἰ- 368 R. σθητά· περὶ ὕπνου καὶ θανάτου· περὶ φυτῶν, περὶ τροφῆς καὶ ὀρέξεως τῶν ζώων, περὶ φύσεως ἀνθρώπων, περὶ νοῦ, περὶ ψυχῆς, περὶ αἰσθήσεως καὶ αἰσθη- 191 H. τῶν, καὶ εἰ ἀληθεῖς αἱ αἰσθήσεις· πόσαι εἰσὶν αἱ αἰσθήσεις, καὶ ποίας οὐσίας καὶ ἐνεργείας ἑκάστη· περὶ ὁράσεως καὶ κατοπτρικῶν ἐμφάσεων, περὶ ἀκοῆς, περὶ ὀσφρήσεως, περὶ γεύσεως, περὶ ἁφῆς· περὶ φωνῆς, καὶ εἰ ἀσώματος ἡ φωνή, καὶ τί αὐτῆς τὸ ἡγεμονικόν· περὶ φαντασίας καὶ κριτηρίου. νθ' περὶ δόξης, καὶ ξ' περὶ ἀναπνοῆς καὶ παθῶν. καὶ τὰ μὲν τοῦ α' βιβλίου κεφάλαια τοσαῦτα καὶ περὶ τούτων, καὶ δηλονότι φυσικά, πλὴν ἐνίων τῶν ἐν ἀρχῇ, ἃ μᾶλλον ἄν τις εἰς τὰ μετὰ τὰ φυσικὰ ἀνάξοι. τούτοις δέ, ὡς ἔφημεν, τὰς τῶν παλαιῶν δόξας, εἴτε συμφώνους οὔσας εἴτε καὶ διαφώνους, παρατίθησιν. ἐν μέντοι τούτῳ τῷ βιβλίῳ, πρὸ τοῦ τοῖς εἰρημένοις κεφαλαίοις ἐπιβαλεῖν,

a. 2. ὁ ante Διογένης ponit A. 11. ἐλπίδα ς. 14. ἐκλογαὶ ς. 17. Σεστιμίῳ ς. 20. ἐκλογὰς] Ισ. γνώμας Stephanus. 23. μνήμην A: στήλην ς. 26. τὸ ante μέν om pr A. 27. πλεῖστον A: πολιτικὸν καὶ ς. 39. τε add A.
b. 2. περὶ τῆς] τῆς περὶ A. 4. καινοῦ A. 13. καὶ ἐμφάσεως add A. 20. περὶ ante ποίου expungit A. 21. γῆς A: αὐτῆς τῆς γῆς ς. 22. σεισμοῦ ς. θαλάσσης ς. 39. τὰ post μετὰ om pr A. 41. καὶ om A.

Digitized by Google

περὶ δύο κεφαλαίων διαλαμβάνει, ὧν τὸ μὲν ἔπαινός ἐστι φιλοσοφίας, καὶ οὗτος ἐκ διαφόρων αὐτῷ συνηρανισμένος, τὸ δὲ περὶ τῶν κατ᾽ αὐτὴν συνεστηκυιῶν αἱρέσεων. ἐν ᾧ καὶ περὶ γεωμετρίας καὶ μουσικῆς ϗ ἀριθμητικῆς δόξας παλαιὰς συναναγράφει.

Τὸ δὲ β΄ βιβλίον συμπληροῦται μὲν κεφαλαίοις ϛ΄ καὶ μ΄, διαλαμβάνει δὲ πρῶτον μὲν περὶ τῶν τὰ θεῖα ἑρμηνευόντων, καὶ ὡς εἴη ἀνθρώποις ἀκατάληπτος ἡ τῶν νοητῶν κατὰ τὴν οὐσίαν ἀλήθεια, εἶτα περὶ διαλεκτικῆς, καὶ περὶ ῥητορικῆς, ϗ περὶ λόγου ϗ γραμμάτων, περὶ ποιητικῆς, περὶ χαρακτῆρος τῶν παλαιῶν, περὶ τοῦ ἠθικοῦ εἴδους τῆς φιλοσοφίας, περὶ τῶν ἐφ᾽ ἡμῖν, ὅτι οὐδεὶς ἑκὼν πονηρός, ὁποῖον χρὴ εἶναι τὸν φιλόσοφον, ὅτι χρὴ σέβειν τὸ θεῖον, ὅτι τοῖς εὐσεβέσι καὶ δικαίοις βοηθεῖ τὸ κρεῖττον· περὶ μαντικῆς· ὅτι χρὴ περὶ πολλοῦ ποιεῖσθαι τὰς τῶν σοφῶν συνουσίας, ἐκκλίνειν δὲ τοὺς φαύλους ϗ ἀπαιδεύτους· περὶ τοῦ δοκεῖν καὶ τοῦ εἶναι, καὶ ὅτι οὐ τῷ λόγῳ χρὴ κρίνειν τὸν ἄνθρωπον ἀλλὰ τῷ τρόπῳ· ὅτι οἱ ἄλλοις ἐπιβουλεύοντες ἑαυτοὺς λανθάνουσι καταβλάπτοντες· περὶ εὐδοξίας· περὶ φήμης· ὅτι μέτρον ἄριστον· ὅτι δυσκατόρθωτον ἡ ἀρετή, εὐμεταχείριστον δὲ ἡ κακία· ὅτι οὐ χρὴ λόγον ποιεῖσθαι τῆς τῶν ἀσυνέτων δοκιμασίας· ὅτι τὴν ὑπόκρισιν, τοῖς κεχρημένοις ἐπιβλαβῆ οὖσαν καὶ πρὸς οὓς γίνεται, τῆς ψυχῆς ἐκβλητέον· ὅτι οὐ χρὴ πολυπραγμονεῖν, φθόνου γὰρ καὶ διαβολῆς αἴτιον γίνεται τὸ τοιοῦτον· ὅτι ἐν οἷς πλημμελεῖ τις τὸ μεταμέλεσθαι κάλλιστον· περὶ λοιδορίας, ὡς οὐκ ἀγαθόν· ὅτι ἐν τῷ λοιδορεῖσθαι χρὴ σκοπεῖν μὴ τοῖς αὐτοῖς περιπεπτώκαμεν ἐλαττώμασι· περὶ ἀνάγκης τῆς κατὰ τὸν βίον· ὅτι εὐκαίρως δεῖ πράττειν· περὶ τοῦ βούλεσθαι· ὅτι οὐ δεῖ ὡς ἔτυχεν ἀναβάλλεσθαι· ὅτι τὸ δυστυχῆσαι πολλάκις ἐπωφελὲς γίνεται, καὶ μάλιστα τοῖς ἄφροσι· περὶ ἀγωγῆς ϗ παιδείας· ὅτι κάλλιστον ἡ φιλία τῶν ἀγαθῶν·
369 R. "ὅτι ἡ ὁμοιότης τῶν τρόπων τὴν φιλίαν ἀπεργάζεται·
192 H. "ὅτι χρὴ ἐν ταῖς δυστυχίαις καὶ τοῖς κινδύνοις μὴ περιορᾶν τοὺς φίλους· ὅτι οὐ χρὴ συναδικεῖν τοῖς φίλοις· περὶ γνησίων καὶ ἀβεβαίων φίλων· ὅτι χρὴ ταχείας ποιεῖσθαι τὰς πρὸς τοὺς φίλους διαλλαγάς, τὰ ἁμαρτήματα αὐτῶν ῥᾷον φέροντας μετὰ τῆς ἀμνηστίας· ὅτι ἐν ταῖς ἀτυχίαις τοὺς γνησίους τῶν φίλων διαγινώσκομεν· φιλικὰ παραγγέλματα· περὶ ἔχθρας ϗ τοῦ ὁποῖόν τινα χρὴ εἶναι πρὸς τοὺς ἐχθρούς· περὶ τοῦ πῶς ἔστιν ἀπ᾽ ἐχθρῶν ὠφεληθῆναι· περὶ τοῦ εὐεργετεῖν· ὅτι μείζων ἡ χάρις ἐν καιρῷ δοθεῖσα· περὶ τοῦ ἀντευεργετεῖν· ὅτι τοὺς πονηροὺς οὐ χρὴ εὖ ποιεῖν οὐδὲ παρ᾽ αὐτῶν εὐεργετεῖσθαι ϗ τὸ τελευταῖον περὶ ἀχαριστίας. ἐν οἷς καὶ τὰ τοῦ β΄ κεφάλαια.

Ἐν δὲ τῷ γ΄ περιέχεται κεφάλαια μβ΄, πρῶτον περὶ ἀρετῆς, εἶτα περὶ κακίας, περὶ φρονήσεως, περὶ ἀφροσύνης, περὶ σωφροσύνης, περὶ ἀκολασίας, περὶ ἀνδρίας, περὶ δειλίας, περὶ δικαιοσύνης, περὶ πλεονεξίας ϗ ἀδικίας, περὶ ἀληθείας, περὶ ψεύδους, περὶ παῤῥησίας, περὶ κολακείας, περὶ ἀσωτίας, περὶ φειδωλίας, περὶ ἐγκρατείας, περὶ ἀκρασίας, περὶ ἀνεξικακίας, περὶ ὀργῆς, περὶ τοῦ γνῶθι σαυτόν, περὶ ὑπεροψίας, περὶ φιλαυτίας, περὶ τοῦ συνειδότος, περὶ μνήμης, περὶ λήθης, περὶ ὅρκου, περὶ ἐπιορκίας, περὶ φιλοπονίας, περὶ ἀργίας, περὶ αἰδοῦς, περὶ ἀναιδείας, περὶ σιγῆς, περὶ τοῦ εὐκαίρως λέγειν, περὶ βραχυλογίας, περὶ ἀδολεσχίας, περὶ χρηστότητος, περὶ φθόνου, περὶ πατρίδος, περὶ ξένης, περὶ ἀποῤῥήτων, ϗ μβ΄ περὶ διαβολῆς.

Τὰ δὲ τοῦ δ΄ βιβλίου ἐστὶ ταῦτα, πρῶτον περὶ πολιτείας, δεύτερον περὶ νόμων καὶ ἐθῶν, περὶ δήμου, περὶ τῶν ἐν ταῖς πόλεσι δυνατῶν, περὶ ἀρχῆς, καὶ περὶ τοῦ ὁποῖον χρὴ εἶναι τὸν ἄρχοντα, ὅτι κάλλιστον ἡ μοναρχία, ὑποθῆκαι περὶ βασιλείας, ψόγος τυραννίδος, περὶ πολέμου, περὶ τόλμης, περὶ νεότητος, περὶ στρατηγῶν, καὶ περὶ τῶν κατὰ πόλεμον χρειῶν ὑποθῆκαι, περὶ εἰρήνης, περὶ γεωργίας, περὶ ἡσυχίας, περὶ ναυτιλίας, περὶ τεχνῶν, περὶ δεσποτῶν καὶ δούλων, περὶ Ἀφροδίτης πανδήμου καὶ περὶ ἔρωτος τῶν κατὰ τὸ σῶμα ἡδονῶν, περὶ κάλλους, περὶ γάμου, καὶ τὰ ἑξῆς τοῦ κεφαλαίου τούτου. γαμικὰ παραγγέλματα, ϗ περὶ παίδων, καὶ τὰ ἑξῆς τοῦ κεφαλαίου τούτου. καὶ ὅτι χρὴ τοὺς γονεῖς τῆς καθηκούσης τιμῆς καταξιοῦσθαι παρὰ τῶν τέκνων· ὁποίους χρὴ εἶναι τοὺς πατέρας περὶ τὰ τέκνα. ὅτι κάλλιστον ἡ φιλαδελφία ϗ ἡ περὶ τοὺς συγγενεῖς διάθεσις. οἰκονομικός. περὶ εὐγενείας, καὶ τὰ ἑξῆς τοῦ κεφαλαίου τούτου· περὶ δυσγενείας, περὶ πλούτου, ϗ τὰ ἑξῆς τοῦ κεφαλαίου τούτου· περὶ πενίας· σύγκρισις πενίας καὶ πλούτου. ὅτι ὁ βίος "βραχὺς ϗ φροντίδων 193 H.
ἀνάμεστος." περὶ λύπης, ὅτι λίαν μοχθηρά. περὶ νόσου 372 R.

a. 3. κατὰ ταύτην ς. 11. τῶν παλαιῶν add A. 17. δὲ om A. 23. τῆς A: περὶ τῆς ς. 34. καὶ] περὶ A. 35. τὴν add A. 38. περὶ μὴ γν. A. 40. ἀμνηστείας ς.
b. 1. εἶναι χρὴ ς. 5. εὐχαριστίας ς. cf. Gaisford, Stob, 4, append. p. 50, u. 12. ἀσωτείας ς. 24. δυνατῶν AC: δυναστῶν ς. 31. καὶ add A.

καὶ ἰάσεως, περὶ ὑγιείας καὶ διαμονῆς αὐτῆς, περὶ ἰατρῶν. περὶ εὐδαιμονίας, περὶ κακοδαιμονίας· ὅτι ἀβέβαιος ἡ τῶν ἀνθρώπων εὐπραξία· περὶ τῶν παρ' ἀξίαν εὐτυχούντων· περὶ τῶν παρ' ἀξίαν δυστυχούντων· ὅτι δεῖ γενναίως φέρειν τὰ προσπίπτοντα· ὅτι δεῖ τὰς εὐτυχίας προφαίνειν, τὰς δ' ἀτυχίας κρύπτειν. περὶ ἐλπίδος· περὶ τῶν παρ' ἐλπίδα. ὅτι οὐ χρὴ ἐπιχαίρειν τοῖς ἀτυχοῦσιν· ὅτι οἱ ἀτυχοῦντες χρήζουσι τῶν συμπασχόντων. περὶ γήρως, καὶ τὰ ἑξῆς τοῦ κεφαλαίου τούτου. περὶ θανάτου, περὶ ζωῆς· σύγκρισις ζωῆς καὶ θανάτου. περὶ πένθους, περὶ ταφῆς. παρηγορικά· ὅτι οὐ χρὴ παροινεῖν εἰς τοὺς τετελευτηκότας· ὅτι τῶν πλείστων μετὰ θάνατον ἡ μνήμη διαῤῥεῖ ταχέως.

Ὁμοῦ τὰ κεφάλαια τοῦ τετάρτου νη', τῶν δὲ τεσσάρων βιβλίων σῃ'. οἷς παρατίθησιν, ὡς ἔφημεν, ὁ Ἰωάννης ἔκ τε τῶν ἐκλογῶν καὶ τῶν ἀποφθεγμάτων καὶ τῶν ὑποθηκῶν δόξας τε καὶ χρήσεις καὶ χρείας. ἀγείρει δὲ ταύτας ἀπὸ μὲν φιλοσόφων, ἀπό τε Αἰσχίνου τοῦ Σωκρατικοῦ καὶ Ἀναξάρχου καὶ Ἀναχάρσιδος, Ἀριστωνύμου καὶ Ἀπολλωνίου, Ἀντισθένους καὶ Ἀριστίππου, Ἀρίστωνος καὶ Ἀριστοξένου καὶ Ἀρχύτου, Ἀριστοτέλους, Ἀναξιμάνδρου, Ἀναξιμένους, Ἀρχελάου, Ἀναξαγόρα, Ἀρχαινέτου, Ἀρκεσιλάου, Ἀῤῥιανοῦ, Ἀντιπάτρου Ἱστιαίου, Ἀντιφάνους, Ἀπολλοδώρου, Ἀριστάρχου, Ἀσκληπιάδου, Ἀρισταίου, Ἀρχεδήμου Ἑκαταίου, Ἀπολλοφάνους, Αἰγιμίου, Αἴσαρος, Ἀττικοῦ, Ἀμελίου, Ἀλβίνου, Ἀριστάνδρου, Ἁρποκρατίωνος, Ἀπελλοῦς, Ἀρισταγόρου, Ἀριστομβρότου, Ἀρχιμήδους, Βοηθοῦ, Βίαντος, Βηρώσου, Βερονίκης, Βροτίνου, Βίωνος, Γλαύγωνος, Δημώνακτος, Δημητρίου, Δαμίππου, Διογένους, Διοδώρου, Δημοκρίτου, Διοτίμου, Διοκλέους, Δαμαρμένους, Διδύμου, Δίωνος, Δίου, Εὐκλείδου, Εὐφράτου, Ἐπιχάρμου, Ἐπανδρίδου, Ἐρασιστράτου, Ἐκπώλου, Ἐπικούρου Γαργηττίου, Ἐπικτήτου, Ἑρμοῦ, Ἐμπεδοκλέους, Ἐπικούρου Ἀθηναίου, Εὐσεβίου, Εὐρύσου, Ἐρατοσθένους, Εὐρυστράτου, Ἐκφάντου, Ἐπιδίκου, Εὐδόξου, Ἐπιγένους, Εὐηνίου, Εὐρυφάμου, Ζαλεύκου, Ζήνωνος, Ζωροάστρου, Ἡρακλείδου, Ἡρακλείτου, Ἡροφίλου, Θεμιστίου, Θεοβούλου, Θεανοῦς, Θεάγους, Θεοφράστου, Θεοδώρου, Θάλητος, Θεοκρίτου, Θρασύλλου, Ἱερωνύμου, Ἱππίου, Ἰαμβλίχου, Ἱεροκλέους, Ἱππάλου, Ἴωνος, Ἱππῶνος, Ἱέρακος, Ἱπποδάμου, Ἱππάσου, Ἰόγκου, Κρίτωνος, Κλεοβούλου, Κέβητος, Κορίσκου, Κλειτομάχου, Κριτολάου, Κλινίου, Καρνεάδου, Κλεάνθους, Καλλιμάχου, Κριτίου, Κράντορος, Καλλικρατίδου, Λευκίππου, Λουκίου, Λύσιδος, Λύκου, Λύκωνος, Λεωφάνους, Λογγίνου, Μεναίχμου, Μητροκλέους, Μετώπου, Μενεδήμου, Μουσωνίου, Μνησάρχου, Μελίσσου, Μητροδώρου, Μίλωνος, Μοδεράτου, 194 H. Μαξίμου, Νικολάου, Νουμηνίου, Ναυμαχίου, Ναυκράτους, Νικίου, Νικοστράτου, Ξενοκράτους, Ξενοφάνους, Ὀνάτου, Ὀκέλλου, Ὀνήτορος, Παναχαίου, Πιττακοῦ, Περιάνδρου, Πυθαγόρου, Πλουτάρχου, Πεμπέλου, Πλάτωνος, 373 B. Παναιτίου, Ποσειδωνίου, Περικτιόνης, Πορφυρίου, Παρμενίδου, Πολέμωνος, Πυθέου, Πώρου, Πολυβίου, Πλωτίνου, Πρωταγόρου, Πυθιάδος, Πύῤῥωνος, Ῥούφου, Ῥηγίνου, Σόλωνος, Σωτίωνος, Σωσιάδου, Στερήνου, Σωκράτους, Στίλπωνος, Σπευσίππου, Στράτωνος, Σκυθίνου, Σφαίρου, Σελεύκου, Σεβήρου, Τίμωνος, Τιμαίου, Ταύρου, Τιμαγόρου, Τέλητος, Ὑψαίου, Φιλοξένου, Φιλολάου, Φερεκύδου, Φαβωρίνου, Φίντυος, Χίωνος, Χρυσίππου, Χαρώνδου, Χίλωνος, καὶ Κυνικῶν δὲ Ἀντισθένους, Διογένους, Κράτητος, Ἡγησιάνακτος, Ὀνησικρίτου, Μενάνδρου, Μονίμου, Πολυζήλου, Ξανθίππου, Θεομνήστου. καὶ τῶν μὲν φιλοσόφων, ἐξ ὧν τὴν συλλογὴν ἐποιήσατο, οὗτοι.

Ποιηταὶ δὲ Ἀθηνόδωρος, Ἀναξίλλης, Ἄρχιππος, Ἀπολλωνίδης, Ἀλκιδάμας, Ἀρισταῖος, Ἀντίμαχος, Ἀντιφάνης, Ἀρίσταρχος, Ἀρχίλοχος, Ἀχαιός, Αἰσχύλος, Ἀγάθων, Ἄλεξις, Ἀριστοκράτης, Ἄμφις, Ἀλκαῖος, Ἄρατος, Ἀστυδάμας, Ἀνδρόνικος, Ἀναξανδρίδης, Ἀριστοφάνης, Ἀράλοχος, Ἀπολλόδωρος, Ἀλέξανδρος, Ἀνακρέων, Ἀξίνικος, Ἀριστοφῶν, Βακχυλίδης, Βίων, Βίοτος, Βάθων, Δίφιλος, Διονύσιος, Δημήτριος, Δικαιογένης, Διόδωρος, Δίκτυς, Εὐθύδαμος, Εὔπολις, Εὔφρων, Ἐρατοσθένης, Ἐπίχαρμος, Εὔηνος,

a. 1. ἰάσεων ς. 15. ὁ add A. 23. ἀρειανοῦ Cς. αἰστιαίου A. Ἀντιφάνους] Ἀρχεδήμου Ἑκαταίου, Ἀπολλοφάνους Αἰγιμαίου, omissis infra v. 25. illis Ἀρχεδ. — Αἴσαρος, ς cum C, nisi quod Αἰγιμίου est in C. 25. αικαταίου pr A. 27. ἀποκρατίωνος pr C. ἀπέλλους A. Ἀριστοβρότου ς. 28. Βηρόσσου ς. 29. γλαύγωνος A, γλαύτωνος C: Γλαύιτωνος ς. 30. Δημοκρίτου et 31. Δίωνος add A. 35. Ἐρύσου ς. b. 1. θεοβόλου Cς. Θεανοῦς A: Θεαγένους Cς. 8. λύγκου A. Λύγκωνος Cς. λεοφάνους A. 10. Μήλωνος Cς. 12. Νικίου A: Νίκτου Cς. 13. ὀκκέλλου A. Ωνήτορος Cς. παναικίου A. 15. περικτουιόνης A. 16. Πυθέου] vid. Gaisford. Stob. 3. p. 363 (55 a). 17. Πυθιάδου Cς. 18. σοτίωνος ς. 20. Σεβήρου] Σεβήρου Στερήνου Cς, σεβήρου στερήνου σωκράτους A. 21. ὑψέου A. 22. Φίντιος ς. Χίονος Cς. 26. ἐξ ὧν add A. 29. Ἀλκιδάμας] vid. Gaisford. 3. p. 459 (3 b). 33. Ἀράλοχος] vid. Ruhnken. ad Vellei, 1, 5. 34. Βακχυλλίδης ς. 35. Βίοτος] vid. Gaisford. 3. p. 104 (3 a). 36. Δίκτυς] vid. Valckenar. diatrib Euripid. p. 18.

Digitized by Google

Εὐφορίων, Ἑρμόλοχος, Εὐριπίδης, Ζήνων, Ζηνόδοτος, Ζώπυρος, Ἡσίοδος, Ἡρώδης, Ἡνίοχος, Ἡλιόδωρος, Θεόδεκτος, Θέσπις, Θέογνις, Θεόκριτος, Θελέροφος, Ἰοφῶν, Ἱππόθοος, Ἱππῶναξ, Ἰσίδωρος, Ἱπποθόων, Ἰούλιος, Ἴων, Κλεάνθης, Κλεαίνετος, Καλλίμαχος, Κριτίας, Κλεόβουλος, Κρατῖνος, Καρκίνος, Κερκιδᾶς, Καλλίνικος, Κλεινίας, Κράντωρ, Κλειτόμαχος, Λίνος, Λικύμνιος, Λυκόφρων, Λεωνίδης, Λέων, Μένανδρος, Μύρων, Μοσχίων, Μένιππος, Μόσχος, Μίμνερμος, Μελινώ, Μητρόδωρος, Μηνόφιλος, Νικόστρατος, Νικόλαος, Νεόφρων, Νικόμαχος, Ναυμάχιος, Νεοπτόλεμος, Ξενοφάνης, Ξέναρχος, Ὅμηρος, Ὀρφεύς, Ὀλυμπιάς, Πίνδαρος, Παρμενείδης, Ποσίδιππος, Πανσανίας, Πολυείδης, Πατροκλεύς, Πείσανδρος, Πανύασις, Πειρίθους, Πομπήϊος, Ῥιανός, Σοφοκλῆς, Σωτάδης, Σιμωνίδης, Σωσιφάνης, Σιμύλος, Σωσίθεος, Σκλήριος, Σαπφώ, Σαραπίων, Σωσικράτης, Στάγιμος, Σώπατρος, Σθενίδης, Σουσάρων, Στησίχορος, Τιμόστρατος, Τιμοκλῆς, Τυρταῖος, Τελέσιλλα, Ὑποβολιμαῖος, Ὑψαῖος, Φιλίτας, Φιλόξενος, Φιλιππίδης, Φρύνιχος, Φιλωνίδης, Φιλήμων, Φωκυλίδης, Φίλιππος, Φοινικίδης, Φιλίσκος, Φερεκράτης, Φανοκλῆς, Φίντυς, Φι-
195H. λαῖος, Χαιρήμων, Χοίριλος, Χάρης. ἀλλὰ καὶ ποιηταί, ὧν χρήσεις τοῖς κεφαλαίοις παρέθηκεν, οὗτοι.

Ῥήτορες δὲ καὶ ἱστοριογράφοι βασιλεῖς τε καὶ στρατηγοί (καὶ γὰρ καὶ ἐκ τούτων μαρτυρίας συνήθροισεν) οἵδε, Ἀριστείδης, Ἀριστοκλῆς, Αἰλιανός, Αἰσχίνης, Ἀγάθων, Ἀντιφῶν, Ἀρχέλαος, Γάϊος, Γοργίας, Δημοσθένης, Δημάδης, Δημάρατος, Ἔφορος, Ζώπυρος, Ἡρόδοτος, Ἡγησιάδης, Ἡγήσιος, Θουκυδίδης, Θησεύς, Θεόδωρος, Θράσυλλος, Θεόπομπος, Ἰσοκράτης, Ἰσαῖος, Κορνηλιανός, Καλλισθένης, Κλειτοφῶν, Κτησίας, Λυ-
376B. σίας, Νικίας, Ξενοφῶν, Ὄβριμος, Πολύαινος, Πρόδικος, Πρωταγόρας, Σώστρατος, Τιμαγόρας, Τρόφιμος, Ὑπερείδης, Φιλόστρατος, Χρύσερμος. Ἀλέξανδρος, Ἀγησίλαος, Ἀγαθοκλῆς, Ἀντίγονος, Ἆγις, Ἀγριππῖνος, Ἀναξίλαος, Ἀρχίδαμος, Διονύσιος, Δαρεῖος, Ἐπαμεινώνδας, Εὐδαμίδας, Θεμιστοκλῆς, Ἰφικράτης, Ἵππαρχος, Κότυς, Κλείταρχος, Λυκοῦργος, Λεωνίδης, Λάμαχος, Μαλλίας, Περικλῆς, Πύῤῥος, Πτολεμαῖος, Σεμίραμις, Σκηπίων, Σκίλλουρος, Τιμόθεος, Φίλιππος, Φωκίων, Φάλαρις, Χάριλλος, Χαρίας, Χάρης. Ἀριστοφάνης, Αἴσωπος, Ἀντιγενίδας, Ἀριστοτέλης, Ἀριστείδης ὁ δίκαιος, Ἀλκμαίων ἰατρός, Ἄντυλλος ἰατρός, Ἀρίμνηστος, Ἀπελλῆς, Βρύσων, Γλαύκων, Γαληνὸς ἰατρός, Δικαίαρχος, Δίων, Διονύσιος, Διοκλῆς ἰατρός, Εὐξίθεος, Ἕρμαρχος, Ἕρμιππος, Ἐρυξίμαχος, Εὐφρανίας, Ἐρασίστρατος ἰατρός, Εὐρυφῶν ἰατρός, Ἐρατοσθένης, Εὔβουλος, Θεόπομπος, Θεόκριτος, Θυμαρίδης, Θύνων, Ἱπποκράτης ἰατρός, Κάτων, Κηφισόδωρος, Κλεόστρατος, Κλειτόμαχος, Λικύμνιος, Μύσων, Μητρόδωρος, Μητροκλῆς, Νικόστρατος, Πραϋσίων, Σιμωνίδης, Σερίφιος, Σωτίων, Σώστρατος, Σπεύσιππος.

Ἀλλὰ τὰ μὲν κεφάλαια, οἷς τὰς τῶν παλαιοτέρων ῥήσεις ἥρμοσεν Ἰωάννης ὁ Στοβαῖος, καὶ ἐξ ὧν ἀνδρῶν, φιλοσόφων τε καὶ ποιητῶν ῥητόρων τε καὶ βασιλέων καὶ στρατηγῶν, ταύτας συνήθροισε, τοσαῦτα καὶ ἐκ τοσούτων. χρήσιμον δὲ τὸ βιβλίον τοῖς μὲν ἀνεγνωκόσιν αὐτὰ τὰ συντάγματα τῶν ἀνδρῶν πρὸς ἀνάμνησιν, τοῖς δ' οὐκ εἰληφόσι πεῖραν ἐκείνων, ὅτι διὰ συνεχοῦς αὐτῶν μελέτης οὐκ ἐν πολλῷ χρόνῳ πολλῶν καὶ καλῶν καὶ ποικίλων νοημάτων, εἰ καὶ κεφαλαιώδη, μνήμην καρπώσονται. κοινὸν δ' ἀμφοτέροις ἡ τῶν ζητουμένων, ὡς εἰκός, ἀταλαίπωρος καὶ σύντομος εὕρεσις, ἐπειδὰν τις ἀπὸ τῶν κεφαλαίων εἰς αὐτὰ τὰ πλάτη ἀναδραμεῖν ἐθελήσειε. καὶ πρὸς ἄλλα δὲ τοῖς ῥητορεύειν καὶ γράφειν σπουδάζουσιν οὐκ ἄχρηστον τὸ βιβλίον.

## 168.

Ἀνεγνώσθησαν τοῦ μακαρίου ΒΑΣΙΛΕΙΟΥ ἐπισκόπου Σελευκείας λόγοι ιε', πρῶτος μὲν εἰς τὸ „ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν," εἶτα εἰς τὸν Ἰωσήφ, εἰς τὸν Ἀδάμ, εἰς τὸν Κάϊν καὶ Ἀβέλ, εἰς τὸν Ἀβραάμ, εἰς τὸν Μωϋσῆν, εἰς τὸν Ἠλίαν,

a. 3. Θεόδεκτος A: Θεόδοτος Cς. Θελέροφος ς. 5. κλεαίνετος pr A, κλέαινος corr: Κλεβίνετος Cς. 6. κριτίας A, κλειτίας Cς. 7. Καλλίνικος] καλλίνικος κρατίας A. 8. Λικύμνιος] vid. Valckenar. l. l. p. 17, 9. Μύρων om C, post Μοσχίων ponit ς. μελιννὼ A. 11. Νικόμαχος Νεόφρων ς. 13. Παρμενίδης Ποσείδιππος ς. 14. Πατροκλεὺς AC: Πατροκλῆς ς. Πειρίνθους ς. 16. Σωσιφάνης] σωτάτης σωσιφάνης σιμωνίδης AC. σκληρίας C. 17. Στάγιμος A, σταγῖνος C: Στάγινος ς. 19. Ὑποβολιμαῖος] vid. Gaisford. 3. p. 60 (56 a). 20. ὑψέος A. Φιλίτας] immo Φιλητᾶς. 22. φίλιος A. 24. χρήσεις A et corr C: ῥήσεις Genev. παρ. τ. κεφ. ς. 30. Ἡρόδοτος add A. 31. Θράσυλος A. 33. Ὄμβριμος ς. Πρόδικος add A. 35. ὑπερίδης ς. 36. ἀγριππῖνος C. b. 4. Σκύλλουρος ς. 5. χυβρίας apographum Stephani. 8. Βράσσων ς. 10. εἰρυξίμαχος A: εὐρυξίμαρχος ς. 11. εὐρυφῶν AC: Εὐρύφρων ς. 12. Θομαρίδης C. 13. libri κηφησίδωρος. 14. Μυσσων ς. 22. ἀναγινώσκουσιν ς. 23. τὰ συγγράμματα τῶν ἀνδρῶν καὶ συντάγματα ς. 26. εἰ καὶ A: εἰς ς. 27. δ' om A.



Digitized by Google

εἰς τὸν Ἰωνᾶν, ἔννατος εἰς τὸν ἑκατοντάρχην, δέκατος εἰς τὸ „συνέπλεον οἱ μαθηταὶ τῷ Ἰησοῦ" καὶ ἑξῆς,
377 R. 196 H. εἶτα εἰς τὸ „δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι" καὶ ἑξῆς, κἄπειτα εἰς τὸν τελώνην καὶ τὸν Φαρισαῖον, καὶ εἰς τὸ „εἰπὲ ἵνα οἱ δύο μου υἱοὶ καθίσωσιν, εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμων," καὶ εἰς τὸ „τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου;" ἑκκαιδέκατος δὲ εἰς τὸ „σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;"

Ἐν τούτοις οὖν αὐτοῦ τοῖς λόγοις τὸ μὲν τροπικὸν καὶ γοργὸν καὶ πάρισον, εἴ πέρ ποτέ τινι καὶ ἄλλῳ, ἔστιν ἰδεῖν αὐτῷ δημιουργούμενον, καὶ τὸ σαφὲς δὲ καὶ ἡδὺ διατρέχει· τὸ δὲ λίαν προσκορὲς τῆς τροπῆς καὶ τῶν γοργείων σχημάτων, μᾶλλον δὲ τὸ συνεχὲς καὶ ἄκρατον καὶ ἀδιάπαυστον εἰς ἀηδίαν καὶ διαβολὴν τὸν ἀκροατὴν διεγείρει, καὶ ψόγον κινεῖ τοῦ συγγραφέως οὐκ ἔχοντος, ὡς ἔοικε, τέχνῃ τὴν φύσιν ῥυθμίσαι καὶ κανόνι τὸ ἄτακτον διατάξαι. πλεονάζων δ' ὅμως ταῖς τροπαῖς, καὶ αὐτὸ τῆς τροπολογίας πηγάζων τὸ εἶδος, οὔτε εἰς ψυχρολογίαν, εἰ μὴ ὡς ἐλάχιστον, ἐκφέρεται, οὔτε ἀσαφείᾳ σκοτίζει τὸ νόημα, ἀλλὰ τῇ βραχύτητι τῶν κώλων καὶ τῶν περιόδων καὶ τῇ ἐμφάσει τῶν λέξεων τῆς τροπολογίας περιαιρεῖται τὸ δύσληπτον. ἀλλ' οὖν, ὅπερ ἔφην, ὁ κόρος τὴν χάριν ἀμβλύνει, καὶ τὸ ἄκρατον τῆς τροπῆς τοὺς νόμους τῆς τέχνης οὐκ ἐᾷ παῤῥησιάσασθαι. ἔοικε δὲ οὗτος μᾶλλον εἶναι ἢ ὁ Καισαρείας μέγας Βασίλειος ὁ τῷ τρισμακαρίστῳ Ἰωάννῃ τῷ Χρυσοστόμῳ φίλος γεγονὼς καὶ ὁμωρόφιος, πρὸς ὃν καὶ ὁ περὶ ἱερωσύνης λόγος συντέτακται· πολλὰ γὰρ ἴχνη τῶν ἐκείνου καὶ λόγων καὶ νοημάτων, καὶ μάλιστα τῶν κατὰ τὴν θείαν γραφήν, ἐν τοῖς τοῦ Βασιλείου λόγοις ἐπιφαίνεται, ὡς ἂν ἀπὸ τῆς αὐτῆς πηγῆς τῶν μαθημάτων ἀρυσαμένων ἄμφω τὰ πρόσφορα. καὶ τῆς τροπῆς δὲ ἡ κατ' ἔμφασιν καὶ οἰκείωσιν μεταχείρισις τῆς Ἰωάννου συνουσίας καὶ συναναγνώσεως οὐκ ἐλάχιστον ὑπάρχει τεκμήριον· κέχρηται γὰρ ταύτῃ καὶ ὁ θεῖος ἐκεῖνος ἀνήρ, εἰ καὶ κεκραμένῃ καὶ λίαν ἐπικαίρως, καὶ τῇ ὠφελείᾳ τὸν ἐκεῖθεν ὄγκον μιγνύς τε καὶ διαλεαίνων εὐφυῶς, καὶ τὸν ὅλον λόγον πολιτικοῦ λόγου εἰκόνα ποιούμενος.

Ἔστι δὲ Βασίλειος οὗτος ὁ καὶ μέτροις ἐντείνας τὰ τῆς πρωτομάρτυρος Θέκλης ἔργα καὶ ἆθλα καὶ νικητήρια· καὶ ἄλλα δὲ αὐτοῦ συγγράμματα φέρονται.

## 169.

Ἀνεγνώσθησαν τοῦ ἐν ἁγίοις ΚΥΡΙΛΛΟΥ κατὰ τῶν Νεστορίου δυσφημιῶν τόμοι ε', ὧν ὁ μὲν πρῶτος ἀνατρέπει τῆς Νεστορίου βλασφημίας κεφάλαια δέκα, ὁ δὲ δεύτερος κεφάλαια ιδ', ὁ δὲ τρίτος ϛ', ὁ δὲ τέταρτος ζ', ὁ δὲ πέμπτος καὶ αὐτὸς ζ'. ἔστι δὲ τὸ τῆς ἑρμηνείας αὐτῷ εἶδος κατὰ τὴν ἰδιάζουσαν αὐτοῦ τῶν λόγων ἰδέαν ἐκμεμορφωμένον, βραχὺ δέ τι πρὸς τὸ ταπεινότερον ὑπενηνεγμένον.

Ἐμπεριείχετο δὲ τῇ βίβλῳ καὶ πρὸς αὐτὸν Νε- 380 R.
στόριον ἐπιστολή, ἐπιχειροῦσα δῆθεν αὐτὸν μεταπείθειν καὶ φιλικῶς διορθοῦσθαι. ἀλλὰ καὶ Νεστορίου πρὸς Κύριλλον ἀντίγραφον, τὰ ἐν τῇ ἐπιστολῇ κεφάλαια ἐμ- 197 H.
φερόμενα ποιούμενον ἐν εὐθύναις. καὶ δὴ ἑτέρα ἐπιστολὴ Κυρίλλου, ὡς ἀπὸ τῆς ἐν Ἀλεξανδρείᾳ συνόδου πρὸς Νεστόριον ἀποσταλεῖσα, ἥτις ἀναθεματίσαι αὐτὸν ἠξίου ἀναθεματισμοὺς ιβ' κεφαλαίων. ἔτι δὲ καὶ ἑτέρα πρὸς Οὐαλέριον ἐπίσκοπον κατὰ Νεστορίου καὶ τῶν αὐτοῦ δογμάτων· καὶ πρὸς Ἀκάκιον ἐπίσκοπον Μελιτηνῆς δογματική, μᾶλλον δὲ ἀπολογίαν περιέχουσα τῆς πρὸς Ἰωάννην τὸν Ἀντιοχείας ἑνώσεως καὶ ὁμονοίας. καὶ ἕτεραι διάφοροι περὶ τῆς αὐτῆς ὑποθέσεως, ὧν ἐν δυσὶ καὶ τὸ ἐν Νικαίᾳ διερμηνεύει θεόσοφον μάθημα. ἐν οἷς ἅπασι τῶν οἰκείων λόγων τὸν χαρακτῆρα ἐπιτείνων ἢ ἀνιεὶς ὅμως διαφυλάττει.

Συμπεριείχετο δὲ καὶ ἡ πρὸς Ἀκάκιον ἐπίσκοπον Σκυθοπόλεως περὶ τοῦ ἀποπομπαίου. καὶ ἔτι ἕτερος λόγος, ἐπιγραφόμενος „σχόλια περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς," ἐν ᾧ διασαφοῦνται ταῦτα, τί ἐστι Χριστός, τίνα τε τρόπον προσήκει νοεῖσθαι τὸ Ἐμμανουήλ, καὶ τί ἐστιν Ἰησοῦς ὁ Χριστός, καὶ κατὰ τί εἴρηται ἄνθρωπος ὁ τοῦ θεοῦ λόγος· εἶτα κατὰ τί κεκενῶσθαι λέγεται ὁ τοῦ θεοῦ λόγος, καὶ πῶς εἷς ὁ Χριστός, καὶ πῶς εἷς ὁ Ἐμμανουήλ, καὶ τίνα λέγομεν εἶναι τὴν ἕνωσιν· καὶ περὶ τοῦ ἄνθρακος ὃν εἶδεν Ἡσαΐας, καὶ ἕτερα παραπλήσια τούτοις ι' κεφάλαια. πολὺ δὲ τὸ χρήσιμον οὗτος ὁ λόγος ἔχει.

a. 2. συνέπλεον] Luc. 8, 23. καὶ τὰ ἑξῆς ς. 3. δεῦτε] Matth. 11, 28. πρός με et 5. τὸν om A. 5. εἰπὲ] Matth. 20, 21. 6. σου add A. 7. τίνα] Matth. 16, 13. εἶναι om A. 8. πεντεκαιδέκατος corr A. σὺ] Matth. 11, 3. 11. καὶ τὸ πάρισον ς. 13. διατρέφει ς. 14. γοργίων A. 20. ὡς A: εἰς ς. 21. τραχύτητι ς. 28. ὁ περὶ A: περὶ τῆς ς. 30. καὶ ante λόγων add A. 33. ἀρυσαμένου ς. 38. μιγνύς τε καὶ A: μιγνύεται ς. 40. ποιούμενος λόγου εἰκόνας ς.
b. 3. φέρεται ς. 12. malim ἀπενηνεγμένον. cf. p. 119 a 28. 21. ἕτεραι apographum Stephani. 31. σχόλια A, σχόλ C: σχόλιον ς. 32. διασαφεῖται ς. 33. τε] δὲ ς. τὸ A: τὸν ς. 34. ὁ add pr A. 38. ἕνωσιν A: κίνησιν Cς. Ἡσαΐας] cap. 6, 6.

Digitized by Google

## 170.

Ἀνεγνώσθη βιβλίον πολύστιχον, μᾶλλον δὲ πολύβιβλον, ἐν λόγοις μὲν ιε΄, τεύχεσι δὲ ε΄, ἐν οἷς μαρτυρίαι δῆθεν καὶ χρήσεις ὁλοκλήρων λόγων, οὐχ Ἑλληνικαὶ μόναι ἀλλὰ καὶ Περσικαὶ καὶ Θράκιοι καὶ Αἰγύπτιοι καὶ Βαβυλωνιακαὶ καὶ Χαλδαϊκαὶ καὶ δὴ καὶ Ἰταλοὶ ἐκ τῶν παρ᾽ ἑκάστοις δοκούντων λογίων κατεφωράθησαν, ἃς ὁ συγγραφεὺς συμφερομένας πειρᾶται δεικνύειν τῇ τῶν Χριστιανῶν ἀχράντῳ καὶ ὑπερφυεῖ καὶ θειοτάτῃ θρησκείᾳ, περί τε αὐτῆς τῆς ὑπερουσίου καὶ ὁμοουσίου τριάδος, ὡς καὶ ὑπ᾽ ἐκείνων κηρύττεται καὶ καταγγέλλεται, περί τε τῆς ἐν σαρκὶ τοῦ λόγου παρουσίας, τῶν τε θεοσημείων καὶ τοῦ σταυροῦ καὶ τοῦ πάθους καὶ τῆς ταφῆς καὶ τῆς ἀναστάσεως τῆς τε ἀναλήψεως καὶ τῆς τοῦ παναγίου πνεύματος πυρίναις γλώσσαις ἐπιχορηγηθείσης τοῖς μαθηταῖς ὑπὲρ λόγον χάριτος, καὶ δὴ καὶ τῆς φανερᾶς Χριστοῦ τοῦ θεοῦ ἡμῶν δευτέρας παρουσίας καὶ τῆς τῶν νεκρῶν ἀναβιώσεως καὶ κρίσεως καὶ ἀμοιβῆς ὧν ἕκαστος ἐν βίῳ διεπράξατο. οὐ μόνον δὲ ἀλλὰ καὶ περὶ τῆς τοῦ παντὸς δημιουργίας καὶ προνοίας, παραδείσου τε καὶ τῶν στοιχείων τούτοις, καὶ δὴ καὶ περὶ ἀρετῆς τῆς παρὰ Χριστιανοῖς ἀσκουμένης καὶ εἴ τι ταύτης παραπλήσιον, περὶ τούτων ἁπάντων Ἕλλησί τε καὶ Αἰγυπτίοις καὶ Χαλδαίοις καὶ τοῖς προειρημένοις
381 R. πεφιλοσοφῆσθαί τε καὶ διακεκηρῦχθαι ἐν ἰδίοις αὐτῶν πειρᾶται δεικνύναι συγγράμμασιν. οὐ μόνον δὲ ἀπὸ τῶν εἰρημένων ἀγείρει καὶ συντίθησι τὰς μαρτυρίας, ἀλλὰ καὶ ἀπὸ τῶν χειμευτικῶν Ζωσίμου λόγων (Θηβαῖος δ᾽ ἦν οὗτος Πανοπολίτης) οὐκ ἐφείσατο τὰ
198 H. αὐτὰ κατασκευάζειν· ἐν οἷς καὶ Ἑβραϊκῶν λέξεων ἐκτίθεται σημασίας, καὶ τῶν ἀποστόλων ἕκαστος ἔνθα τε τὸ σωτήριον ἐκήρυξε μάθημα, καὶ ἐν ᾧ τόπῳ τῶν ἀνθρωπίνων πόνων ἀνεπαύσατο. ἐπὶ τέλει δὲ τῶν λόγων καὶ παραίνεσιν ἰδίαν κατατίθεται, γνωμολογίαις τε τῶν ἔξω καὶ γραφικοῖς λογίοις ταύτην συνυφαίνων καὶ διαπιστούμενος· ἐν ᾗ μάλιστα τὸ φιλάρετον τοῦ ἀνδρὸς καὶ τὸ εἰς εὐσέβειαν ἀδιάβλητον ἔστιν ἐπιγνῶναι. ἡ δὲ τῶν λόγων αὐτοῦ ἰδέα οὐκ ἀφέστηκε τοῦ μηδὲ ἰδέα εἶναι· ἥ τε γὰρ συνθήκη ἐν πολλοῖς οὕτως ἀπημέληται, καὶ ἡ λέξις ἐπὶ τοσοῦτον ὥστε μηδὲ τῶν ἐκ τριόδου ῥημάτων ἐνίοτε φείδεσθαι. καὶ ὁ νοῦς δὲ τῶν γραφομένων αὐτῷ πολλάκις οὐδὲν ἀμείνων. καὶ τὸν μὲν τοῦ ἀνδρὸς πόνον καὶ τὸν σκοπὸν οὐκ ἄν τις εὐγνωμονῶν ἐπιμέμφοιτο, οὐκέτι δ᾽ ὁμοίως καὶ τὸ ἔργον. οὐ ῥητὰ γὰρ μόνον ἐν πολλοῖς καὶ πολλάκις ἀνάρμοστα τοῖς ἡμετέροις θείοις δόγμασιν ἐφαρμόζειν ἐκβιάζεται, ἀλλὰ καὶ μύθους καὶ ὀνείρους τοὺς παρ᾽ αὐτῶν ἐκείνων τῶν τεκόντων γελωμένους ἄν, εἴγε σωφρονεῖν ἔμελλον. ὁ δὲ οὐδὲ τούτους λέγειν παραιτεῖται τῇ ἡμετέρᾳ θεοσοφίᾳ συμφέρεσθαι, ἀλλὰ καὶ σπεύδει τὴν ἐν τοῖς μύθοις καὶ ὀνείροις ἀλλόκοτον ἔννοιαν εἰς τὰς ἀληθεῖς καὶ θεοπρεπεῖς καὶ ἀπαραγράπτους καὶ καθαρὰς ἐννοίας τοῦ θείου δόγματος ἀνατίθεσθαι· ἐξ ὧν κέρδος μὲν οὐδ᾽ ὁτιοῦν τῇ εὐσεβείᾳ, ἀφορμὰς δὲ λαβῆς κατ᾽ αὐτῆς τοῖς φιλαιτίοις οὐκ ἂν ἀλόγως δόξῃ πορίζεσθαι, εἴγε καὶ τὰ μηδὲν προσήκοντα ἀλλὰ καὶ ὡς πλεῖστον ἀπεμφαίνοντα ἐπιχειροῦντάς τινας τῶν ἡμετέρων ἕξουσι δεικνύειν εἰς σύστασιν τῆς ἀπροσδεοῦς καὶ μόνης καθαρᾶς καὶ ἀληθοῦς λατρείας ἡμῶν, τὰ ἐκείνων ἐκβιαζομένους καὶ ἐπιχειροῦντας εἰς συμφωνίαν ἄγειν, οὗ πλέον πρὸς τὰ ἡμέτερα ἢ τὸ σκότος πρὸς τὸ φῶς διέστηκεν. ὑπέδυ δὲ τὸν πολύμοχθον τοῦτον ὁ ἄνθρωπος πόνον, ὡς αὐτὸς πολλάκις ἐδήλωσεν, ἵνα δείξας τὸ Χριστιανῶν δόγμα ἐν πᾶσιν ἔθνεσι προκαταγγελθὲν παρὰ τῶν ἐν ἑκάστοις λογίων καὶ προκηρυττόμενον, ἀναπολογήτους ἐλέγξῃ τοὺς ἐξ ἐθνῶν, ὅσοι μὴ τῷ θείῳ προσῆλθον κηρύγματι. καὶ ὁ μὲν σκοπὸς ἐπαινετός, οὐκ ἔδει δὲ δι᾽ ὧν ἦν ἄπορόν τε καὶ ἀπίθανον, ἀλλὰ δι᾽ ὧν ἐνεχώρει καὶ ἡ πίστις συνείπετο, τοῦτον περαιοῦσθαι. τὸ μέντοι ὄνομα τοῦ συντεταχότος τὰ τεύχη μέχρι νῦν οὐκ ἔχομεν εἰδέναι· οὐ γὰρ ἐνεφέρετο τοῖς βιβλίοις, ὅσα εἴδομεν, πλήν γε δὴ ὅτι Κωνσταντινούπολιν ᾤκει, γυναικί τε νόμῳ γάμου συνῴκει καὶ τοῖς ἐξ αὐτῆς αὐτοῦ παισί, καὶ ὅτι μετὰ τοὺς Ἡρακλείου χρόνους τὸν βίον διήνυσεν.

## 171.

Ἀνεγνώσθη βιβλίον ΕΥΣΤΡΑΤΙΟΥ πρεσβυτέρου 384 R.
τῆς μεγάλης ἐκκλησίας, φράσει μὲν συγκείμενον οὐκ ἐπαινετῇ, λογισμοῖς δὲ οὐ λίαν ψεκτοῖς· σαφὴς δ᾽ ὁ λόγος. ἡ δὲ πρόθεσις τῷ ἀνδρὶ τρία ταῦτα συστῆσαι, ἓν μὲν ὅτι μετὰ τὴν ἀπαλλαγὴν τοῦ σώματος αὐτίκα ἐνεργοῦσιν αἱ τῶν ἁγίων ψυχαί, οὐ μόνον δὲ τῶν ἁγίων 199 H.
ἀλλὰ καὶ ἁπλῶς, κατὰ τὴν οἰκείαν ἑκάστου ἀξίωσιν, πᾶσα ἀνθρωπίνη ψυχή. καὶ ὅτι ἐπιφαινόμεναι πολλοῖς πολλάκις καὶ κατὰ διαφόρους τρόπους αἱ ψυχαὶ αὐταὶ κατ᾽

a. 6. Βαβυλωνικαὶ ς. 20. περὶ add A. 23. πάντων ς. 27. προειρημένων ς. 28. χυμευτικῶν corr A. 29. οὐκ A: ὃς οὐκ ς. 30. λέξεων A: λόγων ς. 31. τε add A. 38. αὐτῷ ς.
b. 32. δεικνύειν ς. 42. malim τόπους.

Digitized by Google

ἰδίαν ὕπαρξιν ἐπιφαίνονται, ἀλλ' οὐχὶ δύναμίς τις θεία εἰς τύπους σχηματιζομένη τῶν ἁγίων ψυχῶν τὰς ἐνεργείας ἐπιδείκνυσι· τί γὰρ ὑποκρίσεως δεῖ καὶ σχημάτων καὶ τύπων, ἐνὸν ἑτοιμότερον δι' αὐτῶν ἐκείνων τῶν ἁγίων ψυχῶν τὰ δεδογμένα τῷ κρείττονι ἐπιτελεῖσθαι; πειρᾶται δὲ ἑκάτερον τῶν εἰρημένων κατασκευάζειν ἔκ τε χρήσεων τῆς παλαιᾶς γραφῆς καὶ τῆς νέας, καὶ δὴ καὶ μαρτυρίαις διαφόρων πατέρων. τρίτον δὲ αὐτῷ κεφάλαιον σπουδάζεται, ὅτι πάντως αἱ ὑπὲρ τῶν ἐν πίστει τελευτώντων τοῖς ἱερεῦσιν ἐπιτελούμεναι θυσίαι καὶ προσφοραί, ἢ ἄλλως δεήσεις καὶ ἱκεσίαι καὶ ἐλεημοσύναι ὑπὲρ αὐτῶν παρὰ τῶν πιστῶν, ἐλευθερίαν καὶ πταισμάτων ἄφεσιν καταπράττονται τοῖς ὑπὲρ ὧν ἐπιτελεῖται ταῦτα. ἐν οἷς καὶ τὰ τρίτα μὲν ἐπιτελεῖσθαί φησι, λαμβάνοντας τὸ μυστήριον τῆς δεσποτικῆς καὶ τριημέρου ἐγέρσεως εἰς συνεργίαν καὶ ἐπιβοήθειαν τῆς ἱκεσίας, τὰ δὲ ἔννατα ὡσαύτως (μεθ' ἡμέρας γὰρ η' τῆς ἐγέρσεως ὤφθη τὸ δεύτερον τοῖς μαθηταῖς ὁ δεσπότης), τὰ δὲ τεσσαρακοστὰ ὁμοίως, ὅτι μετὰ τοσαύτας ἡμέρας τὸ τελευταῖον τοῖς μαθηταῖς ὁραθεὶς μετὰ τοῦ ἡμετέρου φυράματος ἀνελήφθη.

Εὗρον δὲ ἐν τῷδε τῷ βιβλίῳ καὶ τὸν τοῦ Παύλου κατὰ τὸν νόμον διδάσκαλον Γαμαλιὴλ καὶ πιστεύσαντα καὶ βαπτισθέντα, καὶ Νικόδημον τὸν νυκτερινὸν φίλον καὶ ἡμερινὸν γεγονότα καὶ μαρτυρίῳ τελειωθέντα, ὃν καὶ ἀνεψιὸν γενέσθαι τοῦ Γαμαλιὴλ ἡ ἱστορία διδάσκει· βαπτίσασθαι δὲ ἑκάτερον ὑπὸ Ἰωάννου καὶ Πέτρου, οὐ μόνον δὲ ἀλλὰ καὶ τὸν Γαμαλιὴλ παῖδα, Ἄβιβος ὄνομα αὐτῷ. τὸν οὖν μακάριον Νικόδημον, ἐπεὶ ἐπύθοντο οἱ Ἰουδαῖοι βαπτίσασθαι, διὰ τοῦτο πληγαῖς πολλαῖς ὑπέβαλον, αἷς στεῤῥῶς ἐναθλήσας μετ' ὀλίγον ἐτελειώθη. ταύτην τὴν ἱστορίαν περιεῖχε μὲν τὸ βιβλίον, Χρυσίππῳ δὲ αὐτὴν ἀνετίθει. πρεσβύτερος δ' ὁ Χρύσιππος Ἱεροσολύμων, ὃς γράφων ἐγκώμιον εἰς τὸν μάρτυρα Θεόδωρον ὡς ἐν παρεκβάσει Λουκιανοῦ τινὸς μέμνηται, καὶ αὐτοῦ τῆς αὐτῆς ἐκκλησίας τῶν Ἱεροσολύμων χρηματίσαντος πρεσβυτέρου, ὅτε ὁ Ἰωάννης τῆς ἐκεῖσε ἀρχιερωσύνης προεστήκει. οὗτος δ' ὁ Λουκιανὸς ἐν μιᾷ τῶν νυκτῶν, περὶ τρίτην ὥραν, καθ' ὕπαρ ἀλλ' οὐκ ὄναρ, λέγεται τὰ προειρημένα μυηθῆναι· ἐπιστάντα γὰρ αὐτῷ τὸν Γαμαλιὴλ ταῦτα ἐμφανίσαι, ὡς εἴη μὲν αὐτὸς Γαμαλιήλ, καὶ ὡς ἐβαπτίσατο, καὶ ὑφ' ὧν, εἴη δὲ καὶ Ἄβιβος ὁ παῖς, καὶ ὡς θήκῃ μὲν μιᾷ αὐτοὶ ἐναποτέθεινται, ἔστι δὲ καὶ Στέφανος ὁ πρωτος μαρτύρων κατὰ τὴν ἀνατολικὴν τεθησαυρισμένος θήκην· οὗ παρὰ τοὺς πόδας ἐν ἑτέρα θήκη Νικόδημος, ὅσα τε πάθοι καὶ ἐφ' οἷς καὶ ὑπὸ τίνων· ἣ δὲ μετὰ ταῦτα θήκη αὐτοῦ τε καὶ τοῦ παιδός ἐστι. ταῦτα εἰπόντα τὸν Γαμαλιὴλ ἐπισκῆψαι τῷ Λουκιανῷ μὴ ἀμελεῖν ἔτι τῶν λειψάνων μηδὲ ἐᾷν ἡλίῳ καὶ ὄμβροις διαφθείρεσθαι. σεισμόν τε γενέσθαι σύνδρομον τῇ ὀπτασίᾳ, καὶ πολλὰς πολλῶν νοσημάτων ἰάσεις ἐπιτελεσθῆναι, τοῦ πρωτομάρτυρος μάλιστα τῆς θήκης τὰ ἰάματα προχεούσης.

385 R. 200 H.

## 172. 173. 174.

Ἀνεγνώσθησαν τοῦ ΧΡΥΣΟΣΤΟΜΟΥ ὁμιλίαι εἰς τὴν γένεσιν ξ' καὶ μία, ἐν τεύχεσι τρισίν, ὧν τὸ μὲν πρῶτον ὁμιλίας περιεῖχεν κ', τὸ δεύτερον δὲ δεκαέξ καὶ τὸ τρίτον κε'. ἐμφαίνεται δὲ ἐν τῷ πρώτῳ ὡς ἀπ' ἀρχῆς τῆς τεσσαρακοστῆς ἀρξάμενος ὁμιλεῖν μή πω συναπαρτισθείσης αὐτῆς τούς τε κ' λόγους τούτους καὶ ἄλλους τινὰς γ' ἢ δ', μεταξὺ τῶν εἰς τὴν γένεσιν λόγων, χρείας (ὡς εἰκός) παρεμπεσούσης τῷ λαῷ προσωμίλησεν. ἔνεστι δὲ συνιδεῖν ὡς εἰ καὶ λόγοι ἔχει τὴν ἐπιγραφὴν τὸ βιβλίον (οὕτω γὰρ εὗρον ἐν οἷς ἀνέγνων), ἀλλὰ μᾶλλον ἐοίκασιν ὁμιλίαις, τά τε ἄλλα καὶ ὅτι ἐν πολλοῖς πολλάκις ὡς παρόντας [καὶ] ὁρῶν τοὺς ἀκροατάς, οὕτω πρὸς αὐτοὺς ἀποτείνεται καὶ ἐρωτᾷ καὶ ἀποκρίνεται καὶ ὑπισχνεῖται, δυναμένου μὲν καὶ ἄλλως ἔχοντος τοῦ λόγου καὶ οὐ καθ' ὁμιλίαν τὰ τοιαῦτα σχηματίζειν καὶ ἐνδείκνυσθαι, οὐ μὴν ἀλλὰ τὸ συνεχῶς καὶ ἐπιμόνως τοῦτο ποιεῖν, καὶ οὐχὶ σὺν οἰκονομίᾳ τινί, παρίστησιν ὁμιλίας αὐτοὺς εἶναι. ὡμίλει δὲ ταύτας τῷ πλήθει, ὡς ἔστι μαθεῖν ἐξ αὐτῶν τούτων, πολλάκις μὲν καθ' ἑκάστην, ἔσθ' ὅτε δὲ καὶ ὑπὲρ ἡμέραν. οὕτω μὲν τὸ πρῶτον βιβλίον, ἐν ᾧ αἱ κ' ὁμιλίαι. τὸ δ' ἕτερον βιβλίον, ἔχον ις' λόγους, τοὺς μὲν πρώτους ζ' ἔτι τῆς τεσσαρακοστῆς ἐνισταμένης ὑπεδήλου καθομιληθῆναι, ὡς εἶναι τοὺς δι' ὅλης αὐτῷ τῆς τεσσαρακοστῆς μέχρι τῆς μεγάλης τετράδος τῶν εἰς τὴν γένεσιν λόγους κζ'. οἱ δὲ ὑπόλοιποι λόγοι ἐννέα τοῦ ἑτέρου βιβλίου καὶ οἱ λοιποὶ κε' τοῦ τρίτου οὐκ εὐθὺς ὡμιλήθησαν οὐδὲ συνεχῶς με-

a. 1. τις et 4. δι' αὐτῶν add *A*. 5. ἐπιμελεῖσθαι *A*. 10. ἐπιμελούμεναι pr *A*. 12. παρὰ *A*: περὶ ς. 17. μεθ' ἡμέρας γὰρ *A*: καθ' ἡμέρας ς. 18. ὤφθη] ὤφθη χριστὸς *A*. τὸ δεύτερον post δεσπότης ponit ς. 19. τεσσαράκοντα ς. 30. οἱ et 32. μὲν et 36. τῶν et 37. ὁ et b 3. αὐτοὶ add *A*. b. 13. προχεούσης *A*, προσχεούσης *C*: προσέχουσης ς. infra (p. R. 513, 32.) σωτηρία καὶ ὠφέλεια τοῖς προσέχουσι προχεῖται. 17. δεκαέξ *A*: ἐκκαίδεκα ς. 18. καὶ om *A*. 26. καὶ om *C*. 32. αὐτοὺς *AC*: αὐτὰς ς. 35. αἱ *AC*: καὶ ς. 40. ἑτέρου *A*: δευτέρου ς.

Digitized by Google

τὸ πάσχα. μετὰ γὰρ τὴν ἐν τῇ μεγάλῃ τετράδι ὁμιλίαν, ἥ τις ἦν τῶν εἰς τὴν γένεσιν κζʹ, ὡμίληται αὐτῷ τῇ ἐφεξῆς εἰς τὸν σταυρόν, εἶτα εἰς τὴν προδοσίαν, καὶ λοιπὸν ἐφεξῆς κατὰ τὰς ἀνακυπτούσας τῶν ἡμερῶν πανηγύρεις τε καὶ ὑποθέσεις ἀναλόγως αἱ ὁμιλίαι ἐγίνοντο. καὶ μετὰ τὰς περὶ ἀναστάσεως ὁμιλίας ὡμίλησεν εἰς τὰς πράξεις συνεχῶς, ὡς αὐτὸς ἐκεῖνος ἀρχόμενος τοῦ κηʹ λόγου τῶν εἰς τὴν γένεσιν ἐπισημαίνεται· ὅν, ὡς δῆλον, καὶ τοὺς σὺν αὐτῷ μετὰ πολὺν χρόνον προσωμίλησεν. αἱ γὰρ εἰς τὰς πράξεις ὁμιλίαι νεʹ μέν εἰσι, σχεδὸν δὲ δι' ὅλου αὐτῷ τοῦ ἐνιαυτοῦ ἐρρήθησαν· οὐ γὰρ καθ' ἡμέραν ταύτας, ἀλλὰ καὶ
388 R. ὑπὲρ εʹ καὶ ὑπὲρ ζʹ ″καὶ πλείω καθωμίλει. ὡς δῆλον αὐτὸς ποιεῖ ὅτι ἀρχιερατεύων κατὰ τὸ τρίτον ἔτος
201 H. ὡμίλησε. τὰς ″δʹ″ εἰς τὴν γένεσιν οὐκ ἔχομεν γνῶναι ὁπότε ὁμιλήσειε· πλὴν εἰ ἐκείνων μέμνηται τῶν ὁμιλιῶν ἐν τῷ κηʹ λόγῳ ὁμιλῆσαι, ἃς διὰ τοῦ τρίτου ἔτους τῆς ἀρχιερωσύνης αὐτοῦ ἐξειργάσατο, ἀλλὰ μὴ ἑτέρων τινῶν παρὰ ταύτας (οὔπω γὰρ τοῦτο ἔγνων), δῆλον ὅτι καὶ ταύτας ἀρχιερατεύων κατεσκεύασε, τὰς μὲν κζʹ τῇ τεσσαρακοστῇ τοῦ δευτέρου ἔτους, τὰς δὲ λοιπὰς λδʹ ἐν τῷ τετάρτῳ ἔτει.

Ἡ δὲ φράσις αὐτῷ μετὰ τῆς συνήθους σαφηνείας καὶ καθαρότητος καὶ τὸ λαμπρὸν καὶ εὔρουν ἐνδείκνυται, τὸ πολύχουν τῶν νοημάτων καὶ τὴν τῶν παραδειγμάτων προσφυεστάτην εὐπορίαν συνυποφαίνουσα. ἠλάττωται δὲ ὅμως τῆς ἐν ταῖς πράξεσι φράσεως ἐπὶ τὸ ταπεινότερον ἀπενηνεγμένη, ὅσον τῶν εἰς τὸν ἀπόστολον ἑρμηνειῶν καὶ ἔτι τῶν εἰς τὸν ψαλτῆρα ὑπομνημάτων ἡ ἐν ταῖς πράξεσιν ὑπολείπεται. πανταχοῦ γὰρ τοῖς λόγοις αὐτοῦ τὸ καθαρὸν καὶ λαμπρὸν καὶ εὐκρινὲς μετὰ τοῦ ἡδέος τεχνουργῶν, τούτοις τε ἐνταῦθα μάλιστα διαπρέπει καὶ τῇ τῶν παραδειγμάτων εὐπορίᾳ καὶ τῇ τῶν ἐνθυμημάτων ἀφθονίᾳ καὶ (εἴ που δέοι) καὶ δεινότητι, καὶ ἁπλῶς ἔν τε λέξει καὶ συνθήκῃ καὶ μεθόδῳ καὶ νοήμασι καὶ τῇ ὅλῃ κατασκευῇ ἄριστα τάσδε τὰς συγγραφὰς ὑπεστήσατο. ἀλλὰ τὰς μὲν εἰς τὸν ἀπόστολον ἔστιν ἐξ αὐτῶν ἐκείνων ἐπιγνῶναι, ποῖαί τε αὐτῶν ἐν Ἀντιοχείᾳ διατρίβοντι ἐξεπονήθησαν, αἳ καὶ μᾶλλον διηκρίβωνται, καὶ ποῖαι ἀρχιερατεύοντι ἐποιήθησαν· τὰς δὲ εἰς τοὺς ψαλμοὺς οὔπω ἔχομεν ὅσον καθ' ἱστορίαν γνῶναι, πλὴν εἴ τις τὴν δύναμιν καὶ τὴν ἄλλην ἀρετὴν τοῦ λόγου θαυμάζων σχολάζοντα αὐτὸν μᾶλλον ἀλλ' οὐ πράγμασι κοινοῖς ἐνστρεφόμενον ταύτας φαίη ἐξεργάσασθαι. εἰ δέ τινα τῶν ῥητῶν ἢ ἑρμηνείας ἢ βαθυτέρας θεωρίας δεόμενα οὐκ ἐπιμελῶς ἐπεξῆλθεν, οὐ δεῖ θαυμάζειν· ὅσα γὰρ ἡ τῶν ἀκροατῶν ἐχώρει δύναμις καὶ εἰς τὴν ἐκείνων συνέτεινε σωτηρίαν καὶ ὠφέλειαν, οὐδὲν οὐδαμοῦ παρῆκε. διό μοι καὶ ἀεὶ θαυμάζειν ἔπεισι τὸν τρισμακάριστον ἄνθρωπον ἐκεῖνον, ὅτι ἀεὶ καὶ ἐν πᾶσιν αὐτοῦ τοῖς λόγοις τοῦτο σκοπὸν ἐποιεῖτο, τὴν ὠφέλειαν τῶν ἀκροατῶν, τῶν δ' ἄλλων ἢ οὐδ' ὅλως ἐφρόντιζεν ἢ ὡς ἐλάχιστον, ἀλλὰ καὶ τοῦ δόξαι λαθεῖν αὐτὸν ἔνια τῶν νοημάτων καὶ τοῦ πρὸς τὰ βαθύτερα μὴ πειρᾶσθαι παρεισδύνειν, καὶ εἴ τι τοιοῦτον, ὑπὲρ τῆς τῶν ἀκροωμένων ὠφελείας παντάπασιν ὠλιγώρει.

## 175.

Ἀνεγνώσθησαν ΠΑΜΦΙΛΗΣ συμμίκτων ἱστορικῶν ὑπομνημάτων λόγοι ηʹ. αὕτη ἀνδρὶ μὲν συνῴκει, ὡς καὶ αὐτὴ τῶν ὑπομνημάτων προοιμιαζομένη ἐπισημαίνεται· ᾧ καὶ ιγʹ ἔτη ἐκ παιδὸς συμβιοῦσα ἤδη τῆς ὑπομνηματικῆς ταύτης συγγραφῆς λέγει ἀπάρξασθαι, ″συγγράψαι δὲ ἅ τε παρὰ τοῦ ἀνδρὸς μάθοι, τὰ ιγʹ 389 R.
ἔτη συνεχῶς αὐτῷ συνοῦσα καὶ μηδ' ἡμέραν μηδ' ὥραν ἀπολειπομένη, καὶ ἃ παρ' ἄλλου τινὸς ἀκοῦσαι ″συνέβη 202 H.
τῶν παρ' αὐτὸν ἀφικνουμένων (πολλοὺς δὲ φοιτᾶν ὄνομα καὶ δόξαν ἔχοντας ἐπὶ παιδείᾳ), καὶ δὴ καὶ ὅσα βιβλίων αὐτὴ ἀνελέξατο. ταῦτα δὲ πάντα, ὅσα λόγου καὶ μνήμης αὐτῇ ἄξια ἐδόκει, εἰς ὑπομνήματα συμμιγῆ καὶ οὐ πρὸς τὰς ἰδίας ὑποθέσεις διακεκριμένον ἕκαστον διελεῖν, ἀλλ' οὕτως εἰκῇ καὶ ὡς ἕκαστον ἐπῆλθεν ἀναγράψαι, ὡς οὐχὶ χαλεπὸν ἔχουσα, φησί, τὸ κατ' εἶδος αὐτὰ διελεῖν, ἐπιτερπέστερον δὲ καὶ χαριέστερον τὸ ἀναμεμιγμένον καὶ τὴν ποικιλίαν τοῦ μονοειδοῦς νομίζουσα. χρήσιμον δὲ τὸ βιβλίον εἰς πολυμαθίαν· εὕροι γὰρ ἄν τις καὶ τῶν ἱστορικῶν οὐκ ὀλίγα ἀναγκαῖα, καὶ δὴ καὶ ἀποφθεγμάτων καὶ ῥητορικῆς διατριβῆς ἔνια καὶ φιλοσόφου θεωρίας καὶ ποιητικῆς ἰδέας, καὶ εἴ τι τοιοῦτον ἐμπέσοι. Αἰγυπτία δὲ τὸ γένος ἡ Παμφίλη, ἤκμασε δὲ καθ' οὓς χρόνους Νέρων ὁ Ῥωμαίων ἤκμαζεν αὐτοκράτωρ. ἡ δὲ φράσις, ὡς ἔστιν ἐκ τῶν προοιμίων συλλαβεῖν καὶ ἐν οἷς ἄλλοθί που ἴδιόν τι λέγει, καὶ μάλιστα κατὰ τὴν διάνοιαν, οἷα δὴ καὶ γυναικὸς ἔκγονον οὖσα,

a. 2. αὐτῷ add *A*. 9. ὃν om pr *A*. 11. εʹ add *A*. 16. ὡμίλησεν corr *A*. 19. παρὰ *A*: περὶ ς. 36. ὅλῃ *A*: ἄλλῃ ς. 41 ὅσον om *C*. b. 9. τοῖς om *A*. 19. αὐτῇ ς. 25. πολλοὺς δὲ φοιτᾶν — ἔχοντας *A*: πολλῶν ὄντων καὶ — ἐχόντων *C*ς. 27. ὅσα λόγου add *A*. 30. ὡς] πρὸς *A*. 34. πολυμάθειαν ς. 36. ῥητ. καὶ διατρ. ς. 39. χρόνους ὁ Νέρων ς. ἤκμασεν ς. 42. καὶ add *A*.

Digitized by Google

τῆς ἀφελοῦς ἐστὶν ἰδέας, οὐδὲ τῇ λέξει πρὸς τὴν ἰδέαν ἀλλοτριουμένη. ἐν οἷς δὲ τὰ τῶν ἀρχαιοτέρων ἀπομνημονεύουσα λέγει, ποικιλώτερον αὐτῇ καὶ οὐ καθ' ἓν εἶδος σύγκειται ὁ λόγος.

## 176.

Ἀνεγνώσθησαν ΘΕΟΠΟΜΠΟΥ λόγοι ἱστορικοί. ν' δὲ καὶ γ' εἰσὶν οἱ σωζόμενοι αὐτοῦ τῶν ἱστορικῶν λόγοι· διαπεπτωκέναι δὲ καὶ τῶν παλαιῶν τινὲς ἔφησαν τήν τε ἕκτην καὶ ἑβδόμην, καὶ δὴ καὶ τὴν ἐνάτην καὶ εἰκοστὴν καὶ τὴν τριακοστήν. ἀλλὰ ταύτας μὲν οὐδ' ἡμεῖς εἴδομεν, Μηνοφάνης δέ τις τὰ περὶ Θεόπομπον διεξιὼν (ἀρχαῖος δὲ καὶ οὐκ εὐκαταφρόνητος ὁ ἀνήρ) καὶ τὴν δωδεκάτην συνδιαπεπτωκέναι λέγει· καίτοι αὐτὴν ἡμεῖς ταῖς ἄλλαις συνανέγνωμεν. καὶ περιέχει ὁ δωδέκατος λόγος περί τε Πακώριος τοῦ Αἰγυπτίων βασιλέως, ὡς πρός τε τοὺς Βαρκαίους ἐσπείσατο, καὶ ὑπὲρ Εὐαγόρου ἔπραττε τοῦ Κυπρίου, ἐναντία πράττων τῷ Πέρσῃ· ὅν τε τρόπον παρὰ δόξαν Εὐαγόρας τῆς Κυπρίων ἀρχῆς ἐπέβη, Ἀβδύμονα καταγχὼν τὸν Κιτιέα, ταύτης ἐπάρχοντα· τίνα τε τρόπον Ἕλληνες οἱ σὺν Ἀγαμέμνονι τὴν Κύπρον κατέχον, ἀπελάσαντες τοὺς μετὰ Κινύρου, ὧν εἰσὶν ὑπολιπεῖς Ἀμαθούσιοι· ὅπως τε ὁ βασιλεὺς Εὐαγόρᾳ συνεπείσθη πολεμῆσαι, στρατηγὸν ἐπιστήσας Αὐτοφραδάτην τὸν Λυδίας σατράπην, ναύαρχον δὲ Ἑκατόμνων· καὶ περὶ τῆς εἰρήνης ἣν αὐτὸς τοῖς Ἕλλησιν ἐβράβευσεν· ὅπως τε πρὸς Εὐαγόραν ἐπικρατέστερον ἐπολέμει, καὶ περὶ τῆς ἐν Κύπρῳ ναυμαχίας· καὶ ὡς Ἀθηναίων ἡ πόλις ταῖς πρὸς βασιλέα συνθήκαις ἐπειρᾶτο ἐμμένειν, Λακεδαιμόνιοι δὲ ὑπέρογκα φρονοῦντες παρέβαινον τὰς συνθήκας· τίνα τε τρόπον τὴν ἐπὶ Ἀνταλκίδου ἔθεντο εἰρήνην· καὶ ὡς Τιρίβαζος ἐπολέμησεν, ὅπως τε Εὐαγόρᾳ ἐπεβούλευσεν, ὅπως τε αὐτὸν Εὐαγόρας πρὸς βασιλέα διαβαλὼν συνέβαλε μετ' 392R. Ὀρόντου· καὶ ὡς Νεκτενίβιος παρειληφότος τὴν Αἰγύπτου βασιλείαν πρὸς Λακεδαιμονίους πρέσβεις ἀπέστειλεν Εὐαγόρας· τίνα τε τρόπον ὁ περὶ Κύπρον αὐτῷ 205H. πόλεμος διελύθη· καὶ περὶ Νικοκρέοντος, ὡς ἐπεβούλευσεν, ὡς παραδόξως ἐφωράθη, ὡς ἔφυγε· καὶ ὡς τῇ ἐκείνου παιδὶ καταλειφθείσῃ κόρῃ Εὐαγόρας τε καὶ ὁ τούτου παῖς Πνυταγόρας, λανθάνοντες ἀλλήλους, συνεκάθευδον, Θρασυδαίου τοῦ εὐνούχου, ὃς ἦν Ἠλεῖος τὸ γένος, αὐτοῖς παρὰ μέρος ὑπηρετουμένου τῇ πρὸς τὴν κόρην ἀκολασίᾳ· καὶ ὡς τοῦτο αὐτοῖς αἴτιον ὀλέθρου γέγονε, Θρασυδαίου τὴν ἐκείνων ἀναίρεσιν κατεργασαμένου· εἶτα τίνα τρόπον Ἄκωρις ὁ Αἰγύπτιος πρὸς τοὺς Πισίδας ἐπδιήσατο συμμαχίαν, περί τε τῆς χώρας αὐτῶν καὶ τῶν Ἀσπενδίων· περί τε τῶν ἐν Κῷ καὶ Κνίδῳ ἰατρῶν, ὡς Ἀσκληπιάδαι, καὶ ὡς ἐκ Σύρνου οἱ πρῶτοι ἀφίκοντο ἀπόγονοι Ποδαλειρίου· καὶ περὶ Μόψου τοῦ μάντεως καὶ τῶν θυγατέρων Ῥόδης καὶ Μηλιάδος καὶ Παμφυλίας, ἐξ ὧν ἥ τε Μοψουεστία καὶ ἡ ἐν Λυκίᾳ Ῥοδία καὶ ἡ Παμφυλία χώρα τὰς ἐπωνυμίας ἔλαβον· τίνα τε τρόπον ὑφ' Ἑλλήνων ἡ Παμφυλία κατῳκίσθη· καὶ ὁ πρὸς ἀλλήλους πόλεμος· καὶ ὡς Λύκιοι πρὸς Τελμισσεῖς, ἡγουμένου αὐτοῖς τοῦ σφῶν βασιλέως Περικλέους, ἐπολέμησαν, καὶ οὐκ ἀνῆκαν πολεμοῦντες ἕως αὐτοὺς τειχήρεις ποιήσαντες καθ' ὁμολογίαν παρεστήσαντο. ἃ μὲν οὖν ὁ ἠφανισμένος Μηνοφάνει δωδέκατος λόγος περιέχει, ταῦτά ἐστιν.

Ἔστι δὲ Θεόπομπος Χῖος μὲν τὸ γένος, υἱὸς Δαμοστράτου, φυγεῖν δὲ λέγεται τῆς πατρίδος ἅμα τῷ πατρί, ἐπὶ λακωνισμῷ τοῦ πατρὸς ἁλόντος, ἀνασωθῆναι δὲ τῇ πατρίδι τελευτήσαντος αὐτῷ τοῦ πατρός, τὴν δὲ κάθοδον Ἀλεξάνδρου τοῦ Μακεδόνων βασιλέως δι' ἐπιστολῶν τῶν πρὸς τοὺς Χίους καταπραξαμένου· ἐτῶν δὲ εἶναι τότε τὸν Θεόπομπον ε' καὶ μ'. μετὰ δὲ τὸν Ἀλεξάνδρου θάνατον πανταχόθεν ἐκπεσόντα εἰς Αἴγυπτον ἀφικέσθαι, Πτολεμαῖον δὲ τὸν ταύτης βασιλέα οὐ προσίεσθαι τὸν ἄνδρα, ἀλλὰ καὶ ὡς πολυπράγμονα ἀνελεῖν ἐθελῆσαι, εἰ μή τινες τῶν φίλων παραιτησάμενοι διεσώσαντο. συνακμάσαι δὲ λέγει αὐτὸς ἑαυτὸν Ἰσοκράτει τε τῷ Ἀθηναίῳ καὶ Θεοδέκτῃ τῷ Φασηλίτῃ καὶ Ναυκράτει τῷ Ἐρυθραίῳ, καὶ τούτους ἅμα αὐτῷ τὰ πρωτεῖα τῆς ἐν λόγοις παιδείας ἔχειν ἐν τοῖς Ἕλλησιν· ἀλλὰ Ἰσοκράτην μὲν δι' ἀπορίαν βίου καὶ Θεοδέκτην μισθοῦ λόγους γράφειν καὶ σοφιστεύειν, ἐκπαιδεύοντας τοὺς νέους κἀκεῖθεν καρπουμένους τὰς ὠφελείας, αὐτὸν δὲ καὶ Ναυκράτην αὐτάρκως ἔχοντας ἐν τούτοις ἀεὶ τὴν διατριβὴν ἐν τῷ φιλοσοφεῖν καὶ φιλομαθεῖν ποιεῖσθαι. καὶ ὡς οὐκ ἂν εἴη αὐτῷ παράλογον ἀντιποιουμένῳ τῶν πρωτείων, οὐκ ἐλαττόνων μὲν ἢ δισμυρίων ἐπῶν τοὺς ἐπιδεικτικοὺς τῶν λόγων συγγραψαμένῳ,

a. 9. καὶ post δὴ om A. 15. Πακώριος] Ἄκορις Diodoro lib. 15. ut item hic mox (b 4) Ἄκωρις. Schottus. 16. Βαρκαίους] βαρβάρους corr A. 18. παρὰ δόξαν A: παράδοξον ς. 19. Ἀὐδύμονα ς. 20. τε A: δὲ ς. 24. σατράπην A: ἐξατράπην Cς. 32. priorem τε om A. 33. συνέβαλλεν A. at legendum συνέλαβε collato Diodoro Siculo 15, 8. 34. Αἰγυπτίων ς. 41. εὐνούχου A: ἡμιάῤῥενος Cς. b. 7. Ἀσκληπιάδαι ς. 13. ἀλλ. συνέστη πόλ. Cς. 17. ἠφανισμένος post λόγος ponit ς. 30. αὐτὸς ἑαυτὸν λέγει ς. 32. Ναυκράτῃ ς.

Digitized by Google

πλείους δὲ ἢ ιε' μυριάδας, ἐν οἷς τάς τε τῶν Ἑλλήνων καὶ βαρβάρων πράξεις μέχρι νῦν ἀπαγγελλομένας ἔστι λαβεῖν· ἔτι δὲ καὶ διότι οὐδεὶς ἐστι τόπος κοινὸς τῶν Ἑλλήνων οὐδὲ πόλις ἀξιόχρεως, εἰς οὓς αὐτὸς οὐκ ἐπιδημῶν καὶ τὰς τῶν λόγων ἐπιδείξεις ποιούμενος οὐχὶ 204 H. μέγα κλέος καὶ ὑπόμνημα τῆς ἐν λόγοις αὐτοῦ κατέ- 393 R. λιπεν ἀρετῆς. "ταῦτα αὐτὸς περὶ αὐτοῦ λέγων, τοὺς ἐν τοῖς ἔμπροσθεν χρόνοις ἔχοντας ἐν λόγοις τὸ πρωτεύειν πολὺ καταδεεστέρους ἀποφαίνεται τῶν καθ' ἑαυτὸν οὐδὲ τῆς δευτέρας τάξεως ἀξιουμένων, καὶ τοῦτο δῆλον εἶναί φησι καὶ ἐξ αὐτῶν τῶν παρ' ἑκατέροις ἐκπεπονημένων καὶ καταλελειμμένων λόγων· πολλὴν γὰρ τὴν τοιαύτην παίδευσιν ἐπίδοσιν λαβεῖν κατὰ τὴν αὐτοῦ ἡλικίαν. ἀλλὰ τίνας λέγει τοὺς ἐν τοῖς ἔμπροσθεν χρόνοις, οὐκ ἔχω σαφῶς συμβαλεῖν· οὐ γὰρ δή γε τολμῆσαι αὐτὸν ὑπολαμβάνω εἰς Ἡρόδοτον ϗ Θουκυδίδην ἀποτείνεσθαι, πολὺ ϗ αὐτοῦ ἐν πολλοῖς ἐκείνων τῶν ἀνδρῶν ἐλαττουμένου. ἢ τάχα πρὸς Ἑλλάνικον καὶ Φίλιστον ἀφορᾷ τοὺς ἱστορικούς, ἢ Γοργίαν καὶ Λυσίαν καὶ τοὺς τοιούτους, ἐγγὺς τῆς αὐτοῦ ἡλικίας προγεγονότας, αἰνίττεται, οὐδ' ἐκείνων τοσοῦτον ἐνδεέστερον ἐχόντων πρὸς τοὺς λόγους. ἀλλὰ Θεόπομπος μὲν ταῦτα.

Φασὶ δὲ αὐτόν τε καὶ Ἔφορον Ἰσοκράτους γενέσθαι μαθητάς. δῆλον δὲ τοῦτο ποιοῦσι ϗ οἱ λόγοι· πολὺ γὰρ ἐν τοῖς Θεοπόμπου ἡ κατὰ μίμησιν ἰδέα τῶν παρ' Ἰσοκράτει, εἰ καὶ λείπεται τῆς κατὰ τὴν ἐργασίαν ἀκριβείας. καὶ τὰς ἱστορικὰς δὲ ὑποθέσεις τὸν διδάσκαλόν αὐτοῖς προβαλεῖν, τὰς μὲν ἄνω τῶν χρόνων Ἐφόρῳ, Θεοπόμπῳ δὲ τὰς μετὰ Θουκυδίδην Ἑλληνικάς, πρὸς τὴν ἑκατέρου φύσιν καὶ τὸ ἔργον ἁρμοσάμενον. διὸ ϗ τὰ προοίμια αὐτοῖς τῶν ἱστοριῶν τῇ τε διανοίᾳ καὶ τοῖς ἄλλοις ἐστὶν ὁμοιότατα, ὡς ἂν ἀπὸ τῆς αὐτῆς ἀφετηρίας ἐκδραμόντων ἑκατέρου πρὸς τὸ στάδιον τῆς ἱστορίας.

Πλείσταις μὲν οὖν παρεκβάσεσι παντοδαπῆς ἱστορίας τοὺς ἱστορικοὺς αὐτοῦ λόγους Θεόπομπος παρατείνει. διὸ ϗ Φίλιππος ὁ πρὸς Ῥωμαίους πολεμήσας, ἐξελὼν ταύτας ϗ τὰς Φιλίππου συνταξάμενος πράξεις, αἳ σκοπός εἰσι Θεοπόμπῳ, εἰς ιϛ' βίβλους μόνας, μηδὲν παρ' ἑαυτοῦ προσθεὶς ἢ ἀφελὼν πλὴν (ὡς εἴρηται) τῶν παρεκτροπῶν, τὰς πάσας ἀπήρτισε. Δοῦρις μὲν οὖν ὁ Σάμιος ἐν τῇ πρώτῃ τῶν αὐτοῦ ἱστοριῶν οὕτω φησίν „Ἔφορος δὲ καὶ Θεόπομπος τῶν γενομένων πλεῖστον ἀπελείφθησαν· οὔτε γὰρ μιμήσεως μετέλαβον οὐδεμιᾶς οὔτε ἡδονῆς ἐν τῷ φράσαι, αὐτοῦ δὲ τοῦ γράφειν μόνον ἐπεμελήθησαν." καίτοι Δοῦρις καὶ τῆς ἐν αὐτοῖς τούτοις οἰκονομίας, οἷς αἰτιᾶται, πολλὰ τῶν ἀνδρῶν λειπόμενος. ἀλλ' εἰ μὲν πρὸς τὸν ὑπερήφανον ἐκεῖνον Θεοπόμπου λόγον, ὃς τοὺς ἀρχαιοτέρους οὐδὲ τῶν δευτερείων ἠξίου, τοῦτο ἀπέρριψεν, οὐκ ἔχω λέγειν· πλὴν ὅτι οὐδέτερος αὐτῶν προσηκόντως ἐπελάβετο, καὶ μάλιστα ἂν διισχυρισαίμην. Κλεοχάρης δὲ ὁ Σμυρλεανός, ὑπὲρ τῶν Ἰσοκρατικῶν ἁπάντων οἶμαι λέγων (τοῦτο γάρ ἐστι τὸ ἐν τῇ πρὸς τὸν Δημοσθένην συγκρίσει μὴ τὰ πόρρω αὐτοῖς παραχεῖν) φησὶ τοὺς μὲν Δημοσθενικοὺς λόγους τοῖς τῶν στρατιωτῶν ἐοικέναι μάλιστα σώμασι, τοὺς δὲ Ἰσοκρατικοὺς τοῖς τῶν ἀθλητῶν. δῆλον δὲ ὡς Θεόπομπος οὐδενὸς τῶν Ἰσοκρατικῶν εἰς τοὺς λόγους ἀτιμότερος.

Τὸ μὲν οὖν Θεοπόμπου γένος ϗ ἡ παίδευσις καὶ ὁ διδάσκαλος "καὶ οἱ συνακμάσαντες καὶ οἱ λόγοι ϗ ἡ 205 H. πολιτεία καὶ ἡ ἐν τοῖς λόγοις ἰδέα ϗ προαίρεσις, κατὰ κεφαλαιώδη ἀπαρίθμησιν, ϗ ὁ καθ' ὃν ἤκμασε χρόνος, καὶ ὅσα αὐτῷ συνεκρότησε κατὰ τὸν βίον, ἐπὶ τοσοῦτον.

## 177.

"Ἀνεγνώσθη βιβλίον οὗ ἡ ἐπιγραφὴ „ΘΕΟΔΩΡΟΥ 396 R ΑΝΤΙΟΧΕΩΣ πρὸς τοὺς λέγοντας φύσει ϗ οὐ γνώμῃ πταίειν τοὺς ἀνθρώπους." διαπεραίνεται μὲν αὐτῷ ὁ πρὸς αὐτοὺς ἀγὼν ἐν λόγοις ε', πρὸς δὲ τοὺς ἀπὸ τῆς δύσεως τοῦτο τὸ νόσημα νενοσηκότας γράφει τὸ βιβλίον· ὧν καὶ τῆς αἱρέσεως ἀρχηγὸν λέγει γενέσθαι ἐκεῖθεν μὲν ὁρμώμενον, τοῖς δὲ τῆς ἀνατολῆς ἐπιχωριάζοντα τόποις, ϗ συντάττοντα λόγους ὑπὲρ τῆς καινοποιηθείσης αὐτῷ αἱρέσεως διαπέμπειν τοῖς τὸ πατρῷον ἔδαφος οἰκοῦσιν, ὑφ' ὧν ϗ πολλοὺς τῶν ἐκεῖσε πρὸς τὸ οἰκεῖον φρόνημα ἑλκύσαι, ὡς καὶ ἐκκλησίας ὅλας τοῦ ἀτοπήματος πληρωθῆναι. Ἀρὰμ δὲ τὸν ἀρχηγὸν αὐτῶν, οὐ γὰρ ἔχω σαφῶς εἰπεῖν, εἴτε ὀνομάζει εἴτε ἐπονομάζει. τοῦτον δὲ πέμπτον εὐαγγέλιον προσαναπλάσαι λέγει, ἐν ταῖς Εὐσεβίου τοῦ Παλαιστίνου βιβλιοθήκαις ὑποπλαττόμενον εὑρεῖν· ϗ ἀπώσασθαι μὲν τῆς θείας ϗ παλαιᾶς γραφῆς ἣν οἱ ἑβδομήκοντα συνεληλυθότες ἐκδεδώκασι μετάφρασιν, καὶ δὴ καὶ τὴν Συμμάχου καὶ Ἀκύλα ϗ τῶν ἄλλων, ἰδίαν δέ τινα ϗ καινὴν ἐπαρθῆναι συν-

a. 7. ἑαυτοῦ ς. 10. καὶ οὐδὲ — ἀξιουμένους ς. 12. πολλὴν] πάλιν A. 13. λαβεῖν φησὶ κατὰ ς. 24. an πολλή? 27. διδάσκοντα ς. 33. ἐνδραμόντων ς.

b. 1. προγενομένων Casaubonus. 11. τῇ add A. 25. Ἀντιοχέως] ὁ μοψουεστίας ἐστίν, ὡς ἀπό τινων ἐπιστολῶν ἐμάθομεν mg A: om C. 33. τῶν add A.



Digitized by Google

τάξαι μήτε τὴν Ἑβραίων ὥσπερ ἐκεῖνοι ἐκ παιδὸς ἀσκηθέντα μήτε τὸν τῆς θείας γραφῆς νῦν ἐκδιδαχθέντα, Ἑβραίων δέ τισι τῶν χαμαιπετῶν ἑαυτὸν ἐκδεδωκότα ἐκεῖθεν θαῤῥῆσαι ἰδίαν ἔκδοσιν ἀναγράφειν. ἔστι δὲ τὰ τῆς αἱρέσεως αὐτοῖς, ὡς ἐν κεφαλαίῳ φάναι, ταῦτα. φύσει καὶ οὐ γνώμῃ πταίειν φασὶ τοὺς ἀνθρώπους, φύσει δὲ οὐ κατ' ἐκείνην ἐν ᾗ κατὰ πρώτας δημιουργηθεὶς ὑπέστη ὁ Ἀδάμ (ἐκείνην γὰρ ἀγαθὴν ἀγαθοῦ θεοῦ ποίημα οὖσάν φασιν), ἀλλὰ κατ' ἐκείνην ἣν ὕστερον ἁμαρτήσας ἐκληρώσατο, τῇ περὶ τὸ κακὸν πράξει καὶ ἁμαρτίᾳ κακήν τε ἀντ' ἀγαθῆς ἑαυτῷ καὶ θνητὴν ἀντὶ τῆς ἀθανάτου ἀλλαξάμενος· ταύτῃ τοι καὶ φύσει γεγονότας κακοὺς ἐκ τοῦ ὑποστῆναι φύσει πρότερον ἀγαθούς, ἐν τῇ φύσει καὶ οὐκ ἐν τῇ προαιρέσει κεκτῆσθαι τὴν ἁμαρτίαν. δεύτερον ἀκόλουθον αὐτοῖς λέγειν μηδὲ τὰ παιδία, κἂν ἀρτιγέννητα ᾖ, μὴ ἀπηλλάχθαι ἁμαρτίας, ἅτε ἀπὸ τῆς τοῦ Ἀδὰμ παραβάσεως τῆς φύσεως ἐν ἁμαρτίαις ὑποστάσης, καὶ εἰς πᾶν τὸ ἐξ ἐκείνου γένος τῆς ἁμαρτωλῆς (ὡς ἂν εἴποιεν ἐκεῖνοι) φύσεως παρατεινομένης. φέρειν τε αὐτοὺς τὸ „ἐν ἁμαρτίαις ἐγεννήθην," καὶ εἴ τι τοιοῦτον, καὶ αὐτὸ τὸ ἅγιον βάπτισμα καὶ τὴν τοῦ ἀχράντου σώματος κοινωνίαν εἰς ἄφεσιν ἁμαρτιῶν καὶ τοῖς βρέφεσιν ἐπιφερόμενα ταῦτα προκομίζειν ἐπὶ βεβαιώσει φησὶ τῆς οἰκείας νομίσεως. ἔτι δὲ καὶ ὅτι οὐδεὶς ἐν ἀνθρώποις ἐστὶ δίκαιος. ἀκόλουθον δὲ καὶ τοῦτο δηλονότι τῆς ἀπ' ἀρχῆς αὐτῶν θέσεως·
206 H. „οὐ δικαιωθήσεται γὰρ "ἐνώπιον σοῦ" φησὶ „πᾶσα σάρξ" καὶ τὰ τοιαῦτα. τέταρτον (ὢ βλασφήμων καὶ δυσσεβῶν στομάτων!) ὅτι οὐδ' ὁ Χριστὸς καὶ θεὸς ἡμῶν, ἅτε τὴν ἡμαρτημένην φύσιν προσειληφώς, οὐδ' αὐτὸς ἐκαθάρευεν ἀπὸ ἁμαρτίας. καίτοι ἀλλαχοῦ τῆς βλασφημίας αὐτῶν ἔστιν αὐτοὺς ἰδεῖν, ὥς φησιν, οὐδ' ἀληθείᾳ καὶ φύσει σχήματι δὲ μόνον διδόντας αὐτῷ τὴν ἐνανθρώ-
307 B. πησιν. πέμπτον, ὅτι τὸν γάμον, ἤτοι τὴν τῆς μίξεως ὄρεξιν καὶ τὴν τοῦ σπέρματος καταβολὴν καὶ πάντα δὴ τὰ τοιαῦτα, ἀφ' ὧν περ κατὰ διαδοχὴν τὸ ἡμέτερον γένος αὔξεται, τῆς μοχθηρᾶς ἔργα φασὶ φύσεως, εἰς ἣν διὰ τῆς ἁμαρτίας πεσὼν ὁ Ἀδὰμ τῇ τῆς φύσεως κακίᾳ τὸν ἐσμὸν ἐδέξατο τῶν κακῶν. ἀλλὰ τὰ μὲν τῶν αἱρετιζόντων τοιαῦτα.

Ὁ δὲ Θεόδωρος οὗτος εὖ μὲν ποιεῖ ἀποπεμπόμενος αὐτά, ἐνιαχοῦ δὲ καὶ ἄριστα αὐτῶν καὶ σὺν ἰσχύϊ τὸ ἀλλόκοτον καὶ βλάσφημον τῶν ὑπολήψεων ἐπιῤῥαπίζει, καὶ ταῖς γραφικαῖς φωναῖς, ἃς ἐκεῖνοι κακῶς ἐξελάμβανον, τὰς καταλλήλους ἐννοίας ἁρμόζων ἀμαθεῖς αὐτοὺς τελείως ἐξελέγχει. οὐκ ἀεὶ δέ, ἀλλὰ τήν τε Νεστορίου αἵρεσιν ὠδίνων ἡμῖν ἐν πολλοῖς ὦπται, καὶ τὴν Ὠριγένους κατά γε τὸ τέλος ὑποφωνεῖν τῆς κολάσεως. ἔτι δὲ οὐδὲ τὸ λέγειν αὐτὸν ἀπ' ἀρχῆς μὲν θνητὸν πεπλάσθαι τὸν Ἀδάμ, ἐνδεῖξει δὲ μόνον, ἵνα μισήσωμεν τὴν ἁμαρτίαν, σχηματίσαι οὕτω τὸν θεὸν ὡς διὰ τὴν ἁμαρτίαν ἀντὶ τιμωρίας ἐπιτέθειται ὁ θάνατος, οὐ μὲν οὖν οὐδὲ τοῦτό μοι δοκοῦν εἰς ὀρθοὺς ἀναφέρειν λογισμούς, ἀλλὰ καὶ πολλὰς ὑπέχειν τὰς εὐθύνας, εἴ τις ἀπαιτεῖν ἐθέλοι, κἄν, ὡς ἐκεῖνος εἴποι, ἱκανῶς ἡ τοιαύτη δόξα πρὸς τοὺς αἱρεσιώτας ἀπομάχηται. οὐ γὰρ εἴ τι διαμάχεται τῷ χείρονι, ἀγαθόν· καὶ γὰρ καὶ ἑαυτῷ μάχεται τὸ κακόν· ἀλλ' εἴ τι σύμφωνον ὀρθῷ λογισμῷ καὶ γνώριμον ταῖς θείαις γραφαῖς, τοῦτο ἀποδεκτόν, κἂν οὐδεμία αἵρεσις μάχεσθαι τολμᾷ πρὸς αὐτό.

Ἔτι δὲ κἀκεῖνο οὐκ ἐγκρίνω ἔγωγε τοῖς τῆς ἀληθείας δόγμασι, περιέργως τε εἰρημένον καὶ οὐδὲ γνώριμον τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, τὸ δύο ἀφέσεις ἁμαρτιῶν εἶναι λέγειν, τὴν μὲν τῶν πεπραγμένων, τὴν δὲ οὐκ οἶδ' ὅπως εἴποι τις ἂν καὶ ἄφεσιν, ὡς ἐκεῖνος λέγει, αὐτὴν τὴν ἀναμαρτησίαν ἤτοι τὸ μηκέτι ἁμαρτάνειν· δεῖ γὰρ ἡμῖν, ὡς ἔοικε, καὶ πλειόνων σαφηνιστικῶν λέξεων, ἵνα τὴν καινὴν ἐκείνην ὑποδηλώσωμεν τῶν ἁμαρτιῶν ἄφεσιν· ὅπερ ὁ μὲν ὀρθὸς λόγος ἀναμαρτησίαν οἶδεν, οὗτος δὲ ἄφεσιν ἁμαρτιῶν τελείαν καὶ κυριωτάτην καὶ ἀναίρεσιν καλεῖ ἁμαρτίας παντελῆ. τίς οὖν ἡ τοιαύτη ἁμαρτιῶν ἄφεσις, καὶ πῶς διδομένη, καὶ πόθεν ἀρξαμένη; ἤρξατο μέν, φησίν, ἐμφανίζεσθαι ἀπὸ τῆς κατὰ τὸν δεσπότην Χριστὸν οἰκονομίας καὶ ἐν ἀῤῥαβῶνος ἡμῖν δίδοσθαι τάξει, δίδοται δὲ τελείως καὶ ἐπ' αὐτοῖς ἔργοις ἐν τῇ μετὰ τὴν ἀνάστασιν ἀποκαταστάσει, ὑπὲρ ἧς, ἵνα τύχωμεν, καὶ ἡμεῖς καὶ τὰ βρέφη βαπτιζόμεθα. ἀλλὰ τὰ μὲν μέχρι τούτου ὡς σεμνά, καὶ κεχηνέναι μόνον οὐχὶ πρὸς τὸ πέρας ἅπαντας παρασκευάζοντα! εἰπὲ δὴ λοιπὸν καὶ τί τοῦτο; ὀρθὰ γάρ σοι παρεχόμεθα τὰ ὦτα. τίς ἡ τῶν ἁμαρτιῶν ἄφεσις "ἡ παντελὴς ἐκείνη; οὐκέτι, 207 H. φησί, μετὰ τὴν ἀνάστασιν ἁμαρτησόμεθα. ἀλλὰ γὰρ ὡς ἐξ οἵων ἡμᾶς κατέσπασας τῶν ἐλπίδων. ἵνα γὰρ νῦν ἐάσω ζητεῖν ὅπως ἔστι λέγειν ἄφεσιν ἁμαρτιῶν τοῦτο,

a. 6. φασὶ add A. 19. εἴποιεν ἂν ς. 20. ἐν ἁμαρτίαις] Psalm. 50, 7. 24. βεβαιώσει φησὶ A: βεβαιοῦν ς. 27. οὐ δικ.] Psalm. 142, 2. 33. μόνῳ ς. διαδόντας A.
b. 14. ἀπομάχεται A. 19. τῆς add A. 22. τῶν τε πεπρ. ς. 31. φησὶν add A. 33. ἔργοις καὶ ἐν ς.

Digitized by Google

ἐκεῖνο συντόμως ἐρῶ· τί ἔν; διὰ τοῦτό σοι Χριστὸς ἐσαρκώθη ϗ ἐςαυρώθη, ἵνα μὴ ἐκεῖθεν ἀναςὰς ἁμαρ- 400 R. τήσῃς; ἡμάρτανον δὲ ἄρα ἐκεῖθεν οἱ προκαταλύσαντες τὸν βίον, πρὶν ἢ Χριςὸς ἐπιδήμησει; ἂν δὲ μὴ βαπτιζώμεθα, ἁμαρτίας, ἔτι διαπραξόμεθά σοι ἐκεῖ ϗ ἡμεῖς ϗ τὰ βρέφη; τί δ', οἱ ἄπιςοι πάντες πάλιν κἂν τῷ μέλλοντι αἰῶνι καὶ κλέψϐσι καὶ πορνεύσϐσι καὶ δυσσεβήσουσι καὶ λῃςεύσουσι καὶ πᾶσαν αὐτῶν μοχθηρὰν ἐπιθυμίαν πληρώσϐσιν; ἐ γδ δικαίας γε αὐτοῖς τῶν ἐνταῦθα πεπλημμελημένων καὶ βαρυτάτας ἐξοίσες τὰς τιμωρίας.

Ἀλλ' ἐξ ὧν μοι ἐκ ἐγκριτέον αὐτϐ τὴν τῶν ἁμαρτιῶν ἄφεσιν, ἐνεδειξάμην. τάχα δ' ἐδ' αὐτὸς ἑκὼν ἐπὶ τϐτο ἦλθεν, ἀλλ' ἵνα λύσῃ τὴν ἀπορίαν τῶν λεγόντων, διὰ τί τὰ βρέφη κοινωνεῖ τῶν ἀχράντων μυςηρίων, διὰ τί τϐ βαπτίσματος ἀξιεῖται, εἰ μὴ καὶ αὐτὰ γέμει ἁμαρτιῶν, ἐν τῇ φύσει τῆς ἁμαρτίας κατεσπαρμένης· καὶ γδ εἰς ἄφεσιν ταῦτα δίδοται ἁμαρτιῶν. ἀλλ' ἐχρῆν ϗ τὴν ἀπορίαν, πολλὰς ἔχϐσαν λύσεων ἀφορμάς, ἑτέρωθεν ἐπιλύσασθαι, καὶ τὰ ἑπόμενα τῇ ἀφέσει τῶν ἁμαρτιῶν αὐτϐ ἄτοπα ἐπισκοπήσαντα μηδὲν τερατεύσασθαι τοιϐτον.

Ἔςι μὲν οὗτος ὁ Θεόδωρος ὁ ϗ κατ' Εὐνομίϐ ἐν κ' καὶ η' λόγοις ἐκ ἀγεννῶς ἀγωνισάμενος, τὴν Βασιλείϐ τϐ θεσπεσίϐ, μᾶλλον δὲ τῆς ἀληθείας, κρατύνων δόξαν· ἥ τε γδ λέξις ϗ τῶν λέξεων ἡ συνθήκη καὶ ὁ νϐς τῶν δογμάτων καὶ τὸ πολύχϐν τῆς ἀνατροπῆς καὶ τἆλλα κατ' ἐδὲν διαλλάσσει. ἀσαφὴς δέ ἐςι, καίτοι λέξει ἐ ξενιζούσῃ χρώμενος· ἀλλὰ τῷ χοινοτενέσι χρῆσθαι ἐκ τϐ ἐπὶ πλεῖςον περιόδοις καὶ παρεμβολαῖς ἀλλεπαλλήλοις, δι' ὧν ϗ εἰς μήκιςον ὁ νϐς ἀποτείνεται τῶν προκειμένων, ταῖς τε τῶν ὀνομάτων πλαγίαις καὶ ταῖς μετοχικαῖς λέξεσι πλεονάζειν, τὰ αὐτά τε πολλάκις καὶ ἐδὲ σὺν κόσμῳ ἐπανακυκλεῖν, καὶ τὰς ἐπαναλήψεις πλέον τῶν διηγήσεων (ὅπερ ἀμέθοδον παντελῶς) ταῖς περιςάσεσι μεμεςῶσθαι, καὶ ταῖς τοιϐτοις ἐκ ὀλίγον ζόφον τῶν αὐτϐ γραμμάτων κατασκεδάζει. ἔοικε δὲ φιλοπονώτερον περὶ τὴν ἱερὰν ἡμῶν καὶ θείαν γραφὴν διατεθῆναι, εἰ καὶ ἐν πολλοῖς παρασύρεται τῆς ἀληθείας.

## 178.

Ἀνεγνώσθη ΔΙΟΣΚΟΥΡΙΔΟΥ περὶ ὕλης βιβλίον ζ' λόγοις διῃρημένον. ἐν μὲν ἔν τοῖς ε' περί τε βοτανῶν ϗ φυτῶν διαλαμβάνει ἀρωμάτων τε ϗ σκευασίας ἐλαίων ϗ μύρων, καὶ δὴ καὶ ζώων ϗ τῆς ἀπὸ τῶν ἐν αὐτοῖς μορίων ὠφελείας, ἀλλὰ καὶ δένδρων καὶ ὀπῶν ϗ δακρύων, ἔτι δὲ μέλιτος καὶ γάλακτος ϗ ςέατος, καὶ τῶν καλϐμένων σιτηρῶν καὶ λαχανικῶν, ῥιζῶν τε φυτῶν καὶ θάμνων ϗ βοτανῶν, ὅσα τε αὐτῶν τὸ χύλισμα εἰς ἰατρικὴν χρείαν συντελϐν ἔχει ἢ τὸν καρπόν· ἐ μὴν ἀλλὰ καὶ περὶ οἴνων ϗ τῶν κα- 208 H. λϐμένων μεταλλικῶν ἐφ' ἱκανὸν διαλαμβάνει. ϗ τῶν γε πλείςων, ὧν προὔθετο λέγειν, εἶδός τε ϗ φύσιν ϗ τόπον γενέσεως ἐς τὸ ἀκριβὲς πρὸς ἐπίγνωσιν τοῦ ζητϐμένϐ ἀναγράφει· ἐπ' ἔλαττον δὲ τὴν χρείαν μόνην ἢ ἐκ ἀκριβῆ τὴν ἱςορίαν ὑπογράφει. οἴνων δὲ διαφόρους παραδίδωσιν ἐν τούτοις σκευασίας. ἐν 401 R. μέντοι τῷ ς' περὶ φαρμάκων διέξεισιν, ὅσα τέ ἐςι τῶν δηλητηρίων καὶ ὅσα τῶν ἀλεξικάκων· ἐν δὲ τῷ ζ' ϗ τῆς ὅλης προθέσεως τελευταίῳ περὶ τῶν ἰοβόλων ζώων τὴν ἱςορίαν ποιεῖται, οἷς τε οἱ περιπεπτωκότες τινὶ τούτων τὴν δυνατὴν παραμυθίαν ἢ καὶ τελείαν εὑρήσϐσι θεραπείαν. ὁ μὲν ἔν σύμπας τϐ βιβλίϐ σκοπὸς ἔτος, χρήσιμον δὲ τὸ βιβλίον οὐ πρὸς ἰατρικὴν φιλοπονίαν μόνον, ἀλλὰ ϗ πρὸς ἐμφιλόσοφον ϗ φυσικὴν θεωρίαν. καὶ ὅσοι δὲ μετ' αὐτὸν περὶ ἁπλῶν φαρμάκων ἔδοξαν γράφειν, οἱ μὲν μετέγραψαν μόνον τὸ βιβλίον, οἱ δὲ ἐδὲ κἂν τῇ μεταγραφῇ τὸ ἀκριβὲς διασῶσαι πεφροντίκασιν, ἀλλὰ ϗ κατέτεμον τὸ ὁλόκληρον τῆς περὶ ἑκάςϐ διδασκαλίας, χωρὶς μὲν εἶδος ϗ φύσιν ϗ γένεσιν τῶν ἁπλῶν συναγείροντες, χωρὶς δὲ καὶ μεμερισμένως τὴν χρείαν ϗ ὠφέλειαν διαγράφοντες. Ἀλέξανδρος δὲ καὶ Παῦλος καὶ Ἀέτιος καὶ οἱ τοιϐτοι ἐδὲ τϐ εἴδϐς λόγον ἔθεντο, μόνην δὲ τὴν χρείαν ἀκρωτηριάσαντες τοῖς ἰδίοις συντάγμασιν ἐνεπέθεντο, εἰ ϗ Παύλῳ ἐ μόνον ἐδὲν ὧν Διοσκϐρίδης εἶπε τῆς χρείας παρεῖται, ἀλλὰ καὶ ὧν ἐκεῖνος οὐκ ἐμνήσθη οὐκ ὀλίγων ἡ χρεία καὶ τὸ ὠφέλιμον συνηθροίσθη. Ἀέτιος δὲ μετὰ τϐ μηδὲν προσθεῖναι, καὶ πολλὰ ὧν Διοσκϐρίδης ἔγραψεν οὐκ οἶδα ἀνθ' ὅτου παρῆλθεν. ἀλλ' ἐδ' ὁ τϐτων δοκῶν εἶναι πλατικώτερος Ὀριβάσιος ἅπαντα, ὅσων μνήμην ἔσχε Διοσκϐρίδης, ἐν ταῖς ἰδίαις συναγωγαῖς ἀνεγράψατο, ἀλλὰ ϗ τὴν χρείαν τϐ εἴδϐς καὶ τῆς φύσεως ἔτεμεν. καὶ Γαληνὸς μετὰ

a. 12. ἐξ ὧν A: ἐξ ὧν ς. 18. καὶ γὰρ καὶ εἰς ς. 24. τὴν] καὶ τὴν ς. b. 7. τε φ.] τε καὶ φ. ς.
15. [illegible] ς. 23. φιλοπονίαν A: φιλοσοφίαν ς. 26. τῇ γραφῇ A: διασῶσαι τὸ ἀκριβὲς πεφροντίκασιν ς.
27. καὶ add A. 36. ὀλίγη ἐστι A. συναθροῖσθαι ς. 39. πλατυκώτερος ς.



Digitized by Google

τοῦ πλεῖστα τῶν βοτανῶν παραλιπεῖν, μόνην τὴν δύναμιν ἤτοι τὴν χρῆσιν [καὶ] ὧν ἐμνημόνευσεν ἔγραψε, ψυχρὰν αἰτίαν τοῦ παραλιπεῖν εἶδός τε καὶ φύσιν αὐτῶν ἀποδεδωκώς· καίτοι περὶ τῶν μεταλλικῶν διαλαμβάνων καὶ περιεργότερον ἢ κατὰ Διοσκουρίδην διέλαβεν, οὐκ ἐλαχίστῳ μέρει οὐδὲ τοῦ χρησίμου ἐν τούτοις τὸν ἄνδρα παρευδοκιμούμενος, οὐκ ἐπὶ τοσοῦτον δὲ ἐφ' ὅσον περὶ τῶν βοτανῶν λόγῳ ὁρᾶται τούτου ἀπολειπόμενος. ὥστε, ὅσα γε ἐμὲ εἰδέναι, εἰς ἐπίγνωσιν εἴδους τε καὶ φύσεως καὶ γενέσεως οὐκ ἄν τις χρειωδεστέρου ἢ Διοσκουρίδου τύχοι. ἔστι δὲ ὁ ἀνήρ, ὡς καὶ Γαληνὸς ἐπιμαρτύρεται, Ἀναζαρβεύς· ἐγὼ δὲ ἐνέτυχόν τισιν οἳ Πεδάνιον ἅμα καὶ Ἀναζαρβέα ταῖς ἐπιγραφαῖς ἐπεκάλουν. πολλῶν δὲ καὶ πρὸ αὐτοῦ τὴν αὐτὴν ὑπόθεσιν συγγεγραφότων, ἀκριβέστερος ἁπάντων καὶ χρειωδέστερος πείρᾳ γινώσκεται.

## 179.

209 H. "Ἀνεγνώσθη τοῦ μισητοῦ καὶ δυσσεβοῦς ἈΓΑΠΙΟΥ βιβλίον, λογύδρια περιέχον γ' καὶ κ', καὶ ἕτερά τινα κεφάλαια δῆθεν β' καὶ ρ', ἐν οἷς ἅπασι δείκνυσι μὲν ἑαυτὸν ὑποκρινόμενον ὄνομα τὸ Χριστιανῶν, οὐδεὶς δ' οὕτω δι' αὐτῶν ἐκείνων ἐλέγχεται μισόχριστος ὤν. προσφωνεῖ δὲ ταῦτα Οὐρανίᾳ τινὶ τοὔνομα γυναικί, συμφιλόσοφον ἀποσεμνύνων αὐτήν. πάντα γοῦν τἀναντία
404 R. δογματίζων καὶ κρατύνων Χριστιανοῖς, "ἀρχὴν πονηρὰν αὐθυπόστατον ἀντανίστησιν ἐξ ἀϊδίου τῷ θεῷ, ἣν ποτὲ μὲν φύσιν, ἄλλοτε δ' ὕλην, καὶ ἄλλοτε δὲ Σατανᾶν καὶ διάβολον καὶ ἄρχοντα τοῦ κόσμου καὶ θεὸν τοῦ αἰῶνος τούτου καὶ μυρίοις ἄλλοις ἀποκαλεῖ. ἀνάγκη τε καὶ ἄκοντας τοὺς ἀνθρώπους πταίειν διατείνεται, καὶ τὸ σῶμα τῆς φαύλης μοίρας εἶναι, τῆς θείας δὲ τὴν ψυχήν, καὶ ὁμοούσιον (φεῦ τῆς μανίας) τῷ θεῷ. τὴν δὲ παλαιὰν γραφὴν κωμῳδεῖ, Μωϋσέα τε αὐτὸν καὶ τοὺς προφήτας καὶ δὴ καὶ τὸν πρόδρομον ὁ τρισάθλιος δυσφημῶν· ἀνάπτει τε τούτους καὶ πάντα τὰ ἐν τῇ παλαιᾷ λελεγμένα τε καὶ πεπραγμένα (ὢ τῆς ἀθεότητος) τῇ χείρονι καὶ ἀντικειμένῃ τῷ θεῷ ἀρχῇ. καὶ τὸ ἐν παραδείσῳ φυτὸν τὸν Χριστὸν εἶναι τερατολογεῖ, ὃν καὶ χείλεσι μὲν τιμᾶν ὁμολογεῖ, ἔργοις δὲ καὶ δόξαις οὐδ' ἔστι λόγοις παραστῆσαι ὅσον βλασφημεῖ. καὶ τριάδα δὲ ὁμοούσιον ὁ κατάρατος λέγει μὲν ὁμολογεῖν, ἀλλὰ δυσσεβῶς καὶ κακούργως, ἵνα μόνον κλέψῃ τῆς εὐσεβείας τοῖς ῥήμασι τοὺς ἁπλούστερον αὐτῷ ἢ ἀμαθέστερον προσιόντας, καὶ τὸν ὀλέθριον τοῦ δόγματος ἰὸν τούτοις οἷον γλυκάνας καὶ κερασάμενος ἀθρόον τῆς αὐτοῦ πληρώσῃ λύμης. οὕτω δὴ καὶ σῶμα λέγει τιμᾶν καὶ κηρύσσειν Χριστοῦ, καὶ Χριστὸν ἐσταυρωμένον, καὶ σταυρὸν καὶ βάπτισμα καὶ ταφὴν Χριστοῦ καὶ ἀνάστασιν, καὶ νεκρῶν ἀνάστασιν καὶ κρίσιν· καὶ ἁπλῶς σχεδὸν ἅπαντα τὰ τῆς εὐσεβείας καὶ παρὰ Χριστιανοῖς ὀνόματα ἐπ' ἄλλαις ἢ ἐκτόποις καὶ βδελυκταῖς, ἢ ἀλλοκότοις καὶ μωραῖς, ἢ ἀναρμόστοις καὶ ἀνακολούθοις ἐννοίαις μεταφέρων καὶ περιτιθείς, οὕτω τὴν οἰκείαν ἀσέβειαν πειρᾶται κρατύνειν. καὶ τοσοῦτον αὐτῷ τὸ ἄθεον μετὰ τοῦ δολίου μεμελέτηται, ὥστε μῖσος ἄσχετον καὶ πόλεμον ἄσπονδον ἔχοντι κατὰ τῆς ἀειπαρθένου Μαρίας καὶ μητρὸς Χριστοῦ τοῦ θεοῦ ἡμῶν, ὅμως συμπλάττεται αὐτῷ καὶ Μαρίας ὄνομα, καὶ μητέρα Χριστοῦ τερατολογεῖν αὐτὸ οὐκ ἔστι φόβος θεοῦ οὐδέ τις ὅλως αἰσχύνη. διὸ καὶ τὸν τίμιον καὶ σωτήριον τοῦ Χριστοῦ σταυρὸν μυρίαις ὕβρεσι βάλλων, καὶ ἀμυντήριον Ἰουδαίων δυσφημῶν, ὅμως ἀναισχυντεῖ λέγων τιμῆς ἀξιοῦν καὶ σεβασμιότητος τὸν σταυρὸν τοῦ Χριστοῦ, ἄλλα πράγματα ἑτέροις ὀνόμασι κακούργως ὑποδηλῶν. οὕτω καὶ σῶμα καὶ αἷμα Χριστοῦ οὐχ ὃ ἴσμεν οἱ Χριστιανοί, ἀλλ' ὃ ἡ λυσσώδης αὐτοῦ καὶ μανικὴ διάνοια ἀνεπλάσατο, μυθολογεῖ, τὰς μὲν τῶν εὐσεβῶν λέξεις συνομολογῶν, κατὰ δὲ αὐτῶν τῶν πραγμάτων ὑλακτῶν. ἥλιον δὲ καὶ σελήνην ἀναισχύντως θεολογεῖ καὶ ὁμοούσια κηρύττει θεῷ, οὐκ
αἰσθητὸν αὐτῶν τὸ φῶς "ἀλλὰ νοητὸν ὁ ἀναίσθητος 210 H.
τερατευόμενος· διὸ καὶ ἀσώματα καὶ ἀσχημάτιστα καὶ ἀχρωμάτιστα αὐτὰ ἐξυμνῶν τὸ σέβας αὐτοῖς ἀνάπτει. νηστείαν δὲ κρεῶν καὶ γάμων ἀποχὴν ὡς βδελυρῶν ὁ βδελυρώτατος ὑποκρίνεται, καὶ τὸν οἶνον δὲ οἷα δὴ μεθυστικὸν ἀποστρέφεται, οὐ συνορῶν ὡς οὐχ ὁ οἶνός ἐστι μεθυστικός, ἀλλ' ἡ ἄμετρος καὶ παρὰ τὸ πρέπον χρῆσις, ὥσπερ καὶ τροφῆς ἁπάσης καὶ ὕδατος ἡ παρὰ τὸ μέτρον χρῆσις βλαβερόν." Θεολο- 405 R.
γεῖ δὲ ὁ δύστηνος καὶ τὸν ἀέρα, κίονα αὐτὸν καὶ ἄνθρωπον ἐξυμνῶν. τὸ πῦρ δὲ μυσάττεται καὶ τὴν γῆν, εἰς τὴν χείρονα μοῖραν συντάττων αὐτά. καὶ ἄλλους λήρους καὶ φληνάφους πολλοὺς ἔκ τε τῆς Ἑλληνικῆς ἐρανισάμενος δεισιδαιμονίας καὶ ἐκ τῆς ἰδίας ἀναπλασάμενος τερατείας, φορυτὸν κακῶν καὶ ἀσεβείας ἔσχατον τὸ οἰκεῖον παρίστησι δόγμα. ἀποσπαράσσων δὲ ῥητὰ

a. 10. οὐκ] τῶν (τοῦ) οὐκ A. 13. ἀναβαρζέα ς. 15. ἁπάντων] ἀπ' αὐτῶν A. 18. τινα add A. 28. μυρίους ἄλλους ς. 32. Μωσέα ς. 40. δὲ om A. b. 14. post ἡμῶν cum A omisi, quae vulgo adduntur, συνεργεῖν αὐτῷ τὸν διάβολον. 16. αὐτοῦ ς. 20. τοῦ θεοῦ Χριστοῦ ς. 22. οἱ et 31. δὲ add A.

Digitized by Google

ται τοῦ θείου εὐαγγελίου καὶ τῶν ἐπιστολῶν τοῦ θεσπεσίου Παύλου, πειρᾶται στρεβλῶν αὐτὰ καὶ πρὸς τὴν οἰκείαν δυσσέβειαν ἕλκειν· καὶ ταῖς λεγομέναις δὲ πράξεσι τῶν δώδεκα ἀποστόλων, καὶ μάλιστα Ἀνδρέου πεποιθὼς δείκνυται, κἀκεῖθεν ἔχων τὸ φρόνημα ἠρμένον. κρατύνει δὲ καὶ τὰς μετεμψυχώσεις, τοὺς μὲν εἰς ἄκρον ἀρετῆς ἐληλακότας εἰς θεὸν ἀναλύων, τοὺς δ' εἰς ἔσχατον κακίας πυρὶ διδοὺς καὶ σκότῳ, τοὺς δὲ μέσως πως πολιτευσαμένους πάλιν εἰς σώματα κατάγων. κέχρηται δὲ μάρτυσιν ἀπηρυθριασμένως καὶ τοῖς τὴν Ἕλληνα θρησκείαν ἠγαπηκόσι, μάλιστα δὲ Πλάτωνι, πρὸς σύστασιν τῆς ἰδίας θεομαχίας, θείους αὐτοὺς καὶ ἱερούς, ὥσπερ καὶ τὸν παρ' αὐτῷ Χριστὸν καὶ σωτῆρα, ἀποκαλῶν. καὶ ἄλλα δὲ πολλῆς ἀνοίας καὶ δόλου καὶ ἀθεότητος ἔμπλεα. μάχεσθαι δὲ δοκεῖ πρὸς τὴν Εὐνομίου κακοδοξίαν, αὐτὸς οὐδ' ἔστιν εἰπεῖν ὅσον ἐκείνου ἀθεώτερον βλασφημῶν.

Ἔστι δὲ τὴν λέξιν καὶ φράσιν ἐνιαχοῦ μὲν οὐκ ἀδόκιμος, καὶ μάλιστα ἔκφρασίν τινος εἴ που μελετῴη, ἐν δέ τισιν εὐτελὴς καὶ οὐδὲν διενηνοχὼς τῶν ἐκ τριόδου. μετεῖχε δὲ καὶ φιλοσόφων τινῶν ὁ ἄθλιος μαθημάτων, οὐδ' ἐκείνοις τὸ ἀνόθευτον καὶ γνήσιον διασώζων, ἀλλὰ πάντα κυκῶν καὶ συμφύρων. καὶ κακουργῆσαι μὲν τἀληθὲς καὶ εὐθὲς οὐ πόρρω τοῦ δραστηρίου καὶ δεινότατος, ἐξευρεῖν δὲ καὶ κατανοῆσαι παντελῶς εὐήθης καὶ ἠλίθιος. χρησιμεύει δὲ τὸ ἀθεώτατον αὐτοῦ καὶ ἀχρηστότατον σύνταγμα εἰς ἔλεγχον μόνον καὶ αἰσχύνην τῶν τῇ δυσσεβεστάτῃ καὶ ἀθέῳ δόξῃ τῶν Μανιχαίων καὶ αὐτῷ ἐκείνῳ προσανακειμένων.

## 180

Ἀνεγνώσθησαν ΙΩΑΝΝΟΥ Λαυρεντίου Φιλαδελφέως ΤΟΥ ΛΥΔΟΥ πραγματεῖαι τρεῖς, περὶ διοσημειῶν, περὶ μηνῶν, περὶ ἀρχῶν πολιτικῶν. ἀλλ' ἡ μὲν περὶ διοσημειῶν, ὅσα γε κατ' ἐμὴν κρίσιν καὶ πεῖραν, οὐδὲν ἢ ἐπ' ὀλίγον διενήνοχε μύθων· ἡ δὲ περὶ μηνῶν, εἰ καὶ πολὺ τὸ ἄχρηστον ἔχει, ἀλλ' οὖν πρὸς τὴν τῆς ἀρχαιότητος μάθησιν ἐπίχαρί τε καὶ λίαν χρειῶδες· ἡ δὲ περὶ πολιτικῶν ἀρχῶν τοῖς περὶ τὰ
311 H. τοιαῦτα μάλιστα φιλοτιμουμένοις οὐκ ἄκομψον παρέχεται τὴν ἱστορίαν. κέχρηται δ' οὗτος ὁ συγγραφεὺς τροπαῖς κατακόρως, καὶ πολλαχοῦ μὲν ψυχρῶς ἄγαν καὶ παραβόλως, ἔστι δ' ἔνθα οἰκείως καὶ ἐπαφροδίτως. κἂν τοῖς ἄλλοις δὲ πολλὴν νοσεῖ τὴν ἀνωμαλίαν, ὑπερόπτης ἐν οἷς οὐ δεῖ, καὶ κατεπτηχὼς πάλιν ἐν οἷς μὴ δεῖ, κόλαξ τε τῶν περιόντων ἀπροφάσιστος, καὶ 408 R.
τῶν ἀποιχομένων, καὶ παρ' ὧν οὐ νομίζει δίκην ὕβρεως πράττεσθαι, εἰς τὸ φορτικώτατον τοὺς μώμους καταχέων. καὶ λέξει μὲν ἔστιν οὗ κέχρηται λογάδι τε καὶ ἐς τὸ ἠττικισμένον ἀνηγμένη, ἔστι δ' ὅπου χαμαιπετεῖ τε καὶ παρεωραμένη καὶ μηδὲν ἐχούση τῶν ἐκ τριόδου πλέον. ἀλλ' ἐν μὲν τῇ περὶ διοσημειῶν καὶ περὶ μηνῶν συγγραφῇ τούτου γε ἕνεκα οὐ μάλα ἄν τις ἴσως αὐτὸν νεμεσήσῃ· ὅτε δὲ καὶ πολιτικὰς ἀρχὰς ἀναγράφων, καὶ δὴ καὶ ἱστορικοὺς διεξιὼν λόγους, ἀλλὰ καὶ εἰς ἐνίων ἐγκώμια καθιεὶς ἑαυτόν, τῆς αὐτῆς ἐστὶ φίλος ἀνωμαλίας περί τε τὴν λέξιν καὶ τὸν νοῦν καὶ τὴν σύνταξιν τῶν γεγραμμένων, εἰς οὐδεμίαν λοιπὸν συγγνώμην ὁρῶ τὴν τοιαύτην πλημμέλειαν ἀναφερομένην.

Ἐστρατεύσατο δ' οὗτος ὁ ἀνὴρ ὑπὸ τοῖς ὑπάρχοις ἄγων ἡλικίας κά, ἔτη δὲ μ' σικολόγος ὤν, εἶτα καὶ ματρικουλάριος· μεθ' ὃν χρόνον καὶ τὰς εἰρημένας συγγράψαι λέγει πραγματείας, καὶ τῆς βασιλικῆς αὐλῆς ψήφῳ βασιλέως ἀξιωθῆναι. χρόνος δέ, καθ' ὃν οὗτος ἐβίου, Ἀναστασίου ἥπτετο τῆς βασιλείας καὶ τὴν Ἰουστίνου ἐπεραίου, μετρῶν καὶ τοῦ μετ' ἐκεῖνον Ἰουστινιανοῦ. τὴν δὲ θρησκείαν ὁ ἀνὴρ ἔοικε δεισιδαίμων εἶναι· σέβεται μὲν γὰρ τὰ Ἑλλήνων καὶ θειάζει, θειάζει δὲ καὶ τὰ ἡμέτερα, μὴ διδοὺς τοῖς ἀναγινώσκουσιν ἐκ τοῦ ῥᾴστου συμβαλεῖν πότερον οὕτω νομίζων θειάζει ἢ ὡς ἐπὶ σκηνῆς.

## 181.

Ἀνεγνώσθη ΔΑΜΑΣΚΙΟΥ Δαμασκηνοῦ εἰς τὸν Ἰσιδώρου τοῦ φιλοσόφου βίον· ἔστι μὲν οὖν τὸ βιβλίον πολύστιχον, οἱονεὶ δὲ κεφαλαίοις ξ' ἀπαρτίζεται. γράφειν δὲ τὸν Ἰσιδώρου βίον προθέμενος, Θεοδώρᾳ τινὶ τὸ σύνταγμα προσπεφώνηκεν, Ἕλληνα μὲν καὶ αὐτῇ θρησκείαν τιμώσῃ, μαθημάτων δὲ τῶν τε κατὰ φιλοσοφίαν, καὶ ὅσα περὶ ποιητάς τε καὶ γραμματικὴν στρέφεται ἐμπειρίαν, οὐκ ἀπείρως ἐχούσῃ, ἀλλά γε καὶ πρὸς γεωμετρικήν τε καὶ ἀριθμητικὴν ἀνηγμένῃ θεωρίαν, αὐτοῦ τε Δαμασκίου καὶ Ἰσιδώρου τὴν διδασκαλίαν αὐτῇ τε καὶ ταῖς νεωτέραις ἀδελφαῖς κατὰ διαφόρους χρόνους πεποιημένων. αὕτη θυγάτηρ ἐγεγόνει

a. 1. θεσπεσίου A: θείου ς. 2. οἰκείαν] ἰδίαν A. 4. πεποιθὼς — ἔχων A: οὐ μόνον οὐ συντίθεται ἀλλὰ κἀκεῖθεν ἔχει ς. 7. ἔσχατον A: ἄκρον ς. 20. καὶ add A. 23. εὐθὲς AC: Rothomag. εὐθύ. 24. δεινότατος corr A: δεινότητος ς. 38. περιέχεται A. b. 1. κἂν A: καὶ ς. 10. μάλα A: μάλιστα ς. αὐτῷ corr A. 19. ματρικουλάριος] κορνικουλάριος Hasius commentar. de Ioanne Lydo p. XXII. 20. λέγει συγγράψαι ς. 22. ἐβίω ς. 25. γὰρ add A. 39. Ἰσιδώρου καὶ Δαμασκίου ς.

Digitized by Google

Κυρίνας καὶ Διογένους τοῦ Εὐσεβίου τοῦ Φλαβιανοῦ, ὃς εἷλκε τὸ γένος ἀπὸ Σαμψιγεράμου τε καὶ Μονίμου, εἰς οὓς ἀνάγεται καὶ Ἰάμβλιχος, ἄνδρας τὰ πρῶτα τῆς εἰδωλολατρούσης ἀσεβείας ἀπενεγκαμένους. τὴν μὲν οὖν βιογραφίαν Ἰσιδώρου ὁ Δαμάσκιος ταύτῃ προσφωνεῖ, ἧς καὶ ἡ ἀξίωσις, καὶ ἄλλων τινῶν συναιτίων γεγενημένων τῆς προτροπῆς, αἰτία κατέστη τῷ συγγρα- 212 H. φεῖ, καθάπερ αὐτὸς ἐπιμαρτύρεται, τῆς σπουδῆς. οὐ μὴν γε μᾶλλον Ἰσιδώρου βίον ἢ πολλῶν ἄλλων· τῶν μὲν συνηκμακότων τἀνδρί, τῶν δὲ καὶ προγεγονότων, συναναγράφει, πράξεις τε καὶ διηγήματα τούτων συνδιατιθεὶς αἱ πλείστῃ χρώμενος καὶ κατὰ κόρον τῇ παρεκδρομῇ. ἔστι δὲ τὴν μὲν περὶ τὰ θεῖα δόξαν εἰς ἄκρον δυσσεβής, καινῶν δὲ καὶ γραοπρεπῶν μυθαρίων αὐτόν τε τὸν νοῦν καὶ τοὺς λόγους πεπληρωμένος· διὸ καὶ τῆς ἱερᾶς ἡμῶν, εἰ καὶ δειλιώσῃ καὶ λαθραιοτέρᾳ κακοφροσύνῃ, ὅμως οὐκ ὀλιγάκις φαί- 409 R. νεται καθυλακτῶν εὐσεβείας. „πάντων δ' ὅσους ἐξαίρει τοῖς λόγοις καὶ κρείττους ἢ κατ' ἀνθρώπων φύσιν θειάζει γεγονέναι ταῖς τε τῶν ἐπιστημῶν τελεωτάταις θεωρίαις καὶ τῷ τάχει τῆς διανοίας, τούτων ἑκάστου κριτὴν ἑαυτὸν ἐπικαθιστῶν οὐκ ἔστιν ὅτου μὴ καθήψατο ἐφ' ἑκάστου τῶν θαυμαζομένων μὴ ἐνδεέστερον ἔχειν, τοῦ μὲν εἰς ἀγχίνοιαν ἐξῃρημένου, ὅτι μὴ πάντα ἀγχίνους, τοῦ δ' εἰς ἐπιστήμας ἀπαραβλήτου, ὅτι μὴ πάντα ἐπιστήμων, καὶ δὴ καὶ τοῦ εἰς ἀρετὴν ἐγγίζοντος θεῷ, ὅτι πολλῶν ἐνδεής. οὕτως ἐκείνων ἕκαστον, οὓς ἄνω φέρων ἐξῆρε, κατασύρων καὶ ῥίπτων χαμαὶ τὸ κράτος ἑαυτῷ κατὰ πάντων καὶ ἐπὶ πᾶσι λεληθότως ἀναρτᾷ. διὸ καὶ Ἰσίδωρον οὐχ ἧττον ἐπαινῶν ἢ ψόγοις περιβάλλων διατελεῖ. καίτοι γε ἐξ ὧν ἀλλοτρίας τε λογικὰς ἀπορίας καὶ λύσεις ὡς δὴ θαυμασίους προκομίζει, καὶ ἃς αὐτὸς ἐπὶ τάχει νοῦ καὶ ἀκριβείᾳ ἐπιστήμης μέγα φρονῶν εἰς μέσον προάγει, οὔτε τι τῶν περὶ φιλοσοφίαν συνήθων ὑψηλότερον ἔστιν εὑρεῖν τὸν ἄνθρωπον κατωρθωκότα, οὔτε μὴν εἰς δεινότητα καὶ ἀγχίστροφον διανοίας τάχος, ὅση γε ἀνθρωπίνη, μὴ ὅτι γε δαιμονία, ἀνηγμένον, ἀλλ' οὐδέ τινα τῶν μετρίως πως περὶ φιλοσοφίαν ἐχόντων, μή τί γε δι' ἀκριβείας ἐντελοῦς ἠγμένων, οἷς ἐκεῖνος ἐλλαμπρύνεται, σεμνυνόμενον.

Τὴν μέντοι φράσιν ὁ ἀνὴρ κατά γε τὸ πλεῖστον αὐτοῦ τῶν λέξεων οὐ πόῤῥω τείνει τοῦ σαφοῦς. ἔχει δέ τι καὶ τῶν ἄλλων ἰδεῶν, ὅσαι χαρακτηρίζονται λέξεσι, τήν τε τραχεῖάν φημι, δι' ἧς τραχύνεται ἡ ἠχώ, καὶ δὴ καὶ ὅση πλατύνει τὴν φωνήν, καὶ τὴν εἰς τὸ ποιητικώτερον, εἰ καὶ σπανιάκις, ἐλευθεριάζουσαν. καὶ αἱ τροπικαὶ δὲ διαμορφοῦσιν αὐτοῦ τοὺς λόγους, οὐκ εἰς ἄμετρον ψυχρολογίαν ἢ τροπὰς ἀποτόμους ἐκφερόμεναι, ἀλλ' ἔκ γε τοῦ ἐπὶ πλεῖστον τὸ γλυκύ τε καὶ χαρίεν τὸ καθ' ἑαυτὰς παρεχόμεναι. ἀλλὰ σαφὴς ὢν τῷ πλείστῳ μέρει τῶν λέξεων, οὐκέτι καὶ τῇ ὅλῃ τοῦ λόγου οἰκονομίᾳ τοιοῦτος καθέστηκεν· ἥ τε γὰρ συνθήκη οὐ συνθήκη μᾶλλον ἢ καινοπρέπεια, καὶ ἡ περιβολὴ κόρον ἐμποιοῦσα συχνὸν τό τε εἰς σαφήνειαν ἐπηλυγάζει προφαινόμενον καὶ τὴν ἄλλην ἅπασαν τοῦ λόγου σπουδήν. διὸ καὶ χαρίεις ἂν ἄλλως ὁ λόγος εἶναι δυνάμενος, τὴν ὅσην ἂν δυνατὸς ἦν κεκολασμένων τούτων χάριν παρασχεῖν τοῖς εἰρημένοις ἀφῄρηται. καὶ αἱ περιβολαὶ δὲ ἔτι γε δριμείας διανοίας, „οὐδ' ἐπαφρόδιτοι, οὐδὲ τὸ γοργὸν ὑπο- 213 H. τρέχουσαι, αἷς ἄν τις κατὰ τρόπον καὶ καλλωπίσαιτο, ἀλλὰ τούτων δὴ τῶν κοινῶν καὶ ἐπιπολαίων καὶ οὐδὲ τὸ ἀναγκαῖον τῇ χρήσει καὶ ταῖς περιστάσεσιν ἀναφαινόντων βλαστήματα. τὰ δὲ σχήματα εἰ μὴ κατὰ τὸ πλεονάζον ἐπὶ μήκιστον ταῖς περιόδοις ἐξετείνετο, οὔτ' ἂν αὐτὰ τὸ [μὴ] κατὰ τὸ μᾶλλον μεγεθύνεσθαι οὔτε τὸ μὴ τὸ ποικίλον ἀπενέγκασθαι οὐκ ἂν αὐτὰ τῆς συμμέτρου κράσεως καὶ τὸ πρέπον ἐχούσης ἰσχὺν εἶχεν ἀπάγειν. τὸ μέντοι εὔτονον καὶ πικρὸν περίεστι τῷ λόγῳ· ἀλλὰ καὶ τοῦτο πολλάκις ἐκλύεται, οὐ μίξει καὶ κράσει τῶν ἰδεῶν, ὅπερ ἄριστον, ἀλλ' ἐπιλείψει καταβιαζόμενον τῶν τεινόντων τὴν φράσιν καὶ διογκούντων λέξεών τε καὶ τῶν ἄλλων μερῶν τῆς τοιαύτης ἰσχύος· „ὃ πολλοῖς μὲν τῶν 412 R. γε τὴν τοιαύτην ἰδιοτροπίαν ἐπιτετηδευκότων συνέβη, οὐ μὴν πρὸς ἐπαίνου γε τοῖς μὴ διασεσωκόσι τὸν ὑπὲρ ἰσχὺν ἠρμένον φόρτον ἀποβαίνει. ἀλλὰ ταῦτα μὲν κρίσις ὡς εἰπεῖν ἁπλῶς γε λόγου· τοῦ δὲ βίον γράφοντος τάχα ἂν εἴη καὶ ἕτερα πλείονα. τί γὰρ αὐτῷ δεήσει μορφὴ διὰ μεγέθους ἠχοῦσα; νομοθέτου γὰρ καὶ προστάττοντος τοῦτο λόγου. τί δὲ τόνος καὶ περιβολὴ τοσαύτη καὶ τῆς συνθήκης τὸ ἄηθες; ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

Ὁ δὲ Δαμάσκιος τήν τε ῥητορεύουσαν τέχνην ὑπὸ Θέωνι τρία ἔτη ὅλα διεπόνησε, καὶ προὔστη διατριβῶν ῥητορικῶν ἐπὶ ἔτη θ', γεωμετρίας δὲ καὶ ἀριθμητικῆς

a. 2. Σαμψιγεράμου AC: Ζαμψιγεράμου ς. 5. ὁ add A. 14. καινῶν] aptius videtur κενῶν. 17. φαίνεται add A. 20. τε add A. 22. ἀποκαθιστῶν ς. 24. ἐξῃρημένου et 28. ἐξῆρεν Scaliger: libri ἐξηρημένου — ἐξῆρε. 37. μὴ ὅτι] immo μή τί. b. 8. τῶν λέξεων μέρει ς. 20. ἀποφαινόντων A: ἀποφαίνονται ς. 23. μὴ ante κατὰ om A. 24. ποικίλλον A. 26. ἔντονον ς. τῶν λόγων ς. 28. κατὰ τὸ βιαζόμενον ς. 33. κρίσιν A.

καὶ τῶν ἄλλων μαθημάτων Μαρῖνον τὸν διάδοχον Πρόκλȣ ἐν Ἀθήναις ἔχε διδάσκαλον. τῆς δὲ φιλοσόφȣ θεωρίας ὅ τε Ζηνόδοτος αὐτῷ καθηγεμὼν Ἀθήνησι καὶ αὐτὸς ἐγεγόνει (διάδοχος δὲ καὶ ἕτος Πρόκλȣ, τὰ δεύτερα Μαρίνου φέρων) καὶ Ἀμμώνιος ἐν Ἀλεξανδρείᾳ ὁ Ἑρμείȣ, ὃν ἐ μικρῷ μέτρῳ τῶν καθ᾽ ἑαυτὸν ἐπὶ φιλοσοφίᾳ φησὶ διαφέρειν, ϗ μάλιϛα τοῖς μαθήμασι. τȣ̃τον ϗ τῶν Πλατωνικῶν ἐξηγητὴν αὐτῷ γεγονῆσθαι Δαμάσκιος ἀναγράφει, καὶ τῆς συντάξεως τῶν ἀϛρονομικῶν Πτολεμαίȣ βιβλίων. τῆς μέντοι διαλεκτικῆς τριβῆς τὰς Ἰσιδώρȣ συνȣσίας τὴν ἰχὺν αὐτῷ διατείνεσθαι παραχεῖν, ὃν ϗ ἐπὶ τῇ τοιαύτῃ τῶν λόγων δυνάμει πάντας ἀνθρώπȣς, ὅσȣς ὁ κατ᾽ ἐκείνην τὴν γενεὰν ἤνεγκε χρόνος, ἀποκρύψασθαί φησιν.

182.

Ἀνεγνώσθη· ΕΥΛΟΓΙΟΥ τοῦ ἐν ἁγίοις ἀρχιεπισκόπȣ Ἀλεξανδρείας κατὰ Ναυάτȣ καὶ περὶ οἰκονομίας λόγοι ε΄. ἔστι τὴν φράσιν ὁ ἀνήρ, ὅσα μὲν εἰς λέξιν ἥκει, τȣ̃ μετρίȣ πως ἐπ᾽ ἔλαττον ἠκριβωμένος, ὅσα δὲ εἰς συντάξεις, ἐγγὺς πολλάκις τῶν σολοικιζόντων ἀφιγμένος, τῶν δὲ θείων ἐκ ἀμελέτητος γραφῶν, ἀλλὰ καὶ εὐϛόχως αὐταῖς κατά τε Ναυατιανῶν ϗ ἐπ᾽ ἄλλων τινῶν κεχρημένος, πιθανὸς δὲ ὡς ἐν τοιαύτῃ φράσει, διδασκαλικός τε καὶ ἐδ᾽ ἄχαρις.

Λέγει δὲ τὸν Ναυάτον ὑπὸ Κορνηλίȣ πάπα Ῥώμης ἀρχιδιάκονον τῆς Ῥωμαίων καθεϛάναι ἐκκλησίας, εἰς ὃν ὁ τηνικάδε τύπος κρατῶν τελευτῶντος τȣ̃ πάπα τὸν ἀρχιερατικὸν κλῆρον ἔφερε· τὸν γὰρ ἀρχιδιάκονον ἐνε-
214 H. νόμισθ διάδοχον τȣ̃ ἀρχιερατεύοντος καθίϛασθαι. ἀλλὰ τύφον τε νοσȣ̃ντα Κορνήλιος (φησί) ϗ τῷ οἰκείῳ ἐφεδρεύοντα θανάτῳ μαθών, πρεσβύτερον χειροτονεῖ, πάσας τὰς εἰς τὸν ἀρχιερατικὸν θρόνον φερȣ́σας αὐτȣ̃ περικόψας ἐλπίδας. ὁ δὲ καιροφυλακῶν, ἐπεὶ Κορνήλιος ἐπὶ διαφόροις πταίσμασί τινας δεξάμενος εἰς μετάνοιαν καὶ τοῖς ἀνήκȣσιν ἐπιτιμίοις ὑποβαλὼν τῆς τῶν ἀχράντων μυϛηρίων κοινωνίας ἠξίωσε, τȣ̃το πρόφασιν ἁρπασάμενος ῥήγνυταί τε τῆς ἐκκλησίας, ἐπικαλῶν Κορνηλίῳ τὴν τῶν ἡμαρτηκότων παραδοχήν, καὶ ἰδίας αἱρέσεως ἀρχηγὸν ἀναδείκνυσιν ἑαυτόν, καθαρὸς μὲν τȣ̀ς συναποϛάτας ἐπονομάσας, Κορνηλιανȣ̀ς δὲ τὸ σύμπαν τῆς ἐκκλησίας πλήρωμα.

[illegible] Ἐν μὲν ἐν τοῖς τέσσαρσι λόγοις κατὰ τῆς αἱρέσεως κοινῶς τȣ̃ Ναυάτȣ ἀγωνίζεται ὁ συγγραφεύς, γραφικοῖς αὐτὸν αἰκιζόμενος ῥήμασιν. ἐν δὲ τῷ πέμπτῳ ἰδίως περὶ τȣ̃ δεῖν τιμᾶν τὰ τῶν μαρτύρων λείψανα ἐπαγωνίζεται, ὃ μὴ ἀνέχεσθαι πράττειν φησὶ τȣ̀ς ἀνὰ τὴν Ἀλεξάνδρειαν διασπαρέντας Ναυατιανȣ́ς, εἴτε τȣ́των μόνων ϗ τὴν τοιαύτην νόσον προσνενοσηκότων, εἴτε κοινῶς τῆς αἱρέσεως τȣ̃το διαπρεσβευȣ́σης. ἐν δὲ ἕκτῳ ἀνατρέπει τὰ παρὰ τοῖς Ναυατιανοῖς λεγόμενα ὑπομνήματα καὶ τὴν ψευδεπίγραφον ἄθλησιν Ναυάτου ἐπισκόπȣ· ἐπίσκοπον γὰρ Ῥώμης τὸν αἱρεσιάρχην ἀποσεμνύνȣσιν. ἔϛι δὲ τὰ ὑπομνήματα ταῦτα εἰς ἔχατον χυδαιότητος λέξει τε καὶ διανοίᾳ ϗ συνθήκῃ ϗ πᾶσι τοῖς περὶ τὸν λόγον θεωρȣμένοις ἐλαύνοντα. ὑπόθεσιν δ᾽ ἔχει, ὅτι βασιλεύοντος Ῥωμαίων Δεκίȣ ϗ Οὐαλεριανȣ̃ Περέννιος δουκηνάριος, πρόσαγμα λαβὼν παρ᾽ αὐτῶν, πάντας τοὺς ἀνὰ τὴν Ῥώμην καὶ τὰς πέριξ ἐπαρχίας Χριϛιανȣ̀ς βαρυτάταις βασάνοις ϗ πικραῖς τιμωρίαις εἰδωλολατρεῖν ἐβιάζετο. καὶ πολλοὶ μὲν ϗ ἄλλοι ἐνεδίδȣν τῇ βίᾳ, καὶ δὴ καὶ Μακεδόνιος ἐπίσκοπος ὢν τηνικάδε Ῥώμης, ἔχων ὑφ᾽ ἑαυτὸν πρεσβυτέρȣς θ΄, ὧν εἷς Ναυάτος ἦν· ἀλλ᾽ ὅ γε Μακεδόνιος σὺν τοῖς η΄ ἐπιτέθυκε, μόνȣ Ναυάτȣ τὸν ὄλεθρον τὸν ψυχικὸν διαφυγόντος. τὰ μὲν ὑπομνήματα τȣ̃το λέγει, καὶ τὴν ἄθλησιν Ναυάτου ἐν ἀλλοκότοις ἐρωτήσεσι Περεννίȣ καὶ μωροτέραις ἀποκρίσεσι Ναυάτου περιγράφει. φησὶ δὲ ὅτι σὺν Ναυάτȣ Μάρκελλός τε καὶ Ἀλέξανδρος ἐπίσκοποι Ἀκυλήϊας ϗ Ἀγαμέμνων ἐπίσκοπος Τιβέρεως καὶ ἕτεροί τινες τῶν Χριστιανῶν, ἀπρόδοτον τὴν πίστιν διασωσάμενοι, ἅμα συνῴκουν, οἰκίσκον τινὰ ἑαυτοῖς δειμάμενοι· οἳ καὶ τοῖς ἐπιτεθυκόσι συνιέναι καὶ συνιερᾶσθαι ἐκ ἠνέχοντο. τȣ̀ς δὲ περὶ Ἀλεξάνδρειαν ἐπισκόπȣς τηνικαῦτά φησι ϗ τὴν ἀρχιερωσύνην τῆς Ῥωμαίων ἐκκλησίας Ναυάτῳ περιθεῖναι. ἡ μὲν τῶν ὑπομνημάτων ὑπόθεσις τῆς ἀθλήσεως Ναυάτȣ τοιαύτη· ἐλέγχει δὲ ταῦτα ἐν τῷ πέμπτῳ, ὡς εἴρηται, λόγῳ, κακόπλαϛα καὶ ψευδῆ ϗ ἀπίθανα ἐξ αὐτῶν δεικνύων τῶν γεγραμμένων.

Ὁ μὲν ἓν τῶν ε΄ λόγων τȣ̃ ἐν ἁγίοις Εὐλογίȣ σκοπὸς ἕτος· ἐν δὲ τοῖς πρὸς τὴν αἵρεσιν ἐλέγχοις διὰ τῶν γραφικῶν ῥητῶν προϊὼν καὶ ἑρμηνείας αὐτοῖς 215 H.
συνυφαίνει, ἐνίας αὐτῶν πολὺ τὸ χρειῶδες παρεχομένας, οὐδὲ τῶν ἄλλων τῇ εὐσεβεῖ δόξῃ μαχομένων,

a. 22. τε add A. 30. τάφον ς. 32. τὸν add A. b. 1. κοινῶς τοῦ Ναυάτου A: Ναυάτου κοινῶς ς. 6. μόνων — προσνενοσηκότων ς. 15. παρέννιος A. 28. Τιβούρεως Scaliger. 30. δειμάμενοι A: δομησάμενοι ς. 34. ἡ] καὶ ἡ ς. 35. δὲ μετὰ ταῦτα ς.

ἀλλὰ καὶ προσφόρως πρὸς τὸν αἱρέσεως ἔλεγχον παρειλημμένων.

## 183.

Ἀνεγνώσθη μετάφρασις τῆς Ὀκτατεύχου· ἡρῷον δ' αὐτὴν μέτρον μετεποίει. λόγοι δ' ἦσαν η' κατὰ ἀριθμὸν καὶ τομὴν τῶν ἀμειφθέντων, ΕΥΔΟΚΙΑΣ δὲ τῆς βασιλίδος ἐν ἐπιγραφαῖς πόνον ἔλεγεν ἡ βίβλος τὸ μέτρον. ὅπερ ὅτι καὶ γυναικὸς καὶ βασιλείᾳ τρυφώσης καὶ οὕτω καλόν, ἄξιον θαυμάσαι. σαφὴς μὲν
416 R. γὰρ ὁ πόνος ὡς ἐν ἡρῴῳ μέτρῳ, εἴ πέ τις ἄλλος, καὶ νόμοις δὲ τῆς τέχνης βαθύνεται, ἐκεῖνο μόνον ταύτης ἐλλείπων, ὃ μέγιστόν ἐστιν εἰς ἔπαινον τῶν ἐγγὺς ἀμείβειν λόγους ἀξιούντων· οὔτε γὰρ ἐξουσίᾳ ποιητικῇ μύθοις τὴν ἀλήθειαν τρέπων ἡδύνειν σπουδάζει μειρακίων ὦτα, οὔτε ταῖς ἐκβολαῖς τὸν ἀκροατὴν διαπλανᾷ τοῦ προκειμένου, ἀλλ' οὕτω περὶ πόδα τὸ μέτρον ἔθετο τοῖς ἀρχαίοις ὡς μηδὲν ἐκείνων δεῖσθαι τὸν τούτοις ἐνομιλοῦντα. τὰς μὲν γὰρ διανοίας οὔτε παρατείνων οὔτε συστέλλων ἀεὶ φυλάσσει κυρίας καὶ ταῖς λέξεσι δέ, ὅπου δυνατόν, τὴν ἐγγύτητα καὶ ὁμοιότητα συνδιαφυλάσσει. οἷς δ' ἔλεγεν ἡ βίβλος τὴν τὰ μέτρα τοῖς λόγοις τεχνησαμένην, ἔλεγεν ὧδε·

δευτερίην καὶ τήνδε θεοῦ θέμιδος κάμε βίβλον
Εὐδοκίη βασίλεια Λεοντιὰς εὐπατέρεια.

καὶ τοῦ Ἰησοῦ δὲ τοῦ Ναυῆ καὶ τῶν κριτῶν αἱ ἐπιγραφαὶ συνεπιμαρτύρονται τοῖς εἰρημένοις.

## 184.

Ἀνεγνώσθη τῷ αὐτῷ μέτρῳ καὶ τῆς αὐτῆς γλώσσης μετάφρασις προφητικῶν λόγων, τοῦ τε θεσπεσίου Ζαχαρίου καὶ τοῦ κλεινοῦ Δανιήλ· ἡ αὐτὴ δὲ χάρις τοῦ τεχνίτου διέπρεπε κἀν τούτοις.

Ἐμπεριείχοντο δὲ τῷ τεύχει, τῷ αὐτῷ τοῦ μέτρου χαρακτῆρι, λόγοι γ' εἰς μάρτυρα τὸν Κυπριανόν· ἐδήλου δὲ ἄρα τὰ σπουδάσματα, ὡς παῖδες μητέρα, τῶν τῆς βασιλίδος καὶ ταῦτα ὠδίνων ἔκγονα εἶναι. ὧν ὁ μὲν πρῶτος λόγος τά τε περὶ τῆς μάρτυρος διέξεισιν Ἰουστίνης, ὅπως τε αὐτὴ εἰς Χριστιανοὺς μετετάξατο, καὶ οἱ τεκόντες δι' αὐτῆς ἠλλάξαντο εὐσέβειαν εἰδωλολατρίας· ὅπως τέ τις ἐραστὴς πειράσας καὶ κακῶς ἀπαλλάξας, Ἀγλαΐδας ὄνομα, προσέρχεται Κυπριανῷ μάγον τέχνην ἠσκηκότι, ἀμῦναί τε δεῖται δυσερῶντι καὶ τὴν κόρην αὐτῷ πειθήνιον παρασκευάσαι· καὶ ὡς Κυπριανὸς πάσας τε μεθόδους μάγου τέχνης κινήσας, τούς τε βιαιοτάτους καὶ χαλεπωτάτους τῶν δαιμόνων πέμψας ἐπὶ τὴν παρθένον, καὶ ἠσχυμμένους καὶ νενικημένους τοῦ σταυροῦ τῷ τύπῳ ἐξ αὐτῶν ἐκείνων ἀναμαθών, ἀφίσταταί τε τῆς πρὸς ἐκείνους εὐνοίας, καὶ τὰς μαγικὰς ἁπάσας βίβλους κατακαίει, καὶ τέλος τὰ Χριστιανῶν μυεῖται καὶ βαπτίζεται καὶ θύρας τῆς ἐκκλησίας πιστεύεται, καὶ ἀξιωθεὶς χαρισμάτων πολλοὺς μὲν νόσων πολλοὺς δὲ δαιμόνων ἐκάθηρε, καὶ λοιπὸν καὶ τοῦ ἀρχιερατικοῦ 216 H.
ἀξιώματος ἀξιοῦται. ὁ μὲν οὖν πρῶτος λόγος τοιοῦτος.

Ὁ δὲ δεύτερος ἀπάρχεται μὲν τὴν ἐκ νέας ἡλικίας Κυπριανοῦ περί τε τὰ εἴδωλα σπουδὴν καὶ τὴν τῶν δαιμόνων θεραπείαν διηγεῖσθαι, τόν τε περὶ τὰς μαγείας πόθον καὶ τὴν μελέτην, αὐτὸν ἐκεῖνον εἰσάγων ἐξηγητήν· καὶ ὅσα ἄλλα μάθοι περί τε βοτανῶν καὶ φυτῶν καὶ ζώων φύσεως παντοδαπῶν· καὶ ὅτι ποικίλων δαιμονίων φασμάτων θεατὴς γένοιτο· καὶ ὅπως ἐξ Ἀθηνῶν ἐς Ἄργος κἀκεῖθεν ἐς Φρυγίαν ἀφίκετο, ἱερουργός τε τῶν δαιμονίων ἁπανταχοῦ καθιστάμενος καὶ 417 R.
πολλὴν συνάσκησιν τῆς μαγικῆς ἀθροιζόμενος· εἶτα προϊὼν ὡς Αἰγύπτου τε ἐπὶ τοῖς αὐτοῖς ἐπέβη καὶ Ἰνδοὺς ἐπῆλθεν, ὅσα τ' ἐκεῖ παράδοξα καὶ δεινῶς ἄτοπα ἄλλα τε καὶ εἴδωλα εἶδέ τε καὶ ἐξέμαθε· καὶ εἰς τριακονταετίαν αὐτῷ τῆς ἡλικίας τελέσης ἐπὶ Χαλδαίους ἦλθε, καὶ τὰ ἐκείνων πάντα μυηθεὶς ἀστρολογίαν τε ἠκριβώσατο καὶ εἴ τι ἄλλο σοφὸν νομίζεται παρ' αὐτοῖς. καὶ ὅτι ταῦτα πάντα εἶδεν ἐληλεγμένα καὶ μάταιον, μᾶλλον δὲ ψυχώλεθρον πόνον, προσβαλὼν ταῖς τέχναις τῇ μάρτυρι Ἰουστίνῃ. διέξεισι δὲ ἐν τούτοις ἔνια ὧν αὐτός τε ἑαυτὸν ταῖς μαγείαις ἄλλοις ἄλλον ἐφάντασεν ἄλλοτε, καὶ ὧν ἑτέρους ἐμόρφωσεν· ὅπως τε τῆς δαιμονίων πλάνης ἀποστὰς τὸν πονηρὸν ἀπειλοῦντα ἔχει καὶ εἰς ἀπόγνωσιν ἐκδειμαίνοντα, καὶ ὡς ἐλύθη τούτων τῆς δειλίας ἐντυχὼν ἀνδρὶ θεοσεβεῖ, ὄνομα Τιμοθέῳ, ἐπ' Ἀντιοχείας τε εἰς ἐπήκοον πολλῶν ὡς ἐξήγγειλεν ἔργα πολλὰ ἀθέμιτα καὶ τεράστια διαπράξασθαι, οἷς ἐβουκόλει τὸ ἀνθρώπινον καὶ θεὸν αὐτὸν τίθεσθαι· ὅπως τε δάκρυσι καὶ θρήνοις ἐρραίνετο, καὶ ἡ μνήμη τῶν ἀθεμίτων ἔργων εἰς ἀνελπιστίαν σωτηρίας αὐτὸν πάλιν ἔρριπτεν, εἰ μή τις Εὐσέβιος εὐσεβείας ἄριστος καὶ μετανοίας ὑφηγητὴς τοῖς τε θείοις λογίοις καὶ ταῖς ἱεραῖς ἱστορίαις λύσας τὸ τῆς ἀπογνώσεως νέφος ηὔγασε λαμ-

a. 1. καὶ add A. 4. δ'] libri δὲ. 11. τῆς add A. 14. μειράκια ς. 23. δευτερίην Casaubonus: libri δευτέρην. 40. Ἀγλαΐδας ὄνομα add A. b. 1. π. τε καὶ μεθ. ς. 18. ἀφίκοιτο ἱερουργός δὲ ς. 26. σοφὸν A: φιλόσοφον ς. 28. δὲ A: καὶ ς. 29. post Ἰουστίνῃ cum A omisi ἀπεκρούσθη. δὲ A: τε ς. 35. ὑπήκοον A. 36. ἀθέμιτα A. 41. λόγοις ς.

Digitized by Google

πρῶν ἐλπίδων ἀκτῖσι, καὶ τροφῆς ἔπεισε μεταχεῖν εἰς οἶκον ἀγαγών, ὅλας τρεῖς ἡμέρας ἀπόσιτον διαγεγονότα· ὅπως τε εἰς τὸν θεῖον ἄγει νεών, ϗ ὅπως αὐτὸς ὁ τεχνίτης τὰς μάγυς ἐνώπιον πολλῶν βίβλους πυρὶ δίδωσι φέρων, τόν τε πλῦτον πένησι νέμει, καὶ τῆς Χριςιανῶν ἀγέλης ἀξιῦται· ἱερωσύνης δ' ὁ Εὐσέβιος ἀξίωμα περιέκειτο. καὶ ὡς Ἀγλαΐδας ὁ τῆς Ἰυςίνης δεινὸς ἐραςής, ἀποτυχὼν ὧν ἐσπούδαζε, τότε δὴ καὶ αὐτὸς τόν τε πλοῦτον πένησι διανέμει, καὶ τῶν δαιμόνων ὡς ἀπατηλῶν ἀλογήσας τὰ Χριςιανῶν ἀντιλλάξατο. ὅτω καὶ ὁ δεύτερος λόγος.

Ὁ δὲ τρίτος τὸ μαρτύριον τῦ ἁγίου Κυπριανοῦ ϗ Ἰουςίνης τῆς καλλιπαρθένου μετρεῖ, οἳ ἐμαρτύρησαν Διοκλητιανῦ ϗ Μαξιμιανῦ τὴν Ῥωμαίων ἀρχὴν ἐχόντων. συνελήφθησαν δ' ἐπὶ τὸ μαρτύριον ὁ μὲν ἐξ Ἀντιοχείας, ἧς καὶ μετὰ Ἄνθιμον τὸν ἀρχιερατικὸν ἴθυνε θεσμόν, τὴν αὐτὴν καὶ πατρίδα λαχών, ἡ δὲ ἐκ Δαμασκῦ· ἐκεῖ γὰρ τῆς Ἀντιόχου μεταςᾶσα

117 H. (αὕτη δὲ καὶ τῇ παρθένῳ ἐχρημάτιζε πατρίς) τὸν Χριςὸν ἐκήρυσσε λαμπρῶς. συλληφθέντες δέ, ὁ μὲν μὴ πειθόμενος τοῖς τῦ δυσσεβῦντος λόγοις μετέωρος δεσμοῖς αἴρεται ϗ τὰς πλευρὰς ξύεται, ἡ δὲ βυνεύροις τύπτεται. ὡς δὲ ὐδεμία ἔνδοσις ἐν αὐτοῖς ὑπὸ τῦ τυραννῦντος ἐνωρᾶτο, φυλακαῖς μὲν τότε κεχωρισμένυς καθειργνύει, εἶτα μετακαλεσάμενος, ἐπεὶ λόγοις πειρῶν πάλιν ἀπετύγχανεν, ἐν χαλκῷ τηγάνῳ πίσσης καὶ ςέατος καὶ κηρῦ βληθέντων ϗ πολλῆς φλογὸς ὑναφθείσης ἐμβάλλει τὺς μάρτυρας κυρίῳ. ἐγκαρτερύντων δὲ τῶν ἀθλητῶν τῇ βασάνῳ, μᾶλλον δ' ὡς ἐν δρόσῳ φαιδρῶς θεὸν ὑπὲρ ὧν κρείσσυς ὐδυ-

420 B. νῶν ἐγίνοντο δοξαζόντων, Ἀθανάσιός τις ἄθλιος δαιμόνων ἱερεὺς ϗ τῦ θείυ πρότερον συνήθης Κυπριανῦ, σύνεδρός τε τηνικάδε τῦ κολάζοντος χρηματίζων, ἀπονοίᾳ ληφθεὶς ἐτόλμα βαίνειν ἐπὶ τῦ πυρός, τὺς οἰκείυς ἐπικαλέμενος θεύς, σμικρύνειν τὸ θαῦμα ἐν τῷ μηδ' αὐτόν τι παθεῖν διατεινόμενος. τὸ δὲ πλέον ηὔξετο· αὐτίκα γὰρ οὗτος πυρὸς δαπάνη καὶ τέφρα ἐδείκνυτο. ἐξαπορήσας δὲ ὁ κολάζων ἀναπέμπειν ἔγνω τὺς μάρτυρας πρὸς Διοκλητιανόν, γράψας ϗ ἃ τε πάθοιεν ϗ ὡς κρείττυς πασῶν εἰσὶ βασάνων. ὁ δὲ ταῦτα ἐν τῇ Νικομήδυς διαγνὺς προστάσσει πρὸς τῷ παρακειμένῳ τῇ πόλει ποταμῷ (Γάλλος δ' ὠνόμαςο) τὰς κεφαλὰς τὺς μάρτυρας ἀποτμηθῆναι. σὺν οἷς καὶ Θεόκτιςος αὐθωρὸν ὤφθη μάρτυς, ἔλεγχον εὑρὼν τῆς εὐσεβείας τὸ προσφθέγξασθαι τῷ μάρτυρι κυρίῳ. τὰ δὲ λείψανα τῶν ἁγίων ναῦταί τινες ἀπὸ Ῥώμης ἐπιδεδημηκότες ἄρτι, ὧν ἦν ἑταῖρος καὶ ὁ μάρτυς Θεόκτιςος, ὅτοι λαθόντες τὺς φύλακας ἀνείλοντο καὶ εἰς Ῥώμην ἀπεκόμισαν, ἐν ᾗ ϗ ναὸς αὐτοῖς περικαλλής, ἐγγίζων τῷ Κλαυδίυ φόρῳ, ἀνηγέρθη, ἔργον Ῥυφίνης εὐσεβόφρονος, ἧς τὸ γένος εἰς τὸ Κλαυδίυ διέβαινεν αἷμα. ταῦτα καὶ ὁ τρίτος λόγος.

## 185.

Ἀνεγνώσθη βιβλιδάριον ΔΙΟΝΥΣΙΟΥ ΑΙΓΕΩΣ, δικτυακῶν ἐπιγραφὴν ἔχον, ἐν ᾧ κεφάλαια περιείληπτο τὸν ἀριθμὸν ρ'. πρῶτον ὅτι ἐξ ἀμφοτέρων ἡ τῦ σπέρματος καταβολὴ καὶ ζωογονία, δεύτερον ὅτι ὐκ ἐξ ἀμφοτέρων· τρίτον ὅτι ἀφ' ὅλου τῦ σώματος ἡ τῦ σπέρματος ἔκκρισις γίνεται, τέταρτον ὅτι ὐκ ἀφ' ὅλου ἀλλ' ἀπὸ τῶν διδύμων· ε' ὅτι ἡ πέψις θερμασίᾳ γίνεται, ϛ' ὅτι ϗ ἡ πέψις ὐ γίνεται θερμασίᾳ· ζ' ὅτι τρίψει ἡ πέψις, η' ϗ ὅτι ὐ τρίψει ἡ πέψις· θ' ὅτι ἰδιότητι πνεύματος ἡ πέψις, ι' καὶ ὅτι ὐκ ἰδιότητι πνεύματος ἡ πέψις· ια' ὅτι σήψει ἡ πέψις, ιβ' ϗ ὅτι ὐ σήψει ἡ πέψις· ιγ' ὅτι θερμασίας ἰδιότητι ἡ πέψις, ιδ' καὶ ὅτι ὐ χυμῶν ἰδιότητι ἡ πέψις· ιε' ὅτι διαφέρει τὸ θερμὸν ποιότητι, ιϛ' ὅτι ὐ διαφέρει τὸ θερμὸν ποιότητι· ιζ' ὅτι θερμασίᾳ ἡ ἀνάδοσις, ιη' ϗ ὅτι ὐ θερμασίᾳ· ιθ' ὅτι ἡ ἀνάδοσις τὸ τὴν θερμασίαν ἐφ' ἑαυτὴν ἕλκειν, κ' καὶ ὅτι ὐκ ἐφέλκεται 118 H. τὸ θερμόν· κα' ὅτι τῷ πνεύματι ἡ ἀνάδοσις, κβ' ϗ ὅτι ὐ τῷ πνεύματι ἡ ἀνάδοσις· κγ' ὅτι τῇ τῶν ἀρτηριῶν παραθέσει ἡ ἀνάδοσις, κδ' ϗ ὅτι ὐ τῇ τῶν ἀρτηριῶν παραθέσει ἡ ἀνάδοσις· κε' ὅτι τῇ κατὰ τὸ κενὸν ἀπυσίᾳ ἡ ἀνάδοσις, κϛ' καὶ ὅτι ὐ κατὰ τὸ ὅλον ἀπυσίᾳ ἡ ἀνάδοσις· κζ' ὅτι δι' ἀτροφίαν τοῦ ὀρατικῦ πόρου ἡ ἀπογλαύκωσις γίνεται, κη' καὶ ὅτι ὐ δι' ἀτροφίαν τῦ ὁρατικοῦ πόρου ἡ ἀπογλαύκωσις γίνεται· κθ' ὅτι κατὰ παρέμπτωσιν αἵματος εἰς τὸν ὁρατικὸν πόρον ἡ ἀπογλαύκωσις γίνεται, λ' καὶ ὅτι οὐ κατὰ παρέμπτωσιν αἵματος εἰς τὸν ὁρατικὸν πόρον ἡ ἀπογλαύκωσις γίνεται· λα' ὅτι καθ' ὑγρῶν πάχος καὶ διαπνοὴν ἡ ἀπογλαύκωσις γίνεται, λβ' καὶ ὅτι ὐ καθ'

a. 9. τε add A. 22. ξέεται ς. 28. πίσσης A: μετὰ πίσσης ς. 30. ὧν A: οὗ ς. 33. τε] malim δὲ. 35. θεούς A: θεοὺς καὶ ς. 40. πασῶν] ἁπάντων A. b. 10. ὁ add A. 13. Ἀνεγνώσθη — 150 b 23. ἀνεύθυνον om A, quippe quae infra (cod. 211) recurrent. 20. ὅτι καὶ] immo καὶ ὅτι.



Digitized by Google

ὑγρῶν πάχος καὶ διαπνοὴν ἡ ἀπογλαύκωσις γίνεται· 421 R. λγ' ὅτι ἡ φρενῖτις κατὰ διάστασιν τῆς μήνιγγος καὶ φθορὰν τοῦ αἵματος γίνεται, λδ' καὶ ὅτι οὐ διὰ ταύτην ἡ φρενῖτις γίνεται· λε' ὅτι κατὰ θερμασίας πλεονασμὸν ἡ φρενῖτις συμβαίνει, λϛ' καὶ ὅτι οὐ διὰ τοῦτο· λζ' ὅτι διὰ φλεγμονὴν ἡ φρενῖτις συμβαίνει, λη' καὶ ὅτι οὐ διὰ φλεγμονήν· λθ' ὅτι ὁ λήθαργος κατὰ φλεγμονὴν γίνεται, μ' καὶ ὅτι ὁ λήθαργος οὐ γίνεται κατὰ φλεγμονήν· μα' ὅτι κατὰ διάστασιν οἱ ληθαργικοὶ καὶ φθοράν· μβ' ὅτι ληθαργικὸς οὐ παρὰ τὸ πλῆθος ἀλλὰ τὴν ποιότητα τῶν διαπνεομένων συμβαίνει· μγ' ὅτι περὶ ὅλον τὸ σῶμα ἡ ὄρεξις τοῦ φαγεῖν καὶ πιεῖν ὑπάρχει, μδ' καὶ ὅτι οὐ περὶ ὅλον, ἀλλὰ περὶ τὸν στόμαχον· με' ὅτι ἡ τοῦ φαγεῖν καὶ πιεῖν ὄρεξις περὶ διάνοιάν ἐστι· μϛ' ὅτι καθ' ὑγρῶν ἔνδειαν γίνεται τὸ δίψος, μζ' καὶ ὅτι οὐχ ὑγρῶν ἐλλείψει γίνεται τὸ δίψος· μη' ὅτι περὶ τὸν στόμαχόν ἐστί τις διπλῆ ἐνέργεια, μθ' καὶ ὅτι οὐκ ἔστι διπλῆ τις ἐνέργεια περὶ τὸν στόμαχον· ν' ὅτι ἡ ἐκτὸς μῆνιγξ ἡ ἐν τῷ κοιλώματι ἀρχὴ τῶν νεύρων ἐστί· να' ὅτι οὐχ ἡ ἐκτὸς μῆνιγξ ἀρχὴ τῶν νεύρων ἐστί· νβ' ὅτι ἀναδιδόμενα τὰ φάρμακα καθαίρει, νγ' ὅτι οὐκ ἀναδιδόμενα τὰ φάρμακα, ἀλλὰ κατὰ τὴν πρόσπτωσιν καθαίρει· νδ' ὅτι χρηστέον τοῖς καθαρτικοῖς, νε' καὶ ὅτι οὐ χρηστέον· νϛ' ὅτι φλεβοτομίᾳ χρηστέον, νζ' καὶ ὅτι οὐ χρηστέον· νη' ὅτι οἴνου δόσις οὐ χρησίμη ἐπὶ τῶν πυρεσσόντων, νθ' καὶ ὅτι οἶνος δοτέος τοῖς πυρέσσουσι· ξ' ὅτι τὸ λουτρὸν τοῖς πυρέσσουσιν ἐπακτέον, ξα' καὶ ὅτι οὐκ ἐπακτέον· ξβ' ὅτι δεῖ ἐν ταῖς ἐπιτάσεσι κλύζειν, ξγ' καὶ ὅτι οὐ δεῖ· ξδ' ὅτι δεῖ ἐν ταῖς ἀρχαῖς ἐπαλείψει χρῆσθαι, ξε' καὶ ὅτι οὐ δεῖ· ξϛ' ὅτι οὐ δεῖ καταπλάσσειν τὴν κεφαλήν, ἀλλὰ τοῖς ὀσφραντοῖς μόνοις χρῆσθαι, ξζ' καὶ ὅτι δεῖ χρῆσθαι καταπλάσμασιν ἐπὶ τῆς κεφαλῆς· ξη' ὅτι ἐμετοποιία συμφέρει, ξθ' καὶ ὅτι οὐ χρηστέον ἐμετοποιίᾳ· ο' ὅτι οὐκ ἐπιπέμπει ἡ καρδία αἷμα, οα' καὶ ὅτι ἐπιπέμπει· οβ' ὅτι οὐχ ἡ καρδία ἐπιπέμπει τὸ πνεῦμα, ἀλλ' αἱ ἀρτηρίαι ἕλκουσιν, ογ' καὶ ὅτι ἡ καρδία ἐπιπέμπει τὸ πνεῦμα καὶ οὐχὶ αἱ ἀρτηρίαι ἕλκουσιν· οδ' ὅτι ἐξ ἑαυτῆς ἡ καρδία κινεῖται, οε' καὶ ὅτι οὐκ ἐξ ἑαυτῆς ἡ καρδία κινεῖται· οϛ' ὅτι 219 H. κατὰ φύσιν αἷμα ἐν ταῖς ἀρτηρίαις ὑπάρχει, οζ' ὅτι οὐχ αἵματος ἀγγεῖον αἱ ἀρτηρίαι· οη' ὅτι πάντα τὰ ἀγγεῖα ἐν τῷ ὄγκῳ ἁπλᾶ ἐστίν, οθ' καὶ ὅτι ἐστὶ τὰ ἀγγεῖα πλέγματα· π' ὅτι διὰ τῶν νεύρων αἴσθησις καὶ κίνησις ἐπιτελεῖται, πα' καὶ ὅτι οὐ διὰ τῶν νεύρων ἡ αἴσθησις καὶ κίνησις ἐπιτελεῖται· πβ' ὅτι ἀρχὴ φλεβῶν ἡ καρδία, πγ' καὶ ὅτι οὐκ ἀρχὴ φλεβῶν ἡ καρδία· πδ' ὅτι ἧπαρ ἀρχὴ φλεβῶν, πε' καὶ ὅτι οὐχ ἧπαρ ἀρχὴ φλεβῶν· πϛ' ὅτι κοιλία φλεβῶν ἀρχή, πζ' καὶ ὅτι οὐκ ἀρχὴ φλεβῶν ἡ κοιλία· πη' ὅτι πάντων τῶν ἀγγείων ἀρχὴ μῆνιγξ, πθ' καὶ ὅτι οὐκ ἀρχὴ πάντων τῶν ἀγγείων ἡ μῆνιγξ· ϟ' ὅτι πνεύμων ἀρτηριῶν ἀρχή, ϟα' καὶ ὅτι οὐκ ἔστιν ἀρτηριῶν ὁ πνεύμων ἀρχή· ϟβ' ὅτι ἡ παρὰ τὴν ῥάχιν ἀρτηρία ἀρτηριῶν ἀρχή, ϟγ' καὶ ὅτι οὐχ ἡ παρὰ τὴν ῥάχιν ἀρτηρία ἀρτηριῶν ἀρχή· ϟδ' ὅτι καρδία ἀρτηριῶν ἀρχή, ϟε' καὶ ὅτι οὐκ ἔστιν ἀρχὴ ἀρτηριῶν ἡ καρδία· ϟϛ' ὅτι οὐχ ἡ καρδία ἀρχὴ νεύρων, 424 R. ἀλλ' ἡ περιέχουσα τὸν ἐγκέφαλον μῆνιγξ, ϟζ' καὶ ὅτι οὐχ ἡ περιέχουσα τὸν ἐγκέφαλον μῆνιγξ ἀρχὴ νεύρων· ϟη' ὅτι οὐ περὶ καρδίαν τὸ διανοητικὸν ἀλλὰ περὶ κεφαλήν, ϟθ' καὶ ὅτι οὐ περὶ κεφαλὴν ἀλλὰ περὶ καρδίαν τὸ διανοητικόν· ρ' ὅτι τὸ διανοητικόν ἐστι περὶ κοιλίαν ἐγκεφάλου.

Ταῦτα μὲν τὸ βιβλιδάριον τῶν Διονυσίου δικτυακῶν διελέγετο. οὐκ ἄχρηστον δὲ πρός τε γυμνασίαν διαλεκτικὴν καὶ δοξῶν εἴδησιν ἐνίων ἰατρικῇ θεωρίᾳ οἰκείων. δοκεῖ δὲ καὶ δοξάζειν ταῖς δόξαις, πλὴν οὐκ ἐν ἁπάσαις ἐκφέρεται πρὸς τὸ πάγιον καὶ ἀνεύθυνον.

## 186.

Ἀνεγνώσθη βιβλιδάριον, ΚΟΝΩΝΟΣ διηγήσεις. προσφωνεῖ μὲν τὸ πονημάτιον Ἀρχελάῳ Φιλοπάτορι βασιλεῖ, περιέχεται δ' αὐτῷ ἐκ πολλῶν ἀρχαίων συνειλεγμένα ν' διηγήματα. ὧν πρῶτον τὰ περὶ Μίδα καὶ Βριγῶν, ὅπως τε θησαυρῷ περιτυχὼν ἀθρόον τε εἰς πλοῦτον ἤρθη, καὶ Ὀρφέως κατὰ Πιέρειαν τὸ ὄρος ἀκροατὴς γενόμενος πολλαῖς τέχναις Βριγῶν βασιλεύει. καὶ ὡς Σειληνὸς περὶ τὸ Βρέμιον ὄρος Μίδου βασιλεύοντος ὤφθη, ὑφ' ᾧ καὶ τὸ ἔθνος ᾤκει πολυανθρωπότατον ὄν· καὶ ὡς ἤχθη τὸ ζῶον ἐξηλλαγμένον τὴν ἰδέαν ὡς ἐν ἀνθρώπου φύσει. καὶ ὅπως αὐτῷ χρυσὸς ἐγίνετο καὶ τὰ εἰς τροφὴν παρατιθέμενα ἅπαντα· καὶ ὡς διὰ τοῦτο πείσας τὸ ὑπήκοον ἀπ' Εὐρώπης διαβῆναι τὸν Ἑλλήσποντον ὑπὲρ Μυσίαν ᾤκισε, Φρύγας ἀντὶ Βριγῶν βραχύ τι παραλλαγείσης τῆς λέξεως μετονομασθέντας. Μίδας δὲ πολλοὺς ἔχων ἀπαγγέλλοντας αὐτῷ τὰ ὅσα ἐλέγετό τε καὶ ἐπράττετο τοῖς ὑπηκόοις, καὶ διὰ τοῦτο ἐν τῷ ἀνεπιβουλεύτῳ τὴν βασιλείαν ἔχων καὶ εἰς γῆρας ἐλθών, μακρὰ ὦτα ἔχειν

a. 32. δεῖ] libri οὐ δεῖ. b. 11. παρὰ] libri περὶ. 22. δικάζειν C. 23. πάγιον C: πανάγιον ς. 32. Σιληνὸς παρὰ ς. Βρέμιον A: Βρομίου ς. 36. καὶ τὰ — παρατιθέμενα A: τὰ — παρατιθέμενα ς. 38. ᾤκισε Kannius: libri ᾤκησε.

ἠλέγχθη, καὶ κατ' ὀλίγον ἡ φήμη ὄνου ὦτα τὰ μακρὰ μετεποίει, καὶ ἀπὸ τοῦ σκῶψαι τὴν ἀρχὴν ὁ λόγος ἔργον εἶναι ἐπιστεύθη.

Δεύτερον τὰ περὶ Βυβλίδος, ὡς παῖς ἦν Μιλήτῳ, ἔχουσα ἐξ αὐτῆς ἀδελφὸν Καῦνον. ᾤκουν δὲ Μίλητον τῆς Ἀσίας, ἣν ὕστερον μὲν Ἴωνες καὶ οἱ ἀπ' Ἀθηνῶν μετὰ Νηλέως ὁρμηθέντες ᾤκησαν, τότε δ' ἐνέμοντο
120 H. Κᾶρες, ἔθνος ″μέγα, κωμηδὸν οἰκοῦντες. Καύνῳ δ' ἔρως ἐγείρεται ἀμήχανος τῆς ἀδελφῆς Βυβλίδος· ὡς δ' ἀπετύγχανε πολλὰ κινήσας, ἔξεισι τῆς γῆς ἐκείνης. καὶ ἀφανισθέντος μυρίῳ ἄχει κατεχομένη ἡ Βυβλὶς ἐκλείπει καὶ αὐτὴ τὴν πατρῴαν οἰκίαν, καὶ πολλὴν ἐρημίαν πλανηθεῖσα, καὶ πρὸς τοὺς ἀτελεῖς ἱμέρους ἀπαγορεύουσα, βρόχον τὴν ζώνην τινὸς καρύας καθάψασα ἑαυτὴν ἀνήρτησεν· ἔνθα δὴ κλαιούσης αὐτῆς ἐρρύη τὰ δάκρυα καὶ κρήνην ἀνῆκε, Βυβλίδα τοῖς ἐπιχωρίοις ὄνομα. Καῦνος δὲ πλανώμενος εἰς Λυκίαν φθάνει, καὶ τούτῳ Προνόη (Ναῒς δ' ἦν αὕτη) ἀναδῦσα τοῦ ποταμοῦ τά τε συνενεχθέντα τῇ Βυβλίδι λέγει, ὡς ἐχρήσατο Ἔρωτι δικαστῇ, καὶ πείθει αὐτὸν αὐτῇ ἐπὶ τῷ τῆς χώρας λαβεῖν τὴν βασιλείαν (καὶ γὰρ εἰς
425 R. αὐτὴν ἀνῆπτο) συνοικῆσαι. ″ὁ δὲ Καῦνος ἐκ τῆς Προνόης τίκτει Αἰγιαλόν, ὃς καὶ παραλαβὼν τὴν βασιλείαν, ἐπεὶ ὁ πατὴρ ἐτελεύτησεν, ἤθροισέ τε τὸν λαὸν σποράδην οἰκοῦντα καὶ πόλιν ἔκτισεν ἐπὶ τῷ ποταμῷ μεγάλην καὶ εὐδαίμονα, Καῦνον ἀπὸ τοῦ πατρὸς ἐπονομάσας.

Τρίτον, ἡ παρὰ τὸν Ἰόνιον πόντον Σχερία νῆσος, οὐχ ἑκὰς οὖσα τῆς ἠπείρου καὶ τῶν Κεραυνίων ὀρῶν, αὕτη Φαίακας ἔσχεν οἰκήτορας τὸ πρότερον, αὐτόχθονας, ἔθνος λαχὸν τὴν ἐπωνυμίαν ἀπό τινος τῶν ἐπιχωρίων βασιλέως· ὕστερον δ' ἐπῴκησεν αὐτὴν μοῖρα Κορινθίων, καὶ τό τε ὄνομα εἰς Κέρκυραν μετέβαλε καὶ τῆς περὶ ἐκεῖνα θαλάσσης ἦρξε. Φαίακος δὲ τοῦ τῆς νήσου βασιλεύοντος τελευτήσαντος οἱ υἱεῖς Ἀλκίνους καὶ Λοκρὸς στασιάσαντες συνέβησαν πάλιν ἐφ' ᾧ βασιλεύειν μὲν Ἀλκίνουν τῆς Φαιακίδος, Λοκρὸν δὲ κειμήλια καὶ μοῖραν λαβόντα τοῦ ἔθνους ἀποικίζεσθαι τῆς χώρας· ὃς καὶ ἐπὶ Ἰταλίας πλεύσας ξενίζεται παρὰ Λατίνῳ Ἰταλῶν βασιλεῖ, δόντι πρὸς γάμον τὴν θυγατέρα Λαυρίνην. διὰ ταῦτα ὡς συγγενεῖς Φαίακες Λοκροὺς τοὺς ἐν Ἰταλίᾳ προσεποιοῦντο. ὁ δὲ Ἡρακλῆς κατ' ἐκεῖνο καιροῦ τὰς τοῦ Γηρυόνου περικαλλεῖς ὅσαι βόες οὔσας ἐξ Ἐρυθείας ἐλαύνων εἰς Ἰταλίαν ἀφικνεῖται, καὶ ξενίζεται φιλοφρόνως παρὰ τῷ Λοκρῷ· ὁ δὲ Λατῖνος πρὸς τὴν θυγατέρα ἐλθὼν καὶ τὰς βοῦς ἰδὼν ἠράσθη τε καὶ ἤλαυνεν. ὅπερ ἀναμαθὼν Ἡρακλῆς ἐκεῖνον τόξῳ βαλὼν ἀνεῖλε, τὰς δὲ βοῦς ἀνεκόμισε. Λοκρὸς δὲ δεδιὼς περὶ τῷ Ἡρακλεῖ, μή τι δεινὸν ὑπὸ Λατίνου πάθῃ (ἦν γὰρ Λατῖνος σώματι γενναῖος καὶ ψυχῇ), ἐξελαύνει ἐπὶ βοηθείᾳ τοῦ ξενισθέντος, ἀμειψάμενος καὶ στολήν. Ἡρακλῆς δ' ἰδὼν αὐτὸν θέοντα, καὶ νομίσας τινὰ εἶναι ἄλλον πρὸς ἐπικουρίαν σπεύδοντα Λατίνου, βαλὼν ἄτρακτον κτείνει. ὕστερον δὲ μαθὼν ἀπωλοφύρατο μὲν καὶ τὰ ὅσια αὐτῷ ἐπετέλεσε· καὶ μεταστὰς δ' ἐξ ἀνθρώπων ἔχρησε, φάσματι φανεὶς τῷ λαῷ, πόλιν οἰκίζειν ἐπ' Ἰταλίας, ἐν ᾧ ἦν τὸ σῆμα τοῦ Λοκροῦ. καὶ διαμένει τῇ πόλει τοὔνομα, τιμώσῃ τῇ κλήσει τὸν Λοκρόν. οὕτω μὲν ″καὶ ἡ τρίτη 121 H.
διήγησις. ἀλλὰ τί μοι δεῖ μικροῦ μεταγράφειν ταύτας, δέον πολλῷ κεφαλαιωδέστερον ἐπελθεῖν;

Ἡ τοίνυν δ' διήγησις τὰ περὶ Ὀλύνθου τῆς πόλεως καὶ Στρυμόνος τοῦ Θρᾳκῶν βασιλεύσαντος ἀπαγγέλλει, οὗ καὶ ὁ πάλαι Ἠιονεὺς ποταμὸς ἐπώνυμος· καὶ ὅτι παῖδες αὐτῷ τρεῖς γεγόνασι, Βρύγγας καὶ Ῥῆσσος καὶ Ὄλυνθος, καὶ Ῥῆσσος μὲν ἐπὶ Τροίαν Πριάμῳ συστρατεύσας ἀναιρεῖται χειρὶ Διομήδους, Ὄλυνθος δὲ λέοντι συστὰς ἑκουσίως ἔν τινι κυνηγεσίῳ θνήσκει· καὶ Βράγγας ὁ ἀδελφὸς πολλὰ κατολοφυρόμενος τὴν συμφορὰν Ὄλυνθον ᾧπερ ἐτελεύτησε τόπῳ θάπτει, εἰς Σιθονίαν δὲ ἀφικόμενος πόλιν ἔκτισεν εὐδαίμονα καὶ μεγάλην, Ὄλυνθον αὐτὴν ἀπὸ τοῦ παιδὸς ὀνομάσας.

Ἡ ε' [τὰ] περὶ Ῥηγίνου καὶ Εὐνόμου τοῦ Λοκροῦ τῶν κιθαρῳδῶν τὴν ἱστορίαν ποιεῖται, καὶ ὡς εἰς Δελφοὺς ἀφίκοντο· καὶ ὅτι ποταμῷ διοριζόμενοι Ῥηγῖνοί τε καὶ Λοκροί (Ἄληξ ὄνομα τῷ ποταμῷ) οἱ μὲν ἀφώνους, ἡ δὲ Λοκρὶς ᾄδοντας ἔχει τοὺς τέττιγας· καὶ ὡς ἐρίζων Εὔνομος τῷ Ῥηγίνῳ ″τέττιγος ᾠδῇ κρατεῖ τοῦ ἀντα- 428 R.
γωνιστοῦ. ἑπταχόρδου γὰρ τότε τῆς ἁρμονίας οὔσης, καὶ μιᾶς ῥαγείσης τῶν χορδῶν, τέττιξ ἐπιπτὰς τῇ κιθάρᾳ τὸ λεῖπον ἀνεπλήρωσε τῆς ᾠδῆς.

a. 5. ἔχουσα corr A: ἔχων ς. 6. καὶ add A. 7. τότε corr A: τὸ ς. 15. δὴ add A. 17. δὲ A: καὶ ς. 20. ὡς ἐχρήσατο ἔρωτι A: καὶ ὡς ἐχρήσατο τῷ ἔρωτι ς. 21. τῷ A: τὸ ς. 28. τρίτον om A. παρὰ] κατὰ Heynius. cf. νήσους τὰς περὶ τὸ Αἰγαῖον p. R. 456, 2. 29. κεραυνείων ὀρῶν λέγεται αὕτη ς. 32. ἐπῴκησεν pr A: ἐπῴκησαν ς. 37. ἀλκίνουν μὲν ς. 39. Λαυίνῳ Dukerus ad Thucyd. 3, 70. 40. τὴν A: καὶ τὴν ς. b. 1. ὡς συγγενεῖς] μὲν ὡς συγγενῶν A. 3. ὅσαι βόες] βοῦς corr A. cf. p. R. 968, 42. πάντας ὅσοι τύραννοι ὑπερβαλέσθαι ἰσόρροποι. 4. εἰς — φιλοφρόνως] ἧκε A. 23. Ἰωνεὺς ς. 24. γέγονεν A. 27. ἑκούσιος ς. 32. Ῥηγίνου] Ἀρίστωνος τοῦ Ῥηγίνου Heynius.



Digitized by Google

Ἡ ϛ′ ὡς Μόψος ὁ Μάντης καὶ Ἀπόλλωνος τῆς μητρὸς τελευτησάσης ἐκδέχεται κλῆρον τὸ ἐν Κλάρῳ Ἀπόλλωνος μαντεῖον. κατ᾽ ἐκεῖνο δὲ καιροῦ ἀφικνεῖται Κάλχας εἰς Κολοφῶνα, ἐν ᾧ Μόψος ἔχων ἔχρα τὸ μαντεῖον, μετὰ Τροίας πλανώμενος ἅλωσιν. ἤριζον οὖν ἐπὶ πολὺ ἀλλήλοις, καὶ Ἀμφίμαχος ὁ Λυκίων βασιλεὺς λύει τὴν ἔριν· ἐπὶ πόλεμον γὰρ ἐξιόντα Μόψος μὲν ἐκώλυεν ἧτταν προαγγέλλων, Κάλχας δὲ ἐπέτρεπε νίκην σημαίνων, καὶ ἡττᾶται, καὶ Μόψος μὲν ἐπὶ μᾶλλον ἐτιμήθη, Κάλχας δ᾽ ἑαυτὸν διεχρήσατο.

Ἡ ζ′ διηγεῖται ὡς Φιλάμμων παῖς Φιλωνίδος, ἣ γέγονεν ἐξ Ἑωσφόρου καὶ Κλεοβοίας ἐν Θορικῷ τῆς Ἀττικῆς, οὗτος ὁ Φιλάμμων ὑπερφυὴς τὸ κάλλος ἐγένετο. μία δὲ τῶν νυμφῶν ἐρᾷ τοῦ νεανίου καὶ ἐγκύμων γίνεται. αἰδουμένη δ᾽ ἀπαίρει Πελοποννήσου, καὶ εἰς τὴν Ἀκτὴν παραγενομένη τίκτει κοῦρον Θάμυριν, ὃς ἡβήσας ἐπὶ τοσοῦτον ἧκε κιθαρῳδίας ὡς καὶ βασιλέα σφῶν, καίπερ ἐπηλύτην ὄντα, Σκύθας ποιήσασθαι. ἐρίσας δὲ καὶ ταῖς Μούσαις ὑπὲρ ᾠδῆς, καὶ ἄθλων τῷ νικήσαντι τεθέντων, ἐκείνῳ μὲν τοὺς Μουσῶν γάμους, ἐκείναις δὲ ὃ ἕλοιντο τῶν αὐτοῦ, ἐξεκόπη τοὺς ὀφθαλμοὺς ἡττηθείς.

Ἡ η′ διηγεῖται τὰ περὶ Πρωτέως τοῦ Αἰγυπτίου μάντεως, οὗ ἡ θυγάτηρ Θεονόη ἐρασθεῖσα Κανώβου (ἦν δ᾽ οὗτος κυβερνήτης Μενελάου τοῦ Τρωοῦ) ἀποτυγχάνει· καὶ ὡς ὁ Κάνωβος καλὸς καὶ νέος ἀπαίροντος Μενελάου

222 H. ἀπ᾽ Αἰγύπτου καὶ Ἑλένης, καὶ προσορμισαμένων τῇ γῇ, ὑπὸ ἐχίδνης δηχθεὶς καὶ σαπεὶς τὸ σκέλος μετ᾽ οὐ πολὺ θνήσκει· καὶ Μενέλαος καὶ Ἑλένη θάπτουσιν αὐτὸν ἐπ᾽ Αἰγύπτου, οὗ νῦν ἐπώνυμος ᾤκισται πόλις. καὶ τῶν τοῦ Νείλου στομάτων τὸ τελευταῖον ὁ Κάνωβος ἢ Κανωβικὸν ἐκ τοῦ κυβερνήτου τὴν ὀνομασίαν ἕλκει.

Ἡ θ′ τὰ περὶ Σεμιράμεως λέγει, καὶ Σεμίραμιν οὐχὶ γυναῖκα κατὰ τοὺς ἄλλους φησὶ Νίνου γενέσθαι, ἀλλὰ θυγατέρα· καὶ λόγῳ ἑνί, ὅσα οἱ ἄλλοι περὶ Ἀτόσσης τῆς Ἀσσυρίου ἀναγράφουσι, ταῦθ᾽ οὗτος εἰς Σεμίραμιν ἀναφέρει, οὐκ ἔχω λέγειν εἴτε δυσὶν ὀνόμασι τὴν αὐτὴν νομίζων καλεῖσθαι, ἢ τὰ περὶ Σεμιράμεως ἄλλως οὐκ εἰδώς. λέγει δ᾽ ὡς ἡ Σεμίραμις αὐτῇ τῷ υἱῷ λάθρᾳ καὶ ἀγνοοῦσα μιγείη, εἶτα γνοῦσα, ἄνδρα ἐν τῷ 429 R. φανερῷ ἔχοι, καὶ ἐξ ἐκείνου, πρότερον βδελυκτὸν ὄν, Μήδοις καὶ Πέρσαις καλὸν καὶ νόμιμον ἔδοξε μητράσι μίγνυσθαι.

Ἡ ι′ δὲ ὡς Σίθων ὁ Ποσειδῶνος καὶ Ὄσσης, ὁ τῆς Θρᾳκίας χεῤῥονήσου βασιλεύς, γεννᾷ θυγατέρα Παλλήνην ἐκ Μενδηΐδος νύμφης· ἣν πολλῶν μνηστευομένων, ἆθλον ἔκειτο τῷ μάχῃ κρατήσαντι Σίθωνος καὶ τὴν κόρην ἔχειν καὶ τὴν βασιλείαν. ἀναιρεῖται οὖν ὑπὲρ τοῦ γάμου διαθλῶν Μέροψ ὁ Ἀνθεμουσίας βασιλεὺς καὶ Περιφήτης ὁ Μυγδονίας. ἔπειτα Σίθων ὁρίζει μὴ πρὸς αὐτὸν ἀλλὰ πρὸς ἀλλήλους διαμάχεσθαι τοὺς μνηστῆρας, καὶ τῷ νικήσαντι τὸ αὐτὸ ἆθλον εἶναι. διαγωνίζεται τοίνυν Δρύας καὶ Κλῖτος, καὶ πίπτει Δρύας δόλῳ Παλλήνης. οὗ διαγνωσθέντος Σίθωνι ἔμελλε δίκην θάνατον Παλλήνη διδόναι, εἰ μὴ Ἀφροδίτη νυκτὸς ἐπιφοιτήσασα πᾶσι τοῖς πολίταις τὴν κόρην ἥρπασε θανάτου. καὶ τελευτήσαντος τοῦ πατρὸς Παλλήνη καὶ Κλῖτος τὴν βασιλείαν ἐκδέχονται, καὶ ἀπ᾽ αὐτῆς ἡ χώρα Παλλήνη ἔλαβεν ὄνομα.

Ἡ ια′ τὰ περὶ τῆς Ἡρακλέος θυσίας, ἣν Λίνδιοι μετὰ ἀρᾶς θύουσιν αὐτῷ, διέξεισι, καὶ ὡς τὴν ἀρχὴν ἔσχεν ἀπό τινος ἀροτῆρος Λινδίου, ὅς, ἐπεὶ τροφὰς ᾔτει Ἡρακλῆς ὑπὲρ Ὕλλου τοῦ παιδός, ὃν κομιδῇ νέον κατὰ τὴν ὁδὸν συνεπήγετο, ἀντὶ τοῦ παρασχεῖν καὶ προσύβρισεν. Ἡρακλῆς δὲ χαλεπήνας, ἕνα τῶν βοῶν κατασφάξας, αὐτός τε θοινᾶται καὶ τῷ παιδὶ δίδωσιν. ἠρᾶτο δὲ πόῤῥωθεν ὁ ἀροτήρ. καὶ ὁ Ἡρακλῆς γέλωτι διδοὺς τὰς ἀράς, οὐδέποτε ἀπεφθέγξατο θοίνης ἡδίονος ἀπολαῦσαι ἢ τῆς μετὰ τῶν ἀρῶν.

Ἡ ιβ′ τὰ περὶ Τρωὸς τοῦ Ἐριχθονίου τοῦ Δαρδάνου διαλαμβάνει, ὃς ἐβασίλευσε τῶν περὶ τὴν Ἴδην χωρίων, καὶ γεννᾷ ἐκ Καλλιῤῥόης τῆς Σκαμάνδρου Ἶλον (ἐξ οὗ τὸ Ἴλιον) καὶ Ἀσάρακον καὶ Γανυμήδην, ὃν ἥρπασε Ζεύς. Ἀσάρακος δὲ σὺν τῷ πατρὶ Δαρδανίας ἐβασίλευσε, καὶ ἦν τοῦτο τῶν Τρώων βασίλειον. Ἶλος δέ, 221 b. H. ὃς κτίζει τὸ Ἴλιον, κρατεῖ μάχῃ Βεβρύκων βασιλέως Βύζου ὄνομα, καὶ ἐπὶ μέγα τὸ Ἴλιον αἴρει.

a. 1. μάντης A: μάντις ς. Heynius Μαντεύς. 4. ἔχρα τὸ μαντεῖον A: μαντεῖον ἐχρῆτο. cf. p. 136 b 33. 8. ἐκώλυσεν — προαπαγγέλλων ς. 9. ἐπὶ μᾶλλον] vid. Boeckh. in Platon. Min. p. 153 et Schaefer. ad Bosii Ellips. p. 557. 12. Θωρικῶι A. 18. ἐπήλυτον ς. 19. καὶ ante ταῖς add A. 20. τοῦ M. γάμου Heynius. 22. ἡ A: Καὶ ἡ ς. 24. Τρῶου A: τρωός ς, unde fuit qui faceret Ἀτρέως. 26. καὶ ὡς ὁρμισαμένων A. 30. τοῦ add A. τὰ A: τὸν ς. 34. Ἀτόσσης Kannius, αἰγόσσης A: Ἀττόσης ς. 35. τῆς add A. 36. post ἔχω cum A omisi δὲ. 37. νομίζειν A. b. 3. μητράσι] ὅτι οὐ τὰς μητέρας γαμοῦσιν, ἀλλὰ ταῖς μητρυιαῖς μίγνυνται οἱ Πέρσαι ἕως τοῦ νῦν, ἀπέχονται δὲ τῶν γεννησαμένων, ὡς λέγεται παρὰ τῶν εἰδότων τὰ κατ᾽ αὐτούς mg A. 5. Σίθων Heynius: libri Οἴθων. 10. διαθλεύων corr A. 14 et 19. Κλῖτος ς. praestat Κλεῖτος. 19. ἐκδέχεται A. 21. ἡρακλέως A. 25. τοῦ A: τοῦ μὴ ς. et tuetur negationem Schaeferus Corinth. p. 102. 33. καλλιρόης A. 35. δὲ om A. 37. ὃς] ὡς A. κρατεῖ] καὶ κρατεῖ A.

Digitized by Google

Ἡ δὲ ιγ´ τὰ περὶ Αἰθίλλας διέξεισιν, ἥτις ἦν θυγάτηρ μὲν Λαομέδοντος, ἀδελφὴ δὲ Πριάμου. ταύτην Πρωτεσίλαος ἐξ Ἰλίου μετὰ καὶ ἄλλων νηυσὶν ἄγων αἰχμάλωτον, εἰς τὸν μεταξὺ Μένδης ϗ Σκιώνης μετὰ πολλοὺς χειμῶνας μόλις ὁρμίζονται. καὶ πρὸς ὑδρείαν τῶν περὶ Πρωτεσίλαον ἁπάντων τοῦ αἰγιαλοῦ ἄνωθεν πρὸς τὴν χώραν ἀναδραμόντων, ἄλλα τε ἡ Αἴθιλλα ταῖς συναιχμαλώτισιν εἰποῦσα, ϗ ὡς, εἰ ἀφίκοιντο σὺν τοῖς Ἕλλησιν εἰς τὴν Ἑλλάδα, χρυσὸς ἂν αὐταῖς δόξειε τὰ τῆς Τροίας κακά, πείθει πῦρ ἐνεῖναι ταῖς ναυσί. καὶ καταμένουσι σὺν αὐταῖς ἐν τῇ χώρᾳ καὶ ἄκοντες οἱ Ἕλληνες, ϗ πόλιν κτίζουσι Σκιώνην, ϗ συνοικίζουσιν.

Ἡ ιδ´ τὰ περὶ Ἐνδυμίωνος ἱστορεῖ, ὅτι τε παῖς ἦν Ἀεθλίου τοῦ Διὸς ϗ Πρωτογενείας τῆς Δευκαλίωνος, καὶ ὡς δύο τέκοι παῖδας Εὐρυπύλην ϗ Αἰτωλόν, ὃς ἐκ Πελοποννήσου τὴν πατρῴαν λιπὼν ἀρχὴν εἰς τὴν ἀντίπερα ταύτης γῆν μετὰ τῆς ἑπομένης μοίρας, Κουρῆτας ἐκβαλών, ᾤκησε, ϗ ἀντὶ Κουρήτιδος Αἰτωλίδα
432 R. καλεῖσθαι δίδωσιν. ὁ δ᾽ Εὐρυπύλης ϗ Ποσειδῶνος παῖς Ἦλις τελευτήσαντος τοῦ μητροπάτορος Ἐνδυμίωνος τὴν βασιλείαν ἐκδέχεται, καὶ τῇ κτισθείσῃ πόλει ὑπὸ Ἐνδυμίωνος Ἦλιν ἐπώνυμον ἔθετο.

Ἡ ιε´ περὶ Φενεατῶν καὶ Δήμητρος καὶ Κόρης, ἣν Πλούτων ἁρπάσας καὶ λαθὼν τὴν μητέρα εἰς τὰ κάτω βασίλεια ἤγαγε· ϗ ὡς Φενεάταις μηνύσασι Δήμητρι τὸ χωρίον δι᾽ οὗ ἡ κάθοδος (ἦν δέ τι χάσμα ἐν Κυλλήνῃ) ἄλλα τε ἀγαθὰ ἐχαρίσατο, καὶ μηδέποτε ὑπεριδεῖν ἑκατὸν ἄνδρας Φενεατῶν ἐν πολέμῳ πεσεῖν.

Ἡ ις´ τὰ περὶ Προμάχου ϗ Λευκοκόμα τῶν Κνωσσίων (πόλις δὲ Κρήτης ἡ Κνωσσός) διέξεισιν, ὡς ἤρα Πρόμαχος νεανίου καλοῦ τοῦ Λευκοκόμα, ὡς ἆθλα αὐτῷ μεγάλα προὔτεινε καὶ κινδύνων μεστά, ὡς πάντα ὑπέστη Πρόμαχος ἐλπίδι τοῦ τυχεῖν, ὡς οὐδ᾽ οὕτω τυγχάνει, ϗ ἀντιλυπεῖ Λευκοκόμαν, τὸ τελευταῖον τῶν ἄθλων (κράνος δ᾽ ἦν περιβόητον) [ἐν] ἑτέρῳ καλῷ νεανίᾳ ὁρῶντος περιθεὶς τοῦ Λευκοκόμα· καὶ ὃς οὐκ ἐνεγκὼν τὴν ζηλοτυπίαν ξίφει ἑαυτὸν διεχρήσατο.

Ἡ ιζ´ Δίκαιος καὶ Συλεὺς ἀδελφοί, Ποσειδῶνος υἱοί, περὶ τὸ Πήλιον ὄρος τῆς Θεσσαλίας ᾤκουν. καὶ ἦν ὁ μὲν δίκαιος, ϗ ὡς ὠνομάζετο, οὕτω ϗ ἦν· Συλέα δὲ ὑβριστὴν ὄντα Ἡρακλῆς ἀναιρεῖ. ξενίζεται δ᾽ ὑπὸ Δικαίου, καὶ ἐρᾷ τῆς Συλέως θυγατρὸς ἰδὼν αὐτὴν παρ᾽ αὐτῷ τρεφομένην, καὶ ἄγεται εἰς γυναῖκα. ἡ δὲ ἀποδημήσαντος Ἡρακλέους τῷ περὶ αὐτὸν ἔρωτι καὶ πάθει βαλλομένη θνήσκει· ϗ ἐπὶ προσφάτῳ τῇ κηδείᾳ ἐπανιὼν ὁ Ἡρακλῆς ἔμελλεν αὐτὸν τῇ πυρᾷ συγκα- 132 b. H.
τακαίειν, εἰ μὴ οἱ παρόντες λόγοις παρηγοροῦσι μόλις ἐκώλυσαν. καὶ ἀπελθόντος Ἡρακλέους τὸ σῆμα τῆς κόρης οἱ πρόσοικοι περιεδείμαντο, ϗ ἀντὶ μνήματος ἱερὸν Ἡρακλέους ἀπέφηναν.

Ἡ ιη´, Λοκροὶ μαχόμενοι, ἐπεὶ συγγενὴς αὐτοῖς Αἴας ἦν, ἐν τῇ παρατάξει χώραν κενὴν ἐῶσιν, ὡς δῆθεν Αἴας ἐν ᾗ παρατάττοιτο. παρατεταγμένων οὖν ἐν τῇ πρὸς Κροτωνιάτας μάχῃ, Αὐτολέων Κροτωνιάτης ἠβουλήθη διὰ τοῦ διαλείποντος διεκπεσεῖν μέρους καὶ κυκλώσασθαι τοὺς πολεμίους. τρωθεὶς δ᾽ ὑπὸ φάσματος τὸν μηρὸν ἀπετράπη, ϗ ἐσφακέλιζεν, ἕως ἂν κατὰ χρησμὸν εἰς τὴν ἐν Πόντῳ Ἀχίλλειον νῆσον (ἔστι δ᾽ αὕτη παραπλεύσαντι τὸν Ἴστρον ὑπὲρ τῆς Ταυρικῆς) ἐκεῖσε παραγεγονώς, ϗ τούς τε ἄλλους ἥρωας ἐκμειλιξάμενος, μάλιστα δὲ τὴν Αἴαντος τοῦ Λοκροῦ ψυχήν, ἰάθη. κἀκεῖθεν ἐξιόντα ἀπαγγέλλειν αὐτὸν Στησιχόρῳ Ἑλένη κελεύει τὴν εἰς αὐτὴν ᾄδειν, εἰ φιλεῖ τὰς ὄψεις, παλινῳδίαν. Στησίχορος δ᾽ αὐτίκα ὕμνους Ἑλένης συντάττει καὶ τὴν ὄψιν ἀνακομίζεται.

Ἡ ιθ´ ὡς Ψαμάθη ἡ Κροτώπου ἐξ Ἀπόλλωνος κύει, καὶ τεκοῦσα, ἐπεὶ τὸν πατέρα ἐδεδοίκει, ἐκτίθεται, Λίνον ὀνομάσασα. καὶ ὁ δεξάμενος ποιμὴν ὡς ἴδιον ἀνέτρεφε, καί ποτε οἱ τῆς ποίμνης κύνες διέσπασαν αὐτόν. ἡ δὲ ὑπερπαθήσασα κατάφωρος γίνεται τῷ πατρί, καὶ δικάζει αὐτῇ θάνατον, πεπορνεῦσθαι ϗ καταψεύδεσθαι αὐτὴν Ἀπόλλωνος οἰηθείς. Ἀπόλλων δὲ
τῷ τῆς ἐρωμένης φόνῳ χολωθεὶς λοιμῷ κολάζει τοὺς 433 R.
Ἀργείους. καὶ χρωμένοις ὑπὲρ ἀπαλλαγῆς Ψαμάθην ἀνεῖλε ϗ Λίνον ἱλάσκεσθαι. οἱ δὲ τά τε ἄλλα ἐτίμησαν αὐτούς, ϗ γύναια ἅμα κόραις ἔπεμπον θρηνεῖν Λίνον· αἱ δὲ θρήνους ἀντιβολίαις μιγνῦσαι τάς τε ἐκείνων ϗ τὰς σφετέρας ἀνέκλαιον τύχας. ϗ οὕτως ἦν ἐκπρεπὴς ὁ ἐπὶ Λίνῳ θρῆνος, ὡς ἀπ᾽ ἐκείνων καὶ τοῖς ἔπειτα ποιηταῖς παντὸς πάθους παρενθήκη Λίνος ᾄδεσθαι. μηνὶ

a. 3. Πρωτεσίλαος] Cononem non Πρωτεσίλαος sed οἱ περὶ Πρωτεσίλαον scripsisse videri monet Kannius. καὶ A: τῶν ς. 4. αἰχμαλώτων ς. Σκιόνης ς. 14. Ἀεθλίου Kannius: libri Ἀέθνου. 18. malim Αἰτωλίαν ς. 20. Ἠλεῖος Heynius. 27. κυλήνη A: Κυλίνη ς. 28. ἄνδρας ἑκατὸν ς. 33. οὐδ᾽ A: δ᾽ οὐδ᾽ ς. 36. ὃς A: ὡς ς. 39. τῆς θεσσαλίας A: Θεσσαλίαν ς. b. 4. ἡρακλέως A: Ἡρακλέος ς. 8. et 10. Ἡρακλέος ς. 15. ἐκπεσεῖν ς. 17. ἀπεσάπη Pierson. Moer. add. et corrig. ad p. 342. 22. ἐξιὼν A. 26. ψαμήθη ἡ κροτώπου A. 30. τῷ] καὶ τῷ A.

τε ὠνόμασται ἀρνεῖον, ὅτι ἀρνάσι Λίνος συνανετράφη· καὶ θυσίαν ἄγουσι καὶ ἑορτὴν ἀρνίδα, κτείνοντες ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ κυνῶν ὅσους ἂν εὕρωσι. καὶ οὐδ' οὕτως ἐλώφα τὸ κακόν, ἕως Κρότωπος κατὰ χρησμὸν ἔλιπε τὸ Ἄργος, καὶ κτίσας πόλιν ἐν τῇ Μεγαρίδι ϗ Τριποδίσκιον ἐπικαλέσας κατῴκησεν.

Ἡ κ' ὡς Θέοκλος ὁ Χαλκιδεὺς αἰχμάλωτος ὑπὸ Βισαλτῶν γεγονώς (οἱ δὲ Βισάλται Θρᾳκικὸν ἔθνος, ἀντίπερα Παλλήνης οἰκοῦντες) οὗτος Χαλκιδεῖς λάθρᾳ μεταπεμψάμενος προδίδωσι Βισάλτας· ϗ αὐτοὶ πρῶτον μὲν τῷ αἰφνιδίῳ ἐτάραξαν Βισάλτας, εἶτα τειχήρεις ποιήσαντες βουκόλου δόλῳ αἰχμαλώτου παρ' αὐτῶν γεγενημένου αἱροῦσι τὴν πόλιν, ἐκδιώξαντες τοὺς Βισάλτας. τὸν δὲ προδότην βουκόλον, παραβάντες τὰς συνθήκας, κτείνουσι. ϗ μῆνις αὐτοῖς διὰ τοῦτο θεόθεν 225 H. ἐνέσκηψε. καὶ κατὰ χρησμὸν τάφον περικαλλῆ χώσαντες τῷ βουκόλῳ καὶ ὡς ἥρωϊ θύοντες τοῦ κακοῦ ἀπηλλάγησαν.

Ἡ κα', Δάρδανος ϗ Ἰάσων παῖδες ἦσαν Διὸς ἐξ Ἠλέκτρας τῆς Ἀτλαντίδος, καὶ ᾤκουν Σαμοθρᾴκην τὴν νῆσον. ἀλλ' ὁ μὲν Ἰάσων φάσμα Δήμητρος αἰσχῦναι βουληθεὶς ἐκεραυνώθη, Δάρδανος δὲ ἐπὶ τἀδελφῷ συγχυθεὶς εἰς τὴν ἀντίπερα γῆν, ἐν ᾗ ϗ πεδιὰς πολλὴ καὶ τὸ ὄρος ἡ Ἴδη, σχεδίαις (πλοίων γὰρ χρῆσις οὐδέπω ἦν) διαβαίνει. εἶχε δὲ τὸ κράτος τότε τῆς χώρας ὁ Σκαμάνδρου τοῦ ποταμοῦ καὶ νύμφης Τεῦκρος, ἐξ οὗ Τεῦκροί τε οἱ οἰκήτορες καὶ Τευκρία ἡ γῆ· ᾧ κατὰ λόγους συνελθὼν Δάρδανος λαμβάνει τὴν ἡμίσειαν, καὶ πόλιν, ἐν ᾧ τῆς σχεδίας ἀπέβη, κτίζει Δαρδανίαν. ὕστερον δὲ τελευτήσαντος Τεύκρου ἡ πᾶσα τῆς χώρας εἰς αὐτὸν ἀρχὴ περιῆλθεν.

Ἡ κβ', μειρακίῳ Κρητὶ γέννημα δράκοντος ἐραστὴς δωρεῖται. ὁ δὲ ἔτρεφέ τε καὶ ἐπεμελεῖτο, ἕως ηὐξήθη καὶ φόβον ἐνεποίει ὁ δράκων τοῖς ἐπιχωρίοις: οὗτοι γὰρ τότε ἠνάγκασαν τὸ μειράκιον ἐκθεῖναι τὸ θηρίον ἐπὶ τῆς ἐρημίας, ϗ πολλὰ κλαίων ἐξέθετο. ὕστερον δ' ἐπὶ θήραν ἐξελθόντος τοῦ μειρακίου καὶ λῃσταῖς περιπεσόντος, ἀνακαλουμένου τοὺς βοηθήσοντας, ἀναγνωρίσας ὁ δράκων τὴν φωνὴν τοὺς μὲν λῃστὰς διέφθειρεν, ἑκάστῳ περιειληθείς, σημεῖα δὲ τῷ παιδὶ παλαιᾶς αἰσθήσεως ἐνδειξάμενος ἀπαλλάσσει τῆς ἐπιβουλῆς.

Ἡ κγ' ὡς Ἀλεξάνδρου τοῦ Πάριδος καὶ Οἰνώνης, ἣν ἐγήματο πρὶν ἢ τὴν Ἑλένην ἁρπάσαι, παῖς Κόρυθος γίνεται, κάλλει νικῶν τὸν πατέρα. τοῦτον ἡ μήτηρ Ἑλένῃ προσέπεμπε, ζηλοτυπίαν τε κινοῦσα Ἀλεξάνδρῳ καὶ κακόν τι διαμηχανωμένη Ἑλένῃ. ὡς δὲ συνήθης ὁ Κόρυθος πρὸς Ἑλένην ἐγένετο, Ἀλέξανδρός ποτε παρελθὼν εἰς τὸν θάλαμον ϗ θεασάμενος τὸν Κό- 436 R ρυθον τῇ Ἑλένῃ παρεζόμενον ϗ ἀναφλεχθεὶς ἐξ ὑποψίας εὐθὺς ἀναιρεῖ. ϗ Οἰνώνη τῆς τε εἰς αὐτὴν ὕβρεως ϗ τῆς τοῦ παιδὸς ἀναιρέσεως πολλὰ Ἀλέξανδρον ἀρασαμένη, καὶ ἐπειποῦσα (ϗ γὰρ ἦν ἐπίπνους μαντείας ϗ τομῆς φαρμάκων ἐπιστήμων) ὡς τρωθείς ποτε ὑπ' Ἀχαιῶν καὶ μὴ τυγχάνων θεραπείας δεήσεσθαι αὐτῆς, οἴκαδε ᾔει. ὕστερον δ' Ἀλέξανδρος ἐν τῇ πρὸς Ἀχαιοὺς ὑπὲρ Τροίας μάχῃ τρωθεὶς ὑπὸ Φιλοκτήτου ϗ δεινῶς ἔχων δι' ἀπήνης ἐκομίζετο πρὸς τὴν Ἴδην, ϗ προσπέμψας κήρυκα ἐδεῖτο Οἰνώνης· ἡ δὲ ὑβριστικῶς μάλα τὸν κήρυκα διωσαμένη πρὸς Ἑλένην ἰέναι Ἀλέξανδρον ἐξωνείδιζε. καὶ Ἀλέξανδρος μὲν κατὰ τὴν ὁδὸν ὑπὸ τοῦ τραύματος τελευτᾷ, τὴν δὲ μήπω πεπυσμένην τὴν τελευτὴν μετάμελος ὅμως δεινὸς εἶχε, καὶ δρεψαμένη τῆς πόας ἔθει φθάσαι ἐπειγομένη. ὡς δ' ἔμαθε παρὰ τοῦ κήρυκος ὅτι τεθνήκοι ϗ ὅτι αὐτὴ αὐτὸν ἀνῄρηκεν, ἐκεῖνον μὲν τῆς ὕβρεως, λίθῳ τὴν 224 H. κεφαλὴν πατάξασα, ἀναιρεῖ, τῷ δ' Ἀλεξάνδρου νεκρῷ περιχυθεῖσα, ϗ πολλὰ τὸν κοινὸν ἀμφοῖν καταμεμψαμένη δαίμονα, ἑαυτὴν ἀνήρτησε τῇ ζώνῃ.

Ἡ κδ', ἐν Θεσπείᾳ τῆς Βοιωτίας (ἔστι δ' ἡ πόλις οὐχ ἑκὰς τοῦ Ἑλικῶνος) παῖς ἔφυ Νάρκισσος πάνυ καλὸς καὶ ὑπερόπτης Ἔρωτός τε καὶ ἐραστῶν. ϗ οἱ μὲν ἄλλοι τῶν ἐραστῶν ἐρῶντες ἀπηγόρευσαν, Ἀμεινίας δὲ πολὺς ἦν ἐπιμένων καὶ δεόμενος· ὡς δ' οὐ προσίετο ἀλλὰ καὶ ξίφος προσέπεμψεν, ἑαυτὸν πρὸ τῶν θυρῶν Ναρκίσσου διαχειρίζεσθαι, πολλὰ καθικετεύσας τιμωρόν οἱ γενέσθαι τὸν θεόν. ὁ δὲ Νάρκισσος ἰδὼν αὑτοῦ τὴν ὄψιν ϗ τὴν μορφὴν ἐπὶ κρήνης ἰνδαλλομένην τῷ ὕδατι, καὶ μόνος ϗ πρῶτος ἑαυτοῦ γίνεται ἄτοπος ἐραστής. τέλος ἀμηχανῶν, καὶ δίκαια πάσχειν οἰηθεὶς ἀνθ' ὧν Ἀμεινίου ἐξύβρισε τοὺς ἔρωτας, ἑαυτὸν διαχρᾶται. καὶ ἐξ ἐκείνου Θεσπιεῖς μᾶλλον τιμᾶν ϗ γεραίρειν τὸν Ἔρωτα ϗ πρὸς ταῖς κοιναῖς θερα-

a. 2. ἐν add A. 9. χαλκίδης μεταπεμψάμενος λάθρα ς. 12. libri βουκόλῳ καὶ δόλῳ αἰχμαλώτῳ — γεγενημένῳ. correxerunt Kannius et Heynius. 16. ἐπέσκηψε ς. 19. Ἰασίων Heynius: cf. Car. Otfr. Müller. Orchomen. p. 265. 34. ἐποίει A. 36. κλαῖον ς. 37. περιπεσ. καὶ ἀνακαλ. ς. 38. βοηθήσοντας Heynius: libri βοηθήσαντας.

b. 1. Πάριδος] καὶ Πάριδος Scaliger. 5. συνήθης] μυηθεὶς A. 19. ἐξωνείδιζε A: διωνείδιζε ς. 21. δεινος corr A: δεινῶς ς. 24. τῆς A: ἀντι τῆς ς. 31. ἀπηγορεύθησαν ς. ἀμινίας A, et infra ἀμινίου. 40. Θεσπιεῖς A: Θεσπίσας ς. 41. καὶ ante πρὸς add A.

Digitized by Google

πείαις ϗ ἰδίᾳ θύειν ἔγνωσαν. δοκȣ̃σι δ' οἱ ἐπιχώριοι τὸν νάρκισσον τὸ ἄνθος ἐξ ἐκείνης πρῶτον τῆς γῆς ἀνασχεῖν, εἰς ἣν ἐξεχύθη τὸ τȣ̃ Ναρκίσσȣ αἷμα.

Ἡ κε' ὡς Μίνως υἱὸς Διὸς ϗ Εὐρώπης, ὁ βασιλεύων Κρήτης, κατὰ ζήτησιν Δαιδάλȣ στόλῳ πλεύσας εἰς Σικανίαν (αὕτη δ' ἐστὶν ἡ νῦν Σικελία) ὑπὸ τῶν Κωκάλȣ θυγατέρων (ἐβασίλευε δ' οὗτος Σικελῶν) ἀναιρεῖται. καὶ τὸ Κρητικὸν πολεμεῖ Σικελοῖς ὑπὲρ τȣ̃ βασιλέως, καὶ ἡττᾶται. καὶ ἐπανιόντες ὑπὸ χειμῶνος ἐξέπεσον εἰς Ἰάπυγας, ϗ αὐτόθι τότε ἱδρύσαντο, ἀντὶ Κρητῶν γεγονότες Ἰάπυγες. χρόνῳ δὲ ὕστερον μοῖρά τις κατὰ στάσιν ἐκπεσόντες τῆς χώρας χρησμὸν ἔλαβον, ἔνθα ἄν τις αὐτοῖς γῆν ϗ ὕδωρ ὀρέξῃ, ἐνταῦθα οἰκίζεσθαι. καὶ ᾤκησαν τὴν Βοττιαίων· ἐκεῖ γὰρ παῖδες ἄρτων εἴδη ϗ ἄλλων ὄψων παίζοντες ἀπὸ πηλοῦ ϗ πλάττοντες, αἰτȣμένοις ἐπέδωκαν αὐτοῖς ἀντὶ ἄρτων τȣ̀ς πηλίνȣς ἄρτȣς· καὶ οἵ γε τὸν χρησμὸν τετελέσθαι νομίσαντες ᾐτήσαντο τὸν βασιλέα Μακεδόνων, καὶ
[illegible] R. ἔλαβον οἰκεῖν τὴν Βοττιαίων, ϗ Βοττιαῖοι μὲν τρίτον γένος ἀπὸ Κρητῶν ἀμείψαντες μοῖρα νῦν εἰσὶ Μακεδόνων.

Ἡ κϛ' διεξεισιν ὡς φάσμα Ἀπόλλωνος, ὄνομα Κάρνος, Δωριεῦσιν ἑπόμενον, Ἱππότης τις τῶν ἀφ' Ἡρακλέος ἀναιρεῖ, ὅτε κατῄεσαν εἰς Πελοπόννησον Ἡρακλεῖδαι. καὶ λοιμȣ̃ τȣ́τοις προσπεσόντος, χρησμὸν λαβόντες ἤλασαν τὸν Ἱππότην τȣ̃ στρατοπέδȣ. μάντις δ' ἦν τὸ φάσμα τοῖς Δωριεῦσιν. Ἡρακλείδαις μὲν κάθοδος εἰς Πελοπόννησον ἐγένετο· ὁ δ' Ἱππότης ἀλώμενος τίκτει παῖδα, ἐκ τȣ̃ πράγματος Ἀλήτην καλέσας, ὃς ἀνδρωθεὶς καὶ μοῖραν τοῦ Δωρικȣ̃ συλλέξας, καὶ Σισυφίδας ἐκβαλὼν Κορίνθȣ βασιλέας ὄντας ϗ τȣ̀ς σὺν αὐτοῖς Ἴωνας, ἀνοικίζει τὴν πόλιν ϗ ἐπῄει κατὰ
[illegible] H. τῆς Ἀττικῆς, ὅτε ϗ χρησμὸν λαμβάνει νικήσειν, εἰ ἀπόσχοιντο τȣ̃ βασιλέως Ἀθηναίων. καὶ τȣ̃ χρησμοῦ γνωσθέντος Ἀθηναίοις, πείθȣσι Κόδρον ἑβδομηκοντούτην ὄντα ἑκόντα δȣ̃ναι ἑαυτὸν ὑπὲρ τῆς πατρίδος. καὶ ἀμειψάμενος τὴν στολήν, ὡς εἷς τῶν ξυλοφόρων ὑφ' ἑνὸς τῶν Δωριέων ἀναιρεῖται. ϗ γνόντες ὕστερον Δωριεῖς, ϗ ἀπογνόντες τὴν νίκην, ἐσπείσαντο Ἀθηναίοις.

Ἡ κζ' τὰ περὶ Δευκαλίωνος ἀπαγγέλλει, ὃς ἐβασίλευε τῆς Φθιώτιδος, καὶ τȣ̃ κατ' αὐτὸν τῆς Ἑλλάδος κατακλυσμȣ̃ ϗ περὶ Ἕλληνος τȣ̃ παιδὸς αὐτȣ̃, ὃν ἔνιοι τȣ̃ Διὸς παῖδα εἶναί φασιν, ὃς ϗ διεδέξατο τὴν βασιλείαν τελευτήσαντος Δευκαλίωνος, ϗ τίκτει παῖδας τρεῖς. ὧν Αἴολον μὲν τὸν πρῶτον βασιλεύειν ἐδικαίωσεν ἧς ἦρχε γῆς, Ἀσωπῷ ϗ Ἐνιπεῖ δυσὶ ποταμοῖς τὴν ἀρχὴν διορισάμενος, ἐξ ȣ̃ τὸ Αἰολικὸν κατάγεται γένος· Δῶρος δ' ὁ δεύτερος μοῖραν τȣ̃ λαȣ̃ λαβὼν παρὰ τȣ̃ πατρὸς ἀποικίζεται, ϗ ὑπὸ τὸν Παρνασσὸν τὸ ὄρος κτίζει πόλεις, Βοιόν, Κυτίνιον, Ἐρινέον, ἐξ ȣ̃ Δωριεῖς· ὁ δὲ νεώτατος Ἀθήναζε ἀφικόμενος κτίζει τετράπολιν καλȣμένην τῆς Ἀττικῆς, καὶ γαμεῖ Κρέȣσαν τὴν Ἐρεχθέως, καὶ τίκτει ἐξ αὐτῆς Ἀχαιὸν καὶ Ἴωνα. καὶ ὁ μὲν Ἀχαιὸς ἀκȣ́σιον φόνον ἐργασάμενος ἠλάθη, καὶ εἰς Πελοπόννησον ἐλθὼν Ἀχαΐαν κτίζει τετράπολιν, ἐξ ȣ̃ Ἀχαιοί· Ἴων δὲ θανόντος τȣ̃ μητροπάτορος διά τε τὴν ἀρετὴν καὶ τὴν ἄλλην ἀξίωσιν αἱρεθεὶς βασιλεύει Ἀθηναίων, ἐξ οὗ Ἴωνες οἵ τε Ἀθηναῖοι ἤρξαντο καλεῖσθαι καὶ τὸ ἄλλο πᾶν Ἰωνικόν.

Ἡ κη' ὡς Τέννης ϗ Ἡμιθέα παῖδες ἦσαν Κύκνῳ βασιλεῖ Τρῳάδος, καὶ Κύκνος ἀποθανȣ́σης αὐτῷ τῆς γυναικὸς ἑτέραν ἐπεισάγεται· ἡ δ' ἐπιμανεῖσα Τέννῃ ϗ μὴ τυγχάνȣσα καταψεύδεται τȣ̃ παιδὸς τὰ ἑαυτῆς· καὶ ὁ πατὴρ ἀκρίτως εἰς λάρνακα Τέννην κατακλείει, ἀλλὰ ϗ τὴν Ἡμιθέαν περιαλγȣ̃σαν τἀδελφȣ̃, ϗ ἀφίησι τῇ θαλάσσῃ. ἡ δ' εἰς νῆσον ἐκφέρεται, καὶ οἱ ἐπιχώριοι τὴν λάρνακα ἀνακομίζονται, ϗ τὸ κράτος τῆς γῆς ἐκείνης ἔχȣσι Τέννης καὶ Ἡμιθέα, καὶ ἡ νῆσος Τένεδος ἀντὶ Λευκόφρυος ὠνομάσθη. ὁ δὲ Κύκνος μεταγνȣ̀ς καὶ ὁρμισάμενος πρὸς τὴν νῆσον, ἐδεῖτο τȣ̃ παιδὸς ἀπὸ τῆς νεὼς ἀμνηστίαν ἔχειν. ὁ δέ, ὡς μὴ ἐπιβαίη τῆς νήσȣ, πέλεκυν ἀράμενος τὰ πείσματα τῆς νεὼς διακόπτει· ϗ ἀπ' αὐτȣ̃ οἱ ἄνθρωποι ἐπὶ παντὸς 440 R.
ἀποτόμου πράγματος τὸν Τέννȣ πέλεκυν ἐπιλέγȣσιν.

Ἡ κθ' ὡς Μάγνητες οἱ Μαγνησίαν τὴν ἐν Ἀσίᾳ νῦν οἰκȣ̃ντες τὸ πρότερον περὶ Πηνειὸν ποταμὸν καὶ τὸ Πήλιον ὄρος ᾤκησαν, καὶ συνεστράτευσαν Ἀχαιοῖς κατὰ Τροίας ἡγȣμένȣ αὐτῶν Προθόȣ, καὶ ἐκαλȣ̃ντο Μάγνητες. εἶτα δεκάτη Μαγνήτων ἀνακομιζομένων αὐτῶν ἀπὸ Τροίας οἰκίζει κατ' εὐχὰς εἰς Δελφούς. μετὰ χρόνον δὲ ἀναστάντες τȣ̃ ἱερȣ̃ καὶ κατιόντες ἐπὶ θάλασσαν ἐπεραιώθησαν εἰς Κρήτην. ὕστερον δὲ βια- 226 H.
σθέντες ἀνέστησαν ἐκ Κρήτης, καὶ πλεύσαντες εἰς τὴν

a. 7. Σικελῶν mg: libri σικιῶν. 13. ὀρέξει ς. 14. ᾤκισαν ς. 23. χρησμὸν] καὶ χρησμὸν A. 27. φάντασμα ς. 28. ἀλώμενος] cf. Ruhnken. ad Vellej. p. 12. 40. ἐβασίλευσε ς. b. 3. παῖδας om A. 8. Κτίνιον ς. 9. Ἀθήναζε ς. 20. καὶ κύκνος A: Κύκνος δὲ ς. 23. εἰς λάρνακα A: λάρνακι ς. 24. ἀδελφοῦ ς. 27. ἀνίσχουσι A. 36. καὶ συνεστρ. A: συνεστρ. δὲ ς. 38. δεκάτην ς. 41. εἰς Κρήτην] cf. Ruhnken. ad Vellej. p. 13.

Digitized by Google

Ἀσίαν ἐῤῥύοντο κακῶν νεόκτιςον ȣ̓͂σαν τὴν Ἰωνίαν ϗ τὴν Αἰολίδα, συμμαχȣ͂ντες αὐτοῖς κατὰ τῶν ἐπιτιθεμένων. ἐκεῖθεν ἀφικνȣ͂νται ἐν ᾧ νῦν εἰσί, καὶ κτίζȣσι πόλιν, ἀπὸ τῆς κατὰ τὸ ἀρχαῖον πατρίδος Μαγνησίαν αὐτὴν ἐπικαλέσαντες.

Ἡ λʹ τὰ περὶ Πειθηνίȣ τȣ͂ Ἀπολλωνιάτȣ, ὃς τὰ ἱερὰ Ἡλίȣ νέμων πρόβατα, ἐπεὶ αὐτῶν ἑξήκοντα λύκοι διεσπάραξαν ἀμελήσαντος, τὰς ὄψεις ὑπὸ τῶν πολιτῶν ἐκκόπτεται. καὶ ἡ γῆ καρπὸν Ἀπολλωνιάταις μηνίσαντος αὐτοῖς τȣ͂ θεȣ͂ ȣ̓κ ἐδίδȣ, ἕως τέχνῃ καὶ προαςείοις δυσὶν ἱλασάμενοι Πειθήνιον καὶ οἰκίᾳ μιᾷ, ὧν αὐτὸς ᾑρετίσατο, τὴν ἀκαρπίαν διέφυγον. τῶν ἐπιφανῶν δ' ἦν ὁ Πειθήνιος, ϗ ὅσοι ἄλλοι ἐκ διαδοχῆς τῶν ἱερῶν εἶχον προβάτων τὴν ἐπιμέλειαν. ϗ ἡ Ἀπολλωνία πόλις Ἑλλάς ἐςιν ἐν τῇ Ἰλλυριῶν γῇ, κεῖται δ' ἐπὶ τῆς θαλάσσης, ϗ ποταμὸς Λῶος διὰ μέσης αὐτῆς ῥέων εἰς τὸ Ἰόνιον ἐκβάλλει πέλαγος.

Ἡ λαʹ ὡς Τηρεύς, βασιλεὺς Θρᾳκῶν τῶν περὶ Δαυλίαν ϗ τὴν ἄλλην Φωκίδα, ἄγεται Πρόκνην γυναῖκα τὴν Πανδίονος βασιλεύοντος Ἀθηνῶν, καὶ ὡς ἐπεμάνη ϗ ἐμίγη ἀκȣ́σῃ Φιλομήλᾳ τῇ ἀδελφῇ Πρόκνης, ϗ τέμνει τὴν αὐτῆς γλῶσσαν, δεδιὼς τὸν ἐκ λόγων θρίαμβον. ἡ δὲ πέπλον ὑφαίνȣσα γράφει τὰ πάθη τοῖς νήμασι. ϗ ἡ Πρόκνη μαθȣ͂σα ϗ ἀμυνομένη παρατίθησιν αὐτῷ δεῖπνον τὰ αὐτȣ͂ γεννήματα. ὁ δὲ Τηρεύς, μαθὼν τοῦ δείπνου τὸ μύσος ὑπ' αὐτῆς Πρόκνης, ἐδίωκεν αὐτήν τε ϗ τὴν ἀδελφὴν ὡς συνεργὸν ξίφει ἀνελεῖν. τὰς δὲ μῦθος λαβὼν ἐντεῦθεν Πρόκνην μὲν ἀηδόνα ποιεῖ, Φιλομήλαν δὲ χελιδόνα· καὶ ᾄδουσι διὰ παντὸς τὰς τότε συμφοράς. ἀλλὰ ϗ ὁ Τηρεὺς εἰς ἔποπα ἔπτη τῷ μύθῳ. καὶ ȣ̓δ' ἐν ὄρνισιν αὐτούς φασι πεπαῦσθαι τῆς ὀργῆς, ἀλλ' ἔποπες ἀεὶ ἀηδόνας καὶ χελιδόνας διώκȣσιν.

Ἡ λβʹ τὰ περὶ Εὐρώπης τῆς Φοίνικος θυγατρὸς ἀφανȣ͂ς γεγενημένης, καὶ ὡς πέμψειε τȣ̀ς υἱεῖς ὁ πατὴρ κατὰ ζήτησιν τῆς ἀδελφῆς, ὧν ἦν καὶ Κάδμος, μεθ' οὗ συναπαίρει καὶ Πρωτεὺς ἐξ Αἰγύπτȣ, τὴν Βȣσίριδος δεδιὼς βασιλείαν. ϗ ὡς μετὰ πολλὴν πλάνην μηδὲν εὑρόντες κατέχον εἰς Παλλήνην, καὶ ὡς Πρωτεὺς ξένια δȣ̀ς Κλίτῳ καὶ λαβὼν φιλίαν (βασιλεὺς δ' ἦν ὁ Κλῖτος σώφρων καὶ δίκαιος Σιθωνίων Θρᾳκίου ἔθνȣς) ἄγεται Πρωτεὺς γυναῖκα τὴν θυγατέρα Χρυσονόην. καὶ Βισαλτῶν ἀπελαθέντων τῆς 441 R. 227 H.
οἰκείας γῆς τῷ πρὸς αὐτȣ̀ς πολέμῳ, ὃν ἐπολέμησε Κλῖτος ϗ Πρωτεύς, βασιλεύει τῆς χώρας Πρωτεύς, καὶ τίκτει παῖδας ȣ̓χ ὁμοίȣς αὐτῷ ἀλλ' ὠμȣ̀ς καὶ παρανόμȣς, ȣ̔̓ς Ἡρακλῆς μισοπόνηρος ὢν ἀναιρεῖ. καὶ αὐτοῖς μὲν ὁ πατὴρ χῶμα ἔχωσεν, Ἡρακλέα δέ (ἦν γὰρ ἐναγής) καθῆρε τȣ͂ φόνȣ.

Ἡ λγʹ ὡς Δήμοκλος ὁ Δελφὸς γεννᾷ παῖδα ἐκπρεπῆ Σμῖκρον ὄνομα· ϗ ὡς πλεῖ κατὰ χρησμὸν ἐπὶ Μιλήτȣ, ἔχων μεθ' ἑαυτȣ͂ καὶ τὸν παῖδα ἐν ἡλικίᾳ· καὶ ὡς καταλιμπάνει τȣ͂τον σπȣδῇ τȣ͂ ἐκπλεῦσαι καὶ ἀγνοίᾳ, τρισκαιδέκατον ἔχοντα ἔτος· ϗ ὡς παῖς Ἐριθάρσȣ αἰπόλος καταλαμβάνει τὸν Σμῖκρον ἀθυμȣ͂ντα, ϗ ἄγει πρὸς τὸν πατέρα· ϗ ὁ Ἐριθάρσης ȣ̓κ ἔλαττον τȣ͂ ἰδίȣ παιδός, μαθὼν τὰς τύχας καὶ τὸ γένος τοῦ Σμίκρȣ, τȣ͂τον περιεῖπε. ϗ περὶ τȣ͂ κύκνȣ τȣ͂ συλληφθέντος ἄμφω τοῖς παισί, καὶ τῆς ἔριδος, ϗ τȣ͂ τῆς Λευκοθέας φάσματος, ὡς εἴποι τε τοῖς παισὶ πρὸς Μιλησίȣς φάναι τιμᾶν αὐτὴν ϗ παίδων ἀγῶνα γυμνικὸν τελεῖν αὐτῇ· ἥδεσθαι γὰρ αὐτὴν τῇ ἔριδι τῶν παίδων. καὶ ὡς ὁ Σμῖκρός τινος τῶν ἐν Μιλησίοις ἐνδόξων θυγατέρα γαμεῖ, καὶ αὕτη τίκτȣσα ὁρᾷ ὄψιν τὸν ἥλιον αὐτῇ διὰ τȣ͂ ςόματος εἰσδύντα διὰ τῆς γαςρὸς καὶ τῶν αἰδοίων διεξελθεῖν· ϗ ἦν τὸ ὅραμα τοῖς μάντεσιν ἀγαθόν. ϗ ἔτεκε κόρον, Βράγχον ἀπὸ τȣ͂ ὀνείρȣ καλέσασα, ὅτι ὁ ἥλιος αὐτῆς διὰ τȣ͂ βράγχȣ διεξῆλθε. καὶ ἦν ὁ παῖς κάλλιςος ἀνθρώπων, ϗ αὐτὸν ἐφίλησεν ἐρασθεὶς Ἀπόλλων, εὑρὼν ποιμαίνοντα, ἔνθα βωμὸς Ἀπόλλωνος φιλίȣ ἵδρυται. ὁ δὲ Βράγχος ἐξ Ἀπόλλωνος ἐπίπνȣς μαντικῆς γεγονὼς ἐν Διδύμοις τῷ χωρίῳ ἔχρα. καὶ μέχρι νῦν χρηςηρίων Ἑλληνικῶν ὧν ἴσμεν, μετὰ Δελφȣ̀ς κράτιςον ὁμολογεῖται τὸ τῶν Βραγχιδῶν.

Ἡ λδʹ ὡς μετὰ τελευτὴν Ἀλεξάνδρȣ τȣ͂ Πάριδος οἱ Πριάμȣ παῖδες Ἕλενος καὶ Δηΐφοβος ἤριζον ὑπὲρ τῶν Ἑλένης γάμων, καὶ κρατεῖ βίᾳ καὶ θεραπείᾳ τῶν δυνατῶν Δηΐφοβος, νεώτερος ὢν Ἑλένου. Ἕλενος δὲ τὴν ὕβριν ȣ̓ φέρων, εἰς τὴν Ἴδην ἀποχω-

a. 7. ἡλίου A: τοῦ ἡλίου ς. αὐτῶν (vel αὐτοῦ) ἑξήκ. λ. διεσπ. ἀμελ. A: ἀμελ. τούτου αὐτῶν ἑξήκ. λ. διεσπ. ς. 11. ὧν] ἣν corr A. 12. αὐτὸς] ultimae litterae correctae in A. ἐπιφ. δ' A: δ' ἐπιφ. ς. 16. Ἀῶος Kannius. 17. εἰς τὸ Ἰόνιον ἐκβ. πέλ. A: καὶ οὗτος ἐκβ. εἰς τὸ Ἰώνιον πέλ. ς. 22. τέμνοι ς. 28. δὲ ὡς μῦθος ς. 31. εἰς ἔποπα] vid. Wyttenbach. Eunap. 2. p. 186. 32. αὐτάς ς. 33. χελιδόνας καὶ ἀηδόνας ς.
b. 8. μὲν add A. 11. Σμικρὸς ς. 17. τὸ om A. 20. ὡς] καὶ ὡς ς. εἴποι A: εἰ τοι ς. 25. αὐτῇ τὸν ἥλιον ς. 26. γαςρὸς δὲ καὶ ς. 29. ἐξῆλθε ς. 33. μέχρι τοῦ νῦν ς.

ῥήσας ἡσύχαζε. ϗ κατὰ συμβουλὰς Κάλχαντος οἱ πολιορκοῦντες Τροίαν Ἕλληνες λόχῳ τὸν Ἕλενον συλλαμβάνουσι· ϗ τὰ μὲν ἀπειλαῖς τὰ δὲ δώροις, πλέον δὲ τῇ πρὸς Τρῶας ὀργῇ, ἀποκαλύπτει αὐτοῖς Ἕλενος ὡς ξυλίνῳ ἵππῳ πεπρωμένον ἐστὶν Ἴλιον ἁλῶναι, καὶ τὸ τελευταῖον, ἐπειδὰν Ἀχαιοὶ λάβωσι τὸ διοπετὲς Ἀθηνᾶς Παλλάδιον, πολλῶν ὄντων τὸ σμικρότατον. στέλλονται οὖν ἐπὶ τῇ κλοπῇ τοῦ Παλλαδίου Διομήδης ϗ Ὀδυσσεύς, καὶ ἀναβαίνει ἐπὶ τὸ τεῖχος Διομήδης, ἐπιβὰς τῶν ὤμων Ὀδυσσέως· ὁ δὲ οὐκ ἀνελκύσας Ὀδυσσέα, καίτοι τὰς χεῖρας ὀρέγοντα, ᾔει τὴν ἐπὶ τὸ Παλλάδιον, καὶ ἀφελόμενος αὐτὸ πρὸς Ὀδυσσέα ἔχων ὑπέστρεφε. ϗ διὰ τοῦ πεδίου κατιόντων
228 H. πυνθανομένῳ ἕκαστα τῷ Ὀδυσσεῖ Διομήδης, τὸ δόλιον τἀνδρὸς εἰδώς, οὐχ ὅπερ ἔφησεν Ἕλενος Παλλάδιον λαβεῖν αὐτόν, ἀλλ' ἀντ' ἐκείνου ἕτερον, ἀποκρίνεται. κινηθέντος δὲ τοῦ Παλλαδίου κατά τινα δαίμονα, γνοὺς Ὀδυσσεὺς αὐτὸ ἐκεῖνο εἶναι ϗ κατόπιν γεγονὼς
444 R. σπᾶται τὸ ξίφος, ἐκεῖνον μὲν ἀνελεῖν βουληθείς, αὐτὸς δ' Ἀχαιοῖς τὸ Παλλάδιον κομίζειν. καὶ αὐτοῦ μέλλοντος πληγὴν ἐμβαλεῖν (ἦν γὰρ σελήνη) ὁρᾷ Διομήδης τὴν αὐγὴν τοῦ ξίφους. Ὀδυσσεὺς δ' ἀναιρεῖν μὲν ἀπέσχετο ἀντισπασαμένου κἀκείνου ξίφος, δειλίαν δ' ὀνειδίσας πλατεῖ τῷ ξίφει οὐκ ἐθέλοντα προϊέναι τύπτων τὰ νῶτα ἤλαυνεν. ἐξ οὗ ἡ παροιμία „ἡ Διομήδειος ἀνάγκη," ἐπὶ παντὸς ἀκουσίου λεγομένη.

Ἡ λε' δύο ποιμένας ὑπὸ Λυσσὸν τὸ ὄρος τῆς Ἐφεσίας γῆς εἰσάγει νέμοντας, οἳ μελισσῶν ἑσμὸν ἔν τινι βαθεῖ καὶ δυσκαθόδῳ θεασάμενοι σπηλαίῳ, ὁ μὲν εἰς φορμίδα κατιέναι ἐνέβη, ὁ δὲ καθίει κάλῳ ἀρτησάμενος. ὁ κατελθὼν δὲ ϗ τὸ μέλι καὶ χρυσὸν πολὺν εὑρὼν ϗ τῇ φορμίδι ἕως τρὶς ἐμβαλὼν ἀνιμᾶν ἐκέλευσεν, ἐπιλείψαντος δὲ τοῦ χρυσοῦ ἑαυτὸν ἐμβαίνειν λοιπὸν προσβοήσας, ἐπεὶ ἐπιβουλῆς ἔννοια αὐτῷ ἅμα τῷ ῥήματι συνεισῄει, λίθον ἀνθ' αὐτοῦ τῇ φορμίδι βαλὼν ἐκέλευσεν ἀνιμᾶν. ὡς δ' ἐγγὺς τῆς στεφάνης ὁ ἀνιμῶν ἀπῃωρήσατο, αὐτίκα ὡς διαφθερῶν τὸν ἕτερον ἀφίησι κατά τινος φάραγγος, καὶ τὸ χρυσίον κατορύξας πιθανὰς ὑπὲρ τοῦ ἀφανοῦς ποιμένος ἐπλάττετο τοῖς πυνθανομένοις τὰς προφάσεις. ὡς δ' ἦν ἄπορα πανταχόθεν τῷ ἐν τῷ σπηλαίῳ ποιμένι τὰ τῆς σωτηρίας, Ἀπόλλων ὄναρ κελεύει ὀξεῖ λίθῳ τὸ σῶμα ἀμύξαντα κεῖσθαι ἠρέμα. τοῦ δὲ πράξαντος τὸ προσταχθὲν γῦπες ὡς ἐπὶ νεκρὸν ἐφιπτάμενοι, καὶ τοὺς ὄνυχας οἱ μὲν εἰς τὴν χαίτην οἱ δ' εἰς τὴν ἐσθῆτα πηξάμενοι, ἐκούφιζον καὶ κατέφερον αὐτὸν κακῶν ἀπαθῆ ἐπὶ τὸν ὑποκείμενον αὐλῶνα. ἐλθὼν δ' ἐπὶ τὸ ἀρχεῖον ἅπαντα φράζει. ϗ τὸν μὲν ἐπιβουλεύσαντα οἱ Ἐφέσιοι, ἐλεγχθέντα ϗ τὸν χρυσὸν κατορωρυγμένον ϗ ἄκοντα ἐπιδείξαντα, τιμωροῦνται, τῷ δ' ἠδικημένῳ τὴν ἡμίσειαν τοῦ χρυσοῦ νείμαντες τὴν ἑτέραν ἡμίσειαν ἱερὰν ἀπέφηναν Ἀρτέμιδι καὶ Ἀπόλλωνι. ὁ δὲ διασωθεὶς καὶ τῷ χρυσίῳ τιμηθεὶς ποιμὴν τῶν τε πάνυ πλουσίων ἐγένετο, καὶ βωμὸν ἐπ' ἄκρας τῆς κορυφῆς τοῦ ὄρους Ἀπόλλωνος εἵσατο, γυπαιέως εἰς μνημεῖον τῶν συνενεχθέντων ὀνομάσας.

Ἡ λϛ' ὡς Φιλόνομος ὁ Σπαρτιάτης προδοὺς Λακεδαίμονα Δωριεῦσι δῶρον ἔχει Ἀμύκλας, καὶ συνοικίζει ταύτην ἐξ Ἴμβρου ϗ Λήμνου. τρίτῃ δὲ γενεᾷ στασιάσαντες πρὸς Δωριέας μετανίστανται Ἀμυ- 229 H.
κλῶν, συμπαραλαβόντες δὲ καί τινας Σπαρτιατῶν, ἡγουμένων αὐτοῖς Πόλιδος ϗ Δελφοῦ, ἔπλεον ἐπὶ τῆς Κρήτης. ἐν τῷ παράπλῳ δὲ τοῦδε τοῦ στόλου Μῆλον Ἀπόδασμος οἰκίζει, ϗ τὸ τῶν Μηλιέων γένος ἐνθένδε οἰκειοῦται Σπαρτιάτας. οἱ δὲ λοιποὶ ἅπαντες Γόρτυναν μηδενὸς εἴργοντος λαβόντες, ταύτην ἅμα τῶν περιοίκων Κρητῶν συνοικίζουσιν.

Ἡ λζ' ὡς ἀπὸ Θάσου τοῦ Κάδμου ἀδελφοῦ Θάσος ἡ νῆσος ὠνομάσθη· ἐκεῖ γὰρ αὐτὸν ὁ ἀδελφός, δοὺς τοῦ στρατοῦ μοῖραν, ἀπολείπει. καὶ ὡς Κάδμος ὑπὸ τοῦ Φοινίκων βασιλέως, μέγα ϗ αὐτὸς δυνάμενος παρὰ Φοίνιξιν, ἐπὶ τὴν Εὐρώπην σταλείη. οἱ δὲ Φοίνικες τότε μέγα τε (ὡς λόγος) ἴσχυον, ϗ πολλὴν τῆς Ἀσίας 445 R.
καταστρεψάμενοι τὸ βασίλειον ἐν Θήβαις ταῖς Αἰγυπτίαις εἶχον. σταλῆναι δὲ Κάδμον οὐχ ὡς Ἕλληνές φασι, κατὰ ζήτησιν Εὐρώπης, ἣν παῖδα Φοίνικος οὖσαν ἥρπασε Ζεὺς ἐν σχήματι ταύρου, ἀλλ' ἀρχὴν μὲν ἰδίαν ἐν Εὐρώπῃ μηχανώμενον πλάττεσθαι ἀδελφῆς ἡρπασμένης ποιεῖσθαι ζήτησιν, ἐξ οὗ ϗ ὁ τῆς Εὐρώπης μῦθος ἧκεν εἰς Ἕλληνας. περιπλέων δὲ τὴν Εὐρώπην τὸν μὲν ἀδελφὸν Θάσον, ὡς εἴρηται, τῇ νήσῳ λείπει, αὐτὸς δ' εἰς Βοιωτίαν πλεύσας ἄνεισι πρὸς τὰς νῦν

a. 1. συμβουλὴν ς. 9. ἐπὶ τὸ τεῖχος] τοῦ τείχους A. 15. τοῦ ἀνδρὸς ς. 25. ἡ Διομ.] cf. Schol. Platon. p. m. 408. 30. ὁ μὲν] ὅμως ὁ μὲν A. 31. καὶ τὸ add A. 32. ἐμβάλλων A. 33. δὲ A: καὶ ς. 36. ἐκέλευεν A. 37. διαφθείρων ς. 38. ἑταῖρον corr A. τινος] τῆς Kannius. b. 14. εἵσατο] ἐδωμήσατο corr A. 16. cf. Müller. Orchom. p. 316. 22. τοῦδε add A. 23. Μηλιέων ς. ἐνθένδε Heynius: libri ἐνθάδε. 24. Σπαρτιάται ς. 25. τοῖς περιοίκοις Κρησὶ ς. 37. μηχανούμενον ς. 41. πρὸς A: καὶ ς.



Digitized by Google

καλουμένας Θήβας, καὶ σὺν τῇ δυνάμει περιτειχίσας τὸ χωρίον Θήβας ἀπὸ τῆς οἰκείας ἐπωνόμασε πατρίδος. τῶν δὲ Βοιωτῶν εἰς μάχην αὐτοῖς συμπλακέντων ἡττῶνται Φοίνικες, εἶτα κρατοῦσιν ἐνέδραις ϗ προλοχισμοῖς καὶ τῇ ἀήθει τῶν ὅπλων ὄψει· κράνος γὰρ καὶ ἀσπὶς οὔπω τοῖς Ἕλλησιν ἔγνωστο. καὶ κρατεῖ Κάδμος τῆς Βοιωτῶν γῆς, καὶ φυγόντων τῶν διασωθέντων ἐπὶ τὰς οἰκείας πόλεις οἰκίζει Φοίνικας ἐν Θήβαις, καὶ τὴν Ἄρεως καὶ Ἀφροδίτης Ἁρμονίαν γαμεῖ. Βοιωτοῖς δὲ πρὸς τὴν ἔκπληξιν τῶν ὅπλων ϗ τῶν προλοχισμῶν ϗ τῆς ἐνέδρας δόξα παρέστη αὐτοῖς ὅπλοις ἀνεῖναι τῆς γῆς τοὺς ἄνδρας, ϗ σπαρτοὺς ὡς ἐκ τοῦ χωρίου φύντας αὐτοὺς ἐκάλεσαν. περὶ μὲν Κάδμου καὶ Θηβῶν οἰκίσεως οὗτος ὁ ἀληθὴς λόγος, τὸ δ' ἄλλο μῦθος ϗ γοητεία ἀκοῆς.

Ἡ λη' ὡς Μιλήσιός τις ἀνήρ, τῆς πατρίδος αὐτῷ ὑπὸ Ἁρπάγου τοῦ Κύρου ἐν κινδύνῳ οὔσης, εἰς τὸ ἐν Σικελίᾳ Ταυρομένιον ἀπαίρει, κἀκεῖ φίλῳ τινὶ τραπεζίτῃ παραθέμενος τὸ χρυσίον οἴκαδ' ἔπλει. εἶτα δεδούλωτο μὲν Μίλητος Κύρῳ, δεινὸν δ' οὐδὲν ἄλλο ὧν ὑφεωρᾶτο ἐπεπόνθει· ϗ ὁ Μιλήσιος ἧκεν εἰς Ταυρομένιον ἀνακομισόμενος τὴν παρακαταθήκην. ὁ δὲ λαβὼν ὁμολογεῖ μὲν λαβεῖν, διετείνετο δ' ἀποδεδωκέναι. ὡς δὲ μετὰ πολλὴν ἔριν ϗ λογομαχίαν ὁ Μι-
230 H. λήσιος εἰς ὅρκον τὸν ἀδικοῦντα προὐκαλεῖτο, ὁ τραπεζίτης μηχανᾶται τοιόνδε. νάρθηκα κοιλάνας καθάπερ αὐλὸν καὶ συντήξας τὴν παραθήκην τῷ νάρθηκι ἐγχεῖ καὶ ἀσφαλίζεται· ἐπὶ δὲ τὸν ὅρκον ἰών, κατέχων ὡς βακτηρίαν προφάσει ποδῶν ἀσθενείας, τῷ νάρθηκι ἐπηρείδετο· μέλλων δ' ὀμνύειν πλησίον ἑστῶτι τῷ Μιλησίῳ, ὡς αὐτίκα πάλιν ἀναληψόμενος, τὸν νάρθηκα ἐπιδίδωσιν. ὡς δὲ τὰς χεῖρας ἀνασχὼν κατώμνυτο τὴν παρακαταθήκην ἀποδοῦναι τῷ παραθεμένῳ, περιπαθήσας ὁ Μιλήσιος ῥίπτει τὸν νάρθηκα, ἔῤῥειν ἅμα ἀνακραγὼν τὴν ἐν ἀνθρώποις πίστιν. ϗ ὁ νάρθηξ ἐῤῥήγνυτο, ϗ περιφανὲς ἦν πρὸς τὴν ὄψιν τοῦ χρυσίου τὸ σόφισμα τῆς ψευδορκίας. ϗ ὁ μὲν Μιλήσιος τὸ ἴδιον εἶχεν, ὁ δὲ τραπεζίτης ὑπ' αἰδοῦς ϗ τοῦ κακίζεσθαι πρὸς ἁπάντων βρόχῳ τοῦ ζῆν ἑαυτὸν ἐξάγει.

Ἡ λθ' ὡς Μέλανθος γένος μὲν ἦν τῶν Νηλειδῶν, οἳ Πύλου ϗ Μεσσήνης ἀπὸ Ποσειδῶνος ἐβασίλευον. τοῦτον ἀναστήσαντες Ἡρακλεῖδαι πολέμῳ τὴν γῆν ἔσχον· ὁ δὲ κατὰ χρησμοὺς Ἀθήναζε ἀφικνεῖται, καὶ πολίτης γίνεται, ϗ ἦν τῶν τιμωμένων. Ἀθηναίοις δὲ ϗ Βοιωτοῖς πόλεμος ὑπὲρ Οἰνόης συνίστατο, ϗ ἐδόκει ἐν τῇ 448 R.
τῶν βασιλέων μονομαχίᾳ τὴν κρίσιν εἶναι. Θυμοίτης μὲν οὖν βασιλεύων Ἀθηναίων ἐδεδοίκει τὸν ἀγῶνα, καὶ ἐξίστατο τῆς βασιλείας τῷ βουλομένῳ διακινδυνεῦσαι πρὸς Ξάνθον, ὃς ἐβασίλευσε Βοιωτῶν. καὶ Μέλανθος ἐπ' ἄθλῳ τῆς βασιλείας ὑπέρχεται τὸν ἀγῶνα, καὶ προβαίνουσιν αἱ συνθῆκαι. ἐπεὶ δ' εἰς μάχην ἧκον, καθορᾷ ὁ Μέλανθος φάσμα τι τῷ Ξάνθῳ ἄνδρα ἑπόμενον ἀγένειον. ὡς δ' ἀνεβόησε μὴ δίκαια ποιεῖν παρὰ τὰς συνθήκας ἐπαγόμενον βοηθόν, μετεστράφη ο Ξάνθος, πρὸς τὸ ἄπιστον τοῦ λόγου ἐκπλαγείς· ϗ αὐτὸν εὐθὺς ὁ Μέλανθος τῷ δόρατι βαλὼν κτείνει, ϗ τήν τε Οἰνόην Ἀθηναίοις ϗ ἑαυτῷ τὴν βασιλείαν ἑνὶ περιεποιήσατο ἀγωνίσματι. τὸ μὲν δὴ τῶν Ἐρεχθειδῶν γένος εἰς τοὺς Μελανθίδας, ὧν ἦν καὶ Κόδρος, ἀπὸ τούτου μετέστη· Ἀθηναῖοι δ' ὕστερον Διονύσῳ Μελανθίδῃ κατὰ χρησμὸν ἱερὸν ἱδρυσάμενοι θύουσιν ἀνὰ πᾶν ἔτος, καὶ τῷ Ἀπατουρίῳ Διὶ ἱερὰ ἀνάπτοντες, ὅτι αὐτοῖς ἐκ τῆς ἀπάτης ἀγώνισμα ἐγένετο.

Ἡ μ' ἱστορία τὰ περὶ Ἀνδρομέδας ἱστορεῖ ἑτέρως ἢ ὡς ὁ Ἑλλήνων μῦθος. ἀδελφοὺς μὲν γὰρ δύο γενέσθαι Κηφέα ϗ Φινέα, καὶ εἶναι τὴν τοῦ Κηφέως βασιλείαν τότε ἐν τῇ μετονομασθείσῃ μὲν ὕστερον Φοινίκῃ, τηνικαῦτα δ' Ἰόππᾳ ἀπὸ Ἰόππης τῆς ἐπιθαλασσιδίου πόλεως τοὔνομα λαβούσῃ· καὶ ἦν τὰ τῆς ἀρχῆς ὅρια ἀπὸ τῆς καθ' ἡμᾶς θαλάσσης μέχρι Ἀράβων τῶν πρὸς τὴν ἐρυθρὰν θάλασσαν ᾠκημένων. εἶναι δὲ τῷ Κηφεῖ ϗ θυγατέρα πάνυ καλὴν Ἀνδρομέδαν, ϗ αὐτὴν μνᾶσθαι Φοίνικά τε καὶ τὸν ἀδελφὸν Κηφέως Φινέα. Κηφεὺς δὲ μετὰ πολλοὺς τοὺς ἐφ' ἑκατέρῳ λο- 231 H.
γισμοὺς ἔγνω δοῦναι μὲν Φοίνικι, ἁρπαγῇ δὲ τοῦ μνηστῆρος τὸ αὐτοῦ ἑκούσιον ἀποκρύπτειν· καὶ ἁρπάζεται ἀπό τινος νησῖδος ἐρήμου ἡ Ἀνδρομέδα, ἐν ᾧ εἰώθει ἀπιοῦσα θυσίας τῇ Ἀφροδίτῃ θύειν. Φοίνικος δ' ἁρπάσαντος νηΐ (κῆτος δ' αὕτη ἐκαλεῖτο, ἢ μίμησιν ἔχουσα τοῦ ζῴου ἢ ϗ κατὰ τύχην) ἡ Ἀνδρομέδα, ὡς

a. 6. γὰρ A: δὲ ς. τοῖς Ἕλλησιν A: αὐτοῖς ς. cf. Müller. Orchom. p. 217. 9. Ἄρεος ς. 12. τὴν γῆν Heynius, recte, nisi legendum ἀνιέναι i. e. prodire. 13. μὲν οὖν K. ς. 14. οἰκήσεως A. 18. ἀπήει ς. 21. ὑφεωρᾶτο ς. 22. ἀνακομισάμενος ς. 27. παρακαταθήκην ς. τῷ] τῇ A. 28. ἰὼν καὶ κατ. ς. 29. προφ. τῆς τῶν ποδῶν ς. 33. περιθεμένῳ ς. 40. ὡς om A. Νηλειδῶν Leichius p. IX: libri ἠλίδων. b. 10. malim τῇ βασιλείᾳ. 11. ἐπειδὴ ς. 14. ἐπαγόμενος A. 18. ἐρεχθίδων A: ἐρεχθούντων ς. 20. μελανθίδι A. 25. ἢ] ἢ καὶ A. post γενέσθαι cum A omisi φασί. 28. δ' ἰόππᾳ A: δὲ ὅπα ς. Heynius δ' Ἰοπίᾳ. ἀπὸ] ὃ ἀπὸ A. 29. λαβούσης A. 30. ἀῤῥάβων ς. 40. καὶ om A.

Digitized by Google

κατὰ ἄγνοιαν τȣ̃ πατρὸς ἁρπαζομένη, ἀνωλοφύρατό τε ϗ μετ' οἰμωγῆς τὰς βοηθήσοντας ἀνεκαλεῖτο. Περσεὺς δ' ὁ Δανάης κατὰ δαίμονα παραπλέων κατίσχει, ϗ πρὸς τὴν πρώτην ὄψιν τῆς κόρης οἴκτῳ καὶ ἔρωτι συσχεθεὶς τό τε πλοῖον, τὸ κῆτος, διαφθείρει, ϗ τὰς ἐμπλέοντας ὑπὸ ἐκπλήξεως μόνον ὀχὶ λιθωθέντας ἀναιρεῖ. ϗ τȣ̃το Ἕλλησι τὸ τȣ̃ μύθου κῆτος ϗ οἱ παγέντες εἰς λίθȣς ἄνθρωποι τῆς Γοργόνος τῇ κεφαλῇ. ἄγεται δ' ȣ̃ν γυναῖκα τὴν Ἀνδρομέδαν, ϗ οἴχεται αὐτὴ συμπλέουσα εἰς τὴν Ἑλλάδα τῷ Περσεῖ, καὶ βασιλεύοντος τὸ Ἄργος οἰκεῖται.

Ἡ μα' ὡς Ἄντανδρον ᾤκησαν Πελασγοί, ἀλλ' ὡς μὲν ἔνιοί φασι, δόντος αὐτοῖς Ἀσκανίου λύτρον ἀνθ' αὐτȣ̃, ἐπεὶ ἐνέδρᾳ συνελήφθη ὑπ' αὐτῶν, ϗ ἀπολυθέντος· διὸ ϗ Ἄντανδρος, ὅτι ἀντὶ ἑνὸς ἀνδρὸς ἔλαβον πόλιν. ὁ δ' Ἀσκάνιος υἱὸς μὲν ἦν Αἰνείου, μετὰ δὲ Τροίας ἅλωσιν ἐβασίλευσεν Ἴδης. οἱ δέ φασιν ἐντεῦθεν οἰκῆσαι Πελασγȣ̀ς Ἄντανδρον. Ἀπόλλωνος καὶ Κρεούσης Ἄνιος γίνεται παῖς, τοῦ δὲ Ἄνδρος, ὃς μίαν οἰκήσας τῶν νήσων τὸ ὄνομα λείπει τῇ νήσῳ,
449R. κατὰ ςάσιν δ' ἐκεῖθεν ἐκπεσών, ϗ χωρίον ἰδὼν ὑπὸ τὴν Ἴδην παραπλήσιον Ἄνδρῳ, πολίζει τὸ χωρίον ϗ Ἄντανδρον πρὸς τὴν ὁμοιότητα ὀνομάζει. τὴν δ' Ἄνδρον ἔρημον ȣ̃σαν λαὸς Πελασγῶν ἐσῳκίσατο. ϗ ἡ Κύζικος δὲ Πελασγȣ̀ς ἔσχεν οἰκήτορας· ϗ γὰρ Κύζικος ὁ Ἀπόλλωνος, Πελασγῶν τῶν ἐν Θεσσαλίᾳ βασιλεύων, ὑπὸ Αἰολέων μετὰ Πελασγῶν ἐκπεσὼν τὴν χεῤῥόνησον τῆς Ἀσίας πολίζει, δȣ̀ς αὐτῇ ϗ τȣ̃νομα. ϗ ηὐξήθη ἐκ ταπεινῆς Κυζίκῳ εἰς μέγα ἡ ἀρχή, ἀφ' ȣ̃ Κλείτην τὴν Μέροπος, ὃς τῶν περὶ Ῥυνδακὸν χωρίων ἐβασίλευε, γυναῖκα ἠγάγετο. οἱ δὲ μετὰ Ἰάσονος ἐπὶ τὸ δέρας ἰόντες κατίσχȣσι πρὸς τὴν Κύζικον τῇ Ἀργοῖ, ϗ μαθόντες οἱ Πελασγοὶ Θεσσαλίδα τὴν ναῦν, κατὰ μῆνιν τῆς ἐκβολῆς νυκτὸς ἐμάχοντο τῇ Ἀργοῖ. Κύζικον δὲ λῦσαι τὴν μάχην ἐπιςάντα ἀγνοῶν Ἰάσων κτείνει, πεσόντων ϗ ἄλλων Πελασγῶν. ϗ ἡ μὲν Ἀργὼ ἔπλει ἐπὶ Κόλχȣς· οἱ δὲ τότε μὲν ὑπερηχθέσθησαν ἐπὶ τῇ τȣ̃ βασιλέως τελευτῇ, ϗ τοῖς παρ' αὐτοῖς δυνατοῖς τὰ τῆς πόλεως ἐνεχείρισαν (ȣ̓δὲ γὰρ ἦν παῖς Κυζίκῳ διάδοχος), ὕςερον δὲ ὑπὸ Τυῤῥηνῶν Κυζίκȣ μετανέςησαν, καὶ Τυῤῥηνοὶ τὴν χεῤῥόνησον ἔσχον. ϗ τȣ́τȣς Μιλησίων μοῖρα μάχῃ νικήσαντες αὐτοὶ Κύζικον ᾤκησαν.

Ἡ μβ' ὡς Γέλων ὁ Σικελιώτης τυραννίδι ἐπιθέσθαι διανοȣ́μενος Ἱμεραίων ἐθεράπευε τὸν δῆμον, ϗ κατὰ τῶν δυνατῶν ὑπερεμάχει, ϗ αὐτὸν ἠγάπα τὸ πλῆθος, καὶ φυλακὴν τȣ̃ σώματος αἰτȣ̃ντι ὡρμᾶτο διδόναι. Στησίχορος δ' ὁ Ἱμεραῖος ποιητὴς ὑποτοπήσας ἐπιχειρεῖν αὐτὸν τυραννίδι, ςὰς αἶνον ἔλεξεν εἰς τὸ πλῆ- 232H.
θος, εἰκόνα τȣ̃ μέλλοντος πάθȣς. ἵππος, φησί, νεμόμενος ἐφοίτα πιόμενος ἐπὶ κρήνην, ἔλαφος δὲ τὸ πεδίον διαθέȣσα τήν τε πόαν κατέςειβε ϗ τὸ νᾶμα ἐτάραττε. καὶ ὁ ἵππος ποθῶν τὴν ἀδικȣ̃σαν τιμωρῆσαι, τάχει δὲ ποδῶν λειπόμενος, ἄνδρα κυνηγέτην βοηθὸν ἐκάλει· ὁ δέ, εἰ χαλινὸν δέξοιτο ϗ ἀναβάτην, ῥᾷςα ἀμύνειν αὐτῷ ὑπισχνεῖτο. καὶ ἐγίνετο ȣ̃τως. καὶ ἡ μὲν ἔλαφος ἀκοντίοις ἔκειτο βληθεῖσα, ὁ δ' ἵππος ᾔσθετο δεδȣλωμένος τῷ κυνηγέτῃ. τȣ̃τ', ἔφη, δέδοικα καὶ αὐτός, ὦ Ἱμεραῖοι, μὴ νῦν δῆμος ὄντες τῶν ἐχθρῶν μὲν διὰ Γέλωνος περιγένησθε, αὐτοὶ δ' ὕςερον Γέλωνι δȣλεύσητε· φιλεῖν γὰρ ἅπασαν τὴν δύναμιν τῷ λαβόντι ἐπὶ τὸν δόντα εἶναι, ὅταν ὥσπερ δȣ̃ναι αὐτὴν μηκέτι ἐκ τȣ̃ ὁμοίȣ κομίσασθαι ἔχῃ.

Ἡ μγ', οἱ τῆς Αἴτνης τȣ̃ πυρὸς κρατῆρες ἀνέβλυσάν ποτε ποταμȣ̃ δίκην φλόγα κατὰ τῆς χώρας, καὶ Καταναίοις (πόλις δ' Ἑλλὰς ἐν Σικελίᾳ ἡ Κατάνη) ἔδοξε παντελὴς ἔσεσθαι φθορὰ τῆς πόλεως, καὶ ταύτης φεύγοντες ὡς εἶχον τάχȣς οἱ μὲν χρυσὸν οἱ δὲ ἄργυρον ἔφερον, οἱ δὲ ὅ τι ἂν τις βȣ́λοιτο ἐπικȣ́ρημα τῆς φυγῆς. Ἀναπίας δὲ ϗ Ἀμφίνομος ἀντὶ πάντων τȣ̀ς γονεῖς γηραιȣ̀ς ὄντας ἐπὶ τȣ̀ς ὤμȣς ἀναθέμενοι ἔφευγον. ϗ τȣ̀ς μὲν ἄλλȣς ἡ φλὸξ ἐπικαταλαβȣ̃σα ἔφθειρεν, αὐτȣ̀ς δὲ περιεσχίσθη τὸ πῦρ, καὶ ὥσπερ νῆσος ἐν τῇ φλογὶ πᾶς ὁ περὶ αὐτȣ̀ς χῶρος ἐγένετο. διὰ ταῦτα οἱ Σικελιῶται τόν τε χῶρον ἐκεῖνον εὐσεβῶν χώραν ἐκάλεσαν, καὶ λιθίνας εἰκόνας 452R.
ἐν αὐτῷ τῶν ἀνδρῶν, μνημεῖα θείων τε ἅμα ϗ ἀνθρωπίνων ἔργων, ἀνέθεσαν.

Ἡ μδ' ἱςορία φησὶν ὡς Λεωδάμας ϗ Φίτρης ἤρισαν ὑπὲρ τῆς Μιλησίων βασιλείας, γένȣς ἄμφω ὄντες βασιλείȣ. τὸ κοινὸν δὲ τῇ ἐκείνων κακȣ́μενοι ςάσει τῆς μὲν φιλονεικίας μετὰ πολλὰ πάθη ἐξίςατο,

a. 6. ἐμπλέοντας *A*: ἐμπεσόντας ς. 8. τῆς add *A*. 16. ὁ *A*: ὡς ς. 18. οἰκίσαι *A*. 19. παῖς *A*: παρὰ ς. 21. καὶ τὸ χωρίον *A*. 24. ἐσοικίσατο *A*: εἰσῳκήσατο ς. 31. μετὰ add *A*. b. 6. ὥρμητο corr *A*. 11. διελθȣ̃σα ς. 13. κυναγέτην *A*. 18. καὶ add *A*. 20. φιλεῖν Kannius: libri φίλην. 22. ἔχοι *A*. 27. ante ταύτης cum *A* omisi ἀπό. cf. p. 55 b 23 φεύγει τῆς πόλεως et p. 120 b 20 φυγεῖν τῆς πατρίδος. item p. R. 1169, 26. 35. χώραν] malim χῶρον cum Lycurgo § 96 ed. Berolin. 36. ἀνδρῶν τῷ μνημείῳ ς.

ἔκρινον δ' ἐκεῖνον βασιλεύειν, ὃς Μιλησίους πλείω ἀγαθὰ ἐργάσοιτο. ἦσαν δ' αὐτοῖς τότε δύο πόλεμοι Καρυσίοις καὶ Μηλιεῦσι. καὶ πρὸς μὲν Μῆλον (αὐτῷ γὰρ ὁ κλῆρος τοῦτον ἐδίδου τὸν πόλεμον) Φίτρης στρατεύσας ἄπρακτος ἀναστρέφει· Λεωδάμας δὲ λαμπρῶς κατὰ Καρυστίων ἀνδραγαθήσας, καὶ κατὰ κράτος ἑλὼν τὴν πόλιν καὶ ἀνδραποδισάμενος, Μιλήτου ἐπανιὼν κατὰ τὰ συγκείμενα βασιλεύει. αἰχμάλωτον δὲ κατὰ χρησμὸν γυναῖκα Καρυστίαν, παῖδα φέρουσαν ὑπομάσθιον, μετὰ πολλῶν καὶ ἄλλων ἀναθημάτων, ἃ δεκάτη τῶν λαφύρων ἐτύγχανον, ἀνέπεμψεν ἐν Βραγχίδαις. αὐτὸς δὲ τότε Βράγχος προὐστήκει τοῦ τε ἱεροῦ καὶ τοῦ μαντείου, ὃς τήν τε αἰχμάλωτον γυναῖκα ἐνόμισε καὶ τὸν παῖδα αὐτῆς ἔθετο. ηὔξανε δ' ὁ παῖς οὐ κατὰ λόγον, ἀλλὰ θείᾳ τινὶ τύχῃ, καὶ πλέον ἢ πρὸς τὴν ἡλικίαν ἀπήντα τὸ εὐσύνετον. ποιεῖται δ' αὐτὸν ὁ Βράγχος καὶ ἄγγελον τῶν μαντευμάτων, Εὐάγγελον ὀνομάσας.
235 H. οὗτος ἡβήσας τὸ Βράγχου μαντεῖον ἐξεδέξατο, καὶ ἀρχὴ γένους Εὐαγγελιδῶν παρὰ Μιλησίοις ἐγένετο.

Ἡ με´ ὡς Ὀρφεύς, ὁ Οἰάγρου καὶ Καλλιόπης μιᾶς τῶν Μουσῶν, ἐβασίλευε Μακεδόνων καὶ τῆς Ὀδρυσίδος, ἐπετήδευε δὲ μουσικήν, καὶ μάλιστα κιθαρῳδίαν. καὶ (φιλόμουσον γὰρ τὸ Θρακῶν καὶ Μακεδόνων γένος) ἤρεσκεν ἐν τούτοις διαφερόντως τῷ πλήθει. κατεῖχε δὲ δόξα ὡς εἰς Ἅιδου κατάβοι ἔρωτι τῆς γυναικὸς Εὐρυδίκης, καὶ ὡς τὸν Πλούτωνα καὶ τὴν Κόρην ᾠδαῖς γοητεύσας δῶρον λάβοι τὴν γυναῖκα· ἀλλ' οὐ γὰρ ὄνασθαι τῆς χάριτος ἀναβιωσκομένης, λαθόμενον τῶν περὶ αὐτῆς ἐντολῶν. οὕτω δὲ θέλγειν καὶ κατακηλεῖν αὐτὸν ᾠδαῖς εἶναι σοφόν, ὡς καὶ θηρία καὶ οἰωνοὺς καὶ δὴ καὶ ξύλα καὶ λίθους συμπερινοστεῖν ὑφ' ἡδονῆς. τελευτᾷ δὲ διασπασαμένων αὐτὸν τῶν Θρακίων καὶ Μακεδόνων γυναικῶν, ὅτι οὐ μετεδίδου αὐταῖς τῶν ὀργίων, τάχα μὲν καὶ κατ' ἄλλας προφάσεις, φασὶ δ' οὖν αὐτὸν δυστυχήσαντα περὶ γυναῖκα πᾶν ἐχθῆραι τὸ γένος. ἐφοίτα μὲν οὖν ταχταῖς ἡμέραις ὡπλισμένον πλῆθος Θρακῶν καὶ Μακεδόνων ἐν Λιβήθροις, εἰς οἴκημα ἓν συνερχόμενον μέγα τε καὶ πρὸς τελετὰς εὖ πεποιημένον· ὁπότε δ' ὀργιάζειν εἰσίασι, πρὸ τῶν πυλῶν ἀπετίθεσαν τὰ ὅπλα. ὃ αἱ γυναῖκες ἐπιτηρήσασαι, καὶ τὰ ὅπλα ἁρπασάμεναι, ὑπ' ὀργῆς τῆς διὰ τὴν ἀτιμίαν τούς τε προσπίπτοντας κατειργάσαντο, καὶ τὸν Ὀρφέα κατὰ μέλη ἔῤῥιψαν εἰς τὴν θάλασσαν σποράδην. λοιμῷ δὲ τῆς χώρας, ὅτι μὴ ἀπῃτήθησαν δίκην αἱ γυναῖκες, κακουμένης, δεόμενοι λωφῆσαι τὸ δεινόν, ἔλαβον χρησμόν, τὴν κεφαλὴν τὴν Ὀρφέως ἣν ἀνευρόντες θάψωσι, τυχεῖν ἀπαλλαγῆς. καὶ μόλις αὐτὴν περὶ τὰς ἐκβολὰς τοῦ Μέλητος δι' ἁλιέως ἀνεῦρον ποταμοῦ, καὶ τότε ᾄδουσαν καὶ μηδὲν παθοῦσαν 453 R. ὑπὸ τῆς θαλάσσης, μηδέ τι ἄλλο τῶν ὅσα κῆρες ἀνθρώπιναι νεκρῶν αἴσχη φέρουσιν, ἀλλ' ἐπακμάζουσαν αὐτὴν καὶ ζωϊκῷ καὶ τότε αἵματι μετὰ πολὺν χρόνον ἐπανθοῦσαν. λαβόντες οὖν ὑπὸ σήματι μεγάλῳ θάπτουσι, τέμενος αὐτῷ περιείρξαντες, ὃ τέως μὲν ἡρῷον ἦν, ὕστερον δ' ἐξενίκησεν ἱερὸν εἶναι· θυσίαις τε γὰρ καὶ ὅσοις ἄλλοις θεοὶ τιμῶνται, γεραίρεται. ἔστι δὲ γυναιξὶ παντελῶς ἄβατον.

Ἡ μς´ ὡς Τροίας πορθουμένης ὑπεκτίθεται Πρίαμος εἰς Λυδίαν δύο παῖδας Ἕκτορος, Ὀξύνιον καὶ Σκάμανδρον. ἐπεὶ δὲ τὸ Ἴλιον ἥλω, Αἰνείας ὁ Ἀγχίσου καὶ Ἀφροδίτης, διαφυγὼν τοὺς Ἀχαιούς, τὸ μὲν πρῶτον ᾤκει τὴν Ἴδην, Ὀξυνίου δὲ καὶ Σκαμάνδρου ἐπανελθόντων ἀπὸ Λυδίας καὶ ὡς πατρῴας λήξεως μεταποιουμένων τῶν περὶ τὸ Ἴλιον τόπων, ἀναλαβὼν Ἀγχίσην τὸν πατέρα καὶ ὅσους δύναιτο τῶν συμφυγάδων, πρὸς ἥλιον ἀνίσχοντα ᾤχετο κατὰ Ἀφροδίτης ἐπίσκηψιν. διαβὰς οὖν τὸν Ἑλλήσποντον, καὶ ἀφικό- 234 H. μενος εἰς Θερμὸν καλούμενον κόλπον, Ἀγχίσην μὲν ἀποθανόντα θάπτει, αὐτὸς δέ, τῶν ἐπιχωρίων δεομένων ὥστε βασιλεύειν αὐτῶν, οὐκ ἐδέξατο. εἶτα εἰς τὴν Βουσιάδα γῆν ἔρχεται· πᾶσι δ' ἦν ἐφίμερος, οἷς ἐντυγχάνοι, κατὰ χάριν τῆς Ἀφροδίτης. ἐνταῦθα μυκησαμένης τῆς συνεπομένης αὐτῷ βοὸς ἐξ Ἴδης (τοῦτο γὰρ Ἀφροδίτη ἐπέσκηψε) λαμβάνει τὸ κράτος τῆς γῆς διδόντων τῶν ἐπιχωρίων, καὶ τὴν βοῦν θύει Ἀφροδίτῃ, καὶ κτίζει πόλιν, ἣ τότε μὲν Αἴνεια ἀπὸ τοῦ κτίσαντος, ὕστερον δὲ παρενεγκόντος τοῦ ὀνόματος Αἶνος ἐκλήθη. λόγος μὲν οὖν εἷς οὗτος ὑπὸ Ἑλλήνων ἐπὶ πολλοῖς ἄλλοις λέγεται· ὁ δὲ τὸ Ῥωμαῖον γένος εἰς αὐτὸν ἀναφέρων καὶ οἰκιστὴν ποιῶν Ἄλβας, καὶ τὸ χρηστήριον ὃ κατοικεῖν ἐπέτρεπεν ὅπου ἂν αὐτὸς ἅμα τῶν σὺν αὐτῷ θύσας μετὰ τῶν σιτίων καταφάγοι καὶ τὰς τραπέζας, οὗτος κατημάξευται.

Ἡ μζ´ ὡς Ἀλθαιμένης, τοῦ Ἡρακλειδῶν γένους

a. 8. δὲ om *A*. 9. ὑπομάζιον *ς*. 33. οὐ om pr *A*. 38. ἐν add *A*. b. 4. κεφ. τοῦ Ὀ. ἣν ἂν εὑρόντες *ς*. 10. καὶ τότε add *A*. 14. ἄλλοις om pr *A*. 16. ne forte πολιορκουμένης malis, cf. p. R. 988, 43 et 989, 22. 21. ἐλθόντων *A*. 25. ἀφικούμενος *ς*. 34. τοῦ μὲν κτ. *ς*. 39. ἔπρεπε *ς*. 40. τῶν] τῷ *A*: τοῖς *ς*.

τρίτη γενεὰ ἀπὸ Τημένου, στασιάζει πρὸς τοὺς ἀδελφοὺς (νεώτατος δ' ἦν) ϗ μετανίσταται Πελοποννήσου, στρατὸν Δωριέων ἔχων ϗ τινας Πελασγῶν. ἔστελλον δὲ ϗ Ἀθηναῖοι τότε τὴν σὺν Νειλέῳ τε ϗ τοῖς Κοδρίδαις ἀποικίαν· ὁμοίως δὲ καθ' ἑαυτοὺς ϗ Λακεδαιμόνιοι τὸν Φιλονόμου λαὸν ἀπῴκιζον, ὧν ἡγεῖτο Δελφὸς ὄνομα καὶ Πόλις. ἑκάτεροι οὖν παρεκάλουν Ἀλθαιμένην συμμετέχειν αὐτοῖς τοῦ ἔργου, οἵ τε Δωριεῖς τοῦ ἐπὶ Κρήτην πλοῦ, ἅτε ϗ αὐτὸν Δωριέα ὄντα, οἵ τε Ἴωνες εἰς τὴν Ἀσίαν μετὰ σφῶν περαιωθῆναι. τῷ δ' οὐδετέροις ἐδόκει συμπλεῖν, ἀλλὰ κατὰ τὸν δοθέντα αὐτῷ χρησμὸν ἐπὶ Δία καὶ Ἥλιον κομίζεσθαι, καὶ παρ' αὐτῶν αἰτεῖν εἰς κατοίκησιν γῆν· εἶναι δὲ Διὸς μὲν Κρήτην, Ἡλίου δὲ Ῥόδον. ἀναγόμενος οὖν ἐκ Πελοποννήσου προσίσχει πρὸς τὴν Κρήτην, ϗ μέρος τοῦ λαοῦ τοὺς βουλομένους αὐτόθι οἰκεῖν καταλείπει· αὐτὸς δὲ τοὺς πλείους ἔχων Δωρικὸν ἔπλει ἐπὶ Ῥόδον. τὴν δὲ Ῥόδον τὸ μὲν ἀρχαῖον λαὸς αὐτόχθων ἐνέμοντο, ὧν ἦρχε τὸ Ἡλιαδῶν γένος, οὓς Φοίνικες ἀνέστησαν ϗ
456 R. τὴν νῆσον ἔσχον· Φοινίκων δ' ἐκπεσόντων Κᾶρες ἔσχον, ὅτε ϗ τὰς ἄλλας νήσους τὰς περὶ τὸ Αἰγαῖον ᾤκησαν. οἷς ἐπιπλεύσαντες οἱ Δωριεῖς, πολέμῳ τὸ Καρικὸν καταστρεψάμενοι, τρεῖς πόλεις ἔκτισαν, Λίνδον, Ἰήλυσον καὶ Κάμειρον. οἱ μὲν οὖν Δωριεῖς ὑπὸ Ἀλθαιμένους ἀρξάμενοι μέχρι καὶ δεῦρο καταβεβήκασιν· αἱ δὲ τρεῖς πόλεις εἰς μίαν ἀποκλειωθεῖσαι μεγάλην ϗ εὐδαίμονα, ταὐτὸν ὄνομα τῇ νήσῳ Ῥόδον ἔδοσαν καλεῖσθαι.

Ἡ μη' τὰ περὶ Ῥώμου ϗ Ῥωμύλου διηγεῖται, παραλλάσσουσα πρὸς τοὺς ἄλλους ἔν τισι. φησὶ δὲ ὡς Ἀμόλιος ἐπιβουλεύσας Νεμέτορα τὸν ἀδελφὸν κτείνει, ϗ τὴν αὐτοῦ θυγατέρα Ἰλίαν, ἵνα μὴ τέκοι μηδ' ἀνδρωθείη, τῆς Ἑστίας ἱέρειαν ἀπέφηνε. ταύτῃ μιχθεὶς
235 H. Ἄρης, ἀπολυόμενος τῆς ὁμιλίας, ὅστις τε ἦν ἐδήλωσε, ϗ ὅτι δύο κόρους τέξεται ἐξ αὐτοῦ ϗ χρὴ θαῤῥεῖν. ἀλλὰ τεκοῦσαν αὐτὴν μὲν Ἀμόλιος εἰς δεσμωτήριον ἔτρυχε βαλών, τινὶ δὲ ποιμένι τῶν αὐτῷ πιστῶν τὰ τεχθέντα διαφθεῖραι δίδωσιν. ὁ δὲ λαβὼν τὸ μὲν μίασμα χερσὶν ἰδίαις πρᾶξαι οὐ προσίετο, εἰς σκάφην δὲ μεθῆκε κατὰ τοῦ Θύβρεως φέρεσθαι. αὕτη δὲ μετὰ πολλὴν φορὰν περὶ πρόχουσαν ἠϊόνα κατίσχεται ῥίζαις ἐρινεοῦ, ὃς μέγας ἐκεῖσε ἐπεφύκει. καὶ ἡ σκάφη ἐκεῖθεν τὰ παιδία πρὸς τὴν ἠϊόνα ἐκβάλλει ἐπὶ μαλακῆς καὶ ψαμμώδους γῆς. λύκος δὲ νεοτόκος ἐπιτυγχάνει τοῖς παιδίοις, ϗ ἀμφιβοῦσα κλαυθμυριζομένοις ϗ χεῖρας ὀρέγουσι παρεῖχε τὰς θηλάς· τὰ δ' ἐτρέφετο βαρυνομένην ἀναπαύοντα ἐκ τῆς συντυχίας τὴν λύκον. Φαιστύλος δέ τις ποιμαίνων τοῦτο ἰδὼν ϗ θεῖον νομίσας, ἀναλαμβάνεται ϗ ὡς ἑαυτοῦ τρέφει τὰ παιδία. χρόνῳ δ' ὕστερον περιτυγχάνει τῷ ἐκθεμένῳ ποιμένι, ϗ ἅπαντα παρ' αὐτοῦ μαθὼν τὰ περὶ τῶν παίδων, ἀπαγγέλλει τούτοις ἡβήσασιν ἤδη ὡς εἴησαν βασιλεῖς τε γένους ϗ Ἄρεως γοναί, καὶ ὅσα ἡ μήτηρ ϗ ὁ μητροπάτωρ πάθοι. οἱ δέ (ἤστην γὰρ καλοί τε ὄψει ϗ ῥώμην ἄμαχοι ϗ τόλμῃ γενναῖοι) αὐτίκα ἐγχειρίδια ἀναλαβόμενοι ϗ κρύψαντες ἐπὶ τὴν Ἄλβαν ἐχώρουν, ϗ ἐπιτυχόντες Ἀμολίῳ διὰ τὸ ἀπροσδόκητον τῆς ἐπιβουλῆς ἀφυλάκτῳ ἐπάγουσι τὴν τιμωρίαν, ξίφεσιν ἀνελόντες, ϗ τὴν μητέρα λύουσι τῶν δεσμῶν, τό τε πλῆθος δεξιοῦνται, καὶ βασιλεύουσιν Ἄλβας ϗ τῶν περὶ αὐτήν. πολλοῦ δὲ αὐτοῖς προσεῤῥυηκότος πλήθους μεταστάντες Ἄλβας κτίζουσι πόλιν, Ῥώμην ἐπονομάσαντες, ἣ νῦν ὡς εἰπεῖν τὸ ἀνθρώπων ἔχει κράτος. δείκνυται δὲ μαρτυρία τῶν τότε παρὰ Ῥωμαίοις ἐπὶ τῆς ἀγορᾶς ἐρινεὸς ἱερά, τοῦ βουλευτηρίου κιγκλίσι χαλκαῖς περιειργομένη, καὶ καλύβη τις ἐν τῷ τοῦ Διὸς ἱερῷ γνώρισμα τῆς Φαιστύλου διαίτης, ἣν ἐκ φορυτῶν καὶ νέων φρυγάνων συνιστῶντες διασώζουσιν.

Ἡ μθ' ὡς ἐν Ἀνάφῃ τῇ νήσῳ (αὕτη δ' ἐστὶν ὑπὲρ νήσου Θήρας, οὐχ ἑκὰς τῆς Λακεδαιμονίων) ἱερὸν Ἀπόλλωνος αἰγλήτου ἵδρυται, ἐν ᾧ σὺν τωθασμῷ οἱ ἐπιχώριοι θύουσι δι' αἰτίαν τοιαύτην. ὅτε Ἰάσων ἐκ Κόλχων Μήδειαν ἁρπάσας οἴκαδ' ἔπλει, χειμὼν αὐτοὺς ἄφατος περιέσχε καὶ ἀμηχανία πᾶσα· εὐχομένων δὲ καὶ πολλὰ τῶν ἐν τῇ Ἀργοῖ δεομένων Ἀπόλλων, τόξον αὐτῶν ὑπερανασχών, τὰ δεινὰ διέλυσεν ἅπαντα, καὶ σέλατος ἐξ οὐρανοῦ διαΐσ- 457 R.
σοντος νῆσον ἀνέσχεν ἡ γῆ ἐκ τοῦ βυθοῦ, εἰς ἣν ὁρμισάμενοι, ὡς πρῶτον ὀφθεῖσαν ὑφ' ἡλίου τότε, Ἀνάφην ἀπὸ τῆς συντυχίας ἐκάλεσαν, ϗ ἱερὸν Ἀπόλλωνος αἰγλήτου ἱδρύσαντο, ϗ εὐφραίνοντο τῆς ἀνελπίστου τῶν κακῶν ἀπαλλαγῆς ϗ ταῖς ἄλλαις εὐωχίαις. Μήδεια δὲ σὺν ταῖς ἀμφ' αὐτὴν γυναιξίν, αἳ δῶρον ἦσαν

a. 1. Τημένου Kannius. 4. Νηλέῳ ς. 7. ἑκάτεροι οὖν A: καὶ ἑκάτεροι ς. 19. Ἡλιαδῶν Iackson. apud Kannium: libri ἰλιάδων. 21. αἴγεον A. 23. ἰήλυσαν καὶ ἄμιρον A. 30. Νυμέτορα ς. 36. τὰ τεχθέντα add mg A. 39. θύμβρεως ς. 41. πεφύκει ς. b. 6. ποιμένων A: τῶν ποιμένων ς. 12. γὰρ add A. idem om τε. 13. τόλμαν γενν. καὶ αὐτ. ς. ἀναλαμβανόμενοι A. 15. ἀμουλίῳ A. 18. δεξιοῦται ς. 19. προσρυέντος ς. 22. μαρτύρεια Heynius. qui mox πρὸ τοῦ βουλ. 35. διαΐξοντος A. 38. καὶ ὡς ἱερὸν ς. 40. καὶ] θυσίαις καὶ Heynius.

γάμων τῶν Ἰάσονος, παίζουσαι μετὰ μέθην ἔσκωπτον τοὺς ἥρωας ἐν τῇ παννυχίδι· οἱ δὲ ἀντετώθαζον τὰς
136 H. γυναῖκας. ἐκ τούτου τοιγαροῦν ϗ Ἀνάφης ὁ λαός (ᾠκίσθη γὰρ ἡ νῆσος) ἀνὰ πᾶν ἔτος Ἀπόλλωνι αἰγλήτῃ κερτομοῦντες ἀλλήλους ἑορτὴν κατὰ μίμησιν ἐκείνων ἄγουσιν.

Ἡ ν′ ὡς Ἀλέξανδρον τὸν τύραννον Θήβη ἀναιρεῖ ἡ αὐτοῦ γυνή. αὐτὴ δ᾽ ἦν Ἰάσονος μὲν θυγάτηρ, τοῦ ποτὲ Θεσσαλίας τυραννήσαντος, ἀδελφοὺς δ᾽ εἶχε τρεῖς, Τισίφονον καὶ Λυκόφρονα ϗ Πυθόλαον· ὁμομήτριοι δ᾽ ἦσαν, πατὴρ δ᾽ αὐτῶν Εὐάλκης ἦν. τούτους Ἀλέξανδρος οὗτος ὁ Φερῶν δι᾽ ὑποψίας ἔχων ἐμελέτα ἀνελεῖν· εἰδὼς δ᾽ ὡς οὐκ ἀνάσχοιτο Θήβη περιιδεῖν τοὺς ὁμομητρίους ἀναιρουμένους ἀδελφούς, ϗ αὐτὴν ἐπενόει συνανελεῖν. ϗ νήφων μὲν ἔκρυβε τὸ βούλευμα, μεθύων δέ (ἦν γὰρ ἥττων οἴνου) παρεγύμνου τε καὶ ἀπεκάλυπτε. Θήβη δὲ τὸ βούλευμα μαθοῦσα, τοῖς μὲν ἀδελφοῖς ἐγχειρίδια δοῦσα παρασκευάζεσθαι πρὸς τὴν σφαγὴν παρεκάλει, οἴνῳ δὲ πολλῷ Ἀλέξανδρον βαπτίσασα ϗ κατευνάσασα ἐκπέμπει τοὺς τοῦ θαλάμου φύλακας, προφάσει ὡς λουτροῖς χρησομένη, καὶ τοὺς ἀδελφοὺς ἐπὶ τὸ ἔργον ἐκάλει. οἱ δὲ ἀπεδειλίων, καὶ μάλιστα αὐτῶν ὁ νεώτατος. ἡ δὲ ἄλλα τε διαπειλησαμένη, ϗ ὡς τὸν Ἀλέξανδρον αὐτίκα ἀνεγερεῖ καὶ καταγορεύσει αὐτῶν τὸν φόνον, θαῤῥεῖν αὐτοὺς ἐβιάσατο· ϗ κτείνουσι κοιμώμενον τὸν Ἀλέξανδρον. Θήβη δὲ τοὺς ἡγεμόνας τῶν φυλάκων εἰσκαλεσαμένη, ϗ τὰ μὲν ἀπειλαῖς τὰ δ᾽ ἐπαγγελίαις ὑπελθοῦσα, πείθει συγκατασκευάζειν αὐτῇ τὴν τυραννίδα. καὶ οἱ μὲν ἐπέτρεπον. ϗ αὐτὴ τὴν μὲν ἰσχὺν εἶχε, τοὔνομα δὲ ϗ τὴν δόξαν τῆς τυραννίδος Τισιφόνῳ τῷ πρεσβυτάτῳ τῶν ἀδελφῶν δίδωσι.

Ταῦτα μὲν τῶν Κόνωνος ν′ διηγήσεων. Ἀττικὸς δὲ τὴν φράσιν ἐστί, ταῖς τε συνθήκαις καὶ ταῖς λέξεσι χαρίεις τε ϗ ἐπαφρόδιτος, ἔχων τι ϗ τοῦ συνεστραμμένου ϗ ἀνακεχωρηκότος τοῖς πολλοῖς.

Ἐν τῷ αὐτῷ δὲ τεύχει καὶ ΑΠΟΛΛΟΔΩΡΟΥ γραμματικοῦ βιβλιδάριον ἀνεγνώσθη μοι· βιβλιοθήκη αὐτῷ ἡ ἐπιγραφή. περιεῖχε δὲ τὰ παλαίτατα τῶν Ἑλλήνων, ὅσα τε περὶ θεῶν ϗ ἡρώων ὁ χρόνος αὐτοῖς δοξάζειν ἔδωκεν, ὀνομασίας τε ποταμῶν ϗ χώρων καὶ ἐθνῶν καὶ πόλεων, ὅθεν, ϗ τὰ ἄλλα ὅσα εἰς τὸ ἀρχαῖον ἀνατρέχει, ϗ κάτεισι μέχρι τῶν Τρωϊκῶν, καὶ ἀνδρῶν τινῶν πρὸς ἀλλήλους μάχας καὶ ἔργα ἐπιτρέχων ϗ τῶν ἀπὸ Τροίας πλάνας τινάς, μάλιστα δ᾽ Ὀδυσσέως, εἰς ὃν αὐτῷ ϗ ἡ ἀρχαιολογία καταλήγει. σύνοψις δ᾽ ἐστὶ τὰ πολλὰ τοῦ βιβλίου, ϗ οὐκ ἄχρηστος τοῖς τὰ παλαιὰ ἐπὶ μνήμης ἔχειν λόγον ποιουμένοις. ἔχει δὲ ϗ ἐπίγραμμα τὸ βιβλιδάριον οὐκ ἄκομψον τόδε,

"αἰῶνος σπείρημα ἀφυσσάμενος ἀπ᾽ ἐμεῖο 460 R.
παιδείης, μύθους γνῶθι παλαιγενέας,
μηδ᾽ ἐς Ὁμηρείην σελίδ᾽ ἔμβλεπε, μηδ᾽ ἐλεγείην,
μὴ τραγικὴν Μοῦσαν, μηδὲ μελογραφίην,
μὴ κυκλίων ζήτει πολύθρουν στίχον· εἰς ἐμὲ δ᾽ ἀθρῶν
εὑρήσεις ἐν ἐμοὶ πάνθ᾽ ὅσα κόσμος ἔχει.

## 187.

"Ἀνεγνώσθη ΝΙΚΟΜΑΧΟΥ ΓΕΡΑΣΗΝΟΥ 137 H.
ἀριθμητικῶν θεολογουμένων βιβλία β′. ἡ μὲν οὖν ἐπιγραφὴ οὕτω θαυμάσαι ϗ δριμὺν ἔρωτα κινῆσαι ἀξία, ὁ δὲ πόνος, ἵνα μὴ λέγω λογισμῶν κενεμβατούντων καὶ ματαιοσχόλων ἔργον, πόῤῥω τῆς ἐπιγραφῆς διεῤῥιμμένος. διαλαμβάνει μὲν γὰρ περὶ τῶν ἀπὸ μονάδος μέχρι δεκάδος ἀριθμῶν, οὐχ ὥσπερ ἐν τῇ ἀριθμητικῇ αὐτοῦ καὶ πρὸ ταύτης εἰσαγωγῇ, ὅσα τοῖς ἀριθμοῖς φύσει πρόσεστι καὶ θεωρίας ἔχεται σπουδαίας, διεξιών, ἀλλὰ τὰ πλεῖστα διανοίας οὐ καθαρευούσης βλάβης ἀναπλάσματα, καὶ οὐχὶ πρὸς τὴν τῶν πραγμάτων φύσιν τοὺς λογισμοὺς ἰθυνούσης, τὰ δὲ πράγματα πρὸς τὰς ἰδίας φαντασίας μεταμείβειν φιλονεικούσης. ἀλλ᾽ ὅσα μὲν ὁ ἀνὴρ τὴν τῶν ὄντων φύσιν εἰς τὴν τῶν ἀριθμῶν ὑπόστασιν ἀναφέρειν τε καὶ συγκατακλείειν διανέστη, περικόπτων περιτιθεὶς ἀμείβων διασπῶν ποτὲ μὲν τὰ πράγματα ποτὲ δὲ τοὺς φίλους ἀριθμοὺς ϗ θεούς, ϗ τοῦτο ἢ παρὰ μέρος ἑκάτερον ἢ ϗ δι᾽ ἀμφοῖν ἰών, καίτοι μεγάλας ὑπέχων εὐθύνας, ὅμως ἐάσθω τοῦτο. ἀλλ᾽ ὅτι θεοὺς τε ϗ θεὰς ἐπιθυμήσας ἰδεῖν τοὺς ἀριθμούς, καὶ τοῦτο διδοὺς αὐτοῖς διὰ μόνην τὴν ἰδιάζουσαν καὶ ὡρισμένην ἑκάστου ποσότητα, οὐ φυλάττει ταύτην ἀκέραιον ἀναφέρων εἰς τὸ θεῶν γένος αὐτούς, ἀλλ᾽ ὡς ϗ προείπομεν, τέμνων, αὔξων, παντοίως κεραΐζων, οὕτως αὐτοὺς ἐκ τοῦ ἐπὶ πλεῖστον θεοὺς προσκυνεῖ, τὴν μὲν ἐξ ἀρχῆς φθείρων ποσότητα, ἵνα θεὸς ᾖ

a. 3. ἀναφέως A. an leg. Ἀναφαίων? 5. ἀλλ. καὶ ἑορτὴν ς. 9. Θεσσαλίαν ς. 10. Πυθόλαον Hoeschelius: libri Θόλαον. 11. εὐαλκης A: Εὐλαβὴς ς. 23. νεώτερος ς. 24. post αὐτίκα cum A omisi τε. ἀνεγείρει A. 28. μετελθοῦσα A. 31. πρεσβυτέρῳ A. 39. δὲ et 41. τε add A.
b. 1. ἄλλα A: πολλὰ ς. 7. λόγων μεταποιουμένοις ς. 9. πείρημα A. 13. ἐς με γὰρ ἀθρῶν ς. 33. παρὰ A: περὶ ς. 38. ἀναφέρων post γένος punit ς.

Digitized by Google

διὰ ταύτην, ταύτης δ᾽ αὐτὸν ἀποστερῶν· ὁ γὰρ ἀπόρρητος καὶ σεπτὴ ἡ τηλικαύτη θεολογία. τὸ δὲ σοφώτερον καὶ στέργεσθαι δίκαιον, δεῖ τῷ μέλλοντι τῇ θαυμασίᾳ ταύτῃ ἐμβαθῦναι θεολογίᾳ καὶ τῆς κρυφιότητος εἴσω διεισδῦναι γεωμετρίας μὲν οὐκ ἀμαθῶς ἔχειν, ἐλάσαι δὲ καὶ πρὸς ἀριθμητικὴν ἀκριβολογίαν, οὐδὲ τῆς ἀστροθεάμονος σοφίας ἐν τῷ παρέργῳ τὴν μάθησιν πεποιῆσθαι, καὶ μὴν καὶ τοῖς μουσικοῖς θεωρήμασι καὶ δὴ καὶ ὀργάνοις ἐγγεγυμνάσθαι. ἵνα γὰρ τοὺς ἀριθμοὺς θεοποιήσῃ καὶ τῶν ὄντων τῆς οὐσιώσεως αἰτίους ἀναπλάσῃ, ἀφ᾽ ἑκάστης τῶν εἰρημένων ἐπιστημῶν ἔνιά τινα τῶν θεωρημάτων τῇ περὶ τοὺς ἀριθμοὺς ἐνσφαίνει θεοπλαστίᾳ, ὧν ἡ ἄγνοια ἐμποδὼν ἂν σταίη πρὸς τὴν τῶν τηλικούτων μυσταγωγίαν, καὶ μάτην τὸ πρόθυμον ἐπιδείξεται ὁ ταῖς εἰρημέναις μὴ προτελεσθεὶς ἐπιστήμαις. καὶ δεῖ ἄρα, ὡς ἔοικε, βίον ἀνθρώπου κατατρῖψαι καὶ προαναλῶσαι τῆς θεολόγου ταύτης τῶν ἀριθμῶν τερατείας, καὶ φιλοσοφῆσαι τοῖς μαθήμασι σπουδαίως, ἵν᾽ ἐξῇ καὶ ματαιολογῆσαι τελείως. ὡς μὲν οὖν ἐν κεφαλαίῳ, μᾶλλον δὲ πρὸς τὴν ἐπιγραφὴν φάναι, τοιοῦτον ἡ τοῦ Γερασηνοῦ Νικομάχου θεολογία.

461 R. "Λέγει δὲ τὴν μονάδα ἄλλα τε οὐκ ὀλίγα τῶν πλασμάτων τῇ περὶ αὐτὴν ἀληθείᾳ καὶ τοῖς προσοῦσι
238 H. φυσικοῖς ἰδιώμασι καταμιγνύς, καὶ ὡς νοῦς "τε εἴη, εἶτα καὶ ἀρσενόθηλυς, καὶ θεός, καὶ ὕλη δέ πως, πάντα χρήματα μιγνὺς ὡς ἀληθῶς, καὶ πανδοχεὺς λοιπὸν καὶ χωρητικὴ καὶ χάος, σύγχυσις, σύγκρασις, ἀλαμπία, σκοτωδία, χάσμα, τάρταρος. καὶ Στύγα δὲ αὐτὴν τερατολογοῦσι, καὶ φρικωδίαν καὶ ἀμιξίαν καὶ βάραθρον ὑποχθόνιον, καὶ λήθην, καὶ στιφρὰν παρθένον, καὶ Ἄτλαντα· ἄξων τέ ἐστιν αὐτοῖς καὶ ἥλιος καὶ πυράλιος, καὶ μορφὼ δὲ καὶ Ζανὸς πύργος, καὶ σπερματίτης λόγος, Ἀπόλλων τε καὶ προφήτης καὶ λόγιος. ἡ δὲ τῶν ὀνομάτων αἰτία ἡ μὲν φρενὸς ἀστάτου καὶ δεισιδαιμονούσης, ἡ δὲ οὐδὲ τῆς παιδαριώδους ἀνατυπώσεως ἀπηλλαγμένη. ἀλλ᾽ ἡ μὲν μονὰς οὕτω Νικομάχῳ καὶ τοῖς αὐτοῦ διδασκάλοις θεολογεῖταί τε ἅμα καὶ βάλλεται ὕβρει.

Ἡ δὲ δυὰς τόλμα τέ ἐστιν αὐτοῖς, καὶ ὕλη, καὶ τῶν ἀνομοίων αἰτία, καὶ μεταίχμιον πλήθους καὶ μονάδος. ἐκ συνθέσεώς τε καὶ καταχρήσεως μόνη ἴσον ποιεῖ, διὸ καὶ ἴση. ἀλλὰ καὶ ἄνισος, καὶ ἔλλειψις, καὶ πλεονασμός, καὶ μόνη ἀσχημάτιστος καὶ ἀόριστος καὶ ἄπειρος, ἀρχή τε ἀρτίου μόνη, καὶ οὐκ ἄρτιος, οὐ μὴν οὐδ᾽ ἀρτιάκις ἀρτία, οὐδὲ περισσάρτιος, οὐδ᾽ ἀρτιοπέριττος. ἀλλὰ τούτων μὲν τὰ πλείω ἐγγύς ἐστι τῇ δυάδος φυσικῇ ἰδιότητι· ἃ δὲ τῆς τερατείας, πηγή ἐστι πάσης συμφωνίας, καὶ Μουσῶν ἡ Ἐρατώ, καὶ ἁρμονία, καὶ τλημοσύνη, καὶ ῥίζα, οὐ κατ᾽ ἐνέργειάν πω, καὶ δύναμις, καὶ πόδες πολυπιδάκου Ἴδης, καὶ κορυφαί, καὶ Φάνης. ἀλλὰ καὶ ἴσον Δία τὴν δυάδα ἡ μυθοπλαστία θεολογεῖ, καὶ δίκην, καὶ Ἶσιν, καὶ φύσιν, καὶ Ῥέαν, καὶ διομάτερα, καὶ πηγὴν διανομῆς· ἔστι δ᾽ αὐτοῖς ὡς Ῥέα καὶ Φρυγία καὶ Λυδία καὶ Δινδυμήνη, καὶ Δήμητρα καὶ Ἐλευσινία, καὶ Ἄρτεμις, καὶ Ἵμερος, καὶ Δίκτυννα, καὶ Ἀερία, καὶ Ἀστερία, καὶ Δίσαμος καὶ Ἐστώ, καὶ μὴν καὶ Ἀφροδίτη καὶ Διώνη καὶ Μυχαία καὶ Κυθέρεια, καὶ ἄγνοια καὶ ἀγνωσία καὶ ψεῦδος καὶ ἀδιοριστία, καὶ ἑτερότης καὶ νεῖκος καὶ διχοστασία, καὶ μόρος καὶ θάνατος. τοιαῦτα μὲν αὐτοῖς καὶ ἡ δυὰς θεολογεῖται.

Ἡ δὲ τριὰς ἔστι μὲν πρῶτος περισσὸς κατ᾽ ἐνέργειαν, καὶ τέλειος πρῶτος, καὶ μεσότης, καὶ ἀναλογία· τήν τε τῆς μονάδος δύναμιν εἰς ἐνέργειαν καὶ ἐπέκτασιν προχωρεῖν ποιεῖ. ἀλλὰ καὶ πρωτίστη, καὶ κυρίως μονάδων σύστημα. εἶτα λοιπὸν ἐντεῦθεν αὐτοῖς πρὸς τὸ φυσιολογικὸν αἴρεται ὁ ἀριθμός· αἰτία τε γὰρ τοῦ τριχῇ διαστατοῦ, καὶ περατωτικὴ τῆς ἀπειρίας τῆς ἐν ἀριθμῷ, καὶ ὅμοιον, καὶ ταὐτόν, καὶ ὁμόλογον, καὶ ὡρισμένον. ἀλλ᾽ οὔπω ταῦτα φορτικά· τὰ δ᾽ οὐχ ὅμοια. καὶ νοῦς τις ἡ τριάς, καὶ εὐβουλίας καὶ συνέσεως αἰτία, καὶ γνῶσις, ἀριθμοῦ τὸ κυριώτατον, μουσικῆς τε πάσης κυρία καὶ σύστασις, καί γε καὶ γεωμετρίας ὅτι μάλιστα. καὶ μὴν καὶ τῶν κατὰ ἀστρονομίαν καὶ οὐρανίων φύσιν τε καὶ γνῶσιν αὕτη τὸ κράτος ἔχει καὶ συνέχει καὶ εἰς οὐσίωσιν ἄγει. καὶ ἡ ἀρετὴ δὲ πᾶσα ταύτης ἐξῆπται καὶ ἐκ ταύτης πρόεισιν. "εἶτα λοιπὸν 239 H.
τὰ μυθώδη. "διὰ ταῦτα αὐτοῖς ἡ τριὰς Κρονία καὶ 464 R.
Λατὼ καὶ Ἀμαλθείας κέρας, Ὀφίονά τε αὐτὴν τερατολογοῦσι καὶ Θέτιν καὶ Ἁρμονίαν, Ἑκάταν τε καὶ Ἐρώναν καὶ Χαριτίαν καὶ Μουσῶν Πολύμνιαν, Ἀΐδαν τε καὶ Λοξίαν, ἄρκτον, ἕλικα, καὶ ποτὶ βυθὸν οὐ δυομέναν, Δαματράμην τε καὶ Διοσκορίαν, καὶ Μῆτιν, καὶ τριδύμην, Τρίτωνα, θαλασσοῦχον, Τριτογένειαν, Ἀχελῷον, νάστιν, καὶ ἀγυιόπεζαν Κουρητίδα, Κραταιΐδα,

a. 2. σκεπτὴ ς. 8. μὴν καὶ A: μὴν ἐν ς. 10. αἰτίας ς. 12. περὶ A: πρὸς ς. 15. ἐπιδείξεται ς. 18. τοῖς] περὶ τοῖς A. 23. προσιοῦσι ς.
b. 6. ἁρμονία] ἁρμονία ᾠδὴ οἷον ὑπομονὴ A. 8. πολυπίδακος ς. 9. Δία διὰ τὴν ς. 10. ἴσην pr A. 42. νάστιν A: ναίτιν ς. κρατυινίδα ς.

Digitized by Google

ἁρμονίαν, συμβηνίαν, γάμον, Γοργονίαν, Φορκίαν, τρίσαμον καὶ Λύδιον. οὕτω μὲν αὐτοῖς καὶ ἡ τριὰς καὶ εἰς τοσούτους αὐτῶν θεοὺς ἀναπλάττεται.

Ἡ δὲ τετρὰς πάλιν αὐτοῖς θαῦμα μέγιστον, ἄλλη θεὸς πολύθεος, μᾶλλον δὲ πάνθεος· ἔστι γὰρ αὐτοῖς τῶν τε φυσικῶν ἀποτελεσμάτων πηγὴ καὶ κλειδοῦχος τῆς φύσεως. ἀλλὰ καὶ τῆς κατὰ τὰ μαθήματα συστάσεώς τε καὶ διαμονῆς αὕτη προαγωγὸς καὶ αἰτία. ἀλλὰ καὶ αὐτὴ φύσις καὶ αἰόλα ἐστὶν αὐτοῖς καὶ Ἡρακλῆς καὶ ἔξαρμα καὶ ἀλκιμωτάτη καὶ ἀρρενικὴ καὶ ἀθήλυντος, Ἑρμῆς τε καὶ Ἥφαιστος καὶ Διόνυσος καὶ Σωρίτας, καὶ Μαιαδεὺς ἢ Μαιάδης (τῆς γὰρ Μαίας υἱὸς ἤτοι τῆς δυάδος ἡ τετράς) καὶ Ἐριούνιος καὶ Σῶκος καὶ Διάκτορος, καὶ Βασσάρευς καὶ διμάτωρ, μητρὸς τετευχὼς δυάδος, θηλύμορφός τε καὶ ἔπανδρος καὶ ἀρρενουργὸς καὶ βακχασμὸν ἀνεγείρων, καὶ ἁρμονία, καὶ τῶν Μουσῶν ἡ Οὐρανία. ἀλλ' οὕτω μὲν αὐτοῖς καὶ ἡ τετρὰς τερατολογουμένη θεολογεῖται, καὶ τὸ α' τῶν θεολογουμένων ἀριθμῶν Νικομάχῳ συναπαρτίζεται βιβλίον.

Ἐν δὲ τῷ β' μετὰ τὸ προοίμιον ἡ πεντὰς αὐτῷ πληροῖ τὸν ἀγῶνα. ἡ γὰρ πεντὰς πρώτη μεσότητος τῆς ἀρίστης καὶ φυσικωτάτης ἐμφατική, κατὰ διάζευξιν ἀμφοτέροις πέρασι τοῦ φυσικοῦ ἀριθμοῦ, μονάδι μὲν ὡς ἀρχῇ, δεκάδι δὲ ὡς τέλει συνεζευγμένη, καὶ συλληπτικὴ τῶν ἐν τῇ κοσμικῇ φύσει φαινομένων· καὶ γὰρ κατὰ μὲν τὴν μονάδα ὁ κόσμος ἐρρίζωται, ἥνυσται δὲ καὶ πέφανται κατὰ τὴν δεκάδα. ἀλλὰ καὶ ὅτι προσεχέστατον καὶ μόνον μέρος τῆς δεκάδος. καὶ τὰ στοιχεῖα δὲ τοῦ παντὸς κατὰ τὴν πεντάδα· προστίθησι γὰρ τοῖς τέσσαρσι καὶ τὸν αἰθέρα, ὃ οὐκ ἂν ἀνέξοιτο ὑμνῶν τὴν τετράδα. καὶ πολλὰ τοιαῦτα. ἀλλ' οὔπω ταῦτα κομψὰ καὶ σοφά, τὰ δ' ἐφεξῆς σκόπει. ἀνεικία γὰρ ἡ πεντὰς καὶ ἀλλοίωσις καὶ φάος καὶ δικαιοσύνη, καὶ ἐλαχίστη ἀκρότης τῆς ζωότητος, καὶ Νέμεσις, καὶ Βουβάσια, καὶ δίκησις καὶ Ἀφροδίτη καὶ γαμηλία καὶ ἀνδρογυνία καὶ Κυθέρεια, καὶ ζωναία, καὶ κυκλοῦχος, καὶ ἡμίθεος, καὶ Ζανὸς πύργος, καὶ διδυμαία, καὶ ἄξων ἑδραία. ἄμβροτόν τε αὐτὴν ὑψηλολογοῦσι καὶ Παλλάδα, καὶ κραδεᾶτιν καὶ ἡγεμονίαν καὶ ἀκρεῶτιν καὶ ἀτάλαντον καὶ ἄζυγα καὶ Ὀρθιᾶτιν, καὶ Μουσῶν Μελπομένην, καὶ ἀμειβομένην ὀπὶ καλῇ, καὶ μέσων μέσην καὶ ἀκρότητα γονίμων. ἐπὶ τούτοις μὲν οὖν σεμνύνει καὶ τὴν πεντάδα.

Ἡ δὲ ἑξὰς εἶδος εἴδους αὐτῷ αἰτιολογεῖται, καὶ b 464 R. τῇ ψυχῇ μόνος ἀριθμῶν ἁρμόζων, καὶ διάρθρωσις τοῦ παντὸς ψυχοποιὸς καὶ τῆς ζωτικῆς ἕξεως ἐμποιητική (παρὸ καὶ ἑξάς) καὶ ἁρμονία καὶ οὐλομέλεια, καὶ 465 R. κυρίως αὕτη μᾶλλον Ἀφροδίτη ζυγία τε καὶ γαμηλία καὶ ἀνδρογυνία θεολογεῖται. ἀλλὰ καὶ ζυγῖτις καὶ φιλοτησία καὶ εἰρήνη καὶ φιλία καὶ ὑγεία, ἄκμων τε καὶ ἀλήθεια. καὶ μοιρῶν δὲ Λάχεσιν αὐτὴν ποιοῦσι, καὶ ἀρχὴν καὶ ἥμισυ παντός, καὶ ἑκατηβελέτιν καὶ τριοδῖτιν καὶ διχρονίαν καὶ Περσείαν καὶ τρίμορφον, καὶ Ἀμφιτρίτην, καὶ ἀγχιδίκαν, καὶ Μουσῶν Θάλειαν, καὶ πανάκειαν. οὕτω μὲν οὐδ' ἡ ἑξὰς αὐτοῖς θεὸς εἶναι καὶ θεοῖς διέφυγε φιλοτιμεῖσθαι.

Ἡ δὲ ἑβδομάς — τί ἄν τις καὶ εἴποι; εὐθὺς μὲν γάρ ἐστι σεπτάς· κἂν τὸ σ̄ φθείροι ἡ συνήθεια, ἕλκει τοῦτο ῥᾷστα ἐκ διπλοῦ τοῦ ξ̄, ὅπερ τῷ πρὸ αὐτοῦ ἀριθμῷ ἡ φύσις πρὸς τῷ τέλει ἀπεκλήρωσεν, ἵν' ᾖ τοῦτο ἐπιχείρημα τῷ σεβαστῷ ἀριθμῷ πρὸς τὴν ἐπιβουλὴν τὴν ἀπὸ τῶν πολλῶν. τοιαύτη μὲν ἡ ἀπόδειξις θαυμαστή, ὡς ἔστι πάντως σεπτὰς καὶ σεβασμοῦ ἄξιος ὁ ἑπτά. πάλιν δὲ καὶ αὐτὴ μεσότης μονάδος καὶ δεκάδος, τύχη καὶ καιρός, Ἀθηνᾶ καὶ Ἄρης, καὶ ἀκρεῶτις, καὶ ἀγελεία, καὶ ἀτρυτώνη, φυλακῖτις, ὀβριμοπάτρα, τριτογένεια, γλαυκῶπις, Ἀλαλκομένεια, παντευχία, ἐργάνη, πολυαρήτη, οὐλομέλεια, Ἀμαλθείας γένος, αἰγίς, Ὄσιρις, ὄνειρας, φωνή, αὐδή, καὶ Μουσῶν ἡ Κλειώ, εἰ βούλει δέ, καὶ κρίσις καὶ Ἀδράστεια καὶ πολὺς φλύαρος τοιοῦτος. οὕτω μὲν ἡ πάνσεπτος αὐτοῖς ἑπτὰς μακροτέρῳ πόνῳ μέγας καὶ πολὺς θεὸς ἀνυμνεῖται.

Ἡ δὲ ὀκτάς, εἰ καὶ μὴ τοῖς ἴσοις μηδ' ὀγδόῳ μέρει, ἀλλ' οὖν τῷ θεὸς αὐτοῖς εἶναι οὐδ' αὐτὴ τοῦ θρόνου ἀπερρίφη· παναρμονίαν γὰρ αὐτὴν προσκυνοῦσι, καὶ Καδμείαν μητέρα τε καὶ Ῥέαν καὶ θηλυποιὸν καὶ Κυβέλην, Κυβήβην τε καὶ Δινδύμην καὶ πολιοῦχον, ἐρωτά τε καὶ φιλίαν, μῆτιν, ἐπίνοιαν, ὀρείαν, Θέμιν, νόμον, ἠλιτομήναν, καὶ τῶν Μουσῶν τὴν Εὐτέρπην.

Καὶ ἡ ἐννὰς δὲ ὑστερεῖ μὲν καὶ τῆς θειότητος καὶ τῆς μακρᾶς συγγραφῆς, οἷς ἡ ἑβδομὰς ὑπερῆρτο· πλὴν τῆς ὀκτάδος ἐγγὺς θεολογεῖται. ὠκεανὸς γὰρ αὐτοῖς αὕτη περιρρεῖται, καὶ ὁρίζων ἀνυμνεῖται· Προμηθέα τε αὐτὴν καὶ ὁμόνοιαν καὶ Περσείαν καὶ Ἅλιον ἱερολογοῦσιν, ἀνεικίαν, ὁμοίωσιν, Ἥφαιστον, Ἥραν, Διὸς

a. 2. οὕτω A: ὅσῳ ς. 13. Διόσκορος ς. 16. post ἀνεγ. καὶ cum Roth. omisi ἁρμονῖτα ἤ. 27. πέφ.] πεπέρανται Astius, προσεχέστατον A: πρὸς ἔσχατον ς. 36. Ἀνδρογυνία καὶ Ζανὸς πύργος καὶ ς. 38. αὐτὴν add A. 39. κραδιάτην ς. b. 3. ἕξεως A: ὀρέξεως ς. 4. οὐλομελία A. 5. αὐτὴ ς. 6. ἀνδρογυναία ς. καὶ post ζυγῖτις add A. 13. θεὰ ς. 20. πάντως A: οὕτω ς. 22. ἀγελία libri. ἀκρέωσις ς. 27. καὶ πολυφλύαρος ς. 33. Καδμείας ς. τε add A. 38. οἷς A: ἧς ς. 40. περιρεῖται A: περιρρεῖται ς. fortasse legendum περιρρεῖ τε. 41. περσίαν A.

Digitized by Google

ἀδελφὴν καὶ σύνευνον, ἑκάεργον, Παιᾶνα, Νυσαηΐδα, Ἀγυιέα, Ἐνυάλιον, ἀγελείαν, Τριτογένειαν, ὁμόνοιαν, Πειθώ, κουρῆτιδά τε καὶ Κόρην, Ὑπερίονα, καὶ Μουσῶν Τερψιχόρην.

Ἡ μέντοι δεκὰς αὕτη ἐστὶν αὐτοῖς τὸ πᾶν, θεὸς ὑπέρθεος καὶ θεὸς θεῶν, ὅτι δέκα χειρῶν καὶ δέκα ποδῶν δάκτυλοι, καὶ δέκα κατηγορίαι, καὶ τοῦ λόγου δέκα μέρη· ἵνα γὰρ ἡ αὐτοῖς πάντα ἡ δεκάς, προσ-
141 H. τιθέασι τοῖς τοῦ λόγου μέρεσι προσηγορίαν καὶ παραπλήρωμα. τί δεῖ λέγειν ὡς ἐν αὐτῇ περιλαμβάνουσι τά τε στερεὰ καὶ τὰ ἐπίπεδα, ἄρτια, περισσά, ἀρτιοπέρισσα, τέλεια, πρῶτα καὶ ἀσύνθετα, ἰσότητα καὶ ἀνισότητα, τὰς δέκα σχέσεις, τὰ σφαιρικά, τὰ κυκλικά, γεννητικά, τελεστικά, ἐναρμόνια, τὰ τοιαῦτα; ἀλλ᾽ ὅπως αὐτοῖς κόσμος ἡ δεκὰς καὶ οὐρανός, εἱμαρμένη, αἰών,
468 R. κράτος, πίστις, ἀνάγκη, Ἄτλας, ἀκάμας θεός, Φάνης, ἥλιος, Οὐρανία, Μνήμη, Μνημοσύνη; καὶ πάντα ἂν οἶμαι τὰ προειρημένα τῶν θεῶν αὐτῶν ὀνόματα τῇ δεκάδι ἀνήψαντο ἄν, εἰ μὴ προλαβόντες ἐκεῖνοι ταῦτα ἰδιοποιήσαντο καὶ συνεχῶς τὰ αὐτὰ κατὰ πάντων λέγειν οὗτοι ἀπώκνησαν, ἐπεὶ ὑπέρθεός γε αὐτοῖς ἡ δεκάς, καὶ τὸ κράτος τῆς ἐν ἀριθμοῖς ἔχουσα θεότητος. διὰ τοῦτο Νικομάχῳ καὶ πολύστιχος ὁ περὶ αὐτὴν πόνος. εἰ γὰρ καὶ πολλῷ μακροστιχώτερος ὅ τε τῆς μονάδος καὶ ἑβδομάδος, ἀλλ᾽ ὁ μὲν τῆς μονάδος, ὅτι καὶ περὶ τῶν ἑξῆς ἀριθμῶν οὐκ ὀλίγα διεξέρχεται καὶ προοιμίοις πλατύνεται. πλὴν ἐν ἀμφοῖν πολλὰ καὶ περὶ τῆς δεκάδος ἐμφιλοχωρεῖ, ὥσπερ καὶ ἐν τῷ περὶ τῆς πεντάδος λόγῳ μικροῦ πρὸς τὸν τῆς ἑβδομάδος παρισουμένῳ κατὰ τὸ μῆκος.

Ἀλλὰ γὰρ αὕτη σοι, ὦ φίλτατε ἀδελφῶν, καὶ τῶν Νικομάχου ἀριθμῶν ὡς ἐν κεφαλαίῳ ἡ πολυθρύλητος καὶ δυσεύρετος θεολογία; οὐ (μὰ τὴν ὑμῶν ἀγχίνοιαν καὶ φιλοπονίαν) διὰ τὸ ἐν αὐτῇ δυσέμβατόν τε καὶ δυσκατάληπτον μικροῦ τῶν ἀνθρώπων ἀνακεχωρηκυῖα, ἐπεὶ νῦν τά τε γεωμετρικὰ καὶ ἀριθμητικὰ καὶ τἆλλα τῶν μαθημάτων, ὡς καὶ σὺ συνεπίστασαι, πολλοὶ τῶν ἡμᾶς ἐγνωκότων οὐκ ἔλαττον οἶμαι τοῦ παιδὸς Ἑρμείου (οἶδας πάντως τὴν περὶ ταῦτα δεξιότητα τοῦ Ἀμμωνίου) διακριβοῦσι, καὶ οὐδὲν αὐτοὺς λάθοι ἂν τῶν θεωρημάτων, οὐ συνεπεισκυκλεῖ Νικόμαχος τῷ περὶ ἀριθμῶν πόνῳ· ἀλλὰ πόθεν; ἐσπάνισεν ὁ χρόνος, οἶμαι, καὶ τὸ μὴ φείδεσθαι τῶν χρησίμων ἐκ τοῦ ῥᾷστα τὰ ἄχρηστα φθείρειν ἔθος ἔλαβε μέγα καὶ ἄμαχον κράτος, καὶ ἐκέρδανεν ἂν καὶ ἡ Νικομάχου σπουδὴ τὸ μετὰ πολλῶν χρησίμων μικροῦ νομίζεσθαι διεφθάρθαι. ἀλλ᾽ ἔστι καὶ πράττεται, οὐκ ὀλίγην δόξαν, ὡς ὁρᾷς καὶ οἶδα ὄψει σαφέστερον, ἀποκειραμένη.

## 188.

Ἀνεγνώσθη ΑΛΕΞΑΝΔΡΟΥ θαυμασίων συναγωγή. λέγει μὲν ἐν τῷ βιβλίῳ πολλὰ τερατώδη καὶ ἄπιστα, πλὴν ἄλλους τῶν οὐκ ἀφανῶν εἰσάγει ταῦτα προϊστορήσαντας. λέγει δὲ περί τε ζώων καὶ φυτῶν καὶ χωρῶν τινῶν καὶ ποταμῶν καὶ κρηνῶν καὶ βοτανῶν καὶ τῶν τοιούτων. σαφὴς δὲ τὴν φράσιν καὶ κεφαλαιώδης ἐστί, καὶ οὐδὲ τοῦ ἡδέος ἀπεστερημένος.

Ἐν ταὐτῷ δὲ καὶ ΠΡΩΤΑΓΟΡΟΥ γεωμετρίας τῆς οἰκουμένης ἐπιγραφὴν ἔχον, λόγοι ϛ′, ὧν τὰ μὲν ε′, εἰ καὶ μὴ σπουδαίως καὶ ὡς οἱ ὕστερον ἀκριβῶς, ἀλλ᾽ οὖν τὴν τῆς Ἀσίας καὶ Λιβύης, ἀλλὰ καὶ Εὐρώπης περιήγησιν ποιεῖται. τὸ δὲ ἕκτον σύστοιχόν πώς ἐστι τῇ Ἀλεξάνδρου συναγωγῇ· τῶν γὰρ κατὰ τὴν οἰκουμένην παραδοξολογουμένων ἀναγράφει τὴν ἱστορίαν, ὧν τὰ μὲν εἰς ἀρχαιοτέρους ἀναφέρει, πολλὰ δὲ καὶ εἰς αὐτοψίαν ἕλκει, 242 H.
οὐκ ἔλαττον τῶν ἄλλων προβαλλόμενα τὸ παράδοξον. σαφὴς δὲ καὶ οὗτος καὶ κεφαλαιώδης κατὰ τὸ ἕκτον τὴν φράσιν μάλιστα.

## 189.

Ἀνεγνώσθη ΣΩΤΙΩΝΟΣ τῶν σποράδην περὶ πο- 469 R.
ταμῶν καὶ κρηνῶν καὶ λιμνῶν παραδοξολογουμένων. σύστοιχον καὶ τοῦτο τὸ βιβλιδάριον τῷ ἕκτῳ τε τῶν Πρωταγόρου καὶ τῇ Ἀλεξάνδρου συναγωγῇ, πλὴν ὅτι ἐνταῦθα τὰ περὶ κρηνῶν μόνον καὶ λιμνῶν παραδοξολογούμενα ἱστορεῖται, ἐν ἐκείνοις δὲ καὶ πλειόνων ἄλλων. ἡ δὲ φράσις παραπλήσιος ἐκείνοις.

Ἐν ταὐτῷ δὲ συνανεγνώσθη καὶ ΝΙΚΟΛΑΟΥ λόγος Ἡρώδῃ τῷ Ἰουδαίων βασιλεῖ προσπεφωνημένος, ἐν ᾧ παραδόξων ἐθῶν ἐστὶ συναγωγή. συμβαίνει μὲν εἰς ταὐτὸν ἐνίοις τῶν ὑπὸ Ἀλεξάνδρου παραδόξων συνειλεγμένων, καὶ περὶ ὧν δὲ Κόνων συνέταξεν, οὐκ ὀλίγα προσέγραψε· πλὴν ἔν τισι παραλλάσσει ταῖς ἱστορίαις, ἑτεροτρόπως αὐτὰ διεξιών, τὴν δὲ φράσιν ἐστὶ μὲν καὶ

a. 3. Ὑπερίονα A: καὶ Ὑπερίονα ς. 11. τε add A. 12. τέλεια ς, καὶ ante ἀνισ. et 14. τὰ add A. 19. προβάντες ς. 24. πολλῶν A. ὅ τε A: οὔτε ς. 27. ἐν A: ἓν ἐν ς. 33. οὐ μὰ τὴν] ἢ μὰ τὴν corr A, οὐ μάτην ς. 39. οἶδας γὰρ π. ς. b. 13. καὶ ante ποταμῶν om A. 16. δὲ A: γὰρ δὲ ς. γεωγραφίας Casaubonus. 18. οἱ add A. cum eodem post Ἀσίας omisi τε. 20. σύστοιχον] στοιχεῖον A. 32. μόνων ς. 35. συνανέγνω — λόγον A. 37. συμβαίνει μὲν εἰς ταὐτὸν A: καὶ συμβαίνει μὲν ς. 40. προσανέγραψε ς. 41. ἐστὶ add A.

αὐτὸς κεφαλαιώδης, οὐ μὴν οὐδὲ τοῦ σαφοῦς ἀνακεχωρηκώς, μετέχων δέ πως καὶ τῶν προειρημένων μᾶλλον συστροφῆς τινὸς καὶ δεινότητος. λέγει δ' ἔνια μὲν πολλοῖς, εἰ καὶ ξενίζοντα εἴη, ὅμως ὁμολογούμενα, τινὰ δ' ἀγνοούμενα μέν, οὐ μὴν ἐκ τοῦ ἐμφανοῦς πρὸς μάχην τῷ πιθανῷ καθιστάμενα· ἔθη γὰρ ἐθνῶν ἰδιότροπα τὰ πολλὰ περιαγγέλλει· εὑρεῖν δ' ἔστιν ἐν αὐτοῖς καὶ τὸ ἀπίθανον προϊσχόμενα. ὁ ἐκ Δαμασκοῦ δ' ἐστὶν οὗτος οἶμαι Νικόλαος, ὁ ἐπὶ τῶν Αὐγούστου χρόνων ἀκμάσας καὶ φίλος αὐτῷ χρηματίσας· ἐξ οὗ καὶ πλακούντων τι εἶδος, ἃ διέπεμπε Καίσαρι, εἰς τιμὴν τοῦ δεξιουμένου νικολάους ὁ Καῖσαρ ἐκάλεσεν. οὗτος καὶ Ἀσσυριακὴν ἱστορίαν ἐν πολυστίχῳ βιβλίῳ, ὅσα παλαιὰν μνήμην ἀναγνωσμάτων ἔχομεν, καταλέλοιπεν.

Ἐν ταὐτῷ δὲ τεύχει συνανεγνώσθη ἐν λόγοις δ' ἈΚΕΣΤΟΡΙΔΟΥ τῶν κατὰ πόλιν μυθικῶν. ἔοικε μὲν οὖν οὗτος ὁ ἀνὴρ οὐκ ὀλίγων εὐστοχώτερον τῇ ἐπιγραφῇ κεχρῆσθαι· ἃ γὰρ ἕτεροι ἢ οἵ γε μετριώτεροι μηδὲν ἐπισημηνάμενοι, ἢ ἔνιοι καὶ ὡς ἀληθῆ σπουδαιολογήσαντες ἀνεγράψαντο, ταῦθ' οὗτος σὺν τῷ φιλαλήθει μύθους καλέσας τὴν περὶ αὐτῶν ἱστορίαν ἢ μυθολογίαν, ὡς καὶ αὐτὸς χαίρει λέγων, συνετάξατο. πολλὰ μὲν οὖν ἔστιν ἐν τούτοις εὑρεῖν, ἅ τε συνείλεκται Κόνωνι καὶ Ἀπολλόδωρος ἐν τῇ αὐτοῦ εἶπε βιβλιοθήκῃ καὶ Ἀλέξανδρος ἤθροισε καὶ Νικόλαος προσεφώνησε καὶ Πρωταγόρας προδιείλαβεν· ἔστι δ' Ἀκεστορίδῃ τούτῳ καὶ πολλὰ μὲν τῶν ἐκείνοις ἀφειμένων ἀναγεγραμμένα, πλὴν καὶ ἐν πολλοῖς, περὶ ὧν οὗτός τε κἀκεῖνοι διεξέρχονται, ἀσύμβατον ἔστιν αὐτῶν θεάσασθαι τὴν ἀφήγησιν. πολλὰ μὲν οὖν ὁ ἀνὴρ καὶ ἱστορίαις ἐπιδόξοις μαρτυρούμενα ἐν τοῖς αὐτοῦ λόγοις ἀναγράφει, ἔστι δ' ἃ καὶ ταῖς ἐναργείαις τὸ πιστὸν ἐνδείκνυσθαι δεδυνημένα. καὶ ἔοικε μᾶλλον τὸ μυθικὸν οὐκ ἐπὶ διαβολῇ τῶν συντεταγμένων αὐτῷ ἐπειρῆσθαι, ἀλλὰ τὸ χαρίεν καὶ ψυχαγωγὸν αὐτῶν ἐν- 472R. δεικνυμένῳ, "πλὴν ἀλλ' ἔμοιγε κριτῇ εὐγνώμονος ἂν 243H. ἀπενέγκοι "δόξαν, ὅτι πολλὰ ψευδῆ τοῖς γεγενημένοις συναναγράφειν μέλλων ἀμφιβόλῳ ῥήματι τῆς ἐπιγραφῆς ἀφοσιοῦται τὴν μέμψιν. παραπλήσιος δὲ τὴν φράσιν καὶ οὗτος.

## 190.

Ἀνεγνώσθησαν ΠΤΟΛΕΜΑΙΟΥ ΤΟΥ ἩΦΑΙΣΤΙΩΝΟΣ περὶ τῆς εἰς πολυμαθίαν καινῆς ἱστορίας λόγοι ϛ'. χρήσιμον ὡς ἀληθῶς τὸ βιβλίον τοῖς περὶ τὴν ἱστορικὴν πολυμαθίαν πονεῖν ὡρμημένοις· ἔχει γὰρ δοῦναι συνειλεγμένα βραχεῖ χρόνῳ εἰδέναι, ἃ σποράδην τις τῶν βιβλίων ἀναλέγειν πόνον δεδεγμένος μακρὸν κατατρίψει βίον. ἔχει δὲ πολλὰ καὶ τερατώδη καὶ κακόπλαστα, καὶ τὸ ἀλογώτερον, ὅτι καὶ ἐνίων μυθαρίων αἰτίας, δι' ἃς ὑπέστησαν, ἀποδιδόναι πειρᾶται. ὁ μέντοι τούτων συναγωγεὺς ὑπόκενός τέ ἐστι καὶ πρὸς ἀλαζονείαν ἐπτοημένος, καὶ οὐδ' ἀστεῖος τὴν λέξιν. προσφωνεῖ δὲ τὸ σύνταγμα Τερτύλλα τινί, ἣν καὶ δέσποιναν ἀνυμνεῖ καὶ τὸ φιλολόγον αὐτῇ καὶ πολυμαθὲς ἐπιφημίζει. διαβάλλει δ' ἐνίους καὶ τῶν πρὸ αὐτοῦ οὐχ ὑγιῶς ἐπιβαλόντας τῇ ὑποθέσει. τά γε μὴν πλεῖστα τῶν ἱστορουμένων ὑπ' αὐτοῦ, καὶ ὅσα τοῦ ἀπιθάνου καὶ ἀπίστου καθαρεύει, παρηλλαγμένην ὅμως καὶ οὐκ ἄχαριν εἰδέναι τὴν μάθησιν ἐμπαρέχει.

Περιέχει μὲν οὖν τὸ α' βιβλίον περὶ Σοφοκλέους τῆς τελευτῆς, καὶ πρὸ αὐτοῦ περὶ τῆς Πρωτεσιλάου, εἶτα καὶ περὶ τῆς Ἡρακλέους, ὡς πυρὶ αὐτὸν ἀνεῖλε μὴ δυνηθεὶς τὸ οἰκεῖον ἐντεῖναι τόξον πεντηκοντούτης γενόμενος, περί τε τῆς Κροίσου ἐν τῇ πυρᾷ σωτηρίας, περί τε τῆς Ἀχιλλέως τελευτῆς, καὶ περὶ Λαΐδος τῆς ἑταίρας, ὡς τελευτήσοι ὀξοῦν ἐλαίας καταπιοῦσα. τούτων ἕκαστον διεξιὼν ἀποφαίνεται τοὺς πρὸ αὐτοῦ ἐσφαλμένως τὰ περὶ τούτων ὑπολαβεῖν τε καὶ ἀναγράψαι. ἐφεξῆς δὲ περὶ Ἀλεξάνδρου τοῦ βασιλέως φησίν, ὡς ἐν Ἐφέσῳ θεασάμενος Παλαμήδην δολοφονούμενον ἐν πίνακι ἐθορυβήθη, διότι ἐῴκει τῷ δολοφονουμένῳ Ἀριστόνεικος ὁ σφαιριστὴς Ἀλεξάνδρου· τοιοῦτος γὰρ ἦν Ἀλέξανδρος τὸ ἦθος, ἐπιεικὴς καὶ φιλέταιρος. εἶτα ὅτι τὸ παρ' Εὐφορίωνι ἐν Ὑακίνθῳ ἀπορούμενον „Κωκυτὸς μοῦνος ἀφ' ἕλκεα νίψεν Ἄδωνιν" τοιοῦτόν ἐστι· Κωκυτὸς ὄνομα, Χείρωνος ἐπὶ τῇ ἰατρικῇ μαθητής, ἐθεράπευσε τὸν Ἄδωνιν ὑπὸ τοῦ συὸς τρωθέντα. λέγει δ' ὅτι ὁ παρ' Ἡροδότῳ ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν ὑπὸ Ἀδράστου τοῦ Γορδίου ἀνῃρημένος Ἀγάθων ἐκαλεῖτο, καὶ ἀναιρεθῆναι αὐτὸν περὶ ὄρτυγος φιλονεικοῦντα. καὶ ὡς Κάδμος καὶ Ἁρμονία εἰς λέοντας μετεμορφώθησαν, καὶ ὡς Τειρεσίας ἑπτάκις μετεμορφώθη, διά τί τε ὑπὸ Κρητῶν οὗτος Φόρβαντος κόρη ἐκαλεῖτο. ὅτι Ἐρύμανθος ὁ παῖς Ἀπόλλωνος ἐτυφλώθη, διότι ἴδοι λουμένην

a. 3. τινὸς A: τε ς. 11. ἐξισουμένου ς. 12. ἀσυριακὴν A. 13. παλαιᾶς μνήμης — ἐχόμενα Scaliger. 16. συνθικῶν ς. 19. δικαιολογήσαντες ς. 32. πιστὸν A: πλεῖστον ς. 42 et b 2. πολυμάθειαν ς. b. 3. συνειλεγμένα post χρόνῳ ponit ς. 5. βίον A: χρόνον ς. 12. δ' om A. 32. Κωκυτὸς] Κωκυτός τοι Scaliger. ἀφέλκεα A. cf. Meinek. de Euphorion. p. 92. 34. θεραπεῦσαι A. 42. λωμένην pr A: λουομένην ς.

*'Αφροδίτην ἀπὸ τῆς 'Αδώνιδος μίξεως, καὶ 'Απόλ-
λων μηνίσας ἑαυτὸν εἰς σύαγρον μετεμόρφωσε, καὶ
473R. τοῖς ὀδοῦσι πλήξας ἀνεῖλε τὸν "Αδωνιν. "διὰ τί
441H. ὁ ποιητὴς πελειάδας ἐποίησε "τῆς τροφῆς τῶν θεῶν
διακόνους, κ τίνα 'Αλέξανδρος ὁ βασιλεὺς κ 'Αριστο-
τέλης εἰς τοῦτο εἶπον, καὶ περὶ 'Ομήρου κ πελειάδων.
ὅτι 'Επίχαρμος ὁ ποιητὴς ἀπ' 'Αχιλλέως τοῦ Πηλέως
εἷλκε τὸ γένος. ὅτι Πάτροκλον ἐξόχως "Ομηρος ἱππέα
καλεῖ ὡς παρὰ Ποσειδῶνος ἐραστοῦ γεγονότος μαθόντα
τὴν ἡνιοχικήν. ὅτι 'Οδυσσεύς, διότι ὦτα μεγάλα εἶχεν,
Οὖτις πρότερον ἐκαλεῖτο· ὑετοῦ δέ φησι γινομένου μὴ
ἀντισχοῦσαν τὴν μητέρα ἔγκυον οὖσαν κατὰ τὴν ὁδὸν
τεκεῖν, καὶ τὸν 'Οδυσσέα διὰ τοῦτο ὕτως ὀνομασθῆναι.
ὅτι Περιτάνος τις ὄνομα 'Αρκὰς 'Ελένην συνοῦσαν 'Αλε-
ξάνδρῳ ἐν 'Αρκαδίᾳ ἐμοίχευσεν, 'Αλέξανδρος δ' αὐτὸν
ποινὴν τῆς μοιχείας εἰσπραττόμενος ἐξευνούχισε, καὶ
ἐξ ἐκείνου 'Αρκάδες τοὺς εὐνούχους περιτάνους λέγουσιν.
ὡς 'Αχιλλέα μὲν 'Αριστόνικος ὁ Ταραντῖνος διατρί-
βοντα ἐν ταῖς παρθένοις παρὰ Λυκομήδει Κερκυσέραν
καλεῖσθαί φησιν, ἐκαλεῖτο δὲ καὶ 'Ισσὰν καὶ Πυῤῥὰν
καὶ "Ασπετος καὶ Προμηθεύς. ὅτι Βοτρύας ὁ Μύν-
διος τοὺς Νιόβης παῖδας πάντας ὑπὸ 'Απόλλωνός
φησιν ἀνῃρῆσθαι. ὅτι 'Οδυσσεῖ ἕπεσθαι δίδωσιν ὁ πατὴρ
μνήμονα Μυΐσκον τοὔνομα, Κεφαλλῆνα. εἵπετο καὶ
'Αχιλλεῖ μνήμων τοὔνομα Νοήμων, γένει Καρχηδόνιος,
κ Πατρόκλῳ Εὔδωρος. 'Αντίπατρος δέ φησιν ὁ 'Ακάν-
θιος Δάρητα, πρὸ 'Ομήρου γράψαντα τὴν 'Ιλιάδα, μνή-
μονα γενέσθαι "Εκτορος ὑπὲρ τοῦ μὴ ἀνελεῖν ἑταῖρον
'Αχιλλέως. κ Πρωτεσιλάου δέ φησι Δάρδανον γενέσθαι,
γένος Θεσσαλόν· καὶ 'Αντιλόχῳ δὲ Χάλκωνα ὑπα-
σπιστὴν καὶ μνήμονα ὑπὸ Νέστορος συνεζεῦχθαι τοῦ πα-
τρός. ταῦτα μὲν ἐν τῇ α' βίβλῳ τὰ κεφάλαια.*

*'Η δὲ β' περὶ 'Ηρακλέους, ὡς μετὰ τὴν μανίαν ἐλ-
λεβόρῳ καθαρθείη ὑπὸ 'Αντικυρέως τοῦ καὶ τὸ φάρ-
μακον εὑρόντος τὸ ἐν 'Αντικύρᾳ τῆς Φωκίδος πλεο-
νάζον, κἂν ἄλλοι ἄλλως αὐτόν φασι καθαρθῆναι. ὅτι
Νέστορά φασιν ἐρώμενον 'Ηρακλέους γενέσθαι. ὅτι οὐ Φι-
λοκτήτης, φησίν, ἀλλὰ Μόρσιμος ὁ Τραχίνιος ὑφῆψεν
'Ηρακλεῖ τὴν πυράν. ὅτι 'Ηρακλῆς ἀποβρωθέντος
αὐτῷ τῶν δακτύλων ἑνὸς ὑπὸ τοῦ Νεμεαίου λέοντος
ἐννεαδάκτυλος γέγονε, καὶ ἔστι τάφος τοῦ ἐκκεκομμένου
δακτύλου· οἱ δὲ κέντρῳ τρυγόνος ἀποβαλεῖν τὸν δά-
κτυλον ἔφασαν. λέοντα δ' ἔστιν ἰδεῖν τῷ τοῦ δακτύλου
τάφῳ ἐφεστῶτα λίθινον ἐν Λακεδαίμονι, σύμβολον τῆς
τοῦ ἥρωος ἀλκῆς. ἐξ ἐκείνου δὲ καὶ τοῖς ἄλλων τάφοις
λιθίνους ἐφιστῶσι λέοντας. ἄλλοι δ' ἄλλως περὶ τῆς τοῦ
λέοντος ἀναστηλώσεώς φασιν. ὡς ἐκ τῆς 'Ηρακλέους
πυρᾶς ἀκρίδων πλῆθος ἀνήφθησαν καὶ λοιμοῦ δίκην
τὴν χώραν ἐσίνοντο, κ ὡς ἀνῃρέθησαν. ὡς 'Αφρο-
δίτη δι' "Αδωνιν τὸν αὐτῆς τε καὶ 'Ηρακλέους ἐρώ-
μενον Νέσσον τὸν Κένταυρον διδάξειε τὴν κατὰ 'Ηρα-
κλέους ἐνέδραν. ὡς Νιρεὺς ὁ Συμαῖος 'Ηρακλέους ἦν
ἐρώμενος, "κ συγκατειργάσατο τὸν 'Ελικώνιον λέοντα· 245H.
οἱ δὲ υἱὸν 'Ηρακλέους τὸν Νιρέα φασί. τίνες αἱ παρὰ
τῷ ποιητῇ χάριτες, αἷς παραβάλλει τὰς Εὐφόρβου
κόμας. ὅτι Νεῖλος ὁ 'Ηρακλῆς ἀπὸ γενέσεώς φησιν ἐκα-
λεῖτο, ἐπεὶ δ' "Ηραν ἔσωσεν ἐπερχόμενον αὐτῇ ἀνελὼν
τὸν ἀνώνυμον κ πυρίπνοον Γίγαντα, "ἐκεῖθεν διὰ τὸ 476R.
ἀπαλαλκεῖν τῆς "Ηρας τὸν πόλεμον μετέβαλε τὴν κλῆ-
σιν. ὅτι "Αβδηρος ὁ 'Ηρακλέους ἐρώμενος τὰ περὶ τῆς
πυρᾶς αὐτοῦ Θησεῖ ἀναγγείλας ὑπ' αὐτοῦ ἀναιρεῖται.
ὅτι τὴν μέσην κεφαλὴν τῆς ὕδρας 'Αριστόνικός φησιν
ὁ Ταραντῖνος χρυσῆν εἶναι. ὅτι 'Αλέξανδρος ὁ Μύν-
διός φησι δράκοντα γηγενῆ συμμαχῆσαι 'Ηρακλεῖ πρὸς
τὸν Νεμεαῖον λέοντα, ὃν καὶ ἀνατραφῆναι ὑπὸ 'Ηρα-
κλέους, κ συνακολουθήσαντα αὐτῷ ἐς Θήβας ἐν Αὐ-
λίδι μεῖναι· κ τοῦτον εἶναι τὸν τοὺς νεοσσοὺς καταφα-
γόντα τῆς στρουθοῦ καὶ ἀπολιθωθέντα. ὡς τὴν 'Αργὼ
ἐν "Οσσῃ τῆς Θεσσαλίας 'Ηρακλῆς μὲν κατασκευάζει,
ὄνομα δ' αὐτῇ τίθησιν ἀπὸ "Αργου τοῦ 'Ιάσονος, ὃς ἦν
ἐρώμενος αὐτῷ, δι' ὃν καὶ 'Ιάσονι τὸν ἐπὶ Σκύθας
συνήρατο πλοῦν. ὡς "Ηρα συμμαχοῦσα τῷ Γηρυόνῃ
τιτρώσκεται ὑφ' 'Ηρακλέους κατὰ τὸν δεξιὸν μαζόν, κ
ὅσα ἐξ ἐκείνου τελεῖται. ὡς Κόρυθος, "Ιβηρ τὸ γένος
ὢν καὶ 'Ηρακλέους ἐρώμενος, πρῶτος κόρυθα κατε-
σκεύασεν, ἐξ οὗ κ τὴν ἐπωνυμίαν λαβεῖν φησὶ τὸ ὅπλον.
ὡς ὁ ἐν Κρήτῃ τάφος λεγόμενος τοῦ Διὸς 'Ολύμπου
τοῦ Κρητός ἐστιν, ὃς παρὰ τοῦ Κρόνου λαβὼν τὸν Δία
ἔτρεφέ τε κ ἐπαίδευε τὰ θεῖα. ἀλλὰ γοῦν βάλλει (φησίν)
ὁ Ζεὺς τὸν τροφέα καὶ διδάσκαλον κεραυνῷ, ὅτι δὴ*

a. 9. ὡς παρὰ] libri ὥσπερ. 14. *Περιτέτανός* ς. 15. ἀρκαδίᾳ corr *A*: 'Αρκάδι ς. 16. ἐξευνούχισε *A*: τὰ παιδογόνα ἀπέτεμε ς. 17. εὐνούχους *A*: οὕτω παθόντας καὶ ἐκτετμημένους ς. 21. "Ασπετος] Plutarchi locum (Pyrrho 1.) apponit Leichius p. X. 22. τοὺς *A*: τῆς ς. 24. μημόσυνα ς. Κεφαλῆνα ς. 33. κατὰ ς. 37. φησιν *A*. οὐ] ὁ *A*. 40. αἰτοῦ *A*. b. 5. ἥρωος *A*: 'Ηρακλέους ς. 6. ἐφεστῶσι ς. 8. ἀκρίδος *A*. ἀνήφθησαν] immo ἀνέπτησαν. 16. φασιν ς. 19. ἀπαλαλκεῖν] παλαλκην *A*. 20. αὔδηρος ς. 22. ἀριστόνεικος *A*. 29. ἡρακλεως *A*. 32. γηρυόνι *A*. 37. ὁ add *A*. λεγόμενος τάφος ς.

τȣ̀ς Γίγαντας αὐτȣ̃ τῇ βασιλείᾳ ἐπιθέσθαι ὑπετίθετο. ἀλλὰ βαλὼν ϗ νεκρὸν ἔχων μετεμελεῖτο· μὴ ἔχων δ' ἄλλως τὸ πάθος ἐκκλῖναι, δίδωσι τὸ ἴδιον ὄνομα τῷ τάφῳ τȣ̃ ἀνῃρημένȣ. τίνος ἐϛὶ τὸ ὑπ' Ἀλεξάνδρου τȣ̃ Φιλίππȣ εἰρημένον „Πρωτέα, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα." ϗ πάλιν Πρωτέȣ, ποίαν ᾠδὴν εἶχεν ἐν συνηθείᾳ Ἀλέξανδρος, καὶ τίνος ἦν ποίημα· εἰς τίνα ἔγραψεν ἐπικήδειον ὁ αὐτὸς Ἀλέξανδρος ὁ Φιλίππȣ. ταῦτα καὶ τὰ τȣ̃ β' κεφάλαια βιβλίȣ.

Τὸ δὲ γ' περὶ Ὕλλȣ τȣ̃ Ἡρακλέȣς υἱȣ̃, ὡς κέρας εἶχε περὶ τὸ ἀριϛερὸν μέρος τῆς κεφαλῆς ἐκπεφυκὸς μικρόν, καὶ τȣ̃το λάβοι ὁ Σικυώνιος Ἐπωπεύς, ἐκ μονομαχίας ἀνελὼν αὐτόν, καὶ κομίσοι ἐν τῷ κέρατι τὸ Στυγὸς ὕδωρ, ϗ βασιλεύσοι τῆς χώρας. ὅτι περὶ τȣ̃ ἐν Ἀρκαδίᾳ Στυγὸς ὕδατος ȣ̔́τω φασίν, ὡς Δημήτηρ πενθȣ̃σα τὴν θυγατέρα, ἐπεὶ Ποσειδῶν αὐτὴν ἐν κατηφείᾳ ȣ̓̃σαν ἐπείρα, εἰς ἵππον ἑαυτὴν μετεμόρφωσε χαλεπήνασα, ἐλθȣ̃σα δ' ἐπὶ τὴν πηγὴν ϗ θεασαμένη τὴν μορφὴν ἐϛύγησέ τε καὶ τὸ ὕδωρ μέλαν ἐποίησε. περὶ Ἑκάλης, καὶ πόσαις γέγονεν ἐπώνυμον τȣ̃νομα. ὅτι Ἀλεξάνδρȣ πατὴρ ȣ̓χ ὁ Φίλιππος γένοιτο, ἀλλά τις τȣ̃νομα Δράκων, γένος Ἀρκάς, ἐξ ȣ̔̃ ϗ τὸν περὶ τȣ̃ δράκοντος μῦθον ῥυῆναι. περὶ τȣ̃ Πτολεμαίȣ κυ-246 H.νός, καὶ ὡς συνεμάχει τῷ δεσπότῃ, ϗ ὡς μετὰ τελευτὴν ἀνασχισθεὶς τὴν καρδίαν εὑρέθη ἔχων τετριχωμένην· ἦν δὲ γένος Μολοττός, ὄνομα Βριάρεως. περὶ Πȣλυδάμαντος. τί ἐϛι τὸ παρὰ τῷ ποιητῇ „ὡς δ' ὅτε Πανδαρέου κούρη χλωρηῒς ἀηδών" καὶ ἑξῆς. περὶ τȣ̃ Παλλαδίȣ, ὅτι δύο κλέψειαν Διομήδης καὶ Ὀδυσσεύς. περὶ τȣ̃ καλάμȣ τȣ̃ εἰπόντος ὅτι Μίδας ὄνȣ ἔχει ὦτα. περὶ τῶν παρὰ Στησιχόρῳ ζητȣμένων Ἀκεσταλίων ὀρνίθων. περὶ τῆς παρὰ τὸν ὠκεανὸν Γιγωνίας πέτρας, ϗ ὅτι μόνῳ ἀσφοδελῷ κινεῖται, πρὸς 477 R. πᾶσαν βίαν ἀμετακίνητος ȣ̓̃σα. ὅτι Ῥόπαλος υἱὸς Ἡρακλέȣς ἦν, ὃς ἐν ἡμέρᾳ μιᾷ ϗ ὡς ἥρωϊ τῷ πατρὶ ἐνήγισε καὶ ὡς θεῷ θύσειεν. ὅτι Ἀμφιάραος ἐκλήθη, ἐπεὶ ἄμφω οἱ τῆς μητρὸς γονεῖς ἠράσαντο αὐτὴν ἄνευ τεκεῖν μόγȣ. τίνος ἐϛὶν ὁ ὕμνος ὁ ᾀδόμενος ἐν Θηβαίοις εἰς Ἡρακλέα, ἐν ᾧ λέγει Διὸς καὶ Ἥρας υἱός. ἔνθα περὶ τῶν κατὰ πόλεις τȣ̀ς ὕμνους ποιησάντων, ϗ ὡς Φιλοϛέφανος ὁ Μαντινεὺς ὁ ποιητὴς ἐκ γενετῆς ἱματίῳ ȣ̓κ ἐχρήσατο, καὶ ὡς Μάτρις ὁ Θηβαῖος ὑμνογράφος μυρσίνας παρ' ὅλον τὸν βίον ἐσιτεῖτο. καὶ ὡς Εὐπόμπȣ τοῦ Σαμίȣ, ὃς δράκοντα θήριον τέρας ἔτρεφεν ἄπιϛον καὶ εἰπεῖν, ϗ ἀκοῦσαι, τότε τȣ̃ Εὐπόμπȣ παῖδα Δράκοντα τȣ̃νομα ὀξυωπέϛατον γενέσθαι φασίν, ὡς διὰ ϛαδίων κ' θεωρεῖν ῥᾳδίως· ὃν καὶ Ξέρξῃ ἐπὶ χιλίοις συγγενόμενον ταλάντοις ϗ συγκαθεζόμενον ὑπὸ τῇ χρυσῇ πλατάνῳ διηγεῖσθαι βλέποντα τὴν Ἑλλήνων καὶ βαρβάρων ναυμαχίαν καὶ τὴν Ἀρτεμισίας ἀνδρίαν. ϗ ὡς Πλησίῤῥοος ὁ Θεσσαλὸς ὁ ὑμνογράφος, ἐρώμενος γεγονὼς Ἡροδότȣ καὶ κληρονόμος τῶν αὐτȣ̃, οὗτος ποιήσειε τὸ προοίμιον τῆς πρώτης ἱϛορίας Ἡροδότȣ Ἁλικαρνασσέως· τὴν γὰρ κατὰ φύσιν εἶναι τῶν Ἡροδότȣ ἱϛοριῶν ἀρχὴν „Περσέων οἱ λόγιοι Φοίνικας αἰτίȣς γενέσθαι φασὶ τῆς διαφορῆς." καὶ ὡς Κυρηναῖος ὁ Πολύζηλος ȣ̓δέ ποτε γελάσειεν· ἐξ ȣ̔̃ ϗ τὸ ἐπώνυμον αὐτῷ ὁ ἀγέλαϛος. καὶ ὡς ἐπὶ θεοσεβείᾳ πάντων διενεγκεῖν οἱ μὲν Ἀντίγονον τὸν Ἐφέσιον, οἱ δὲ Λυκίαν τὸν Ἑρμιονέα, ȣ̔̃ ϗ Θεόφραϛος ἐν ἐπιϛολαῖς μνημονεύει, φασίν. ϗ ὡς Ἀχιλλέως ϗ Δηϊδαμίας δύο ἐγενέσθην παῖδες, Νεοπτόλεμος ϗ Ὄνειρος· καὶ ἀναιρεῖται κατ' ἄγνοιαν ὑπὸ Ὀρέϛȣ ἐν Φωκίδι ὁ Ὄνειρος, περὶ σκηνοπηγίας αὐτῷ μαχεσάμενος.

Εἶτα διαλαμβάνει περὶ συνεμπτώσεως ἱϛορικῆς, ὡς Ἀμύκȣ τῷ τάφῳ ῥοδοδάφνη ἔφυ, καὶ οἱ φαγόντες αὐτῆς ἐπεθύμȣν πυκτικήν, καὶ ὡς Ἀντόδωρος φαγὼν αὐτῆς δεκατρεῖς ϛεφάνȣς ἀνείλετο, πλὴν ὑπὸ Διοσκόρȣ τȣ̃ Θηραίȣ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἀγωνίᾳ ἡττήθη, ὥσπερ καὶ αὐτὸς ὁ Ἄμυκος λέγεται ὑφ' ἑνὸς τῶν Διοσκȣ́ρων καταπαλαισθῆναι. ϗ τὸν Κροῖσόν φασι γεννηθῆναι ἐν ἑορτῇ Ἀφροδίτης, καθ' ἣν Λυδοὶ τὸν ἅπαντα πλοῦτον περιτιθέντες αὐτῇ πομπεύȣσι. καὶ ταῦρον θύοντι τῷ πατρὶ ἀπήγγελται τεχθῆναι Θεμιϛοκλῆς, ϗ ταύρȣ πιὼν αἷμα ἀπεβίω. ὡς 247 H. ὁ Ὑϛάσπȣ Δαρεῖος ἐκτεθεὶς ὑπὸ τῆς μητρὸς ἱπποθηλαῖς ἀνετράφη ὑπὸ Σπαργαπίσῃ τῷ ἱπποφορβῷ, ϗ ἵππȣ χρεμετισμῷ βασιλεύει. καὶ ὡς Ἰβύκȣ τȣ̃ μελοποιȣ̃ θεράπων, τȣ̃νομα Ἡρακλῆς, ζῶν ἐκαύθη, συναράμενος τοῖς λῃϛαῖς κατὰ τȣ̃ δεσπότου. ὡς Ὀρέϛης κατὰ τὴν ἑορτὴν τεχθείη τῆς Δήμητρος τῆς καλου-

a. 4. τίνος] fortasse legendum τί. 6. πάλιν] πολλάπερ *A*: ut cum Stephano legendum videatur πολλὰ περὶ. 16. αὐτὴν — οὖσαν ἐπείρα *A*: αὐτῆς — οὔσης ἐπήρα ς. 18. πηγὴν mg: libri γῆν. 20. πόσαις] πόσις *A* i. e. πόσοις. 24. μετὰ τὴν τελ. ς. 26. δὲ τὸ γ. ς. 27. Πολυδάμαντος ς. 28. πανδαρέη ς. καὶ τὰ ἑξῆς ς. 32. παρὰ *A*: περὶ ς. 35. ὃς add *A*. 39. malim Θήβαις. b. 9. τὴν] τῶν *A*. 13. ἁλικαρνασέως ς. 19. Λύκιον ς. 21. φασὶν om *A*. Δηϊδαμείας ς. 25. συνεμπτώσεως apographum Stephani: συνεκπτώσεως ς. cf. p. 149 a 14. 32. φασι add *A*.

μένης Ἐριννύος. ὡς Φίλιππος ἔτι παῖς ὢν τοὺς ἀφαλλομένους τῆς κινήσεως [ὡς] ἀστέρας ἐπειρᾶτο καθ' ἑσπέραν τοξεύειν, καὶ Διόγνητον μὲν εἰπεῖν τὸν μάντιν ἐγκρατῆ πολλῶν τὸ παιδάριον ἔσεσθαι, Ἀστὴρ δ' ἦν ὄνομα καὶ τῷ ἐκκόψαντι αὐτοῦ βέλει τὸν ὀφθαλμόν. ὡς Μαρσύας ὁ αὐλητής, ὃς ἐξεδάρη, ἐν ἑορτῇ Ἀπόλλωνος ἐτέχθη, ἐν ᾗ πάντων τῶν θυομένων ζώων τὰ δέρματα αὐτῷ ἐκδερόμενα ἀνατίθεται. περὶ Τιτύου τοῦ
480R. ἐπιβουλεύσαντος Ἀλέξανδρον. ὡς Κλαύδιον κύουσα ἡ μήτηρ βωλητῶν τοὺς μύκητας ἐπιθυμήσασα φάγοι, καὶ Κλαύδιος μύκητας πεφαρμακευμένους φαγὼν ἀποβιῴη. περὶ Κενταύρου τοῦ Λαμίου, ὡς μοιχεύων ληφθείς, οἱ μὲν ὑπὸ Πειρίθου τοῦ εὐνούχου, οἱ δ' ὑπὸ Θησέως ἀναιρεθῆναι. οὕτω πολλὰ ταῖς ἱστορίαις τῶν συνεμπτώσεων ἕπεται. ἀλλὰ καὶ τὸ γ' ἐν τούτοις βιβλίον.

Τὸ δὲ δ' διεξέρχεται ὡς Ἑλένη πρώτη ἐπενόησε τὸν διὰ δακτύλων κλῆρον, καὶ Ἀλεξάνδρῳ λαχοῦσα ἐνίκησε· καὶ ὡς Ἀφροδίτης εἴη θυγάτηρ. καὶ ὡς Ἑλένης καὶ Ἀχιλλέως ἐν μακάρων νήσοις παῖς πτερωτὸς γεγόνοι, ὃν διὰ τὸ τῆς χώρας εὔφορον Εὐφορίωνα ὠνόμασαν· καὶ ὡς ἐρᾷ τούτου Ζεύς, καὶ ἀποτυχὼν κεραυνοῖ ἐν Μήλῳ τῇ νήσῳ καταλαβὼν διωκόμενον, καὶ τὰς νύμφας, ὅτι θάψειαν αὐτόν, εἰς βατράχους μετέβαλε. καὶ ὡς κυνηγοῦσαν Ἑλένην ἔνιοί φασιν ἐν τῷ Παρθενίῳ ὄρει ἁρπασθῆναι ὑπ' Ἀλεξάνδρου, καὶ ἐκπλαγεῖσαν τὸ κάλλος ἀκολουθῆσαι ὡς θεῷ. περὶ τοῦ κεστοῦ ἱμάντος, ὡς λάβοι μὲν αὐτὸν Ἥρα παρὰ Ἀφροδίτης, δοίη δ' Ἑλένῃ, κλέψοι δ' αὐτὸν ἡ Ἑλένης θεράπαινα Ἀστυάνασσα, ἀφέλοι δ' αὐτὸν ἐξ αὐτῆς πάλιν Ἀφροδίτη. τί ἐστι τὸ παρ' Ὁμήρῳ περὶ τῆς Ἑλένης εἰρημένον „πάντων Ἀργείων φωνὴν ἴσκουσ' ἀλόχοισιν.“ ὡς Ἡλίου θυγάτηρ καὶ Λήδας Ἑλένη, ἐκαλεῖτο δὲ Λεοντή. καὶ ὡς κατ' ὀργὴν Ἀφροδίτης τὴν πρὸς Μενέλαον τὴν ἁρπαγὴν λέγουσιν Ἑλένης γενέσθαι, ἐπεὶ ὑποσχόμενος Ἀφροδίτῃ ἑκατόμβην ὑπὲρ τοῦ γάμου οὐκ ἀπέδωκε. περὶ τῆς Ἑλενείου βοτάνης, ἣ ἐν Ῥόδῳ φύεται, ὅτι τε ἀπὸ τῆς Ἑλένης ἐπωνομάσθη (παρὰ γὰρ τὴν δρῦν ὤφθη φυεῖσα, ἀφ' ἧς ἑαυτὴν ἀπῆγξεν Ἑλένη) καὶ ὡς οἱ φαγόντες αὐτῆς πάντως εἰς ἔριν καθίστανται. ὡς Μενελάου ἠράσθη Ἑλένη, καὶ οὕτως ἔγημεν αὐτήν. ὡς ἔνιοι τὴν Ἑλένην φασὶ παραγενομένην εἰς Ταύρους τῆς Σκυθίας σὺν Μενελάῳ ἐπὶ τὴν Ὀρέστου ζήτησιν σφαγιασθῆναι ὑπὸ Ἰφιγενείας τῇ Ἀρτέμιδι σὺν Μενελάῳ· οἱ δέ φασιν ὡς Θέτις 148H. αὐτὴν ἀνέλοι ἐν τῷ ἀπόπλῳ τῶν Ἑλλήνων, ἀπεικασθεῖσα φώκῃ. φασὶ δ' Ἠχὼ μὲν τὴν Ἑλένην τὸ κύριον κληθῆναι διὰ τὸ φωνόμιμον αὐτὴν γενέσθαι, Ἑλένην δὲ ἀπὸ τοῦ ἐν ἕλει ὑπὸ Λήδας τεχθῆναι. ὅτι ὁ ἐν Λακεδαίμονι τόπος τὸ Σανδάλιον ἀπὸ τοῦ τῆς Ἑλένης σανδαλίου, ἐκπεσόντος αὐτῆς ἐν αὐτῷ διωκομένης ὑπ' Ἀλεξάνδρου, ἕλκει τὴν κλῆσιν. ὡς γένοιτο παῖς θήλεια ἐξ Ἀλεξάνδρου Ἑλένῃ, διαφιλονεικησάντων δὲ περὶ τῆς κλήσεως (ὁ μὲν γὰρ Ἀλεξάνδραν, ἡ δ' Ἑλένην ὀνομάζειν ἠξίου) νικᾷ Ἑλένη, ἀστραγάλοις λαβοῦσα τὸ κῦρος, καὶ ἡ παῖς τῇ μητρὶ ὁμώνυμος ἐγεγόνει· ταύτην ἀναιρεθῆναί φασιν ὑπὸ Ἑκάβης ἐν τῇ Ἰλίου ἁλώσει. ὅτι ἀπὸ τῶν Ἰλιακῶν ὀνομασταὶ γεγόνασιν Ἑλέναι ἡ Αἰγίσθου καὶ Κλυταιμνήστρας θυγάτηρ, ἣν ἀνεῖλεν Ὀρέστης, καὶ ἡ διακονήσασα Ἀφροδίτῃ ἐν τῇ πρὸς Ἄδωνιν ὁμιλίᾳ, ἡ Ἐπιδαμνίου θυγάτηρ, ἣν Ἐπιδάμνιοι ἐν Ἀφροδίτης σχήματι τιμῶσι, χρήματα λιμώττουσιν ἐπιδοῦσαν, καὶ ἡ Φαιστύλου θυγάτηρ τοῦ ἀναθρεψαμένου Ῥῶμον καὶ Ῥωμύλον. καὶ ἡ τρεῖς ἐρίφους ἐσθίουσα καθ' ἡμέραν Ἑλένη ἐκαλεῖτο, καὶ ἡ Δικαιάρχου τοῦ Τελεσίνου ἀδελφή, καὶ ἕτεραι ὀκτωκαίδεκα, ὧν καὶ ἡ πρὸ Ὁμήρου 481R. Ἑλένη, ἡ τὸν Ἰλιακὸν συγγραψαμένη πόλεμον, Μουσαίου τοῦ Ἀθηναίου θυγάτηρ γενομένη· παρ' ἧς καὶ Ὅμηρον λέγεται λαβεῖν τὴν ὑπόθεσιν· ἣν καὶ κτήσασθαι τὸ δίγλωσσον ἀρνίον· καὶ ἡ Τιτύρου τοῦ Αἰτωλοῦ θυγάτηρ, ἥτις εἰς μονομαχίαν Ἀχιλλέα προκαλεσαμένη ἐκεῖνον μὲν κατὰ τῆς κεφαλῆς ἐγγὺς θανάτου τραύματι ἔτρωσεν, αὐτὴ δ' ὑπ' αὐτοῦ ἀνῃρέθη. καὶ ἡ ζωγράφος Ἑλένη τοῦ καταλόγου ἐστὶ τούτου, Τίμωνος τοῦ Αἰγυπτίου θυγάτηρ, ἥτις τὴν ἐν Ἰσσῷ μάχην, ἐν ἐκείνοις ἀκμάζουσα τοῖς χρόνοις, ἔγραψε· καὶ ἐν τῷ τῆς Εἰρήνης τεμένει ἐπὶ Οὐεσπασιανοῦ ἀνέκειτο ἡ γραφή. Ἀρχέλαος δὲ ὁ Κύπριος Στησιχόρου φησὶ τοῦ ποιητοῦ Ἑλένην Ἱμεραίαν ἐρωμένην γενέσθαι, Μικύθου θυγατέρα· ἀποστᾶσαν δὲ Στησιχόρου καὶ πρὸς Βούπαλον πορευθεῖσαν ἀμυνόμενον τῆς ὑπεροψίας τὸν ποιητὴν γράψαι ὡς Ἑλένη ἑκοῦσα ἀπῆρε· ψευδῆ δὲ τὸν περὶ τῆς πηρώσεως εἶναι λόγον. περὶ τοῦ παρ' Ὁμήρῳ μώλυος τῆς βοτάνης, ἣν ἐκ τοῦ αἵματος τοῦ ἀναιρεθέντος ἐν τῇ Κίρκης νήσῳ Γίγαντος λέγουσι φῦναι, ἣ καὶ τὸ ἄνθος ἔχει λευκόν· ὅτι ὁ συμμαχῶν τῇ Κίρκῃ καὶ ἀνελὼν τὸν Γίγαντα

a. 1. [ἔτι] ἑταῖρος A. 5. αὐτῷ ς. 8. Τίτυος ς. 9. Ἀλεξάνδρῳ ς. 10. ἐπιθυμήσουσα ς. 13. εὐνούχου A: ἐπιφόρενος ς. 24. παρθενείῳ A. 27. αὐτὸν ἡ Ἥρα ς. 30. Ὁμήρου ς. 31. ἴσκουσαν A. 36. τε om A. 40. καὶ ὁ ἔγημεν αὐτὸν pr A. 40. φασι τὴν Ἑλ. ς. b. 5. ὁ add A. 17. Ἐπιδαύνιοι ς. 18. ἐπιδιδοῦσαν ς. 21. ἡ add A. τελεσίνα ς. 25. τὴν et ἣν add A. 27. μετακαλεσαμένη ς, 28. τραυματίαν ς. 31. ἐν add A. libri ἀκμάζουσαν. 37. ὡς add A.

ὁ Ἥλιος ἦν· μῶλος δ' ἡ μάχη, ἐξ οὗ καὶ ἡ βοτάνη. ὡς Διόνυσος ἐρώμενος Χείρωνος, ἐξ οὗ καὶ μάθοι τούς τε κώμους καὶ τὰς βακχείας καὶ τὰς τελετάς. περὶ τοῦ ἐν Ὀλυμπίᾳ Ταραξίππου καὶ τῶν Μυρτίλλων πατρὸς καὶ παιδός. ὅτι τὸν ὑπὸ Φημονόης χρησμὸν μόνον Νεοπτόλεμον τὸν Μακιώτην παρὰ Αἴθου τινὸς τῶν Δελφῶν ἀκοῦσαί φασι· περὶ τούτου δὲ τοῦ Αἴθου καὶ Ἡρό- 249 H. δοτός φησιν ἐν πρώτῃ ἱστοριῶν ὅτι „εἰδὼς αὐτοῦ τὸ ὄνομα οὐκ ἐπιμνησθήσομαι." περὶ τῆς παρ' Ὁμήρῳ διωνυμίας παρὰ θεοῖς καὶ ἀνθρώποις, καὶ ὅτι Ξάνθος μόνος ποταμῶν Διὸς υἱός, καὶ περὶ ἄλλων ὁμωνύμων. καὶ ὡς ἐν Τυρρηνίᾳ φασὶν εἶναι Ἁλὸς πύργον καλούμενον, ὀνομασθῆναι δὲ ἀπὸ Ἁλὸς Τυρρηνῆς φαρμακίδος, ἣ Κίρκης θεράπαινα γενομένη διέδρα τῆς δεσποίνης. πρὸς ταύτην δέ, φησί, παραγενόμενον τὸν Ὀδυσσέα εἰς ἵππον μετέβαλε τοῖς φαρμάκοις, καὶ ἔτρεφε παρ' ἑαυτῇ, ἕως γηράσας ἐτελεύτησεν. ἐκ ταύτης τῆς ἱστορίας λύεται καὶ τὸ παρ' Ὁμήρῳ ἀπορούμενον „θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ." ἐν τούτοις μὲν καὶ τὸ δ' βιβλίον.

Ἡ δὲ έ βίβλος, ὡς μετὰ Ἀμύκου φασὶν Ἰάσων, ἀλλ' οὐχὶ Πολυδεύκης ἐμαχέσατο. καὶ ὁ χῶρος μαρτυρεῖ, Ἰησόνιος αἰχμὴ καλούμενος· καὶ πηγὴ ἀνατέλλει ἀγχοῦ Ἑλένη καλουμένη. ἐκ τούτου λύεται καὶ τὸ Κριναγόρου ἐπίγραμμα. ὅτι τὸ „χαὶ Προκλέους ἵπποι χλωρὰν ψαλάκανθαν ἔδουσιν," ἀγνοηθὲν Καλλιμάχῳ, Εὐβούλου ἐστὶ τοῦ κωμικοῦ εἰς Διονύσιον κωμῳδία· καὶ περὶ τῆς παρῳδήσεως τοῦ στίχου. ἡ δὲ ψαλάκανθα βοτάνη ἐστὶν Αἰγυπτία, ἥτις ἵπποις περιαπτομένη νίκην παρέχει καὶ εὐδαιμονίαν. φασὶ δὲ ὡς ἡ Ψαλάκανθα νύμφη ἐγένετο ἐν Ἰκαρίᾳ τῇ νήσῳ, ἥτις ἐρασθεῖσα Διονύσου συνέπραξεν αὐτῷ τὴν πρὸς Ἀριάδνην ὁμιλίαν, ἐφ' ᾧ καὶ αὐτῇ συγγένοιτο· καὶ ὡς Διόνυσος μὲν οὐκ ἠβουλήθη, 484 R. Ψαλάκανθα δ' ἐπεβούλευσεν Ἀριάδνῃ, ὁ δ' ὀργισθεὶς μετεμόρφωσεν αὐτὴν εἰς τὴν πόαν· μεταγνοὺς δὲ ἐπὶ τιμῇ τοῦ φυτοῦ τῷ Ἀριάδνης αὐτὸ περιέθηκε στεφάνῳ τῷ κατηστερισμένῳ ἐν οὐρανῷ. τὴν δὲ πόαν οἱ μὲν ἀρτεμισίᾳ ἐοικέναι, οἱ δὲ μελιλώτῳ. ὡς Ἀθηνόδωρος ὁ Ἐρετριεὺς ἐν ὀγδόῳ ὑπομνημάτων φησὶ Θέτιν καὶ Μήδειαν ἐρίσαι περὶ κάλλους ἐν Θεσσαλίᾳ, καὶ κριτὴν γενέσθαι Ἰδομενέα, καὶ προσνεῖμαι Θέτιδι τὴν νίκην, Μήδειαν δ' ὀργισθεῖσαν εἰπεῖν Κρῆτες ἀεὶ ψεῦσται, καὶ ἐπαράσασθαι αὐτῷ μηδέποτε ἀλήθειαν εἰπεῖν, ὥσπερ ἐπὶ τῆς κρίσεως ἐποίησε· καὶ ἐκ τούτου φησὶ τοὺς Κρῆτας ψεύστας νομισθῆναι. παρατίθεται δὲ ἱστοροῦντα τοῦτο ὁ Ἀθηνόδωρος Ἀντίοχον ἐν δευτέρῳ τῶν κατὰ πόλιν μυθικῶν. ὅτι Ἶλος, φησίν, ὁ Λαομέδοντος πατὴρ ἵππουριν εἶχε, καὶ τῶν Πριάμου παίδων Μελάνιππος καὶ Ἰδαῖος. ὡς Ξάνθος καὶ Βαλίος οἱ Ἀχιλλέως ἵπποι πρότερον Γίγαντες ἦσαν, καὶ μόνοι Γιγάντων συνεμάχησαν τοῖς θεοῖς κατὰ τῶν ἀδελφῶν. ὡς περὶ τὰς Θύλας τῆς Σικελίας ναυαγήσαντος Ὀδυσσέως ἡ Ἀχιλλέως ἀσπὶς ἐξεβράσθη περὶ τὸ μνημεῖον τοῦ Αἴαντος, καὶ ἀνατεθεῖσα τῷ τάφῳ τῇ ἐπαύριον ἐκεραυνώθη. ὡς ὁ Ἡρακλῆς οὐχὶ τὸ τοῦ Νεμεαίου λέοντος δέρας ἠμπίσχετο, ἀλλὰ Λέοντός τινος ἑνὸς τῶν Γιγάντων, ἐπὶ μονομαχίας προκλήσει ὑφ' Ἡρακλέους ἀνῃρημένου. ὡς ἀδελφὸς ἦν ὁ δράκων ὁ τὰ χρυσᾶ μῆλα φυλάσσων τοῦ Νεμεαίου λέον- 25a H. τος. ὡς ὁ παρ' Ὁμήρῳ Ἶρος Βοιωτὸς ἦν. ὡς ἡ Κανδαύλου γυνή, ἧς Ἡρόδοτος οὐ λέγει τοὔνομα, Νυσία ἐκαλεῖτο· ἦν καὶ δίκορον καὶ ὀξυωπεστάτην φασὶ γενέσθαι, τὸν δρακοντίτην κτησαμένην λίθον, διὸ καὶ αἰσθέσθαι τὸν Γύγην ἐξιόντα διὰ τῶν θυρῶν· ἄλλοι Τουδοῦν αὐτὴν καλεῖσθαι, οἱ δὲ Κλυτίαν, Ἄβας δὲ Ἀβρὼ ταύτην καλεῖσθαι. σιγῆσαι δὲ τοὔνομά φασι τῆς γυναικὸς τὸν Ἡρόδοτον, ἐπεὶ ὁ ἐρώμενος Ἡροδότου Πλησίρροος Νυσίας ὀνόματι ἐρασθείς, Ἁλικαρνασίας τὸ γένος, ἐπεὶ μὴ τύχοι τῆς ἑταίρας, οὐκ ἀνεχόμενος βρόχῳ ἑαυτὸν ἀνήρτησε· διὸ φυλάξασθαι ὡς ἀπεχθὲς εἰπεῖν τὸ τῆς Νυσίας ὄνομα Ἡρόδοτον. ὡς οἱ Κένταυροι φεύγοντες Ἡρακλέα διὰ Τυρσηνίας λιμῷ διεφθάρησαν, θελχθέντες ὑπὸ τῆς Σειρήνων ἡδυφωνίας. ὡς Ἄβδηρος ὁ Ἡρακλέους ἐρώμενος ἀδελφὸς ἦν Πατρόκλου. ὡς Ἐπιπόλη ἡ Καρυστία, ἡ Τραχίωνος θυγάτηρ, κρύπτουσα τὴν γυναικείαν φύσιν συνεστρατεύετο τοῖς Ἕλλησι, μηνυθεῖσα δ' ὑπὸ Παλαμήδους ὑπὸ τῶν Ἑλλήνων κατελεύσθη. ὡς Ἀλεξάνδρου ἁρπάζοντος Ἑλένην Μενέλαος ἐν Γορτύνῃ τῆς Κρήτης ἑκατόμβην ἔθυε τῷ Διί. ὡς Παλαμήδης ἀντ' Ἀγαμέμνονος Ἑλλήνων βασιλεύοι· ἐν Αὐλίδι γὰρ παραγενόμενος Ἀγαμέμνων αἶγα ἀγρίαν ἱερὰν Ἀρτέμιδος κατατοξεύοι, ἀπλοίας δὲ γενομένης τοῖς Ἑλ-

a. 1. διόνυσσος A. 4. καὶ add A. 6. ἀδελφῶν ς. 8. φασιν A. 11. καὶ add A. 17. αὐτῇ ς. 22. αἰχμὴ] cf. Müller. Orchom. p. 267. 23. Ἑλένην καλουμένην ς. 24. χαὶ — ψαλάκανθαν ἔδουσιν A: καὶ — ψαλακάνθαν ἔχουσιν ς. 26. Διόνυσον ς. 32. ἐβουλήθη ς. 34. ἐπὶ τῇ τιμῇ ς. b. 5. φησὶν apographum Stephani: φασὶν ς. 10. ὡς περὶ] ὥσπερ A. Θύλας] μύλας Scaliger, στήλας Casaubonus, πλαγκτὰς Lennepius Phalar. p. 53. 15. προσκλήσεις ς. 17. ὁ φυλ. τὰ χρ. μῆλα δράκων ἀδελφὸς ἦν ς. 19. Μυσία ς. 22. ἐξιόντα εἰς ζήτησιν διὰ ς. 26 et 29. Νυσσίας ς. 27. ἀνεσχομένης ὑψόθεν βρόχῳ ς. 28. διὸ καὶ φυλ. ς. ἀπεχθέον ς. 37. Ἑλ. ἁρπ. ς.

Digitized by Google

λησι χρᾷ Κάλχας λυθῆναι τὸ δεινόν, εἰ θύσειε τὴν θυγατέρα Ἰφιγένειαν Ἀγαμέμνων Ποσειδῶνι· τοῦ δὲ μὴ ἀνεχομένου, ὀργισθέντες οἱ Ἕλληνες ἀφείλοντο αὐτοῦ
485 R. τὸ κράτος, ϗ κατέστησαν βασιλέα Παλαμήδην. ὡς Φιλοκτήτης ὑπὸ ὄφεως πληγεὶς ἀνῃρέθη, ϗ Ἀλέξανδρος ὑπὸ Μενελάου δόρατι τὸν μηρὸν πληγεὶς πίπτει. ὅτι τελευτήσαντος Δημητρίου τοῦ Σκηψίου τὸ βιβλίον Τέλλιδος πρὸς τῇ κεφαλῇ αὐτοῦ εὑρέθη· τὰς δὲ Κολυμβώσας Ἀλκμᾶνος πρὸς τῇ κεφαλῇ Τυρονίχου τοῦ Χαλκιδέως εὑρεθῆναί φασιν, τοὺς δ' Ὑβριστοδίκας Εὐπόλιδος πρὸς τῇ Ἐφιάλτου, τοὺς δὲ Εὐνείδας Κρατίνου πρὸς τῇ Ἀλεξάνδρου τοῦ βασιλέως Μακεδόνων, τὰ δ' ἔργα ϗ τὰς ἡμέρας Ἡσιόδου πρὸς τῇ τοῦ Σελεύκου τοῦ Νικάτορος κεφαλῇ. ὁ μέντοι νομοθέτης Ἀρκάδων Κερκίδας συνταφῆναι αὐτῷ τὸ ᾱ καὶ β̄ τῆς Ἰλιάδος κελεύσειεν· ὁ δὲ Πομπήϊος ὁ Μάγνος οὐδ' εἰς πόλεμον προΐοι πρὶν ἂν τὸ λ̄ τῆς Ἰλιάδος ἀναγνώσειε, ζηλωτὴς ὢν Ἀγαμέμνονος· ὁ δὲ Ῥωμαῖος Κικέρων Μήδειαν Εὐριπίδου ἀναγινώσκων, ἐν φορείῳ φερόμενος, ἀποτμηθείη τὴν κεφαλήν. ὡς Διόγνητος ὁ Κρής, ὁ πύκτης, νικήσας οὐ λάβοι τὸν στέφανον, ἀλλὰ καὶ ἐλαθείη ὑπὸ Ἠλείων, διότι ὁ νικηθεὶς καὶ ἀναιρεθεὶς ὑπ' αὐτοῦ Ἡρακλῆς ἐκαλεῖτο ὁμωνυμῶν τῷ ἥρωϊ· τοῦτον τὸν Διόγνητον ὡς ἥρωα Κρῆτες τιμῶσιν. ὅτι τὸ Ὁμηρικὸν τιτρώσκεσθαι μέλλοντος „οὐδὲ σέθεν Μενέλαε θεοὶ μάκαρες λελάθοντο," τοῦτον τὸν στίχον παρῴδησεν ὁ Πύθιος Μενέδημε ἀντὶ τοῦ Μενέλαε. προετάθη δὲ τὸ ζήτημα παρὰ δεῖπνον Αὐγέου τοῦ βασιλέως, ποῖον στίχον Ὁμήρου πα-
481 H. ρῴδησεν ὁ χρησμός, καὶ τίς ἐστιν ὁ ἐν τῷ χρησμῷ ἱστορούμενος. ϗ ὡς Μενέδημος Ἠλεῖος Βουνέα υἱὸν ὑπέδειξεν Ἡρακλεῖ περὶ τῆς καθάρσεως τοῦ Αὐγέου κόπρου, ὥστε ἀποστρέψαι τὸν ποταμόν· δὲ ϗ συμμαχῆσαι Ἡρακλεῖ ἐν τῷ πρὸς Αὐγέαν πολέμῳ φασί, καὶ ἀναιρεθέντα ταφῆναι ἐν Λεπρέῳ παρὰ πεύκης δένδρῳ. ἀγῶνα δὲ θεὶς ἐπ' αὐτῷ Ἡρακλῆς ἐπάλαισε Θησεῖ· ἰσοπαλοῦς δὲ τοῦ ἀγῶνος γενομένου ἐρρήθη παρὰ τῶν θεατῶν περὶ τοῦ Θησέως „ἄλλος οὗτος Ἡρακλῆς." ὅτι Φαντασία τις Μεμφῖτις Νικάρχου θυγάτηρ συνέταξε πρὸ Ὁμήρου τὸν Ἰλιακὸν πόλεμον ϗ τὴν περὶ Ὀδυσσείας διήγησιν ϗ ἀποκεῖσθαί φασι τὰς βίβλους ἐν Μέμφιδι, Ὅμηρον δὲ παραγενόμενον, καὶ τὰ ἀντίγραφα λαβόντα παρὰ Φανίτου τοῦ ἱερογραμματέως, συντάξαι ἐκείνοις ἀκολούθως. ὡς Ἄδωνις ἀνδρόγυνος γενόμενος τὰ μὲν ἀνδρεῖα πρὸς Ἀφροδίτην πράσσειν ἐλέγετο, τὰ θηλυκὰ δὲ πρὸς Ἀπόλλωνα. ὡς Ἀλφειῷ τῷ ποταμῷ γέρας δωρούμενος Ἡρακλῆς, νικήσας ἐν Ὀλυμπίᾳ, ἀπ' αὐτοῦ ἐκάλεσε τὸ ἄλφα ϗ προέταξε τῶν στοιχείων. ὅτι φλυαρῶν οὗτος ὁ μυθογράφος, Μωσῆς, φησίν, ὁ τῶν Ἑβραίων νομοθέτης ἄλφα ἐκαλεῖτο διὰ τὸ ἀλφοὺς ἔχειν ἐπὶ τοῦ σώματος. Γαλέριος δὲ Κράσσος ὁ χιλίαρχος, ὁ ἐπὶ Τιβερίου Καίσαρος, [χιλίαρχος] βῆτα ἐκαλεῖτο ἡδέως σεύτλῳ χρώμενος, ὃ δὴ βητάκιον καλοῦσι Ῥωμαῖοι. ϗ Ὀρπυλλὶς δὲ ἡ Κυζικηνὴ ἑταίρα γάμμα. Ἀντήνωρ δὲ ὁ τὰς Κρητικὰς γράψας ἱστορίας δέλτα διὰ τὸ ἀγαθὸς εἶναι ϗ φιλόπολις· τοὺς γὰρ Κρῆτας τὸ ἀγαθὸν δέλτον καλεῖν. Ἀπολλώνιος δ' ὁ ἐν τοῖς τοῦ Φιλοπάτορος χρόνοις ἐπ' ἀστρονομίᾳ περιβόητος γεγονὼς ε̄ ἐκαλεῖτο, διότι τὸ σχῆμα τοῦ ε̄ συμπεριφέρεται τῷ τῆς σελήνης, 488 R.
περὶ ἣν ἐκεῖνος μάλιστα ἠκρίβωτο. Σάτυρος δ' ὁ Ἀριστάρχου γνώριμος ζῆτα ἐκαλεῖτο διὰ τὸ ζητητικὸν αὐτοῦ. ϗ Αἴσωπόν φασιν, ὡς ὑπὸ Ἴδμονος τοῦ δεσπότου θῆτα ἐκαλεῖτο διὰ τὸ δουλικός τις εἶναι ϗ πολύτροπος· θῆτες γὰρ οἱ δοῦλοι. ϗ ἡ Κυψέλου δὲ μήτηρ, χωλὴ οὖσα, Λάβδα ἐκλήθη ὑπὸ τοῦ Πυθίου. Δημοκύδης δὲ Πυθαγόραν φησί, καταγράψαντα πάντας τοὺς ἀριθμούς, τῷ γ' στοιχείῳ κληθῆναι. τοσαῦτα καὶ τὸ ε' βιβλίον.

Τὸ δὲ ϛ' βιβλίον κεφάλαια περιέχει τάδε, ὡς Ἀχιλλεὺς ὑπὸ Πενθεσιλείας ἀναιρεθείς, δεηθείσης αὐτοῦ τῆς μητρὸς Θέτιδος, ἀναβιοῖ ϗ ἀνελὼν Πενθεσίλειαν εἰς Ἅιδου πάλιν ὑποστρέφει. ὡς ἐν τῇ Ἀλεξάνδρᾳ Λυκόφρων εἰπὼν „ποία δ' ἀηδὼν στεῖρα κενταυροκτόνος" τὰς Σειρῆνας κενταυροκτόνους εἶπεν. ὡς Ἕλενος ὁ Πριάμου Ἀπόλλωνος ἐρώμενος γένοιτο, καὶ ἔλαβε παρ' αὐτοῦ δῶρον τόξον ἐλεφάντινον, ᾧ Ἀχιλλέα τοξεύσειε κατὰ τῆς χειρός. ὅτι μετὰ Ἀνδρομάχης καὶ τῶν υἱῶν αὐτοῦ Πρίαμος ὑπὲρ τῶν Ἕκτορος ὀστῶν

a. 1. χρᾷ ς. 9. Ἀλκμᾶνος Casaubonus. τυρονίχου A: Τιτωνίχου ς. Τυννίχου Henr. Valesius (apud nos Commentar. crit. in Platonem p. XI) et Naekius (Choeril. Sam. p. 39). non offendit Küsterus Suid. v. Ἀλκμάν. 10. εὑρ. φησὶν A: φασιν εὑρ. ς. τοὺς Valesius: libri τάς. 11. libri εὐνείδας: cf. Müller. Orchom. p. 394. 12. μακεδόνος A. 15. τὸ πρῶτον καὶ τὸ δεύτερον ς. 16. libri προΐει. πρὶν A: ἢ πρὶν ς. 17. τὸ λ̄ A: τὸ πρῶτον ς. 24. ἥρωα οἱ Κρῆτες ς. 27. ἀντὶ A: καὶ θεοῦ ἀντὶ ς. Casaubonus θεὶς ἀντί. 28. Ὁμήρου add A. 31. libri Αὐγαίου, et mox Αὐγαίαν. 33 καὶ om A. 34. ἐν Λεπρέῳ] cf. Müller. p. 373. πεύκης A: λεύκῃ ς. 36. ἐρρέθη ς. b. 5. ἀνδρῷα ς. 6. θήλεα ς. 8. ἀπ' αὐτοῦ Casaubonus, ἅπαν A, ἅπαν ceteri. 10. φασὶν A. 18. καλεῖν φασιν Ἀπολλ. ς. ὁ add A. 19. ε̄ A: ἐψιλὸν ς. 20. malim συμφέρεται. 23. φασιν A: δέ φασιν ς. 25. καὶ add A. μήτηρ] μητρὸς A. 27. φασὶ A. γ'] τρίτῳ ς. 33. εἶπε ς. στεῖρα] ἦρα A. est v. 670. 35. ἐρώμενος Ἀπόλλωνος ς.

ἱκέτης ἀφίκετο ὡς Ἀχιλλέα. ὡς Θέτις τοὺς ἐκ Πηλέως αὐτῇ γινομένους παῖδας πυρὶ λαθραίῳ κατηνάλου, ἐξ 252 H. γεγονότας· ὡς δὲ ϗ Ἀχιλλέα ἐπεχείρησε, γνοὺς Πηλεὺς ἐξείλετο τὸν ἀστράγαλον μόνον τοῦ δεξιοῦ ποδὸς κεκαυμένον, καὶ Χείρωνι παρατίθησιν· ὁ δὲ ἀνορύξας τὸ Δαμύσου τοῦ Γίγαντος σῶμα ἐν Παλλήνῃ κείμενον (ταχύτατος δ' ἦν ὁ Δάμυσος πάντων Γιγάντων) ϗ ἀνελόμενος αὐτοῦ τὸν ἀστράγαλον ἐναρμόζει τῷ Ἀχιλλέως ποδί, καὶ φαρμάκοις αὐτὸν σωματοποιεῖ. τοῦτον δὲ τὸν ἀστράγαλον ἀποπεσεῖν διωκομένου αὐτοῦ ὑπὸ Ἀπόλλωνος, ϗ οὕτως αὐτὸν ἀναιρεθῆναι καταπεσόντα. φασὶ δὲ ποδάρκην αὐτὸν ὑπὸ τοῦ ποιητοῦ λέγεσθαι, ὅτι φασὶ τῆς Ἄρκης τὰ πτερὰ τὴν Θέτιν περιθεῖναι τῷ παιδὶ γεννηθέντι, καὶ εἶναι τὸ ποδάρκης ὁ ἐν τοῖς ποσὶ τὰ τῆς Ἄρκης πτερὰ ἔχων. ἡ δὲ Ἄρκη Θαύμαντος ἦν θυγάτηρ, ἧς ἡ ἀδελφὴ Ἶρις· πτερὰ δ' εἶχεν ἑκατέρα. ἐν δὲ τῷ πρὸς Τιτᾶνας τῶν θεῶν πολέμῳ ἀποπτᾶσα τῶν θεῶν ἡ Ἄρκη πρὸς τοὺς Τιτᾶνας ἦλθε· μετὰ δὲ τὴν νίκην ὁ Ζεὺς τὰ μὲν πτερὰ αὐτῆς ἀφείλετο, αὐτὴν ταρταρώσας, παραγενόμενος δὲ ἐπὶ τῷ Πηλέως ϗ Θέτιδος γάμῳ δῶρον τὰ πτερὰ τῇ Θέτιδι προσάγει. ὡς Πηλεῖ ἐπὶ τῷ γάμῳ φασὶ δωρήσασθαι Ἥφαιστον μὲν μάχαιραν, Ἀφροδίτην δὲ φιάλην ἐγγεγλυμμένην Ἔρωτα χρυσῆν, Ποσειδῶνα δὲ ἵππους Ξάνθον ϗ Βαλίον, Ἥραν δὲ χλαμύδα ϗ Ἀθηνᾶν αὐλούς, Νηρέα δὲ τοὺς θείους ἅλας καλουμένους ἐν κοιτίδι· τούτους δὲ δύναμιν ἔχειν ἀμήχανον πρὸς πολυφαγίαν ϗ ὄρεξιν ϗ πέψιν, ἐξ οὗ λύεταί σοι ϗ τὸ πάσσε δ' ἁλὸς θείοιο. περὶ Ἀχιλλέως τοῦ γηγενοῦς, καὶ ἀπὸ τῶν Ἰλιακῶν ὅσοι ἐγένοντο Ἀχιλλεῖς περιώνυμοι. καὶ ὡς οὗτος ὁ γηγενὴς φεύγουσαν τὴν Ἥραν ἀπὸ τῆς τοῦ Διὸς μίξεως ὑπεδέξατο ἐν τῷ αὐτοῦ ἄντρῳ, καὶ ἀνέπεισε συνελθεῖν τῷ Διί· καὶ πρώτην μίξιν Ἥρας ϗ Διὸς ταύτην γενέσθαι φασίν. ὁ δὲ Ζεὺς ἐπηγγείλατο 189 R. Ἀχιλλεῖ πάντας τοὺς τῷ ὀνόματι αὐτοῦ κληθησομένους περιωνύμους ποιήσειν. διὰ τοῦτο ϗ Ἀχιλλεὺς περιώνυμος ὁ τῆς Θέτιδος. ϗ ὁ Χείρωνος δὲ διδάσκαλος Ἀχιλλεὺς ἐκαλεῖτο, ἀφ' οὗ ϗ ὁ Πηλέως ἐκλήθη ὑπὸ Χείρωνος. ϗ ὁ τὸν ὀστρακισμὸν ἐπινοήσας Ἀθήνησιν Ἀχιλλεὺς ἐκαλεῖτο, υἱὸς Λύσωνος. καὶ Διὸς καὶ Λαμίας Ἀχιλλέα φασὶ γενέσθαι τὸ κάλλος ἀμήχανον, ὃν καὶ ἐρίσαντα περὶ κάλλους νικῆσαι τοῦ Πανὸς κρίναντος· καὶ διὰ τοῦτο Ἀφροδίτη νεμεσήσασα ἐμβάλλει Πανὶ τὸν Ἠχοῦς ἔρωτα, καὶ μὴν ϗ κατειργάσατο ϗ εἰς τὴν ἰδέαν αὐτόν, ὅπως ἐκ τῆς μορφῆς αἰσχρὸς ϗ ἀνέραστος φαίνοιτο. ϗ Γαλάτου τινὸς υἱὸς Ἀχιλλεὺς ἐκλήθη, ὃν ἐκ γενετῆς πολιὸν γενέσθαι φησί. καὶ ἕτεροι Ἀχιλλεῖς ἐπιφανεῖς γεγόνασι ιδ'· ὧν οἱ δύο κύνες ἦσαν ϗ θαυμάσιοι τὰ κυνῶν ἔργα. ὅτι Πρίαμος Διὸς ἐρώμενος γένοιτο, ϗ λάβοι παρ' αὐτοῦ τὴν χρυσῆν ἄμπελον, ἣν δῶρον Εὐρυπύλῳ τῷ Τηλέφου ὑπὲρ συμμαχίας δίδωσιν. ὡς Αἴσωπος ἀναιρεθεὶς ὑπὸ Δελφῶν ἀνεβίωσε, καὶ συνεμάχησε τοῖς Ἕλλησι περὶ Θερμοπύλας. ὡς Φιλοκτήτην ἐν Λήμνῳ Πύλιος ἰάτρευσεν υἱὸς Ἡφαίστου, ϗ ἔμαθε παρ' αὐ- 253 H τοῦ τὴν τοξικήν. ὡς Σκαμάνδρου τοῦ ποταμοῦ υἱὸς Μῆλος γένοιτο καλὸς τὴν ὥραν, περὶ οὗ ἐρίσαι φασὶν Ἥραν τε καὶ Ἀθηνᾶν καὶ Ἀφροδίτην τίνος γένοιτο ἱερεύς, Ἀλέξανδρον δὲ κρῖναι νικᾶν Ἀφροδίτην· ἐκ ταύτης γοῦν τῆς ἱστορίας ὁ περὶ τοῦ μήλου λόγος διεδόθη. Ὑπερμένης ἐν τῷ περὶ Χίου Ὁμήρου φησὶ θεράποντα γενέσθαι Σκινδαψὸν ὀνόματι· τοῦτον ζημιωθῆναι ὑπὸ Χίων χιλίας δραχμὰς διὰ τὸ μὴ καῦσαι τελευτήσαντα τὸν δεσπότην. ὁ δὲ τὸ ὄργανον εὑρὼν τὸ οὕτω καλούμενον σκινδαψὸν Ἐρετριεὺς ἦν, Ποικίλης τῆς αὐλητρίδος υἱός. ταῦτα ϗ τὸ ς' βιβλίον.

Ἐν δὲ τῷ ζ' περιέχεται ὡς Θεόδωρος ὁ Σαμόθραξ τὸν Δία φησὶ γεννηθέντα ἐπὶ ἑπτὰ ἡμέρας ἀκατάπαυστον γελάσαι, ϗ διὰ τοῦτο τέλειος ἐνομίσθη ὁ ἕβδομος ἀριθμός. ὡς Ἀχιλλεὺς διὰ μὲν τὸ ἐκ πυρὸς αὐτὸν σωθῆναι καόμενον ὑπὸ τῆς μητρὸς Πυρίσσοος ἐκαλεῖτο, διότι δὲ ἓν τῶν χειλέων αὐτοῦ κατακαυθείη, Ἀχιλλεὺς ὑπὸ τοῦ πατρὸς ὠνομάσθη. ὅτι Τηλέμαχον Ὀδυσσέως υἱὸν μαθοῦσαι εἶναι ἀνεῖλον αἱ Σειρῆνες. ὡς Ὀδυσσεὺς ἐν Τυρρηνίᾳ ἠγωνίσατο αὐλητικήν, καὶ ἐνίκησεν· ηὔλησε δὲ Ἰλίου ἅλωσιν, Δημοδόκου ποίημα. ὡς Στίχιος ὁ Αἰτωλός, ἐρώμενος ὢν Ἡρακλέους, εὑρέθη ἀνασχισθεὶς τετριχωμένην ἔχων τὴν καρδίαν· ἀνῃρέθη δ' ὑπ' αὐτοῦ Ἡρακλέους, ὅτε μανεὶς καὶ τοὺς ἰδίους ἀνεῖλε παῖδας· καὶ ἐπὶ τούτῳ μόνῳ φασὶ θρηνῆσαι τὸν ἥρωα. ὡς Ἑρμῆς Πολυδεύκους ἑνὸς τῶν Διοσκούρων γεγονὼς ἐραστὴς ἐδωρήσατο

a. 1. ὡς Ἀχ. A: πρὸς Ἀχ. ς. 13. παραθεῖναι ς. 14. ὁ A: ἀντὶ τοῦ ὁ ς. 20. δὲ A: δὲ καὶ ς. 30. ὅσοι ante ἀπὸ ponit ς. ὡς add A. 38. πηλεὺς A. 41. γενέσθαι φασὶ ς. b. 2. Ἀφροδίτην μισήσασαν ἐμβάλλειν ς.

7. γεγόνασι ν̄δ ς. 12. συνεμάχει — Θερμοπύλης ς. 14. Πήλιος ς. 21. γεν. θερ. ς. τοῦτον A: καὶ τοῦτον ς. 24. Ἐρέτριος ς. 28. ὁ ἕβδομος] immo ὁ ἑπτά. 30. καιόμενον ς. 31. διότι δὲ —] cf. Meinek. Euphorion. p. 128. αὐτοῦ χειλ. ς. 35. Δημοδόκου ποίημα Ἰλίου ἅλωσιν ς. 40. ὡς A: καὶ ὡς ς. 41. libri Διοσκουριδῶν ς.

αὐτῷ Δώτορα τὸν Θεσσαλὸν ἵππον. ὅτι Ἀπόλλωνος ἐπιτελοῦντος ἐπιτάφιον Πύθωνι παλαίει Ἑρμῆς καὶ Ἀφροδίτη, καὶ κρατήσασα ἆθλον ἔλαβε κιθάραν, ἣν καὶ ἐδωρήσατο Ἀλεξάνδρῳ· περὶ ἧς καὶ Ὅμη-
492 R. ρος οὐκ ἄν τοι χραίσμῃ κίθαρις καὶ ἑξῆς. "τί ἐστι τὸ παρὰ Βακχυλίδῃ ὡς ἀπὸ Σειληνοῦ εἰρημένον, καὶ πρὸς τίνα εἶπε τὸ ἔπος. ὡς ἡ Λευκὰς πέτρα ἀπὸ Λεύκου τοῦ Ὀδυσσέως ἑταίρου τὴν κλῆσιν ἔλαβεν, ὃς Ζακύνθιος μὲν γένος ἦν, ἀνῃρέθη δ᾽, ὥς φησιν ὁ ποιητής, ὑπ᾽ Ἀντίφου· τοῦτον ἱδρύσασθαί φασι καὶ ἱερὸν Λευκάτου Ἀπόλλωνος. τοὺς μὲν οὖν καθαλλομένους ἀπὸ τῆς πέτρας παύεσθαί φασι τοῦ ἔρωτος. καὶ ἡ αἰτία· μετὰ τὸν Ἀδώνιδός φασι θάνατον περιερχομένη καὶ ζητοῦσα ἡ Ἀφροδίτη εὗρεν αὐτὸν ἐν Ἄργει πόλει τῆς Κύπρου, ἐν τῷ τοῦ Ἐριθίου Ἀπόλλωνος ἱερῷ, καὶ ἀνεῖλεν αὐτόν, ἀνακοινωσαμένη Ἀπόλλωνι καὶ τὸν περὶ Ἀδώνιδος ἔρωτα. ὁ δ᾽ Ἀπόλλων ἀγαγὼν αὐτὴν ἐπὶ τὴν Λευκάδα πέτραν προσέταξε ῥῖψαι κατὰ τῆς πέτρας· ἡ δὲ ἑαυτὴν ῥίψασα ἐπαύσατο τοῦ ἔρωτος. ζητούσης δὲ τὴν αἰτίαν εἰπεῖν λέγεται τὸν Ἀπόλλωνα, ὡς μάντις ὢν ἐγνώκει διότι ὁ Ζεὺς ἀεὶ ἐρῶν Ἥρας ἐρχόμενος ἐπὶ τῇ πέτρᾳ ἐκαθέζετο καὶ ἀνεπαύετο τοῦ ἔρω-
254 H. τος. καὶ πολλοὶ δὲ ἄλλοι καὶ πολλαὶ "ἔρωτι κάμνουσαι ἀπηλλάγησαν τοῦ ἔρωτος, ἐπεὶ τῆς πέτρας καθήλαντο. ὡς καὶ Ἀρτεμισία ἡ Λυγδάμιδος, ἡ τῷ Πέρσῃ συστρατεύσασα, ἐρασθεῖσα Δαρδάνου Ἀβυδηνοῦ καὶ ὑπερορωμένη ἐξέκοψεν τοὺς ὀφθαλμοὺς κοιμωμένου, τῆς δ᾽ ἐπιθυμίας κατὰ θεῶν μῆνιν ἐπιταθείσης πορευθεῖσα κατὰ χρησμὸν εἰς Λευκάδα ἔρριψεν ἑαυτὴν κατὰ τῆς πέτρας καὶ ἀναιρεθεῖσα ἐτάφη. καὶ Ἱππομέδοντά φησιν Ἐπιδάμνιον, παιδὸς ἐγχωρίου ἐρασθέντα καὶ μὴ τυγχάνοντα, ὅτι πρὸς ἕτερον κλίνειεν, ἀνελεῖν, εἰς δὲ τὴν Λευκάδα παραγενόμενον καὶ ῥίψαντα αὑτὸν ἀποθανεῖν. καὶ Νικόστρατον δὲ τὸν κωμικὸν Τεττιγιδαίας τῆς Μυρριναίας ἐρασθέντα ῥῖψαι ἑαυτὸν καὶ ἀπαλλαγῆναι τοῦ ἔρωτος. Μάκητα δέ φασι τὸν Βουθρώτιον Λευκοπέτραν ἐπικληθῆναι, διότι τετράκις αὐτὸν καταβαλὼν τῶν ἐρωτικῶν κακώσεων ἀπαλλάττοιτο. καὶ πλῆθος ἄλλο οὕτως ἀπαλλαγῆναι λέγεται. καὶ Βουλαγόραν δὲ τὸν Φαναγορίτην, ἐρασθέντα Διοδώρου τοῦ αὐλητοῦ, καταβαλόντα αὐτὸν ἀναιρεθῆναι γηραιὸν ἤδη ὄντα. ἀναιρεθῆναι δὲ καὶ Ῥοδόπην Ἀμισηνὴν καταβαλοῦσαν ἑαυτήν, διδύμων παίδων σωματοφυλάκων Ἀντιόχου τοῦ βασιλέως ἐρασθεῖσαν, οἷς ὀνόματα Ἀντιφῶν καὶ Κῦρος. Χαρῖνος δὲ ἰαμβογράφος ἠράσθη Ἔρωτος εὐνούχου τοῦ Εὐπάτορος οἰνοχόου, καὶ πιστεύσας τῷ περὶ τῆς πέτρας λόγῳ κατέβαλεν ἑαυτόν· ἐπεὶ δὲ καταβαλὼν τὸ σκέλος κατεάγη καὶ ὑπὸ ὀδύνης ἐτελεύτα, ἀπέρριψε τάδε τὰ ἰάμβεια,

ἔρροις, πλανῆτι καὶ κακὴ πέτρη Λευκάς.
Χαρῖνον, αἲ αἴ, τὴν ἰαμβικὴν Μοῦσαν,
κατηθάλωσας ἐλπίδος κενοῖς μύθοις.
τοιαῦτ᾽ Ἔρωτος Εὐπάτωρ ἐρασθείη.

Νιρεὺς δὲ Καταναῖος ἠράσθη τῆς Ἀττικῆς Ἀθηναίας, καὶ ἐλθὼν κατέβαλεν ἑαυτὸν ἀπὸ τῆς πέτρας, καὶ ἀπελύθη τοῦ διοχλοῦντος, πεσὼν δ᾽ οὖν εἰς δίκτυον ἐνέπεσεν ἁλιέως, ἐν ᾧ ἀνειλκύσθη σὺν κιβωτῷ χρυσίου. ἐπεδικάζετο δὲ πρὸς τὸν ἁλιέα περὶ τοῦ χρυσίου· ἀλλ᾽ ὁ Ἀπόλλων νυκτερινῇ ὄψει ἀπέστησεν αὐτὸν τοῦ ἐπιδικάζεσθαι δέον εὐχαριστεῖν ὑπὲρ τῆς ἀπαλλαγῆς, ἀπειλησάμενος, ἀλλὰ μὴ καὶ ἀλλότριον περιεργάζεσθαι χρυσίον. "Πανά φασιν ἰχθὺν εἶναι θαλάσσιον κη- 493 R.
τώδη, ὅμοιον τῷ Πανὶ κατὰ τὴν ὄψιν· ἐν τούτῳ λίθον εὑρίσκεσθαι τὸν ἀστερίτην, ὃν εἰς ἥλιον τεθέντα ἀνάπτεσθαι, ποιεῖν δὲ καὶ πρὸς φίλτρον. τοῦτον δὴ τὸν λίθον εἶχεν Ἑλένη, γλυφὴν ἔχοντα αὐτὸν τὸν ἰχθὺν τὸν Πᾶνα, καὶ ταύτῃ ἐκέχρητο τῇ σφραγῖδι. ἐν οἷς καὶ τοῦ ζ τῆς Πτολεμαίου τοῦ Ἡφαιστίωνος εἰς πολυμαθίαν καινῆς ἱστορίας τὰ κεφάλαια.

## 191.

Ἀνεγνώσθη τοῦ ἐν ἁγίοις ΒΑΣΙΛΕΙΟΥ, ἐπισκόπου Καισαρείας Καππαδοκίας, τὰ λεγόμενα ἀσκητικά, ἐν δυσὶ λόγοις. χρήσιμον μὲν τὸ βιβλίον, εἴπερ τι ἄλλο, ἑκάστῳ τῶν εὐσεβεῖν αἱρουμένων καὶ τυχεῖν τῶν αἰωνίων ἀγαθῶν, "μάλιστα δὲ τοῖς ἐν κοινοβίῳ τὸν ἀσκητικὸν 255 H.
διαθλοῦσιν ἀγῶνα. ἔχει δὲ καὶ πολλῶν ἀπορημάτων γραφικῶν, ὅσα συνεπικοσμεῖ τὸ ἦθος, ἐν συνόψει λύσεις τε καὶ σαφηνισμόν. ἐν μὲν οὖν τοῖς λόγοις τὸ σύνηθες αὐτοῦ ἦθος διαπρέπει καὶ τῆς σαφηνείας τὸ καθαρόν· πλὴν ἐπ᾽ ἐνίοις τῶν ζητημάτων ἐστί πως αὐτῷ

a. 1. Δώτορα A: δῶρα ς. 2. παλαίοι ς. 3. κρατήσας ς. 5. ἑξῆς A: τὰ ἑξῆς ς. 13. φησι ς. 15. τοῦ add A. 22. ἐκαθίζετο ς. 31. φασὶν ς. de Hippomedonte cf. Meinek. Euphorion. p. 33 ima 33. ἑαυτὸν ς. 34. τεττιγιδαίας A. Μυῤῥιναίας ς. 40. φαραγορίτην ς. b. 2. δὲ add A. Ῥόπιν ἀμισσηνὴν ς. 6. εὐνούχου A: ἠμμάῤῥενος ς. 12. καινοῖς A. 14. Νηρεὺς ς. 15. ὑπὸ ς. 21. μὴ καὶ A: καὶ μὴ ς. 22. πάνά A: Πᾶνα δὲ ς. de re cf. Suid. v. Αἴσωπος Μιθριδ. ibique Küster. φησὶν ς. 25. φίλτρα Suidas et l. l. et v. Ἰχθῦς. 28. καὶ τὰ τοῦ ς. 36. ἀπορημάτων πολλῶν ς. 39. ἦθος] του ἤθους A.



Digitized by Google

παρεσπαρμένον καὶ τὸ ἐμφατικόν, οὐ τῆς λέξεως εἰς γλῶτταν νεανιευούσης, οὐδὲ τῆς συνθήκης περιβολαῖς ἐπηλυγαζομένης, οὐ μὲν οὐδ' ἄλλῃ τινὶ ξενιζούσῃ καὶ ἀνακεχωρηκυίᾳ ἢ τοῦ ἰδίου τρόπου ἢ τοῦ πολιτικοῦ λόγου περιεργίᾳ καὶ δεινότητι· ἀλλὰ ταῦτα φυλάττων ὡς ἔθος, τὸ ἐμφατικὸν ὥσπερ ἐναποῤῥίπτει, μηδεμίαν ἐνάφιεὶς ἐπιτηδεύματος ἔννοιαν, πλὴν ὅσα γε τῇ συντομίᾳ προβάλλει αὐτό. τὸ μέντοι εὐκρινές, ἅτε δὴ κεφαλαιώδη προβεβλημένος τὸν λόγον, καιρὸν οὐχ ὁρῶν εὑρίσκειν, οὐδ' ἐχρήσατο τὰ πολλά. διήκει δ' αὐτοῦ καὶ τὸ δριμὺ μετὰ τοῦ πιθανοῦ πολλαχοῦ τῶν ζητημάτων ταῖς λύσεσι, πανταχοῦ δὲ τὸ ψυχωφελὲς καὶ σωτήριον. οὐ μέντοι τῇ συντομίᾳ μόνῃ περιθραύεται τὸ σαφές, οὐδὲν δ' ἔλαττον καὶ τῷ μὴ τοὺς τὴν λύσιν ἐπιτελοῦντας λόγους εἰς τὸ συμπεραντικὸν ἀπαρτίζεσθαι σχῆμα, ἀλλ' ἐν τῷ διεῤῥιμμένῳ μὲν τῶν προτάσεων ἀνεπιφόρῳ δὲ καὶ οὐ συνειλημμένῳ τῶν ἀποδείξεων τὴν διάνοιαν περιπλανᾶσθαι. ἡ δὲ τούτων αἰτία εἰς ποικίλην περισχίζεται μέθοδον προνοίας, ἣν ἀφίημί σου τὸ συνετὸν ἐπισκοπεῖν. οὐκ ἐν τοῖς δυσὶ δὲ λόγοις τὸ ἐμφατικὸν ἐπιτρέχει. αὐτίκα ὁ πρῶτος οὐδὲν ἐπιδείκνυσι τοιοῦτον, πλὴν ἅπαξ που τῇ ἀποσιωπήσει τὸ δύσφημον οἰκονομῶν, ἐπεὶ τά γε ἄλλα πολὺς μέν ἐστι τὸ ἀσφαλές, ἴσος δὲ τὸ καθαρόν, ἀλλὰ καὶ τὸ εὐκρινές. διὰ μέντοι τῶν δύο αὐτῷ διήκει τὸ ἁπλούστερον καὶ καθωμιλημένον τῶν τε λέξεων καὶ τῆς συνθήκης, πρὸς τὴν τῶν πολλῶν ἀκοὴν διατυπούμενόν τε καὶ ταπεινούμενον, καὶ μόνης τῆς τῶν ἀκροατῶν σωτηρίας καταστοχαζόμενον. ὁ μὲν οὖν πρῶτος αὐτῷ λόγος διεξέρχεται τίς ἡ αἰτία καὶ ὁ κίνδυνος τῆς τοσαύτης τῶν ἐκκλησιῶν τοῦ θεοῦ καὶ ἑκάστου πρὸς τὸν ἕτερον διαφωνίας τε καὶ διαστάσεως. δεύτερον ὅτι πάσης ἐντολῆς θεοῦ παράβασις σφοδρῶς καὶ φοβερῶς
496 R. ἐκδικεῖται· καὶ ἡ ἀπόδειξις ἐκ τῶν γραφῶν. τρίτον περὶ τῆς εὐσεβοῦς πίστεως ἡμῶν, ἤτοι τῆς εἰς τὴν ὑπεραγίαν τριάδα καθαρᾶς ἡμῶν καὶ εἰλικρινοῦς ὁμολογίας. ὁ δὲ δεύτερος οἷον χαρακτῆρα Χριστιανοῦ κεφαλαιώδη καὶ σύντομον παρατίθεται, καὶ χαρακτῆρα πάλιν παραπλήσιον τῶν προεστώτων τοῦ λόγου. εἶτα οἷον ὅρους τινὰς ἀσκητικούς, ὡς ἐν ἐρωτήσει καὶ ἀποκρίσει προηγμένους, ἐκτίθεται, τὸν ἀριθμὸν νε', καὶ πάλιν συντομώτερον ἑτέρους ὅρους τιγ'.

## 192 (A).

Ἀνεγνώσθη τοῦ ἐν ἁγίοις ΜΑΞΙΜΟΥ μοναχοῦ, τοῦ καὶ ὁμολογητοῦ, πρὸς Θαλάσσιον ὁσιώτατον πρεσβύτερον καὶ ἡγούμενον προσπεφωνημένον βιβλίον, ἐν ᾧ 256 H.
γραφικῶν ἀπορημάτων ρξδ' ἀναγράφει λύσεις. ἐν μέντοι τῷ προοιμίῳ διαλαμβάνει περὶ τῆς γενέσεως τῶν ἐν ἡμῖν παθῶν, καί φησιν ὡς τὸ κακὸν μηδὲν μηδ' ὅλως τῶν ὄντων ὑπάρχον, μὴ ποιότης, μὴ ποσότης, μὴ σχέσις, ἀλλὰ μηδὲ πάθος φυσικῶς τινὶ τῶν ὄντων ἐνθεωρούμενον, εἴη ἂν ἔλλειψις τῆς πρὸς τὸ τέλος ἐνεργείας τῶν ἐγκειμένων τῇ φύσει δυνάμεων, ἢ καὶ οὕτω, τῶν φυσικῶν δυνάμεων κατ' ἐσφαλμένην κρίσιν ἐπ' ἄλλο παρὰ τὸ τέλος ἀλόγιστος κίνησις. αἰτίαν δέ φημι νῦν, ἧς πάντα φυσικῶς ἐφίεται, ἣν ὁ Ἀδάμ, ἀπάτην τοῦ πονηροῦ νοσήσας, ἠγνόησε, πρὸς ὅλην δὲ κατεσύρη τὴν αἴσθησιν, παρασυμβληθεὶς τοῖς κτήνεσι, καὶ ὅσον τῆς πρὸς αἴσθησιν ἐπεμελεῖτο γνώσεως, τοσοῦτον τῆς θείας ἐξέπιπτε· ὅσον δ' ἐκπίπτων διέμενε, τοσοῦτον τῇ ἀπολαύσει τῶν γνωσθέντων αἰσθητῶν προσηλοῦτο καὶ συγκατεφέρετο· ὅσον δὲ τούτοις ἐνέκειτο, τοσοῦτον τῆς ἐπιβλαβοῦς φιλαυτίας ἐξῆπτε τὸν ἔρωτα· ὅσον δ' εἴχετο τῆς φιλαυτίας, τοσοῦτον ἐπενόει τῆς ἡδονῆς ποικίλους καὶ πολλοὺς τρόπους· γεννήματα γὰρ τῆς φιλαυτίας ταῦτα. καὶ ἐπειδὴ πᾶσα κακία τοῖς συνιστῶσιν αὐτὴν συνδιαφθείρεται, εὑρίσκων ἐξ αὐτῆς πείρας τῆς ἡδονῆς πάντως διάδοχον τὴν ὀδύνην, τῆς μὲν ὑπὲρ δύναμιν ἀντείχετο, τῆς ὀδύνης δὲ σφοδρῶς κατηγωνίζετο, οἰόμενος ὅπερ ἦν ἀμήχανον, διαστῆσαι ταύτας ἀλλήλων καὶ μόνῃ τῇ ἡδονῇ ἐντρυφᾶν καὶ τὴν φιλαυτίαν ταύτῃ συνημμένην ἔχειν. ἐντεῦθεν ὁ πᾶς ὄχλος τῶν παθῶν· ἡδονῆς γὰρ διὰ τὴν φιλαυτίαν ἀντιποιούμενοι καὶ ὀδύνην ἀποφεύγοντες τὰς ἀμυθήτους τῶν φθοροποιῶν παθῶν ἐπινοοῦμεν γενέσεις. οἷον εἰ μὲν τῆς ἐν φιλαυτίᾳ ἡδονῆς ἀντιποιούμεθα, γεννῶμεν τὴν γαστριμαργίαν, τὴν ὑπερηφανίαν, τὴν φιλαργυρίαν, καὶ ὅσα τὸν τυχόντα τρόπον πορίζει ἡδονήν· εἰ δὲ τὴν ἐν φιλαυτίᾳ φεύγομεν ὀδύνην, γεννῶμεν τὸν θυμόν, τὸν φθόνον, τὸ μῖσος, τὴν ἀπόγνωσιν, καὶ ὅσα ἄλλα τῆς ὀδυνούσης ἐστέρηται διαθέσεως. ἐκ δὲ τῆς ἀμφοῖν μίξεως τίκτεται ἡ ὑπόκρισις, ἡ κολακεία, ὁ δόλος, καὶ ἁπλῶς ὅσα ἄλλα μοχθηρίας
εἴδη τῆς μικτῆς ἐστὶ πανουργίας ἐπινοήματα. ἀλλ' οὐ 497 R.

a. 8. μέντοι A: μέν τι ς. 14. τῷ — ἐπιτελ. A: μὴ τῷ τοὺς λύσιν ἐπιζητοῦντας ς. 19. τὸ συνετόν σου περισκοπεῖν ς. 23. ἀσφαλὲς] ἀφελὲς apographum Stephani. 35. δὲ add A.

b. 9. μηδὲ τὸ πάθος ς. 10. εἴη A: καὶ εἴη ς. 11. ἢ add A. 17. ἐπετελεῖτο ς. 18. ὅσον δ' A: καὶ ὅσον ς. 19. αἰσθητῶν et 20. τῆς add A. 21. ἐξῆπται ς. 33. οἷον A: καὶ οἷον ς. 36. φεύγωμεν A. 38. ὀδυνούσης ς. 41. ἐπινοσήματα ς.

Digitized by Google

ᾗ προείρημεν, τῆς θείας ὁ ἄνθρωπος διὰ τῆς ἀπάτης καταπεσὼν γνώσεως καὶ πρὸς τὴν αἴσθησιν ὅλος ἐπιστραφεὶς τὴν φαινομένην κτίσιν εἰς θεὸν παρεγνώρισε, διὰ τὴν ἀπ' αὐτῆς τοῦ σώματος χρείαν τῇ κτίσει λατρεύων παρὰ τὸν κτίσαντα, καθ' ὃ σῶμα τὴν φθοροποιὸν ἐπιτελῶν λατρείαν ἡδονὴν εἶχεν ἀεὶ καὶ ὀδύνην ἐνεργουμένην, ἐσθίων ἀεὶ τὸ ξύλον τῆς παρακοῆς τοῦ καλοῦ καὶ κακοῦ διὰ τῆς πείρας αὐτῆς, καὶ κατὰ τὴν αἴσθησιν παρέχων τὴν γνῶσιν. καὶ τάχα ξύλον εἶναι καλοῦ καὶ πονηροῦ τὴν φαινομένην εἰπὼν κτίσιν τις οὐκ ἂν ἁμάρτοι τῆς ἀληθείας· ἡδονῆς γὰρ καὶ λύπης ποιητικὴν ἔχει φυσικῶς τὴν μετάληψιν. ἢ πάλιν, ἐπειδὴ καὶ λόγους ἔχει πνευματικοὺς ἡ ὁρωμένη κτίσις νοῦν 517 H. τρέφοντας, καὶ δύναμιν πάλιν φυσικὴν τὴν μὲν αἴσθησιν τέρπουσαν τὸν δὲ νοῦν διαστρέφουσαν, διὰ τοῦτο ξύλον γνωστὸν καλοῦ τε καὶ κακοῦ προσηγορεύθη· παθὼν γὰρ γίνεται διδάσκαλος τοῖς σωματικῶς αὐτῆς μεταλαμβάνουσι. διὸ τυχὸν καὶ τῷ ἀνθρώπῳ τὴν μετάληψιν αὐτῆς ὁ θεὸς ἀπηγόρευσε τέως, ἵνα πρότερον, ὥσπερ ἦν δίκαιον, διὰ τῆς ἐν χάριτι μετοχῆς τὴν οἰκείαν ἐπιγνοὺς αἰτίαν καὶ τὴν χάριτι δοθεῖσαν ἀθανασίαν, διὰ τῆς τοιαύτης μεταλήψεως πρὸς ἀπάθειαν καὶ ἀτρεψίαν στομώσας, ὡς θεὸς ἤδη τῇ θεώσει γενόμενος μετὰ θεοῦ τὰ τοῦ θεοῦ διασκέψηται κτίσματα, μηδὲν ὑπ' αὐτῶν παραβλαπτόμενος, καὶ τὴν αὐτῶν ἀναλήψηται γνῶσιν ὡς χάριτι θεὸς καὶ οὐκ ἄνθρωπος.

Ταῦτα καὶ τοιαῦτα ἐν προοιμίοις φιλοσοφήσας, καὶ ἐπαγγειλάμενος ὡς ἐν ἑτέροις τελειότερόν τε καὶ ἀκριβέστερον περὶ αὐτῶν ἐπισκέψοιτο καὶ ἰδίᾳ πραγματείᾳ τὴν περὶ αὐτῶν ἀφοριεῖ πραγματείαν, ἐφεξῆς τῶν ἐρωτήσεων καὶ ἀποκρίσεων ἅπτεται. ὧν πρῶτον ζήτημα περὶ τοῦ τί σημαίνει „ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται." β' περὶ τοῦ ἐν τῷ εὐαγγελίῳ τὸ κεράμιον τοῦ ὕδατος βαστάζοντος. γ' περὶ τοῦ „μὴ κτήσησθε δύο χιτῶνας." δ' περὶ τῆς καταραθείσης γῆς ἐν τοῖς ἔργοις τοῦ Ἀδάμ. ἑ περὶ τοῦ „ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ." ϛ' περὶ τοῦ „εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη." ζ' περὶ τοῦ „ὁ θεὸς φῶς ἐστίν." η' περὶ τοῦ πῶς ἐσμὲν τέκνα θεοῦ, καὶ πῶς μετὰ ταῦτα ἐσόμεθα. θ' περὶ τοῦ πῶς „ὁ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ" καὶ „οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν." ι' περὶ τοῦ τίς ἡ ἀρχὴ τῶν μὴ τηρησάντων αὐτὴν ἀγγέλων, καὶ ὅσα αὐτοῖς ἀπόκειται. ια' τίς ὁ ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένος χιτών. ιβ' τί ἐστι „τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται." ιγ' τί ἐστι „καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα." ιδ' περὶ τοῦ „τὸ γὰρ ἄφθαρτον πνεῦμά σου ἐστὶν ἐν πᾶσι." ιε' περὶ τοῦ ἐν τῇ ἐρήμῳ χωνευθέντος μόσχου. ιϛ' περὶ τοῦ ἀγγέλου τοῦ ἀπειλήσαντος θάνατον τῷ Μωσεῖ ἐν τῇ ὁδῷ Αἰγύπτου. ιζ' περὶ τοῦ, εἰ οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται, πῶς οἱ ἐν νόμῳ δικαιούμενοι τῆς χάριτος ἐκπίπτουσιν. ιη' τί ἐστιν „ὅσοι ἀνόμως ἥμαρτον, 500 R. ἀνόμως καὶ ἀπολοῦνται." ιθ' τί ἐστιν ἡ ξηρανθεῖσα ἐν τῷ εὐαγγελίῳ συκῆ, καὶ ὅσα περὶ αὐτήν. κ' περὶ τοῦ τί ἐστιν „ἐκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας" καὶ ἑξῆς, καὶ πῶς ὁ μηδ' ὅλως ἐνδυσάμενος ἐκδύεται. κα' εἰ ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις ὁ θεὸς δείξει τὸν πλοῦτον τῆς χρηστότητος αὐτοῦ, πῶς εἰς ἡμᾶς τὰ τέλη τῶν αἰώνων κατήντησεν. κβ' περὶ τοῦ „δώσει αὐτῷ ὁ θεὸς τὸν οἶκον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ," πῶς δίδωσι, τῆς βασιλείας Δαβὶδ εἰς τὰ ἐπιγνόντα ἔθνη τὸν ἐξ αὐτοῦ μεταπεσούσης. κγ' τί ἐστι „διελθόντες πρώτην καὶ δευτέραν φυλακήν" καὶ τίς ἡ σιδηρᾶ πύλη. κδ' περὶ τοῦ „παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστι" καὶ ἑξῆς. 258 H. κε' περὶ τοῦ βασιλέως Βαβυλῶνος καὶ Ἰούδα καὶ τῶν ἐθνῶν. κϛ' περὶ τῆς ἀποκαλύψεως Πέτρου τῆς ἐπὶ τῷ Κορνηλίῳ, καὶ πῶς διεκρίνοντό τινες πρὸς Πέτρον διὰ τὸν Κορνήλιον. κζ' τὸ „δεῦτε καὶ καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας" πρὸς τίνας εἴρηται. κη' τί ἐστι τὸ ἐν ταῖς πράξεσιν „οἵ τινες διὰ τοῦ πνεύματος ἔλεγον τῷ Παύλῳ μὴ ἀναβῆναι εἰς Ἱεροσόλυμα." κθ' τίς ἡ διαφορὰ ποτηρίου καὶ βαπτίσματος. λ' περὶ τοῦ, εἰ „οὐκ ἐν χειροποιήτοις ναοῖς ὁ θεὸς κατοικεῖ," πῶς ἐν τῷ τῶν Ἰουδαίων ναῷ ἐλέγετο οἰκεῖν. λα' περὶ τοῦ „εἰ ἄρα

a. 2. ὅλως ς. 7. τὸ add *A*. τοῦ] τὸ *A*. 8. πείρας *A*: πορείας ς. 9. τὴν et 16. τε add *A*. 27. καὶ τὰ τοιαῦτα ς. 32. ὁ πατήρ] Io. 5, 17. 33. ante περὶ cum *A* omisi δὲ. ἐν τῷ εὐαγγελίῳ] Marc. 14, 13. Luc. 22, 10. 34. μὴ] Matth. 10, 10. Luc. 9, 3. κτήσασθαι *A*. 35. τοῦ Ἀ.] Gen. 3, 17. 36. ὁ γεγ.] 1 Io. 3, 9. 37. εἰς add *A*. cf. 1 Petr. 4, 6. b. 1. ὁ θεὸς] 1 Io. 1, 5. ἐσμὲν τέκνα] 1 Io. 3, 2. 2. πῶς add *A*. 3. ὁ φοβ.] 1 Io. 4, 18. οὐκ ἔστιν] Ps. 33, 9. 5. ἡ ἀρχὴ] Iud. 6. 6. ἐσπιλ. χ.] Iud. 23. 7. τὰ γὰρ] Rom. 1, 20. 8. ποιήμασι *A*: πλάσμασι ς. 9. καὶ ἐλάτρ.] Rom. 1, 25. 10. τὸ γὰρ ἄφθ.] Sap. 12, 1. 11. μόσχου] Exod. 32, 4. 13. Αἰγύπτου] Exod. 4, 24. οἱ ποιηταὶ] Rom. 2, 13. 15. ὅσοι] Rom. 2, 12. 16. ἡ ξηρ.] Matth. 21, 9. Marc. 11, 20. 18. ἐκδυσ.] Coloss. 2, 15. 19. et 27. ἑξῆς *A*: τὰ ἑξῆς ς. 20. ἐν τοῖς αἰῶσιν] Rom. 2, 3. 21. εἰς ἡμᾶς] 1 Cor. 10, 11. 22. δώσει] Luc. 1, 32. 25. διελθ.] Act. 12, 10. 27. παντὸς] 1 Cor. 11, 3. 30. Κορνηλίῳ] Act. 10. 31. δεῦτε] Gen. 11, 7. 33. οἵ τινες] Act. 21, 4. 35. ποτ. καὶ βαπτ.] Marc. 10, 38. οὐκ ἐν] Act. 17, 24.



Digitized by Google

*ψηλαφήσειαν καὶ εὕροιεν θεόν." λβ' περὶ τοῦ „ἀμὴν λέγω ὑμῖν, ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ" καὶ ἑξῆς. λγ' περὶ τοῦ „ὅσα ἂν προσευχόμενοι αἰτῆσθε, πιστεύετε ὅτι λαμβάνετε" ϗ ἑξῆς. λδ' περὶ τοῦ ὅτι κελευόμεθα τρώγειν τὴν σάρκα καὶ πίνειν τὸ αἷμα, μὴ συντρίβειν δὲ τὰ ὀστᾶ. λε' περὶ τοῦ τίνα ἐστὶ τὰ τῶν θυομένων ζώων σώματα τοῖς Ἰσραηλίταις. λϛ' περὶ τῆς ἐχίδνης ἣ καθήψατο τῆς χειρὸς Παύλου. λζ' περὶ τῆς ἐρωτήσεως τῶν Σαδδουκαίων, ἥτις ἑπτὰ ἄνδρας ἀνέπλαττε τῇ μιᾷ συνεζεῦχθαι γυναικί. λη' τί εἰσιν αἱ τρεῖς ἡμέραι ἃς προσμένουσιν οἱ ὄχλοι τῷ Χριστῷ ἐν τῇ ἐρήμῳ. λθ' τί σημαίνει ὁ ἀριθμὸς τῶν ἓξ ὑδριῶν τῶν ἐν τῷ γάμῳ τῷ ἐν τῷ Κανᾶ τῆς Γαλιλαίας. μ' τίς ὁ λόγος τῶν πέντε ἀνδρῶν τῆς Σαμαρείτιδος, ϗ τοῦ ἕκτου μὴ ὄντος ἀνδρός. μα' πῶς ἡμεῖς μὲν λεγόμεθα τὴν ἁμαρτίαν ϗ ποιεῖν καὶ εἰδέναι, ὁ δὲ κύριος γενέσθαι μὲν ἁμαρτία, μὴ γνῶναι δ' αὐτήν. μβ' περὶ τοῦ ξύλου τῆς ζωῆς ϗ τοῦ ξύλου τῆς παρακοῆς. μγ' πρὸς τίνα εἶπεν „ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν." εἰ μὲν γὰρ πρὸς τὸν υἱόν, ϗ πῶς συγκρίνεται Ἀδὰμ τῷ υἱῷ; εἰ δὲ πρὸς ἀγγέλους, πῶς πάλιν τὸν ἄγγελον ἑαυτῷ συγκρίνει; μδ' τί σημαίνει τὸ στηθύνιον τοῦ ἐπιθέματος καὶ ὁ βραχίων τοῦ ἀφαιρέματος; με' τίς ἡ διαφορὰ τοῦ ἐσόπτρου πρὸς τὸ αἴνιγμα. μϛ' τί ἐστι „φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ" ϗ ἑξῆς. μζ' περὶ τῶν Ὀζίου τοῦ βασιλέως Ἰούδα λάκκων ϗ πύργων ἃ ᾠκοδόμησε. μη' τί ἐστι πάλιν ἐν τῇ αὐτῇ βίβλῳ τῶν παραλειπομένων „ϗ εἶδεν Ἐζεκίας ὅτι ἥκει 501 R. Σεναχειρίμ" καὶ ἑξῆς. μθ' τί ἐστι πάλιν ἐν τῇ αὐτῇ βίβλῳ „ϗ προσηύξατο Ἐζεκίας ὁ βασιλεὺς ϗ Ἡσαΐας υἱὸς Ἀμώς" καὶ ἑξῆς. ν' τί ἐστι „καὶ πολλοὶ ἔφερον δῶρα τῷ κυρίῳ ϗ δόματα Ἐζεκίᾳ τῷ βασιλεῖ Ἰούδα." να' περὶ τοῦ ὅτι „οὐ κατὰ τὸ ἀνταπόδομα, ὃ ἀνταπέδωκεν αὐτῷ ὁ θεός, ἀνταπέδωκεν Ἐζεκίας" καὶ ἑξῆς. νβ' περὶ Ἐζεκίου πάλιν, ὅτι „ἔθαψαν αὐτὸν ἐν ἀναβάσει υἱῶν Δαβίδ" ϗ ἑξῆς. νγ' περὶ τοῦ ἐν τῷ πρώτῳ Ἔσδρα, ὅτι γέγραπται περὶ Ζοροβάβελ „ἦρε τὸ πρόσωπον εἰς τὸν οὐρανὸν ἐναντίον Ἰσραήλ," καὶ περὶ τῆς προσευχῆς αὐτοῦ. νδ' περὶ τοῦ „οἱ δὲ πάντες ἦσαν ἐξ Ἰσραὴλ ἀπὸ δωδεκαετοῦς χωρὶς παιδίων ϗ γυναικῶν, μυριάδες "δ' ,γτξ'" ϗ ἑξῆς. νε' περὶ τοῦ ἐν τῷ δευ- 259 H τέρῳ Ἔσδρα γεγραμμένου „καὶ ἀκούσαντες οἱ ἐχθροὶ τῆς φυλῆς Ἰούδα καὶ Βενιαμὶν ἐληλύθασιν ἐπιγνῶναι τίς ἡ φωνὴ τῶν σαλπίγγων" ϗ ἑξῆς. νϛ' τί ἐστι „πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη." νζ' περὶ τοῦ „ἐν ᾧ ἀγαλλιᾶσθε ὀλίγον ἄρτι, εἰ δέον ἐστὶ λυπηθέντας ὑμᾶς" καὶ ἑξῆς, πῶς τις λυπούμενος ἐν πειρασμοῖς δύναται ἀγαλλιᾶσθαι. νη' περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν προφῆται. νθ' περὶ τοῦ „ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ προεγνωσμένου," ὑπὸ τίνος προεγνωσμένου." τί ἐστιν „ὅτι καιρὸς τοῦ ἄρξασθαι τὸ κρίμα ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ" καὶ ἑξῆς. ξα' περὶ τοῦ δρεπάνου ὃ εἶδε πετόμενον ὁ Ζαχαρίας. ξβ' περὶ τῆς χρυσῆς λυχνίας ἣν εἶδεν ὁ αὐτὸς προφήτης. ξγ' τί ἐστιν „ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες ἀνδρῶν, οἵ τινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστεράν·" τίνες οἱ ἄνδρες, καὶ τίς ἡ δεξιὰ καὶ ἀριστερά. ξδ' διὰ τί μετὰ τὸν θάνατον Σαοὺλ τοῦ ἀδικήσαντος τοὺς Γαβαωνίτας ὁ μηδὲν ἀδικήσας Δαβὶδ ἀπῃτήθη δίκας, λιμῷ τῆς χώρας αὐτοῦ κακουμένης, ἕως ἔδωκε τοὺς ἐκ τοῦ σπέρματος Σαοὺλ ἑπτὰ ἄνδρας τοῖς Γαβαωνίταις;*

*Τούτων οὖν τὰς λύσεις ὁ θεῖος οὗτος ἀνὴρ καὶ γενναῖος ὁμολογητὴς ἀποδιδόναι ὑπέρχεται πόνον. ἔστι δὲ τὴν φράσιν κοινοτενής τε ταῖς περιόδοις, καὶ χαίρων ὑπερβατοῖς, ἐνακμάζων τε ταῖς περιβολαῖς, ϗ κυριολογεῖν οὐκ ἐσπουδασμένος· ἐξ ὧν αὐτῷ τῇ συγγραφῇ ϗ τὸ ἀσαφὲς καὶ δυσεπισκόπητον διατρέχει. τῷ τραχεῖ δὲ τοῦ ὄγκου, ὅσα περὶ συνθήκην καὶ ἀναπαύσεις, τὸν λόγον ὑποβάλλων οὐδ' ἡδὺς εἶναι σπουδάζει τῇ ἀκοῇ. καὶ ἡ μεταφορὰ αὐτῷ τῶν λέξεων οὐκ εἰς τὸ χαρίεν ϗ γεγοητευμένον περιήνθισαι, ἀλλ' οὕτως ἁπλῶς ϗ ἀπεριμερίμνως παραλαμβάνεται. ὃ δ' ἐγγὺς ϗ τοὺς περὶ αὐτὸν ἐσπουδακότας ἀποκναίει, πόῤῥω τοῦ γράμματος ϗ τῆς ἐγνωσμένης ἱστορίας, ἢ μᾶλλον καὶ αὐτοῦ τοῦ ὑπο-*

a. 1. *ἀμὴν*] Marc. 11, 23. 2. *ἑξῆς A: τὰ ἑξῆς ς.* item v. 4. et 25. et 28. et saepe postea. 3. *ὅσα*] Marc. 11, 24. *αἰτεῖσθε A.* 4. *ὅτι* om *A.* 6. *ὀστᾶ*] Io. 6, 53. 19, 33. Exod. 12, 9. Num. 9, 6. 8. *Παύλου*] Act. 28, 3. *τῆς* om *A.* 9. *τῶν Σαδδ.*] Matth. 22, 25. Marc. 12, 20. 10. *συνεζεῦχθαι τῇ,* absque *μιᾷ, ς.* 11. *ἐρήμῳ*] Matth. 15, 32. Marc. 8, 2. 13. *τῷ κανᾶ A: τῇ Κανᾶ.* locus est Io. 2, 6. 15. *ἀνδρός*] Io. 4, 18. *λέγομεν ς.* 17. *αὐτήν*] 2 Cor. 5, 21. 18. *παρακοῆς*] Gen. 2, 6. 19. *ἡμῶν*] Gen. 3, 22. 20. *συγκρ. ὁ Ἀδὰμ ς.* 23. *ἀφαιρ.*] Lev. 10, 14. 24. *αἴνιγμα*] 1 Cor. 13, 2. *ἐρήμῳ*] Isa. 40, 3. Matth. 3, 3. 25. *τοῦ* om *A.* 26. *ᾠκοδ.*] 2 Paral. 26, 10. 27. *παραλειπ.*] 32, 2. 28. *Σεναχηρεὶμ ς.* 30. *Ἀμὼς*] ib. 20. *καὶ πολλοὶ*] ib. 23. 32. *οὐ κατὰ* add *A.* cf. ib. 25. 34. *ἔθαψαν*] ib. 33. 36. *ἦρε*] 1 Esdr. 9, 6. b. 1. *οἱ δὲ*] 3 Esdr. 5, 41. 4. *καὶ ἀκούσ.*] ib. 66. 6. *πολὺ*] Iac. 5, 16. 7. *ἐν ᾧ ἀγαλλ.*] 1 Petr. 1, 6. 11. *προφῆται* ib. 10. *ὡς ἀμνοῦ*] ib. 19. 13. *ὅτι καιρὸς*] ib. 4, 17. 15. *Ζαχαρίας*] Zach. 5, 1. 17. *προφήτης*] 4, 2. *ἐν ᾗ*] Ion. 4, 4. 20. *τὸν* add *A.* 24. *Γαβ.*] 2 Reg. 21, 1. 30. *δυσεπίκτητον ς.* 36. *ἀποκναίει ἐσπουδακότας ς.*

Digitized by Google

ρημένου, αἱ λύσεις αὐτῷ περινοοῦνται. πλὴν εἴ τινι φίλον ἀναγωγαῖς καὶ θεωρίαις τὸν νοῦν ἀνελίσσειν, οὐκ ἂν ποικιλωτέραις οὐδ' ἐσπουδασμέναις μᾶλλον ἢ ταύταις περιτύχοι. σύλλέγει μὲν γὰρ καὶ τῶν πρὸ αὐτοῦ εἰς ἔνια τῶν ἠπορημένων εἰρημένα, ἐπισυνάπτει δὲ καὶ τῆς οἴκοθεν φιλοπονίας οὐδὲν ἔλαττον, εἰ μὴ καὶ μᾶλλον, τὸ 504 R. γλαφυρόν τε καὶ περινενοημένον προβεβλημένα. πανταχοῦ δὲ τὸ εὐσεβὲς αὐτοῦ καὶ τοῦ εἰς Χριστὸν πόθου τὸ καθαρὸν καὶ γνήσιον διαλάμπει.

192 (B).

Ἔτι ἀνεγνώσθησαν αὐτοῦ καὶ ἐπιστολαὶ περὶ διαφόρων ὑποθέσεων ψυχωφελῶν τε καὶ ἀναγκαίων τοῖς ὀρθοῦν τε τὰ ἤθη καὶ τὸν νοῦν ἐγρηγορότα συντηρεῖν πρὸς τὴν εὐσέβειαν ἐσπουδακόσι, τὸν ἀριθμὸν ζ καὶ κ΄. ὧν ἦν μία πολύστιχος, [καὶ] ἡ πρός τινα φιλόσοφον Ἰωάννην. ἧς ἐστὶ τὰ κεφάλαια πρῶτον ἐπιτίμησις τοῖς διεκδικοῦσι τοὺς αἱρετίζοντας, καὶ μάλιστα τοὺς ἀπὸ Σεβήρου· δεύτερον ὅτι δεῖ παντὶ τρόπῳ τὴν παραδεδομένην εὐ-260 H. σέβειαν ἀπαράτρωτον διαφυλάττειν· τρίτον περὶ διαφορᾶς, καὶ πῶς ἐστιν εὐσεβῶς δύο φύσεις ἐπὶ Χριστοῦ μετὰ τὴν ἕνωσιν ὁμολογεῖν· δ΄ ὅτι ὁ ἀριθμὸς οὔτε διαιρεῖ οὔτε διαιρεῖται, οὔτε διαίρεσιν εἰσάγει κατὰ τὸν ἴδιον λόγον τὸ σύνολον, οἷς ἐπιλέγεται· ε΄ πῶς εὐσεβῶς ὁ ἀριθμὸς πρὸς δήλωσιν τῆς διαφορᾶς παραλαμβάνεται· ϛ΄ πῶς χρὴ νοεῖν τὴν κειμένην ῥῆσιν ἐν τῇ πρὸς Σούκενσον ἐπιστολῇ τοῦ ἁγίου Κυρίλλου, καὶ ὅτι οὐ μάχεται ἡ „ἐν δύο" φωνὴ τοῖς λέγουσι μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, εἰ μὴ κατὰ τὸ Νεστορίῳ δοκοῦν ἀσεβῶς λαμβανομένη· ζ΄ ὅτι πραγμάτων ἤγουν οὐσιῶν ἐπὶ Χριστοῦ ἡ διαφορά, ἀλλ' οὐ ποιοτήτων, καὶ ὅτι πᾶσα διαφορὰ ἐξ ἀνάγκης συνεισάγει ἑαυτῇ τὴν ὧν ἐστὶ ποσότητα, καὶ ἡ ποσότης πάλιν τὸν ἑαυτῆς σημαντικὸν ἀριθμόν, κἄντε συνεχής ἐστι κἄντε διῃρημένη· η΄ ὅτι ἀσεβές ἐστι τὸ λέγειν μίαν σύνθετον φύσιν τὸν Χριστόν, καὶ τῇ ἀληθείᾳ μαχόμενον· θ΄ περὶ ὑποστάσεως συνθέτου, καὶ ἔκθεσις σύντομος τῆς ἐκδοχῆς τῶν ὀρθῶς ἐπὶ Χριστοῦ κατὰ τὴν καθολικὴν ἐκκλησίαν ὁμολογουμένων τῆς πίστεως φωνῶν· ι΄ περὶ ὑποστάσεως συνθέτου φυσικωτέρα διάληψις, καὶ ἀπόδειξις ἀκριβὴς τοῦ μὴ τοῖς αὐτοῖς περιπίπτειν τοὺς ὁμολογοῦντας μίαν σύνθετον ὑπόστασιν τὸν Χριστὸν τοῖς μίαν αὐτὸν σύνθετον λέγουσι φύσιν· ια΄ ὅτι κατὰ πρόσληψιν ἡ πρὸς τὴν σάρκα μόνη τοῦ λόγου γέγονεν ἕνωσις, ὡς προόντος καὶ πρὸς ἕνωσιν σαρκὸς ἐνωθῆναι θελήσαντος· ὅπερ οὐκ ἔστιν ὅλως ἐπ' ἄλλου τῶν συνθέτων ἰδεῖν. ἐπὶ γὰρ τῶν ἄλλων οὐ κατὰ πρόσληψιν θατέρου ἡ ἕνωσις γίνεται, ἀλλ' ἄμφω συνιόντων ἐκ τοῦ μὴ ὄντος εἰς τὴν τοῦ συνθέτου συμπλήρωσιν καὶ οὐσίωσιν. ἡ μὲν πρὸς Ἰωάννην ἐπιστολὴ αὕτη καὶ τὰ ἐν αὐτῇ κεφάλαια.

Τῶν δ' ἄλλων ἐπιστολῶν τρεῖς μέν εἰσι πρὸς Θαλάσσιον πρεσβύτερον καὶ ἡγούμενον, δύο δὲ πρὸς Ἰωάννην κουβικουλάριον, δύο δὲ πρὸς Σωφρόνιον μονάζοντα τὸν ἐπίκλην Εὐκρατᾶν, καὶ μία πρὸς Ἰωάννην σοφιστήν, καὶ μία πρὸς Ἰανίαν ἡγουμένην, καὶ μία Θαλασσίῳ ἡγουμένῳ καὶ πρεσβυτέρῳ, καὶ μία Ἰορδάνῃ πρεσβυτέρῳ καὶ Στεφάνῳ ἡγουμένῳ καὶ πρεσβυτέρῳ, καὶ μία Κυρισικίῳ ἐπισκόπῳ, καὶ ἔτι ἑτέρα μία Ἰωάννῃ κουβικουλαρίῳ, ὁμοίως καὶ Στεφάνῳ πρεσβυτέρῳ καὶ ἡγουμένῳ, καὶ μία Κόνωνι πρεσβυτέρῳ καὶ ἡγουμέ- 505 R. νῳ, ἔτι Θαλασσίῳ ἡγουμένῳ καὶ πρεσβυτέρῳ, καὶ δύο Ἰωάννῃ ἐπισκόπῳ, ἔτι Ἰωάννῃ κουβικουλαρίῳ περὶ τῆς κατὰ θεὸν λύπης, καὶ Κωνσταντίνῳ Ἰλλουστρίῳ καὶ ἀπὸ σακελλαρίων δύο, καὶ τῷ ἀββᾷ Πολυχρονίῳ τρεῖς, καὶ πρὸς Ἰουλιανὸν Ἀλεξανδρέα, ἀπὸ τῆς τῶν ἀκεφάλων 261 H. αἱρέσεως ἐπιστραφέντα, μία, καὶ ὡς ἀπὸ Γεωργίου ἐπάρχου Ἀφρικῆς πρὸς μοναστρίας ἀποκοινωνησάσας ἐν Ἀλεξανδρείᾳ μία. ἐν ταύταις οὖν ἁπάσαις ταῖς ζ καὶ κ΄ ἐπιστολαῖς ὁ μὲν ἄλλος χαρακτὴρ αὐτοῦ τῶν λόγων καὶ ἡ εὐσέβεια μάλιστα διασώζεται, τὸ δ' ἀσαφές, εὖ γε τοῦ ἀνδρὸς ποιοῦντος καὶ τιμῶντος ἐπιστολῆς κατὰ τοῦτο νόμους, οὐκ ἔχει τὸ ἀνοικονόμητον. δῆλον δ' ὅτι καὶ ἃ τὴν ἀσάφειαν ἐποίει, τὰ μὲν ἔρριπται τὰ δὲ κεκόλασται.

193.

Ἀνεγνώσθη τοῦ αὐτοῦ ἁγίου ΜΑΞΙΜΟΥ λόγος ἀσκητικός, εἰς πεῦσιν ἐσχηματισμένος καὶ ἀπόκρισιν. χρήσιμος μὲν ἅπασιν ὁ λόγος, μάλιστα δ' οἷς ἄσκησις ἡ πολιτεία· ἠθῶν γὰρ δι' ὧν ἄν τις οὐρανοπολίτης γένοιτο, ἐστὶ διδάσκαλος καὶ γεωργός, μάλιστα δὲ τῆς ἀγάπης καὶ τὴν γνῶσιν καὶ τὴν ἐργασίαν πολλὰς ἐνδίδωσιν ἐπελθεῖν ἀφορμάς.

Συνετέτακτο δὲ καὶ ἑτέρα πραγματεία, εἰς υ΄ κεφάλαια πληθυνομένη, ἣ καὶ προσεπεφώνητο Ἐλπιδίῳ τινί, ὁσιότητι καθωσιωμένῳ. καὶ αὐτὰς μὲν ὁ συγ-

a. 12. ψυχωφελῶν — ἀναγκαίων A: ἀναγκαίων — ψυχωφελῶν ς. 13. πρὸς] καὶ πρὸς A. 15. τινα φιλόσοφον Ἰωάννην] Ἰωάννην τινὰ A. 18. ἀπαράτρωτον εὐσέβειαν ς. 28. τὸ τῷ Νεστορίῳ ς. b. 7. μὲν οὖν πρὸς ς. 15. καὶ μία Κυρισικίῳ] haec infra ponit A, ante illa v. 19. καὶ δύο Ἰ. 16. μία ἔτι ἑτέρα ς. 17. πρεσβυτέρῳ καὶ add A. 33. ante Ἀνεγνώσθη cum A omisi Ἔτι. αὐτοῦ om A. 34. ἀπόκρ. καὶ χρήσ. ς. 37. καὶ om A.

γραφεὺς περὶ ἀγάπης τὸν πόνον ἐπιγράφει, ἴσως ὅτι ταύτην τε ἀρχὴν τῷ γράμματι ὑποβάλλεται, ϗ ἀλλαχοῦ πολλάκις περὶ αὐτῆς καταβάλλεται λόγον· οὐ μὴν ἀλλὰ γοῦν καὶ πολλῶν προβλημάτων τε ϗ θεωρημάτων, οἷς θεολογία κρατύνεται ϗ ἃ τὸν ὅσιον βίον ϗ καθαρὸν ποιεῖ, ἱκανὴν ἔστιν ἐν αὐτοῖς τοῖς φιλοπόνως αὐτὰ μετιοῦσι κάρπώσασθαι τὴν ὠφέλειαν. ϗ τὸ εἶδος αὐτῷ τοῦ λόγου εἰς τὸ λευκόν τε καὶ ἔντορνον, ἧπερ οἱ ἄλλοι, διατυποῦται, ϗ οὐδὲν παρέχει ὃ ἄν τις διερευνήσοι μωμήσασθαι, πλὴν ὡς ἔθ' ὅπῃ τὴν Ἀττικὴν τῆς ἄλλης φωνῆς οὐ προκρίνει.

## 194.

Ἔτι ἀνεγνώσθη τοῦ αὐτοῦ ἁγίου ἀνδρὸς πρὸς Γεώργιον ἔπαρχον ἐπιστολή, πολλῆς ὠφελείας ϗ κατανύξεως γέμουσα· καὶ τὸ τῆς φράσεως αὐτῆς εἰς τὸ σαφές τε καὶ ἠθικὸν ἀνεπτυγμένον πρὸς τὰ υ' κεφάλαια τὴν συγγένειαν ἀνόθευτον δείκνυσιν ὅτι διασώζει.

Ἐν δὲ τῷ αὐτῷ τεύχει συνανεγνώσθη λόγος κεφαλαίοις ρ' διειλημμένος, καὶ ἕτερος ὁμοίως τοῖς ἴσοις ἀπηρτισμένος, ἐν οἷς θεολογία τε διαλάμπει ϗ ἠθῶν διακόσμησις διαπρέπει. ϗ οὐκ ἂν ἐν οὐδενὶ τὸ ὁμοφυὲς αὐτοῖς πρὸς τὰ υ' κεφάλαια ἐνοθεύετο, εἰ μὴ τὸ ἀλληγορικὸν ἐν πολλοῖς ὑποβαλλόμενον καὶ ὁμόφυλά πως 508R. αὐτὰ παραστῆσαν τῇ συντάξει, ἣ τις γραφικῶν ἀπορημάτων καὶ λύσεων ἔκθεσιν σπουδάζει καὶ Θαλασσίῳ τῷ πρεσβυτέρῳ ϗ ἡγουμένῳ προσπεφωνημένη, τὸ πρὸς ταῦτα συγγενὲς διὰ τῆς πρὸς ἐκείνην οἰκειώσεως ὑποβολιμαῖον εἶναι λογισμοὺς ἀναῤῥιπίζει.

Ἐν ταὐτῷ δὲ συνανεγνώσθησαν τοῦ αὐτοῦ ἐπιστολαὶ διάφοροι. ὧν πρώτη μὲν πρὸς Πέτρον Ἰλλούστριον, ἧς ἐπιγραφὴ μὲν „περὶ τοῦ κατὰ Χριστὸν μυστηρίου λόγος 262H. ἐπίτομος ϗ κατὰ τῶν Σευήρου δογμάτων," κεφάλαια δὲ τάδε, περὶ ἀριθμοῦ φυσικωτέρα διάληψις, περὶ διαφορᾶς καὶ ποιότητος ἀκριβέστερον καὶ τῆς αὐτῶν εὐσεβοῦς ὁμολογίας· ὅτι βλάσφημον τὸ λέγειν οὕτως ἁπλῶς τὸν Χριστὸν μίαν φύσιν· περὶ συνθέτου φύσεως ϗ τοῦ κατ' αὐτὴν λόγου, καὶ ὡς ἀσεβοῦσιν οἱ λέγοντες τὸν Χριστὸν μίαν σύνθετον φύσιν· ὅτι ὁ λέγων τὸν Χριστὸν θεὸν ϗ ἄνθρωπον μετὰ τὴν ἕνωσιν συνομολογεῖ τοῖς ὀνόμασι τὰς φύσεις ἐξ ἀνάγκης μετὰ τὴν ἕνωσιν, ὀρθῶς δηλονότι καὶ ἀκολούθως οἷς λέγει πιστεύειν ἠρημένος· περὶ τῆς „ἐν δύο" φωνῆς· περὶ τῆς μιᾶς τοῦ λόγου φύσεως εὐσεβὴς ὁμολογία κατὰ τοὺς πατέρας, ϗ ἀθέτησις τῆς μιᾶς συνθέτου φύσεως· περὶ ὑποστάσεως συνθέτου φυσικωτέρα διάληψις, ϗ ἀπόδειξις ὡς οὐχὶ τοῖς αὐτοῖς ἀτόποις περιπίπτουσιν οἱ μίαν σύνθετον ὑπόστασιν ὁμολογοῦντες τὸν Χριστὸν τοῖς μίαν αὐτὸν σύνθετον λέγουσι φύσιν· θ' κεφάλαιον ὅτι κατὰ πρόσληψιν μόνην ἡ πρὸς τὴν σάρκα γέγονεν ἕνωσις, ὡς προόντος καὶ θελήματι τὴν πρὸς σάρκα διαπραξαμένου ἕνωσιν. ἀλλ' ἡ μὲν πρὸς Πέτρον Ἰλλούστριον.

Ἑτέρα δὲ πρὸς Κοσμᾶν διάκονον Ἀλεξανδρείας περὶ κοινοῦ καὶ ἰδίου, τουτέστιν οὐσίας ϗ ὑποστάσεως. ἧς κεφάλαιον κατασκευὴ φυσικωτέρα ὡς οὐδὲν τῶν ὄντων ἑτέρῳ τινὶ ταὐτόν ἐστι κατ' οὐσίαν καὶ ὑπόστασιν, διὰ τὸ μὴ ταὐτὸν εἶναι οὐσίαν ϗ ὑπόστασιν, ἀλλὰ τὰ μὲν κατ' οὐσίαν ταὐτὰ ταῖς ὑποστάσεσιν ἕτερα, ἃ δὲ ταὐτὰ καθ' ὑπόστασιν, κατ' οὐσίαν ϗ φύσιν διάφορα. δεύτερον ὅτι ὁ Χριστὸς ταῖς μὲν κατ' οὐσίαν τῶν οἰκείων μερῶν πρὸς τὰ ἄκρα κοινότησιν ἑνούμενος, τὴν πρὸς ἄλλα τῶν μερῶν σωζομένην εἶχε διαφοράν, ταῖς δὲ τῶν μερῶν ἰδιότησι τὸ καθ' ὑπόστασιν διεδείκνυ ὡς ὅλον κοινὸν ἀμφοτέρων. γ' ὅτι τὰ μὲν καθ' ὑπόστασιν κοινὰ τῶν μερῶν τὸ ὅλον, ἤγουν τὸν Χριστόν, ἠφόριζον τῶν ἄκρων, τὰ δὲ κατ' οὐσίαν πρὸς τὰ ἄκρα κοινὰ τῶν μερῶν ὡς ὅλον συνῆπτε τοῖς ἄκροις οὐσιωδῶς τὸν Χριστόν. δ' ὅτι θεὸς ὑπάρχων τέλειος ὁ Χριστὸς καὶ ἄνθρωπος τέλειος ὁ αὐτός, εἶχε τὸ κοινὸν αὐτῶν ϗ τὸ ἴδιον οἷς πρὸς ἑαυτὸν ἐποιεῖτο τὴν τῶν ἄκρων ἕνωσιν ϗ διάκρισιν, τῇ μὲν πρὸς ἑαυτὸν ἑνώσει τῶν ἄκρων ἐν ἑαυτῷ σωζομένας τὰς ἐξ ὧν συνετέθη φύσεις πιστούμενος, τῇ δὲ πρὸς ἑαυτὸν διακρίσει τῶν ἄκρων τὸ μοναδικὸν τῆς οἰκείας παριστὰς ὑποστάσεως. ε' περὶ διαφορᾶς διάληψις σύντομος, δι' ἧς δείκνυται τὸ κατ' οὐσίαν ποσὸν τῶν ἡνωμένων σωζόμενον. ς' κατασκευὴ πλατυτέρα ϗ φυσικωτέρα περὶ διαφορᾶς ϗ ποσότητος ϗ τοῦ δηλοῦντος αὐτὰς ἀριθμοῦ. ζ' ὅτι ὁ μὴ ταὐτὸν εἰδὼς φύσιν ϗ ὑπόστασιν εὐσεβῶς 509R. ἐπὶ Χριστοῦ δογματίζει τὴν ἕνωσιν καὶ τὴν διαφοράν, ὧν τὸ μὲν ὁρᾶται κατὰ τὴν ὑπόστασιν, τὸ δὲ κατὰ τὴν φύσιν. η' ὅτι Σευῆρος ταὐτὸν εἶναι βιαζόμενος φύσιν καὶ ὑπόστασιν συγχεῖ τὴν ἕνωσιν καὶ ποιεῖ διαίρεσιν

a. 9. διατυποῦνται — παρέχοι A. διερευνήσῃ ς. 10. ὡς add A. 13. Ἔτι ἀνεγνώσθη om A. 24. παραστήσας A, παραστήσας ἦν ς. συγγραφικῶν A. 26. προσπ. καὶ τὸ πρὸς ταῦτα δὲ ς. 27. ὑπερβολιμαῖον ς. 30. ἧς ἡ ἐπιγραφὴ ς. 38. σύνθετον μίαν ς. b. 1. φωνῆς καὶ περὶ A. 2. εὐσεβῶς A. 7. θ' κεφάλαιον add A. 8. μόνην] μόνη erat p. 157 b 1. πρὸς τὴν A: κατὰ ς. 9. ἕνωσιν Schottus: libri κένωσιν. 13. κεφάλαιον] adde α' 17. καθ' A: κατὰ τὴν ς. 23. τὸν χριστὸν ἠφόριζον A: ἀφώριζον ς. 36. καὶ ante ποσ. add A. αὐτὰς om A. 41. ποιεῖται corr A.

Digitized by Google

τὴν διαφοράν· καθ' ἣν δείκνυται καὶ τὸν τῆς τριάδος εἰς τετράδα διασκεδάζων λόγον, καὶ τὸ τῆς μιᾶς θεότητος κατατέμνων εἰς δυάδα μυστήριον, καὶ πάσης τὸν 263 H. Χριστὸν ὑπερορίζων οὐσιωδῶς ὑπάρξεως. ἡ δ' ἔκθεσις σύντομος μετὰ τῆς ὀρθῆς συνηγορίας τῆς ἀληθοῦς τῶν πατέρων ὁμολογίας. ἀλλ' ἐν τούτοις μὲν καὶ αὕτη. καὶ δῆλον καὶ ἐξ αὐτῶν τῶν κεφαλαίων τὸ εἰς εὐσέβειαν χρήσιμον. καὶ ἡ φράσις δὲ ὡς ἐν τοιαύτῃ τὸ σαφὲς διώκει καὶ οὐκ ἄκομψον.

Ἔτι δὲ πρὸς Πύῤῥον, ἔτι πρεσβυτέρου βαθμὸν ἔχοντα καὶ οὔπω τῆς ἀρχιερατικῆς ἐπιβάντα καθέδρας. θειάζει δ' ἐν αὐτῇ τὸν Πύῤῥον, καὶ εὐσεβῆ γνῶσιν αὐτῷ καὶ ὁσιότητα ἐπιμαρτύρεται. ἀλλὰ καὶ περί τινων, ὡς ἔοικεν, ἀξιώσαντος αὐτῷ γραφῆναι ὁ σοφὸς Μάξιμος οὐ μόνον παραιτεῖται, ἰσχνόφωνον ἑαυτὸν καὶ βραδύγλωσσον ἀποκαλῶν, ἀλλ' ἀνταξιοῖ αὐτὸν γράμματι μᾶλλον διδάξαι, τίς ἡ ἐνέργεια, καὶ ὁσαχῶς, καὶ τί παρὰ ταύτην ἐστὶ τὸ ἐνέργημα, καὶ τί τούτων διενήνοχεν ἡ πρᾶξις καὶ τὸ ἔργον, καὶ πῶς ἐστι λέγειν ἢ ἐννοεῖν τὴν μίαν ἐνέργειαν. ἀλλ' ἐν τούτοις μὲν καὶ ἡ πρὸς Πύῤῥον.

Γράφει δὲ καὶ πρὸς Θωμᾶν τινά, αἰτησάμενον ῥητῶν τινῶν ἀπορουμένων ἐπιλύσεις. τὰ δὲ ῥητὰ τοῦ θεολόγου τέ ἐστι Γρηγορίου καὶ τοῦ θείου Διονυσίου, ἐκ μὲν τοῦ περὶ υἱοῦ εἰς τὸ „διὰ τοῦτο μονὰς ἀπ' ἀρχῆς κινηθεῖσα" καὶ ἑξῆς, καὶ „μονάδος μὲν κινηθείσης διὰ τὸ πλούσιον," ὅπερ ἐστὶν ἐκ τοῦ δευτέρου εἰρηνικοῦ· β' εἰς τὸ „ἐνὶ δὲ κεφαλαίῳ" καὶ ἑξῆς· τρίτον ἐκ τοῦ αὐτοῦ λόγου εἰς τὸ „οὗτος γὰρ ὁ νῦν σοι καταφρονούμενος" καὶ ἑξῆς· τέταρτον εἰς τὸ „ὡς μὲν γὰρ λόγος οὔτε ὑπήκοος ἦν οὔτε ἀνήκοος" καὶ ἑξῆς. τοῦ δέ γε θεσπεσίου Διονυσίου εἰς τὸ „πῶς φὴς Ἰησοῦς ὁ πάντων ἐπέκεινα πᾶσίν ἐστιν ἀνθρώποις οὐσιωδῶς συντεταγμένος" καὶ ἑξῆς, καὶ εἰς ἕτερα διάφορα. καὶ ταῦτα μὲν ἐν τῇ πρὸς Θωμᾶν πρώτῃ ἐπιστολῇ· ἐν δὲ τῇ δευτέρᾳ οἷον ἐπανάληψιν ἐνίων ῥητῶν τῶν προσαφηνισθέντων ἐκ τῆς θεολογικῆς συντάξεως ποιεῖται, καὶ πρός γε τὸ „διὰ μέσου νοὺς ὁμιλήσας σαρκὶ ἕως τοῦ κρείττονος ἐκνικήσαντος" ὁμοίως ἑρμηνεύει. ἀλλὰ ταῦτα μὲν ἐν τούτοις.

195.

Ἀνεγνώσθη τοῦ αὐτοῦ ἁγίου ἀνδρὸς ἐπιστολή, Μαρινῷ πρεσβυτέρῳ προσπεφώνηται, ἐν ᾗ περί τε φυσικοῦ θελήματος ἤτοι θελήσεως διέξεισι καὶ βουλήσεως καὶ βουλῆς ἤτοι βουλεύσεως, περί τε προαιρέσεως, καὶ περὶ τίνων βουλευόμεθα, καὶ περὶ γνώμης καὶ ἐξουσίας καὶ δόξης, καὶ περὶ φρονήματος εἴτουν φρονήσεως· καὶ ὡς οὐ κατὰ πάντα τρόπον ἓν ἔσται μετὰ τὴν ἀνάστασιν τὸ θέλημα πρὸς ἀλλήλους τῶν ἁγίων καὶ τοῦ θεοῦ, κἂν ἓν τὸ θεληθὲν ἅπασιν, ὥς τινες λέγουσι. καὶ ἑνδέκατον 512 R. ἐπὶ τούτοις κεφάλαιον, ὅτι περ ἓν θέλημα οὐ δύναται ἐπὶ Χριστοῦ λέγεσθαι, εἴτε φυσικὸν εἴτε προαιρετικὸν λεχθῇ, ὥς τισιν ἔδοξεν. αὕτη μὲν ἡ ἐπιστολή· οὐ μόνον δ' εἰς εὐσέβειαν πολὺ τὸ χρειῶδες παρέχεται, ἀλλὰ καὶ εἰς ἄλλας πολλὰς καὶ καλὰς θεωρίας.

Ἀνεγνώσθη δ' ἐν τῷ αὐτῷ τεύχει διάλογος περὶ τῶν δύο θελημάτων καὶ τῶν δύο ἐπὶ Χριστοῦ ἐνεργειῶν. τὰ πρόσωπα δὲ τοῦ διαλόγου Πύῤῥος καὶ Μάξιμος, 264 H. ὧν ὁ μὲν τῆς ὀρθοδοξούσης προΐσταται γνώμης, Πύῤῥος δὲ τοῦ αἱρετίζοντος ἀντεχόμενος φρονήματος ὅμως, ὥσπερ συνεχόμενός τε καὶ συνελαυνόμενος τοῖς ὀρθοδοξοῦσιν ἐνθυμήμασί τε καὶ δόγμασι, τίθεται τῇ εὐσεβείᾳ, ἀνομολογῶν ἑαυτὸν οὐκ ὀρθῶς πεφρονηκέναι τὰ πρότερον. ἐν δὲ τῇ Ῥώμῃ αὐτὸν ὁ λόγος δείκνυσιν ἀφικέσθαι πρὸς τὴν διάλεξιν, μεθ' οὗ ἦν αὐτὸς ἑαυτῷ φυγὴν ἐπιβαλὼν τοῦ Κωνσταντινουπόλεως ἐξέπεσε θρόνου. ὁ μέντοι διάλογος εἰς τὸ ταπεινότερόν ἐστι διεσκευασμένος, εἴτε τὸ αὐτοσχέδιον τῶν διειλεγμένων διασώζειν ἀκέραιον βουλομένου τοῦ συγγεγραφότος, εἴτε καὶ ἕτερόν τι διοικονομοῦντος· δι' ἅπερ οὐδ' οἱ διαλεκτικῆς αὐτῷ νόμοι εὐμενῶς θέλουσιν ἔχειν. πλὴν καὶ οὕτω χρειῶδες τοῖς εὐσεβέσι τὸ ἀγώνισμα.

196.

Ἀνεγνώσθησαν τοῦ ἐν ἁγίοις ΕΦΡΑΙΜ λόγοι θ' καὶ μ', ὧν ὁ μὲν α' ἑαυτόν τε ποιεῖ ἀπολοφυρόμενον οἷς ἐβίω, καὶ τόπον ἐπέχει προλόγου τῶν ἐφεξῆς παραινέσεων, ὁ δὲ β' τοῖς ἐν κοινοβίῳ ἀδελφοῖς παραίνεσίν ἐστιν εἰσηγούμενος. προτρέπεται πρὸς εὐσέβειαν ὁ γ'. ὁ δὲ δ' τοὺς τῶν μοναχῶν εἰσαγομένους στοιχειοῖ, καὶ ὁ ε' καὶ ὁ ς' καὶ ὁ ζ' καὶ ὁ η' καὶ ὁ θ'. ἐπίκοινοι δέ πως ὁ ι' καὶ ὁ ια' καὶ ὁ ιβ'. εἰσαγωγικὸς δ' ὁμοίως καὶ ὁ ιγ' καὶ ὁ ιδ', ὅ τε ιε' καὶ ις' καὶ ιζ' καὶ ιη' καὶ ιθ' ἕως τοῦ κγ'. εἶτα ὁ ἑξῆς κοινὴν παραίνεσιν ἀπογράφει.

a. 1. τῆς om A. 4. οὐσιώδους mg. 10. β. πρεσβ. ς. 16. αὐτὸν καὶ γρ. A. 30. εἰς τὸ add A. 41. ἐπιστολὴ ἣτις Μαρ. ς. b. 7. κἂν A: καὶ ς. 16. τὰ πρόσωπα δὲ A: καὶ τὰ πρόσωπα ς. 20. ἐνθυμήματά — δόγματα ς. 23. οὗ ἦν] malim ἦν. 24. τοῦ A: ὅτε τοῦ ς. 26. διειλημμένων ς. 28. διαλεκτικοὶ ς. 30. ἀγώνισμα] aptius fortasse ἀνάγνωσμα. 34. τύπον A. 38. ἐπίκοινα A. 39. ὁ ante ια et καὶ post ια om A. εἰσαγωγικὸς δ' ὁμοίως A: ὁμοίως εἰσαγωγικὸς ς. 40. ante ιη' et ιθ' cum A omisi ὁ. idem 41. om τοῦ.

Digitized by Google

ὁ δὲ κέ, ὅτι μὴ δεῖ τόπους ἀμείβειν, τὴν παραίνεσιν ποιεῖται. ὁ δὲ κή, ὅτι μὴ δεῖ τὸν ἀποστάντα τοῦ κοινοβίου ὑποστρέφοντα καὶ μεταβαλλόμενον ἀπωθεῖσθαι. ὁ δὲ κθ' ἐξ ἱστορίας γεγενημένης οἷόν ἐστι κακὸν παρίστησιν ἡ παρακοή, καὶ ὅτι δεῖ τὸν Χριστιανὸν μακρόθυμον καὶ μνησικακίας κρείττω εἶναι. ὁ λ' περὶ παθῶν, ὅτι δεῖ φεύγειν αὐτά. ὁ λα' ὡς δεῖ τοὺς ὀλιγωροῦντας παρακαλεῖν. ὁ λβ' ὡς ἐν ἀντιλογίᾳ τῇ σωφροσύνῃ καὶ ἁγνείᾳ τὸ κράτος καὶ τὴν ἰσχὺν βεβαιοῖ. καὶ ὁ λγ' περὶ ἁγνείας παραινεῖ. ὁ λδ' τὴν ἡσυχίαν προξενεῖ τοῖς θέλουσι συνιέναι. καὶ ὁ λέ περὶ τοῦ μὴ ῥέμβεσθαι διαλαμβάνει τοῖς ὀφθαλμοῖς· καὶ ὡς δι' ἐρωτήσεως διδασκαλία, εἰ δι' ἀποχῆς βρωμάτων ὁ τῆς πορνείας καταργεῖται λογισμός, καὶ τίνι ἄλλῳ. ὁ δὲ λς' περὶ πραϋπαθείας. ὁ δὲ λζ' πρὸς ἀνυποτάκτους ἐστίν, οὓς καὶ καταστέλλει, μὴ πρὸς τὸ ἔσχατον τῆς ἀπωλείας ἐκτραχηλισθέντας, τῷ ἐκ θεοῦ φόβῳ καὶ τῷ τοῦ μέλλοντος δικαιωτηρίου κρίματι.
513 R. ″ὁ δὲ λή τὴν καλὴν εὐλάβειαν ἐκδιδάσκει. ὁ δὲ λθ' πρὸς τοὺς ἐξ οἰκείας ἐκπίπτοντας ἀμελείας καὶ προφασιζομένους προφάσεις ἐν ἁμαρτίαις. ὁ δὲ μ' πρὸς ἀδελφόν ἐστιν ἐκπεσόντα, καὶ περὶ μετανοίας. ὁ δὲ μα', ὡς οὐ δεῖ ὀμνύειν οὐδὲ δυσφημεῖν, παραινεῖ. ὁ δὲ μβ' συνίστησιν ὡς δίκαια πέπονθεν Ἠλὶ ὁ ἐν τῷ νόμῳ ἱερεύς, πρὸς τὸν περὶ αὐτοῦ τούτου ἐπιδιστάζοντα. περὶ δὲ φόβου θεοῦ ὁ μγ', καὶ περὶ ἀγάπης ὁ μδ'. ὁ δὲ μέ πρὸς Εὐλόγιον μὲν αἰτήσαντα γράφεσθαι, πλειόνων δὲ κατορθωμάτων παραινέσεις καὶ διδασκαλίαν ἀναπτύσσει. ὁ δὲ
265 H. μς' πρὸς ″ἀκηδιαστήν ἐστι μοναχὸν συντεθειμένος, πολλαῖς καὶ καλαῖς ὑποθήκαις ἀπάγων αὐτὸν τῆς πρὸς τὸν βίον ἐπανόδου. ὁ δὲ μζ' καταδρομὴν ποιεῖται τῆς κακοηθείας. ὁ δὲ μή, ὅσον διενήνοχεν ὁ μοναδικὸς βίος τῆς ἐν κόσμῳ πολιτείας, ἐπιδεικνύει. ὁ δὲ μθ' τὴν δευτέραν τοῦ κυρίου διατυποῖ παρουσίαν, καὶ παρακαλεῖ πρὸς μετάνοιαν τοὺς ἀνθρώπους.

Ἐν τούτοις τοῖς παραινετικοῖς λόγοις τοῦ ἁγίου θαυμάσειεν ἄν τις ὅσον μὲν ἐμβαθύνεται τὸ πεῖθον, ὅσον δ' αὐτῶν ἀποστάζει τὸ ἡδῦνον, καὶ ὅλως εἰς ὅσον βρύει τὸ ἦθος. ἡ δὲ λέξις καὶ τὰ σχήματα οὐ θαυμαστὸν εἰ πρὸς τὸ κοινότερον τῆς ὁμιλίας καὶ ἠμελημένον νένευκεν· οὐ γὰρ εἰς τὸν γεννήτορα τῶν νοημάτων ἀλλ' εἰς τὸν ταῦτα μεταφρασάμενον ἡ αἰτία διαβαίνει, ἐπεὶ οἵ γε τῆς Σύρας φωνῆς τὴν ἀκρίβειαν ἠσκημένοι ἐπὶ τοσοῦτον ταῖς λέξεσι καὶ τοῖς σχήμασιν αὐτὸν ἴσασιν εὐδοκιμῆσαι, ὡς ἀμφήριστον εἶναι πότερον διὰ ταῦτα ἢ διὰ τὸν ἐν αὐτοῖς νοῦν ἡ τοσαύτη χάρις καὶ δύναμις τῶν ἐκείνου πρόεισι λόγων. οὐ θαυμαστὸν οὖν ἡ τῆς φράσεως ταπεινότης· ἀλλ' ἐκεῖνο θαυμαστόν, ὡς καὶ διὰ χυδαιότητος τοιαύτης ῥημάτων τηλικαύτη σωτηρία καὶ ὠφέλεια τοῖς προσέχουσι προχεῖται.

Τῆς δ' αὐτῆς ἐστὶν ἠρτημένος καὶ χάριτος καὶ δυνάμεως καὶ ὁ περὶ ταπεινοφροσύνης λόγος, κεφαλαίοις ρ' ἀνηπλωμένος. ὡσαύτως καὶ ὁ λόγος ὁ περὶ τοῦ ὅτι μὴ χρὴ γελᾶν καὶ μετεωρίζεσθαι, ἀλλ' ἐν πένθει μᾶλλον διατελεῖν, οὐ ψεύδεται τὴν πρὸς τοὺς ἄλλους συγγένειαν. ὡσαύτως οὐδ' ὁ πρὸς Μετεβίνους μοναχοὺς αὐτῷ διειλεγμένος, ὃς πραότητα μὲν ἐκδιδάσκει, πονηρίαν δ' ἀποτρέπει, καὶ πρὸς μὲν μακροθυμίαν ἄγει, ὀξύχολον δὲ διελέγχει, καὶ τὴν μὲν ὑπομονὴν μακαρισμοῦ πρόξενον δείκνυει, τοῦ δ' ὀλιγώρου τὸ ἄθλιον στηλιτεύει, καὶ τὸν μὲν θεῖον φόβον τῆς ἀϊδίου εὐφροσύνης χορηγὸν κατασκευάζει, τὸν δὲ καταφρονητὴν δίκαις ὑποβάλλει, καὶ τὴν μὲν ἀγάπην πρὸς θεὸν ἀνάγειν, τὸ δὲ μῖσος τῷ διαβόλῳ ἀποφαίνεται συνάπτειν· καὶ ὡς ἡ ἀλήθεια πολλῶν ἐστὶ μήτηρ κατορθωμάτων, φθορὰ δὲ τούτων τὸ ψεῦδος, ὡσαύτως ἡ ὑπακοὴ ὅτι μακαρίους τοὺς χρωμένους ἀποφαίνει, τὸ δ' ἀνυπότακτον κατάρας καὶ πολλῆς ἄλλης αἰσχύνης ποιεῖ κληρονόμους· καὶ τὸ καθαροὺς εἶναι φθόνου καὶ ζήλου ἀγάπην ἐστὶ καταπεπλουτῆσθαι, ἐνέχεσθαι δὲ τοὺς ἐνισχημένους τῷ πάθει τοῖς τοῦ διαβόλου κρίμασιν, ὥσπερ καὶ τοὺς λοιδορίαις ἑαλωκότας. καὶ περὶ ἐγκρατείας δὲ καὶ ἀκρασίας κατὰ τὸ ἀνάλογον διαλαμβάνει. ὁ μὲν οὖν πρὸς τοὺς Μετεβίνους λόγος ἐπὶ τοσούτοις διαπεραιοῦται. ″καὶ ἄλλα δὲ πλεῖστα τοῦ ἀνδρός, μεταβληθέντα 516 R.
πρὸς τὴν Ἑλλάδα, συντάγματα φέρεται πλήρη χάριτος καὶ δυνάμεως. Σύρων δὲ παῖδές φασιν ὑπὲρ τὰς χιλιάδας λόγους αὐτὸν ἀναγράψαι, οἷς καὶ ὁ περὶ τὴν ἱστορίαν οὐκ ἀναξιόπιστος, εἰ καὶ μὴ τὰ δόγματα, Εὐσέβιος ὁ τὸ Παμφίλου ἐπώνυμον φέρων ἐπιμαρτύρεται.

## 197.

Ἀνεγνώσθη βιβλιδάριον ἐν ᾧ ΚΑΣΣΙΑΝΟΥ μοναχοῦ, Ῥώμην λαχόντος ″πατρίδα, περιῆσαν λόγοι β',

a. 5. καὶ ὅτι] ὁ δὲ $\overline{κθ}$ ὡς A. 7. ὡς A: ὅτι ς. 10. λδ' — λέ] $\overline{δ}$ καὶ $\overline{λ}$ — $\overline{ε}$ καὶ $\overline{λ}$ A. idem $\overline{ς}$ καὶ $\overline{λ}$ et $\overline{θ}$ καὶ $\overline{λ}$ et $\overline{α}$ καὶ $\overline{μ}$, $\overline{ς}$ καὶ $\overline{μ}$, $\overline{ζ}$ καὶ $\overline{μ}$. ἐθέλουσι ς. 14. ὁ δὲ A: καὶ ὁ ς. 22. δὲ μβ'] μβ' δὲ A. 23. Ἠλεὶ ς. 26. πλειόνως ς. 28. μς' καὶ μὴν πρὸς ἀκ. ς. 37. ἡδῦνον] ἡδὺ A, fortasse corr. 41. διαλαμβάνει ς.
b. 11. ἐνηπλωμένος ς. καὶ A: δὲ καὶ ς. 13. τοὺς ἄλλους A: ἀλλήλους ς. 15. διειλημμένος ς. 22. ἀνάγει pr A. φαίνεται ς. 38. post ἐπιμαρτύρεται in A lacuna versuum 3½, in C unius.

Digitized by Google

ὧν ὁ μὲν Κάστορι ἐπισκόπῳ ἀνεγέγραπτο, αὐτῷ πεποιημένῳ τὴν τῶν γεγραμμένων αἴτησιν. τύπους δ' οὗτος καὶ κανόνας ἀπαγγέλλει, καθ' οὓς ἐβίου τὸ ἐν Αἰγύπτῳ κατὰ συστήματα μοναδικόν· κοινόβια δὲ αὐτὰ ὁ ἐκ τῆς ἐτυμότητος ὀνομάζει λόγος. καὶ ὁ δεύτερος δὲ τῷ αὐτῷ προσπεφωνημένος ἐστί, περὶ τῶν ὀκτὼ δὲ λογισμῶν τὴν ἐπιγραφὴν φέρει, οἷς γαστριμαργίαν, πορνείαν, φιλαργυρίαν, ὀργήν, λύπην καὶ ἀκηδίαν κενοδοξίαν τε καὶ ὑπερηφανίαν ἐξάπτει. χρήσιμα δέ, εἴπερ τι ἄλλο, τὰ λόγια ταῦτα τοῖς αἱρουμένοις τὸν ἀσκητικὸν ἀναδέχεσθαι ἀγῶνα. καὶ ἐπὶ τοσοῦτον τὸ δυνατὸν αὐτοῖς καὶ θεῖον περίεστιν, ὥστε καὶ μέχρι νῦν, εἴ τι κατὰ τοὺς τύπους τούτουσὶ καὶ τὰ διατάγματα μοναστικὸν σύστημα πολιτεύοιτο, ἀνθεῖ τε ὡς ἀληθῶς καὶ τῶν ἄλλων προλάμπει καὶ τῶν ἀρετῶν ὁρᾶται ἐργαστήριον, ὃς δὲ τούτους διεγράψατο, ἐπὶ μικροῖς τισὶ λειψάνοις τῶν ἀρετῶν σαλεύει ἢ καὶ ναυαγίῳ περιδύεται. διὸ χρεὼν ἐστι μηδὲν τῶν ἐν αὐτοῖς παραδεδομένων παρορᾶν· δεσποτικῆς γὰρ ταῦτα νομοθεσίας καὶ τῆς εὐαγγελικῆς πολιτείας ἐστὶν ἀνάπτυξίς τε καὶ ἐξάπλωσις. ἔστι δὲ αὐτῷ οἰκεῖα τοῖς διανοήμασι καὶ τὰ ῥήματα, τό τε σαφὲς ἀποστίλβοντα, καὶ τὸ ῥᾳδίως ταῖς ψυχαῖς καὶ ἀνεπαχθῶς ἐγχαράσσεσθαι τὴν χάριν κληρωσάμενα, ἅμα καὶ τοῦ συμπείθειν καὶ ἕλκειν αὐτὰς πρὸς τὸ σπουδαζόμενον. καὶ οὕτω πάντα σοφῶς τε καὶ δεξιῶς κέκραται καὶ διαμεμόρφωται, ὥστε καὶ τροπολογίας ὁ δεύτερος λόγος ὑποβαλλόμενος, καὶ πολὺ τὸ ἐπαγωγὸν ἔχων καὶ θελκτήριον, πλέον παρέχεται τὸ φοβοῦν τε καὶ καταπληκτικὸν καὶ δυνατὸν ἐπιστρέφειν πρὸς μετάνοιαν.

Καὶ τρίτον δὲ ἐπὶ τούτοις λογίδιον συνανεγνώσθη, ὃ μετὰ τελευτὴν Κάστορος τοῦ ἐπισκόπου τῷ διαδεξαμένῳ τὴν ἐπιμέλειαν τῆς μονῆς, δι' ἣν καὶ οἱ κανόνες ἐστάλησαν, προσπεφώνηται. ἔστι μὲν συγγενὲς τοῖς προειρημένοις, διδάσκει δὲ τί τε ἐστι διάκρισις, καὶ ὅτι μείζων αὕτη τῶν ἄλλων ἀρετῶν, καὶ ὅθεν τίκτεται, καὶ ὡς τὸ πλέον τῆς ἄνωθεν ἐστι φορεῦς. καὶ περὶ ἐξαγγελίας γραφικαῖς πίστεσιν, ὡς δεῖ ταύτην πράττειν, κατασκευάζει, καὶ τίς ὁ σκοπὸς καὶ τί τὸ τέλος τῶν ἐν τοῖς ἀσκηταῖς ἀγῶσιν ἐξεταζομένων, ταῦτα Μωσέα τινὰ θαυμαστὸν ταῖς ἀρεταῖς εἰσάγει διδάσκοντα καὶ πράγμασιν αὐτοῖς, μικροῦ κειμένοις ὑπ' ὄψιν, τὰ ῥήματα βεβαιούμενον. εἶτα Σερῆνον οὐ δεύτερον τῇ πολιτείᾳ καὶ τῇ ὁμοίᾳ χρώμενον διδασκαλίᾳ παριστάνει, ὡς τὸ μὲν μὴ 517 R.
παρενοχλεῖσθαι τὴν διάνοιαν ὑπὸ τῶν δαιμονίων ἀδύνατον εἶναι, τὸ δὲ συνωθεῖσθαι καὶ ἀναγκάζεσθαι καταπίπτειν πρὸς τὰ φαῦλα οὐκέτι, ἀλλ' ἡμέτερον καὶ τὸ διωθεῖσθαι τὴν ὄχλησιν καὶ τὸ παραδέχεσθαι αὐτήν· καὶ ὡς οὐ χωροῦντα διὰ τῆς ψυχῆς τὰ δαιμόνια τοὺς ἀνθρωπίνους οἶδε λογισμούς, ἀλλ' ἀπό τινων τεκμηρίων ἔξωθεν θηρᾷ τούτους· μόνης γὰρ εἶναι τῆς ἁγίας τριάδος τὸ διὰ ψυχῆς καὶ τῶν ἄλλων ἁπάντων χωρεῖν. καὶ ὡς διά- 267 H
φορα φῦλα δαιμονίων, καὶ τὰ μὲν αὐτῶν ἄγρια καὶ κακωτικὰ λίαν, ἃ δ' ἧττον, καὶ ἄλλα εὐτράπελα. οἷς καὶ ὁ τρίτος συμπληροῦται λόγος, ἐπαγγελλομένου διαλαβεῖν τοῦ Σερήνου ἐν καιρῷ καὶ περὶ τοῦ ἠρωτημένου, ὅπερ ἦν „οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα" καὶ ἑξῆς. Λεόντιος δ' ἦν ὄνομα ᾧ τουτὶ τὸ τρίτον λόγιον προσεφωνήθη.

## 198.

Ἀνεγνώσθη βίβλος ἀνδρῶν ἁγίων πολιτείας καὶ κατορθώματα πρὸς ψυχικὴν προκοπὴν καὶ ὠφέλειαν ἀπαγγέλλουσα. συγκεφαλαίωσις δ' ἦν, ὡς ἔοικε, καὶ σύνοψις τοῦ μεγάλου καλουμένου λειμωναρίου, ὃ ἀπαγγέλλει τοὺς βίους καὶ τὰ ἔργα τῶν περὶ Ἀντώνιον τὸν μέγαν ἀκμασάντων καὶ τῶν ἐφεξῆς, ὥσπερ καὶ τὸ καλούμενον νέον παραδείσιον τὰς τῶν ἔτι νεωτέρων μέχρις Ἡρακλείου τοῦ βασιλέως καὶ μικρὸν ἔτι προσωτέρω τοὺς ἀσκητικοὺς ἀγῶνας ἀναγράφει. ἀλλ' οὖν τὸ προκείμενον βιβλίον εἰς β' καὶ κ' συγκεφαλαιούμενον ὑποθέσεις, ἑκάστης αὐτῶν καὶ τὸ χρήσιμον καὶ τὴν κτῆσιν διαφόροις διηγήμασιν ἐμφανίζει. ὧν τὸ μὲν πρῶτον κεφάλαιον παραίνεσιν εἰς προκοπὴν τελειότητος ἐκ διαφόρων προσώπων περιέχει, τὸ δεύτερον δὲ τὸ ἀπὸ τῆς ἡσυχίας δείκνυσι κέρδος, τὸ γ' περὶ ἐγκρατείας διαλαμβάνει, καὶ ὡς δεῖ τὴν ἐγκράτειαν μὴ βρωμάτων μόνον ἀλλὰ καὶ τῶν λοιπῶν τῆς ψυχῆς κινημάτων ὁμοίως ποιεῖσθαι. τὸ δὲ δ', πῶς δεῖ ἀσφαλίζεσθαι ἡμᾶς πρὸς τοὺς ἀπὸ τῆς πορνείας ἐπανισταμένους ἡμῖν πολέμους. τὸ δὲ ε' περὶ ἀκτημοσύνης, καὶ ὡς δεῖ καὶ τὴν πλεονεξίαν φυλάττεσθαι, περὶ ὑπομονῆς δὲ καὶ ἀνδρείας τὸ ς', καὶ τὸ ζ' ὅτι

a. 1. πεποιημένῳ post αἴτησιν ponit ς. 4. μοναχικὸν ς. 9. εἴπερ] ὑπὲρ A. 11. τὸ om A. 13. μοναχικὸν ς. 14. ὡς A: τέως ς. 20. πολιτείας post ἐξάπλωσις ponit ς. 22. καὶ ἀνεπ. ἐγχαρ. ταῖς ψυχαῖς ς. 24. τοῦ A: τὰ ς. 26. καὶ διαμεμόρφωται om A. 27. ἔχων τὸ θελκτήριόν τε καὶ ἐπαγωγὸν ς. 33. μὲν οὖν καὶ τοῦτο συγγ. ς.
b. 2. Σερῖνον ς. 5. εἶναι] immo ἐστι. 16. οὐ γάρ] Ephes. 6, 12. 17. ὄνομα add A. 18. post προσεφωνήθη in A vacui versus 5½. 20. ἀνδρῶν ἁγίων βίβλος πολιτείας τε αὐτῶν καὶ ς. 24. καὶ τοὺς ἑξῆς ἀκμασάντων ς. 25. καὶ A: γὰρ ς. 26. παραδεισιον A. 27. τοὺς A: πολιτείας καὶ τοὺς ς. 35. βρώμασι ς.



Digitized by Google

δεῖ μηδὲν πρὸς ἐπίδειξιν ποιεῖν, καὶ τὸ η′ ὅτι οὐ δεῖ τινὰ κρίνειν. περὶ διακρίσεως δὲ τὸ θ′. τὸ δὲ ι′ περὶ τοῦ δεῖν ἀεὶ νήφειν, καὶ τὸ ια′ ὅτι δεῖ ἀδιαλείπτως ϗ ἐν νήψει προσεύχεσθαι, καὶ τὸ ιβ′ ὡς φιλοξενεῖν δεῖ ϗ ἐλεεῖν ἐν ἱλαρότητι. περὶ δὲ ὑπακοῆς ἐκδιδάσκει τὸ ιγ′, τὸ δὲ ιδ′ περὶ ταπεινοφροσύνης, καὶ τὸ ιε′ περὶ ἀνεξικακίας, περὶ ἀγάπης δὲ τὸ ις′. τὸ μέντοι ιζ′ περὶ διορατικῶν, καὶ τὸ ιη′ περὶ σημειοφόρων γερόντων. τὸ δὲ ιθ′ περὶ πολιτείας θεοφιλοῦς διαφόρων πατέρων. ϗ λοιπὸν τὸ κ′ ἀποφθέγματα τῶν ἐν ἀσκήσει γηρασάντων, εἶτα τὸ α′ ϗ κ′ διαλέξεις εἰσάγει γερόντων περὶ λογισμῶν πρὸς ἀλλήλους. ϗ τὸ ἐπὶ πᾶσι β′ ϗ κ′
520 R. "Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων γνώμας περιέχει. ἐν οἷς ϗ ὁ σύμπας τοῦ βιβλίου ἀπηρτίζετο λόγος, χρειωδέστατος καθεστώς, εἴ πέρ τι ἄλλο, τοῖς ἐπὶ τῷ κλήρῳ τῶν οὐρανῶν τὸν βίον ἀσκουμένοις. ἔχει δὲ κατὰ τὴν ἐπαγγελίαν τὸ σαφές, καὶ τἄλλα τοιοῦτος, οἷος ἂν γένοιτο ἀνδράσιν ἁρμόζων πρὸς μὲν τὸν κατὰ λόγους
268 H. ἀγῶνα μηδ' "ἐπεστραμμένοις, πάντα δὲ τὸν πόνον ϗ τὴν σπουδὴν εἰς τὴν ἐπὶ τοῖς ἔργοις ἄσκησιν ἀναδεδεγμένοις.

## 199.

Ἀνεγνώσθη βιβλίον δ′ ϗ τ′ διηγήμασι περιειλημμένον. πρὸς τὴν ἀσκητικὴν δὲ ϗ τοῦτο τὰ μάλιστα συντελοῦν ἐστὶ πολιτείαν, τὰ αὐτά πως πραγματευόμενον τῷ προειρημένῳ, πλὴν ὅτι τῶν μεταγενεστέρων ἀνδρῶν ἔργα τε καὶ πράξεις ἀξιοζηλώτους ἀναγράφει· καὶ γὰρ ἐκεῖθεν τῶν μέχρι τῆς Ἡρακλείου ἀρχῆς ϗ ἐπὶ πλέον διαπρεψάντων ἀρεταῖς ἐπέρχεται τοὺς βίους. λειμῶνα δὲ καλεῖσθαι δίδωσιν ὁ συνταξάμενος ὄνομα τὸ βιβλίον· τινὲς δὲ αὐτὸ ϗ νέον ἐπονομάζουσι παραδείσιον. ὁ δὲ συντεταχώς, ΙΩΑΝΝΗΣ μὲν αὐτῷ ὄνομα, ἐξ ἐπικλήσεως δὲ ἐλέγετο Ὁ ΤΟΥ ΜΟΣΧΟΥ· ὃς ἀπετάξατο μὲν ἐν τῇ τοῦ ἁγίου Θεοδοσίου μονῇ, εἶτα συνδιέτριψε τοῖς τε κατὰ τὸν Ἰορδάνην ἀνὰ τὴν ἔρημον ἀσκουμένοις ϗ τοῖς ἐν τῇ νέᾳ λαύρᾳ τοῦ μεγάλου Σάβα διαθλοῦσιν. ἐντεῦθεν δὲ τά τε τῆς Ἀντιοχείας κλίματα ϗ τὴν Ἀλεξάνδρου καὶ τὴν περὶ αὐτὴν ἔρημον ϗ μέχρι Ὀάσεως ἐπελθών, καὶ πολλῶν καὶ μεγάλων ἀνδρῶν ἀριστείας συναγηοχὼς τοῦτο μὲν ὄψει τοῦτο δὲ ϗ νεαζούσῃ ἀκοῇ, διὰ τὴν αὐτὴν δ' αἰτίαν ϗ νήσους ἱστορησάμενος ἐν τῷ πρὸς τὴν Ῥώμην διάπλῳ, ἐκεῖσέ τε τὰ παραπλήσια διερευνησάμενος καὶ μαθών, τὸ παρὸν σύνταγμα γράφει, ϗ προσφωνεῖ Σωφρονίῳ ἢ Σωφρονᾷ τῷ οἰκείῳ μαθητῇ καὶ ἐγχειρίζει, αὐτῷ τούτῳ τὴν τοῦ βίου μέλλουσαν ἐφίστασθαι πρὸς τὰ ἀμείνονα προτεθειμένος μεταβολήν. ἡ δὲ τοῦ λόγου ἑρμηνεία εἰς τὸ ταπεινότερον τοῦ προτέρου ϗ ἀμαθέστερον ἀποκλίνει. ϗ τὰ διηγήματα δὲ οὐχὶ τὸν ἴσον ἀριθμὸν ἐν πᾶσιν εὑρήσεις τοῖς βιβλίοις διασεσωσμένα, ἀλλ' ἔν τισι καὶ εἰς β′ καὶ μ′ καὶ τ′ διηπλωμένα, τοῦτο μὲν ἐνίων κεφαλαίων ἐπιδιαιρέσει τοῦ ἀριθμοῦ συναυξομένου, τοῦτο δὲ ϗ διηγημάτων ἐστὶν ὧν παρενθήκῃ. πλὴν ἐξ ἁπάντων τὸ χρήσιμον ὁ συνετὸς καὶ θεοφιλὴς ἀνὴρ δρεπόμενος οὐκ ἂν τῶν συντεταγμένων κόρον καταγνοίη.

## 200.

Ἀνεγνώσθη βιβλίον ΜΑΡΚΟΥ ΜΟΝΑΧΟΥ ἐν λόγοις η′, ὧν ὁ μὲν πρῶτος ἐπιγραφὴν ἔλαχε περὶ νόμου πνευματικοῦ, ϗ χρήσιμος τοῖς τὸν ἀσκητικὸν ἐπανῃρημένοις βίον· ὥσπερ ϗ ὁ ἐφεξῆς, τοὺς ἐξ ἔργων οἰομένους δικαιοῦσθαι εἰς μάταιον διαπίπτειν λογισμόν, μᾶλλον δὲ ϗ τὸν ὅτι μάλιστα σφαλερόν, ἐπιδεικνύμενος· "ἐν 521 B.
οἷς καὶ ἕτεραι συνυφαίνονται παραινέσεις, εἰς τὸν πνευματικὸν ϗ αὗται συνανήκουσαι βίον ϗ νόμον. ϗ ὁ γ′ δέ, περὶ μετανοίας τῆς πάντοτε προσηκούσης ἀπευθυνόμενος τὸν σκοπόν, εἰς τὸν αὐτὸν τῆς ὠφελείας βαθμὸν ἀνατρέχει. σαφὴς μὲν οὖν ἐστίν, ὅσον ἐπὶ τῇ κοινότητι τῶν λέξεων καὶ τῷ κεφαλαιωδῶς ἐξενηνέχθαι, ἡ φράσις, εἰ καὶ μὴ πρὸς τὴν Ἀττικὴν ἀπηκρίβωται
τὰ ὅλα γλῶτταν· εἰ δέ που "τὸ ἀσαφὲς ἐνορᾶται, τῷ διὰ 269 H.
πράξεως αὐτὰ πεφυκέναι μᾶλλον κατανοεῖσθαι ἀναχωρεῖ τῆς διὰ λόγων ἑρμηνείας, οὐχὶ τῷ δυσκόλως εἰρῆσθαι. τὸ δὲ τοιοῦτον οὐκ ἐν τοῖς εἰρημένοις μόνον ἀναφαίνεται λόγοις, ἀλλὰ καὶ ἐν τοῖς ἑξῆς· καὶ οὐχὶ μόνῳ τῷδε τῷ ἀνδρί, ἀλλὰ μικροῦ πᾶσιν, οἷς ἀσκητικοὺς νόμους καὶ πάθη καὶ διαθέσεις δι' ἔργων χωρήσας ἀπαγγέλλειν γέγονε σπουδή, ὁ τῆς τοιαύτης ἀσαφείας ἐνιαχοῦ συμπρόεισι τρόπος, τῆς ἐκ τῶν ἔργων αὐτῶν ἐπιγνώσεως οὔ τι μάλα στεργούσης τὰς διὰ τῶν ῥημάτων ἐπιδηλώσεις. ἀλλ' οὕτω μὲν περὶ τούτου. ὅ γε μὴν δ′ λόγος εἰς τύπον ἐρωτήσεως καὶ ἀποκρίσεως ἐσχηματισμένος, δείκνυσιν ὡς τὸ σωτήριον βάπτισμα τὴν ἐλευθερίαν ϗ τὸν καθαρισμὸν τῶν ἁμαρτημάτων μυστικῶς ἡμῖν ἐχαρίσατο ϗ τὴν χάριν τοῦ παναγίου ἐνῴκισε πνεύματος,

a. 5. δὲ add *A*. 14. ἀπαρτίζεται ς. 17. τὸ *A*: καὶ τὸ ς. 26. πλὴν] πλέον *A*. 31. αὐτὸν *A*. ὀνομάζουσι ς. παραδείσιον *A*. 32. ὄνομα αὐτῷ ς. 36. σάββα ς. 38. μέχρις ἄσεως ς. 42. τε om pr *A*.
b. 3. τοῦτο ς. 9. τ′] libri τριακοσίοις. 19. διαπίπτειν φησὶ λογ. ς. 20. τῶν — σφαλερῶν τοῦτο ἐπιδ. ς. 22. βίον καὶ om *A*. 28. γλῶσσαν ς. 33. ἀλλὰ καὶ μ. ς. 36. τῆς δ' ἐκ ς. 41. ἐχαρίσατο ἡμῖν ς.

Digitized by Google

καὶ τοιαῦθ' ἕτερα. ὁ δὲ ε' διαπλάττει τὸν νοῦν πρὸς τὴν οἰκείαν ψυχὴν συμβολὴν οἷον ἀνακοινούμενον, δι' ἧς οὐκ ἄλλους αἰτίους ἀλλ' αὐτοὺς ἡμᾶς τῶν ἁμαρτανομένων ἀποφαίνεσθαι. καὶ ὁ ς' δὲ εἰς διάλογον σχηματίζεται, σχολαστικὸν εἰσάγων τινὰ πρὸς Μάρκον αὐτὸν διαλεγόμενον, ὧν τὰ κεφάλαια ὅτι δεῖ ἀδικούμενον μὴ ἀμύνεσθαι μηδὲ κατακρίνειν τοὺς ἀδικοῦντας, ἀλλ' ἰδίων ἁμαρτημάτων εἰσπράξεις ἡγεῖσθαι τὰς ἐξ ἑτέρων ἡμῖν ἐπιφερομένας ἐπηρείας· καὶ ὅτι χαλεπὸν ἡ ἀνθρωπαρεσκία, καὶ ὡς δεῖ παντὸς σωματικοῦ ἔργου πολλῷ τῷ μέσῳ τὴν προσευχὴν προτάττειν, καὶ τί ἐστι τὸ θέλημα τῆς σαρκός. ὁ δὲ ζ', οὐκ εἰς τὰ τῶν ῥημάτων ἀμοιβαῖα διατυπούμενος, περὶ νηστείας διαλαμβάνει. ὁ δὲ η', Νικολάῳ τινὶ μοναχῷ γεγραμμένος, τίσι μάλιστα κοιμίζεται θυμὸς καὶ ὀργὴ ἢ καὶ τέλεον καταργεῖσθαι, ἀναδιδάσκει, καὶ τίσιν ἡ σαρκίνη ἐπιθυμία. ταῦτα μέν, εἰ καὶ κατὰ τὸ μᾶλλον καὶ ἧττον ἀλλήλων διαφέροντα, ὅμως εἰς τὴν πρακτικὴν χειραγωγεῖ φιλοσοφίαν τὰ ὀκτὼ τῶν λογίων. ὁ δὲ θ', κατὰ Μελχισεδεκιτῶν ἀγωνιζόμενος, οὐδὲν ἔλαττον τὸν γεννησάμενον αὐτὸν αἱρέσεως ἔνοχον οὐ μετριωτέρας στηλιτεύει· πλὴν τῷ γε θηρᾶν πανταχόθεν ἐφιεμένῳ τὸ χρήσιμον, οὐκ ἀσυντελὴς αὐτῷ οὐδ' ἡ ἐκ τούτου ἀνάγνωσις ἔσται. τὴν δὲ τῶν εἰρημένων λόγων τάξιν οὐ πάντα τὰ ἀντίγραφα τὴν αὐτὴν διασώζει, ἀλλὰ ἔνια μὲν προτάττει, ἄλλα δὲ ὑποτάττει, ὥς τινα καὶ τὴν ἐσχάτην τοῖς πρώτοις ἀπονέμειν χώραν.

## 201.

524 R. Ἀνεγνώσθη βιβλίον τοῖς ἑπομένοις μὲν κεφαλαίοις ρ' ἀπαρτιζόμενον, τοῖς ὡς ἐν προοιμίῳ δὲ τὸν δέκα οὐχ ὑπερβαίνουσιν, ὧν πρῶτόν ἐστιν ὡς πρῶτος ὅρος τῆς πίστεως ἔννοια περὶ θεοῦ ἀπαθής, β' ὡς δεύτερος ὅρος τῆς ἐλπίδος ἐκδημία τοῦ νοῦ πρὸς τὰ ἐλπιζόμενα, γ' ὅρος τῆς ὑπομονῆς, τὸν ἀόρατον ὡς ὁρατὸν ὁρῶντα τοῖς τῆς διανοίας ὀφθαλμοῖς ἀδιαλείπτως καρτερεῖν, δ' ὅρος τῆς ἀφιλαργυρίας, οὕτως ἔχειν τὸ μὴ ἔχειν ὡς θέλει τις τὸ ἔχειν, ε' ὅρος τῆς ἐπιγνώσεως, ἀγνοεῖν
[illegible] H. ἑαυτὸν ἐν τῷ ἐκστῆναι θεῷ, ς' ὅρος τῆς ταπεινοφροσύνης, λήθη τῶν κατορθωμένων προσεχής, ζ' ὅρος τῆς ἀοργησίας, ἐπιθυμία πολλὴ τοῦ μὴ ὀργίζεσθαι, η' ὅρος τῆς ἁγνείας, αἴσθησις ἀεὶ κεκολλημένη τῷ θεῷ, θ' ὅρος τῆς ἀγάπης, αὔξησις φιλίας πρὸς τοὺς ὑβρίζοντας, ι' ὅρος τῆς τελείας ἀλλοιώσεως, ἐν τρυφῇ θεοῦ χαρὰν ἡγεῖσθαι τὸ στυγνὸν τοῦ θανάτου. τούτοις οὖν τοῖς δέκα τὰ ἑκατὸν ὑποτέτακται. καὶ ἔστιν οὗτος ὁ λόγος εἰς τὸ ἄριστον τοῖς ἀσκουμένοις συγκείμενος, καὶ τοῖς ἐν αὐταῖς ἐγγεγυμνασμένοις ταῖς τελειοποιοῖς πράξεσιν οὐδ' ἀσαφές τι ἐμπαρεχόμενος· ἡ γὰρ διὰ πείρας γνῶσις εὐχερῶς τῆς διὰ λόγων ἐπιβατεύει διδασκαλίας. πατέρα δὲ τοῦ λόγου ΔΙΑΔΟΧΟΝ ἡ ἐπιγραφὴ λέγει, Φωτικῆς τῆς ἐν τῇ παλαιᾷ Ἠπείρῳ ἐπίσκοπον.

Ἐν ταὐτῷ δὲ τεύχει καὶ ΝΕΙΛΟΥ ΜΟΝΑΧΟΥ λόγον ἀνέγνων, τρισὶ καὶ ν' καὶ ρ' κεφαλαίοις διαιρούμενον. τὸν τῆς προσευχῆς δὲ ἐν τούτοις ὁ θεῖος ἀνὴρ ἀναπτύσσει τύπον. πολλὰ δὲ καὶ ἄλλα αὐτοῦ ἀξιόλογα, ποικίλας ὑποθέσεις ὑποβαλλόμενα, εἴς τε τὸν ἐπιστολιμαῖον τρόπον καὶ εἰς τὸν συγγραφικὸν ἀνηγμένα συντάγματα φέρεται, τήν τε κατὰ τὰ ἔργα τελειότητα καὶ τὴν ἐν λόγοις μαρτυρούμενα δύναμιν. πλὴν εἰ καὶ μὴ πολύχους ὁμοίως ὁ Διάδοχος, ἀλλὰ τά γε ἀναγεγραμμένα αὐτῷ ἑκατὸν κεφάλαια οὐκ εἰς ἐλάττονα βαθμὸν ἐν οὐδετέρῳ μέρει τῶν εἰρημένων τίθησιν· ὅ τε γὰρ λόγος αὐτῷ εἰς τὸ ἀμώμητον σύγκειται, καὶ ὁ νοῦς τὴν ἀπὸ τῶν πράξεων σοφίαν προβάλλεται. τοῦ μέντοι Μάρκου δι' ἑκατέρας προέχων ἰδέας, καὶ ἐνιαχοῦ ταῖς γνώμαις ἀντιφέρεται. δοίη δ' ἂν καὶ αὐτὸς λαβὴν τοῖς ἀδεκάστως ἀκριβολογουμένοις κατὰ τὸ τέλος τοῦ ἑκατοστοῦ κεφαλαίου, εἴτε παρενθήκῃ τινὸς νοθευόμενος, εἴτε ἄλλως τινὶ συναρπασθεὶς παροράματι· τὸ γὰρ κατὰ δόξαν ἁλῶναι εὐξαίμην ἂν μὴ ἐπαληθεύειν. κρατεῖ δ' οὖν ἐν τοῖς πρὸ ὀλίγου εἰρημένοις πολλῷ καὶ ΙΩΑΝΝΟΥ ΤΟΥ ΚΑΡΠΑΘΙΟΥ, ὃς ἐπιγραφὴν αὐτοῦ τῷ πονήματι δίδωσι „πρὸς τοὺς ἀπὸ τῆς Ἰνδίας προτρέψαντας μοναχοὺς παρακλητικός." ρ' δὲ καὶ οὗτος κεφαλαίοις περαιοῖ αὐτό.

## 202.

Ἀνεγνώσθη ἹΠΠΟΛΥΤΟΥ ἐπισκόπου καὶ μάρτυρος 525 R.
ἑρμηνεία εἰς τὸν Δανιήλ. κατὰ λέξιν μὲν οὐ ποιεῖται τὴν ἀνάπτυξιν, πλὴν τὸν νοῦν γε ὡς ἔπος εἰπεῖν οὐ παρατρέχει· πολλὰ μέντοι ἀρχαιοτρόπως καὶ οὐκ εἰς τὸ ὕστερον διηκριβωμένον καταλέγει. ἀλλ' ἐκείνων οὐκ ἂν εἴη δίκαιος λόγον ὑπέχειν· τοὺς γὰρ ἀρχὴν θεωρίας καταβαλλομένους οὐ δίκας ἀπαιτεῖν τῶν παρειμένων, ἀλλ' ἀγαπᾶν

a. 8. ἐπιφερομένας ἡμῖν. 12. ἀμείβοντα ς. 14. κοιμίζεται μάλιστα ς. 18. τὰ ὀκτὼ τῶν λογίων post ὅμως ponit *A*. 25. μὲν et 26. δὲ om *A*. 27. post χώραν in *A* versus 5 vacui. 30. ὡς add *A*.

b. 7. τῇ — ἐμβατεύει διδασκαλίᾳ ς. 12. λόγος ἀνεγνώσθη ς. διαιρούμενος ς. 16. τὸ ς. 26. ἑκατοστοῦ] ρ *A*: ἑκάστου ς. 28. παροράματι ταῦτ' εἴρηκε· τὸ ς. 33. post αὐτό in *A* versus vacui 9½, in *C* 2½. 35. Ἀνεγνώσθη — 164 a 16. ἀρχαιότροπον om pr *C*. 41. οὐ] deest δεῖ.



Digitized by Google

μάλιϛα αὐτῆς τε τῆς ἐπιβολῆς ϗ ἐφ᾽ ὅσον ἂν καταλήψεως τῶν διασκοπȣμένων προχωροίη. τὸ δὲ τὴν τȣ̃ Ἀντιχρίϛȣ παρȣσίαν, καθ᾽ ἣν ϗ ἡ τȣ̃ αἰσθητȣ̃ κόσμȣ τȣ̃δε συντέλεια ἵϛαται, μηδὲ τοῖς μαθηταῖς δεομένοις τȣ̃ σωτῆρος ἀποκαλύψαντος, εἶτα αὐτὸν ταύτην πεν-
271 H. ταχοσίοις ἔτεσιν ἀπὸ Χριϛȣ̃ ὑπαχθέντα περιγράψασθαι, ὡσανεὶ τῶν ἀπὸ πρώτης τȣ̃ κόσμȣ καταβολῆς ἑξακιχιλίων ἐτῶν συντελȣμένων, καὶ τὴν διάλυσιν αὐτοῦ ἐφεϛάναι, τȣ̃το ϗ θερμοτέρας ἂν εἴη τȣ̃ προσήκοντος γνώμης, ϗ ἡ ἀπόφασις ἀνθρωπίνης ἀγνοίας ἀλλ᾽ ȣ̓κ ἐπιπνοίας τῆς ἄνωθεν διελέγχει. ἡ δὲ φράσις αὐτῷ τὸ σαφὲς ὅτι μάλιϛα οἰκειȣμένη πρέποι ἂν ἑρμηνείᾳ, εἰ ϗ τȣ̀ς Ἀττικȣ̀ς οὔ τι μάλα θεσμȣ̀ς δυσωπεῖται.

Συνανεγνώσθη αὐτȣ̃ ϗ ἕτερος λόγος περὶ Χριϛοῦ ϗ Ἀντιχρίϛȣ, ἐν ᾧ ἥ τε αὐτὴ τῶν λόγων ἰδέα διαπρέπει, καὶ τὸ τῶν νοημάτων ἁπλȣ̃ϛερόν τε ϗ ἀρχαιότροπον.

## 203.

Ἀνεγνώσθη τȣ̃ μακαρίȣ ΘΕΟΔΩΡΗΤΟΥ, ἐπισκόπου Κύρȣ, ἑρμηνεία εἰς τὸν Δανιήλ. μακρῷ μὲν οὗτος ὁ σοφὸς ἀνὴρ ȣ̓χ Ἱππολύτου μόνον ἀλλὰ ϗ πολλῶν ἄλλων τῇ τῶν προφητικῶν ῥημάτων ἀναπτύξει τε καὶ διακαθάρσει κρατεῖ· ἔϛι δὲ τὴν φράσιν, εἴ τις ἄλλος, ἑρμηνείαις πρέπων, τῷ τε καθαρῷ ϗ εὐσήμῳ τῶν ῥημάτων ἀνακαλύπτων τὰ συνεσκιασμένα, καὶ τῷ ἡδύνοντι, ἅτε δὴ διαγλυκαίνων, προθυμοτέρους πρὸς τὴν ἀνάγνωσιν παρασκευάζων, ϗ δὴ ϗ τῷ πρὸς μηδεμίαν ἐκτροπὴν ϗ παρέκβασιν ἀποφέρεσθαι τȣ̃ προκειμένȣ κόρον τε ἀφαιρȣ̃μενος πάντα, ϗ τὴν μάθησιν τῶν ζητȣμένων ἀσύγχυτόν τε καὶ ἀδιασκέδαϛον ϗ εὐχερῆ τοῖς ἀναλεγομένοις αὐτȣ̃ τὸν πόνον ἐμποιῶν. ϗ ἡ λέξις δὲ αὐτῷ καὶ ἡ συνθήκη τῆς Ἀττικῆς εὐγενείας ȣ̓ φεύγει τὰς γονάς, πλὴν εἴ τι περιεργότερον αὐτῆς ἐϛὶ ϗ τῆς ὡς φάναι πολλῶν ἀκοῆς ἀνακεχωρηκός· τοῦτο δέ, ὅτι μηδὲ προσῆκον ἑρμηνείᾳ, ἀποκλίνει. καὶ ὅλως εἰς τὸ ἄριϛόν ἐϛι τῶν ἐξηγητῶν καὶ ȣ̓κ ἔχον ῥᾳδίως τὸν ἄμεινον διασαφοῦντα ἀνηγμένος. ἔϛι μὲν γὰρ καὶ ἄλλοις τὸ καθαρῶς εἰπεῖν ϗ ἀνιχνεῦσαι τὸν νȣ̃ν τῶν θεωρȣμένων· τὸ δ᾽ ἅμα τε σαφῶς εἰπεῖν ϗ μηδὲν τῶν ἀναγκαίων ἐν τῷ συντόμῳ παραλιπεῖν, μηδὲ πρὸς ἐκδρομὰς ἢ ἐπιδεικτικὰς σοφίας, ἢ ἄλλως μὲν ȣ̓κ ἀχρήϛȣς παρασυρούσας δὲ τοῦ προκειμένȣ, μὴ ἀπιδεῖν, εἴ τινι ἄλλῳ, ϗ τῷ χρηϛῷ Θεοδωρήτῳ ἔνεϛι διεσπȣδασμένον, ȣ̓κ ἐν ταύτῃ μό- 528
νον τῇ πραγματείᾳ, ἀλλά γε μικρȣ̃ δέω φάναι ϗ ἐν πάσαις — πολλαὶ δὲ αὐτ— ἐν αἷς τῶν ἱερῶν γραμμάτων αὐτῷ ἡ διασάφησις φιλοπονεῖται. ἔϛι μὲν ȣ̓̃ν ἐν τῇ περὶ τὸν θεσπέσιον Δανιὴλ ἀναπτύξει κατ᾽ ἔνια τῷ μάρτυρι συμφερόμενος Ἱππολύτῳ· πλείω δὲ πρὸς ἃ φέρεται τὴν ἑτέραν, ὧν τὰ ἐπιφανέϛερα ταῦτα.

## 204.

Ἀνεγνώσθη τȣ̃ αὐτȣ̃ μακαρίȣ ἀνδρὸς ἐξήγησις εἰς τὴν ὀκτάτευχον. ἐπιγραφὴν δ᾽ ἔλαχε συμβαίνουσαν τῷ ἔργῳ· εἰς τὰ ἄπορα γὰρ χρηματίζει τῆς γραφῆς ἐν οἷς ἐϛὶ καὶ εἰς τὰ τῶν βασιλειῶν ϗ εἰς τὰ παραλειπόμενα. χρήσιμον δ᾽ ἐς τὰ μάλιϛα τὸ βιβλίον, ϗ αὐταῖς γοναῖς τοῖς ἐντυγχάνȣσι τὸ γνήσιον ἐπιδεικνύμενον αὐτίκα τȣ̃ γεγεννηκότος. τῆς δὲ συνήθȣς αὐτῷ ἰδέας διαπρεπȣ́σης, ἔχει τι πρὸς τὸ σαφέϛερον ὁρῶν καὶ εὐκατάληπτον ϗ ἕτερον πλεονέκτημα, ϗ τὸ ὡς ἐν κεφαλαίῳ κατὰ τὸ ἀπορȣ́μενον καὶ ἐπιλυόμενον τὸ βιβλίον διατετυπῶσθαι.

## 205.

Ἀνεγνώσθη τȣ̃ αὐτȣ̃ εἰς τȣ̀ς ιβ´ προφήτας ἐν τῇ 272 H.
αὐτῇ τῶν λόγων καλλονῇ καὶ τῆς διανοίας διεσκευασμένον.

## 206.

Ἀνεγνώσθησαν ΠΡΟΚΟΠΙΟΥ σοφιϛοῦ ἐξηγητικαὶ σχολαὶ εἴς τε τὴν ὀκτάτευχον τῶν παλαιῶν γραμμάτων καὶ εἰς τὰς βασιλείας καὶ δὴ καὶ τὰ παραλειπόμενα. πολύχȣς μὲν οὗτος ϗ πολύϛιχος ὁ ἐξηγητής, πλὴν ȣ̓κ εἰς περιττάς τινας ϗ ἐξαγωνίȣς ἀποδιατρίβων παρεκδρομάς, ἀλλὰ τῷ διαφορὰς δοξῶν περὶ τῆς αὐτῆς ὑποθέσεως ἀναγράφειν πολλάκις. τȣ̃το δὲ καὶ προοιμιάζεται εἰς ὄγκον αὐτῷ διαπλαττόμενον, ϗ μάλιϛα πρὸς τὴν Θεοδωρήτȣ σύνοψίν τε ϗ φιλοκαλίαν τὸ σύνταγμα αἱρεῖται. ϗ εἴη ἂν οἰκειότατόν τε ϗ χρειωδέϛατον, εἰ μετὰ τὴν ἐν ἐκείνοις τριβὴν ἡ περὶ ταῦτα τȣ̃ ἀνδρὸς τὰ σπουδάσματα σχολὴ διαδέχοιτο. καὶ ἡ φράσις δὲ αὐτῷ ἐς τὸ ἄριϛον ἤσκηται, εἰ καὶ τῆς ἐξηγητικῆς διατυπώσεως ἔχει τι καὶ κομψότερον.

a. 12. ἑρμηνείᾳ — οὔτι A: ἑρμηνείας — ὄντι ς. 13. θερμοὺς ς. 26. διαγλυκαίνοντι ς. 27. δὴ A: μὴν ς. 34. αὐτῆς A: αὐτοῦ ς. 36. ὅλος ς. 37. libri ἔχων.

b. 1. σοφίας χωρεῖν ἢ — ἀχρήστους ποιεῖν παρ. ς. παρασύροντας A, παρασύροντα ς. 2. τι ἄλλο — ἐσπουδασμένον ς. 4. γε add A. 9. post ταῦτα versus vacui in A et sinistrae columnae 34½ et dextrae omnes (i. e. 38), in C 4. 11. ἀνέγνω A. μακαρίου A: θεσπεσίου ς. ἐξηχήσεις A. 12. ἔλαχεν ȣ̓ συμβ. Fabricius. 24. διεσκευασμένον βιβλίον ς. 33. ὑπογράφειν ς. 40. τῆς om A.

## 207.

Ἀνεγνώσθη τοῦ αὐτοῦ φιλοπόνου ἀνδρὸς εἰς τὸν προφήτην Ἠσαΐαν, τήν τε ὁμοίαν τοῖς προειρημένοις διάθεσιν φυλαττόμενον, καὶ τὴν αὐτὴν τῶν λόγων ἐπιδεικνύμενον δύναμιν, καὶ δῆλον ὅτι καὶ τὸ λυσιτελοῦν παραπλήσιον.

## 208.

Ἀνεγνώσθη τοῦ ἐν ἁγίοις ΕΥΛΟΓΙΟΥ ἀρχιεπισκόπου Ἀλεξανδρείας κατὰ Ναυατιανῶν, ἐν λό-
530 R. γοις έ. τούτῳ τῷ ἀνδρὶ ὄνομα μὲν λιπεῖν ἐπὶ δεξιότητι λόγων οὐδ' ὁτιοῦν προσεμέλησε, τὰ δὲ Ναυάτου σοφισματώδη προβλήματά τε καὶ δελεάσματα διελέγξαι καὶ αἰσχῦναι οὐδὲν τὸ ἀπαράσκευον τῆς κατὰ τοὺς λόγους μελέτης ἐμποδὼν ἔστη· τοῖς γὰρ γραφικοῖς πλουτῶν νοήμασί τε καὶ θεωρίαις, ὅσα ἐκεῖνος ἀποσπαράσσων τῆς ἰδίας αἱρέσεως πρόβλημα καὶ συνηγορίαν ἐποιεῖτο, ταῦτα αὐτὸς ἀναπτύσσων, καὶ τὸ περὶ αὐτὰ κακοῦργον τῆς αἱρέσεως ἐπιδεικνύς, ἀφαιρεῖται αὐτοῦ οὐ μὴν ἀλλὰ καὶ ἑτέροις τῶν γραφῶν ῥήμασι τὸ ἀπονενοημένον αὐτοῦ καὶ ἀσύγγνωστον καὶ ἀλλόφυλον τῆς αἱρέσεως στηλιτεύει. ἐν δὲ τῷ τελευταίῳ τῶν λόγων καὶ τὸ νόθον καὶ κακόπλαστον, ὃ εἰς Ναυάτον ἀναφέρουσιν οἱ αὐτοῦ σπουδασταί, μαρτύριον διελέγχει. ἔστι μὲν οὖν καὶ αὐτὸ τοῦτο ὁ κατὰ Ναυάτου ἔλεγχος τὸ χρήσιμον ἔχων, πλὴν καὶ γραφικῶν οὐκ ὀλίγων ἐνθεωρεῖσθαι τούτοις πολλαχοῦ τοῖς ἀξιολογωτάτοις τῶν ἐξηγητῶν συμφερομένη ἑρμηνεία. ἀλλὰ καὶ τὸ πιθανόν τε καὶ ἡδῦνον ὡς ἐν τοιούτῳ λόγων χαρακτῆρι οὐκ ἄν τις ἀγαθεὶς μεταγνοίη.

## 209.

Ἀνεγνώσθη ΔΙΩΝΟΣ βιβλίον ἐν λόγοις π΄. οὗτος ἔστι μὲν τὴν πατρίδα Προυσαεύς, φυγὰς δ' ἐγεγόνει ταύτης τυραννίδος ἐκκλίνων δουλείαν, καὶ πολλὴν ἐπῆλθε πλανώμενος γῆν. δεξιὸς δὲ περὶ τοὺς λόγους ἔδοξεν εἶναι, καὶ μάλιστα τοὺς ὅσοι ῥυθμίζειν συμβουλεύουσι τὰ ἤθη. ἤκμασε δὲ κατὰ τοὺς χρόνους τοῦ βασιλέως Τραϊανοῦ, καὶ πλεῖστον διέτριψε χρόνον παρ' αὐτῷ, καὶ τῆς ὅτι μάλιστα τιμῆς καὶ δεξιώσεως ἔτυχεν, ὡς καὶ συγκαθέ-
531 R. ζεσθαι αὐτὸν τῷ βασιλείῳ ὀχήματι. παῖς μὲν ἦν οὗτος Πασικράτους, σοφιστὴς δὲ καὶ φιλόσοφος τὸ ἐπιτήδευμα. ἐπὶ τοσοῦτον δ' αὐτὸν τῆς κατὰ τὸ σχῆμά φασι σεμνότητος ἀντιποιεῖσθαι, ὡς καὶ λεοντῆν πολλάκις ἐνημμένον ποιεῖσθαι τὴν πρόοδον. φωνὴν δ' ἠρεμαίαν ἠφίει καὶ σταθεράν. καὶ σχολαῖον μὲν ἀλλ' οὐκ ἀναβεβλημένον βάδισμα, καὶ τἆλλα τῶν κινημάτων οὐκ ἀσύμφωνα· ἰσχνὸς δ' ἦν καὶ οὐδὲ μέγας τὸ σῶμα.

Τοῦτον πολλούς φασι καὶ ποικίλους γράψαι λόγους· οἱ δ' εἰς ἡμετέραν φθάσαντες γνῶσιν τὸν π΄ ἐπλήρουν ἀριθμόν. Χρυσόστομον δ' αὐτὸν οἱ λόγοι τῇ κατ' αὐτὸν γενεᾷ δεδώκασιν ἐπονομάζειν. ἔστι μὲν οὖν, ὅπερ ἔφην, τὸ πλεῖστον αὐτοῦ τῶν λόγων, οὓς ἡμεῖς ἴσμεν, συμβουλευτικόν· οἷα δ' εἰκός, καὶ τῷ συμβουλευτικῷ παραπλεκόμενον τὸ οἷον δικανικὸν παραπλήσιον τὴν ἀρετὴν κἂν τῷ μέρει τῷδε τοῦ λόγου δεικνύει, καὶ μάλιστα τῶν ἄλλων ὁ Ῥοδιακός. δριμύς τε γάρ ἐστι τοῖς ἐνθυμήμασι, καὶ τὸ συνεστραμμένον πρός γε τὸν αὐτοῦ χαρακτῆρα τῶν λόγων ἔχων, καὶ τὸ ἔντονον μετὰ τοῦ γονίμου πλουτῶν. ἄριστος δὲ τοῖς παραδείγμασι καὶ πολύς ἐστι πανταχοῦ, καὶ ποικίλης ὕλης λαμβάνων αὐτὰ καὶ προσφυῶς ἁρμοζόμενος. χαίρει δὲ μάλιστα καὶ μυθολογήμασι τὰς παραινέσεις συνδιαπλέκειν, διὸ καὶ τὸ ἀφελὲς διώκειν δοκεῖ· σπάνιον γὰρ εἴ τις εὕροι κατὰ τὸν Πλατωνικὸν ζῆλον τοῖς διάρμα καὶ ὄγκον ἐνεργαζομένοις τῷ λόγῳ, ὥσπερ ἐν τῷ Βορυσθενικῷ, μύθοις αὐτὸν ἀποχρώμενον. ἀφελὴς μὲν οὖν ἐστὶ τὰ πολλά, ὡς 532 R.
ἔφθην εἰπών, ταῖς ἐννοίαις, καὶ τῶν τε καθωμιλημένων αὐτῷ καὶ ἐπιπολαζουσῶν αἱ λέξεις, καὶ οὐδὲν οὐδ' ἡ σύνταξις οὐδ' ἐπὶ τὸ βαθύτερον οὐδ' ἐπὶ τὸ καθηδυνόμενον ἐκνεωτερίζει. καὶ τό γε ἐπὶ τοῖς ῥήμασι καὶ τῇ συμπλοκῇ τῶν ὀνομάτων τοῦ σαφοῦς ἄν τις ἐλπίσειε τὸν συγγραφέα κατεστοχάσθαι· ἀλλὰ τό γε διὰ μακροῦ τὴν τῆς διανοίας ἀπόδοσιν προϊέναι, καὶ ταῖς ἐπιβολαῖς ἐκ τοῦ ἐπὶ πλεῖστον τὸν λόγον διαπεπλέχθαι, οὐκ ἐπὶ μικρῷ τῆς τοιαύτης αὐτὸν ἐκκλείει ἰδέας. ἀλλὰ ταῦτα μὲν παραλλαγὴ ἰδέας καὶ χαρακτῆρος ἰδίωμα, ἀλλ' οὐκ αἰτίας ἴσως ἔνδειξιν ἔχει· τὸ δ' ἐπὶ μακρότατον ἀποτείνειν τὰ προοίμια ἢ τὰ οἷον προοίμια οὐκέτι ἀφίησιν αὐτὸν τὸ μὴ οὐχὶ ἀντὶ πολιτικοῦ καὶ συγγραφικοῦ τύπου τὸν ἐπὶ ταῖς συνουσίαις ἀλλάξασθαι παραδεδυκότα, καὶ μείζω τὴν κεφαλὴν τὴν ὡς ἐν λόγῳ τοῦ λοιποῦ σώματος διαπλάττειν.

Τῶν τοίνυν λόγων αὐτοῦ δ΄ περὶ βασιλείας μέν εἰσιν εἰρημένοι· καὶ ὁ έ δέ, Λιβυκὸς ἐπιγραφόμενος, μῦθον μὲν Λίβυν ἀπαγγέλλει, ἐκείνων δ' ἐστὶν ἐξημμένος. ὁ

a. 6. post παρακλήσιον unus in A versus vacuus. 33. ταύτης A: τὴν τῆς ς. 39. ἦν] ἦν οὖν A.
b. 3. τἆλλα A: τὰ λοιπὰ δὲ ς. 4. δ' A: τε ς. 24. ἔφην A. 33. παραλλαγῆς A. 34. ἔξει ς. 36. ἀντὶ οὐχὶ ς. 38. ἐν τῷ λόγῳ ς.

δ' ἕκτος περὶ τυραννίδος δίεισι, καὶ περὶ ἀρετῆς ὁ ἐπὶ τούτῳ. ὁ δὲ η΄ Διογένης μὲν ἢ Ἰσθμικὸς ἐπιγραφὴν ἔχει, πρᾶξιν δέ τινα καὶ λόγους Διογένους κατὰ τὰ Ἴσθμια διαγγέλλει. καὶ ὁ θ΄, Διογένης ἢ περὶ οἰκετῶν, παραινεῖ μὲν ἅπαντας δι' ἑνὸς προσώπου αὐτοῦ μὲν ἕκαστον πολλὴν ἐπιστροφὴν καὶ ἐπιμέλειαν ποιεῖσθαι, ὀλίγην δὲ τῶν ἔξωθεν συμπιπτόντων· καὶ μὴ χρῆναι φεύγοντα διώκειν 274 H. οἰκέτην· "ἄτοπον γὰρ ἐκείνους μὲν κακοὺς ὄντας ἐλπίζειν ἄνευ τῶν δεσποτῶν ἄμεινον βιώσεσθαι, τοὺς δεσπότας δὲ μὴ ἀξιοῦντας φαύλους εἶναι μὴ νομίζειν ἄμεινον διάξειν, εἰ μὴ παραπολαύοιεν τῆς τῶν δραπετῶν σκαιότητος. ὁ δὲ ι΄ Τρωϊκὸς μὲν ἕλκει τὴν ἐπιγραφήν, ὑπὲρ τοῦ μὴ ἁλῶναι δὲ τὸ Ἴλιον διεσπούδασαι, Ὁμήρῳ τε κατὰ τὸ τραχύτερον προσφέρεται, καὶ ὅσα ἄλλα κατὰ τὴν Ἰλιάδα αὐτῷ πεποίηται, τἀναντία τούτοις πραγματεύεται. ὁ δὲ Ὀλυμπικὸς ἢ περὶ τῆς πρώτης τοῦ θεοῦ ἐννοίας, αὐτὸ τοῦτο πειρώμενος ἐπιδεικνύειν, ἑνδέκατός ἐστιν. ὁ δὲ ιβ΄, ἐν Ἀθήναις περὶ φυγῆς ἐπιγραφὴν ἔχων, εἴρηται μὲν ἐν αὐταῖς, δίεισι δὲ ὡς οὐδὲν ἡ φυγὴ χαλεπόν, καὶ ὡς πλοῦτος μὲν καὶ δόξα καὶ δυναστεία θᾶττον ἀπὸ τῶν ἐχόντων ἐπὶ τοὺς μηδ' ἐλπίσαντας μεταῤῥεῖ, τὸ δὲ φιλοσοφεῖν καὶ τὴν ἀρετὴν ἀσκεῖν διὰ βίου τε κτῆμα διαμένει ἀγαθὸν καὶ ἀποιχομένοις συνέπεται. ὁ δὲ ιγ΄ Εὐβοϊκὸς ἢ κυνηγετικὸς ἔλαχεν ἐπιγραφήν, εἰσάγει δέ τινας ἐν Εὐβοίᾳ τοιοῦτον βίον βιοῦντας, δι' ὧν κατασκευάζει ὡς ὁ ἀπράγμων βίος, εἰ καὶ πενόμενος εἴη, πολλῷ τῶν ἐν ἄστει θορυβουμένων τε καὶ τρυφώντων ἡδίων τε καὶ λυσιτελέστερος· Ῥοδιακὸς δὲ ὁ ιδ΄ ἐπιγράφεται· ἐν τούτῳ ἔθος ἄλογον παρὰ Ῥοδίοις ἐπιτιμᾷ ἐπιπολάσαν. τὸ δ' ἦν, οὓς ἐβούλοντο τιμᾶν ἀνδριᾶσι, τούτοις μὲν ἀνδριάντα ἀνίστασαν οὐδένα, τοὺς δὲ τοῖς πάλαι ἀνεστηκότας, τούτων ἄρα ἢ τὰς ἐπιγραφὰς μεταξέοντες εἰς τὰ τῶν μελλόντων τιμηθῆναι ὀνόματα, ἢ τῷ χρόνῳ μηδὲ φαινομένων ἐπιγράφοντες, τῶν τε οἰχομένων τό γε ἐπ' αὐτοῖς τὴν τιμὴν ἐλυμαίνοντο, καὶ οὓς τιμᾶν ὑπεπλάττοντο, ἀλλοτρίαις καὶ κατ' οὐδὲν ἐοι- 533 R. κυίαις εἰκόσιν ἐνύβριζον. "ἐν τῷδε τῷ λόγῳ μεγάλη τοῦ ἀνδρὸς τῆς ἀνασκευαστικῆς ἰσχύος ἡ ἀρετὴ διαφαίνεται. ὁ δὲ ιε΄ πρὸς Ἀλεξανδρεῖς μὲν ἐπιγέγραπται, δήμου δὲ φύσιν ἀναπτύσσων ταύτης κατατρέχει· καὶ ὅτι μὴ χρὴ τὸν Ἀλεξανδρέων δῆμον, ἴδια πολλὰ τὰ πρὸς ἀρετὴν παρακαλοῦντα ἔχοντα, τῆς ἐν τῷ κοινῷ ἐπιπολαζούσης ταραχῆς καὶ ἀταξίας καὶ αὐτὸν εἶναι ἀνδράποδον, μάλιστα δὲ παραφυλάττεσθαι τὸ ἁμάρτημα κατὰ τὰς δημοτελεῖς πανηγύρεις καὶ τὰ θέατρα. Ταρσικοὶ δὲ δύο ἐφεξῆς ἐπιγραφῆς ἔτυχον, ὧν ὁ μὲν α΄ ἔπαινόν τινα τῆς πόλεως ἐπιτρέχων οὐκ εὐδαίμονας ἐκείνας ἀποφαίνει τῶν πόλεων, ὅσαι κρήνας καὶ ποταμοὺς καὶ κάλλη στοῶν καὶ οἰκοδομημάτων καὶ καρπῶν ἀφθονίαν καὶ τὰ παραπλήσια προβάλλονται, ἀλλ' ἐν ὅσαις τάξις καὶ ἀρετὴ τῶν πολιτευομένων διαδείκνυται. οὗτος ὁ λόγος καὶ παράλογόν τι καὶ ἐφύβριστον ἔθος κατὰ φωνῆς ἀπήχησιν τοῖς Ἀλεξανδρεῦσι πραττόμενον εὐθύναις ὑπάγει, παραινῶν ἀποσχέσθαι τοὺς χρωμένους, ἢ μᾶλλον αὐτῶν πληκτικώτερον καθαπτόμενος. ὁ δὲ δεύτερός παραινεῖ μὴ συκοφαντικῶς πρὸς τοὺς ἄρχοντας διακεῖσθαι, μηδ' ἐπὶ τοῖς βραχέσι τῶν παραλυπούντων εὐθὺς ἀνερεθίζεσθαι καὶ ἐπαιτιᾶσθαι τούτους. ὁ δὲ ιη΄, ὃς οὐκ ἐπιγέγραπται, ἐν Κελαιναῖς ἐῤῥήθη τῆς Φρυγίας, διαλαμβάνει δὲ ὡς οὐκ ἀρετῆς εἴη σημεῖον τὸ κομᾶν, ὥσπερ οὐδ' ἄλλο τι τῶν σχημάτων τῶν περὶ τὸ σῶμα, ὥσπερ οὐδὲ τούτων τὰ ἐναντία· διαπλέκεται "δ' 275 H. αὐτῷ καὶ τῆς πόλεως ἔπαινος. τὸν δὲ ιθ΄ μηνύει ἡ ἐπιγραφὴ ῥηθῆναι μὲν ἐν τῷ Βορυσθένει, ἀναγνωσθῆναι δὲ ἐν τῇ πατρίδι· ἐν ᾧ ἄλλα τε δίεισιν ὁ συγγραφεύς, καὶ κατὰ τὸν Πλατωνικὸν συνομολογεῖ ζῆλον περί τε τοῦ δημιουργοῦ τῶν ὅλων τοῖς Βορυσθενίταις διειλέχθαι τῆς τε τοῦ παντὸς διακοσμήσεως καὶ κινήσεως καὶ τῶν ἐν αὐτῷ στοιχείων. ἔχεται δέ τινος λαμπρότητος καὶ σεμνότητος οὗτος ὑπὲρ τοὺς ἄλλους ὁ λόγος. καὶ ὁ Κορινθιακὸς δέ, κ΄ ὤν, ἐν Κορίνθῳ μὲν ἐῤῥήθη, ἐπιτίμησιν δ' αὐτῶν διαπεραίνει ἀνθ' ὧν εἰκόνι τὰ πρῶτα τιμήσαντες αὐτὸν ὕστερον ἀποδημήσαντος ἐκ διαβολῆς οὐ δικαίας περιείλοντο τὸ γέρας. ἐγγὺς δ' ἐστὶ τοῦ Ῥοδιακοῦ κατὰ τὴν ἐν λόγοις ῥώμην καὶ ἀρετὴν οὗτος· ἡ δὲ τοῦ οἷον προοιμίου παράτασις κἀνταῦθα, ὡς καὶ παρὰ μικρὸν πανταχοῦ, τῆς ἀρετῆς οὐ μετέχει. τοῦ δὲ κα΄ ἡ ἐπιγραφὴ περὶ τῆς πρὸς Νικαεῖς ὁμονοίας τῶν Νικομηδέων ἐστί· καὶ τοῦτον ὑπέρχεται τὸν ἀγῶνα ὁ λόγος εὐκαίρως διὰ τῆς ἡδονῆς προενηνεγμένος· μᾶλλον γὰρ οὕτω ταῖς ψυχαῖς τὸ πιθανὸν ἐθέλει διαδύειν. τὸν δὲ β΄ καὶ κ΄ ἐν Νικαίᾳ

a. 1. ἕκτος καὶ περὶ A. 4. διογένους A. οἰκ. καὶ παραινεῖ ς. 5. μὲν ἕκαστον A: ἕκαστον μὲν ς. 6. ποιεῖσθαι αὐτοῦ ὀλ. ς. 10. ἀξιοῦντες ς. 20. ὡς A: ὅτι ς. 24. εὐβοιικὸς ς. 30. ἐπιπολάζον ς. 32. ἄρα] δὲ παρὰ pr A. 35. τὴν add A. 38. ἀνασκευαστικῆς ἀττικῆς ἰσχ. A. 4 ἀρετὴ add A.
b. 2. εἶναι om A. 13. ἀπέχεσθαι ς. 14. αὐτῶν A: αὐτὸς ς. 18. κελεναῖς ς. 26. τε add A. 35. οὗτος] καὶ οὗτος A. 39. τῶν ἀγώνων pr A.

Digitized by Google

εἰρῆσθαι ἡ ἐπιγραφὴ δηλοῖ περὶ ὁμονοίας, πεπαυμένης τῆς στάσεως· αὐτὸ δὲ τοῦτο διατίθησιν ὁ ἀνήρ, ἔπαινον τοῦ γεγονότος. ὁ δὲ κγ΄ περὶ τῆς πρὸς Ἀπαμεῖς ὁμονοίας εἴρηται ἐν τῇ πατρίδι, αὐτὸ δὲ διαπράττεται τοῦτο. καὶ ὁ ἐφεξῆς δὲ περὶ ὁμονοίας τῆς πρὸς τοὺς Προυσαεῖς παρακαλεῖ τοὺς Ἀπαμέας. ὁ δὲ κε΄ διάλεξίς ἐστιν ἐν τῇ πατρίδι· ἄγνοιαν δὲ ὑποπλάττεται τῆς αἰτίας ὁ διαλεγόμενος, δι' ἣν μηδὲν χρήσιμον αὐτοῦ τῶν λόγων προβεβλημένων ἡδέως ϗ ποθοῦντες ἀκούουσι. πολιτικὸς δέ ἐστι τῷ κζ΄ ἡ ἐπιγραφή, ϗ εἴρηται ἐν τῇ πατρίδι, ὥσπερ ϗ ὁ ἐφεξῆς, φιλοφρονητικὸς ὑπάρχων αὐτῇ ἀνθ' ὧν τιμαῖς τὸν φιλοφρονού-
536 R. μενον ἐδεξιοῦτο. ἀπολογισμὸς δέ ἐστιν ὁ μετ' αὐτούς, ὅπως διέκειτο πρὸς τὴν πατρίδα. ὁ δὲ θ΄ ϗ κ΄ πρὸ τοῦ φιλοσοφεῖν μὲν ἐν τῇ πατρίδι ἐπιγράφεται, τοὺς δ' ἐπιχειρήσαντας καταλεύειν αὐτόν τε καὶ σὺν αὐτῷ ἕτερον, εἶτα δὲ καὶ πυρὶ τὴν οἰκίαν δοῦναι, τούτους ἠρέμα πως ἐπιτιμῶν, τὸ πλανᾶσθαι ἐπὶ τῆς ξένης τῆς οἴκοι διατριβῆς διὰ τὰς ἐν πόλει ἀταξίας ἄμεινον κατασκευάζει. ἡ δὲ τῶν πολιτῶν ὀργὴ κατ' αὐτοῦ, διότι, φησί, καταῤῥέουσαν ἐπὶ τὸ βέλτιον ἀνέλαβε τὴν οἰκίαν. καὶ ὁ λ΄ δέ, δημηγορία ἐν τῇ πατρίδι τὴν ἐπιγραφὴν φέρων, εἰς τὴν αὐτὴν ὑπόθεσιν ἀποβλέπει. καὶ ὁ α΄ καὶ λ΄ ἐν τῇ πατρίδι μὲν ἐλέχθη, πολιτικὸς δ' ἐπιγέγραπται ἐν ἐκκλησίᾳ, καὶ συμβουλεύει τῶν εἰς ἀλλήλους ὕβρεων ἀποσχομένους ϗ προπηλακισμῶν τὴν στάσιν εἰς ὁμόνοιαν διαλύειν. ὡσαύτως ἐν τῇ πατρίδι μὲν ἐλέχθη ϗ ὁ ἐφεξῆς, ὃ δὲ ἐπιγράφεται, παραίτησις ἀρχῆς ἐν τῇ βουλῇ, τοῦτο ϗ ἐνδείκνυται· ἐκ ψηφίσματος γὰρ ἄρχειν ὁ συγγραφεὺς ᾑρημένος παραιτεῖται. ὁ δὲ λγ΄, περὶ τῶν ἔργων ἐν βουλῇ τὴν ἐπιγραφὴν παρέχων, ἔπαινον μέν τινα τῆς βουλῆς ἐπιτρέχει, ἀπο-
[illegible] R. λογεῖται δὲ ϗ ὑπὲρ ὧν ὁ Δίων ὑπενοεῖτο, ὡς μὴ τὰ τοῦ παιδὸς ἔργα ϗ αἱ πράξεις αἱ κατὰ τὴν πόλιν τῆς πατρικῆς εἰσὶ βουλῆς ἐξημμέναι. ὁ ἐφεξῆς δὲ πρὸς Διόδωρον ἐπιγραφόμενος προτροπὴν μέν τινα ἐπ' ἀρετὴν εἰσάγει, ἐπαινεῖν δὲ τὴν πόλιν φησὶ δι' ὧν τὸν ἐγκωμιάσαντα Διόδωρον ἐπαίνοις περιβάλλει. ὁ δὲ λε΄, περὶ Αἰσχύλου ϗ Σοφοκλέους ϗ Εὐριπίδου ἢ περὶ τῶν Φιλοκτήτου τόξων ἐπιγεγραμμένος, τὴν τοῦ Φιλοκτήτου πλάττει ἐξαπάτην, ἣν προβεβλημένος Ὀδυσσεὺς λαβὼν ᾤχετο τὰ τόξα. τῷ δὲ ς΄ ϗ λ΄ λόγῳ ἡ μὲν ἐπιγραφὴ περὶ Ὁμήρου λέγει, ἔπαινος δέ τις τοῦ ποιητοῦ διυφαίνεται, ὥσπερ ϗ τῷ περὶ Σωκράτους ἐπιγραφομένῳ τοῦ φιλοσόφου. ὁ δὲ περὶ Ὁμήρου ϗ Σωκράτους, λη΄ λόγος ὤν, ζηλωτὴν Ὁμήρου Σωκράτην ϗ μαθητὴν ἐπιδείκνυσι, ϗ τό τε οἰκεῖον τῆς τῶν παραδειγμάτων μεταχειρίσεως ἐκεῖθεν ἀναμαθεῖν τὸν φιλόσοφον ἐπιδεικνύει, ϗ τὴν ἄλλην τοῦ λόγου χάριν ϗ δύναμιν ἐναπομάξασθαι. ὁ δὲ λθ΄, Ἀγαμέμνων ἢ περὶ βασιλέως ἐπιγραφόμενος, διέξεισιν ὡς δεῖ συμβούλων τοῖς ἀρίστοις τὸν βασιλέα κεχρημένον ἐκείνοις τε πείθεσθαι ϗ μὴ κατὰ τὸ δοκοῦν ἀπαυθαδιάζειν. καὶ ᾧ δὲ Νέστωρ ἡ ἐπιγραφή, ὅπως κεχρῆσθαι προσῆκε τῇ πρὸς τοὺς βασιλεῖς παραινέσει περιλαμβάνεται. ὁ δὲ ἐφεξῆς, Ἀχιλλεὺς οὐ πειθόμενος τῷ Χείρωνι, προνοίᾳ καὶ τέχνῃ ἀλλὰ μὴ θράσει ϗ χειρῶν ἰσχύϊ συμβουλεύοντι μεταχειρίζεσθαι πόλεμον, ὕστερον οὐκ ἀπώνατο τῆς ἀπειθείας. καὶ ὁ Φιλοκτήτης δὲ παράφρασίς ἐστι τοῦ κατ' αὐτὸν ἀτυχήματος. ἐφ' οἷς ὁ Νέσσος καὶ ἡ Δηϊάνειρα τῶν ἀπιθάνως περὶ αὐτοὺς πεπλασμένων διά τινος θεραπείας εἰς εἱρμόν τινα καὶ τάξιν δοκεῖ τὸ ἀπίθανον μεταῤῥυθμίζειν. καὶ ὁ Χρυσηῒς ἔπαινός ἐστι Χρυσηΐδος. ὁ δὲ περὶ βασιλείας καὶ τυραννίδος περὶ αὐτῶν τούτων διαλαμβάνει. ϗ οἱ ἐφεξῆς δὲ γ΄ περὶ τύχης λόγοι χαριέντά τινα ϗ φιλοσοφίας ἅμα ἐχόμενα θεωρήματα διατυποῦσιν. ὡσαύτως ϗ οἱ μετὰ τούτους περὶ δόξης γ΄ λόγοι συμβουλεύουσι καὶ παραινοῦσι μηδένα λόγον τῆς τῶν πολλῶν δόξης ποιεῖσθαι· καλὰ δὲ καὶ ὠφέλιμα τῇ παραινέσει συνδιαπλέκεται θεωρήματα. ὁ δὲ νβ΄ περὶ ἀρετῆς ϗ ἐπιγράφεται καὶ δίεισι. περὶ 537 R.
φιλοσοφίας δέ ἐστιν ὁ γ΄ ϗ ν΄. ὁ δὲ νδ΄ περὶ τοῦ φιλοσόφου. ὁ δὲ ε΄ ϗ ν΄, περὶ τοῦ σχήματος ἐπιγεγραμμένος, δείκνυσιν ὡς οὐ χιτῶνι ϗ ὑποδήματι φιλοσόφων ὁ κατεσχηματισμένος ἤδη ϗ τὸν βίον φιλόσοφός ἐστιν. ὁ δὲ ς΄ ϗ ν΄, περὶ πίστεως ἐπιγραφῆς τυχών, ϗ ὁ ἐφεξῆς, περὶ ἀπιστίας, προτρέπονται φυλάσσεσθαι τὸ θαῤῥεῖν καὶ καταπιστεύειν καὶ τοῖς μάλιστα φιλεῖν δοκοῦσι· πολλοῖς γὰρ πιστεύσασι μὲν μεγάλη ἀπήντησε συμφορά, ἀπιστίᾳ δὲ φραξαμένοις λαμπρὰ περιγέγονε σωτηρία. ἀλλὰ ταῦτα μὲν ὁ περὶ ἀπιστίας λόγος· ὁ δὲ πρὸ αὐτοῦ διέξεισιν ὡς καὶ τὰ πιστεύεσθαι ὡς ἐπίπαν μεγάλα τοὺς πιστευομένους ἐζη-

a. 5. τῆς add A. 17. πυρὶ A: περὶ ς. 25. καὶ om A. 30. ἀρχὴν ς. 33. καὶ add A. 34. τῆς πατρικῆς A: πνευματικῆς ς. 40. τῶν Φιλοκτήτου] libri τῶν ἐπικτήτου. b. 2. δέ τις A: τις δὲ ς. 6. ἐπιδεικνύει ς. 19. καὶ ἡ Δηϊάνειρα] ἢ διάνοια A. 22. ὁ] ἡ corr A. 30. διέξεισι apographum Stephani: sed δίεισιν est etiam p. 166 a 1 et 19. b 24. 31. ὁ δὲ A: καὶ ὁ μὲν ς. 33. ὁ κατεσχηματισμένος ἤδη καὶ τὸν βίον A: οὐ κατεσχηματισμένῳ εἴδει ς.

μίασεν. ἡ δ' ὑπόθεσις τοῦ νη' λόγου, ὥσπερ καὶ ἡ ἐπιγραφή, περὶ νόμου ἐστίν· ὡς καὶ ἡ τοῦ νθ' περὶ ἔθους, ὃ πράττειν μὲν ὅσα ὁ νόμος ἀποδείκνυσι, μεθ' ἡδονῆς
277 H. δὲ καὶ πειθοῦς μᾶλλον ἢ βίας, καὶ ἀσφαλέστερον. δύο δὲ οἱ ἐφεξῆς περὶ φθόνου διαλαμβάνουσι, καὶ ὁ β' καὶ ξ' περὶ πλούτου, τὸ ὀχληρὸν αὐτοῦ καὶ ἐπίβουλον στηλιτεύων, καὶ πολλῷ λυσιτελεστέραν αὐτοῦ παριστῶν τὴν μετὰ δικαιοσύνης πενίαν. ὁ δὲ γ' καὶ ξ' ἐπιγράφεται τῶν ἐν Κιλικίᾳ περὶ ἐλευθερίας, ἐκεῖνον δὲ ἐλεύθερον παριστᾷ, ὃς τῶν ἐν αὐτῷ κύριος εἴη παθῶν, κἂν μυρίοι ἔξωθεν αὐτοῦ τοῦ σώματος ὦσι δεσπόται, καὶ δοῦλον ἐκεῖνον, ὃς ἀνδράποδόν ἐστι παθῶν, εἰ καὶ συμπάσης ἄρχειν τῆς οἰκουμένης δοκεῖ. εἰς τὴν αὐτὴν δ' ἀναφέρεται διάνοιαν καὶ ὁ ἐφεξῆς, περὶ δουλείας καὶ ἐλευθερίας ἐπιγραφὴν ἔχων· ὥσπερ καὶ ὁ ἐφεξῆς δεύτερος, περὶ δούλων ὤν. καὶ ὁ μετ' αὐτὸν δέ, περὶ λύπης, ὡς οὐ χρὴ παρεγγυᾶται τὸν γενναῖον καὶ νοῦν ἔχοντα ἄνδρα ὑποκατακλίνεσθαι τῷ πάθει, περιορᾷν δὲ μᾶλλον καὶ ἀποτρίβεσθαι. καὶ ὁ περὶ πλεονεξίας, ζ' καὶ ξ' ὤν, ἀποτρέπεσθαι ταύτην παρεγγυᾷ. καὶ ὁ ξη', ὥσπερ ἐπιγέγραπται περὶ λόγου καὶ ἀσκήσεως, τοιαύτην καὶ τὴν ὑπόθεσιν ὑποβάλλει. περὶ δὲ τῆς αὐτοῦ φιληκοΐας ὁ ξθ' καὶ ἐπιγράφεται καὶ διαλαμβάνει. ὁ δὲ ο' ἐπιγραφῆς μὲν περὶ ἀναχωρήσεως τυγχάνει, κατασκευάζει δὲ ὡς οὐχὶ τὸ τὰς ἐρήμους διώκειν ἀναχώρησίς ἐστι παθῶν καὶ τῶν ἐν βίῳ θορύβων, ἀλλὰ τὸ εἰς ἑαυτὸν ἐπεστράφθαι καὶ σπεύδειν γνῶναι ἑαυτόν, τῆς ἀπὸ τῶν ἄλλων κακίας φορολίγον ἔχοντα λόγον. περὶ κάλλους δὲ ὁ μετὰ τοῦτον λόγος, ὃν ἐπιγέγραπται τρόπον, τὸν αὐτὸν καὶ περὶ νεανίσκου διέξεισιν· ἐν ᾧ ὡς οὐ παρὰ πᾶσιν ἔθνεσι καὶ βαρβάροις τὸ αὐτὸ νομίζεται κάλλος, ἄλλο δὲ παρ' ἄλλοις νικᾷ. ὁ δὲ οβ' περὶ εἰρήνης καὶ πολέμου τήν τε ἐπιγραφὴν προβάλλεται καὶ διαλαμβάνει. ὁ δὲ γ' καὶ ο', ὅτι εὐδαίμων ὁ σοφός. καὶ ὁ ἐπ' αὐτῷ περὶ εὐδαιμονίας. ὁ δὲ ἐπὶ τούτοις περὶ τοῦ δαίμονος· δαίμονας δὲ καλεῖ τοὺς ὅσοι λαχόντες ἄρχειν ἑτέρων ἄμεινον πράττειν τοὺς ἀρχομένους ἢ καὶ χεῖρον συμμετεσκεύασαν. περὶ δὲ τοῦ βουλεύεσθαι ὁ ς' καὶ ο' διαλαμβάνει. ὁ δὲ ζ' καὶ ο', διατριβὴ περὶ τῶν ἐν συμποσίῳ τὴν ἐπιγραφὴν πεποιημένος, τινὰ τῶν ἐν αὐτῷ διέξεισι συμπιπτόντων, καὶ ὡς ὁ πολὺς ἄνθρωπος τηνικαῦτα πρὸς φιλοσοφίαν ὁρᾷν εἴωθεν, ἡνίκα αὐτοῦ ὁ βίος ἀνίαις περιῤῥεῖται. ὁ δὲ η' καὶ ο' καὶ ὁ μετ' αὐτόν, Μελαγκόμας α' καὶ β' ἐπιγεγραμμένοι, ἔπαινόν τε διαγράφουσι τοῦ νεανίσκου καὶ μνήμην ἐπὶ χρηστοῖς τελευτήσαντος καὶ λύπην. ὁ δὲ π', Χαρίδημος μὲν αὐτῷ ἡ ἐπιγραφή, ἔπαινον δὲ καὶ πέν- 540 R.
θος ἐπὶ τελευτήσαντι συνδιαπλέκει τῷ νέῳ.

## 210.

Ἀνεγνώσθη ΚΑΙΣΑΡΙΟΥ βίβλος· ἐν ᾗ κεφάλαια περιείχετο ἐκκλησιαστικά, τοῦτο μὲν ῥητῶν ἀναπτύξεις, τοῦτο δὲ συζητήσεων ἐπιλύσεις, κ' καὶ σ'. ὁ μὲν ἀνὴρ ἔοικε νεάζειν τε, καὶ πρὸς γονὰς μὲν λόγων καὶ μάθησιν τῆς τε θύραθεν σοφίας καὶ τῆς ἡμετέρας σφριγᾷν, δεῖσθαι δ' ὅμως οὐκ ἐλαχίστων, ἵνα συντόμως εἴπω, εἰς τὸ μὴ καταισχύνειν τὰς ὁρμάς. πλὴν σαφής τέ ἐστι τὴν φράσιν, εἰ καὶ πρὸς ποιητικὰς ἐκνεωτερίζει λέξεις πολλάκις, καὶ τὸ κοινὸν τῆς συντάξεως μετιών ἐστιν, ὅπου ἐπ' ἔλαττον φέρεται καὶ τούτου, καὶ πρὸς τὴν τῶν δογμά- 278 H.
των ἀκρίβειαν ὀλίγων αὐτῷ δεῖ. εἰς ἐρωτήσεις δὲ καὶ ἀποκρίσεις μεθ' ὑποβολῆς προσώπων τὸ τοῦ λόγου σχῆμα πεποίηται. εἶναι δέ φασι Γρηγορίου, οὗ τὸ θεολόγος ἐπώνυμον, τὸν συγγραφέα ἀδελφόν.

## 211.

Ἀνεγνώσθη ΔΙΟΝΥΣΙΟΥ ΑΙΓΕΩΣ· δικτυακῶν ἔφερε τὴν ἐπιγραφήν. ἦν δὲ ἄρα τὸ βιβλιδάριον κεφαλαίοις ἀπαρτιζόμενον ρ', ὧν τὰ μὲν ἰδίαν ἑκάστην ὑπόθεσιν κατεσκεύαζε (ν' δὲ ταῦτα ἦν), τὰ δὲ λοιπὰ ν' ἀνασκευὴν ἕκαστον πρὸς ἑκάστην τῶν κατεσκευασμένων ἐσπούδαζεν, ἑκάστῃ κατασκευῇ ἀντιπαρατιθεμένης παρευθὺ καὶ κατὰ συνέχειαν τῆς ἀνασκευῆς. ἡ μὲν ἑρμηνεία τοῦ λόγου οὔτε ἐξωραΐσαι οὔτε ἔῤῥιπται τοῦ κάλλους, ἄλλως τε καὶ ὅτι οὐδ' ἐπιδεικτικῶς ἀλλ' ἐς τὸ γυμνάσιον τῷ συγγραφεῖ τὸ σπούδασμα τείνει, καὶ ἰσχνότητος αὐτῷ καὶ τῶν συστοίχων μέλει· χρήσιμον δὲ τὸ βιβλίον τοῖς τὴν διαλεκτικὴν τριβὴν ἀσκουμένοις. ἡ δὲ ὑπόθεσις λέγει ταῦτα, ὅτι ἐξ ἀμφοτέρων ἡ καταβολὴ τοῦ σπέρματος καὶ ζωογονία γίνεται, καὶ τοὐναντίον οὐκ ἐξ ἀμφοτέρων. δεύτερον ὅτι ἀφ' ὅλου τοῦ σώματος ἡ τοῦ σπέρματος ἔκκρισις, καὶ τοὐναντίον ὅτι ἀπὸ μόνων τῶν διδύμων. γ' ὅτι ἡ πέψις θερμασίᾳ γίνεται, καὶ ὅτι οὐχ οὕτως. δ' ὅτι τρίψει ἡ πέψις γίνεται, καὶ ὅτι οὐ τρίψει. ε' ὅτι σήψει ἡ πέψις, καὶ ὅτι οὐ σήψει. ς' ὅτι τοῦ πνεύματος ἰδιότητι ἡ πέψις, καὶ ὅτι οὐχ οὕτως. ζ' ὅτι χυμῶν

a. 12. πάσης ς. 18. ὁ ξζ' π. πλ. ὢν ς. 27. κακίας φορολίγον] συμφορῶν ὀλίγον corr A: pr om κακίας. 35. ἀρχὴν ς. 36. μετεσκεύασαν ς. b. 7. ἐν ᾗ κεφάλαια περιείχετο] ἐν ᾗ κεφαλαίοις περιείχετο δὲ A. 9. συζητήσεως A. 10. καὶ ante μάθ. A 11. τῆς ante τε add A. 12. ἐλαχίστων A: ἐλαχίστως ς. 18. ὑπερβολῆς ς. 20. post ἀδελφὸν cum A omisi δηλοποιοῦ. 24. malim ἕκαστον. 28. ἡ — ἐξωράϊσται A: καὶ ἡ — ἐξωραΐζεται ς. 31. διατείνει ς. 37. μόνων add A.

ἰδιότητι ἡ πέψις, καὶ ὅτι οὐχ οὕτως. η′ ὅτι θερμασίας ἰδιότητι ἡ πέψις, καὶ ὅτι οὐχ οὕτως. θ′ ὅτι θερμασίᾳ ἡ ἀνάδοσις, καὶ ὅτι οὐχ οὕτως. ι′ ὅτι ἡ ἀνάδοσις τῷ τὴν θερμασίαν ἐφ᾽ ἑαυτὴν ἕλκειν, καὶ ὅτι οὐχ οὕτως. ια′ ὅτι τῷ πνεύματι ἡ ἀνάδοσις, ϗ ὅτι οὐχ οὕτως. ιβ′ ὅτι τῇ τῶν ἀρτηριῶν παραθέσει ἡ ἀνάδοσις, καὶ ὅτι οὐχ οὕτως. ιγ′ ὅτι τῇ κατὰ κενὸν ἀπουσίᾳ ἡ ἀνάδοσις, ϗ ὅτι οὐ κατὰ τὸ ἄδηλον ἀπουσίᾳ ἡ ἀνάδοσις. ιδ′ ὅτι δι᾽ ἀτροφίαν τοῦ ὁρατικοῦ πόρου ἡ ἀπογλαύκωσις συμβαίνει, ϗ ὅτι οὐχ οὕτως. ιε′ ὅτι παρ᾽ ἔμπτωσιν αἵματος εἰς τὸν ὁρατικὸν πόρον ἡ ἀπογλαύκωσις, καὶ ὅτι οὐχ οὕτως. ις′ ὅτι καθ᾽ ὑγρῶν πάχος ϗ διαπνοὴν ἡ ἀπο- 541R γλαύκωσις, καὶ ὅτι οὐχ οὕτως. ιζ′ ὅτι ἡ φρενῖτις κατὰ διάτασιν τῆς μήνιγγος ϗ φθορὰν τοῦ αἵματος γίνεται, ϗ ὅτι οὐχ οὕτως. ιη′ ὅτι κατὰ θερμασίας πλεονασμὸν ἡ φρενῖτις συμβαίνει, καὶ ὅτι οὐχ οὕτως. ιθ′ ὅτι διὰ φλεγμονὴν ἡ φρενῖτις, καὶ ὅτι οὐχ οὕτως. κ′ ὅτι ὁ λήθαργος διὰ φλεγμονὴν γίνεται, ϗ ὅτι οὐχ οὕτως. κα′ ὅτι κατὰ διάτασιν οἱ ληθαργικοὶ καὶ φθοράν, καὶ ὅτι οὐχ οὕτως. κβ′ ὅτι περὶ ὅλον τὸ σῶμα ἡ τοῦ πιεῖν καὶ φαγεῖν συνίσταται ὄρεξις, καὶ ὅτι περὶ μόνον τὸν στόμαχον. κγ′ ὅτι ἡ τοῦ φαγεῖν καὶ πιεῖν ὄρεξις περὶ διάνοιαν. κδ′ ὅτι καθ᾽ ὑγρῶν ἔνδειαν τὸ δίψος, καὶ ὅτι οὐχ οὕτως. κε′ ὅτι περὶ τὸν στόμαχον διπλῆ τις ὁρᾶται 279H. ἐνέργεια, καὶ ὅτι οὐχ οὕτως. κς′ ὅτι ἡ ἐντὸς μῆνιγξ ἡ ἐν τῷ κοιλώματι ἀρχὴ τῶν νεύρων ἐστί, καὶ ὅτι οὐχ οὕτως, ἀλλ᾽ ἡ ἐκτός. κζ′ ὅτι ἀναδιδόμενα τὰ φάρμακα καθαίρει, καὶ ὅτι οὐχ οὕτως, ἀλλὰ κατὰ τὴν πρόσπτωσιν. κη′ ὅτι οὐ χρηστέον τοῖς καθαρτικοῖς, καὶ ὅτι χρηστέον. κθ′ ὅτι οἴνου δόσει χρηστέον ἐπὶ τῶν πυρεσσόντων, καὶ τοὐναντίον ὅτι ἀσύμφορον. λ′ ὅτι λουτρὸν τοῖς πυρέσσουσι λυσιτελεῖ, καὶ ὅτι ἀσύμφορον. λα′ ὅτι δεῖ ἐν ταῖς ἐπιτάσεσι τῶν νόσων κλύζειν, καὶ ὅτι οὐ προσῆκον. λβ′ ὅτι οὐ δεῖ κατ᾽ ἀρχὰς ὑπαλείψει χρῆσθαι, ϗ ὅτι συμφέρον. λγ′ ὅτι δεῖ καταπλάττειν τὴν κεφαλήν, ϗ ὅτι οὐ δεῖ, τοῖς δ᾽ ὀσφραντοῖς μόνον χρῆσθαι. λδ′ ὅτι ἐμετοποιία ἀσύμφορον, ϗ ὅτι συμφέρον. λε′ ὅτι οὐκ ἐπιπέμπει ἡ καρδία αἷμα, ϗ ὅτι ἐπιπέμπει. λς′ ὅτι οὐχ ἡ καρδία τὸ πνεῦμα ἐπιπέμπει, ἀλλ᾽ αἱ ἀρτηρίαι ἕλκουσι, ϗ ὅτι ἔμπαλιν. λζ′ ὅτι ἐξ ἑαυτῆς ἡ καρδία κινεῖται, καὶ ὅτι οὐκ ἐξ ἑαυτῆς. λη′ ὅτι κατὰ φύσιν αἷμα ἐν ἀρτηρίαις ὑπάρχει, ϗ ὅτι οὐχ αἵματος αἱ ἀρτηρίαι ἀγγεῖον. λθ′ ὅτι πάντα τὰ ἀγγεῖα ἐν τῷ ὄγκῳ ἁπλᾶ ἐστί, καὶ ὅτι πλέγματά ἐστιν. μ′ ὅτι διὰ τῶν νεύρων ἡ αἴσθησις καὶ ἡ κίνησις τοῦ ζώου, ϗ ὅτι οὐχ οὕτως. μα′ ὅτι ἀρχὴ φλεβῶν ἡ καρδία, καὶ ὅτι οὐκ ἀρχή. μβ′ ὅτι ἧπαρ ἀρχὴ φλεβῶν, ϗ ὅτι οὐκ ἀρχή. μγ′ ὅτι ἡ κοιλία φλεβῶν ἀρχή, καὶ ὅτι οὐκ ἀρχή. μδ′ ὅτι πάντων τῶν ἀγγείων ἀρχὴ μῆνιγξ, καὶ ὅτι οὐκ ἀρχή. με′ ὅτι πνεῦμα ἀρτηριῶν ἀρχή, καὶ ὅτι οὐκ ἔστιν ἀρχή. μς′ ὅτι ἡ παρὰ τὴν ῥάχιν ἀρτηρία ἀρτηριῶν ἀρχή, καὶ ὅτι οὐκ ἀρχή. μζ′ ὅτι ἡ καρδία ἀρχὴ ἀρτηριῶν, ϗ ὅτι οὐκ ἀρχή. μη′ ὅτι οὐχ ἡ καρδία ἀρχὴ νεύρων, ἀλλ᾽ ἡ περιέχουσα τὸν ἐγκέφαλον μῆνιγξ, καὶ ὅτι οὐκ ἀρχή. μθ′ ὅτι οὐ περὶ καρδίαν τὸ διανοητικὸν ἀλλὰ περὶ κεφαλήν, ϗ ὅτι ἀνάπαλιν. ν′ ὅτι τὸ διανοητικόν ἐστι περὶ τὴν μέσην τοῦ ἐγκεφάλου κοιλίαν, καὶ ὅτι οὐχ οὕτως. ταῦτα καὶ ἡ ὑπόθεσις διατείνεται.

## 212.

Ἀνεγνώσθησαν ΑΙΝΗΣΙΔΗΜΟΥ Πυῤῥωνίων λόγοι η′. ἡ μὲν ὅλη πρόθεσις τοῦ βιβλίου βεβαιῶσαι ὅτι οὐδὲν βέβαιον εἰς κατάληψιν, οὔτε δι᾽ αἰσθήσεως, ἀλλ᾽ οὔτε μὴν διὰ νοήσεως· διὸ οὔτε τοὺς Πυῤῥωνίους οὔτε τοὺς ἄλλους εἰδέναι τὴν ἐν τοῖς οὖσιν ἀλήθειαν, ἀλλὰ τοὺς μὲν κατ᾽ ἄλλην αἵρεσιν φιλοσοφοῦντας ἀγνοεῖν τε τἄλλα ϗ ἑαυτοὺς μάτην κατατρίβειν ϗ δαπανᾶν συνεχέσιν ἀνίαις, καὶ αὐτὸ δὲ τοῦτο ἀγνοεῖν, ὅτι οὐδὲν αὐτοῖς τῶν δο- 544R ξάντων εἰς κατάληψιν ἐληλυθέναι κατείληπται. ὁ δὲ κατὰ Πύῤῥωνα φιλοσοφῶν τά τε ἄλλα εὐδαιμονεῖ, ϗ σοφός ἐστι τοῦ μάλιστα εἰδέναι ὅτι οὐδὲν αὐτῷ βεβαίως κατείληπται· ἃ δὲ καὶ εἰδείη, οὐδὲν μᾶλλον αὐτῶν τῇ καταφάσει ἢ τῇ ἀποφάσει γενναῖός ἐστι συγκατατίθεσθαι. ἡ μὲν ὅλη τοῦ βιβλίου διάληψις ὃ βούλεται, εἴρηται· γράφει δὲ τοὺς λόγους Αἰνησίδημος προσφωνῶν αὐτοὺς τῶν ἐξ Ἀκαδημίας τινὶ συναιρεσιώτῃ Λευκίῳ Τοβέρωνι, γένος μὲν Ῥωμαίῳ, δόξῃ δὲ λαμπρῷ ἐκ προγόνων ϗ πολιτικὰς ἀρχὰς οὐ τὰς τυχούσας μετιόντι. 280H.

Ἐν μὲν οὖν τῷ πρώτῳ λόγῳ διαφορὰν τῶν τε Πυῤῥωνίων ϗ τῶν Ἀκαδημαϊκῶν εἰσάγων μικροῦ γλώσσῃ αὐτῇ ταῦτά φησιν· ὡς οἱ μὲν ἀπὸ τῆς Ἀκαδημίας δογματικοί τέ εἰσι καὶ τὰ μὲν τίθενται ἀδιστάκτως, τὰ δὲ αἱροῦσιν ἀναμφιβόλως, οἱ δ᾽ ἀπὸ Πύῤῥωνος ἀπορητικοί τέ εἰσι καὶ παντὸς ἀπολελυμένοι δόγματος, ϗ οὐδεὶς αὐτῶν τὸ παράπαν οὔτε ἀκατάληπτα πάντα εἴ-

a. 10. παρ᾽ ἔμπτωσιν A: παρέμπτωσις ς. 12. διὰ πνοὴν ς. 20. ὅτι οὐ περὶ ς. 25. ἡ add A. 32. τοὺς πυρέσσοντας ς. 34. προσήκει ς. b. 3. διὰ om A. 7. μῆνιγξ ἐστι καὶ ς. 9. ῥάχιν A: ἀρχὴν ς. 11. ἀρτηριῶν ἀρχὴ ς. οὐχ] οὐχὶ ς. 31. μὲν οὖν ὅλη ς. 33. τοβέρωνι (littera β a correctore posita) A: Νέρωνι ς. 34. ἐκ om A. 36. μὲν om A. 40. ὑπὸ ς.



Digitized by Google

ρηκεν οὔτε καταληπτά, ἀλλ' οὐδὲν μᾶλλον τοιάδε ἢ τοιάδε, ἢ τότε μὲν τοῖα τότε δὲ οὐ τοῖα, ἢ ᾧ μὲν τοιαῦτα ᾧ δὲ οὐ τοιαῦτα ᾧ δ' οὐδ' ὅλως ὄντα· οὐδὲ μὴν ἐφικτὰ πάντα κοινῶς ἢ τινα τούτων ἢ οὐκ ἐφικτά, ἀλλ' οὐδὲν μᾶλλον ἐφικτὰ ἢ οὐκ ἐφικτά, ἢ τότε μὲν ἐφικτὰ τότε δ' οὐκέτι, ἢ τῷ μὲν ἐφικτὰ τῷ δ' οὔ. καὶ μὴν οὐδ' ἀληθινὸν οὐδὲ ψεῦδος, οὐδὲ πιθανὸν οὐδ' ἀπίθανον, οὐδ' ὂν οὐδὲ μὴ ὄν, ἀλλὰ τὸ αὐτὸ ὡς εἰπεῖν οὐ μᾶλλον ἀληθὲς ἢ ψεῦδος, ἢ πιθανὸν ἢ ἀπίθανον, ἢ ὂν ἢ οὐκ ὄν, ἢ τότε μὲν τοῖον τότε δὲ τοῖον, ἢ ᾧ μὲν τοιονδὶ ᾧ δὲ καὶ οὐ τοιονδί. καθόλου γὰρ οὐδὲν ὁ Πυῤῥώνιος ὁρίζει, ἀλλ' οὐδὲ αὐτὸ τοῦτο, ὅτι οὐδὲν διορίζεται· ἀλλ' οὐκ ἔχοντες, φησίν, ὅπως τὸ νοούμενον ἐκλαλήσωμεν, οὕτω φράζομεν. οἱ δ' ἀπὸ τῆς Ἀκαδημίας, φησί, μάλιστα τῆς νῦν, καὶ Στωϊκαῖς συμφέρονται ἐνίοτε δόξαις, καὶ εἰ χρὴ τἀληθὲς εἰπεῖν, Στωϊκοὶ φαίνονται μαχόμενοι Στωϊκοῖς. δεύτερον περὶ πολλῶν δογματίζουσιν. ἀρετήν τε γὰρ καὶ ἀφροσύνην εἰσάγουσι, καὶ ἀγαθὸν καὶ κακὸν ὑποτίθενται, καὶ ἀλήθειαν καὶ ψεῦδος, καὶ δὴ καὶ πιθανὸν καὶ ἀπίθανον καὶ ὂν καὶ μὴ ὄν, ἄλλα τε πολλὰ βεβαίως ὁρίζουσι, διαμφισβητεῖν δέ φασι περὶ μόνης τῆς καταληπτικῆς φαντασίας. διὸ οἱ μὲν ἀπὸ Πύῤῥωνος ἐν τῷ μηδὲν ὁρίζειν ἀνεπίληπτοι τὸ παράπαν διαμένουσιν, οἱ δ' ἐξ Ἀκαδημίας, φησίν, ὁμοίας τὰς εὐθύνας τοῖς ἄλλοις φιλοσόφοις ὑπέχουσι. τὸ δὲ μέγιστον, οἱ μὲν περὶ παντὸς τοῦ προτεθέντος διαποροῦντες τό τε σύστοιχον διατηροῦσι καὶ ἑαυτοῖς οὐ μάχονται, οἱ δὲ μαχομένοις ἑαυτοῖς οὐ συνίσασι· τὸ γὰρ ἅμα τιθέναι τι καὶ αἴρειν ἀναμφιβόλως, ἅμα τε φάναι κοινῶς ὑπάρχειν καταληπτά, μάχην ὁμολογουμένην εἰσάγει, ἐπεὶ πῶς οἷόν τε γινώσκοντα τόδε μὲν εἶναι ἀληθὲς τόδε δὲ ψεῦδος ἔτι διαπορεῖν καὶ διστάσαι, καὶ οὐ σαφῶς τὸ μὲν ἑλέσθαι τὸ δὲ περιστῆναι; εἰ μὲν γὰρ ἀγνοεῖται ὅτι τόδε ἐστὶν ἀγαθὸν ἢ κακόν, ἢ τόδε μὲν ἀληθὲς τόδε δὲ ψεῦδος, καὶ τόδε μὲν ὂν τόδε δὲ μὴ ὄν, πάντως ὁμολογητέον ἕκαστον ἀκατά-
545 R. ληπτον εἶναι· εἰ δ' ἐναργῶς κατ' αἴσθησιν ἢ κατὰ νόησιν καταλαμβάνεται, καταληπτὸν ἕκαστον φατέον. ταῦτα μὲν ἀρχόμενος τῶν λόγων καὶ τοιαῦθ' ἕτερα, τὴν διαφορὰν τῶν Πυῤῥωνίων καὶ Ἀκαδημαϊκῶν ὑποδεικνύς, ἀναγράφει ὁ Αἰνησίδημος ὁ ἐξ Αἰγῶν· ἐφεξῆς δὲ κατὰ τὸν αὐτὸν λόγον πρῶτον καὶ τὴν ὅλην ἀγωγὴν ὡς τύπῳ καὶ κεφαλαιωδῶς τῶν Πυῤῥωνίων παραδίδωσι λόγων. ἐν δὲ τῷ β' κατὰ μέρος ἤδη ἀρχόμενος ἐπεξιέναι τὰ ἐν κεφαλαίῳ εἰρημένα, περί τε ἀληθῶν καὶ αἰτίων διαλαμβάνει καὶ παθῶν καὶ κι- 381 H.
νήσεως γενέσεώς τε καὶ φθορᾶς καὶ τῶν τούτοις ἐναντίων, κατὰ πάντων αὐτῶν τὸ ἄπορόν τε καὶ ἀκατάληπτον πυκνοῖς, ὡς οἴεται, ἐπιλογισμοῖς ὑποδεικνύς. καὶ ὁ γ' δὲ αὐτῷ λόγος περὶ κινήσεως καὶ αἰσθήσεως καὶ τῶν κατ' αὐτὰς ἰδιωμάτων, τὰς ὁμοίας περιεργαζόμενος ἐναντιολογίας, εἰς τὸ ἀνέφικτον καὶ ἀκατάληπτον ὑποφέρει καὶ αὐτά. ἐν δὲ τῷ δ' σημεῖα μέν, ὥσπερ τὰ φανερά φαμεν τῶν ἀφανῶν, οὐδ' ὅλως εἶναί φησιν, ἠπατῆσθαι δὲ κενῇ προσπαθείᾳ τοὺς οἰομένους· ἐγείρει δὲ τὰς ἐξ ἔθους ἐφεξῆς ἀπορίας περί τε ὅλης τῆς φύσεως καὶ κόσμου καὶ θεῶν, οὐδὲν τῶν εἰς κατάληψιν πεσεῖν ἐντεινόμενος. προβάλλεται αὐτῷ καὶ ὁ ε' λόγος τὰς κατὰ τῶν αἰτίων ἀπορητικὰς λαβάς, μηδὲν μὲν μηδενὸς αἴτιον ἐνδιδοὺς εἶναι, ἠπατῆσθαι δὲ τοὺς αἰτιολογοῦντας φάσκων, καὶ τρόπους ἀριθμῶν καθ' οὓς οἴεται αὐτοὺς αἰτιολογεῖν ὑπαχθέντας εἰς τὴν τοιαύτην περιενεχθῆναι πλάνην. καὶ ὁ ς' δὲ τὰ ἀγαθὰ καὶ κακά, καὶ μὴν καὶ τὰ αἱρετὰ καὶ φευκτά, ἔτι δὲ προηγούμενά τε καὶ ἀποπροηγούμενα, εἰς τὰς αὐτὰς ἐρεσχελίας ἄγει, τό γε ἐπ' αὐτῷ καὶ ταῦτα τῆς καταλήψεως ἡμῶν καὶ γνώσεως ἀποκλείων. τὸν μέντοι ζ' κατὰ τῶν ἀρετῶν ὁπλίζει, διακενῆς λέγων τοὺς φιλοσοφοῦντας περὶ αὐτῶν ἀναπλάσαι δόξας, καὶ ἑαυτοὺς ἀποβουκολεῖν ὡς εἰς τὴν τούτων εἴησαν πρᾶξίν τε καὶ θεωρίαν ἀφιγμένοι. ὁ δ' ἐπὶ πᾶσι καὶ η' κατὰ τοῦ τέλους ἐνίσταται, μήτε τὴν εὐδαιμονίαν μήτε τὴν ἡδονὴν μήτε τὴν φρόνησιν μήτ' ἄλλο τι τέλος ἐπιχωρῶν εἶναι, ὅπερ ἄν τις τῶν κατὰ φιλοσοφίαν αἱρέσεων δοξάσειεν, ἀλλ' ἁπλῶς οὐκ εἶναι τέλος τὸ πᾶσιν ὑμνούμενον.

Οἱ μὲν οὖν τοῦ Αἰνησιδήμου λόγοι πρὸς τοιοῦτον ἀγῶνα κονίζονται· ὅτι δὲ ματαιότης αὐτῶν καὶ πολλὴ λέσχη ἡ σπουδή, Πλάτωνί τε καὶ πολλοῖς ἄλλοις τῶν πρὸ ἡμῶν τὸν ἔλεγχον ἔδοσαν· καὶ ὅτι μηδὲν εἰς δόγμα συντελεῖ, καὶ τοῦτο κατάδηλον, ὅπου γε καὶ τὰς ἐνούσας δογματικὰς θεωρίας ἐλαύνειν ἡμῶν τῆς διανοίας

a. 3. οὐδὲ A: οὔτε ς. 4. ἢ add A. 5. οὐκέτι, ἢ τῷ μὲν ἐφικτὰ τῷ δ' οὔ A: οὐκ ἐφικτά ς. 10. καὶ om A. 13. libri φασίν. 17. δεύτερον] β A: δεύτερον καὶ ς. 28. μαχομένους ς. 30. ὑπάρχειν] ὑπάρχειν καὶ μὴ ὑπάρχειν mg A. 34. γάρ add A. b. 7. τε add A. 13. ὅλως] ἄλλως A. 14. φασιν ς. 16. των] nonne αὐτῶν? 17. αὐτῷ A: δὲ αὐτῷ ς. 19. δὲ A: δὲ καὶ ς. 23. δὲ add A. 27. φιλοφρονοῦντας ς. 28. αὐτοὺς ς. 29. libri ἀποβουκολεῖ. 30. ἐπὶ τούτοις πᾶσι ς. 37. κανονίζονται ς.

Digitized by Google

ἐπεχείρησαν. τοῖς μέντοι κατὰ διαλεκτικὴν μελέτην πονουμένοις, ἂν μὴ τὸ ἀστήρικτον αὐτῶν τοῖς λογισμοῖς ἐνεδρεύῃ καὶ ἡ κρίσις πρὸς ἀγχίνοιαν οὐ νενοθευμένη, τὸ βιβλίον οὐκ ἄχρηστον.

## 213.

Ἀνεγνώσθη ἈΓΑΘΑΡΧΙΔΟΥ ἱστορικόν· ἔνιοι δὲ αὐτὸν Ἀγάθαρχον ὀνομάζουσι. τούτῳ πατρὶς
548 R. μὲν ἡ Κνίδος ἦν, ἡ δὲ τέχνη γραμματικὸν ἐπεδείκνυτο· ὑπογραφέα δὲ καὶ ἀναγνώστην ὁ τοῦ λέμβρου Ἡρακλείδης, δι' ὧν αὐτῷ ἐξυπηρετεῖτο, παρέσχε γνωρίζεσθαι. ἦν δὲ καὶ θρεπτὸς Κινναίου. γράψαι δὲ τὸν ἄνδρα τοῦτον τὰ κατὰ τὴν Ἀσίαν ἔγνωμεν ἐν βιβλίοις ι'· καὶ τῶν κατὰ τὴν Εὐρώπην δὲ εἰς θ' καὶ μ' παρατείνεται αὐτῷ ἡ ἱστορία· ἀλλὰ καὶ ε' βιβλία τὴν ἐρυθρὰν αὐτῷ πᾶσαν καὶ τὰ περὶ ταύτην ἐξιστοροῦσι. τὴν οὖν εἰρημένην ἅπασαν συγ-
254 H. γραφὴν καὶ αὐτὸς ἐπὶ τέλει τοῦ ε' λόγου εἰς μνήμην ἀνάγει, ἐν ᾧ καὶ πεπαῦσθαι τοῦ γράφειν διά τινάς τε αἰτίας ἄλλας, καὶ ὅτι τὰ τῆς ἡλικίας ἀποκλίνοι πρὸς τὸ ἔξωρον. πλήν γε εἰσὶν οἵ φασιν αὐτὸν καὶ ἑτέρας συγγεγραφέναι πραγματείας, ὧν ἡμεῖς οὐδένα οὐδέπω ἴσμεν. ἐπιτομὴν δὲ αὐτόν φασι τῶν περὶ τῆς ἐρυθρᾶς θαλάσσης ἀναγεγραμμένων ἐν ἑνὶ συντάξαι βιβλίῳ, καὶ μὴν καὶ περὶ τρωγλοδυτῶν βιβλία ε', ἀλλὰ καὶ ἐπιτομὴν τῆς Ἀντιμάχου Λύδης, καὶ πάλιν ἄλλην ἐπιτομὴν τῶν συγγεγραφότων περὶ συναγωγῆς θαυμασίων ἀνέμων, ἐκλογάς τε ἱστοριῶν αὐτὸν συντάξαι, καὶ περὶ τῆς προσφιλοῦς ὁμιλίας. ἔστι δέ, ἐξ ὧν τὸν ἄνδρα τοὺς λόγους αὐτοῦ διελθόντες ἐπέγνωμεν, μεγαλοπρεπής τε καὶ γνωμολογικός, καὶ τῷ μὲν τοῦ λόγου μεγέθει καὶ ἀξιώματι τῶν ἄλλων μᾶλλον χαίρων, λέξεσι μέντοι λογάσιν οὐ πάνυ προστεθειμένος, οὐδὲ διὰ τῶν ἐθίμων δὲ διὰ παντὸς πορευόμενος, γεννῶν δὲ αὐτὸς οὐ λέξεις, ἀλλ' εἴ τις ἄλλος δημιουργὸς τῆς περὶ τὰς λέξεις χρήσεως, καινήν τινα μὴ καιναῖς κεχρημένος λέξεσι φαντασίαν πέμπουσαν ἀποτελεῖ τὴν φράσιν· οὕτω δὲ προσφυῶς ὑποβάλλεται τὴν πρᾶξιν, ὡς τήν τε καινοτομίαν μὴ δοκεῖν εἶναι καινοτομίαν, καὶ τὸ σαφὲς οὐκ ἔλαττον τῶν ἐξ ἔθους λέξεων παρέχειν. κέχρηται δὲ καὶ γνώμαις τὸ συνεχὲς καὶ δραστήριον ἐπιδηλούσαις. τροπὰς δὲ ὑπελθεῖν, εἴ τις ἄλλος, ἄριστα παρεσκευασμένος τὸ μὲν ἡδὺ καὶ κηλοῦν καὶ τὴν ψυχὴν διαχέον λεληθότως δι' ὅλου διασπείρει τοῦ γράμματος, εἰς τροπὴν δὲ ὅ τι παρενήνεκται, οὐδεμίαν λύπην δηλοῦσαν ἀφίησι. ποιεῖ δὲ αὐτῷ τοῦτο μάλιστα οὐχὶ ἡ τῶν λέξεων αὐτὴ καθ' ἑαυτὴν μεταβολή, ἀλλ' ἡ ἀπὸ πραγμάτων ἑτέρων εἰς ἕτερα μετά τινος σοφῆς καὶ ἠρεμαίας μεταχειρίσεως μετάβασίς τε καὶ μετατροπή. ἀλλὰ γὰρ καὶ ἀντιλαβεῖν μὲν ὄνομα ῥήματος, ἀμεῖψαι δὲ τὸ ῥῆμα εἰς ὄνομα, καὶ λῦσαι μὲν λέξεις εἰς λόγους, συναγαγεῖν δὲ λόγον εἰς τύπον ὀνόματος, οὐδενὸς ἀνεπιτηδειότερος ὧν ἴσμεν. καὶ ζηλωτὴς μέν ἐστι Θουκυδίδου ἔν τε τῇ τῶν δημηγοριῶν δαψιλείᾳ τε καὶ διασκευῇ, τῷ μεγαλείῳ δὲ μὴ δευτερεύων τοῦ λόγου τῷ σαφεῖ παρελαύνει τὸν ἄνδρα. ἀλλὰ γὰρ ὁ μὲν ἀνὴρ τοιοῦτος, καὶ τὸ ἀπὸ τῆς γραμματικῆς ἔχων κλέος· εἰ δὲ καὶ τὸ τῆς ῥητορικῆς ἐπώνυμον αὐτῷ ἡ μὴ νήφουσα ψῆφος οὐκ ἐπέθετο, ἀλλὰ γὰρ ἔμοιγε δοκεῖ οὐδὲν ἔλαττον τῶν γραμματικῶν οὐ δεύτερος ἢ τῶν ῥητόρων, δι' ὧν καὶ γράφει καὶ διδάσκει, καταφαίνεσθαι.

## 214.

Ἀνεγνώσθη βιβλίον ἹΕΡΟΚΛΕΟΥΣ περὶ προνοίας καὶ εἱμαρμένης καὶ τῆς τοῦ ἐφ' ἡμῖν πρὸς τὴν θείαν ἡγεμονίαν συντάξεως. ἔστι μὲν οὖν τὴν προαί- 549 R.
ρεσιν φιλόσοφος ὁ ἀνήρ, ἡ δὲ συγγραφὴ αὐτῷ Ὀλυμπιόδωρον κριτὴν προκαθίζει, ὃν καὶ παρασχεῖν τοῦ λόγου τὰς ἀφορμὰς ὑποτίθεται, καὶ αὐτὸν ἔχοντα τοῦ φιλοσοφεῖν ἔρωτα, οὐ μὴν οὐδὲ τῆς πολιτικῆς σοφίας ἄπειρον ἐμπρέψαι τε γὰρ Ῥωμαϊκαῖς πρεσβείαις, καὶ πολλὰ 283 H.
καὶ μέγιστα τῶν βαρβάρων ἐθνῶν τῇ Ῥωμαϊκῇ συνάψαι λήξει, αἵ τινες αὐτῷ καὶ τῶν μεγίστων παρ' αὐτοῖς τιμῶν κατέστησαν αἴτιαι. ὁ μὲν Ὀλυμπιόδωρος, πρὸς ὃν ὁ λόγος, τοιοῦτος· ᾧ δὴ καὶ παραμυθικοὺς λόγους ὁ συγγραφεὺς ἐπὶ τέλει τοῦ πρώτου βιβλίου, θετοῦ παιδὸς ἀποβολὴν ποτνιωμένῳ καὶ σκυθρωπάζοντι, προσενήνοχεν. ἡ δ' ἐπαγγελία τῆς παρούσης σκέψεως περὶ προνοίας ἐστὶ διαλαβεῖν τῇ Πλάτωνος δόξῃ καὶ Ἀριστοτέλους συνδιατιθεμένῳ· συνάπτειν γὰρ βούλεται τοὺς ἄνδρας ταῖς δόξαις οὐ κατὰ τοὺς λόγους τῆς προνοίας μόνον, ἀλλὰ καὶ ὅσοι τὴν ψυχὴν φρονοῦσιν ἀθάνατον, καὶ εἴ τι περὶ οὐρανοῦ καὶ κόσμου τούτοις πεφιλοσόφηται. ὅσοι δὲ τοὺς ἄνδρας εἰς διαφωνίαν ἔστησαν, τούτους ἐς τὰ μάλιστα πεπλανῆσθαί τε τῆς τῶν ἀνδρῶν προθέσεως καὶ τοῦ ἀληθοῦς ἐκπεσεῖν ἀποτείνεται, τοὺς μὲν ἑκόντας ἔριδι καὶ

a. 2. λογισμοῖς A: λόγοις ς. 9. τοῦ λέμβρου] λέμβος Casaubonus. 12. ἔγνωμεν A: ἐγνωσμένα ς. 13. δὲ add A. 20. οὐδένα] immo οὐδὲν aut οὐδεμίαν. 26. συντάξαι αὐτὸν ς. 33. ἄλλος add A. 34. κεναῖς ς. 35. πρέπουσαν ς. b. 1. κατασπείρει ς. 5. μεταχειρήσεως A. 11. διασκευῇ καὶ δαψιλείᾳ ς. 16. ἐλάττων ς. 17. διδάσκει καὶ γράφει ς. 28. λέξει A. 29. μὲν οὖν Ὀλ. ς. 32. ποτνιωμένῳ περιαλγεῖ τε ὄντι καὶ ς. 40. ἐκπεσεῖν τοῦ ἀληθοῦς ς.



Digitized by Google

ἀπονοίᾳ σφᾶς αὐτοὺς προσαναθέντας, τοὺς δὲ καὶ προλήψει καὶ ἀμαθίᾳ δεδουλωμένους. καὶ πολὺν τοὺς ἔμπροσθεν στῆσαι χορόν, μέχρις ὅτου ἡ Ἀμμωνίου σοφία διέλαμψεν, ὃν καὶ θεοδίδακτον ἐπικαλεῖσθαι ὑμνεῖ· τοῦτον γὰρ τὰς τῶν παλαιῶν ἀνδρῶν διακαθάραντα δόξας, καὶ τοὺς ἑκατέρωθεν ἀναφυομένους ἀποσκευασάμενον λήρους, σύμφωνον ἐν τοῖς ἐπικαίροις τε καὶ ἀναγκαιοτάτοις τῶν δογμάτων Πλάτωνός τε καὶ Ἀριστοτέλους τὴν γνώμην ἀποφῆναι. ταῦτα διὰ τῆς γραφῆς ὁ Ἱεροκλέους λόγος σπουδάζων κατασκευάζει μὲν ἃ ἐκείνους φιλοτιμεῖται δοξάζειν, ἀνταγωνίζεται δὲ πρὸς τοὺς ἐσπουδακότας τἀναντία, Ἐπικουρείους τέ φημι καὶ Στωϊκούς, καὶ ὅσοι Πλάτωνα μὲν ὑποδύονται καὶ Ἀριστοτέλην, οὐκ ὀρθῶς δὲ τὰ ἐκείνων εἰσηγοῦνται. καὶ μὴν ὅσους ὁ τῆς γενεθλιαλογίας ἀνηρτήσατο πόνος, δι' ἐλέγχων ἄγει, σφαλερὰν αὐτῶν τὴν περὶ τῆς εἱμαρμένης ἐπιδεικνὺς δόξαν. καὶ τοὺς μηχαναῖς τισὶν ἢ γοητείαις τὴν πρόνοιαν τῶν ὄντων ἀποσκευάζειν τολμῶντας ταῖς ὁμοίαις τῶν λόγων ὑποβάλλει βασάνοις. καὶ καθόλου φάναι, πρὸς τὰς ὑπολήψεις ἐνίσταται πάσας, ὅσαι τὴν θείαν οὐκ εἶναι πρόνοιαν, ἢ εἶναι μὲν φαύλην δέ, τοὺς ἀμαθεστέρους πείθουσι νομίζειν. καὶ κατὰ Πλάτωνα θεὸν αὐτῷ προϋφίστησιν ἡ σκέψις, πάσης ἐμφανοῦς τε καὶ ἀφανοῦς δημιουργὸν διακοσμήσεως, ἣν ἐκ μηδενός φησιν ὑποκειμένου προαγαγεῖν τὸν τεχνίτην· ἀρκεῖν γὰρ αὐτῷ εἰς ὑπόστασιν τῶν ὄντων τὸ βούλημα. τῆς δὲ σωματικῆς οὐσιώσεως τῇ ἀσωμάτῳ συντεταγμένης δημιουργίᾳ, κόσμον ἐξ ἀμφοῖν τελεώτατον, διπλοῦν τε ἅμα καὶ ἕνα, συστῆσαι, ἐν ᾧ ἄκρα καὶ μέσα καὶ τελευταῖα τὴν κοσμοποιὸν σοφίαν κατὰ φύσιν διακρῖναι· ὧν τὰ μὲν πρῶτα λογικὰ οὐράνιά τε καὶ θεοὺς καλεῖσθαι, ἃ δὲ ἡ μετ' ἐκεῖνο τὸ σύστημα ἔχειν ἔλαχε χώρα λογικά, αἰθέριά τε καὶ ἀγα-
552 R. θοὺς δαίμονας ὀνομάζει, "τῶν τε συμφερόντων ἀνθρώποις ἑρμηνέας τε καὶ ἀγγέλους γενομένους· τὸ δὲ ἀνθρώπειον φῦλον τὴν τελευταίαν τάξιν ἐπέχειν, οὓς περίγειά τε ζῶα καὶ ἀνθρωπίνας ψυχὰς καὶ (ὡς ἂν εἴποι Πλάτων) ἀθανάτους ὀνομάζεσθαι ἀνθρώπους. τὰ δὲ τρία ταῦτα γένη
284 H. ὡς ἐν ἑνὶ ζώῳ ἢ χορῷ καὶ "συμφωνίᾳ συνηρτῆσθαι μὲν ἀλλήλοις, ἀσύγχυτον δὲ τῇ ἑνώσει καὶ ἀλληλουχίᾳ τὴν κατὰ φύσιν αὐτῶν διάκρισιν συντηρεῖσθαι. καὶ ἡγεῖσθαι μὲν τῶν καταδεεστέρων τὰ προτεταγμένα, πάντων δὲ αὐτῶν βασιλεύειν τὸν πατέρα θεὸν καὶ δημιουργόν. καὶ ταύτην τὴν πατρονομικὴν αὐτοῦ βασιλείαν πρόνοιαν καὶ νομίζεσθαι καὶ εἶναι, ἥτις ἑκάστῳ γένει τὰ προσήκοντα διανέμει. τὴν μέντοι γε τῇ προνοίᾳ συνεπομένην δίκην εἱμαρμένην καλεῖσθαι· εἰς ἑνὸς γὰρ πλείω σημαινόμενα τοῦ τῆς εἱμαρμένης ὀνόματος ὑπὸ τῶν χαιρόντων ταῖς καινοτομίαις κατασκεδασθέντος, οὐκ ἄλλην νομίζειν αὐτὸν εἱμαρμένην ἀλλ' ἣν Ἀριστοτέλει καὶ Πλάτωνι νομίζειν δίδωσι. τήν τε γὰρ τῶν γενεθλιαλόγων ἀλόγιστον ἀνάγκην οὐδ' ὅλως προσίεται, οὐδὲ τὴν Στωϊκὴν βίαν, οὐ μὴν ἀλλ' οὐδ' ἣν ὁ ἐξ Ἀφροδισιάδος δοξάζει Ἀλέξανδρος, τῇ Πλατωνικῇ τῶν σωμάτων φύσει εἰς ταυτότητα περιάγων ταύτην· ἀλλ' οὐδὲ τὴν ἐπῳδαῖς καὶ θυσίαις παρατρεπομένην γένεσιν. ἐκείνην δέ, καθὼς ἔφημεν, πρεσβεύει, ἣν οἱ περὶ Πλάτωνα βούλονται· ἥ τις τῶν ἐκβαινόντων κατὰ τὸν τῆς προνοίας θεσμὸν δικαστικὴ τοῦ θείου ὑπάρχει ἐνέργεια, τάξει καὶ εἱρμῷ πρὸς τὰς προαιρετικὰς ὑποθέσεις τῶν αὐτεξουσίων ἔργων ἐπανορθουμένη τὰ καθ' ἡμᾶς.

Ἀλλὰ γὰρ ταῦτα μὲν ἔστιν ἰδεῖν τῷ τοῦ ἀνδρὸς ἐμφερόμενα γράμματι· ὁ πλεῖστος δὲ αὐτῷ καὶ μέγας ἀγὼν ἡ τῶν ἀνθρωπίνων ψυχῶν ἐστὶ προβιοτὴ καὶ μετενσωμάτωσις, τὸν μὲν ἐξ ἀλόγων ζώων ἢ εἰς ἄλογα μεταγγισμὸν οὐκ ἀναδεχόμενος, τὴν δὲ ἐξ ἀνθρώπων εἰς ἀνθρώπους μεταβολὴν σπουδαιολογούμενος. ταύτην δὲ τὴν ἐπισφαλῆ καὶ ματαίαν ὑπόληψιν ἄνω καὶ κάτω περιστρέφει, δι' αὐτῆς μέν, ὡς οἴεται, τὴν τοῦ θείου πρόνοιαν κρατύνων, δι' αὐτῆς δὲ τὸ ἐφ' ἡμῖν καὶ αὐτοδέσποτον κατασκευάζων, ναὶ δὴ καὶ τὴν φίλην αὐτῷ ἐπικουρῶν εἱμαρμένην, ἐξ ἀλλοκότων μὲν ἐπινοιῶν ὁρμώμενος, ἀσυστάτους δὲ τῶν ἐπιχειρημάτων τὰς νομιζομένας αὐτῷ κατασκευὰς προάγων, ἐξ ὧν δ' ὡς ἀληθῶς τὸ τῆς προνοίας ἂν παρασταίη δόγμα, οὐδ' ἐπὶ νοῦν βαλλόμενος. μᾶλλον δὲ εἴ τις τοῦ ἀνδρὸς τὴν ἀλήθειαν προτιμᾶν ἐθέλοι, δι' ὧν ταύτην ἀγωνίζεται κατασκευάζειν, παντελῶς αὐτῆς τὴν ἀναίρεσιν συνεισάγει· σαθρὰν γὰρ αὐτῇ βάθραν ὑποθείς, ὡς ἐν ἄλλοις τῆς ὑποθέσεως ἀπαιτούσης πλατύτερον ὑπεδείξαμεν, εὐπερίτρεπτον αὐτὴν πρὸς τοὐναντίον καὶ ἀνυπόστατον συναπέφηνεν. τῆς γὰρ τῶν ψυχῶν προβιοτῆς καὶ μετενσωματώσεως, ἣν αὐτὸς ἔρεισμα καὶ θεμέλιον τῆς προνοίας ὑποβάλλει καὶ τοῦ αὐτεξουσίου καὶ τῆς εἱμαρμένης, ταύτης παντελῶς εἰς τὸ ἄλογόν τε καὶ ἀδύνατον ὑπὸ

a. 15. δι' ἐλέγχων Bentleius apud Needham. p. 440: διελέγχων ς. 17. μηχαναῖς τισὶν ἢ γοητείαις post τολμῶντας ponit ς, addito δὲ post πρόνοιαν. 22. αὐτῇ ς. b. 1. libri πατρωνυμικήν. cf. p. R. 1381, 54. 19. ἐμφερόμενα mg: libri ἐμφερομένῳ. 22. μὲν A: γὰρ ς. 30. ἀσυστάτων ς. 31. αὐτῷ add A. 32. οὐδ' A: ὁ δ' ς. 33. βαλόμενος A. 37. ἀπερίτρεπτον ς.

τῆς ἀληθείας ἐξοστρακιζομένης, δῆλον ὅτι συγκαταστρέφεται τῷ δι' ἐκείνων ταῦτα πραγματευομένῳ καὶ ἡ πρόνοια καὶ τὸ ἐφ' ἡμῖν καὶ ἡ εἱμαρμένη, καὶ εἰς λῆρον αὐτῷ τὸ πολύμοχθον διαλύεται σπούδασμα.

553 R. "Ἑπτὰ δὲ λόγοι αὐτοῦ ἐπιμερίζονται τὴν σπουδήν. καὶ ὁ μὲν α' εἰς ἔκθεσιν διατυποῦται ὧν αὐτὸς ἐφ' ἑαυτῷ περὶ προνοίας καὶ δίκης καὶ τῆς κατ' ἀξίαν τῶν ἔργων εἰς ἡμᾶς κατιούσης κρίσεως συνεγυμνάσατό τε καὶ διεσκέψατο, ὁ β' δὲ τὰς Πλατωνικὰς συλλέγων δόξας, τὴν πίστιν ἐξ αὐτῶν ὧν Πλάτων ἔγραψεν ἐπιτίθησιν· ὁ δὲ γ' τὰς ὑποφοράς, αἷς ἄν τις χρήσαιτο πρὸς ἐναν-
285 H. τίωσιν τῶν "δεδογμένων, παρατιθεὶς διαλύειν αὐτῶν τὴν ἐπιβολὴν πραγματεύεται· ὁ δὲ δ' τὰ λεγόμενα λόγια καὶ τοὺς ἱερατικοὺς θεσμοὺς εἰς συμφωνίαν συνάγειν οἷς Πλάτων ἐδογμάτισε βούλεται· ὁ δὲ ε' εἰς Ὀρφέα καὶ Ὅμηρον, καὶ ὅσοι ἄλλοι πρὸ τῆς Πλάτωνος ἐπιφανείας ἐγνωρίζοντο, τὴν Πλατωνικὴν περὶ τῶν προκειμένων φιλοσοφίαν ἀνάπτει. ὁ δὲ ϛ' τοὺς μετὰ Πλάτωνα πάντας, αὐτὸν Ἀριστοτέλην κορυφαῖον λαβών, μέχρις Ἀμμωνίου τοῦ Ἀλεξανδρέως, οὗ τῶν γνωρίμων οἱ ἐπιφανέστατοι Πλωτῖνός τε καὶ Ὠριγένης, τοὺς οὖν μετὰ Πλάτωνα μέχρι τῶν εἰρημένων ἀνδρῶν, ὅσοις ἐπὶ σοφίᾳ γέγονεν ὄνομα λιπεῖν, τούτους ἅπαντας ὁμοδοξεῖν τῇ Πλάτωνος κατασκευάζει κρίσει, καὶ ὅσοι διιστᾶν τῆς ὁμοδοξίας Πλάτωνα καὶ Ἀριστοτέλην ἐπεχείρησαν, τῶν φαύλων τε καὶ ἀποτροπαίων τίθησι, πολλά τε νοθεῦσαι τῶν Πλατωνικῶν λόγων, καίτοι Πλάτωνα διδάσκαλον ἐπιγραφομένους, ὡσαύτως δὲ καὶ τῶν Ἀριστοτελικῶν γραμμάτων τοὺς τὴν ἐκείνου μερίδα τιμᾶν ὁμολογοῦντας· καὶ δι' οὐδὲν ἕτερον τούτοις τὰ τοιαῦτα μεμηχανῆσθαι, ἢ ἵν' ἔχοιεν συγκρούειν τὸν Σταγειρίτην πρὸς τὸν Ἀρίστωνος. ὁ δὲ ζ' λόγος ἀρχὴν ἰδίαν ὑποστησάμενος περὶ τῆς διατριβῆς τοῦ προειρημένου Ἀμμωνίου τὴν σπουδὴν ἀναλαμβάνει· καὶ ὡς Πλωτῖνός τε καὶ Ὠριγένης, καὶ μὴν καὶ Πορφύριος καὶ Ἰάμβλιχος καὶ οἱ ἐφεξῆς, ὅσοι τῆς ἱερᾶς (ὥς αὐτός φησι) γενεᾶς ἔτυχον φύντες, ἕως Πλουτάρχου τοῦ Ἀθηναίου, ὃν καὶ καθηγητὴν αὐτοῦ τῶν τοιούτων ἀναγράφει δογμάτων, οὗτοι πάντες τῇ Πλάτωνος διακεκαθαρμένῃ συνᾴδουσι φιλοσοφίᾳ.

Ἔστι δὲ ἡ φράσις τῷ ἀνδρὶ σαφὴς μὲν καὶ καθαρὰ καὶ σπουδῇ φιλοσόφῳ πρέπουσα, οὐ μήν γε τοῖς κεκαλλωπισμένοις καὶ περιττοῖς ἐξωραϊζομένη χρώμασί τε καὶ ποικίλμασι τῆς ῥητορείας.

## 215.

Ἀνεγνώσθη ΙΩΑΝΝΟΥ ΤΟΥ ΦΙΛΟΠΟΝΟΥ κατὰ τῆς σπουδῆς Ἰαμβλίχου, ἣν ἐπέγραψε περὶ ἀγαλμάτων. ἔστι μὲν οὖν ὁ σκοπὸς Ἰαμβλίχῳ θεῖά τε δεῖξαι τὰ εἴδωλα (ταῦτα γὰρ ὑποβάλλει τῷ ὀνόματι τοῦ ἀγάλματος) καὶ θείας μετουσίας ἀνάπλεα, οὐ μόνον ὅσα χεῖρες ἀνθρώπων κρυφίᾳ πράξει τεχνησάμεναι διὰ τὸ ἄδηλον τοῦ τεχνίτου διοπετῆ ἐπωνόμασαν (ταῦτα γὰρ οὐρανίας τε φύσεως εἶναι κἀκεῖθεν ἐπὶ γῆς πεσεῖν, ἐξ οὗ καὶ τὴν ἐπωνυμίαν φέρειν συνεστήσαντο), ἀλλὰ καὶ ὅσα τέχνη χαλκευτική τε καὶ λαξευτικὴ καὶ ἡ τεκτόνων ἐπὶ δήλῳ μισθῷ καὶ ἐργασίᾳ διεμορφώσαντο. τούτων οὖν ἁπάντων ἔργα τε ὑπερφυῆ καὶ δόξης ἀνθρωπίνης κρείττονα γράφει ὁ Ἰάμβλιχος, "πολλὰ μὲν ἀπίθανα μυθολογῶν, πολλὰ 556 R.
δὲ εἰς ἀδήλους φέρων αἰτίας, πολλὰ δὲ καὶ τοῖς ὁρωμένοις ἐναντία γράφειν οὐκ αἰσχυνόμενος. εἰς δύο δὲ τὴν ὅλην πραγματείαν διατέμνει, τὴν μὲν μείζονα καλῶν, τὴν δὲ ἐλάττονα. καθ' ἑκατέρας δὲ τούτων καὶ ὁ Φιλόπονος ἵσταται, λέξει μὲν κεχρημένος ᾗπερ εἰώθει, καὶ τὴν συνθήκην δὲ εἰς τὸν ὅμοιον ἑαυτῷ τύπον ἁρμοζόμενος· τοῦ μὲν γὰρ καθαροῦ καὶ εὐκρινοῦς "οὐκ ἀποκλίνει, οὐ μέντοι γε τῇ λογάδι καὶ ἀττικι- 286 H.
ζούσῃ φράσει καλλωπίζεται. καὶ τοὺς ἐλέγχους δὲ τῶν Ἰαμβλίχου λόγων πολλαχοῦ μὲν γενναίους τε καὶ δι' αὐτῶν ἐρχομένους τῶν πραγμάτων ἐπιδείκνυσιν, ἐνίοτε δὲ ἐπιπόλαιον τὴν ἀνασκευὴν φέροντας καὶ πρὸς ὄνομα γινομένους καὶ πόῤῥω τοῦ ἅπτεσθαι τῶν εὐθυνομένων φερομένους, καίτοι ῥᾳδίων κἀκείνων πρὸς ἔλεγχον ἐκκειμένων, καὶ ἐξ ἑαυτῶν προβαλλομένων τὸ ἀνίσχυρον.

## 216.

Ἀνεγνώσθησαν βιβλία δ', ἃ τὴν πραγματείαν ἰατρικὴν ΟΡΕΙΒΑΣΙΩΙ συντεταγμένην περιεῖχε· καὶ ἔτι ἕτερα ζ' ἀνδρός τε τοῦ αὐτοῦ καὶ εἰς παραπλήσιον ἐξενηνεγμένα τύπον.

Ἡ μὲν οὖν πρώτη σπουδὴ τῷ ἀνδρί, ἃ Γαληνὸς μὲν ἔγραψεν ὁ ἰατρός, συντέμνει, Ἰουλιανῷ δὲ τῷ τῆς εὐσεβείας ἀποστάτῃ ἀναγράφει· ἣ καὶ ἀπάρχεται οὕτως „Κελεύσαντί σοι, θειότατε αὐτοκράτορ Ἰουλιανέ, τοὺς τῷ θαυμασίῳ Γαληνῷ χρησίμους εἰς τὴν ἰατρικὴν

a. 6. μὲν om A. 13. ἐπιβολὴν Bentleius. 28. ἐπιγραφόμενος ς. 38. αὐτοῦ A: αὐτὸς ς.
b. 18. ἀδήλως ς. 20. ὅλην τὴν ς. 31. libri ῥᾴδιον. ἐγκειμένων ς. 34. τὴν deleverim. 35. ὀρειβασίῳ A. 37. ἐξενηνεγμένην A.

τέχνην γεγραμμένους λόγους συντεμεῖν εἰς ἔλαττον, προθύμως ὑπήκουσα. τοῖς τε γὰρ μετιέναι τὴν τέχνην ταύτην προαιρουμένοις, ὡς αὐτός φησιν, οὔτε δὲ φύσεως ἐπιτηδείως οὔθ' ἡλικίας ἁρμοζούσης τετυχηκόσι, πολλάκις δὲ οὐδὲ τῶν πρώτων μαθημάτων ἀρξαμένοις, καὶ διὰ ταῦτα ἀδυνάτως ἔχουσι τοὺς κατὰ διέξοδον λόγους ἐκμανθάνειν, ἀρκέσει τὰ νῦν γραφησόμενα, χρόνου τε βραχυτέρου πρὸς τὴν ἐκμάθησιν χρῄζοντα, καὶ τὴν νόησιν εὐπετεστέραν ἕξοντα τῷ τὴν συναίρεσιν εἰς βραχυλογίαν οὐκ ἀσαφῆ γενήσεσθαι. τοῖς τε ἐν προπαιδείᾳ γεγενημένοις, καὶ μήτε ὑπὸ φύσεως μήτε ἡλικίας κωλυθεῖσι τελείαις χρήσεσθαι ταῖς διδασκαλίαις, ἁρμόζοι ἂν ἡ τοιαύτη σύνοψις ἐπ' αὐτῶν τῶν ἔργων τῆς μὲν χρείας ἐπειγούσης, ἐν βραχεῖ δὲ τῆς ἀναμνήσεως τῶν ἀναγκαιοτάτων γενομένης."

Οὕτω μὲν ὁ Ὀρειβάσιος ἐν ταύτῃ τῇ πραγματείᾳ προοιμιάζεται, ὑποσχόμενος ἐκεῖνα μόνα συναγαγεῖν, ἃ τῶν ἀρεσκόντων ἐστὶ τῷ ἀνδρὶ καὶ πρὸς τὴν ἰατρικὴν ἀφορᾷ τέχνην τε καὶ τῆς τέχνης μεταχείρισιν. πεπόνηται δὲ αὐτῷ ἡ τοιαύτη σπουδὴ ἐν λόγοις

## 217.

Ἡ δὲ δευτέρα πραγματεία Ἰουλιανῷ μὲν καὶ αὐτὴ τὴν προσφώνησιν ποιεῖται, ἐν ο' δὲ περαίνεται λόγοις, καὶ τὸ χρήσιμον οὐκ ἔλαττον ἀλλὰ καὶ μᾶλλον ἢ ἡ προτέρα τοῦ πολυστίχου παρέχεται. προοιμιά-
557 R. ζεται δὲ καὶ αὕτη τοῦτον τὸν τρόπον. „Τὰς προσαχθείσας ἐπιτομὰς παρὰ τῆς σῆς θειότητος, αὐτόκρατορ Ἰουλιανέ, πρότερον, ἡνίκα διετρίβομεν ἐν Γαλατίᾳ τῇ πρὸς ἑσπέραν, εἰς τέλος ἤγαγον καθὼς ἠβουλήθης, ἅς τινας ἐκ μόνων τῶν ὑπὸ Γαληνοῦ γραφέντων ἐποιησάμην. ἐπειδὴ δὲ ἐπαινέσας ταύτας δευτέραν ἐπέταξας πρᾶξιν, πάντων τῶν ἀρίστων ἀνδρῶν ἀναζητήσαντά με τὰ καιριώτατα συναγαγεῖν καὶ πάντα ὅσα χρησιμεύει πρὸς τὸ αὐτὸ τέλος τῆς ἰατρικῆς, καὶ τοῦτο πράττειν ὡς οἷός τέ εἰμι προθύμως διέγνωκα, περιττὸν δὲ νομίσας εἶναι καὶ παντελῶς εὔηθες τὸ ἐγγράφειν τὰ αὐτὰ πολλάκις καὶ τῶν ἄριστα συγγραψάντων καὶ τῶν μὴ ὁμοίως τὸ ἀκριβὲς ἐξεργασαμένων, μόνα τὰ τῶν ἄμεινον εἰπόντων συνάξω, μηδὲν ὧν Γαληνὸς εἶπε παραλιπών, καθότι τῶν συγγραψάντων ἁπάντων εἰς τὰς αὐτὰς ὑποθέσεις αὐτὸς κρατεῖ, μεθόδοις καὶ διορισμοῖς τοῖς ἀκριβεστάτοις χρώμενος, ἅτε ταῖς Ἱπποκρατείοις ἀρχαῖς καὶ δόξαις ἐξακολουθῶν. χρήσομαι δὲ κἀνταῦθα τοιαύτῃ τάξει. πρῶτον μὲν συνάξω τὰ τοῦ ὑλικοῦ μέρους, εἶτα ὅσα περὶ φύσεως καὶ κατασκευῆς εἴρηται ἀνθρώπου, μεθ' ἃ τὰ τῆς ὑγιεινῆς καὶ ἀναληπτικῆς πραγματείας, μετὰ ταῦτα ὅσα τῆς διαγνωστικῆς καὶ προγνωστικῆς ἔχεται θεωρίας, ἐφ' οἷς τὰ περὶ νοσημάτων καὶ συμπτωμάτων καὶ ὅλως τῆς τῶν παρὰ φύσιν ἐπανορθώσεως."

Ἐς τοιοῦτον μὲν τύπον καὶ ἡ δευτέρα προοιμιάζεται πραγματεία, ἀπ' ἐκείνης ἀρχομένη τῆς ὑποθέσεως, καθάπερ καὶ ἡ πρὸ αὐτῆς, ἥ τις τὰς ἐν τροφαῖς δυνάμεις ἀναδιδάσκει· "ἐν ο' δὲ λόγοις διέξεισιν ἃ ἐπαγ- 287
γέλλεται. καὶ δευτέρα μὲν ἐστὶ τῷ χρόνῳ, προτερεύει δὲ τῇ χρείᾳ, ἅτε μὴ μόνα ὅσα Γαληνὸς ὀρθῶς ἔγραψε περιέχουσα, ἀλλὰ καὶ ὅσα αὐτῷ μὲν παρεῖται, ἄλλοις δὲ εἰς διδασκαλίαν προτέθειται. καί γέ μοι δοκῶ χρησιμεύειν τὴν σπουδὴν ταύτην, ἵνα μὴ λέγω πασῶν τῶν ἄλλων ὅσαι εἰς ἰατρικὴν χρείαν τε καὶ θεωρίαν κατεβλήθησαν πραγματεῖαι, ἀλλὰ πάντως γε τῶν πλειόνων τῷ τε σαφῶς ἀπηγγέλθαι τὰ ἀπηγγελμένα, καὶ τῷ μηδὲν παραλιπεῖν, καὶ τῷ φωναῖς διαφόροις τὰ πλείω τῶν συντεταγμένων ῥηθῆναι, ἐξ ὧν καὶ εἴ τι ἀσαφὲς ἐν τούτοις συνέβη τινὶ ῥηθῆναι, διὰ τῆς ἄλλων ἀναπτύξεως σαφηνίζεται. καὶ τῷ γε ἰατρικὴν μετιόντι κατὰ ταύτην ἔγωγε παραινέσαιμ' ἂν τὴν πραγματείαν τὴν διατριβὴν ὅτι μάλιστα ποιεῖσθαι. Ἀλλὰ τοιαύτη μὲν καὶ ἡ δευτέρα Ὀρειβασίῳ τῆς ἰατρικῆς μεταχειρήσεώς τε καὶ θεωρίας συναγωγή.

## 218.

Τρίτη δὲ αὐτῷ διεσπούδασται, ὡς καὶ αὐτὸς ἐκεῖνος προοιμιαζόμενος λέγει, συντομίαν αὐτῷ τῆς δευτέρας περιέχουσα πραγματείας. Εὐσταθίῳ δὲ τῷ υἱῷ τὸ βιβλίον ἀναφωνεῖ, θ' διῃρημένον λόγοις, ἐν οἷς ἐστὶ τῶν παθῶν ἰάματα, ὅσα τὸ εὐπόριστον καὶ πρόχειρον ὑποτίθεται· τὸ μέντοι χειρουργικὸν εἶδος παντελῶς αὐτῷ κατὰ ταύτην τὴν συναγωγὴν παρεῖται. "ἔστι δὲ τὸ παρὸν 560
βιβλίον πρὸς μὲν ἀνάμνησιν τοῖς κατὰ τὰς ἰατρικὰς πράξεις τε καὶ θεωρίας συνησκημένοις οὐ φαύλην παρέχον τὴν χρείαν, καὶ μᾶλλον πρόχειρον· τοῖς δ' ἐκ πρώτων εἰς μάθησιν τῆς τέχνης διὰ τῆσδε τῆς συνόψεως ἐλθεῖν ἠλπικόσιν εἶπον ἂν ὡς ἐπ' ὀλίγον εἴη τὸ λυσιτελὲς παρέχον, εἰ μὴ τὸ κατ' αὐτὴν ἀμέθοδόν τε καὶ ἀπροσδιόριστον τοὺς ἀπειρότερον περὶ ταῦτα διακει-

a. 1. συντελεῖν ς. 4. ἐπιτηδείως] immo ἐπιτηδείας. 9. εὐπρεπεστέραν ς, unde Casaubonus εὐτρεπεστέραν. 11. τε A: δὲ ς. 23. ο] οβ' Suidas v. Ὀρειβάσιος. 33. συνάγειν ς. 38. ἐργασαμένων ς.
b. 15. δοκῶ] fortasse legendum δοκεῖ. 19. σαφὲς ς. 22. ἄλλων] τῶν ἄλλων rc A. 24. τὴν post ἂν add A. 26. ὀριβασιωι A. 41. τε add A.

μένους καὶ ἑτοιμότερον πρὸς τὰς θεραπείας χωροῦντας εἰς τὰς μεγίστας βλάβας τῶν καμνόντων, ἔσθ' ὅτε δὲ καὶ τῶν ὑγιαινόντων, ἐπ' αὐτῶν τῶν ἔργων εἶδον συνωθουμένους. πλὴν ἀλλ' ἔν γε τοῖς εἰρημένοις λόγοις θ' τῶν ο' βιβλίων τὴν σύνοψιν περιγράφει.

Καὶ ἐν μὲν τῷ α' διαλαμβάνει περί τε τῆς κατὰ τὰ γυμνάσια προφυλακῆς καὶ αὐτῶν τῶν γυμνασίων, κενώσεών τε καθόλου καὶ ἐπὶ μέρους, τῶν τε δι' ἐπινοίας καὶ ὅσων ἡ φύσις κυρία· περί τε ἀέρων καὶ λουτρῶν, αὐτοφυῶν τε καὶ τῶν ἐκ τέχνης· καὶ περὶ ἱδρώτων, ναὶ δὴ καὶ περὶ καταπλασμάτων, περί τε τῆς εἰς ἔλαιον καὶ ὑδρέλαιον ἐμβάσεως, καὶ ὅσα τὸ δέρμα διικνοῦντα ἢ ἄλλως διαφοροῦντα τῶν χρονιζόντων παθῶν τὴν μετασυγκριτικήν, ὡς ἂν μεθοδικὸς φαίη ἀνήρ, ἀπεργάζεται θεραπείαν.

ἐν δὲ τῷ β' περί τε τῆς δυνάμεως τῶν ἁπλῶν διαλαμβάνει φαρμάκων, καὶ περὶ τῆς τούτων ἐκλογῆς, καὶ περὶ κατασκευῆς τῶν τε ἀκόπων καλουμένων χρισμάτων καὶ ἐμπλάστρων, καὶ περὶ σταθμῶν, περί τε τῶν κοπτῶν καλουμένων πλατυσμάτων, καὶ περὶ ἑψήσεως
288 H. τῶν ἐμβαλλομένων εἰς τὰς ἐμπλάστρους φαρμάκων.

τὸ δὲ γ' συνθέσεις αὐτῷ φαρμάκων παντοδαπῶν περιέχει.

τὸ δὲ δ' περὶ τροφῶν ἐστὶν αὐτῷ συντεταγμένον δυνάμεως, καὶ περὶ τῆς τούτων σκευασίας, περί τε μελικράτου καὶ πομάτων ἄλλων, ὅσα χρήσιμα τοῖς ἀρρωστοῦσι, περί τε γαλακτοποσίας, καὶ ἔτι περὶ ὑδάτων.

τὸ δὲ ε' ὅσα τε ταῖς κυούσαις συμβαίνει διδάσκει, δίαιτάν τε αὐτῶν, καὶ ὁποῖαι αἱ τιτθαί, περί τε κομιδῆς παιδίου, καὶ ὅσα εἴωθε συμβαίνειν τῷ παιδί, περί τε κόπων, οὓς ποιεῖ τὰ γυμνάσια, καὶ ὧν οὐκ ἔστι λαβεῖν ἐκ τοῦ φαινομένου τὸ αἴτιον. καὶ περὶ στεγνώσεως δέρματος. γερόντων τε δίαιταν εὑρήσεις ἐν τούτῳ, καὶ ὅσα τοῦ σώματος κατὰ τὴν ἐπιφάνειαν συμπεσόντα ἄχαρι τὴν ὄψιν ποιεῖ, τούτων ἀπαλλαγὴν καὶ τῆς παρατροπῆς ἐπανόρθωσιν, ὀδόντων τε φυλακήν, καὶ βαρυηκοΐας καὶ ἀχλύος ὀμμάτων διόρθωσιν, καὶ τῆς ἀπὸ τῆς πλησμονῆς βλάβης θεραπείαν, ἀχόλου τε βίου δίαιταν περί τε τῶν διαφθειρόντων τὰ σιτία. ὁδοιποροῦσί τε καὶ πλοϊζομένοις ἐκτίθεται δίαιταν, καὶ περὶ καθαιρέσεως σαρκῶν διαλαμβάνει ἀναθρέψεώς τε, καὶ διάγνωσιν κράσεως, καὶ παρατραπείσης αὐτῆς θεραπείαν.

ἐν δὲ τῷ ς' συντέτακται αὐτῷ ὅσα τε εἰς σημείωσιν ἀσφαλῆ τείνει καὶ κρίσιν ὀρθήν, θεραπεῖαί τε καὶ προγνώσεις πυρετῶν καὶ συμπτωμάτων. τά τε εἴδη τῶν πυρετῶν καὶ τὰς ἰάσεις, περί τε λοιμῶν λειποθυμίας τε καὶ συγκοπῆς καὶ ὀδύνης καὶ λυγμοῦ διαλαμβάνει, κυνώδους τε ὀρέξεως καὶ ἀνορεξίας καὶ βουλίμου θεραπείας, ἔτι δὲ περὶ ναυτίας καὶ ἐμέτων ἀγρυπνίας τε 561 R.
καὶ καταφορᾶς, καὶ συντήξεως καὶ δίψους, καὶ ἑλκωθέντος τοῦ ἱεροῦ ὀστοῦ θεραπείας.

κατὰ δὲ τὸ ζ' ἑλκῶν μὲν ἁπάντων, τῶν τε λεγομένων ἁπλῶν καὶ τῶν κοίλων, καί γε καὶ τῶν ὕλης δεομένων καὶ ὑπερσαρκούντων ἐκδιδάσκει, πρός τε τὰ πυρίκαυτα θεραπείας εἰσάγει, καὶ περὶ ἐξανθημάτων καὶ κνησμῶν καὶ φλυκταινῶν, ἀναῤῥηγνυμένων τε ἑλκῶν καὶ κακοήθων· πρὸς ἄνθρακάς τε καὶ καρκίνους ἰάσεις ἀναγράφει, σπασμῶν τε καὶ στρεμμάτων καὶ θλασμάτων· οἷοις τε ἂν ἀκὶς ἢ κάλαμος ἢ ἄκανθα ἢ σκόλοψ ἐμπαγέντα σαρκὶ ἀποσπασθείη· περί τε παρωνυχιῶν καὶ τῶν ἐν ἄρθροις ἑλκῶν, αἱμοῤῥαγίας τε καὶ νευροτρώτων, καὶ περὶ κεχαλασμένων ἄρθρων, περί τε φλεγμονῆς καὶ ῥευματικῆς διαθέσεως, περί τε γαγγραίνης καὶ σφακελισμοῦ, καὶ περὶ ἀποστημάτων καὶ συρίγγων, ἐρυσιπέλατός τε καὶ ἕρπητος, καὶ περὶ σκίῤῥων καὶ οἰδημάτων, τερμίνθου τε καὶ ἐπινυκτίδος, περί τε διατμηθέντων συνδέσμων, καὶ θύμου καὶ συκῶν καὶ δοθιήνων, ἀκροχορδόνων τε καὶ μυρμηκιῶν καὶ τῶν συστοίχων. πρός τε τὰ λεγόμενα γαγγλία καὶ χείμεθλα καὶ ῥαγάδας ἐκτίθεται ἰάσεις, καὶ πρὸς τὰ ἡλκωμένα τῶν αἰδοίων. περί τε λεύκης καὶ ἀλφῶν καὶ λέπρας καὶ ψώρας καὶ λειχήνων διαλαμβάνει, καὶ περὶ ἐμφυσημάτων, καὶ ὡς ἡ τῶν ἐχιδνῶν ἐδωδὴ ἄριστον βοήθημα τοῖς ἐλεφαντιῶσι. ταῦτα μὲν καὶ κατὰ τὸ ἕβδομον.

κατὰ δὲ τὸ η' περὶ τῆς κατὰ τὴν μνήμην ἀπωλείας καὶ τῶν ἄλλως ἀγρυπνητικῶν ἢ καταφορικῶν διαλαμβάνει, τίς τε ὁ ἐφιάλτης καὶ ἡ ἐπιληψία καὶ τὸ σκοτωματικὸν πάθος, ἀποπληξία τε καὶ μελαγχο- 289 H.
λία καὶ μανία καὶ ἔρως ὀξύς, καὶ τίς ἡ λυκανθρωπία, καὶ τούτων ἰάσεις· περί τε τῶν κατὰ τὸν ἐγκέφαλον παθῶν, καὶ περὶ λυσσοδήκτων, καὶ περὶ παραλύσεως καὶ ἀνεκθερμάντου ῥίγους, περί τε σπασμῶν καὶ τετάνου, καὶ περὶ τῶν κατὰ τὴν κεφαλὴν παθῶν. πρός τε τὰ σειριῶντα παιδία, πρός τε δυσωδίας ῥινός, καὶ πρὸς

a. 7. τῶν add A. 11. ναὶ A: καὶ ς. 14. μεθοδικὴν A: μεθοδικῶς ς. 28. τε add A. 31. ποιεῖ τὰ A: ποιεῖται ς. 42. περιτραπείσης ς. b. 1. τε add A. 9. θεραπείας rc A: θεραπείᾳ ς. 23. σκίρων A. 27. χήμεθλα A: χέμεθλα ς. 30. λιχήνων A. 42. σηριῶντα A.

Digitized by Google

ὑπώπια, καὶ πρὸς ἐκχυμώματα κεχρονισμένα. περί τε χειλέων ῥαγάδος, καὶ πρὸς ἐφήλεις καὶ σπίλους καὶ φακοὺς καὶ ἰόνθους καὶ τὰς ἐν τῷ γενείῳ συκώδεις ἐπαναστάσεις· περί τε μασχαλῶν δυσωδίας, καὶ περὶ τῶν ἐν τοῖς ὀφθαλμοῖς παθῶν, περί τε φθειριάσεως καὶ ἐμφράξεως μυξωτήρων, καὶ περὶ τῶν ἀπαγχομένων. ἐν τούτοις μὲν καὶ ὁ η΄ λόγος.

ὁ δὲ θ΄ αὐτῷ, ὅσα πάθη περί τε θώρακα καὶ σπλάγχνα συνίσταται καὶ ἕως αἰδοίων διήκει, διαλαμβάνει, τά τε γυναικεῖα καταλέγει πάθη, ϗ περὶ ποδάγρας ϗ ἀρθρίτιδος ϗ ἰσχιάδος θεραπείας ἀναγράφει.

Τοιαύτη καὶ ἡ τρίτη τῷ Ὀρειβασίῳ συντεταγμένη πραγματεία.

## 219.

Ἡ δὲ τετάρτη συντομίαν μὲν καὶ αὐτὴ βούλεται αὐτῷ τῆς τέχνης, ἐν δ΄ δὲ ἀπαρτίζεται λόγοις, ϗ τὸν Εὐνάπιον ὑποβάλλει, ὃν καὶ λογιώτατον ὑμνεῖ, αἴτιον αὐτῷ τοῦ συντάγματος γεγενημένον. τὰ εὐπόριστα δὲ αὐτῷ τῶν ἰαμάτων κἀνταῦθα γνώμην συναγαγεῖν εἰσάγει, ὧν καὶ τὴν διδασκαλίαν τρισὶ διέρχεται τρόποις, ἑνὶ μὲν τάς τε καθόλου δυνάμεις καὶ τὰς ἐπὶ
564 B. μέρους χρήσεις ἑκάστου τῶν ἁπλῶν ἐπιών, "δευτέρῳ δὲ πάθους ἑκάστου τὰ ἰάματα συντάττων· ἐφ' οἷς τήν τε κατανόησιν τοῦ πεπονθότος μορίου καὶ τὴν διήγησιν ἐξ ὧν ἂν θεραπευθείη. τετάρτην δὲ ὑπόθεσιν μεταχειρίζεται, ἣν ϗ τῶν εἰρημένων προτάττει, τοῦ ὑγιεινοῦ τυγχάνουσαν μέρους. καὶ ἄρχεται δὲ αὐτίκα ἐξ ὧν ϗ ἡ φύσις, περὶ παιδίου λέγω τροφῆς. ἔστι μὲν οὖν ἡ πρὸς Εὐνάπιον αὐτῷ συντεταγμένη σπουδὴ σχεδὸν ἡ αὐτὴ τῇ γεγραμμένῃ πρὸς τὸν υἱόν· τῶν τε γὰρ χειρουργουμένων οὐδετέρα λόγον ἔχει, κἂν τοῖς ἄλλοις δὲ συμφέρεται, πλὴν ὅσα τὴν τάξιν οὐ τὴν ἴσην ϗ ὁμοίαν διασώζει. ἐπ' ἐνίοις δὲ μικρόν τι καὶ ἑτέρα τῆς ἑτέρας πλεονεκτεῖ, ὥσπερ ἐν πολλοῖς τῶν κατὰ τοὺς τόπους παθῶν ἡ πρὸς Εὐνάπιον, ϗ εἰς τὴν τῶν ἁπλῶν φαρμάκων διάγνωσιν· ἔστι δὲ οὗ ϗ ἡ πρὸς Εὐστάθιον ἔχει τι ταύτης πλέον σεμνολογήσασθαι. ἀλλά γε χάρις ὑπὲρ ἑκατέρας τῶν πόνων τῷ ἀνδρί· τὸ γὰρ αὐτοῦ μέρος οὐ βλάβης οὐδενί, ἀλλ' ὠφελείας ἑκατέρα, ὥσπερ δὴ καὶ τὰς πρὸ τούτων συνέταξεν. φράσεως δὲ χαρακτῆρα λέγειν τοῦ λόγου ἅμα τε ἄπορον καὶ περιττὸν εἶναι δοκεῖ· ἔκ τε γὰρ διαφόρων καὶ παντοδαπῶν αὐτῷ τὰ συντάγματα συνήθροισται, καὶ ἰατρὸς ἀνὴρ οὐ τοῦ ἐν λόγῳ κάλλους καὶ τῆς σοφίας εὐθύνας ἄν τινι τῶν σωφρονούντων παράσχοι, ἀλλ' εἴ τι τῶν κατὰ τὴν ἰατρικὴν ἔργων οὐκ ὀρθῶς διῆλθεν οὐδ' ἐπεδείξατο.

Εἶδον δὲ ἔγωγε τοῦ ἀνδρὸς καὶ ἑτέραν πραγματείαν ἐν δ΄ λόγοις συντεθειμένην· εὐπόριστα δὲ ἐπεγράφετο τὸ βιβλίον, καὶ τὸν Εὐγένιον ὑπόθεσιν τοῦ συντάγματος ἐποιεῖτο. λογιώτατον δὲ ϗ τὸν Εὐγένιον ὀνομάζει· ϗ χρησιμεύειν "τὴν πραγματείαν κατά τε 290
ἀγροὺς ϗ ὁδοιπορίας ϗ ἀλλαχοῦ, ὅπῃ παρουσία ἰατροῦ οὐκ ἐπιχωριάζει. ἀλλὰ τοῦτο τὸ βιβλίον κατὰ μὲν τὴν ἐπιγραφὴν ϗ τὸ ὑποβαλλόμενον εἰς τὴν προσφώνησιν πρόσωπον διαφορὰν ἔχει, τὰ δ' ἄλλα μάλα περιφανῶς μεταγραφὴ μόνη ἐστὶ τῆς πρὸς Εὐνάπιον πραγματείας, ὥστε ἔγωγε καὶ εἰς λογισμοὺς ἀφικόμην ὡς ἄρα μήποτε οὐκ εἴη τοῦτο Ὀρειβασίῳ διαπεπραγμένον, ἀλλ' ἢ ἁμάρτημα τοῦ ἀπ' ἀρχῆς γράψαντος τὸ πρὸς Εὐνάπιον βιβλίον, ὃς τήν τε ἐπιγραφὴν εἰς τὰ εὐπόριστα μετετάξατο ϗ ἀντὶ Εὐναπίου Εὐγένιον ὑπεβάλετο, ἢ ἕτερόν τινα δόξαν ἑαυτῷ ἐκ τῆς προσφωνήσεως μνώμενον εἰς τὴν τοιαύτην περιενεχθῆναι ἐπίνοιαν, καὶ ἀμεῖψαι τόν τε Εὐνάπιον εἰς Εὐγένιον ϗ τὴν κειμένην ἐπιγραφὴν εἰς εὐπόριστα.

## 220.

Ἀνεγνώσθη ΘΕΩΝΟΣ ἀρχιητροῦ Ἀλεξανδρέως ἰατρικὸν βιβλίον, ὃ ἐπιγράφει ἄνθρωπον. Θεοκτίστῳ μὲν τὸ σύνταγμα προσφωνεῖ, ἀπάρχεται δὲ τῆς θεραπείας ἀπὸ κεφαλῆς καὶ διήκει μέχρι ποδῶν, πάντων τῶν πεπονθότων μορίων τοῦ σώματος θεραπείας τινὰς ἀναγράφων. οὔτε δὲ τὴν τοῦ νοσήματος φύσιν πλὴν ἐπί γε βραχέων ἐκδιδάσκει, οὔτε τοῖς πρέπουσι προσδιορισμοῖς, περὶ ὧν προάγεται λέγειν, τὴν διδασκαλίαν ὑπάγει. μετὰ δέ γε τὸ γράψαι τῶν ποδαγρικῶν ϗ ἀρθριτικῶν παθῶν ἰάματα, διέξεισι μὲν περὶ τῶν ἁπλῶν καθαρτικῶν φαρμάκων, πειρᾶται δὲ ϗ αἰτίας τινὰς ἀποδιδόναι, "οὐκ ἔμοιγε δοκοῦν ὀρθῶς οὐδὲ τῆς ἀληθείας ἐξημμένος, δι' ἃς τὴν καθαρτικὴν δύναμιν ἡ τῶν φαρμάκων 565
ἐπιδείκνυσι φύσις. εἶτα περὶ συνθέσεως παντοδαπῶν διαλαμβάνει φαρμάκων, ὅσα τε αὐτῷ πρὸς τὰ προειρημένα τῶν νοσημάτων ἱκανὴν παρέχεται τὴν χρείαν, καὶ πρὸς τὰ λοιπὰ πάντα τοῦ σώματος πάθη, ἃ παρῆκε τὴν κατὰ τὰ πεπονθότα μόρια θεραπείαν ἀνα-

a. 1. ἐκχυμώματα Rothomagensis: libri scripti ἐχύματα. 42. τε A: γε ς. b. 23. post εὐπόριστα in A vacui versus 28 cum pagina adversa, in C versus 2½. 31. πρέπουσι τοῖς διορισμοῖς ς. 33. δέ γε τὸ γράψαι A: δὲ τὸ γράψαι καὶ ς.

Digitized by Google

γράφων, ἐμπλάστρους τε καὶ ἄκοπα καὶ κολλύρια καὶ ἀντιδότους διαφόρους ἐκ διαφόρων ἀνδρῶν κατεσκευασμένας ἀναγράφει. καὶ ἐν τούτοις αὐτῷ ἡ τοιαύτη συμπεραίνεται πραγματεία. ἔστι μέντοι τὴν χρείαν τὸ βιβλίον ταῖς τοῦ Ὀρειβασίου συνόψεσι παρεχόμενον παραπλησίαν.

## 221.

Ἀνεγνώσθη ἈΕΤΙΟΥ Ἀμιδηνοῦ βιβλίον ἰατρικὸν ἐν λόγοις ιϛʹ. ἔστι μὲν οὖν αὐτῷ πᾶσα ἡ πραγματεία συντεταγμένη ἔκ τε ὧν Ὀρειβάσιος πρὸς Ἰουλιανὸν ἔγραψε πρός τε Εὐστάθιον καὶ Εὐνάπιον, ἔτι δὲ καὶ ἐκ τῶν θεραπευτικῶν βιβλίων Γαληνοῦ, καὶ μὴν καὶ Ἀρχιγένους καὶ Ῥούφου, ἔτι δὲ Διοσκουρίδου καὶ Ἡροδότου καὶ Σωρανοῦ Φιλαγρίου τε καὶ Φιλουμένου καὶ Ποσειδωνίου καὶ ἑτέρων τινῶν τῶν ἐπὶ τῇ τέχνῃ τῆς ἰατρικῆς ὄνομα λιπόντων. καὶ ἀπάρχεται μὲν ἀπὸ τῆς τῶν ἁπλῶν φαρμάκων τε καὶ τροφῶν δυνάμεως Γαληνοῦ, ἐν συνόψει
291 H. ταῦτα διεξιών· συμπεραίνεται δὲ αὐτῷ τὸ βιβλίον εἰς τὸν ιϛʹ λόγον, περὶ γυναικείων τὴν διδασκαλίαν ποιούμενον παθῶν. οἷς καὶ ἕτερά τινα συντάττει κεφάλαια, σμήγματά τε ὄψεως παραδιδοὺς καὶ τοῦ λοιποῦ σώματος, σκευασίας τε οἰνανθαρίων, καὶ ἕτερά τινα τοιουτότροπα.

Ἡ μὲν οὖν ὅλη αὐτῷ πραγματεία ἐξ ὧν τε ἄρχεται, εἴρηται, καὶ ἐν οἷς τὸ πέρας ἀπολαμβάνει· κατὰ μέρος δὲ τὸ μὲν αʹ αὐτῷ βιβλίον τῶν ἁπλῶν τροφῶν καὶ τῶν φαρμάκων ἐν συνόψει τὰς δυνάμεις καταλέγει, ὁ δὲ βʹ τὰς τῶν μεταλλικῶν δυνάμεις καὶ χρήσεις καὶ τὰς ἀπὸ τῶν ζώων ὅλων τε καὶ μορίων ὠφελείας ἐν συνόψει παρατίθεται· εἴη δὲ καὶ τοῦτο τῆς περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείας μέρος οὐκ ἐλάχιστον.

ὁ δὲ γʹ αὐτῷ λόγος περί τε γυμνασίων παντοδαπῶν διαλαμβάνει, καὶ ὅσα παρασκευάζει τὸ γυμνάσιον. εἶτα μετὰ τὰς κενώσεις ἢ τὰς διαφορήσεις ταύτας τὰς ἐκ ἐπιδήλους περὶ φλεβοτομίας διαλαμβάνει, τρόπους τε τῆς τομῆς διευκρινῶν, καὶ μεγέθους καὶ σχημάτων καὶ καιροῦ καὶ μέτρου κενώσεως ἀναγράφει· περί τε ἀρτηριοτομίας καὶ ἀρτηριακοῦ ἰσχαίμου, καὶ σικύας, καὶ ἐγχαράξεως, καὶ βδελλῶν ἐκλογῆς τε καὶ διαίτης καὶ χρήσεως, περί τε καθαιρόντων φαρμάκων, καὶ οἴνων καθαρτικῶν διαφόρους σκευασίας, καὶ οἰνομέλιτος καθαρτικοῦ καὶ κονδίτου καὶ ἀψινθάτου καὶ ῥοσάτου, καὶ ῥοδομέλιτος καὶ ὀξυμέλιτος, γάρου τε καθαρτικοῦ καὶ μέλιτος καὶ οἰνογάρου καὶ ὀξυγάρου, ζωμοῦ τε μαλακτικοῦ καὶ γάλακτος καὶ ἐλαιῶν καθαρτικῶν, περὶ τούτων ἁπάντων τὴν διδασκαλίαν προάγει. ἔτι δὲ καὶ περὶ συνθέτων ὀξυπορίων καὶ καθαρτηρίων διαφόρων, καὶ παστίλλων καὶ βουκελλάτων καθαρτικῶν. ἀλοηδάριά τε καθαρτικὰ ἀναγράφει, καὶ ἅλατα ὁμοίως, καὶ τὰς εʹ ἱεράς, βοηθήματά τε τοῖς λαβοῦσι τὸ καθαρτήριον καὶ οὐ κα- 568 R.
θαιρομένοις, καὶ τοῖς ὑπὲρ μέτρον κενωθεῖσι. περί τε ἐμέτων, καὶ τίσι δοτέον τὸν ἐλλέβορον, καὶ τί δύναται, καὶ τίνες πρὸς αὐτὸν ἐπιτήδειοι, δοκιμασίας τε ἐλλεβόρου, καὶ προπαρασκευὰς τοῦ μέλλοντος αὐτὸν πίνειν, τάς τε διαφορὰς τῆς τοῦ ἐλλεβόρου χρήσεως, καὶ τὴν περὶ τοὺς πιόντας αὐτὸν ἐπιμέλειαν. περί τε ἐπιθεμάτων καθαρτικῶν διαλαμβάνει· καὶ ὅσα τῶν ἐν ἡμῖν μορίων ἐστὶ καθαρτικά, ὀφθαλμῶν λέγω καὶ ὤτων καὶ τῶν ἐφεξῆς· περί τε ὑποκαπνισμοῦ εἰς τὴν αὐτὴν ἐνέργειαν συντελοῦντος· καὶ περὶ κενωτικῶν, λεπτῶν τε ἐντέρων καὶ τῶν σιμῶν τοῦ ἥπατος καὶ τῶν παραπλησίων. περί τε ἀέρων καὶ ἀνέμων καὶ ἐπισημασιῶν, ὑδάτων τε καὶ λουτρῶν, τῶν τε ἐκ τέχνης καὶ ὅσα ἡ φύσις προήγαγε, ψυχρολουσίας τε καὶ τῆς εἰς ἔλαιον ἐμβάσεως· καὶ περὶ τῶν τοῦ προσώπου κλυσμάτων, καταιονήσεώς τε καὶ ἐγκαθίσματος καὶ ἐμβροχῆς καὶ πυριάσεως. καὶ περὶ διαφόρων καταπλασμάτων, δρωπάκων τε καὶ πιττώσεως καὶ σιναπισμοῦ καὶ φοινιγμοῦ· καὶ ἐπὶ τίσι χρηστέον τοῖς 292 H.
μετασυγκριτικοῖς βοηθήμασι. ταῦτα μὲν καὶ ὁ γʹ αὐτῷ συντάττει λόγος.

ὁ δὲ δʹ συναγωγήν τε τῶν ὑγιεινῶν περιέχει, ἀρχόμενος ἀπὸ τῆς τοῦ βρέφους διαίτης, τά τε περὶ τὸ βρέφος πάθη καὶ τὰς θεραπείας διέξεισι, καὶ περὶ διαίτης πασῶν τῶν ἡλικιῶν καὶ τῶν διαφόρων βίων, σαρκῶν τε καθαιρέσεως καὶ ἐνδεῶς ἐχουσῶν ἀναλήψεως· περί τε κόπων τῶν ἐπὶ γυμνασίοις, καὶ τῆς διαφορᾶς αὐτῶν, καὶ τοῦ ἐξ ἀφροδισίων κόπου, καὶ τῶν ἄδηλον ἐχόντων τὴν αἰτίαν κόπων, οὓς λέγουσιν αὐτομάτους· ποία τε ἐπιμέλεια πρὸς τὰς πέψεις χρησίμη, καὶ τοῦ πυκνωθέντος δέρματος θεραπεία, καὶ περὶ ἐγκαύσεως, καὶ περὶ τρίψεως εὐκαίρου, ἀπεψίας τε καὶ κραιπάλης καὶ ὁμαλοῦς δυσκρασίας· ἀρίστης τε κράσεως ἐκδιδάσκει διάγνωσιν, καὶ θερμῆς γνωρίσματα, καὶ τῶν ἄλλων ἁπλουστέρων τε καὶ συνθέτων κράσεων, οὐχ ὅλου μόνον τοῦ σώματος, ἀλλὰ καὶ κεφαλῆς καὶ ἐγκεφάλου καὶ γαστρὸς καὶ πνεύμονος καὶ καρδίας καὶ ἥπατος καὶ ὄρχεων, καὶ τῆς τούτων ἁπάντων ἀπὸ τῆς τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν παρατροπῆς ἰάματα.

ὁ δὲ εʹ αὐτῷ λόγος περὶ νοσημάτων διαλαμβάνει, καὶ πρὸ τῶν ἄλλων περὶ πυρετωδῶν νοσημάτων, τὰς

a. 37. τε add A. 39. διαφόρου ς. 42. οἰνογάρου A: οἰνομέλιτος ς. b. 38. τοῦ add. A.



Digitized by Google

τε σημειώσεις αὐτῶν καὶ προγνώσεις καὶ διαγνώσεις· καὶ θεραπείας οὐ παρέργως ἐπεξιών, καὶ ὅσα ἄλλα πρὸς τὴν ἰατρικὴν ταύτην θεωρίαν συντελεῖ· τίνα τε δεῖ τοῦ νοσήματος ἀρχὴν λέγειν, καὶ ὅτι τριχῶς λέγεται. καὶ τίς ὁ παροξυσμός, καὶ τίς ἡ ἄνεσις καὶ ἡ ἀκμὴ καὶ ἡ παρακμὴ τοῦ τε μερικοῦ παροξυσμοῦ καὶ ὅλου τοῦ σώματος· τίνα τε σημεῖα σωτηρίας τοῦ νοσοῦντος, καὶ τίνα ὀλέθρια, ποῖά τε αὐτῶν βράδιον ἢ τάχιον ἢ διὰ τοῦ μέσου κρίνεται πρὸς τὴν ὑγείαν ἢ καὶ πρὸς τὸν θάνατον. περί τε σφυγμῶν σημειώσεως καὶ οὔρων διαγνώσεως, καὶ τί δηλοῦσι ταῦτα· καὶ περὶ διαχωρημάτων σημειώσεως ἐμέτων τε προγνώσεως, καὶ τῆς ἐξ αὐτῶν σημειώσεως· αἱμοῤῥαγίας τε ἐκ ῥινῶν, καὶ τῆς γυναικείας καθάρσεως· περί τε τῶν κριτικῶν σημείων τῶν κατὰ τοὺς ἱδρῶτας καὶ τὰς ἀποστάσεις, καὶ τῆς ἀπὸ τῶν πτυέλων τεκμηριώσεως· καὶ ὅτι ὁ ἄριστος ἰατρὸς εἴσεται εἰ βεβαίως τὸ νόσημα λέλυται καὶ εἰ μὴ λέλυται, κἂν δοκῇ, τήν τε ἡμέραν καὶ ὥραν 569 R. ἐν ᾗ ὁ νοσῶν τὸν βίον ἀπολείψει. περί τε πανδήμων καὶ ἐπιδήμων καὶ λοιμωδῶν νοσημάτων ἔκθεσιν ποιεῖται, καὶ περὶ τῶν κατὰ διαφόρους αἰτίας συγκοπτομένων, καὶ περὶ τῆς κατὰ διαφόρους αἰτίας ἐπισυμβαινούσης τῷ ζώῳ λειποθυμίας, περί τε τῆς ἐν πυρετοῖς κεφαλαλγίας καὶ ἀγρυπνίας καὶ ὠταλγίας καὶ ὀφθαλμίας καὶ ἀμαυρώσεως, καὶ ἐφ᾽ ὧν αἵματος ῥύσις ἐν πυρετοῖς συμβαίνει, τῆς τούτων ἀποθεραπείας, ὅπως τε προνοητέον κατὰ τοὺς πυρετοὺς κύστεώς τε καὶ δυσουρίας, καὶ τῶν περὶ ὀσφὺν ἀλγημάτων ἑλκωθέντος τοῦ ἱεροῦ ὀστοῦ καὶ ὀχέου ἢ δακτυλίου. καὶ περὶ ἐξανθημάτων 293 H. καθ᾽ ὅλον τὸ σῶμα ἢ καὶ κατὰ μέρος συμβαινόντων κατὰ τοὺς πυρετούς, καὶ περὶ τρόμων καὶ σπασμῶν· οἷς πόματα ἡδέα κατὰ τοὺς πυρετοὺς μάλιστα χρησιμεύοντα συντάττει. ἐν τούτῳ μὲν καὶ ὁ ε′ λόγος.

ἐν δὲ τῷ ς′ λόγῳ περὶ τῶν τῆς κεφαλῆς καὶ τοῦ ἐγκεφάλου παντοίων διέξεισι παθῶν, ταῦτά τε ἀναδιδάσκων καὶ τὰς θεραπείας αὐτῶν. διέξεισι δὲ καὶ περὶ λυσσοδήκτων, καὶ περὶ ἀποπληξίας καὶ παραλύσεως, παρέσεώς τε ὀφρύος ἢ βλεφάρων καὶ γλώσσης καὶ τοῦ φωνητικοῦ ὀργάνου καὶ καταπόσεως τῷ αὐτῷ καταχεθέντων πάθει καὶ περὶ τῆς τούτων θεραπείας· περί τε κυνικοῦ σπασμοῦ, καὶ περὶ θεραπείας κύστεως παρεθείσης, καυλοῦ τε καὶ ἀπευθυσμένου καὶ σκέλους καὶ ἑτέρου τινὸς κώλου· καὶ περὶ τετάνου, καὶ περὶ διαφόρων κεφαλαλγιῶν ἐκ διαφόρων αἰτιῶν συμβαινουσῶν, περί τε κεφαλαίας καὶ ἡμικραίρας. ἀλωπεκιῶν τε θεραπείας ἀναγράφει καὶ τριχῶν ῥεουσῶν καὶ ὀφρύων λιποτριχουσῶν, τριχῶν τε βάμματα, καὶ τούτων ὁλοποιά, ἀφανιστικά τε τριχῶν, καὶ ἀφανιζομένων βοηθήματα, καὶ ψίλωθρα, καὶ λεπτυντικὰ τριχῶν. περί τε πιτυριάσεως καὶ φθειριάσεως, ἀχώρων τε, καὶ τῶν ἐν τῇ κεφαλῇ συμβαινόντων ἄνευ προφανοῦς αἰτίας ἐξανθημάτων· καὶ τούτων ἁπάντων καὶ τῶν παραπλησίων διέρχεται θεραπείας. καὶ τῶν ἐν ὠσὶ διαφόρων τε καὶ ἐκ διαφόρου αἰτίας συμπιπτόντων παθῶν, καὶ πρὸς τὰς ἐξ αὐτῶν αἱμοῤῥαγίας, καὶ περὶ παρωτίδων, καὶ ὅσα κατὰ τὴν ῥῖνα συνίσταται πάθη, περί τε πταρμικῶν, καὶ ἐξ ὧν ἔστι τούτους πλεονάζοντας παῦσαι. περὶ τούτων ἁπάντων ἰάματα καὶ θεραπείας ἐν τῷ ς′ καταλέγει λόγῳ.

κατὰ δὲ τὸν ζ′, ἐπεὶ ὁ ἕκτος αὐτῷ τὰ ἀπὸ κεφαλῆς πάθη μέχρι ὤτων καὶ ῥινὸς καὶ τὰς τούτων ἰάσεις διεξιὼν ἵσταται, περὶ φύσεως ἀπάρχεται ὀφθαλμῶν καὶ τῶν συνισταμένων περὶ αὐτοὺς παντοδαπῶν παθῶν, ἔσωθέν τε τὴν αἰτίαν προβαλλομένων, καὶ ὅσα ἐκ τῶν ἐκτὸς ἐπισυμβαίνει καὶ ἀποτίκτεται. περί τε ἀρτηριοτομίας διδάσκει, καὶ περὶ σκυθισμοῦ καὶ ὑποσπαθισμοῦ καὶ ἀγγειολογίας· ἐν οἷς ἐπιχρίσματά τε καὶ καταπλάσματα καὶ διάφορα κουλλούρια, δι᾽ ὧν τὰ τῶν ὀφθαλμῶν θεραπεύεται πάθη, συντάττει. ταῦτα μὲν κατὰ τὸν ζ′ αὐτῷ λόγον φιλοπονεῖται.

ἐν δὲ τῷ η′ λέγει μέν τι κατ᾽ ἀρχὰς περὶ διακοσμήσεως ὀφρύων, τί τε ἔστι καὶ ὅπως γίνεται τὰ ὑπώπια, καὶ ὅπως αὐτὰ θεραπευτέον. ὅπως τε ὑπὸ ἡλίου ἢ ἀνέμου μὴ ἐπικάοιτο τὸ πρόσωπον, καὶ δι᾽ ὧν ἔστιν ἀῤῥυτίδωτον αὐτὸ συντηρεῖν καὶ μελανίας ἀπαλλάττειν καὶ ἄλλως ἐπικοσμεῖν, καὶ τὸν τοῦ σώματος χρῶ- 572 τα πρὸς εὐωδίαν μεταβάλλειν. ἐντεῦθεν περὶ πάντων τῶν κατὰ τὸ πρόσωπον καὶ στόμα καὶ παρίσθμια συνισταμένων διαλαμβάνει παθῶν, ὅσα τε πρόεισι τὴν 294 αἰτίαν ἔσωθεν λαβόντα, καὶ ὅσα ἐκ τῶν ἐκτὸς ἐπισυμβαίνει, οἷον ὀδόντων τε περιέχεται ποικίλα πάθη καὶ θεραπεία, καὶ γλώσσης, καὶ γαργαρεῶνος, καὶ ἁπλῶς ὅσα τῇ περιγραφῇ συμπεραίνεται τοῦ στόματος· ὧν ἐστὶ καὶ ἡ κυνάγχη καὶ συνάγχη, περὶ τὸν φάρυγγα συνιστάμενα πάθη. καὶ αἱ ἀντιάδες δὲ τοῖς εἰρημένοις συμπεριέχονται. πῶς τέ ἐστι δυνατὸν ἀνακαλέσασθαι τοὺς

a. 2. ἄλλα add A. 18. δοκεῖν ς. 29. ὀσχέων ς. 31. κατὰ τοὺς πυρετοὺς add A. b. 4. λειπ. ς. 17. ἐπεὶ καὶ ὁ ς. 25. κολλ. A. 35. καὶ στόμα om A. 38. οἷον pr A: εἴωθεν ς. 40. συμπαραλαμβάνεται A. 42. ἀντιάδες ς.

ἀπαγχομένους, μήπω τῷ θανάτῳ παραδεδομένους. περί τε ἀρτηριακῶν παθῶν καὶ φαρμάκων ἀναγραφὴν ποιεῖται, καὶ περὶ κατάῤῥου καὶ βηχός· καὶ ἀνώδυνα βηχικὰ φάρμακα γράφει, ὑποκαπνισμούς τε καὶ ἐπιθέματα. περὶ ὀρθοπνοϊκῶν τε καὶ ἀσθματικῶν καὶ δυσπνοϊκῶν διαλαμβάνει, περί τε παλμῶν τῶν κατὰ τὴν καρδίαν· καὶ ἔτι περί [τε] τῶν τοῦ πνεύμονος καὶ θώρακος παθῶν διεξιὼν συμπεραίνει τὸν λόγον εἰς τὴν διδασκαλίαν τῆς πλευρίτιδος, τῆς τε οὔσης καὶ τῆς νομιζομένης, τίς τε ἑκατέρα τούτων, ὑπογράφων, καὶ ὅσα εἰς θεραπείαν αὐτῶν συντελεῖ.

κατὰ δὲ τὸν θ′ λόγον ἀπάρχεται μὲν περὶ καρδιακῶν, διαλαμβάνει δὲ ἐφεξῆς περί τε τῶν ὑπὸ μελαίνης χολῆς ἐνοχλουμένων τὸν στόμαχον, καὶ ἁπλῶς ὅσα πάθη κατὰ τὸ στόμα τῆς κοιλίας συνίσταται, καταπλάσματά τε καὶ βοηθήματα τοῖς κατὰ διάφορα πάθη τὸν στόμαχον κεκακωμένοις συναριθμῶν. ἐν οἷς καὶ περὶ τῶν ἀπὸ στομάχου ἐπιληπτικῶς σπωμένων διέξεισιν, ἀνορεξίας τε καὶ κυνώδους ὀρέξεως καὶ ἀπεψίας, καὶ θεραπείας τούτων. διδάσκει δὲ καὶ ὅπως βοηθητέον τοῖς κραιπαλῶσιν. ἐπεχομένῃ τε γαστρὶ διατάττει ἐπιμέλειαν. περί τε ἐμπνευματώσεως καὶ ἰλεοῦ, καὶ ἁπλῶς περὶ τῶν ὀδυνωμένων τὸ κῶλον· καὶ περὶ κοιλίας ῥευματιζομένης, τῆς τε κοιλιακῆς λεγομένης διαθέσεως, καὶ περὶ συντήξεως, περί τε ἑλμίνθων, τῶν τε στρογγύλων καὶ τῆς πλατείας καὶ τῶν ἀσκαρίδων λεγομένων. περί τε τῶν κατὰ τὰ ἔντερα συνισταμένων παθῶν, καὶ ὅσοις χρυσὸς ἢ χαλκὸς ἤ τι τοιοῦτον ἐπόθη. τούτων τε βοηθήματα ἀναγράφει, καὶ δυσεντερικοῖς τὰ λεγόμενα ἀνωτερικὰ καὶ κατωτερικὰ ἐνέματα καταλέγει, τροχίσκους τε καὶ ὑποθετὰ καὶ ἐπιχρίσματα καὶ ἐπιθέματα, καὶ λοιπὸν εἰς τὸν περὶ λειεντερίας καταλήγει λόγον.

ὁ δὲ ι′ αὐτῷ λόγος ἀπάρχεται μὲν περὶ ἥπατος ἀτονίας, κἀκεῖθεν περὶ πάντων αὐτοῦ τῶν παθῶν, καὶ δι᾽ ὧν ἂν θεραπευθείη ταῦτα, διαλαμβάνει. εἶτα μεταβαίνει πρὸς τὰς ἐν σπληνὶ διαθέσεις, δυσκρασίας τε αὐτοῦ καὶ θεραπείας διεξιών, ἐμπνευματώσεις καὶ φλεγμονὰς καὶ σκίῤῥους καὶ τοὺς παρὰ φύσιν ὄγκους καὶ τὰς σκληρίας· περί τε ἰκτέρου καὶ καχεξίας, καὶ περὶ ὑδέρων, ὅθεν τε τούτων συνίσταται ἕκαστον καὶ πῶς ἂν θεραπευθείη, μεθόδους παραδιδούς. ἐν οἷς αὐτῷ καὶ ὁ ι′ συμπεραίνεται πόνος.

ἐν δὲ τῷ ια′ περί τε διαβήτου διαλαμβάνει, καὶ ἀτονίας νεφρῶν, αἵματός τε ἐξουρήσεως, καὶ περὶ 295 H.
λιθιώντων νεφρῶν καὶ λιθιώσης κύστεως, φλεγμονῆς τε νεφρῶν καὶ σκληρίας καὶ διαπυήσεως, δυσουρίας τε καὶ στραγγουρίας καὶ ἰσχουρίας, περί τε παραλυθείσης κύστεως, καὶ τῶν κατὰ τοὺς ὕπνους οὐ κατεχόντων τὸ οὖρον· περί τε κύστεως φλεγμαινούσης, καὶ τῆς κατ᾽ 573 R.
αὐτὴν αἱμοῤῥαγίας, καὶ τῶν συνισταμένων ἐν αὐτῇ θρόμβων τε καὶ φυμάτων καὶ ἑλκῶν· καὶ περὶ ῥευματιζομένης καὶ ψωριώσης κύστεως· περί τε σατυριάσεως καὶ πριαπισμοῦ καὶ γονοῤῥοίας καὶ ὀνειρώξεως. τούτων ἁπάντων τῶν εἰρημένων παθῶν τάς τε αἰτίας, ὡς οἷόν τέ ἐστι, καταλέγει, καὶ τὰς προφυλακὰς καὶ θεραπείας αὐτῶν. κατ᾽ αὐτὸ δὲ τὸ τέλος τοῦ λόγου καὶ περὶ τῶν μὴ δυναμένων χρήσασθαι ἀφροδισίοις, γυμνασίας τε αὐτῶν καὶ θεραπείας διατάττει.

ἐν δὲ τῷ ιβ′ λόγῳ περὶ ἰσχιάδος καὶ περὶ ποδάγρας καὶ ἀρθρίτιδος διαλαμβάνει, αἰτίας τε καθολικὰς τῶν παθῶν τούτων καταλέγων, καὶ ὅσαι ἐπὶ μέρους, καὶ παντοδαπὰς θεραπείας αὐτῶν τε καὶ ὅσα κατ᾽ αὐτὰ ἐπισυμβαίνει νοσήματα ἕτερα, κενώσεις τε αὐτῶν διαφόρους, καὶ χρίσματα καὶ μαλάγματα καὶ συγχρίσματα καὶ ἄκοπα καὶ ἀλείμματα συντάττων, καθαρτικά τε ἁρμόζοντα τούτοις καὶ ἀντιδότους, καὶ ὅσα ἄλλα πρὸς τὴν τῶν εἰρημένων νοσημάτων βοήθειαν ἀφορᾷ.

ἐν δὲ τῷ ιγ′ λόγῳ περὶ δακετῶν διαλαμβάνει ζώων, ἃς ποιοῦσι διαθέσεις καὶ πάθη περὶ τοὺς δηχθέντας, καὶ τὰς τούτων ἰάσεις ἐκδιηγούμενος. καὶ δὴ καὶ περὶ τῶν ἰοβόλων θηρίων τὴν ὁμοίαν ποιεῖται διδασκαλίαν. οὐ μόνον δέ, ἀλλὰ καὶ ὅσα τῶν φυτῶν ἢ βοτανῶν δηλητήρια γίνεται τοῖς χρωμένοις, δηλῶσαι σπουδὴν ποιεῖται. καὶ περὶ μυκήτων δὲ καὶ αἵματος ταυρείου καὶ θρομβωθέντος ἐν τῇ γαστρὶ γάλακτος παραπλησίως διαλαμβάνει· ὅσα τε τῶν μεταλλικῶν φθαρτικὰ τῷ ζώῳ γίνεται κατὰ γαστέρα ληφθέντα, καὶ περὶ αὐτῶν ἔκθεσιν ποιεῖται. καὶ περὶ ψυχροποσίας ἢ οἰνοποσίας ἐπιβλαβοῦς τῷ ζώῳ γεγενημένης· περί τε τῶν ἀπαγχομένων, καὶ ὅσοι ἐν ὕδασι κινδυνεύουσιν ἀποπνιγῆναι, καὶ τῶν ἀπὸ μετεώρου τινὸς πεπτωκότων, καὶ δὴ καὶ περὶ τῶν προφυλακτικῶν καὶ προγνωστικῶν ζώων τῶν κατὰ τὰς οἰκίας τρεφομένων. ἐπὶ τούτοις περὶ τῆς ἐχιδνῶν θηριακῆς Ἀνδρομάχου διαλαμβάνει, τήν τε κατασκευὴν αὐτῆς καὶ τὴν

a. 14. τὸν add *A*. 28. τοιοῦτον] τοιοῦτον ἕτερον apographum Stephani. 30. καταλέγει *A*: λέγει ς. 33. αὐτοῦ ς. 38. σκίρους *A*. b. 7. τὸ add *A*. 31. δηλῶσαι σπουδὴν ποιεῖται *A*: τὴν ἴσην δείκνυται σπουδήν ς. 33. παραπλήσιον ς. 40. οἰκείας ς.

χρῆσιν καὶ τὸν τῆς χρήσεως χρόνον, δοκιμασίας τε ϗ μέτρον δόσεως, ϗ τίσιν ἁρμόζει τῶν νοσημάτων, ἀναγράφων. περί τε ἄλλων θηριακῶν, καὶ τῆς Μιθριδατείου ἀντιδότου, κατασκευῆς τε καὶ χρήσεως, ϗ ἐφ' ὧν χρησιμεύει. ἑτέρας τε διαφόρους ἀντιδότους καταλέγει. ϗ περὶ τῶν δύο κύφεων, ϗ δὴ ϗ περὶ ἐλεφαντιάσεως καὶ κνησμιωδῶν ἐξανθημάτων, καὶ περὶ ψυδράκων καὶ ἱδρωτίδων, ϗ περὶ τῶν ἐν ταῖς κνήμαις ἑλκωδῶν ἐκβρασμάτων, ϗ περὶ τῶν οὐλῶν αἳ ἐκ τῶν ἑλκῶν μελαίνουσι τὸ σῶμα. ἐπὶ τούτοις περὶ τῶν δύο 296 H. εἰδῶν "τοῦ ἀλφοῦ διαλαμβάνει, ϗ περὶ λεύκης, ϗ τὸ τελευταῖον περὶ λέπρας, γενέσεις τε αὐτῶν ϗ αἰτίας δι' ἃς συμβαίνουσι καταλέγων, καὶ τὰς τούτων θεραπείας. τοῦτο μὲν καὶ ὁ ιγ' λόγος.

ἐν δὲ τῷ ιδ' περί τε τῶν ἐν ἕδρᾳ φιλοπονεῖται παντοδαπῶν παθῶν, καὶ περὶ τῶν ἐν αἰδοίοις θύμων τε καὶ ῥαγάδων καὶ φλεγμονῆς καὶ νομῆς ϗ ἀνθράκων, ϗ τῶν κατὰ τὴν οὐρήθραν ἑλκῶν· περί τε ψωριῶντος ὀσχέου, καὶ φλεγμονῆς αὐτοῦ τε ϗ ὄρχεων· ϗ περὶ τῶν τῆς κήλης εἰδῶν· περί τε συνθέσεως ἐμπλάστρων, καὶ τρόπου τῶν ἐμβαλλομένων ἑψήσεως. ἔτι δὲ περὶ τῶν τὰ νεῦρα τρωθέντων ἢ θλασθέντων, ϗ περὶ βουβώνων, ϗ φλεγμονῆς καθόλου, περί τε ἀποστημάτων ϗ κοίλων ἑλκῶν, τί τέ ἐστιν ἕκαστον τῶν εἰρημένων, ϗ θεραπείας 576 R. αὐτῶν ἐκτιθείς. "ἔτι δὲ καὶ πρὸς τοὺς ἐν ἕλκεσι σκώληκας, καὶ πρὸς νομὰς ϗ τὰ σηπεδονώδη τῶν ἑλκῶν, καὶ πρὸς αἱμοῤῥαγίας ἰάσεις συγκατατάττει." διαλαμβάνει δὲ ϗ περὶ κόλπων καὶ συρίγγων, γαγγραίνης τε καὶ σφακέλου, ϗ περὶ ὄγκων καρκινωδῶν ϗ ἀνθράκων καὶ ἐρυσιπέλατος, ἕρπητός τε καὶ ἐπινυκτίδος ϗ τερμίνθου ϗ φλυκταινῶν, τάς τε γενέσεις αὐτῶν διεξιών, καὶ ὅσαι τούτοις ἁρμόζουσι θεραπεῖαι. ἔτι δὲ καὶ περὶ τῶν ἐκ πυρὸς ἢ ὕδατος κατακαέντων, καὶ θεραπείας τῶν μαστιγωθέντων ϗ τῶν ἀποσυρμάτων τῶν τε παρατριμμάτων ϗ σαρκὸς θλασθείσης ἢ ῥαγείσης, ϗ σπάσματος ϗ στρέμματος, ϗ περὶ κεχαλασμένων ἄρθρων, ϗ χιμέθλων πτερυγίων τε τῶν ἐν δακτύλοις ϗ παρωνυχίας, καὶ περὶ τεθλασμένων ὀνύχων ϗ ὑφαίμων ϗ σαλευομένων καὶ ψωριώντων ἢ λεπριώντων, καὶ δι' ὧν ἔστι παρασκευάσαι ἀντὶ τῶν ἐκπεσόντων ὀνύχων ἄλλους ἀναφῦναι· περί τε τῶν συμβαινόντων ἐσφηνῶσθαι δακτυλίων περὶ τοὺς δακτύλους· ϗ περὶ ἥλων καὶ ῥαγάδων τῶν κατὰ τοὺς πόδας, καὶ περὶ κιρσῶν. ταῦτα πάντα ὠφελίμως ϗ κατὰ τοὺς ἰατρικοὺς νόμους διεξιών, τελευτᾷ εἰς τὴν περὶ τῶν ἐν σκέλεσι ϗ βραχίοσι δρακοντείων ἰατρικὴν διδασκαλίαν· ἐν οἷς καὶ ὁ ιδ' συμπεραίνεται λόγος.

κατὰ δὲ τὸν ιέ διαλαμβάνει λόγον περὶ οἰδημάτων τε ϗ ἐμφυσημάτων, σκίρων τε ϗ χοιράδων, βρογχοκηλῶν τε ϗ ἀθερωμάτων, καὶ μελικηρίδων ϗ στεατωμάτων καὶ γαγγλίων, ἀνευρύσματός τε καὶ κηρίων ϗ ὑδροκεφάλων, γένεσεις τε αὐτῶν ἐκτιθέμενος ϗ αἰτίας τῆς γενέσεως, χειρουργίας τε ϗ τὰς ἄλλας θεραπείας καὶ ἐμπλάστρων ποικίλων τε ϗ διαφόρων σκευασίας.

ἐν δὲ τῷ τελευταίῳ τε καὶ ις' λόγῳ περὶ μήτρας θέσεώς τε ϗ μεγέθους ϗ τῆς ἄλλης διαπλάσεως ἀναγράφει, ϗ τὸν καιρὸν καθ' ὅν τε καθαίρεσθαι ϗ σπερμαίνειν ταῖς γυναιξὶ συμβαίνει. περί τε κυοφορίας αὐτῶν, "καὶ σημειώσεως τῶν πεφυκυιῶν συλλαβεῖν, ϗ 297 H. εἰ ἤδη συνέλαβον· καὶ ὅσα ἄλλα ταῖς κυοφορούσαις πάθη ἐπιγίνεται· ἥ τε περὶ αὐτὰς ἐπιμέλεια, καὶ ποῖαι μᾶλλον ἐπιτήδειοι πρὸς τόκον, ποῖαι δὲ ἀνεπιτήδειοι· καὶ περὶ δυστοκίας, καὶ ὅσα παρὰ φύσιν τίκτεται, περί τε ἐμβρυοτομίας καὶ ἐκλείψεως χορίου· ϗ κατὰ πόσας αἰτίας ἀνὴρ ϗ γυνὴ τῆς παιδοποιίας στερίσκονται. πάντων δὲ θεραπεῖαι τῶν εἰρημένων ἐν τούτῳ τῷ λόγῳ καταλέγονται, καὶ πόματα ϗ πεσσοὶ ϗ ὑποθυμιάματα συλληπτικά. ἐκεῖθέν τε περὶ τῶν ἐν τοῖς μαστοῖς παθῶν ἁπάντων μετὰ τῆς πρεπούσης τῇ τέχνῃ σοφίας διηγεῖται, συστάσεις τε τούτων καὶ γενέσεις καὶ χειρουργίας ϗ τὴν ἄλλην συνυφαίνων θεραπείαν. μεθ' ἃ περὶ τῶν κατὰ διαφόρους αἰτίας ἐπεχομένων ταῖς γυναιξὶν ἐμμήνων καθάρσεων, περί τε ὑπερκαθάρσεως καὶ γυναικείου ῥοῦ, τοῦ τε ἐρυθροῦ καὶ τοῦ λευκοῦ, περί τε ὑστερικῆς πνιγὸς καὶ περὶ γονοῤῥοίας διαλαμβάνει, τὴν τούτων εὖ μάλα διατιθεὶς θεραπείαν· ϗ περὶ τῶν ἄλλων τῆς μήτρας παντοδαπῶν παθῶν, ἀποστημάτων λέγω ϗ οἰδήματος καὶ μύλης καὶ ὕδρωπος καὶ ἕλκους καὶ τῶν παραπλησίων· ἐν οἷς περί τε φιμώσεως μήτρας ϗ ἀτρήτου ὑστέρας ϗ τῶν παραπλησίων ἐπεξιὼν γράφει τούτων θεραπείας. περί τε νυμφοτομίας ϗ περὶ κερκώσεως κιρσοκήλης τε καὶ θύμων καὶ τῶν ὁμοίων κατὰ τὴν ἴσην μέθοδον τὰς ἰάσεις ἀναγράφει. οἷς σμήγματά τε ὄψεως ϗ τοῦ ἄλλου σώματος ϗ θυμιαμάτων σκευασίας "συν- 577 τάττει, τὸ ὅλον ἐνταῦθα τῆς σπουδασθείσης αὐτῷ ἰατρικῆς πραγματείας συμπερανάμενος βιβλίον.

a. 2. libri μέτρου. 7. κνισμ. A. 32. ἁρμόζουσαι ς. περὶ add A, b, 8. ἀνευρύματος ς. 27. καὶ τὴν] κἂν τὴν A. 28. ἃ A: οὐ ς. 33. διατεθεὶς ς.

Καὶ ὅσα γε ἐμὲ εἰδέναι, ὁ προκείμενος τοῦ ἀνδρὸς πόνος τῶν μὲν Ὀρειβασίου συνόψεων, ἥν τε πρὸς Εὐστάθιον καὶ ἣν πρὸς Εὐνάπιον ἔγραψε, τοῖς πᾶσι κρατεῖ· αἰτιολογίαις τε γὰρ προέχει καὶ διαγνώσεσι καὶ προγνώσεσι καὶ προσδιορισμοῖς καὶ τῷ τῆς θεραπείας πλάτει. οὐ τούτων δὲ μόνον ἐν ὑπεροχῇ ὁρᾶται, ἀλλὰ καὶ ἥτις αὐτῷ τῶν Γαληνοῦ βιβλίων σύνοψις ἐφιλοπονήθη, καὶ ταύτης ἐπικρατεῖ τῷ τε εἰς ἐλάττονα ὄγκον ταύτην συνεστάλθαι, καὶ τῷ σαφεστέραν παρέχειν τὴν διδασκαλίαν, καὶ τῷ περὶ πλειόνων παθῶν διαλαμβάνειν ταύτην μᾶλλον ἢ ἐκείνην. τῆς δὲ τῷ αὐτῷ ἀνδρὶ εἰς ἑβδομήκοντα βιβλία συντεταγμένης τὴν ἄλλην ἅμιλλαν οὐκ εὐλαβουμένη, ἴσως ἂν ἐλαττωθείη οἷς τε τὰ τῆς ἀνατομικῆς ἐγχειρίσεως μὴ παραδραμούσης ἐκείνης αὕτη παρατρέχει, καὶ τὴν θεωρίαν τῆς τῶν μορίων χρείας, φιλοσόφου μᾶλλον οὖσαν σπουδῆς ἢ θεραπείας ἔργον, ὡσαύτως παρῆλθε. τοῖς αὐτοῖς δὲ τούτοις καὶ τῆς προειρημένης τῶν Γαληνείων συνόψεως τοῦ κρατεῖν ἂν ὑπαναχωροῦσα εἴη. ἀλλὰ γὰρ ἔγωγε φαίην ἂν ὡς κατὰ τὴν παροῦσαν τῶν ἀνθρώπων ῥαθυμίαν καὶ τὴν περὶ τὰ ἄλλα μᾶλλον ὁρμὴν ἢ περὶ ὧν ἡ θεραπεία κατορθωθείη τοῖς κάμνουσι, ταύτην ἐκμελετᾶν τὴν συναγωγὴν τῶν ἄλλων μᾶλλον σπουδασμάτων χρή, μάλιστά γε ὅσοις μὴ πρὸς τὸ βάθος τῆς ἰατρικῆς θεωρίας ἐλάσαι καὶ τὴν κατὰ φυσιολογίαν σοφίαν τε καὶ ἀλήθειαν 98 H. σκοπός ἐστιν ἀνευρεῖν, πρὸς μόνην δὲ τὴν τῶν σωμάτων θεραπείαν ἡ πρόθεσις ἀφορᾷ, καὶ μηδὲν τῶν περὶ αὐτὴν ἐπὶ τῆς χρείας ὑστερεῖν. τοῖς γὰρ τὰς ἰάσεις νόσων ἀπελάσεις ἑλομένοις ἐμφανίζειν δι' ἔργων τοῦτο τὸ βιβλίον ἐπιμελῶς μεταχειρίζεσθαι δεῖ, καὶ τὴν σχολὴν εἰς αὐτὸ συντεταμένην ἔχειν, καὶ ὅ γε πεισθεὶς τῇ παραινέσει ἐν αὐτῇ τῇ πείρᾳ τὸ κέρδος εὑρήσει.

## 222.

Ἀνεγνώσθη βιβλίον ΙΩΒΙΟΥ μοναχοῦ ἐν λόγοις μὲν θ', κεφαλαίοις δὲ μ' καὶ ε', οἷς συνυποβάλλει καί τινα ἕτερα. τὴν δὲ τοῦ βιβλίου ἐπιγραφὴν οἰκονομικὴν ἐπέγραψεν ὁ συντάξας πραγματείαν, διότι, φησίν, ἐν αὐτῷ πολλὰ τῶν περὶ τῆς οἰκονομίας περιέχεται ζητημάτων. ἐν μὲν οὖν ταῖς ἀπορίαις καθόλου φάναι ὁ συγγραφεὺς οὐκ ἀγεννής ἐστιν οὔτε ἄτονος· οὐχ ὁμοίως δὲ διὰ τῶν λύσεων πρόεισιν, ἀλλ' ἐν πολλοῖς μὲν ἰχνηλατῶν τυγχάνει τῆς λύσεως, ἔστι δ' ἐφ' ὧν τοῖς φαινομένοις ἀρκεῖται, περαιτέρω μηδὲν πρὸς τὴν τῆς ἀληθείας ἐμβαθύνων ἀκρίβειαν. τάχα δ' ἄν τις ἕτερος εἴποι καὶ τοῦ φαινομένου πολλάκις τὴν αὐτοῦ σπουδὴν καθυφίεσθαι. τῆς μέντοι γε εὐσεβείας, ὅσα γε ἐμὲ εἰδέναι, ἔν τε τῷ παρόντι λόγῳ καὶ ἐν τῇ κατὰ Σεβήρου πραγματείᾳ ἐραστής τέ ἐστιν ἀξιέπαινος, καὶ τὸ φιλόπονον οὐκ ἀδόκιμος, καὶ τῆς τῶν ἱερῶν γραφῶν μελέτης οὐκ ἄπειρος. ἐξ ἐπιτάγματος μὲν οὖν τινὸς τῶν ἐπ' ἀρετῇ γνωρίμων τὸν προκείμενον ὑπελθεῖν πόνον διηγεῖται, πρώτην δὲ τίθησιν αὐτοῦ τῶν λόγων ἀπορίαν, διὰ τί ὁ υἱὸς καὶ μὴ ὁ πατὴρ μηδὲ τὸ ἅγιον πνεῦμα τὴν 580 R. ἡμετέραν μορφὴν ὑπέδυ. καὶ τούτου τοῦ ἀπορήματος λύσις αὐτῷ νομίζεται, ὅτι ἐπειδὴ λόγος ὁ υἱός, ὁ δὲ ἄνθρωπος λόγῳ καὶ εἰκόνι θεοῦ τιμηθεὶς τούτων τε διαπέπτωκε καὶ παρεσυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς, διὰ τοῦτο ὁ λόγος τοῖς εἰς ἀλογίαν πεσοῦσιν ἐπεδήμησεν, τό τε ὀλίσθημα ἡμῶν ἐξιώμενος καὶ πρὸς τὸ ἀρχαῖον ἀνέλκων ἀξίωμα. „ὁ λόγος" γάρ φησι „σὰρξ ἐγένετο," τουτέστι τὴν εἰς ἀλογίαν καταπεσοῦσαν φύσιν ἡμῶν, καὶ μηδὲν πρὸς τὸ νοερόν, ὅλην δὲ πρὸς τὸ σαρκικὸν ἀπονεύσασαν, ἀνελάβετο „καὶ ἐσκήνωσεν ἐν ἡμῖν." Διά τοι γάρ φησι τοῦτο καὶ τῶν παρθενικῶν κόλπων ἄρτι προελθόντα τὸν λόγον φάτνη ὑποδέχεται, ἡ τῶν ἀλόγων τράπεζα καὶ βοῶν τε καὶ ὄνων τροφός, τῶν μὲν ἅτε δὴ καθαρῶν σύμβολα φερόντων τοῦ παλαιοῦ Ἰσραήλ, τῶν δὲ διὰ τὸ ἀκάθαρτον τὸ ἐκ τῶν ἐθνῶν σύστημα· ὧν ἑκάτερον ἔργοις τε καὶ δόγμασιν εἰς ἀλογίαν ἀπενεχθὲν ὁ λόγος ἀνεκαλέσατο, ὥς που καὶ ὁ προφήτης Ἡσαΐας προεμήνυσεν „ἐν μέσῳ δύο ζώων διακεκραγὼς μνησθήσῃ· ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ." Καὶ τὴν σαγήνην δὲ τὴν ἐν τῷ εὐαγγελίῳ φησὶ μαρτύριον εἶναι τῆς ἐσχάτης ἀλογίας, εἰς ἣν κατηνέχθη τὸ ἀνθρώπινον, ὥστε καὶ ἰχθύων τῶν ἀφωνοτάτων τε καὶ ἀλογωτάτων μηδὲν διενηνοχέναι· οὓς ἡ σαγήνη, δῆλον δὲ ὡς παρὰ τοῦ λόγου βληθεῖσα, ἐκεῖθέν τε ἀνήγαγεν, καὶ τὸ λογικὸν δῶρον τοῖς ἐστερημένοις ἀπεκατέστησεν. Καὶ τὸ πρόσταγμα δὲ τοῦ λόγου, ὃ ὁ Πέτρος λαβὼν καὶ τὸ τοῦ ἰχθύος διανοίξας στόμα εὗρε στατῆρα, σύμβολον εἶναι τοῦ ὑπὸ τοῦ λόγου τῆς ἀλογίας ἀπολυθῆναι τὸν ἄνθρωπον· τὸν μὲν γὰρ στατῆρα συμβάλλειν φησὶ τὸ βασιλικὸν νόμισμα ἤτοι τὰ δεσποτικὰ 299 H. λόγια („τὰ λόγια" γὰρ „κυρίου ἀργύριον πεπυρωμέ-

a. 6. ἥτις] εἴτις corr A. 10. καὶ] libri κἄν. 31. συντεταγμένην ς. b. 10. τῶν λόγων αὐτοῦ ς. 15. παρεσυν.] Ps. 48, 13. 18. ὁ λόγος] Io. 1, 14. 29. Ἡσαΐας] immo Abac. 3, 2. 31. εὐαγγ.] Matth. 17, 27. 37. ἐπεκατέστησεν A: ἀποκατέστησεν ς. 40. συμβαλεῖν A. 42. τὰ λόγια] Ps. 11, 7.

νου"), τὸ δὲ ἐν τῷ στόματι κεκρύφθαι τὸν στατῆρα τοῦ ἰχθύος τὸ συγκεχῶσθαι καὶ κατορωρύχθαι τὴν λογικὴν δύναμιν καὶ χάριν ἐν τοῖς ἰχθύων δίκην ἐξαλογωθεῖσιν. ὧν ὑπὸ τοῦ λόγου ῥωσθεὶς ὁ Πέτρος καὶ διανοίξας τὸ στόμα, ἀνακαθαίρει τε τὸ δῶρον καὶ ἐμφανίζει, καὶ εἰς τὸ μέσον προαγαγὼν τὴν οἰκείαν χρῆσιν εἰς πρᾶξιν προενεγκεῖν συνειργάσατο. Καὶ τὸ ἐπὶ ὄνον δὲ καὶ πῶλον καθίσαι τὸν σεσαρκωμένον λόγον τὸ αὐτό φησιν ὑπαινίττεσθαι. ναὶ δὴ καὶ τὸν μετὰ τὴν ἀνάστασιν ἐπὶ τῆς ἀνθρακιᾶς ὀπτώμενον ἰχθύν· τὸ γὰρ πρὶν ἄλογον ὑπὸ τοῦ λόγου πυρούμενον τῆς τε ἀλογίας ἐξίστασθαι καὶ βρῶμα νοερὸν τοῦ λόγου καθορᾶσθαι γινόμενον. ἔτι δὲ καὶ τῶν γλωσσῶν τὴν χάριν τοῖς ἀποστόλοις διδομένην τῆς ἀποστολικῆς αὐτῶν χειροτονίας μηνύειν τὸ ψήφισμα, ὡς ἂν καὶ τῷ σχήματι μάθοιεν ὡς τῷ λόγῳ τὰ τοῦ λόγου ὑπηρετήσοντες ἀπήλαυσαν τοῦ τοιούτου χαρίσματος. καὶ τὸν πρόδρομον δέ, φωνὴν βοῶσαν τοῦ λόγου παρὰ τῶν ἱερῶν κηρυττόμενον γραμμάτων, οὐκ ἄλλο τι παρὰ τὰ εἰρημένα δηλοῦν, ἀλλ' ὅτι τὸ τῆς ἀλογίας ἀῤῥώστημα ὁ λόγος ἐπεδήμησεν ἐξιάσασθαι. ὃ καὶ τὸν Δαβὶδ λέγειν· „ἐξαπέστειλε τὸν λόγον αὐτοῦ καὶ ἰάσατο αὐτούς".

581 R. "Ταῦτα μὲν οὖν ἐν τοῖς δυσὶ πρώτοις διεξέρχεται, ἀγῶνι προαγωνιστῇ νεανιευσάμενος κατὰ τῶν λεγόντων διὰ τοῦτο τὸν υἱὸν ἄνθρωπον γενέσθαι καὶ σωτῆρα παραγενέσθαι, διότι τοῖς πρὸς υἱοθεσίαν καλουμένοις τὸν υἱὸν ἔδει, ἀλλὰ μὴ ἄλλον τινά, καθηγεμόνα καὶ ἀνακαινιστὴν τῆς υἱοθεσίας καὶ γεγενῆσθαι καὶ κηρύττεσθαι.

Ἐν δὲ τῷ γ' [καὶ β'] λόγῳ αἰτίαν ὑπέχει δι' ἣν ὁ υἱὸς σεσάρκωται, καί φησιν ὡς ἐχρῆν τὸν δημιουργὸν καὶ πλάστην αὐτὸν καὶ ἀναπλάσαι καὶ ἀνακαινίσαι συντριβὲν τὸ δημιούργημα. εἰ γὰρ καὶ ὁ πατὴρ ὡσαύτως δημιουργὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, πλὴν ἀλλὰ πάντα δι' υἱοῦ γεγενῆσθαι τὸ ἱερὸν συνεχῶς ἐπιμαρτύρεται γράμμα. ἔδει τοίνυν τὸν πλαστουργόν, διαῤῥυέντος τοῦ πλάσματος, αὐτό τε εἰς ἑαυτὸν ἀναλαβεῖν καὶ ἀνασῶσαι δι' ἀναπλάσεως. τί δὲ τὰ ἱερὰ λόγια; „πάντα" φησὶ „δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν", καὶ „ἐξ αὐτοῦ" φησὶ „καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα", καὶ „δι' οὗ τοὺς αἰῶνας ἐποίησε". ναὶ δὴ καὶ ὁ ἐκεῖθεν φυεὶς τῶν πατέρων ἡμῶν χορὸς διὰ τοῦ υἱοῦ τὰ πάντα τὸν πατέρα πράττειν θεοπρεπῶς ἀνεδίδαξεν.

Οὕτω τὴν λύσιν τῆς προκειμένης ἀποδοὺς ἀπορίας, ἐφ' ἑτέραν φυομένην ἐξ αὐτῆς διαβαίνει, καὶ ζητεῖ διὰ τί μιᾶς καὶ τῆς αὐτῆς ἐνεργείας καὶ δόξης καὶ ἰσχύος ἐπὶ τῆς ἁγίας τριάδος θεωρουμένης καὶ ὑμνουμένης συνεχῶς καὶ τὰ λόγια καὶ οἱ πατέρες διὰ μὲν τοῦ υἱοῦ τὸν πατέρα πάντα πεποιηκέναι φασίν, "οὐ μὴν τὸν 300 H. υἱὸν διὰ τοῦ πατρός. τὴν μὲν οὖν ἀπορίαν οὕτω δριμέως διαπλέκει, ἡ δὲ λύσις αὐτῷ κοινὰ μὲν εἶναι λέγει, ὅσα θεοπρεπῆ, πατρός τε καὶ υἱοῦ, ἐπὶ μέντοι τὸν πατέρα ἀνάγεσθαι καὶ ὅσα λέγεται περὶ τοῦ υἱοῦ, εἴπερ καὶ αὐτὸς ὁ υἱός· οὐκοῦν οὐκ ἐξίστησι τῶν ἔργων τὸν πατέρα, ἃ λέγεται πράττειν ὁ υἱός, συνεισάγει δὲ μᾶλλον καὶ συνανυμνεῖ. ἔτι δὲ ἐπεὶ δεξιὰ τοῦ πατρὸς ὁ υἱὸς καὶ βραχίων καὶ σοφία καὶ λόγος καὶ δύναμις, ὁ δὲ πατὴρ τούτων οὐδὲν εἶναι λέγεται τοῦ υἱοῦ, εἰκότως διὰ μὲν τοῦ υἱοῦ πάντα ποιεῖν ὁ πατὴρ ῥηθείη ἄν, ἐπεὶ καὶ ἐφ' ἡμῶν ἡ αὐτὴ θεωρεῖται τάξις, οὐ μὴν ἀνάπαλιν ὁ υἱὸς διὰ τοῦ πατρός.

Ἐπάγει δὲ καὶ ἑτέραν αἰτίαν, οὐ τῆς νῦν εἰρημένης ἀπορίας, τῆς δὲ πρὸ βραχέος, οὐκ ἐμοὶ δοκοῦσαν τὸ ἀκόλουθον σώζειν. λέγει γὰρ ὡς ἐπεὶ πάντα διὰ τοῦ υἱοῦ γεγενῆσθαι λέγεται, εἰ μὴ καὶ ἡ σάρκωσις δι' αὐτοῦ προῆλθε, ψεύδους ἂν ὁ λόγος ἔλεγχον οὐδίδου. οὐ γάρ, ἐπειδὰν λέγῃ διὰ τοῦ υἱοῦ γεγενῆσθαι πάντα, αὐτὸν τὴν ἐκείνων φύσιν ὑποδραμεῖν λέγοι· μὴ γένοιτο· ἀλλ' ὅτι αὐτοῦ δημιουργήματα γέγονεν.

Εἶτα σοφῶς δὲ τήν τε δημιουργίαν καὶ τὴν ἀνάπλασιν δι' αὐτοῦ φησὶ προελθεῖν· ἔλεγχον γὰρ εἶναι τοῦτον σαφῆ τῶν ἀπὸ τῆς Μανέντος μανίας. εἰ γὰρ καὶ δι' αὐτοῦ ἑκάτερον τῆς ἱερᾶς γραφῆς γεγενῆσθαι βοώσης ὅμως τὴν τοῦ παντὸς δημιουργίαν εἰς ἀντικείμενόν τινα τῷ υἱῷ τὸ δυσσεβὲς ἐκεῖνο στῖφος ἀναφέρουσι, πρὸς τίνα ἂν δυσφημίαν οὐκ ἤλασαν, εἰ δι' ἑτέρου μὲν τὴν πλάσιν δι' ἑτέρου δὲ τὴν ἀνάπλασιν τὰ ἱερὰ ἡμῖν ἐχρησμῴδει λόγια;

Ἐπὶ δὲ τοῖς εἰρημένοις κεφαλαίοις ποιεῖται ια', ὡς "συνήθως ἡ γραφὴ κατ' ἐξαίρετον δημιουργὸν καλοῦσα 584 R. τὸν υἱὸν οἰκονομικῶς αὐτῷ κατὰ τὸ ἀκόλουθον καὶ τὴν κρίσιν καὶ τὴν νομοθεσίαν ἐξαιρεῖ, πολλῷ δὲ μᾶλλον καὶ τὴν (ἐπεὶ συνετρίβη) τοῦ πλάσματος ἀνανέωσιν. δημιουργοῦ μὲν γὰρ εἰδέναι τὴν φύσιν, εἰδότα δὲ κατὰ λόγον τῶν δεχομένων τοὺς νόμους εἰσφέρειν, νομοθετοῦ

a. 6. παραγαγὼν ς. 7. ἐπὶ ὄνον] Matth. 21, 7. 10. ἀπτόμενον ς. ἰχθύν] Io. 21, 9. 12. τῶν γλ.] Act. 2, 3. 17. φωνὴν] Isa. 40, 3. 21. ἐξαπ.] Ps. 106, 20. 36. πάντα] Io. 1, 3. 38. ἐξ] Rom. 11, 36. 39. δι' οὗ] Hebr. 1, 2. b. 13. δὲ A: δὲ καὶ ς. 29. τοῦτο A. τῆς om A.

δὲ καὶ τὴν κρίσιν ἔχειν τῶν τε τοὺς νόμους ὑπεριδόντων καὶ ὅσοι κατ' αὐτοὺς ἐπολιτεύσαντο. διὸ καὶ „ὁ πατὴρ" φησὶ „κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ", καὶ πάλιν „ὁ πατὴρ ἀγαπᾷ τὸν υἱόν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ". ὃς ἀναπλάττων τὸ πλάσμα δι' ἑαυτοῦ καὶ πρῶτος τοὺς νόμους ἐκπληρῶν, ὑπογραμμὸν ἡμῖν ἑαυτὸν προτάττει πολιτείας, ἣν οὐ κατορθῶσαι χαλεπὸν πρὸς τὸν ἀρχηγὸν ἀφορῶντας καὶ χειραγωγόν. ἄριστος δὲ νομοθέτης, ὃς μὴ λόγῳ μόνον τὸ πρακτέον, ἔργοις δὲ μᾶλλον νομοθετεῖ. διὸ καὶ φησιν „ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν."

Ἐφεξῆς δὲ ζητεῖ διὰ τί μὴ δι' ἀνθρώπου ἡ σωτηρία, ἢ διὰ τί μὴ ἄγγελος ἐνηνθρώπησε. καί φησιν ὡς πεπραγμάτευται μὲν πολλάκις δι' ἀνθρώπων τῶν ὁμογενῶν ἡ σωτηρία, ὥσπερ διὰ Μωσέως καὶ διὰ τῶν προφητῶν, ἀλλ' οὐδὲ ἓν ὁλόκληρον ἔθνος, τῶν Ἰουδαίων λέγω, τοῦ κοινοῦ ἀνερρώσθη νοσήματος. πῶς δὲ καὶ ἀνθρώπου τὸ ὅλον φύραμα νενοσηκὸς ἐξιάσασθαι, ἢ τὸν ἰσχυρὸν δῆσαι, καὶ τούτου διαρπάσαι τὰ σκεύη; 301 H. πῶς δὲ καὶ ψιλὸς ἄνθρωπος τὸ ὁμογενὲς ἐξεκάθηρεν, αὐτὸς μέτοχος ὢν τοῦ ῥυπάσματος; „οὐδεὶς γὰρ ἀπὸ ῥύπου καθαρός." οὐδ' ἀγγέλου δέ τινος ἦν, εἰ τὴν σάρκωσιν ἐπετέτραπτο, τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας θριαμβεῦσαί τε καὶ παραδειγματίσαι. πῶς δ' ἂν δοῦλος ὢν τὰ δεσποτικὰ καὶ βασιλικά, τοῦ νόμου λέγω, προστάγματα πρὸς τὴν εὐαγγελικὴν πολιτείαν, δι' ἧς ἡμῖν ἡ πρὸς οὐρανοὺς ἄνοδος, μετερρύθμιζέ τε καὶ μετέταττεν, ὥσπερ ὁ σωτὴρ „ἐρρέθη" λέγων „τῷ νόμῳ τάδε, ἐγὼ δὲ λέγω ὑμῖν τάδε". πῶς δ' ἂν ὁμοδούλου κελεύοντος τὰ δαιμόνια καὶ ὁ τούτων ἄρχων εἰς τὸ σκότος ἀπεπέμπετο, ὅπου γε ὁ ἀρχάγγελος Μιχαήλ, περὶ ἑνὸς σώματος τοῦ Μωσέως, καὶ ταῦτα δικαίου, τῷ διαβόλῳ διαφερόμενος, οὐκ ἐτόλμησε παρ' ἑαυτοῦ βλάσφημον ἐξενεγκεῖν κατ' αὐτοῦ κρίσιν; πρὸς υἱοθεσίαν δὲ ποῦ ἂν αὐτὸς ἡμᾶς δοῦλος ὢν ἀνήγαγεν; ἢ πῶς ἂν σύνεδρον τῷ πατρικῷ θρόνῳ τὸ ἡμέτερον, ὡς νῦν διὰ τοῦ υἱοῦ, ἐγνωρίζετο φύραμα.

Ταῦτα διελθὼν αἰτιολογεῖται ὡς ὁ Ἰορδάνης καὶ ἡ ἐρυθρὰ θάλασσα Μωσεῖ μὲν καὶ Ἠλίᾳ καὶ Ἐλισσαίῳ διαβαίνουσι σχίζονται, καὶ τότε τὸ αὐτοῖς πρόσαγμα τοῦ δεσπότου δυσωπούμενα· ἔργον δὲ φύσεως τὸ βάρους ἐμπεσόντος τῷ ὕδατι διασχίζεσθαί τε καὶ διίστασθαι, ὥστε τὸ ὑπερφυὲς δι' αὐτῶν οὐ βελτιουμένης ἐτελειοῦτο τῆς φύσεως· δεσποτικῷ δὲ ποδὶ ἐμβαίνοντι οὐκέτι μὲν ἡ θάλασσα τῇ φύσει δουλεύουσα σχίζεται, ὑπερφυῶς δὲ συντηροῦσα τὴν συνέχειαν ὑπηρετεῖται τῷ δεσπότῃ, πρὸς τὸ κρεῖττον ἑαυτῆς διακρατουμένη. διὸ καὶ τὸ κατὰ φύσιν ἀγνοοῦσα πάθος τὴν φύσιν μὲν οὐκ ἀρνεῖται, τῷ δ' ὑπερφυεῖ τῆς συνεχείας τὴν δεσποτικὴν σαλ- 585 R. πίζει πορείαν. συμβάλοι δ' ἄν τις, φησίν, οὐκ ἀπεικότως τὸ μὲν ἄτμητον τῆς δεσποτικῆς κατὰ τοῦ ὑγροῦ πεζοπορείας τὸ τῆς θεότητος ἀδιαίρετον, τὸ δὲ διαιρεθέν, ὡς ἐπὶ Μωσέως καὶ τῶν ἄλλων, τὴν ἀνθρωπίνην παχύτητα καὶ ὅτι ἡμῶν ἐκ δύο ἡ σύνθεσις, ὕλης τε καὶ εἴδους, ἐξ ὧν καὶ τὰ ἄλλα σώματα.

Ταῦτα εἰπὼν ἐπὶ τὸ ιγ' κεφάλαιον μέτεισιν, ἐν ᾧ ζητεῖ διὰ τί μὴ γυμνῇ τῇ θεότητι ὁ λόγος τὸ ἀνθρώπινον ἔσωσεν. καὶ πρῶτον μέν φησιν ὡς εἰ καὶ τοῦτο διήνυσε, οὐδὲν ἂν ἐκώλυσε τοὺς ματαιολόγους καὶ πάντα τολμῶντας, εἴπερ ἐκ παντὸς τὸ θεῖον οἱ παραπλῆγες λογοθετεῖν ἐφρυάττοντο, πάλιν ἄλλον τρόπον ἐπιζητεῖν σωτηρίας, τὸ γεγενημένον οὐ στέργοντας, καὶ πάλιν ἄλλου δοθέντος τὸ μὲν μωμεῖσθαι, ζητεῖν δὲ ὅπερ μὴ δέδοται. ἔπειτα τίνα λείπει μανίας ὑπερβολήν, ἑαυτοὺς νομίζειν τὸ συμφέρον εἰδέναι μᾶλλον τοῦ πάντα ἐν σοφίᾳ καὶ προαγαγόντος καὶ συνέχοντος;

Ἐπιλύεται δὲ καὶ πῶς μὲν αἵ τε κοιναὶ ἔννοιαι καὶ τὸ θεῖον γράμμα παντοδύναμον ὑμνοῦσι τὸν θεόν, ὁ δὲ θεσπέσιος Παῦλός φησιν ὅτι ὁ θεὸς „ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται." ἀλλὰ καὶ ἄλλα εἶναι μυρία, ἃ μὴ δύνασθαι λέγειν πρέπον ἐστὶ τὸν θεόν, ὡς τὸ μὴ δύνασθαι τῆς ἀγαθότητος ἐκπεσεῖν μηδὲ τροπὴν ὑποστῆναι, καὶ ὅσα παραπλήσια. ἀλλ' ἀπορεῖ μὲν οὕτως, ἐπιλύεται δέ, ὡς ἃ 302 H. φαμεν μὴ δύνασθαι τὸ θεῖον, ταῦτα τῶν μήτε ὄντων ἐστὶ μήτε δυνατῶν ὅλως ὑφεστάναι. ποῦ γὰρ ὑφέστηκε τὸ ἀρνήσασθαι τὸν θεὸν ἑαυτόν, ἢ ἡ τροπή, ἢ ἡ τῆς ἀγαθότητος ἔκπτωσις, ἢ τὴν ἀλήθειαν ψεῦδος γενέσθαι; παντοδύναμος δὲ ὑμνεῖται καὶ λέγεται ὡς τά τε πρέποντα αὐτῷ καὶ σωτήρια τῶν δημιουργημάτων πάντα δυνάμενος, ὅτε βούλεται. ἄλλωστε δὲ καὶ τὸ λέγειν μὴ δύνασθαι ἃ μὴ πρέπον αὐτῷ, δυνάμεώς ἐστιν ὡς ἀληθῶς. εἰ γὰρ ἐκεῖνα πάντα στέρησις καὶ ἀσθένεια, τὸ τούτων ἁπάντων ἀπείρῳ μέτρῳ ὑπεριδρῦσθαι πῶς οὐ τῆς ἀκροτάτης καὶ πανσθενεστάτης δυνάμεως;

*a.* 1. τε add *A.* 2. ὁ πατὴρ] Io. 5, 22. 4. ὁ πατὴρ] Io. 3, 35. 10. ἔργοις δὲ om pr *A.* 11. ὧν] Act. 1, 1. 21. οὐδεὶς] Iob. 14, 4. 28. ἐρρέθη] Matth. 5, 22. 31. ὁ ἀρχάγγ.] Iud. 9. 35. ἀνήγεν ς. 40. τὸ add *A.* *b.* 8. τις abesset melius: nam συμβάλλειν τι est σύμβολα φέρειν τινός sive αἰνίττεσθαί τι. cf. p. 181 *b* 40 et 25. 24. προάγοντος ς. 26. ἀνυμνοῦσι ς. 27. ὅτι *A*: διότι ς. ἀρνήσ.] 2 Tim. 2, 13.

Τάχα δ' ἄν τις οὐκ ἔξω τῆς ὀρθότητος προσθείη τοῖς εἰρημένοις, ὡς ὁ λόγος οὗτος οὐχὶ κατὰ τοῦ θείου μόνον τὸ παντοδύναμον περιτρέπειν πειρᾶται, ἀλλὰ καὶ ἁπλῶς πάντων τῶν ὄντων τὴν φύσιν συγχεῖν τε καὶ μετασκευάζειν βιάζεται. εἰ γὰρ ἡ δικαιοσύνη οὐ δύναται ὅπερ ἡ ἀδικία (οὐ γὰρ ἂν ἀδικήσειεν ἡ δικαιοσύνη), ἐπικρατεστέρα ἄρα τῇ δυνάμει τῆς ἀρετῆς ἡ κακία· καὶ εἰ ὁ ἄνθρωπος οὐ δύναται λίθος εἶναι, μᾶλλον ἂν εἴη δυνατὸς ὁ λίθος ἢ τὸ λογικὸν ζῶον. καίτοι γε ταῦτα πάλιν ἀναστρέψασιν οὐδὲν ἧττον ὀφθείη, ἃ πρὸς τὴν δύναμιν ἐνομίσθη ἀμείνω, ἀσθενέστερα πάλιν ὧν ἐκράτουν τῇ δυνάμει. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως ἁπάντων· οὕτω παίγνιόν ἐστιν ὁ τοιοῦτος λόγος καὶ σοφιστικῆς ἄθυρμα λέσχης. ἐπιρραπισθείη δ' ἂν τῶν τοιούτων τὸ κακοῦργον ἢ ἡ ἄγνοια, ὡς οὐκ ἴσασιν ἢ οὐ βούλονται διττὸν εἶναι τὸ τῆς δυνάμεως ὄνομα. τὸ μὲν γὰρ σημαίνειν τὴν κυρίως δύναμιν, καθ' ὃ καὶ τὸ θεῖον λέγεται παντοδύναμον καὶ ἕκαστον τῶν ὄντων κατὰ τὴν ἔμφυτον 588 R. καὶ οἰκείαν δύναμιν τὰ κατὰ φύσιν πράττειν, τὸ δὲ τὸ πρέπον καὶ καθῆκον ὑποσημαίνειν. ὅταν οὖν φαμὲν μὴ δύνασθαι τὸ θεῖον ἀρνήσασθαι ἑαυτόν, μὴ πρέπειν φαμὲν μηδὲ καθῆκον εἶναι θεῷ ἔξαρνον τῆς ἰδίας οὐσίας γενέσθαι. ὡσαύτως καὶ ὅταν μὴ δύνασθαι τροπὴν ὑφεστάναι ἢ τῆς ἀγαθότητος ἐκστῆναι, τὸ μὴ πρέπειν αὐτῷ μηδὲ καθῆκον εἶναι τὰ τῆς τροπῆς ἢ τῆς ἀλλοιώσεως προσάπτειν. ὅπερ οὐ μόνον οὐδαμῶς οὐδεμιᾶς ἀδυναμίας ἔμφασιν ἔχει, ἀλλὰ καὶ παντοδυνάμου δυνάμεως ἀπαράγραπτος μαρτυρία. καὶ ἐπὶ τῶν ἄλλων δὲ ὡσαύτως. ἀλλὰ ταῦτα μὲν ὡς ἐν παρενθήκης μέρει.

Ὁ δὲ σπουδαῖος οὗτος συγγραφεὺς τοῦ παρόντος βιβλίου κεφάλαιον ποιεῖται ιδ', οὗ μείζονος εἶναι καὶ τιμῆς καὶ σοφίας κατασκευάζει τῆς πλάσεως τὴν ἀνάπλασιν, τά τε ἄλλα καὶ ὅτι ἡ μὲν πλάσις λόγῳ προήχθη, αὐτουργίᾳ δὲ τοῦ δημιουργοῦ ἡ ἀνάπλασις. καὶ Παῦλον δέ φησι λέγειν, ἐξαίροντα τὸ τῆς σοφίας μέγεθος, „ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ, ἣν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ." καὶ τὸ τῆς ἀγάπης δὲ τοῦ θεοῦ πρὸς ἡμᾶς ἀνυπέρβλητον ἐνδεικνύμενον οὐχ ὅτι κατ' ἀρχὰς τὸν ἄνθρωπον ἔπλασέ φάναι, 503 H. οὐδ' ὅτι κατὰ τὴν αὐτοῦ εἰκόνα ἐπλαστούργησεν, οὐδ' ὅτι ἄλλο τι τῶν μεγάλων καὶ θαυμαστῶν ἔργων ὑπέστησεν· ἀλλὰ τί; τὴν ἔνσαρκον παρουσίαν τοῦ υἱοῦ αὐτοῦ, δι' οὗ ἡμῖν ἡ ἀνάπλασις· „οὕτω γάρ" φησίν „ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν" ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. τίνος γὰρ οὐκ ἂν ἀγάπης εἴη, οὐ λέγω τὸ δοῦναι τὸν μονογενῆ ὑπὲρ ἡμῶν εἰς θάνατον, ἀλλὰ καὶ αὐτό γε τοῦτο, τὸ εὐδοκῆσαι τὸν υἱόν, δεσπότην ἁπάντων ὄντα, μορφὴν ἀναλαβεῖν δούλου, ὅτι μηδ' ἦν γυμνῇ τῇ θεότητι οὔτε εἰς ὅρασιν ἀνθρώπου ἐλθεῖν, οὔτε διὰ τῶν σωματικῶν ἔργων τε καὶ πράξεων τὴν ὑπ' αὐτοῦ κηρυττομένην πολιτείαν, δι' ἧς ἡμῖν ἡ σωτηρία, ὑποδειχθῆναι, καὶ πρὸς μάθησιν ἡμᾶς καταστῆναι σύντροφον. καί γέ φησι τοῦτο εἶναι τὸ καταλείψαντα τὰ ϟθ' πρόβατα ἐφ' ἓν ἐλθεῖν τὸ πλανώμενον, ὃ καὶ ἐπὶ τῶν ὤμων ἦρε. καὶ γὰρ οὐ κατὰ τὴν κοινὴν καὶ συνήθη τῶν ὅλων δημιουργίαν λόγῳ καὶ τὴν ἡμετέραν φύσιν ἀνέπλασεν· ἀλλ' ὅπερ ἐπ' οὐδενὸς τῶν ἄλλων ἠνέσχετο, οὐκ ἐπ' ἀγγέλων, οὐκ ἐπ' ἄλλης τινὸς φύσεως, τοῦτο ἐπὶ τῇ τῶν ἀνθρώπων ὑπέστη σωτηρίᾳ, ἀντὶ δεσπότου δοῦλος χρηματίσας. εἰκότως οὖν καὶ καταλιπεῖν, ὡς ἔφην, τὰ ϟθ' πρόβατα λέγεσθαι, τὴν εἰς ἄλλο παραδοξότερον καὶ θαυμασιώτερον τῆς δημιουργίας ἀναχώρησίν τε καὶ μετάστασιν καὶ τὴν τῆς συνηθείας καινοτομίαν τῆς παραβολῆς αἰνιγματιζούσης, καὶ ὡς οὐ καθ' ὃν τρόπον τὸ πᾶν ἐξ ἀρχῆς συνεστήσατο, ἀλλὰ καινοπρεπῆ τε καὶ ὑπὲρ πάντα λόγον τὸν ἡμέτερον ἀνακαινισμὸν ἐξειργάσατο.

Εἶτά φησιν εὐλόγως τε καὶ ἀναγκαίως τὴν διὰ σαρκὸς σωτηρίαν τὸν λόγον ἡμῖν πραγματεύσασθαι. πάσης γὰρ ἄλλης μεθόδου προκαταβληθείσης (καὶ γὰρ καὶ προφῆται καὶ δημαγωγοὶ καὶ ὑπερφυῆ τέρατα εὐεργεσίαι τε καὶ ἀπειλαὶ καὶ τιμωρίαι τοῦτο μὲν ἐπὶ μέρους, τοῦτο δὲ 589 R. καὶ παγκόσμιοι) ἐπεὶ τὸ ἀνθρώπινον τὴν πρὸς τὰ κρείττω μεταβολὴν οὐκ ἠσπάσατο, τὸ δὲ νόσημα πρὸς τὸ ἀνίατον μᾶλλον ἐχώρει, κατὰ τὸ ἀναγκαῖον καὶ ἀκόλουθον, μᾶλλον δὲ ἀρρήτῳ φιλανθρωπίας πλούτῳ, ἑαυτὸν ὁ λόγος, σάρκα προσλαβών, καθηγητὴν καὶ διδάσκαλον καὶ ἀνακαινιστήν, εὐδοκίᾳ πατρὸς καὶ συνεργίᾳ τοῦ ἁγίου πνεύματος, εἰσηγήσατο. ὃ καὶ αἴτιον τοῖς φιλοθεάμοσιν ὁρᾶται τοῦ ἐπ' ἐσχάτων τῶν ἡμερῶν, καὶ μὴ ἐξ ἀρχῆς, εἰς σάρκα τὸν λόγον κενωθῆναι, ἀλλὰ πάσης σπουδῆς καὶ προνοίας ἡγησαμένης, εἶτα ταύτην οὐ προσδεχομένων τῶν προνοουμένων, οὕτω λοιπὸν καιροῖς ἐσχάτοις δι' αὐτοῦ τὴν ἡμῶν οὐσίαν ἀνασώσασθαι.

a. 20. ὅταν μὲν οὖν ς. 22. εἶναι τῷ θεῷ ς. 30. βιβλίου] libri β. 31. κεφαλαίου ς. 35. ἵνα] Ephes. 3, 10. b. 2. οὕτω] Io. 3, 16. 7. ἀναλαβεῖν A: λαβεῖν ς. 12. τὸ καταλ.] Luc. 15, 4. 16. ὅπερ A: ὅ τι περ ς. 19. οὖν add A. 28. προκαταλυθείσης ς.

Digitized by Google

Τούτοις ἀπορίαν συνάπτει ὡς ἐξ ἀνθυποφορᾶς προτεινομένην. ἀλλ' ἔδει, φασί, τὸν ἄνθρωπον ἀπ' ἀρχῆς καλόν τε καὶ ἀγαθὸν ὑφεστάναι, ἵνα μήτε πράγματα τοσαῦτα παρεῖχε, ῥέων τε συνεχῶς πρὸς τὰ χείρω καὶ 304 H. διὰ τοῦτο πολυτρόπου τε καὶ ποικίλης οἰκονομίας εἰς τὸ ἀνασωθῆναι δεόμενος, μήτε τὸ ἅπαξ κατ' εἰκόνα θεοῦ δημιουργηθὲν ἐνυβρίζοιτο. ἀλλ' ἡ μὲν ἀντίθεσις τοιαύτη· ἀκούσεσθαι δὲ ἄρα φησὶ τοὺς τοιούτους παρὰ τῆς ἀληθείας ὡς „αἰτεῖτε καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε." ἀλλὰ καὶ ἕτερον αὐτοῖς ἄτοπον ἕπεσθαι, τὸ μὴ τὴν πρόνοιαν καὶ τὴν κρίσιν τὴν θείαν στέργειν, αὐτοὺς δ' ἀπαιτεῖν τὸν πλάστην ταῖς ἐκείνων βουλαῖς τε καὶ γνώμαις τυποῦσθαί τε καὶ μεθαρμόζεσθαι, καὶ κατὰ τὰς ἐκείνων ψήφους, κἂν εἰς αὐγὰς οὔπω ἥκασιν ἡλίου, τὴν δημιουργίαν κατευθύνεσθαι. ἔτι δὲ ἅμα τε οἱ αὐτοὶ καλὸν καὶ φαῦλον δεῖν εἶναι τὸν ἄνθρωπον ἀποφαίνουσι. τὸ γὰρ καλὸν μὲν εἶναι ζητεῖν, ἀνάγκῃ δὲ [τὸ] τοιοῦτον εἶναι προσαπαιτεῖν, τό τε αὐτεξούσιόν ἐστιν ἀφελεῖν, καὶ μηδὲν ὧν πράττουσιν ἄνθρωποι μήτε γέρας εἶναι μήτε ἀντίδοσιν· τὸ γὰρ ἀκούσιον οὔτε ἔμμισθον οὔτε ὑπεύθυνον. ἀλλὰ ναί φησι, τί γὰρ ἐκώλυε, καθάπερ τοὺς ἀγγέλους, οὕτω καὶ τοὺς ἀνθρώπους ἐκτίσθαι; καὶ μὴν κἀπὶ τῶν ἀγγέλων ἡ γνώμη κρατεῖ, καὶ οὐδὲν κατ' ἀνάγκην αὐτοῖς πράττεται. καὶ μάρτυς ὁ ἐκπεσὼν Ἑωσφόρος, καὶ ὅσον αὐτῷ συναπέστη φῦλον δαιμόνιον. πῶς δὲ καὶ ἄμεινον κατ' ἀγγέλους προαχθῆναι, ὅπου τὸ μὲν ἁμαρτάνειν ἐν αὐτοῖς ἀμετανόητον καὶ διὰ τοῦτο πάσης συγγνώμης ἀλλότριον, τὸ δὲ ἡμέτερον γένος καὶ πίπτοντες διὰ μετανοίας πάλιν ἀνίστανται; ἔστι μέντοι γε μετὰ τὴν δεσποτικὴν ἐπιδημίαν καὶ ἐν ἀνθρώποις ἔργα μείζω καθορᾶν ἢ ὅσα πράττουσιν ἄγγελοι. ἰδὲ γὰρ ἐγὼ Παῦλος λέγω ὑμῖν, ὡς εἰ καὶ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζεται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. καὶ πάλιν ὁ μὲν ἀρχάγγελος Μιχαὴλ οὐκ ἐτόλμησεν ἐξενεγκεῖν βλάσφημον κρίσιν κατὰ τοῦ διαβόλου, ἡμεῖς δὲ τὴν ἐξουσίαν ἐλάβομεν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. καὶ ἀγγέλων μὲν οὐδεὶς οὐδένα, οὔτε αὐτὸς ἑαυτόν, θεὸν ἢ θεοῦ υἱὸν εἰπεῖν R. ἂν τολμήσειεν· τὸ δὲ ἡμέτερον γένος καὶ θεοὶ καὶ υἱοὶ ὑψίστου κεκλήμεθα. καὶ ὁ μὲν ἐν ἐκείνοις Ἑωσφόρος ὀνομαζόμενος, εἰπὼν ὅμοιος ἔσεσθαι τῷ ὑψίστῳ καὶ τὸν θρόνον ὑπεράνω θεῖναι τῶν οὐρανῶν, καὶ ὧν εἶχε καλῶν ἐκπεσὼν τὸν αἰῶνα γελᾶται καὶ κατακρίνεται· ἡμᾶς δὲ ὁμοίους εἶναι τοῦ πατρὸς καὶ συνθρόνους γενέσθαι τοῦ υἱοῦ αὐτοῦ ἡ τῆς ἀληθείας ψῆφος τὴν ἄδειαν ἔδωκε. καὶ τὸ μεῖζον „συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ·" καὶ „εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν·" καὶ „οἴδαμεν" πάλιν ἄλλος τῶν μαθητῶν διαμαρτύρεται „ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα." ὥστε τοῖς βουλομένοις ἔχειν καὶ τὴν ἀγγέλων τιμὴν ἤδη κεχάρισται.

Ἀλλ' ἁμαρτάνομεν, φησίν, εὐχερέστερον. ἀλλ' ὅσον συνεχῶς, τοσοῦτον θᾶττον, ἂν ἄρα θέλωμεν, ἀνιστάμεθα· μυρίας γὰρ ὁδοὺς τῆς μεταμελείας καὶ τῆς σωτηρίας ἡμῶν ὁ ὑπέρσοφος κηδεμὼν ἐχαρίσατο. ἀλλ' 305 H. ἐραστὴς σὺ τῆς πρὸς ἀγγέλους συγγενείας. καὶ μὴν ἠξίωσαι μείζονος· τοῦ γὰρ δεσπότου συγγενεῖς κατὰ σάρκα γεγόναμεν. ἔτι δὲ τὸ μὲν παρ' ἐκείνων ἁμάρτημα, κἂν ἔλαττόν ἐστι τῶν παρ' ἡμῖν, κολάσει καθυποβάλλεται μείζονι („δυνατοὶ γὰρ δυνατῶς ἐτασθήσονται")· ὃ δὲ ἐκείνοις ἐπάγει τὴν βαρυτάτην κόλασιν, οὐχ ὁμοίαν ἡμῖν ἐπὶ τοῖς ὁμοίοις τῆς ποινῆς ἐπάγει τὴν βαρύτητα. ἀλλὰ καὶ ἡμῖν μὲν θᾶττον ἀπαλείφεται, ἐκείνοις δὲ ἅπαξ ἐντακὲν διαμένει ἀνεξάλειπτον· καὶ ἡμῖν μὲν ἡ πρὸς τὸ σῶμα συνάφεια συγγνώμης αἰτίαν χαρίζεται, τοῖς δὲ ὅσῳ κρείττους δοκοῦσι τοῦ σώματος, ἐπὶ τοσοῦτον ἀπαραίτητος ἡ τιμωρία περιίσταται. διὸ καὶ τὸ ἐκλογῆς σκεῦος ἔλεγεν „ἀγγέλους κρινοῦμεν, μή τι γε βιωτικά," καὶ „οἱ ἅγιοι τὸν κόσμον κρινοῦσιν," οἷον σαρκὸς παχύτητι συνδεθέντες καὶ κατορθοῦντες τὰ κρείττονα τοὺς ἐλευθέρους μὲν τῆς σωματικῆς πέδης, μὴ τὰ ἴσα δὲ ἢ καὶ τὰ χείρω πράττοντας κατακρίνομέν τε καὶ ἐπιστομίζομεν, ἐλάττονι δυνάμει τῶν ἐχόντων τὴν μείζω μᾶλλον τὸ ἄμεινον κατορθώσαντες. ἀλλὰ καὶ ἡμῖν μὲν ὅλος ὁ βίος ἁμαρτάνουσιν εἰς διόρθωσίν τε καὶ μεταμέλειαν πρόκειται, ἀγγέλων δὲ τοὺς ἐξαμαρτόντας εὐθὺς ἡ τιμωρὸς ἔλαβε δίκη· „ζόφῳ" γάρ φησι „ταρταρώσας παρέδωκεν εἰς κρίσιν φυλαττομένους τηρεῖν." καὶ μυρίοις ἄλλοις ἥ τε πάνσοφος τοῦ θεοῦ περὶ ἡμᾶς γνωρίζεται πρόνοια, καὶ τῶν ἀγγέλους μᾶλλον βουλομένων

a. 8. ἀκούεσθαι libri. 9. αἰτεῖτε] Iacob. 4, 3. κακὰ ς. 10. ἄτοπον A: τόπον ς. 16. δεῖ ς. 32. εἰ καὶ] Gal. 1, 8. 34. ὁ μὲν ἀρχ.] Iud. 9. 35. τὴν ἐξουσίαν] Luc. 10, 19. 39. Θεοὶ] Ps. 81, 6. 40. ἑωσφ.] Isa. 14, 12. b. 2. ὑπεράνωθεν ς. 4. γίνεσθαι apographum Stephani. 6. συνήγειρε] Ephes. 2, 6. 7. εἰ ὑπομ.] 2 Tim. 2, 12. 8. οἴδαμεν] 1 Io. 3, 2. 14. γὰρ add A. 16. καὶ μὴν καὶ ἠξ. ς. 20. δυνατοὶ] Sap. 6, 7. 27. ἀπαραίτητον libri. 28. ἀγγέλ.] 1 Cor. 6, 3. 29. οἷον] οἱ A. 37. ζόφῳ] 2 Petr. 2, 4. 40. ἀγγέλους μ. βουλομένων mg ς: libri ἀγγέλων μ. βουλομένους.

ἡμᾶς ἤπερ ἀνθρώπους γεγενῆσθαι τὸ παράφορον καὶ ἐμμανὲς στηλιτεύεται. εἰ δὲ καὶ κατὰ τὴν ἀγγέλων φύσιν τὸν ἄνθρωπον ἔπλασεν, οὐδ᾽ οὕτως ἂν ἐπεχέθη τὸ φιλόμωμον, ἀλλὰ φύσιν πάλιν ἄλλην ἐπεζήτει τὴν ἀγγελικὴν νικῶσαν κατάστασιν. σὺ δέ μοι κἀκεῖνο σκόπει. κατ᾽ εἰκόνα θεοῦ πλασθεὶς ὁ Ἀδὰμ εἰ μὲν εἶχε τὸ ἰσάγγελον, οὐδὲ τῆς ἀγγέλων δόξης ἐστερήμεθα· εἰ δὲ βραχύ τι παρ᾽ ἀγγέλους γεγονὼς ὅμως ὑπερήρθη τὸν νοῦν καὶ οὐδ᾽ ὅπερ ἔλαβε διεσώσατο, πῶς ἄν, εἰ μειζόνων προνομίων ἔτυχεν, οὐχὶ μᾶλλον πρὸς τὸ χαλεπώτερον τῶν πτωμάτων κατενήνεκτο; μηδ᾽ ἐκεῖνο δὲ παρέλθῃς. ἡ ἐξ ἀνάγκης πρᾶξις οὐ τῶν λογικῶν ἐστί, τῆς δ᾽ ἀλόγου 593 R. τε καὶ ἀψύχου φύσεως· ὥστε ὁ τὸ αὐτεξούσιον λόγος ἀφαιρῶν ἀνθρώπους ἀνταλλάττεται τοῦ λογικοῦ ζώου τὸν ἵππον ἢ τὸν βοῦν ἢ τοὺς ἰχθῦς, ἢ ὅσα φυτῶν ἀνιχνεύει φύσιν. εἰ δ᾽ ὅτι τοιαῦτα οὕτος διανοεῖται, τοιοῦτον αὐτῷ τὸ τίμημα ὁρίζει, οὐκ ἄδικος μὲν εἰς κρίσιν (εὗρε γὰρ ἀξίαν τῷ πλημμελήματι τὴν ποινήν), αὐτὸς δὲ δι᾽ ἑαυτοῦ τὸ βδελυκτὸν τοῦ δοξάσματος ἐλέγχει. Τοιαῦτά τινα διεξελθὼν ὁ τῶν προκειμένων ὑποθέσεων ὑφηγητὴς εἰς ἔπαινον τοῦ αὐτεξουσίου τὸ ιε´ κεφάλαιον διαπεραίνει.

Τὸ δὲ ιϛ´ τῶν κεφαλαίων οὐ τῶν ἀγεννῶν ἐστὶ ζητημάτων· πολυπραγμονεῖ γὰρ διὰ τί ὁ ἄνθρωπος ἐκ δύο πολὺ τῇ φύσει διεστώτων συνέστη· καὶ λύσει μὲν ὑπάγειν τὸ ζήτημα πειρᾶται, ἐνδεέστερον δὲ τῆς ἀπορίας 306 H. φέρεται. καὶ πρῶτον μὲν πατρικὰ ὑποβάλλεται ῥήματα· δεύτερον δέ φησιν ὡς ἔδει τῷ λόγῳ διακοσμεῖσθαι τὸ περίγειον, ὥσπερ ταῖς οὐρανίοις δυνάμεσι τὰ οὐράνια, καὶ διὰ τοῦτο σύνθετον ζῶον ἐπὶ γῆς προῆλθεν ὁ ἄνθρωπος. ταῦτα δὴ καὶ ἕτερα τοιαῦτα συνυφηνάμενος ἀπαρτίζει τὸ κεφάλαιον.

Εἶτα ζητεῖ διὰ τί σαρκοῦται ὁ θεὸς λόγος· καὶ ἐπιλύεται τὸ ζήτημα καθ᾽ ἓν μέν, ἵνα, φησίν, ἡμῖν ὑπογραμμὸν ἀρετῆς καταλίπῃ, δι᾽ οὗ τοῖς ἴχνεσιν αὐτοῦ περιγίνεται ἡμῖν οὐκ ἐξ ἀνάγκης ἀλλ᾽ ἑκουσίως κατὰ μίμησιν περιπατῆσαι. ἔπειτα δὲ τὸ τοῦ θεολόγου Γρηγορίου τίθησι ῥητόν· „σάρκα γὰρ φορεῖ" φησὶ „διὰ τὴν ἐμὴν σάρκα, καὶ ψυχῇ νοερᾷ διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων". καὶ ἔτι, ἵνα τὸ λογικὸν ὑπὸ τοῦ ἀλόγου καταδουλωθὲν αὐτὸς λόγος ὢν ἐλευθερώσῃ ἀνακαλεσάμενος. ἐπὶ τούτοις δὲ καὶ ἐπεὶ ὁ Ἀδὰμ νικηθεὶς τὸ ἐν αὐτῷ θεοειδὲς τοῖς τῆς σαρκὸς μυρίοις κατέχωσε πάθεσι καὶ τοῖς ἐξ αὐτοῦ βλάβην διέδωκε, διὰ τοῦτο σαρκοῦται ὁ κύριος, καὶ τῷ πελάγει τῆς ἰδίας θεότητος τὴν τῆς ἡμετέρας φύσεως ὑποδέχεται σταγόνα, ὡς ἂν τὸ θνητὸν ὑπὸ τῆς ζωῆς καταποθῇ καὶ εἰς τὸ γένος ὅλον παραπέμψῃ τὸ δῶρον, καὶ ἵνα τὸ ἄφατον πέλαγος τῆς αὐτοῦ πρὸς ἡμᾶς φιλανθρωπίας ἐνδείξηται. καὶ ὅτι τὸν δημιουργὸν αὐτὸν ἔδει καὶ τοῦ οἰκείου πλάσματος διαῤῥυέντος γενέσθαι ἀνακαινιστήν. ἐπάγει δὲ ὡς καί τινα τῶν ἐπὶ τῆς τριάδος κοινῶς λεγομένων πολλάκις τὸ ἱερὸν γράμμα ὡς κατ᾽ ἐξαίρετον φέρουσιν ἐφ᾽ ἑνὸς τῶν σεβασμίων ὑποστάσεων. ταύτῃ τοι τὸ δημιουργικὸν καὶ ἐπὶ πατρὸς καὶ πνεύματος ἁγίου ὁμοτίμως ταττόμενον, ὅμως οἰκονομικῶς τῷ υἱῷ πάλιν ὡς ἐξαίρετον ἀφορίζεται. οὕτω καὶ τὴν σωτηρίαν ἡμῶν, ἣν ὁ λόγος εἰργάσατο, ἔστιν εὑρεῖν ἀναφερομένην εἰς τὸν πατέρα. „ἐλάλησε" γὰρ „ἡμῖν" φησὶν „ἐν υἱῷ", καὶ „ἵνα γνωρισθῇ νῦν ἡ πολυποίκιλος τοῦ θεοῦ σοφία, ἣν ἐποίησεν ἐν τῷ Χριστῷ", καὶ „αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς", ποίημα καὶ κτίσμα δηλονότι τὴν ἀνάπλασιν τῆς ἀποστολικῆς φωνῆς καλούσης. καὶ πάλιν „γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ κατὰ τὴν εὐδοκίαν αὐτοῦ, ἣν προέθετο ἐν αὐτῷ ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ", καὶ μυρία ἄλλα. εἰ 596 R. γὰρ καὶ δι᾽ υἱοῦ τὰ πάντα γενέσθαι πιστεύομεν, ἀλλ᾽ οὖν ἀνάγκη καὶ τὸν πατέρα δημιουργὸν ὁμολογεῖν διὰ τὸ ταὐτὸν τῆς τε βουλῆς καὶ ἐνεργείας καὶ δυνάμεως, ὡσαύτως δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον. καὶ μάλιστά γε τὸ ἀπολαύειν τοὺς ἀναπλασθέντας τοῦ ἁγιασμοῦ, καὶ διαμένειν ἐν τῇ ἀναπλάσει, τῆς τοῦ παναγίου πνεύματός ἐστι δημιουργίας τε καὶ συνοχῆς. „καὶ τῷ πνεύματι" δὲ τῶν παραχθέντων, φησὶν ὁ Δαβίδ, „πᾶσα ἡ δύναμις αὐτῶν". καὶ δῆλον ὡς δι᾽ ὧν μὲν ὁ προφήτης λέγει „τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν" ποιητὴν τὸν λόγον ὑμνεῖ (στερέωσιν γὰρ τὴν πρώτην πῆξιν καὶ γέ- 307 H. νεσιν καλεῖ), τελειωτικὸν δὲ καὶ δυναμοποιὸν τὸ πνεῦμα δι᾽ ὧν ἐπήγαγε „καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν". καὶ ἡ γρήγορος δὲ καὶ θεία γλῶσσά φησι „πρῶτον ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις, καὶ τὸ ἐννόημα ἔργον ἦν λόγῳ συμπληρούμενον καὶ πνεύματι τελειούμενον" καὶ μυρία ἄλλα.

a. 25. συνέστη A: συνετέθη ς. 34. ὑπογραμμὸν] 1 Petr. 2, 21. b. 17. ἐλάλ.] Hebr. 1, 2. 18. ἐν τῷ υἱῷ ς. ἵνα] Ephes. 3, 10. 20. αὐτοῦ] Ephes. 2, 10. 23. γνωρ.] Ephes. 1, 9. 27. ὁμολ. καὶ διὰ ς. 32. καὶ τῷ] Ps. 32, 6.

Digitized by Google

ὠφελίμως δὲ καὶ παιδαγωγίας καὶ εἰσαγωγῆς οἰκείως τὸ τῆς θεογνωσίας προελήλυθε κήρυγμα. καὶ γὰρ διὰ μὲν τῆς παλαιᾶς ὡς προκαταρκτικὸν τῶν ὅλων αἴτιον ὁ πατὴρ πρώτως κηρύττεται, καὶ δευτέρως δὲ ὁ υἱὸς ὡς δημιουργικὸν αἴτιον ἐμφανίζεται, καὶ τρίτως ὡς τελειωτικὸν τὸ πνεῦμα τὸ ἅγιον. τὰ τελειωτικὰ γὰρ τῷ τέλει φερωνύμως ἀναφαίνεται τῇ προκοπῇ καὶ αὐξήσει τῶν τε πραγμάτων καὶ τῶν χρόνων, οἷα στέφανος ἀναῤῥήσεως ἐπὶ τοῖς ἀθλητικοῖς ἱδρῶσι κατὰ τὸ τέλος ἐναρμοζόμενος. διὸ καὶ τὸν ἄνθρωπον πλάσας ὁ θεὸς πρῶτον, εἶτα τελειῶν ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνεῦμα ζωῆς. Ταῦτα καὶ τοιαῦτα ἕτερα περὶ τοῦ ὅτι τὸ πανάγιον πνεῦμα τελειωτικόν ἐστι διηγωνισμένος ὁ φιλόπονος οὗτος ἀνήρ, διὰ τοῦτο, φησίν, οἱ φωτιζόμενοι ἑπτὰ ἡμέρας λαμπροφοροῦσι, διότι καὶ ἡ παλαιά, σκιᾶς ἐπέχουσα πρὸς τὸ βάπτισμα τύπον, τοῦτο ἐφύλαττε· „καὶ φάγεσθε" γάρ φησι „τοὺς ἄρτους τοὺς ἐν τῷ κανῷ τῆς τελειώσεως, καὶ ἀπὸ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου οὐκ ἐξελεύσεσθε ἑπτὰ ἡμέρας." καὶ οὐ τὸν ἀριθμὸν τῶν ἡμερῶν ἡ παλαιὰ μόνον προϋπέγραφεν, ἀλλὰ καὶ τὴν ἄλλην ἀκολουθίαν. καὶ γὰρ ἐνταῦθα πρῶτον μὲν βαπτιζόμεθα, εἶτα τῷ μύρῳ χριόμεθα, ἐκεῖθεν τοῦ τιμίου ἀξιούμεθα αἵματος. οὕτω δὴ καὶ Μωσῆς σκιογραφῶν ταῦτα λούει πρῶτον τοὺς τελειουμένους τῷ ὕδατι, εἶτα ἐνδιδύσκει καὶ περιζωννύει, εἶθ' οὕτως ἐπιφέρει τὴν τοῦ ἐλαίου χρίσιν, καὶ οὕτω ῥαίνει τῷ αἵματι καὶ πρὸς τὴν τῶν ἄρτων ἄγει μετάληψιν. διὸ καὶ ὁ θεῖος Λουκᾶς ἐν τῷ εὐαγγελίῳ πρῶτόν φησιν εὐλογεῖσθαι τοῦ δεσποτικοῦ αἵματος τὸ ποτήριον καὶ τοὺς πιστοὺς μετέχειν, καὶ οὕτω μεταλαμβάνειν τοῦ ἄρτου. ὁ μέντοι θεῖος ἀπόστολος τὴν εὐλογίαν τοῦ ποτηρίου ποτὲ μὲν προτάττει, ποτὲ δὲ τοῦ δεσποτικοῦ σώματος ὑποτάττει. καὶ γάρ φησι „τὸ ποτήριον ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστιν;" εἶτα „τὸν ἄρτον ὃν κλῶμεν·" καὶ πάλιν „οὐ δύνασθε ποτήριον κυρίου πίνειν καὶ ποτήριον δαιμονίων, καὶ οὐ δύνασθε τραπέζης κυρίου μετέχειν." ἀλλαχοῦ δέ φησι „τῇ νυκτὶ ᾗ παρεδίδοτο" περὶ τοῦ δεσπότου λέγων „ἔλαβε τὸν ἄρτον", εἶτα ἑξῆς καὶ περὶ τοῦ ποτηρίου διαλαμβάνει. Περὶ τοίνυν τούτων διαλαβὼν πειρᾶται αἰτίαν ἀποδιδόναι τῆς εἰρημένης διαφόρου τάξεως· καί φησιν ὡς ἐπειδὴ ἐν ἡμῖν πρῶτον τὸ αἷμα συνίσταται, εἶτα μεταβάλλεται εἰς σάρκα, φυσικῶς ἡ γραφὴ κινουμένη τὴν τάξιν ταύτην καὶ κατὰ τὴν τῶν μυστηρίων διήγησιν 308 H. ἐφύλαξεν. ἡ δὲ ἀνάπαλιν τάξις τῆς κοινῆς τραπέζης μιμεῖται τὴν τάξιν· πρῶτον γὰρ ἐπ' αὐτῆς ὁ ἄρτος προτίθεται, εἶτα ὁ οἶνος ἐπιφέρεται. τὴν δὲ κοινὴν ταύτην τράπεζαν μιμεῖσθαι πάλιν τὴν πλάσιν ἡμῶν· ἐπειδὴ γάρ, ὡς δοκεῖ τῷ Ἰώβ, ἐκ πηλοῦ διεπλάσθημεν, ὁ δὲ πηλὸς ἐκ γῆς ἐστι καὶ ὕδατος, πλάσις δέ ἐστι τρόπον τινὰ καὶ ἡ τροφή, ἀναπληροῦσα καὶ ἀναπλάττουσα τὸ ἀποῤῥέον, διὰ τοῦτο ὥσπερ ἐν τῇ παρὰ θεοῦ πλάσει τὸ ξηρὸν προείληπται τοῦ ὑγροῦ, οὕτω καὶ ἐν τῇ μιμήσει τῆς παρ' ἡμῖν πλάσεως ὁ ἄρτος τοῦ οἴνου προλαμβάνεται. καὶ αὐτὸς μὲν τοιαῦτά τινα περὶ τῆς τάξεως φυσιολογεῖ, εἰ καὶ θειοτέρας θεωρίας ταπεινότερον.

Τὸ μέντοι λαμπροφορεῖν, φησί, τοὺς βαπτιζομένους τῆς τῶν ἀγγέλων ἐστὶ σύμβολον λαμπρότητος, τὸ καθαρὸν ἐκείνοις τοῦ νοῦ καὶ ἀμιγὲς τῆς ὕλης καὶ τῶν παθῶν διατυπούσης· ὧν χρὴ καὶ τὸν φωτισθέντα ἐν μεθέξει τῆς χάριτος γεγονότα, ἐν τοῖς τῆς λαμπρότητος χαρίσμασι συντηρεῖν ἑαυτόν. ἀλλ' ἐν τούτοις μὲν αὐτῷ καὶ τὸ ιη' κεφάλαιον εἰς πέρας ἤχθη.

Ἐννεακαιδέκατον δὲ κεφάλαιον πραγματεύεται αἰτίας διερχόμενον, δι' ἃς τῆς κοσμογενείας ὁ Μωσῆς οὐκ ἐξ ἀγγέλων ἤρξατο. καί φησιν ὅτι Μωσῆς νομοθετεῖν μέλλων ἀνθρώποις, καὶ ἀγαθῶν μὲν ἐπαγγελίαν τοῖς κατορθοῦσιν ἀπειλὰς δὲ καὶ τιμωρίαν παρὰ θεοῦ τοῖς ἐξαμαρτάνουσιν ἐπανατεινόμενος, εἰκότως, ὡς ἐν ἱστορίας τρόπῳ, καὶ τὴν δημιουργίαν ἐκείνων πάντων εἰσάγει, ὧν ἡ χρεία πρός τε εὐεργεσίαν καὶ ἀπειλὴν τῶν νουθετουμένων συντελεῖ· „ἔσται" γάρ φησιν „ὁ οὐρανὸς χαλκοῦς καὶ ἡ γῆ σιδηρᾶ," καὶ ὅσα ἄλλα διὰ τῶν κτισμάτων τοιαῦτα ἢ πρὸς ἀπόλαυσιν τῶν κατορθούντων ἢ πρὸς κόλασιν τῶν ἁμαρτανόντων ἀναγέγραπται. ἐπεὶ οὖν σκοπὸς ἦν τῷ νομοθέτῃ καὶ τῷ ἀνθρωπίνῳ γένει σωτηριώδεις νόμους εἰσαγαγεῖν, καὶ τῶν νομοθετηθέντων ἀσφάλειαν διά τε τῆς τῶν χαλεπῶν ἀπειλῆς καὶ τῆς τῶν βελτιόνων ὑποσχέσεως περιποιήσασθαι, ἑκάτερον δὲ τούτων ἐκ τῶν κτισμάτων παραλαμβάνειν, διὰ τοῦτο ὅσα μὲν συνετέλει πρὸς τὸν αὐτοῦ σκοπόν, τούτων καὶ ἱστορίαν τῆς γενέσεως ἀνετάξατο, ὅσα δὲ τέως οὐ κατήπειγεν, ὑπερτίθεται.

a. 8. τε add *A*. 11. τελειῶν *A*: τελεῖ ς. 14. οὗτος add *A*. 15. οἱ φωτιζόμενοι i. e. οἱ βαπτιζόμενοι. v. Suicer. 17. φάγεσθε] Levit. 8, 31. 18. καινῷ ς. 28. Λουκᾶς] 22, 17. 33. τὸ ποτ.] 1 Cor. 10, 16. 38. τῇ] 1 Cor. 11, 23. b. 7. Ἰώβ] 33, 6. 19. alterum τῆς add *A*. 30. νουθετουμένων *A*: νενουθετημένων ς. sed malim νομοθετουμένων, coll. p. 188 a 3. ἔσται] Deut. 28, 23. χαλκὸς *A*. 40. αὐτοῦ *A*: αὐτὸν ς.

δεύτερον διὰ τοῦ αἰσθητοῦ κόσμου ὡς δι' εἰκόνος ὁ Μωσῆς τὸν τεχνίτην αὐτοῦ ϗ δημιουργὸν ἐβούλετο τοῖς 509 H. νομοθετουμένοις ὑποδεικνύναι, ἅτε δὴ "παχυτέροις οὖσι τηνικαῦτα καὶ μόλις ἐκ τῶν αἰσθητῶν ϗ συντρόφων αὐτοῖς δυναμένοις κατανοεῖν τὸν δημιουργὸν ϗ τεχνίτην τῶν ὁρωμένων. τοῦτο δὲ ἀπὸ τῆς περὶ ἀγγέλων διηγήσεως οὐκ ἐνῆν κατορθοῦν· ἐξ ἀδήλων γὰρ ϗ οὐκ ἐκ τῶν φαινομένων τοῦ ἀδήλου τὴν γνῶσιν παρέχειν ἀσύμφορόν τε καὶ λίαν ἀσθενές. ἄλλως δὲ ϗ θεὸν μέν, εἰ ϗ μὴ ὀρθῶς, ἀλλ' οὖν ἀμηγέπῃ τὸ Ἰουδαίων ἔθνος καὶ πρὸ 600 R. τῆς νομοθεσίας ἐδόξαζεν, "ἀγγέλων δὲ οὐδὲ προσηγορίαν ἠπίστατο χωρὶς ἑνὸς ἢ ϗ δευτέρου, οἷς ἡ τοῦ πνεύματος ἀπεκάλυψε χάρις. μαρτυρεῖ δὲ τὸ λεγόμενον, ὅτι ϗ μέχρι νῦν τὸ Σαδδουκαίων ἔθνος θεὸν μὲν εἶναι ϗ δημιουργὸν ὁμολογεῖ, ἀγγέλους δὲ μηδαμῶς ὑπάρχειν ἀπαυθαδίζεται. ἡ δὲ τῶν ἀγγέλων φύσις καὶ κλῆσις κατ' ἀρχὰς ἀγνοουμένη ἐκεῖθεν εἰς γνῶσιν κατέστη, ἀφ' οὗ τὸ θεοσεβὲς τοῦ Ἀβραὰμ ἐγνωρίσθη· ἐντεῦθεν αὐξομένη κατὰ προκοπὴν εἰς πᾶν τὸ τῶν εὐσεβῶν διεδόθη γένος· πλήν γε ϗ ὁ Μωσῆς ἐπὶ τέλει τῆς καθ' αὐτὸν ἱστορίας, τούτους τῇ ἄλλῃ συνταττόμενος κτίσει, „εὐφράνθητε οὐρανοί" φησὶ „καὶ προσκυνησάτωσαν αὐτὸν πάντες ἄγγελοι θεοῦ."

τρίτον ἐκεῖνό φησιν. εἰ τῶν ἀοράτων τὰ ὁρατὰ ἐγγυτέρω τε ἡμῶν καὶ πρὸς γνῶσιν ἐπιτηδειότερα, εὐλόγως τῶν αἰσθητῶν παραδιδοὺς τὴν γένεσιν ὁ Μωσῆς τὰ μείζω τέως τοῖς εἰσαγομένοις (διὰ τὸ δυσέφικτον ϗ πολλῆς παιδαγωγίας δεόμενον παρατρέχει. κἀκεῖνο δέ μοι συνεπιθεώρει· μιᾶς δέονται τῆς διδασκαλίας τὰ αἰσθητά, ὅτι προήχθησαν ἐκ θεοῦ, τὰ δὲ νοητὰ διττὴν ἀπαιτεῖ, ὅτι τέ εἰσι καὶ ὡς ἡ τούτων οὐσίωσις ἐκ θεοῦ. ἔτι δὲ ἀγγέλων οὐκ ἐμνήσθη τῆς κοσμογενείας ἀπαρχόμενος, ἵνα μή τινες τῶν εὐριπίστων τε ϗ εὐμεταβόλων δι' ἀγγέλων τὸ πᾶν ὑποστῆναί τε καὶ δημιουργηθῆναι δοξάσωσιν. εἰ γὰρ ϗ μηδεμίαν ἀφορμὴν Μωσέως κατὰ τὴν συγγραφὴν παρασχόντος ὅμως Ἑβραίων τε οὐκ ὀλίγοι, καὶ οἷς φίλον ἡ ἐκείνων ἀπάτη, δι' ἀγγέλων τὸν κόσμον ϗ τὰ ἐν τῷ κόσμῳ δημιουργηθῆναι παραληροῦσιν, ἐπὶ πόσον ἂν οὐκ ἐπενεμήθη τὸ νόσημα, εἴ τι τοιοῦτον τῷ νομοθέτῃ ἀνεγέγραπτο; ϗ ὅρα μοι τὴν τοῦ λόγου ἀκρίβειαν. ἀπὸ τοίνυν τῆς παραβάσεως Ἀδὰμ μέχρι τῆς Νῶε γενεᾶς ἀγγέλων φύσις εἰς ἀνθρώπων γνῶσιν οὐκ ἀφίκετο· περίοδος δ' ἂν εἴη αὕτη τοῦ χρόνου πρώτη. οὐ μὴν οὐδὲ κατὰ τὴν δευτέραν περίοδον, ἥτις εἰς τὴν πυργοποιίας ἀπολήγει τόλμαν. ἀλλ' οὐδ' ἡ τρίτη τοῦ χρόνου περίοδος τῇ τῶν ἀγγέλων ἔχει γνώσει σεμνύνεσθαι, ἥτις μέχρι τῆς τοῦ Ἀβραὰμ θεογνωσίας, ὡς δῆλον, παρατείνεται. ἐπεὶ δὲ τῷ Ἀβραὰμ αἱ συνθῆκαι τὴν δεσποτικὴν ἐπιδημίαν οἱονεὶ θεμελιοῦσαί τε καὶ προδιοικονομοῦσαι γεγόνασι, ϗ ἤρξατο μᾶλλον τὸ ἀνθρώπινον τῷ φωτὶ τῆς ἀληθείας τοὺς τῆς διανοίας "ὀφθαλμοὺς ἐναυγάζεσθαι καὶ τὸ παλίρρουν τῆς γνώμης 510 εἰς στάσιμον εὐσεβείας πίστιν διαπήγνυσθαι, τότε δή, τότε τῶν ἀγγέλων ἕνα διοικονομεῖται τῇ παιδίσκῃ τοῦ Ἀβραὰμ Ἄγαρ διακονεῖν ϗ τὸ ἐν αὐτῇ καταπραΰνειν διηπορημένον τε καὶ ἄθυμον, μόνον οὐχὶ φωνὴν ἀφιείσης τῆς ἱστορίας ὡς πολὺ μὲν ἐστι τὸ μέσον διακονίας καὶ δημιουργίας καὶ δημιουργοῦ καὶ ὑπηρετούντων· τὸ μὲν γὰρ κυριότητος ϗ δεσποτείας, τὸ δὲ ὑπακοῆς ϗ δουλείας. διὸ καὶ Παῦλος, εἴ τις ἄλλος νομομαθὴς ὤν, „οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα" διακέκραγεν „εἰς διακονίαν ἀποστελλόμενα;" διὰ ταύτην μὲν οὖν τὴν αἰτίαν, ὡς ἔφθην εἰπών, ἀγγέλων κατ' ἀρχὰς ἡ ἱστορία γένεσιν οὐκ ἀναγράφει. Καὶ ταῦτα εἰπὼν ὁ συγγραφεύς, ϗ ἕτερα συνάψας τούτοις οὐκ ἔμοιγε δοκοῦντα τὸ ἀναγκαῖον πρὸς τὴν ὑπόθεσιν φέρειν προβάλλεσθαι, τὸν γ' ἀποπερατοῖ λόγον.

"Ὁ δὲ δ' αὐτῷ ϗ ε' τοῦ βιβλίου λόγος, ἐν δυσὶ κεφα- 601 λαίοις περιγραφόμενος, οὐδὲν ἕτερον διαλαμβάνει ἢ ὅτι τῶν πρεπωδεστάτων ἦν τὴν ἀπαράλλακτον ϗ φυσικὴν εἰκόνα τοῦ πατρὸς ἡμᾶς τοὺς κατ' εἰκόνα μὲν γεγονότας, τὸν δὲ χαρακτῆρα κιβδηλεύσαντας, ταύτην ἡμᾶς ἀποκαθᾶραί τε τῶν κηλιδωμάτων ϗ εἰς τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι καὶ ὡς ἔδει τὴν ἀληθῆ ϗ ἐνυπόστατον τοῦ θεοῦ σοφίαν τοὺς εἰς ἀλογίαν παρατραπέντας καὶ πρὸς τὸν κτηνώδη βίον ἀπονεύσαντας ἀπαλλάξαι τε τῆς ἀλογίας ϗ πρὸς τὸ νοερὸν ἐπαναγαγεῖν ἀξίωμα.

Ὁ δὲ ϛ' αὐτῷ λόγος κεφάλαιον προβάλλεται πρῶτον, διὰ τί δημιουργὸς ὁ υἱὸς λέγεται τῆς τε πρώτης ἡμῶν ὑποστάσεως ϗ τῆς ἐπὶ τέλει τῶν αἰώνων ἀναπλάσεως, εἶτα ϗ κριτὴς ἁπάντων ἐν τῷ καιρῷ τῆς κοινῆς ἀναστάσεως. ἐχομένων γὰρ τῶν τριῶν τούτων καταστάσεων ἀλλήλοις καὶ πρὸς τὸν αὐτὸν δεσπότην καὶ τεχνίτην

a. 7. τῶν add A. 10. οὖν] libri οὐκ. 14. τὸ Σαδδ.] Act. 23, 8. 20. ὁ Μωσῆς] Deut. 32, 42. 23. αὐτῷ ς. 25. τε ἡμῶν A: πρὸς ἡμᾶς ς. 32. κοσμογονίας ς. 36. παρατυχόντος ς.
b. 8. διοικονομοῦσαι ς. 12. ἵνα δὴ οἰκονομεῖται A. 16. ὑπηρετούντων A: δημιουργούντων ς. 18. οὐχὶ] Hebr. 1, 14. 26. βιβλίου] β libri. 40. καινῆς ς.

Digitized by Google

ἀναφερομένων, καὶ ἡ περὶ αὐτῶν ἀλληλουχεῖται καὶ συνυφαίνεται ζήτησίς τε καὶ ἐπίλυσις. ἐπεὶ γὰρ ἔκτισε, δικαίως καὶ διαλυθέντας ἀνακτίζει· καὶ ἐπεὶ τοῦτο, ἀκολούθως τῷ οἰκείῳ πλάσματι καὶ νομοθετεῖ· νομοθετῶν δὲ δῆλον ὅτι καὶ τὴν κρίσιν τοῖς τε νομοφυλακοῦσι καὶ τοῖς τὸ παράνομον προελομένοις αὐτὸς ἀδέκαστον τὸ προνόμιον ἔχει διανέμειν. προηγουμένης οὖν τῆς ζητήσεως, διὰ τί μηδεμιᾶς οὔσης ἐν τῇ τριάδι διαφορᾶς, καθ᾽ ὑπεροχὴν λέγω καὶ ἔλλειψιν, ὁ υἱὸς μᾶλλον δημιουργός τε καὶ πλάστης ἀνακηρύττεται, καὶ ταύτης τὴν λύσιν ἤδη λαμβανούσης, φανερὸν ὡς καὶ τὰ ἐφεξῆς τῶν ζητημάτων συνδιαλύεται. φησὶν οὖν ὡς καλῶς καὶ εὐλόγως ἡ δημιουργία τοῦ παντὸς κατ᾽ ἐξαίρετον τῷ υἱῷ ἀναφέρεται. καὶ γὰρ τοῦ λόγου μετὰ σαρκὸς ἐπιδημήσαντος αἱ μείζους καὶ πλείους περὶ τὴν δημιουργίαν αἱρέσεις προσέκοψαν, καὶ οἱ μὲν τὸν ἕνα καὶ ὡς ἀληθῶς δημιουργὸν
511 H. ἀγνοήσαντες "εἰς πολλὰς αἰτίας τὴν τῶν ὄντων ἀνῆψαν ὑπόστασιν, ἔνιοι δ᾽ οὖν οὐκ εἰς πλῆθος μόνον θεῶν ἐξεχύθησαν, ἀλλὰ καὶ τῷ ἀγαθῷ πονηρὸν ἀντανιστῶντες τὴν τῶν ὅλων ἀμέριστον ἐπιστασίαν εἰς ἀντικειμένας προνοίας διέσχισαν. τινὲς δὲ καὶ τῆς ἀμεροῦς καὶ διὰ πάντων τὸ ἴσον ἐχούσης θεότητος μεριστὰς πικροὺς καὶ ἀδίκους σφᾶς αὐτοὺς προκαθίσαντες, ὅλον τὸ θεοπρεπὲς τῷ πατρὶ περικλείσαντες, τὸν υἱὸν καὶ τὸ πνεῦμα τῆς συμφυΐας ἀπώσαντο, προφάσεως (ὡς ἐνόμιζεν αὐτῶν τὸ ἀσύνετον) περιδρασσόμενοι ὅτι δή που θεὸν ἕνα, ὃν καὶ πατέρα ὑμνεῖ, τὰ παλαιὰ νόμιμα ἀνακηρύττουσι, καὶ τόλμης ἐστὶν ἀγούσης εἰς παρανομίαν θεὸν τὸν υἱὸν ἢ τὸ πνεῦμα συνομολογεῖν. τούτων δ᾽ ἂν εἶεν ἄγνοιαν μὲν τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ἐκνοσήσαντες, ὅσοις τὸ Ἰουδαϊκόν τε καὶ Ἑλληνικὸν ἐνετάκη φρόνημα, οἱ δὲ γνῶσιν μὲν ἐπισφαλῆ δὲ κτησάμενοι, ὥσπερ Ἄρειος καὶ οἱ κατὰ Μακεδόνιον, οὓς συνηρίθμουν ἀθέως τῇ κτίσει τὸν κτίσαντα. ὅρα οὖν, τῆς τοιαύτης πλάνης οὕτως ἐπιπολάζειν κατισχυούσης, εἰ καὶ τὸ τῆς δημιουργίας τῶν ὅλων ἀξίωμα ἀφωρισμένως προσανετέθη τῷ πατρί, εἶτα καὶ ἡ ἀνάπλασις καὶ ἡ κρίσις, ποία μανίας οὐκ ἂν διεπλάττετο τοῖς ἀσεβέσι πρόφα-
MB. σις "εἰς τὸ τὸν μὲν υἱὸν καὶ τὸ πνεῦμα ἢ μηδ᾽ ὅλως ἐφεστάναι, ἢ καὶ ὑφεστῶτα εἰς τὴν τῶν κτισμάτων χώραν ἀπελαύνειν καταθρασύνεσθαι; διὰ τοῦτο οὖν ὁ πατὴρ τῷ υἱῷ οἰκονομικῶς ὑπεξίσταται τῆς τε κατ᾽ ἀρχὰς δημιουργίας καὶ τῆς ἀναπλάσεως, εἶτα καὶ τῆς κρίσεως.

οὐ μὴν ἀλλ᾽ οὐδ᾽ εἰ τῶν εἰρημένων μέν τινος ὁ πατὴρ ὑπεξέστη τῷ υἱῷ, μὴ πάντων δὲ τῶν εἰρημένων, οὐδὲ τοῦτο ἂν ἦν τῆς πάντα σοφῶς οἰκονομούσης προνοίας· ὅπου γε μηδὲ τοιαύτης ὅλως ὑποφαινομένης ἀφορμῆς πολλοὶ τῶν ἀσεβῶν τὰς δύο διαθήκας ἐναντίοις νομοθέταις διενείμαντο. ὥστε ἐναρμονίῳ τε καὶ θεοπρεπεῖ λόγῳ καὶ οἰκονομίᾳ πεπληρωμένῃ σοφίας τῷ υἱῷ καὶ ἡ πλάσις καὶ ἡ ἀνάπλασις καὶ ἡ κρίσις, κἂν τῶν τριῶν ὑποστάσεων εἴη ταῦτα κοινά, κατ᾽ ἐξαίρετον ἀναφέρεται. Οὕτω μὲν οὖν τὴν προκειμένην ἀπορίαν ὁ φιλόθεος συγγραφεὺς ἐπιλύεται, συνυποβάλλων καὶ ἕτερά τινα οὐχ ὁμοίως τοῖς εἰρημένοις τὸ χρήσιμον παρεχόμενα.

Μεταξὺ δὲ τοῦ προκειμένου ζητήματος καὶ ἕτερόν τι αὐτῷ ἄξιον ἐξετάσεως συνδιαπλέκεται. ζητεῖ γὰρ διὰ τί προτέτακται ὁ πατὴρ τοῦ υἱοῦ, εἶτα τὸ πνεῦμα τρίτον συντάττεται. καί φησιν ὡς ἡ θεία φύσις ἄρρητος οὖσα καὶ ἀκατάληπτος δῆλον ὡς οὔτε λογισμῷ τινὶ οὔτε ῥήματι αὐτὸ τοῦτο ὅπερ ἐστὶν ἐκκαλύπτεται ἢ ὀνομάζεται, οἷς δ᾽ ἂν καὶ πρὸς ἐμφάνειαν δι᾽ οἰκονομίαν ἄφατον καταστῇ, οὐχ ὡς ἔστιν, ἀλλ᾽ ὡς ἑκάστῳ τῶν ἐμφανιζομένων δυνατόν τε καὶ συμφέρον, οὕτως αὐτῆς τοῦ κάλλους τὰς μαρμαρυγὰς ἐνίησί τε τοῖς εἰς αὐτὴν ἀτενίζουσι καὶ παραπολαύειν παρέχεται. διὸ βαθύτερόν τε καὶ θεολογικώτερον φάναι, κἂν τριάδα, "κἂν μο- 512 H.
νάδα, κἂν πατέρα καὶ υἱὸν καὶ πνεῦμα, κἂν θεότητα, κἂν ἕτερόν τι τὴν ἄληπτον ἐκείνην καὶ ἄφατον ἐννοήσωμεν ἢ ὀνομάσωμεν φύσιν, οὐχὶ ταῦτα ἀλλ᾽ ὑπὲρ ταῦτά ἐστι. διὸ καὶ ὁ τῶν ἀποῤῥήτων μυσταγωγὸς „ἐκ μέρους" βοᾷ „γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν· ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται." καὶ ὁ γνήσιος δὲ τούτου μαθητής, ὁ σοφὸς Διονύσιος, τὰ αὐτὰ καὶ τοῖς αὐτοῖς μικροῦ διαμαρτύρεται ῥήμασι, καὶ μάλιστά γε ἐν τοῖς περὶ τελείου καὶ ἑνός. οὐκοῦν ἐπεὶ τὰ πλεῖστα τῶν περὶ θεοῦ οὐχ ὅπερ ἐστὶ παραδηλοῖ, χειραγωγία δὲ μᾶλλον τίς ἐστι καὶ συγκατάβασις, διὰ τῶν συντρόφων ἡμῖν καὶ πραγμάτων καὶ ὀνομάτων τὸν νοῦν ἡμῶν πρὸς τὰ ὑπὲρ ἡμᾶς ἀναφέρουσα, δῆλον ὅτι τοιοῦτόν ἐστι καὶ τὸ προτετάχθαι τὸν πατέρα κατὰ τὴν ἐκφώνησιν, εἶτα τὸν υἱὸν καὶ μετ᾽ ἐκεῖνον τὸ πνεῦμα τὸ ἅγιον, ὥς που καὶ αὐτὸς ὁ δεσπότης παιδαγωγῶν ἡμᾶς πρὸς τοὺς μαθητάς φησι „πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτί-

a. 1. αὐτὸν ς.] 4. νομοθετῶν A: νομοθετεῖ ς. 15. προέκοψαν A. 31. ὅσοις A: ὅσας ς. b. 4. μηδὲ τῆς τοιαύτης ς. 8. κἂν A: καὶ ς. 11. συνυποβάλλων A: συνυποβάλλεται ς. 23. ταύτην ς. 29. ἐκ μ.] 1 Cor. 13, 9. 43. πορευθ.] Matth. 28, 19.

ζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος", ἐπεί γε αὐτὴ καθ᾽ ἑαυτὴν ἡ θεία φύσις οὔτε προτέτακται οὔτε ὑποτέτακται, ἀλλὰ καὶ πάσης ὑπερίδρυται καὶ ἀριθμήσεως καὶ μοναδικῆς ἐπινοήσεως, εἴπερ καὶ ὁ ἀριθμὸς καὶ ἡ μονὰς περὶ οὐσίαν, τὸ δὲ θεῖον ὑπερούσιον. ὥσπερ οὖν τὸ θεῖον τὰ ἐν χρόνῳ πάντα ἀχρόνως ἐπίσταται καὶ ἀμερίστως τὰ με-
605 R. ριστὰ καὶ ἀρρεύστως τὰ ῥέοντα, οὕτω πᾶσα γεννητὴ φύσις καὶ τὸ ὑπέρχρονον ἐν χρόνῳ νοεῖ, καὶ μεμερισμένως τὸ ἀμέριστον, καὶ τὸ ἄφθεγκτον διὰ συντρόφου φωνῆς ὀνόμασι διαμεμορφωμένης καὶ ῥήμασιν.

Εἶτα ἐφεξῆς ἐξετάζει τίνος ἕνεκεν ὁ μὲν υἱὸς κατὰ τὴν ἐκφώνησιν μέσος παραλαμβάνεται, ἄκρα δὲ ὁ πατὴρ καὶ τὸ πνεῦμα τὸ ἅγιον. καί φησιν ὡς ἐπειδὴ δικαιοσύνης ζυγὸς λέγεται ὁ θεός, ἀναλόγως τῷ παρ᾽ ἡμῖν ζυγῷ καὶ ἡ ἐν τῇ θείᾳ φύσει τάξις ἐπινενόηται, ὥστε τὸν υἱὸν τὴν μέσην χώραν ἀναπληροῦντα τὴν ἄκραν ἰσότητα πρὸς τὰ ἄκρα συντηρεῖν· αὐτὸς γὰρ τήν τε κατ᾽ ἀρχὰς δημιουργίαν καὶ τὴν ὕστερον τοῦ γένους ἀνάπλασιν ἀπειργάσατο. καὶ τὸ παράδειγμα δὲ τοῦ ζυγοῦ τὸ ἰσόρροπόν τε καὶ ἰσοδύναμον τῆς ἀπειροδυνάμου τριάδος αἰνίττεται, μηδεμιᾶς τῶν τριῶν ὑποστάσεων ἀναφερομένης τὸ πλέον ἢ πρὸς τὴν κάτω ῥοπὴν ἀποκλινούσης, ἀλλ᾽ ἐν τῷ ἴσῳ τε καὶ ὁμοτίμῳ καὶ ἀδιαφόρῳ τῆς δόξης καὶ τῆς οὐσίας ζυγοστατουμένης τε καὶ θεολογουμένης· ἐξ οὗ καὶ ἐν τοῖς γεννητοῖς ἡ ἰσότης δίδοται καὶ τὸ δίκαιον ταλαντεύεται. Τοιαῦτα μὲν οὖν αὐτῷ κατά τε τὸ κβʹ κεφάλαιον τοῦ ϛʹ βιβλίου καὶ τὸ γʹ καὶ κʹ συνυφαίνεται.

Μετὰ τοῦτο δέ φησιν ἀναλογίαν τινὰ διασώζειν τὴν ἐν ταῖς πτέρυξι τῶν Σεραφὶμ θεωρουμένην διπλῆν τριάδα, καὶ τὸ μὲν μέσον ἀναλογεῖν τῷ πατρί, τὰ δ᾽ ἄκρα τῷ υἱῷ καὶ τῷ πνεύματι· καὶ τὴν τριαδικὴν τῆς ἁγιότητος ἐκφώνησιν ἀπαράλλακτον οὖσαν πάντῃ πρὸς ἑαυτὴν τὸ ἀπαράλλακτον κατ᾽ οὐσίαν καὶ δύναμιν καὶ
313 H. ἐξουσίαν τῶν τριῶν αἰνιγματίζειν ὑποστάσεων. καὶ ἐπισφραγίζειν δὲ καὶ ἐπισυνάπτειν τὸ ὁμοούσιον καὶ ἑνιαῖον τῶν τριῶν τὴν ἐπαγωγὴν καὶ ἐπιφορὰν τοῦ ἑνὸς κύριος. δηλοῦν δὲ καὶ τῶν πτερῶν τὴν διπλόην πᾶσαν τὴν εἰς ἡμᾶς δι᾽ αὐτῶν κατιοῦσαν γνῶσιν, εἰ καὶ διὰ τῶν ἀΰλων διακονεῖται πνευμάτων, οὐχ ἁπλῆν ἀλλ᾽ ὑλικὴν κατιέναι, ἐκ τῶν καθ᾽ ἡμᾶς τύπων τε καὶ σχημάτων τοῖς συνθέτοις σύνθετον ἁρμοζομένην· διπλοῦν δὲ τὸ ὑλικὸν ἅπαν, ἐξ ὕλης συγκείμενον καὶ εἴδους. ἔτι δὲ καὶ τὰς νοερὰς δυνάμεις ἐξ ἁγιασμοῦ καὶ οὐσίας, ὃ τὸ διττὸν αἰνίττεται τῶν πτερύγων, συγκεῖσθαί φασι· δῆλον δὲ ὡς καὶ ἡ τούτων γνῶσις τῆς ὁλοτελοῦς καὶ ὑπὲρ ἁπλότητα γνώσεως, ἥ τις μόνῃ τῇ δημιουργικῇ τριάδι ἀφώρισται, ἐλαττουμένη καὶ τὸ ἀτελὲς ἔχουσα οὐκ εἴη πάσης διπλόης τὸ ἐλεύθερον ἔχουσα. παραδηλοῦν δὲ καὶ αὐτὴν τὴν ἅγιος φωνήν, ἄνευ συνθήκης προαγομένην καὶ μηδὲ μεσολαβοῦντος ἑτέρου προσρήματος, τὸ ἁπλοῦν καὶ ἀσύνθετον καὶ ἐξῃρημένον καὶ ἀβέβηλον τῆς θείας φύσεως πρὸς πᾶσαν ἄλλην φύσιν τε καὶ ὑπόστασιν. τοῦτο δὲ τὸ ἅγιος τῶν ἁγίων αἰνίττεσθαι τὸ ὑπεριδρυμένον καὶ ἀσύγκριτον πρὸς πᾶσαν ἄλλην ὀνομαζομένην ἁγιότητα· καὶ γὰρ καὶ ὅσοι διὰ τὸ θεῖον ἅγιοι λέγονται, βέβηλοί τε ἂν κριθείησαν καὶ ἀκάθαρτοι παραβαλλόμενοι θεῷ, ὥσπερ καὶ πάντες οἱ βασιλεῖς δοῦλοι, καὶ μὴ ὄντα τὰ ὄντα πρὸς τὸν ὄντως ὄντα ἐξεταζόμενα. τὸ ἐξαίρετον τοίνυν, ὡς εἴρηται, καὶ μεμονωμένον καὶ πάσης ἄλλης ὑπερόριον φύσεως ἐπὶ θεοῦ καταγγέλλει τὸ ἅγιος. ἅγιον γὰρ 608 B
ἐνταῦθα οὐχὶ τὸ ῥύπου τινὸς καθαρὸν εἶναι διὰ σώματος ἢ ψυχῆς διαβαίνοντος· ἄπαγε· ποῦ γὰρ ἐγκώμιον θεοῦ, μᾶλλον δὲ πῶς οὐκ ἔσχατος ψόγος εἰς ὕμνον παραλαμβάνειν τὸ παθῶν ἀπηλλάχθαι τὸ θεῖον λέγειν τῶν ἡμετέρων; ἀλλὰ τὸ ἀφωρισμένον καὶ ὑπεριδρυμένον τῶν ἄλλων ἁπάντων καὶ ἀνακεχωρηκὸς ἀνυμνεῖ. σύνηθες δὲ τῇ θείᾳ γραφῇ τὸ τοιοῦτον τῆς λέξεως σημαινόμενον, ὡς τὸ „πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ κυρίῳ κληθήσεται," τουτέστιν ἀφωρισμένον. καὶ πάλιν ἐν τοῖς Κριταῖς „τέξῃ υἱόν, καὶ οὐκ ἀναβήσεται σίδηρος ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ὅτι ἡγιασμένον ἐστὶ τὸ παιδάριον," καὶ μυρία ἄλλα. οὕτω δὴ καὶ ἁγιάζεσθαι τὸν τόπον ἢ τὸν ἄρτον ἢ τὸν οἶνον, ἃ τῷ θεῷ φαμὲν ἀφορίζεσθαι καὶ πρὸς μηδεμίαν κοινὴν ὑποφέρεσθαι χρῆσιν.

Εἰς πίστιν δὲ παράγειν ἐπιχειρεῖ, ὅτι περ αἱ ἄϋλοι δυνάμεις ὑλικῶς τοῖς ὑλικοῖς τὰ ἄνωθεν διαπορθμεύουσι, τὴν λαβίδα, ἣν ἓν τῶν Σεραφὶμ πρὸς τὸν προφήτην ἀποστελλόμενον ἔφερε, τὸν ἄνθρακα φέρουσαν. δῆλον γὰρ ὡς ἐν σωματικοῖς συμβόλοις ἀσωμάτων τινῶν καὶ νοητῶν ἡ ἀσώματος δύναμις ὑπεδήλου τῷ προφήτῃ μυστήρια, διδασκούσης ἡμᾶς τῆς ἱερᾶς γραφῆς ὅτι, καθάπερ οὐκ ἔστιν ἄνευ μεσότητος οὔτε ὕλης παχυτέρας τοῦ πυρὸς λαβέσθαι, οὕτω καὶ τῶν θείων οὐδὲν ἔστι λαβεῖν ἄνευ συμβόλων ὑλικῶν καὶ προσφόρων τοῖς δεχομένοις. ἔστι δὲ καὶ ἡ λαβὶς τυποῦσα τὴν ὕλην, 314 H

a. 14. τὸ ἅγ. corr A: τε ἅγ. ς. 29. τὴν ἐν] Isa. 6, 2. b. 6. αὐτὴν add A. 26. πᾶν] Luc. 2, 23. 28. Κριταῖς] 13, 5. 35. τὴν λαβ.] Isa. 6, 6. 42. καὶ A: τε καὶ ς.

ὥσπερ ὁ ἄνθραξ τὸ θεῖον· „ὁ γὰρ θεὸς ἡμῶν πῦρ καταναλίσκον" καὶ „τὰ λόγια κυρίου πεπυρωμένα". καὶ ... γέλλει, ἥτις ἡ φωνὴ τῆς λαβίδος τὴν ἀφὴν ἀπαγτῶν. ἴσως δὲ καὶ τὴν ὑπὲρ [illegible] ὁρᾶται τῶν αἰσθη- αἰνιγματίζεσθαι διὰ τῶν εἰρημένων συμβόλων [illegible] οὐδὲν ἀπεικός· τὸ γὰρ θεῖον πῦρ παχύτητι τῆς καθ' ἡμᾶς σαρκὸς προσωμίλησεν ἡμῖν. δυνατὸν δέ φησι καὶ τὴν μὲν λαβίδα τὴν νομικὴν εἰκονίζειν σκιάν, τὸν ἄνθρακα δὲ τὴν νέαν διαθήκην· καὶ γὰρ διὰ τῶν συμβόλων τῶν νομικῶν τὰ τῆς νέας μυστήρια παραδηλοῦσθαί τε καὶ τοῖς εὐγνώμοσι παραδίδοσθαι. λέγει δὲ καὶ τοῦ κυριακοῦ σώματος ἐπὶ τῆς ἱερᾶς τραπέζης προτεθέντος διὰ τοῦτο τοὺς παρ' ἑκάτερα τῶν τὰ ἱερὰ ὑπηρετουμένων ῥιπίδας πτερῶν πεποιημένας τοῖς προκειμένοις φρικτοῖς ἐπικινεῖν, τῶν ἑξαπτερύγων φέροντας σύμβολα, ὡς ἂν μὴ ἐῶσι τοὺς τελουμένους τοῖς ὁρωμένοις ἐναπομένειν, ἀλλὰ παντὸς προσύλου ὑπεράνω γενομένους νοεροῖς ὀφθαλμοῖς διὰ τῶν ὁρωμένων ἐπὶ τὴν ἀόρατον θέαν καὶ τὸ ἀμήχανον ἐκεῖνο κάλλος παρασκευάζουσιν ἀναδραμεῖν. καὶ γὰρ καὶ σωματικῶς τῷ δεσπότῃ παρόντι φόβῳ καὶ τρόμῳ τὰ Σεραφὶμ ὑπηρέτει· οὗ τινὸς φόβου καὶ τρόμου αἴνιγμα εἶναι καὶ τὴν γενομένην διὰ τῶν πτερῶν κίνησιν, ἣν τὸ ὑπηρετούμενον ἐνεργεῖ. εἰ δὲ τὰ Σεραφὶμ ὑπηρετοῦντα δηλοῦται καὶ σαρκωθέντι τῷ λόγῳ, καὶ οὐδὲν διὰ τὴν κάτω τοῦ λόγου διαγωγὴν τῆς ἄνω καθυφίησι δουλείας, δηλονότι καὶ ἡ ἄλλη τῶν ἀσωμάτων διακόσμησις νόει τὸν μετὰ σαρκὸς παραγεγονότα λατρεύουσα προσ-

R. κυνεῖ. ἡ γὰρ ἐν τούτοις πρωτεύουσα τάξις, τὴν δουλείαν οὐ καινοτομοῦσα, καὶ τῶν μετ' αὐτὴν τὴν ἴσην ὑπηρεσίαν βεβαιοῦται. γέγραπται γὰρ ὡς καὶ ἄγγελοι προσελθόντες διηκόνουν αὐτῷ· τὸ δὲ τοῦ ἀγγέλου ὄνομα, ὡς οἱ τὰ θεῖα ἴσασι σοφοί, κοινόν ἐστι πάσαις ταῖς νοεροῖς δυνάμεσιν ὄνομα. καὶ πάλιν περὶ τοῦ εἰς τὴν οἰκουμένην εἰσαγομένου πρωτοτόκου τὸ ἱερὸν γράμμα φησὶν „καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ." διά τοι τοῦτο καὶ ἅμα τῷ πρὸς τὸ θυσιαστήριον εἰσιέναι τοὺς ἱερεῖς ὁ ἱεροψάλτης ἄνωθεν ἀναβοᾷ τὸ „ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος." ἥν τινα ὑμνολογίαν συγκεῖσθαί φησιν ἐκ τῆς τῶν Σεραφὶμ φρικτῆς ὁμολογίας. φησὶ δὲ ὡς οὐδ' οἴκοθεν πρὸς ταύτην ἦλθε τὴν ἔννοιαν, ἀλλ' ἐξ Ἰουδαίων τις τὸν τῆς ἀληθείας λόγον κατηχηθεὶς καὶ ἄλλους κατηχεῖν παρὰ τῆς ἐκκλησίας ἀξίωμα λαβών, σοφός τε τὰ ἄλλα καὶ βίῳ λαμπρός, ἐκεῖνος αὐτῷ τῆς προκειμένης μαθήσεως καθηγήσατο, ἐξ ὧν ἡ ἱερολογία συνετέθη, ἀναδιδαξάμενος. διδάσκειν ἐν μιᾷ ψαλμοῦ τῶν [illegible] ὑμνολογίας καὶ τοῦ ᾄδεσθαι μὲν γὰρ ἐν τῷ ψαλμῷ τὸν θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα, μεταληφθῆναι δὲ τὸ μὲν ζῶντα εἰς ἰσοδύναμον τὸ ἀθάνατον, αὐτολεξεὶ δὲ διατηρηθῆναι τὸν ἰσχυρόν, 315 H. καὶ οὕτω συνυφανθῆναι τὸ μελῴδημα τὸ ἱερόν. ἀποδεδόσθαι μέντοι γε τὸ μὲν θεός καὶ τὸ ἅγιος πρὸς ἀντιδιαστολὴν τῶν εἰδωλικῶν σεβασμάτων, ἃ γεώδη τέ ἐστι καὶ χειρῶν ἀνθρώπων ἔργα καὶ βδελύγματα ὡς ἀληθῶς, τὸ δὲ ἰσχυρός πρὸς τὸ ἐκείνων ἄφωνον καὶ ἀκίνητον καὶ ἀσθενές, τὸ δὲ ἀθάνατος πρὸς τὸ ἄπνουν ἐκείνων καὶ ἀκενέργητον καὶ οὐδ' ὁπωσοῦν ζωῆς μεταχόν. λέγει δὲ τὸν αὐτὸν ἱερὸν ἄνδρα καὶ τοῦτο αὐτὸν ἐκδιδάξασθαι, καθὰ καὶ ἑτέροις ἐξιστόρηται, ὡς τῷ μακαρίῳ Πρόκλῳ (Κωνσταντινουπόλεως δὲ πρόεδρος ἦν) ἡ τοῦ εἰρημένου μελῳδήματος δι' ἀποκαλύψεως [ἐμυήθη] σύνθεσις, ἀγγέλων μὲν τὴν ἱερολογίαν ταύτην ἀναμελπόντων, ἐκείνου δὲ τὴν μύησιν πρώτου ἐκεῖθεν ἐκδεξαμένου. Τοιοῦτον μὲν ἀγῶνα καὶ τὸ δ' καὶ κ' ἅμα τοῦ ἐφεξῆς ε' κεφαλαίου ὑποδύεται.

Ἐν δὲ τῷ κς' κεφαλαίῳ λέγει τὸν ἐν τῇ κοσμογενείᾳ κατ' ἀρχὰς τῶν ς' ἡμερῶν ἀριθμὸν τύπον εἶναι τῆς τριαδικῆς θεογνωσίας, καὶ τοῦτο δηλοῦν σὺν καὶ τισιν ἑτέροις καὶ τὸ „ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν." ἀλλὰ καὶ τὸ „ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ" ὅσοις γέγονεν εἰς τὰς ἀρχικὰς ἐκείνας ἓξ ἡμέρας ἐκλαβεῖν, οὐδὲν τῶν ἀπεμφαινόντων διανοηθῆναι. κεφαλὴ γὰρ καὶ ἀρχὴ βιβλίου, τουτέστι πάσης τῆς θεοπνεύστου γραφῆς, ἡ ἑξαήμερος, ἐν αἷς ἡ κτίσις συνετελέσθη· ὧν ἐκ μεγέθους καὶ καλλονῆς ὁ δημιουργὸς καταλαμβανόμενος ἀνυμνεῖται. εἰκονίζειν δὲ τὴν τριάδα καὶ πρὸς διδασκαλίαν τοῦ μυστηρίου συντελεῖν τὰς αὐτὰς ἓξ ἡμέρας φησίν, ὥσπερ καὶ τῶν ἓξ Χερουβικῶν πτερύγων τὴν συμβολικὴν ἱερολογίαν. ἡ δὲ ἄρα ἐμυσταγώγει τῆς δημιουργοῦ τριάδος τὴν γνῶσιν δι' ὑλικῆς παραγίνεσθαι καὶ συνθέτου. καὶ μὴν καὶ αὐτῆς τῆς ἁπλῆς καὶ ἀσυνθέτου

a. 1. ὁ γὰρ] Deut. 4, 24. 2. τὰ λόγια] Ps. 17, 37. 20. ἐκεῖνον A. 26. δουλοῦται A. 32. γέγραπται] Matth. 4, 11. 34. πᾶσι A. 36. καὶ προσκ.] Deut. 32, 42.
b. 9. τὸ A: τὸν ς. 14. χειρῶν τῶν ἀνθρ. ς. 21. ἐμυήθη om pr A: C ante id verbum lacunam habet versus dimidii. 26. λέγει τὸν A: λέγεται ς. 29. ἡμέρα] Ps. 18, 3. 30. ἐν κεφ.] Ps. 39, 8.

ϛσίας διὰ τῆς ἐνύλȣ ϗ συντεθειμένης τὴν τριαδικὴν
612 R. ὑπαινίττεσϑαι κυριότητα. ὅθεν ϗ διὰ διπλῆς τριάδος τῆς ὑπὲρ πᾶσαν ἁπλότητα τριάδος τὴν γνῶσιν ἀνακαλύπτεσϑαι. πίϛιν δὲ τοῖς τεθεωρημένοις ἐπιτιθείς, τὴν ζ φησὶ τύπον εἶναι τȣ καιρȣ ἐκείνȣ, ἐν ᾧ τῶν πάντων καὶ ὁ Παῦλός φησιν ὡς „ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τȣ θεȣ· ὁ γὰρ ἐλθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτȣ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ θεός.” εἰ δὲ τύπος ἡ ζ τῆς καταπαύσεως τῶν παρ’ ἡμῖν ἔργων τῶν ὑλικῶν, ὅτε κατὰ τὸν αὐτὸν θεσπέσιον Παῦλον ϗ τὸ τέλειον τῆς γνώσεως τῆς ἐπὶ μέρȣς σοφίας ἀνταλλασσόμεθα, εὐλόγως καὶ τὴν ἑξαήμερον ἂν τύπον εἶναι τῆς ὑλικῆς τεθεωρήκαμεν γνώσεως, καθ’ ἣν ἐκ μέρȣς ϗ ἐν αἰνίγμασιν ἡ περὶ τὸ θεῖον ἡμῖν ὑπόληψις περιγέγονε. τούτοις ἐπάγει ϗ τὴν τȣ θεολόγȣ Γρηγορίȣ φωνήν, ἥτις μέχρι τριῶν ἡμῖν ὑποϛάσεων τὸ τῆς θεότητος μυϛήριον ἀνακαλυφθῆναι λέγει, μονάδος μὲν κινηθείσης, φησί,
516 H. διὰ τὸ πλούσιον, δυάδος δὲ ὑπερβαθείσης διὰ τὴν ὕλην ϗ τὸ εἶδος, ἐξ ὧν τὰ σώματα, τριάδος δὲ ὁρισθείσης διὰ τὸ τέλειον· πρώτη γὰρ ἡ τριὰς δυάδος ὑπερβαίνει σύνθεσιν, ἵνα μήτε ϛενὴ μένοι θεότης μήτε εἰς ἄπειρον χέηται. συνάπτει δὲ τῇ αἰτίᾳ ταύτῃ καὶ ἑτέραν τῆς μέχρι τριάδος θεϊκῆς προόδȣ, καί φησι διότι καὶ μόνος ἀριθμῶν ὁ τρεῖς ζυγȣ τύπος ἐϛὶ σαφέϛατος, ὁ δὲ ζυγὸς ἰσότητος ἔργον ἅμα καὶ σύμβολον· ὅθεν καὶ ἐν ἀριθμοῖς ὁ τριαδικὸς μόνος ἁπάντων φέρει τὸ μέσον πρὸς τὰ ἑκατέρωθεν ἄκρα ἴσον τε καὶ ἀπαράλλακτον, ȣδεμιᾶς τοῖς τρισὶν ἐνορωμένης ὅλως συνθέσεως. ἐν οἷς καὶ ὁ ϛ τῷ φιλοθεάμονι ἀνδρὶ συμπεραίνεται λόγος.

Ἐν δὲ τῷ ζ βιβλίῳ διαλαμβάνει ὅτι τρεῖς μεταθέσεις πολιτειῶν τὸ ἱερὸν ἀναγράφει γράμμα, ἃς ϗ σεισμȣς ὀνομάζει, πρώτην μὲν τὴν ἀπὸ τῆς εἰδωλολατρείας ἐπὶ τὴν νομικὴν πολιτείαν μετάθεσιν, ἐν ᾗ μόνȣ μὲν ὁ πατὴρ ἐμφανέϛατα κηρύττεται, ὁ δὲ υἱὸς καὶ τὸ πνεῦμα ἐν συμβόλοις μᾶλλον παραδηλȣται ϗ αἰνίγμασι· δευτέραν δὲ τὴν ἀπὸ ταύτης πρὸς τὸ εὐαγγέλιον, ἐν ᾗ τρανότερον ὁ υἱὸς ϗ τὸ πνεῦμα ἀποκαλύπτεται· καὶ τρίτην λοιπὸν τὴν ἀϋλοτέραν τε καὶ θειοτέραν λῆξιν, ἐν ᾗ διαπρυσίως πᾶσι τὸ τῆς τριάδος ἑνοειδὲς καὶ ἀμέριϛον καὶ παντοκρατορικόν, ὡς γεννητῇ φύσει δυνατόν, εἰς ἀνθρώπων ἀδίϛακτον γνῶσιν ἀφικνεῖται. ἀπαγγέλλει δὲ τὸν μὲν πρῶ[illegible] τούτων „ἀπὸ [illegible] ὁ θεσπέσιος Δαβὶδ [illegible]λεύθη ἡ γῆ, ἀπὸ προσώπȣ τȣ θεȣ Ἰακώβ·” ἐπάγει γὰρ τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. ϗ τὸν δεύτερον δὲ ἐν τῷ λέγειν „ἐνέγκατε τῷ κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτȣ,” ἀλλ’ ȣκ εἰς τὴν Ἰȣδαϊκὴν ϗ μίαν αὐλήν· συνάπτει γὰρ αὐτίκα „σαλευθήτω ἀπὸ προσώπȣ αὐτȣ πᾶσα ἡ γῆ· εἴπατε ἐν τοῖς ἔθνεσιν ὅτι κύριος ἐβασίλευσε.” ϗ πάλιν „ὁ κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί.” εἶτα „ἔφαναν αἱ ἀϛραπαὶ σȣ τῇ οἰκουμένῃ· εἶδε καὶ ἐσαλεύθη ἡ γῆ.” καὶ πολλὰ τοιαῦτά ἐϛι παρ’ αὐτῷ. καὶ ὁ Ἡσαΐας φησὶν „ὅταν 613 R.
ἀναϛῇ θραῦσαι τὴν γῆν.” ὁ δὲ θεσπέσιος Παῦλος ἅμα τόν τε δεύτερον ϗ τὸν τρίτον ἀναγράφει σεισμὸν ἐν τῷ τὰ τȣ προφήτȣ Ἀγγαίȣ ἀναβοᾶν „ȣ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε· νῦν δὲ ἔτι ἐγὼ ἅπαξ σείω ȣ μόνον τὴν γῆν, ἀλλὰ ϗ τὸν ȣρανόν.” ταῦτα δὲ ϗ τὸν θεολόγον ἀναγράφειν εἰσάγει Γρηγόριον.

Ἀλλὰ γὰρ ταῦτα εἰπών, ἐμβαθύνει ζητεῖν διὰ τί ὁ πατὴρ κηρύττεται πρῶτος. ϗ ἡ λύσις, ὅτι περ ἡ περὶ ἡμᾶς τȣ θεȣ πρόνοια οἰκονομικῶς τȣτο διεπράξατο, πανσόφῳ μεθόδῳ τῆς πολυθεΐας ἀπάγȣσα. ἀμέθοδον γὰρ ἦν ϗ ἀνοικονόμητον πολυθεΐας ἀπαλλάττοντα τὸ τριαδικὸν τῆς θεότητος ψυχαῖς καταπιϛεύειν μακρῷ διεπτοημέναις χρόνῳ περὶ τὸ πολύθεον. ἄλλωσε δὲ ϗ ἡ τȣ πατρὸς ἔννοια σιωπώσῃ ϗ ἀνεκφωνήτῳ ψήφῳ 317 H.
τὴν τȣ υἱȣ καὶ τȣ πνεύματος ὕπαρξιν ἐκύρȣ καὶ τὴν γνῶσιν συνῆγεν, ȣ πλήττȣσα μὲν τȣς ἀσθενεῖς, τὸ δὲ τῆς εὐσεβείας μυϛικῶς κραταίωμα διαγράφȣσα. ὅ τε γὰρ πατὴρ υἱȣ πάντως ἐϛὶ πατήρ, ϗ τὸ πνεῦμα ἑτέρȣ τινὸς λέγοιτ’ ἄν. ὁ μὲν οὖν πατὴρ μηδενὶ μηδεμίαν παρέχων πολυθεΐας λαβὴν ἠδύνατο δημοσιευθῆναι τῷ πλήθει, ἔθȣς γε μάλιϛα ὄντος παρά τε Ἑβραίοις καὶ Ἕλλησι ϗ αὐτῶν τῶν ἀνθρώπων πατέρα καλεῖν τὸν θεόν· συνεσκιάζετο γὰρ τῷ ἔθει ἡ ὑπερφυὴς τȣ υἱȣ πρὸς τὸν πατέρα συνάφειά τε καὶ συνύπαρξις καὶ ἡ πρὸς ἀλλήλȣς προαιώνιος σχέσις. πατέρα μέντοι καλεῖν τὸν θεὸν ἐκ τῶν καθ’ ἡμᾶς τιμίων τὸ ἀνθρώπινον ἀνε-

a. 6. που] Hebr. 4, 9. 12. Παῦλον] 1 Cor. 13, 9. 38. μᾶλλον A: μόνον ς. b. 5. ἐσαλ.] Ps. 113, 7. 8. ἐνέγκ.] Ps. 95, 7. 13. ὁ κύριος] Ps. 96, 1. 16. ὁ Ἡσ.] 2, 21. 19. οὗ ἡ] Hebr. 12, 26. 20. ȣ a correctore habet A. 24. ὅτι] ὁ pr A. 27. ἀπαλλάττουσα ς.

μάθομεν. ἐδὲν γ̓ τῶν παρ' ἡμῖν τῆς πατρικῆς προσηγορίας ἔτε ἡδύτερον ἔτε τιμιώτερον ἔτε μὴν αἰδεσιμώτερον, ἀλλ' οὐδ' οἰκειότερον ἔτε πρὸς εὐεργεσίαν ἐγγύτερον. καὶ προάγει γὰρ ὁ πατὴρ ἐκ μὴ ὄντων, ϗ τρέφει, ϗ τῆς ζωῆς κήδεϑ τῶν τέκνων. ἃ μᾶλλον μέν ἐςι καὶ κατὰ πρώτην αἰτίαν τοῦ θεῦ, ἐκεῖθεν δὲ καὶ κατὰ μετοχὴν καὶ τῦ φύντος πατρός, ἐξ ὃ ϗ τὸ καλεῖν πατέρα τὸν θεὸν τὸ γηγενὲς ἐπαιδαγωγήθημεν. πνεῦμα δὲ καλεῖν τὸ θεῖον ἢ υἱὸν ἐχ ἔτως ἐξ ἡμῶν ἀφορμαὶ ἀναφύονϑ. ἐ μὴν ἐδὲ τῆς πολυθεΐας ἡ τέτων τῷ πατρὶ συναρίθμησις ἔτως ἀφανίζει κἀκ τῶν δυσσεβεῖν ἐσπεδακότων [τῆς πολυθεΐας] τὴν πρόφασιν, ὡς ἡ τῦ πατρὸς καθ' ἑαυτὸν ἀνακήρυξις. ἐκεῖν συμφερόντως τε καὶ προνοητικῶς μόνος ὁ πατὴρ διά τε νόμε καὶ προφητῶν ἐμφανῶς ἐκηρύττετο, μήτε πρόσκομμα τοῖς παχυτέροις παρέχοντος τῦ κηρύγματος, ϗ τοῖς θεωρητικωτέροις τὴν τῦ υἱῦ ἔννοιάν τε ϗ ὁμολογίαν συνεισάγοντος. εἰ δὲ πρῶτος ὁ υἱὸς ἐκηρύττετο, ἐκ ἂν τὸ σοφὸν τῆς οἰκονομίας ὁμοίως προέβαινεν· ἀλλ' ἐδ' εἰ τὸ πανάγιον ϗ ζωοποιὸν πνεῦμα.

Τῆς ὁμοίας τοίνυν ἔχεται προνοίας καὶ θεωρίας καὶ τὸ μὴ τὸν πατέρα σαρκωθῆναι. πῦ γ̓ ἀνεκτὸν ἀντὶ τοῦ „υἱός με εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε" πρὸς τὸν σαρκωθέντα λέγειν „πατήρ με εἶ σύ, σήμερον γεγέννηκάς με;" τί γ̓ ἐκ ἂν πρὸς ἀπόνοιαν ἔπραξε τὸ Ἰεδαίων ἔθνος μετὰ τῦ καταφυγὴν εὑρίσκειν τῆς τόλμης τὸ τῦ πράγματος δυσπαράδεκτόν τε ϗ ἀνακόλεθον, εἰ ὁ σαρκωθεὶς ἔλεγε „πατήρ εἰμι
[illegible]R. τῦ θεοῦ;" πῶς δ' ἐκ ἂν ἐδόκει μῦθος, εἰ τὸν σαρκωθέντα φωνή τις οὐρανόθεν ἐλέγετο καλεῖν „ἔτός ἐςιν ὁ πατήρ με ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα;" ἢ τὸ λέγειν αὐτὸν „ὁ υἱὸς ἀπέςειλέ με, ϗ μείζων μέ ἐςι," καὶ ὅσα ἄλλα τοιαῦτα. τὰ αὐτὰ δ' ἂν εἴη λέγειν καὶ
[illegible]H. ἐπὶ τῦ παναγίε πνεύματος. καίτοι γε τὸ πανάγιον πνεῦμα καὶ γυμνότερον ἢ τὸν υἱὸν τὸ ἱερὸν γράμμα θεολογεῖ. καὶ γάρ φησι περὶ μὲν τῦ υἱοῦ „δεξιὰ κυρίε ἐποίησε δύναμιν" καὶ „τῷ λόγῳ κυρίε οἱ ἐρανοὶ ἐςερεώθησαν," ϗ εἴ τι ἄλλο τοιῦτον· ἃ νοήματι μὲν συμβαίνει καὶ συνομολογεῖ τῇ σημασίᾳ τῦ υἱοῦ, τῆς δὲ κατὰ τὴν φωνὴν ἐκ ἐξίςαϑ παραλλαγῆς. ὅρα δὲ τὸ τρανὸν ϗ ἀπαράλλακτον τῆς κατὰ τὸ ἅγιον πνεῦμα φωνῆς· „τῷ πνεύματι τῦ ςόματος αὐτῦ πᾶσα ἡ δύναμις αὐτῶν," καὶ „πνεῦμα κυρίε πεπλήρωκε τὴν οἰκεμένην," καὶ „τὸ πνεῦμά σε τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ," καὶ „πνεῦμα κυρίε ἐπ' ἐμέ," καὶ „πνεῦμα θεῖον τὸ ποιῆσάν με," καὶ „ἐξαποςελεῖς τὸ πνεῦμα καὶ κτισθήσονϑ" καὶ μυρία ἄλλα. τῆς ἀῤῥήτε δὲ ϗ τῦτο τῦ θεοῦ σοφίας, τὸ τὸν μὲν υἱὸν ἑτεροφώνοις λέξεσι θεολογεῖσθ, τὸ δὲ πνεῦμα διὰ τῆς οἰκείας ὀνομασίας. ὁ μὲν γ̓ υἱὸς ῥηθεὶς αὐτίκα τὸ αὐθυπόςατον εἰσῆγεν, ὃ τοῖς τὴν πολυθεΐαν νενοσηκόσι πρόφασις ἂν ἐγεγόνει τῦ δραμεῖν πρὸς αὐτὴν ἣν φυγεῖν ἐδιδάσκοντο· τὸ δὲ πνεῦμα εἰ ϗ τοῖς εὐσεβῦσιν ὁμοίως αὐθυπόςατον γινώσκεϑ, ἀλλ' ἐν δύναται τοῖς πολλοῖς ϗ παχυτέροις παρακαλύπτεσθ ὡς ἐχ ἑτέραν εἰσάγον ὑπόςασιν, καὶ ἐδὲν ἧττον λεγόμενον τὸ τῆς μοναρχίας κρατύνειν προνόμιον. ὥσπερ γ̓ τὸ λέγειν „ἠκηδίασε τὸ πνεῦμά με" οὐ δύο συνεισάγει πρόσωπα, ἀλλ' ἐδὲν ἧττον τὸ ἑνιαῖον διαφυλάττει τῆς ὑποςάσεως, ἔτω ϗ πνεῦμα θεῦ τοῖς παλαιοῖς παχυτέρως καὶ ὡς ἐφ' ἡμῶν ἀκεόμενον οὐδεμιᾶς πολυθεΐας ἐνεδίδε σκάνδαλον. διὰ τῦτο τοίνυν τὸ μὲν πνεῦμα ῥητῶς παρὰ τῇ παλαιᾷ διαθήκῃ κηρύττεϑ, ὁ δὲ υἱὸς ἐκέτι, ἀλλὰ δι' ὀνομάτων τοιέτων ἃ ϗ αὐτὰ δύναϑ τὸ ἑνιαῖον μὴ διαιρεῖν τῆς ὑποςάσεως, ὡς τὸ χεὶρ θεῦ καὶ βραχίων καὶ σοφία ϗ δύναμις ϗ δεξιὰ ϗ λόγος ϗ ὅσα τοιαῦτα· καὶ γ̓ ϗ ἐπὶ τῆς ἀνθρωπίνης φύσεως ταῦτα τὸ ἑνιαῖον ἐκ εἰς δύο διαλύει, ἐδὲ διαιρεῖ τὴν ὑπόςασιν. εἰ δέ πε καὶ τῆς τῦ υἱοῦ φωνῆς ἐμνήσθη, ἐπειδὴ εὐθὺς ὁ υἱὸς ῥηθεὶς διαφορὰν μηνύει τῶν ὑποςάσεων, ὡς τὸ „υἱός με εἶ σύ," ἐπισκιαζόμενον ϗ περικαλυπτόμενον τῦτο προάγει· ἐπάγει γ̓ „σήμερον γεγέννηκά σε" καὶ „αἴτησαι παρ' ἐμοῦ," ἅπερ ἀνθρώπινα ὄντα καὶ τῇ θείᾳ μὴ ἐφαρμόζοντα φύσει τὴν τῦ υἱῦ προσηγορίαν παρεκάλυπτέ τε καὶ συνεσκίαζε. ϗ ἐπὶ τῶν ὁμοίων ὡσαύτως. τί δή ποτε δὲ δεξιὰ καὶ λόγος ϗ δύναμις, καὶ ὅσα ἄλλα, τῦ πατρὸς μὲν ὁ υἱὸς λέγεϑ, ἀλλ' ἐκ ἔμπαλιν ὁ πατὴρ τῦ υἱῦ; ἢ διότι ὁ πατὴρ μὲν ἐκ ἐκ τῦ υἱοῦ, ἀλλ' ὁ υἱὸς ἐκ τῦ πατρός. ἔτι δὲ χεὶρ μὲν καὶ βραχίων καὶ σοφία καὶ λόγος τῦδε τῦ ἀνθρώπε λέγεϑ, ἀλλ' ὁ ἄνθρωπος τῆς δεξιᾶς ἢ τῆς σοφίας ἢ τῶν ὁμοίων οὐκ ἂν ῥηθείη, ὥσπερ οὐδὲ τῦ κλάδου φαμὲν τὸ δένδρον, ἀλλὰ τὸν κλάδον τοῦ δένδρου.

a. 7. φύοντος ς. vid. ad p. 17 a 7. 23. υἱός] Ps. 2, 7. 36. δεξιὰ] Ps. 117, 17. 37. τῷ λόγῳ] Ps. 32, 6. 42. τῷ πνεύμ.] Ps. 32, 7. b. 1. πνεῦμα] Sap. 1, 7. 2. τὸ πν.] Ps. 142, 10. 3. πνεῦμα] Isa. 61, 1. 4. πνεῦμα] Iob. 33, 4. ἐξαπ.] Ps. 103, 30. 11. ἐδιδάσκετο libri. 16. ἠκηδ.] Ps. 142, 4. 23. μὴ om pr A. 32. μὴ et 39. τοῦ add A. 41. ἂν μὴ ῥηθείη ς.

617 R. καὶ τὸ πνεῦμα δὲ δάκτυλος ὀνομάζεται θεοῦ, "καὶ ἐπεὶ ὁ δάκτυλος τῆς χειρός, εὐλόγως οὐ μόνον τοῦ
319 H. πατρὸς "ἀλλὰ καὶ τοῦ υἱοῦ, ἥτις ἐστὶν ἡ πατρικὴ δεξιά, λέγεται. ἀλλ' οὐ τὸ ἀνάπαλιν ὁ υἱὸς τοῦ πνεύματος· οὐδὲ γὰρ ἡ χεὶρ ῥηθείη ἂν τοῦ δακτύλου. οὐκ ἦν δὲ ἄρα οὐδὲ διὰ ταῦτα ἀντὶ τοῦ πατρὸς τὸν υἱὸν ἢ τὸ πνεῦμα κατ' ἀρχὰς συμφέρον καταγγέλλεσθαι. καὶ γὰρ καὶ ἀνθρώπων πατὴρ ὁ θεός, ὡς προέφημεν, ἐλέγετο· υἱὸς δὲ ἢ πνεῦμα ἡμῶν ὁ θεός, τῶν ἀμηχάνων τε καὶ ἀνακολούθων ἐκρίνετο λέγεσθαι. διὸ καὶ ὁ πατὴρ μὲν κηρυττόμενος διὰ τὴν ἐν τῇ συνηθείᾳ κατάχρησιν ἐν παρεδήλου τότε τοῖς πολλοῖς καὶ ὑπεδείκνυε πρόσωπον· εἰ δὲ ὁ υἱὸς ἢ τὸ πνεῦμα κατήγγελτο, πάντως ἂν τὸ δυαδικὸν συνωμολογεῖτο τῶν ὑποστάσεων· ὁ γὰρ ἀκούων υἱὸν εὐθὺς πρὸς τὸν πατέρα ἀνήγετο. καὶ τὸ πνεῦμα ὁμοίως· οὗ γὰρ ἦν πνεῦμα, ἐπεζήτει ἡ διάνοια, οἷς ἡ νόσος τὸ πολύθεον ἀπὸ τῆς σωζούσης θεολογίας ἐλάμβανε τὸ ἀνίατον. χωρὶς δὲ τῶν εἰρημένων οὐδὲ δυνατὸν ἦν, καθάπερ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, οὕτω καὶ τὸ τοῦ πατρὸς σοφαῖς μεθόδοις περικαλύπτεσθαι πρόσωπον. πνεῦμα μὲν γὰρ θεοῦ ῥηθὲν καὶ δεξιὰ καὶ σοφία καὶ δύναμις οἶδεν ἐκφεύγειν τὸ τῆς πολυθεΐας παλίμφημον· λανθάνει γὰρ τοὺς πολλοὺς διαφορὰν προσώπων συνεπαγόμενον· πατὴρ δὲ θεοῦ κηρυχθείς, κἂν τὸν γεννηθέντα λάβοις κἂν τὸ ἐκπορευθέν, οὐκέτι μὲν λαθεῖν ἔχοι τὸ διάφορον εἰσάγων τῶν ὑποστάσεων, οὐδ' ὅμοιον τοῖς τὸ πολύθεον νοσοῦσι προσφέρειν τὸ ἴαμα. οὐ μὲν οὖν ἀλλ' οὐδ' εἴπερ ὁ πατὴρ κατὰ τὸ ἔμπαλιν χεὶρ τοῦ υἱοῦ ἢ τοῦ πνεύματος ὠνομάζετο, ὑποκρύπτειν ἑαυτὸν καὶ τὸ δυαδικὸν περικαλύπτειν τῶν προσώπων ἠδύνατο· ἵνα μὴ λέγω ὡς οὐδὲ ῥηθῆναι παντελῶς τὰ εἰρημένα οὔτε νοῦν οὔτε φύσιν ἔχειν οὐδεὶς ἂν ὑπόθοιτο. διὰ τί δ' οὖν κατ' ἀρχὰς ἡ τριὰς οὐχ ἅμα κατήγγελτο; ὅτι καθάπερ τοῖς ὀφθαλμιῶσι τὸ λαμπρὸν φῶς, καίτοι σωτήριον ὄν, ἀθρόον ἐπιβλαβέστατον, οὕτω καὶ τοῖς εἰς τὸ πολύθεον ἀποτυφλωθεῖσιν ἡ τριαδικὴ θεολογία βλαβερὸν ὑπῆρχε καὶ ἐπιζήμιον. Ἀλλὰ ταῦτα μὲν τῷ φιλοθέῳ συγγραφεῖ καὶ ὁ τῶν λόγων ζ' ἐν τρισὶ φιλοπονεῖται κεφαλαίοις, ἃ μετὰ τὸ κϛ' τὸν ἀκόλουθον ἀριθμὸν ἀναδέχεται.

Τὸ δὲ τριακοστὸν αὐτῷ κεφάλαιον διέξεισιν ὡς ὁ πρῶτος σεισμὸς θεμέλιος τῷ β' γεγένηται, καὶ οὐ μόνον τοῖς κατὰ Μωσέα συνήνεγκε θεὸν τὸν πατέρα κηρύξας, ἀλλὰ καὶ τοῖς ἐν τῇ χάριτι. ἐξ ὧν γὰρ τὸν θεὸν πατέρα τῶν ἀνθρώπων νομίζεσθαι ἔδωκεν, ἕκαστος τῶν γνησίως προσανεχόντων θεῷ υἱὸς θεοῦ εἰκότως ἐλέγετο· ἐκ δὲ τούτου θύρα καὶ ὁδὸς τῇ διὰ σαρκὸς οἰκονομίᾳ ὑπανοίγνυται. διὸ καὶ τὸν υἱὸν ὁ β' κηρύττων σεισμός, ὡς ἤδη συνήθους οὔσης τῆς φωνῆς καὶ ἐπὶ ψιλῶν ἀνθρώπων τίθεσθαι, οὐχ οὕτω τοὺς ἀκούοντας ἐξετάραττεν, ἐκ τῆς χρήσεως τῆς πρώτης διαθήκης καταλεανθέντας τὰς ἀκοάς, καὶ οὐκέτι πρὸς τὴν φωνὴν οὕτως ἐμεμήνεσαν, ὥσπερ ἐμαίνοντο ἄν, εἰ μὴ συνήθης αὐτοῖς ἀπὸ τῆς παλαιᾶς ἐγεγόνει διαθήκης. ὥσπερ δὲ ἐπὶ τῆς νομικῆς πολιτείας τὸ κηρύττεσθαι τὸν υἱὸν λαμπρῶς ἢ τὸ πνεῦμα, δι' ἃς αἰτίας προείπομεν, "βλαβερὸν ἐδόκει 320 I τοῖς ἔτι τὰς οὐλὰς τῆς πολυθέου πληγῆς ἐν ἑαυτοῖς φέρουσιν, "οὕτω δὴ καὶ τὸ σαρκωθῆναι μὲν τὸν πατέρα 620 I ἢ τὸ πνεῦμα, συνεσκιάσθαι δὲ καὶ λαβεῖν ἰσχὺν εἰς τὸ λαθεῖν, ὃν τρόπον ἐπὶ τοῦ υἱοῦ, ἀδύνατον ἦν. εἰ γὰρ καὶ κοινῆς οὔσης καὶ τετριμμένης τῆς τοῦ υἱοῦ προσηγορίας ὅμως τὸν υἱὸν σάρκα λαβόντα, ὅτι θεοῦ υἱόν (ὅπερ ἦν) ἔλεγεν ἑαυτόν, καὶ κρημνοῖς ἐξῶσαι καὶ ῥαπίσμασι βαλεῖν καὶ τὸ τελευταῖον σταυρῷ ἀναρτῆσαι ἐξεμάνησαν, τί οὐκ ἂν ἐποίησαν καὶ αὐτοὶ καὶ οἱ μαθηταὶ δούλου μορφὴν ὁρῶντες, εἰ ὁ σαρκωθεὶς ἔλεγεν, ἐγώ εἰμι ὁ πατὴρ ἢ τὸ πνεῦμα τὸ ἅγιον; ὥστε τὸ πᾶν τῆς οἰκονομίας θεοπρεπῶς τε καὶ ὑπὲρ λόγον καὶ ἔννοιαν διεπραγματεύθη, καὶ τὴν τῶν ἀνθρώπων σωτηρίαν ἀπειργάσατο.

Κατ' ἀρχὰς μέντοι ὁ λόγος οὐ σεσάρκωται καὶ δι' ἄλλας μὲν αἰτίας, καὶ διότι οὐκ ἔδει εὐθὺς τὸ μέγιστον τῶν φαρμάκων τοῖς νοσοῦσι προσενεγκεῖν, ἀλλὰ τὰ ἐπ' ἔλαττον ἐλαύνειν τὴν νόσον δύναμιν ἔχοντα. ἔτι δὲ καὶ ὅτι κατ' ἀρχὰς σαρκωθεὶς ὁ λόγος οὐ μόνον παρεῖχεν ἴσην ὥσπερ ἐπὶ τέλει παραγεγονὼς τὴν ὠφέλειαν, ἀλλὰ καὶ παράκλησις μᾶλλον τοῖς εἰδωλολατροῦσι πρὸς τὴν πλάνην ἐνομίζετο. εἰ γάρ, ὅτε παῖδες Ἑλλήνων ἐπέστη, τοὺς ὁμοιοπαθεῖς ἀνθρώπους εἰς τὸ τοῦ θεοῦ ῥᾳδίως ἀνεβίβαζον ἀξίωμα, πῶς ἂν εἰδότες σαρκὶ τὸν λόγον φαινόμενον καὶ θεὸν ὑμνούμενον οὐχὶ τῶν παρ' αὐτοῖς πεπλασμένων θεῶν ἐκεῖθεν εἷλκον τὰ παραδείγματα, καὶ τοὺς μέλλοντας αὐτοὺς τῆς πλάνης ἀποσπᾶν εὐχερῶς οὐκ ἂν ἀντωνείδιζον, ἄνθρωπον καὶ αὐτοὺς τοὺς αἰτιωμένους θεόν τε ὑμνεῖν καὶ σέβεσθαι; διὰ τοῦτο γὰρ τότε τῶν Ἑλλήνων ἀνθρώπους θεοποιούντων καὶ ἡ τοῦ πα-

a. 1. δάκτυλος] Exod. 8, 19. Luc. 11, 20   8. ὥσπερ ἔφημεν A.   10. ὁ om A.
b. 2. ἕκαστον ς.   20. βαλεῖν corr A: λαβεῖν ς.   31. οὐ μόνον] alteram negationem addit Schottus.
34. ἐπέστη AC: ἐπέστησαν ς.

Digitized by Google

τρὸς μονὰς ἐκηρύττετο. οὐκοῦν ἔδει μὲν ἐκεῖνα πρῶτον [ἀργῆσαι, ἔδει] καταργηθῆναι διὰ τοῦ κηρύγματος, ὃ τὸν πατέρα μόνον κατήγγελλεν· εἶθ' οὕτω λήθῃ δοθείσης τῆς θεοποιοῦ πλάνης τὸν ἀληθῆ θεὸν ἐν σαρκὶ ἀνερωθῆναι. οὕτω μὲν οὖν ὁ λόγος τῆς ἐπ' ἐσχάτου τῶν ἡμερῶν τοῦ λόγου σαρκώσεως. καὶ καθάπερ ὁ πρῶτος σεισμὸς διὰ τῶν ἐναντίων ἰάσατο τὸ πολύθεον ἐπικρυψάμενος τῶν ὑποστάσεων τὸ διάφορον, οὕτω καὶ ἐν ἐσχάτοις καιροῖς, τῆς Ἰουδαϊκῆς δόξης εἰς ἓν πρόσωπον νόμῳ καὶ χρόνῳ κρατυνθείσης καὶ περιελούσης τὸ πολύθεον, ὁ υἱὸς τηνικαῦτα θεοπρεπῶς τε καὶ φιλανθρώπως καὶ σάρκα λαμβάνει καὶ τὸ τῆς τριάδος κατὰ μικρὸν ἀνακαλύπτει μυστήριον.

Ἐπάγει δὲ τούτοις ὡς πανσόφως ὁ σωτὴρ τοῖς μὲν ῥήμασιν ἐταπεινολογεῖτο καὶ τὴν τῆς θεότητος συνέστελλεν αὐγήν, τοῖς ἔργοις δὲ ταύτην παρεσκεύαζεν ἀστράπτειν, καὶ δι' αὐτῶν εὐδόκει κηρύττεσθαι τῆς παντο-
1 H κρατορικῆς δυνάμεως τὸ ἀξίωμα. διὸ καὶ ἔλεγε „τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων αὐτὸς ποιεῖ τὰ ἔργα." πιστεύετέ μοι ὅτι
1 B. ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί. εἰ δὲ μή, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι." διὰ δύο δὲ ταύτας αἰτίας τὸ ταπεινὸν τῶν ῥημάτων ὑπήρχετο, μίαν μέν, τὸν φθόνον τῶν Ἰουδαίων καταπραΰνων φλεγμαίνοντα, δευτέραν δέ, καὶ ἡμῖν ὑπογραμμὸν ταπεινοφροσύνης ἔργῳ διατυπῶν, καὶ τρίτην, ὅτι ἡ τῶν ῥημάτων λαμπρότης οὐ πάντως ποιεῖ συνεξαστράπτειν καὶ τὰ πράγματα, ἡ δὲ τῶν ἔργων ὑπερφυὴς καὶ θεοπρεπὴς ἐπίδειξις καὶ τῶν ῥημάτων συνανυψοῖ τὴν εὐτέλειαν.

Ἐνταῦθα δὲ καὶ ῥητοῦ τινὸς εὐαγγελικοῦ ἀναπτύσσει διάνοιαν τοῦ λέγοντος „τί ἐστιν εὐκοπώτερον εἰπεῖν, ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἢ ἔγειραι καὶ περιπάτει;" εὐκοπώτερον δέ φησιν εἶναι τὸ πρῶτον, ὅτι τὸ μὲν ἀφέωνται οὐκ ἔχει τὴν τῶν ῥημάτων προφορὰν ὡς ἐξ ἰδίας ἐξουσίας προφερομένην καὶ προστάγματος (οὐδὲν γὰρ κωλύει καὶ τὸν μὴ ὄντα τῆς ἀφέσεως κύριον εὐαγγελίσασθαι ταύτην), τὸ δὲ ἔγειραι καὶ περιπάτει δεσποτικῆς ὅλον προστάξεως ἤρτηται, ἄλλως τε δὲ καὶ ὅτι τὸ ἔγειραι καὶ περιπάτει, ἀδιάβλητον φέρον ἔργοις τὴν αὐθεντείαν, καὶ τὴν ἄφεσιν συμπεριεῖχεν. ὁ γὰρ δοὺς τὴν χάριν τοῦ βαδίζειν δηλονότι καὶ τῶν, ὑπὲρ ὧν κατείχετο τῇ νόσῳ, πλημμελημάτων τὴν ἄφεσιν συναπεδίδου. δεσπότου δὲ φιλανθρώπου καὶ τὴν μάστιγα τοῖς ἁμαρτάνουσιν ἐπαφεῖναι, καὶ τῆς πληγῆς μετὰ τοῦ πταίσματος τὸν πληγέντα ἀπαλλάξαι. εἰδὼς δὲ τὸ ἔργον καὶ τὴν ἄφεσιν τῶν ἡμαρτημένων πιστούμενον καὶ τὴν δεσποτείαν τοῦ ἀφιέντος ἐπιδεικνύμενον, ἐπάγει „ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου" καὶ ἑξῆς. ἀναγκαῖον δὲ ἦν τὸ ἐπισκιάζεσθαι τὸ μυστήριον τῆς τοῦ λόγου σαρκώσεως διά τε τὸ γενέσθαι τοῖς ἀκροωμένοις εὐπαράδεκτον, καὶ ἵνα λάθῃ τοῦ σκότους τὸν ἄρχοντα. φησὶ γὰρ ὁ θεοφόρος Ἰγνάτιος τρία λαθεῖν τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, τὴν παρθενίαν Μαρίας, τὴν σύλληψιν τοῦ κυρίου, καὶ τὴν σταύρωσιν. λέγει δὲ καὶ ὁ θεσπέσιος Παῦλος περὶ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, ὡς „εἰ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν."

Ταῦτα εἰπὼν ἐπιφέρει ὡς ἡ μὲν ἀΐδιος καὶ ὑπεράρχιος τριὰς ἀεί ἐστι καὶ ὡσαύτως τριάς, πατὴρ υἱὸς καὶ πνεῦμα ἅγιον, ἀλλ' ὑπὲρ ὃ νοοῦμεν ἢ λαλοῦμεν. πᾶν γὰρ ὃ λέγομεν περὶ θεοῦ ἢ νοοῦμεν, ἐκ τῶν καθ' ἡμᾶς πραγμάτων τε καὶ ῥημάτων τὰ περὶ αὐτῆς ἀναλόγως καὶ λέγομεν καὶ νοοῦμεν. ἰσότιμος δὲ καὶ ἰσοσθενὴς ἡ παναγία τριάς, πάντα πρὸς τὴν ἡμετέραν σωτηρίαν οἰκονομοῦσα, καὶ ὅσα θεολογεῖν αὐτὴν δυναμούμεθα, αὐτὴ ταῦτα φιλανθρώπως ἡμῖν χαριζομένη πάλιν προσίεται. διὸ κατ' ἀρχὰς μέν, ὡς εἴρηται, διὰ τὸ πολύθεον ἡ θεία γραφὴ συγκαταβαίνουσα, οὐχ ὡς ἔχει φύσεως ἢ τάξεως ἡ τριάς, ἀλλ' ὡς ἡμῖν εὐπα- 322 H,
ράδεκτον παραδιδοῦσα, τὸν πατέρα λαμπρῶς καταγγέλλει, εἶτα τὸν υἱὸν κατὰ τὸν δεύτερον σεισμόν, ἐν ᾧ καὶ τὴν γνῶσιν τοῦ πνεύματος συμπαραλαμβάνομεν, οὐ μὴν τήν γε τελείαν· αὕτη γὰρ ἐν τῷ μέλλοντι αἰῶνι καὶ τῷ τελευταίῳ σεισμῷ παραγίνεται, τῆς τριάδος ὅλης τρανότερον ἡμῖν ἐμφανιζομένης τε καὶ ἀνακα- 624 B.
λυπτομένης. εἰ γὰρ καὶ τοῦ πνεύματος τὸν ἀῤῥαβῶνα, ὡς τῆς ἐκλογῆς ἐπιμαρτύρεται τὸ σκεῦος, ἔχομεν, ἀλλ'

a. 1. post ἐκηρύττετο haec addit mg *AC*: καὶ ἵνα μὴ λέγοιεν, εἰ ἀνέμεινεν, αὐτὸ ἂν ἑαυτὸ τὸ ἀνθρώπινον ἀνεσώσατο, καὶ ἦν ἂν ἡ ἀνυπέρβλητος χάρις τοῖς ἀγνώμοσιν ὑπερβαλλούσης ἀχαριστίας ὑπόθεσις. καὶ εἰ κατ' ἀρχάς, οὐδὲν ἐκώλυε (ἐκώλυσε *A*) τοῖς ἀντὶ τῆς σωτηρίας τὸ φιλόνεικον ζητοῦσι πάλιν διαπορεῖν διὰ τί μὴ κατὰ τὸ τέλος ἀλλὰ κατ' ἀρχάς, καὶ διὰ τί μὴ κατὰ τὸ μέσον ἀλλ' ἐν ἀρχῇ ἐσαρκώθη, καὶ κατ' ἀλλήλων τρέπειν τὰς ἀπορίας ἀπὸ τῆς κατὰ τὸν χρόνον τριττῆς διαφορᾶς. 5 οὕτω] malim οὗτος. 16. ταύτης ς. 17. εὐδόκει apographum Stephani: ἐδόκει ς. 18. τὰ ῥήματα] Io. 14, 10. 31. εὐαγγελικῆς ς. 32. τί] Matth. 9, 5. 33. et 38. ἔγειρε ς. b. 2. αὐθεντίαν ς. 9. ἐπάγει δὲ ἵνα ς. 13. λάθῃ post ἄρχοντα ponit ς. 18. εἰ] 1 Cor. 2, 8. 24. αὐτῆς] nonne αὐτοῦ? 27. δυνάμεθα ς. 39. ἐπιμαρτ.] 2 Cor. 1, 22.



Digitized by Google

οὐκ εἰς τὴν τελειότητα τῆς πνευματικῆς ἐφθάσαμεν καταστάσεως. καὶ γὰρ καὶ αὐτὸ τὸ τοῦ ἀρραβῶνος ὄνομα σύμβολον μέν ἐστι τοῦ τελείου δώρου, οὐ μὴν αὐτό γε τὸ δῶρον. καὶ πολλαχοῦ ἀρραβῶνα τῆς μελλούσης κληρονομίας τὸ πνεῦμα ὑμνεῖ καὶ ἀπαρχὴν τῶν αἰωνίων ἀγαθῶν, ὥστε τὴν τελειότητα τοῦ πνεύματος μετὰ τὴν ἀπολύτρωσιν τοῦ σώματος ὑποδεχόμεθα. ἐπειδὴ δὲ ὁ κατὰ τὸ ἀνθρώπινον γένος λεγόμενος καὶ πατὴρ καὶ υἱὸς κοινωνίᾳ γάμου ἀναφαίνεται καὶ γνωρίζεται, διὰ τοῦτο τοῦ παρόντος βίου τοὺς δύο σεισμούς, τὸν μὲν πρότερον ἀνήκειν τῷ πατρί, τῷ υἱῷ δὲ τὸν δεύτερον τὰ λόγια παραδίδωσι. πάλιν ἐπειδὴ τὸ πνεῦμα καὶ τὸ παρ' ἡμῖν σωμάτων ὑπερβαίνει παχύτητα, εἰκότως ὁ τῶν γάμων πεπαυμένων ἀνακύπτων τε καὶ ἀναλάμπων βίος (οὗτος δὲ ὁ τῆς ἀναστάσεως ἂν εἴη· „ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε γαμίσκονται") οἰκείως ἂν ἀφοριωθείη τῷ πνεύματι. ἔδει δὲ τὸν βίον, ἐν ᾧ πατέρες παῖδας φύουσι, τὸν θεὸν καὶ πατέρα προτεταγμένον γινώσκεσθαι τοῦ υἱοῦ, οὐ τῆς τριάδος τὴν τάξιν ἀπαιτούσης (ποῦ γὰρ τάξις, ἔνθα τὸ ἴσον ἀπαράλλακτον;) ἀλλὰ διὰ τῆς ἐν αὐτῇ κατ' οἰκονομίαν τάξεως τοὺς πατέρας τιμᾶσθαι παρὰ τῶν παίδων παραινούσης. καὶ τὸ ἀξίωμα δὲ τοῦ πνεύματος ἡ ἱερὰ ἐπαίρουσα γραφὴ ὅλην τὴν τριάδα τῇ τοῦ πνεύματος ἐξονομάζει φωνῇ, ὡς τὸ „πνεῦμα ὁ θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν." καὶ τὸ „πᾶσα ἁμαρτία ἀφεθήσεται τοῖς ἀνθρώποις, τῷ δὲ βλασφημοῦντι εἰς τὸ πνεῦμα τὸ ἅγιον οὐκ ἀφεθήσεται" ἐπὶ τῆς θεότητος ὅλης ἐκληφθὲν σύμφωνον ἂν εἴη τῷ προειρημένῳ σκοπῷ. καὶ ἡ ἐν ἐσόπτρῳ δὲ γνῶσις καὶ ἡ ἐν αἰνίγματι τῆς ὑπερφυοῦς ἐν τριάδι θεότητος εἰς τὸ τέλειον διὰ τοῦ πνεύματος ἡμῖν ἀποκαθίσταται κατὰ τὸν μέλλοντα· καὶ γὰρ οὗτος τῷ παναγίῳ πνεύματι, ὥσπερ τῶν πρὸ αὐτοῦ δύο σεισμῶν ὁ μὲν τῷ πατρὶ ὁ δὲ τῷ υἱῷ ἀναφέρεται. ἔστι δὲ δηλονότι ὁ μὲν τῇ τάξει πρῶτος σεισμὸς ἔσχατος τῷ τε ἀξιώματι καὶ τῷ τῆς ὠφελείας μεγέθει· δῆλον γὰρ ὡς ἡ χάρις πολλῷ τοῦ νόμου μείζων τε καὶ λυσιτελεστέρα. ἀλλὰ καὶ ὁ δεύτερος ἐλαττοῦται τοῦ τρίτου, εἴγε νῦν μὲν „ἐν ἐσόπτρῳ βλέπομεν καὶ ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον." διὸ καὶ „ὅταν ἔλθῃ τὸ τέλειον, καταργηθήσεται τὸ ἐκ μέρους." καὶ σκόπει τῆς θεουργοῦ προνοίας τὸν πάνσοφόν τε καὶ ἀρρεπῆ ζυγόν. "ὁ πατὴρ ἐδόκει 623 H. τοῖς πάλαι τὸ μεῖζον ἔχειν, ὁ υἱὸς δὲ πάλιν κατὰ τὴν νέαν ἐνίοις μὲν τὸ ἔλαττον, τοῖς πολλοῖς δὲ τὸ ἴσον· τὸ δὲ ἅγιον πνεῦμα τοῖς πολλοῖς μὲν τὸ ἔλαττον, ὀλίγοις δὲ τὸ ἴσον. ἵνα οὖν τὸ ἄνισον τὸ ἀπὸ τῆς τῶν ἀνθρώπων ὑπολήψεως εἰς ἰσότητα ἐπαναχθῇ, ὁ μὲν πρῶτος σεισμός, ὃς ἀφώριστο τῷ πατρί, τὸ ἔλαττον ἔσχεν, ὁ δὲ δεύτερος, ὃς ἦν τῷ υἱῷ, τὸ ἐκείνου μεῖζον, καὶ ὁ τοῦ πνεύματος ἀμφοῖν ὑπερέχον. καὶ ὅρα σαφῶς ὅπως ἡ ἐν ταῖς τῶν ἀνθρώπων δόξαις ἀνισότης διὰ τῆς τῶν τριῶν καιρῶν ἀνισότητος εἰς ἀρρεπεστάτην τε καὶ θαυμασίαν συνεβιβάσθη ἰσότητα," τῆς τριαδικῆς θεαρχίας 625 B. ὥσπερ αὐγήν τινα παραδεξαμένη καὶ ἔλλαμψιν. ὅτι δὲ ἡ ἐν τριάδι τάξις τὴν τῶν πολλῶν οἰκονομίαν στοχάζεται, ἀλλ' οὐκ ἀπὸ τῆς ὑπερφυοῦς ἐκείνης καὶ ἀρρήτου βλαστάνει φύσεως, ὁ τῶν ἀπορρήτων μύστης διδάσκει, ὃς καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα θεόληπτον μύησιν ἔχων ἐνίοτε τοῦ πατρὸς προτάττειν· „διαιρέσεις" γὰρ „χαρισμάτων εἰσί, καὶ τὸ αὐτό" φησι „πνεῦμα· διαιρέσεις δὲ διακονιῶν, καὶ ὁ αὐτὸς κύριος· καὶ διαιρέσεις ἐνεργημάτων, καὶ ὁ αὐτὸς θεός." καὶ πρὸς Γαλάτας „Παῦλος ὁ ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων οὐδὲ δι' ἀνθρώπων, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ θεοῦ πατρός." ὥστε τὸ προτάττεσθαι καὶ ὑποτάττεσθαι τὰ τῆς θεαρχικῆς τριάδος καὶ πᾶσαν τάξιν καὶ πάντα λόγον ὑπερεχούσης ὀνόματα οὐχ εἱρμόν τινα φυσικὸν διασώζει τάξεως, ἀλλὰ πρὸς τὴν τῶν ἀκροατῶν σωτηρίαν οἰκονομεῖται καὶ διαποικίλλεται. Ταῦτα μὲν οὖν ὁ κλεινός τε καὶ τῶν θείων μαθημάτων διάπυρος ἐραστὴς κατὰ τὸ λα' τε καὶ β' κεφάλαιον φιλοπονησάμενος ἐπραγματεύσατο.

Ἐν δὲ τῷ ἑξῆς κεφαλαίῳ αἰτίας τίθησι δι' ἃς ἡ παλαιὰ καὶ νέα διαθήκη τῷ δυσλήπτῳ τε καὶ δυσερμηνεύτῳ ποικίλλεται, εἰ καὶ μᾶλλον μὲν ἡ παλαιά, ἧττον δὲ τὰ τῆς χάριτος. καὶ ἐπὶ μὲν τοῦ Μωσαϊκοῦ γράμματός φησιν ὅτι, ἐπεὶ τύπος ἦν καὶ σκιὰ τῶν μελλόντων ἀγαθῶν, εἰκότως ὡς ἐν σκιᾷ τε καὶ τύπῳ καὶ αὐτὰ τὰ ῥήματα καὶ τὴν τῶν ῥημάτων συνθήκην προβάλλεται, δι' ὧν κρατεῖ ἡ ἀσάφεια. πλήν γε κατὰ τὰς διπλᾶς τῆς νομοθεσίας πλάκας διπλῆν καὶ τὴν χρείαν παρέχεται, τοῖς μὲν ἀναβεβηκόσι τὸν νοῦν τὴν αἴγλην

a. 4. πολλαχοῦ] ἀλλαχοῦ Hoeschelius. ἀρραβ.] Ephes. 1, 14. 5. ἀπαρχὴν] Rom. 8, 23. 15. ἐν γὰρ] Matth. 22, 30. 24. πνεῦμα] Io. 4, 24. 26. πᾶσα] Matth. 12, 31. 32. οὗτος ς. 38. ἐν ἐσόπτρῳ] 1 Cor. 13, 12. 41. θεουργοῦ] δημιουργοῦ pr A.

b. 10. διὰ A: καὶ ς. 13. παραδεξαμένη AC: παραδεξαμένην ς. 18. διαιρ.] 1 Cor. 12, 4. 21. Γαλ.] 1, 1. 24. τὰ add C. 28. οὖν et 30. τε add A. 37. καὶ πρὸς αὐτὰ ς.

ἔσωθεν ἀπαστράπτοντα τὴν τοῦ πνεύματος, τοὺς δὲ παχυτέρους ψυχαγωγοῦντα τῇ σκιαγραφίᾳ τοῦ γράμματος. ἐκέκρυπτο δὲ τὰ μέλλοντα ἀγαθά, ὧν ἡ τῆς τριάδος γνῶσις τὸ κεφάλαιον, δι᾽ ἃς αἰτίας πολλάκις ἀποδεδώκαμεν, λέγω δὴ διά τε τῶν ἀκροατῶν τὸ ἀσθενὲς καὶ διὰ τὸ λαθεῖν τὸν ἄρχοντα τοῦ σκότους, καὶ τρίτον ἵνα ἐκ μέσου παντελῶς ἀρθῇ τὸ πολύθεον, μηδεμιᾶς προφάσεως τοῖς πεπλανημένοις τε καὶ ἀμαθεστέροις ἐκ τοῦ τὴν τριάδα κηρύττεσθαι σαφῶς καὶ χωρὶς παρακαλυμμάτων ὑπολειπομένης πρὸς πλάνησιν. καὶ ἔοικε τὰ ἱερὰ γράμματα χρυσίτιδι γῇ, ἥτις οὐ πᾶσιν οὐδὲ τοῖς 324H. τυχοῦσιν, ἀλλὰ τοῖς φιλοπόνως καὶ ἐπιστημόνως μεταλλεύουσι τό τε χρυσίον δόκιμον καὶ τὸ κέρδος τῶν πόνων μεῖζον παρέχει. ὥσπερ οὖν πενίας οὐκ ἀπαλλάττεται ὁ τὴν μεταλλικὴν ψάμμον ἐν ὡραϊσμῷ ἢ παιδιᾷ ἢ κατὰ μυκτηρισμὸν ἐπαφώμενος, οὐδὲν δὲ φιλοπονῶν οὐδ᾽ ἀνιχνεύων τὸ ὑπὸ ταύτης κρυπτόμενον, οὕτως οὐκ ἂν ἀγνοίας ἀπαλλαγείη οὐδὲ τῆς ἐχούσης τοὺς ῥαθύμους αἰτιάσεως ὁ τῷ γράμματι μόνῳ περιφυόμενος, τὸν δὲ ἐν αὐτῷ θησαυρὸν οὐκ ἀνερευνῶν οὐδὲ τὸ ἐν βάθει κέρδος τῶν νοημάτων ἀναλεγόμενος. καίτοι καὶ αὐτὸ τὸ κεκρύφθαι τὰ θεῖα νοήματα τὸ τιμιώτατον αὐτοῖς καὶ ὑψηλὸν ἐπιμαρτύρεται, καὶ πόθον ἐγκεντρίζει μᾶλλον ζητήσεως ταῖς ψυχαῖς, ὅσαι πρὸ τῆς ῥαστώνης τὸ θεοφιλές τε 628R. καὶ φιλόπονον ἔμπροσθεν ἄγουσι. καὶ τὸ κακοῦργον δὲ τῶν Ἰουδαίων καὶ τολμηρὸν περὶ τὰ ἀτόλμητα τῆς κατὰ τὴν παλαιὰν ἀσαφείας αἴτιον· ἵνα γὰρ μὴ τὰς περὶ Χριστοῦ μαρτυρίας τὸ περιφανὲς καὶ κατάδηλον ἐχούσας τῶν γραφῶν περικόψωσι καὶ ἐξαφανίσωσι, διὰ τοῦτο μετὰ τοῦ συνεσκιασμένου ταῦτα προάγεται. καὶ τρίτον, ὅτι ὀλίγωρος ὢν καὶ τῶν θείων προσταγμάτων καταφρονητὴς ὁ τῶν Ἰουδαίων λαός, ἵνα μὴ μαθόντες σαφῶς ὡς τὰ τοῦ νόμου πάντα ῥυήσεται, εἰς ἑτέραν δὲ πολιτείαν ἃ παρ᾽ αὐτοῖς ἐστὶ τίμιά τε καὶ σπουδαζόμενα μεταστήσεται, ἐκ δὲ τῆς τοιαύτης ἐμφανοῦς ἐπιγνώσεως πλέον τε πρὸς τὴν ὑπεροψίαν ὑπαχθῇ τῶν προσταγμάτων (τί γάρ με δεῖ στέργειν ἃ μετὰ μικρὸν λυθήσεται καὶ ὧν οὐ μετὰ βραχὺ τὸ ἀνόνητον;) διὰ τοῦτο τῇ ἀσαφείᾳ ταῦτα καὶ τῷ δυσλήπτῳ περικαλύπτεται. εἰ γὰρ καὶ χωρὶς προφάσεως μυριάκις τῶν τοῦ θεοῦ προσταγμάτων ἀπέστησαν, μήτε μετάστασιν αὐτῶν ἐγνωκότες μήτε ὅτι τὸ ἀτελὲς ἔχουσι μήτε ὅτι πολιτείας ἑτέρας εἰσὶ τύποι καὶ σκιάσματα, τί οὐκ ἂν ἔδρασαν, εἰ ἐξ αὐτῶν ἐκείνων σαφῶς τὴν οἰκείαν λύσιν καὶ μετάθεσιν ἐμάνθανον; ἄλλως τε δὲ καὶ νόμος πανταχοῦ κρατῶν διδασκαλίας, τοῖς ἄρτι στοιχειουμένοις τὰ τελεώτερα μέχρι καιροῦ τῆς τελειώσεως συγκαλύπτεσθαι, εἰσαγωγικοῖς δὲ παιδεύμασι τὸν μαθητὴν προπαρασκευάζειν πρὸς τὴν τῶν τελεωτέρων κατανόησιν. ἐπὶ δὲ τοῖς εἰρημένοις, καὶ τὴν φύσιν οὕτως οἰακιζομένην τε καὶ τὰ οἰκεῖα ἔργα ῥυθμίζουσαν ὁρῶμεν. αἱ γὰρ πρῶται καταβολαὶ καὶ τὰ σπέρματα τὸ μὲν τέλειον εἶδος ἐν ἑαυτοῖς ἐμφανῶς οὐ δεικνύουσι, τούτου δὲ τοὺς λόγους ἐγκεκρυμμένους φέρουσιν, οἷον ὁ κόκκος στάχυς μὲν οὐκ ἔστιν, ἐν ἑαυτῷ δὲ κρύπτει τὸν λόγον τοῦ στάχυος· καὶ ἐπὶ τῶν ἄλλων δὲ καρπῶν καὶ σπερμάτων ὁ αὐτὸς τῆς φύσεως εἱρμὸς ἐπιγινώσκεται. τοιοῦτον δή τινα καὶ ὁ νόμος πρὸς τὴν χάριν διασώζει λόγον· ἃ γὰρ ἡ χάρις ἐτελείωσε, τῶν νομικῶν σπερμάτων ἐστὶ τῆς καταβολῆς τὰ γεώργια. Δι᾽ ἃ μὲν οὖν τὴν ἀσάφειαν ἡ Μωσαϊκὴ νομοθεσία ὑπέδυ, μετρίως εἴρηται.

Καὶ τῆς χάριτος δὲ τὸ ἀσαφὲς καὶ οὐ πᾶσιν ἐπίδηλον τὸ νεοκατήχητον αἴτιον ἔχει τῶν ἀκροατῶν καὶ τῆς 325H. διανοίας τὴν ἀσθένειαν. διὸ καὶ τὸ σκεῦος τῆς ἐκλογῆς „γάλα" φησὶν „ὑμᾶς ἐπότισα καὶ οὐ βρῶμα· οὔπω γὰρ ἠδύνασθε." ὥσπερ δὲ πᾶσα τροφὴ ἀκατάλληλος βλαβερὰ τῷ μετέχοντι, οὕτω καὶ γνῶσις, κἂν τὸ παναληθέστατον εἴη προβάλλουσα, τοῖς ἀτελέσιν ἀσύμφορος. εἰ γὰρ καὶ τῆς παλαιᾶς ἡ νέα τηλαυγέστερον ἐκδιηγεῖται τὸ τῆς εὐσεβείας μυστήριον, ἀλλ᾽ οὖν ὡς ἀρχῆς καὶ σπέρματος λόγον ἐπέχουσα καὶ αὐτὴ πρὸς τὴν ἤδη πολιτείαν ἐγκαινιζομένην οὐκ εὐθὺς τοῖς μυουμένοις ἀλλὰ κατὰ προκοπὴν ἀποκαλύπτει τὰ τέλεια. ἔτι δὲ καὶ τοῖς κυσί, τουτέστι τοῖς ἀντικειμένοις καὶ καθυλακτοῦσιν, οὐχὶ προπετῶς καὶ ἀφιλοσόφως ῥίπτειν τὰ ἅγια, οὐδὲ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, οἷς ὁ βίος ὁ τῶν ἡδονῶν βόρβορος, δεσποτικὸν ὑπάρχει καὶ τὴν διδασκαλίαν κατευθῦνον παράγγελμα. ἄνευ δὲ τῶν εἰρημένων καὶ ἡ ἁγιοποιὸς τελετὴ μυστήριον ὀνομάζεται, τὸ δὲ μυστήριον οὐ κοινὸν οὐδὲ τοῖς βεβήλοις εὐεπίβατον. ἔτι μὴν καὶ τὰ ἅγια νοερῶς μὲν τοῖς τε Σεραφὶμ καὶ 629R. Χερουβίμ, ὑλικῶς δὲ καταπετάσμασι καὶ πτεροῖς καὶ πύλαις καὶ κλεῖθροις περιστοιχίζεται· οὕτω γοῦν χρὴ καὶ τὴν ἱερὰν ἡμῶν γραφὴν τοῖς μὲν βεβήλοις περικαλύπτεσθαι, ἵνα μὴ τὰ ἅγια ἐξυβρίζοιτο, τοῖς δὲ μεμυημένοις καὶ πιστοῖς ἀνακαλύπτεσθαι. ἄλλως τε δὲ καὶ εἰ τὸ ῥᾷον εἰς

a. 1. ἀπαστράπτοντα et 2. ψυχαγωγοῦντα] rectius ἀπαστράπτον — ψυχαγωγοῦν. 31. ὢν] immo ἦν. 36. τε] an fuit τι? b. 2. ἀνεμάνθανον A. 22. γάλα] 1 Cor. 3, 2. 40. malim οὕτως οὖν. 43. εἰ add A.

κτῆσιν οὐχ ὥσπερ τὸ πόνῳ κτηθὲν περισπούδαστον, εὐλόγως τὸ ἱερὸν γράμμα τοῖς μὲν ῥαθύμοις τὸν θησαυρὸν ἀποκρύπτεται, τοῖς δὲ φιλοπονοῦσι χαρίζεται. ἀλλὰ καὶ ἱδρῶσι πᾶν τὸ τίμιον καὶ ἡ ἀρετὴ εἰς κτῆσιν ἀφικνεῖται καὶ ἀπόλαυσιν, ἡ δὲ κακία ῥᾷόν τε καὶ πᾶσι πρόχειρον. καὶ τὸ μὲν πόνῳ κατορθωθὲν μᾶλλον ποθεῖται· ὃ δὲ ῥᾳδίως λαμβάνεται, καὶ ῥᾳδίως ἀποβάλλεται καὶ πρὸς τὸ παρεωραμένον μᾶλλον ἀντὶ τοῦ ποθεῖσθαι κατασύρεται. διὸ καὶ ὁ Ἀδὰμ ἄνευ ἄθλων καὶ καμάτων ὁμιλίας ἀξιούμενος θείας καὶ τῶν ἄλλων ἀγαθῶν ῥᾳδίως ὧν ἀπήλαυεν ἐξωλίσθησε· καὶ ἐπειδὴ τὸν ἄλυπον καὶ ἄμοχθον βίον βαράθρου πρόξενον ἑαυτῷ κατεσκεύασεν, ὁ πάνσοφος ἰατρὸς τοῖς ἐναντίοις φαρμάκοις ἐξιᾶται τὸ νόσημα, ἐν ἱδρῶτι τοῦ προσώπου καὶ τὸν σωματικὸν ἄρτον φαγεῖν νόμον τιθέμενος, καὶ ὅσοις ὁ πνευματικὸς ἔρως πνευματικὴν παρατίθησι τράπεζαν. ἄνευ δὲ τῶν εἰρημένων, εἰ παντὸς ἦν καὶ χωρὶς καμάτων τῆς κατὰ τὴν γραφὴν θεωρίας ἡ κατάληψις, ποῦ τῶν ἐπαγρυπνούντων ταύτῃ καὶ ἐπαγωνιζομένων τὰ ἔπαθλα; ἢ τίς ἂν προσανεῖχε τῇ ταύτης φιλοπονίᾳ, οὐδὲν ἔλαττον ἐχόντων τῶν ῥαθύμως αὐτῆς ἁπτομένων; ὥστε διὰ τῶν εἰρημένων δίκαιόν τε ἅμα καὶ λυσιτελὲς ἀνεφάνη τὸ μὴ ἀνηπλῶσθαι μᾶλλον μηδ' ἀπαραφυλάκτως ἐῤῥῖφθαι ἢ τὸ κοινὰ προκεῖσθαι πᾶσι καὶ τοῖς ἀναξίοις τῆς γραφῆς τὰ νοήματα. παρὰ μέντοι τὰ εἰρημένα, τῶν μὲν φιλοπόνων καὶ ἀξίων τοῦ 326 H. κατὰ γνῶσιν πνευματικοῦ χαρίσματος οὐκ ″ἄν τις αἰτιάσαιτο τῆς γραφῆς τὴν ἀσάφειαν· ὁ δὲ ῥᾴθυμος καὶ ἀναπεπτωκὼς τί δή ποτε μὴ καταλαμβάνων δυσχεραίνοι ἄν; εἰ μὲν γὰρ σπουδῆς ἀξίαν τὴν τῶν θείων γνῶσιν ἡγεῖται, τί μὴ σπουδάζει περὶ τὰ τίμια; εἰ δὲ πρὸς ἀρετὴν μηδὲν ἀναγκαῖον παρέχουσαν, τί καὶ δυσχεραίνει μηδὲν ζημιούμενος; τί δὲ καὶ ἐκ τῆς ἀσαφείας παραβλαβείη τις ζητῶν μαθεῖν τὴν διάνοιαν; ἔστι γάρ, ἔστι τοῖς βουλομένοις ἃ ζητοῦσιν οὐ χαλεπὸν μαθεῖν. πολλῶν γὰρ ἀνδρῶν ἱερῶν πόνοι ἀναπτύσσουσί τε καὶ ἐξαπλοῦσι τὰ θεσπέσια λόγια, οἷς ἐμφιλοχωρεῖν τις προαιρούμενος οὐκ ἂν ἀτυχήσῃ τοῦ βουλήματος. ὃς δ' οὐχ αἱρεῖται, δῆλον ὡς εἰ καὶ πάντων εἴη σαφέστερα, οὐκ ἂν αὐτῶν εἰς γνῶσιν ἀφίκοιτο. ὅτι δὲ ἀληθὲς τὸ ῥηθέν, εἰσὶν οἳ μηδὲ ἁπλῶς αὐτὰ τῶν ἀποστολικῶν ἐπιστολῶν ψιλὰ γινώσκουσι τὰ ὀνόματα, ἀλλ' οὐδὲ τῶν προφητῶν ἢ τῶν ἄλλων ἱερῶν βίβλων, ὅσα τῆς παλαιᾶς καὶ ὅσα τῆς χάριτος, οὐδ' αὐτὸν τὸν κατάλογον διὰ φωνῆς προάγειν ἐπίστανται. καίτοι τί σκοτεινόν, τί δ' ἀσαφές, τί δὲ χαλεπὸν ὀνομάτων εἰδέναι κατάλογον; ποίας δὲ μελέτης δεῖται; ἀλλὰ τοῖς γε μὴ βουλομένοις οὐδὲν ἧττον ταῦτα ″ἢ τὰ τῶν γρίφων 632 R. μένει ἀνεπίγνωστα· ὥστε οὐχ ἡ τῶν λογίων ἀσάφεια τῆς τῶν πολλῶν ἀγνοίας τὸ αἴτιον, τὸ δὲ τούτων ἠμελημένον καὶ ῥᾴθυμον καὶ τὰ σαφέστατα πάντων ἀγνοεῖν παρεσκεύασε. παρὰ μὲν τοῖς τοιούτοις οὐδὲν τοῦ σαφοῦς τὸ ἀσαφές, ὡς δέδεικται, διενήνοχε· τοὺς δὲ σπουδαίους ἡ ἀσάφεια, μετὰ τοῦ παρέχειν ἀκαπήλευτον τὸ οἴκοθεν κέρδος, καὶ σοφούς τε καὶ σπουδαίους τὴν ἀρετὴν ἐπιδείκνυσιν. ἔτι δὲ ὁ [μὲν] τῆς ἱερᾶς γραφῆς τὸν νοῦν ἐλλαμφθῆναι ἀξιῶν, εἰ μὲν ἀνθρωπίνην δόξαν ζητῶν οὗτος, δικαίως τῶν τῆς θείας σοφίας προπυλαίων ἀπελαύνεται· εἰ δὲ τῆς ἀρετῆς χάριν καὶ τῆς ἄνωθεν ἀντιδόσεως, ὅσον διὰ πόνων καὶ ἱδρώτων αὕτη πρόσεισιν, τοσοῦτον ἀδίστακτος τῆς ἀμοιβῆς ἡ ἀπόλαυσις τοῖς ἀγωνισταῖς περιγίνεται. ἀλλὰ γὰρ καὶ τοῦτο σοφίας ἐστὶ τῆς ἀνεκδιηγήτου πρόνοια. ἐκκόπτων μὲν γὰρ κατ' ἀρχὰς ὁ θεὸς τὸ μεμψίμοιρον, δίδωσιν ἡμῖν ἀταλαίπωρον τὴν ἐν παραδείσῳ τρυφήν· διελέγξας δὲ οἷς ἐπράξαμεν ὡς ἀσύμφορον ἀνθρώποις ὁ ἄμοχθος βίος καὶ ἀταλαίπωρος, ὥσπερ τι φάρμακον τῶν καμάτων καὶ μόχθων τῷ βίῳ τὴν βαρύτητα συνεκέρασε, στάδιον ὥσπερ καὶ ἀγωνιστήριον τοῦτον ἡμῖν προτιθείς, καὶ μεγάλου κέρδους καὶ ἐπάθλων πρόξενον. Ἐν τούτοις μὲν τῷ συγγραφεῖ τό τε τριακοστὸν κεφάλαιον τρίτον καὶ ὁ ζʹ ἀπαρτίζεται λόγος.

Ὁ δὲ ηʹ περὶ δύο τινῶν τὸν ἀγῶνα ὑποδύεται, ὧν ἓν μὲν λύσις ἐστὶν αὐτῷ ἀπορίας τινὸς οὐκ ἄκομψον σπουδὴν ἐχούσης. ταύτην δὲ βλάστημα εἶναι κατασκευῆς λόγου τινός, δι' οὗ τὸν θεὸν υἱὸν ἔχειν κατασκευάζεται· τὸν δὲ πατέρα τῆς κατασκευῆς τὸν Νύσσης εἶναι Γρηγόριον. λέγει δὲ τὸ ἐπιχείρημα ″ὡς ὅστις μὴ ἄλογον 327 H. εἶναι διομολογεῖ τὸν θεόν, πάντως λόγον ἔχειν συγκατατίθεται· ὁ δὲ τοῦ ἀκηράτου λόγος ἀκήρατος· ὁ δὲ ἀκήρατος λόγος, παρ' ὃν δοξάζομεν υἱόν, οὐδὲν ἂν εἴη ἕτερον. ἡ μὲν οὖν ἐπιχείρησις τοῦ δεῖν υἱὸν ἔχειν τὸν θεὸν τοιαύτη· εἶτα πρὸς ταύτην ἀνθυποφέροντά τινα τῶν φίλων εἰσάγει, ὃν καὶ τιμιώτατον ὑμνεῖ. ἡ δὲ ἀνθυποφορά, ὅτι περ οὐδὲν κωλύει τὰ αὐτὰ καὶ περὶ τοῦ υἱοῦ καὶ περὶ τοῦ πνεύματος διαλαβεῖν (θεὸς γὰρ τούτων

a. 1. κτῆσιν] libri χρῆσιν. 24. ἢ τὸ] εἴτε corr A, ἢ τὰ ς. 34. παραλαβείη ς. 35. ἃ μὴ ζητ. ς. 43 aut βιβλίων opus aut ὅσαι. b. 5. γρίφων A: γραφῶν ς. 6. οὐχὶ τῶν ς. 34. νυσης, ut solet, A. 42. ὅτι] ὡς A.

Digitized by Google

ἑκάτερον), καὶ οὕτως οὐκ εἰς τριάδα ἀλλ' εἰς μυριάδα ὑποστάσεων, ὅσον ἀπὸ τοῦ ἐπιχειρήματος, προελεύσεται τὸ μυστήριον. ταύτην τὴν ἀνθυποφορὰν, δριμεῖάν τε καὶ συνεστραμμένην οὖσαν, διαφόροις μὲν ἐπιχειρεῖ λόγοις ἀνασκευάζειν, οὐ μὴν κατά γε ἐμὲ τῆς ἀκριβείας ἐφικνεῖται. καίτοι πολὺς αὐτῷ περιῤῥεῖται τῆς ἐπὶ τούτῳ σπουδῆς ὁ ἱδρώς· μέχρι γὰρ καὶ ιγ' ἐπιχειρήματος τὸν πόνον παρατείνει. ἀλλὰ πρὸς μὲν τοὺς τὴν εὐσέβειαν τιμῶντας ἔστιν ἃ τῶν ἐν αὐτοῖς εἰρημένων οὐκ ἀφυῶς ἔχει· ἀνδρὶ δὲ διαμαχομένῳ οὐ μόνον οὐδὲν ἐπαγωγὸν πρὸς εὐσέβειαν παρέξει, ἀλλὰ καὶ ἀφορμὰς πρὸς τὸν γέλωτα. φαίη δ' ἄν τις ἴσως συντετμημένῳ τε καὶ ἀπερίττῳ λόγῳ πρὸς τὸν τῇ ἀνθυποφορᾷ γαυρούμενον, ὡς εἰ μέν τις τὸν πατέρα προτίθησιν, εἶτα περὶ αὐτοῦ διερωτᾷ πότερον ἄλογον ἢ λογικόν, κἀκεῖθεν κατασκευάζει τῷ πατρὶ δεῖν προσεῖναι
635 R. καὶ υἱόν, τῆς ἀνθυποφορᾶς τὸ περίεργον ἴσως ἔχει πάροδον καὶ ἰσχύν. εἰ δὲ τοῦτο μὲν οὐ ποιεῖ (οὔτε γὰρ δεῖ, οὔτε ὁ θαυμαστὸς Γρηγόριος οὕτω τὸν λόγον προήνεγκεν) αὐτὸ δὲ τὸ θεός προβαλλόμενος, ὃ κοινόν ἐστι καὶ ἀμέριστον τῶν θεαρχικῶν ὑποστάσεων ὄνομα, ἐπ' αὐτοῦ δὴ καὶ τὸν λόγον ἢ τὸ γόνιμον, εἰ βούλει δὲ καὶ τὸ ἔμπνουν, ἐπερωτᾷ, κατασκευάσει μὲν τὸ τῆς τριάδος μυστήριον οὕτως, οὐ μήν γε χώραν ἐνδώσει τῷ βουλομένῳ τὴν κατασκευὴν περιεργάζεσθαι. ποῦ γὰρ ἴσον ἢ ἐγγὺς ὅμοιον ἀντὶ τῆς ὁλικῆς θεότητος μίαν ὑπόστασιν διαλαβεῖν, καὶ περὶ ταύτης φιλοπραγμονεῖν ἃ καλῶς εἶχε περὶ ὅλης θεολογεῖν τῆς θεότητος; τὸν γὰρ οὕτω εἰς ἀλογίαν ἐκφερόμενον οὐδὲν κωλύει καὶ ἄνευ τινὸς περινοίας αὐτόθεν παραληρεῖν, ὡς ἐπεί περ ὑμῖν ἐν τριάδι ὁ θεός, ἀνάγκη καὶ ἕκαστον τῆς τριάδος εἰς ἑτέραν τριάδα πληθύνεσθαι. πρὸς δὲ τοιοῦτον λῆρον οὐδεὶς ἂν οἶμαι σώφρων ἔλεγχος ἐπιστραφείη. ἀλλὰ γὰρ ἡ μὲν λύσις τῆς ἀνθυποφορᾶς τοιαύτη τις ἂν εἴη, καὶ ὅσαι ἄλλαι τὴν αὐτὴν ἵενται. Τὸ μὲν οὖν πρῶτον τοῦ ἑβδόμου βιβλίου κεφάλαιον τοιοῦτον.

Δεύτερον δὲ ζητεῖ διὰ τί τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ὁμοτίμως ἐκ τοῦ πατρὸς προϊόντων ὁ μὲν λέγεται υἱός, τὸ δὲ πνεῦμα, καὶ οὐκ ἄμφω τὴν τῆς υἱότητος διασώζουσι κλῆσιν, ὥσπερ οὐδὲ τὴν σχέσιν· καὶ οὕτω διαπορήσας ἐπάγει τὴν λύσιν, ὡς ἅπαξ ἡ θεολογία ἐκ τῶν γνωρίμων ἡμῖν τῆς θείας φύσεως τὸ ἐν τριάδι γνήσιον καὶ ὁμότιμον λογογραφοῦσα, διὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, τὸ ἄῤῥητόν τε καὶ ἀκατονόμαστον τῆς θεότητος ὄνομα συνήθεσιν ἡμῖν καὶ συν- 328 H.
τρόφοις προσηγορίαις ὑπέβαλεν. καὶ ἐπειδὴ σύνηθες ἐπὶ μὲν τῶν καθ' ἡμᾶς υἱῶν καὶ πρόσφορον λέγειν τὴν γένεσιν, ἐπὶ δὲ τοῦ πνεύματος τὴν ἐκπόρευσιν („πνεῦμα" γάρ φησι „πορευόμενον καὶ οὐκ ἐπιστρέφον" καὶ „ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ" καὶ „ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει"), ἐπεὶ οὖν ἐν τῷ ἀνθρωπίνῳ γένει τῷ μὲν υἱῷ τὴν γέννησιν ἐφαρμόζομεν, τῷ πνεύματι δὲ τὴν ἐκπόρευσιν, ἀναλόγως καὶ ἐπὶ τῆς ἀῤῥήτου καὶ ὑπερφυοῦς φύσεως τὸν μὲν υἱὸν γεγεννῆσθαι διδασκόμεθα, ἐκπορεύεσθαι δὲ τὸ πνεῦμα θεοπρεπῶς ἐμυήθημεν. διὰ τοῦτο γὰρ καὶ πνεῦμα μὲν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὸ ἅγιον πνεῦμα εἴρηται, ἐπεὶ καὶ παρ' ἡμῖν ἑκατέρου τούτων πνεῦμα λέγεται, πατὴρ δὲ ἢ υἱὸς τοῦ πνεύματος οὐκέτι· οὐδὲ γὰρ παρ' ἡμῖν. ὅτι δὲ τὸ θεῖον τῇ ἑαυτοῦ φύσει ἄῤῥητόν ἐστι καὶ ἀνεπινόητον, πᾶσα μὲν κοινὴ ἀνομολογεῖ ἔννοια, πολλαχοῦ δὲ καὶ τῆς ἱερᾶς γραφῆς ἀνακηρύσσεται, καὶ τῶν σοφῶν πατέρων ἡμῶν μικροῦ πᾶς ὁ χορὸς συνεπιμαρτύρεται, ὧν οὐδὲ τὰς φωνὰς ὡς οὐκ ἀδήλους ἀνάγκη ἐπισημήνασθαι. Ταῦτα μὲν ἐν τῷ η' λόγῳ διέξεισιν.

Ἐν δὲ τῷ θ' μετά τινα διάπλασιν προοιμίου, ἐν ᾧ τὸν τοῦ Ναυῆ Ἰησοῦν φησὶν ἐπερωτῶντα τὸν ἀρχιστράτηγον „ἡμέτερος εἶ ἢ τῶν ὑπεναντίων;" οὐκ εἴ τίς ἐστι τῶν αἰσθητῶν πολεμίων, ἀλλὰ τῶν νοητῶν, τὴν ἐρώτησιν ποιεῖσθαι. πολλὰ γὰρ αὐτὸν ἀνεδίδασκε μήτε τῆς παρατάξεως ἐκείνων εἶναι, ἀλλὰ μηδέ τινα τῆς οἰκείας στρατιᾶς· τό τε γὰρ ἀθρόον τῆς ἐπιστασίας, καὶ τὸ μη- 636 R.
δένα τολμᾶν τῶν ἐναντίων μήτε διὰ μέσου στρατοπέδου πολεμίου διελθεῖν μήτε εἰς ὄψιν ἐλθεῖν τοῦ στρατηγοῦ, ἀλλὰ καὶ τὸ ταῦτα τολμήσαντα μηδὲν ὅλως πολέμιον δρᾶσαι· ἄλλως τε δὲ οὐδὲ τοῦ σοφωτάτου τῶν στρατηγῶν ἦν μὴ εἰδέναι ὁποῖόν τι τῶν ὁμοφύλων τὸ σχῆμα καὶ ἡ κατασκευή, καὶ οἷον τὸ ἀλλόφυλον. ἀλλ' ᾔδει μὲν τὴν παροῦσαν ὄψιν ἕν τι τῶν νοερῶν πνευμάτων εἶναι, ἐζήτει δὲ μαθεῖν πότερον τὸ φαινόμενον τῆς ἐναντίας εἴη ἢ τῆς ὑπερασπιζούσης δυνάμεως τὸν Ἰσραήλ.

Κατὰ μὲν οὖν τὸ προοίμιον περὶ τούτου διαλαμβάνει· μετὰ δὲ τοῦτο ζητεῖ πῶς ἂν ἀμφότερα συγχωρηθείη, καὶ τὸ τυχεῖν ἡμᾶς χαρίσματος κρείττονος τοῦ ἀγγελικοῦ ἀξιώματος, καὶ τὸ ἰσαγγέλους ἐν τῇ ἀναστάσει ὀφθή-

a. 11. παρέχει A. 29. αὐτόθεν add A. 31. πληθύεσθαι A. 38. τὴν add A. b. 5. πνεῦμα] Ps. 77, 39. 6. ἐξελ.] Ps. 145, 4. 7. ὅτι] Ps. 102, 16. 13. διὰ om pr A. 17. ἀναλογεῖ pr A. 22. λόγῳ add A. 24. libri φασὶν ἐπερωτᾶν. 25. ἡμέτερος] Ios. 5, 13. 32. τὸ ταῦτα C, τοσαῦτα ς. 38. εἴη A: εἰ ς. 39. οὖν add A.

σεσθαι. καὶ ἐπιλύεται τὸ ζήτημα πρῶτον μέν, ὡς οὐδὲν κωλύει τὸ αὐτὸ κατ' ἄλλο μὲν ἑτέρας τινὸς μείζονος τιμῆς ἀπολαύειν, κατ' ἄλλο δὲ λήξεως εἶναι τῆς ἥττονος. καθὸ μὲν γὰρ τὸ ἡμέτερον ἀναλαβὼν φύραμα συνῆψεν ὁ δεσπότης ἑαυτῷ, καὶ ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας ἀναγαγὼν ἐν δεξιᾷ συνεκάθισε τοῦ πατρός, δῆλον ὅτι τῆς ἀγγελικῆς ἀξίας ἡ ἡμετέρα φύσις προτετίμηται. καὶ καθὸ ἐγνωρίσθη ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας, ἥτις ἐστὶν ὁ εἰς Χριστὸν πεπιστευκὼς λαός, ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ, ἣν ἔδειξεν ἐν Χριστῷ Ἰησοῦ, καὶ κατὰ τοῦτο τὸ
529 H. ἡμέτερον γένος τὸ πρεσβεῖον ἀπηνέγκατο. τρίτον δέ, ὅτι περ ἐκείνων τὴν ἀπόλαυσιν ἐφιλοτιμήθημεν ἡμεῖς, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι. καὶ καθὸ ἀμφοτέρων παραπεπτωκότων, τοῦ τε Ἀδὰμ καὶ τῆς ἀγγελικῆς τάξεως, τοῦ μὲν τὴν φύσιν λαβὼν ἀνεσώσατο, τῶν δὲ οὐκέτι, κἀντεῦθεν δῆλον ὡς φιλοτιμίας μείζονος ἡ ἡμετέρα φύσις κατηξίωται. τὸ δὲ ἐν τῇ ἀναστάσει ὡς ἀγγέλους εἶναι τοὺς ἀνθρώπους οὐκ ἰσοτιμίαν ἑκατέρου γένους διδάσκει, ἀλλὰ πολιτείαν ὁμοιότροπον μαρτυρεῖ· τηνικαῦτα γὰρ ὥσπερ οὐδ' οἱ ἄγγελοι, οὕτως οὐδὲ τὸ ἀνθρώπινον γένος γάμου καὶ σωματικῆς ὁμιλίας δεήσονται. ἔτι δὲ οὐδὲν κωλύει καὶ τοὺς ἀνθρώπους ἰσαγγέλους ὄντας ἢ βραχύ τι παρ' αὐτοὺς ἠλαττωμένους μείζονος ἀπολαύειν δώρου, ὅταν οἱ μὲν ἀσωμάτου φύσεως τυχόντες καὶ τῆς οἰκείας ἀποστατήσαντες δόξης καὶ ἀξίας ἀμεταμέλητον συντηροῦσι τὴν πτῶσιν, ἡμεῖς δὲ τὸ ἔλαττον ἐκείνων ἐξ αὐτῆς τῆς πλάσεως λαβόντες διὰ τὴν πρὸς τὸ σῶμα συνάφειαν, εἶτα τῆς ἐντολῆς παραῤῥυέντες, οὐ φιλοῦμεν μένειν ἐν τῷ πτώματι, διὰ μετανοίας δὲ ἐκείνων τῶν ἐκπεσόντων τὴν λῆξιν καταλαβεῖν σπεύδομεν, καί γε δι' ὑπερβολὴν φιλοτιμίας τὸν οὐρανὸν καὶ τὴν τοῦ θεοῦ βασιλείαν ἀντὶ τοῦ παραδείσου κατακληροδοτούμεθα.

Τούτοις ἐπιλυσάμενος τὸ ζητούμενον, εἰς ἀνάπτυξιν πρόεισι τῆς παραβολῆς ἥ τις τὸν νεώτερον καὶ ἄσωτον υἱὸν καὶ τὸν πρεσβύτερον ἅμα τοῦ πατρὸς εἰσάγει, καὶ τὰ κατ' αὐτοὺς διατίθεται, καί φησι τὸν μὲν πρεσβύτερον υἱὸν τὰς ἀγγελικὰς παραδειγματίζειν δυνάμεις (χρόνῳ γὰρ καὶ τρόπῳ τοῦ ἡμετέρου γένους τὸ πρεσβεῖον αὗται φέρονται), τὸν δὲ ἄσωτον τὸ ἀνθρώπινον γένος,
637 R. πατέρα δὲ τὸν δημιουργὸν καὶ δεσπότην πάντων. "τὸ δὲ ἀποδυσπετεῖν τὸν πρεσβύτερον υἱὸν ἐπὶ τῇ ἀνακλήσει καὶ δεξιώσει τοῦ νεωτέρου, μὴ τῆς ἀγγελικῆς μὲν εἶναι τοῦτο γνώμης ἢ διαθέσεως, καταχηματίζειν δὲ τὴν παραβολὴν ταῦτα, τὸ μέγεθος τῆς εὐεργεσίας ἐπιδεικνυμένην, ὅτι τοσαύτης μετὰ τοσαύτην ἀσωτείαν ἀπήλαυσε τῆς φιλοτιμίας ὁ ἄσωτος υἱός, ὅτι καὶ αὐτὴ ἂν ἡ τῶν ἀγγέλων τάξις, εἴπερ ἦν ἐν τῇ τούτων φύσει τὸ ἐπιβασκαίνειν, ἐδυσχέρανεν ἂν καὶ οὐκ ἀνεκτὴν ἡγήσατο τὴν τῆς φιλοτιμίας ὑπερβολήν. ποῦ γὰρ ὅμοιον τοὺς αὐτοὺς τε χαίρειν ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, καὶ βασκαίνειν πάλιν πατρικῶν ἀξιουμένῳ σπλάγχνων; ἀλλὰ γὰρ τοιοῦτον ἡ διάπλασις τῶν παραβολῶν· οὐ γὰρ τὰ γεγονότα μόνον ἢ γενησόμενα διαλαμβάνουσιν, ἀλλὰ καὶ ἃ ἄν τις συνυφηνάμενος ἐναργέστερον αὐτῶν τὸ καταπληκτικὸν ἢ τὸ ἡδῦνον ἢ τὸ ἀκόλουθον ἢ ἁπλῶς τὸ εὐπάροδον παραστήσει καὶ ὠφέλιμον. καὶ τῶν ρ΄ δὲ προβάτων τὴν παραβολὴν εἴς τε τοὺς ἀγγέλους καὶ τὴν ἀνθρωπίνην ἀναφέρει φύσιν. μνημονεύει δὲ περὶ τῆς παραβολῆς τοῦ ἀσώτου καὶ ἑτέρων τινῶν ἀναπτύξεων, ὧν τὴν προειρημένην ἁπασῶν προκρίνει, πολλοῖς αὐτὴν συγκροτῶν ἀγωνίσμασιν. Ἀλλὰ ταῦτα μὲν αὐτῷ καὶ τὸ ζ καὶ λ΄ σπουδάζει κεφάλαιον.

Τὸ δὲ λη΄ ζητεῖ πῶς ὑπὲρ πάντων ἀποθανεῖν "λέ- 330 H.
γεται ὁ Χριστός, πολλαῖς γενεαῖς ὕστερον, ἀφ' οὗ μυρίων γένος ἀνθρώπων ἔφυ τε καὶ κατέδυ τῷ θανάτῳ, τῆς κατὰ τὸν σωτῆρα γεγενημένης οἰκονομίας. καὶ ἐπιλύεται τὸ ζήτημα, ὡς πολλαχοῦ διαμαρτύρεται ἡ γραφή, ὃν τρόπον τοῖς τηνικάδε ζῶσι, τὸν αὐτὸν καὶ τοῖς ἐν Ἅιδου διὰ Χριστοῦ τὴν ἀπολύτρωσιν παραγενέσθαι. λέγει γὰρ ὁ τῶν μαθητῶν κορυφαῖος „εἰς τοῦτο γὰρ ἀπέθανε καὶ ἀνέστη, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ." καὶ πάλιν „τοῖς ἐν φυλακῇ πορευθεὶς ἐκήρυξε πνεύμασιν, ἵνα κριθῶσι μὲν σαρκί, ζῶσι δὲ πνεύματι," τουτέστιν ὅπως οἱ μὲν ἄπιστοι καὶ διὰ τοῦτο ἁμαρτωλοὶ μεμενηκότες κατακριθῶσιν, ἅτε δὴ ὁλοκλήρως σὰρξ γεγονότες καὶ διχοτομηθέντες τοῦ πνεύματος, ὅσοι δὲ κἂν ἐν Ἅιδου Χριστῷ τῇ δικαιοσύνῃ πεπιστεύκασι, τῆς πνευματικῆς εὐφροσύνης ἀπολαύωσιν. τὸ οὖν „ἵνα κριθῶσι σαρκί" περὶ τῶν ἀπιστησάντων εἰρῆσθαί φησι, τὸ δὲ „ζῶσι πνεύματι" περὶ τῶν πεπιστευκότων. ὡς περὶ ἑνὸς δὲ φαντασίαν παρεχόμενον προφέρει τὸν λόγον, ὅτι κἂν διάφορος ἑκατέρα μερίς, τῶν τε πε-

a. 5. δεσπ. ἐν ἑαυτῷ ς. 13. ὅτι περ] ὅπερ pr A, ὡς corr. b. 3. γνώμης τοῦτο ς. 5. ἀσωτίαν ς. 8. ἐδυσχέραναν — ἡγήσαντο ς. 20. αὐτὴν in mg habet A. 30. εἰς τοῦτο] Rom. 14, 9. 32. τοῖς] 1 Petr. 3, 19. 33. ἵνα] ib. 4, 6. 38. ἀπολαύωσιν corr A: ἀπολαύουσιν ς.

Digitized by Google

πιστευκότων καὶ τῶν ἀπιστησάντων, ἀλλ' οὖν εἰς ἓν συγκεφαλαιοῦται τὸ τῶν καταχθονίων τάγμα. οὕτω γοῦν καὶ περὶ σώματος ἑνὸς νοσεῖν τε αὐτὸ καὶ ὑγιαίνειν λέγειν δυνάμεθα, κατ' ἄλλο μέρος καὶ ἄλλο τοῦ σώματος. ὥσπερ δέ φαμεν τὸν δεῖνα πυρὶ κρίνεσθαι καὶ κολάζεσθαι, οὕτω λέγει καὶ τὸ ἱερὸν γράμμα „ἵνα κριθῶσι σαρκί·" μεγίστη γὰρ κόλασις, καὶ μάλιστά γε κατὰ τὸν τῆς ἀναστάσεως καιρόν, ἡνίκα τὴν ὑπὲρ ἄνθρωπον τρυφὴν τρυφῶσιν οἱ δίκαιοι καὶ πνεύματι ζῶσι, τότε τὸ τῶν ἁμαρτωλῶν πλῆθος σαρκὶ ψιλῇ καὶ πάσης πνευματικῆς κεχωρισμένον χάριτος τὸν βίον δι' αἰῶνος ἐξαναλίσκειν καὶ κατατρίβεσθαι. ἔστι μέντοι καὶ ἑτέραν ἀποδοῦναι τοῦ ῥητοῦ διασάφησιν. ὁ θεῖός φησι Παῦλος „οὗ τινὸς τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται,
640R. αὐτὸς δὲ σωθήσεται, οὗτος δὲ ὡς διὰ πυρός· καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ αὐτὸ δοκιμάσει." καὶ ἵνα μή τις νομίσῃ, ὥσπερ τὴν ἁμαρτίαν, οὕτω καὶ τὸν ἐξαμαρτήσαντα κατακαίεσθαι καὶ εἰς ἀφανισμὸν χωρεῖν, ἐπάγει ὡς εἰ καὶ τὰ ἔργα κατακαήσεται καὶ ἀφανισθήσεται, ἀλλ' αὐτὸς ὁ τῆς ἁμαρτίας ἐργάτης οὐ συναφανισθήσεται, σωθήσεται δέ, τουτέστι διαμενεῖ τῇ διηνεκεῖ κολάσει συντηρούμενος. ἵνα δὲ τὸ σωθήσεται μὴ δόξῃ λέγειν τοῖς αἱρετίζουσιν ὡς τῆς ἁμαρτίας δαπανωμένης καὶ τῶν ἁμαρτωλῶν ἕκαστος τοῦ χοροῦ τῶν δικαίων καὶ τῶν σωζομένων γενήσεται, τῆς μὲν κολάσεως παυομένης, τῆς δ' ἀπολαύσεως κοινῆς ἅπασι προτιθεμένης, μετὰ τὸ σωθήσεται ἐπάγει, τὴν γνώμην αὐτῶν ἐμφανῶς καταστρέφων, „οὗτος δὲ ὡς διὰ πυρός," τουτέστι τῆς διὰ πυρὸς τιμωρίας οὐκ ἀπολυόμενος. παραπλήσιον τοίνυν ἐστὶ καὶ ὅπερ εἴρηται περὶ τῶν ἐν ᾅδου μὴ πιστευσάντων τῷ Χριστῷ. βούλεται γὰρ δηλοῦν τὸ „ἵνα κριθῶσι σαρκὶ" καὶ ἑξῆς τὸ κριθῆναι μὲν αὐτοὺς τοιαῦτα οἷα πέφυκε κρίνεσθαι σάρξ, ζῆν δὲ ὅμως οὐχ οἷα φθειρομένη σὰρξ καὶ τῇ βαρύτητι λυο-
331H. μένη τῶν κολάσεων, ἀνωλέθρους δὲ τῇ δυνάμει συνεχομένους τοῦ θείου πνεύματος, καὶ ἀφθάρτους ἀφθάρτῳ κολάσει τὴν ἀτελεύτητον καὶ ἐπίπονον ζωὴν διανύοντας. Ἀλλ' ἡ μὲν τοῦ ῥητοῦ διασάφησις ὡς ἐν παρεκβάσει· ὁ δὲ σκοπὸς ἦν παραστῆσαι ὡς καὶ ὑπὲρ ζώντων καὶ ὑπὲρ τῶν ἐξ Ἀδὰμ πάλαι τεθνειώτων ὁ κοινὸς δεσπότης καὶ σωτὴρ ἡμῶν ὑπέστη τὸν θάνατον, καὶ δι' αὐτοῦ ἡ σωτηρία καὶ κηρύττεται πᾶσι καὶ βραβεύεται. ἀλλὰ δι' ὧν μὲν αὐτῷ κατασκευάζεται τὸ προκείμενον, τὸ πρῶτον εἴρηται τῶν ἐπιχειρημάτων.

Δεύτερον δέ φησιν ὡς εἰ τοὺς ὑπὲρ ἀρετῆς μισθοὺς καὶ στεφάνους ἡ ἀνάστασις προξενεῖ, ὁ δὲ σταυρὸς τὴν ἀνάστασιν, καὶ χωρὶς αὐτῆς οὐκ ἔστιν αὐτῶν οὐδένα τῶν ἀγαθῶν τυχεῖν, δῆλον ὡς ὑπὲρ πάντων ἡμῶν τῆς σωτηρίας ὁ Χριστὸς τῷ θανάτῳ παρέδωκεν ἑαυτόν. ταῦτα εἰπὼν λογοθετεῖ καὶ διαπλοῖ τὴν δεσποτικὴν φωνὴν τὴν λέγουσαν „οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν." καί φησιν ὡς οὐχὶ διαιρῶν εἰς ἁμαρτωλοὺς καὶ δικαίους τὸ τῶν ἀνθρώπων πλῆθος ὁ σωτὴρ τοῦτο ἐφθέγξατο. μάχεται γὰρ ἡ τοιαύτη διάνοια καὶ τῇ θεοπνεύστῳ γραφῇ καὶ αὐτῇ τῇ τῶν πραγμάτων φύσει. καὶ γὰρ πρῶτον μὲν ἅπαντας ὁ κοινὸς σωτήρ, καὶ οὐχὶ τοὺς μὲν τοὺς δ' οὔ, ἐκάλει τε καὶ τῆς σωτηρίας ἀπολαύειν ἐδίδου, ἀλλὰ καὶ κοινὴν τὴν διδασκαλίαν ἐποιεῖτο. καὶ τὸ κηρυχθῆναι τὸ εὐαγγέλιον ἐν ὅλῳ τῷ κόσμῳ τὴν διαστολὴν τῶν ἁμαρτωλῶν ἀπὸ τῶν δικαίων ἀνατρέπει. καὶ ὁ Παῦλός φησι „πάντες εἷς ἐσμὲν ἐν Χριστῷ." καὶ τῆς σαγήνης ἡ παραβολὴ τὸ κοινὸν τῶν εἰς θήραν συλλαμβανομένων κηρύττει· οὐδὲ γὰρ οὐδὲ ἐκείνη τὰ μὲν θηρεύει τὰ δὲ οὐ μεταδιώκει, ἀλλ' ὁμοῦ πάντα τὰ προσπίπτοντα σαγηνεύει. καὶ ἡ σινδὼν ἡ τῷ Πέτρῳ ὑποδειχθεῖσα τὴν κοινὴν κλῆσιν ἁπάντων ὑπογράφει, ἀλλ' οὐχὶ τῶν ἀκαθάρτων μόνον, τῶν δὲ καθαρῶν οὐκέτι. καὶ „τέλος νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι," οὐχὶ τοῖς ἁμαρτωλοῖς μόνοις. ἀλλὰ καὶ αὐτὸς πάλιν φησὶ „κηρύσσειν τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι 641R.
Χριστὸν θεοῦ δύναμιν καὶ θεοῦ σοφίαν. πάλιν δὲ πῶς οὐ δόξει μάχεσθαι τὸ „εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέρχησθε, πορεύεσθε δὲ πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ;" ὅσον γὰρ ἂν ἀπολώλει τὰ πρόβατα, δικαιοσύνης μᾶλλον καὶ ἀρετῆς ἐγγύτερα πάντως τῶν Σαμαρειτῶν καὶ Ἑλλήνων ἐτύγχανον. πῶς δὲ καὶ τὰ τέκνα δεῖν χορτασθῆναι πρότερον διεμαρτύρατο, καὶ τὰ περιττὰ τοῖς κυναρίοις ὑπολείπεσθαι; ἀλλὰ καὶ τοὺς μαθητὰς διατάττων „εἰς ἣν ἂν" φησι „πόλιν ἢ κώμην εἰσέλθητε, ἐξετάσατε τίς ἐστιν ἐν αὐτῇ ἄξιος," οὐχὶ τίς ἐστιν ἁμαρτωλός, „κἀκεῖ μείνατε ἕως ἐξέλθητε ἐκεῖθεν." ὃ καὶ ἡ πορφυρόπωλις εἰδυῖα τοῖς περὶ Βαρνάβαν καὶ Παῦλον ἔλεγεν „εἰ 332H.

a. 2. κεφαλαιοῦται ς. 11. κεχωρισμένων ς. 14. οὗ] 1 Cor. 3, 15. b. 9. οὐκ] Matth. 9, 13. 15. οὐκ ς. 16. κοινῇ ς. 20. πάντες] Rom. 12, 5. τῆς σαγ.] Matth. 13, 47. 24. ἡ σινδ.] Act. 10, 11. 26. οὐχὶ A: οὐ ς. 27. τέλος] Rom. 10, 4. 29. κηρύσσειν] 1 Cor. 1, 24. 30. δόξῃ ς. 31. εἰς] Matth. 10, 5. 36. τὰ τέκνα δεῖν A: τέκνα δεῖν τὸ ς. locus est Matth. 15, 26. 38. εἰς ἣν] Matth. 10, 11. 42. εἰ] Act. 16, 15.

πιστήν με κεκρίκατε τῷ κυρίῳ, μείνατε πρός με." καὶ τὸ λέγειν μὲν πρὸς τοὺς ἀποστόλους, οἵ τινες ἀρετῆς ὑπῆρχον κανόνες, „ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια, ἐκείνοις δὲ οὐ δέδοται," δηλονότι τοῖς ἀναξίοις. τούτοις οὖν τοῖς εἰρημένοις ἅπασι πῶς οὐκ ἀντιπεσεῖται λαμπρῶς τὸ „οὐκ ἦλθον καλέσαι δικαίους ἀλλ' ἁμαρτωλούς," εἴ τις ἐπιμερίζων τὸν ἄνθρωπον εἰς ἁμαρτωλῶν καὶ δικαίων τάγμα, οὕτω τὴν τοῦ ῥητοῦ διάνοιαν ἐκλαμβάνει; ἔτι δὲ εἰ τοὺς μὲν δικαίους οὐ κέκληκεν, οἱ δὲ ἁμαρτωλοὶ οὐ προσέρχονται („πᾶς γὰρ ὁ τὰ φαῦλα πράττων μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς," καὶ „ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ τῆς καρδίας αὐτοῦ θησαυροῦ ἐκβάλλει τὰ πονηρά," καὶ „ποσάκις ἠθέλησα συναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσας"), εἰ οὖν τοὺς μὲν δικαίους οὐ κέκληκεν, οἱ δὲ ἁμαρτωλοὶ τὸ ἀποσκιρτᾶν τοῦ προσιέναι, καθάπερ εἴρηται, προτετιμήκασι, τίσιν ἐκηρύχθη τὸ κήρυγμα; σὺ δέ μοι καὶ ἀπ' αὐτῶν τῶν πραγμάτων σκόπει. ἔδει μητέρα θεοῦ ἐπὶ γῆς γενέσθαι· τὴν πασῶν πάσαις ἀρεταῖς ὑπερανελθοῦσαν ἐκάλεσεν. ἔδει πατέρα καὶ ἀδελφοὺς ἐπὶ γῆς ὀνομάσαι τὸν ἀπάτορα· οὐκ ἐκ τῶν λῃστῶν καὶ πορνῶν τούτους ἐξελέξατο, ἀλλὰ τοὺς ἐν δικαιοσύνῃ διαλάμποντας. τοιοῦτος γὰρ Ἰωσήφ τε καὶ οἱ τούτου παῖδες. ὁ δὲ Ἰάκωβος ἐφ' ὅσον ἀρετῆς ὕψος ἀνῆλθε καὶ τίνα παρεῖχεν ὑπόληψιν τῷ τῶν Ἰουδαίων λαῷ, καὶ ἡ κλῆσις ἀναβοᾷ· ὠβλίαν γὰρ αὐτὸν τὸ πλῆθος διὰ τὸ τῆς ἀρετῆς μέγεθος καὶ τὴν πρὸς τὸ θεῖον παῤῥησίαν, τουτέστι περιοχὴν καὶ σκέπην τοῦ λαοῦ, κατωνόμαζον. πάλιν ἔδει προδραμεῖν τοῦ λόγου πρόδρομον· ὁ μείζων προφητῶν καὶ πάντων ἀνθρώπων προτρέχει. ἔδει μάρτυρα τῆς αὐτοῦ προβαλέσθαι δόξης· τὸν Συμεὼν καὶ τὴν Ἄνναν ἐκάλεσεν. ἔδει μαθητὰς προσλαβεῖν· τοὺς ἀρίστους λογάδας τίθεται· „οἶδα" γάρ φησιν „οὓς ἐξελεξάμην." [ἔδει] νεκρὸν ἐγεῖραι· [τὸν ἐκ Βηθανίας] Λάζαρον· ἀλλ' ἐξ εὐσεβοῦς οἰκίας, ἐν ᾗ Μάρθα καὶ Μαρία, ὧν τὴν ἀγαθὴν ἐκλέξασθαι μερίδα τὸ θεῖον ἀπέφηνε ψήφισμα. ἐξ ἐθνῶν ἔδει κληθῆναι· ἀπαρχὴ τῶν ἄλλων ὁ Κορνήλιος καλεῖται· ὅσος δὲ τὴν ἀρετὴν καὶ πρὸ τοῦ βαπτίσματος, τὸ ἱερὸν ἀνακηρύττει γράμμα. σταυροῦνται δύο λῃσταί·
644 R. ἀλλ' ὁ μὲν εὐγνώμων ἀνοίγει τὸν παράδεισον, ὁ δὲ βλασφημιῶν καὶ τῆς ἁμαρτίας ἀνεξάλειπτα φέρων τὰ στίγματα εἰς δίκην ἐκ τιμωρίας παραπέμπεται. οὕτω κατὰ πᾶν ἔθνος καὶ γένος καὶ πολιτείας ἰδίωμα τοὺς κατ' ἀρετὴν ἔστι μᾶλλον βιοῦντας ὁρᾷν, ἢ τοὺς τἀναντία σπουδάζοντας, καὶ κληθέντας καὶ προσδραμόντας καὶ ἀκολουθήσαντας τῷ καλέσαντι. εἰ δὲ σὺ πόρνην καὶ τελώνην εἴπῃς, κἀκείνων ἴσθι τῶν διατριβῶν καὶ πολιτευμάτων τοὺς βραχὺν σπινθῆρά τινα τῆς ἀνθρωπίνης εὐγενείας διασώζοντας προσελθεῖν καλοῦντι τῷ σωτῆρι, καὶ δι- 333 H.
καίως πρός γε τὸ πλῆθος τῶν μὴ προσελθόντων ἀξίους καὶ νομίζεσθαι καὶ ὀνομάζεσθαι. ποῦ τοίνυν τῶν ἁμαρτωλῶν ἡ κλῆσις, ὅτε πόρναι καὶ τελῶναι καὶ λῃσταὶ ὁρῶνται ἐκεῖνοι μόνον ἀσπασάμενοι τὴν σωτήριον κλῆσιν, οἳ τῶν ὁμοτεχνῶν, ὡς ἐν τοσούτῳ κακῶν βάθει, ὅμως προεῖχον ἐν τοῖς ἀμείνοσιν; οὐδὲ ἐκεῖνο δὲ παρελθεῖν δίκαιον, τὸ τάγμα τῶν παρθένων ἡ δεκὰς διελάμβανεν· ἀλλ' αἱ μὲν φρόνιμοι τοῦ νυμφῶνος ἀπολαύουσιν, αἱ δὲ μωραὶ ἀπελαύνονται· καὶ ὁ τὸ ἔνδυμα τοῦ γάμου μὴ φορῶν, τῶν ἄλλων μενόντων ἐν τῇ ἰδίᾳ τάξει, αὐτὸς ἐκβάλλεται μόνος. τίνες δὲ καὶ ὑπ' ἀγγέλων ἐν τῇ τελευταίᾳ τῆς κρίσεως ἡμέρᾳ εἰς ἀπάντησιν τοῦ κυρίου παραλαμβάνονται; ἢ δῆλον ὡς οἱ δίκαιοι, ἀλλ' οὐχ οἱ ἁμαρτωλοί; τί οὖν ἐστι τὸ „οὐκ ἦλθον καλέσαι δικαίους ἀλλ' ἁμαρτωλούς;" τουτέστιν ἅπαν τὸ ἀνθρώπινον γένος, τῆς ἀκριβοῦς καὶ τελείας διαμαρτόντας δικαιοσύνης, ἦλθον καλέσαι καὶ ἐπαναγαγεῖν πρὸς ἐκείνην τὴν λῆξιν ἧς κατωλίσθησαν. εἰ γὰρ καὶ διαφορὰν πρὸς ἀλλήλους κατὰ τὴν πολιτείαν τὸ γένος ἡμῶν ἔχουσιν, οἱ μὲν ἐκτοπώτερα βεβιωκότες οἱ δὲ ἀνεκτότερα, ὅμως οὐδεὶς χωρὶς ἁμαρτίας. συνᾴδει δὲ τῇ διανοίᾳ ταύτῃ καὶ αὐτὴ ἡ τοῦ ῥητοῦ προφορά, ἄνευ τοῦ ἀναφορικοῦ ἄρθρου προφερομένη. εἰ γὰρ ἔλεγεν „οὐκ ἦλθον καλέσαι τοὺς δικαίους ἀλλὰ τοὺς ἁμαρτωλούς," τάχα ἂν εἶχεν ἡ ὑπόνοια χώραν ἢ τοὺς ἁμαρτωλοὺς μὲν καλέσαι νομίζουσα, οὐκέτι δὲ τοὺς δικαίους· τὸ δὲ ἀπόλυτον τῆς φωνῆς καὶ χωρὶς ἀναφορᾶς προελθεῖν παντελῶς ἀποφαίνει τὴν ὑπόνοιαν σφαλεράν. τοῦτο δὲ καὶ ὁ θεσπέσιος Παῦλος ἐπισφραγίζει, λέγων „Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ." καὶ πάλιν „προῃτιασάμεθα Ἰουδαίους καὶ Ἕλληνας πάντας ὑφ' ἁμαρτίαν εἶναι,

a. 3. ὑμῖν] Matth. 13, 11. 10. πᾶς] Io. 3, 20. 11. ὁ πον.] Matth. 12, 35. 13. ποσ.] Matth. 23, 37. 16. τετιμήκασι A. 23. τε add A. 26. ὠβλίαν] libri ἰὼβ λίαν. cf. Suicer. h. v. et Fabricius B. Gr. t. 10. p. 748. ed. Harles. 30. προβάλλεσθαι ς. 33. οἶδα] Io. 13, 8. ἔδει om AC. 34. τὸν ἐκ Βηθανίας om C et pr A. Λάζαρον om pr A: Λάζαρον ἤγειρε rc A. ἀλλ' ἐξ εὐσεβ. οἰκίας om AC. 40. τὸν om A. b. 2. πέμπεται ς. 9. δικαίως Schottus: δικαίους ς. 15. προσεῖχον ς. 22. οὐχ οἱ] libri οὐχί. 24. ἅπαν et 32. τοὺς add A. 35. τῆς φωνῆς] rectius τὴν φωνήν. 38. Χριστὸς] Tim. 1, 15. 39. προῃτ.] Rom. 3, 10.

Digitized by Google

καθὼς γέγραπται, οὐκ ἔστι δίκαιος οὐδὲ εἷς, οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν θεόν· πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ." καὶ τὸ „ὁ κύριος ἦλθε ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός" δηλονότι περὶ ὅλου τοῦ ἀνθρωπείου γένους εἴρηται· ὃ καὶ ἀναπλήρωμα τῆς τῶν λογικῶν προβάτων ἑκατοντάδος νοεῖται, ὥσπερ καὶ ἡ καταχωσθεῖσα δραχμή, μία οὖσα τῶν δέκα δραχμῶν. καὶ γὰρ ταύτης ἐβασίλευσεν ὁ θάνατος, κατὰ τὸν αὐτὸν θεσπέσιον Παῦλον, οὐ τινῶν μὲν τινῶν δ' οὔ, ἀλλὰ ἀπὸ Ἀδὰμ καὶ μέχρι Μωϋσέως, ὧν ἦν Ἄβελ καὶ Ἐνὼς καὶ ὁ λοιπὸς τῶν ἐν τῷ νόμῳ δικαίων καὶ προφητῶν χορός. πάλιν δὲ ὁ αὐτὸς τῆς ἀγάπης καὶ κῆρυξ καὶ διάπυρος ἐραστὴς „τοῖς ἀγαπῶσι τὸν θεόν" φησι „πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν, τοῖς κατὰ πρόθεσιν κλητοῖς 645R. οὖσιν." εἶτα „οὓς προέγνω, καὶ προώρισε· "καὶ οὓς προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, καὶ ἐδικαίωσε καὶ ἐδόξασε·" καὶ „ἐξελέξατο ἡμᾶς ἀπὸ καταβολῆς 334H. κόσμου" οὐ μόνον ἐξ Ἰουδαίων ἀλλὰ καὶ "ἐξ ἐθνῶν· καὶ „ἡ ἐκλογὴ ἐπέτυχεν, οἱ δὲ λοιποὶ ἐπωρώθησαν." καὶ „ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν." καὶ ἀδιεξόδευτον ἂν εἴη τὰ τοιαῦτα φέρειν εἰς ἀριθμόν. Ταῦτα φιλοτιμότερον ὁ φιλόπονος οὗτος συγγραφεὺς ἐπελθὼν καὶ τῷ λη' πέρας ἐπιτίθησι κεφαλαίῳ.

Ἐν δὲ τῷ λθ' τὴν δοκοῦσαν ἐν τοῖς ἱεροῖς λογίοις διαφωνίαν πολυπραγμονεῖ καὶ διευθύνει. ἐπαπορεῖ γὰρ πῶς ὁ μὲν κύριος ἐν τῇ ἰδίᾳ πατρίδι σημεῖα ποιεῖν οὐκ ἠδύνατο διὰ τὴν ἀπιστίαν τῶν ἐν αὐτῇ, καὶ πάλιν πρὸς τοὺς ἐγκαλοῦντας ὅτι οἱ μαθηταὶ οὐκ ἐξέβαλον τὸ δαιμόνιον, τὴν αἰτίαν εἰς τοὺς ἐγκαλοῦντας ἀναφέρων ἔφη „διὰ τὴν ἀπιστίαν ὑμῶν·" ὁ δέ γε τούτου γνήσιος μαθητὴς Παῦλος τἀναντία λέγει· „τὰ γὰρ σημεῖα" φησί „τοῖς ἀπίστοις, οὐχὶ τοῖς πιστεύουσιν." καὶ ἐπιλύεται τὸ ἀπόρημα, λέγων ὡς καθολικῷ μὲν καὶ κοινῷ λόγῳ τὰ σημεῖα διὰ τοὺς ἀπίστους τερατουργεῖται, ἄγειν αὐτοὺς εἰς σωτήριον πειθὼ τοῦ θαυματουργοῦντος προνοουμένου· ἐκείνοις μέντοι ταῦτα προβάλλεσθαι, οἳ τὸ ἐπιτήδειον τῆς ὑπακοῆς ἀντιπαρέχονται καὶ τὴν ἀπ' αὐτῶν ὠφέλειαν εἰσοικίζονται· ὅσους δὲ τῶν ἀπίστων ἑκουσίως πρὸς τὰ τῶν ἔργων ὑπερφυῆ τυφλώττοντας ἐπιστάμεθα, τούτοις ἡ τῶν σημείων προβολὴ ἀπρονόητόν τε καὶ μάταιον. ὥστε καὶ τοῖς ἀπίστοις τὰ σημεῖα προβάλλεται, καὶ πρὸς τὸ μὴ δεῖν αὐτοῖς ταῦτα προβάλλειν σύμφωνόν τε καὶ ἐναρμόνιον, τὸ μέν, ὅτι δι' αὐτῶν τὴν σωτηρίαν κερδαίνουσι, τὸ δέ, διότι πρὸς βάθος καταδύντες ἀπωλείας, ἐξ ὧν ἄλλοι μέγα κέρδος συλλέγουσιν, αὐτοὶ κακουργοῦντες πρὸς τὰ χείρω κατασύρονται. Ἀλλὰ ταῦτα μὲν καὶ ἐν τῷδε τῷ κεφαλαίῳ.

Ἐν δὲ τοῖς ἑξῆς ἐρεύνῃ φιλοθεάμονι ἐμβατεύων αἰτιολογεῖ διὰ τί μὴ ὑπὲρ ἀγγέλων πεσόντων, ὥσπερ ὑπὲρ ἀνθρώπων γέγονεν ἄνθρωπος, οὕτω καὶ ἄγγελος. καὶ πρώτην μὲν ἀποδίδωσιν αἰτίαν, ὅτι περ ἐπειδὴ ἐκ πάσης τῆς λογικῆς φύσεως μόνος ὁ ἄνθρωπος σαρκὶ καὶ ὕλῃ συνεδέθη, ἑτοίμη δὲ πρὸς ὄλισθον ἡ ὕλη, ἔτι δὲ δυσὶ φύσεσι μαχομέναις συντεθεὶς ὁ ἄνθρωπος, ἑκατέρας πρὸς τὸ οἰκεῖον ἐπειγομένης διασπᾶσθαι φιλεῖ τὸ ζῶον καὶ διαμερίζεσθαι („τὸ γὰρ φρόνημα τῆς σαρκός," ὡς καὶ ὁ θεσπέσιος Παῦλος ἐπιμαρτύρεται, „τῷ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται"), διὰ ταῦτα ὡς μόνος τῶν λογικῶν ὁ ἄνθρωπος τοιαύταις σωματικαῖς συνδεθεὶς πέδαις, εἶτα καὶ τὴν μετάνοιαν οἴκοθεν τοῦ ὀλισθήματος προβαλλόμενος, εἰκότως καὶ προνοίας εἰς τὸ ἀναστῆναι πλείονός τε καὶ μείζονος δεῖται, καὶ τῆς θείας δαψιλέστερον ἀπολαύει βοηθείας. καὶ ὃ κατ' ἀρχὰς ἔλαττον τῶν ἄλλων λογικῶν ἀπέφαινεν ἡμᾶς, τοῦτο μεγάλης ἡμῖν σωτηρίας ἀφορμὴν ὁ δίκαιος ἀνέδειξε κριτής, "ὃς καὶ συνέδησε μὲν τῷ σαρ- 335H. κίῳ κολάζων τὴν ἔπαρσιν, δι' ἧς καὶ ἀγγέλων τέλη ἐκτραχηλισθέντα ἀνίατον ἔσχε τὸ παράπτωμα, εἶτα δὲ καὶ ἀφορμὴν τῆς ὑπὲρ νοῦν εὐεργεσίας τὸν νομισθέντα δεσμὸν τῆς ὕλης ὑπέθετο. τί γὰρ ἂν εἴη μεῖζον καὶ ὑψηλότερον εἰς εὐεργεσίαν, "ἐν δεξιᾷ τοῦ πατρὸς ὁρᾶν 648R. τὸ ἡμέτερον ἱδρυμένον φύραμα καὶ τὴν ποτε στασιώδη φύσιν ὑπήκοόν τε καὶ εἰρηναίαν καὶ τῷ πατρὶ τῶν ὅλων διηλλαγμένην; ὃ διὰ τῆς ἀπαρχῆς ὁ ταύτην προσλαβὼν λόγος ἀπειργάσατο. ταύτην μοί δοκεῖ τὴν εἰρήνην τῷ κόσμῳ καὶ διὰ τῶν μαθητῶν, ὡς ἐν ἀῤῥαβῶνος λόγῳ, καταλιμπάνων λέγειν „εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, καὶ ἀφίημι ὑμῖν, καὶ οὐ καθὼς ὁ κόσμος δίδωσιν εἰρήνην." οἷς συνᾴδων καὶ ὁ γνήσιος μαθητὴς „ἡ εἰρήνη" φησὶ „τοῦ θεοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν," καὶ „δικαιω-

a. 2. πάντες] Rom. 3, 23. 3. ὁ κύριος] Luc. 19, 10. 13. τοῖς] Rom. 8, 18. 17. ἐξελέξ.] Ephes. 1, 4. 19. ἡ ἐκλ.] Rom. 11, 7. 20. ὃς] 1 Tim. 4, 10. 22. φιλόπονος A: φιλότιμος ς. 30. διὰ] Matth. 17, 19. 31. τὰ] 1 Cor. 14, 22. b. 4. καταδυνται A. 14. δὲ add A. 16. τὸ γὰρ] Rom. 8, 7. 20. συντεθεὶς ς. 24. ἀπέφηνεν ς. 26. συνέδησε ς. 28. ἐκτραχηλιασθέντα A. 37. εἰρήνην] Io. 14, 27. 40. ἡ εἰρ.] Philipp. 4, 7. 41. δικαιωθ.] Rom. 5, 1.

θέντες ἐκ πίστεως εἰρήνην ἔχομεν τὰ πρὸς τὸν θεὸν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν." οὐ γὰρ δὴ τὴν ἐκ τῶν πολέμων εἰρήνην ἢ τὴν πρὸς ἀλλήλους ἐνταῦθα νοεῖν δεῖ, ἀλλὰ δηλονότι τὴν ἑκάστου πρὸς ἑαυτόν, καὶ διὰ ταύτης πρὸς τὸν δοτῆρα ταύτης καὶ τῆς ἀστασιάστου σωτηρίας ἡμῶν χορηγόν, ἥτις καὶ φρουρεῖ τὰς καρδίας ἡμῶν καὶ ὑπερέχει πάντα νοῦν, καὶ ἣν ὁ κόσμος διδόναι οὐ δύναται. διὸ οὐδὲ μάχεται τὸ „οὐκ ἦλθον βαλεῖν εἰρήνην ἀλλὰ μάχαιραν·" τὴν γὰρ κοσμικήν φησιν εἰρήνην οὐκ ἦλθον βαλεῖν. πάλιν „ἔσεσθε μισούμενοι ὑπὸ πάντων," καὶ πολλὰ τοιαῦτα· ἡ γὰρ εἰς θεὸν τῶν εὐσεβούντων συνάφεια εἰς μῖσος καὶ φθόνον καὶ φόνον τοὺς ἀσεβεῖς διεκύμαινεν. ἦλθεν οὖν ὁ σωτὴρ εἰρήνην βαλεῖν, ἥτις σύμφωνα τῇ ψυχῇ τὰ τοῦ σώματος ἀποτελεῖ καὶ ὑποτάσσει τὸ χεῖρον τοῖς τοῦ κρείττονος βουλήμασι. καὶ παρέσχε ταύτην, ἑνώσας ἡμῶν τῇ στασιώδει φύσει τὴν εἰρήναρχον θεότητα. τοῦτο δὲ καὶ ὁ θεσπέσιος Παῦλος ἐκδιδάσκει λέγων „τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί." ὡς ἁρμόζειν ἐπ' αὐτῆς λέγεσθαι τὸ „οὗ γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερπερισσευσεν ἡ χάρις." διὸ καὶ τὴν καθ' ἡμᾶς τοῦ λόγου οἰκονομίαν δικαιοσύνην θεοῦ καὶ κρίσιν καὶ ἔλεον τὸ ἱερὸν ἀνακηρύττει γράμμα, ὡς δικαίᾳ κρίσει τοῦ θεοῦ μόνους τῶν λογικῶν τῷ πηλῷ συνδεθέντας μόνους καὶ τῆς τοσαύτης ἀξιωθῆναι φιλοτιμίας καὶ τοῦ ἀνεκφράστου ἐλέους. ἐδήλου δὲ καὶ διὰ τοῦ Ὠσηέ, „μνηστεύσομαί σε ἐμαυτῷ" λέγων „ἐν δικαιοσύνῃ καὶ ἐν ἐλέῳ καὶ οἰκτιρμοῖς." καὶ μυρίοι λόγοι ἄλλοι ἱεροὶ διακεκράγασιν ὅτι διὰ τῶν δεσμῶν τῆς σαρκὸς συμπαθείας τὸ ἀνθρώπινον ἠξιώθη γένος, καὶ ἀντὶ ταύτης τῆς συναφθείσης ἡμῖν ὕλης τὴν ἐνανθρώπησιν αὐτοῦ καὶ τὰ δι' αὐτῆς ἀγαθὰ ἀντιπέδωκεν ἡμῖν ὁ κύριος. „ἐμνήσθη γάρ," φησὶν ὁ Δαβίδ, „ὅτι χοῦς ἐσμέν, 536 H. καὶ ὅτι σάρξ ἐσμεν·" καὶ ὁ Ἰὼβ „μνήσθητι ὅτι πηλόν με ἔπλασας."

Δευτέραν δ' ἄν τις αἰτίαν φαίη τῆς περὶ τὸ ἀνθρώπινον τοσαύτης προνοίας, ὡς ἀπ' ἀρχῆς ὁ πλάστης οὐκ αὐτοτελῆ τὴν φύσιν, καθάπερ ἀγγέλοις, οὕτω καὶ τῷ ἀνθρωπίνῳ γένει παρέσχετο, ἀλλὰ ταῖς κατὰ μικρὸν προκοπαῖς τοῦ τελείου τυγχάνειν εὐδόκησεν· διὸ καὶ ἀρετῆς ἆθλον καὶ κακοπαθείας ἀντάμειψιν τὴν τελειότητα δίδωσι. ναὶ δὴ καὶ μέσον θανάτου καὶ ἀθανασίας αὐτὸν ἔθε- 649 R το, τῆς πρὸς ἑκάτερον αἱρέσεως ἀναφήνας κύριον. ἄγγελοι δέ, καὶ εἴ τι ἄλλο λογικὸν καὶ ἀσώματον, ἐξ αὐτῆς προόδου τὸ ἐν τῇ φύσει τέλειον ἐκληρώσαντο. διὸ καὶ ὁ Δαβίδ φησι „δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ," τουτέστιν οἱ μηδενὶ τῶν ὑλικῶν, καθάπερ ἡμεῖς, καθελκόμενοί τε καὶ συμποδιζόμενοι, οὕτω διὰ ταχέων καὶ χωρίς τινος μελλήσεως πληροῦσι τὸ κελευόμενον. τῆς οὖν ἀρρήτου δικαιοκρισίας ἦν τοῦ θεοῦ τοῖς μὲν ἀτελέσι, καθ' ὃν ἐδοκίμασε καιρόν, τὸ λεῖπον ἀναπληρῶσαι, οὓς δ' ἀπ' ἀρχῆς τελείους ὑπέστησε, μὴ τῆς ὁμοίας προνοίας ἀξιῶσαι, ἀλλὰ τοὺς μὲν οἷς προέλαβον ἀρκεῖσθαι, τοὺς δὲ ὧν ἐστερήθησαν ἀναπληρωθῆναι τὸ ὑστέρημα δικαιῶσαι. καὶ τῶν ἀγγέλων δὲ ὅσοι πεπτώκασιν, οὐ τῆς ὕλης κατασπώσης οὐδὲ τοῦ σαρκίου μεθέλκοντος, τῆς προαιρέσεως δὲ τὸ φαῦλον ἑλομένης, τῆς οἰκείας δόξης κατηνέχθησαν. ἡμεῖς δὲ τοῦ τε σαρκίου διοχλοῦντος καὶ τῶν ἐκεῖθεν παθῶν ὑπογαργαλιζόντων, πρὸς τὰ πλείω τῶν ἁμαρτημάτων οὔ τί γε ἑκούσιοι, εἰ καὶ μὴ τὸ ὅλον ἀκούσιοι, καταπίπτομεν. καὶ γὰρ τὸ δαιμόνιον φῦλον, εἰ καὶ τοῖς αἵμασιν ἥδεται καὶ τοῖς διὰ σαρκὸς χαίρει πάθεσιν, ἀλλ' οὖν οὐδὲν τούτων οὐ μόνον αὐτουργεῖν φύσιν οὐκ ἔλαχεν, ἀλλ' οὐδ' αἰτίαν οἴκοθεν ἔχει πρὸς ἃ μὴ θέμις ὑποσύρουσαν. οὔτε γὰρ ξίφος ὠθεῖ διὰ τῆς δεξιᾶς πρὸς τὴν σφαγήν, οὔτε γάμους αὐτὸς ὁμιλῶν τῇ μοιχαλίδι τοὺς ἀνθρωπίνους διορύσσει· ἀλλ' οὐδὲ θυμὸς αὐτὸν κολάζειν ἀδίκημα πρὸς τὴν σφαγὴν συνωθεῖ, οὐ μὴν οὐδὲ σωματικῆς ἔρως μίξεως. ἡμεῖς δὲ πολλάκις καὶ ὧν τὴν αἵρεσιν βδελυττόμεθα, τῇ ῥοπῇ τῆς ὕλης νικηθέντες ἐργαζόμεθα, καὶ βραχύ τι πρὸς τὸν τοῦ νήφειν τόνον ὑπενδόντες τοῖς πάθεσιν ἀνδραποδιζόμεθα. ὅθεν καὶ Παῦλος ἐβόα „οἶδα ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί" τουτέστιν ἐν τῇ σαρκί μου „τὸ ἀγαθόν· τὸ γὰρ θέλειν παράκειταί μοι" καὶ ἑξῆς· καὶ πάλιν „οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν, ἀλλ' ὃ οὐ θέλω, τοῦτο πράσσω." εἰκότως οὖν καὶ πλείω τῶν δαιμονίων, φησίν, ἁμαρτάνοντες συγγνώμης ἡμεῖς, ἀλλ' οὐκ ἐκεῖνοι τυγχάνουσιν.

Ἔτι δὲ οὐδ' εἴ τις δοίη, φησί, φύσιν ἀγγέλων ἀνα-

a. 9. οὐκ] Matth. 10, 34. 11. ἔσεσθε] Marc. 13, 13. 13. φόνον A: φόβον ς. 16. βουλεύμασι ς. 19. τὸ γὰρ] Rom. 8, 3. 23. οὗ] Rom. 5, 20. 24. ὑπερπερισσευσεν pr A: ὑπερεπερίσσευσεν ς. 29. Ὠσηέ] 2, 19. 30. ἐμαυτῷ A: ἐν αὐτῷ ς. 31. ἱερὸν ς. 36. ἐμνήσθη] Ps. 102, 14. 37. καὶ ὅτι] Ps. 77, 14. Ἰὼβ] 10, 9.
b. 8. ὁ om A. δυνατοὶ] Ps. 102, 20. 9. οἳ] libri οἷα. 13. ἐδοκίμαζε ς. 23. ἀκούσιον ς. 35. οἶδα] Rom. 7, 18.

λαβεῖν τὸν ἡμῶν σωτῆρα καὶ λυτρωτὴν ἐπὶ τῇ τέτων σωτηρίᾳ, οὐδὲν ἂν κέρδος ἐκ τῆς συναφείας αὐτοῖς ἀπήντα. ἀνάγκη μὲν γὰρ ἐκ ἂν αὐτὲς μετῆγεν, ὥσπερ ἐδὲ τὲς ἀνθρώπες, ἀπὸ τῦ πτώματος ἐπὶ τὸ κρεῖττον· τὸν δὲ θεοφιλῆ καὶ ἄριστον βίον πρᾶξις ἀρίστη καὶ νεῦσις εἰς θεὸν, ὅπερ ἐστὶ πίστις ἀκηλίδωτος, κατασκευάζει, ὧν ἡμῖν εἰσηγητὴς καὶ διδάσκαλος ὁ σαρκωθεὶς ἐχρημάτισε λόγος. τέτων δὲ ἐδέτερον πρὸς διδασκαλίαν καὶ μάθησιν (ᾔδεισαν γὰρ σαφῶς ἑκάτερον) τῷ τῶν ἀγγέλων συνετέλει γένει· ἐξ αὐτῆς γὰρ παραγωγῆς τὴν τούτων εἶχον γνῶσιν. ἐ γάρ, ὥσπερ ἡμεῖς, τῶν τοιέτων ἐπιδεὲς τὸ ἀσώματον. καὶ γὰρ καὶ τὸν υἱὸν τῦ θεῦ σαρκὶ παρόντα δαίμονες ἐπεγίνωσκον, καὶ κριτὴν καὶ βασανιστὴν καὶ δεσπότην ἀνεκήρυττον. καὶ τὸ ἱερὸν γράμμα μαρτυρεῖ λέγον „σὺ πιστεύεις ὅτι θεός ἐστι, καὶ τὰ δαιμόνια πιστεύεσι, καὶ φρίσσεσι·" καὶ ἀλλαχῦ „τὸν μὲν Χριστὸν οἶδα, καὶ τὸν Παῦλον ἐπίσταμαι· σὺ δὲ τίς εἶ;" ἐξ ὧν δῆλον ὅτι τὸ δαιμόνιον φῦλον οὐ μόνον ᾔδει τε τὸν θεὸν καὶ ἐδεδοίκει καὶ ἔσεβεν, ἀλλὰ καὶ τὲς ἐκείνου γνησίες θεραπευτάς.

Αἰτίαν δὲ τῆς ἀφάτε φιλανθρωπίας ἐπισύναπτε καὶ ταύτην. ἡμῖν μὲν ἀνοίγει τὸν ἐρανὸν ἔπω γεγονότα βατὸν ἐδὲ θεατόν· ὃς καὶ ἐρανῶν οἶμαι βασιλεία προσαγορεύεται. κατὰ γὰρ τὸν θεῖον Παῦλον „ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν·" καὶ „οὐκ εἰς χειροποίητα ἅγια εἰσῆλθεν, ἀλλ' εἰς αὐτὸν τὸν ἐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τῦ θεῦ ὑπὲρ ἡμῶν·" καὶ „ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστός." ταύτην ἐν τὴν ὁδὸν ἡμῖν ἀνεκάλυψε, καὶ ταύτης ἡμῖν καθηγήσασθαι δικαιοσύνης ἀπόδειξις ἦν, ὡς ἂν μαθόντες ἐπιποθήσωμεν, ποθήσαντες δὲ πρὸς τὸ ποθούμενον παρασκευαζώμεθα. τοῖς δὲ ἀγγέλοις γνώριμος ἦν ἀπ' ἀρχῆς καὶ εἰς γνῶσιν ἠγμένος ὁ ἐρανός. ἔτι δὲ καὶ ἡμῖν μὲν τὴν ἀνάστασιν ἑνωθεὶς καὶ τὸ ἄφθαρτον καὶ ἀθάνατον διὰ τῆς οἰκείας χαρίζεται ἀναστάσεως· τὸ δὲ ἀσώματον γένος, ἀθάνατον ὂν, τῆς τοιαύτης ἀνενδεὲς χάριτος. καὶ δι' ἡμᾶς μὲν ἐπιδημήσας σαρκὶ τῆς κατεχέσης τῦ διαβόλε τυραννίδος ἠλευθέρωσε, τὰς ἀρχὰς θριαμβεύσας καὶ τὰς ἐξεσίας ἐν τῷ σταυρῷ, καὶ δύναμιν ἡμῖν χαρισάμενος πᾶσαν τὴν τῦ ἐχθρῦ δύναμιν καταπατεῖν· εἰ δὲ τὴν ἐκείνων ὑπέδυ φύσιν, τίνας ἂν εὐεργέτησε; κατὰ τίνων δ' ἂν ἐθριάμβευσε; ποίαν δὲ τὴν ἐξεσίαν τίσιν ἐδίδε καὶ κατὰ τίνων; χωρὶς δὲ τῶν εἰρημένων, ἡμῖν μὲν πεσοῦσιν οὐδεὶς ἦν ὑπογραμμὸς τὴν αὐτὴν λαχὼν φύσιν διορθώσεως, τοῖς δὲ πεπτωκόσι τῶν δαιμόνων μυρία τάγματα τῶν ἀσωμάτων ἀτρέπτως ἑστηκότα πρόκειται, καὶ πολιτείας ἐνθέε παράδειγμα ὄντα καὶ διορθώσεως ἀκλινοῦς ὑποτύπωσις. διόπερ ὁ πάντα σοφῶς καὶ ὑπὲρ λόγον προνοέμενος καὶ πράττων θεὸς ἡμῶν, ὁ τῦ θεῦ λόγος, τῆς μὲν ἀνθρωπίνης φύσεως τὸν ὄλισθον ὑποστάσης καὶ προσλαμβάνεται ταύτην ἀῤῥήτῳ φιλανθρωπίας μέτρῳ, καὶ δι' αὐτῆς πᾶσι τοῖς ὁμοφυέσι τήν τε διόρθωσιν καὶ τὴν ἀφθαρσίαν καὶ τὰ μυρία χαρίζεται ἀγαθά· τῦ δὲ δαιμονίε φύλε ἐ μὲν ἐν ἔτε δικαίαν οὔτε συμφέρουσαν κρίνει τὴν πρόσληψιν. Οὕτω μὲν ἐν καὶ τὸ ἐπὶ τέτῳ τῷ φιλοθεάμονι καὶ σπουδαιολόγῳ ἀνδρὶ διανύεται κεφάλαιον.

Ἐν δὲ τῷ μβʹ ζητεῖ πόθεν ἡμῖν μὲν ἔκ τε τῦ χείρονος εἰς τὸ κρεῖττον καὶ πρὸς τὸ χεῖρον ἀπὸ τῦ κρείττονος ἡ μεταβολὴ καὶ πολλὴ καὶ διάφορος καὶ μικρῦ συνεχής, τῶν δὲ ἀσωμάτων γενῶν τοῖς μὲν τὸ καλὸν ἀμετάβλητον, τοῖς δὲ τὸ φαῦλον. καὶ τίθησιν αἰτίαν ἡμῖν μὲν τῆς ἐφ' ἑκάτερα στασιαζέσης ῥοπῆς τῆς ὑποβεβλημένης ὕλης τὸ ῥοῶδές τε καὶ εὐπαράφορον, ποτὲ μὲν τῦ λογισμοῦ κρατῦσαν, ποτὲ δὲ κρατεμένην. ἐν ἐκείνοις δὲ μηδαμῶς τῆς ὕλης παρείσδυσιν λαβέσης, ὁ λογισμὸς μόνος τῶν πράξεων ἔχει τὸ κράτος. διὸ τῶν μὲν ἑκεσίως καὶ ὡς ἀληθῶς αὐτοκρατορικῶς πρὸς τὸ χεῖρον ἀπενεχθέντων ἡ πτῶσις ἀνίατος γίνεται, ὡς ἐχόντων ἕτερόν τι κρεῖττον ἐν ἑαυτοῖς, ὃ τὴν αὐτοδέσποτον γνώμην αὐτὴν ὑφ' ἑαυτῆς ῥεύσασαν πρὸς τὸ χεῖρον πάλιν ἀνακαλέσαιτο· ὥσπερ αὖ πάλιν τοῖς ἑκεσίως καὶ αὐτονόμως τὸν ἔρωτα τῦ ἀγαθῦ λαβῦσιν ἀπαράτρεπτος ὁ πόθος ὑπὸ μηδεμιᾶς ῥοῆς ἐνοχλέμενος διασώζεται. ἡμεῖς δὲ ὥσπερ διπλοῖ τινές ἐσμεν· διὸ καὶ μεταμεληθέντες οἷς ἁμαρτάνομεν, ὡς ἑτέρες ἑαυτὲς ἐπιμεμφόμεθα. δύο δὲ μαχομένων, καὶ τέτων ἀνὰ μέρος κρατέντων τε καὶ κρατεμένων, πῶς ἂν ἢ τὰ τῆς νίκης ἢ τὰ τῦ πτώματος σχοίη τὸ ἀμετάβλητον; ἐ μόνον δὲ ἐπὶ τῶν πράξεων, αἳ τὸ ἐπαινετὸν ἢ τὸ ψεκτὸν φέρεσιν, ἐφ' ἡμῶν ἡ μεταβολὴ καὶ ἡ παλίῤῥοια τὸ κράτος ἐκ ἔχει ἀνανταγώνιστον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἡμῶν ἐνεργειῶν καὶ παθημάτων. οὔτε γὰρ διὰ παντὸς καθῆσθαι ἔτε ἵστασθαι δυνάμεθα, ἀτονίας εὐθὺς τῆς κατὰ τὴν φύσιν ἑκατέρου τῇ ὑπερβολῇ συνεπα-

Margin notes: H. (beside "τισε λόγος", left margin) — 2 R. (beside "πιστεύεσι", left margin) — 358 H. (beside "ὑπο-", right margin) — 653 R. (beside "ἐνοχλέ-", right margin)

a. 15. σὺ] Iac. 2, 19. 16. τὸν μὲν] Act. 19, 15. 24. ἐνεκαίν.] Hebr. 10, 20. 25. οὐκ] ib. 9, 24. 28. ὅπου] ib. 6, 20. b. 23. lege κρατούσης — κρατουμένης. 32. ὑπὲρ ς.

μένης. καὶ δῆλον τοῦτο, ὡς διὰ τὴν ἐν ἡμῖν τῶν στοιχείων διαφορὰν τε καὶ μάχην συμβαίνει· καὶ γὰρ τὸ μὲν θερμὸν τὴν ἄνω χώραν διώκει, τὸ δὲ γεῶδες βρίθει τε καὶ συγκαθέλκει πρὸς τὴν γῆν· καὶ ἐπὶ τῶν ἄλλων δὲ τῶν παραπλησίων ὡσαύτως. ὃ ἐπὶ τῆς ἀσωμάτου οὐκ ἔχει χώραν φύσεως, ἀλλ' ὥσπερ ἐν ἡμῖν τὸ ποικίλον καὶ πολύμορφον, οὕτως ἐν ἐκείνοις τὸ ἀποίκιλον καὶ μονοειδὲς ἐγκαθίδρυται. ὅθεν τοῖς ἁπλοῖς μὲν καὶ μονοειδέσιν ἀκολουθεῖ τὸ δυσαλλοίωτόν τε καὶ δυσμετάβλητον, τοῖς δὲ συνθέτοις ἡ μεταβολὴ καὶ ἀλλοίωσις. τὸ δὲ μὴ πάντῃ πάντως τὸ ἀμετάβλητον καὶ ἀναλλοίωτον μηδὲ ἐν ταῖς ἀσωμάτοις οὐσίαις ὁρᾶσθαι (καὶ γὰρ μετεβλήθη τὸ δαιμόνιον ἀπὸ τοῦ κρείττονος εἰς τὸ χεῖρον) ἐκεῖνο ἄν τις ἴσως προφασίσαιτο, ὅτι καὶ αὐτὸ τὸ ἀσώματον ἐκτροπῆς τε καὶ ἀλλοιώσεως ἤρξατο. ἐκ μὴ ὄντων γὰρ εἰς τὸ εἶναι καὶ αὐτὸ παρήχθη, κἂν τῆς κατὰ τὴν ὕλην συμπλοκῆς ἐλευθέραν ἔχει τὴν ὕπαρξιν. τάχα δ' ἂν καὶ διὰ τὴν μίαν ταύτην ἐκτροπὴν μίαν καὶ αὐτοὶ τὴν πρὸς τὸ φαῦλον τῆς γνώμης ἀλλοίωσιν ἐπεδείξαντο. Ταῦτα εἰπὼν ὁ θεοσεβὴς οὗτος καὶ φροντίσιν ἱεραῖς ἀνειμένος ἀνὴρ ἐπιῤῥαπίζει τὴν Ὠριγένους περὶ δαιμόνων καὶ ἀγγέλων καὶ ἀνθρώπων καὶ ἀστέρων καὶ τῆς ἄλλης ὁρωμένης κτίσεως δυσσεβῆ τε καὶ ἀνόητον καὶ πολύπλανῆ φλυαρίαν, καὶ τέλος ἐπιτίθησι καὶ τῷ β' καὶ μ' κεφαλαίῳ.

Ἐν δὲ τῷ ἑξῆς δύο ταῦτα ζητεῖ, ἓν μὲν διὰ τί αἱ ἅγιαι καὶ νοεραὶ δυνάμεις, ὅσα γε ἡμῶν εἰς γνῶσιν ἧκε καὶ οἱ χρησμοὶ ἐξεπαίδευσαν, τὸ καλὸν ἀπ' ἀρχῆς μέχρι τέλους ἀμετάβλητον σώζουσιν, ὥσπερ αἱ πο- 339 H. νηραὶ τὴν κακίαν· "καὶ διὰ τί πολλῶν ἀνθρώπων μελλόντων κολάζεσθαι, τὸ πῦρ ἔφησεν ὁ σωτὴρ ἡτοιμάσθαι τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. καὶ πρὸς μὲν τὴν πρώτην ζήτησιν ἐφ' ἑκατέρας μερίδος, τῆς τε ἀγγελικῆς φημὶ καὶ τῆς δαιμονίας, τὸ ἁπλοῦν αἰτιᾶται καὶ ἀσύνθετον καὶ ἀποίκιλον, καὶ διὰ τοῦτο πρὸς τὰ ἀντικείμενα τῆς μεταβολῆς ἐνυπάρχειν αὐτοῖς τὸ ἀπαράδεκτον. πρὸς δὲ τὴν δευτέραν ζήτησιν, ὅτι διὰ τοῦτο τὸ πῦρ τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ ἡτοιμάσθαι γέγραπται, ἀλλ' οὐχὶ τοῖς ἀνθρώποις, ἐπειδὴ ἐν ἡμῖν μὲν οὐκ ἀδόκητον ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ κρεῖττον ἡ μεταβολή, οὗτοι δὲ γνώμῃ παρέχοντο τὸ ἀνέλπιστον. τὴν εἰρημένην δὲ τοῦ σωτῆρος φωνὴν ἅμα τε λύσιν ἐπάγει τῆς δευτέρας ἀπορίας, καὶ δεύτερον ἐπιχείρημα, "δι' οὗ τὸ ἀμετάβλητον ἀπὸ κακίας τῆς 656 B. δαιμονίας ἐπιδείκνυται φύσεως.

Ἐπὶ δὲ τούτοις ἐν τῷ μδ' κεφαλαίῳ διερευνᾶται, τίνος χάριν οἱ τῷ λουτρῷ τῆς παλιγγενεσίας προσερχόμενοι τῷ μὲν Σατανᾷ καὶ τοῖς ἔργοις αὐτοῦ ἀποτάσσονται, οὐκέτι δὲ καὶ τοῖς πονηροῖς ἀνθρώποις καὶ ταῖς τούτων πράξεσι· καίτοι γε, εἰ μὴ τῇ τῶν δαιμόνων οὐσίᾳ ἀλλὰ τοῖς ἔργοις αὐτῶν ὡς φαύλοις ἀποτασσόμεθα, ἐχρῆν καὶ τῇ τῶν ἀνθρώπων μὲν οὐσίᾳ μὴ ἀποτάσσεσθαι, τοῖς ἔργοις δ' αὐτῶν ἀποτάσσεσθαι. οὐ γὰρ ὅτι μείζονα καὶ χαλεπώτερα καὶ ὑπὲρ τὴν ἡμῶν φύσιν τὰ τῶν δαιμόνων ἔργα, τοῦτο ἄν τις λύσιν θείη τοῦ ἀπορήματος· τοὐναντίον γὰρ μᾶλλον αὐξάνει τὸ ἄπορον, εἴπερ ἐκεῖνά τις ἁμαρτάνειν ἀπεύχεται, οὐχ ἃ μηδὲ πράττειν πέφυκεν, ἀλλ' ὧν εἰς τὴν πρᾶξιν καταφέρεται. τὴν μὲν οὖν ἀπορίαν οὕτω συγκροτεῖ. λύσιν δὲ ἐπάγει πρώτην μὲν τὸ τῶν δαιμόνων ἀμετανόητον, ὅπερ ἐστὶ καὶ τῶν πολὺ μὲν χαλεπωτέρων ἁμαρτημάτων, ἀνθρώποις δὲ πραττομένων, ἅτε δὴ μετανοίᾳ μεθοδεύεσθαι δυναμένων, λίαν βαρύτερόν τε καὶ βδελυκτότερον. δευτέραν δέ, ὡς ἀπ' ἀρχῆς ὁ σωτὴρ καὶ τῆς ἀσφαλείας ἡμῶν προνοητὴς ὅρον ἔχθρας ἀμετακίνητον μεταξὺ τοῦ τε διαβόλου καὶ ἡμῶν ἐπήξατο, ὡς ἂν τὴν πρὸς αὐτὸν ἔχθραν ἀκήρατον ἐν ἑαυτοῖς διασώζοντες μηκέτι παρ' αὐτοῦ προσαγομένην τὴν ἀπάτην εἰσδεξώμεθα. διὸ καὶ τῶν φωτιζομένων ἕκαστος, ὥσπερ ὁμολογῶν τῇ τοῦ προπάτορος ἀπάτῃ μέχρι τότε συνέχεσθαι, καλῶς τε καὶ θεοσόφως τὸ λοιπὸν τῇ πρὸς ἐκεῖνον ἀποτάσσεται φιλίᾳ. ἐπὶ δὲ τῶν ἀνθρώπων, κἂν πονηρίᾳ συζῶσιν, οὐδὲν τοιοῦτον, ἵνα μὴ λέγω πᾶν τοὐναντίον, ὁ δεσπότης ἐκέλευσε. καὶ μυρία μὲν ἔστιν εἰπεῖν καὶ ἄλλα, ἓν δὲ τῶν ἀναγκαιοτάτων, ὡς τῆς εἰς ἀλλήλους ἀγάπης ὁ τῆς ἐκκλησίας θεσμὸς προνοούμενος, ἣν μυριοτρόπως ὁ πονηρὸς διασπᾶν ἐπείγεται, πάσῃ μεθόδῳ καὶ σοφίᾳ συγκροτεῖν τε ταύτην καὶ συνέχειν νομοθετεῖ. διὸ οὐδὲ αὐτοὺς τοὺς φαύλους ὁμοφύλους ὄντας βδελύττεσθαι καὶ μισεῖν ἐᾷ, τὸ ἀνάπαλιν δὲ στέργειν τε καὶ φιλεῖν, ὅση δύναμις, ναὶ δὴ καὶ κάθαρσιν "μὲν τῆς πονηρίας καὶ θεραπείαν ἐπινοεῖν, 340 H. προσλαμβάνεσθαι δέ, ἀλλ' οὐκ ἀπωθεῖσθαι. καὶ τοῦτο Παῦλος μετὰ τῶν ἄλλων παραινεῖ, ὃς καὶ τοῖς Ἰουδαίοις

a. 5. ἀσωμάτου A: αὐτομάτου ς. 11. τὸ δὲ] fortasse leg. τοῦ δὲ. 20. οὗτος delevit A. 21. ἀνὴρ] οὗτος ἀνὴρ A, οὗτος ὁ ἀνὴρ ceteri. 31. τὸ πῦρ] Matth. 25, 41. 38. αὐτοῦ om A. 40. ἀδόκητος ς.
b. 26. εἰσδεξόμεθα ς. 39. ναὶ δὴ καὶ A: καὶ δὴ ς. 41. Παῦλος] 1 Cor. 9, 20.

Digitized by Google

ὡς Ἰουδαῖος ϗ τοῖς Ἕλλησιν ὡς Ἕλλην ϗ τοῖς ἀνόμοις ὡς ἄνομος ϗ τοῖς πᾶσι τὰ πάντα ἐγένετο, ἵνα πάντως τινὰς σώσῃ. εἰ δὲ τοῖς ἁμαρτωλοῖς ὁ τῶν δικαίων χορὸς ἀπ᾽ ἀρχῆς μέχρι νῦν ἀπετάσσετο, τίς ἂν ἐσώθη; πῶς δ᾽ ἂν ὁ κόσμος ἐσαγηνεύθη, τῶν μὲν φαύλων ἀλλήλους οὐδὲν ὠφελούντων, τῶν δ᾽ ἀγαθῶν τούτους βδελυσσομένων τε καὶ ἀποπεμπόντων; ἀλλὰ καὶ ἡ τῷ Πέτρῳ σινδὼν ὀφθεῖσα, καὶ πλήρης καθαρῶν τε καὶ ἀκαθάρτων ζώων ὑπάρχουσα, τὴν συναναστροφὴν μᾶλλον καὶ πρόσληψιν τῶν φαύλων, ἀλλ᾽ οὐ τὴν ἀποστροφὴν ὑπηνίττετο. εἰ δὲ τὴν ἀγάπην οὕτω πανταχοῦ τοῦ θεοῦ λόγου νομοθετοῦντος καὶ πάσης ἄλλης ἀρετῆς ὑπερέχουσαν διὰ τῶν αὐτοῦ μαθητῶν ἀναβοῶντος ὅμως πολεμίως πρὸς ἑαυτοὺς διακείμεθα, καὶ μικροῦ τὸν πλησίον ἕκαστος, κἂν ἄριστος ᾖ, φθόνῳ κακίζομεν, ἔσθ᾽ ὅτε δὲ καὶ ἐπιβουλεύομεν,
37 R. εἰ τοιαύτης ἀφορμῆς ἐδραξάμεθα, λέγω δὴ τοῦ τοῖς πονηροῖς ἐκ νομοθεσίας τε ϗ ὁμολογίας ἀποτάσσεσθαι, ἐγὼ μὲν ἐξ ὧν ὁρῶ τὸ ἀνθρώπινον, ϗ τοὺς εὐεργέτας φημί, ἐπεὶ τούς γέ τι παραλυποῦντας κἂν δικαίως τοῦτο πράττωσι, πάντως ἂν ἐκτόπως ἐμισοῦμέν τε ϗ ἀπεστρεφόμεθα, ἅτε δὴ παρακάλυμμα τῆς φθονερᾶς γνώμης καὶ τῆς πολλῆς ἐφ᾽ οἷς μισοῦμεν ἀλλήλους αἰσχύνης τὴν θείαν ἐντολὴν προβαλλόμενοι καὶ συνήγορον ἔχοντες, καὶ οὐκ ἂν οὐδὲ μέχρι θανάτου τὴν πρὸς τοὺς τοιούτους ἔχθραν διελυόμεθα, κἂν τὸν ἥλιον μὴ ἐπιδύειν ἐπὶ τῷ παροργισμῷ ἡμῶν τῆς δεσποτικῆς νομοθετούσης ἀγαθότητος, καὶ τοῦ πατρὸς μιμητὰς ἀποφαίνοντος ἐν τῷ πᾶσι καὶ τοῖς μισοῦσι χρηστοὺς εἶναι, ὃς βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους καὶ ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐφ᾽ ἑκατέραν ὁμοίως μερίδα. εἰ δὲ ἦν νενομισμένον τοῖς πονηροῖς τῶν ἀνθρώπων τοὺς φωτιζομένους ἀποτάσσεσθαι, ϗ γυνὴ ἂν ταύτης τῆς ἀφορμῆς λαβομένη τοῦ ἀνδρὸς διεχίζετο, καὶ γυναικὸς ὁ ἀνήρ, πατρός τε ὁ υἱὸς ϗ μητρὸς ἡ θυγάτηρ καὶ δοῦλος δεσπότου· ἐστηρίζετο γὰρ ἂν ἕκαστος τούτων τῇ πρὸς θεὸν οἰκείᾳ ὁμολογίᾳ, καὶ νόμον ἐτίθετο τοῦτον ἀπαράβατον τῷ οἰκείῳ θελήματι βεβαιούμενον. διὰ ταῦτα τοίνυν τῷ διαβόλῳ μόνον ϗ τοῖς δαιμονίοις καὶ τοῖς τούτων ἔργοις φεύγειν τε καὶ βδελύττεσθαι ϗ ἀποτάττεσθαι προστετάγμεθα, ἀμέτοχοι τῆς ἐκείνων γνώμης διὰ παντὸς συντηρηθῆναι ὁμολογοῦντές τε ϗ εὐχόμενοι, διὰ τὴν αὐτῶν πρὸς τὰ φαῦλα ἀκλινῆ τε καὶ ἀμετάθετον ῥοπὴν ϗ διὰ τὸ κόρον τῶν ἁμαρτημάτων μὴ δέχεσθαι. ἀλλήλοις δέ, κἂν ἀνθρώπινον ᾖ κἂν εἰς τὸ θεῖον διαβαίνῃ τὸ ἁμάρτημα, οὐκ ὀξεῖαν ϗ ἀπότομον τὴν κρίσιν φέρειν ὀφείλομεν λυμαντικόν τε γὰρ τοῦτο τῆς ἐμφύτου πρὸς ἀλλήλους στοργῆς, διά τε τὴν συνηρτημένην ὕλην τῷ γένει, καὶ ὅτι πεσοῦσιν ἐλπὶς διορθώσεως ὑπολείπεται. διὸ ϗ ἄν τις μὲν λέγῃ „οὐκ εἰμὶ καθ᾽ ἕνα τῶν δαιμόνων,“ ἐπείπερ ἀλήθειάν φησιν, οὐκ ἀπόβλητος· ὁ δὲ κατὰ τὸν Φαρισαῖον ἀλαζονευόμενος ϗ ὡς ὁ τελώνης μὴ εἶναι μεγαλαυχῶν κατακρίνεται· οὔτε γὰρ αὐτὸς ὁ ἱστάμενος εἰ μὴ πέσοι δῆλον, οὔτε ὁ πεπτωκὼς εἰ μὴ στήσεται. χωρὶς δὲ τῶν εἰρημένων κἀκεῖνο θεωρητέον, ὡς ἐπειδὴ τὸ μὲν δαιμόνιον φῦλον ἀμετανόητον, ἡμεῖς δὲ διὰ μετανοίας τῷ βαπτίσματι πρόσιμεν, δι᾽ ὧν τοῖς ἀμετανοήτως ἔχουσιν ἀποτασσόμεθα, τὴν μετάνοιαν πάντως θεῷ καθομολογοῦντες δεικνύμεθα. καὶ ὁ τοῖς δαιμονίοις διὰ τὸ σφῶν ἀμετάθετον ἀποτασσόμενος πῶς οὐχὶ τῷ ἀμεταθέτῳ πρῶτος αὐτὸς ἀπετάξατο; ϗ ὁ τῆς προτέρας αὐτοῦ πονηρίας ϗ ἀσεβείας συγγνώμην αἰτῶν πῶς ἂν τοῖς ὁμοιοπαθέσιν ἀνθρώποις, ὃν αὐτὸς διὰ μετανοίας ἔχειν, ἀποκλείσειεν ἔλεον; 341 H.

Ἀλλὰ ταῦτα μὲν ϗ ἐν τῷ παρόντι κεφαλαίῳ· ἐν οἷς καί φησιν ὡς ἐν τῇ ἀναστάσει τὸν ἀγγελικὸν βιωσόμεθα βίον, μηκέτι πρός τι τῶν φαύλων ἐκκλίνοντες, ἀλλ᾽ ἐν τῷ ἀτρέπτῳ στηριζόμενοι, οὐ φύσει τοῦτο κτησάμενοι, τῇ δὲ τοῦ πνεύματος δυνάμει, ὥσπερ ϗ αὐτὸ τὸ τῶν ἀγγέλων σύστημα. ταύτῃ τοί φησι καὶ τὸ „ὁ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων ἐστὶν Ἰωάννου,“ τουτέστι τῇ πρὸς τὸ ἄτρεπτον δαψιλείᾳ τοῦ 660 R. πνεύματος. ἐπειδὴ γὰρ μείζονα τὸν Ἰωάννην ἐν γεννητοῖς γυναικῶν [ἐν] τοῖς τοῦ πνεύματος [ἡ ἀλήθεια] χαρίσμασιν ὁ κοινὸς δημιουργὸς καὶ δεσπότης ἔφησε, δεικνὺς τὸ διάφορον τῆς μελλούσης πρὸς τὴν παροῦσαν ζωὴν καταστάσεως φησὶν ὡς, εἰ καὶ νῦν τοῖς πνευματικοῖς χαρίσμασι μείζων ἐστὶν ὁ πρόδρομος, ἀλλ᾽ οὖν τοσαύτη τις ἔσται κατὰ τὸ μέλλον ἡ τῶν παρόντων μεταβολὴ πρὸς τὸ ἄμεινον καὶ ἡ δαψίλεια τοῦ πνεύματος, ὡς καὶ τὸν ἐκεῖσε μικρότερον τῶν ἐνταῦθα τὸ μεῖζον ἐχόντων μεγαλοπρεπεστέρας τυχεῖν δωρεᾶς. καὶ γὰρ ὁ μὲν ἐνταῦθα, κἂν τὸ μεῖζον εἶχεν, οὐκ εἶχε τὸ ἄτρεπτον· ὁ δὲ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μικρότερος, ὅστις ποτ᾽ ἂν ᾖ, ὅπερ ἂν ἔφερεν ἀγαθόν, ἀναφαίρετον συνεπεφέρετο, μηδαμῶς ἀρρωστίᾳ τροπῆς ὑποκείμενος.

a. 1. καὶ τοῖς Ἕλλησιν — ἄνομος add *A*. 29. βρέχει] Matth. 5, 45. b. 2. διαβαίνη ς. 6. ἀπολείπεται ς. 8. τὸν Φαρ.] Luc. 18, 11. 27. ὁ μικρ.] Matth. 11, 11.

Ἐν δὲ τῷ μεʹ κεφαλαίῳ εἰς ἐξέτασιν ἄγει πῶς οἱ δύο ἐν ἑκατέρῳ γένει πρωτόπλαστοι, ὅ τε διάβολος ϗ ὁ Ἀδάμ, εὐθέως κτισθέντες ἐξέπεσον. ἀλλ' ὅτι μὲν ὁ Ἀδὰμ τῶν ἐν τῷ αὐτῷ εἴδει πρωτόπλαστος, δῆλον· ὅτι δὲ καὶ ὁ διάβολος, ἐν τῷ Ἰὼβ φησίν, ὥσπερ ὁ στρατηγὸς πρωτοστάτης πεπτωκώς, „τοῦτό ἐστιν ἀρχὴ κυρίου πλάσματος πεποιημένον εἰς τὸ καταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ." ϗ ὁ προφήτης „πῶς ἔπεσεν ὁ ἑωσφόρος, ὁ πρωῒ ἀνατέλλων;" ὁ γὰρ ἑωσφόρος, ἅτε δὴ πλησιάζων κατά τινα πορείαν μᾶλλον τῶν ἄλλων ἀστέρων, πρῶτός ἐστιν ἡλίου κῆρυξ· ὃ ἀναλόγως ἔχειν ποτὲ τὸν διάβολον αἰνιττόμενον τὸ λόγιον πρὸς τὸν νοητὸν τῆς δικαιοσύνης ἥλιόν φησιν. ἀλλ' ὅπερ πρόκειται, εἰ καὶ λυπηρὸν (φησὶ) τὸ ἑκατέρας κτίσεως, τῆς τε νοητῆς καὶ τῆς μετεχούσης τῶν αἰσθήσεων, τοὺς πρωτογενεῖς εἰς ὄλισθον ἐκπεσεῖν, ἀλλ' οὖν τοῖς ἑξῆς ἅπασι τὸ ἐκεί-
342 H. νων πτῶμα κοινωφελὲς παράδειγμα πρόκειται, κήρυκος δίκην ἀναφωνοῦν πολλῆς ἀσφαλείας ἔχειν πρόνοιαν, μὴ τοῖς αὐτοῖς περιπεσεῖν, μηδὲ στέργειν δι' ὧν ἄν τις ὀλισθήσειεν, ἀλλὰ παντὶ τρόπῳ καὶ πάσῃ δυνάμει τὴν παρακοὴν καὶ τὴν δι' αὐτῆς ἁμαρτίαν βδελύττεσθαι, εἴ γε καὶ αὐτὰ τῆς δημιουργίας τὰ οἱονεὶ βάθρα καὶ θεμέλια μὴ τῆς δεούσης ἑαυτοὺς ἀξιώσαντες προσοχῆς ἐπὶ τοσοῦτον ὠλίσθησαν. διὰ τοῦτο γὰρ ϗ ὁ σοφὸς ἡμῶν πλάστης καὶ προνοητὴς πρὸς σωφρονισμὸν τῶν μετὰ ταῦτα πάντων παραυτίκα καὶ πρὸ καιροῦ τρόπον τινὰ ἑκατέρῳ προσάγει τὴν κόλασιν, τὸν μὲν τῷ θνητῷ καταδικάσας, τῷ δὲ τὴν χώραν ἀμείψας καὶ ἀντὶ τῆς ἄνω ϗ μακαρίας διατριβῆς τὸ σκότος ἀντιδοὺς ϗ τὸν τάρταρον, ἑκατέρῳ πάθει κατάλληλον κεράσας τὸ φάρμακον. ὁ μὲν γὰρ Ἀδὰμ θεὸς ἔσεσθαι νομίσας καὶ τοὺς ὀφθαλμοὺς φέρειν ἀνεῳγμένους ϗ γνῶσιν πλουτῆσαι τοῦ καλοῦ τε καὶ τοῦ πονηροῦ, θνητός τε ἐδείχθη ϗ πολυπαθής, ϗ μικροῦ τυφλώττουσαν ϗ παντοδαποῦς ἀγνοίας μεστὴν φύσιν ἠνέγκατο· ὁ δὲ τὸν θρόνον εἰς τὸν οὐρανὸν τῇ φαντασίᾳ τιθεὶς καὶ ὅμοιος τῷ ὑψίστῳ γενόμενος ὑπὸ γῆν τε δικαίως ἐῤῥίφη καὶ τοὺς ταρταρίους ὑπέδυ μυχούς, καὶ γέγονεν αὐτοῖς ἡ ἀπληστία καὶ τῆς ἐν οἷς ὑπῆρχον συμμετρίας ἀπόπτωσις. ἰατρικῆς δὲ
661 R. σοφίας καὶ τὸ προσφέρειν τοῖς ἐναντίοις τὰ ἐναντία ἰάματα. Ἀλλ' ἐν τούτοις μὲν τῷ ἱερομαθεῖ τε ϗ φιλοθεάμονι τὸ εʹ ϗ μʹ τὸ πέρας ἀποφέρεται κεφάλαιον.

## 223.

Ἀνεγνώσθη βιβλίον ΔΙΟΔΩΡΟΥ ἐπισκόπου Ταρσοῦ κατὰ εἱμαρμένης, ἐν λόγοις μὲν ηʹ, κεφαλαίοις δὲ γʹ καὶ νʹ. ἔστι μὲν οὖν ἐν τούτοις εὐσεβῶν ὁ ἀνήρ, ϗ οὐδὲ περὶ τὴν δόξαν τοῦ υἱοῦ τοῦ θεοῦ, ἣν ἡ τοῦ Νεστορίου λύσσα διασπαράττει, σφαλλόμενος· τοῖς δὲ ἐπιχειρήμασιν ἔστι μὲν οἷς ὀρθῶς τε καὶ εὐφυῶς ἐπιβάλλει, διελέγχων τοὺς τὴν εἱμαρμένην δοξάζοντας, ἔστι δὲ ὅπου πρὸς μόνον τὸ φαινόμενον τὸν ἀγῶνα φέρει, καὶ μηδὲ σαφῶς τὸ τῶν ἐναντίων ἐξακριβῶν δόγμα. ὅθεν πολλάκις οὐκ ἐκείνοις, πρὸς οὓς ὁ πόλεμος, ἀλλ' ἑτέροις μᾶλλον δόξειεν ἂν διαμάχεσθαι. πλὴν ὅ γε εὐγνώμων κριτὴς οὐχ ὑπὲρ ὧν οὐκ εὐστόχως ἐνιαχοῦ φέρεται μωμήσαιτο ἄν· ὑπὲρ ὧν δὲ σπουδάζει τὴν τῆς εἱμαρμένης πλάνην κατενεγκεῖν, καὶ ὡς οὐκ ἐν ὀλίγοις κατ' αὐτῆς εὐδοκιμεῖ, τὸν ἄνδρα τιμῆς καὶ χάριτος ἄξιον ἀνομολογεῖν ἐστὶ δίκαιος. ἐν μέντοι γε τῷ αʹ καὶ νʹ κεφαλαίῳ, ἅμα τε τὴν τῆς εἱμαρμένης κατασείων δόξαν, καὶ τὴν Βαρδισάνου συνεπιῤῥαπίζει. αὕτη δὲ ἡμιμανής τίς ἐστι ϗ ἡμίτομος· τὴν μὲν γὰρ ψυχὴν εἱμαρμένης τε ϗ τῆς λεγομένης γενεθλιαλογίας ἐλευθέραν ἀπολύει, συντηρῶν αὐτῇ τὸ αὐτεξούσιον, ὑποτάττει δὲ τῇ ταύτης διοικήσει τὸ σῶμα ϗ τὰ περὶ τὸ σῶμα, πλοῦτον δή φημι καὶ πενίαν καὶ νόσον καὶ ζωὴν καὶ θάνατον καὶ ὅσα οὐκ ἐφ' ἡμῖν, καὶ ταῦτα πάντα τῆς εἱμαρμένης ἔργα δογματίζει. ὃν ὁ φιλομαθὴς ϗ σπουδαῖος Διόδωρος σαφῶς τε ϗ γενναίως 343 H.
διελέγχει λόγῳ μὲν ἡμίτομον τὴν τῆς εἱμαρμένης πλάνην κηρύττειν, ἔργῳ δὲ συγκροτεῖν τὴν ὅλην, εἴπερ ϗ τὰ πλεῖστα τῶν σωματικῶν παθῶν τε καὶ ἔργων διὰ τῆς ψυχικῆς ἐνεργείας τε καὶ συνεργείας, ναὶ δὴ ϗ συμπαθείας εἴωθεν ἐπισυμβαίνειν ϗ ἀποτελεῖσθαι.

Ἐν μὲν οὖν τῷ αʹ λόγῳ ἄλλα τέ τινα περὶ εἱμαρμένης διελθών, καὶ ὅθεν ἔσχε τὴν τόλμαν ἡ πλάνη παῤῥησιάσασθαι, καὶ κατὰ τῆς λεγούσης δόξης τόδε τὸ πᾶν ἀγένητον εἶναι διανιστάμενος (οἴεται γὰρ ἐκ τῆς ὑπολήψεως τῆς τὸν κόσμον ἀγένητον ποιούσης, ἐκεῖθεν ϗ τὸ τῆς εἱμαρμένης συγκροτεῖσθαι πλάσμα) περατοῖ τὸν αʹ λόγον, καὶ ἐν τῷ βʹ τοῦ αὐτοῦ μὴ ἀφιστάμενος ἀγωνίσματος. διὸ ϗ ἐν τῷ ιʹ κεφαλαίῳ γενητὸν εἶναι τόν τε κόσμον ϗ τὸν ἐν αὐτῷ ἄνθρωπον ἐπιδεικνὺς ὧδέ πως εἰσβάλλει πρὸς τὴν ἐπιχείρησιν. ἐπεί, φησί, τῶν

a. 6. τοῦτο] Iob. 40, 14. 8. πῶς] Isa. 14, 12. 24. τοσοῦτό ς. 32. libri πλουτίσαι. 33. τὸν post εἰς add *A*. b. 2. Θεοδώρου *A*ς: sed mg *A* γρ. διοδώρου, ὡς προϊὼν εὑρήσεις. 14. τὴν add *A*. 17. δίκαιον ς. 24. δή *A*: δὲ ς. 26. ὃν Schottus: libri ὧν. 31. ναὶ *A*: καὶ ς. 36 et 37. ἀγέννητον *A*.

κατὰ μέρος ἀνθρώπων ἕκαστος φθαρτός ἐστι καὶ γενητός, δῆλον ὡς καὶ ἡ τούτων φύσις εἰς τὴν ὁμοίαν ἄγεται λύσιν, ἐν μόναις ταῖς ἐξ ἀλλήλων διαδοχαῖς διαμένουσα· τὸ γὰρ ἀγένητον οὐκ ἐν διαδοχαῖς ἐπινοούμενον ἔχει τὸ ἄφθαρτον, ἀλλὰ καθ' ἑαυτὸ καὶ κατὰ τὴν ἰδίαν ὑπόστασιν. ὅτι δὲ ὁ κόσμος γενητός, δῆλον ἐξ ὧν καὶ τὰ ἐν αὐτῷ γενητά, πῦρ καὶ ὕδωρ καὶ γῆ καὶ ἀήρ· καὶ γὰρ ταῦτα παρὰ μέρος καθ' ἑκάστην καὶ φθεί-
664 R. ρεται καὶ γίνεται. Ὅτι δὲ πάλιν ἡ γῆ φθαρτή, δῆλον ἐξ ὧν εἰς γῆν καὶ ὁ ἄνθρωπος καὶ τὰ ἄλλα τῶν ζώων φθειρόμενα μεταβάλλεται· τὸ γὰρ εἰς ταύτην φθείρεσθαι ἀπόδειξίς ἐστι τοῦ ἐκ ταύτης φθαρείσης κατ' ἀρχὰς ταῦτα γενέσθαι. πλὴν καὶ νῦν ἔτι τὰ πολλὰ τῶν ζώων ταύτης τρεπομένης καὶ φθειρομένης γίνεταί τε καὶ συνίσταται. τὸ δὲ τρεπόμενον εἰ καὶ μὴ πρόδηλον εἶχε τὴν φθοράν, πῶς ἂν εἴη ἀγένητον; τροπὴ γὰρ πᾶσα τοῦ κατὰ φύσιν προϋπάρχοντος καὶ μάλιστα τῆς ἀγενησίας καθέστηκεν ἔκπτωσις. εἰ δὲ ἦν ἀγένητον ἄνθρωπος, πῶς ὑπὸ τῆς γενέσεως ἤτοι τῆς εἱμαρμένης διῳκεῖτ' ἄν; τὸ γὰρ ἀγένητον οὐ δεῖταί τινος ἀλλοτρίου πρὸς τὴν ἰδίαν σύστασιν.

Εἰ δέ τις ὑπὸ τῆς τῶν πραγμάτων ἐναργείας βιαζόμενος ὁμολογεῖ γενητὰ μὲν εἶναι τὰ ἐπὶ γῆς καὶ θαλάττης καὶ τὰ ἐν ἀέρι, τὴν δὲ ταῦτα ἀποτελοῦσαν γένεσιν τρέχουσαν διηνεκῆ φορὰν καὶ ἀγένητον ἐνεργεῖν, καὶ ἐργάζεσθαι τὰ προειρημένα πάντα ἀϊδίως καὶ ἀγένητον, αὐτόθεν ἔχει τὸν ἔλεγχον. οὐ γάρ οἷόν τε αὐτὰ μὲν εἶναι γενητὰ καὶ οὐκ ἀΐδια, ἀΐδιον δὲ αὐτῶν τὴν διοίκησιν. τὰ γὰρ ὄντα τις συγκρατεῖ καὶ διοικεῖ, τὰ δὲ οὐκ ὄντα πρότερον ποιεῖ μέν, εἶτα κυβερνᾷ καὶ διοικεῖ· οὐ μὴν πρὸ τοῦ γενέσθαι διοικεῖ καὶ κυβερνᾷ τὰ μὴ ὄντα, εἶτα δημιουργεῖ.

Γενητὰ δέ φησι τὰ στοιχεῖα καὶ ἐξ ὧν ὁρᾶται καθ' ἑκάστην ἀλλήλων δεόμενα· τὸ γὰρ ἀγένητον καὶ ἄτρεπτον καὶ ἀνενδεές. δεῖται δὲ τὰ στοιχεῖα ἀλλήλων καὶ εἰς
MH. τὸ σώζεσθαι καὶ εἰς τὸ σώζειν τὰ ἐν αὐτοῖς ζῶα. ὁ δὲ κόσμος ὅλος γενητός, ἐξ ὧν καὶ σύνθεσις ὁρᾶται, ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ συγκείμενος. εἰ γὰρ καὶ ὥσπερ ὀφθαλμὸς ἢ κεφαλὴ τοῦ λοιποῦ σώματος, οὕτως ὁ οὐρανὸς τῶν κοσμικῶν στοιχείων τὸ τιμιώτατον, ἀλλ' οὖν ὥσπερ κεφαλὴ καὶ ὀφθαλμός, κἂν τιμιώτατον, ὁμοιοπαθεῖ τῷ λοιπῷ σώματι, οὕτω καὶ οὐρανὸς γῇ καὶ ὕδατι καὶ ἀέρι καὶ τοῖς ἐν αὐτῷ φθαρτοῖς ἅπασιν ὁμοιοπαθὴς ὑπάρχων τὴν κοινὴν φθορὰν οὐ διέφυγεν. ἀλλὰ γὰρ πῶς τὰ διοικούμενα ὑπὸ γενέσεως ἀγένητα; ἢ πῶς τὰ εἰς τὸ εἶναι ἑτέρων μὴ δεηθέντα εἰς χρείαν ἦλθεν ἀλλοτρίας διοικήσεως, καὶ ταύτης οὐκ ἀγαθῆς; τί δὲ ἀπὸ τοῦ διοικεῖσθαι κρεῖττον ἕξει προσούσης αὐτοῖς ἀγενησίας; καίτοι τροπὴ πᾶσα φύσεως ἀγενήτου φθορὰ καὶ ἔκστασις οὐσίας ἀνάρχου. καὶ πῶς ἤνεγκε τὰ ἀγένητα ὑπὸ γενέσεως διοικεῖσθαι οὐκ ἐπὶ τὸ σωθῆναι αὐτοῖς τὸ ἀγένητον, ἀλλ' ἐπὶ τὸ φυλαχθῆναι; εἰ δέ τις ἀγένητον λέγοι αὐτῶν τὴν τροπήν, τὸ πάντων ἀδυνατώτερον εἰσάγει· τροπὴ γὰρ πάθος ἐστὶν ἀρχόμενον, καὶ οὐκ ἄν τις εἴποι τροπὴν ἄναρχον. καὶ συντόμως εἰπεῖν, τῶν στοιχείων καὶ τῶν ἐξ αὐτῶν ζώων τε καὶ σωμάτων ἡ πάνσοφος τροπή, καὶ τῶν σχημάτων καὶ χρωμάτων καὶ τῶν ἄλλων ποιοτήτων ἡ ποικίλη διαφορὰ μόνον οὐχὶ φωνὴν ἀφίησι μήτε ἀγένητον μήτε αὐτόματον νομίζειν τὸν κόσμον, μήτ' αὖ ἀπρονόητον, θεὸν δὲ αὐτοῖς καὶ τὸ εἶναι καὶ 665 R.
τὸ εὖ εἶναι παρασχόμενον σαφῶς εἰδέναι καὶ ἀδιστάκτως ἐπίστασθαι.

Τάχα δὲ γενητὰ μὲν τὰ ἄλλα φήσουσι, μόνην δὲ τὴν τῶν ἄστρων φύσιν καὶ θέσιν ἀγένητον. ἀλλὰ πρῶτον μὲν τίνος ἦν ἡ γένεσις πρὶν γενέσθαι ταῦτα; τίς δὲ ὁ τὰ στοιχεῖα δημιουργήσας; ἢ ἕτερος μὲν οὐδείς, αὐτὰ δὲ ἑαυτά. τὸ δὲ ἀγένητον οὔτε τροπὴν αὐθαίρετον ἂν ὑποσταίη· πᾶσι μὲν γὰρ φίλον τὸ κατὰ φύσιν, μάλιστα δὲ τῇ ἀγενήτῳ φύσει· οὔτε ὑφ' ἑτέρου μὴ βουλόμενον πάθοι· ἀβίαστον γὰρ τὸ κρεῖττον, κρεῖττον δὲ ἀγενήτου οὐσίας οὐδέν. πῶς δ' ἂν τὰ μηδαμῇ μηδαμῶς γένοιντο δίχα τοῦ ποιοῦντος; πῶς δὲ τὸν θεὸν ταύτην τὴν ἰσχὺν ἀφαιροῦντες αὐτοῖς ἑαυτὰ προάγειν ἐκ μὴ ὄντων περιάπτουσι τὸ κράτος; εἰ δὲ καὶ αὐτὰ προαγαγεῖν ἴσχυσεν ἑαυτά, διὰ τί μὴ καὶ τὸ διοικεῖσθαι οἴκοθεν παρέσχεν, ἀλλὰ τῆς ἑτέρου κηδεμονίας ἐδεήθη; τὸ γὰρ γενέσθαι τοῦ διαμένειν γενόμενον πολλῷ δυσχερέστερον. πῶς οὖν, ὃ μὲν ἦν δυσχερέστερον, εἰς πρᾶξιν ἤνεγκεν, ὃ δὲ ῥᾴδιον, οὐκ ἂν ἔχοι μὴ παρ' ἑτέρου λαβών; πῶς δὲ καὶ ἡ γένεσις γῆν τε καὶ ἀέρα καὶ τὰ ἄλλα, ἃ μὴ πεποίηκε, διοικεῖ; ἔργον γὰρ τοῦ πεποιηκότος καὶ τὸ διοικεῖν, ὅτι καὶ μόνος τῶν ἑαυτοῦ δημιουργημάτων τὴν φύσιν οἶδε, καὶ ὅπως μὲν κρατοῖτο, πόθεν δὲ συγ-

a. 4. ἐν A: ἂν ς. 6. 7. γεννητὸς — γεννητὰ ς. 12. τοῦ] libri τὸ. 13. τὰ om A. 20. libri διοικεῖτ', et 22. ἀπὸ. 25. φθορὰν ς. b. 9. libri γεννήσεως. 10. σωθῆναι] δοθῆναι Schottus. 26. ἂν ὑποσταίη A: ὑποσταίει ς.

χέοιτο καὶ διαφθείροιτο. εἰ δὲ τολμήσαιεν καὶ τῶν
545 H. στοιχείων τὴν δημιουργίαν ἀνάπτειν τῇ εἱμαρμένῃ, "λεγέτωσαν ἡμῖν ποῖος μὲν ἀστὴρ εἰς τόδε τὸ ζώδιον εἰσελθὼν ἀπετέλεσε τὴν γῆν, ποῖος δὲ τὸν ἀέρα ἢ τὸ πῦρ ἢ τὸ ὕδωρ. ἀλλ' οὐκ ἂν ἔχοιεν λέγειν, εἰ καὶ πλέον ληρεῖν μελετήσωσιν. ἄλλωστε δὲ εἰ οὐχ ἅπαξ ποιεῖ ὃ ποιεῖ ἡ γένεσις, πολλάκις δὲ τὰ αὐτὰ κατά τινας χρόνων περιόδους, δεικνύτωσαν ἡμῖν πολλάκις μὲν γεγενημένας πολλὰς ὁλότητας γαιῶν, πολλὰς δὲ ὑδάτων, πολλὰς δὲ θαλασσῶν, ἐξ ὧν καὶ κόσμους ἀπείρους συστήσουσιν. ἀλλὰ μὴν ἀδύνατον τοῦτο· ἀδύνατον ἄρα καὶ τὸ ἅπαξ τὴν γένεσιν ἕν τι τῶν στοιχείων προαγαγεῖν. εἰ δὲ ἐκ μανίας εἰς μανίαν μεταπίπτοντες ὑπὸ θεοῦ μὲν δημιουργηθῆναι φαῖεν τὰ στοιχεῖα, ὑπὸ δὲ τῆς γενέσεως ἀγενήτου καὶ αὐτῆς ὥσπερ τὸ θεῖον οὔσης διοικεῖσθαι, ἐκδηλότερον αὐτῶν τὴν ἄνοιαν στηλιτεύουσι. διὰ τί γὰρ τὸ θεῖον ἀτάκτῳ γενέσει τὸ οἰκεῖον ὑπέβαλε δημιούργημα; ἆρ' ὡς αὐτὸς οὐκ ἔχων τὴν τοῦ προνοεῖν σοφίαν; καὶ τίς ἂν ἐνέγκοι τὸ δύσφημον, τίς δὲ τὸ ἀνόητον, δημιουργίας μὲν κράτος ἔχειν, προνοίας δὲ μηδ' ὅσον ἡ ἄτακτος ἥρπασε γένεσις; καὶ μυρίος ἄλλος ἑσμὸς ἀτοπημάτων ἕπεται. εἰ δ' ὥσπερ ἀγαθότητι ἐποίησεν ὁ θεός, οὕτω καὶ προνοεῖ, περιττὴ καὶ ματαία ἡ ἐπίνοια τῆς εἱμαρμένης ἤτοι τῆς γενέσεως. πῶς δὲ ἀγένητος ὁ οὐρανός, τοῦ συνθέτου κόσμου μέρος ὑπάρχων καὶ περιοχή; τὸ γὰρ ἀγένητον οὔτε περιοχή τις οὔτε τόπος ἑτέρων ἂν εἴη, καθαρεύει δὲ τῶν τοιούτων τε καὶ παθῶν ἁπάντων. ἀλλὰ καὶ ἐξ αὐτῆς αὐτῶν τῆς πλαττομένης ὑποθέσεως δῆλον ὡς οὔτε ὁ οὐρανὸς οὔτε οἱ ἀστέρες ἀγένητοι. καὶ γὰρ τοὺς μὲν αὐτῶν ἀγαθοποιοὺς τοὺς δὲ κακο-
668 R. ποιοὺς λέγουσι, "καὶ οἴκους ἄλλους ἄλλοις ἀφορίζουσιν, ἐν οἷς γινόμενοι ἄλλοι μὲν κακύνονται, ἢ πλέον ἢ καὶ ἐξ ἀγαθότητος τραπέντες εἰς κάκωσιν, οἱ δὲ τοὐναντίον ἢ πρὸς ἀγαθότητα κακοὶ ὄντες μετεβλήθησαν, ἢ πλέον τῆς προτέρας ἠγαθύνθησαν ἀγαθότητος. καὶ πῶς ἂν ἐν τούτοις νοηθῇ ἢ τὸ ἀπαθὲς ἢ τὸ ἁπλοῦν ἢ τὸ ἀσύνθετον ἢ τὸ ἀγένητον καὶ μυρία ἄλλα; Ἐν οἷς καὶ ὁ δεύτερος αὐτῷ συναπαρτίζεται λόγος καὶ τὰ δέκα κεφάλαια, τελευτήσαντα μὲν εἰς τὸ κ', ἀρχὴν δὲ τὸ ι' ποιησάμενα.

Ἐν δὲ τῷ τρίτῳ πειρᾶται μὲν διά τε τοῦ κα' κεφαλαίου καὶ τοῦ κβ', καὶ μὴν καὶ τοῦ γ' καὶ κ' καὶ δ', ἐλέγχειν τοὺς τὸν οὐρανὸν σφαιρικὸν ὑποτιθεμένους, οὐ μέντοι γε διὰ τῶν ἰσχὺν ἐχόντων οἱ ἔλεγχοι πρόεισι. τὸ σφαιρικὸν δὲ οὐ βούλεται συγχωρεῖν τῷ οὐρανῷ, διότι νομίζει τὴν εἱμαρμένην ἐκ τῆς τοιαύτης εἰσάγεσθαι θέσεως. καίτοι οὐδεμία τοῦτο ἀπόδειξις ἐκβιάζεται· οὐ γάρ, εἴ γε σφαιρικὸς ὁ οὐρανός, καὶ τὸ τῆς εἱμαρμένης ἐξ ἀνάγκης συνίσταται.

Τὸ δὲ κε' καὶ ϛ' κεφάλαιον εὐσεβεῖς μὲν προβάλλεται λόγους, πρὸς ἔλεγχον δὲ τῆς προκειμένης ὑποθέσεως τὴν ἰσχὺν οὐ λίαν ἐπιδεικνυμένους. ἐν δὲ τῷ κζ' δόξας προθέμενος περί τε οὐρανοῦ καὶ τῶν ἐν αὐτῷ ἀστέρων, ἃς λέγει τῶν ἀστρολογούντων εἶναι, οὔτε ταύτας "ἀκι- 546 H.
βδήλως προάγει, καὶ τὰς κατ' αὐτῶν ἐπιχειρήσεις οὔτε ἀποδεικτικάς, ἀλλ' οὐδὲ διὰ τοῦ πιθανοῦ δείκνυσι προϊούσας. τὸ δὲ κη' πρὸς τὰς αὐτὰς ἐνιστάμενον δόξας δι' ἴσου μὲν τῶν ἀποδείξεων διαπίπτει, οὐ μέντοι γε καὶ τοῦ πιθανοῦ διαμαρτάνει. ἐν δὲ τῷ κθ' φησί, πῶς τὴν ὅλην γῆν εἰς ἴσα μέρη τοῖς δώδεκα καταμερίζοντες ζωδίοις, τὰ μὲν τμήματα τῆς γῆς καὶ τοὺς ἐν αὐτοῖς δῆλον οἰκοῦντας εἰς ἕκαστον ἀφωρισμένως ἀναφέρουσι τῶν ζωδίων, καὶ ὑποκεῖσθαι μὲν τὰ τῆς γῆς μέρη, ἐπικεῖσθαι δὲ τῶν ζωδίων ἕκαστον δίκην νεφέλης τῇ ἀφωρισμένῃ μοίρᾳ τῆς γῆς ἐποχούμενον. ἐν κινήσει γὰρ κατ' αὐτοὺς διηνεκεῖ τοῦ οὐρανίου πόλου φερομένου, καὶ συμπεριαγομένων αὐτῷ τῶν ιβ' ζωδίων, ἀδύνατον τὸ αὐτὸ τῆς γῆς διὰ παντὸς ἐπέχειν τμῆμα, ἀλλὰ παραλλάξει μὲν κατὰ τὴν πορείαν τοῦ πόλου ἕκαστον ζώδιον πάντα τὰ τμήματα τῆς γῆς, ἄλλοτε μὲν ἐπ' ἀνατολῆς, ἄλλοτε δὲ ἐπὶ δύσιν, ἄλλοτε δὲ ἐπὶ μεσημβρίαν τῇ οὐρανίᾳ κινήσει συμπεριδινούμενον, καὶ οὐκ ἐφ' ἑνί τινι στηριζόμενον. ἐξ οὗ συμβαίνει τῶν ζωδίων ἕκαστον οὐδὲν ἧττον τὸ ἀφωρισμένον τῆς γῆς ἐπέχειν τμῆμα ἢ τὸ ἀλλότριον. ἄλλωστε δὲ εἰ κατ' αὐτοὺς ἡ γῆ κέντρου καὶ σημείου λόγον ἐπέχει πρὸς τὸν οὐρανόν, καὶ τῶν ζωδίων ἓν ὁποιονοῦν τῷ τε πλάτει καὶ μήκει πολλαπλάσιόν ἐστιν αὐτῆς, πῶς οἷόν τέ ἐστιν ἕκαστον τῶν δωδεκατημορίων τῆς γῆς ἑκάστῳ τῶν ζωδίων ἰσομοιρεῖν τε καὶ συμπαρατείνεσθαι καὶ διὰ τοῦτο τὴν οἰκείωσιν ἔχειν πρὸς αὐτό; καὶ τότε οὐδ' αὐτῆς ὅλης οἰκουμένης τῆς γῆς, κατὰ δὲ τὸ πλεῖστον, τὸ μὲν διὰ καύματος τὸ δὲ διὰ ψύχους ὑπερβολήν, ἀνθρώπων οὔσης ἀοικήτου, καὶ παντελῶς ἀπ' ἀρχῆς ἀφωρισμένης. εἰ δὲ μὴ τοπικῶς τῶν τῆς γῆς τμημάτων τὰ ζώδια κρατεῖν λέγοιεν, μηδὲ σωματικῷ μεγέθει κατὰ τὸ ἔχειν αὐτῆς τὸ πλάτος, "ἀλλὰ 669 R.

a. 2. ἄπτειν A. 7. τὰ et 31. ἄλλους add A. 16. στηλιτεύσουσι ς. b. 27. ἀνατολῆς] immo ἀνατολήν. 36. ζωδίων, ut solet, A. 43. ἀλλὰ μηδὲ φυσ. ς.

Digitized by Google

φυσικῶς χαίρειν ἕκαστον τῶν ζωδίων ἑκάστῳ μέρει τῆς γῆς, περιττῶς πρὸς τὰ σχήματα τῶν ζωδίων καὶ γῆς τόπους ἀπονέμουσι, ταῖς μὲν τοῦ καρκίνου χηλαῖς ἐξοχάς τινας καὶ ἐκτάσεις ἐκτὸς τοῦ ὅλου μεγέθους, τοῖς δὲ τοῦ ταύρου κέρασι καὶ τοῖς ποσὶν ἑτέρους τῷ τῆς φύσεως σχήματι παραπλησίους. ἔτι δὲ εἰ χαίρει τῶν ζωδίων ἕκαστον φυσικῶς ἑκάστῳ μέρει τῆς γῆς, καὶ βλάπτει μὲν αὐτῆς τὰ μέρη καὶ ἀφανίζει ἢ σεισμοῖς ἢ πολέμοις ἢ πυρπολήσεσιν ἢ ἀφορίαις κακοποιοῦ φανέντος τοῦ ἀστέρος, ὠφελεῖ δὲ τὰ μέγιστα τῶν ἀγαθοποιῶν τινὸς εἰς αὐτὸ ἐρχομένου, γηπονίαις, οἰκοδομαῖς, εὐφορίαις, πῶς εἰσὶ τόποι διὰ κρύους ἢ θάλπους ὑπερβολὴν διὰ παντὸς πάντων ἔρημοι, καὶ οὔτε ἀγαθοποιὸς αὐτοῖς ἀφεῖλε τὴν ἐρημίαν, παρέχων δὲ τὴν εὐκρασίαν, οὔτε τοὺς οἰκησίμους τόπους κακοποιὸς οὐδεὶς ἐπεμβαίνων τῶν ζωδίων εἰς παντελῆ ἐρημίαν καὶ ἀφανισμὸν μετεσκεύα-
347 H. σεν; εἰ γὰρ καὶ γένοιντο "κατακλυσμοὶ ἢ χαλάζης ἢ κεραυνῶν βολαί, τὰ ἐν αὐτοῖς ἀφανίζοντες, ἀλλ' ἡ συμμετρία πάλιν εἰς τὸ κατὰ φύσιν εὔφορον αὐτοὺς ἐπανήγαγε. τοὺς δὲ ἐρήμους τόπους οὔπω τις ὠφέλησεν ἀγαθοποιὸς ἀστήρ, ἀλλ' ἡ φύσις κρατεῖ καὶ ἐν ἐρημίαις καὶ πανταχοῦ παρὰ θεοῦ τοῖς οὖσι διαφόρως δοθεῖσα, καὶ οὔτ' ἂν ὑετὸς κατενεχθείη ὅπου μὴ πέφυκεν, οὔτ' ἂν νιφετῶν ἀπαλλαγείη τὰ διὰ παντὸς φέροντα κρυμοὺς ἀγρίους. εἰ δὲ αὐτὸ τῆς τῶν τόπων φύσεως τὸ ἀμετάβλητον δεῖγμα λαμβάνουσι τοῦ χαίρειν ἕκαστον ζώδιον ἑκάστῳ μέρει γῆς, αἱ ἀπὸ εὐφοριῶν εἰς ἀφορίας μεταβολαὶ καὶ οἱ σεισμοὶ τὸ λεγόμενον αὐτοῖς ἀσθενὲς διελέγχουσι· τῶν μὲν γὰρ ἀγαθῶν τόπων πολλάκις ἠφανίσθη τὸ εὔκρατον, τῶν δὲ ἐρήμων οὐδεπώποτε μετεβλήθη τὸ ἄγριον καὶ ἀοίκητον. Τῶν μὲν οὖν ἐν τῷ λ' κεφαλαίῳ ὅσα τὸ ἀκόλουθόν πως μετὰ τοῦ πιθανοῦ εἶχε, ταῦτά ἐστι· τῶν δ' ἄλλων τὰ μὲν τοῖς προλαβοῦσι κεφαλαίοις προείρηται, τὰ δὲ κατὰ τὸ φαινόμενον μᾶλλον καὶ ἐπιπόλαιον διεσκεύασαι.

Ἐν δὲ τῷ λα' διαπορεῖ τὴν τῶν ἀστρολόγων δόξαν διασείων, καί φησι διὰ τί γὰρ τὰ ζώδια οἴκους τῶν πλανήτων καλοῦσιν; ἆρ' ὅτι πέπηγεν ἐν τῷ οὐρανῷ; καὶ πάντες ἄρα οἱ ὁμοίως πεπηγότες οἶκοι ἔσονται τούτων. ἀλλ' ὅτι κινοῦνται οἱ πλάνητες; καὶ οὕτω πάλιν πάντες οἱ πεπηγότες οἶκοι ἂν αὐτῶν εἴησαν εἰκότως. ἀλλ' ὅτι τῶν ἀπλανῶν ἕκαστος χαίρει τῷ πλάνητι; διὰ τί οὖν μὴ καὶ οἱ πλάνητες οἶκοι τῶν ζωδίων; πῶς δὲ μὴ ἀλλήλων οἶκοι πάλιν οἱ ἀγαθοποιοὶ πλάνητες καὶ οἱ κακοποιοί, καὶ ἔτι τὰ ἀλλήλοις χαίροντα τῶν ζωδίων; εἰ δ' ὅτι τὰ μὲν ζώδια σύγκειται ἐκ πολλῶν, ἕκαστος δὲ τῶν πλανήτων μονοειδής, καὶ ἑκάστην σύνθεσιν τῶν ἀπλανῶν οἶκον ὀφείλουσι ποιεῖν τῶν πλανήτων· πολλὰς γὰρ ἄν τις εὕροι συνθέσεις, βουληθεὶς ζητεῖν, καὶ τῶν ἄλλων ἀπλανῶν. εἰ δὲ ὅτι μόνα τὰ ζώδια τοῖς πλάνησιν εἰς τὰ ἀποτελέσματα συνεργεῖ, διὰ τί μὴ καὶ οἱ πλάνητες οἶκοι τῶν ζωδίων συνεργοῦντες αὐτοῖς; εἰ δὲ διότι τὰς τῶν ζωδίων ἐνεργείας καὶ ἀκύρους καὶ ἐνεργεῖς δύνανται ποιεῖν, "πῶς οὐχὶ καὶ 672 R.
ἀλλήλων οἶκοί εἰσι, τοῖς ἀλλήλων ἀποτελέσμασι καὶ κῦρος καὶ κατάλυσιν ἐπάγειν (ὥς φασιν) ἰσχύοντες; πῶς δὲ μόνα τὰ ζώδια τοῖς πλάνησι συνεργεῖ; ἆρα μάταιός ἐστιν ὁ λοιπὸς τῶν ἀπλανῶν χορός; πῶς δὲ τοὺς πλάνητας ἀγαθοποιεῖν καὶ κακοποιεῖν ὅλως δύνασθαί φασιν; ἆρα διὰ τὸ κινεῖσθαι; οὐκοῦν τῶν ιβ' ζωδίων οὐδὲν οὔτε ἀγαθοποιήσει οὔτε κακοποιήσει· ἀλλ' οὐδέ τις ἄλλος τῶν ἀπλανῶν. εἰ δὲ διότι (φησὶ) δι' αὐτῶν πορεύονται οἱ πλάνητες, πολλῷ μᾶλλον αἱ ζῶναι καὶ οἱ τοῦ ἀέρος τόποι, δι' ὧν ὁδεύουσι, τοῦ καλοποιεῖν καὶ κακοποιεῖν δύναμιν ἕξουσιν· οὐρανοῦ γάρ, ἐν ᾧ οἱ πλάνητες, οὐμενοῦν (ὥς φασι) πολλῷ κατωτέρω ὄντες οὐχ ἅπτονται. τί δὲ δή ποτε σελήνη μὲν τὸ μειοῦσθαι καὶ αὐξάνειν ὑπομένει, τῶν δ' ἄλλων πλανήτων προποδισμοὺς καὶ στηριγμοὺς καὶ ἀναποδισμοὺς εἰσάγοντες ἥλιον καὶ σελήνην τῆς τοιαύτης "παλιντρόπου πλάνης 348 H.
ἐλευθέρους ἐῶσιν; καὶ εἰ μικροφανὴς ὁ Κρόνος, μείζων (ὥς φασι) τῶν ἄλλων ὑπάρχων πλανήτων, ὅτι τούτων ἀνώτερον διατρέχει κύκλον, διὰ τί μείζων ὁ ἥλιος τῆς σελήνης, τετάρτην ἀπ' αὐτῆς ζώνην ἐλαύνων; ἐχρῆν γὰρ αὐτὸν πολλῷ ταύτης μικρότερον φαίνεσθαι. ὥστε πάντα ψευδῆ καὶ πεπλασμένα, ἃ τῆς ἀστρολογίας οἱ πόνοι κρατύνουσιν. Οὕτω μὲν οὖν καὶ τὸ λα' κεφάλαιον.

Τὸ δὲ λβ' οὐδὲν τῶν ἀληθῶν πρὸς ἀνατροπήν, οὐδ' ὅσον εἰς τὸ φαινόμενον, ἀναγράφει· ἀλλ' ὅσον ὁρᾶται κἀνταῦθα τοὺς λογισμοὺς εὐσεβῶν ὁ ἀνήρ, τοσοῦτον ἔχει τὸ ἄτονον, ὅσα γε πρὸς τὴν ἀνασκευὴν τῆς πλάνης. καὶ τὸ τρίτον δὲ καὶ τριακοστὸν τῆς αὐτῆς ἐστι κατὰ τὴν δύναμιν ἰδέας· ἃ γὰρ εἰς ἀνατροπὴν προβάλλεται τοῦ μὴ σφαῖραν εἶναι τὸν οὐρανόν, κοινὰ

a. 8. ἢ ante σεισμοῖς om *A*. 9. τοῦ om *C*. 14. ἀκρασίαν ς. 39. ἀρ' οὖν ὅτι ς. 40. ἔσονται — οἶκοι add *AC*. b. 3. χαίροντα et 16. τοὺς add *A*. 37. λβ *A*: δεύτερον ς.



Digitized by Google

ου ἀπορήματα εἴη καὶ πρὸς τοὺς ἡμισφαίριον αὐτὸν τιθέντας ἢ καμάραν ἤ τι ἄλλο τῶν παραπλησίων σχημάτων. Ἐν οἷς ϗ ὁ τρίτος λόγος.

Ἐν δὲ τῷ δ′ μὲν λόγῳ, λ′ δὲ δ′ κεφαλαίῳ καὶ ε′ ϗ ϛ′, διέξεισι ταῦτα. ἀπὸ τῆς διαφορᾶς ἣν ἔχει τὸ οἰκούμενον πρὸς τὸ ἀοίκητον ϗ ἣν πρὸς ἄλληλα τὰ κλίματα ἔχουσι, τὴν ἀνατροπὴν τῆς γενέσεως ἤτοι τῆς εἱμαρμένης ποιεῖται. φησὶ γάρ, ποία τῶν ἀστέρων ἐργάζεται κίνησις τὴν μὲν ἀοίκητον εἶναι δι᾽ ὑπερβολὴν ψύχους, τὴν δὲ δι᾽ ὑπερβολὴν καύματος, καὶ τὴν μὲν διὰ παντὸς μόλις οἰκεῖσθαι τηκομένην τῷ καύματι, τὴν δὲ δυσχερῶς ὁμοίως οἰκουμένην, ἅτε δὴ συνεχῶς νειφομένην ϗ τῇ τοῦ κρύους ἐκθηριουμένην ἀγριότητι; διὰ τί δὲ αὐτοῖς οὐ μεταβάλλει τὴν τοῦ ἀέρος κατάστασιν ἡ γένεσις, συνεχεῖς ἀεὶ τὰς μεταβολὰς ἐν τοῖς ἄλλοις παρέχουσα κλίμασιν; ἢ δῆλον ὡς οὔτε πλανήτων δρόμος οὔτε σύνθεσις ζωδίων, μόνη δὲ τοῦ ἡλίου ἡ φύσις πρὸς τὰ διαστήματα καὶ τῶν τόπων τὰς θέσεις τὰς προειρημένας ἐργάζεται διαφοράς. διὰ τί δὲ πάλιν, τῆς γῆς ὑετοῖς ἀρδομένης ἁπανταχοῦ, μόνην τὴν Αἴγυπτον πλημμυρῶν ὁ Νεῖλος κατά τινα χρόνον τοῦ ἐνιαυτοῦ καὶ ἀναχεόμενος εἰς αὐτὴν καρποφόρον ἐργάζεται; διὰ τί δὲ τὴν ἐνδοτέρω Θηβαΐδος χώραν, ἣν ὀνομάζουσιν Ὄασιν, οὔτε ποταμὸς οὔτε ὑετὸς ἄρδει, ἀλλὰ πηγῶν εὐφραίνει ῥεύματα πολυχειρίᾳ τῶν οἰκητόρων ἀλλ᾽ οὐκ αὐτομάτως ἀναδιδομένων, 673 R. οὐδὲ ὑετῶν φορᾶς ἐπὶ γῆς ἐρχομένης καὶ διὰ τῶν ἐν αὐτῇ φλεβῶν ἀναδιδομένης, ὅπερ γίνεται παρ᾽ ἡμῖν. καὶ τούτου σημεῖον τὸ τὰς μὲν ὑπωρείας προΐεσθαι πηγὰς ποταμοὺς ἐργαζομένας διειδεῖς τε καὶ γλυκεῖς, τὰ δὲ ἐπὶ πλεῖστον ἡπλωμένα πεδία καὶ τῆς τῶν ὀρῶν ἐγγύτητος οὐ μετέχοντα ϗ μάλιστα ἰσόπεδα μὴ ἔχειν ὕδωρ, ἢ σφόδρα βραχύ, καὶ τοῦτο βαρὺ καὶ ἁλμυρῶδες, οὐ πηγάζον ἀλλ᾽ ἐν ὀρύγμασιν εὑρισκόμενον, οὐδὲ δι᾽ ὅλου τοῦ θέρους ἀρκεῖν δυνάμενον. εἰ πάντα διοικεῖται τῇ γενέσει, πῶς πλάνητος εἰσιόντος εἰς ὑγρὸν 349 H. ζώδιον, ᾧ χαίρει, οὐ πᾶσαν ὁμοῦ τὴν γῆν πληροῖ ὑετός, ἀλλ᾽ ἡ μὲν ὑδάτων πλήθει ϗ διεφθάρη πολλάκις, ἡ δὲ ἀνομβρίαις κατὰ τὸν αὐτὸν καιρόν, καίτοι γε οὐδὲ πολὺ πόῤῥω διεστηκυιῶν ἀλλήλων; τἀναντία δ᾽ οὖν πάλιν εἰς καιρὸν ἕτερον ταύταις ὁρᾶται συμβαίνοντα. τάχα τοῦ ἔθνους ἰδιάζουσά τις γένεσις, ὡς ἂν αὐτοὶ πλάσαιντο, ἤ τι παρανατέλλον ἰδίως ζώδιον τὰ κοινὰ τῆς γενέσεως ἀποτελέσματα διέλυσε, καὶ μάταιόν ἐστι τὸ τῆς γενέσεως καθολικόν, ἂν μὴ συντρέχῃ ϗ ἡ μερική. οὐκοῦν αἱ τῶν τῆς γῆς μερῶν γενέσεις τὸν ἀέρα κινοῦσι, καὶ οὐδὲν ἀνύσει τὸ ὑγρὸν ζώδιον μετὰ τοῦ οἰκείου πλάνητος τῆς μερικῆς εἱμαρμένης ἀντιπιπτούσης. ϗ διὰ τί ἐν τισὶ μὲν τόποις σπανίζει τὸ πότιμον ὕδωρ, ἐν τισὶ δὲ ϗ τοῦτο πληθύει, ϗ θερμῶν ὑδάτων ἀπολαύουσιν αὐτομάτως ἀναδιδομένων; Σικελίας δὲ ϗ Γαλλίας καὶ Λυκίας ϗ ἑτέρων ἐθνῶν οὐκ ὀλίγων ὄρη μέγιστα πῦρ ἀέναον ἐκδιδόασι τοσοῦτον, ὡς καὶ τοῖς ἐν νυκτὶ φαίνεσθαι πόῤῥωθεν, μήτε ὑπὸ κρύους ἐλαττούμενον, μήτε ὑπὸ ὄμβρου σβεννύμενον, μήτε τοῖς τῆς γῆς βλαστήμασι λυμαινόμενον, τῶν παρακειμένων αὐτοῖς μήτε τι τοιοῦτο πασχόντων μήτε ἐπιδεικνύντων; τί τοσαύτην τόπων, ἀέρων, ὑδάτων, πεδίων, ὀρῶν δέδωκε διαφοράν; οὐ ιβ′ τὰ ζώδια ϗ οἱ πλάνητες ζ′; διὰ τί οὖν οὐ πανταχοῦ τὰ αὐτὰ ἐνεργοῦσι; καὶ μὴν πένητας ϗ πλουσίους, ἄρχοντας ϗ ἀρχομένους, νοσοῦντας καὶ ὑγιαίνοντας καὶ τὰ ἑξῆς εὕροις ἂν ἁπανταχοῦ. πῶς οὖν οὐ πανταχοῦ καὶ ὑετοὶ καὶ αὐχμοὶ καὶ ὅσα προειρήκαμεν; χρυσοῦ δὲ μέταλλον ἢ ἀργύρου ἢ χαλκοῦ ἢ κασσιτέρου ἢ μολίβδου ἢ τῶν ἄλλων μεταλλικῶν ἀπὸ ποίας γενέσεως ἡ φύσις εὑρίσκεται; θεὸν μὲν οὖν τοσαύτην διαφορὰν καὶ μυρίαν ἄλλην κεχαρίσθαι τῇ γῇ δι᾽ ἡμᾶς ὁμολογοῦντες εὐσεβοῦμεν· εἱμαρμένην δὲ διὰ τοῦτο τεχνίτας πλάττειν, ἵνα χρήσωνται ταῖς ὕλαις, οὔτ᾽ ἂν ἡμεῖς εἴποιμεν οὔτε ἕτερος εὖ φρονῶν. ἔτι δὲ εἰ κλίμα ἕκαστον διαμένει μυρίαις ταῖς πρὸς ἄλληλα διαφοραῖς ἀπὸ καταβολῆς κτίσεως κοσμούμενον, καὶ ἀκίνητον ἀπ᾽ αἰῶνος ἕστηκεν ὑπὸ τῶν τῆς γενέσεως μεταβολῶν οὐδὲν βλαπτόμενον (οὔτε γὰρ παλίῤῥοιαι θαλάσσης ἐπαύθησαν, οὐ πυρὸς ἄσβεστοι πηγαί, οὐ ζώων ἑκάστου κλίματος διαφοραί, οὐ μυρίων ἄλλων ἑτερότητες ἀμετάβλητοι), τοσούτων πραγμάτων τῆς παρ᾽ αὐτοῖς γενέσεως ἀπηλλαγμένων πῶς οὐδὲν ἄνευ ταύτης οὔτε γίνεσθαι λέγουσιν οὔτε διαμένειν οὔτε διοικεῖσθαι; πυθοίμην δ᾽ ἂν αὐτῶν ἡδέως, ποία δρόμου κίνησις εἰς τὸ εἶναι τὴν ἀρχὴν παρέσχε ταῖς βοτάναις, τοῖς φυτοῖς, τοῖς ζώοις; δεῖ γὰρ ἑκάστου τούτων φαίνεσθαι τὴν τῆς γενέσεως ὥραν, ὅτε ἀπὸ γῆς ἐπλάττοντο, καὶ ἑτέραν μὲν εἶναι φοί- 676 R. νικος, ἄλλην δὲ συκῆς, καὶ κυνὸς ἰδιάζουσαν καὶ κα-

a. 12. οἰκουμένην] praestat οἰκεῖσθαι. νιφομένην ϛ. 15. συνεχεῖς corr A: συνεχὴς ϛ. 17. δὲ τοῦ ἡλίου] τοῦ ἡλίου δὲ A. 42. ἔθνους AC: ἔθους ϛ.

b. 5. μετὰ AC: κατὰ ϛ. 10. Γαλλίας] an Ἰταλίας? 11. ἀένναον ϛ. 13. libri ὄμβρους. 21. καὶ οἱ αὐχμοὶ A. 26. εἱμαρμένη A. 31. ὑπὸ] libri ἀπό. τῶν add A. 32. οὐδὲν A: οὐ ϛ. 35. αὐτῆς ϛ.

Digitized by Google

μήλου· οὐ τὴν αὐτὴν ἵππου, περιστερᾶς, ἀνθρώπων, καὶ τῶν ἄλλων ὁμοίως. ἂν μὲν οὖν ἔχωσι λέγειν διὰ τί μὴ καὶ νῦν ἀπὸ γῆς ἡ γένεσις πλάττει τὰ προειρημένα, διδασκέτωσαν· οὐδὲν γὰρ ἅπαξ ὁ τῆς γενέσεως κύκλος ἀποτελέσει, τὸ δ᾽ αὐτὸ ποιεῖ πολλάκις. διὰ τί δὲ τὴν μὲν ἀρχὴν οὐκ ἂν ἦν ἃ προήχθη, μὴ ἀπὸ γῆς πλα- 350 H. σθέντα, μετὰ δὲ ταῦτα οὐδὲν ἂν αὐτῶν ἀπὸ γῆς βλαστήσειε, διὰ δὲ τῆς ἐξ ἀλλήλων διαδοχῆς σώζεται; ἢ πῶς τὸ κυριώτατον καὶ ἀναγκαιότατον ἡ γένεσις οὐκ ἔχουσα, λέγω δὴ τὸ ἀπὸ γῆς πλάσαι τὰ πάντα, τοῦ συγκρατεῖν καὶ ἀποτελεῖν καὶ ἀφανίζειν ἐστὶ κυρία; ἔτι δὲ εἰ ἀπὸ τῆς κατὰ τὴν ὥραν ἀκριβοῦς ἐπιγνώσεως ἑκάστῳ τῶν γινομένων τὰ συμβησόμενα λέγουσιν, ἀνθρώπῳ φημὶ καὶ βοῒ καὶ ὀρνέῳ καὶ πλοίῳ καὶ πόλει, καὶ πάντων ὧν τὴν πρόγνωσιν ἔχειν ἰσχυρίζονται, πῶς γῆς καὶ θαλάσσης καὶ τοῦ ἀέρος οὐκ εἰδότες τῶν γενέσεων τοὺς καιρούς, τὰ πάθη τούτων καὶ τὰς κινήσεις καὶ τὰς μεταβολὰς ἐπαγγέλλονται λέγειν; καὶ πῶς οὐκ ἄν τις αὐτοῖς ἀπιστήσειε, πῶς δὲ οὐκ ἂν αὐτῶν ἀποστραφείη τὴν ἄμετρον ἀλαζονείαν; οὐδὲ γὰρ τῶν κατὰ μέρος ἁπάντων ἰδιαζούσας παρέξουσι τὰς γενέσεις. καὶ μὴν ἀκόλουθον τοσαύτας εἶναι γενέσεων διαφοράς, ὅσα τὰ γένη τῶν προαγομένων. πῶς γὰρ ἂν ἡ αὐτὴ τοῦ δρόμου γένεσις κύνα καὶ λέοντα ἐργάσαιτο καὶ ἄνθρωπον καὶ ἵππον, τοὺς τοσοῦτον ἀλλήλων διαλλάττοντας; πῶς δ᾽ ἂν εἴη ποικιλία χρωμάτων, σχημάτων, ποιοτήτων, μὴ πάντα ποικίλης γενέσεως ἀποτελούσης, ὥς φασιν; οὐ μίαν δὲ ἐχόντων πρᾶξιν ἢ πάθος ἓν τῶν ἁπάντων ἀνθρώπων ἢ ἵππων ὅλων ἢ χοίρων, οὐ μέγεθος, οὐ τάχος, οὐκ ἰσχύν, οὐ φωνήν, δῆλον ὡς οὐχὶ μίαν γενέσεως ῥοπήν, ἀλλὰ τοσαύτας ἀναγκασθήσονται λέγειν, ὅση καὶ τῶν ἀποτελουμένων ἡ διαφορά, οὐ μόνον ζώων χερσαίων καὶ πτηνῶν καὶ ἐνύδρων, ἀλλὰ καὶ φυτῶν καὶ βοτανῶν καὶ εἴ τι ἄλλο ἐν κόσμῳ φύεται. καὶ πῶς ἂν τοσοῦτον ἄπειρον πλῆθος τῶν καιρῶν ἀναπλάσουσιν; ἀλλ᾽ οὐχ ἕξουσιν, οὐδ᾽ εἰ μυριάδες ἡμερῶν αὐτοῖς τὸν ἐνιαυτὸν ἐπλήρουν. μάλιστα δὲ αὐτῶν τὸ ψεῦδος κατάφωρον γίνεται, εἰ τὰ συνεχῶς τίκτοντα σκοπήσειέ τις, κύνας ἢ χοίρους ἢ ὄρνεις, καὶ οὐχ ἥκιστα τὰ πολυγονώτατα. χοῖροι γὰρ καὶ ἰχθύες καὶ κύνες πολλὰ τίκτοντες τὸν τῆς ἡμέρας ἀναλίσκουσι καιρόν, ὁ δ᾽ ἰχθὺς οἶμαι καὶ πολλὰς ἡμέρας, τῆς τῶν ᾠῶν πληθύος ἐν τάξει μορφουμένης εἰς μυριάδας ἰχθύων κατὰ μέρος τικτομένων, ἐν αἷς ἀμήχανον μὴ γενέσθαι πτηνὰ ἢ χερσαῖα ἐν ὅλῳ τῷ κόσμῳ ἢ νηκτὰ ἐν ὅλῃ θαλάττῃ καὶ ποταμοῖς καὶ λίμναις. ἔτι δὲ ἀκριβέστερον ἄν τις ἐντεῦθεν ὃ λέγω καταμάθοι. ἡνίκα τὸ ἔαρ εὔκρατον ἐπιστῇ, πᾶσα μὲν ἀνθεῖ βοτάνη καὶ κυοφορεῖ, πᾶσα δὲ ξύλων φύσις, πολλὰ δὲ πτηνῶν καὶ χερσαίων καὶ ἐναλίων γένη μιγνύμενα κύει. καὶ μυρία μὲν γένη κατὰ τὸν αὐτὸν καιρὸν τελεσφορεῖ τὰ σπέρματα, μυρία δὲ τῶν ξύλων τοὺς καρπούς, οὐκ ἐν μιᾷ ῥοπῇ ἀλλ᾽ ἐν πλείσταις ἡμέραις, τῶν μὲν ἀνθούντων ἔτι ἐν τῷ αὐτῷ φυτῷ, ἑτέρων δὲ αὐξομένων καὶ ἄλλων πεπαινομένων. ἡ 677 R. αὐτὴ δ᾽ ἀναλογία τοῦ τόκου καὶ τῆς κυήσεως καὶ ἐπὶ τῶν ζώων πάντων, ὧν οὐχ οἷόν τε τὴν αὐτὴν τῆς γενέσεως ἔχειν ῥοπήν. ἔτι δὲ τὰ μὲν ἐνιαυτὸν κυοφορεῖ, τὰ δὲ μῆνας ι´, τὰ δὲ ἡμέρας μ´, καὶ μυρία ἄλλη διαφορά. ποῖος οὖν ἀστὴρ εἰς ποῖον ζῴδιον εἰσιὼν μεμετρημένον ἑκάστῳ γένει τὸν τῆς κυοφορίας ἀφορίζει 351 H. χρόνον; διὰ τί δὲ τῶν κατὰ τὸ γένος ζώων ὁ τῆς ζωῆς χρόνος οὐκ ἴσος ὢν τὴν κύησιν ἴσην ἔχει; εἰ μὲν οὖν καὶ ταῦτα ἀπὸ γενέσεως, λεγέτωσαν, ἵνα πλέον ὀφλήσωσι τὸν γέλωτα· εἰ δὲ σιγῇ τὴν αἰσχύνην ἀποκλίνουσι, πῶς οὐδὲν ἄνευ γενέσεως εἶναι λέγουσι; καὶ οὔπω λέγω τὰς διαφορὰς τῶν τικτομένων. τὰ μὲν γὰρ ὅμοια τῶν γεννώντων ἐστίν, ὡς ἄνθρωποι καὶ ἵπποι καὶ λέοντες, τὰ δὲ οὐχ οὕτως, ὡς ἄρκτοι καὶ σφῆκες καὶ μέλιτται καὶ ὅσα διὰ τῶν ᾠῶν πρόεισι. καὶ τινὰ μὲν καὶ δίχα μίξεως τίκτεται, τινὰ δὲ χωρὶς ταύτης οὐδαμῶς. καὶ τίς ἂν ἀπαριθμήσειε τὰς ἐν τούτοις ἀναριθμήτους διαφοράς, οὐ τῶν ζώων μόνον ἀλλὰ καὶ φυτῶν καὶ βοτανῶν καὶ τῶν παραπλησίων; ὧν ἁπάντων τὰς αἰτίας παρὰ τῶν τῆς εἱμαρμένης πατέρων ζητεῖν δίκαιον, εἴπερ πάντα τῆς γενέσεως κατ᾽ αὐτοὺς ἤρτηται, καὶ τὸ εἶναι καὶ ὁ τοῦ εἶναι τρόπος, κυοφορεῖσθαί τε καὶ πάσχειν καὶ δρᾶν καὶ ἀποθνήσκειν. ἢ κατὰ τῶν ἀθλίων ἀνθρώπων αὐτοῖς μόνον ἠκριβολογήθη τὰ τῆς γενέσεως, ἵνα τὸ πάντων κάλλιστον τῶν ἐν ἡμῖν τὸ αὐθαίρετον ἀγνοηθῇ, καὶ θεὸς μὴ εὐχαριστηθῇ οἷς τὸ γένος εὐηργέτησεν; πῶς δὲ πάλιν ἡ γένεσις ἀκαίρους μὲν προσθήκας δίδωσι, τετρακέφαλα κατ᾽ αὐτοὺς ἀποτελοῦσα καὶ χεῖρας πλείους καὶ πόδας τῶν κατὰ φύσιν, τοῖς δὲ ἑρπετοῖς οὐ δίδωσι πόδας, οἳ παρέξουσιν αὐτοῖς τὸ ἐν τῇ βαδίσει χρήσιμον, οὐκ

a. 3. ἀπὸ τῆς γῆς ς. 11. εἰ add A. 24. εἰργάσατο ς. 28. ἀνθρώπων add A. 35. ἀναπλάσσουσιν ς. 37. κατάφορον ς.

b. 2. ἡ om A. 3. θαλάσσῃ ς. 22. τὸν et 26. καὶ post μέλ. A. 36. πάντων κάλλιστον τῶν] libri πάντων τῶν καλλίστων.

ὀφθαλμοὺς τοῖς ἀσφάλαξιν, οὐδ᾽ ἄλλοις ὧν δέονται; εἶτα ζῆν μὲν οἷς τὰς ἀκαίρους προσθήκας ἔδωκεν οὐκ ἐᾷ (πάντα γὰρ βραχύβια τὰ τερατόμορφα), καὶ τῇ προσθήκῃ τὴν ὅλην ἀφανίζει φύσιν· ὧν δὲ τὰ κατὰ φύσιν ἀφεῖλε, χεῖρας ἢ πόδας ἢ ὀφθαλμούς, ταῦτα ζῆν ἐᾷ, τὴν σωματικὴν πήρωσιν ἀπαραμύθητον ἔχοντα. εἰ μὲν οὖν τις εἰς εἱμαρμένην ἀναφέρει ταῦτα, αὐτὸς σὺν αὐτῇ τῆς ἀτοπίας ὁ αἴτιος· εἰ δὲ τῆς φύσεως οἶδε τὸ διαμαρτάνειν, ἐξαιρεῖ τὸ θεῖον τῆς κατηγορίας. ὥσπερ γὰρ αὐτῇ τρέχειν οἰκείους νόμους διώρισεν, οὕτω καὶ θνητὴν συνεχώρησε κατά τινα συμφέροντα λόγον. αὕτη δὲ σώζουσα μὲν τὰ οἰκεῖα μέτρα οὐδὲν ὑβρισμένον φέρει, ἐξοκείλασα δὲ πρὸς ἀμετρίας ἢ ἐνδείας ἢ φόβους ἢ πάθη καὶ τοὺς δοθέντας παραχαράττουσα νόμους οὐδ᾽ ἐν τοῖς τικτομένοις τὸ ἀκίβδηλον σώζει. διὰ τί δέ τινα τῶν ζώων οὐ τρέφει τὰ γεννήματα, ὥσπερ πτηνῶν μὲν γῦπες καὶ κόρακες, ἰχθύες δὲ μικροῦ σύμπαντες· τὰ δὲ καὶ γηροτροφεῖ τοὺς τεκόντας; καὶ τὰ μὲν καὶ νόθον ὑποβάλλεται γονὴν καὶ τρέφει, τὰ πλεῖστα δὲ οὔ; καὶ τίς ἂν τὰς ἀναριθμήτους τῶν ὄντων διαφορὰς καταλέξειεν; Ἀλλὰ ταῦτα μὲν καὶ ἐν τῷ δʹ λόγῳ.

Ἐν δὲ τῷ εʹ λόγῳ ἄλλα τε διέξεισι, καὶ πρὸ αὐτῶν ὁμοίως κατὰ τῆς εἱμαρμένης τοῦτο. εἰ τοῖς γονεῦσι
680 R. "(φασὶ) τὸ τίκτειν ἀπὸ γενέσεως ὑπάρχει, δῆλον ὡς ἀπὸ τῆς τῶν πατέρων γενέσεως καὶ ἡ τῶν υἱῶν γένεσις καὶ ἡ ταύτης ὥρα διωρίσθη. εἰ δὲ μή, οὐ τῶν γεννησάντων ἡ γένεσις ἀποτελεῖ τοὺς τικτομένους, καὶ μάτην ὁ πολὺς τῆς εἱμαρμένης λόγος. εἰ γὰρ τὸ σπαρῆναι καὶ κυοφορηθῆναι
352 H. καὶ τέλειον προελθεῖν ἢ ἀτελὲς "τῆς γενέσεως ἔργον ἐστὶ τῶν τικτόντων, δῆλον ὅτι καὶ ἡ τούτων ὥρα· εἰ δὲ μὴ αὕτη, οὐδὲ ἐκεῖνα. εἰ δ᾽ αἱ γενέσεις ἐξ ἑτέρων εἰσὶ γενέσεων, καὶ ὁ τοῦ γεννᾶσθαι καιρὸς ἀπὸ τῆς τῶν γεγεννηκότων εἱμαρμένης, ῥᾴδιον ἂν εἴη τοῖς ταύτης ἐρασταῖς μίαν μὲν ἀνθρώπου λαβεῖν γένεσιν, ἐξ αὐτῆς δὲ τήν τε τῶν πατέρων εἰπεῖν καὶ τῶν πάππων καὶ τῶν ἔτι προπατόρων, καὶ τούτων ἁπάντων τά τε πάθη καὶ τὰς πράξεις τῆς ψυχῆς καὶ τοῦ σώματος, τά τε σχήματα καὶ χρώματα καὶ μεγέθη, οὐ τοῦτο δὲ μόνον, ἀλλ᾽ ἐκ τῆς αὐτῆς καὶ τοῦ ἑνὸς γενέσεως τίνες οἱ τεχθησόμενοι προειπεῖν, καὶ πᾶσαν τὴν ἐσομένην ἐκ τῆς διαδοχῆς συγγένειαν, καὶ ταύτης τὰς πράξεις καὶ ὅσα ἄλλα προείρηται, καὶ μήτε τοὺς παρελθόντας ἀγνοεῖν μήτε τῶν ἐσομένων μηδένα· ὃ καὶ αὐτοὶ ἂν διαγελάσαιεν. ὅρα δὲ κἀκεῖνο. τῶν παίδων, φασίν, ἡ γένεσις κακοδαίμονας ποιεῖ τοὺς πατέρας, κἂν ἀπὸ τῆς ἰδίας γενέσεως τὸ εὐδαίμον αὐτοῖς ἐβραβεύετο· ἔσθ᾽ ὅτε δὲ καὶ ἀναιρεῖ καὶ νικᾷ τὴν τῶν πατέρων γένεσιν ἡ τῶν τέκνων γένεσις, ἀποτέλεσμα ἐκείνης οὖσα. ἀλλὰ καὶ ἡ τῶν πατέρων γένεσις τοὺς παῖδας κακοδαίμονας ποιεῖ, καὶ ἀδελφοὺς ἡ τῶν ἀδελφῶν, καὶ τῶν γεγαμηκότων ὁμοίως, κἂν ἄλλης τινὸς εἴη γενέσεως, κἂν ἑτέρωθεν ἔφυ. καὶ τὸ πάντων ἀνιαρότερον, μῖσος ἡ γένεσις βιάζεται τοὺς φύντας εἰς τοὺς φυομένους ἀντὶ τῆς στοργῆς ἔχειν, καὶ τέκνα τοῖς γεγεννηκόσι καὶ ἀδελφοὺς πρὸς ἀλλήλους καὶ τοὺς γεγαμηκότας ποιεῖ πολεμίους, καὶ πρὸς ἀναιρέσεις ἐρεθίζει, καὶ κατ᾽ ἀλλήλων ὁπλίζει τὴν φύσιν, ὅλην ταράσσουσα τὴν συγγένειαν. καὶ ὁ μὲν ὀδύρεται διότι νοσεῖ ὁ παῖς ἢ τέθνηκεν ἡ γυνὴ ἢ ὁ ἀνήρ, ἀγνοεῖ δὲ ὅτι ἡ τούτων ἑνὸς ἑκάστου γένεσις καὶ ἀγαπᾶν ἀλλήλους ἠνάγκασε καὶ κακοδαιμονεῖν, δριμείαις ὀδύναις περιβάλλουσα, ταῖς τελευταῖς τῶν στεργομένων. ταῦτα ἀνέξοιτ᾽ ἄν τις νοῦν ἔχων; πάλιν δούλους κακοδαιμονεῖν ὑπὸ τῆς τοῦ δεσπότου γενέσεως τερατεύονται, καὶ αἰγῶν ἀγέλας καὶ βοῶν ἢ τῶν ἄλλων ζώων ὑπὸ τῆς τοῦ κεκτημένου, καὶ στρατόπεδα πάλιν διὰ τὴν τοῦ βασιλέως· καὶ τοσαῦται μυριάδες γενέσεων ἀνατρέπονται διὰ τὴν τοῦ ἑνὸς ἢ πρὸς τὸ χεῖρον ἢ πρὸς τὸ ἄμεινον, καίτοι γε τῶν εὐτυχέντων ἢ δυσπραγέντων διὰ τὴν τοῦ ἑνὸς γένεσιν μυρίας ἐχόντων διαφορὰς ἡλικιῶν, ἐνιαυτῶν, μηνῶν, ἡμερῶν, ὡρῶν, πατέρων, μητέρων, συγγενῶν, καὶ τὸν αὐτὸν ἔσθ᾽ ὅτε τοῦ θανάτου τρόπον ὑπερχομένων, τὸν διὰ σιδήρου ἢ θαλάσσης ἢ τινος παραπλησίου συμπτώματος. εὑρίσκω δὲ ἔγωγε καὶ τὴν τῶν οἰκετῶν ἢ στρατιωτῶν γένεσιν, ὡς ἂν αὐτοὶ φαῖεν, κρατοῦσαν τοῦ δεσπότου ἢ τοῦ βασιλέως· ἀπατῶσι γὰρ ἢ φαρμάττουσιν ἔσθ᾽ ὅτε τοὺς δεσπότας, ἢ καὶ ἄλλως ἐπιτίθενται, τῆς γενέσεως αὐτοὺς κατὰ τῶν κυρίων ὁπλιζούσης. εἰ δὲ λέγοιεν τὴν τοῦ οἰκοδεσπότου γένεσιν τοῖς δούλοις διδόναι τὴν ἰσχὺν τοῦ κακοποιῆσαι, πλείονα ποιοῦσι τὴν ἀπορίαν. "οὐ γὰρ 681 R.
μόνον ἡττᾶσθαι τοὺς ὑπηκόους ἠνάγκασε τοῦ βασιλέως ἡ γένεσις, ἀλλὰ καὶ αὐτοῦ κρατεῖν οὗ ἐστι "γένεσις, 353 H.
καὶ τοὺς ἐκ ἂν ἀπὸ οἰκείας εἱμαρμένης τοῦτο τολμήσαντας ἡ τοῦ βασιλέως ἐγείρει κατ᾽ αὐτοῦ· οὐ γὰρ οἷόν τε τοσούτων ὁμοῦ στρατιωτῶν γενέσεις εἰς τὸν κατὰ τοῦ

a. 7. αὐτὸς A: αὐτῆς ς. 13. ἐξοκέλουσα A. 16. μὲν et 21. καὶ add A. 36. προπατέρων A.
b. 2. κακοδαίμονες ς. 3. εὐδαῖμον A. 15. ὀδύρεται AC: ὠδύρετο ς.

δεσπότου θάνατον συμφωνεῖν. κρατεῖ δὲ καὶ τῆς πόλεως ἡ γένεσις τοῦ πλήθους τῶν ἐνοικούντων· καταπίπτουσα γὰρ ἡλικιῶν μυρίας διαφοράς, μυρίαις γενέσεσι διοικουμένας, ἀναιρεῖ φθορᾷ μιᾷ καὶ τῇ αὐτῇ διαφθείρουσα. καὶ ὁ ἀὴρ ὁμοίως, καὶ κατακλυσμὸς ὡσαύτως ὁλόκληρον ἔθνος ἀφανίζων· οὐ γὰρ οἷόν τε τοσαύτας γενέσεις μίαν ἔχειν ἰδέαν θανάτου. εἰ δέ τις καὶ τὸ ἀδύνατον τοῦτο συγχωροίη, πάλιν ἢ τῆς πόλεως γένεσις ἢ τοῦ ἀέρος ὑπὸ τῆς τῶν πολλῶν ἀνατέτραπται· καὶ δυοῖν θάτερον, ἢ τὰς τῶν πολλῶν ἀκυρῶσαι τὴν μίαν, ἢ ταύτην τῇ τῶν πολλῶν ἀκολουθῆσαι τῆς οἰκείας ἀποσπωμένην ἐνεργείας. τὰ δ' αὐτὰ λέγειν ἂν εἴη καὶ περὶ ξύλων καὶ χόρτων καὶ βοτανῶν καὶ ζώων ἁπάντων. εἰ τοίνυν αἱ γενέσεις ὑπ' ἀλλήλων ἀνατρέπονται, καὶ αἱ μὲν τῶν παίδων τὰς τῶν πατέρων αἱ δὲ τούτων τὰς ἐκείνων ἀναιροῦσι, καὶ αἱ τῶν συζυγιῶν τὰς ἀλλήλων, καὶ αἱ τῶν οἰκιῶν τοὺς ἐνοικοῦντας ἢ αἱ τούτων τὰς τῶν οἰκημάτων, καὶ ἁπλῶς ὅσα προείρηται, πανταχόθεν ἡ γένεσις ἑαυτὴν ἀνέτρεψε καὶ διέλυσεν. Ἀλλ' οὕτω μὲν τὸ β' καὶ μ' κεφάλαιον.

Ἐν δὲ τῷ γ' καὶ μ' φησὶν ὅτι ποικίλαις μὲν πράξεσι καὶ πάθεσιν ἢ φυσικαῖς ἢ αὐθαιρέτοις τὰ ἐπὶ γῆς καὶ τὰ ἐν ἀέρι καὶ ἐν θαλάττῃ καὶ ἡμεῖς ὁμολογοῦμεν ὑποκεῖσθαι, τὸ δὲ ἀνάγκην εἱμαρμένην πάντων αἰτίαν εἶναι καὶ ἐκτρεπόμεθα καὶ διελέγχομεν, ἀπὸ τῶν ἀψύχων ἀρχόμενοι καὶ εἰς τὰ ἄλογα ζῷα μεταβαίνοντες, ἐκεῖθεν εἰς τοὺς λογικοὺς ἀνθρώπους τὸν λόγον διαβιβάζοντες. Μάγνης γοῦν ὁ λίθος σίδηρον ἁρπάζει, καὶ οὐχ ἁρπάζει μόνον, ἀλλὰ καὶ δύναμιν ἐντίθησιν ἕτερον ἁρπάσαι, κἀκεῖνος πάλιν ἄλλον μέχρι πλειόνων. δίκταμνος ἡ βοτάνη πάλιν τοῖς ἰοβόλοις ἐστὶ πολέμιος· καὶ γὰρ καὶ μόνης τῆς ὀσμῆς ἀντιλαμβανόμενα εἰς τὸ ἀνενέργητον μεταβάλλει. καὶ βοτανῶν ἀγλαοφωτὶς μόνη τοσοῦτον ἐν νυκτὶ λάμπει ὅσον ἡ προσηγορία δηλοῖ, καὶ τὸν ἐπιθυμοῦντα λαβεῖν φεύγει, καὶ ταῦτα ἐῤῥιζωμένη τόπον ἐκ τόπου παρὰ φύσιν μεταβαίνουσα· οὐ γὰρ πρόσεστι τοῖς ἐῤῥιζωμένοις κίνησις ἡ μεταβατική. χαμαιλέων τὸ ζῷον εἰς πολλὰ χρώματα τὸ σῶμα μεταβάλλει, καὶ τοιοῦτος φαίνεται οἷον τὸ πλησιάζον καὶ παρακείμενον αὐτῷ, κἂν ξύλον κἂν λίθος κἂν ἄλλο τι τοιοῦτον ᾖ· πρὸς γὰρ τὴν ἐκείνου χροιὰν ἁρμόττει τὴν ἑαυτοῦ. καὶ ἡ σελευκὶς τὸ πτηνὸν οὕτως ἐστὶν ἀκρίσιν ὀλέθριον, ὥστε καὶ ὅσαι ἂν τῇ σκιᾷ ταύτης καταληφθεῖεν φθείρονται. ἄλλαις πάλιν ἡ νύξ, ἀλλ' οὐχὶ τὸ φῶς ἐστὶ τῇ ὄψει ἁρμόδιον. καὶ τροφὴ πάλιν ἄλλοις ἢ ἑτέρῳ θανάσιμος. ἀλλὰ καὶ τὸ ποτὸν οὐ πᾶσι τοῖς ζώοις χρήσιμον. τὸ δέ γε οὐρεῖν τετραπόδων μὲν ἐνίοις οὐ πρόσεστι, πτηνῶν δὲ οὐδενί. καὶ τί δεῖ λέγειν κατὰ μέρος τὰς ἐν τοῖς ζώοις "τροφῆς τε καὶ πότου 354 H. καὶ διαπλύσεων καὶ ᾠδῆς καὶ σιγῆς καὶ μονῆς καὶ ἀποδημίας καὶ ἐπανόδου καὶ ὑπηρεσίας καὶ ἐλευθερίας "σωφρο- 684 R. σύνης τε καὶ πολυγαμίας καὶ ἐργασίας καὶ ἀργίας θρασύτητός τε καὶ δειλίας καὶ τῶν ἄλλων ἀναριθμήτων διαφοράς; ποία τοίνυν δρόμου κίνησις ἕκαστον γένος τοιοῦτον ὑπέστησε; διὰ τί δὲ τὸ ὅλον γένος τοιοῦτον, καὶ οὔτε λαγὼς θρασυνθῇ οὔτε λέων δειλιάσει, οὐδ' ἄλλο τι τῆς κατὰ γένος καὶ προσηκούσης αὐτῷ ἐνεργείας τὴν φυγὴν μελετήσειεν, ἀλλ' ἕκαστον γένος ὅλον ὅμοιον, μόνον δὲ ταῖς μεταβολαῖς τὸ τῶν ἀνθρώπων γένος ποικίλλεται; εἰ δ' ἡ γένεσις ἕκαστον γένος ἐν τῷ οἰκείῳ τῆς φύσεως ἤθει πανταχοῦ διασώζει, πῶς ἐν ἀνθρώποις τοὐναντίον εὑρίσκεται; καὶ γὰρ δειλία καὶ θρασύτης, θυμὸς καὶ πραότης, κακουργία καὶ χρηστότης, καὶ τἀναντία πάντα. ποῦ οὖν ὁ τῆς γενέσεως δρόμος; οὐχ ἑπτὰ οἱ πλάνητες καὶ τὰ ζῴδια δώδεκα; τί δή ποτ' οὖν τοῖς ἀνθρώποις παρέχει παθῶν τε τοσαύτην καὶ ἐπιτηδευμάτων διαφοράν, τοῖς δὲ λοιποῖς οὐκέτι, ἀλλὰ πανταχοῦ μὲν ὄνος ἀχθοφορεῖ, πάρδαλις δὲ ἁρπάζει, καὶ τὰ ἄλλα τοῦ εἴδους τὸν εἱρμὸν συντηρεῖ ὁμοίως, καὶ νικᾷ τῶν ἀλόγων ζώων ἡ κατ' εἶδος φύσις τήν τε γένεσιν καὶ τοὺς παρανατέλλοντας καὶ πάντα τὸν μακρὸν ἐκεῖνον λῆρον. ποῦ γὰρ ὁ Ἄρης; τίνος τῶν ἀλόγων ὥπλισε ξίφει δεξιάν, ἢ θώρακι τὸ σῶμα ἢ κράνει τὴν κεφαλὴν ἠσφαλίσατο ἢ κνήμας ἢ πόδας; οὐ γὰρ λύκους ὥπλισε κατὰ λύκων, οὐδὲ λεόντων συνεκρότησε φάλαγγας. ἀλλὰ τίς διεξιέναι φιλονεικοίη τὰ ἀδιεξίτητα; εἰ γὰρ οὐδὲν ἐκτὸς γενέσεως, πῶς οὐδεὶς ἀστήρ, οὐ πλάνης, οὐ παρανατέλλων, οὐ ζῴδιον ταῦτα τοῖς ὁμοφυέσιν ἀλόγοις παρέχει, οἷς τὸν ἄνθρωπον κατεμέρισεν; οὐχ ὑφαντικήν, οὐ χαλκευτικήν; οὐ τῶν μὲν εἰς διδασκάλους, τοὺς δὲ παρὰ τῶν ὁμοειδῶν μανθάνειν συνέστησεν; εἰ δέ τις παρ' ἡμῶν διδάσκεσθαι ταῦτα ἐρεῖ, πρῶτον μὲν ὀλίγα δείξει, καὶ διὰ τί μὴ πάντα, πλέον ἀπορήσει· δεύτερον οὐχὶ νῷ καὶ ἐπιστήμῃ ὥσπερ ἄνθρωπος, ἀλλ' ἀπάτῃ ἢ φόβῳ διδάσκεται, ὥσπερ κύων τυπτόμενος ἢ πίθηκος ἢ ἵππος τηρεῖ τὰ δεικνύμενα, οὐχ ὅτι ταῦτα

a. 4. ἀναιρεῖ δὲ φθ. ς. 8. ἢ] ἢ ἡ C. 9. καὶ] fortasse legendum ὡς i. e. ὥστε. 30. δίκταμος Cς. 38. τοιοῦτο A. 40. ἄλλο τι A: ὅ, τι ς. 41. ἁρμόττει A: ἁρμολογεῖ ς. b. 3. ἑτέρῳ Schottus: libri ἑτέρα. 13. δειλιάσῃ ς. 15. μόνον Schottus: libri μόναις. 28. λῆρον AC: κλῆρον ς.

Digitized by Google

τῷ δεσπότῃ χρήσιμα νοῶν, ἀλλ' ὅτι μὴ ποιῶν τύπτεται. καὶ ψιττακὸς ἀπατώμενος μιμεῖται· ἐσόπτρῳ γὰρ παρακειμένῳ τὴν μίμησιν κλέπτεται. λανθάνοντες γὰρ ὄπισθεν λαλοῦσι τοῦ παρατεθέντος ἐσόπτρου, ἃ μανθάνειν ἐκείνους βούλονται· ὁ δὲ ψιττακὸς ἄλλον δοκῶν ὁρᾶν ψιττακὸν σπεύδει πρὸς μίμησιν τῶν ἐκείνου φωνῶν, οὐ τῶν λεγομένων ἔχων νόησιν· πάντα γὰρ ἂν ἐνάρθρως ἐμάνθανε. καὶ μὴν καὶ ψιττακὸς μόνος, ἀλλ' οὐκ ἀετὸς οὐδὲ τὰ ἄλλα τῶν ζώων τὰ ἐκείνου διδάσκεται. ἀλλὰ καὶ πῶς οὐκ αὐτὸ τοῦτο πάλιν παρὰ τὸν τῆς γενέσεως νόμον; ἄλογα γὰρ ἐκείνη τὰ ὅλα ζῶα ποιεῖ, διδάσκει δὲ αὐτῶν ὁ ἄνθρωπος ἔνια, καὶ νικᾷ τῆς γενέσεως τοὺς ὅρους ὁ μηδέποτε τούτων ἀπολυόμενος. εἰ δὲ καὶ τὰς μελίττας διδάσκειν ἀλλήλας φαῖεν, κἀνταῦθα τὸ ψεῦ-
355 H. δος ἐτίμησαν· ἐκ φύσεως γὰρ "ἀλλ' οὐκ ἀπὸ τέχνης ἐργάζεται μέλισσα. πλὴν καὶ οὕτω τὸ ἄπορον αὔξεται· διὰ τί γὰρ μὴ καὶ τὰ ἄλλα κατὰ γένος ἄλληλά καὶ διδάσκει καὶ διδάσκεται; τίς δὲ κόρακας καὶ γῦπας ἐδίδαξεν ἵπτασθαι, οὓς οὐδὲ τρέφειν οἱ γεγεννηκότες πεφύ-
685 R. κασι; "πῶς δ' ἐν αὐτοῖς ἀπεῖπεν ἡ βασιλέας ποιοῦσα καὶ ἄρχοντας γένεσις; οὔτε γὰρ ὄνος ὄνων οὔτε λύκων ἐβασίλευσε λύκος· οὐδ' ὁ μὲν αὐτῶν πένεται, ὁ δὲ πλουτεῖ· οὐδὲ τῶν ἄλλων οὐδέν, οἷς τὸ ἀνθρώπινον γένος καταμερίζεται. ποῦ οὖν οἱ παρανατέλλοντες καὶ ἡ γένεσις καὶ τὸ τῶν ἀποτελεσμάτων αὐτοῖς πλῆθος; ἢ κατὰ μόνων τῶν ἀθλίων ἀνθρώπων τὸ κράτος ἥρπασαν; καίτοι τῶν ἄλλων ζώων κράτιστον ἄνθρωπος. καὶ γὰρ καὶ τῶν δυνατωτέρων συνέσει κρατεῖ, καὶ τῶν ἱπταμένων ἐπὶ γῆς βαδίζων κύριος γίνεται, καὶ τὰ εἰς βυθὸν ἀγρεύει νηχόμενα, καὶ ἁπλῶς πάντων ἐστὶ τῷ λόγῳ καὶ τῇ συνέσει κραταιότερος. πῶς οὖν ἡ γένεσις τοῦ μὲν κρατοῦντος πάντων κρατεῖ, τῶν δ' ὑπ' ἐκείνου κρατουμένων ἄρχειν οὐκ ἴσχυσεν; ἀλλ' ὡς ἔοικε, κατὰ ἀνθρώπων αὕτη παρὰ τοῦ πονηροῦ προβέβληται ἡ μηχανή, ἵνα τὸ εὐσεβεῖν καὶ δικαιοπραγεῖν ἀνάγκης ἔργον νομίσαντες ἀλλοτριωθῶσι θεοῦ, καὶ τὸ τἀναντία πράττειν τῆς αὐτῆς αἰτίας πειθόμενοι οὐδὲν ἀποκνῶσι πρὸς τὰ ἁμαρτήματα. οὐκοῦν οὐκ ἔστιν ἡ γένεσις, πλάττεται δὲ ὑπὸ τῶν ἐχθρῶν τῆς ἀληθείας κατὰ τῆς ἀληθείας, ὥσπερ ὑπὸ τῶν ταύτης ἐλέγχεται φίλων.

Οὐδὲ γὰρ τὴν ἀλογίαν εὕροι τις ἂν ἀκριβολογούμενος αἰτίαν τοῦ μὴ μανθάνειν τὰ ζῶα ὅσα καὶ ἄνθρωπος, ὥσπερ οὐδὲ τὸ λογικὸν τῷ ἀνθρώπῳ τῶν μυρίων ἐπιτηδευμάτων αἴτιον. πόσους γὰρ κατ' αὐτοὺς ἡ γένεσις ἐργάζεται κωφούς, ἀφώνους, μωρούς, ἀτέχνους, ἀφυεῖς. τί οὖν ὠφέλησε τὸ λογικὸν τὸν ἐκ μήτρας προελθόντα τυφλὸν καὶ κωφὸν ἢ τοὺς τοιούτους, καὶ πόσων ἀλόγων οὐκ εἰσὶ χείρους καὶ πρὸς βίον καὶ πρὸς μάθησιν; τί δὲ μέλιτταν ἔβλαψεν ἢ ἀράχνην ἢ μύρμηκα ἡ ἀλογία, εἰ πράττει ἃ ἕκαστον ἀκωλύτως κατὰ φύσιν αὐτοῖς ἐπιτηδεύεται; τί δὲ τὰ ἄλλα τῶν ζώων παρέβλαψε πρὸς τὸ οἰκεῖον ἔργον, ἀντὶ τοῦ λογικοῦ λαβόντα τὸ ἄλογον; μὴ τοῖς πτεροῖς ᾄδειν τὸν κύκνον ἡ ἀλογία συνέστειλεν, ἢ τοὺς τέττιγας; ἀλλ' ἄρα δύναται καὶ φύσει ποιεῖν ἡ γένεσις μουσικούς· καὶ πῶς οὐχὶ καὶ ῥήτορας καὶ σοφιστὰς ἀπετέλεσε; διὰ τί δὲ καθὰ γινώσκει τὰ ἄλογα, μὴ καὶ ἡμεῖς ἴσμεν χωρὶς τοῦ μανθάνειν; ἀλλὰ τὰ τῶν λογικῶν διὰ τὸ ἄλογον οὐ δύναται μανθάνειν τὰ ἄλογα. καὶ πῶς τὰ ἀλλήλων διὰ τὴν κοινὴν ἀλογίαν οὐ διδάσκονται, γέρανοι τὰ κύκνων, ὄνοι τὰ κυνῶν, καὶ τὰ μελίττης ἀράχνη, καὶ ἕκαστον τὸ ἀλλότριον; οὐκ ἄρα διὰ τὴν ἀλογίαν ἡ τῶν ἀνθρώπων μάθησις ἀλόγοις ἀπαράδεκτος, ἀλλὰ διὰ τὴν διαφορὰν τῆς ὑπὸ τοῦ δημιουργοῦ προαχθείσης φύσεως. τίς δὲ ἀστὴρ τόδε καταλαβὼν τὸ ζώδιον "τὸ γένος ἔπλασε τῶν θηρίων 356 H.
ἀπὸ τῆς γῆς ἢ τῶν κτηνῶν, ἢ ἀπὸ θαλάσσης τῶν νηκτῶν; καὶ διὰ τί μὴ καὶ νῦν τὸ αὐτὸ διαπράττεται; ἡ δὲ τοὺς ἀώρους θανάτους ἐπάγουσα γένεσις πῶς οὐχὶ καὶ δέκα ἐτῶν ἄνθρωπον ἔδειξε γέροντα, ἢ πρώτοις ἰούλοις τὸ πρόσωπον στεφανούμενον; καὶ εἰ τοῦ χρόνου τὸ μῆκος τῆς ἑκάστου ζωῆς εἰς πέντε καὶ ἕξ, ἐνίοτε δὲ καὶ ἀσύγκριτον κατὰ τὸ ἔλαττον ἔτεμε, "πῶς οὐδέ- 688 R.
ποτε πενταπλάσιον ἢ δεκαπλάσιον; καὶ τί λέγω πενταπλάσιον, ἀλλ' οὐδὲ εἰς τὸ τριπλάσιον ἢ διπλάσιον παρεξέτεινε;

Ταῦτα εἰπὼν ὁ ἀνὴρ καὶ κλιμακτῆρος καταγραφὴν ὑπήχθη ποιεῖν καί τινων ἀστρολογικῶν ὀνομάτων καὶ σχημάτων, τὴν τούτων ἀκριβολογούμενος ἔκθεσιν. ἐπάγει δὲ ὡς εἰ τῷ δρόμῳ τῶν ἀστέρων καὶ τοῖς σχήμασι πάντα διοικεῖται τὰ ζῶα, πῶς οὐδεὶς ἀστὴρ οὐδὲ σχῆμα οὐδὲ παρανατέλλων ἡμίονον πατέρα ἢ μητέρα, καίτοι καὶ τοῖς γονίμοις πολλάκις μιγνυμένους, οὐδέποτε ἀπειργάσατο; ἀλλ' ἡ φύσις τὸ ἐκείνης λύει κράτος, καὶ πανταχοῦ ταύτην νικᾷ, ἐν παρατάσει χρόνων, ἐν ὁμιλίᾳ σωμάτων, ἐν κυοφοριῶν διαφοραῖς, ἐν ἐξαλλαγαῖς ἡλικιῶν καὶ ἐν τοῖς ἄλλοις πᾶσι. τοῖς

a. 7. ἂν et 10. τοῦτο add A. 11. ὅλα] libri ἄλλα. 20. ἐν A: ἂν ς. ἐκείνους ς. 37. ἀποκινοῦσι C: ἀποκνοῦσι ς.
b. 7. ἃ post ἀκωλύτως transponendum. 26. πρώτοις Scaliger: παρὰ τοῖς libri. 28. ἓξ] ξ Scaliger.

Digitized by Google

κατὰ φύσιν, ὧν οὐδὲν ἐκείνη ἐξαλλάττειν δύναται. διὰ τί γὰρ ὄνων μὲν καὶ ἵππων οὐδεὶς τὰς ἐξ ἀνθρώπων διαφεύγει μάστιγας, τἆλλα δὲ τῶν ἀλόγων ζώων τὴν ἀπὸ τούτων πληγὴν οὐχ ὑπέμεινεν; εἰ δέ που καὶ σπάνια, τὸ ἄπορον οὐκ ἀνίεται· διὰ τί γὰρ μὴ καὶ τὰ ἄλλα πολὺ πλείω τυγχάνοντα; εἶτα καὶ αὐτῶν τῶν μαστιζομένων τὰ μὲν ἄλογα, ἕως ἂν ἀνδρωθῇ, μαστίγων ἐλεύθερα, ἀχθοφορεῖν δὲ ἀρχόμενα προσλαμβάνει καὶ τὸ τύπτεσθαι, ἄνθρωπος δὲ ἐν παισὶ μὲν ὢν μᾶλλον μαστίζεται, ἄνδρα δὲ τῆς ἡλικίας αὐτὸν δεικνύσης ἢ οὐδαμῶς ἢ ἐπ᾿ ἔλαττον ὑπὸ μάστιγας ἄγεται. διὰ τί δὲ κάστορες μὲν καὶ ὗες καὶ ἀλεκτρυόνες καὶ ἄνθρωποι καὶ ἵπποι, καὶ εἴ τι ἄλλο ὑπόλοιπον, τὸ γενεσιουργὸν ὑπ᾿ ἀνθρώπων ἀποτέμνεται, καὶ σίδηρος αὐτοῖς ἀντὶ παιδογονίας δικάζει τὸ ἄγονον, τὰ δ᾿ ἄλλα τῶν ζώων τὴν ἀπὸ τῶν ἄστρων ἀνάγκην ἀντὶ τοῦ συνήθους γελωμένην καταλείπουσι; τί δήποτε δὲ τῆς αὐτῆς ἀστροθεσίας τὸν αὐτὸν δρόμον ἐχούσης φυτὰ μὲν περιτεμνόμενα πάλιν αὔξει κλάδους, καὶ περικειρομένη βοτάνη ἀνίσχει τὴν ἴσην ἢ καὶ πλείονα, τῷ δὲ ζώῳ, εἴ τι τῶν μελῶν περικοπῇ, ὀφθαλμὸν ἢ ῥῖνα ἢ δάκτυλον, οὐδὲν ἡ εἱμαρμένη πρὸς τὴν τοῦ μέλους ἀνάφυσιν συλλαμβάνεται; καίτοι ταύτην καθίζουσιν ἐκείνοις χαριζομένην ἅπερ ἀφεῖλεν, ἀλλ᾿ οὐχὶ τῆς φύσεως τὸ ἰδίωμα. αὐτὸ δὲ τοῦτο τίς ἀστέρων κίνησις καὶ σχῆμα τὰ μὲν εἰς ἀλόγους τὰ δὲ εἰς λογικοὺς διεκλήρωσε; τίς δὲ ὑσὶ μὲν καὶ ἀλεκτρυόσι καὶ αἰξὶ καὶ βουσί, καὶ εἴ τι τούτοις ὅμοιον, τὸν διὰ μαχαίρας ἐδίκασε θάνατον, τὰ δὲ πλεῖστα τῶν ἄλλων ζώων τὴν τοιαύτην οὐκ οἶδεν ἐπήρειαν; ἀλλὰ καὶ τούτων τῶν ἀναιρουμένων πάλαι
357 H. μέν, τῆς εἰδωλοθυσίας ἐπικρατούσης, ἄπειρον ″ἐν ὥρᾳ μιᾷ κατεθύετο πλῆθος, νῦν δὲ πανθείσης ἐκείνης οὐχ ὁμοίως τὸ ξίφος ὑπέρχονται. καὶ τῶν ἀστέρων ὁ σχηματισμός, ὡς ἂν ἐκεῖνοι φαῖεν, ἀναλλοιώτως τὸν αὐτὸν ἐξομαλίζων δρόμον, οὕτω μὲν τὰ περὶ τούτων ἀνωμάλως ἐξηλλοίωσε, τῶν δ᾿ ἄλλων ζώων τὸν τρόπον τῆς ἀρχαίας ζωῆς οὐ μετέβαλεν. εἰ δὲ καί τινα παραπλησίως τούτων μεταβέβληκεν, ἀλλ᾿ ὅτι μὴ πάντα μηδὲ τὰ πλεῖστα, οὐδὲν ἧττον ὁ τῶν ἀστέρων ὁμαλὸς δρόμος καὶ πρὸς ἀπαράβατον ἀνάγκη διεχλεύασαι. Ἀλλ᾿ εἰς τοῦτο μὲν πέρατος καὶ ὁ ε΄ λόγος καὶ τὸ γ΄ καὶ μ΄ κεφάλαιον καταλήγει.

″Ἐν δὲ τῷ ϛ΄ μὲν λόγῳ, δ΄ δὲ καὶ μ΄ κεφαλαίῳ, 689 R.
ταῦτα ὑποβάλλει. εἰ τῆς γενέσεως, φησίν, ὁ δρόμος ἀπὸ γῆς τὸν ἄνθρωπον καὶ τὰ ἄλλα τῶν ζώων ἀπετέλεσε, πῶς νυνὶ χωρὶς γάμου οὔτε ἄνθρωπον οὔτε τὰ μυρία εἴδη τῶν ζώων οὐδαμῶς προάγουσα δείκνυται; εἰ δέ τινα τούτων καὶ νυνὶ προάγει, ὥσπερ σκώληκας καὶ τοιαῦτα ἔνια, πῶς μὴ καὶ πάντα ὅσα ὁμοίως ἀπ᾿ ἀρχῆς τῆς γῆς ἔδειξε φυόμενα; ἀλλ᾿ εἰ καὶ δρόμος ἀστέρων τοὺς ἀνθρώπους ἀπὸ γῆς κατ᾿ ἀρχὰς ἔπλασε, πῶς οὐχὶ καὶ τεχνίτας αὐτίκα συμπροήγαγεν, ἀλλὰ πολλῷ χρόνῳ ὕστερον τεκτονικὴ καὶ ὑφαντικὴ καὶ ἱστορικὴ γεωμετρία τε καὶ ῥητορικὴ καὶ μυρίαι τέχναι ἄλλαι λογισμοῖς ἀνθρωπίνοις εὑρέθησάν τε καὶ ἐπεγένοντο; εἰ δὲ καὶ προελθεῖν ἀπὸ γῆς ἐπιστήμονας τοὺς ἀνθρώπους τερατεύσοιντο, πῶς τότε μὲν ἄνευ μαθήσεως ἐπιστήμονες ἀνεφύοντο, νυνὶ δὲ πόνοις καὶ μελέταις μόλις κατορθοῦσι τὴν μάθησιν; ποῦ δ᾿ οὖν οἴχεται δρόμος ἐκεῖνος ὁ παλαιός, ὁ τοὺς ἅμα τῇ προόδῳ σοφοὺς ἀναπλάττων; καὶ πόθεν τὰ νῦν ἀντανέστη ὁ τοὺς αὐτοφυεῖς ἐπιστήμονας πόνοις προβιβάζων καὶ μακρᾷ μελέτῃ; τί δ᾿ οὖν ὁ μιαιφόνος ἔπραττεν Ἄρης τότε τῶν ἀνθρώπων κατ᾿ ἀλλήλων οὐχ ὁπλιζομένων; ποῦ δ᾿ ὁ βασιλέας καὶ ἄρχοντας ποιῶν τῶν ἀστέρων δρόμος, πολλαῖς γενεαῖς ὕστερον καὶ τὸ κατὰ κώμας οἰκεῖν, μή τί γε πόλιν ἢ ἀρχὴν εἰδέναι ἐπινοησάντων; διὰ τί δὲ πάλαι μὲν ἄνθρωποι τεχνῶν ἐχρημάτιζον εὑρεταί, νῦν δὲ ταῖς ἐξευρημέναις ἀρκούμενοι περαιτέρω προελθεῖν οὐκ ἐπινοοῦσιν; ἢ δῆλον ὅτι ὁ παρὰ θεοῦ τοῖς ἀνθρώποις δοθεὶς νοῦς, χρόνῳ καὶ πόνῳ καὶ πρό γε τούτων τῇ ἄνωθεν συνεργίᾳ τὰ πρὸς τὸν βίον χρήσιμα ἐξευρών, ἔστη τοῦ πορρωτέρω καὶ μάτην ἐνταλαιπωρεῖσθαι ταῖς ἐπινοίαις. πῶς δὲ τοῦ αὐτοῦ γένους ἔθνος μὲν ὁλόκληρον κομᾷ, ἄλλο δὲ κείρεται; καὶ ἄλλο μὲν μητρογαμεῖ, τὰ πλείω δὲ μυσαρὰν τὴν πρᾶξιν ἡγοῦνται; καὶ μυρίαις ἄλλαις κατατέμνονται διαφοραῖς νόμων, βίων, ἐθῶν καὶ οὐδεὶς ἀστέρων δρόμος οὔτε τοὺς κομήτας κείρει, οὔτε τοὺς κειρομένους κομᾶν ἐκβιάζεται, οὐδὲ ″τὰ ἄλλα πράττειν ἄλλους, 358 H.
ὅσα τοῖς παρὰ σφίσι νόμοις οὐκ ἔμαθον. Καὶ τὰ μὲν τοῦ παρόντος κεφαλαίου τοιαῦτα.

Ἐν δὲ τῷ ἑξῆς ἐπάγει ὡς, εἰ καὶ δόξαιεν καταφεύγειν οἱ τῆς εἱμαρμένης ἐρασταὶ ἐπὶ τοὺς παρανατέλλοντας, οἳ τῶν ζῳδίων καὶ τῶν πλανήτων εἰσὶν ἕτεροι

a. 6. τῶν add A. 20. τῶν δὲ ζώων ϛ. 28. ἐδικαίωσε ϛ. 29. εἶδεν ϛ. 30. τῶν om libri. 40. πρὸς] ὡς A. 41. τοῦτον ϛ.
b. 5. προσάγουσα ϛ. 6. ὥσπερ καὶ σκώλ. καὶ τὰ τοιαῦτα ϛ. 18. προόδῳ τοὺς σοφοὺς ϛ. 34. κατατέμνεται ϛ.



Digitized by Google

καὶ οὔτε τοῖς τῆς γενέσεως ἀποτελέσμασι χαίρουσιν οὔτε ἀλλήλοις συνᾴδουσιν, ἀλλὰ κατὰ τὰς τῶν κλιμάτων διαφορὰς ἕκαστος αὐτῶν τὰ οἰκεῖα χορηγεῖ ἀποτελέσματα, εἰπάτωσαν ἡμῖν ποῦ τὸ τῆς γενέσεως βέβαιον καὶ ἀσάλευτον· ἕκαστος γὰρ τούτων ἰδίαις ἐνεργείαις τὰ ταύτης ἀνακόπτων, ἐξ ὧν φασίν, ἐπιδείκνυται ἀποτελέσματα. καίτοι οὐδὲ πάντες τὸ αὐτὸ τῆς γῆς ἔχουσι μέτρον, οἷον ἡ Περσῶν καὶ Ἰβήρων μοῖρα ἢ ἡ Λαζῶν καὶ Ῥωμαίων ἢ τῶν ἄλλων. πῶς οὖν τόδε τὸ ἔθνος πρὸς τόδε ἀντικειμένοις καὶ βίῳ καὶ νόμοις καὶ ἤθεσι διοικεῖται; δεύτερον δὲ πῶς τὰ πλεῖστα τῶν ἐθνῶν ἐν τοῖς ἰδίαις γῆς ὅροις ἱδρυμένα εἰς τὰ τῶν Ῥωμαίων μετέβαλεν 692 R. ἤθη; "ἀλλὰ καὶ τρίτον, μετῴκησε μὲν τὸ Ἰουδαίων ἔθνος εἰς Αἴγυπτον, τῶν δὲ πατρῴων νόμων οὐ μετανέστη. Αἰγύπτου δὲ πάλιν ἀπαναστάντες Παλαιστίνην μὲν καὶ Ἀραβίαν ἐποικοῦσι, τοὺς πρὶν οἰκοῦντας εἰδωλολάτρας πολέμοις ὠσάμενοι· καὶ τῶν Μωσαϊκῶν οὐ παρετράπησαν νόμων. ἀλλ' οὐδ' ὅτε πρὸς Βαβυλῶνα δοριάλωτον τὸ ἔθνος ἀπήχθη, καὶ μετὰ χρόνους εἰς πᾶσαν τὴν γῆν διεσκεδάσθη, [καὶ] τῶν πατρῴων οὐκ ἀπεστάτησε νόμων, καὶ οὔτε τις τῶν παρανατελλόντων οὔτε ἡ γένεσις κατηνάγκασεν αὐτοὺς ἢ τῆς περιτομῆς ἢ τοῦ σαββάτου τὸ παράγγελμα λῦσαι. τὸ δέ γε ἡμέτερον γένος, τὸ τῶν Χριστιανῶν λέγω, πρὸ τετρακοσίων μὲν ἐτῶν τὴν ἀρχὴν ἔσχεν, ἀθρόον δὲ πᾶσαν ἔλαβε τὴν οἰκουμένην, καὶ τῶν μὲν οἰκείων ἐθῶν ἕκαστον ἀπέστησεν ἔθνος, εἰς δὲ τὸν τῆς εὐσεβείας μετερρύθμισε βίον, οὐ τῆς πατρίδος μεθισταμένους ἀλλὰ τὴν αὐτὴν ὡς καὶ πρότερον οἰκοῦντας, καὶ τὰ τῶν παρανατελλόντων ἀποτελέσματα πολυχρόνια σαθρὰ καὶ γελᾶσθαι κατέλιπεν ἄξια· καὶ πρὸς ἃ ἡ γένεσις ἰσχὺν οὐκ ἔχουσα κατεδύετο, ταῦτα περιφανῶς τὸ τῶν ἀγραμμάτων κατέλυσε κήρυγμα. ἐδέλευσε μὲν οὖν Ἀσσυρίοις ὁ κόσμος πάλαι, εἶτα Βαβυλὼν ἐκράτει, καὶ Μῆδοι τὴν ἀρχὴν ἐξεδέξαντο, καὶ μετ' ἐκείνους Πέρσαι, καὶ πρὸς Μακεδόνας ὕστερον τὸ κράτος ὅλον μετέβαλεν. ἀλλ' ἕκαστον ἔθνος τοῖς οἰκείοις ἐνέμενεν ἔθεσι, καὶ βασιλεῦσιν ἰδίοις ἐπολιτεύοντο, εἰ καὶ [μὴ] τὸν πάντων κρατοῦντα κοινὸν δεσπότην ἐπεγίνωσκον. νυνὶ δὲ ὥσπερ ἡ εὐσέβεια μία, οὕτω καὶ ὁ τὸ βασίλειον κράτος ἔχων εἷς, καὶ τριακοσίων ἐθνῶν ἢ καὶ πλειόνων μία τις ἔννομος ἡ Ῥωμαίων, ὥσπερ ἡ εὐσέβεια, ἐπάρχει ἀρχή· καὶ οὐδένα βιάζεται ἡ γένεσις νῦν οὔτε εἰδωλολατρεῖν οὔτε μητρογαμεῖν οὐδὲ τὰ ἄλλα, ὅσοις τὰ διάφορα τῶν ἐθνῶν οὐκ ἐξήλλαττε μόνον ἀλλήλων, ἀλλὰ καὶ πρὸς τὰ "ἀντικείμενα 359 H κατετέμνετο. ἐκεῖνο δὲ ἡμῖν λεγέτωσαν, πῶς, ὥσπερ ἡ εἱμαρμένη μεταβολὰς ποιεῖ θρησκείας καὶ δογμάτων, οὐχὶ καὶ τὰ ἄλλα ἰσχὺν οὐδεμίαν μεταβαλεῖν ἔχει· οὐδένα γὰρ ἐφάνη πείσασα οὐδὲ βιασαμένη ἀδοξίας ἢ πτωχείας ἢ ἀρρωστίας ἢ δουλείας ἢ κολάσεως ἢ ὕβρεως οὐδὲ μυρίων ἄλλων τοιούτων πόθον λαβεῖν· ἀλλ' ὥσπερ ἡ φύσις κρείττων ὤφθη πανταχοῦ τῶν τῆς γενέσεως ἀποτελεσμάτων, οὕτω καὶ ὁ λογισμὸς τὸ οἰκεῖον τῆς ἐλευθερίας ἀξίωμα διασώζων, ἐν οἷς αὐθαιρέτως πράττει, τῶν ἐκεῖθεν δείκνυται κατεξουσιάζων λήρων. ἀλλὰ γὰρ εἰ τὸ εὐσεβεῖν καὶ δυσσεβεῖν ἀπὸ γενέσεως, λεγέτωσαν ἡμῖν τίς γένεσις Στωϊκὸν ποιεῖ, τίς δὲ Ἐπικούρειον, Περιπατητικὸν δὲ ποία ἢ Πλατωνικόν; τίς λατρεύειν Διόνυσον ἢ Δήμητραν ἢ Σελήνην ἢ Ἥλιον, ἢ τὸν Αἰγύπτιον συνελαύνει λατρεύειν τὸ πρόβατον ἢ τὸν κύνα ἢ τὸν αἴλουρον; τίς δὲ Μανιχαῖον ἀποτελεῖ, τίς Οὐαλεντίνους; εἰ δὲ οὐκ ἂν φαῖεν οὐδ' ἂν πλέον θρασυνθεῖεν, ἐν ἡμῖν ἄρα, καὶ οὐ τῆς γενέσεως ἔργον, τὸ τοιῶσδε ἢ τοιῶσδε σέβειν. εἰ δὲ τοῦτο, καὶ τὸ σέβειν ἁπλῶς καὶ μὴ σέβειν· ἐκ τῶν μερῶν γὰρ τὸ ὅλον συνίσταται. πῶς δὲ οὐκ ἀλογώτατον πονηρὸν γενέσθαι ἀπὸ γενέσεως, καὶ μισεῖσθαι ἀπὸ τῆς αὐτῆς διὰ τὴν πονηρίαν; "ὁμοίως καὶ ἀγαθὸν γενέσθαι τε καὶ θαυ- 693 R. μάζεσθαι; μοιχὸν ὁμοίως ἢ φονέα, καὶ δρᾶν ὑπ' αὐτῆς τὰ ἄτοπα βιαζόμενον, καὶ διὰ τοῦτο κολαζόμενον; νομοθέτας καθίζειν, κολάζειν τοὺς ἁμαρτάνοντας, καὶ ἑτέρους συνωθεῖν καὶ ἄκοντας πρὸς τὰ ἁμαρτήματα, καὶ ὅσων ἄλλων τοιούτων μεστὸς ὁ βίος ὁρᾶται; ἅπερ εἰ μὲν ἐφ' ἡμῖν, ἡμέτερον καὶ τὸ ἔγκλημα τῶν ἐργαζομένων· εἰ δὲ τῆς γενέσεως τὸ κράτος, ἡ μέμψις ἐκείνης ἢ τοῦ ταύτην πεποιηκότος. οὕτω πανταχόθεν τὸ τῆς εἱμαρμένης μετὰ τοῦ ἀσυστάτου ἀσεβές τε καὶ παλίμφημον. Ἀλλὰ γὰρ ἐν τούτοις καὶ τῶν λόγων ὁ ἕκτος καὶ τὸ έ καὶ μ' ἐπερατώθη κεφάλαιον.

Ἐν δὲ τῷ ζ' λόγῳ ἀπορίαν τινὰ δῆθεν ὑπὸ τῶν ἀστρολόγων προαγομένην διατιθείς, ἐπάγει καὶ τὴν λύσιν. λέγουσι γάρ, φησίν, εἰ μὴ ἀπὸ τῆς εἱμαρμένης,

a. 9. τὸ A: τε ς. πρὸς] ὡς A. 13. libri μετῴκισε. τὸ A: τῶν ς. 28. μεθισαμένης A. 29. τὰ add A. 34. διεδέξαντο ς. 35. πρὸς] ὡς A. 37. ἔμενεν ς. 41. ἡ A: τῶν ς.
b. 1. ἡ A: καὶ ἡ ς. 3. διάφορα A: φοβερὰ ς. 4. πρὸς] ὡς A. 6. ἡ add A. 15. εἰ A: εἰς ς. 21. Οὐαλεντινιανοὺς Scaliger. 24. μὴ A: τὸ μὴ ς. 26. ἀπὸ τῆς A: ὑπὸ τῆς ς. 31. πρὸς] ὡς A. 32. ἐφ'] libri ἐν et hic et p. 219 a 29.

Digitized by Google

πόθεν τὰ κακά; οἷς ἀποκρίνεται ὡς εἰ μὲν ἃ διατιθέαμεν ἀλλήλους κακὰ μαθεῖν ἐθέλοιτε πόθεν, τοὺς δρῶντας ὁρῶντες μάτην αἰτίαν ἄλλην ζητεῖτε· εἰ δὲ ἃ πάσχομεν ἄκοντες, καὶ τοῦτο φανερὰν ἔχει τὴν λύσιν. ἐθολώσαμεν παντοδαπῆς κακίας θυέλλῃ τὸν βίον, πράττομεν ἃ μισεῖ καὶ ἀποτρέπει θεός· διὰ τοῦτο πάσχομεν ἃ μὴ θέλομεν, ἵνα μηκέτι πρὸς τὸ πταίειν ἐκφερώμεθα. ἢ ἐχρῆν ὑπευθύνως οὕτω βιοῦντας εὐδαιμονίας ἀπολαύειν, ἵνα τε πλέον θεὸς ἠγνοήθη καὶ προθυμότερον πρὸς τὰ πάθη καταφερώμεθα; εἰ δὲ πράττειν τὰ ἄτοπα διὰ τῆς εἱμαρμένης ὁ θεὸς ἡμᾶς κατηνάγκαζε, πῶς πάλιν κολάζει ὡς πταίσαντας; ἕτερον δέ ἐστιν, ὡς δῆλον, τὸ συγχωρεῖν χρᾶσθαι τῷ αὐτεξουσίῳ καὶ αἱρεῖσθαι ἕκαστον ὃ βούλεται, καὶ τὸ καταναγκάζειν πράττειν τὰ ἄτοπα. 360 H. πῶς δὲ ὑμῖν, φησίν, ἐπῆλθε τῶν τοῦ θεοῦ οἰκονομιῶν ἀγνοοῦσι τὸ βάθος, εἰς τὸ τῆς γενέσεως ἀποτραπῆναι πλάσμα; καὶ ὅτι μὴ ἐπὶ γῆς ἕρποντες εἰς τὸ τοῦ δημιουργοῦ τῶν κριμάτων ὕψος ἀνέβητε, διὰ τοῦτο ἐπ' ἀστέρας καὶ σελήνην καὶ ἥλιον τὰς αἰτίας ἀνάπτειν παρήχθητε τῶν παρ' ἡμῖν πραττομένων, καὶ ἃ μὲν ἑαυτοὺς ὁρῶμεν ἐργαζομένους, οὐχ ἡμέτερα εἶναι τερατεύεσθαι, ἃ δὲ οὐκ ἔστιν ἰδεῖν τοὺς ἀστέρας πράττοντας, ἐκείνων εἶναι τὸ ἔργον καταψεύδεσθαι; κἀγὼ δέ, φησί, ταῦτα γράφων ὑπὸ γενέσεως καθ' ὑμᾶς ἠναγκάσθην γράφειν τοὺς κατ' αὐτῆς ἐλέγχους, ὥστε καὶ οὕτως αὐτὴ καθ' ἑαυτῆς πλέον τῶν ἔξωθεν αὐτῇ μαχομένων ἐπανίσταται.

Τί δὲ καὶ ὄφελος τὸ μανθάνειν τὰ ἀπὸ γενέσεως προσδοκώμενα; εἰ μὲν γὰρ ἔστι φυγεῖν τοὺς μαθόντας ἃ ἐπέκλωσε, λῆρος ἡ πρόρρησις· κρατεῖ γὰρ τὸ ἐφ' ἡμῖν τῆς γενέσεως. μάλιστα δὲ τοῖς τῆς εἱμαρμένης ἐπιστήμοσι τὸ λύειν αὐτῆς τὸν εἱρμὸν συμβήσεται· οὗτοι γὰρ τῶν ἄλλων μᾶλλον τὰ ἀπὸ γενέσεως αὐτοῖς ἐπιστάμενοι, οὐδὲν τῶν ἀπὸ ταύτης αὐτοῖς ἀπειλουμένων συμπεσεῖν παραχωρήσουσιν. εἶτα, ἀλλ' οὐκ ἐκτός φασι γενέσεως τὸ μανθάνοντας ἀπαλλάττεσθαι. οὐκοῦν ἡ γένεσις εἰς τὰ ἀντικείμενα τέμνεται, καὶ τὸ μὲν αὐτῆς προλέγει, τὸ δὲ καταγελᾷ τῆς προρρήσεως· οὗ τί ἂν εἴη γελοιότερον; πολλὴ δὲ πάλιν καὶ ἄλλως ἀδικία καὶ ἀνωμαλία. διὰ τί γὰρ μὴ πάντας ἔπεισε μανθάνειν, ἵνα πάντες τῶν 362 H. τοσούτων ἀπαλλάττοιντο; εἰ δὲ καὶ μαθόντι μὴ δυνατόν ἔστι φυγεῖν, τί χρὴ μανθάνειν μάτην καὶ ταῖς φροντίσι προδαπανᾶσθαι καὶ πλήττεσθαι πρὸ τῆς πληγῆς καὶ πρὸ τοῦ θανάτου χεῖρον τῶν τεθνεώτων κολάζεσθαι;

Ἐκεῖνο δὲ πᾶσι καταφανές, ὡς ὁ τὴν εἱμαρμένην εἰσάγων καὶ τῶν σπουδαίων ἀφαιρεῖται τοὺς ἐπαίνους καὶ τοὺς στεφάνους, καὶ τῶν κακούργων ἄδικον ἀνακηρύσσει τὴν ποινὴν καὶ τὰς εὐθύνας. εἰ γὰρ ἑκάτερος ἐξ ἀνάγκης ἦλθεν εἰς τὸ πράττειν ἃ πράττοι, οὔτε τῆς ἀγαθοεργίας ἐστὶ μισθὸς οὔτε τῆς κακουργίας ποινῆς εἴσπραξις· ὃ πῶς οὐκ ἂν εἴη ὅλως ἡμῶν συγχέον καὶ ἀνατρέπον τὸν βίον καὶ κατὰ τοῦ θεοῦ τὴν γλῶσσαν πάντων ὀξῦνον ἀναιδέστερον; οὐκ ἤρκει δὲ τοῖς δυστυχέσι τὸ τὰ κακὰ νοεῖν τε καὶ λέγειν καὶ πράττειν ἀναγκάζεσθαι, ἀλλὰ δέον ἐλεεῖσθαι καὶ τὸ μισεῖσθαι προστίθεται καὶ τὸ κολάζεσθαι.

Εἰ δὲ λέγοι τις ὡς οὐχ ἡμῶν ἐστιν εἰδέναι διὰ τί τοιαύτην ὁ θεὸς ἐδημιούργησε γένεσιν, ἐν προσποιήσει τοῦ μετριάζειν ἐπισφίγγει τὴν ἀσέβειαν, καὶ δι' ὧν δοκεῖ μετριάζειν, μεῖζον ἀσεβεῖ. εἰ γὰρ καλὴ μὲν ἡ γένεσις, ἡμῖν δὲ φαίνεται κακή, καὶ τοῦτο δὲ ἀπὸ γενέσεως, οὐκ ἐμὸν τὸ σφάλμα, φαύλην οἴεσθαι τὴν οὐ φαύλην, τοῦ δὲ τοιαύτην κρίσιν διὰ τῆς γενέσεως καταθεμένου ἡμῶν τοῖς λογισμοῖς· εἰ δὲ ἐμὸν τὸ σφάλμα, ἐκτὸς ἄρα γενέσεως τὰ τῶν λογισμῶν, οἷς ἀκολουθεῖ καὶ λόγος καὶ πρᾶξις, καὶ μάτην ἡ γένεσις. ἀληθὴς τοίνυν μετριότης καὶ εὐλάβεια οὐ τὸ κακὴν πλάσαι γένεσιν, εἶτα παραχωρεῖν θεῷ τῶν κακῶν τὴν γνῶσιν, οὐδὲ τὸν αὐτὸν λέγειν ὠθεῖν εἰς τὰ κακὰ καὶ κολάζειν οὓς διὰ τῆς γενέ- 361 H. σεως ὤθησεν. οὐκ ἔστι ταῦτα μετριάζοντος, ἀλλ' ἐν σχήματι ταπεινοφροσύνης χαλεπὴν ἀπάτην εἰσάγοντος. τὸ δὲ τῆς εὐσεβείας γένος οὐχ ὑβρίζει θεὸν δι' ὧν δοκεῖ τιμᾶν, οὐδὲ τὴν αὐτοῦ ἀναιρεῖ ἀγαθότητα, τῶν κακῶν αὐτῷ τὴν ἐξουσίαν παρέχον. ἀδικεῖν γὰρ οὔτε οἶδεν οὔτε δυνήσεται ἡ τοῦ θεοῦ ἐξουσία· οὐ ποιεῖ φονέα καὶ κολάζει, οὐδ' ἀπαγορεύει πταίειν καὶ βιάζεται παρακούειν καὶ παρακούσαντα τιμωρεῖται. ταῦτα οὔτε πρέπει θεῷ οὔτε εὐσεβὴς οὐδεὶς δέχεται λογισμός. τὰ δὲ πρέποντα νοοῦμεν, καὶ τῶν ἐν κόσμῳ γινομένων τὴν παντελῆ κατάληψιν αὐτῷ παραχωροῦμεν, καὶ καταλαβεῖν οὐ φιλονεικοῦμεν, εἰδότες ὡς οὐ καταληψόμεθα. ἀληθῆ δὲ θεοῦ ἐξουσίαν ἴσμεν τὸ μήτε πονηρῶν ἡττᾶσθαι καὶ πρὸς τὸ τῶν δημιουργημάτων συμφέρον κεχρῆσθαι τῇ ἀγαθότητι. σκόπει δὲ κἀκεῖνο. ἐν κυνηγεσίοις παροξύνουσι ταύρους πρὸς μάχην ἐρεθίζοντες, κἂν μὴ χρήσωνται τοῖς θυμοῖς, ἀγανακτοῦσιν

a. 1. οἷς καὶ ἀπ. ς. 2. ἀλλ. τὰ κακὰ ς. 10. πρὸς] ὡς A. 25. αὐτῆς A: αὐτοὺς ς. 26. ἑαυτῆς Scaliger: libri ἑαυτούς. 32. τὰ A: τὸ ς. 34. μανθάνον ς.
b. 7. οὔτε γὰρ τῆς ς. 9. libri συγχέων — ἀνατρέπων — ὀξύνοντος. 11. τὸ add A. 16. εὐσέβειαν ς. 39. et 41. πρὸς] ὡς A.

οἱ δεσπόται· ὁ δὲ τῶν ἀστέρων δρόμος τοὺς πειθομένους τοῖς αὐτῶν ἀποτελέσμασι θανάτοις ἀμείβονται. δούλους πάλιν ἡμεῖς ἀπειθοῦντας κολάζομεν, τιμῶμεν δὲ ὑπακούοντας· ἡ δὲ ταῦτα νοεῖν τε καὶ πράττειν ἀναγκάζουσα γένεσις καὶ πταίειν παρακελεύει καὶ τιμωρίαις ὑπάγει τοὺς πεισθέντας, καὶ ἡμᾶς μὲν δικαίους πρὸς τοὺς ὑπὸ χεῖρα ἔσθ' ὅτε ποιεῖ, αὐτὴ δὲ τὰ ἀδικώτατα δρῶσα εἰς ἡμᾶς οὐκ αἰσχύνεται. ἆρ' οὐκ ἐσχάτη μανία ταῦτα νομίζειν; Ἀλλὰ τοιαῦτα μὲν καὶ τὸ μ' καὶ ε' διαλαμβάνει κεφάλαιον.

697 R. "Ἐν δὲ τῷ μς' φησὶν ὡς ὑπὸ τῆς γενεθλιαλογίας οἱ ἐκμανέντες καὶ δημιουργὸν τῶν ἁπάντων ὑποτάττουσι ταύτῃ. φασὶ γάρ, ὥσπερ τὸ δικαιοπραγεῖν ἀπὸ γενέσεως, οὕτω καὶ τὸ προσευχόμενον εἰσακούεσθαι καὶ τὸ πληροῦσθαι θεοῦ παρουσίας καὶ τὸ καταξιοῦσθαι θειοτέρων ἀποκαλύψεων. ὥστε ἐξ ὧν τολμῶσι λέγειν, τὸν θεὸν ὑπηρέτην ἀποφαίνουσι τῆς γενέσεως, κἀκείνων εὐεργέτην οἷς ἂν ὁ ταύτης δρόμος τὸ πάσχειν εὖ ἐχαρίσατο· οὗ τί ἂν εἴη ἀθεώτερον ἢ δυσσεβέστερον; εἰ δὲ ταῦτα καὶ τὰ τοιαῦτα τῆς εἱμαρμένης ἀφαιροῦσι, τὰ μέγιστα τῶν ἀγαθῶν αὐτῆς ἀποτιμῶντες, μόνης δεσπόζειν πονηρίας ἀναγράφουσιν. ἀλλὰ καὶ πλείστους ἔδειξεν ὁ μακρὸς χρόνος ἐξ ἀρετῆς εἰς κακίαν μεταβαλόντας· ὥστε πάλιν κρατεῖ ὧν οὐκ ἐκράτει, τοὺς ἀγαθοὺς εἰς φαύλους μετακινήσασα. οὕτως ἡ ταύτης ὑπόθεσις πάντα συγχεῖ καὶ ταράττει, καὶ πρὸ πάντων ἑαυτὴν καταβάλλει τε καὶ περιτρέπει.

Λέγει δὲ κατὰ τὸ ἑξῆς κεφάλαιον (ζ' δὲ τοῦτό ἐστι καὶ μ') ὡς καὶ τῶν παρ' Ἕλλησι φιλοσοφησάντων τὰ τοιαῦτά τινες ἐπὶ νοῦν θέμενοι τὸ τῆς γενέσεως ἐμυσάχθησάν τε καὶ κατεγέλασαν πλάσμα. καίτοι τόν τε οὐρανὸν σφαιρικὸν οὐδὲν ἧττον ἢ οὗτοι ἐδόξαζον, καὶ μὴν καὶ τὴν τῶν ζῳδίων σύνθεσιν καὶ τὴν τῶν πλανήτων κίνησιν οὐκ ἄλλως ἐνόμιζον. τίς οὖν αὐτοῖς ἡ γνώμη, τοῦτο μὲν δέχεσθαι, ἐκεῖνο δὲ μὴ προσίεσθαι; ὅτι τῶν ἐπὶ
362 H. γῆς καὶ θαλάττης συμβαινόντων ἐν ἀέρι τε "καὶ τοῖς ἄλλοις στοιχείοις προσημαντικὸν μὲν εἶναι νομίζουσι τὸν τῶν ἀστέρων δρόμον, ἀλλ' οὐκ ἀναγκαστικὸν ἢ ποιητικόν, μηνύειν δὲ τοῦτον τὰ ἐσόμενα ὥσπερ καὶ τὴν μαντικὴν καὶ τὴν οἰωνιστικὴν καὶ ὅσαι αὐταῖς παραπλήσιοι· καὶ οὐκ ἐπειδὴ προλέγει γίνεται, ἀλλ' ἐπειδὴ γίνεται προλέγει· καὶ οὐκ ἀνάγκῃ τῇ ἀπ' αὐτῆς διοικεῖσθαι τὰ ἐνταῦθα, προσημαίνειν δὲ μόνον τὰ ἐσόμενα. ἀλλ' οἱ ταῦτα μὲν νομίζοντες τὴν πολλὴν τῶν ἀστρονόμων δυσσέβειαν ἀπεσείσαντο, πρὸς δὲ τὸ τῆς ἀληθείας ἀκριβὲς οὐκ ἀφίκοντο. Ἀλλ' ἐν τούτοις μὲν καὶ τοῦ ζ' λόγου τὸ πέρας.

Ὁ δὲ η' λόγος, κατὰ τὸ η' καὶ μ' ἀπαρχόμενος κεφάλαιον, δύο μὲν οὐρανοὺς λέγει γεγενῆσθαι, ἕνα μὲν τοῦ ὁρωμένου ἀνώτερον, ὃν καὶ συνυφεστάναι τῇ γῇ, θάτερον δὲ τὸν ὁρώμενον· δύο δὲ ὄντων τὸν μὲν ὀροφῆς ἐπέχειν λόγον, τὸν δὲ πρὸς μὲν τὴν γῆν ὀροφῆς ὡσαύτως, ἐδάφους δὲ καὶ βάσεως πρὸς τὸν ὑπερέχοντα. καὶ γῆν δὲ μίαν. καὶ τὰ μὲν οὐράνια ταῖς κρείττοσιν ἀπονενεμῆσθαι δυνάμεσι, τοῖς ὁρωμένοις δὲ τὰ ὑπουράνια. μὴ σφαῖραν δὲ τὸν οὐρανὸν εἶναι, ἀλλὰ σκηνῆς καὶ καμάρας διασώζειν σχῆμα. καὶ ταύτης τῆς ὑπολήψεως γραφικάς, ὡς οἴεται, προβάλλει μαρτυρίας, οὐ μόνον περὶ τοῦ σχήματος, ἀλλὰ καὶ περὶ δύσεως καὶ περὶ ἀνατολῆς ἡλίου. αἰτιολογεῖ δὲ καὶ τὴν τῶν ἡμερῶν καὶ νυκτῶν αὐξομείωσιν, καὶ ἄλλα τινὰ τοιαῦτα πολυπραγμονεῖ, ὡς ἔμοιγε δοκεῖ, τὸ ἀναγκαῖον οὐκ ἔχοντα, εἰ καὶ τοῖς ἱεροῖς λογίοις προσφύεται. ἐξ οὗ εὐσεβοῦντα μὲν τὸν ἄνδρα, οἷς κέχρηται, θείη ἄν τις, ἀκριβείᾳ δὲ λογισμῶν τὴν τῶν γραφικῶν μαρτυρίαν προτείνειν οὐκέτι ὁμοίως φήσειεν.

Ἐντεῦθεν ἐπὶ τὸ θ' καὶ μ' μεταβαίνων κεφάλαιον, τῆς ἱερᾶς ἡμῶν γραφῆς τοὺς νόμους "καὶ τὰς παραι- 700 R. νέσεις καὶ τὸ μέγα τῆς σωτηρίας ἡμῶν μυστήριον καὶ μάλα δικαίως ἐξυμνεῖ· ἐν ᾧ καὶ τῆς ἀστρολογίας ἐκ τῶν αὐτῶν θεοχρήστων λογίων ἁρμοδίως καθάπτεται.

Ἐκεῖθεν ἐπὶ τὸ ν' ἀνιὼν κεφάλαιον, τῆς αὐτῆς πλάνης οὐδὲν ἧττον καταγωνίζεται, λέγων μετὰ τῶν ἄλλων ὡς εἰ καί τι τῶν προλεγομένων αὐτοῖς δοκεῖ ἐκβαίνειν, οὐκ ἐπειδὴ τὴν ἔκβασιν ἔσχηκε. πολλὰ γὰρ καὶ ἡμῖν ἐννοουμένοις τῶν ἐννοηθέντων ἀπήντησε καὶ πρᾶγμα κεκινημένον ἢ κινηθησόμενον προσδοκήσαντες, οἵαν ἠλπίσαμεν ἀρχὴν λαβεῖν ἢ τέλος, τοιοῦτον λαβεῖν κατελάβομεν. καὶ οὐ διὰ τοῦτο χειροτονίαν ἑαυτοῖς προφητείας ἐπιφέρομεν, ἀλλὰ συντυχίας ἢ καὶ στοχασμοῦ τὴν ἀπόβασιν ἔργον γινώσκομεν. εἰ μὲν γάρ τι τοῦ ἀνθρωπίνου βίου ἀλλότριον προεκήρυττον, εἶτα τὸ ξένον ἐξέβη, οὐ λέγω πολλάκις ἀλλ' ἅπαξ, θαυμάζειν εἰκὸς ἦν· εἰ δέ γε τὰ φιλοῦντα συμβαίνειν δοκοῦσι προλέγειν, τί θαυμαστὸν εἰ τυγχάνουσιν; οὐ γὰρ ἔστι ῥᾳδίως ἀποτυχεῖν ἐν πλήθει βάλλοντα τοὺς λόγους θαυ-

a. 6. πρὸς] ὡς A. 18. δρόμος ταύτης ς. 29. τὸ add A. 39. τὴν om pr A. b 2 et 8 et 9. πρὸς] ὡς A. 10. ὑπονενεμῆσθαι ς. 11. ὑπουράνια Schottus: ὑπερουράνια ς. 15. περὶ ante ἀνατολῆς add A. 22. φήσει A. 23, θ' καὶ μ' A: μ' καὶ θ' ς. 31. πολλὰ μὲν γὰρ ς. 35. λαβεῖν pr A: ἀπολαβεῖν ς.

μαςὸν δὲ ἦν μᾶλλον, εἰ διὰ παντὸς ἀπετύγχανον. εἰ δὲ ϗ δαίμονας ἔχȣσι συνεργȣ́ς, ὥσπερ ȣ̓̃ν ἔχȣσιν ἐπι-
365 H. κρατύνοντας αὐτῶν τὴν "πρόῤῥησιν, ȣ̓κέτ᾿ ἂν εἰ ἐπιτυγχάνοιεν ἀπορήσαιμι, ἀλλὰ πολλῷ μᾶλλον εἰ μὴ ἐπιτυγχάνοιεν. συνεργȣ̃σι δὲ τȣ́τοις οἱ δαίμονες εἰδότες μὲν τὰ παρὰ τοῖς ἀςρολόγοις γεγραμμένα, πληροῦσθαι δὲ ταῦτα ἀγῶνα πάντα καταβαλλόμενοι, ἵνα τὴν τῆς εἱμαρμένης πλάνην τοῖς πειθομένοις ἐντήξαντες τȣ̃ θείȣ κατολιγωρεῖν ἀναπείσωσι. προλέγει δὲ τὰ βιβλία πλȣ̃τον ϗ πενίαν ϗ ὅσα ἐν βίῳ. ἐπὶ δὲ ταῦτα τȣ̀ς δαίμονάς συνεργεῖν ȣ̓ χαλεπόν· ϗ γὰρ ϗ ἡμεῖς ἀλλήλȣς πολλὰ τȣ́των ἂν βȣληθέντες διαθείημεν, ἢ πείθοντες ἢ ἀπατῶντες ἢ καταναγκάζοντες. κατιχύουσι δὲ ἁμαρτανόντων τὸ δαιμόνιον φῦλον, ἄγȣσί τε ϗ φέρȣσι τȣ̀ς πειθομένȣς ὅποι ἂν βȣ́λοιντο. βȣ́λονται δὲ πρὸς τὰς τῶν ἀςρολόγων ἀπάτας τὸν ἡμέτερον ἁρμόζειν βίον, ἵνα τὰς μὲν ἐκβάσεις ὁρῶντες τοῖς ἀςρολόγοις συμφώνȣς, τȣ̀ς δὲ ταῦτα πράττοντας μὴ συνορῶντες, τȣ̃ τε δρόμȣ τῶν ἀςέρων οἱ ἠπατημένοι καταψεύδοιντο, καὶ τῆς εὐσεβείας καὶ δικαιοσύνης ἀμελήσαντες εἰς τὸν τῆς ἀσεβείας βυθὸν ὀλισθήσωσι. καὶ αὐτὸ δὲ τȣ̃το, τὸ μὴ συνορᾷν αὐτȣ̀ς τὸ ῥηθὲν κατὰ τῶν ἀνθρώπων δραματȣ́ργημα, τῶν δαιμόνων ἔργον ἂν εἴη, τῆς ἁμαρτίας καὶ ἀσεβείας συναιρομένης αὐτοῖς, ϗ τό τε αὐτῶν μηχάνημα συνιέναι διακωλυȣ́σης καὶ τῶν τȣ̃ θεȣ̃ κριμάτων ὡσαύτως τὸ βάθος. πῶς γὰρ ἀποκαλύψει τὸ θεῖον ἢ τὰς τῶν δαιμόνων ἐνέδρας ἢ τὰς ἑαυτȣ̃ οἰκονομίας, οἷς παρορᾷν αὐτȣ̃ σπȣδάζεται τὰ προστάγματα; καὶ γὰρ ἅπερ ἴσμεν ἄδικα, ταῦτα πράττομεν· ȣ̓χ ὧν ἐπαίνȣς ἴσμεν, ταῦτα μεταδιώκομεν. καὶ πῶς ἅπερ ἀγνοȣ̃μεν μαθησόμεθα; ἔπραξας ἃ ἔμαθες· παρεσκεύασας ἑαυτὸν δι᾿ ἀρετῆς τȣ̃ μαθεῖν πλέον ὧν ἐπίςασαι ἄξιον· θαύμαζε εἰ μὴ μαθεῖν ἔχεις τὰ τελεώτερα. εἰ δὲ πάθεσι βρύεις ϗ θεȣ̃ καταφρονεῖς, πῶς μαθήσῃ τὰς οἰκονομίας αὐτȣ̃ ἢ τὴν κατὰ σȣ̃ τῶν δαιμονίων ἐπήρειαν;
701 R. "πῶς δὲ ȣ̓ κρατήσειαν δαίμονες εὐχερῶς ὧν οὐκ ἔςι τὸ θεῖον ὑπέρμαχον, πρὸς ἐκεῖνα τȣ́τȣς κατασύροντες ἃ τῶν ἀςρολόγων αἱ βίβλοι προλέγȣσιν, ὡς ἂν τὸ τῆς εἱμαρμένης ἐν αὐτοῖς βεβαιώσαντες πλάσμα πλέον θεȣ̃ ἀποςατήσωσιν. εἰ μέντοι γε ὅσην περὶ τὰ κακὰ σπȣδὴν ἔχομεν, τοσαύτην περὶ τὰ καλά, ȣ̓κ ἂν ἠγνοήσαμεν ὅσον ὑπὸ θεȣ̃ τετιμήμεθα, ȣ̓δ᾿ ὅσον κατὰ δαιμόνων ἰσχύομεν. πανταχȣ̃ μὲν γὰρ θεός, ἐγγίζει δὲ μᾶλλον τοῖς δι᾿ ἔργων ἀγαπῶσιν αὐτόν· ὅπȣ δὲ θεός, τίς ὁ λανθάνων τὴν ἐπιβουλὴν ἢ ὁ ἐπιβȣλεύων ὅλως; Ταῦτα διαλαβὼν τὰ ἱερὰ λόγια πάλιν κατὰ τῆς εἱμαρμένης ὁπλίζει, παραινῶν τȣ̀ς ἀνθρώπους ἀπαλλάττεσθαι τῆς τοιαύτης πλάνης. διὰ δὲ τȣ̃ λέγειν εἰς σημεῖα καὶ εἰς καιρȣ̀ς καὶ εἰς ἐνιαυτȣ̀ς γενέσθαι παρὰ θεοῦ τὸν ἥλιον ϗ τὴν σελήνην ϗ τȣ̀ς ἀςέρας, τὰ ἐπὶ Ἰησȣ̃ τȣ̃ Ναυῆ γεγενημένα δηλȣ̃σθαί φησι ϗ τὰ ἐπὶ Ἐζεκίȣ τȣ̃ βασιλέως καὶ τὰ ἐπὶ τȣ̃ δεσποτικȣ̃ πάθȣς.

Ἀλλὰ τοιαῦτα μὲν ϗ κατὰ τὸ ν΄ κεφάλαιον διελθὼν μέτεισιν ἐπὶ τὸ α΄ ϗ ν΄, "ἐν ᾧ τȣ̀ς ἀπὸ Βαρδισάνȣς 364 H.
αἱρετικȣ̀ς διελέγχει, δέχεσθαι μὲν προσποιουμένους τȣ̀ς προφήτας, καὶ τὰς μὲν ψυχὰς γενέσεως ἐλευθέρας ϗ αὐτεξȣσίȣς ὁμολογȣ̃ντας, τὸ σῶμα δὲ τῇ ταύτης ὑποτάττοντας διοικήσει· πλȣ̃τον γὰρ καὶ πενίαν καὶ νόσον καὶ ὑγίειαν καὶ ζωὴν ϗ θάνατον ϗ ὅσα ȣ̓κ ἐφ᾿ ἡμῖν ἔργον εἶναι λέγουσι τῆς εἱμαρμένης. εἰ δὲ κατὰ τὸν Ἡσαΐαν ȣ̓κ ἴσασιν οἱ ἀςρολόγοι τȣ̃ ȣ̓ρανȣ̃ τὰ μέλλοντα καὶ κατὰ τὸν Ἱερεμίαν ματαία ἐστὶν ἡ περὶ ταύτην σπȣδή, πῶς ȣ̃τοι δέχεσθαι μέν φασι τȣ̀ς προφήτας, τὸ σῶμα δὲ δȣ̃λον ποιȣ̃σι τῆς εἱμαρμένης; ϗ γὰρ ὁ θεὸς τοῖς Ἰȣδαίοις καὶ τὰς ἀπειλὰς ϗ τὰ πάθη σωματικὰ ἐπηφίει, τοιαύτας δὲ καὶ τὰς εὐεργεσίας, ὧν ἄγνοιαν ἔχειν τȣ̀ς ἀςρολόγους διὰ τȣ̃ Ἡσαΐου κατεψηφίσατο. πῶς ȣ̓̃ν ἐγχωρεῖ καὶ τοῖς προφήταις πείθεσθαι, ϗ τῶν σωματικῶν κακώσεων ϗ εὐεργεσιῶν τῇ εἱμαρμένῃ τὸ κράτος χαρίζεσθαι ϗ προλέγειν τȣ̀ς περὶ αὐτὴν ἐπτοημένȣς τὰ ἐσόμενα; εἰ μὴ ἄρα μεμηνότες εἴποιεν τὰ μὲν ἀγαθὰ τοῖς εὐσεβοῦσι νέμειν, τἀναντία δὲ τοῖς δυσσεβȣ̃σι, ϗ τὸ θεῖον ἐξυπηρετȣ́μενον τῇ εἱμαρμένῃ. ϗ πῶς ψυχαὶ γενέσει ȣ̓χ ὑποκείσονται, θεȣ̃ τȣ̃ πάντων δημιȣργȣ̃ συνεργȣ̃ντος αὐτῇ ϗ ὑπηρετȣμένȣ τοῖς ἀποτελέσμασιν; εἰ δὲ ȣ̓́τε τὰ δι᾿ ἀγγέλων καὶ προφητῶν οἰκονομηθέντα πάλαι γενέσεως ἔργον ἦν, ȣ̓δ᾿ ἅπερ ὁ κύριος ἡμῶν Ἰησȣ̃ς Χριςὸς διὰ σώματος φανεὶς εἰργάσατο, μυριάδας ἀνθρωπείων ἰασάμενος σωμάτων, πῶς οἴονται τὸ σῶμα λέγειν γενέσει διοικεῖσθαι; ἢ γὰρ τὸ ἀπειλεῖν τὸ θεῖον τοῖς παρακȣ́ȣσιν, εὐεργετεῖν δὲ τȣ̀ς πειθομένȣς, εἰς ψεῦδος ἀπάξȣσιν· ἢ εἰ τὸ πρῶτον ἀληθές, πλάσμα τὸ δεύτερον. χωρὶς δὲ τῶν εἰρημένων, πῶς

a. 13. κατισχύουσι apographum Stephani: κατισχύσουσι ς. 15. βούλοιντο ς. 16 πρὸς] ὡς A. 25. συναιρουμένης ς. 28. αὐτοῦ ς.
b. 2. μὲν et 8. εἰς add A. 18. ἐφ᾿ Scaliger: libri ἐν. 25. ἐπαφίει ς. 31. τἀναντία δὲ A: δὲ τἀναντία ς. 34. αὐτῇ A: αὐτοῖς ς.

οἷόντε σώματος ὑποκειμένου γενέσει τὰς ψυχὰς ταύτης ἀπηλλάχθαι; εἰ γὰρ ἀπὸ γενέσεως εὕρεσις θησαυροῦ καὶ οἴκου κτῆσις ἢ ἑτέρων τινῶν σωματικῶν πρόσληψις ἢ ἀποβολή, καὶ δὴ καὶ ἡ τῶν πορνευόντων ἢ τῶν μοιχευόντων ποινή, ἀνάγκη τὴν ψυχὴν ἐλαύνεσθαι μὲν πρὸς εὕρεσιν θησαυροῦ, πρὸς μάθησιν δὲ τεκτονικῆς διὰ τὸν 704R. οἶκον ἢ ὑφαντικῆς διὰ τὸ ἱμάτιον. δεῖ δὲ καὶ γυναικὸς ἡττᾶσθαι διὰ τὸ παθεῖν τὸ σῶμα ἅπερ αὐτῷ εἵμαρται, ἀλλὰ καὶ πρὸς φόνον ὠθεῖσθαι διὰ τὴν καταψηφισαμένην τὸν θάνατον γένεσιν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. οὐδὲν γὰρ σχεδὸν τῶν σωματικῶν τῆς ψυχῆς μὴ ὑπακουούσης καὶ συλλαμβανούσης γενήσεται, καὶ ἀνάγκη τοὺς ἐκ Βαρδισάνους ἢ καὶ τὴν ψυχὴν ὑποτάξαι γενέσει, ἢ τοῦτο μὴ τολμῶντας καὶ τὸ σῶμα ταύτης ἀποφαίνειν ἐλεύθερον. Οὕτω μὲν καὶ τὸ β΄ καὶ ν΄ ἀποπερατοῦται κεφάλαιον.

Ἐν δὲ τῷ ἐφεξῆς τὴν ἐσχάτην ἀσέβειαν διελέγχει τῶν γενέσει τολμώντων ὑποβάλλειν καὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν φανέντα πρόφασιν ποιουμένων ἀστέρα, καὶ ταύτην εὖ τε καὶ σοφῶς τὴν ἀπόνοιαν καταβάλλει, 365H. πολλοῖς αὐτοὺς κατατιτρώσκων τοῖς ἐπιχειρήμασι, τά τε ἄλλα, καὶ δι' ὧν δείκνυσι τὸν φανέντα ἀστέρα μὴ ἕνα τῶν πολλῶν καὶ κατ' οὐρανὸν εἶναι, ἀλλὰ δύναμίν τινα θειοτέραν, εἰς ἄστρον μὲν σχηματιζομένην, τὴν δὲ τοῦ κοινοῦ δεσπότου κηρύττουσαν γένεσιν. λέγει δὲ τοὺς μάγους παραλαβεῖν μὲν παρὰ Χαλδαίων ὡς ἀστὴρ ἔσται τῆς κατὰ σάρκα γεννήσεως τοῦ κοινοῦ σωτῆρος μηνυτής, ἐκείνοις δὲ ὡς ὁμοτέχνοις ἀναθεῖναι τὴν πρόρρησιν τὸν Βαλαὰμ ἐκεῖνον, ὃς καὶ ἄκων ἀντὶ κατάρας εὐλογήσας τὸν Ἰσραήλ, τῇ εὐλογίᾳ συμπεριέλαβε καὶ τὴν τοῦ τεχθησομένου γένεσιν βασιλέως καὶ τὸν ταύτης κήρυκα ἀστέρα. ἐμφανίζεται δὲ τεχθεὶς Πέρσαις πρὸ τῶν ἄλλων ἐθνῶν ὁ δεσπότης ἑαυτόν, δεικνὺς ὅτι καὶ μάγων καὶ γοήτων τοῖς ἐθέλουσιν ἡ δι' αὐτοῦ παρέχεται χάρις καὶ σωτηρία.

Ταῦτα καὶ τὰ τοιαῦτα ἕτερα διαπερανάμενος, τὸ τελευταῖον κεφάλαιον ἀνακεφαλαίωσιν τῶν εἰρημένων ποιεῖται, καὶ ἅμα τό τε γ΄ καὶ ν΄ καὶ τὸν η΄ τούτοις ἀπαρτίζει λόγον.

Ἔστι δὲ τὴν φράσιν καθαρός τε καὶ εὐκρινὴς ὁ ἀνήρ, τοῖς δὲ ἐνθυμήμασι καὶ τῇ τῶν ἐπιχειρημάτων διαπλάσει, οἷον αὐτὸν κατὰ μέρος ἐν τῇ τῶν λόγων αὐτοῦ ὑπεδείξαμεν ἐκλογῇ.

## 224.

Ἀνεγνώσθη βιβλίον ΜΕΜΝΟΝΟΣ ἱστορικόν, ἀπὸ τοῦ θ΄ λόγου ἕως ιϛ΄. ἡ δὲ πραγματεία, ὅσα περὶ τὴν Ποντικὴν Ἡράκλειαν συνηνέχθη, σκοπὸν ἀναγράψαι προτίθεται, τοὺς ἐν αὐτῇ τυραννήσαντας ἀναλεγομένη καὶ πράξεις αὐτῶν καὶ ἤθη, καὶ τοὺς ἄλλων βίους, καὶ τὰ τέλη οἷς ἐχρήσαντο, καὶ ὅσα τῶν εἰρημένων ἐξήρτηται.

Κλέαρχον μὲν οὖν ἐπιθέσθαι πρῶτον τυραννίδι κατὰ τῆς πόλεως ἀναγράφει. φησὶ δὲ παιδείας μὲν τῆς κατὰ φιλοσοφίαν οὐκ ἀγύμναστον, ἀλλὰ καὶ Πλάτωνος τῶν ἀκροατῶν ἕνα γεγονέναι, καὶ Ἰσοκράτους δὲ τοῦ ῥήτορος τετραετίαν ἀκροάσασθαι, ὠμὸν δὲ τοῖς ὑπηκόοις καὶ μιαιφόνον, εἴπερ τινὰ ἄλλον, ἐπιδειχθῆναι, καὶ εἰς ἄκρον ἀλαζονείας ἐλάσαι, ὡς καὶ Διὸς υἱὸν ἑαυτὸν ἀνειπεῖν καὶ τὸ πρόσωπον μὴ ἀνέχεσθαι ταῖς ἐκ φύσεως χρωματίζεσθαι βαφαῖς, ἄλλαις δὲ καὶ ἄλλαις ἰδέαις ποικιλλύμενον ἐπὶ τὸ στιλπνόν τε καὶ ἐνερευθὲς τοῖς ὁρῶσιν ἐπιφαίνεσθαι, ἐξαλλάττειν δὲ καὶ τοὺς χιτῶνας ἐπὶ τὸ φοβερόν τε καὶ ἁβρότερον. οὐ 705R. ταῦτα δὲ μόνον γενέσθαι κακόν, ἀλλὰ καὶ πρὸς τοὺς εὐεργέτας ἀχάριστον καὶ πάντα βίαιόν τε καὶ τὰ ἄτοπα τολμηρόν· φῦναι δὲ καὶ δραστήριον τὸν παλαμναῖον οἷς ἂν ἐπιβάλοι, οὐ κατὰ τῶν ὁμοφύλων μόνον, ἀλλὰ καὶ εἴ τι ἐν ἀλλοφύλοις ἐφρόνει πολέμιον. βιβλιοθήκην μέντοι κατασκευάσαι πρὸ τῶν ἄλλων οὓς ἡ τυραννὶς ἀπέδειξεν ὀνομάζεσθαι. τοῦτον δὲ ἐπιβουλὰς μὲν πολλὰς πολλάκις διὰ τὸ μιαιφόνον καὶ μισάνθρωπον καὶ ὑβριστικὸν κατ' αὐτοῦ συστάσας διαφυγεῖν, ὀψὲ δὲ καὶ μόλις ὑπὸ Χίωνος τοῦ Μάτριος, ἀνδρὸς μεγαλόφρονος καὶ κοινωνίαν πρὸς αὐτὸν τὴν ἐξ αἵματος ἔχοντος, καὶ 366H. Λέοντος καὶ Εὐξένωνος καὶ ἑτέρων οὐκ ὀλίγων συσκευασθῆναι πληγὴν καιρίαν ἐνεγκεῖν, καὶ τελευτῆσαι πικρῶς ἀπὸ τοῦ τραύματος. ἔθυε μὲν γὰρ δημοτελῆ θυσίαν ὁ τύραννος· οἱ δὲ περὶ τὸν Χίωνα ἐπιτήδειον εἶναι τὸν καιρὸν τῇ πράξει νομίσαντες τῇ τοῦ Χίωνος χειρὶ τὸ ξίφος διὰ τῶν τοῦ κοινοῦ πολεμίου λαγόνων ἐλαύνουσιν. ὁ δὲ πολλῶν αὐτὸν καὶ πικρῶν ἀλγηδόνων κατατεινόντων, καὶ τοσούτων φασμάτων ἐκδειματούντων (εἴδωλα δὲ τὰ φάσματα ἦν ὧν ἐκεῖνος μιαιφόνως ἀνῃρήκει), οὕτω δευτεραῖος τὸν βίον κατέστρεψε, ζήσας μὲν ἔτη η΄ καὶ ν΄, τούτων δὲ τυραννήσας δυοκαίδεκα. εἶχε δὲ τὴν Περσῶν ἀρχὴν Ἀρταξέρξης τότε, εἶτα καὶ Ὦχος ὁ

a. 6. θησαυροῦ] θησαυροῦ διὰ τὸν θησαυρὸν Scaliger. 8. αὐτῷ εἵμαρται A: αὐτὸ ἥμαρτεν ς. 29. βαλαὰκ A. 38. τό τε A: τὸ ς. b. 3. θ΄ A: ε΄ ς. 18. ἐρευθὲς ς. 24. ἐπιβάλοι H, Stephanus: libri ἐπιβάλοιεν.

ταύτην ἐκ πατρὸς ἐκδεξάμενος· πρὸς οὓς ϗ πολλάκις ἔτι ζῶν ὁ Κλέαρχος διεπρεσβεύσατο. οἱ μέντοι γε ἀνῃρηκότες τὸν τύραννον μικροῦ πάντες οἱ μὲν ὑπὸ τῶν σωματοφυλάκων κατ᾽ αὐτὸν τὸν τῆς ἐπιθέσεως καιρὸν, οὐκ ἀγεννῶς ἀνδρισάμενοι, κατεκόπησαν, οἱ δὲ ϗ ὕστερον συλληφθέντες καὶ πικραῖς τιμωρίαις ἐγκαρτερήσαντες ἀνῃρέθησαν.

Σάτυρος δὲ ὁ τοῦ τυράννου ἀδελφὸς, οἷα δὴ ἐπίτροπος καταλειφθεὶς τῶν παίδων Τιμοθέου ϗ Διονυσίου, τὴν ἀρχὴν ὑποδέχεται· ὃς ὠμότητι μὲν οὐ Κλέαρχον ἀλλὰ καὶ πάντας τυράννους ὑπερέβαλεν. οὐ μόνον γὰρ τοὺς ἐπιβεβουλευκότας τῷ ἀδελφῷ ἐτιμωρήσατο, ἀλλὰ καὶ τῶν τέκνων ἃ μηδὲν συνῄδει τοῖς γεγεννηκόσιν, οὐδὲν ἀνεκτότερον ἐδηλήσατο, ϗ πολλοὺς ἀναιτίους κακούργων δίκας ἀπῄτησε. τοῦτον δὲ ϗ μαθημάτων τῶν τε κατὰ φιλοσοφίαν καὶ τῶν παντὸς ἐλευθερίου ἄλλου παντελῶς ὑπάρξαι ἀπαράδεκτον, καὶ νῦν δὲ πρὸς τὰς μιαιφονίας μόνον ὀξύῤῥοπον ἔχοντα φιλάνθρωπον μηδὲν μηδὲ ἥμερον μήτε μαθεῖν ἐθελῆσαι μήτε φῦναι ἐπιτήδειον. ἀλλὰ πάντα μὲν ἦν οὗτος κάκιστος, εἰ καὶ χρόνος αὐτῷ κόρον λαβεῖν τῶν ἐμφυλίων αἱμάτων ϗ τῆς μιαιφονίας ὑπεξέλυεν, ἐπὶ δὲ τῇ φιλαδελφίᾳ τὸ πρῶτον ἠνέγκατο· τὴν γὰρ ἀρχὴν τοῖς τοῦ ἀδελφοῦ παισὶν ἀνεπηρέαστον συντηρῶν ἐπὶ τοσοῦτον τῆς αὐτῶν κηδεμονίας λόγον ἐτίθετο, ὡς καὶ γυναικὶ συνὼν, ϗ τότε λίαν στεργομένῃ, μὴ ἀνασχέσθαι παιδοποιῆσαι, ἀλλὰ μηχανῇ πάσῃ γονῆς στέρησιν ἑαυτῷ δικάσαι, ὡς ἂν μηδ᾽ ὅλως ὑπολίποι τινὰ ἐφεδρεύοντα τοῖς τοῦ ἀδελφοῦ παισίν. οὗτος ἔτι ζῶν καὶ γήρᾳ βαρυνόμενος Τιμοθέῳ τῷ πρεσβυτέρῳ τῶν παίδων τοῦ ἀδελφοῦ ἐγχειρίζει τὴν ἀρχήν, καὶ μετὰ χρόνον οὐ πολὺν ἀνιάτῳ πάθει καὶ χαλεπωτάτῳ συσχεθεὶς, — καρκίνωμα γὰρ μεταξὺ βουβῶνός τε καὶ ὀσχέου ὑποφυὲν τὴν νομὴν πρὸς τὰ ἔνδον

108 B. ἐπεδίδου πικρότερον, ἐξ οὗ ἰχῶρες ἀνασομωθείσης τῆς σαρκὸς ἐξέῤῥεον βαρὺ ϗ δύσοιστον πνέουσαι, ὡς μηκέτι μήτε τὸ ὑπηρετούμενον μήτε τοὺς ἰατροὺς τὸ τῆς σηπεδόνος στέγειν δυσῶδες ϗ ἀνυπόστατον. καὶ συνεχεῖς

367 H. δὲ ὀδύναι ϗ δριμεῖαι ὅλον τὸ σῶμα κατέτεινον, ὑφ᾽ ὧν ἀγρυπνίαις τε ϗ σπασμοῖς ἐξεδίδοτο, ἕως προκόψασα μέχρις αὐτῶν τῶν σπλάγχνων τοῦ πάθους ἡ νομὴ τοῦ βίου ἀπέῤῥηξεν. ἐδίδου μὲν καὶ οὗτος, ὥσπερ καὶ Κλέαρχος, τελευτῶν τοῖς ὁρῶσιν ἐννοεῖν δίκας ἀπαιτεῖσθαι ὧν ὠμῶς τε καὶ παρανόμως τοὺς πολίτας διέθεσαν· πολλάκις γὰρ αὐτόν φασιν ἐν τῇ νόσῳ τὸν θάνατον ἐπελθεῖν αὐτῷ κατευχόμενον μὴ τυχεῖν, ἀλλὰ συχναῖς ἡμέραις τῇ πικρᾷ καὶ βαρείᾳ καταδαπανώμενον νόσῳ οὕτως ἀποτῖσαι τὸ χρεών, ἔτη μὲν βιώσαντα πέντε καὶ ἑξήκοντα, ὧν ἡ τυραννὶς εἶχεν ζ΄. Ἀγησίλαος δὲ τηνικαῦτα Λακεδαιμονίων ἐβασίλευεν.

Ὁ δὲ Τιμόθεος παραλαβὼν τὴν ἀρχὴν οὕτω ταύτην ἐπὶ τὸ πρᾳότερον καὶ δημοκρατικώτερον μετεῤῥύθμιζεν, ὡς μηκέτι τύραννον ἀλλ᾽ εὐεργέτην αὐτὸν, οἷς ἔπραττε, ϗ σωτῆρα ὀνομάζεσθαι. τά τε γὰρ χρέα τοῖς δανεισταῖς παρ᾽ ἑαυτοῦ διελύσατο, καὶ τοῖς χρῄζουσι πρὸς τὰς ἐμπορίας καὶ τὸν ἄλλον βίον τόκων ἄνευ ἐπήρκεσε, καὶ τῶν δεσμωτηρίων οὐ τοὺς ἀνευθύνους μόνον ἀλλὰ καὶ τοὺς ἐν αἰτίαις διηφίει, ϗ δικαστὴς ἀκριβὴς ἦν ὁμοῦ καὶ φιλάνθρωπος, καὶ τὰ ἄλλα χρηστὸς καὶ τὰς ὑποθέσεις οὐκ ἀπιστούμενος. ἐφ᾽ οἷς ϗ τὸν ἀδελφὸν Διονύσιον τά τε ἄλλα πατρικῶς περιεῖπε, καὶ κοινωνὸν μὲν εἶχεν αὐτίκα τῆς ἀρχῆς, ἐχομένως δὲ καὶ διάδοχον. οὐ μὴν ἀλλὰ γὰρ καὶ πρὸς τὰς πολεμικὰς τῶν πράξεων ἀνδρείως ἐφέρετο, μεγαλόφρων δὲ ἦν καὶ γενναῖος σῶμα ϗ ψυχήν, ἀλλὰ καὶ πρὸς τὰς τῆς μάχης διαλύσεις εὐγνώμων τε καὶ οὐκ ἄχαρις, πράγματα μὲν συνιδεῖν ἱκανός, ἐξικέσθαι δὲ πρὸς τὰ συνεωραμένα δραστήριος, οἰκτίρμων τε τὸ ἦθος καὶ χρηστός, καὶ τῇ μὲν εὐτολμίᾳ δεινῶς ἀπότομος, τῇ δὲ μετριότητι φιλάνθρωπός τε καὶ μειλίχιος. διὸ σφόδρα μὲν περιὼν τοῖς πολεμίοις φοβερὸς ἦν, καὶ πάντες αὐτὸν κατωῤῥώδουν ἐπειδὰν ἀπεχθάνοιτο, τοῖς δ᾽ ἀρχομένοις γλυκύς τε ϗ ἥμερος. ἔνθεν καὶ τελευτῶν πόθον αὐτοῦ κατέλιπε πολὺν, καὶ πένθος ἤγειρε τῷ πόθῳ ἐνάμιλλον. ὁ δὲ τούτου ἀδελφὸς Διονύσιος καίει μεν τὸ σῶμα πολυτελῶς, σπένδει δὲ αὐτῷ καὶ τὰ ἀπὸ βλεφάρων δάκρυα ϗ τὰς ἀπὸ τῶν σπλάγχνων οἰμωγάς, ἐπιτελεῖ δὲ ϗ ἀγῶνας ἱππικοὺς, οὐχ ἱππικοὺς δὲ μόνον ἀλλὰ καὶ σκηνικοὺς καὶ θυμελικοὺς καὶ γυμνικούς, τοὺς μὲν αὐτίκα, τοὺς δὲ λαμπροτέρους ϗ ὕστερον. ἀλλὰ ταῦτα μὲν ἡ θ΄ ϗ ι΄ τοῦ Μέμνονος, ὡς ἐν ἐπιδρομῇ φάναι, διαγράφει ἱστορία.

Τὴν δὲ ἀρχὴν διαδεξάμενος Διονύσιος ηὔξησε ταύτην, Πέρσας ἐπὶ Γρανικῷ τοῦ Ἀλεξάνδρου μάχῃ καταγωνισαμένου ϗ παρασχόντος ἄδειαν τοῖς βουλομένοις αὔξειν τὰ ἑαυτῶν, τῆς τέως ἐμποδὼν πᾶσιν ἱσταμένης Περσικῆς ἰσχύος ὑποστελλομένης. ὕστερον δὲ ποικίλας ὑπέστη περιστάσεις, μάλιστά γε τῶν τῆς Ἡρακλείας φυ- 368 H.

a. 16. ἐλευθ. ἄλλου ἄλλου ς. 24. κηδ. τὸν λόγον ς. 37. στέργων ς. b. 6. ἐβασίλευσεν ς. 8. libri δημοκρατικώτατον. 16. ἐφ᾽ A: ἐν ς.

709 R. γάδων πρὸς Ἀλέξανδρον περιφανῶς ἤδη τῆς Ἀσίας κρατοῦντα διαπρεσβευομένων, καὶ κάθοδον καὶ τὴν τῆς πόλεως πάτριον δημοκρατίαν ἐξαιτουμένων. δι᾽ ἅπερ ἐγγὺς μὲν κατέστη τοῦ ἐκπεσεῖν τῆς ἀρχῆς· καὶ ἐξέπεσεν ἄν, εἰ μὴ συνέσει πολλῇ καὶ ἀγχινοίᾳ καὶ τῇ τῶν ὑπηκόων εὐνοίᾳ καὶ θεραπείᾳ Κλεοπάτρας τοὺς ἀπειληθέντας αὐτῷ πολέμους διέφυγε, τὰ μὲν ὑπείκων καὶ τὴν ὀργὴν ἐκλύων καὶ μεθοδεύων ταῖς ἀναβολαῖς, τὰ δὲ ἀντιπαρασκευαζόμενος. ἐπεὶ δὲ ἢ θανάτῳ ἢ νόσῳ κατὰ Βαβυλῶνα γεγονὼς Ἀλέξανδρος τὸν βίον διέδραμεν, εὐθυμίας μὲν ὁ Διονύσιος ἄγαλμα τὴν ἀγγελίαν ἀκούσας ἱδρύσατο, παθὼν τῇ πρώτῃ προσβολῇ τῆς φήμης ὑπὸ τῆς πολλῆς χαρᾶς ὅσα ἂν ἡ σφοδρὰ λύπη δράσειε· μικροῦ γὰρ περιτραπεὶς εἰς τὸ πεσεῖν ὑπήχθη καὶ ἄνους ὤφθη γενόμενος. Περδίκκα δὲ τῶν ὅλων ἐπιστάντος οἱ μὲν τῆς Ἡρακλείας φυγάδες πρὸς τὰ αὐτὰ καὶ τοῦτον παρώξυνον, Διονύσιος δὲ ταῖς ὁμοίαις μεθόδοις χρώμενος ἐπὶ ξυροῦ ἀκμῆς πολλοὺς κινδύνους κατ᾽ αὐτοῦ συστάντας πάντας διέδρασεν. ἀλλ᾽ ὁ μὲν Περδίκκας ὑπὸ τῶν ἀρχομένων μοχθηρὸς γεγονὼς ἀνῄρηται, καὶ αἱ τῶν φυγάδων ἐλπίδες ἐσβέννυντο· Διονυσίῳ δὲ πανταχόθεν τὰ πράγματα πρὸς τὸ εὐδαιμονέστερον μετεβάλλοντο. ἡ δὲ πλείστη ῥοπὴ τῆς εὐδαιμονίας ὁ δεύτερος αὐτῷ κατέστη γάμος. ἠγάγετο μὲν γὰρ Ἄμαστριν, αὕτη δὲ ἦν Ὀξάθρου θυγάτηρ· ἀδελφὸς δὲ ἦν οὗτος Δαρείου, ὃν καθελὼν Ἀλέξανδρος Στάτειραν τὴν αὐτοῦ θυγατέρα γυναῖκα ἠγάγετο, ὡς εἶναι τὰς γυναῖκας ἀλλήλαις ἀνεψιάς, ἔχειν δέ τι πρὸς ἑαυτὰς καὶ φίλτρον ἐξαίρετον, ὃ τὸ συντρόφους ὑπάρξαι ταύταις ἐνέφυσεν. ἀλλὰ ταύτην τὴν Ἄμαστριν Ἀλέξανδρος, ὅτε Στατείρᾳ συνήπτετο, Κρατερῷ (τῶν φιλουμένων ἦν οὗτος ὡς μάλιστα) συναρμόζει· Ἀλεξάνδρου δὲ ἐξ ἀνθρώπων ἀποπτάντος, καὶ Κρατεροῦ πρὸς Φίλαν τὴν Ἀντιπάτρου ἀποκλίναντος, γνώμῃ τοῦ λιπόντος Διονυσίῳ ἡ Ἄμαστρις συνοικίζεται. ἐξ οὗ ἐπὶ μέγα ἡ ἀρχὴ αὐτῷ διήρθη πλούτου τε περιβολῇ τῇ διὰ τῆς ἐπιγαμίας προστεθείσῃ καὶ ἰδίᾳ φιλοκαλίᾳ· καὶ γὰρ καὶ τὴν τοῦ Διονυσίου πᾶσαν ἐπισκευὴν τοῦ Σικελίας τυραννήσαντος αὐτὸν ἐπῆλθεν ἐξωνήσασθαι, τῆς ἀρχῆς ἐκείνου διαφθαρείσης. οὐ ταῦτα δὲ μόνον αὐτῷ τὴν ἀρχὴν ἐπεκράτυνεν, ἀλλὰ καὶ εὐπραγία καὶ εὔνοια τῶν ὑπηκόων, καὶ πολλῶν ὧν οὐκ ἐκράτει πρότερον ἡ κυριότης. καὶ Ἀντιγόνῳ δὲ τὴν Ἀσίαν κατέχοντι λαμπρῶς συμμαχήσας, ὁπότε τὴν Κύπρον ἐπολιόρκει, τὸν ἀδελφιδοῦν Πτολεμαῖον (στρατηγὸς δὲ οὗτος ἦν τῶν περὶ τὸν Ἑλλήσποντον) φιλοτιμίας ἀμοιβὴν εὕρατο παρ᾽ Ἀντιγόνῳ γαμβρὸν λαβεῖν ἐπὶ θυγατρί· ἡ δὲ παῖς ἐκ προτέρων ἦν αὐτῷ γεγεννημένη γάμων. οὕτω γοῦν εἰς μέγα δόξης ἀνελθὼν καὶ τὸν τύραννον ἀπαξιώσας τὸ βασιλέως ἀντέλαβεν ὄνομα. φόβων δὲ 369 H.
καὶ φροντίδων ἐλευθεριάσας καὶ ταῖς καθημεριναῖς τρυφαῖς ἐκδιαιτηθεὶς ἐξωγκώθη τε τὸ σῶμα, καὶ τοῦ κατὰ φύσιν πολὺ πλέον ἐλιπάνθη. ὑφ᾽ ὧν οὐ μόνον περὶ τὴν ἀρχὴν ῥαθύμως εἶχεν, ἀλλὰ καὶ ἐπειδὰν ἀφυπνώσειε, βελόναις μακραῖς τὸ σῶμα διαπειρόμενος (τοῦτο γὰρ ἄκος μόνον τοῦ κάρου καὶ τῆς ἀναισθη- 712 R.
σίας ὑπελείπετο) μόλις τῆς κατὰ τὸν ὕπνον καταφορᾶς ἐξανίστατο. τεκνωσάμενος δὲ τρεῖς παῖδας ἐκ τῆς Ἀμάστριος, Κλέαρχον Ὀξάθρην καὶ θυγατέρα ὁμώνυμον τῇ μητρί, μέλλων τελευτᾶν ταύτην τε τῶν ὅλων δέσποιναν καταλιμπάνει καὶ τῶν παίδων κομιδῇ νηπίων ὄντων σύν τισιν ἑτέροις ἐπίτροπον, βιοὺς μὲν ἔτη ε΄ καὶ ν΄· ὢν ἐπὶ τῆς ἀρχῆς λ΄ ἐγνωρίζετο, πρᾳότατος ἐν αὐτῇ, ὡς εἴρηται, γεγονὼς καὶ τὸ Χρηστὸς ἐπίκλησιν ἐκ τῶν ἠθῶν ἐνεγκάμενος, καὶ πολὺν πόθον τοῖς ὑπὸ χεῖρα καὶ πένθος λιπών.

Οὐδὲν δὲ ἧττον καὶ μετὰ τὴν ἐκείνου ἐξ ἀνθρώπων ἀναχώρησιν τὰ τῆς πόλεως πρὸς εὐδαιμονίαν ἐφέρετο, Ἀντιγόνου τῶν τε παίδων Διονυσίου καὶ τῶν πολιτῶν οὐ παρέργως προνοουμένου. ἐκείνου δὲ πρὸς ἕτερα τὰς φροντίδας τρεψαμένου Λυσίμαχος πάλιν τῶν περὶ Ἡράκλειαν καὶ τῶν παίδων ἐπεμελεῖτο, ὃς καὶ Ἄμαστριν ποιεῖται γυναῖκα. καὶ κατ᾽ ἀρχὰς μὲν λίαν ἔστερξε, πραγμάτων δὲ αὐτῷ προσπεσόντων αὐτὴν μὲν ἐν Ἡρακλείᾳ λείπει, αὐτὸς δ᾽ εἴχετο τῶν ἐπειγόντων. εἰς Σάρδεις δὲ μετ᾽ οὐ πολὺν χρόνον, τῶν πολλῶν πόνων ῥαΐσας, μετεπέμψατο ταύτην, καὶ ἔστεργεν ὁμοίως. ὕστερον δὲ πρὸς τὴν θυγατέρα Πτολεμαίου τοῦ φιλαδέλφου (Ἀρσινόη δὲ ἦν τὸ ὄνομα) τὸν ἔρωτα μεταθείς, διαζυγῆναι τὴν Ἄμαστριν αὐτοῦ παρέσχεν αἰτίαν καὶ καταλιποῦσαν τοῦτον καταλαβεῖν τὴν Ἡράκλειαν. ἐγείρει δὲ αὕτη παραγενομένη καὶ συνοικίζει πόλιν Ἄμαστριν.

Κλέαρχος δὲ ἀνδρωθεὶς ἤδη τῆς τε πόλεως ἦρχε, καὶ πολέμοις οὐκ ὀλίγοις τὰ μὲν συμμαχῶν ἄλλοις, τὰ δὲ καὶ τοῖς ἐπιφερομένοις αὐτῷ ἐξητάζετο. ἐν οἷς καὶ

a. 9. θανάτῳ] φαρμάκῳ Orellius. 15. ἐπιστατοῦντος Scaliger. 24. ὀξάνθου vel ὀξάρθου pr A. 28. ἑαυτὰς corr A: ἑαυτὸν ς. 31. ἁρμόζει ς.
b. 5. γεγεννημένη A: γεγαμημένη ς. 12. διαπειρόμενος corr A: διαπειρώμενος ς. 14. ὑπελίπετο ς. 15. ἀμάστρης A. 35. θυγατέρα] ἀδελφὴν Wesseling. Obss. var. 1, 26. 41. ἄλλοις A: ἀλλήλοις ς.

κατὰ Γετῶν Λυσιμάχῳ στρατευόμενος ἑάλω τε σὺν αὐτῷ, καὶ ἀνεθέντος τῆς αἰχμαλωσίας ἐκείνου καὶ αὐτὸς ὕστερον τῇ Λυσιμάχου προνοίᾳ ἀφίετο. οὗτος ὁ Κλέαρχος ἅμα τῷ ἀδελφῷ τῆς ἀρχῆς καταστάντες διάδοχοι πρὸς μὲν ἡμερότητα καὶ χρηστότητα πολὺ τοῦ πατρὸς ἐλάττους τοῖς ὑπηκόοις ἀπέβησαν, εἰς ἔκθεσμον δὲ καὶ μιαρώτατον ἔργον ἐξέπεσον· τὴν γὰρ μητέρα μηδὲν περὶ αὐτοὺς μέγα πλημμελήσασαν, μηχανῇ δεινῇ καὶ κακουργίᾳ ἐπιβᾶσαν νηὸς θαλάσσῃ ἀποπνιγῆναι κατειργάσαντο. δι᾽ ἣν αἰτίαν καὶ Λυσίμαχος ὁ πολλάκις ῥηθείς (Μακεδονίας δὲ ἐβασίλευεν), εἰ καὶ τὴν Ἄμαστριν διὰ τὴν συνάφειαν Ἀρσινόης λιπεῖν αὐτὸν παρεσκευάσατο, ἀλλ᾽ οὖν τοῦ τε προτέρου πόθου φέρων ἐν ἑαυτῷ τὸ ἐμπύρευμα, καὶ τὸ μυσαρὸν καὶ ὠμὸν τῆς πράξεως οὐκ ἀνασχετὸν ποιούμενος, 370 H. στεγανώτατα μὲν τὴν αὐτοῦ κατεῖχεν ἔνδον γνώμην, τὴν ἀρχαίαν δὲ φιλίαν πρὸς τοὺς περὶ Κλέαρχον τῷ σχήματι ἐπιδεικνὺς διὰ πολλῶν τε μηχανῶν καὶ τῶν τοῦ λανθάνειν στρατηγημάτων (κρύψαι γὰρ τὸ βουλόμενον δεινότατος ἀνθρώπων γεγονέναι λέγεται) ἐν Ἡρακλείᾳ μὲν ὡς ἐπὶ τῷ τῶν δεχομένων συνοίσοντι παραγίνεται, πατρὸς δὲ στοργὴν τῷ προσωπείῳ τοῖς περὶ Κλέαρχον προβαλλόμενος ἀναιρεῖ μὲν τοὺς μητροκτόνους, πρῶτον μὲν Κλέαρχον, εἶτα καὶ Ὀξάθρην, μητρικῆς ἀπαι- 713 R. τίσας μιαιφονίας δίκας· καὶ τὴν πόλιν ποιησάμενος ὑπὸ τὴν πρόνοιαν τὴν αὐτοῦ, καὶ τὰ πολλὰ δὲ λαφυραγωγήσας ὧν ἡ τυραννὶς ἠθροίκει χρημάτων, ἄδειάν τε δοὺς δημοκρατεῖσθαι τοὺς πολίτας, οὗ ἐφίεντο, πρὸς τὴν ἰδίαν βασιλείαν ἐστέλλετο.

Λυσίμαχος δὲ τὴν ἰδίαν ἀρχὴν καταλαβὼν δι᾽ ἐπαίνων μὲν τὴν Ἄμαστριν εἶχεν, ἐθαύμαζε δὲ αὐτῆς τούς τε τρόπους καὶ τὴν ἀρχήν, πρὸς ὄγκον καὶ μέγεθος καὶ ἰσχὺν ὡς ἐκρατύνατο, ἐξαίρων μὲν τὴν Ἡράκλειαν, μέρος δε τῶν ἐπαίνων καὶ τὴν Τῖον καὶ τὴν Ἄμαστριν, ἣν ἐπώνυμον ἤγειρεν ἐκείνη, ποιούμενος. καὶ ταῦτα λέγων τὴν Ἀρσινόην ἠρέθιζε δεσπότιν τῶν ἐπαινουμένων γενέσθαι. ἡ δὲ ἐδεῖτο τυχεῖν ὧν ἐπόθει. καὶ ὁ Λυσίμαχος σεμνύνων τὸ δῶρον κατ᾽ ἀρχὰς μὲν οὐ προσίετο, ἐκλιπαρηθεὶς δὲ χρόνῳ παρέσχεν· ἦν γὰρ δεινὴ περιελθεῖν ἡ Ἀρσινόη, καὶ τὸ γῆρας ἤδη Λυσίμαχον παρεῖχεν εὐεπιχείρητον. δεξαμένη δ᾽ οὖν ἡ Ἀρσινόη τῆς Ἡρακλείας τὴν ἀρχὴν πέμπει τὸν Κυμαῖον Ἡράκλειτον, ἄνδρα μὲν εὔνουν αὐτῇ, ἀπότομον δὲ ἄλλως καὶ δεινὸν ἐν βουλευμάτων ἐντρεχείᾳ καὶ ὀξύτητι. ὁ δὲ τῆς Ἡρακλείας ἐπιβὰς τά τε ἄλλα σφόδρα ἐπιστρόφως τῶν πραγμάτων ἐξηγεῖτο, καὶ πολλοὺς αἰτίαις ὑποβάλλων τῶν πολιτῶν οὐκ ἐλάττους ἐτιμωρεῖτο, ὡς πάλιν ἀποβαλεῖν αὐτοὺς τὴν μόλις ἐπιφανεῖσαν εὐδαιμονίαν. ὁ μέντοι Λυσίμαχος περιδρομῇ Ἀρσινόης τὸν ἄριστον τῶν παίδων καὶ πρεσβύτερον Ἀγαθοκλέα (ἐκ προτέρων δὲ φὺς ἦν αὐτῷ γάμων) κατ᾽ ἀρχὰς μὲν λανθάνοντι φαρμάκῳ, ἐκείνου δὲ κατὰ πρόνοιαν ἐξεμέσαντος ἀναιδεστάτῃ διαχειρίζεται γνώμῃ· δεσμωτηρίῳ ἐμβαλὼν κελεύει κατακοπῆναι, ἐπιβουλὴν αὐτῷ καταψευσάμενος. ὁ δὲ Πτολεμαῖος, ὃς αὐτόχειρ τοῦ μιάσματος ἐγεγόνει, ἀδελφὸς ἦν Ἀρσινόης, καὶ ἐπώνυμον διὰ τὴν σκαιότητα καὶ ἀπόνοιαν τὸν κεραυνὸν ἔφερεν. ὁ τοίνυν Λυσίμαχος διὰ τὴν παιδοκτονίαν μῖσός τε δίκαιον παρὰ τῶν ὑπηκόων ἐλάμβανε, καὶ Σέλευκος ταῦτα πυθόμενος, καὶ ὡς εὐχερὲς εἴη τοῦτον παραλῦσαι τῆς ἀρχῆς τῶν πόλεων ἀφισταμένων αὐτοῦ, μάχην συνάπτει πρὸς αὐτόν. καὶ πίπτει ἐν τῷ πολέμῳ Λυσίμαχος παλτῷ βληθείς· ὁ δὲ βαλὼν ἀνὴρ Ἡρακλεώτης ἦν, ὄνομα Μαλάκων, ὑπὸ Σελεύκῳ τατ- 371 H. τόμενος. πεσόντος δὲ ἡ τούτου ἀρχὴ προσχωρήσασα τῇ τοῦ Σελεύκου μέρος κατέστη. Ἀλλ᾽ ἐνταῦθα μὲν καὶ τὸ ιβʹ τῆς Μέμνονος ἱστορίας λήγει.

Ἐν δὲ τῷ ιγʹ τοὺς Ἡρακλεώτας λέγει πυθομένους τὴν ἀναίρεσιν Λυσιμάχου καὶ ὡς εἴη ὁ τοῦτον ἀπεκτονὼς Ἡρακλεώτης, τάς τε γνώμας ἀναῤῥώννυσθαι καὶ πρὸς τὸν τῆς ἐλευθερίας ἀνδραγαθίζεσθαι πόθον, ἣν δʹ καὶ πʹ ἔτεσιν ὑπό τε τῶν ἐμφυλίων τυράννων καὶ μετ᾽ ἐκείνους ὑπὸ Λυσιμάχου ἀφῄρηντο. προσῆλθον οὖν πρότερον Ἡρακλείδῃ, πείθοντες αὐτὸν μὲν ἐκχωρεῖν τῆς πόλεως, οὐκ ἀπαθῆ κακῶν μόνον ἀλλὰ καὶ λαμπροῖς δώροις ἐφοδιαζόμενον, ἐφ᾽ ᾧ τὴν ἐλευθερίαν ἐκείνους ἀναλαβεῖν. ὡς δὲ οὐ μόνον οὐκ ἔπειθον, ἀλλὰ καὶ εἰς ὀργὴν ἐκπεσόντα εἶδον καί τινας αὐτῶν καὶ τιμωρίαις ὑπάγοντα, συνθήκας θέμενοι πρὸς 716 R. τοὺς φρουράρχους οἱ πολῖται, αἵ τήν τε ἰσοπολιτείαν αὐτοῖς ἔνεμον καὶ τοὺς μισθοὺς λαβεῖν ὧν ἐστέρηντο, συλλαμβάνουσι τὸν Ἡρακλείδην καὶ φυλαττόμενον εἶχον ἐπὶ χρόνον. ἐκεῖθεν λαμπρᾶς ἀδείας λαβόντες, τῆς τε ἀκροπόλεως μέχρις ἐδάφους τὰ τείχη κατέβα-

a. 1. Λυσιμάχου ς. συστρατευόμενος Scaliger. 11. ἐβασίλευσεν ς. 12. διά τε τὴν ς. 19. βουλευόμενον corr A. 20. ἐν add A. 35. ταῦτα μὲν λέγων ς. 36. ἐπαινουμένων A: ἐπαίνων ς. 40. παρεῖχεν A: εἶχεν ς. b. 12. καταψευδόμενος ς. 20. πολ. ὁ λυσίμαχος ς. 26. πειθομένους ς. 38. αἳ A: οἳ ς. 39. ἐστέρηντο ἤλπιζον συλλ. ς.



Digitized by Google

λον, καὶ πρὸς Σέλευκον διεπρεσβεύοντο, τῆς πόλεως ἐπιμελητὴν προστησάμενοι Φώκριτον. Ζιποίτης δὲ ὁ Βιθυνῶν ἐπάρχων, ἐχθρῶς ἔχων Ἡρακλεώταις πρότερον μὲν διὰ Λυσίμαχον, τότε δὲ διὰ Σέλευκον (διάφορος γὰρ ἦν ἑκατέρῳ), τὴν κατ᾽ αὐτῶν ἐπιδρομήν, ἔργα κακώσεως ἀποδεικνύς, ἐποιεῖτο· οὐ μὴν οὐδὲ τὸ αὐτοῦ στράτευμα κακῶν ἀπαθεῖς ἔπραττον ἅπερ ἔπραττον, ἔπασχον δὲ καὶ αὐτοὶ [ὧν ἔδρων οὐ κατὰ πολὺ ἀνεκτότερα. ἐν τούτῳ δὲ Σέλευκος Ἀφροδίσιον πέμπει διοικητὴν εἴς τε τὰς ἐν Φρυγίᾳ πόλεις καὶ τὰς ὑπερκειμένας τοῦ Πόντου. ὁ δέ, διαπραξάμενος ἃ ἐβούλετο καὶ ἐπανιών, τῶν μὲν ἄλλων πόλεων ἐν ἐπαίνοις ἦν, Ἡρακλεωτῶν δὲ κατηγόρει μὴ εὐνοϊκῶς ἔχειν τοῖς τοῦ Σελεύκου πράγμασιν. ὑφ᾽ οὗ Σέλευκος παροξυνθεὶς τούς τε πρὸς αὐτὸν ἀφικομένους πρέσβεις ἀπειλητικοῖς ἐξεφαύλιζε λόγοις καὶ κατέπληττεν, ἑνὸς τοῦ Χαμαιλέοντος οὐδὲν ὀῤῥωδήσαντος τὰς ἀπειλάς, ἀλλὰ φαμένου „Ἡρακλῆς κάῤῥων Σέλευκε" (κάῤῥων δὲ ὁ ἰσχυρότερος παρὰ Δωριεῦσιν). ὁ δ᾽ οὖν Σέλευκος τὸ μὲν ῥηθὲν οὐ συνῆκεν, ὀργῆς δ᾽ ὡς εἶχε, καὶ ἀπετρέπετο. τοῖς δὲ οὔτε τὸ ἀναχωρεῖν οἴκαδε οὔτε τὸ προσμένειν λυσιτελὲς ἐδόκει. ταῦτα δὲ Ἡρακλεῶται πυθόμενοι τά τε ἄλλα παρεσκευάζοντο καὶ συμμάχους ἤθροιζον, πρός τε Μιθριδάτην τὸν Πόντου βασιλέα διαπρεσβευόμενοι καὶ πρὸς Βυζαντίους καὶ Χαλκηδονίους. οἱ δὲ περιλειπόμενοι τῶν ἀπὸ Ἡρακλείας φυγάδων, Νύμφιδος, καὶ αὐτοῦ ἑνὸς ὑπάρχοντος τούτων, κάθοδον βουλεύσαντος αὐτοῖς, καὶ ῥᾳδίαν εἶναι ταύτην ἐπιδεικνύντος, εἰ μηδὲν ὧν οἱ πρόγονοι ἀπεστέρηντο αὐτοὶ φανεῖεν
572 H. διοχλοῦντες ἀναλήψεσθαι, ἔπεισέ τε σὺν τῷ ῥᾴστῳ, καὶ τῆς καθόδου ὃν ἐβούλευσε τρόπον γεγενημένης οἵ τε καταχθέντες καὶ ἡ δεξαμένη πόλις ἐν ὁμοίαις ἡδοναῖς καὶ εὐφροσύναις ἀνεστρέφοντο, φιλοφρόνως τῶν ἐν τῇ πόλει τούτους δεξιωσαμένων καὶ μηδὲν τῶν εἰς αὐτάρκειαν αὐτοῖς συντελούντων παραλελοιπότων. καὶ οἱ Ἡρακλειῶται τὸν εἰρημένον τρόπον τῆς παλαιᾶς εὐγενείας τε καὶ πολιτείας ἐπελαμβάνοντο.

Σέλευκος δὲ τοῖς κατωρθωμένοις κατὰ Λυσιμάχου ἐπαρθεὶς εἰς τὴν Μακεδονίαν διαβαίνειν ὥρμητο, πόθον ἔχων τῆς πατρίδος, ἐξ ἧς σὺν Ἀλεξάνδρῳ ἐστράτευτο, κἀκεῖ τοῦ βίου τὸ λεῖπον διανύσαι γηραιὸς ἤδη ὢν διανοούμενος, τὴν δὲ Ἀσίαν Ἀντιγόνῳ παραθέσθαι τῷ παιδί. Πτολεμαῖος δὲ ὁ Κεραυνὸς τῶν Λυσιμάχου πραγμάτων ὑπὸ Σελεύκῳ γεγενημένων καὶ αὐτὸς ὑπ᾽ αὐτὸν ἐτέλει, οὐχ ὡς αἰχμάλωτος παρορώμενος, ἀλλ᾽ οἷα δὴ παῖς βασιλέως τιμῆς τε καὶ προνοίας ἀξιούμενος, οὐ μὴν ἀλλὰ καὶ ὑποσχέσεσι λαμπρυνόμενος, ἃς αὐτῷ Σέλευκος προὔτεινεν, εἰ τελευτήσειεν ὁ γεινάμενος, τὴν Αἴγυπτον, πατρῴαν οὖσαν ἀρχήν, καταγαγεῖν. ἀλλ᾽ ὁ μὲν τοιαύτης κηδεμονίας ἠξίωτο, κακὸν δὲ ἄρα 717 B.
αἱ εὐεργεσίαι οὐδὲν ἐβελτίουν. ἐπιβουλὴν γὰρ συστήσας προσπεσὼν τὸν εὐεργέτην ἀναιρεῖ, καὶ ἵππου ἐπιβὰς πρὸς Λυσιμαχίαν φεύγει· ἐν ᾗ διάδημα περιθέμενος μετὰ λαμπρᾶς δορυφορίας κατέβαινεν εἰς τὸ στράτευμα, δεχομένων αὐτὸν ὑπὸ τῆς ἀνάγκης καὶ βασιλέα καλούντων οἳ πρότερον Σελεύκῳ ὑπήκουον. Ἀντίγονος δὲ ὁ Δημητρίου τὰ συνενεχθέντα μαθὼν ἐπὶ Μακεδονίαν διαβαίνειν ἐπεχείρει πεζῷ καὶ νηΐτῃ στρατεύματι, προφθάσαι σπεύδων τὸν Πτολεμαῖον. ὁ δὲ Πτολεμαῖος τὰς Λυσιμάχου νῆας ἔχων ἀπήντα καὶ ἀντιπαρετάττετο. ἦσαν δ᾽ ἐν αὐταῖς ἄλλαι τε καὶ τῆς Ἡρακλείας αἱ μετάπεμπτοι, ἑξήρεις τε καὶ πεντήρεις καὶ ἄφρακτοι, καὶ ὀκτήρης μία ἡ λεοντοφόρος καλουμένη, μεγέθους ἕνεκα καὶ κάλλους ἥκουσα εἰς θαῦμα· ἐν ταύτῃ γὰρ ρ´ μὲν ἄνδρες ἕκαστον στοῖχον ἤρεττον, ὡς ω´ ἐκ θατέρου μέρους γενέσθαι, ἐξ ἑκατέρων δὲ χιλίους καὶ χ´· οἱ δὲ ἀπὸ τῶν καταστρωμάτων μαχησόμενοι χίλιοι καὶ σ´, καὶ κυβερνῆται β´. τῆς οὖν συμβολῆς γενομένης κρατεῖ Πτολεμαῖος τὸ ναυτικὸν τρεψάμενος τοῦ Ἀντιγόνου, ἀνδρειότερον τῶν ἄλλων ἀγωνισαμένων αἳ ἦσαν ἐξ Ἡρακλεώτιδος· αὐτῶν δὲ τῶν Ἡρακλεωτίδων τὸ ἐξαίρετον ἔφερεν ἡ λεοντοφόρος ὀκτήρης. οὕτω κακῶς Ἀντίγονος τῷ στόλῳ πράξας εἰς τὴν Βοιωτίαν ἀνεχώρησε. Πτολεμαῖος δὲ ἐπὶ Μακεδονίαν διέβη, καὶ βεβαίως ἔσχε τὴν ἀρχήν. αὐτίκα γοῦν τὴν οἰκείαν μᾶλλον ἐκφαίνων σκαιότητα Ἀρσινόην μέν, ὡς πάτριον τοῦτο τοῖς Αἰγυπτίοις, τὴν ἀδελφὴν γαμεῖ, τοὺς ἐκ Λυσιμάχου δὲ παῖδας αὐτῇ γεγενημένους ἀναιρεῖ· μεθ᾽ οὓς κἀκείνην τῆς βασιλείας ἐξεκήρυξε. καὶ πολλὰ καὶ παράνομα ἐν δυσὶ διαπραξάμενος ἔτεσι, Γαλατικοῦ μέρους τῆς πατρίδος μετα- 573 H.
ναστάντος διὰ λιμόν, καὶ Μακεδονίαν καταλαβόντων καὶ εἰς μάχην αὐτῷ συναψάντων, ἀξίως τῆς ὠμότητος καταστρέφει τὸν βίον, διασπαραχθεὶς ὑπὸ τῶν Γαλατῶν· ζῶν γὰρ ἐλήφθη, τοῦ ἐλέφαντος, ἐν ᾧ ὠχεῖτο, τρωθέντος

a. 9. ἀνεκτότερον ς. 18. Ἡρακλῆς corr A: Ἡρακλεῖς ς. κάῤῥων] libri καρῶν. 29. μηδὲν A: μηδὲ ς. 38. κατὰ Rhodomannus: μετὰ ς. 42. Ἀντιγόνῳ] Ἀντιόχῳ Palmerius.
b. 7. τὴν] εἰς τὴν Hoeschelius. 9. ἐβελτίουν A: ἐπετέλουν ς. 21. καλ. ἡ μεγέθους ς. 23. ἕκαστον στοῖχον Palmerius, ἕκατον στοιχον A: ἑκατόστοιχον ς. 28. ἀγωνισαμένου ς. 38. διαναστάντος ς.

Digitized by Google

καὶ καταβαλόντος αὐτόν. Ἀντίγονος δὲ ὁ Δημητρίου ἡττηθεὶς τῷ ναυτικῷ, Πτολεμαίου ἀνῃρημένου τὴν Μακεδόνων λαμβάνει ἀρχήν.

Ὁ δὲ Σελεύκου Ἀντίοχος πολλοῖς πολέμοις, εἰ καὶ μόλις ϗ οὐδὲ πᾶσαν, ὅμως ἀνασωσάμενος τὴν πατρῴαν ἀρχήν, πέμπει στρατηγὸν Πατροκλέα σὺν ἐκστρατεύματι εἰς τὴν ἐπιτάδε τοῦ Ταύρου· ὁ δὲ Ἑρμογένην προσαιρεῖται, τὸ γένος Ἀσπένδιον, ὃς ἐπί τε πόλεις ἄλλας ϗ ἐπὶ τὴν Ἡράκλειαν ὥρμητο εἰσβαλεῖν. τῶν δὲ Ἡρακλεωτῶν πρὸς αὐτὸν πρεσβευσαμένων τῆς χώρας ἀναχωρεῖ ϗ φιλίαν συντίθεται, ἐπὶ τὴν Βιθυνίαν διὰ τῆς Φρυγίας τραπόμενος. ἐνεδρευθεὶς δὲ ὑπὸ τῶν Βιθυνῶν διεφθάρη τε αὐτὸς καὶ ἡ σὺν αὐτῷ στρατιά, ἀνδρὸς ἔργα τὸ καθ᾽ ἑαυτὸν εἰς πολεμίους ἐπιδειξάμενος. διὰ ταῦτα δὴ ἐπιστρατεύειν ἐγνωκότος Ἀντιόχου κατὰ Βιθυνῶν, ὁ τούτων βασιλεὺς Νικομήδης διαπρεσβεύεται πρὸς Ἡράκλειαν συμμαχίαν αἰτῶν, καὶ τυγχάνει τῆς σπουδῆς, ἐν ὁμοίοις καιροῖς καὶ χρείαις τὴν ἀμοιβὴν ὑποσχόμενος. ἐν τούτῳ δὲ Ἡρακλεῶται τήν τε Κίερον ϗ 720R. τὴν Τῖον ἀνεσώσαντο ϗ τὴν Θυνίδα γῆν, ″πολλὰ τῶν χρημάτων δαπανήσαντες· τὴν δὲ Ἄμαστριν (ἣν γὰρ ϗ αὐτὴ μετὰ τῶν ἄλλων ἀφῃρημένη) ϗ πολέμῳ ϗ χρήμασι βουληθέντες τέως ἀναλαβεῖν αὐτὴν οὐ κατώρθωσαν, τοῦ κατέχοντος αὐτὴν Εὐμένους Ἀριοβαρζάνῃ τῷ Μιθριδάτου παιδὶ προῖκα μᾶλλον παραδοῦναι ταύτην, ἢ παρέχουσι χρήματα τοῖς Ἡρακλεώταις, διὰ τὸ τῆς ὀργῆς ὑπαχθέντος ἀλόγιστον.

Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους ἐκδέχεται τοὺς Ἡρακλεώτας ὁ πρὸς Ζιποίτην τὸν Βιθυνὸν πόλεμος, ὃς τῆς Θυνιακῆς ἐπῆρχε Θρᾴκης. ἐν ᾧ πολέμῳ πολλοὶ τῶν Ἡρακλεωτῶν γενναίως ἀνδρισάμενοι κατεκόπησαν, ϗ νικᾷ μὲν κατὰ κράτος ὁ Ζιποίτης, συμμαχίδος δὲ δυνάμεως τοῖς Ἡρακλεώταις ἐπελθούσης φυγῇ τὴν νίκην καταισχύνει. οἱ δὲ ἡττημένοι τοὺς σφετέρους νεκροὺς ἀδεῶς ἀναλαβόντες καὶ καύσαντες, εἶτα καὶ πάντων κύριοι, περὶ ὧν ἦν ὁ πόλεμος, καταστάντες, ϗ τὰ ὀστᾶ τῶν ἀνῃρημένων ἀνακομίσαντες εἰς τὴν πόλιν, ἐπιφανῶς ἐν τῷ τῶν ἀριστέων ἔθαψαν μνήματι.

Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους Ἀντιόχῳ τῷ Σελεύκου ϗ Ἀντιγόνῳ τῷ Δημητρίου μεγάλων ἑκατέρωθεν στρατευμάτων ἀντιπαρατασσομένων κινεῖται ὁ πόλεμος, ϗ χρόνον συχνὸν κατέτριψε· συνεμάχει δὲ τῷ μὲν ὁ τῆς Βιθυνίας βασιλεὺς Νικομήδης, Ἀντιόχῳ δὲ πολλοὶ ἕτεροι. οὔπω δὲ συῤῥαγεὶς Ἀντίοχος Ἀντιγόνῳ τὸν πρὸς Νικομήδην χειρίζεται πόλεμον· ὁ δὲ Νικομήδης ἀλλαχόθεν τε δυνάμεις ἀθροίζει, ϗ συμμαχεῖν πρὸς Ἡρακλεώτας διαπρεσβευσάμενος τριήρεις ιγʹ ″συμ- 374H. μάχους λαμβάνει, καὶ λοιπὸν ἀντικαθίσταται τῷ τοῦ Ἀντιόχου στόλῳ. ἐπὶ χρόνον δέ τινα ἀντικαταστάντες ἀλλήλοις, οὐδέτεροι μάχης ἦρξαν, ἀλλ᾽ ἄπρακτοι διελύθησαν.

Ἐπεὶ δὲ Γαλάται πρὸς τὸ Βυζάντιον ἧκον καὶ τὴν πλείστην αὐτῆς ἐδῄωσαν, τῷ πολέμῳ ταπεινωθέντες οἱ ἐν Βυζαντίῳ πέμπουσι πρὸς τοὺς συμμάχους δεόμενοι ὠφελείας. καὶ παρέσχον μὲν πάντες ὡς εἶχον ἰσχύος, παρέσχον δὲ ϗ οἱ τῆς Ἡρακλείας (τοσοῦτον γὰρ ἡ πρεσβεία ᾔτει) χρυσοῦς τετρακισχιλίους. μετ᾽ οὐ πολὺ δὲ Νικομήδης τοὺς Γαλάτας, οἷς ἡ καταδρομὴ τῶν Βυζαντίων ἐγεγένητο, πολλάκις μὲν ἐπιχειρήσαντας τὴν Ἀσίαν περαιωθῆναι, τοσαυτάκις δὲ ἀποτυχόντας οὐκ ἀνεχομένων τὴν πρᾶξιν Βυζαντίων, ἐπὶ συνθήκαις ὅμως παρασκευάζει περαιωθῆναι. αἱ δὲ συνθῆκαι Νικομήδει μὲν ϗ τοῖς ἐκγόνοις ἀεὶ φίλα φρονεῖν τοὺς βαρβάρους, ϗ τῆς γνώμης τοῦ Νικομήδους χωρὶς μηδενὶ συμμαχεῖν τῶν πρὸς αὐτοὺς διαπρεσβευομένων, ἀλλ᾽ εἶναι φίλους μὲν τοῖς φίλοις πολεμίους δὲ τοῖς οὐ φιλοῦσι, συμμαχεῖν δὲ καὶ Βυζαντίοις, εἴ που δεήσοι, καὶ Τιανοῖς δὲ καὶ Ἡρακλεώταις ϗ Καλχηδονίοις ϗ Κιερανοῖς καί τισιν ἑτέροις ἐθνῶν ἄρχουσιν. ἐπὶ ταύταις μὲν ταῖς συνθήκαις Νικομήδης τὸ Γαλατικὸν πλῆθος εἰς Ἀσίαν διαβιβάζει· ὧν περιφανεῖς μὲν ἐπὶ τὸ ἄρχειν ιζʹ τὸν ἀριθμὸν ἦσαν, οἱ δὲ καὶ αὐτῶν τούτων προκεκριμένοι καὶ κορυφαῖοι Λεωννώριος ἦστην ϗ Λουτέριος. ″αὕτη τοί- 721R. νυν τῶν Γαλατῶν ἡ ἐπὶ τὴν Ἀσίαν διάβασις κατ᾽ ἀρχὰς μὲν ἐπὶ κακῷ τῶν οἰκητόρων προελθεῖν ἐνομίσθη, τὸ δὲ τέλος ἔδειξεν ἀποκριθὲν πρὸς τὸ συμφέρον· τῶν γὰρ βασιλέων τὴν τῶν πόλεων δημοκρατίαν ἀφελεῖν σπουδαζόντων αὐτοὶ μᾶλλον ταύτην ἐβεβαίουν, ἀντικαθιστάμενοι τοῖς ἐπιτιθεμένοις. Νικομήδης δὲ κατὰ Βιθυνῶν πρῶτον, συμμαχέντων αὐτῷ καὶ τῶν ἐξ Ἡρακλείας, τοὺς βαρβάρους ἐξοπλίσας, τῆς τε χώρας ἐκράτησε ϗ τοὺς ἐνοικοῦντας κατέκοψε, τὴν ἄλλην λείαν τῶν Γαλατῶν ἑαυτοῖς διανειμαμένων· οὗτοι δὲ πολλὴν ἐπελθόντες χώραν αὖθις ἀνεχώρησαν, καὶ τῆς αἱρεθείσης αὐτοῖς ἀπετέμοντο τὴν νῦν Γαλατίαν καλουμένην, εἰς

a 2. ἡττηθεὶς A: ἡττήθη ς. addendus articulus. 7. ἑρμογένης ς. 8. ἀσπένδιον A. 10. διαπρεσβευσαμένων ς. 14. πολέμους ς. 32. κατὰ A: ἀνὰ ς. b. 8. ἄπρακτοι A: ἀπαράδεκτοι ς. 28. ἐπὶ τὸ] immo ἐπὶ τῷ. 35. αὐτὴν ς.

τρεῖς μοίρας ταύτην διανειμάμαντες, καὶ τοὺς μὲν Τρωγμοὺς ὀνομάσαντες, τοὺς δὲ Τολοστοβογίους, τοὺς δὲ Τεκτοσάγας. ἐδείμαντο δὲ πόλεις Τρωγμοὶ μὲν Ἄγκυραν, Τολοστοβόγιοι δὲ Ταβίαν, Τεκτοσάγες δὲ Πισινοῦντα.

Ὁ δὲ Νικομήδης εἰς λαμπρὰν εὐδαιμονίαν ἀρθεὶς πόλιν ἑαυτῷ ὁμώνυμον ἀνεγείρει ἀντικρὺ Ἀστακοῦ. τὴν Ἀστακὸν δὲ Μεγαρέων ᾤκισαν ἄποικοι Ὀλυμπιάδος ἱσταμένης ιζ΄, Ἀστακὸν ἐπίκλην κατὰ χρησμὸν θέμενοι ἀπό τινος τῶν λεγομένων σπαρτῶν καὶ γηγενῶν τῶν ἀπογόνων τῶν ἐν Θήβαις, Ἀστακοῦ τὴν κλῆσιν, ἀνδρὸς γενναίου καὶ μεγαλόφρονος. αὕτη πολλὰς ἐπιθέσεις παρά τε τῶν ὁμορούντων ὑποστᾶσα καὶ πολέμοις πολλάκις
375 H. ἐκτρυχωθεῖσα, Ἀθηναίων αὐτὴν μετὰ Μεγαρέας ἐπῳκηκότων ἔληξέ τε τῶν συμφορῶν καὶ ἐπὶ μέγα δόξης καὶ ἰσχύος ἐγένετο, Δυδαλσοῦ τηνικαῦτα τὴν Βιθυνῶν ἀρχὴν ἔχοντος· οὗ τελευτήσαντος ἄρχει Βοτείρας, ζήσας ϛ΄ καὶ ο΄ ἔτη. τοῦτον διαδέχεται Βᾶς ὁ υἱός, ὃς καὶ Κάλαντον Ἀλεξάνδρου στρατηγόν, καίτοι γε λίαν παρεσκευασμένον πρὸς τὴν μάχην, κατηγωνίσατο, καὶ τῆς Βιθυνίας παρεσκεύασε τοὺς Μακεδόνας ἀποσχέσθαι. τούτου βίος μὲν ἐγεγόνει ἐτῶν α΄ καὶ ο΄, ὧν ἐβασίλευσε ν΄. οὗ παῖς, τῆς ἀρχῆς διάδοχος, Ζιποίτης, λαμπρὸς ἐν πολέμοις γεγονώς, καὶ τοὺς Λυσιμάχου στρατηγοὺς τὸν μὲν ἀνελών, τὸν δὲ ἐπὶ μήκιστον τῆς οἰκείας ἀπελάσας ἀρχῆς, ἀλλὰ καὶ αὐτοῦ Λυσιμάχου, εἶτα καὶ Ἀντιόχου τοῦ παιδὸς Σελεύκου ἐπικρατέστερος γεγονώς, τοῦ τε τῆς Ἀσίας βασιλεύοντος καὶ τοῦ Μακεδόνων, κτίζει πόλιν ὑπὸ τῷ Λυπερῷ ὄρει, τῇ αὐτοῦ κλήσει ἐπώνυμον. οὗτος βιοὺς μὲν ἔτη ϛ΄ καὶ ο΄, κρατήσας δὲ τῆς ἀρχῆς η΄ καὶ μ΄, καταλείπει παῖδας δ΄. τοῦτον ὁ πρεσβύτερος τῶν παίδων Νικομήδης διαδέχεται, τοῖς ἀδελφοῖς οὐκ ἀδελφὸς ἀλλὰ δήμιος γεγονώς. ἐκρατύνατο μέντοι καὶ οὗτος τὴν Βιθυνῶν ἀρχήν, μάλιστά γε τοὺς Γαλάτας ἐπὶ τὴν Ἀσίαν διαπεραιωθῆναι συναράμενος· καὶ πόλιν, ὡς προείρηται, τὴν αὐτοῦ προσηγορίαν ἀνέστησε φέρουσαν.

Οὐ πολλῷ δὲ ὕστερον χρόνῳ πόλεμος ἀνερράγη Βυζαντίοις πρὸς Καλατιανούς (ἄποικοι δὲ οὗτοι Ἡρακλεωτῶν ἦσαν) καὶ πρὸς Ἰστριανοὺς περὶ Τόμεως τοῦ ἐμπορίου, ὃ τοῖς Καλατιανοῖς ὅμορον ἦν, μονοπώλιον τοῦτο διανοουμένων κατασκευάσαι τῶν Καλατιανῶν. διεπρεσβεύοντο οὖν πρὸς Ἡρακλεώτας ἐπὶ συμμαχίαν ἑκάτεροι. οἱ δὲ πολεμικὴν μὲν ῥοπὴν οὐδετέρῳ ἔνεμον μέρει, διαλλακτηρίους δὲ ἄνδρας ἑκατέροις ἀπέστελλον, κἂν ἄπρακτος αὐτῶν ἡ σπουδὴ τότε γέγονε. πολλὰ δὲ 224 B.
οἱ τῆς Καλατίδος ὑπὸ τῶν πολεμίων παθόντες ὕστερον εἰς διαλύσεις ἦλθον, ἀπὸ ταύτης τῆς συμφορᾶς οὐκέτι σχεδὸν ἀναλαβεῖν αὑτοὺς δυνηθέντες.

Οὐ πολλοῦ δὲ πάνυ ῥυέντος χρόνου ὁ τῶν Βιθυνῶν βασιλεὺς Νικομήδης, ἐπεὶ ὁ μὲν ἐκ προτέρων αὐτῷ γάμων γεγονὼς παῖς Ζηΐλας φυγὰς ἦν πρὸς τὸν τῶν Ἀρμενίων βασιλέα ταῖς τῆς μητρυιᾶς Ἐταζέτας μηχαναῖς ἐλαθείς, οἱ δὲ ἐκ ταύτης αὐτῷ γεγονότες ἐνηπίαζον, πρὸς τῷ τελευτᾶν γεγονὼς κληρονόμους μὲν τοὺς ἐκ τῆς δευτέρας γυναικὸς γράφει παῖδας, ἐπιτρόπους δὲ Πτολεμαῖον καὶ Ἀντίγονον καὶ τὸν δῆμον τῶν Βυζαντίων καὶ δὴ καὶ τῶν Ἡρακλεωτῶν καὶ τὸν τῶν Κιανῶν ἐφίστησιν. ὁ μέντοι Ζηΐλας μετὰ δυνάμεως, ἣν αὐτῷ τῶν Γαλατῶν οἱ Τολοστοβόγιοι θάρσους ἐπλήρουν, ἐπὶ τὴν βασιλείαν κατῄει. Βιθυνοὶ δὲ τὴν ἀρχὴν σώζειν τοῖς νηπίοις σπουδάζοντες, τὴν μὲν τούτων μητέρα ἀδελφῷ συνοικίζουσι τῷ Νικομήδους, αὐτοὶ δὲ στράτευμα παρὰ τῶν εἰρημένων ἐπιτρόπων λαβόντες ὑπέμενον τὸν Ζηΐλαν. συχναῖς δὲ μάχαις καὶ μεταβολαῖς ἑκάτεροι ἀποχρησάμενοι τὸ τελευταῖον κατέστησαν ἐς 376 H.
διαλύσεις, Ἡρακλεωτῶν ἐν ταῖς μάχαις ἀριστευόντων κἂν ταῖς συμβάσεσι τὸ συμφέρον καταπραττομένων. διὸ Γαλάται ὡς ἐχθρὰν τὴν Ἡράκλειαν κατέδραμον ἕως Κάλλητος ποταμοῦ· καὶ πολλῆς κύριοι γεγονότες λείας οἴκαδε ἀνεχώρησαν.

Βυζαντίους δὲ Ἀντιόχου πολεμοῦντος τριήρεσι συνεμάχησαν μ΄ οἱ Ἡρακλεῶται, καὶ τὸν πόλεμον παρεσκεύασαν μέχρις ἀπειλῶν προκόψαι.

Συνέβη δὲ μετ' οὐ πολὺ ἐξ ἀνθρώπων Ἀροβαρζάνην γενέσθαι, παῖδα Μιθριδάτην καταλιπόντα καὶ ἐν διαφορᾷ πρὸς τοὺς Γαλάτας γεγονότα· δι' ἣν αἰτίαν καταφρονήσαντες τοῦ παιδὸς οὗτοι τὴν αὐτοῦ βασιλείαν ἐσίνοντο. καὶ ἀπορίας αὐτοὺς καταλαβούσης ἀνελάμβανον οἱ ἀπὸ τῆς Ἡρακλείας, σῖτον εἰς Ἀμισὸν πέμποντες, ἐξ ἧς ῥᾷον ἦν τοὺς τοῦ Μιθριδάτου σιτηγεῖν ἑαυτοῖς καὶ ἐξακεῖσθαι τὴν ἔνδειαν. διὰ ταῦτα πάλιν οἱ Γαλάται εἰς τὴν Ἡρακλεῶτιν ἔπεμψαν στράτευμα, καὶ ταύτην κατέτρεχον, μέχρις ἂν οἱ Ἡρακλεῶται διεπρεσβεύσαντο πρὸς αὐτούς. Νύμφις δὲ ἦν ὁ ἱστορικὸς ὁ κορυφαῖος τῶν πρέσβεων· ὃς τὸν μὲν στρατὸν ι τῷ

a. 7. libri ᾤκησαν. 9. τῶν post γηγενῶν om A. 17. Κάλαν τὸν Ἀλ. ς. 25. αὐτὸν λυσίμαχον corr A. 30. τούτων corr A. 41. συμμαχίᾳ Stephanus.
b. 11. τῷ A: τὰ ς. 29. κατεσκεύασαν ς. 36. ἀμησὸν ς.

Digitized by Google

κοινῷ χρυσοῖς πεντακισχιλίοις, τοὺς δὲ ἡγεμόνας ἰδίᾳ διακοσίοις ὑποθεραπεύσας τῆς χώρας ἀπαναστῆναι παρεσκεύασεν.

Πτολεμαῖος δὲ ὁ τῆς Αἰγύπτου βασιλεὺς εἰς ἄκρον εὐδαιμονίας ἀναβὰς λαμπροτάταις μὲν δωρεαῖς εὐεργετεῖν τὰς πόλεις προήγετο, ἔπεμψε δὲ καὶ τοῖς Ἡρακλεώταις ἀρτάβας πυροῦ πεντακοσίας, καὶ νεὼν αὐτοῖς Προκοννησίας πέτρας ἐν τῇ ἀκροπόλει Ἡράκλεος ἀνεδείματο.

Μέχρι τούτου φθάσας ὁ συγγραφεὺς εἰς τὴν τῶν Ῥωμαίων ἐπικράτειαν τὴν ἐκβολὴν ποιεῖται, ὅθεν τε γένους ἔφυσαν, καὶ τίνα τρόπον τῆς Ἰταλίας ἐνταῦθα κατῴκησαν, ὅσα τε εἰς τὴν τῆς Ῥώμης κτίσιν προὔλαβέ τε καὶ ἐπράχθη, καὶ τῶν ἐπαρξάντων αὐτῶν ἐπιτρέχων, καὶ πρὸς οὓς πολέμοις διηγωνίσαντο, καὶ τήν τε τῶν βασιλέων κατάστασιν καὶ τὴν εἰς ὑπάτους τῆς μοναρχίας μεταβολήν, ὅπως τε ὑπὸ Γαλατῶν Ῥωμαῖοι ἡττήθησαν, καὶ ἥλω ἂν ἡ πόλις, εἰ μὴ Κάμιλλος ἐπιβοηθήσας
725R. "τὴν πόλιν ἐῤῥύσατο. ὅπως τε ἐπὶ τὴν Ἀσίαν Ἀλεξάνδρῳ διαβαίνοντι, καὶ γράψαντι ἢ κρατεῖν, ἐὰν ἄρχειν δύνωνται, ἢ τοῖς κρείττοσιν ὑπείκειν, στέφανον χρυσοῦν ἀπὸ ἱκανῶν ταλάντων Ῥωμαῖοι ἐξέπεμψαν· καὶ ὡς πρὸς Ταραντίνους καὶ Πύῤῥον τὸν Ἠπειρώτην συμμαχοῦντα τούτοις ἐπολέμησαν, καὶ τὰ μὲν παθόντες τὰ δὲ κακῶς τοὺς πολεμίους διαθέμενοι Ταραντίνους μὲν ὑπηγάγοντο, Πύῤῥον δὲ τῶν τῆς Ἰταλίας ἀπήλασαν. ὅσα τε πρὸς Καρχηδονίους καὶ Ἀννίβαν Ῥωμαίοις ἐπράχθη, καὶ ὅσα πρὸς Ἴβηρας ἄλλοις τε καὶ Σκιπίωνι κατωρθώθη, καὶ ὡς παρὰ τῶν Ἰβήρων βασιλεὺς ψηφισθεὶς οὐκ ἐδέξατο, ὅπως τε καταπολεμηθεὶς ἔφυγεν Ἀννίβας. καὶ ὡς πέραν τοῦ Ἰονίου Ῥωμαῖοι διέβησαν· καὶ ὡς Περσεὺς ὁ Φιλίππου τὴν Μακεδόνων ἀρχὴν ἐκδεξάμενος, καὶ τὰς συνθήκας
7H. "τὰς πρὸς τὸν αὐτοῦ πατέρα Ῥωμαίοις γεγενημένας νεότητι κινῶν, κατεπολεμήθη, Παύλου τὸ κατ' αὐτὸν ἀναστήσαντος τρόπαιον· ὅπως τε πρὸς Ἀντίοχον τὸν Συρίας καὶ Κομαγήνης καὶ Ἰουδαίας βασιλέα δυσὶ μάχαις νικήσαντες τῆς Εὐρώπης ἐξέβαλον.

Τὰ μὲν οὖν περὶ τῆς Ῥωμαϊκῆς ἀρχῆς μέχρι τοῦδε διεισιν ὁ συγγραφεύς· ἀναλαβὼν δὲ γράφει ὅπως Ἡρακλεῶται, διαπρεσβευσάμενοι πρὸς τοὺς τῶν Ῥωμαίων στρατηγοὺς ἐπὶ τὴν Ἀσίαν διαβεβηκότας, ἀσμένως τε ἀπεδέχθησαν καὶ ἐπιστολῆς φιλοφρονέμενοι ἔτυχον, Ποπλίου Αἰμιλίου ταύτην ἀποστείλαντος, ἐν ᾗ φιλίαν τε πρὸς αὐτοὺς τῆς συγκλήτου βουλῆς ὑπισχνεῖτο, καὶ τὰ ἄλλα προνοίας τε καὶ ἐπιμελείας, ἐπειδάν τινος αὐτῶν δέοιντο, μηδεμιᾶς ὑστερεῖσθαι. ὕστερον δὲ καὶ πρὸς Κορνήλιον Σκιπίωνα τὸν τὴν Λιβύην Ῥωμαίοις κτησάμενον διαπέμπουσι πρεσβείαν, τὴν ὡμολογημένην φιλίαν ἐπικυροῦντες. μετὰ ταῦτα δὲ πάλιν πρὸς τὸν αὐτὸν διαπρεσβεύονται, διαλλάττειν πρὸς Ῥωμαίους ἀξιοῦντες τὸν βασιλέα Ἀντίοχον καὶ ψήφισμα πρὸς αὐτὸν ἔγραψαν, παραινοῦντες αὐτὸν τὴν πρὸς Ῥωμαίους διαλύσασθαι ἔχθραν. ὁ δὲ Κορνήλιος Σκιπίων ἀντεπιστέλλων τοῖς Ἡρακλεώταις ἐπιγράφει οὕτω „Σκιπίων στρατηγός, ἀνθύπατος Ῥωμαίων, Ἡρακλεωτῶν τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν", ἐν ταύτῃ τήν τε πρὸς αὐτοὺς εὔνοιαν ἐπιβεβαιῶν, καὶ ὡς διαλύσαιντο Ῥωμαῖοι τὴν πρὸς Ἀντίοχον μάχην. τὰ αὐτὰ δὲ Λευκίῳ Πόπλιος Κορνήλιος Σκιπίων ὁ ἀδελφὸς καὶ στρατηγὸς τοῦ ναυτικοῦ τοῖς Ἡρακλεώταις διαπρεσβευσαμένοις ἀντέγραψε. μετ' οὐ πολὺ δὲ πάλιν εἰς μάχην Ἀντίοχος Ῥωμαίοις κατέστη, καὶ ἀνὰ κράτος ἡττηθεὶς ἐπὶ συνθήκαις διελύσατο τὴν ἔχθραν, αἳ καὶ τῆς Ἀσίας αὐτὸν ἁπάσης ἀπεῖργον καὶ τοὺς ἐλέφαντας καὶ τῶν νηῶν συναφῃροῦντο τὸν στόλον, τῆς Κομμαγήνης αὐτῷ καὶ τῆς Ἰουδαίας εἰς ἀρχὴν ὑπολειπομένων. ἡ δὲ τῶν Ἡρακλεωτῶν πόλις πρὸς τοὺς ἐκπεμπομένους παρὰ τῶν Ῥωμαίων τῶν στρατηγῶν διαδόχους τὰ αὐτά τε διεπρεσβεύετο, καὶ ταῖς ὁμοίαις ἀντεδεξιοῦτο εὐνοίαις καὶ φιλοφρονήσεσι. καὶ τέλος συνθῆκαι προῆλθον Ῥωμαίοις τε καὶ Ἡρακλεώταις, μὴ φίλους εἶναι μόνον ἀλλὰ καὶ συμμάχους ἀλλήλοις, καθ' ὧν τε καὶ ὑπὲρ ὧν δεηθεῖεν ἑκάτεροι. "καὶ χαλκοῖ πίνακες δύο τὰς ὁμο- 728 R.
λογίας ἴσους καὶ ὁμοίας ἔφερον· ὧν ὁ μὲν παρὰ Ῥωμαίοις ἐν τῷ κατὰ τὸ Καπιτώλιον ἱερῷ τοῦ Διὸς καθηλώθη, ὁ δὲ κατὰ τὴν Ἡράκλειαν καὶ αὐτὸς ἐν τῷ τοῦ Διὸς ἱερῷ.

Ταῦτα διεξελθὼν ὁ συγγραφεὺς κατὰ τὸ ιγ' καὶ ιδ' τῆς ἱστορίας, εἰς τὴν ιε' εἰσβαλὼν διηγεῖται ὅπως Προυσίας ὁ Βιθυνῶν βασιλεύς, δραστήριος ὢν καὶ πολλὰ πράξας, μετὰ τῶν ἄλλων καὶ Κίερον πόλιν Ἡρακλεωτῶν οὖσαν ὑφ' ἑαυτὸν ἔθετο τῷ πολέμῳ, ἀντὶ Κίερου Προυσιάδα καλέσας, εἷλε δὲ καὶ "τὴν Τῖον, καὶ 378 a. H.
αὐτὴν ὑπήκοον αὐτοῖς οὖσαν, ὥστε ἐκ θαλάττης εἰς

a. 16. ἡττήθησαν] ἡττηθέντες A. 17. κάμηλος A. 22. πύρον A. 27. ὅσα A: ὅσα τε ς. 34. αὐτὸν] αὐτοῦ Scaliger. idem mox expungit πρὸς. 36. καὶ τῆς Ἰουδαίας ς. 38. τὰ A: ταῦτα ς. 42. φιλοφρόνου μὲν ἔτυχον ς. b. 9. ψηφ. προσαντέγραψαν ς. 11. διαλύεσθαι ς. 16. λευκίῳ A: Σελευκίῳ ς. 24. αὐτῷ H. Stephanus: libri αὐτῶν. 34. αὐτὸ ς.

θάλασσαν τὴν Ἡράκλειαν περιγράψαι. ἐφ᾽ αἷς κἀκείνην κραταιῶς ἐπολιόρκει, καὶ πολλοὺς μὲν τῶν πολιορκουμένων ἀπέκτεινεν, ἐγγὺς δ᾽ ἂν καὶ ἡ πόλις τοῦ ἁλῶναι κατέστη, εἰ μὴ ἐπὶ τῆς κλίμακος ἀναβαίνων Προυσίας λίθῳ βαλόντος ἑνὸς τῶν ἀπὸ τῆς ἐπάλξεως συνετρίβη τὸ σκέλος, καὶ τὴν πολιορκίαν τὸ πάθος διέλυσε· φοράδην γὰρ ὁ βληθεὶς, οὐκ ἄνευ ἀγῶνος, ὑπὸ τῶν Βιθυνῶν ἀνακομισθεὶς εἰς τὰ οἰκεῖα ἀνέστρεψε, κἀκεῖ βιοὺς ἔτη οὐ πολλά, καὶ χωλὸς καὶ ὢν καὶ καλούμενος, τὸν βίον κατέστρεψεν.

Οἱ δὲ ὑπὲρ τὸν Πόντον Γαλάται, οὔπω τῶν Ῥωμαίων εἰς τὴν Ἀσίαν διαβεβηκότων, πόθον ἔχοντες πεῖραν λαβεῖν τῆς θαλάσσης προελεῖν ἐπεχείρουν τὴν Ἡράκλειαν, καὶ οὐ χαλεπὸν ἐνόμιζον· πολὺ γὰρ τῆς παλαιᾶς ῥώμης ὑφεῖτο καὶ πρὸς τὸ καταφρονούμενον ὑπέρρει. στρατεύουσι δὴ κατ᾽ αὐτῆς ἁπάσαις ταῖς δυνάμεσιν, οὐδ᾽ αὐτῆς συμμάχων ἀμελούσης, ἀλλ᾽ εἰς ὅσα παρεῖχεν ὁ καιρὸς παρασκευαζομένης. ἐπολιορκεῖτο μὲν οὖν αὐτή, καὶ χρόνος ἐτρίβετο, ὃς τοὺς Γαλάτας εἰς ἔνδειαν τῶν ἀναγκαίων συνήλαυνε· θυμῷ γὰρ καὶ οὐ παρασκευῇ τῇ δεούσῃ Γαλάτης ἀνὴρ τὸν πόλεμον διαφέρειν οἶδε. πρὸς οὖν συλλογὴν τῶν ἐπιτηδείων τὸ στρατόπεδον ἀπολελοιπότων, ἐκδραμόντες οἱ τῆς πόλεως καὶ ἀδοκήτοις ἐπιπεσόντες αὐτό τε εἷλον καὶ πολλοὺς ἀνεῖλον καὶ τοὺς ἐπὶ τῆς χώρας σκεδασθέντας οὐ χαλεπῶς συνελάμβανον, ὡς μηδὲ τὴν τρίτην μοῖραν τοῦ Γαλατικοῦ στρατεύματος εἰς Γαλατίαν ἀναστρέψαι. ἐκ δὲ τοῦ κατορθώματος πάλιν εἰς τὴν προτέραν εὔκλειαν καὶ εὐδαιμονίαν ἐλπίδας ἐλάμβανον ἀναβῆναι.

Ῥωμαίοις δὲ πρὸς Μάρσους τε καὶ Πελιγνοὺς καὶ Μαρουκίνους (ἔθνη δέ εἰσι ταῦτα ὑπὲρ Λιβύης κατῳκημένα, Γαδείρων ὅμορα) δυσί τε τριήρεσι καταφράκτοις Ἡρακλεῶται συνεμάχησαν, καὶ συγκατορθώσαντες τὸν πόλεμον καὶ πολλῶν ἀριστείων ἀξιωθέντες ια´ ἔτει πρὸς τὴν πατρίδα ἀνεκομίσθησαν.

Μετὰ ταῦτα δὲ ὁ πρὸς Ῥωμαίους βαρὺς Μιθριδάτῃ τῷ Πόντου βασιλεῖ συνέστη πόλεμος, φαινομένην λαβὼν αἰτίαν τὴν τῆς Καππαδοκίας κατάληψιν· ταύτης γὰρ δι᾽ ἀπάτης καὶ ὅρκων συμβατηρίων τὸν ἀδελφιδοῦν Ἀράθην συλλαβὼν ὁ Μιθριδάτης, αὐτοχειρίᾳ ἀποσφάξας, ἐκράτησε· παῖς δὲ ὁ Ἀράθης ἐκ τῆς ἀδελφῆς τοῦ Μιθριδάτου Ἀριαράθῳ γεγένητο. φονικώτατος δ᾽ ἐκ παιδὸς ὁ Μιθριδάτης ἦν· τὴν γὰρ ἀρχὴν τρισκαιδεκαέτης παραλαβὼν μετ᾽ οὐ πολὺ τὴν μητέρα, κοινωνὸν αὐτῷ παρὰ τοῦ πατρὸς τῆς βασιλείας καταλειφθεῖσαν, δεσμωτηρίῳ καταχὼν βίᾳ καὶ χρόνῳ ἐξανάλωσε, 729 B καὶ τὸν ἀδελφὸν ἀπέκτεινε. κατεστρέψατο δὲ πολέμῳ καὶ τοὺς περὶ τὸν Φᾶσιν βασιλεῖς ἕως τῶν κλιμάτων τῶν ὑπὲρ τὸν Καύκασον, καὶ τὴν ἀρχὴν ηὔξησε, καὶ ἐπὶ μέγα ἀλαζονείας ἐξώγκωτο. δι᾽ ἃ μᾶλλον Ῥωμαῖοι τὴν αὐτοῦ διάνοιαν ὕποπτον ποιούμενοι, τοῖς Σκυθῶν βασιλεῦσι 378 b. H. ἐψηφίσαντο τὰς πατρῴας αὐτῶν ἀρχὰς ἀποκαταστῆσαι. ὁ δὲ μετρίως μὲν τοῖς προσαττομένοις ὑπήκουε, συμμάχους δὲ Πάρθους καὶ Μήδους καὶ Τιγράνην Ἀρμένιον καὶ τοὺς Σκυθικοὺς βασιλεῖς καὶ τὸν Ἴβηρα προσηταιρίζετο. προσετίθει δὲ καὶ ἑτέρας τοῦ πολέμου αἰτίας· τῆς γὰρ ἐν τῇ Ῥώμῃ συγκλήτου Νικομήδην τὸν ἐκ Νικομήδους καὶ Νύσης βασιλέα Βιθυνίας καθιστώσης, Μιθριδάτης τὸν Χρηστὸν ἐπικληθέντα Νικομήδην ἀντεκαθίστη· ἐπεκράτει δ᾽ ὅμως ἡ Ῥωμαίων κρίσις καὶ ἄκοντος Μιθριδάτου. ὕστερον δὲ Σύλλα καὶ Μαρίου περὶ τὴν Ῥωμαϊκὴν πολιτείαν ἀναρριπισάντων τὴν στάσιν, τέσσαρας μυριάδας πεζῶν καὶ μυρίους ἱππέας Ἀρχελάῳ τῷ στρατηγῷ παραδοὺς ὁ Μιθριδάτης κατὰ Βιθυνῶν ἐκέλευσε στρατεύειν. καὶ κρατεῖ τῆς μάχης συμβαλὼν Ἀρχέλαος, φεύγει δὲ καὶ Νικομήδης μετ᾽ ὀλίγων. ταῦτα μαθὼν Μιθριδάτης παραγεγονότος αὐτῷ καὶ τοῦ συμμαχικοῦ, ἄρας ἀπὸ τοῦ πρὸς τῇ Ἀμασείᾳ πεδίου διὰ τῆς Παφλαγονίας ᾔει, πεντεκαίδεκα μυριάδας στρατὸν ἐπαγόμενος. Μάνιος δὲ τῶν ἀμφὶ Νικομήδην συστρατευομένων αὐτῷ μόνῃ τῇ τοῦ Μιθριδάτου φήμῃ διασκεδασθέντων, μετὰ Ῥωμαίων ὀλίγων ἀντιπαρατάσσεται Μηνοφάνει τῷ Μιθριδάτου στρατηγῷ, καὶ τραπεὶς φεύγει, πᾶσαν τὴν δύναμιν ἀποβαλών. ἐμβαλὼν δὲ σὺν ἀδείᾳ Μιθριδάτης εἰς τὴν Βιθυνίαν τάς τε πόλεις καὶ τὴν χώραν ἀμαχὶ κατέσχε· καὶ τῶν ἄλλων δὲ πόλεων τῶν κατὰ τὴν Ἀσίαν αἱ μὲν ἡλίσκοντο αἱ δὲ προσεχώρουν τῷ βασιλεῖ, καὶ μεταβολὴ τῶν ὅλων ἀθρόα καθίστατο, Ῥοδίων μόνον τὴν πρὸς Ῥωμαίους στεργόντων φιλίαν. δι᾽ ἣν κατ᾽ αὐτῶν Μιθριδάτης καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐκίνει τὸν πόλεμον, εἰ καὶ τὸ πλέον Ῥόδιοι ἔσχον, ὡς καὶ αὐτὸν Μιθριδάτην ναυμαχοῦντα ἐγγὺς τοῦ ἁλῶναι ἐλθεῖν. μετὰ δὲ ταῦτα μαθὼν Μι-

a. 7. γὰρ καὶ ὁ ς. 10. μετέστρεψεν ς. 24. καὶ ἀδοκήτοις A: ἀδοκήτως ς. 29. εὔκλειαν A: εὐλάβειαν ς. 31. πελιγνοὺς καὶ μαρρουκίνους A. 33. τε τριήρεσι] τετρήρεσι Stephanus.

b. 5. ἐξηνάλωσε ς. 16. τὸν om A. 18. τὸν — Νικομήδην] Σωκράτην τὸν — Νικομήδει Palmerius. 22. μυρίας ς. 29. Μάριος ς. 35. ἀμαχεὶ ς.

θριδάτης ὡς οἱ κατὰ τὰς πόλεις σποράδες Ῥωμαῖοι τῶν παρ' αὐτοῦ διανοουμένων ἐμποδὼν ἵσταντο, γράφει πρὸς πάσας ὑπὸ μίαν ἡμέραν τοὺς παρ' αὐταῖς Ῥωμαίους φονεύειν. καὶ πολλοὶ πεισθέντες τοσοῦτον φόνον εἰργάσαντο, ὡς μυριάδας ὀκτὼ ἐν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ τὸν διὰ ξίφους ὄλεθρον ὑποστῆναι. Ἐρετρίας δὲ καὶ Χαλκίδος καὶ ὅλης Εὐβοίας τοῖς τοῦ Μιθριδάτου προσθεμένων, καὶ ἄλλων πόλεων αὐτῷ προσχωρούντων, καὶ μὴν καὶ Λακεδαιμονίων ἡττηθέντων, Σύλλαν ἐκπέμπουσιν οἱ Ῥωμαῖοι, ἱκανὴν αὐτῷ συνεκπέμψαντες στρατιάν. ὁ δὲ παραγεγονὼς τῶν πόλεων τὰς μὲν ἑκουσιότητι μεταβαλλομένας τὰς δὲ καὶ βίᾳ κατέσχεν, οὐκ ὀλίγον στράτευμα τῶν Ποντικῶν μάχῃ τρεψάμενος. εἷλε δὲ καὶ τὰς Ἀθήνας· καὶ κατέσκαπτο ἂν ἡ πόλις, εἰ μὴ θᾶττον ἡ σύγκλητος Ῥωμαίων τὴν τοῦ Σύλλα γνώμην ἀνέκοψε. συχνῶν δὲ παρατάξεων συνισταμένων, ἐν αἷς τὸ πλεῖον εἶχον οἱ Ποντικοί, καὶ συμμεταβαλλομένων τῶν πραγμάτων τοῖς κατορθουμένοις, ἔνδεια
732R. τοῖς βασιλικοῖς τῆς διαίτης ἐπέστη, "ἀσώτως τε πρὸς
369H. ταύτην "διακειμένοις καὶ ταμιεύειν τὰ κτηθέντα μὴ ἐπισταμένοις. καὶ εἰς συμφορῶν ἂν ἐξέπεσον τὴν ἐσχάτην, εἰ μὴ Ταξίλλης Ἀμφίπολιν ἑλών, καὶ διὰ ταῦτα τῆς Μακεδονίας πρὸς αὐτὸν μεταβαλλομένης, ἐκεῖθεν τὴν ἀφθονίαν ἐχορήγησε τῶν ἐπιτηδείων. οὗτος δὲ καὶ Ἀρχέλαος συμμίξαντες τὰ στρατεύματα ὑπὲρ τὰς ἓξ μυριάδας τὸ πλῆθος ἦγον. καὶ στρατοπεδεύονται κατὰ τὴν Φωκίδα χώραν, ὑπαντιάσοντες τῷ Σύλλᾳ. ὁ δὲ καὶ Λεύκιον Ὁρτήνσιον ὑπὲρ τὰς ἓξ χιλιάδας ἄγοντα ἐξ Ἰταλίας συμπαραλαβών, ἀπὸ συχνοῦ διαστήματος ἀντεστρατοπεδεύετο. ἐπὶ σιτολογίαν δὲ παρὰ τὸ πρέπον τῶν περὶ τὸν Ἀρχέλαον τραπέντων, ἀπροόπτως Σύλλας ἐπιτίθεται τῷ τῶν πολεμίων στρατοπέδῳ, καὶ τοὺς μὲν εὐρώστους τῶν ἁλόντων αὐτίκα κτείνει, ἐξ ὧν δὲ φόβον ἐπιθέσεως οὐκ εἶχε, τούτους περιίστησι τῷ χωρίῳ καὶ πυρὰ κελεύει καίειν, ὡς τοὺς ἀπὸ τῆς σιτολογίας ἀφικνουμένους δέχοιντο μηδεμίαν ὑπόνοιαν παρεχόμενοι τοῦ πάθους· καὶ συνέβη ὡς ἐστρατηγήθη, καὶ λαμπρὰν τὴν νίκην ἔσχον οἱ περὶ τὸν Σύλλαν.

Χίους δὲ ὡς Ῥοδίοις συμμαχήσαντας αἰτιασάμενος ὁ Μιθριδάτης, κατ' αὐτῶν Δορύλαον ἐκπέμπει, ὅς, οὐ καὶ πολλῷ πόνῳ, τὴν πόλιν κατέσχε, καὶ τὴν μὲν χώραν κατένειμε τοῖς Ποντικοῖς, τοὺς δὲ πολίτας πλοίοις ἐμβαλὼν διέφερεν ἐπὶ τὸν Πόντον. Ἡρακλεῶται δέ, ἐπεὶ φιλία αὐτοῖς πρὸς Χίους ἦν, ἐν τῷ παράπλῳ τὰς Ποντικὰς νῆας, αἳ τοὺς αἰχμαλώτους ἦγον, ἐφορμήσαντες αὐταῖς οὐδ' ἀνθισταμέναις (οὐδὲ γὰρ ἐξήρκουν) κατῆγον ἐπὶ τὴν πόλιν. καὶ παραυτίκα τὰ πρὸς τὴν χρείαν χορηγοῦντες ἀφθόνως τοῖς Χιώταις τούτους ἀνελάμβανον, καὶ ὕστερον μεγαλοπρεπῶς δωρησάμενοι ἐν τῇ πατρίδι ἀποκατέστησαν.

Ἡ δὲ σύγκλητος Φλάκκον Οὐαλέριον καὶ Φιμβρίαν πέμπει πολεμεῖν Μιθριδάτῃ, ἐπιτρέψασα καὶ Σύλλᾳ συλλαμβάνειν τῷ πολέμῳ, ὅμοια φρονοῦντι τῇ συγκλήτῳ· εἰ δὲ μή, τὴν πρὸς αὐτὸν πρότερον συνάψαι μάχην. οὗτος κατ' ἀρχὰς μὲν ποικίλαις ἐπάλαιε συμφοραῖς (λιμόν τε γὰρ καὶ τὰ ἀπὸ τῆς μάχης πταίσματα ἔσχε), κατώρθωσε μέντοι τὰ πλείω· διὰ δὲ Βυζαντίων ἐπὶ Βιθυνίαν διαβαλών, κἀκεῖθεν ἐπὶ Νίκαιαν, τῆς πορείας ἔστη. ὡσαύτως δὲ καὶ Φιμβρίας ἅμα τοῖς σὺν αὐτῷ διεπεραιώθη. Φλάκκου δὲ δυσχεραίνοντος ὅτι Φιμβρίαν μᾶλλον, ἅτε δὴ φιλανθρώπως ἄρχοντα, τὸ πλῆθος [ἄρχειν] ἠγάπα, καὶ διαλοιδορουμένου αὐτῷ τε καὶ τῶν στρατιωτῶν τοῖς ἐπιφανεστέροις, δύο τῶν ἄλλων πλέον εἰς ὀργὴν ἐξαφθέντες ἀποσφάττουσιν αὐτόν. ἐφ' οἷς ἡ σύγκλητος κατὰ Φιμβρίου ἠγανάκτησεν. ὅμως οὖν τὴν ἀγανάκτησιν κρύπτουσα ὑπατείαν αὐτῷ ψηφισθῆναι διεπράξατο. ὁ δέ, πάσης γεγονὼς ἡγεμὼν τῆς δυνάμεως, τὰς μὲν ἑκούσας τὰς δὲ καὶ βιαζόμενος τῶν πόλεων προσήγετο. ὁ δὲ τοῦ Μιθριδάτου υἱός, Ταξίλλην καὶ Διόφαντον καὶ Μένανδρον τοὺς ἀρίστους τῶν στρατηγῶν ἔχων μεθ' ἑαυτοῦ καὶ πολλὴν ἄγων δύναμιν, τῷ Φιμβρίᾳ ὑπηντίαζε. τὰ μὲν "οὖν πρῶτα τὸ ἐπικρατέστερον 380H. οἱ βάρβαροι ἔφερον· Φιμβρίας δὲ ἀνασώσασθαι στρατηγήματι τὰς ἐκ παρατάξεως ἐλαττώσεις διανοούμενος (τὸ γὰρ πολέμιον ὑπερεῖχε πλήθει), ὡς ἐπί τινα ποταμὸν τῶν μαχομένων ἑκατέρα δύναμις ἧκε "καὶ 733R.
μέσον ἀμφοῖν τοῦτον ἐποιήσαντο, ὄμβρου περὶ τὸν ὄρθρον ῥαγέντος ἀπροσδόκητος ὁ τῶν Ῥωμαίων στρατηγὸς διαβαίνει τὸν ποταμόν, καὶ ὕπνῳ τῶν πολεμίων ἐν ταῖς σκηναῖς κατεχομένων ἐπιπεσὼν μηδ' αἰσθανομένους κατέκτεινεν, ὀλίγων τῶν ἐν ἡγεμονίαις διαπεφευγότων τὸν ὄλεθρον καὶ τῶν ἱππέων. μεθ' ὧν καὶ Μιθριδάτης ὁ Μιθριδάτου, καὶ πρὸς τὸ Πέργαμον πρὸς τὸν πατέρα Μιθριδάτην ἅμα τοῖς συνεξιππασα-

a. 9. σύλαν A. 20. κτισθέντα ς. 25. τὸ στράτευμα ς. 26. πλῆθος A τὸ πλεῖον ς. 28. λουκίνσιον ὀρτίνσιον A, λουβίσιον ὀρτίσιον ς. correxit Scaliger. χιλιάδας A: μυριάδας ς.
b. 11. τοῦ πολέμου Schaeferus. 31. ἀνασῶσαι ς. 35. τὸν om A. 36. ἀπροσδοκήτως ς.

μένοις διασώζεται. οὕτω δὲ βαρείας τῆς συμφορᾶς καὶ λαμπρᾶς τοῖς βασιλικοῖς συμπεσούσης, αἱ πλεῖσται τῶν πόλεων πρὸς τοὺς Ῥωμαίους μετέθεντο.

Μαρίου δὲ ἀπὸ τῆς φυγῆς ἀνασωθέντος εἰς τὴν Ῥώμην, Σύλλας δεδιώς (τῶν ἀντιστασιωτῶν γὰρ ἦν ἐκεῖνος) μὴ τῇ ὁμοίᾳ φυγῇ τὴν εἰς αὐτὸν ὕβριν ἀπαιτήσῃ, πρὸς Μιθριδάτην διεπρεσβεύετο, συμβάσεις αὐτῷ τὰς πρὸς Ῥωμαίους ὑποβαλλόμενος. τοῦ δὲ καὶ ταῖς συμβάσεσιν ἀσμενίσαντος, ἀφικέσθαι τε ἐπὶ ταύταις αἰτήσαντος, αὐτὸς προθύμως ἐστέλλετο. οὕτω γοῦν τῶν ἀνα μεταξὺ ἀλλήλων προεληλυθότων, Δάρδανον αὐτοὺς ἐπὶ ταῖς συνθήκαις ὑποδέχεται, καὶ τῶν περὶ αὐτοὺς ὑποχωρησάντων ὁμολογίαι γίνονται, Μιθριδάτην μὲν Ῥωμαίοις ἐκχωρεῖν τῆς Ἀσίας, καὶ Βιθυνῶν δὲ καὶ Καππαδοκίας ἄρχειν τοὺς ἐκ γένους βασιλέας, βεβαιωθῆναι δὲ Μιθριδάτῃ τοῦ Πόντου παντὸς τὴν βασιλείαν, παρασχεῖν δ' ἰδίως Σύλλᾳ τριήρεις π' καὶ τάλαντα τρισχίλια πρὸς τὴν ἰδίαν ἐπὶ τὴν Ῥώμην κάθοδον, καὶ Ῥωμαίους μηδὲν ταῖς πόλεσι μνησικακῆσαι ἀνθ' ὧν μετέβαλον εἰς Μιθριδάτην, εἰ καὶ μὴ κατὰ τὰς ὁμολογίας τοῦτο συνέβη· πολλὰς γὰρ ὕστερον τῶν πόλεων ἐδουλώσαντο. Σύλλας μὲν οὖν οὕτω λαμπρῶς εἰς τὴν Ἰταλίαν ἀφίκετο, καὶ Μάριος αὖθις τῆς πόλεως ὑπεχώρησε, καὶ Μιθριδάτης ἀνέστρεψεν οἴκαδε, πολλὰ τῶν διὰ τὴν ἐν ᾗ κατηνέχθη συμφορὰν ἀποστάντων ἐθνῶν ἐξ ὑπαρχῆς χειρωσάμενος.

Παρὰ τῆς συγκλήτου δὲ Μουρήνας ἡγεμὼν πέμπεται, καὶ Μιθριδάτης διαπρεσβεύεται πρὸς αὐτόν, τὰς πρὸς Σύλλαν ὁμολογίας ἅμα τε προτείνων καὶ βεβαίους ἀξιῶν εἶναι. ὁ δὲ μὴ θέμενος τῇ πρεσβείᾳ (καὶ γὰρ καὶ οἱ πρέσβεις, Ἕλληνες ὄντες καὶ τὸν βίον φιλόσοφοι, τὸν Μιθριδάτην μᾶλλον διέσυρον ἢ συνίστων) ὥρμητο ἐπὶ τὸν Μιθριδάτην. καὶ τῷ τε Καππαδοκίας Ἀριοβαρζάνῃ τὴν ἀρχὴν βεβαιοτέραν ἐποίει, καὶ ἐπὶ ταῖς εἰσβολαῖς τῆς Μιθριδάτου βασιλείας κτίζει πόλιν Ἐξίνειαν. ἐν τούτοις ὅ τε Μουρήνας καὶ ὁ Μιθριδάτης διαπρεσβεύονται πρὸς Ἡρακλεώτας, ἀνὰ μέρος ἑκάτερος κατὰ τοῦ ἑτέρου καλῶν ἐπὶ συμμαχίᾳ. τῶν μὲν οὖν Ῥωμαίων τὴν ἰσχὺν φοβερὰν ἡγοῦντο, ὠρρώδουν δὲ καὶ τὴν 581 H. γειτνίασιν τοῦ Μιθριδάτου. διὸ ἀποκρίνονται τοῖς παρ' αὐτῶν πρέσβεσιν ὡς τοσούτων πολέμων ἀναρραγέντων μόλις ἂν τὴν ἰδίαν τηρεῖν δύνασθαι, μήτι γε ἑτέροις ἐπικουρεῖν. ἀλλὰ γὰρ Μουρήνᾳ μὲν συνεβούλευον οὐκ ὀλίγοι πρὸς τὴν Σινώπην ὁρμᾶν καὶ περὶ τοῦ βασιλείου κινεῖν τὸν πόλεμον, ὡς εἰ ταύτην ἕλοι, τῶν λοιπῶν κρατήσει ῥᾳδίως· ὁ δὲ Μιθριδάτης πολλῇ δυνάμει κατασφαλισάμενος ταύτην εἰς αὐτοπρόσωπον πόλεμον καθειστήκει. καὶ πείραις μὲν ταῖς κατ' ἀρχὰς ἐπικρατέστερα ἦν τὰ τοῦ βασιλέως· εἶτα εἰς ἀγχώμαλον ἡ μάχη συνεστράφη, καὶ εἰς ὄκνον ἡ μάχη τὸ πρόθυμον περιέστησε τῶν πολεμίων. διὸ καὶ Μιθριδάτης μὲν εἰς τὰ περὶ 736R τὸν Φᾶσιν καὶ τὸν Καύκασον ἐτράπετο, Μουρήνας δὲ ἀπῆρεν εἰς τὴν Ἀσίαν, καὶ τὰ οἰκεῖα ἕκαστος διετίθει.

Μετ' οὐ πολὺν δὲ χρόνον Σύλλας ἐν Ῥώμῃ τελευτᾷ, καὶ πέμπουσιν ἡ σύγκλητος ἐπὶ μὲν τὴν Βιθυνίαν Αὐρήλιον Κότταν, ἐπὶ δὲ τὴν Ἀσίαν Λεύκιον Λεύκολλον, οἷς ἡ ἐντολὴ πολεμεῖν Μιθριδάτῃ. Μιθριδάτης δὲ ἄλλον τε στρατὸν συχνὸν παρεσκευάζετο, καὶ τριήρεις μὲν υ', τῶν δὲ μικροτέρων νηῶν πεντηκοντέρων τε καὶ κερκούρων ἀριθμὸς ἦν οὐκ ὀλίγος. Διοφάντῳ δὲ τῷ Μιθάρῳ δύναμιν δοὺς πέμπει πρὸς τὴν Καππαδοκίαν, φρουρὰς ταῖς πόλεσιν ἐγκαθιστάναι, εἰ δὲ Λεύκολλος εἰς τὸν Πόντον ἀφίκοιτο, ὑπαντιάζειν καὶ τῆς πρόσω πορείας ἀπείργειν. αὐτὸς δὲ μεθ' ἑαυτοῦ πεζὸν μὲν στρατὸν ἦγε ιε' μυριάδας, ἱππεῖς δὲ δισχιλίους ἐπὶ τοῖς μυρίοις. ἅρματά τε δρεπανηφόρα συνεπῆγεν κ' καὶ ρ', καὶ πᾶσαν ἄλλην μηχανοποιὸν οὐκ ἐνδέουσαν πληθύν. ἠπείγετο δὲ διὰ τῆς Τιμωνιτίδος Παφλαγονίας εἰς τὴν Γαλατίαν, καὶ ἐναταῖος εἰς τὴν Βιθυνίαν ἀφικνεῖται. Λεύκολλος δὲ Κότταν μὲν ἐφορμεῖν κελεύει τῷ Καλχηδονίων λιμένι παντὶ τῷ ναυτικῷ· τὸ δὲ Μιθριδάτου ναυτικὸν παραπλέον τὴν Ἡράκλειαν παρ' αὐτῆς οὐκ ἐδέχθη, ἀλλ' ἀγορὰν μὲν αἰτησαμένων παρέσχον. οἷα δὲ εἰκός, ἐπιμιξίας γενομένης Ἀρχέλαος ὁ τοῦ ναυτικοῦ στρατηγὸς συνέλαβε Σιληνὸν καὶ Σάτυρον ἐπιφανεῖς τῆς Ἡρακλείας ἄνδρας, καὶ οὐκ ἀνῆκεν ἕως ἂν ἔπεισε λαβεῖν πέντε τριήρεις συμμαχίδας εἰς τὸν κατὰ τῶν Ῥωμαίων πόλεμον. καὶ ἀπὸ ταύτης τῆς πράξεως (ὅπερ καὶ Ἀρχέλαος ἐμηχανᾶτο) τὴν Ῥωμαίων ἀπέχθειαν ὁ Ἡρακλεώτης δῆμος ἐκτήσατο. δημοσιωνίας δὲ τῶν Ῥωμαίων ἐν ταῖς ἄλλαις πόλεσι καθιστώντων, καὶ τὴν Ἡράκλειαν διὰ τὴν εἰρημένην αἰτίαν ταύταις ὑπέβαλλον. οἱ δὲ δημοσιῶναι πρὸς τὴν πόλιν ἀφικόμενοι παρὰ τὰ ἔθη τῆς πολιτείας καὶ ἀργύριον ἀπαιτοῦντες

a. 6. ἀποτίσῃ Scaliger. 7. αὐτῷ add A. 11. αὐτοὺς corr A: αὐτοῖς ς. 14. καὶ ante Βιθυνῶν abundare censet Scaliger. 25. κατηνέχθησαν ς. 29. ἅμα τε A: ἅτε ς. cf. p. 185 a 15. 206 a 42. 208 b 18. 35. ἐκβολαῖς ς. 40. ἀπεκρίνοντο ς. b. 17. libri πεντηκοντήρων. 18. Μιθάρου vel Μιθάρεω Scaliger. 23. δισχιλίους A: δύο ς. 33. σιλῖνον A.

τοὺς πολίτας ἐλύπουν, ἀρχήν τινα δουλείας τοῦτο νομίζοντας. οἱ δέ, διαπρεσβεύσασθαι δέον πρὸς τὴν σύγκλητον ὥστε τῆς δημοσιωνίας ἀπολυθῆναι, ἀναπεισθέντες ὑπό τινος θρασυτάτου τῶν ἐν τῇ πόλει τοὺς τελώνας ἀφανεῖς ἐποίησαν, ὡς καὶ τὸν θάνατον αὐτῶν ἀγνοεῖσθαι.

Πολέμου δὲ ναυτικοῦ κατὰ Καλχηδόνα πόλιν Ῥωμαίοις τε καὶ Ποντικοῖς συστάντος, καὶ πεζῆς δὲ δυνάμεως τῆς τε βασιλικῆς καὶ τῆς Ῥωμαϊκῆς εἰς μάχην ἀλλήλαις 382 (373) H. συρραγείσης (ἐστρατήγει δὲ τῆς μὲν Κόττας, τῆς δὲ Μιθριδάτης) τρέπουσιν οἱ Βαστέρναι κατὰ τὸ πεζὸν τοὺς Ἰταλούς, καὶ πολὺν αὐτῶν φόνον εἰργάσαντο. τὰ αὐτὰ δὲ καὶ περὶ τὰς ναῦς ἐγένετο, καὶ ὑπὸ μίαν ἡμέραν γῇ τε καὶ θαλάσσῃ τοῖς Ῥωμαίων διελελύμαστο σώμασι, διαφθαρέντων ἐν μὲν τῇ ναυμαχίᾳ ὀκτακισχιλίων, τετρακισχιλίων δὲ καὶ πεντακοσίων ἑαλωκότων· τοῦ δὲ πεζοῦ στρατεύματος Ἰταλοὶ μὲν τριακόσιοι καὶ πεντακισχίλιοι, τῶν δὲ Μιθριδατείων Βαστέρναι μὲν περὶ τριάκοντα, τοῦ δὲ λοιποῦ πλήθους ἑπτακόσιοι. οὕτως ἀρθέντα τὰ Μιθριδάτου πάντων τὸ φρόνημα κατέδουλου. Λεύκολλος δὲ ἐπὶ τοῦ Σαγγαρίου ποταμοῦ στρατοπεδεύων, καὶ μαθὼν τὸ πάθος, λόγοις ἀνελάμβανεν ἀθυμήσαντας τοὺς στρατιώτας.

737 R. Τρεπομένου δὲ ἐπὶ Κύζικον σὺν μεγάλῳ φρονήματι Μιθριδάτου, καὶ πολιορκεῖν τὴν πόλιν βουλομένου, Λεύκολλος ἐπακολουθήσας καὶ συμβαλὼν πολέμῳ νικᾷ τοὺς Ποντικοὺς ἀνὰ κράτος, βραχεῖ μὲν πλείους μυριάδος ἀνελών, τρισχιλίους δὲ καὶ μυρίους λαβὼν αἰχμαλώτους. τὸ δὲ Φιμβριανῶν στράτευμα ὑπόπτως ἔχον ὡς διὰ τὸ περὶ Φλάκκον τόλμημα οὐκ ἂν αὐτοὺς ἔτι νομίσειαν οἱ ἡγεμόνες εὔνους, ἔπεμπον κρύφα πρὸς Μιθριδάτην αὐτομολίαν ὑπισχνούμενοι. ὁ δὲ ἕρμαιον τὴν πρόσκλησιν ἡγησάμενος, ὡς νὺξ ἐπέλαβεν, Ἀρχέλαον πέμπει βεβαιῶσαί τε τὰς ὁμολογίας καὶ τοὺς προσχωρήσαντας ἄγειν. οἱ δὲ Φιμβριανοί, ἐπεὶ τούτοις Ἀρχέλαος παρεγένετο, αὐτὸν μὲν συνέλαβον, τοὺς δὲ σὺν αὐτῷ διεχειρίσαντο. ἐπὶ τούτῳ τῷ τοῦ βασιλέως ἀτυχήματι καὶ λιμὸς ἐπιπίπτει αὐτοῦ τῇ στρατιᾷ, καὶ πολλοὺς ἀπώλλυε. πλὴν οὕτω πολλοῖς παθήμασι κάμνων Κυζίκου τῆς πολιορκίας τέως οὐκ ἀφίστατο· μετ' ὀλίγον δὲ πολλὰ καὶ παθὼν καὶ πράξας, ὅμως ἀνάλωτον λιπὼν τὴν πόλιν ἀνεχώρησε, τοῦ μὲν πεζοῦ Ἑρμαῖον καὶ Μάριον ἡγεῖσθαι καταστησάμενος, στρατὸν ὑπὲρ τρισμυρίους ἄγοντας, αὐτὸς δὲ διὰ θαλάσσης ποιούμενος τὴν ἀνάζευξιν. ἐπιβαίνοντος δὲ αὐτοῦ τῶν τριήρων πολλαὶ παθῶν ἰδέαι συνέπιπτον· οἱ γὰρ ἐμβαίνειν μέλλοντες εἰς αὐτὰς τὰς μὲν ἤδη πεπληρωμένας τὰς δὲ καὶ μελλούσας κατεῖχον ἐξαρτώμενοι, καὶ παρὰ τὸ πλῆθος τῶν τοῦτο δρώντων αἱ μὲν κατεδύοντο αἱ δὲ περιεστρέποντο. τοῦτο Κυζικηνοὶ θεασάμενοι ὥρμησαν ἐπὶ τὰ τῶν Ποντικῶν στρατόπεδα, καὶ τοὺς ὑπολειφθέντας καματηροὺς διαφθείροντες, εἴ τι παρῆν ὑπολελειμμένον τῷ στρατοπέδῳ, διήρπαζον. Λεύκολλος δὲ διώξας ἐπὶ τὸν Αἴσηπον ποταμὸν τὸ πεζὸν ἀπροσδόκητος καταλαμβάνει, καὶ φόνον πολὺν τῶν πολεμίων ποιεῖται. Μιθριδάτης δὲ ἀναλαβὼν ἑαυτὸν ὡς ἠδύνατο, Πέρινθον ἐπολιόρκει, ταύτης δὲ διαμαρτὼν ἐπὶ Βιθυνίαν διαπεραιοῦται.

Ἐπεὶ δὲ καὶ Βάρβας συχνοὺς Ἰταλῶν ἐπάγων ἧκε, καὶ μὴν καὶ Τριάριος ὁ Ῥωμαίων ἡγεμὼν ἀνασκευασάμενος τῇ Ἀπαμείᾳ πολιορκεῖν ἐπέστη, οἱ Ἀπαμεῖς ἀντισχόντες ὅσα ἠδύναντο, τέλος ἀνοίξαντες τὰς πύλας 383 H. τούτους εἰσεδέξαντο. εἷλον δὲ καὶ Προῦσαν τὴν πόλιν ἡ Ῥωμαίων δύναμις· ὑπὸ δὲ τὸν Ἀσιανὸν Ὄλυμπον διέκειτο αὐτή. ἐκεῖθεν ὁ Τριάριος ἐπὶ Προυσιάδα τὴν ἐπιθαλάσσιον μετὰ τῆς δυνάμεως παραγίνεται· αὕτη δὲ Κίερος τὸ παλαιὸν ἐκαλεῖτο, ἐν ᾗ καὶ ἡ τῆς Ἀργοῦς ἄφιξις λέγεται καὶ ὁ τοῦ Ὕλα ἀφανισμὸς καὶ ἡ τοῦ Ἡρακλέος ἐπὶ τὴν τούτου ἀναζήτησιν πλάνη καὶ πολλὰ τοιαῦτα ἕτερα. παραγεγονότα δὲ ῥᾳδίως οἱ Προυσαεῖς ἐδέξαντο, τοὺς Ποντικοὺς διωσάμενοι. ἐκεῖθεν ἐπὶ Νίκαιαν φρουρουμένην Μιθριδατείῳ φρουρᾷ παραγίνεται· οἱ δὲ Ποντικοὶ τὸν νοῦν τῶν ἐν Νικαίᾳ συνιδόντες ἐπὶ Ῥωμαίους ἀποκλίνοντα, διὰ νυκτὸς πρὸς Μιθριδάτην εἰς Νικομήδειαν ἀνεχώρησαν, καὶ Ῥωμαῖοι ἀταλαιπώρως κρατοῦσι τῆς πόλεως. αὕτη δὲ ἡ πόλις ἡ Νίκαια τὴν μὲν κλῆσιν ἄγει ἀπὸ ναΐδος νύμφης, ὄνομα λαχούσης τὴν Νίκαιαν, ἔργον δὲ γεγονὸς Νικαέων τῶν μετὰ Ἀλεξάνδρου μὲν συστρατευσάντων, μετὰ δὲ τὸν ἐκείνου θάνατον κατὰ ζήτησιν πατρίδος ταύτην τε κτισάντων καὶ συνοικισαμένων. ἣ μὲν οὖν 740 R. ναῒς ἡ Νίκαια λέγεται φῦναι Σαγγαρίου τοῦ κατὰ τὴν χώραν δυνάστου καὶ Κυβέλης· παρθενίαν δὲ μᾶλλον ἢ

a. 15. τετρακισχ. δὲ A: καὶ τετρακισχ. ς. 20. et b. 40. σαγαρίου libri. 26. βραχὺ ς. 28. φαμβριανῶν A: φαβριανῶν ς. 32. πρόσκλησιν A: κλῆσιν ς. Stephanus πρόσκλισιν. ἐπέλαβεν Schaeferus: libri ἐπέβαλεν. cf. p. R. 1181, 3 et 1345, 32. b. 11. διήρπαζον A: διέφθειρον ς. 12. αἴσιπον A: αἴσιππον ς. 13. ἀπροσδοκήτως ς. 23. διέκειτο] ἔκειτο Schaeferus. 25. Κίερος] Κίος Palmerius. cf. Wesseling. ad Itinerar. Vet. p. 694. 28. προυσιεῖς Vales. Emend. 2, 2. 32. διὰ τῆς νυκτὸς ς. 36. γεγονὸς] γέγονε Stephanus.



Digitized by Google

τὴν πρὸς ἄνδρα ποθοῦσα ὁμιλίαν, ἐν ὄρεσι καὶ θήραις τὸν βίον ἔσχε. ταύτης δὲ Διόνυσος μὲν ἤρα, ἐρῶν δὲ οὐκ ἐτύγχανε. μὴ τυγχάνων δὲ μηχαναῖς τὸ λεῖπον τῇ γνώμῃ ἀναπληροῦν ἐπεχείρει. πληροῖ τοίνυν τὴν κρήνην, ἀφ' ἧς εἴωθεν ἡ Νίκαια πίνειν ἐπειδὰν ἀπὸ τῆς θήρας κοπωθείη, ἀντὶ τοῦ ὕδατος οἴνου. ἡ δὲ μηδὲν συνειδυῖα καὶ τὸ εἰωθὸς ποιοῦσα ἐμφορεῖταί τε τοῦ ἐπιβούλου νάματος, καὶ ὑπηρετεῖ καὶ ἄκουσα τῷ βουλήματι τοῦ ἐραστοῦ· μέθης γὰρ αὐτὴν καὶ ὕπνου λαβόντων ὅ τε Διόνυσος αὐτῇ ἐπιμίγνυται, καὶ παῖδας ἐξ αὐτῆς φύει Σάτυρόν τε καὶ ἑτέρους. οἱ δὲ Νικαεῖς, οἳ τὴν πόλιν ἤγειραν καὶ συνῴκισαν, Νίκαιαν εἶχον πατρίδα Φωκίδος γείτονα· πρὸς ἣν καὶ πολλάκις στασιάσαντες ὑπ' αὐτῆς ἐκείνης ὕστερον τὴν πατρίδα ἀφῃρέθησαν, καταστροφὴν ταύτης καὶ ἀφανισμὸν τῶν ἐν τῇ Φωκίδι πολλῇ σπουδῇ καταπραξαμένων. ἀλλ' ἡ μὲν Νίκαια οὕτω τε τὴν κλῆσιν καὶ τὴν οἰκοδομὴν ἔσχε, καὶ οὕτω προσεχώρησε Ῥωμαίοις.

Μιθριδάτης δὲ ἐν τῇ Νικομηδείᾳ διέτριβε. Κόττας δὲ βουλόμενός τι τῶν προδιημαρτημένων ἀναλαβεῖν ἧκεν ἀπὸ Καλχηδόνος, ἐν ᾧ ἥττητο, πρὸς τὴν Νικομήδειαν, καὶ στρατοπεδεύει ν' καὶ ρ' σταδίων τῆς πόλεως ἄποθεν, τὴν συμβολὴν τῆς μάχης ὑπευλαβούμενος. καταλαμβάνει δὲ Κότταν σπουδῇ πολλῇ αὐτόκλητος ὁ Τριάριος, καὶ Μιθριδάτου ὑποχωρήσαντος εἰς τὴν πόλιν ἑκατέρωθεν ταύτην πολιορκεῖν τὸ Ῥωμαϊκὸν παρεσκευάζετο στράτευμα. ἐπεὶ δὲ ὁ βασιλεὺς ἐπυνθάνετο δυσὶ ναυμαχίαις, τῇ μὲν περὶ Τένεδον τῇ δὲ κατὰ τὸν Αἴγαιον, Λευκόλλου πολεμοῦντος τοὺς Ποντικοὺς νενικῆσθαι, καὶ οὐκ ἀξιόμαχον αὐτὸν πρὸς τὴν 384 H. παροῦσαν δύναμιν Ῥωμαίων ἡγεῖτο, τὴν ἐπίβασιν τῷ στόλῳ εἰς τὸν ποταμὸν ἀνέπλει, καὶ σφοδρῷ χειμῶνι περιπεσὼν τινὰς μὲν τῶν τριήρων ἀποβάλλει, αὐτὸς δὲ μετὰ τῶν πλειόνων εἰς τὸν Ὕπιον ποταμὸν κατηνέχθη. ἐκεῖ δὲ διὰ τὸν χειμῶνα διατρίβων Λάμαχον τὸν Ἡρακλεώτην, φιλίαν ἔχων πρὸς αὐτὸν παλαιάν, μαθὼν ἄρχειν τῆς πολιτείας, πολλαῖς ὑποσχέσεσιν εἷλκεν ὥστε παρασκευάσαι αὐτὸν ἐν τῇ πόλει παραδεχθῆναι. ἔπεμπε δὲ καὶ χρήματα. ὁ δὲ ἀντεδίδου τὴν αἴτησιν, καὶ δημοθοινίαν ἔξω τῆς πόλεως λαμπροτάτην παρασκευασάμενος τοῖς πολίταις, καὶ ταύτῃ μηδὲ τὰς πύλας ἔχειν παρεγγυησάμενος κεκλεισμένας, μεθύσας τε τὸν δῆμον, ἐκ συνθήματος κατὰ τὴν αὐτὴν ἡμέραν ἐφεστάναι λάθρα προπαρασκευάζει τὸν Μιθριδάτην. καὶ οὕτως ἡ πόλις, μηδὲ τὴν ἄφιξιν αἰσθομένων τῶν Ἡρακλεωτῶν, ὑπὸ χεῖρα Μιθριδάτῃ γίνεται. τῇ ἐπαύριον δὲ συγκαλέσας τὸ πλῆθος ὁ βασιλεύς, καὶ φιλίοις δεξιωσάμενος λόγοις, καὶ τὴν εὔνοιαν πρὸς αὐτὸν παραινέσας σώζειν, τετρακισχιλίους τε φρουροὺς ἐγκαταστήσας καὶ φρούραρχον Κοννακόρηκα, προφάσει τοῦ, εἰ Ῥωμαῖοι βουληθεῖεν ἐπιβουλεύειν, τῆς πόλεως ἐκείνους ὑπερμαχεῖν καὶ σωτῆρας εἶναι τῶν ἐνοικούντων, εἶτα δὲ καὶ χρήματα διανείμας τοῖς ἐν αὐτῇ, μάλιστα δὲ τοῖς ἐν τέλει, ἐπὶ τῆς Σινώπης ἐξέπλευσεν.

Λεύκολλος δὲ καὶ Κόττας καὶ Ὀτριάριος, οἱ Ῥωμαίων αὐτοκράτορες στρατηγοί, ἐπὶ τῆς Νικομηδείας καθ' ἓν γενόμενοι ὥρμηντο εἰς τὸν Πόντον ἐμβαλεῖν· ἐπεὶ δὲ αὐτοῖς ἡ τῆς Ἡρακλείας κατάληψις ἠγγέλθη, 741 R. ἡ δὲ προδοσία οὐκ ἐγνώσθη ἀλλὰ τῆς πόλεως ὅλης ἡ ἀπόστασις ἐνομίσθη, Λεύκολλον μὲν ἐδόκει μετὰ τῆς πλείστης δυνάμεως εἰς τὴν Καππαδοκίαν διὰ τῆς μεσογείου χωρεῖν ἐπί τε Μιθριδάτην καὶ τὴν πᾶσαν βασιλείαν, Κότταν δὲ ἐπὶ Ἡρακλείας, Ὀτριάριον δὲ τὸ ναυτικὸν ἀναλαβόντα περὶ τὸν Ἑλλήσποντον καὶ τὴν Προποντίδα τὰς ἐπὶ Κρήτην καὶ Ἰβηρίαν ἀπεσταλμένας Μιθριδατείους ναῦς ὑποστρεφούσας λοχᾶν. Μιθριδάτης δὲ ταῦτα ἀκούων παρεσκευάζετο, καὶ διεπρεσβεύετο πρός τε τοὺς Σκυθῶν βασιλεῖς καὶ πρὸς τὸν Πάρθον καὶ πρὸς τὸν γαμβρὸν αὐτοῦ Τιγράνην τὸν Ἀρμένιον. ἀλλ' οἱ μὲν ἀπεῖπον, Τιγράνης δὲ ὑπὸ τῆς Μιθριδάτου θυγατρὸς πολλάκις ἐνοχληθεὶς καὶ ἀναβαλλόμενος ὅμως ὑπέστη τὴν συμμαχίαν. καὶ Μιθριδάτης διαφόρους πέμπων κατὰ Λευκόλλου στρατηγούς, καὶ τῆς συμπλοκῆς ἐπιγενομένης πολύτροποι μὲν συνέβαινον αἱ μεταβολαί, ἐν τοῖς πλείστοις δὲ τὰ Ῥωμαίων ὅμως κατώρθου. ἠθύμει μὲν ὁ βασιλεύς· ἀθροίσας δ' οὖν πεζῶν μὲν δ' μυριάδας ἱππεῖς δὲ ὀκτακισχιλίους, ἐξέπεμψε Διόφαντον καὶ Ταξίλλην ἐπὶ τοῖς προαπεσταλμένοις. τῶν δὲ τοῖς προλαβοῦσι συναφθέντων κατ' ἀρχὰς μὲν ἀκροβολισμοῖς ἀλλήλων οἱ πολέμιοι καθ' ἑκάστην σχεδὸν ἀπεπειρῶντο, εἶτα ἱππομαχίαι συνέστησαν β', ὧν τὴν μὲν ἐνίκων οἱ Ῥωμαῖοι, τὴν δευτέραν δὲ οἱ 385 H. Ποντικοί. τριβομένου δὲ τοῦ πολέμου Λεύκολλος ἀγορὰν

a. 2. ἴσχε A: κατέσχε ς. 5. εἰώθει Schaeferus. 7. πιοῦσα ς. 20. βουλ. τε τῶν διημαρτημένων ς. 21. Καρχηδόνος libri. 25. ὁ add A. 31. ἐπίβασιν —ποταμὸν] fortasse leg. ἐπὶ Φᾶσιν — Πόντον. et Πόντον video etiam Palmerio placuisse. 36. φιλίαν — μαθὼν A: τὴν φιλίαν — καὶ μαθὼν ς. 41. καὶ] κἂν Stephanus.
b. 2. παρασκευάζει ς. 33. πολύτροποι] ἐπεὶ πολύτροπος Stephanus. 34. τὰ τῶν ῥωμαίων ς.

Digitized by Google

ἄξοντας εἰς Καππαδοκίαν ἐκπέμπει, καὶ μαθὼν Ταξίλλης καὶ Διόφαντος πεζοὺς ἐκπέμπουσι τετρακισχιλίους καὶ ἱππεῖς δισχιλίους, ἐφ᾽ ᾧ ἐπιθέμενοι ἀφαιρήσονται τοὺς ἀποκομίζοντας τὰς ἀγοράς. καὶ συμβαλόντων ἀλλήλοις ἐπικρατέστεροι γεγόνασιν οἱ Ῥωμαῖοι· πέμψαντος δὲ Λευκόλλου βοήθειαν τοῖς οἰκείοις, τροπὴ γίνεται βαρβάρων περιφανής. ϗ τῇ φυγῇ τούτων ἡ Ῥωμαίων δύναμις ὁδηγουμένη ἐπὶ τὸ στρατόπεδον τὸ περὶ Διόφαντον καὶ Ταξίλλην ἧκον, ϗ καρτερᾶς πρὸς αὐτοὺς τῆς μάχης γενομένης ἐπ᾽ ὀλίγον μὲν ἀντέχον οἱ Ποντικοί, εἶτα τῶν στρατηγῶν πρῶτον ἀποχωρούντων πάντες ἐνέκλιναν. καὶ Μιθριδάτῃ τοῦ πταίσματος οἱ στρατηγοὶ αὐτάγγελοι παρεγένοντο, καὶ πολὺ πλῆθος τότε τῶν βαρβάρων ἀπώλετο.

Οὕτω Μιθριδάτῃ τῶν πραγμάτων περιφανῶς ἀποκεκλιμένων τῶν τε βασιλίδων γυναικῶν ἡ ἀναίρεσις ἐπεποίητο, ϗ φεύγειν ἐκ τῶν Καβήρων αὐτός, ἐν οἷς διέτριβε, λάθρᾳ τῶν ἄλλων ὑπηκόων ὁρμὴ γέγονε. ϗ ἥλω ἂν ἐν τῇ φυγῇ τῶν Γαλατῶν ἐπιδιωκόντων, καίπερ τὸν φεύγοντα ἀγνοούντων, εἰ μὴ περιτυχόντες ἡμιόνῳ χρυσὸν καὶ ἄργυρον τῶν Μιθριδατείων χρημάτων φερούσῃ περὶ τὴν ἁρπαγὴν τούτων ἐσχόλασαν. ϗ αὐτὸς εἰς Ἀρμενίαν διασώζεται.

Λεύκολλος δὲ ἐπὶ μὲν τὸν Μιθριδάτην Μάρκον Πομπήϊον ἡγεμόνα ἐξέπεμψεν, αὐτὸς δὲ ἐπὶ Καβήρων μεθ᾽ ὅλης ἠπείγετο τῆς δυνάμεως, ϗ τὴν πόλιν περικαθισάμενος σφᾶς αὐτοὺς παραδεδωκότας τοὺς βαρβάρους ὑποσπόνδους ἔσχε καὶ τῶν τειχῶν ἐκυρίευσεν. ἐκεῖθεν δὲ πρὸς τὴν Ἀμισὸν παραγεγονώς, καὶ λόγοις παραινῶν τοὺς ἐν αὐτῇ Ῥωμαίοις προσχωρεῖν, ἐπεὶ οὐκ ἔπειθε, ταύτην λιπὼν εἰς τὴν Εὐπατορίαν μεθίστη τὴν
H. πολιορκίαν. ϗ ῥαθύμως καταγωνίζεσθαι ταύτης προσεποιεῖτο, ὡς ἂν ϗ τοὺς πολεμίους εἰς ὅμοιον ῥαθυμίας ζῆλον ἐκκαλεσάμενος ἐξ αἰφνιδίου μεταβολῆς κατορθώσῃ τὸ μελετώμενον. ὃ καὶ γέγονε, καὶ τὴν πόλιν οὕτως εἷλε τῷ στρατηγήματι· ἄφνω γὰρ κλίμακας ἁρπάσαι κελεύσας τοὺς στρατιώτας, τῶν φυλάκων οὐδὲν τοιοῦτον προσδεδοκηκότων, ἀλλ᾽ ἐν ὀλιγωρίᾳ διακειμένων, διὰ τῶν κλιμάκων τὸ τεῖχος ὑπερβαίνειν τοὺς στρατιώτας ἐπέτρεψε, ϗ οὕτως ἥλω Εὐπατορία, ϗ αὐτίκα κατέσκαπτο. μετ᾽ ὀλίγον δὲ ϗ Ἀμισὸς ἑάλω, διὰ τῶν κλιμάκων ϗ αὐτῆς ὁμοίως τῶν πολεμίων ἐπιβάντων τοῖς τείχεσι. καὶ κατ᾽ ἀρχὰς μὲν φόνος τῶν πολιτῶν οὐκ ὀλίγος γέγονεν, ὕστερον δὲ τὸν ὄλεθρον Λεύκολλος ἐπέσχε, καὶ τὴν πόλιν αὐτοῖς καὶ τὴν χώραν τοῖς διασωθεῖσιν ἀπεκατέστησε, καὶ οἰκειότερον ἐχρῆτο.

Μιθριδάτης δὲ πρὸς τὸν γαμβρὸν παραγεγονώς, καὶ συνουσίας τυχεῖν ἀξιῶν, ταύτης μὲν οὐ τυγχάνει, φρουρὰν δὲ τοῦ σώματος παρ᾽ αὐτοῦ λαμβάνει καὶ τῆς ἄλλης δεξιώσεως μετεῖχεν. ἔπεμψε δὲ ϗ Λεύκολλος 386 H.
πρὸς Τιγράνην πρεσβευτὴν Ἄπιον Κλώδιον, Μιθριδάτην ἐξαιτῶν. ὁ δὲ οὐκ ἔδωκε, φήσας τὴν ὑπὸ πάντων ἀνθρώπων, εἰ τῆς γαμετῆς πατέρα προδοίη, διευλαβεῖσθαι μομφήν· ἀλλὰ μοχθηρὸς μὲν ὡς εἴη Μιθριδάτης ϗ αὐτὸν εἰδέναι, δυσωπεῖσθαι δὲ τὴν ἐπικηδείαν. γράφει δὲ ϗ ἐπιστολὴν πρὸς Λεύκολλον τοὺς εἰρημένους λόγους ἔχουσαν, ἥτις παρώξυνε τὸν δεξάμενον· οὐ γὰρ ἐνέγραψεν αὐτὸν αὐτοκράτορα, ἐγκαλῶν ὅτι μηδὲ αὐτὸς ἐκεῖνον κατὰ τὰς ἐπιστολὰς βασιλέα βασιλέων προσηγόρευσεν. Ἐνταῦθα μὲν ϗ ἡ πεντεκαιδεκάτη καταλήγει ἱστορία.

Ἱστορία δὲ ἡ ἐφεξῆς τάδε ἀφηγεῖται. ἀναλαβὼν Κόττας τὰ Ῥωμαϊκὰ στρατεύματα κατὰ τῆς Ἡρακλείας ἐχώρει. ἀλλὰ πρῶτος μὲν ἐπὶ Προυσιάδος ἦγεν (ἡ δὲ Προυσιὰς πρὶν μὲν ἀπὸ τοῦ παραῤῥέοντος αὐτὴν ποταμοῦ Κίερος ἐκαλεῖτο· ὁ δὲ τῆς Βιθυνίας βασιλεὺς τῶν Ἡρακλεωτῶν ταύτην ἀφελόμενος ἐξ ἑαυτοῦ μετωνόμασεν), ἐντεῦθεν δὲ ἐπὶ τὴν Ποντικὴν κατῆλθε θάλασσαν, ϗ παρελθὼν τὴν παραλίαν τοῖς κατὰ κορυφὴν τείχεσι τὸ στράτευμα περιέστησεν. ἐθάῤῥουν μὲν τῇ τοῦ χωρίου οἱ Ἡρακλεῶται ὀχυρότητι, καὶ καρτερῶς τοῦ Κόττα πολιορκοῦντος σὺν τοῖς φρουροῖς ἀντεμάχοντο· καὶ φόνος ἦν τοῦ Ῥωμαϊκοῦ πλήθους πλέον, τραύματα δὲ πολλὰ τῶν Ἡρακλεωτῶν ἐκ τῶν βελῶν. Κόττας οὖν ἀνακαλεῖται τῆς τειχομαχίας τὸ στράτευμα, ϗ μικρὸν στρατοπεδεύων ἄποθεν ὅλον ἔτρεπε τὸν σκοπὸν εἰς τὸ τὰς ἐπὶ ταῖς χρείαις ἐξόδους εἴργειν τῶν πολιορκουμένων. σπανιζόντων δὲ τῇ πόλει τῶν ἐπιτηδείων πρεσβεία πρὸς τοὺς ἀποίκους ἐξεπέμπετο, τροφῆς δι᾽ ὠνῆς αἰτοῦσα χορηγίαν· οἱ δὲ τῇ πρεσβείᾳ ἠσμένιζον.

Προ βραχέος δὲ Ὀτριάριος τὸν Ῥωμαϊκὸν στόλον ἔχων ὥρμησεν ἀπὸ Νικομηδείας ἐπὶ τὰς Ποντικὰς τριήρεις, ἃς προεῖπεν ὁ λόγος περί τε Κρήτην ϗ Ἰβηρίαν ἐξαποσταλῆναι. μαθὼν δὲ τὰς ὑπολοίπους ἐς τὸν Πόντον ἀνακεχωρηκέναι (πολλαὶ γὰρ αὐτῶν ϗ χειμῶνι ϗ ταῖς κατὰ μέρος ναυμαχίαις εἰς διαφθορὰν ἔδυσαν)

a. 4. συμβαλλόντων ς. 8. ὁδηγουμένη Α: βοηθουμένη ς. 10. γεγενημένης ς. 33. τοὺς add Α. b. 2. διαθεῖσιν ἀποκατέστησε ς. 10. προδοίη Α: δοίη ς. 22. παραῤῥ. τὴν αὐτὴν ς. 25. δὲ om Α. 37. οἱ Α: ἡ ς. 38. βραχέως ς.



Digitized by Google

καταλαμβάνει τε ταύτας, καὶ τὴν μάχην περὶ τὴν Τένεδον συγκροτεῖ, ὁ μὲν ἔχων τριήρεις αὐτός, τῶν δὲ
745 R. Ποντικῶν ἀγόντων βραχὺ δεούσας τῶν π'. ἐπεὶ δὲ συνέστη ὁ πόλεμος, κατ' ἀρχὰς μὲν ἀντεῖχον οἱ τοῦ βασιλέως, ὕστερον δὲ τροπῆς αὐτῶν λαμπρᾶς γενομένης τὸ Ῥωμαίων ἀνὰ κράτος ἐνίκησε στράτευμα, καὶ οὕτως ἅπας ὁ Μιθριδάτειος στόλος, ὅσος ἐπὶ τὴν Ἀσίαν αὐτῷ συνεξέπλευσεν, ἑάλω.

Κόττας δὲ παρὰ τὴν Ἡράκλειαν στρατοπεδεύων ὅλῳ μὲν οὐ προσέβαλε τῇ πολιορκίᾳ τέως τῷ στρατῷ, κατὰ μέρος δὲ προσῆγεν, ἐνίους μὲν τῶν Ῥωμαίων, πολλοὺς δὲ προβαλλόμενος τῶν Βιθυνῶν. πολλῶν δὲ καὶ τιτρωσκομένων καὶ ἀναιρουμένων μηχανὰς ἐπενόει, ὧν ἐδόκει τοῖς πολιορκουμένοις ἡ χελώνη φοβερωτέρα. ἐπάγει οὖν ταύτην ὅλην τὴν δύναμιν συγκινήσας πύργῳ
387 H. τινὶ ὑπόπτως ἔχοντι πρὸς τὸ παθεῖν· ὡς δὲ ἅπαξ καὶ δεύτερον πληγεὶς οὐ μόνον παρὰ δόξαν διεκαρτέρει, ἀλλὰ καὶ ὁ κριὸς τῆς ἄλλης ἐμβολῆς προαπεκλάσθη, εὐθυμίαν μὲν τοῖς Ἡρακλεώταις, ἀγωνίαν δὲ παρεῖχε Κόττᾳ διαταράττουσαν αὐτόν, ὡς οὐκ ἂν ἡ πόλις αἱρεθείη ποτέ. τῇ ὑστεραίᾳ δ' οὖν πάλιν ἐπαγαγὼν τὴν μηχανὴν καὶ μηδὲν ἀνύσας κατακαίει μὲν τὸ μηχάνημα, ἀποτέμνει δὲ καὶ τὰς τῶν μηχανοποιῶν κεφαλάς, καὶ φρουρὰν τοῖς τείχεσι καταλιπὼν μετὰ τοῦ λοιποῦ πλήθους εἰς τὸ καλούμενον πεδίον Λύκαιαν διέτριβεν, ἀφθονίαν ἔχοντος τῶν ἐπιτηδείων τοῦ χωρίου. κἀκεῖθεν τὴν περὶ τὴν Ἡράκλειαν χώραν ἅπασαν ἐδῄου, εἰς πολλὴν ἀμηχανίαν τοὺς πολίτας συνελαύνων. διεπρεσβεύετο οὖν πάλιν πρός τε τοὺς ἐν Σκυθίᾳ Χερρονησίτας καὶ Θεοδοσιανοὺς καὶ τοὺς περὶ τὸν Βόσπορον δυνάστας ὑπὲρ συμμαχίας· καὶ ἡ πρεσβεία ἀνέστρεφεν ἄπρακτος. τῶν δὲ πολεμίων ἐπικειμένων τῇ πόλει, οὐ πολὺ ἔλαττον αὐτῇ τὰ λυποῦντα ἔνδον ἐπετίθετο· οὐ γὰρ ἤρκουν οἱ φρουροὶ οἷς διέζη τὸ δημοτικόν, τύπτοντες δὲ τοὺς πολίτας χορηγεῖν ἃ μὴ ῥᾷον ἦν αὐτοῖς ἐξ ἀνάγκης ἐκέλευον. καὶ τῶν φρουρῶν ἔτι μᾶλλον ἦν χαλεπώτερος ὁ ἐφεστηκὼς αὐτῶν Κοννακόριξ, οὐκ ἀπείργων ἀλλ' ἐπιτρέπων τοῖς ὑπὸ χεῖρα τὴν βίαν.

Τεμὼν δὲ τὴν χώραν ὁ Κόττας πάλιν προσβάλλει τοῖς τείχεσιν· ἀθύμους δὲ τοὺς στρατιώτας πρὸς πολιορκίαν ὁρῶν ἀπάγει τῆς τειχομαχίας, καὶ πέμπει καλῶν Ὀτριάριον τάχος ταῖς τριήρεσιν ἀφικνεῖσθαι, καὶ κωλύειν τὸν διὰ τῆς θαλάσσης ἐπισιτισμὸν τῇ πόλει. λαβὼν οὖν ἃς εἶχεν Ὀτριάριος, καὶ Ῥοδίους κ' ναῦς, ὧν σύμπαν τὸ πλῆθος εἰς γ' καὶ μ' ἐτέλει, εἰς τὸν Πόντον διαβαίνει, καὶ μηνύει Κόττᾳ καὶ τὸν καιρὸν καὶ τὴν ἄφιξιν. ὑπὸ δὲ τὴν αὐτὴν ἡμέραν Κόττας τε τοῖς τείχεσι τὸν στρατὸν προσῆγε καὶ ὁ κατάπλους τῶν Τριαρίου νεῶν ἐπεφαίνετο. συνταραχθέντες οὖν οἱ Ἡρακλεῶται πρὸς τὸ αἰφνίδιον τῆς τῶν νηῶν ἐφόδου ναῦς μὲν ἐπὶ τὴν θάλασσαν λ' καθεῖλκον, οὐδὲ ταύτας ἀκριβῶς πληροῦντες, τὸ δὲ λοιπὸν πρὸς τὴν πολιορκίαν ἐτρέποντο. ἀνήγετο μὲν ὁ Ἡρακλεωτικὸς στόλος πρὸς τὰς ἐπιπλεύσας τῶν πολεμίων. πρῶτοι οὖν Ῥόδιοι (καὶ γὰρ ἐδόκουν ἐμπειρίᾳ τε καὶ ἀνδρείᾳ τῶν ἄλλων προέχειν) ἐνεῤῥάγησαν ταῖς ἐξ Ἡρακλείας, καὶ παραχρῆμα μὲν κατέδυσαν Ῥοδίων μὲν γ' Ἡρακλεώτιδες δὲ ε'. ἐπιγενόμενοι δὲ τῇ ναυμαχίᾳ καὶ Ῥωμαῖοι, καὶ πολλὰ παθόντες καὶ ποιήσαντες τοῖς πολεμίοις, πλέον δὲ 748 R. ὅμως κακώσαντες, ἐτρέψαντο τὰς ἐξ Ἡρακλείας καὶ φεύγειν ἠνάγκασαν πρὸς τὴν πόλιν, δ' ἀποβαλούσας καὶ ι'. αἱ τρεψάμεναι δὲ πρὸς τὸν μέγαν ἐνωρμίζοντο λιμένα. ἀνίστη δ' οὖν καὶ τὸ πεζὸν τῆς πολιορκίας ὁ Κόττας. οἱ δὲ περὶ Ὀτριάριον ἀναγόμενοι καθ' ἑκάστην ἀπὸ τοῦ λιμένος τοὺς σιτηγεῖν ὡρμημένους τοῖς πολιορ- 388 H. κουμένοις ἀπεκώλυον, καὶ σπάνις χαλεπὴ τὴν πόλιν κατεῖχεν, ὡς π' Ἀττικῶν τὴν λεγομένην χοίνικα τοῦ σίτου προκόψαι. ἐπὶ δὲ τοῖς ἄλλοις κακοῖς καὶ λοιμὸς αὐτοῖς ἐπιπεσὼν (εἴτε ἐκ τροπῆς ἀέρων εἴτε ἐκ τῆς ἀσυνήθους διαίτης) ποικίλην ἐπὶ ποικίλαις παθημάτων ἰδέαις τὴν φθορὰν ἀπειργάζετο· ἐν οἷς καὶ Λάμαχος πικροτέρῳ καὶ μακροτέρῳ τῶν ἄλλων ὀλέθρῳ διέφθαρτο. ἥψατο δὲ μάλιστα καὶ τῶν φρουρῶν ἡ νόσος, ὡς ἀπὸ τρισχιλίων χιλίους ἀποθανεῖν. τοὺς Ῥωμαίους δὲ τὸ πάθος οὐκ ἐλάνθανεν.

Καὶ ὁ Κοννακόριξ κακοπαθῶν ταῖς συμφοραῖς ἔγνω τοῖς Ῥωμαίοις προδιδόναι τὴν πόλιν καὶ τῇ τῶν Ἡρακλεωτῶν ἀπωλείᾳ τὴν ἰδίαν σωτηρίαν ἀλλάξασθαι. συνελαμβάνετο δὲ αὐτῷ καὶ Ἡρακλεώτης ἀνήρ, ζηλωτὴς τῆς Λαμάχου προαιρέσεως, Δαμοφέλης ὄνομα, φρούραρχος καὶ αὐτὸς τῇ πόλει μετὰ τὴν Λαμάχου φθορὰν καταστάς. ὁ τοίνυν Κοννακόριξ τὸν Κότταν μὲν ὡς βαρὺν τὸ ἦθος καὶ ἄπιστον ἐφυλάττετο, πρὸς Ὀτριάριον δὲ συνετίθετο· συνέτρεχε δὲ τούτοις καὶ Δαμοφέλης οὐκ ἐνδεέστερον. καὶ λαβόντες συνθήκας, αἷς εὐ-

a. 13. καὶ ἀναιρουμένων add A. 25. λύκαιον Stephanus. 35. ῥᾷον] immo ῥᾴδιον. 38. τοῖς A: τῶν ς. 39. τέμνων ς.
b. 26. λιμὸς ς. 32. ἐλάμβανε ς. 35. ἀπαλλάξασθαι ς. 37 et 41. δαμοφιλὴς A: δαμοφιλῆς ς. 40. βαρὺν A: βάρβαρον ς.

Digitized by Google

δαιμονήσειν αὐτοὶ ἤλπιζον, πρὸς τὴν προδοσίαν παρεσκευάζοντο. ἐξ ἐπιπολῆς οὖν τὰ πραττόμενα τοῖς προδόταις διέπιπτεν εἰς τὸν δῆμον. εἰς ἐκκλησίαν οὖν ἡ πόλις συνέδραμον ϗ τὸν φρέραρχον ἐκάλουν. Βριθαγόρας δὲ τῶν ἐν τῷ δήμῳ ἀνὴρ ἐπιφανὴς πρὸς Κοννακόρηκα παραγεγονὼς τά τε κατέχοντα τὴν Ἡράκλειαν διεξῄει, ϗ εἰ κἀκείνῳ δοκεῖ, ἐπὶ κοινῇ πάντων σωτηρίᾳ διελάμβανεν Ὀτριαρίῳ διαλέξασθαι. ταῦτα Βριθαγόρου μετὰ πολλῆς οἰκτισαμένου δεήσεως, διαναςὰς ὁ Κοννακόρηξ τοιαύτην μὲν συνθήκην ἀπεῖπε πράττεσθαι, ἔχεσθαι δὲ τῆς ἐλευθερίας ϗ τῶν κρειττόνων ὑπεκρίνατο ἐλπίδων· ϗ γὰρ ϗ τὸν βασιλέα μαθεῖν διὰ γραμμάτων ὑπὸ Τιγράνου τοῦ γαμβροῦ φιλοφρόνως δεδέχθαι, καὶ οὐκ εἰς μακρὰν ἐκεῖθεν προσδοκᾶν τὴν ἀποχρῶσαν βοήθειαν. ἀλλ' ἐκείνοις μὲν ταῦτα ὁ Κοννακόρηξ ἐσκηνικεύετο· οἱ δὲ Ἡρακλεῶται τούτοις τοῖς λόγοις ἐξηπατημένοι (ἀεὶ γὰρ αἱρετὸν τὸ ἐράσμιον) ὡς ἀληθέσι τοῖς τερατευθεῖσιν ἐπίστευον. ὁ δὲ Κοννακόρηξ, ὡς ἠπατημένους ἔγνω, κατὰ μέσας νύκτας ἐπιβιβάσας ἡσύχως ταῖς τριήρεσι τὸ στράτευμα (αἱ γὰρ πρὸς Ὀτριάριον συνθῆκαι κακῶν ἀπαθεῖς ἀπιέναι, ϗ εἴ τι κεκερδαγκότες εἴησαν, μεθ' ἑαυτῶν ἄγειν ἐπέτρεπον) καὶ αὐτὸς τούτοις συνεξέπλευσε. Δαμωφέλης δὲ τὰς πύλας ἀνοίξας εἰσχεόμενον τὸν Ῥωμαϊκὸν ςρατὸν καὶ τὸν Ὀτριάριον εἰσεδέχετο, τοὺς μὲν διὰ τῆς πύλης, ἐνίους δὲ καὶ τὴν ςεφάνην ὑπερβαίνοντας. καὶ τότε τῆς προδοσίας οἱ Ἡρακλεῶται ἐπῄσθοντο. καὶ οἱ μὲν σφᾶς αὐτοὺς παρεδίδοσαν, οἱ δὲ ἐκτείνοντο, τά τε κειμήλια καὶ τὰ ἔπιπλα διηρπάζετο, καὶ πολλὴ τοὺς πολίτας ὠμότης ἐλάμβανε, μεμνημένων Ῥωμαίων ὅσα

389 H. 749 R. τε παρὰ τὴν ναυμαχίαν πάθοιεν καὶ ὅσα τεταλαιπωρηκότες ἐπὶ τῇ πολιορκίᾳ ὑπέςησαν. οὐκ ἀπείχοντο γοῦν οὐδὲ τῶν ἐπὶ τοῖς ἱεροῖς πεφευγότων, ἀλλὰ παρά τε τοῖς βωμοῖς καὶ τοῖς ἀγάλμασιν αὐτοὺς ἔσφαττον. διὸ πολλοὶ διαπίπτοντες ἐκ τῶν τειχῶν φόβῳ τοῦ ἀφύκτου θανάτου κατὰ πᾶσαν ἐσκεδάννυντο χώραν· οἱ δὲ αὐτομολεῖν πρὸς τὸν Κότταν ἠναγκάζοντο. ἐξ ὧν ἐκεῖνος τήν τε ἅλωσιν ϗ τὸν φθόρον τῶν ἀνθρώπων καὶ τὴν διαρπαγὴν τῶν χρημάτων πυθόμενος ὀργῆς ἀνεπίμπλατο, ϗ διὰ ταχέων πρὸς τὴν πόλιν ἠπείγετο. συνεχαλέπαινε δὲ καὶ τὸ ςράτευμα, ὡς οὐ μόνον τὴν ἐπὶ τοῖς κατωρθωμένοις εὐδοξίαν ἀφῃρημένων, ἀλλὰ καὶ τῶν λυσιτελειῶν ἁπάσας παρὰ τῶν αὐτῶν διηρπασμένοι. ϗ εἰς μάχην ἂν τοῖς ὁμοφύλοις κατέςησαν ἄσπονδον καὶ κατεκόπησαν ἂν ὑπ' ἀλλήλων, εἰ μὴ Ὀτριάριος ἐπιγνοὺς τὴν ὁρμὴν αὐτῶν, πολλοῖς ἐκμειλίξας λόγοις τόν τε Κότταν καὶ τὸν ςρατόν, καὶ εἰς τὸ κοινὸν τὰ κέρδη καταθεῖναι βεβαιωσάμενος, τὸν ἐμφύλιον ἀνεχαίτισε πόλεμον. ἐπεὶ δὲ ἐπυνθάνοντο τὸν Κοννακόρηκα κατειληφότα τὴν Τῖον ϗ τὴν Ἄμαςριν, αὐτίκα Κόττας Ὀτριάριον ἐκπέμπει ἀφαιρησόμενον αὐτῶν τὰς πόλεις. αὐτὸς δὲ τούς τε προσκεχωρηκότας ἄνδρας λαβὼν καὶ τοὺς ἐκ τῆς αἰχμαλωσίας ἀνθρώπους, τὰ λοιπὰ μετὰ πάσης διεῖπεν ὠμότητος. χρήματα γοῦν διερευνώμενος οὐδὲ τῶν ἐν ἱεροῖς ἐφείδετο, ἀλλὰ τούς τε ἀνδριάντας ϗ τὰ ἀγάλματα ἐκίνει, πολλὰ καὶ καλὰ ὄντα. καὶ δὴ καὶ τὸν Ἡρακλέα τὸν ἐκ τῆς ἀγορᾶς ἀνῄρει καὶ σκευὴν αὐτοῦ τὴν ἀπὸ τῆς πυραμίδος, πολυτελείας καὶ μεγέθους ϗ δὴ ϗ ῥυθμοῦ καὶ χάριτος ϗ τέχνης οὐδενὸς τῶν ἐπαινουμένων ἀπολειπομένην. ἦν δὲ ῥόπαλον σφυρήλατον ἀπέφθου χρυσοῦ πεποιημένον, κατὰ δὲ αὐτοῦ λεοντῆ μεγάλη ἐκέχυτο, ϗ γωρυτὸς τῆς αὐτῆς μὲν ὕλης, βελῶν δὲ γέμων ϗ τόξου. πολλὰ δὲ καὶ ἄλλα καλὰ ϗ θαυμαςὰ ἀναθήματα ἔκ τε τῶν ἱερῶν ϗ τῆς πόλεως ἀφελὼν ταῖς ναυσὶν ἐγκατέθετο. ϗ τὸ τελευταῖον πῦρ ἐνεῖναι τοῖς ςρατιώταις κελεύσας τῇ πόλει κατὰ πολλὰ ταύτην ὑπέπρησε μέρη. ἑάλω δὲ ἡ πόλις ἐπὶ δύο ἔτη τῇ πολιορκίᾳ ἀντισχοῦσα.

Ὁ δὲ Ὀτριάριος παραγεγονὼς ἐν αἷς ἀπέςαλτο πόλεσι, Κοννακόρηκι (οὗτος γὰρ τὴν τῆς Ἡρακλείας προδοσίαν ἑτέρων καταχέσει συγκαλύπτειν διενοεῖτο) δοὺς ἄδειαν τῆς ἀναχωρήσεως, καθ' ὁμολογίαν λαμβάνει τὰς πόλεις. ὁ δὲ Κόττας ἅπερ εἴρηται διαπραξάμενος τὸ μὲν πεζὸν καὶ τοὺς ἱππεῖς ἐκπέμπει Λευκόλλῳ, ϗ τοὺς συμμάχους ἀφῆκεν ἐπὶ τῶν πατρίδων, αὐτὸς δ' ἀνήγετο τῷ ςόλῳ. τῶν δὲ νεῶν αἱ τὰ τῆς πόλεως λάφυρα ἦγον, αἱ μὲν κατάφορτοι γενόμεναι μικρὸν ἄποθεν τῆς γῆς διελύθησαν, αἱ δὲ ἀπαρκτίου πνεύσαντος ἐξεβράσθησαν εἰς τὰ τενάγη καὶ πολλὰ τῶν ἀγωγίμων ἀπεβάλοντο.

Λεόνιππος δὲ ὁ σὺν Κλεοχάρει παρὰ Μιθριδάτου 391 H. τὴν Σινώπην ἐπιτραπείς, ἀπεγνωκὼς τῶν πραγμάτων, πέμπει περὶ προδοσίας πρὸς Λεύκολλον. ὁ δὲ Κλεοχάρης ἅμα Σελεύκῳ (ϗ γὰρ οὗτος τῶν Μιθριδάτου ςρα-

a. 7. κἀκείνο ς. 14. δέχεσθαι A. 22. κεκερδακότες A. 39. πειθόμενος ς. 42. ἀφῃρημένον Scaliger, ἀφῃρημένοι Hoeschelius. b. 6. καταθεῖναι τὰ κέρδη ς. 10. αὐτὸν Scaliger. 15. ὄντα καὶ καλὰ ς. 29. κατασχέσεσι ς. 30. καθ' A: καὶ καθ' ς. 36. ἐξεβιάσθησαν ς.

τηγὸς ἰσοστάσιος τῶν εἰρημένων ἦν) τὴν Λεονίππου μαθόντες προδοσίαν, ἐκκλησίαν ἀθροίσαντες κατηγόρουν αὐτοῦ. οἱ δὲ οὐ προσίεντο· ἐδόκει γὰρ αὐτοῖς εἶναι χρηστός. καὶ οἱ περὶ Κλεοχάρην δείσαντες τοῦ πλήθους τὴν εὔνοιαν 752R. ἐξ ἐνέδρας νυκτὸς ἀποσφάττουσι τὸν ἄνδρα. "καὶ τὸ μὲν δημοτικὸν ἤχθετο τῷ πάθει, οἱ δὲ περὶ Κλεοχάρην τῶν πραγμάτων κύριοι καταστάντες τυραννικῶς ἦρχον, ταύτῃ νομίζοντες διαφυγεῖν τῆς ἐπὶ Λεονίππῳ μιαιφονίας τὴν δίκην. ἐν τούτῳ Κηνσωρῖνος ναύαρχος Ῥωμαίων, τριήρεις ἄγων ιε΄ σῖτον ἀπὸ Βοσπόρου τῷ Ῥωμαίων κομιζούσας στρατοπέδῳ, πλησίον Σινώπης κατῆγε· καὶ οἱ περὶ Κλεοχάρην καὶ Σέλευκον ἀνταναχθέντες Σινωπικαῖς τριήρεσιν, ἡγουμένου Σελεύκου, καθίστανται εἰς ναυμαχίαν, καὶ νικῶσι τοὺς Ἰταλούς, καὶ τὰς φορτηγοὺς ἐπὶ τῷ σφῶν ἀφαιροῦνται κέρδει. ἐπήρθησαν οὖν οἱ περὶ Κλεοχάρην τῷ κατορθώματι, καὶ τυραννικώτερον ἔτι τῆς πόλεως ἦρχον, φόνους τε ἀκρίτους τῶν πολιτῶν ποιοῦντες καὶ τὰ ἄλλα τῇ ὠμότητι ἀποχρώμενοι. ἐγένετο δὲ καὶ στάσις πρὸς ἀλλήλους Κλεοχάρῃ καὶ Σελεύκῳ· τῷ μὲν γὰρ ἤρεσκε διακαρτερεῖν τῷ πολέμῳ, Σελεύκῳ δὲ πάντας Σινωπεῖς ἀναιρεῖν καὶ Ῥωμαίοις ἐπὶ δωρεαῖς μεγάλαις παρασχεῖν τὴν πόλιν. πλὴν οὐδεμία τῶν γνωμῶν κρίσιν ἔσχε, τὰ δὲ ὑπάρχοντα λαθραίως ναυσὶ στρογγύλαις ἐνθέμενοι πρὸς Μαχάρην τὸν Μιθριδάτου υἱόν, ὃς κατ' ἐκεῖνο καιροῦ περὶ τὴν Κολχίδα ἦν, ἐξέπεμπον. ἐν τούτῳ δὲ Λεύκολλος ὁ τῶν Ῥωμαίων αὐτοκράτωρ παραγίνεται τῇ πόλει, καὶ κραταιῶς ἐπολιόρκει. ἐπρεσβεύετο δὲ καὶ Μαχάρης ὁ τοῦ Μιθριδάτου πρὸς Λεύκολλον περὶ φιλίας τε καὶ συμμαχίας. ὁ δὲ ἀσμένως ἐδέχετο, εἰπὼν βεβαίους νομιεῖν τὰς συμβάσεις, εἰ μὴ καί τισι Σινωπεῦσιν ἀγορὰν διαπέμποι. ὁ δὲ οὐ μόνον τὸ κελευόμενον ἔπραττεν, ἀλλὰ καὶ ἃ παρεσκεύαστο πέμπειν τοῖς Μιθριδατείοις, ἐξαπέστειλε Λευκόλλῳ. ταῦτα οἱ περὶ Κλεοχάρην θεασάμενοι καὶ τέλεον ἀπογνόντες, πλοῦτον πολὺν ταῖς ναυσὶν ἐνθέμενοι καὶ τὴν πόλιν διαρπάσαι τοῖς στρατιώταις ἐφέντες (ὑπὸ νύκτα δὲ ταῦτα ἐπράττετο) διὰ τῶν πλοίων ἔφευγον εἰς τὰ ἐσώτερα τοῦ Πόντου (Σάνηγας δὲ καὶ Λαζοὺς ἐποίκους εἶχον τὰ χωρία), ταῖς ὑπολειφθείσαις τῶν νεῶν πῦρ ἐνέντες. αἰρομένης δὲ τῆς φλογός, ᾔσθετο Λεύκολλος τοῦ ἔργου καὶ κλίμακας κελεύει προσάγειν τῷ τείχει· οἱ δὲ ὑπερέβαινον. καὶ φθόρος ἦν κατ' ἀρχὰς οὐκ ὀλίγος· ἀλλὰ τὸ πάθος Λεύκολλος οἰκτείρας τὴν σφαγὴν ἐπέσχεν. οὕτω μὲν οὖν ἥλω καὶ ἡ Σινώπη. ἔτι δὲ ἡ Ἀμάσεια ἀντεῖχεν, ἀλλ' οὐ μετ' οὐ πολὺ καὶ αὐτὴ 392 H. προσεχώρησε Ῥωμαίοις.

Μιθριδάτης δὲ ἐνιαυτὸν καὶ μῆνας η΄ ἐν τοῖς μέρεσι τῆς Ἀρμενίας διατρίβων οὔπω εἰς ὄψιν κατέστη Τιγράνου· ἐπεὶ δὲ Τιγράνης ἐδυσωπήθη εἰς θέαν αὐτὸν καταστῆσαι, μετὰ λαμπρᾶς τε τῆς πομπῆς ἀπήντα καὶ βασιλικῶς ἐδεξιοῦτο. ἐπὶ δὲ τρεῖς ἡμέρας ἀπορρήτως αὐτῷ ὁμιλήσας, ἔπειτα λαμπροτάταις ἑστιάσεσι φιλοφρονησάμενος μυρίους δίδωσιν ἱππεῖς καὶ ἐπὶ τὸν Πόντον ἐκπέμπει. Λεύκολλος δὲ εἰς τὴν Καππαδοκίαν ἐληλυθώς, καὶ φίλον ἔχων τὸν ἐπάρχοντα ταύτης Ἀριοβαζάνην, διέβη τε παρὰ δόξαν πεζῇ τὸν Εὐφράτην, καὶ προσῆγε τὸν στρατὸν τῇ πόλει, ἐν ᾧ τάς τε Τιγράνου παλλακίδας φυλάττεσθαι μεμαθήκει καὶ πολλὰ τῶν σφόδρα τιμίων. καταλελοίπει δὲ καὶ τοὺς Τιγρανόκερτα πολιορκήσοντας, καὶ στράτευμα ἄλλο ἐπὶ τῶν πολισμάτων τὰ σπουδαιότερα. "οὕτω δὲ τῆς Ἀρμενίας κατὰ 753R. πολλὰ μέρη πολιορκουμένης ἔπεμπε Τιγράνης ἀνακαλῶν Μιθριδάτην. καὶ στρατὸν δὲ περὶ τὴν πόλιν, ἐν ᾧ τὰς παλλακίδας ἔθετο, διέπεμπεν, οἳ καὶ παραγεγονότες, καὶ τοξείᾳ τοῦ Ῥωμαίων στρατοπέδου τὰς ἐξόδους διακλείσαντες, τάς τε παλλακίδας καὶ τὰ τιμιώτατα τῶν κειμηλίων διὰ νυκτὸς προεξέπεμψαν. ἡμέρας δὲ ἀναχεούσης, καὶ τῶν Ῥωμαίων ἅμα τῶν Θρᾳκῶν ἀνδρείως ἀγωνιζομένων, φόνος τε πολὺς τῶν Ἀρμενίων γίνεται, καὶ ζωγρίαι τῶν ἀνῃρημένων ἑάλωσαν οὐκ ἐλάττους· τὰ μέντοι γε προαποσταλέντα διεσώζετο πρὸς Τιγράνην. δύναμιν δὲ οὗτος ἀθροίσας ὀκτὼ μυριάδας κατέβαινε, τήν τε Τιγρανοκέρταν ἐξαιρησόμενος τῶν συνεχόντων καὶ ἀμυνούμενος τοὺς πολεμίους. φθάσας δὲ καὶ ἰδὼν τὸ Ῥωμαίων ὀλίγον στρατόπεδον ὑπεροπτικοὺς ἠφίει λόγους, ὡς εἰ μὲν πρεσβευταὶ παρεῖεν, πολλοί, φάμενος, συνῆλθον, εἰ δὲ πολέμιοι, παντελῶς ὀλίγοι· καὶ ταῦτα εἰπὼν ἐστρατοπεδεύετο. Λεύκολλος δὲ τέχνῃ καὶ μελέτῃ πρὸς τὴν μάχην παραταξάμενος, καὶ θαρρύνας τοὺς ὑπ' αὐτόν, τρέπει τε τὸ δεξιὸν εὐθὺς κέρας, εἶτα τούτῳ συναπέκλινε τὸ πλησίον, ἑξῆς δὲ σύμπαντες. καὶ δεινή τις καὶ ἀνεπίσχετος τοῖς Ἀρμενίοις ἐπέσχε τροπή, καὶ κατὰ λόγον ἡ τῶν ἀνθρώπων εἵπετο φθορά. Τιγράνης δὲ τὸ διάδημα καὶ τὰ παράσημα τῆς ἀρχῆς ἐπιθεὶς τῷ

a. 10. τῷ A: τῶν ς. 11. κατῆρε corr A. 31. καί τισι] immo καὶ τοῖς. 34. Λευκόλλῳ Rhodomannus: libri σελεύκῳ. 36. ἀφέντες ς.

b. 3. οὐ μετ' οὐ] alterutra negatio delenda. 15. προσῆγε τὸν Schaeferus: libri προσήγετο. 31. ἐξαιρησόμενος — ἀμυνούμενος corr A: ἐξαιρησάμενος — ἀμυνόμενος ς.

Digitized by Google

παιδὶ πρός τι τῶν ἐρυμάτων διαφεύγει. ὁ δὲ Λεύκολλος ἐπὶ τὰ Τιγρανόκερτα ἀναστρέψας προθυμότερον ἐπολιόρκει. οἱ δὲ κατὰ τὴν πόλιν Μιθριδάτου στρατηγοί, τῶν ὅλων ἀπεγνωκότες, ἐπὶ τῇ σφετέρᾳ σωτηρίᾳ Λευκόλλῳ παρέδοσαν τὴν πόλιν. ὁ μέντοι Μιθριδάτης πρὸς Τιγράνην παραγεγονὼς ἀνελάμβανέ τε αὐτόν, ϗ βασιλικὴν ἐσθῆτα περιετίθει τῆς συνήθους οὐκ ἐλαττουμένην, καὶ λαὸν ἀθροίζειν συνεβούλευεν, ἔχων καὶ αὐτὸς δύναμιν οὐκ ὀλίγην, ὡς πάλιν ἀναμαχούμενον
393 H. τὴν νίκην. ὁ δὲ πάντα τῷ Μιθριδάτῃ ἐπέτρεπεν, ἔν τε τῷ γενναίῳ καὶ συνετῷ τὸ πλέον νέμων αὐτῷ καὶ μᾶλλον ἀνέχειν εἰς τὸν πρὸς Ῥωμαίους πόλεμον δυνάμενον. αὐτὸς δὲ πρὸς τὸν Πάρθον Φραδάτην διεπρεσβεύετο παραχωρεῖν αὐτῷ τὴν Μεσοποταμίαν ϗ τὴν Ἀδιαβηνὴν καὶ τοὺς μεγάλους αὐλῶνας. ἀφικομένων δὲ πρὸς τὸν Πάρθον ϗ παρὰ Λευκόλλου πρέσβεων τοῖς μὲν Ῥωμαίοις ἰδίᾳ φίλος εἶναι ὑπεκρίνατο καὶ σύμμαχος, ἰδίᾳ δὲ τὰ αὐτὰ ϗ πρὸς τοὺς Ἀρμενίους διετίθετο.

Ὁ δὲ δὴ Κόττας ὡς εἰς τὴν Ῥώμην ἀφίκετο, τιμῆς παρὰ τῆς συγκλήτου τυγχάνει Ποντικὸς αὐτοκράτωρ καλεῖσθαι, ὅτι εἷλοι τὴν Ἡράκλειαν. διαβολῆς δὲ εἰς τὴν Ῥώμην ἀφικνουμένης ὡς οἰκείων κερδῶν ἕνεκα τηλικαύτην πόλιν ἐξαφανίσειε, μῖσός τε δημόσιον ἐλάμβανε, καὶ ὁ περὶ αὐτὸν τοσοῦτος πλοῦτος φθόνον ἀνεκίνει. διὸ ϗ πολλὰ τῶν λαφύρων εἰς τὸ τῶν Ῥωμαίων εἰσεκόμιζε ταμιεῖον, τὸν ἐπὶ τῷ πλούτῳ φθόνον ἐκκρούων, εἰ καὶ μηδὲν αὐτοὺς πρᾳοτέρους ἀπειργάζετο, ἀπὸ πολλῶν ὀλίγα νέμειν ὑπολαμβάνοντας. ἐψηφίσαντο δὲ αὐτίκα ϗ τοὺς αἰχμαλώτους τῆς Ἡρακλείας ἀφεῖσθαι. Θρασυμήδης δὲ τῶν ἐξ Ἡρακλείας εἰς κατηγόρησιν ἐπ' ἐκκλησίας τοῦ Κόττα, τάς τε τῆς πόλεως εἰσηγού-
R. μενος πρὸς Ῥωμαίους εὐνοίας, ϗ εἴ τι ταύτης ἀπολείποιεν, οὐχὶ γνώμῃ τῆς πόλεως τοῦτο δρᾶν, ἀλλ' ἢ τινος τῶν ἐφεστηκότων τοῖς πράγμασιν ἐξαπάτῃ ἢ ϗ βίᾳ τῶν ἐπιτιθεμένων. ἀπῳκτίζετο δὲ τόν τε τῆς πόλεως ἐμπρησμόν, καὶ ὅσα τὸ πῦρ ἀφανίσοι, ὅπως τε τὰ ἀγάλματα Κόττας καθῄρει ϗ λείαν ἐποιεῖτο, τούς τε ναοὺς κατέσπα, καὶ ὅσα ἄλλα δι' ὠμότητος ἐλθὼν ἐπεπράγει, τόν τε χρυσὸν ϗ τὸν ἄργυρον τῆς πόλεως ἀπογράφων ἀναρίθμητον, καὶ τὴν ἄλλην τῆς Ἡρακλείας ἣν ἐσφετερίσατο εὐδαιμονίαν. τοιαῦτα τοῦ Θρασυμήδους μετ' οἰμωγῆς καὶ δακρύων διεληλυθότος, ϗ τῶν ἡγεμόνων ἐπικλασθέντων τῷ πάθει (ϗ γοῦν παρῆλθε καὶ τὸ τῶν αἰχμαλώτων πλῆθος, ἄνδρες ὁμοῦ καὶ γυναῖκες μετὰ τέκνων, ἐν πενθιμίοις ἐσθήσεσι θαλλοὺς ἱκεσίους μετ' ὀλοφυρμῶν προτείνοντες) ἀντιπαρελθὼν ὁ Κόττας βραχέα τῇ πατρίῳ διελέχθη γλώττῃ, εἶτα ἐκαθέσθη. καὶ Κάρβων ἀναστὰς „ἡμεῖς ὦ Κόττα" φησί „πόλιν ἑλεῖν ἀλλ' οὐχὶ καθελεῖν ἐπετρέψαμεν." μετ' αὐτὸν δὲ καὶ ἄλλοι ὁμοίως Κότταν ᾐτιάσαντο. πολλοῖς μὲν οὖν ἄξιος ὁ Κόττας ἐδόκει φυγῆς· μετριάσαντες δ' ὅμως ἀπεψηφίσαντο τὴν πλατύσημον αὐτοῦ. Ἡρακλεώταις δὲ τήν τε χώραν ϗ τὴν θάλασσαν καὶ τοὺς λιμένας ἀποκατέστησαν, καὶ μηδένα δουλεύειν ψῆφον ἔθεντο.

Ταῦτα Θρασυμήδους διαπραξαμένου, ἐπὶ τὴν πατρίδα μὲν τοὺς πολλοὺς ἐξέπεμψεν, αὐτὸς δὲ μετὰ Βριθαγόρου τε καὶ Προπύλου (παῖς δ' ἦν ὁ Πρόπυλος Βριθαγόρου) κατὰ τοὺς ἑξῆς ἐπιμένων χρόνους τὰ λοι- 394 H.
πὰ τῶν ἐπειγόντων καθίστατο. ϗ τινων ἐτῶν ἀνυσθέντων τρισὶν ἐπακτρίσιν εἰς τὴν Ἡράκλειαν ἐπανάγεται. ἀφικόμενος δὲ πάντα τρόπον ἐπενόει ἀνοικίζεσθαι τὴν πόλιν, καθάπερ εἰς παλιγγενεσίαν ἀνακαλούμενος. ἀλλὰ πάντα πράττων μόλις εἰς ὀκτακισχιλίους, ἅμα τοῖς οἰκετικοῖς σώμασι, συλλεγῆναι κατεπράξατο. Βριθαγόρας δέ, ἤδη τῆς πόλεως αὐξομένης, ἐλπίδας ἐποιήσατο πρὸς ἐλευθερίαν τὸν δῆμον ἀνενεγκεῖν, ϗ διαγεγονότων μὲν πολλῶν ἐτῶν, ἤδη δὲ τῆς Ῥωμαίων ἡγεμονίας εἰς ἕνα περιστᾶμένης ἄνδρα Γάϊον Ἰούλιον Καίσαρα, πρὸς τοῦτον ἠπείγετο. συνεπρέσβευον δὲ αὐτῷ ἄλλοι τέ τινες τῶν ἐπιφανῶν καὶ ὁ υἱὸς Πρόπυλος. γνωσθεὶς οὖν τῷ Καίσαρι Βριθαγόρας, ϗ διαπραξάμενος ἐγγυτέρω τῇ φιλίᾳ προσελθεῖν, δι' ὑποσχέσεως ἐγένετο, οὐ μὴν ἐξ ἐφόδου γε λαβεῖν τὴν ἐλευθερίαν ἠδυνήθη, ἅτε δὴ οὐκ ἐν τῇ Ῥώμῃ ἀλλ' ἐφ' ἕτερα τοῦ Γαΐου περιτρέχοντος. οὐκ ἀφίστατο μέντοι γε Βριθαγόρας, ἀλλὰ περὶ πᾶσαν τὴν οἰκουμένην αὐτός τε ϗ Πρόπυλος συμπεριαγόμενος τῷ Καίσαρι ἐβλέπετο παρ' αὐτοῦ, ὡς ἐπισημειούμενον τὸν αὐτοκράτορα τῆς λιπαρήσεως αὐτὸν ἀποδέχεσθαι. δωδεκαετίας δὲ τὴν παρεδρίαν διαμετρούσης, ϗ περὶ τῆς εἰς Ῥώμην ἐπανόδου τοῦ Καίσαρος διανοουμένου, ὑπό τε τοῦ γήρως ϗ τῶν συνεχῶν πόνων κατατρυχωθεὶς Βριθαγόρας τελευτᾷ, μέγα πένθος τῇ πατρίδι καταλιπών. Εἰς τοιοῦτον μὲν τέλος ϗ ὁ ις' λόγος τῆς Μέμνονος ἱστορίας τελευτᾷ.

a. 10. ὑπέτρεπεν pr. A. 18. καὶ om A. 26. ταμεῖον ς. 28. ὑπολαμβάνοντες ς. 35. τε add A.
b. 4. πατρῴῳ διελέχθη ς. 6. ἐπεστρέψαμεν ς. 18. ἐπανάγεται A: ἄγεται ς. 19. ἐνοικίζεσθαι ς. 42. τοιοῦτο ς.

Ἔστι δὲ ἡ συγγραφὴ συνεχὴς μὲν καὶ τὸν ἰσχνὸν μεταδιώκουσα χαρακτῆρα, οὐ μὴν οὐδὲ τοῦ σαφοῦς ἀμελοῦσα, εὐλαβουμένη δὲ καὶ τὰς ἐκβολάς, πλὴν εἰ μή που

757 R. τις ἀνάγκη συνυφαίνειν "καὶ τὰ ἔξωθεν ἐγκελεύεται τῆς προθέσεως. οὐδὲ πρὸς ταύτην δὲ ἐπὶ τὸ συχνὸν ἀποκλίνει, ἀλλὰ τὸ κατεπεῖγον ἐπιμνησθεῖσα ἔχεται πάλιν εὐεπιστρόφως τῆς προτεθείσης αὐτῇ κατ' ἀρχὰς γνώμης. καὶ λέξεσι δέ, εἰ μή που σπανίως ἐξαλλαττούσαις, ταῖς συνήθεσι χρᾶται. τὰς δὲ πρώτας η' ἱστορίας καὶ τὰς μετὰ τὴν ιϛ' οὔπω εἰπεῖν εἰς θέαν ἡμῶν ἀφιγμένας ἔχομεν.

## 225.

760 R. "Ἀνεγνώσθη τοῦ ἐν ἁγίοις ΕΥΛΟΓΙΟΥ πάπα Ἀλεξανδρείας βιβλίον ἐν λόγοις β'. τὸ δὲ βιβλίον συνηγορία μέν ἐστι τῶν ἐν τῷ τόμῳ Λέοντος τοῦ ἐν ἁγίοις τῆς Ῥώμης ἀρχιερέως, ἔλεγχος δὲ Τιμοθέου καὶ Σεβήρου τῶν κατειπόντων τοῦ τόμου· καὶ γὰρ ἡ αἵρεσις ἑκάτερον κατὰ τῆς συνόδου καὶ τοῦ τόμου μεγαλαυχεῖ ἀγωνίσασθαι, ἀλλὰ Σεβῆρον μὲν πλατύτερον, Τιμόθεον δὲ ἀκριβέστερον. προσφωνεῖ δὲ τὸ βιβλίον Δομετιανῷ τῷ Μελιτηνῆς ἀρχιερεῖ.

Ὁ μὲν οὖν α' λόγος ἐν κεφαλαίοις ἀπαρτίζεται δ',

395 H. ϛ' δὲ κεφαλαίοις καὶ ι' ὁ β'. διηγεῖται δὲ "μετὰ τὰ προοίμια τὸ α' βιβλίον τὴν αἰτίαν δι' ἣν ἡ γραφὴ προῆλθε, καὶ ὡς ἀνδρῶν εὐλαβῶν προτροπῇ ταύτην ἐπράξατο. ἐφ' οἷς ἐκτίθεται νόμον καὶ κανόνα, μὴ δεῖν ἐκ μέρους τὰ συγγράμματα κρίνειν, μηδ' ἀποσπαράγματά τινα λαμβάνοντας διὰ τούτων τὴν ὅλην τοῦ γράφοντος ἐνδιαβάλλειν διάνοιαν· τοῖς γὰρ τοιούτοις καὶ ὁ προφήτης ἐπαφίησι τὴν ἀράν, „οὐαὶ τοῖς προφητεύουσι" λέγων, „ἀπὸ καρδίας αὐτῶν, καὶ τὸ καθόλου μὴ βλέπουσι." τοῦτον δὲ τὸν νόμον καὶ κανόνα καὶ τῶν ἱερῶν ἡμῶν πατέρων αἱ ψῆφοι κρατύνουσι. καὶ γὰρ καὶ Εὐστάθιος ὁ τῶν Ἀντιοχέων ἀρχιερεὺς ἐν ἓξ λόγοις τὰ κατὰ Ἀρειανῶν αὐτοῖς ῥήμασιν οὕτω φησὶν „ἀλλ' οἱ παράδοξοι τῆς Ἀρείου θυμέλης μεσόχοροι τὸ μὲν ἁμαρτίαν μὴ πεποιηκέναι τὸν Χριστὸν φράζουσι," καὶ μετ' ὀλίγα „τὸ δέ, ὅτι θεὸς ἦν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ, οὔτε ἐν μνήμῃ φέρουσιν οὔτε τοῖς τῆς γλώττης ὀργάνοις ἐκφωνοῦσιν, ἀλλ' ὥσπερ δεινοὶ συκοφάνται καὶ κατήγοροι ἀκρωτηριάσαντες τὸ χωρίον τὸν ἀγῶνα τῆς κατηγορίας ποιοῦνται." εἶτα καὶ ἡ ψῆφος ἡ ὑπὲρ τοῦ νόμου· „δεῖ δὲ φιλαλήθως τοὺς ἐννόμους ἀγωνιστάς, πάντα συμπεριλαβόντας ἀπαραλείπτως, ἀλλὰ μὴ πρὸς ἀπάτην μέρος μὲν ἀποσιωπῶν, μέρος δὲ ἀποσπῶντας προφέρειν." ὡσαύτως καὶ Βασίλειος ὁ θεῖος οὑτωσὶ Σωζοπολίταις ἐπιστέλλων γράφει „οὐ νεώτερον τοῦτο τῆς δοκήσεως τὸ ἀσέβημα, ἀλλὰ πάλαι ἀπὸ τοῦ ματαιόφρονος ἀρξάμενον Οὐαλεντίνου, ὃς ὀλίγας τοῦ ἀποστόλου λέξεις ἀποσπαράξας τὸ δυσσεβὲς ἑαυτῷ κατεσκεύασε πλάσμα." ὥστε τῆς τῶν αἱρετικῶν ἐστὶν ἀπονοίας, μέρος τι παραλαβόντα τῆς γραφῆς καὶ τοῦτο παραχαράσσοντα δι' αὐτοῦ τε συκοφαντεῖν τὰ λοιπά, καὶ διὰ τῆς τῶν ἱερῶν λογίων συκοφαντίας καὶ κατατομῆς συγκροτεῖν ἑαυτοῖς τὴν ἀσέβειαν. οὕτω δ' ἂν κατηγορηθείη τοῖς ἀσεβέσι καὶ Πέτρος ὁ κορυφαῖος τῶν ἀποστόλων, ὡς διαιρῶν τὸν Ἐμμανουὴλ φησιν Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲθ ὡς ἔχρισεν αὐτὸν ὁ θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου, ὅτι ὁ θεὸς ἦν μετ' αὐτοῦ. καὶ δὴ καὶ Παῦλον, τὸν περιλαβόντα τὴν οἰκουμένην τῷ τῆς εὐσεβείας κηρύγματι, τοῖς ὁμοίοις ἀκρωτηριαστῆς καὶ συκοφάντης αἰτιάσεται, ἐν οἷς δημηγορῶν πρὸς Ἀθηναίους ἔφη „παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι μετανοεῖν, καθότι ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν."

ἐν οἷς πάλιν πρὸς Ἑβραίους γράφων φησὶν "„ὃς 761 R.

ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου" καὶ ἑξῆς. ἆρ' ὁ συκοφάντης καὶ τῶν οἰκείων κλεμμάτων καὶ σπαραγμάτων κριτὴν ἑαυτὸν ποιῶν οὐχ ὡς ἀνθρώπου λεγόντων ψιλὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, οὐκ ἂν καταγνοίη τῶν κηρύκων τῆς θεότητος αὐτοῦ; ἀλλ' οὐχ οὕτω γε τῆς ἀληθείας ὁ φίλος, ἀλλ' ἐπισυνάψας τοῖς προειρημένοις "ἃ καθ' ἕτερον μέρος περὶ 396

τοῦ σωτῆρος τοῖς τῆς εὐσεβείας κήρυξιν ἐθεολογήθη, πάσης ὕβρεως ἀνωτέρους τοὺς τῆς εὐσεβείας ἀποδείξει διδασκάλους. οἷον συνάψει τοῖς προειρημένοις τὸ „ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας ἀμήν." καὶ δὴ καὶ τὸ „ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ." ὁ ταῦτα τοῖς πρώτοις συναρμόσας καὶ Νεστόριον τούτοις ἀσεβοῦντα διελέγξει,

a. 9. χρῆται ς. 30. οὐαὶ] Ezech. 13, 3. 34. ἓξ λόγοις] ἕκτῳ λόγῳ Fabricius. 37. μὴ add corr A.
b. 20. ἀκρωτηριασταῖς καὶ συκοφάνταις A. 21. πρὸς ἀθηναίους A: καὶ ἀθηναίοις ς. 22. παραγγ.] Act. 17, 30. 26. Ἑβρ.] 5, 7. 32. τῆς θεότητος et 33. γε add A. 37. ὢν] Rom. 9, 5. 39. εἰς A: εἰ εἰς ς. 40. ὃς] Hebr. 1, 3.

Digitized by Google

καὶ τὴν εὐσέβειαν λαμπροτέραν ἐπιδείξει. ȣ̓́τω δὲ ϗ ὁ θαυμάσιος πάλιν Βασίλειος τὴν περὶ τῶν λόγων κρίσιν γίνεσθαι παραινεῖ, ἐν οἷς πρὸς τȣ̀ς μοναχȣ̀ς γράφει „τὰ ἀμφιβόλως λεγόμενα ϗ ἐπικεκαλυμμένως εἰρῆσθαι δοκȣ̃ντα ἔν τισι τόποις τῆς θεοπνεύςȣ γραφῆς ὑπὸ τῶν ἐν ἄλλοις τόποις ὁμολογȣμένων σαφηνίζεται.“ ὅτι δὲ ȣ̓ χρὴ διά τινῶν σπαραγμάτων καὶ περικομμάτων τὴν τȣ̃ συγγραφέως κρίνειν εὐσέβειαν, ȣ̓́τω λαμπρὰν ἀφίησι τὴν ἀκτῖνα ἡ ἀλήθεια ὡς καὶ Σεβῆρον αὐτόν, καίτοι περὶ ταῦτα τυφλώττοντα, ὅμως πεῖσαι τȣ̃το συνιδεῖν· γράφει γὰρ πρὸς Ἰȣλιανὸν τὸν Ἁλικαρνασȣ̃ „δεῖ τοίνυν τὰς τῶν ὁσίων κατὰ καιρȣ̀ς τῆς ἁγιωτάτης ἐκκλησίας μυςαγωγῶν διδασκαλίας ἐντελῶς ἀναγινώσκειν,“ καὶ μὴ ἐκ μέρȣς τὰ ἐκείνων προφέρειν ϗ τῆς ὅλης αὐτῶν διανοίας ἐπικινδύνως καταςοχάζεσθαι. τȣ̃το δὲ καὶ ἐπὶ τῶν ἀποςολικῶν ϗ εὐαγγελικῶν συγγραμμάτων καὶ ἐπὶ πάσης τῆς θεοπνεύςου γραφῆς προσήκει ποιεῖν, ἐπεὶ μηδὲ ἐκ μιᾶς ῥήσεως ἤγȣν ἐπιςολῆς ἢ συντάγματος ἔςι παραςῆσαι τὴν ὅλην τοῦ συγγραφέως εὐσέβειαν.“ ȣ̓́τω μὲν ἡ τῆς ἀληθείας τȣ̃ κανόνος ἀςραπὴ ϗ τὸν Σεβῆρον, καίτοι τυφλὸν ὄντα, τῆς οἰκείας αὐγῆς ὅμως ἀπολαῦσαι παρεσκεύασεν. ἀλλὰ γὰρ τȣ̃ μὲν νόμȣ τὸ ἄμαχον κράτος συνιδεῖν ἔσχε, χρήσασθαι δὲ τῷ ἀσυνέτῳ τῆς γνώμης ȣ̓κ ἐμελέτησε. τὸν γὰρ τȣ̃ ἐν ὁσίᾳ τῇ μνήμῃ Λέοντος τόμον ȣ̓ τῷ νόμῳ ὃν ἐκήρυξε, τῇ δὲ τῆς ἀντιπαθείας γλώσσῃ ζυγοςατῶν, ϗ διά τινων σπαραγμάτων ϗ κιβδήλων λόγων προϊών, ἔδοξεν ἐπ᾽ ἀσεβείᾳ γράφειν τὸν εὐσεβῆ, αὐτὸς ὢν ἀληθῶς ἃ διαβάλλειν ἄλλους ἐτόλμησε. τίς γὰρ ὀξύτερον ἄλλος βέλος κατὰ τȣ̃ δυσσεβȣ̃ς ἀφῆκε Νεςορίου τῆς ςεῤῥᾶς ἐκείνης καὶ λεοντείας φωνῆς „ὁ ἀπαθὴς θεὸς ȣ̓κ ἀπηξίωσε παθητὸς γενέσθαι ἄνθρωπος, καὶ ὁ ἀθάνατος νόμοις ὑποκεῖσθαι θανάτȣ;“ ἀλλὰ ταῦτα μὲν ὁ συκοφάντης παρατρέχει, ἄλλα δέ τινα ῥητὰ πρὸς τὸ οἰκεῖον περικόπτων τε ϗ διαςρέφων βȣ́λημα ȣ̓́τε τὴν προειρημένην φωνὴν δυσωπεῖται, οὔτε τὸν παρ᾽ αὐτοῦ λόγοις τιμηθέντα νόμον ἔτι βȣ́λεται εἰδέναι. εἰ μὲν γὰρ ἅπασα ἡ τȣ̃ ἐν ἁγίοις Λέοντος ἐπιςολὴ δι᾽ ἀμφιβόλων
537 H. τινῶν ὥδευε, καὶ ἐξ ὧν οἱ ἀκέφαλοι τὴν τῆς μιᾶς ὑποςάσεως αἰτιῶνται διαίρεσιν, τάχα ἦν αὐτοῖς τῆς διαβολῆς ἡ ἄγνοια πρόφασις· ἐπεὶ δὲ διὰ μυρίων ἡ
761 R. εὐσέβεια πρόδηλος, πῶς ȣ̓χὶ δευτέραν ἐπὶ τῇ πρώτῃ δυσσεβείᾳ οἱ συκοφάνται προσλαμβάνȣσιν; Ἀλλ᾽ ἐν τȣ́τοις μὲν τὰ δύο κεφάλαια.

Τρίτον δ᾽ ἂν εἴη τῶν διαβαλλομένων ῥητῶν τȣ̃ ἐν ἁγίοις Λέοντος ἡ παράθεσις καὶ ἡ ἐκ τȣ̃ αὐτȣ̃ τόμȣ ἀντιπαράθεσις, δι᾽ ἧς ἡ ἄδικος τῶν συκοφαντῶν γνώμη λαμπρῶς ςηλιτεύεται.

ἔςι δὲ τῶν συκοφαντȣμένων πρῶτον „φυλάττει γὰρ ἑκατέρα φύσις ἀνελλιπῶς τὴν ἑαυτῆς ἰδιότητα, καὶ ὥσπερ ȣ̓κ ἀναιρεῖ τὴν τȣ̃ δȣ́λȣ μορφὴν ἡ μορφὴ τȣ̃ θεȣ̃, ȣ̓́τω τὴν τȣ̃ θεȣ̃ μορφὴν ἡ τȣ̃ δȣ́λου μόρφωσις ȣ̓κ ἐμείωσε.“ τὸ μὲν ȣ̓̃ν ῥητὸν ϗ καθ᾽ ἑαυτὸ εὐσεβȣ̃ς διανοίας ἐςὶ βλάστημα, πλὴν ἀλλ᾽ ἀντιπαρακείσθω τȣ́τῳ ἐκ τῆς αὐτῆς ἐπιςολῆς· ȣ̓́τω γὰρ ἂν μᾶλλον ἐλεγχθείη τῆς δυσσεβείας τὸ κακȣ́ργημα. ἔχει γὰρ οὕτως „ὁ δὲ αὐτὸς τȣ̃ ἀϊδίȣ πατρὸς μονογενὴς ἀΐδιος ἐτέχθη ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένȣ, ἥτις γέννησις χρονικὴ τῆς θείας αὐτȣ̃ ϗ ἀϊδίȣ γεννήσεως οὔτέ τι ἀπεμείωσεν οὔτε μήν τι ταύτῃ προσέθηκεν“ ἕως τȣ̃ „συνελήφθη μὲν ȣ̓̃ν δῆλον ὅτι ἐκ πνεύματος ἁγίȣ ἐν γαςρὶ παρθένȣ μητρός, ἥτις ȣ̓́τω φυλαχθείσης τῆς παρθενίας αὐτὸν ἀπεκύησεν, ὥσπερ ȣ̓̃ν καὶ ἀκεραίου μεινάσης τῆς παρθενίας συνέλαβεν.“ ἆρ᾽ ἐνενόησε ταῦτά ποτε Νεςόριος; ἆρ᾽ εὑρήσει τις κατὰ τȣ́των διαβολήν τινα, κἂν αὐτὸν ἐνεργȣ̃ντα ἐν ἑαυτῷ τὸν ἀπ᾽ ἀρχῆς ἀνθρωποκτόνον ἔχει διάβολον; διὰ τί ȣ̓̃ν μὴ πρὸς ταῦτα καὶ εἴ τι ἀμφίβολον μεθαρμόζομεν, ἀλλὰ ταῦτα μᾶλλον ἐκεῖθεν συνδιαβάλλειν θρασυνόμεθα;

ὅρα δὴ τὸν ἀκέφαλον πῶς πάλιν ἑτέρας ȣ̓κ αἰσχύνεται κατατρέχων ῥήσεως, ἥ φησιν „ἐν ὅσῳ τὰ συναμφότερα μετ᾽ ἀλλήλων εἰσί, καὶ τȣ̃ ἀνθρώπȣ τὸ ταπεινὸν ϗ τὸ μέγεθος τῆς θεότητος· ὥσπερ γὰρ ἐν τῷ ἐλεεῖν ὁ θεὸς τροπὴν ȣ̓χ ὑφίςαται, ȣ̓́τως ὁ ἄνθρωπος τῷ μεγέθει τῆς ἀξίας τῆς θείας ȣ̓κ ἀναλίσκεται.“ πῶς γὰρ ȣ̓κ ἐδυσωπήθη τὴν λέγȣσαν ἀντιπαραθεὶς φωνὴν καὶ πρὸς τὸ χρεωςȣ́μενον ὄφλημα τῆς ἡμετέρας φύσεως ἐκτισθῆναι, „ἡ θεία φύσις ἡνώθη τῇ φύσει τῇ παθητῇ, ἵνα τȣ̃το δὴ τὸ ταῖς ἡμετέραις ἰάσεσιν ὑπάρχον ἁρμόδιον, εἷς καὶ ὁ αὐτός ὢν μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησȣ̃ς Χριςός, καὶ ἀποθνήσκειν ἐκ τȣ̃ ἑνὸς δυνηθῇ καὶ τελευτᾷν ἐκ τȣ̃ ἑτέρȣ μὴ δυνηθῇ.“

a. 14. ἐκ μέρους mg A: ἑκατέρους ς. 28. an γράφεσθαι, coll. p. 242 b 38? b. 7. γὰρ φυλάττει ς. 23. ποτε ταῦτα ς. 29. δὴ ῥήσεως τὸν ς. 30. ἐν ὅλῳ ὅσῳ ς. 33. ἐλεεῖν] libri λέγειν. cf. p. 246 b 16 et R 808, 56.

πάλιν τρίτον εἰς κατηγορίαν προτείνουσιν „ἐνεργεῖ γὰρ ἑκατέρα μορφῇ μετὰ τῆς θατέρου κοινωνίας, ἕως καὶ τὸ μὲν αὐτῶν διαλάμπει τοῖς θαύμασιν, τὸ δὲ ταῖς ὕβρεσιν ὑποπέπτωκε." δύο γὰρ εἶναι τοὺς ἐνερ- 593 H γοῦντας ἐκδιδάσκειν τὸ ῥητὸν "οἱ κατήγοροι ψευδολογοῦσιν· ἀλλ' ἐκεῖνος πάλιν δι' ἑαυτοῦ ἀντιπαρατιθεὶς τὴν οἰκείαν φωνὴν ἐμφράττει τούτων τὰ στόματα, λέγων „εἷς καὶ ὁ αὐτὸς υἱός τε τοῦ θεοῦ ἀληθῶς καὶ ἀληθῶς υἱὸς ἀνθρώπου τυγχάνει, θεὸς μὲν κατὰ τοῦτο, καθὸ ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ θεὸς ἦν ὁ λόγος, ἄνθρωπος δὲ κατὰ τοῦτο, καθὸ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν" ἕως τοῦ „ὃν ὡς ἄνθρωπον τοιγαροῦν πειράζει ἡ τοῦ διαβόλου πανουργία, τούτῳ ἅτε δὴ θεῷ ὄντι ἡ τῶν ἀγγέλων τάξις διακονεῖ." τὰ γὰρ ἐνταῦθα ῥηθέντα σαφῶς ἑρμηνεύει καὶ ἅπερ ἡ αἵρεσις συκοφαντεῖν ἐπήρθη, καὶ διαβολῆς ἁπάσης δεικνύει ἀνώτερα.

765 R. τέταρτον διαβάλλουσι τὴν ἔχουσαν ῥῆσιν "„ὅτε δὲ πρὸς τὸ τοῦ προδρόμου ἑαυτοῦ Ἰωάννου ἔρχεται βάπτισμα, ἵνα μὴ λάθῃ ὅτι περ τῷ προκαλύμματι τῆς σαρκὸς ἡ θεότης ἐκρύπτετο, ἡ τοῦ πατρὸς φωνὴ οὐρανόθεν ἐπιβοῶσά φησιν οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα." ἀλλ' εὐθὺς αὐτοὺς καταισχύνει τῆς Ῥωμαϊκῆς ἀρχιερωσύνης τὸ καλλώπισμα· λέγει γὰρ „προέρχεται τοίνυν εἰς τὸ ταπεινὸν τοῦτο τοῦ κόσμου ὁ υἱὸς τοῦ θεοῦ, ἀπὸ τοῦ οὐρανίου θρόνου καταβαίνων καὶ ἀπὸ τῆς πατρικῆς δόξης οὐκ ἀφιστάμενος, καινῇ τῇ τάξει καὶ καινῇ τῇ γεννήσει γενόμενος, καινῇ μὲν τῇ τάξει, ὅτι περ ἀόρατος ὢν ἐν τοῖς ἑαυτοῦ ὁρατὸς γέγονεν ἐν τοῖς παρ' ἡμῶν" μέχρι τοῦ „ὁ γὰρ ὢν θεὸς ἀληθὴς αὐτός ἐστι καὶ ἄνθρωπος ἀληθής," καὶ μετὰ ταῦτα „ὥσπερ οὖν, ἵνα τὰ πολλὰ παραλείψω, οὐ τῆς αὐτῆς ἐστὶ φύσεως τὸ κλαίειν ἐκ διαθέσεως οἴκτου τὸν τελευτήσαντα φίλον, καὶ τὸ τὸν αὐτὸν ἀναζῆν μέλλοντα διασκεδασθέντος τοῦ προσχώματος τῆς τεταρταίας ἤδη ταφῆς ἐξαναστῆσαι πρὸς τὸ κέλευσμα τῆς φωνῆς" καὶ ἑξῆς μέχρι τοῦ „ὅστις δι' ἀποκαλύψεως τοῦ πατρὸς τὸν αὐτὸν καὶ υἱὸν θεοῦ ὡμολόγησε καὶ Χριστόν."

ἀλλὰ πάλιν ἡ αἵρεσις διασύρει τὸ λέγον ῥητὸν „εἰ καὶ τὰ μάλιστα ἐν τῷ δεσπότῃ Ἰησοῦ τῷ Χριστῷ τοῦ θεοῦ καὶ τοῦ ἀνθρώπου ἕν ἐστι πρόσωπον, ὅμως ἕτερόν ἐστιν ἐκεῖνο ἐξ οὗ ἐν ἑκατέρῳ κοινόν ἐστι τὸ τῆς ὕβρεως, καὶ ἕτερον ἐξ οὗ κοινὸν τὸ τῆς δόξης καθέστηκεν." ἀλλ' ὁ ἱερὸς ἀνὴρ καὶ ἀναισχύντους ὄντας δι' ἑαυτοῦ ἐντρέπει τοὺς δυσσεβεῖς· λέγει γὰρ „μετὰ δὲ τὴν ἀνάστασιν τοῦ κυρίου, ἥτις δηλαδὴ τοῦ ἀληθινοῦ σώματος αὐτοῦ γεγένηται, ἐπειδὴ οὐκ ἄλλος ἀνέστη εἰ μὴ ὁ σταυρωθεὶς καὶ ἀποθανών" μέχρι τοῦ „ἀλλ' ἕνα υἱὸν θεοῦ καὶ τὸν λόγον ὁμολογήσομεν καὶ τὴν σάρκα."

ἀλλ' ἔτι ἐπιπηδᾷ τὸ αἱρετικὸν φρόνημα, καὶ διαβάλλει τὸ „διὰ ταύτην τοίνυν τοῦ προσώπου τὴν ἕνωσιν ἐν ἑκατέρᾳ φύσει νοεῖσθαι ὀφείλουσαν." ἀλλὰ κἀνταῦθα τοῖς ἰδίοις ὅπλοις ὁ συκοφαντούμενος τούτους καταβάλλει, λέγων „ἐν ἀκεραίᾳ τοιγαροῦν ἀνθρώπου καὶ τελείᾳ φύσει θεὸς ἀληθῶς ἐτέχθη, ὅλος ἐν τοῖς ἑαυτοῦ καὶ ὅλος ἐν τοῖς ἡμῶν," καὶ ἑξῆς „τοιγαροῦν ὡς μένων ἐν μορφῇ θεοῦ πεποίηκεν ἄνθρωπον, οὕτως ἐν μορφῇ δούλου γέγονεν ἄνθρωπος."

πάλιν ἡ αἵρεσις ὁπλίζεται κατὰ τοῦ „ποία φύσις ἐμπεπαρμένη τοῖς ἥλοις ἐν τῷ τοῦ σταυροῦ ξύλῳ κρέ- 599 H. μαται." καὶ πάλιν ὁ τῆς εὐσεβείας στρατηγὸς τρέπει τὸ πολέμιον, πολλοὺς ἑαυτῷ συνεπαγόμενος συμμάχους· πλὴν ἀλλὰ καὶ καθ' ἑαυτὸν ὧδε καταβάλλει τούτους. περὶ γὰρ Εὐτυχοῦς λέγων φησὶν „ὃς τὴν φύσιν τὴν ἡμετέραν ἐν τῷ μονογενεῖ υἱῷ τοῦ θεοῦ οὔτε διὰ τῆς ταπεινότητος οὔτε διὰ τῆς δόξης ἐπέγνω τῆς ἀναστάσεως," καὶ ἑξῆς μέχρι τοῦ „τί δέ ἐστι τὸ διαιροῦν τὸν Ἰησοῦν, εἰ μὴ τὴν ἀνθρωπίνην ἀπ' αὐτοῦ φύσιν ἀποχωρίζειν τὸ μυστήριον, δι' οὗπερ ἐσώθημεν μόνου, πειρᾶσθαι μάταιον διὰ πλασμάτων ἀναιδῶν ἀπεργάζεσθαι."

Τὰ μὲν οὖν ῥητὰ τοῦ ἐν ἁγίοις Λέοντος, τά τε ἐπηρεαζόμενα μάτην καὶ ἃ τοὺς ἐπηρεάζοντας καταισχύνουσι, ταῦτα· ἃ τοσοῦτον συσφίγγει τὴν ἕνωσιν, ὥστε θαυμάζειν πῶς ἐκ τούτων οἱ συκοφάνται οὐχὶ σύγχυσιν τοῦ ἀνδρὸς κατεῖπον, ὥσπερ ἐκ τῶν ἐπηρεασθέντων τὴν διαίρεσιν συνεπλάσαντο. τὸ γὰρ λέγειν ὡς ὁ ἀπαθὴς θεὸς οὐκ ἀπηξίωσε παθητὸς γενέσθαι ἄνθρωπος, καὶ ὁ ἀθάνατος νόμοις ὑποκεῖσθαι θανάτου, καὶ ὁ ἄχρονος εἶναι ἤρξατο ἀπὸ χρόνου, πῶς ἔλαθε τοὺς πικροὺς συκοφάντας μὴ συγχύσεως τὸν ἄνδρα γράψασθαι διὰ τούτων; "πλὴν ἀλλ', ὥσπερ τὴν διαίρεσιν 768 R. ἐπιρραπίζει ταῦτα, οὕτω κἀκεῖνα τὴν σύγχυσιν ἀποσκευάζεται.

Τί δήποτε δὲ ὁ συγγραφεὺς διὰ τοιούτων ὥδευσε

a. 1. τρίτον] τὴν A, τὴν μορφὴν mg A. 4. ταῖς] καὶ ταῖς ς. 6. ἀντιπαραθεὶς ς. 30. παρ' expungit Scaliger. τοῦ ὁ γὰρ] γὰρ τοῦ ὁ γὰρ A: γὰρ τοῦ ὁ ς. 31. ἐστι A: ἔτι ς. 38. υἱὸν τοῦ θεοῦ ς.
b. 5. ἄλλος οὐκ ς. 9. τὴν add A. 13. ὅλος — ὅλος pr A. 14. ὡς] ὃς pr A. 26. malim ἀποχωρίζοντας.

Digitized by Google

ῥημάτων; διττὸς τηνικαῦτα κατὰ τῆς ἐκκλησίας συνίστατο πόλεμος, ἐνταῦθα μὲν τὸν Εὐτυχέα φέρων πρωτοστάτην, ἐκεῖθεν δὲ τὸν Νεστόριον, καὶ μετὰ τὴν πληγὴν καὶ τὸ πτῶμα μαχόμενον ἔτι. πρὸς οὓς ἑκατέρους ὁ τῆς εὐσεβείας στρατηγὸς διαμαχόμενος οἰκείοις καὶ καταλλήλοις βέλεσι τοὺς ἀντιπάλους ἐπιτρώσκε, καὶ Νεστορίῳ μὲν πολεμῶν σύγχυσιν διὰ τὴν ὁμολογίαν τῆς ἄκρας ἑνώσεως τοῖς ἀσυνέτοις δοκεῖ παρεισάγειν, Εὐτυχεῖ δὲ συμπλεκόμενος καὶ τὴν τῶν φύσεων διαφορὰν ἀκριβολογούμενος διαφορὰν ὑποστάσεων κατηγορεῖται προτείνειν. δεῖ δὲ τὸν ἀδέκαστον ἀκροατὴν τὸν τοῦ συγγραφέως σκοπὸν ἐξετάζειν καὶ τὸν εἱρμὸν ὅλον τῆς συγγραφῆς ἐπισκοπεῖν. ὅτι δὲ διχόθεν αὐτῷ προσέβαλε τὸ πολέμιον, αὐτὸς γράφων πρὸς τὸν εὐσεβέστατον βασιλέα Λέοντα, καὶ Νεστόριον ἀναθεματίζων καὶ Εὐτυχέα, σαφῶς ἐκδιδάσκει. ἐχρῆν οὖν εὐλαβῶς τοῖς τῶν πατέρων πόνοις προσέχειν, ἀλλὰ μὴ πρὸς διαβολὴν ἀντὶ τοῦ εὐγνωμονεῖν ἑτοίμους εἶναι· καὶ καθάπερ τῶν Ἀρειανῶν τὰ ταπεινὰ ῥήματα καὶ τὸ πάθος εἰς τὴν τοῦ υἱοῦ θεότητα μεταφερόντων, ὡς ἂν αὐτὸν εἰς τὸ ἔλαττον καταγάγωσι τοῦ πατρός, τοὺς πατέρας φατὲ βιαζομένους παχυτέραις χρήσασθαι λέξεσι, τὸν κυριακὸν ὀνομάζοντας ἄνθρωπον καὶ τὸν ἀναληφθέντα. . .

226.

Ἀνεγνώσθη ΕΥΛΟΓΙΟΥ τοῦ ἁγιωτάτου πάπα Ἀλεξανδρείας βίβλος, ἐν ᾗ φαίνεται μὲν τῶν τῆς εὐσεβείας ὑπερμαχῶν δογμάτων, τοὺς δὲ τῆς ἀσεβείας
H. προασπιστὰς "καταισχύνων. προστίθεται δὲ αὐτῷ τοῦ ἐν ἁγίοις πάπα Λέοντος ὁ τόμος, ἐπηρεαζόμενος μὲν καὶ συκοφαντούμενος ὑπὸ Θεοδοσίου, ἐνιαχοῦ δὲ καὶ Σεβήρου, τῶν ἀκεφάλων· στηλιτεύει δὲ τὴν ἄνοιαν αὐτῶν καὶ κακουργίαν, οὐδὲν μὲν ἐπιδεικνὺς ἀληθὲς ἢ ἀναγκαῖον λέγοντας, διεψευσμένα δὲ καὶ συμπεπλασμένα, καὶ οὐ κατ' ἐκείνου μᾶλλον ὁπλιζομένους ᾧ διαπληκτίζονται, ἀλλ' οὐδὲν ἔλαττον κατὰ πάντων ὁμοῦ τῶν ἁγίων, ὧν οὐδὲ τὰς κλήσεις ὡς οὐχὶ τιμῶσιν οὐμενοῦν οὐκ εἰσὶν ἔξαρνοι. καὶ πρό γε πάντων παρίστησιν αὐτοὺς ἐναργῶς, οἷς τὸν εὐσεβῆ διασύρουσι Λέοντα, κατά τε τοῦ θεσπεσίου Κυρίλλου καὶ (τὸ θαυμασιώτερον) καθ' ἑαυτῶν τὴν ψῆφον φέροντας· ἐκείνας γὰρ τὰς φωνάς, ὧν καθυλακτοῦσι, Κύριλλόν τε προκομίζει τὸν θεσπέσιον πολλάκις εἰπόντα, καὶ τῶν ἄλλων ἁγίων τὸν χορόν, ὃν Ἀθανάσιός τε καὶ Γρηγόριοι καὶ Βασίλειος καὶ Ἀμβρόσιος καὶ Ἀμφιλόχιος πληροῦσι. καὶ ὁ τελευταῖος τῆς αὐτῶν μανίας ἔλεγχος, αὐτὸν πολλαχοῦ παράγει Σεβῆρον δογματιστὴν ἐκείνων, οἷς κεχρημένος ὁ ἐν ἁγίοις Λέων μυρίαις αἱρέσεως λοιδορίαις παρά τε Θεοδοσίου καὶ αὐτοῦ Σεβήρου βάλλεται· οὕτω τὴν μανίαν ἐπεδείξατο τοὺς ὑπ' αὐτῆς στρατηγουμένους ἐξοπλίσαι, ὥστε καθ' ἑαυτῶν τὰς πληγὰς καιρίας φέροντας μηδεμίαν λαμβάνειν τοῦ πάθους συναίσθησιν. ἔστι μὲν οὖν οὗτος ὁ συγγραφεὺς καθαρός τε καὶ ἡδύς, καὶ διὰ συντόμου καὶ λείας ὁδοῦ τοὺς ἐλέγχους ποιούμενος, καὶ πρὸς μηδὲν τῶν ἔξω τοῦ ἀναγκαίου φερόμενος. εἰς ιδʹ δὲ κεφάλαια τῶν αἱρετιζόντων "κατα- 769 R.
τεμνόντων τὸν τόμον τοῦ ἐν ἁγίοις Λέοντος, οὗ λαβὰς καὶ αἰτιάσεις καὶ μέμψεις ἀλόγους καταχέουσι, καὶ αὐτὸς εἰς τοσαῦτα καταδιεῖλεν ἀνατροπῆς μέρη τὸν τῆς ἀκεφάλου συκοφαντίας ἰσχυρόν τε καὶ ἄφυκτον ἔλεγχον. ἐπισυνάπτει δὲ τούτοις καὶ τὴν ἀθώωσιν τῆς ἐν Καλχηδόνι συνόδου ὧν αὐτὴν ἡ αἱρετικὴ κατηγορεῖ γλωσσαλγία, τὴν καθ' ὑπόστασιν ἕνωσιν αὐταῖς λέξεσιν οὐ φαμένην φωνήν. δείκνυσι γὰρ πολλοὺς τῶν ἁγίων πατέρων, οὐ μόνον τῶν πρὸ τῆς ἐν Ἐφέσῳ συνόδου ἀλλὰ καὶ τῶν μετ' αὐτήν, τῇ τοιαύτῃ μὲν οὐ κεχρημένους φωνῇ, δι' ἑτέρων δὲ ῥημάτων τὴν αὐτὴν δογματίσαντας εὐσέβειαν· ὃ καὶ ἡ σύνοδος διεπράξατο. οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτὸν τὸν ἁγιώτατον Κύριλλον ἐν τῇ πρὸς τοὺς ἀνατολικοὺς ἑνώσει ταῖς τοιαύταις προφέρει μὴ κεχρημένον λέξεσι. φησὶ δὲ καὶ ὅτι ἡ καθ' ὑπόστασιν ἕνωσις τῷ θεσπεσίῳ Κυρίλλῳ βούλεται δηλοῦν, ὡς ἡ τοῦ λόγου ὑπόστασις ἀνθρωπείᾳ φύσει ἡνώθη ἀτρέπτως. οὐ μὴν ἀλλ' ὅτι καὶ ἡ τετάρτη ἁγία σύνοδος τὰ παρὰ Κυρίλλου πρὸς Νεστόριον γραφέντα δι' αἰδοῦς καὶ ἀποδοχῆς ποιησαμένη, ἐν οἷς οὐχ ἅπαξ ἀλλὰ καὶ δὶς καὶ τετράκις ἡ καθ' ὑπόστασιν ἕνωσις τοῦ λόγου περιφανῶς ἐκηρύττετο, τὰ τῶν αἱρετικῶν ἐμφράττει στόματα, οἷς αὐτὴν οὐ φρονεῖν οὐδὲ τὴν καθ' ὑπόστασιν ἕνωσιν συνεπλάσαντο. καὶ ἁπλῶς ὅσα ἂν αἰτιᾶσθαι οἱ ἀκέφαλοι τὸν θαυμάσιον ἐπήρθησαν Λέοντα καὶ τὴν ἐν Καλχηδόνι "ἁγίαν τετάρτην σύνοδον, συντόμῳ λόγῳ τοῦ αἰτιά- 401 H.
ματος ἀπολύων, ἀναντιρρήτοις ἐλέγχοις τοὺς ἐπηρεαστὰς καταισχύνει, καὶ δείκνυσι μᾶλλον αὐτοὺς καθ' ἑαυτῶν

a. 13. συγγραφῆς A: γραφῆς ς. 24. post ἀναληφθέντα in A columnae vacant 3½, in C paginae 1½. 27. μὲν τῶν] immo τῶν μέν. 38. τε ς. b. 1. ὑπόντα ς. 7. προβάλλεται ς. 8. ἐξοπλίζων ς. 9. οὐδεμίαν ς. 20 et 39. Καλχηδόνι ς. αὐτὴ A. 28. τοὺς add A.



Digitized by Google

ἢ καθ' ὧν παρετάξαντο καὶ κατὰ τῶν ἁγίων ἡμῶν πατέρων ἢ καθ' ἡμῶν πόλεμον ἔχοντας.

Οὗτος δ' ὁ ἐν ἁγίοις Εὐλόγιος πρεσβυτέρου βαθμὸν ἐν Ἀντιοχείᾳ εἶχε τὸ πρότερον, καὶ μονῆς ἡγήσατο τῆς παναγίας θεοτόκου τῆς λεγομένης τῶν Ἰουστινιανοῦ. κατεβάλετο δὲ καὶ ἑτέρας οὐκ ἀγενεῖς πραγματείας. ὕστερον μέντοι καὶ τῆς Ἀλεξανδρείας ἀρχιερεὺς ἐχρημάτισεν.

## 227.

Ἀνεγνώσθη λόγος στηλιτευτικὸς τοῦ αὐτοῦ ἐν ἁγίοις ἀνδρὸς κατὰ τῆς γεγενημένης τοῖς Θεοδοσιανοῖς τε καὶ Γαϊνίταις τοῖς αὐτοῖς ἀκεφάλοις προσκαίρου ἑνώσεως. οὗτοι γὰρ διιστάμενοι πρὸς ἀλλήλους πρότερον, ὕστερον ὧν ὑπερέθνησκον δογμάτων, ταῦτα προδόντες ἀλλήλοις εἰς ἑνωτικήν τινα πρὸς ὀλίγον ἀσέβειαν συνεχύθησαν, ἐκεῖθεν δὲ πάλιν ἀναχυθέντες εἰς τὴν προτέραν ἀσέβειαν μερὶς ἑκατέρα, ἐξ ὧν συνεφύρησαν, διηρέθησαν. ἐλέγχει τοίνυν ἐν τῷδε τῷ βιβλιδαρίῳ τὴν δυσσέβειαν αὐτῶν, καὶ δείκνυσιν ὅτι περ οὐχ ὡς ἐκείνοις ἔδοξεν οἰκονομίαν αὐτοῖς ἡ ἕνωσις ἐξειργάσατο, ἀλλ' ὅλης αὐτῶν τῆς πίστεως προδοσίαν ἐμεθώδευσε. διαιρεῖ δὲ καὶ τὸ τῆς οἰκονομίας εἶδος, ὅπερ ἡ τοῦ θεοῦ οἶδεν ἐκκλησία, τρισὶ διαφοραῖς, καὶ ὡς κατὰ μηδεμίαν τῶν τριῶν προῆλθον αὐτοῖς εἰς τὴν συμπεφυρμένην ἀσέβειαν, ποιεῖται τὸν ἔλεγχον, αἱ τῶν ἀκράτων αὐτοῖς δυσσεβημάτων σπονδαί, ἀλλ' (ὡς ἔφημεν) τῆς ὅλης αὐτῶν θρησκείας ἑκατέρα μερὶς ἐπ' ὀνόματι τῆς ἑνώσεως προδοσίαν καὶ ἐξάρνησιν διεπράξατο. καὶ πρῶτον μέν φησιν ὡς ὁ τῆς οἰκονομίας λόγος οὐ τὰ τυχόντα τῶν προσώπων ἐπόπτας καὶ διαιτητὰς καθίζει τῆς πράξεως, ἀλλὰ τοὺς ὑπηρέτας Χριστοῦ καὶ οἰκονόμους τῶν τοῦ θεοῦ μυστηρίων, καὶ οἷς τῶν ἀρχιερατικῶν θρόνων
772B. οἱ νόμοι κατεπιστεύθησαν, ὧν ἡ λεγομένη τῶν Γαϊνιτῶν καὶ Θεοδοσιανῶν ἕνωσις οὐδένα ἐγίνωσκεν. ἔπειτα δὲ τότε τὰς οἰκονομίας ὁ ὀρθὸς λόγος μεταχειρίζεται, ὅτε τὸ δόγμα τῆς εὐσεβείας οὐδὲν παραβλάπτεται· ἐκείνου γὰρ ἀκηράτου καὶ ἀκαπηλεύτου μένοντος, ἡ οἰκονομία περί τι τῶν ἔξωθεν αὐτοῦ χώραν εὑρίσκει συνίστασθαι. πολλάκις δέ τις καὶ πρόσκαιρος οἰκονομία προελήλυθε πρὸς βραχύ τι τῶν οὐκ ὀφειλόντων ἀναχομένη καὶ στέξασα ἐπὶ τῷ διηνεκὲς μὲν καὶ ἀκλόνητον τὴν εὐσέβειαν ἀπολαβεῖν τὸ κράτος, ὑπεκλῦσαι δὲ καὶ τὰς τῶν σκευωρούντων κατὰ τῆς ἀληθείας ὁρμάς, αἳ πολλαὶ φερόμεναι τῇ ῥύμῃ μέγα τι κακὸν ἐργάσασθαι, μὴ πρὸς βραχύ τι τῶν τὴν ἐκκλησίαν οἰκονομούντων ὑπενδιδόντων, παρεῖχον τὸ ἀναμφίβολον. οὕτως ὁ Παῦλος διὰ τὰς τῶν Ἰουδαίων ἀκαθέκτους ἐπιβουλὰς καὶ τὰς πρὸς τὴν ἀποστασίαν προφάσεις περιτέμνει μὲν τὸν Τιμόθεον, ξυρᾶται δὲ καὶ αὐτὸς τὴν κεφαλὴν καὶ ἁγνίζεται, ὁ πρὸς Γαλάτας γράφων „ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν ὅτι, ἂν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει." ἀλλὰ ταύτην μὲν τὴν οἰκονομίαν βραχύς τις χρόνος ἐπίσταται, καθὰ διδάσκει καὶ τὸ παράδειγμα· διὰ παντὸς δὲ καὶ B
εἰσαεὶ ἡ ἐκκλησία τὸ ἀστασίαστον μεθοδεύει καὶ ὁλόκληρον.

τὸ δὲ ἕτερον εἶδος τῆς οἰκονομίας περὶ τὰς λέξεις λαμβάνει τὴν σύστασιν. ὅτε γάρ, τῶν τῆς ἐκκλησίας δογμάτων ὀρθῶς ἐχόντων καὶ δι' ἑτέρων φωνῶν ἀνακηρυττομένων, ῥήματά τινα τοῖς ἀκεραιοτέροις σκανδάλου κἂν οὐκ εὔλογοι γίνωνται προφάσεις, ἀποσιωπᾶσθαι συγκαταβαίνει ταῦτα. ὁ δὲ τοὺς λόγους αὐτοῦ οἰκονομῶν ἐν κρίσει καὶ σιωπῇ, τῶν εὐσεβῶν δογμάτων τὸν φθόγγον εἰς πᾶσαν τὴν οἰκουμένην περιηχηθῆναι καταπραγματεύεται. οἷα δὴ καὶ τὸν μέγαν Ἀθανάσιον ὁ θεολόγος Γρηγόριος πεποιηκότα ἐπιδείκνυσιν· „ἐπειδὴ γὰρ" φησί „συμφρονοῦντας εὗρε καὶ οὐδὲν διεστῶτας κατὰ τὸν λόγον, τὰ ὀνόματα συγχωρήσας συνδεῖ τοῖς πράγμασι." καὶ ἐν τῇ πεντηκοστῇ δὲ πάλιν τὸν αὐτὸν διδάσκαλον ἴδοις ἂν τῆς αὐτῆς οἰκονομίας τὸ εἶδος κρατύνοντα· „ἀλλὰ ταῖς συλλαβαῖς" φησί „δυσχεραίνετε, καὶ προσπταίετε τῇ φωνῇ. δότε τὴν δύναμιν τῆς θεότητος, καὶ δώσομεν ὑμῖν τῆς φωνῆς τὴν συγχώρησιν."

καὶ τρίτον δέ φησι τρόπον οἰκονομίας, ὅτε παρορῶνται πρόσωπα πολλάκις ἐκκήρυκτον ψῆφον τῆς ἀκριβείας κατ' αὐτῶν ἀνακηρυττούσης, οὐδὲν ἔλαττον τῶν ὀρθῶν κρατυνομένων δογμάτων. καθ' ἥν, φησίν, οἰκονομίαν Θεόφιλος μὲν τῷ Γελασίῳ ἐκοινώνει, ἐγγεγραμμένον ἔχοντι τοῖς ἱεροῖς διπτύχοις τὸν Παλαιστῖνον Εὐσέβιον, Κύριλλος δὲ τοῦ Μοψουεστίας Θεοδώρου, κατὰ τὴν ἑῴαν ὡσαύτως ἀνακηρυττομένου, τῆς κοινωνίας οὐκ ἀφίστατο· ἑώρα γὰρ ἀκηράτοις σωζόμενα δόγμασι τὰ τῆς εὐσεβείας καιριώτατα. μέχρι γὰρ τούτου τὰ τῆς οἰκονομίας ὁ ὀρθὸς λόγος ἀνέχεται, μέχρις ἂν οὐδὲν καινοτομῆται τῶν τῆς ἐκκλησίας δογμάτων.

a. 14. πρὸς ὀλίγον corr A: πρὸ ὀλίγων ς. 19. οἰκονομίαν] cf. Elias Veielius de variis oeconomiae sacrae generibus. 25. σπονδαὶ corr A: σπουδαὶ ς. 37. εὑρίσκει] οὐχ εὑρίσκει rc A et ς. 39. καὶ στέξασα A: στέξασα ς. cf. p. 223 a 37. 40. τῷ Scaliger: libri τὸ.
b. 2. μεγα] καὶ μέγα A. 11. καθὸ ς. 18. δὲ om A. 21. δὴ A: δὲ ς. 26. κρατύνοντα τὸ εἶδος ς. 35. παλατῖνον ς. 39. κυριώτατα ς.

Τριχῇ τοίνυν τὴν οἰκονομίαν διελών, καὶ κατ᾽ οὐδεμίαν αὐτῶν τὴν τῶν Θεοδοσιανῶν καὶ Γαϊνιτῶν προελθεῖν ἐπιδειξάμενος ἕνωσιν, εἰς προδοσίαν συγκλεισθέντας ἑκάτερον μέρος τῆς οἰκείας θρησκείας παρέστησε, καὶ στῆναι μὲν οὐδαμοῦ, ἀλλὰ συγχυθέντας πάλιν ἀπ᾽ ἀλλήλων διαρραγῆναι καὶ κατ᾽ ἀλλήλων φέρειν τὸν πόλεμον. ταῦτα καὶ τοιαῦτα ἕτερα, στηλιτεύων τὴν τῶν ἀκεφάλων λεγομένην ἕνωσιν, διεξελθών, διὰ πλειόνων
773 R. ἄλλων ἐναργῶς ἐπεδείξατο ὡς οὐδὲν αὐτοῖς ἴχνος οἰκονομίας διαπέπρακται, ἀλλὰ σαφὴς προδοσία καὶ ἐξάρνησις, ὑπὲρ ὧν πρότερον μυριάκις ὑπελθεῖν τὸν θάνατον διετείνοντο. οὕτω μὲν τὰ περὶ τῶν ἀκεφάλων ἐν τῷ βιβλιδαρίῳ τούτῳ διέξεισι.

Περιεῖχε δὲ τὸ τεῦχος καὶ ἐπιστολὴν αὐτοῦ γεγραμμένην Εὐτυχίῳ τῷ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως, ἣν ἔγραψεν ἐν πρεσβυτέροις ἔτι τελῶν, πληροφορίαν περιέχουσαν τῆς ὀρθοδόξου καὶ καθολικῆς εὐσεβείας καὶ πίστεως.

## 228.

Ἀνεγνώσθη τοῦ ἐν ἁγίοις ΕΦΡΑΙΜΙΟΥ (πατριάρχης δὲ οὗτος Θεουπόλεως ἦν) λόγοι διάφοροι· Σύρος
403 H. μὲν γεγονὼς καὶ φωνῆς καὶ γένους, παιδευθεὶς δὲ καὶ τὴν Ἑλληνα γλῶσσαν οὐκ ἀγεννῶς, ἀλλὰ καὶ πολιτικὰς οὐκ ὀλίγας μεταχειρισάμενος ἀρχάς, ὧν τὴν τελευταίαν, κόμης ἀναρρηθεὶς τῆς ἀνατολῆς, ἐκεῖθεν ἐπὶ τὸν ἀρχιερατικὸν μετηνέχθη θρόνον. φασὶ δὲ αὐτὸν τά τε ἄλλα ἐπαίνων ἄξια διαβιῶναι, καὶ πολὺν τῆς ἐλεημοσύνης ἐργάτην γενέσθαι. συνέταξε μὲν οὖν ὁ ἀνὴρ διαφόρους βίβλους, ὧν εἰς ἡμᾶς τέως τρεῖς περιῆλθον. σχεδὸν δέ τι αὐτοῦ πάντες, οὓς τεθεάμεθα πόνους, ὑπὲρ τῶν τῆς ἐκκλησίας σπουδάζουσι δογμάτων, καὶ τοῦ παραστῆσαι τὴν κατὰ Καλχηδόνα ἁγίαν σύνοδον πάσης λαβῆς αἱρετικῆς ὑπερκειμένην καὶ ἐπικρατοῦσαν.

Ἐν μὲν οὖν τῇ πρώτῃ βίβλῳ ὁ πρῶτος αὐτῷ λόγος ἐπιστολή ἐστι πρὸς Ζηνόβιόν τινα σχολαστικὸν Ἐμίσης, τῆς ἀκεφάλου μοίρας ὄντα, διαπεμφθεῖσα· σπουδὴν δὲ ποιεῖται περὶ τῶν ἐπηρεαζομένων ῥημάτων, ἃ ἐν τῇ ἐπιστολῇ περιέχεται τοῦ ἁγιωτάτου Λέοντος προέδρου Ῥώμης. προτάττει δὲ τῆς γυμνασίας τῶν εἰρημένων ῥημάτων δίαιτάν τινα τοῦ τρισαγίου ὕμνου· καὶ γὰρ καὶ ὁ Ζηνόβιος τῆς κοινῆς ἐκκλησίας ἑαυτὸν ἀπορρήξας πρόφασιν ἐδίδου τὴν περὶ τὴν τρισάγιον δοξολογίαν καινοτομίαν. φησὶ δὲ ὁ Ἐφραίμιος τὴν τοιαύτην ὑμνολογίαν τοὺς μὲν τὴν ἀνατολὴν οἰκοῦντας εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀναφέρειν, καὶ διὰ τοῦτο μηδὲν ἐξαμαρτάνειν ἐπισυνάπτοντας τὸ „ὁ σταυρωθεὶς δι᾽ ἡμᾶς," τοὺς δὲ τὸ Βυζάντιόν τε καὶ τὴν ἑσπερίαν νεμομένους εἰς τὴν ὑπερτάτην καὶ πανίερον πηγὴν τῆς ἀγαθότητος, τὴν ὁμοούσιον τριάδα, τὴν δοξολογίαν ἀνάπτειν· διὸ μηδ᾽ ἀνέχεσθαι τούτους ἐπισυνάπτειν τὸ „ὁ σταυρωθεὶς δι᾽ ἡμᾶς," ἵνα μὴ πάθος τῇ τριάδι περιάψωσιν. ἐν πολλαῖς δὲ ταῖς κατὰ τὴν Εὐρώπην ἐπαρχίαις ἀντὶ τοῦ „ὁ σταυρωθεὶς δι᾽ ἡμᾶς" τὸ „ἁγία τριὰς ἐλέησον ἡμᾶς" ἐπάγειν· ἐξ ὧν ἐπιδηλότερον τὸν σκοπὸν τῶν εὐσεβούντων καθίστασθαι, ὡς εἰς τὴν ἁγίαν τριάδα τὸ „ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος" ἀνάγοντες ἀκριβεῖ καὶ ἀκολούθῳ λόγῳ τὸ „ὁ σταυρωθεὶς δι᾽ ἡμᾶς" παραγράφονται. οὕτω μὲν οὖν ἑκατέραν μοῖραν περὶ τῆς προκειμένης δοξολογίας φρονοῦσάν τε καὶ λέγουσαν, ἐπειδὰν κατὰ τὰ ἄλλα τῆς εὐσεβείας δόγματα μηδαμῶς μηδὲν ὁρᾶται παραχαράττουσα, ὀρθῶς τε πράττειν ὁ ἀνὴρ ἀμφοτέρας λέγει καὶ οὐδετέραν χώραν εὑρίσκειν ὑπὸ μῶμον ποιεῖν τὴν ἑτέραν ἢ ὑπὸ κατάγνωσιν ἕλκειν ὕβρεως. ἀλλ᾽ ἐκεῖνος μὲν οὕτω διαιτᾷ· ὅτι δὲ τοῖς ἀκεφάλοις αἱρετικοῖς, κακῶς τὴν δοξολογίαν ταύτην ἐκλαμβάνουσι, μεγάλη γίνεται κατὰ τῆς εὐσεβείας καταδρομή, εἰκότως οἱ ἄλλοι πατέρες ἡμῶν παντελῶς περιεῖλον τὸ μὴ δεῖν προσάπτειν ἐν τῇ τρισ- 776 R.
αγίῳ δοξολογίᾳ τὸ „ὁ σταυρωθεὶς δι᾽ ἡμᾶς·" τῆς γὰρ τριαδικῆς θεολογίας ὕμνον εἶναι τὸ δοξολόγημα, ἐπεὶ καὶ ὁ Χερουβικὸς ὕμνος ἐν τῇ τριαδικῇ φωνῇ τῆς ἁγιότητος προερχόμενος ἀπ᾽ ἀρχῆς τῆς ὑπὲρ πᾶσαν ἁγιότητα καὶ ἀγαθότητα τριάδος μελῴδημα ἐγνωρίζετο. ἀλλ᾽ εἴτε εὖ εἴτε καὶ ἑτέρως περὶ τοῦ τρισαγίου διῄτησεν ὁ ἀνήρ (τάχα γάρ τινα παρεῖχεν αὐτῷ πρόφασιν ὁ 404 H.
καιρὸς τοιαῦτα διαιτᾶν), οὐκ ἔχω νῦν οὐδὲ ἑτέρᾳ γνώμῃ κρίσιν ἐπιθεῖναι ἀδίστακτον. πλὴν οὐκ ἀνίησι τὸν σχολαστικὸν παραινῶν τῷ τῆς ἐκκλησίας συναφθῆναι σώματι.

Ἐν ταύτῃ δὲ τῇ ἐπιστολῇ καὶ τὸν κανόνα, ὃς δεύτερος ἀριθμεῖται ἐν τῇ δευτέρᾳ τῶν ἐν Κωνσταντινουπόλει ρνʹ ἱερωτάτῃ συνόδῳ, αὐτὸς ρξϛʹ εἶναι, οὐκ οἶδ᾽ ὅθεν λαβὼν οὐδὲ τίσιν ἄλλοις συντάττων, ἀριθμεῖ. οὐκ ἐν ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ ἐν ἄλλοις αὐτοῦ λόγοις τὴν αὐτὴν αὐτῷ τῆς ποσότητος ἀπονέμει χώραν.

Ἀρχόμενος δὲ τῆς ὑπὲρ τῶν ὀρθῶν δογμάτων σπουδῆς, προοιμιάζεται μὴ δεῖν συγκρίνειν ἃ περὶ θεολογίας εἴρηται τοῖς πατράσιν ἡμῶν, τοῖς περὶ οἰκονομίας εἰρημένοις Λέοντι τῷ Ῥώμης, ἀλλὰ τὰ μὲν θεολογικὰ

a. 30. τι A: τοι ς. 41. ἀπορρῆξαι A. b. 37. εἶναι] καὶ εἶναι ς.

τȣ̃τȣ τοῖς θεολογικοῖς, τὰ δὲ περὶ τῆς οἰκονομίας τοῖς ἔχȣσιν ἀναλόγως. ὅσοι δὲ τὴν θεολογίαν ἀντιπαρατιθέασι τῇ οἰκονομίᾳ, οὗτοι γνώμης μὲν ἀδίκου τῆς ἑαυτῶν παρέχονται ϛήλην, καθ᾽ ὧν δὲ τὴν γλῶσσαν κινȣ̃σι, τȣ́τοις ȣ̓δὲν ἧττον ἢ εἰ μὴ ἐκεκίνητο τὸ ἄμωμον συντηρȣ̃σι. ταῦτα προδιασκευάσας ῥητὰ προάγει τινὰ τῆς ἐπιϛολῆς τȣ̃ ἁγιωτάτȣ Λέοντος, ἣν ἐκεῖνος ἔγραψε πρὸς τὸν ἐν ἁγίοις Φλαβιανόν, ϗ μὴν ϗ τῆς πρὸς Λέοντα τὸν βασιλέα, ἐν αἷς θεολογίαν τε λαμπρὰν τȣ̃ ἀνδρὸς ἐπιδεικνύει, καὶ ὅτι τὸν αὐτὸν υἱὸν τȣ̃ θεȣ̃ ϗ ἀληθῶς υἱὸν ἀνθρώπȣ γενέσθ⁊ μεγαλοφώνως ἀνακηρύττει, παθητόν τε τὸν αὐτὸν καὶ ἀπαθῆ, ϗ τὸν ἀθάνατον νόμοις ὑποκύψαι θανάτȣ, ϗ ἁπλῶς τὴν ἄκραν ἕνωσιν τȣ̃ λόγȣ καὶ τῆς σαρκὸς ἀμωμήτως τε καὶ θεοπρεπῶς διετράνωσεν. ȣ̓ μὴν ἀλλὰ καὶ Νεϛόριον λαμπρᾷ τῇ φωνῇ ἐν ταῖς τοιαύταις ἐπιϛολαῖς ἀναθεματίσαι, ὡς τὴν μακαρίαν καὶ θεοτόκον Μαρίαν ȣ̓χὶ τȣ̃ θεȣ̃, ἀνθρώπȣ δὲ μόνον τολμήσαντα εἰπεῖν μητέρα· ϗ ὅτι πρῶτος ὁ ἐν ἁγίοις Λέων ἰδικῶς εἶπεν αὐταῖς λέξεσιν ὡς μήτηρ θεȣ̃ ἐϛὶν ἡ ἁγία θεοτόκος, τῶν πρὸ ἑαυτȣ̃ πατέρων ȣ̃τω διαπρυσίοις ῥήμασι μὴ τȣ̃το φαμένων. τὸ μὲν ȣ̓̃ν πρῶτον αὐτῷ κεφάλαιον ταῦτα διατάττει.

δεύτερον δὲ αὐτῷ προάγεται, δι᾽ ȣ̃ δείκνυται ὡς ὁ ὁσιώτατος Λέων τοῖς πατράσι συμφωνῶν ἕνα τὸν αὐτὸν ὁμολογεῖ υἱόν, ϗ τȣ̃ αὐτȣ̃ ϗ ἑνὸς ὥσπερ ἑκατέραν μορφήν, ȣ̃τω καὶ τὴν διάφορον φυσικὴν ἐνέργειαν, ȣ̓δαμȣ̃ διαίρεσιν τῇ ἑνώσει παρεισάγων, ἀλλ᾽ ἕνα τὸν σεσαρκωμένον ἀνυμνεῖ θεὸν λόγον. παρατίθησι δὲ ταῖς φωναῖς τοῦ ὁσίȣ Λέοντος τὰ Κυρίλλȣ δόγματα, δεικνὺς κατὰ πάντα συμφωνȣ̃ντα, ϗ δὴ ϗ Γρηγορίȣ τȣ̃ Νύσσης, ἀλλὰ ϗ Ἰȣλίȣ τȣ̃ Ῥώμης. ἔτι μὴν παρίϛησι τὴν λέξιν, ᾗπερ χρησάμενος ὁ ἐν ἁγίοις Λέων διαβολὴν ἀσεβείας ὑπέϛη παρὰ τῶν ἀπὸ Σεβήρȣ, αὐτὴν ταύτην ȣ̓χ ἅπαξ ȣ̓δὲ δὶς ἀλλὰ ϗ πεντάκις εἰρημένην Κυρίλλῳ, φημὶ δὴ τὸ ἑκατέρας. οὐ Κύριλλον δὲ μόνον τὸν νικηφόρον χρῆσθ⁊ τῇ φωνῇ, 405 H. καθ᾽ ἧς "μεμηνότες οἱ ἀπὸ Σεβήρȣ δυσσέβειαν τῷ θεοφόρῳ ἐπιγράφȣσι Λέοντι, ἀλλὰ ϗ τὸν θαυμαϛὸν Βασίλειον. ȣ̓κ ἐν ταύτῃ δὲ μόνῃ τῇ φωνῇ συμφωνεῖν τοῖς τῶν πατέρων λογάσι τὸν ἐν ὁσίοις ἀπο- 777 R. δείκνυσι Λέοντα, "ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασι δόγμασί τε καὶ ῥήμασι, καθ᾽ ὧν ὑλακτεῖν οἱ αἱρεσιῶται ȣ̓ πεφρίκασι· τȣ́ς τε γ̀ εἰρημένȣς πατέρας ὁμοδοξεῖν τε καὶ ὁμολογεῖν τῷ ἀνδρί, ϗ μὴν καὶ Ἀθανάσιον, τὸν πολύαθλον, ϗ τὸν ἐν θεολογίᾳ περιβόητον Γρηγόριον, Πρόκλον τε τὸν Κωνϛαντινουπόλεως καὶ Ἀμφιλόχιον τὸν Ἰκονίȣ καὶ τὸν θαυμάσιον Ἰωάννην τὸν Χρυσόϛομον. ἀλλὰ ταῦτα μὲν καὶ τὸ δεύτερον αὐτῷ διαπραγματεύεται κεφάλαιον.

τὸ δὲ τρίτον, ὅτι τὰ ἄρθρα προταττόμενα τῶν ἐν τῷ Χριϛῷ φύσεων ȣ̓δαμῶς υἱῶν δυάδα ἐπινοεῖν ὑμνȣ̃ν ȣ̓χ ὑποτίθεται, ἀλλ᾽ ἔϛιν ἰδίωμα τῆς θείας γραφῆς, ȣ̓ προσώπων μέν (ὡς εἴρηται) δυάδα παρεισάγον, τὰς ἑνωθείσας δὲ φύσεις ἀτμήτȣς τε καὶ ἀδιαιρέτȣς διαφυλάττον. καὶ γ̀ καὶ ταύτην τὴν ἐπήρειαν κατὰ τῆς τȣ̃ Λέοντος ἐπιϛολῆς ἡ αἱρετικὴ λύσσα κατέχεεν, εἰπόντος αὐτȣ̃ „ὥσπερ ἐν τῷ ἐλεεῖν ὁ θεὸς τροπὴν ȣ̓χ ὑφίϛαται, ȣ̃τως ὁ ἄνθρωπος τῷ μεγέθει τῆς ἀξίας ȣ̓κ ἀναλίσκεται." ὅπερ ȣ̓̃ν εἴρηται, κατὰ τὸ τρίτον κεφάλαιον ἔκ τε τῶν εὐαγγελικῶν φωνῶν ϗ ἐκ τῶν ἀποϛολικῶν, καὶ δὴ καὶ ἐκ τῶν μακαρίων πατέρων ἡμῶν, Ἰγνατίȣ τȣ̃ θεοφόρȣ καὶ Ἰȣλίȣ καὶ Ἀθανασίȣ καὶ Γρηγορίων καὶ Βασιλείȣ, διελέγχει τȣ̀ς δυσσεβεῖς ὡς ἡ τῶν ἄρθρων χρῆσις (πάντες γ̀ ȣ̃τοι τȣ́τοις ἐχρήσαντο) ȣ̓δεμίαν τομὴν ἢ διαίρεσιν ἐπινοεῖ τῆς ἑνώσεως. ἐν οἷς ὑποφέρει ὅτι καὶ τὸ „ἐν ὅσῳ τὰ συναμφότερα μετὰ ἀλλήλων ἐϛίν" (εἰρημένον δέ ἐϛι τȣ̃το τῷ ὁσιωτάτῳ Λέοντι) ȣ̓ χρόνȣ δήλωσιν, ἀλλ᾽ ἀντὶ τȣ̃ διὰ παντὸς παραλαμβάνεται.

τέταρτον δὲ κεφάλαιον εἰς μέμψιν παρὰ τῶν αἱρετικῶν προταθὲν ἀνεύθυνον παντελῶς ἀποφαίνει διὰ τῆς ὁμοίας μεθόδȣ, φωνὰς συμβαινȣ́σας τῷ αἰτιαθέντι παρατιθείς, αἷς ὁ χορὸς τῶν ἁγίων ἡμῶν πατέρων χρῆσθ⁊ εἰώθασι. τὸ δὲ κεφάλαιον φωναὶ μέν εἰσι τȣ̃ ἐν ἁγίοις Λέοντος, λέγȣσι δὲ ταῦτα „τῷ μὲν κλαίειν τὴν βεβαιότητα τῆς αὐτȣ̃ σαρκὸς ἐπεδείκνυτο, τῷ δὲ ἀναϛῆσαι πρὸς τὸ κέλευσμα τῆς αὐτȣ̃ φωνῆς τὴν ἄχραντον αὐτȣ̃ θεότητα ἐδήλȣ. ἑνὸς δὲ ϗ τȣ̃ αὐτȣ̃ ἀμφότερα πέπρακταί τε ϗ λέλεκται."

πέμπτον δὲ λαβὴν προταθεῖσαν παρὰ τῶν αὐτῶν αἱρετικῶν κατὰ φωνῶν ὁμοίων τȣ̃ αὐτȣ̃ ἱερȣ̃ ἀνδρὸς διὰ τῆς ὁμοίας ἐπιῤῥαπίζει μεθόδȣ. ἔϛι δὲ ἡ φωνὴ „ποία φύσις διαπέπαρται τοῖς ἥλοις ἐν τῷ τȣ̃ ϛαυρȣ̃

a. 5. ἢ libri om. 6. προσάγει τινὰ τῇ ἐπιϛολῇ ς. 19. ὁ add *A*, qui in mg: πῶς τοῦτό φησιν; Κύριλλος γὰρ καὶ ἄλλοι προεῖπον. ἢ ὅτι θεοτόκον μὲν λέγȣσιν, μητέρα δὲ θεοῦ οὐκ εἶπον, κἂν μηδὲν διενήνοχεν. 35. ταύτην add *A*.
b. 2. ὀρθοδοξεῖν ς. 7. αὐτῷ καὶ τὸ δεύτερον ς. 11. θείας] ἱερᾶς *A*. 27. οἱ] οὐ πρὸς Scaliger.
37. ἑνὸς] παρ᾽ ἑνὸς Rothom.

ξύλῳ τοῦ προσπεπηγότος τῷ σταυρῷ;" ἐν τούτῳ τῷ 406 H. κεφαλαίῳ καὶ "Ἰσιδώρου τοῦ ἐν μονάζουσι περιβλέπτου (Ἀλεξανδρεὺς δὲ τὸ γένος οὗτος ἦν, καὶ τοῖς ἀρχιερεῦσιν αἰδέσιμος) διαφόρους ἐξ ἐπιστολῶν διαφόρων χρήσεις ἐπιφέρει, αἳ κατὰ πάντα συμβαίνουσι ταῖς παρὰ τῶν αἱρετικῶν ὡς οὐκ εὐσεβέσι συκοφαντουμέναις.

Ἀλλὰ ταῦτα μὲν ἡ πρὸς Ζηνόβιον ἐπιστολὴ τὰ κεφάλαια πόνον ἐποιεῖτο. ἕτεραι δὲ αὐτῷ πρὸς τὸν βασιλέα Ἰουστινιανὸν γράφονται ἐπιστολαί, ἡ μὲν αὐτοῦ τὴν εὐσέβειαν ἀποδεχομένη, ἡ δὲ ἀσκητῶν τινῶν εὐσεβῶν τὴν ἔρημον οἰκούντων διαμαρτυρίαν ὑπὲρ εὐσεβείας προτεινομένη, ἑτέρα δὲ τὰ τοῦ Ἀνθίμου συνοδικὰ κατὰ τὴν ἀκρίβειαν τῶν τῆς ἐκκλησίας δογμάτων ἀξιοῦσα διατυπωθῆναί τε καὶ ἀποσταλῆναι. ἄλλη δὲ πρὸς αὐτὸν τὸν Ἄνθιμον μετὰ τὰ συνοδικὰ σταλεῖσα, [καὶ] τὴν ἐκείνων ἀποδοχὴν οὐ παραιτουμένη, ἅτε μηδὲν ἐν αὐτοῖς τοῦ Ἀνθίμου ἐμφανίσαντος τῆς δυσσεβείας, πλὴν προσθεῖναι τὸν Ἄνθιμον ἐξαιτεῖ λεπτοτερέστερόν τε καὶ ἀκριβέστερον Εὐτυχῆ τε καὶ τὰ Εὐτυχοῦς δόγματα εἰς ἀνάθεμα θέσθαι.

780 R. Γράφει δὲ καὶ πρὸς Δομετιανὸν ἐπιστολήν, ὃς ἐντυχὼν (ὡς τὸ γράμμα λέγει) ῥήμασί τισι τοῦ ἀνδρὸς διεταράχθη τε τοὺς λογισμοὺς καὶ ἐπιλυθῆναι τὴν ἀπορίαν ἐζήτησε. τὰ δὲ ῥήματα ἔλεγε ταῦτα „οὐκ ἔστιν ὑπόστασιν ὑποστάσει ἑνωθῆναι καθ' ὑπόστασιν, οἷον Παῦλον καὶ Πέτρον μίαν ὑπόστασιν ἀποτελέσαι ἀδύνατον. ἀλλ' οὐδὲ οὐσίαν ἑτέρᾳ οὐσίᾳ, καθὸ ἑτεροούσια, εἰς ταυτότητα συνελθεῖν οὐσίας, οἷον ψυχῆς καὶ σώματος οὐσίαν μίαν οὐσίαν ἀποτελέσαι ἀμήχανον, εἰ μήπω ἄρα τις εἰς κοινότητά τινα ταύτας ἀνάγῃ, καθ' ἣν καὶ πρὶν ἑνωθῆναι ἀλλήλων οὐ διέφερον, οἷον τὸ εἰς τὸ κτιστὸν ἀναφέροι ἢ τὸ ὑπὸ χρόνον ἢ τὰ ὅμοια. τότε γὰρ οὐκέτι ἑτεροούσιαι οὐσίαι εἰς μίαν οὐσίαν συνῆλθον, ἀλλ' αἱ ἀπ' ἀρχῆς ἔχουσαι οὐσίαι τὸ ὁμοούσιον κατὰ τὴν πορρωτάτω κοινότητα τὸ αὐτὸ φυλάττουσαι ἐπεδείχθησαν." ἃ μὲν οὖν τὸν Δομετιανὸν ἐθορύβει, καὶ ὧν τὴν λύσιν ἐπεζήτει καὶ ἔτυχε, ταῦτα ἦν· ὁ δὲ πρῶτον μὲν οὐκ ἀπιθάνῳ λογισμῷ τὴν ἀμφισβήτησιν περιέρχεται, εἶτα δὲ καὶ διὰ τῶν πατρικῶν φωνῶν τὰ οἰκεῖα καὶ προκείμενα καλῶς ἔχειν βεβαιοῖ ῥήματα. καὶ ἡ μὲν πρὸς Δομετιανὸν ἐπιστολὴ ταῦτα ἔπραττεν.

Ἄλλη δὲ πρὸς Συγκλητικὸν τοὔνομα (Ταρσοῦ δὲ μητροπολίτην αὐτὸν τὸ γράμμα οἶδε) διαπέμπεται, τὸν ἀγῶνα καὶ αὐτὴ τὸν κατὰ τῶν ἀκεφάλων προάγουσα. ἐν ᾗ μετὰ τὴν ἕνωσιν τὰς φύσεις τοὺς πατέρας παράγει γνωρίζοντας, καὶ οὐδαμοῦ διὰ ταύτας οὔτε τὴν καθ' ὑπόστασιν ἕνωσιν οὔτε τεμνομένην οὔτε διαίρεσιν καὶ διχασμὸν ὑπομένουσαν. καὶ μαρτυρίαι πάλιν προέρχονται βεβαιοῦσαι τὸ προκείμενον Κυρίλλου τε καὶ τοῦ θεολόγου Γρηγορίου καὶ ἄλλων πατέρων. καὶ ὅτι ἡ ἐκκλησία τοῦ θεοῦ καὶ ἡ ἐν Καλχηδόνι σύνοδος τὸν ἕνα "τῆς ἁγίας τριάδος θεὸν λόγον ὁμολογεῖ σαρκωθῆ- 407 H. ναι καὶ ἐνανθρωπῆσαι, οὗ καὶ τὴν καθ' ὑπόστασιν οἶδε καὶ κηρύττει ἕνωσιν· καὶ ἅτι μητέρα θεοῦ πρῶτον μὲν ἡ Ἐλισάβετ ἀνεῖπεν, ἐν οἷς λέγει „καὶ πόθεν μοι τοῦτο, ἵνα ἡ μήτηρ τοῦ κυρίου μου ἔλθῃ πρός μέ;" σαφέστερον δὲ τῶν ἄλλων μετὰ ταῦτα τὴν λέξιν πρῶτος ὁ ὅσιος Λέων ὁ πάπας προήνεγκεν. ἐν γὰρ τῇ πρὸς τὸν Λέοντα τὸν βασιλέα ἐπιστολῇ ῥήμασιν αὐτοῖς οὕτως γράφει „ἀναθεματιζέσθω Νεστόριος ὁ τὴν μακαρίαν καὶ θεοτόκον Μαρίαν οὐχὶ τοῦ θεοῦ, ἀνθρώπου δὲ μόνον πιστεύων εἶναι μητέρα." ἀλλὰ ταῦτα μὲν καὶ ἡ προκειμένη ἐπιστολή.

Γράφει δὲ ὁ αὐτὸς καὶ πρὸς Ἄνθιμον ἐπίσκοπον Τραπεζοῦντος, ἐν ᾗ τόν τε βασιλέα Ἰουστινιανὸν τῆς εὐσεβείας ἀποδέχεται, καὶ τὸν δυστυχῆ Εὐτυχῆ τὴν καθαίρεσιν ὑποστῆναι, διότι μὴ ἠνέχετο δύο φύσεων ἕνωσιν λέγειν ἐν μιᾷ ὑποστάσει, διατείνεται, καίτοι γε τρανῶς τῶν θεοφόρων πατέρων ἡμῶν τοῦτο δογματιζόντων τε καὶ ἀνακηρυττόντων· ἀλλ' ἐκεῖνον τὸν παράφορον μὴ ἀνέχεσθαι, ἀλλ' ἐκ δύο μὲν φύσεων γεγενῆσθαι τὸν κύριον, μετὰ δὲ τὴν ἕνωσιν οὐκέτι δύο οὐδὲ ἐν δύο γνωρίζεσθαι, μίαν δὲ φύσιν μετὰ τὴν ἕνωσιν τερατεύεσθαι. οἷς συμφωνεῖν διελέγχει καὶ τὴν λῃστρικὴν ἐν Ἐφέσῳ σύνοδον, αὐτοῖς εἰπούσαν ῥήμασι „τούτοις καὶ ἡμεῖς πάντες συντιθέμεθα." καὶ ὡς ἡ ἐν Καλχηδόνι σύνοδος τόν τε Νεστόριον καὶ τὸν Εὐτυχῆ ὑπὸ ἴσῳ καὶ ὁμοίῳ τῷ ἀναθέματι ἔθετο. καὶ ὅτι τὸ εἰδέναι τὰς φύσεις μετὰ τὴν ἕνωσιν ἐν μιᾷ ὑποστάσει πάσης ἐστὶν ἀλλότριον διαιρέσεως, καὶ τοῦτο αὐτός τε Κύριλλος καὶ ὁ λοιπὸς τῶν θεοφόρων ἀνδρῶν χορὸς λαμπραῖς ἀνακηρύττουσι ταῖς φωναῖς. "Εὐ- 781 R. τυχὴς δὲ καὶ οἱ αὐτοῦ πρὸ τῆς ἑνώσεως μέν, τουτέστι δίχα ἑνώσεως (ὢ λήρου καὶ δυσσεβείας ὑπερβολή!) τὰς δύο κηρύττουσι φύσεις, οὐκέτι δὲ μετὰ τὴν ἕνωσιν. καὶ ὅτι οἱ τὸν Εὐτυχῆ ἀναθεματίζοντες καὶ τὰ αὐτοῦ

a. 15. στεῖλαι A. 27. ἑτερούσια ς. 29. ἀποτελέσαι A: ἀποτελεσθῆναι ς. 31. οἷον τὸ] nonne οἷον εἰ? 33. ἑτερούσιαι ς. εἰς] εἰ εἰς A. b. 1. τὸν A: τῶν ς. 8 et 33. χαλκηδόνι ς.

δόγματα παραχρῆμα καὶ ἄκοντες τὴν οἰκουμενικὴν τετάρτην κηρύττουσι σύνοδον· οὐκ ἄλλη γὰρ οἰκουμενικὴ σύνοδος, ἀλλ' αὕτη μόνη δεχθέντα μετὰ τῶν βδελυκτῶν αὐτοῦ δογμάτων (καθὰ καὶ προείρηται) παρὰ τῆς λῃστρικῆς ἐν Ἐφέσῳ δευτέρας συνόδου τοῦτον παντελῶς ἐξέτεμέ τε καὶ ἀπεκήρυξεν. ἔοικε δὲ ταῦτα γράφειν Ἀνθίμῳ παρουσιάζοντι μὲν τῇ βασιλίδι πόλει, οὔπω δὲ τοὺς ἀρχιερατικοὺς αὐτῆς ὑπελθόντι νόμους· ὃν καὶ παραινεῖ κατά τε τῶν Νεστοριανῶν καὶ τῶν φρονέντων τὰ Εὐτυχοῦς ἀγωνίζεσθαι. ἀλλὰ ταῦτα μὲν καὶ ἡ παροῦσα λέγει ἐπιστολή.

Ἡ δὲ πρὸς Βράζην τὸν Πέρσην, ἐπεὶ τοῦτο ᾔτησεν ἐκεῖνος, ἐκ τῶν θείων γραφῶν ἀλλ' οὐκ ἐκ πατρικῶν μαρτυριῶν περί τε τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος
408 H. διαλαμβάνει, καὶ "περὶ τῆς ἐν σαρκὶ παρουσίας τοῦ λόγου, καὶ περὶ τῆς ἁγίας καὶ ὑπερενδόξου παρθένου καὶ θεοτόκου Μαρίας. αἱ δὲ γραφαί εἰσιν αὐτῷ ἥ τε παλαιὰ διαθήκη καὶ τὰ κυριακὰ λόγια καὶ τὰ ἀποστολικὰ κηρύγματα, δι' ὧν αἱ προκείμεναι τῶν ὑποθέσεων τὸ ἀληθὲς καὶ βέβαιον ἀπηνέγκαντο. πλέον δὲ τῶν ἄλλων ἐμφιλοχωρεῖ τῇ ὑποθέσει, ἐν ᾗ ἡ τοῦ λόγου σάρκωσις ἀναδιδάσκεται, ἅτε δὴ καὶ τοῦ καιροῦ πλείονα τὴν περὶ αὐτῆς ἐξεργασίαν ἀπαιτοῦντος. τοιοῦτον μὲν καὶ τὸ σπούδασμα ταυτησὶ τῆς ἐπιστολῆς.

Γράφει δὲ καὶ πρὸς μοναχούς τινας, οἳ τῆς τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τὴν διάστασιν ἐνόσουν· οὓς διὰ πατρικῶν παραινέσεων πειρᾶται συνάψαι, δεικνὺς τὰς ἐκείνων φωνὰς οὐδὲν τῶν ἄλλων αἱρετικῶν διαφερούσας, καὶ μηδεμίαν ἐξ αὐτῶν, ὥσπερ οὐδ' ἐκείνους, ὄνησιν κερδαίνειν. συνίστησι δὲ διαφόροις πατέρων μαρτυρίαις ἐφ' ἑνὸς καὶ τοῦ αὐτοῦ προσώπου διάφορον φυσικὴν ἐνέργειαν θεωρεῖσθαι, καὶ ἀρκεῖν πρὸς πᾶσαν εὐσεβῆ πληροφορίαν θεοτόκον φρονεῖν καὶ λέγειν τὴν παναγίαν παρθένον· ἐπειδὰν γάρ τις εἴπῃ θεὸν ἐνανθρωπήσαντα τεκεῖν τὴν παναγίαν παρθένον, τῇ τῶν ἀρχαγγέλων οὗτος θεολογίᾳ φαίνεται κεχρημένος.

Γράφει δὲ καὶ ἑτέραν ἐπιστολὴν ὁ αὐτὸς πρὸς τοὺς ἀποσχιστὰς Καλλινίκου, νουθετῶν μὲν τῇ τοῦ θεοῦ τούτους ἑνωθῆναι ἐκκλησίᾳ, καθαρὰν ἀποφαίνων ταύτην πάσης αἱρετικῆς κηλῖδος, καὶ ὅτι τὰ παρὰ ταύτην συνακτήρια λῃστῶν ἐστὶ σπήλαια. καὶ μιμεῖσθαι δεῖν εἰσηγεῖται Συμεῶνα καὶ Βαραδάτον καὶ Ἰάκωβον, ἄνδρας ἐπ' ἀρετῇ ἀνὰ πᾶσαν τὴν γῆν βεβοημένους, οἳ τὴν ἐκκλησιαστικὴν διὰ βίου ἠσπάσαντό τε καὶ ἐξεθείασαν κοινωνίαν. ἀλλ' ἐν τούτοις μὲν καὶ ἡ παροῦσα ἐπιστολή.

Ὁ δὲ ἐφεξῆς λόγος συνοδικὴν ἀναπτύσσει πρᾶξιν τοῦ αὐτοῦ ἁγιωτάτου πατριάρχου Ἐφραιμίου, ἐν ᾗ ὅ τε Συγκλητικός (τῆς Ταρσοῦ δὲ τοῦτον ὁ προλαβὼν λόγος ἐπίσκοπον εἶπε) λογοθετεῖται ὡς ὀρθοδόξους λιβέλλους παρά τινων δεξάμενος, ἐξ ὧν καὶ αἱρετικὴν παρέχειν ὑπόνοιαν, καὶ Στέφανός τις μονάζων, σύγκελλος δὴ τοῦ Συγκλητικοῦ καλούμενος. καὶ διελέγχεται μὲν κατὰ μικρὸν τοῦ λόγου προϊόντος ἑκάτερος μὴ τὰ ὀρθὰ τῆς ἐκκλησίας στέργων δόγματα, ἀλλὰ πρὸς τὴν Εὐτυχοῦς νόσον ὑποσυρόμενος· ὅμως οὖν τοῦ Συγκλητικοῦ τὴν εὐσέβειαν ἐπὶ τέλει συνελαθέντος εἰπεῖν ἡ σύνοδος διαλύεται. "ἐν ταύτῃ τῇ πράξει τὸν θεσπέσιον Κύριλλον 784 B τῇ φύσει ἀνθ' ὑποστάσεως ἀλλαχοῦ τε παρεισάγει χρήσασθαι, καὶ ἡνίκα λέγει μάλιστα μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην· οὐ γὰρ ἂν εἰπεῖν αὐτόν, πολλάκις τὰς δύο φύσεις ὡμολογηκότα, ὥσπερ ἐκ μεταμελείας μίαν φύσιν, εἰ μὴ τὸ ῥῆμα νυνὶ τῆς φύσεως ἀντὶ τῆς ὑποστάσεως παρειλήφει. καὶ συγκροτεῖ τοῦτο ἐξ ἑτέρων τε φωνῶν τοῦ αὐτοῦ Κυρίλλου, καὶ ὅτι "τοιοῦτον τὸ τῆς ἐκ- 409 E κλησίας φρόνημα. καὶ ἄλλα δέ τινα χρήσιμα κατὰ τῆς συγχυτικῆς αἱρέσεως ἡ πρᾶξις ἀγωνίσματα περιέχει.

Μετὰ ταῦτα δὲ ἐνεγέγραπτο τῇ βίβλῳ πρὸς Μέγαν τὸν ἐπίσκοπον Βεροίας ἐπιστολή, τὸ ἐν δύο φύσεσι χρῆναι γνωρίζειν τὸν Ἐμμανουήλ, ὡς καὶ τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ τετάρτῃ συνόδῳ εἴρηται, δογματίζουσά τε καὶ ἐπικυροῦσα, καὶ ὅτι ἡ λέγουσα χρῆσις μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην κατὰ τῶν διαιρούντων ἀπ' ἀλλήλων τὰς φύσεις ἔχει τὸ κράτος προβάλλεσθαι, ἀλλ' οὐ κατὰ τῶν ἀναιρούντων τὴν τῶν φύσεων διαφορὰν διὰ τὴν ἕνωσιν. ὥσπερ δὲ τὸ μία φύσις τοῦ λόγου σεσαρκωμένη τοῖς διαιροῦσιν ἀπ' ἀλλήλων τὰς φύσεις ἀπομάχεται, οὕτω καὶ τὸ ἐν δύο φύσεσι τὴν καθ' ὑπόστασιν ὁμολογεῖν ἕνωσιν τοὺς συγχυτικοὺς ἐλέγχει καὶ καταισχύνει τούτων τὸ βούλημα. οὕτως οὖν καὶ ἡ ἐν δύο φύσεσι καθ' ὑπόστασιν ἕνωσις καὶ ἡ μία τοῦ λόγου σεσαρκωμένη φύσις κατὰ μὲν τῶν ἀντικειμένων αὐταῖς καὶ ἀλλήλοις δοξασμάτων ἀγωνίζονται, οὐδετέρα δὲ κατὰ τῆς ἑτέρας ὁπλίζεται· οὔτε γὰρ ἡ μία τοῦ λόγου σεσαρκωμένη φύσις ἐπ' ἀναιρέσει τῆς τῶν φύσεων διαφορᾶς λέγεται, οὔτε ἡ ἐν δύο φύσεσι γινωσκομένη καθ' ὑπόστασιν ἕνωσις διαίρεσιν ἀπ' ἀλλήλων εἰσάγει τῶν φύσεων. ὥστε ἡ τῶν

a. 5. τοῦτον A: τότε ς. 17. αἰτῶν ς. 36. ἀγγέλων ς. b. 6. λογοθετεῖ ς. 21. τὸ A: καὶ τὸ ς. 25. Βεῤῥοίας ς. χρῆναι add A. 36. ἕνωσις καθ' ὑπόστασιν ς.

δύο φύσεων ἕνωσις βεβαίωσίς ἐστι τῆς μιᾶς τοῦ λόγου σεσαρκωμένης ὑποστάσεως ἀσυγχύτου καὶ διαφορᾶς ἀδιαιρέτου κηρυττομένης. ταῦτα καὶ τοιαῦτα ἕτερα οὐκ ὀλίγα διὰ τῆς προκειμένης ἀναγράφων ἐπιστολῆς τὰ μὲν τῆς εὐσεβείας κρατύνει δόγματα, τῆς δὲ συγχυτικῆς ἀναιδείας διελέγχει τὴν ἀπόνοιαν. καὶ παραινέσας τὸν τὴν ἐπιστολὴν δεξάμενον ἐπαυξῆσαί τε καὶ πληθῦναι τὰ γεγραμμένα, ἅτε καὶ δυνάμεως οὐκ ἄπορον, καταλήγει γράφων τὸ γράμμα.

Μεθ᾽ ὃ πρὸς Εὐνόϊον μοναχὸν ἑτέραν γράφει, ἐν ᾗ διέξεισι μήτε ἀλλήλοις μήτε ἑαυτοῖς ἐναντιωθῆναι τοὺς ἱεροὺς ἡμῶν πατέρας, ἐπειδὰν περὶ φθορᾶς καὶ ἀφθαρσίας διαλαμβάνωσι. καὶ ὅτι ἡ μὲν ἀφθαρσία ὑγεία τίς ἐστιν ἀλλ᾽ οὐκ ἀναίρεσις τῆς ἡμετέρας φύσεως, ἡ δὲ φθορὰ νόσος· ὅθεν καὶ τὸν Ἀδὰμ πρὸ τῆς παραβάσεως ἄφθαρτον ἔχοντα σάρκα κατὰ πάντα ὑπάρχειν ἡμῖν ὁμοούσιον. ταῦτα χρήσεσι πατέρων διαβεβαιῶν, καὶ ἕτερα οὐκ ὀλίγα πρὸς τὴν εὐσέβειαν χρήσιμα συγκαταλέξας τῇ ἐπιστολῇ, πέρας αὐτῇ ἐπιτίθησιν.

Ἐπὶ ταύταις δὲ καὶ λόγοι αὐτῷ διελέχθησαν πανηγυρικοὶ ζ´, ὁ μὲν εἰς τὰ ἐγκαίνια τῶν ἁγίων προφητῶν, ὁ δὲ εἰς τὰ γενέθλια τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἕτερος δὲ πρὸ τῶν ἁγίων νηστειῶν, καὶ ἄλλος εἰς τὴν κατήχησιν τῶν νεοφωτίστων, καὶ δὴ καὶ εἰς τὰ ἐγκαίνια τοῦ ἀρχαγγέλου Μιχαὴλ τοῦ ἐν Δάφνῃ, καὶ εἰς τὴν ἁγίαν τεσσαρακοστήν, καὶ ἐν μιᾷ τῆς ἁγίας τεσσαρακοστῆς ἐνάτῃ. ἀλλὰ καὶ ἐπὶ τούτοις ὄγδοος ὁ ἐν τῇ ἁγίᾳ τετράδι λεχθεὶς εἰς τοὺς νεοφωτίστους.

410 H. Τὸ μὲν οὖν πρῶτον "περιελθὸν εἰς τὰς ἡμετέρας χεῖρας τεῦχος ταῦτα περιεῖχεν.

## 229.

785 B. "Ἀνεγνώσθη βιβλίον τοῦ αὐτοῦ ἐν ἁγίοις ΕΦΡΑΙΜΙΟΥ, ὃς τῶν ἱερῶν τῆς Ἀντιοχείας θεσμῶν ἡγεῖτο, ἐν λόγοις δ´, ὧν ὁ μὲν α´ περὶ τῶν ἐπηρεαζομένων ῥημάτων Κυρίλλου, ἃ ἐκεῖνος παρέθηκε πρὸς Σούκησσον κατὰ τὴν δευτέραν ἐπιστολὴν γράφων, διαλαμβάνει· τὴν ἐπήρειαν δὲ ἡ τοῦ Σευήρου αἵρεσις ἐπάγει. ὁ δὲ β´ ἀπόκρισίς ἐστι πρὸς τὸν σχολαστικὸν Ἀνατόλιον περὶ ὧν ἐκεῖνος μαθεῖν ἠβουλήθη. ὁ δὲ γ´ ἀπολογίαν ὑπὲρ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἐν Καλχηδόνι συνόδου γράφει πρὸς Δόμνον καὶ Ἰωάννην τοὺς ἐν τῇ δευτέρᾳ Κιλικίᾳ ἀσκοῦντας. ὁ δὲ δ´ πρὸς τοὺς ἀνατολικοὺς μοναχούς, τῆς Σευήρου δυσσεβείας καὶ αὐτοὺς ἀντεχομένους.

Προτίθησιν οὖν ἐν τῷ α´ λόγῳ τὴν ἐπηρεαζομένην φωνήν, ὥσπερ ἔφημεν, ἐκ τῆς δευτέρας πρὸς Σούκησσον ἐπιστολῆς, ἔχουσαν οὕτως „ἔστω δὲ ἡμῖν εἰς παράδειγμα πάλιν ὁ καθ᾽ ἡμᾶς ἄνθρωπος. δύο μὲν γὰρ καὶ ἐπ᾽ αὐτοῦ νοοῦμεν τὰς φύσεις, μίαν μὲν τῆς ψυχῆς, ἑτέραν δὲ τὴν τοῦ σώματος. ἀλλ᾽ ἐν ψιλαῖς διελόντες ἐννοίαις, καὶ ὡς ἐν ἰσχναῖς θεωρίαις ἤτοι νοῦ φαντασίαις τὴν διαφορὰν δεξάμενοι, οὐκ ἀνὰ μέρος τίθεμεν τὰς φύσεις, οὔτε μὴν καὶ διαμπὰξ διατομῆς δύναμιν ἐφίεμεν αὐταῖς, ἀλλὰ μίαν ἑνὸς εἶναι νοοῦμεν, ὥστε τὰ δύο μηκέτι μὲν εἶναι δύο, δι᾽ ἀμφοῖν δὲ τὸ ἓν ἀποτελεῖσθαι ζῶον." αἱ μὲν οὖν ἐπηρεαζόμεναι φωναὶ αὗται. ὁ μὲν γὰρ ἱερὸς Κύριλλος ψυχῆς καὶ σώματος, ἐξ ὧν ὁ εἷς ἄνθρωπος ἀποτελεῖται, τὴν διαφορὰν ἠβουλήθη διὰ τῶν λέξεων παραστῆσαι· διὸ καὶ εἶπεν „οὐκ ἀνὰ μέρος τίθεμεν τὰς φύσεις." ἡ δὲ αἵρεσίς φησιν „ἀλλ᾽ ἐπήγαγε, μίαν ἑνὸς εἶναι νοοῦμεν." καὶ τί τοῦτο; μίαν γὰρ ἐνταῦθα τὴν ὑπόστασιν ἀλλ᾽ οὐ τὴν φύσιν εἶπε. καὶ τοῦτο σαφέστερον ἐδήλωσεν, ἐπαγαγὼν „δι᾽ ἀμφοῖν δὲ τὸ ἓν ἀποτελεῖσθαι ζῶον·" πῶς γὰρ οἷόν τέ ἐστι νοεῖν σώματος καὶ ψυχῆς μίαν οὐσίαν; ἀλλ᾽ ὅρα πάλιν ἑτέραν ἄνοιαν τῆς αἱρέσεως. „νοεῖν εἶπε" φησίν, „οὐ λέγειν." καίτοι γε τίς οὐκ οἶδεν ὡς τὸ καλῶς νοούμενον καὶ καλῶς λέγεται, τὸ δὲ κακῶς νοούμενον οὐδὲ λέγεσθαι δίκαιον; εἰ δὲ διότι λέγει „μίαν ἑνὸς νοοῦμεν," τὸ δὲ μίαν καθ᾽ ὑμᾶς τὴν φύσιν εἶπεν, καὶ ἑνὸς μὲν εἶναι ζώου μόνον δεῖ νοεῖν, λέγειν δὲ οὐκέτι, οὐκοῦν οὐ χρὴ λέγειν μίαν φύσιν; εἰ καὶ νοεῖν τισὶν ἐπῆλθε τοῦτο. πῶς δὲ καὶ αὐτὸς ὅλως εἶπεν ἃ λέγειν οὐκ ἔδει; ἀλλ᾽ ὁ κενὸς οὗτος ἐρρέτω λῆρος. πάλιν δέ, φασίν, εἴρηκεν „ὥστε τὰ δύο μηκέτι μὲν εἶναι δύο, δι᾽ ἀμφοῖν δὲ τὸ ἓν ἀποτελεῖσθαι ζῶον." οὐκοῦν τὰς δύο φύσεις λέγει μὴ μένειν ἔτι δύο φύσεις. εἰ δὲ ἐπὶ τοῦ παραδείγματος, φασί, τὰς δύο φύσεις οὐ λέγει διαμένειν δύο, δηλονότι καὶ ἐπὶ Χριστοῦ τοῦτο ἀκολούθως θεωρηθήσεται. καὶ ταῦτά φασι μὴ συνιέντες πρῶτον μὲν ὡς οὐχὶ πάντα τὰ ἐν τῷ παραδείγματι "ὀφείλει καὶ 411 H. ἐν τῷ παραδειγματιζομένῳ θεωρεῖσθαι, δεύτερον δὲ ὅτι τὸ μηκέτι μὲν εἶναι δύο εἶπε, τουτέστι μὴ ἀνὰ μέρος καὶ ἰδιοσυστάτως ὑπάρχειν, ἀλλ᾽, ὡς προεῖπε, δι᾽ ἀμφοῖν τὸ ἓν ἀποτελεῖσθαι ζῶον. καὶ σκόπει ὡς οὐκ ἐξ ἀμφοῖν ἀλλὰ δι᾽ ἀμφοῖν ἀποτελεῖσθαι ζῶον, σημαίνων ὡς ἑκατέρα φύσις ἐν τῷ ἀποτελεσθέντι σώζεται ζώῳ. ἐπεὶ τί ἐκώλυεν ἀντὶ τοῦ δι᾽ ἀμφοῖν εἰπεῖν ὅτι διὰ μιᾶς τὸ ἓν ἀπετελέσθη ζῶον; εἰ γὰρ αἱ δύο οὐκέτι μένουσι δύο, εἰς μίαν δὲ συνῆλθον φύσιν, "διὰ μιᾶς ἔδει φάναι τὸ ἓν 788 R.

a. 6. ὑπόνοιαν ς. 20. πανηγ. διελ. ς. b. 3. ἐπ᾽ A: ὑπ᾽ ς. 26. εἰ add A. 31. λέγει corr A: λέγειν ς.



Digitized by Google

ἀποτελεῖσθαι ζῶον. καὶ οὐδὲ πάλιν εἶπε „δι' ἀμφοῖν ἡ μία φύσις ἀπετελέσθη," ἀλλὰ τὸ ἓν ζῶον, τουτέστιν ἡ ὑπόστασις. καὶ καλῶς οὐκ εἶπε „μία φύσις ἀπετελέσθη·" τὸ γὰρ λέγειν τοῦτο τῆς Ἀπολιναρίου λώβης ἐστίν, ὃς ἔφη „μίξις θεσπεσία θεὸς καὶ ἄνθρωπος μίαν καὶ τὴν αὐτὴν ἀπετέλεσε φύσιν." καὶ μὴν κἂν τῇ προτέρα πρὸς Σούκηνσον ἐπιστολῇ ἐπὶ τοῦ αὐτοῦ παραδείγματος λέγει „καὶ εἰ δοκεῖ, δεξώμεθα πρὸς παράδειγμα τὴν καθ' ἡμᾶς αὐτοὺς σύνθεσιν, καθ' ἣν ἐσμὲν ἄνθρωποι. συντιθέμεθα δὲ ἐκ ψυχῆς καὶ σώματος, καὶ ὁρῶμεν δύο φύσεις, ἑτέραν σαρκὸς καὶ ἑτέραν ψυχῆς," ὥστε ἐν τῇ συνθέσει τὰς δύο φύσεις θεωρεῖ. οὐκοῦν τὸ „μηκέτι μὲν εἶναι δύο" οὐχὶ μίαν φύσιν ταύτας γενέσθαι λέγει, ἄπαγε, ἀλλὰ μὴ ἀνὰ μέρος καὶ ἰδιοσυστάτως ὑπάρχειν. ὅτι δὲ διάφορος ἡ ψυχῆς καὶ σώματος φύσις καὶ μετὰ τὴν σύνθεσιν ἐν τῷ συνθέτῳ θεωρεῖται, καὶ ὁ θεολόγος Γρηγόριος μαρτυρεῖ ἐν τῷ περὶ τοῦ βαπτίσματος φάσκων λόγῳ „διττῶν δὲ ὄντων ἡμῶν ἐκ ψυχῆς καὶ σώματος, καὶ τῆς μὲν ὁρατῆς τοῦ δὲ ἀοράτου φύσεως, διττὴ καὶ ἡ κάθαρσις" καὶ ἑξῆς. ἀλλὰ καὶ ὁ ἱερὸς Κύριλλος ἐν τῷ ἐνάτῳ λόγῳ τῶν ὑπομνημάτων, ἐν οἷς τὸν εὐαγγελιστὴν Ἰωάννην ὑπομνηματίζει, οὕτω φησὶ „πιστεύειν δὲ ἡμᾶς αἱ θεῖαι γραφαὶ διδάσκουσιν εἰς τὸν σταυρωθέντα καὶ ἀποθανόντα καὶ ἐγηγερμένον ἐκ νεκρῶν, ὡς οὐχ ἕτερον ὄντα τὸν υἱὸν παρὰ τὸν ἐν αὐτῷ λόγον." εἶτα „οὐχ ὅσον εἰς οὐσίας ταυτότητά φημι (σῶμα γὰρ τὸ σῶμα καὶ οὐ λόγος, εἰ καὶ σῶμα τοῦ λόγου), ἀλλ' ὅσον εἰς τὸ τῆς ἀληθοῦς υἱότητος χρῆμα." ποῦ οὖν ἡ τῆς οὐσίας ἤτοι φύσεως ψυχῆς καὶ σώματος ταυτότης; ἢ πῶς ταῦτα μία, ὧν οὐκ ἔστι λαβεῖν ταυτότητα φύσεων καὶ οὐσίας; τὰ αὐτά φησι καὶ Εὐστάθιος ὁ μέγας, ὁ τῆς Ἀντιοχέων ἀρχιερεύς, καὶ Ἀντίοχος ὁ Πτολεμαΐδος, ἐν οἷς φησὶ „κύριε υἱὲ Δαβίδ, ὁ διπλοῦς καὶ ἁπλοῦς, ὁ δύο καὶ ἕν, μὴ μεριζομένης τῆς οἰκονομίας, μὴ διχοτομουμένης ἡμῶν τῆς σωτηρίας, ἵνα μήτε θεὸς παθητὸς εὑρεθῇ μήτε ἄνθρωπος καθ' ἑαυτὸν τὴν οἰκουμένην σώζων." καὶ τὸ χρυσοῦν δὲ στόμα τῆς ἐκκλησίας καὶ μυρίος ἄλλος χορὸς τῶν θεοφόρων ἡμῶν πατέρων ἐν δυσὶν οὐσίαις καὶ φύσεσι τὸν ἕνα γνωρίζουσι Χριστόν. ὅτι μέντοι γε ἐξ ὧν ὁ εἷς σεσαρκωμένος λόγος συνετέθη, ἐν αὐτοῖς καὶ ἔστι καὶ γνωρίζεται, Κύριλλος πάλιν
412 H. βοῦ. „ὥσπερ γάρ" φησιν „ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι·" καὶ πάλιν „οὐκ αὐτὸν τὸν μονογενῆ τοῦ θεοῦ υἱόν, καθὸ νοεῖται καὶ ἔστι θεός, παθεῖν εἰς ἰδίαν φύσιν τὰ σώματος ἰσχυριζόμεθα, παθεῖν δὲ μᾶλλον τῇ χοϊκῇ φύσει·" καὶ πάλιν „δεῖ γὰρ ἀναγκαίως ἀμφότερα σώζεσθαι τῷ ἑνὶ καὶ κατὰ ἀλήθειαν υἱῷ, καὶ τὸ μὴ πάσχειν θεϊκῶς καὶ τὸ λέγεσθαι παθεῖν ἀνθρωπίνως· ἡ αὐτοῦ γὰρ πέπονθε σάρξ." ἀλλ' ὁ σοφὸς μὲν Κύριλλος ταῦτα· ἡ δὲ αἵρεσις λέγει, ἔπαθε θεϊκῶς ἅμα καὶ ἀνθρωπίνως. ἀλλ' ὁ αὐτὸς πάλιν φησὶν „ἡ ἐν ἀνθρωπότητι τελειότης καὶ τῆς καθ' ἡμᾶς οὐσίας ἡ δήλωσις εἰσκεκόμισται διὰ τοῦ λέγειν σεσαρκωμένην." καὶ ἀνωτέρω περὶ τῆς τοῦ λόγου σαρκὸς οὕτω φησίν „οὔτε μεμείωται οὔτε (καθά φησιν) ὑποκέκλεπται· οὐκοῦν ἀναγκαίως σώζεται." καὶ ἀνωτέρω „κἂν τοῖς τῆς συνθέσεως λόγοις ἐνυπάρχει τὸ διάφορον κατὰ φύσιν τῶν εἰς ἑνότητα συγκεκομισμένων." καὶ ἀλλαχοῦ „οὐ πέφυρται κατὰ τοῦτο, κατὰ τὸ 789 R. ἐκείνοις δοκοῦν· οὔτε μὴν εἰς τὴν τῆς σαρκὸς φύσιν μεταπεφοίτηκεν ἡ τοῦ λόγου· ἀλλ' οὐδὲ ἡ τῆς σαρκὸς εἰς τὴν αὐτοῦ· ἀλλ' ἐν ἰδιότητι κατὰ φύσιν ἑκατέρου μένοντός τε καὶ νοουμένου, ἡ ἄῤῥητος καὶ ἄφραστος ἕνωσις μίαν ἡμῖν ἔδειξεν υἱοῦ φύσιν, πλήν, ὡς ἔφην, σεσαρκωμένην." ἰδοὺ φανερῶς καὶ μετὰ τὴν σάρκωσιν ἑκάτερον τῶν ἑνωθέντων ἐν τοῖς κατὰ φύσιν μένειν εἶπε.

Ταῦτα διελθὼν ὁ συγγραφεὺς φησὶ μὲν ὡς ὁμοούσιον μὲν ὁμοουσίῳ καθ' ὑπόστασιν οὐχ ἑνοῦται (οὐδὲ γὰρ ψυχὴ ψυχῇ καθ' ὑπόστασιν ἑνοῦται, οὔτε σῶμα σώματι), τὰ δὲ ἑτεροούσια ἑνούμενα τὴν καθ' ὑπόστασιν ἕνωσιν ἀποτελεῖ· εἰς μίαν δὲ οὐσίας ταυτότητα τὰ ἐκ τῆς ἑνώσεως οὐ τρέπεται. ὥστε εἰ βουλοίμεθα τὴν μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην, τουτέστι τὴν μίαν ὑπόστασιν, κρατυνθῆναι, ἐν αὐτῇ γνωρίζομεν τῶν ἑνωθέντων τὴν κατ' οὐσίαν διαφοράν. τὴν οὖν μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην μίαν ὑπόστασιν νοοῦμεν. εἰ γὰρ μίαν φύσιν σεσαρκωμένην εἰπόντες τὴν κυρίως φύσιν σεσαρκωμένην νοήσομεν, τὸν πατέρα καὶ τὸ πανάγιον πνεῦμα σεσαρκωμένον εἰσφέρομεν· ἡ αὐτὴ γὰρ φύσις υἱοῦ καὶ πατρὸς καὶ ἁγίου πνεύματος. ἀλλὰ τοῦτο μὲν ἀκριβέστερον ἐπισκεπτέον. ἡ δὲ αἵρεσις τί φησι; „δύο μὲν φύσεων ἕνωσιν λέγομεν, μετὰ δὲ τὴν ἕνωσιν μίαν." ἀλλ' εἰ μὲν φύσιν καὶ οὐσίαν λέγουσι, πῶς οὐ σύμφυσιν καὶ συνουσίωσιν φρονοῦντες ἁλίσκονται; εἰ δὲ πρόσωπον ἓν ἢ ὑπόστασιν μίαν, καλῶς φασί. γινωσκέτωσαν δὲ

a. 4. λώβης A: λάβης ς. 6. ἀπετέλεσαν A. 7. σούκενσον A. 8. δεξιώμεθα ς. 19. τοῦ] τῆς corr A. 25. τὸν ante υἱὸν om A. ἐν add A. 37. γε ς. b. 2. υἱὸν τοῦ θεοῦ ς. 3. σώματα ς. 22. ἑκατέρου ς. 23. εἶπε A: προεῖπε ς. 27. ἑτερούσια ς. 32. τὴν μὲν οὖν ς.

ὡς ἡ ἄκρα καὶ ἀδιάστατος ἕνωσις οὔτε τομὴν ἐπιδέχεται τῶν ἑνωθέντων οὔτε σύγχυσιν ἢ συνουσίωσιν. οὕτω γάρ φησι καὶ ὁ ἐν ἁγίοις Κύριλλος ἐν τῷ κατὰ Ἰωάννην ὑπομνήματι „εἷς ἐστὶν ὁ υἱὸς καὶ Χριστός, τομὴν οὐκ ἔχων διὰ τὴν ἐνανθρώπησιν, πλὴν ὅσον εἰπεῖν εἰς τὸ διαστεῖλαι μόνον λόγου τε καὶ σαρκὸς φύσιν, οὐ τὴν αὐτὴν οὖσαν εἰς γνῶσιν." καὶ πάλιν πρὸς Εὐλόγιον γρά-
413 H. φων „κἀκεῖνο δὲ μὴ ἀγνοείτωσαν· ὅπου γὰρ ἕνωσις ὀνομάζεται, οὐχ ἑνὸς πράγματος σημαίνεται σύνοδος, ἀλλὰ δύο ἢ καὶ πλειόνων, καὶ διαφερόντων ἀλλήλοις κατὰ τὴν φύσιν. εἰ τοίνυν λέγομεν ἕνωσιν, ὁμολογοῦμεν ὅτι σαρκὸς ἐψυχωμένης νοερῶς καὶ λόγου γέγονεν ἕνωσις." καὶ πάλιν ἐκ τῆς αὐτῆς πραγματείας τοῦ λόγου „ἐπεὶ τί ποιήσεις, ὅταν ἡμῖν ὁ ἁπλοῦς τὴν φύσιν εἰσβαίνει διπλοῦς;" καὶ μυριάκις εὑρεθήσεται ὁ ἱερὸς οὗτος ἀνὴρ τῆς τε τοῦ πατρὸς ὁμοουσιότητος καὶ τῆς ἡμετέρας τὸν ἕνα Χριστὸν ὁμολογῶν μὴ ἀφεστάναι. καὶ ὁ ἐν ἁγίοις δὲ τοῦ Ἰκονίου πρόεδρος Ἀμφιλόχιος οὕτω φησίν „ὁρᾶτε τοιγαροῦν ὅπως καὶ οἱ θεσπέσιοι πατέρες ὁμοούσιον εἰρήκασι τὸν υἱὸν τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον τῇ μητρὶ κατὰ τὴν ἀνθρωπότητα, διπλοῦν τὴν οὐσίαν ἤτοι τὴν φύσιν, οὐ διπλοῦν δὲ τὴν ὑπόστασιν." τῶν ἀξιολογωτάτων δὲ ὁ Ἀμφιλόχιος· Κύριλλος γὰρ χρήσεις αὐτοῦ κατὰ τοῦ δυσσεβοῦς Νεστορίου προήγαγε. καὶ Ἀμβρόσιος δὲ ὁ θαυμάσιος ἐκεῖνος ὁμολογητὴς οὕτω φησί „πρόσχες· τὴν ἕνωσιν τῆς θεότητος καὶ τῆς σαρκὸς εἷς ἐν ἑτέρῳ καλεῖ ὁ τοῦ θεοῦ υἱός, ὅτι ἐν αὐτῷ ἡ ἑκατέρα φύσις ἐστί." ταύτης δὲ τῆς χρήσεως καὶ κατὰ Νεστορίου κέχρηται ὁ ἱερὸς Κύριλλος. ἐν δὲ τῷ λόγῳ
792 H. ὃς ἐπιγράφεται περὶ ἑρμηνείας τῆς πίστεως, οὕτω φησὶν ὁ αὐτὸς ὁμολογητής „τοὺς δὲ λέγοντας ψιλὸν ἄνθρωπον τὸν Χριστόν, ἢ παθητὸν τὸν θεόν, ἢ εἰς σάρκα τραπέντα, ἢ συνουσιωμένον ἐσχηκέναι τὸ σῶμα, ἢ οὐρανόθεν τοῦτο κεκομικέναι, ἢ φαντασίαν εἶναι, ἢ θνητὸν λέγοντας τὸν θεὸν λόγον, δεδεῆσθαι δὲ τῆς παρὰ τοῦ πατρὸς ἀναστάσεως, ἢ ἄψυχον σῶμα, ἢ ἄνουν ἄνθρωπον ἀνειληφέναι, ἢ τὰς δύο οὐσίας τοῦ Χριστοῦ κατὰ ἀνάκρασιν συγχυθείσας μίαν γεγενῆσθαι οὐσίαν, καὶ μὴ ὁμολογοῦντας τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δύο εἶναι οὐσίας ἀσυγχύτους, ἓν δὲ πρόσωπον, καθὸ εἷς Χριστὸς εἷς υἱός, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἁγία ἐκκλησία." οὔτε γὰρ τοῦ λόγου καὶ τῆς σαρκὸς ὁμοουσιότητα, τουτέστι μίαν φύσιν, εἶπον οἱ πατέρες· μὴ γένοιτο· ὡς καὶ ὁ ἐν ἁγίοις Ἀμβρόσιος κατὰ Ἀπολιναρίου γράφων φησὶν „ἀλλ' ἐν ὅσῳ τούτους ἐλέγχομεν, ἀνεφύησαν ἕτεροι λέγοντες τό τε σῶμα τοῦ κυρίου καὶ τὴν θεότητα μιᾶς φύσεως εἶναι. ποῖος Ἅιδης τὴν τοσαύτην ἠρεύξατο βλασφημίαν; Ἀρειανοὶ γὰρ ἤδη τυγχάνουσιν ἀνεκτότεροι, ὧν ἡ ἀπιστία διὰ τούτους κρατύνεται μείζονι φιλονεικίᾳ πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα μιᾶς οὐσίας μὴ λέγειν, ἐπειδή περ οὗτοι τὴν θεότητα τοῦ κυρίου καὶ τὴν σάρκα μιᾶς φύσεως εἰπεῖν ἐπεχείρησαν." τὰ αὐτὰ δὲ καὶ σαφέστερον Ἀθανάσιος ἐν τῇ πρὸς Ἐπίκτητον λέγει ἐπιστολῇ.

Ταῦτα εἰπὼν ὁ συγγραφεὺς ἐφεξῆς περὶ φύσεως ἤτοι οὐσίας καὶ περὶ ὑποστάσεως ἤτοι προσώπου πατρικὰς προκομίζει μαρτυρίας, ὡς τὸ κοινὸν μὲν καλεῖ- 414 H.
ται καὶ φύσις καὶ γένος καὶ οὐσία, ὑπόστασις δὲ καὶ πρόσωπον τὸ ἰδικόν. καὶ κυριολεκτεῖ μὲν ὁ λέγων τὴν φύσιν οὐσίαν καὶ τὸ ἀνάπαλιν, καταχρηστικῶς δὲ δύναταί τις λαμβάνειν καὶ τὸ τῆς φύσεως ὄνομα ἀντὶ ὑποστάσεως. δεῖ μέντοι γε τὰς λέξεις οὐ πρὸς τὴν τῶν ἀσεβούντων βούλησιν, πρὸς δὲ τὴν τῆς εὐσεβείας λαμβάνειν διάνοιαν. καὶ εἰ μὲν ἐπὶ προσώπου λέγεται ἡ φωνὴ καὶ τοῦ ἀποτελεσθέντος ἑνός, ἀντὶ ὑποστάσεως δεῖ παραδέχεσθαι τὸ τῆς φύσεως ὄνομα· εἰ δὲ περὶ τῶν ἐξ ὧν ἀπετελέσθη φύσεων ὁ εἷς Χριστός, τότε τὴν φωνὴν τῆς φύσεως ἀντὶ τῆς κυρίας φύσεως καὶ τῆς οὐσίας νοεῖν. ταῦτα γὰρ παραφυλάττοντες οὐδαμοῦ τοὺς ἱεροὺς καὶ λογάδας ἡμῶν πατέρας εὑρήσομεν διαμαχομένους ἀλλήλοις. καὶ ὅτι τοιοῦτον τὸ φρόνημα τῶν πατέρων, ἄκουε τοῦ νικηφόρου Κυρίλλου ἐκ τῆς πρὸς Σούκηνσον πρώτης ἐπιστολῆς „οὐ γάρ ἐστι τῶν ἐφικτῶν εἰς θεότητος οὐσίαν ἤτοι φύσιν μεταχωρῆσαί τι δύνασθαι τῶν κτισμάτων· κτίσμα δὲ καὶ ἡ σάρξ·" δῆλον γὰρ ὡς τὴν φύσιν ἐνταῦθα ἀντὶ τῆς οὐσίας παρέλαβε. καὶ πάλιν ἐκ τῆς πρὸς Νεστόριον ἐπιστολῆς „ἔφη μὲν γὰρ θεὸν ἑαυτοῦ τὸν πατέρα, καίτοι θεὸς ὢν φύσει καὶ τῆς οὐσίας αὐτοῦ·" κἀνταῦθα γὰρ τὸ φύσει τῷ τῆς οὐσίας παρέλαβε σύνδρομον. καὶ πάλιν „ὅταν μὲν γὰρ θεοπρεπῶς λέγῃ περὶ ἑαυτοῦ, ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα, καὶ ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, τὴν θείαν αὐτοῦ καὶ ἀπόρρητον ἐννοοῦμεν φύσιν, καθ' ἣν καὶ ἕν ἐστι πρὸς τὸν ἑαυτοῦ πατέρα διὰ τὴν ταυτότητα τῆς

a. 12. ἐμψυχωμένης ς. 16. τε add A. 18. libri ὁρᾶται. 22. ἤτοι κατὰ τὴν ς. 27. λαλεῖ A. 29. κέχρηται] immo μέμνηται. 38. οὐσίαν γεγενῆσθαι ς. 41. καὶ ἁγία add A.
b. 21. βούλησιν A: ὑπόληψιν ς. 32. φύσιν corr A: φύσεως ς. 37. γὰρ add A. τὸ τῇ οὐσίᾳ A.

οὐσίας·" παντὶ γὰρ δῆλον ὡς τὴν φύσιν καὶ τὴν οὐσίαν ταυτὸ σημαίνουσαν ἐβεβαίωσε. καὶ ὁ ἐν ἁγίοις δὲ Ἀμφιλόχιος, ὡς ἐκ τῶν προειρημένων δῆλον, παρομοίως. ἀλλ' ὅτι μὲν ἡ φύσις ἀντὶ τῆς οὐσίας παραλαμβάνεται, δέδεικται· ὅτι δὲ καταχρηστικῶς ϗ ἀντὶ τῆς ὑποστάσεως, ὁ αὐτὸς μαρτυρήσει Κύριλλος·
793 B. ἐν γὰρ ταῖς ἀντιῤῥήσεσί φησιν „ἀναγκαίως οὖν ἡμεῖς τοῖς ἐκείνου μαχόμενοι τὴν καθ' ὑπόστασιν ἕνωσιν γενέσθαι φαμέν, τοῦ καθ' ὑπόστασιν οὐδὲν ἕτερον ὑποφαίνοντος πλὴν ὅτι μόνη ἡ τοῦ λόγου φύσις ἤγουν ὑπόστασις, ὅ ἐστιν αὐτὸς ὁ λόγος, ἀνθρωπείᾳ φύσει κατὰ ἀλήθειαν ἑνωθείς, τροπῆς δίχα καὶ συγχύσεως, καθὰ πλειστάκις εἰρήκαμεν, εἷς νοεῖται ϗ ἔστι Χριστὸς ὁ αὐτὸς θεὸς καὶ ἄνθρωπος." ϗ ὁ θαυμάσιος δὲ Βασίλειος, ὁ ἐκ Καππαδοκίας πᾶσαν φωτίσας τὴν οἰκουμένην, τὴν μορφὴν ϗ τὴν οὐσίαν ταὐτὸν δογματίζει. ϗ Πρόκλος δὲ ὁ Κωνσταντινουπόλεως ἐπίσκοπος ὡσαύτως· ὁ μὲν γὰρ τὴν μορφὴν οὐσίαν ὠνόμασεν, ὁ δὲ φύσιν. οὕτως οἱ πατέρες ἡμῶν ἐκ δύο φύσεων λέγοντες τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν συγκεῖσθαι ἐκ δύο νοοῦσιν οὐσιῶν, ὥσπερ καὶ ἡνίκα ἐν δύο φύσεσιν, ἐν δυσὶν οὐσίαις. καὶ ὁ τῆς βροντῆς δὲ υἱὸς τοῦτο διδάσκει ἐν τῷ λέγειν „ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἑωράκαμεν ϗ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς." τὸν ἕνα γὰρ ϗ τὸν αὐτόν, δι' ὧν ἔφημεν, ϗ ψηλαφητὴν οὐσίαν
415 H. ἔχειν ϗ ἀψηλάφητον ἀνεκήρυξε. λόγον γὰρ εἰπὼν τὸν ἀψηλάφητον ψηλαφηθῆναι προσεμαρτύρησε, ϗ ἑωρακέναι εἰπὼν τὸν ἀόρατον προανήγγειλεν· ὥστε τὸν ἕνα Χριστὸν ἐν ψηλαφητῇ καὶ ἀψηλαφήτῳ οὐσίᾳ καὶ ἐν ὁρατῇ καὶ ἀοράτῳ γνωρίζει τε ϗ τοῖς ἄλλοις εἰδέναι διδάσκαλος γίνεται. εἰ γὰρ καὶ ἑνὸς προσώπου ἑκάτερον, ἀλλ' οὐδεὶς ἂν εἰπεῖν δύναται νοῦν ἔχων ὡς ἡ αὐτὴ φύσις ψηλαφητοῦ καὶ ἀψηλαφήτου καὶ ὁρατοῦ καὶ ἀοράτου. οὕτω καὶ τὸ παρὰ τῶν πιστῶν λαμβανόμενον σῶμα Χριστοῦ καὶ τῆς αἰσθητῆς οὐσίας οὐκ ἐξίσταται καὶ τῆς νοητῆς ἀδιαίρετον μένει χάριτος. ϗ τὸ βάπτισμα δὲ πνευματικὸν ὅλον γενόμενον καὶ ἓν ὑπάρχον, καὶ τὸ ἴδιον τῆς αἰσθητῆς οὐσίας (τοῦ ὕδατος λέγω) διασώζει, ϗ ὃ γέγονεν οὐκ ἀπώλεσεν. ἀλλ' ὁ δυσσεβὴς Νεστόριος, ὃς πρόφασις θεομαχεῖν τοῖς ἐκ διαμέτρου τὴν ἀσέβειαν δοκεῖ γίνεσθαι, δύο φύσεις διῃρημένας ϗ ἰδιοϋποστάτους ἐφαντάζετο, καὶ τὴν τῶν φύσεων κατὰ τὰς ὑποστάσεις διαίρεσιν τῇ μιᾷ προσκυνήσει ἑνοποιεῖν ἐσοφίζετο. ὁ δὲ θεομάχος Εὐτυχὴς τὴν μὲν καθ' ὑπόστασιν ἕνωσιν οὐκ ἠρνεῖτο, οὐδ' ὅτι ἐσαρκώθη ἐκ τῆς θεοτόκου παρθένου ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἐκ μεταμελείας μαθὼν λέγειν ὃ οὐκ ἤθελεν· ἀλλὰ καὶ ἀνεθεμάτισεν, ὃ πρότερον αὐτὸς ἔστεργε, τοὺς λέγοντας ἐκ τοῦ οὐρανοῦ κατενηνοχέναι τὴν σάρκα. τὸ δὲ πρὸς ἡμᾶς ὁμοούσιον, καίτοι πολλὰ καὶ πολλάκις βιασθείς, οὐδαμῶς ὁμολογῆσαι ἠνείχετο, ἀλλὰ μίαν οὐσίαν κηρύττων ἀντὶ τοῦ ἡμῖν ὁμοούσιον ὁμολογῆσαι τὴν σάρκα, τῷ ἀναθέματι ὑπενήνεκται. ὁ μὲν οὖν α' λόγος ταῦτα διελθὼν τὸν σκοπὸν ἐπεράνατο.

Ἐν δὲ τῷ β' λόγῳ ε' τινῶν κεφαλαίων, ὧν ὁ σχολαστικὸς Ἀνατόλιος τὴν μάθησιν ἐπεζήτησεν, ἀποδίδωσι λόγον, ἑνὸς μέν, εἰ ϗ νῦν Χριστὸς ὁ θεὸς ἡμῶν σαρκὶ γνωρίζεται· ἑτέρου δέ, εἰ σύνθετος ὁ Ἀδὰμ ἐπλάσθη, πῶς ἀθάνατος ἐκτίσθη· τρίτου δέ, πόθεν δυνάμεθα τεκμήρασθαι τὸν εὐαγγελιστὴν Ἰωάννην ἔτι μένειν· ἔτι δέ, εἰ ἀθάνατος ὁ Ἀδὰμ ἐπλάσθη, πῶς τὸ συμφέρον ἠγνόησε· καὶ τελευταῖον, τί ἐστιν τὸ „ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν."

Τὸ μὲν οὖν α' κεφάλαιον διὰ πολλῶν γραφικῶν τε 796 B.
ϗ πατρικῶν φωνῶν συνίστησι ϗ ἀποδεικνύει. ϗ πρῶτον μέν, ἐξ ὧν Ἠσαΐας περὶ τῆς ἐνσάρκου Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀναβάσεως εἶπε „τίς ἐστιν οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ," τουτέστιν ὁ γήϊνος. καὶ ὁ αὐτὸς πάλιν „ἱμάτιον αὐτοῦ ἐκ Βοσόρ" Ἑβραῖοι δὲ τὸ βοσὸρ σάρκινον καλοῦσι. καὶ πάλιν „διὰ τί ἐρυθρά σου τὰ ἱμάτια, ϗ τὰ ἐνδύματα ὡς ἀπὸ πατητοῦ ληνοῦ;" ὅπερ τοῦ πάθους μετὰ τὸ πάθος ϗ ἐν τῇ ἀνόδῳ μηνύει τὸ μυστήριον. ϗ πάλιν ἕτερος προφήτης ὡς ἐκ προσώπου τοῦ δεσπότου φησίν, ὡς δῆθεν ὑπὸ τῶν νοερῶν ἐρω- 416 H.
τωμένου δυνάμεων, „τίνες αἱ πληγαὶ αὗται αἱ ἀνὰ μέσον τῶν ὤμων σου;" ἀποκρίνεται γὰρ ὁ σωτὴρ λέγων „ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τοῦ ἀγαπητοῦ μου." ἀλλὰ ϗ ἐν τῷ καιρῷ τῆς ἀναλήψεως οἱ παρεστῶτες ἄγγελοι οὕτω φασὶν „ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν." καὶ ὁ πρωτομάρτυς Στέφανος ἐν τῷ καιρῷ τῆς μαρτυρίας, ἐπιγνοὺς τὸν δεσπότην Χριστὸν ἑστῶτα ἐκ δεξιῶν τοῦ πατρός, ἐν ἐκείνῳ τῷ σχήματι ἐν ᾧ τοῖς μαθηταῖς συνηυλίζετο, τὸ σεπτὸν καὶ θεῖον θέαμα παῤῥησίᾳ ὡμολόγησε. ϗ τὸ σκεῦος

a. 9. τοῦ] τὴν A. ὑφαίνοντος ς. 23. ὃ ἦν] 1 Io. 1, 1. 30. γνωρίζει τε] γνωρίζειν τε corr A: γνωρίζεται ς. 31. προσ. καὶ ἑκάτ. ς. 34. μεταλαμβανόμενον in litura A.
b. 4. Ἰησοῦς ὁ Χριστὸς ς. 15. σαρκὶ] ἐν σαρκὶ Stephanus. 17. τρίτου corr A: τρίτον ς. 19. ὁ add A. 24. Ἠσαΐας] 63, 1. 33. τίνες] Zach. 13, 6. αἱ ἀνὰ μέσον A: καὶ ἀνάμεσον ς. 37. ἐλεύσ.] Act. 1, 11.

Digitized by Google

δὲ τῆς ἐκλογῆς, μυςαγωγȣ́μενος πρὸς τὴν ἀλήθειαν, ἐξ ȣ̓ρανȣ̃ κράζοντος ἀκȣ́ει Χριςȣ̃ „Σαȣ́λ, Σαȣ́λ, τί με διώκεις;" ϗ πυθομένȣ „τίς εἶ κύριε;" „ἐγώ εἰμί" φησιν „Ἰησȣ̃ς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις." τὸ δὲ Ναζωραῖος ϗ Ἰησȣ̃ς δῆλον ὅτι τῆς σαρκὸς αὐτȣ̃ μηνύει τὴν ἀλήθειαν. καὶ Γρηγόριος ὁ Ναζιανζȣ̃ τὰ αὐτὰ διαμαρτύρεται, ϗ Κύριλλος ἐν τῷ κατὰ συνουσιαςῶν λόγῳ, ϗ Βασίλειος ἐν τῷ περὶ πίςεως. ἀλλὰ ϗ Κύριλλος πάλιν πρὸς Ἀκάκιον Σκυθοπόλεως ἐπίσκοπον γράφων, ϗ ἐν τῇ ἑρμηνείᾳ δὲ τȣ̃ ἀποπομπαίου. τȣ́των γὰρ ἕκαςος, καὶ μυρίοι ἄλλοι, μετὰ τῆς σαρκὸς καὶ ἀνελθεῖν καὶ διαμένειν ϗ παραγενέσθαι κατὰ τὴν δευτέραν αὐτȣ̃ κηρύττȣσιν ἐπιφάνειαν. διὸ ϗ ὁ αὐτός ἐςιν ȣ̓ράνιος ϗ ἐπίγειος, ὁρατὸς ϗ ἀόρατος, ὁρατὸς μὲν μετὰ τῆς θεότητος, ȣ̓ κατὰ τὴν θεότητα, ἀλλὰ κατὰ τὸ σῶμα, ἀόρατος δὲ πάλιν μετὰ τῆς ἀνθρωπότητος, ȣ̓ κατὰ τὴν ἀνθρωπότητα, ἀλλὰ κατὰ τὴν θεότητα, κτιςὸς καὶ ἄκτιςος, καὶ ὅσα ἄλλα τοιαῦτα κατὰ τὴν εἰρημένην εὐσεβῆ θεωρεῖται διάκρισιν. καὶ γὰρ ἡ ἐξ ἡμῶν σάρξ, ἑνωθεῖσα τῷ θεῷ λόγῳ καθ' ὑπόςασιν, ȣ̓κ εἰς τὴν ȣ̓σίαν μετεβλήθη τȣ̃ λόγȣ, εἰ καὶ θεȣ̃ γέγονε σάρξ· ȣ̓δὲ ὁ λόγος εἰς σάρκα, εἰ καὶ ἰδίαν οἰκονομικῶς ἐποιήσατο τὴν σάρκα· ἀλλ' εἷς μὲν λέγεται ϗ ἔςι Χριςός, σώζεται δὲ ἀκαινοτομήτως ϗ ἀχωρίςως καὶ τὰ ἐξ ὧν ϗ ἐν οἷς νοεῖται Χριςός, ȣ̓κ ἄλλος ϗ ἄλλος, μὴ γένοιτο, ἀλλ' ὥσπερ πολλάκις εἴρηται, εἷς ϗ ὁ αὐτός. ὁ αὐτὸς γενεαλογεῖται καὶ ἔςιν ἀγενεαλόγητος, κατ' ἄλλο δηλονότι ϗ ἄλλο. ϗ γὰρ τὰ ἱερὰ λόγιά φησι „καὶ ἄνθρωπός ἐςι, καὶ τίς γνώσεται αὐτόν, ϗ τὴν γενεὰν αὐτȣ̃ τίς διηγήσεται;" ἀλλὰ καὶ πάλιν βοᾷ „βίβλος γενέσεως Ἰησȣ̃ Χριςȣ̃ υἱȣ̃ Δαβίδ." ὥςε κατὰ μὲν τὴν θεότητα αὐτȣ̃ ἀγενεαλόγητος, κατὰ δὲ τὴν ἀνθρωπότητα γενεαλογȣ́μενος. ὁ αὐτὸς πάντα προγινώσκει (ἐςὶ γὰρ φύσει θεός) καὶ πάλιν ἀγνοεῖν τὴν ἐσχάτην ἡμέραν διὰ τὸ ἡμέτερον λέγεται φύραμα. ϗ „ȣ̓́τε ἐμὲ οἴδατε ȣ̓́τε τὸν πατέρα μȣ οἴδατε·" καὶ πάλιν, δηλονότι κατὰ τὸ ἀνθρώπινον, „κἀμὲ οἴδατε ϗ πόθεν εἰμὶ οἴδατε." ἔτι δέ „εἰ ἐγὼ μαρτυρῶ περὶ ἐμαυτȣ̃, ἡ μαρτυρία μȣ ȣ̓κ ἔςιν ἀλη-
797R. θής·" καὶ ἀλλαχȣ̃ „εἰ ἐγὼ μαρτυρῶ περὶ ἐμαυτȣ̃,
417H. ἡ μαρτυρία μου ἀληθής ἐςι," τὸ μὲν διὰ τὴν θείαν αὐτȣ̃ φύσιν, τὸ δὲ διὰ τὴν ἀνθρωπότητα. ȣ̔́τως οὖν ἐςὶν ὁ αὐτὸς ἀπερίγραπτος καὶ περίγραπτος, ὡς δύο γενέσεις ἔχων ϗ δύο ȣ̓σίας ὁ εἷς. εἰ δὲ μιᾶς οὐσίας ἐςὶ μετὰ τὴν σάρκωσιν κατὰ τὸν Μάνην, μίαν αὐτȣ̃ πάντως ὁμολογήσȣσι ϗ τὴν γέννησιν, καὶ μάτην υἱὸς ἀνθρώπȣ κέκληται. τὸ μὲν ȣ̓̃ν πρῶτον κεφάλαιον ȣ̔́τω πως ἐπῆλθεν.

τὸ δὲ β' ȣ̔́τω διευθετεῖ. εἴτε θνητός, φησίν, εἴτε ἀθάνατος ἐπλάσθη τὴν ἀρχὴν ὁ Ἀδάμ, πρόδηλον ὅτι ὁ θεὸς θάνατον ȣ̓κ ἐποίησεν ȣ̓δὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων, φθόνῳ δὲ διαβόλȣ θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. ὑπὸ δέ τινα μένειν ὅρον ἐν ἀφθαρσίᾳ τὸν ἄνθρωπον διεκελεύσατο, ἐντολὴν εἰς φυλακὴν παραθέμενος, ἣν παραβεβηκὼς τὴν φθορὰν ἀντὶ τῆς ἀφθαρσίας εἰσήγαγε· τῷ μὲν γὰρ αὐτεξȣσίῳ τιμηθεὶς ὁ ἄνθρωπος εἵλετο τὸ χεῖρον, ἑκὼν φυγὼν τὸ ἄμεινον. ἀλλὰ ϗ αὐτὴν τὴν ψυχὴν ἀθάνατον ϗ νοητὴν δημιȣργηθεῖσαν ἐκ παραβάσεως ἴσμεν θανάτῳ παραδεδομένην, εἰ καὶ μὴ αἰσθητῷ, ἀλλά γε (τὸ χαλεπώτερον) νοητῷ. ἡ ἁμαρτία γὰρ αὐτῆς ἐςὶν ὁ θάνατος, ὡς κόλασιν αὐτῇ καὶ φθορὰν προξενȣ̃σα ἄφθαρτον· „φοβήθητε" γάρ φησι „τὸν δυνάμενον ϗ τὴν ψυχὴν καὶ τὸ σῶμα ἐν γεέννῃ ἀπολέσαι." ἁπλȣ̃ς δὲ μόνος ἐςὶν ὁ θεός, ἀπερίγραπτος ὤν· πᾶν γὰρ τὸ περίγραπτον ȣ̓χ ἁπλȣ̃ν. τὰ δὲ παρὰ τὸ θεῖον πάντα σύνθετα. ὅτι δὲ τὸ σύνθετον δύναται ϗ ἀθάνατον μεῖναι, μαρτυρȣ̃σι μὲν τὰ νοερὰ τάγματα ϗ ἡ ψυχή, μαρτυρεῖ δὲ μᾶλλον ϗ ἡ ἀνάςασις, ἐν ᾗ σύνθετος ὁ ἄνθρωπος ȣ̓δὲν ἧττον ἢ πρότερον, ἀνιςάμενος εἰς ἀθανασίαν, μετὰ ψυχῆς καὶ σώματος ἀνίςαται· „δεῖ γὰρ τὸ θνητὸν τȣ̃το ἐνδύσασθαι ἀθανασίαν, ϗ τὸ φθαρτὸν τȣ̃το ἐνδύσασθαι ἀφθαρσίαν." καὶ ȣ̓κ ἄν τις εἴποι τὸ σῶμα τότε εἰς τὴν οὐσίαν μεταβαλεῖν τῆς ψυχῆς· εἰ γὰρ καὶ λεπτότερον ϗ διαυγέςερον γίνεται, ἀλλ' ȣ̓̃ν τὰ ἰνδάλματα σώζει τȣ̃ σώματος, καὶ ἄνθρωπός ἐςι, τὰ ἀνθρώπȣ φέρων γνωρίσματα. μαρτυρεῖ δὲ τοῖς εἰρημένοις Ἐνὼχ ϗ Ἠλίας ϗ ὁ τῆς βροντῆς υἱὸς Ἰωάννης, ἔτι περιόντες ἐν τῷ σώματι· ϗ γὰρ τȣ́τȣς ὡς ἀπαρχὴν τȣ̃ ὅλȣ φυράματος ἡμῶν ὁ δημιȣργὸς λαβὼν ἔδειξε πᾶσιν ὡς εἰ μὴ ἥμαρτεν ὁ Ἀδάμ, ἔτι ἂν περιῆν μετὰ τȣ̃ σώματος. πλὴν ϗ ȣ̓̃τοι πολυχρόνιον βίον ἀνύοντες γεύσονταί ποτε θανάτȣ, κἂν ἐν ῥιπῇ ὀφθαλμȣ̃. ὅρα δὲ τὴν δι' αὐτῶν πίςιν, ὡς ἐκ τῶν τριῶν προάγεται

a. 2. Σαούλ] Act. 9, 4. 11. τοῦτον ς. 13. ὁ om pr A. 29. καὶ ἄνθρ.] Isa. 5, 8. 31. βίβλος] Matth. 1, 1. 38. εἰ ἐγὼ] Io. 5, 31. 40. εἰ] Io. 8, 14. 41. θείαν αὐτοῦ A: ἐμαυτοῦ ς. 42. οὕτος ς.
b. 3. μετὰ A: κατὰ ς. 21. φοβ.] Matth. 10, 28. 22. ἀπολέσαι ἐν γεέννῃ ς. 29. δεῖ] 1 Cor. 15, 53. 32. μεταβάλλειν ς.

*γενεῶν, ἐκ μὲν τῶν πρὸ νόμου ληφθέντος τοῦ Ἐνὼχ, ἐκ δὲ τῶν μετὰ τὸν νόμον τοῦ Ἠλία, ἐκ δὲ τῶν μετὰ τὴν χάριν τοῦ ἐπιστηθίου τῶν μαθητῶν. οὐκοῦν καὶ ὁ Ἀδάμ, εἰ τὴν ἐντολὴν ἐφύλαττε, τούτοις ἂν ἀδιστάκτως συμπεριῆν.*

*ὅτι δὲ περίεστιν ὁ παρθένος Ἰωάννης, ὅπερ ἐζήτη-* 418 H. *σας, ὥσπερ τὸν Ἐνὼχ καὶ τὸν Ἡλίαν παράδοσις μαρτυρεῖ, οὕτω καὶ τοῦτον. καὶ τὸ ἐν τοῖς εὐαγγελίοις δὲ εἰρημένον εἰς τὸν αὐτὸν ἡμᾶς νοῦν ἕλκει. εἶπε μὲν γὰρ ὁ Χριστὸς τὸν τρόπον τοῦ θανάτου, ὃν ἔμελλεν ὑπὲρ αὐτοῦ ἀποθνήσκειν ὁ Πέτρος· ὁ δὲ Πέτρος τὸν οἰκεῖον θάνατον ἀκούσας εὐθὺς ἐπερωτᾷ περὶ τοῦ εὐαγγελιστοῦ Ἰωάννου, δῆλον κἀκείνου οὐκ ἄλλο τι ἀλλ' ἢ τὸν τρόπον τοῦ θανάτου αὐτοῦ μαθεῖν ἐπιζητῶν, „οὗτος δὲ τί;" ὁ γὰρ ἄλλο μὲν ἤκουε παρὰ τοῦ σωτῆρος περὶ αὐτοῦ, εἰς ἄλλο δέ τι ἀνακόλουθον τὴν ἐρώτησιν μετῆγεν,* 800 R. *ὥσπερ παρορῶν καὶ παρὰ φαῦλον ποιούμενος τὴν τοῦ διδασκάλου περὶ αὐτοῦ προφητείαν. τῆς δὲ τοῦ Πέτρου ἐρωτήσεως περὶ τοῦ θανάτου, ὃν ἔμελλεν ἀποθνήσκειν ὁ Ἰωάννης, ἐπερωτῶντος, καὶ τοῦ σωτῆρος εἰπόντος „ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ;" πῶς οὐχὶ τὴν μέχρι τῆς παρουσίας αὐτοῦ διαμονὴν ἡ ἀλήθεια προλέγει; διὸ καὶ ὁ ἐν ἁγίοις Κύριλλος τὸ „ἀκολούθει μοι" περὶ τοῦ θανάτου τοῦ ἁγίου Πέτρου εἰρῆσθαι τῷ σωτῆρι ἐκδέχεται. τὸ δὲ ὅτι „ἐξῆλθεν ὁ λόγος οὗτος εἰς τοὺς μαθητάς, ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει" καὶ τὰ ἑξῆς οὐ μόνον οὐδὲν μάχεται, ἀλλὰ καὶ συνᾴδει. οὐ γάρ τις αὐτὸν ἀθάνατον εἶναί φησιν, ἀλλὰ διαμένειν μετὰ Ἐνὼχ καὶ Ἠλία μέχρι τῆς δευτέρας τοῦ δεσπότου παρουσίας· ὃ καὶ ὁ μαθητὴς αὐτὸς βεβαιῶν φησὶν ὅτι „οὐκ εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς ὅτι οὐκ ἀποθνήσκει, ἀλλ' ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ;" καὶ φανερὸν ὅτι τὸ μὲν ἀθάνατον εἶναι ἀνέτρεψε, τὸ δὲ μένειν ἕως τῆς παρουσίας ἐβεβαίωσεν. εἰ δὲ ὁ Παμφίλου Εὐσέβιος, τὴν ἐκκλησιαστικὴν γράφων ἱστορίαν καὶ τοὺς χρόνους αὐτοῦ, καθ' οὓς ἐβίωσεν, ἀριθμητοὺς ἔθετο, καὶ ὡς μέχρι τῶν Τραϊανοῦ χρόνων διήρκεσεν, οὐδὲν μαχόμενον, κἂν δοκῇ, λέγει. ἐκεῖνο γὰρ ἕκαστος κατὰ νοῦν λαμβανέτω, ὡς οἱ τοῦ Ἐνὼχ κατάδηλοι χρόνοι, καὶ ὅσα ἔτη ἐν τῷ κόσμῳ ἐβίω, σαφῶς ἡ θεία γραφὴ παραδίδωσιν· ἀλλ' οὐ διὰ τοῦτο τὴν μετὰ σώματος ἀρνήσεταί τις τοῦ δικαίου μετάθεσιν. ταύτῃ τῇ δόξῃ συνᾴδουσι καὶ αἱ πράξεις τοῦ ἠγαπημένου Ἰωάννου καὶ ὁ βίος, ἃς οὐκ ὀλίγοι προφέρουσι. κατατεθεὶς γάρ, φασί, κατὰ τὴν αὐτοῦ ἐκείνου προτροπὴν ἔν τινι τόπῳ, ζητηθεὶς αἰφνίδιον οὐχ εὑρίσκετο, ἀλλὰ μόνον τὸ ἁγίασμα βρύον ἐξ αὐτοῦ τοῦ τόπου, ἐν ᾧ πρὸς βραχεῖαν ῥοπὴν ἐτέθη· ἀφ' οὗ πάντες, ὡς πηγὴν ἁγιασμοῦ, τὸ ἅγιον ἐκεῖνο μύρον ἀρυόμεθα. ἐκεῖνο δὲ δῆλον, ὡς τὸ παρὸν ζήτημα, κἂν τῆς ἀληθείας παρασφαλῇ, οὐ φέρει ψυχῆς κίνδυνον. ἡ μὲν γὰρ περὶ πίστεως ἔρευνα τῆς ἀληθείας παρατραπεῖσα ναυάγιον μέγα τῇ ψυχῇ προξενεῖ, διὸ δὴ καὶ βραχείας τῆς εἰς αὐτὴν τελούσης ἀντέχεσθαι δεῖ συλλαβῆς· ἡ δὲ ζήτησις τῶν παρὰ τὴν εὐσέβειαν προβλημάτων καλὸν μὲν εἰ πρὸς τὸ τῆς* 419 H. *ἀληθείας καταλήγει τέλος· εἰ δέ γε ταύτης ἀστοχήσει, οὐ καλὸν μέν, ὅμως ὄλεθρον ψυχῆς οὐ φέρει. ἀλλὰ τὸ μὲν δεύτερον καὶ τρίτον οὕτω διελύσατο ζήτημα.*

*ἀθάνατος δὲ πλασθεὶς ὁ Ἀδὰμ τὸ λυσιτελὲς ἠγνόησεν, ὥσπερ καὶ πρὸ αὐτοῦ ὁ διάβολος καὶ αἱ περὶ αὐτὸν ἀποστατικαὶ δυνάμεις.*

*τὸ δὲ „ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν," εἰ καί τισιν εἰρῆσθαι παρ' εἰρωνείαν ἐνομίσθη, ἀλλ' οὐχ οὕτως ἔχει. οὐ μὴν ἀλλ' οὐδ' ὅτι γέγονε τῇ ἀληθείᾳ θεός· τοῦτο γὰρ παντελῶς μετὰ τοῦ ἀδυνάτου καὶ βλάσφημον. τί οὖν βούλεται τὸ „ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν;" ἰδοὺ νῦν, φησίν, αἴσθησιν ἐδέξατο οἷόν ἐστι τὸ φαντάζεσθαι γενέσθαι θεόν. πρὸς δὲ τὴν ἐκείνου γνώμην ταῦτα φθέγγεται θεός, καὶ διελέγχει τὴν κακόνοιαν. ὀνειδίζειν δὲ τὸ θεῖον πρὸς νουθεσίαν ἡμετέραν πολλαχοῦ τῆς γραφῆς εὑρίσκομεν.*

*Ἀλλὰ ταῦτα μὲν καὶ ὁ β' λόγος. δύναιτο δ' ἂν τὸ „ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν" καὶ ἐν εἰρωνείας σχήματι προελθεῖν, καὶ ὀνείδους λόγον ἐπέχειν, καὶ ἐλεεινολογίαν ἐν οἰκτιρμοῖς ἐπιδείκνυσθαι· αἱρείσθω δὲ τὸ δοκοῦν μᾶλλον ἕκαστος.*

801 R. *Ἐν δὲ τῷ γ' λόγῳ καὶ πρὸς Δόμνον καὶ Ἰωάννην γράφων, τοὺς τὴν δευτέραν Κιλικίαν οἰκοῦντας ἀσκητάς, ταῦτα ὑπὲρ τῆς ἐν Καλχηδόνι λέγει συνόδου, ὅτι ὀρθοδοξίας ἐστὶ φρόνημα καὶ Κυρίλλῳ φίλον μίαν ὑπόστασιν τοῦ λόγου σεσαρκωμένην κηρύττειν καὶ ἓν πρόσωπον, καὶ τὸ φρονεῖν τὸν αὐτὸν ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν [τὸν αὐτὸν] κατὰ τὴν ἀνθρωπότητα, τουτέστι τὸ δύο φύσεις ὁμολογεῖν, ἐξ ὧν ὁ εἷς Χριστὸς ἀπετελέσθη. δύο γὰρ γεννήσεις τοῦ*

a. 14. οὗτος] Io. 21, 21. 19. ἔμελλεν Ἰωάννης ἀποθνήσκειν ς. 28. ἀθ. αὐτὸν ς. 37. ἐβίωσεν A : ἔζησεν ς. 42. οὐ A : οὖν οἱ ς. b. 6. ἁγ. πηγὴν ς. 20. ἰδοὺ] Gen. 3, 22. 30. δύναται ς. 35. πρὸς et 38. φίλον om A.

ἑνὸς Χριστοῦ καὶ θεοῦ ἡμῶν εἰδότες, οὐδὲ τῆς σαρκὸς καὶ τοῦ λόγου τὴν κατ᾽ οὐσίαν διαφορὰν ἀγνοοῦμεν. αὕτη δὲ ἡ πίστις τῆς ἐν Καλχηδόνι συνόδου δέδεικται κήρυγμα. εἶτα τετρακόσιοι καὶ ἑβδομήκοντα ἀρχιερεῖς ταύτην ἐγγράφως ἐβεβαιώσαντο, ἐν οἷς καὶ οἱ θαυμαστοὶ τὸν βίον Συμεὼν καὶ Ἰάκωβος καὶ Βαραδάτος τὴν αὐτὴν γνώμην ἰδίοις ἐπεκύρωσαν γράμμασι. δῆλον δὲ ὡς, ἔνθα μία καθ᾽ ὑπόστασιν ἕνωσις, πᾶσα διαιρέσεως ὑπόνοια ἀπελήλαται· τὸ γὰρ γνωρίζειν τῶν οὐσιῶν τὸ διάφορον οὐκ ἔστι διαιρεῖν ταύτας, κατὰ τὸν ἐν ἁγίοις Κύριλλον.

ὅτι τὸ πρὸς ἡμᾶς ὁμοούσιον τοῦ ἐνανθρωπήσαντος θεοῦ λόγου σαφῶς ἡ σύνοδος ἀνεκήρυξε, δογματιζόμενον μὲν παρὰ τῶν ὁσίων ἡμῶν πατέρων, οὔπω δὲ τῆς φωνῆς οἰκουμενικῆς συνόδου ψηφίσμασι τὴν βεβαίωσιν λαβούσης. διὸ πάντως ἂν ἐξεβέβλητο, τῆς δυσσεβοῦς μὲν δόξης Εὐτυχοῦς ἐν τῇ λῃστρικῇ συνόδῳ παρρησιασαμένης, ὑφ᾽ ἑτέρας δὲ μὴ κατακριθείσης, κἀκείνου μὲν τῆς δικαίας καθαιρέσεως ἀπολυθέντος, ἐπὶ Φλαβιανὸν δὲ τὸν ἀοίδιμον, ὃς ἐκεῖνον καθεῖλε, τῆς δίκης ἀδίκως μετενεχθείσης, καίτοι λαμπρῶς κηρύττοντα μίαν μὲν τοῦ λόγου φύσιν σεσαρκωμένην, τουτέστιν ὑπόστασιν, συνανακηρύττοντα δὲ καὶ τὸ ἡμῖν ὁμοούσιον.

ὅτι φησὶν οἱ ἅγιοι πατέρες μὴ χρῆναι τὴν λέξιν
420 H. γυμνὴν καὶ κακούργως ἐξετάζειν, ἀλλὰ τῇ εὐσεβεῖ διανοίᾳ προσέχειν τοῦ γράφοντος. καὶ παρατίθησι τῆς παραινέσεως μαρτυρίας Ἀθανασίου μὲν ἐκ τοῦ κατὰ Ἀρειανῶν, Κυρίλλου δὲ ἐκ τῶν θησαυρῶν, Ἰωάννου δὲ τοῦ Χρυσοστόμου ἐκ τοῦ ὑπομνήματος τῆς πρὸς Γαλάτας ἐπιστολῆς.

ὅτι φησί, τὸ λέγειν σαρκὶ παθεῖν τὸν θεὸν λόγον φρόνημα τῆς ἐκκλησίας ἐστίν, ὥσπερ καὶ βλάσφημον καὶ ἀπόβλητον τὸ κηρύττειν αὐτὸν παθεῖν τῇ φύσει τῆς θεότητος. καὶ παράγει μαρτυρίας διαφόρους, Κυρίλλου μὲν ἐκ τῶν σχολίων, ἐκ τῆς πρὸς Σούκενσον β΄ ἐπιστολῆς, ἐκ τῆς πρὸς Νεστόριον α΄, ἐκ τῶν θησαυρῶν, ἐκ τῆς ἑρμηνείας τοῦ ἀποπομπαίου, καὶ ἐκ τῆς ἀπολογίας τοῦ ιβ΄ ἀναθεματισμοῦ, καὶ ἐκ τῆς πρὸς τὰς βασιλίδας ἐπιστολῆς, καὶ ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ἑβραίους, καὶ ἐκ τοῦ εἰς τὸν Ἡσαΐαν ὑπομνήματος, καὶ ἐκ τῆς ἑρμηνείας τοῦ η΄ ψαλμοῦ, καὶ ἐκ τοῦ περὶ ἀπαθείας λόγου, καὶ ἐκ τοῦ περὶ πάθους λόγου, καὶ ἐκ τοῦ εἰς τὸν εὐαγγελιστὴν Ἰωάννην ὑπομνήματος βιβλίου ζ΄, καὶ ἐκ τοῦ περὶ ἐνανθρωπήσεως, [καὶ ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ἑβραίους], καὶ ἐκ τοῦ ὑπομνήματος τοῦ εἰς τὸν εὐαγγελιστὴν Ἰωάννην βιβλίου β΄, καὶ ἐκ τοῦ περὶ ἐνανθρωπήσεως λόγου, καὶ ἐκ τοῦ ὑπομνήματος τοῦ εἰς τὸν εὐαγγελιστὴν Ἰωάννην βιβλίου θ΄ καὶ η΄. συμπαρατίθησι μέντοι καὶ Γρηγορίου, καὶ Βασιλείου ἐκ τοῦ περὶ εὐχαριστίας καὶ ἐκ τῆς πρὸς Σωζοπολίτας ἐπιστολῆς καὶ ἐκ τῆς πρὸς Ἀπολινάριον, ναὶ δὴ καὶ Ἀθανασίου τοῦ πολυάθλου ἐκ διαφόρων λόγων.

ὅτι τῶν ἀπὸ Σεβήρου ληρούντων ὡς ἐννοεῖν μὲν χρὴ τὸ ἑτεροειδὲς καὶ ἑτεροφυὲς τῶν εἰς ἑνότητα ἄφραστον συνεληλυθότων, μὴ χρῆναι δὲ λέγειν ταῦτα, πλατὺν μὲν γέλωτα τῆς ἀνοίας αὐτῶν ὁ ἱερὸς ἀνὴρ καταχεῖ, καὶ πρό γε τοῦ ἀνδρὸς αὐτή γε ἡ κοινὴ ἔννοια 804 R. καὶ ἡ Παύλου φωνὴ λέγουσα „καρδίᾳ μὲν πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν."

ὅτι φησίν, ἓν πρόσωπον, τουτέστι μίαν ὑπόστασιν τοῦ λόγου σεσαρκωμένην κηρύττομεν, ἐπειδὴ καὶ ἁπλοῦς Ἰησοῦς συνετέθη κατὰ τὸν ἐν ἁγίοις Ἀρεοπαγίτην Διονύσιον. καὶ ἐπὶ μὲν τῆς καθ᾽ ὑπόστασιν ἑνώσεως δικαίως παρὰ τῆς εὐσεβείας τὸ σύνθετον λέγεται· σύνθετον δὲ οὐσίαν οὐδεὶς εἰπεῖν ἐτόλμησε πλὴν Ἀπολιναρίου. δηλῶν δὲ καὶ ὁ κύριος ὅτι σύνθετος μὲν αὐτοῦ ἡ ὑπόστασις, οὐκέτι δὲ καὶ ἡ φύσις, τῶν μὲν θυρῶν κεκλεισμένων πρὸς τοὺς μαθητὰς εἰσελθὼν „ψηλαφήσατέ με" λέγει „καὶ ἴδετε ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα," ἀλλαχοῦ δὲ „πνεῦμα ὁ θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐκ πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν." πῶς οὖν οὐκ ἐναντία ταῦτα; ἢ ὅτι κατὰ μὲν τὴν οὐσίαν τῆς θεότητος οὐκ ἔχει σάρκα, ἐπειδὴ μηδὲ δύναται σύνθετος ἡ οὐσία εἶναι, τῷ δὲ προσώπῳ καὶ τῇ ὑποστάσει ἔχει, καθὼς αὐτὸς ἔχων ἐθεωρεῖτο· καὶ ὅπερ οὐκ εἶχε κατὰ τὴν οὐσίαν (οὐ γὰρ ἦν σύνθετος), τοῦτο κατὰ τὴν ὑπόστασιν ἔχει (σύνθετος γὰρ αὐτή)· καὶ καθ᾽ ἑτέραν μὲν οὐσίαν οὐκ ἔχει 421 H. τὴν ἑτέραν, κατὰ δὲ τὴν ὑπόστασιν ἑκατέραν ἔχει. ὥστε καὶ σάρκα ἔχει καὶ πνεῦμα κατὰ τὴν ὑπόστασιν· κατὰ δὲ τὴν οὐσίαν οὔτε τὸ πνεῦμά ἐστι σάρξ, οὔτε ἡ σάρξ τὴν τοῦ πνεύματος φύσιν ὑπῆλθε. τοῦτο δὲ ἑρμηνεύων καὶ ὁ

a. 6. *Συμεὼν* ς. 8. *διαίρεσις ὑπονοία A.* 24. post *φησὶν* deest *παραινοῦσιν*. 27. libri *μάρτυρας*. *Ἀθανάσιον* ς. *τοῦ*] *τῶν τοῦ A.* 34. libri *Κύριλλον*. b. 3. *καὶ ἐκ τῆς ἑρμ. τῆς πρὸς Ἑβρ.* om *A.* 4. *ἐκ τοῦ εἰς τὸν εὐαγγ. Ἰωάννην ὑπομν.* ς. 5. *καὶ ἐκ τοῦ περὶ — θ΄ καὶ η΄* in mg ponit *A.* 15. *κατηχεῖ* ς. 17. *καρδίαν — στόμα* ς. cf. Rom. 10, 10. 20. *καὶ ὁ ἁπλοῦς* corr *A.* 27. *ψηλ.*] Luc. 24, 39. 30. *πνεῦμα*] Io. 4, 24. 33. *μηδὲ A*: *μὴ* ς. *ἡ οὐσία σύνθετος* ς. 37. *γὰρ A*: *γάρ ἐστιν* ς.

Digitized by Google

ἱερὸς Κύριλλος „ἡ γ͂ σάρξ" φησι „σάρξ ἐςὶ ϗ ȣ̓ θεότης, εἰ ϗ θεȣ̃ γέγονε σάρξ· τὴν κατ' ȣ̓σίαν γὰρ" φησιν „εὑρίσκω διαφοράν, κἂν τὸ τῆς υἱότητος μοναδικὸν ὁμολογῶ." ϗ ἐν εὐαγγελίοις δὲ λέγων ὁ κύριος „ἵνα ὦσιν ἕν, καθὼς ἡμεῖς ἕν ἐσμεν, κἀγὼ ἐν αὐτοῖς, ϗ σὺ ἐν ἐμοί" τὸ ὁμοȣ́σιον ἑκατέρας ἐδήλωσε φύσεως· ἓν γάρ ἐςι τῇ θεϊκῇ ȣ̓σίᾳ ἐν τῷ πατρὶ ὁ εἷς θεὸς λόγος, καὶ ἓν πάλιν ἐν αὐτοῖς, τουτέςιν τῇ καθ' ἡμᾶς ȣ̓σίᾳ. ὁμονοῶν δὲ τοῖς εἰρημένοις ὁ Κύριλλος ȣ̃τω ϗ αὐτὸς ἑρμηνεύει τὸ ῥητόν· „ὥσπερ" φησίν „ἐγώ εἰμι ἐν αὐτοῖς, διὰ τὸ τὴν αὐτὴν αὐτοῖς φορέσαι σάρκα, καὶ σὺ ὦ πάτερ ἐν ἐμοί, διὰ τὸ εἶναί με τῆς σῆς ȣ̓σίας, ȣ̃τω βȣ́λομαι ἵνα καὶ αὐτοὶ εἰς ἑνότητά τινα συναχθέντες ἀλλήλοις ἀνακραθῶσι ϗ ὥσπερ ἓν σῶμα γενόμενοι ἐν ἐμοὶ πάντες ὦσιν, ὡς πάντας φοροῦντι διὰ τȣ̃ ἑνὸς ἀναληφθέντος ναȣ̃." ταῦτα δὲ ϗ ὁ προφήτης Ἡσαΐας φησὶν ἐν τῷ λέγειν „παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, καὶ θεὸς ἐςιν ἐξȣσιαςὴς ἰσχυρός·" διὰ μὲν γ͂ τȣ̃ παιδίον τὸ ἡμῖν ὁμοούσιον, διὰ δὲ τοῦ θεὸς τὸ πρὸς τὸν πατέρα καὶ τὸ πνεῦμα ἐκήρυξεν ὁμοȣ́σιον. ϗ ὁ Νύσσης δὲ Γρηγόριος ἐν τῷ κατὰ Ἀπολιναρίȣ γράφων „εἰ ἐν τοῖς ἐναντίοις" φησὶν „ἰδιώμασιν ἡ θατέρȣ τȣ́των θεωρεῖται φύσις, τῆς σαρκὸς λέγω καὶ τῆς θεότητος, πῶς μία αἱ δύο;"

Ταῦτα εἰπὼν ὁ ἱερὸς Ἐφραίμιος, δυσσεβῶς ἑρμηνευόντων τῶν περὶ Δόμνον τὸ „ἐσκήνωσεν ἐν ἡμῖν," ἐπιῤῥαπίζει μὲν τούτȣς· ϗ γ͂ ἀντὶ τȣ̃ „ἐπὶ γῆς ὤφθη ϗ τοῖς ἀνθρώποις συνανεςράφη" παρενόησαν τὴν φωνήν, ἐν ἴσῳ ταύτην νομίσαντες τῆς λεγούσης „Λὼτ ἐσκήνωσεν ἐν πόλει τῶν περιχώρων" ϗ πάλιν „ἐσκήνωσεν ἐν Σοδόμοις." ἐπιῤῥαπίζων δὲ ϗ τὸ ἀνόητον τῆς ἐκδοχῆς, αὐτὸς τὸ ἐσκήνωσεν ἀναπτύσσει σαφήνειαν εἶναι τοῦ ὁ λόγος σὰρξ ἐγένετο, ϗ ἔλεγχον τῶν τροπήν τινα καὶ ἀλλοίωσιν τοῦ λόγȣ μελλόντων κατηγορεῖν.
805 R. "καὶ γ͂ εἰπὼν ὁ εὐαγγελιςὴς „ὁ λόγος σὰρξ ἐγένετο" εὐθὺς συνῆψε „καὶ ἐσκήνωσεν ἐν ἡμῖν," τήν τε εἰς μίαν ὑπόςασιν συνόδον ϗ τὸ ἀμετάβλητον τῆς ἑκατέρας φύσεως δι' ἑκατέρας ἐκδιδάσκων φωνῆς. οὕτω τὸ λόγιον θεωρήσας, τόν τε Χρυσόςομον μάρτυρα καλεῖ ϗ σὺν αὐτῷ Κύριλλον ϗ Ἀθανάσιον ϗ τὸν θεολόγον Γρηγόριον, παραπλησίως τὸ ῥητὸν ἐννοήσαντας.

Κἀκεῖθεν πάλιν παράγει ῥητά, ὧν Δόμνος ϗ Ἰωάννης γεννήτορες, καὶ δεικνυσιν αὐτοὺς δι' ἑαυτῶν καὶ ἄκοντας ὁμολογεῖν ἐν τοῖς πλείςοις ἃ καὶ ἡ ἐν Καλχηδόνι ἐδόξασε συνόδος, καὶ μάτην αὐτοὺς ταύτην ἐκτρέπεσθαι. τὸ μέντοι λέγειν ἐκ δύο φύσεων εἶναι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριςὸν πρὸ τῆς ἑνώσεως παν- 422 H
τελῶς ἐλέγχει μετὰ τῆς ἀσεβείας καὶ ἄλογον. ἡ μὲν γ͂ τοῦ λόγȣ φύσις ἀεί, καθὰ ϗ μετὰ τὴν ἐνανθρώπησιν, συναΐδιος καὶ ὁμοούσιος ὑπῆρχε τῷ πατρί· ἡ δὲ σὰρξ οὔπω τῷ λόγῳ συναφθεῖσα οὐδὲ τῶν ὑπαρχόντων ὅλως ἦν. πῶς οὖν, εἰ μή τις ἕλοιτο Νεςορίῳ συνασεβεῖν, ἐκ δύο φύσεων τὸν κύριον πρὸ τῆς ἐνανθρωπήσεως ἢ νοεῖν ἢ λέγειν δυνατόν; τὸ μέντοι γε μετὰ τὴν ἕνωσιν λέγειν ἐκ δύο φύσεων, ὥσπερ καὶ ἐν δυσί, τὸν Χριςὸν θεωρεῖν εὐσεβές τε καὶ τῶν ὀρθοδόξων φρόνημα, ὃ καὶ ἡ ἐν Χαλκηδόνι ἐπρέσβευσε συνόδος· ἐν θεότητι γ͂ τέλειον τὸν Χριςὸν καὶ θεὸν ἡμῶν καὶ ἐν ἀνθρωπότητι τρανῶς ἀνεκήρυξεν. εἰ δέ τις μέρȣς τῶν ἀπὸ Σεβήρȣ φαίη ὡς εἰ δύο φύσεις ἐν τῷ Χριςῷ, ϗ πρόσωπα δύο ἔςαι ϗ ὑποςάσεις (φύσις γ͂ οὐκ ἔςιν ἀπρόσωπος οὐδὲ ἀνυπόςατος), ἴςωσαν ὅτι τοῦ πατρὸς αὐτῶν τὴν ἀσχημοσύνην ἀνακαλύπτοντες οὐκ αἰσθάνονται· καὶ γ͂ ϗ Σεβῆρος τὸ ἐκ δύο φύσεων λέγων, ἐκ δύο προσώπων ϗ δύο ὑποςάσεων τὸν Χριςὸν οὐκ ἐρυθριᾷ συντιθέναι ϗ ἀποφαίνεσθαι. πλὴν εἰδέναι γε χρὴ ὡς πολλὰ τῶν ἐν τοῖς οὖσι φύσις μὲν λέγεται, οὐκ ἐξ ἀνάγκης δὲ συνεισάγει καὶ πρόσωπον, ὥσπερ φύσις ὕδατος καὶ φύσις ὀργῆς καὶ φύσις πολέμου ϗ μάχης· ποῦ γάρ τις τῶν εἰρημένων ποτέ, ὥσπερ εἶπε φύσιν, οὕτω ϗ πρόσωπον ἀπελήρησε; ϗ πάλιν φύσιν μὲν ψυχῆς ϗ φύσιν σώματος ἕκαςον τῶν ἀνθρώπων ἔχειν λέγομεν· πρόσωπον δὲ ψυχῆς ἢ πρόσωπον σώματος, ἢ ψυχῆς ὑπόςασιν ἢ σώματος, οὐδ' οἱ μῦθοι ἀνεπλάσαντο.

Ὅτι δὲ δύο φύσεων ἕνωσιν καὶ μίαν ὑπόςασιν ϗ πρόσωπον ἓν ὁμολογεῖν τοῦ ὀρθοῦ φρονήματός ἐςι ϗ τῶν πατέρων κήρυγμα, Ἰωάννης μὲν ὁ Χρυσόςομος, τὸ κατὰ Ἰωάννην ἀναπτύσσων εὐαγγέλιον, ἐν ἑνδεκάτῃ ὁμιλίᾳ μαρτυρεῖ, λέγων „ἑνώσει καὶ τῇ συναφείᾳ ἕν ἐςιν ὁ θεὸς λόγος ϗ ἡ σάρξ, οὐ συγχύσεως γενομένης οὐδὲ ἀφανισμοῦ τῶν οὐσιῶν." ϗ Κύριλλος δὲ ἐν τῇ πρὸς ἀνατολικοὺς ἐπιςολῇ „εἷς γ͂ κύριος Ἰησοῦς Χριςός, κἂν ἡ τῶν φύσεων μὴ ἀγνοῆται διαφορά." καὶ

a. 5. ἵνα] Io. 17, 21. 12. ὦ πάτερ A: ὥσπερ ς. 15. γενόμενον ς. 16. ταῦτα δὲ καὶ A: τοῦτο δὲ ς. 17. Ἡσ.] 9, 6. 26. ἐσκήν.] Io. 1, 14. 27. ἐπὶ γῆς] Bar. 3, 38. 29. λώτ] Gen. 13, 12. 37. τῆς om A.
b. 7. ἀνθρώπησιν ς. 18. εἰ A: αἱ ς. 19. ἔςαι A: ἐςάναι ς.

Digitized by Google

Ἀμβρόσιος ὁ Μεδιολάνων ἐκ τῷ περὶ ἐνανθρωπήσεως λόγῳ „τοὺς δὲ μὴ ὁμολογοῦντας τὸν κύριον ἡμῶν Ἰησοῦν Χριςὸν δύο εἶναι οὐσίας ἀσυγχύτως, ἓν δὲ πρόσωπον, καθὸ εἷς Χριςὸς εἷς υἱός, τȣ́τȣς ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποςολικὴ ἐκκλησία.“ ἐπὶ τȣ́τοις ϗ ὁ τῶν Ἱεροσολύμων Κύριλλος καὶ Ἀμφιλόχιος ὁ τοῦ Ἰκονίȣ ϗ Πρόκλος ὁ Κωνςαντινȣπόλεως, ὃς καὶ φησιν ἐν τῇ τεσσαρακοςῇ „ἡ θεία φύσις ἄκτιςος, ἡ ἐξ ἐμȣ̃ πρόσληψις ἀνόθευτος· καὶ ἔςιν εἷς υἱός, οὐ τῶν φύσεων εἰς δύο ὑποστάσεις διαιρουμένων, ἀλλὰ τῆς φρικτῆς οἰκονομίας τὰς δύο φύσεις εἰς μίαν ὑπόςασιν
808R. ἑνωσάσης.“ ϗ Παῦλος δὲ ὁ Ἐμίσης ἐπίσκοπος, κατενώπιον ὁμιλήσας Κυρίλλȣ ϗ λίαν ἀποδεχθείς, ȣ̔́τω φησίν „εὐθέως ὁ κορυφαῖος, τὸ ςόμα τῶν ἀποςόλων, ἔφη σὺ εἶ ὁ Χριςὸς ὁ υἱὸς τȣ̃ θεȣ̃ τȣ̃ ζῶντος. σὺ εἶ
423H. ὁ Χριςός, ἡ διττὴ φύσις· σὺ εἶ ὁ Χριςός, καὶ οὐκ εἶπεν υἱός, ἀλλ᾽ ὁ υἱὸς τȣ̃ θεȣ̃ τȣ̃ ζῶντος. ἐπέγνω ϗ τὸ μοναδικὸν πρόσωπον.“ ἐφ᾽ οἷς ϗ Ἱλάριος ὁ ὁμολογητὴς ϗ ἐπίσκοπος Γαβάλων ἐν τῷ δ´ περὶ πίςεως λόγῳ ϗ ἐν τῷ περὶ ἑνώσεως ταῦτα κηρύσσει, ϗ Κυριακὸς ἐπίσκοπος Πάφȣ, εἷς τῶν τιη´ ἁγίων πατέρων, καὶ Ἀμβρόσιος ἐπίσκοπος Μεδιολάνων ἐν τῷ λόγῳ ὃν ἐπέγραψε Γρατιανῷ τῷ βασιλεῖ, καὶ ἐν τῷ περὶ Ἀπολιναρίȣ, καὶ ἐν τῷ περὶ ἐνανθρωπήσεως λόγῳ. ἀλλὰ ϗ Πέτρος ὁ Ἀλεξανδρείας ϗ μάρτυς, ϗ Βασίλειος ὁ Καισαρείας τῆς ἐν Καππαδοκίᾳ, ϗ Γρηγόριος ὁ θεολόγος ἐν τοῖς γενεθλίοις καὶ ἐν τῷ περὶ υἱȣ̃ β´ λόγῳ καὶ ἐν τῇ πρὸς Κληδόνιον β´ ἐπιςολῇ τὰ ὅμοια μαρτυρεῖ, καὶ Ἀμφιλόχιος δὲ ἐν τῇ πρὸς Σέλευκον ἐπιςολῇ, καὶ ὁ Χρυσόςομος τὴν πρὸς Τιμόθεον πρώτην ἑρμηνεύων ἐπιςολήν, ϗ Πρόκλος ὁ Κωνςαντινȣπόλεως ἔν τε τῷ εἰς τὸ γενέθλιον λόγῳ ϗ ἐν ἄλλοις διαφόροις, Ἀθανάσιος ὁ Ἀλεξανδρείας ἐν τῇ πρὸς τὰς παρθένȣς ἐπιςολῇ, ϗ Κύριλλος ἐν τῇ πρὸς Σȣ́κενσον α´ καὶ μὴν καὶ ἐν τῇ β´, καὶ ἐν τῇ πρὸς τȣ̀ς ἀνατολικȣ́ς, καὶ ἐν τῇ πρὸς Ἀκάκιον τὸν ἐπίσκοπον Μελιτηνῆς, καὶ ἐν τῷ περὶ ἐνανθρωπήσεως λόγῳ, ϗ ἐν τῇ πρὸς Εὐλόγιον τὸν πρεσβύτερον ἐπιςολῇ, ϗ ἐκ τῶν θησαυρῶν, καὶ ἐν ἄλλοις αὐτȣ̃ διαφόροις λόγοις. τȣ́των τῶν θεοφόρων ἡμῶν πατέρων ἡ ἐν Καλχηδόνι ἁγία σύνοδος τὰς γνώμας ἐκμελετήσασα τὴν εὐσέβειαν ἐπεκύρωσεν, ὥςε τὸ κατ᾽ ἐκείνης σπȣδάζειν κατὰ τȣ́των ἐςὶν εἰς ὕβριν ὁπλίζεσθαι.

Ὅτι γε μὴν Χριςός, ὁ ἀληθινὸς θεὸς ἡμῶν, ȣ̓́τε τὰ τῆς θεότητος ἴδια ȣ̓́τε τὰ ἴδια τῆς ἀνθρωπότητος διῃρημένως ἔπραττεν, ἑνώσει δὲ τῇ καθ᾽ ὑπόςασιν ἅπαντα ὁ εἷς καὶ ὁ αὐτὸς τά τε θεῖα καὶ τὰ ἀνθρώπινα ἐπετέλει, τοὺς θεοφόρους ἡμῶν πατέρας πάλιν παράγει μάρτυρας, Ἰȣ́λιον τὸν ἐπίσκοπον Ῥώμης ἐκ τȣ̃ περὶ τῆς ἐν Χριςῷ ἑνώσεως τȣ̃ σώματος πρὸς τὴν θεότητα, καὶ Ἀθανάσιον τὸν Ἀλεξανδρείας ἐκ τῆς πρὸς Μάξιμον τὸν φιλόσοφον ἐπιςολῆς ϗ ἐξ ἑτέρων διαφόρων λόγων, Γρηγόριόν τε τὸν Νύσσης ἐκ τȣ̃ γ´ λόγȣ κατ᾽ Εὐνομίȣ καὶ ἐκ τȣ̃ κατηχητικȣ̃, καὶ Βασίλειον τὸν Καισαρείας ἐκ τῆς πρὸς Σωζοπολίτας ἐπιςολῆς, Κύριλλόν τε τὸν σοφὸν ἐκ τȣ̃ περὶ ἐνανθρωπήσεως λόγȣ καὶ ἐκ τῶν θησαυρῶν καὶ ἐκ τῆς πρὸς Σȣ́κενσον β´ ἐπιςολῆς καὶ ἐκ τῆς πρὸς Ἑβραίȣς ἑρμηνείας καὶ ἐκ τῶν σχολίων.

Ταῦτα δὲ διελθὼν ὁ συγγραφεὺς ῥητὰ τȣ̃ ἐν ἁγίοις πάπα Λέοντος προκομίζει, ἃ καί φησι κατὰ τῶν δυσσεβῶν Οὐαλεντίνȣ καὶ Μαρκίωνος ϗ Μάνη ϗ Ἀπολιναρίȣ καὶ Εὐτυχέως ϗ τῶν ὁμοίων αἱρετικῶν παρατάττεσθαι, ϗ διὰ τȣ̃το παρὰ τῶν ὁμοφρόνων ἐπηρεάζεσθαι. καὶ πρῶτον μὲν τȣ̃το „ὥσπερ γὰρ ἐν τῷ ἐλεεῖν
424H. ὁ θεὸς τροπὴν οὐχ ὑφίςαται, ȣ̔́τως ὁ ἄνθρωπος τῷ μεγέθει τῆς θείας ἀξίας ȣ̓κ ἀναλίσκεται,“ δεύτερον τὸ „ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας.“ λέγει γὰρ ἡ αἵρεσις ὡς τὰ δύο τῶν ἄρθρων προτακτικά, ὁ θεὸς καὶ ὁ ἄνθρωπος, δύο προσώπων εἰσὶ καὶ ὑποςάσεων παραςατικά, ϗ σχέσει μόνῃ τὴν ἕνωσιν σχηματίζȣσιν. ἀλλὰ τὸ ἀναιδὲς τȣ́των Ἀθανάσιός τε
809R. καὶ οἱ Γρηγόριοι καὶ Ἐπιφάνιος καὶ ὁ Χρυσόςομος καὶ αὐτὸς ὁ κύριος καταισχύνȣσιν, ἴσαις φωναῖς καὶ ὁμοίαις καὶ αὐτοὶ πολλαχȣ̃ χρησάμενοι, καὶ δηλȣ̃ντες διὰ τῆς τοιαύτης προταγῆς τῶν ἄρθρων ȣ̓ τόν τινα ἄνθρωπον ἀλλὰ τὸν ὁλικόν, ȣ̓δὲ τὴν τȣ̃ πατρὸς ἢ τὴν τȣ̃ υἱȣ̃ ὑπόςασιν ἀλλὰ τὴν κοινὴν φύσιν, καὶ ȣ̓ κατ᾽ εὐθεῖαν μόνον τὰ ἄρθρα ἀλλὰ καὶ κατὰ τὰς πτώσεις τοῖς ὀνόμασι συνδιαπλέκοντες. αὐτίκα Ματθαῖος „ὃς ἐὰν εἴπῃ λόγον“ φησὶ „κατὰ τȣ̃ υἱοῦ τοῦ ἀνθρώπȣ, ἀφεθήσεται αὐτῷ,“ ϗ πάλιν „μέλλει ὁ υἱὸς τȣ̃ ἀνθρώπȣ

a. 3. ἀσυγχύτους A. 13. ὁμολογήσας κυρίου ς. 15. σὺ] Matth. 16, 16. εἶ secundum et tertium om A. 24. ἐνανθρ. λόγου pr A, τῆς ἐνανθρ. τοῦ λόγου corr: τῆς ἐνανθρ. λόγῳ ς. 34. et b 17 et 258 b 26. οὔκενσον A. 35. τοὺς add A.
b. 22. εὐτυχίος ς. cf. p. 265 b 29. 24. ἐλεεῖν] λέγειν A. 26. ἀξίας A: δόξης ς. 29. προσώπων corr A: πρόσωπά ς. 39. ὃς] Matth. 12, 32. 41. μέλλει] ib. 16, 27.



Digitized by Google

ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ," ϗ πάλιν „μηδενὶ εἴπητε τὸ ὅραμα, ἕως ἂν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ." καὶ ὁ θεσπέσιος Παῦλος „εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον τῇ χάριτι τοῦ θεοῦ καὶ τῇ δωρεᾷ ἐν χάριτι τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς περιέσσευσεν." ἐν γὰρ τούτοις ἅπασιν ἡ τοῦ ἀνθρώπου μνήμη μετὰ τοῦ γενικοῦ προαγομένη ἄρθρου οὐδαμῶς διεῖλε τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς διαφορὰν ὑποστάσεων. καὶ ὁ θεοφόρος δὲ Ἰγνάτιος καὶ μάρτυς, Σμυρναίοις ἐπιστέλλων, ὁμοίως κέχρηται τῷ ἄρθρῳ. καὶ ὁ Ῥώμης Ἰούλιος ἐν τῇ πρὸς Δόκιον ἐπιστολῇ φησὶν „ὥστε ϗ ἀνάθεμα ἔστω πᾶς ὁ τὸν ἐκ Μαρίας ἄνθρωπον οὐχ ὁμολογῶν εἶναι ἔνσαρκον θεόν." τὰ αὐτὰ δὲ καὶ ὁ πολύαθλος Ἀθανάσιος ἐν τῷ περὶ πίστεως λόγῳ, καὶ ὁ θεολόγος Γρηγόριος ἐν τῇ πρὸς Κληδόνιον β' ἐπιστολῇ, ναὶ μὴν καὶ ὁ Νύσσης Γρηγόριος ἐν διαφόροις λόγοις, ϗ Βασίλειος ὁ θεσπέσιος ἐν τῷ περὶ πίστεως λόγῳ, καὶ ὁ θαυμαστὸς Ἐπιφάνιος ἐν τῷ περὶ αἱρέσεως πρώτῳ βιβλίῳ, ἀλλὰ ϗ ὁ Κωνσταντινουπόλεως Ἀττικὸς ἐν τῇ πρὸς Εὐψύχιον ἐπιστολῇ, ϗ ὁ Χρυσόστομος ἐν τῇ ἑρμηνείᾳ τῆς πρὸς Ἐφεσίους ἐπιστολῆς, τρίτης ὁμιλίας, καὶ Κύριλλος δὲ ἐν τοῖς θησαυροῖς ϗ ἐν τῇ ἑρμηνείᾳ τοῦ προφήτου Μαλαχίου ϗ ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου ϗ ἐν τῷ περὶ τῆς ἐν πνεύματι λατρείας ἐνάτῳ βιβλίῳ· λέγει γὰρ οὕτως „φύσεως γὰρ τῆς ἀνωτάτω καταπλουτεῖ τὸν ἐναυλισμὸν ὁ ἐκ παρθένου ναός." τούτων ἁπάντων μετὰ τῶν ἄρθρων τήν τε θείαν φύσιν ϗ τὴν ἀνθρωπίνην προαγόντων, πῶς ὁ τὸν ἐν ἁγίοις Λέοντα αἰτιώμενος διὰ τὴν τῶν ἄρθρων προκομιδὴν οὐχὶ κατὰ πάντων ἡμῶν τῶν θεοφόρων πατέρων ὑλακτεῖ;

Ἀλλ' ἴδωμεν καὶ τὸ „ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας ὅπερ ἴδιον ἔσχηκε, τοῦ μὲν λόγου κατεργαζομένου τοῦτο ὅπερ ἐστὶ τοῦ λόγου, τοῦ δὲ
425H σώματος ἐκτελοῦντος ἅπερ ἐστὶ τοῦ σώματος." καὶ γὰρ κἀνταῦθα ὁμόδοξός τε ϗ ὁμόφωνος τοῖς ἱεροῖς ἡμῶν ἀναδειχθήσεται πατράσι· πάντες γὰρ τὰ μὲν ἀνθρώπινα τῷ ἀνθρώπῳ ἀνατιθέασι, τῷ θεῷ δὲ τὰ θεῖα, ὥσπερ ϗ ὁ σοφὸς Κύριλλος ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου „εἰ δὲ δή" φησι „λέγοιτο προκόπτειν ὁ Ἰησοῦς ἡλικίᾳ καὶ σοφίᾳ ϗ χάριτι, τῆς οἰκονομίας ἐστὶ τὸ χρῆμα· συνεχώρει γὰρ ὁ τοῦ θεοῦ λόγος διὰ τῶν τῆς ἰδίας φύσεως ἐθῶν ἰέναι τὸ ἀνθρώπινον." καὶ ἐν τῷ κατὰ Νεστορίου λόγῳ „ἄθρει δή" φησιν „ὅπως οὐδὲν καθυφεὶς αὐτός, οὔτε μὴν εἰς ἰδίαν φύσιν τὸ ἀσθενῆσαι παθών, συγκεχώρηκε τῇ σαρκὶ ϗ διὰ τῶν ἰδίων ἰέναι νόμων· καὶ αὐτοῦ τὸ χρῆμα λέγεται διὰ τὸ ἴδιον εἶναι τὸ σῶμα αὐτοῦ." καὶ ἐν τοῖς θησαυροῖς „τὸ μὲν ταράττεσθαι τῆς σαρκὸς ἴδιον πάθος, τὸ δὲ ἐξουσίαν ἔχειν θεῖναί τε καὶ πάλιν λαβεῖν τὴν ψυχὴν τῆς τοῦ λόγου δυνάμεως ἔργον." καὶ μυρία ἂν τις βουλόμενος συλλέγειν ἔκ τε τούτου τοῦ θείου ἀνδρὸς ϗ ἐκ τῶν λοιπῶν ἡμῶν πατέρων οὐκ ἂν ἀπορήσῃ· οἵ τε 812B
γὰρ Γρηγόριοι ϗ Ἀθανάσιος Ἀμφιλόχιός τε ϗ ὁ Χρυσόστομος ϗ Ἀμβρόσιος ϗ ὁ ἄλλος τῶν ἁγίων χορὸς τὰ αὐτὰ διακεκράγασιν.

Ἐπεὶ δὲ προέτειναν οἱ δι' ἐναντίας ὡς Γρηγόριος ὁ Νεοκαισαρείας ϗ Ἀθανάσιος καὶ Ἰούλιος ϗ Κύριλλος ϗ Ἐρέχθιος μίαν φύσιν τοῦ θεοῦ λόγου δοξάζουσι σεσαρκωμένην, διασαφεῖ μὲν τῆς φωνῆς τὴν διάνοιαν, λέγων ὡς ϗ αὐτὴ τὸ διάφορον τῶν ἑνωθέντων ἐκδιδάσκει φύσεων. εἰ γὰρ μὴ ἡ ἀνθρωπίνη φύσις καὶ ἡ θεία διάφορος, πάντως γε ἢ τὰ τῆς σαρκὸς εἰς τὴν τῆς θεότητος οὐσίαν ἐτράπη, ἢ εἰς τὴν τῆς σαρκὸς ἡ θεότης, ϗ οὕτω γέγονε μία· ὅπερ Ἀπολιναρίου ϗ τῶν ὁμοστοίχων αἱρετικῶν ἄθεον φρόνημα. ὁ μέντοι γε Κύριλλος ἐν τῇ δευτέρᾳ πρὸς Σούκενσον ἐπιστολῇ τὸ διάφορον τῶν φύσεων ϗ διὰ ταύτης τῆς φωνῆς ἀνομολογεῖσθαι δηλῶν, μετὰ τὸ εἰπεῖν αὐτὸν μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην, ἐπήνεγκεν „εἰ δέ, ὡς ἔφην, ἐν τῷ σεσαρκῶσθαι λέγειν αὐτὸν σαφής ἐστι καὶ ἀναμφίλογος ὁμολογία τοῦ ὅτι γέγονεν ἄνθρωπος, οὐδὲν ἔτι κωλύει νοεῖν ὡς εἷς ὑπάρχων ϗ μόνος υἱὸς ὁ Χριστὸς ὁ αὐτὸς θεός ἐστι καὶ ἄνθρωπος, ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι." ἰδοὺ φανερῶς ἔδειξεν ὅπως εἴρηται αὐτῷ τε καὶ τοῖς ἄλλοις ἡμῶν πατράσι τὸ μία φύσις τοῦ λόγου σεσαρκωμένη. τὴν μὲν τῶν φύσεων διαφορὰν σαφῶς ἡ φωνὴ διδάσκει, παριστᾷ δὲ ϗ τὴν ἄκραν ϗ ἀδιάσπαστον ἕνωσιν τοῦ θεοῦ λόγου ϗ τῆς σαρκός, καὶ ὡς εἷς ὑπάρχει καὶ μόνος υἱὸς ὁ Χριστὸς σεσαρκωμένος, καὶ οὐ δύο υἱοί, ὡς Νεστόριος ἐδυσφήμει, καθὸ καὶ αὐτὴ προβέβληται αὐτῷ ἡ φωνή· τί γὰρ ἂν ἄλλο ϗ σημανεῖ τὸ

a. 1. μηδενὶ] Matth. 17, 8. 3. εἰ] Rom. 5, 15. 7. ἐπερίσσευσεν ς. 8. προσαγομένη ς. 9. ἵνα add *A*.
b. 11. τούτου add *A*. 12. ἀπορήσει ς. 22. τῆς libris deest. 31. ἀναμφίβολος ς. ὅτι] libri ὅτε.
33. ὁ ante Χρ. add *A*. 37. σαφῶς] σαφῶς ἡ φῶς *A*. 40. υἱὸς ὁ χριστὸς σεσ. *A*: Ἰησοῦς χριστὸς ὁ σεσ. ς.
42. σημαίνει ς.

Digitized by Google

„ὁ αὐτός ἐςι θεὸς ϗ ἄνθρωπος" ἢ δύο φύσεις ἡνωμένας ἐν ὑποςάσει μιᾷ; ὥσπερ ϗ ὁ θεολόγος Γρηγόριος εἰπὼν „δύο φύσεις θεὸς καὶ ἄνθρωπος", ἑρμηνεύων ἑαυτὸν εἶπεν „ὥςε ὁ λέγων τὸν Χριςὸν θεὸν καὶ ἄνθρωπον δύο φύσεις ἑνωθείσας καθ' ὑπόςασιν
426 H ὁμολογεῖ." ϗ ὁ ἱερὸς δὲ Κύριλλος ἐπαγαγὼν „ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι" τὸ ἐν δύο φύσεσι γνωρίζεσθαι τὸν κύριον ἐκδιδάσκει, ὥςε τὸ λέγειν αὐτὸν μίαν φύσιν τȣ̃ λόγȣ σεσαρκωμένην οὐκ ἐπ' ἀναιρέσει τȣ̃ γνωρίζεσθαι τὰ ἑνωθέντα καθ' ὑπόςασιν εἰρῆσθαι, ἀλλ' εἰς παράςασιν τȣ̃ ἀδιαιρέτως ἄνθρωπον γενέσθαι τὸν θεὸν λόγον ϗ οὐκ ἐν ἀνθρώπῳ ὡς ἐνὶ τῶν προφητῶν κατῳκηκέναι. καὶ πολλά τις ἄλλα ἐν τῇ αὐτῇ εὕροι ἐπιςολῇ, δι' ὧν ἡ ὁμολογία μὲν τῶν δύο φύσεων ἐπὶ τȣ̃ Χριςȣ̃ βεβαιȣ̃ται, μόνον δὲ τὸ ἀνὰ μέρος τιθέναι τὰς φύσεις αἱρετικȣ̃ φρονήματος ἀπελέγχεται. τὸ δὲ μίαν φύσιν τȣ̃ λόγȣ σεσαρκωμένην κατὰ Νεςορίȣ προάγων οὐ τῶν φύσεων τὴν διαφορὰν ἀναιρεῖ, ἀλλὰ τὴν δυάδα τῶν ὑποςάσεων φανεροῖ· Νεςόριος γὰρ οὐ διὰ τὸ γνωρίζειν τὰς δύο φύσεις ἐπὶ Χριςȣ̃, ἀλλὰ διὰ τὸ διαιρεῖν τὸν ἀδιαίρετον εἰς ὑποςάσεις δύο τῆς ἐκκλησίας ἐξωςράκιςαι· ὥςε ἡ μία φύσις τȣ̃ λόγȣ σεσαρκωμένη τὸν Νεςόριον διελέγχουσα, οὐδὲν ἕτερον δηλοῖ ἢ ὅτι μίαν ὑπόςασιν χρὴ τȣ̃ θεȣ̃ λόγου κηρύττειν σεσαρκωμένην, ὅπερ φρόνημα τῆς εὐσεβείας ἐςὶ ϗ ἡ ἐν Καλχηδόνι σύνοδος ἐδογμάτισεν. εἰπὼν μέντοι γε ὁ πολύαθλος Ἀθανάσιος φύσιν μίαν τȣ̃ θεȣ̃ λόγȣ σεσαρκωμένην οὐκ εἰς ἀναίρεσιν ἔφη τȣ̃ γνωρίζεσθαι τὴν διαφορὰν τῶν φύσεων, αἳ τὴν καθ' ὑπόςασιν ἐπλήρȣν ἕνωσιν, ἀλλὰ ϗ αὐτὸς δεῖξαι βουλό-
83[illegible] R μενος ὡς εἷς ἐςὶν ὁ υἱὸς σεσαρκωμένος ϗ ἐνανθρωπήσας, ϗ μάλιςα κατὰ Παύλȣ τȣ̃ Σαμωσατέως ἀγωνιζόμενος, ὃς ἄλλον μὲν τὸν πρὸ αἰώνων υἱόν, ἕτερον δὲ τὸν ἐπ' ἐσχάτων φρενοβλαβῶς ἐδογμάτιζε. ϗ ὁ ἐν ἁγίοις δὲ Ἰȣ́λιος διὰ τῆς αὐτῆς ἐννοίας ὥδευε· κατὰ Παύλȣ γὰρ ϗ αὐτὸς τȣ̃ Σαμωσατέως ϗ τῶν ὁμοίων διὰ τῆς αὐτῆς φωνῆς ἐξωπλίζετο. ὁ μέντοι γε Ἐρέχθιος εἰ μὲν ὡς Ἀθανάσιός τε καὶ Κύριλλος ϗ Ἰȣ́λιος τὴν φωνὴν ἐκλαμβάνει, τȣ̃το ἂν εἴη ἄμεινον, εἰ δὲ παρὰ τὴν ἐκείνων δόξαν, θαυμαςὸν οὐδέν· εἰς γὰρ τὴν Εὐτυχȣ̃ς νόσον πολλοὶ τῶν ἱερῶν ἀνδρῶν τȣ̃τον ἐφώρασαν κείμενον, ἣν ϗ αὐτὸς ὑποδείκνυσιν ὧδέ πως λέγων „εἰ μὲν ἀνθρωπίνης σπορᾶς ἦν βλάςημα ὁ Χριςός, συνετιθέμην ἂν τὸν καρπὸν εἶναι κατὰ τὴν ῥίζαν· εἰ δὲ ἐκ πνεύματος ἁγίου κατὰ τὴν τοῦ ἀρχαγγέλου φωνήν, θεὸς ἐτέχθη, ἐπειδὴ καὶ θεὸς ὁ τῆς γενέσεως πρόξενος." ὁ μὲν Ἐρέχθιος ταῦτα· ἔοικε δὲ ὁ ἀνὴρ μηδὲ τὰ τῆς Ἐλισάβετ συνιέναι ῥήματα, ἣ τὴν θεοτόκον Μαρίαν εὐλογȣ̃σα „εὐλογημένη σὺ ἐν γυναιξίν" ἀνακράζει „ϗ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σȣ." ἀλλ' οὐδὲ τὸν Ἡσαΐαν ἔγνω λέγοντα „καὶ ἔςαι ἡ ῥίζα τȣ̃ Ἰεσσαί, ϗ ὁ ἀνιςάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιȣ̃σι." καὶ μυρία ἄλλα.

Μετὰ δὲ ταῦτα περὶ τῆς διαφορᾶς, ἣν ἡ οὐσία ϗ τὸ γένος ϗ τὸ εἶδος πρὸς τὴν ὑπόςασιν ἔχει, διαλαμβάνει, ὅτι τὰ μὲν τὸ κοινὸν δηλȣ̃σι, τὸ δὲ τὸ πρόσωπον καὶ ὃ λέγεται τοῖς ἔξω καθ' ἕκαςον. ϗ τῆς ἰδίας γνώμης, ὡς ἔθος αὐτῷ, διαφόρȣς παρίςησι μάρτυρας, Βασίλειόν τε καὶ Ἀθανάσιον ϗ Ἰȣ́λιον ϗ Κύριλλον, 427 H
καί φησιν ὡς εἴ ποτέ τις εὕροι τινὰς τῶν εἰρημένων ἀνδρῶν τὴν φύσιν εἰπόντας ὑπόςασιν, οὐ κυρίως τȣ̃το ἀλλ' ἐν καταχρήσει νοείτω εἰρῆσθαι· εἰ γὰρ μή, ἑαυτοῖς τε τἀναντία καὶ πρὸς ἀλλήλȣς λέγειν τȣ̀ς ἱερȣ̀ς ἡμῶν ἐξυβρίσομεν πατέρας. κατεχρήσατο μέντοι τῇ φύσει ἀντὶ τῆς ὑποςάσεως Ἀθανάσιος μὲν ἐν τῇ πρὸς τὸν βασιλέα Ἰȣλιανὸν ἐπιςολῇ, λέγων „μίαν τοίνυν λέγειν δεῖ, μᾶλλον δὲ καὶ ὁμολογεῖν τȣ̃ λόγου φύσιν τε καὶ ὑπόςασιν σεσαρκωμένην." καὶ Ἰȣ́λιος δὲ ἐν τῇ γραφείσῃ παρ' αὐτȣ̃ ἐπιςολῇ πρὸς τοὺς κατὰ τῆς θείας τȣ̃ λόγȣ σαρκώσεως ἀγωνιζομένȣς, ἣν ἀλλαχοῦ μίαν φύσιν εἶπε τȣ̃ λόγȣ, ἐνταῦθα ὑπόςασιν ὀνομάζει· λέγει γάρ τι..... ἀλλὰ καὶ ὁ ἐν ἁγίοις Κύριλλος ἐν τοῖς σχολίοις οὕτω φησὶν „ὅτι δὲ ἀσύγχυτοι μεμενήκασιν αἱ ὑποςάσεις ἤγȣν αἱ φύσεις, ἐντεῦθεν εἰσόμεθα." καὶ πάλιν ἐν τῷ τρίτῳ κεφαλαίῳ τῶν ἀναθεματισμῶν „εἴ τις ἐπὶ τȣ̃ ἑνὸς Χριςȣ̃ διαιρεῖ τὰς φύσεις ἤγȣν τὰς ὑποςάσεις μετὰ τὴν ἕνωσιν, μόνῃ συνάπτων αὐτὰς συναφείᾳ τῇ κατὰ τὴν ἀξίαν ἤγȣν αὐθεντίᾳ, καὶ οὐχὶ δὴ μᾶλλον συνόδῳ τῇ καθ' ἕνωσιν φυσικήν, ἀνάθεμα ἔςω." καὶ ἑρμηνεύων αὐτὸς ἑαυτόν, ϗ ἅμα Νεςόριον ςηλιτεύων καὶ δεικνὺς ποίῳ τρόπῳ οὗτος δύο φύσεις ἐφρόνησε, λέγει „οἱ διαιρȣ̃ντες τοίνυν τὰς ὑποςάσεις

a. 4. Χριςὸν καὶ θεὸν ς. 12. ὡς ἐν ἑνὶ ς. 13. τις post εὕροι ponit ς. 19. φανεροῖ corr A: φανερῶν ς. 20. ἐπὶ Χριςοῦ φύσεις ς. 21. διὰ add A. 25. ὅπερ A: ὅ, τι ς. 31. ὡς A: ὁ ς. εἰς om pr A. ὁ add A. 33. τὸν] τῶν A. 40. εἰς A: εἰ ς. b. 1. ἀποδείκνυσιν ς. 6. τὰ τῆς Ἐλ.] Luc. 1, 42. 8. εὐλογȣ̃σα κράζει εὐλ. ς. 10. Ἡσ.] 11, 10. 13. δὲ ταῦτα A: ταῦτα δὲ ς. 15. τὸ δὲ A: τὰ δὲ ς. 16. καὶ ante τῆς om A. 22. πρὸς A: τὸ πρὸς ς. 25. ἰουβιανὸν A. 31. pro τι versus vacuus in A. 32. ὅτι] libri ὅτε. 32. αἱ φύσεις ἤγουν ὑποςάσεις ς. 38. δὴ add A.



Digitized by Google

μετὰ τὴν ἕνωσιν, καὶ ἀνὰ μέρος τιθέντες ἑκατέραν, τουτέστιν ἄνθρωπον χωρὶς καὶ θεὸν χωρίς, ἐπινοοῦντες δὲ συνάφειαν αὐταῖς τὴν κατά γε μόνην τὴν ἀξίαν, δύο που πάντως ἱστῶσιν υἱούς." ὁ αὐτὸς δὲ ἱερὸς Κύριλλος, ὁ ἀλλαχοῦ μὲν μίαν φύσιν εἰρηκὼς τοῦ θεοῦ λόγου σεσαρκωμένην, ἐν τῇ πρὸς Νεστόριον τρίτῃ ἐπιστολῇ φησὶ μίαν ὑπόστασιν τοῦ λόγου σεσαρκωμένην· λέγει γὰρ „τοιγαροῦν ἑνὶ προσώπῳ τὰς ἐν τοῖς εὐαγγελίοις πάσας ἀναθετέον φωνάς, ὑποστάσει μιᾷ, τῇ τοῦ λόγου σεσαρκωμένῃ· εἷς γὰρ κύριος Ἰησοῦς Χριστὸς κατὰ τὰς γραφάς." οὐδὲν δὲ κοινὸν τοῖς δύο φύσεις λέγουσιν
816 R. ἰδιοϋποστάτως "καὶ ἀνὰ μέρος, ὡς Νεστόριος, καὶ τοῖς λέγουσι ταύτας ἡνωμένας ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει τοῦ λόγου, ὡς ἡ ἐκκλησία τε καὶ ἡ ἁγία σύνοδος καὶ ὁ πάπας Λέων ἐπρέσβευεν. ἀλλὰ καὶ μυρία ἄλλη διαφορὰ μεταξὺ τῆς ἀσεβείας καὶ τῆς εὐσεβείας, καὶ ὅση τοῦ φωτὸς πρὸς τὸ σκότος.

ὅτι ἐπειδὰν οἱ ἀπὸ Σευήρου διελέγχωνται ταῖς τῶν θεοφόρων ἡμῶν πατέρων φωναῖς, οἳ πρὸ τῆς ἐν Καλχηδόνι συνόδου διέλαμψαν καὶ τὰς δύο φύσεις ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει τοῦ λόγου ἐκήρυξαν, εἰς διαβολὴν αὐτῶν εὐθὺς τρέπονται, σχῆμα μὲν (ὡς δοκοῦσιν) εὐπρόσωπον τῇ διαβολῇ περιτιθέντες, βαθύτερον δὲ τῶν ἀπροσώπους αὐτοὺς ὑβριζόντων διακωμῳδοῦντες. φασὶ γὰρ ὡς εἴρηται μὲν αὐτοῖς τῶν φύσεων τὸ δυαδικόν, οὐκ ἀπὸ γνώμης δὲ οὐδ' ἑκουσίως οὐδὲ κατὰ πίστεως ὁμολογίαν, ἀλλ' ὡς ἐν ἀντιθέσει τῆς ψευδωνύμου γνώσεως καὶ κατ' οἰκονομίαν καὶ ἐπὶ καιροῦ καὶ ὑπό τινος αἱρετικῆς ἀνάγκης ἐκβιαζομένοις. καὶ τί ἂν εἴη τοῦτο ἢ τοὺς
428 H. διδασκάλους ὑποκριτὰς ἀποφαίνειν δειλούς "τε καὶ τῆς ἀληθείας προδότας, καὶ τῆς οἴκοθεν εὐσεβείας τὸ ἀλλότριον καὶ αἱρετικὸν δόγμα προτιμῶντας, καὶ ἑλκυσθέντας μᾶλλον πρὸς τὸ ἐκείνων βάραθρον ἢ ἐκεῖθέν τινας ἀνελκύσαντας; ποῦ γὰρ ἔστι τοῖς τοιούτοις μετὰ Παύλου λέγειν ὡς „ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο ναὶ καὶ οὔ, ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονε," μυρίας τροπὰς πρὸς τὸν βίον τρεπομένοις καὶ τὰς εὐρίπου μεταβολὰς μιμουμένοις; ἀλλὰ τί πάλιν φησὶν ἡ αἵρεσις; „συγγνώμη τοῖς πατράσιν· ἡ γὰρ βία τῆς γνώμης ἐκράτησεν," ὥσπερ ἐξουσίαν λαβοῦσα λοιδορεῖν καὶ κατακρίνειν ὅτε βούλεται καὶ πάλιν ἀφιέναι τὸ ἁμάρτημα, καὶ μόνον οὐχὶ βοῶσα „τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι· τίς ἡμῶν κύριός ἐστι;" πλὴν εἰ διότι πρὸς αἱρέσεις οἱ πατέρες ἐμάχοντο, κἂν τῆς εὐσεβείας ἐξέπιπτον, διὰ τοῦτο συγγνώμης ἐπάξιοι, πῶς τῆς ἴσης συμπαθείας ὑμῶν, εἰ καί τι παραχαράσσειν ἔδοξαν, οἱ ἐν Καλχηδόνι οὐκ ἀπήλαυσαν; καὶ πρὸς δύο γὰρ αἱρέσεις καὶ οὗτοι διαμαχεσάμενοι, τὴν Νεστορίου καὶ Εὐτυχοῦς, ἐδογμάτισαν. ἀλλ' οὕτως ἐστὶ πανταχοῦ τυφλὸν καὶ κωφὸν ἡ ἀσέβεια, καὶ οὔτε βλέπειν οἶδεν οὔτε ἀκούειν, οὐδ' ἅπερ αὐτὴ ἐκείνη προβάλλεται. ἡ δὲ ἐν Καλχηδόνι σύνοδος εὐθὺς μὲν ἀρχομένη, ἃ κατὰ Νεστορίου Κύριλλος ἐν Ἐφέσῳ διεπράξατο, τούτοις τὸ κῦρος ἐπέθετο, καὶ τὰς πρὸ ταύτης δύο συνόδους εἰς ὅρον ἐδέξατο πίστεως, καὶ Ἄρειον δὲ καὶ Μακεδόνιον καὶ Νεστόριον τῷ αὐτῷ συνέδησεν ἀναθέματι, καὶ τοὺς εἰς υἱῶν δυάδα τὸ τῆς οἰκονομίας διασπῶντας μυστήριον, ὥσπερ καὶ τοὺς παθητὴν τοῦ μονογενοῦς τολμῶντας λέγειν τὴν θεότητα, καταδικάζει δι' ἰσότητος. ναὶ δὴ καὶ τοὺς δύο μὲν πρὸ τῆς ἑνώσεως φύσεις τοῦ κυρίου μυθεύοντας, μίαν δὲ μετὰ τὴν ἕνωσιν ἀναπλάττοντας τοῖς αὐτοῖς συνέσφιγξε βρόχοις τοῦ ἀναθέματος. ὥρισε δέ, καθάπερ καὶ αἱ πρὸ αὐτῆς, μηδενὶ ἐξεῖναι πίστιν ἑτέραν προφέρειν ἤγουν συγγράφειν ἢ συντιθέναι ἢ φρονεῖν παρ' ἣν παρέδωκαν ἥ τε πρώτη καὶ ἡ δευτέρα οἰκουμενικὴ ἁγία σύνοδος· τοὺς δὲ τολμῶντας ἕτερον παρ' ἐκεῖνο σύμβολον συγγράφειν ἢ διδάσκειν τοὺς θέλοντας ἐπιστρέφειν ἐξ ἰουδαϊσμοῦ ἢ ἑλληνισμοῦ ἤγουν ἐξ αἱρέσεως οἱασδηποτοῦν, ἐπισκόπους μὲν ἢ κληρικοὺς ὄντας ἀλλοτριοῦσθαι τοῦ ἀξιώματος, "μονά- 817 R.
ζοντας δὲ ἢ λαϊκοὺς ἀναθεματίζεσθαι.

Ταῦτα εἰπὼν καὶ ῥητὰ τῆς ἐπιστολῆς τοῦ πάπα Λέοντος τῆς πρὸς Φλαβιανὸν τὸν Κωνσταντινουπόλεως παρατίθησιν, ἐν οἷς αὐτοῦ λαμπρὰ διαλάμπει ἡ εὐσέβεια. κἀκεῖθεν εἰς παραίνεσιν καὶ συμβουλὴν συγκλείει τὸν λόγον, μεταθέσθαι τῆς πλάνης τοὺς δεχομένους τὴν ἐπιστολὴν παρακαλῶν καὶ τῷ τῆς εὐσεβείας συναφθῆναι φρονήματι. οὕτω μὲν καὶ ὁ γ' λόγος.

Ἔστι δὲ καὶ ὁ δ' αὐτῷ πεπονημένος πρός τινας ἀνατολικοὺς μοναχούς, "τῇ αὐτῇ τῶν θεοπασχιτῶν κατεχο- 429 H.
μένους αἱρέσει. ὧν ἐγκαλεσάντων τινά, ῥᾳδίως μὲν τὰς ἐγκλήσεις ψευδεῖς ἐπιδείξας τὸ ἔγκλημα ἀπολύεται, παραινεῖ δὲ καὶ αὐτοὺς μεταθέσθαι τῆς αἱρετικῆς δόξης, φέρων ὑπὲρ τοῦ ὀρθοῦ δόγματος μαρτυρίας αἷς καὶ ἐν

a. 3. τὴν κατὰ] τῇ κατὰ A. 5. μίαν μὲν A. 6. ἐν τῇ — 7. σεσαρκωμένην add A. 8. τὰς ἐν om pr A: ἐν om ς. 12. ἰδιοϋποστάτους A. 13. τοῦ λόγου ἑνώσει ς. 15. ἄλλη] ἀλλ' ἡ A. 22. ἑαυτῶν ς. 23. περιθέντες ς. 24. αὐτὰς Scaliger. 28. καὶ ὁ κατ' ς. 30. προκριτὰς ὑποφαίνειν ς. 37. τὴν βίαν Hoeschelius. βίον καὶ οἱ τρ. ς. τὰς] τὰς καὶ ς. 41. ὅ, τι ς. b. 4. ἡμῶν ς. 21. αἱ] ὁ pr A. 25. τοὺς A: τοὺς δὲ ς. 40. libri ἀποδύεται cf. p. 265 a 24.

Digitized by Google

τῷ πρόσθεν λόγῳ ἐχρήσατο, Ἀθανασίου τέ φημι καὶ Ἀμβροσίου καὶ Κυρίλλου καὶ τῶν ἁγίων πατέρων, δι' ὧν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν θεότητι τέλειον καὶ ἐν ἀνθρωπότητι τέλειον διαπρυσίᾳ τῇ φωνῇ ἀνεκήρυξαν. ὧν ἐστὶ μία καὶ ἡ τοῦ ἐν ἁγίοις Ἀμβροσίου, ἐπισκόπου Μεδιολάνων καὶ ὁμολογητοῦ, ἣν ἐν τῷ κατὰ Ἀπολιναρίου λόγῳ παρέθετο, ἔχουσα οὕτως· „ἀλλ' ἐν ὅσῳ" φησὶ „τούτους ἐλέγχομεν, ἀνεφύησαν ἕτεροι λέγοντες τό τε σῶμα τοῦ κυρίου καὶ τὴν θεότητα μιᾶς φύσεως. ποῖος ᾍδης τὴν τοσαύτην ἠρεύξατο βλασφημίαν; Ἀρειανοὶ γὰρ ἤδη τυγχάνουσιν ἀνεκτότεροι, ὧν ἡ ἀπιστία διὰ τούτους κρατύνεται μείζονι φιλονεικίᾳ πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα μιᾶς οὐσίας μὴ λέγειν, ἐπειδή περ οὗτοι τὴν θεότητα τοῦ κυρίου καὶ τὴν σάρκα μίαν ἐκήρυξαν." τοῦ δὲ ἱεροῦ τούτου ἀνδρὸς χρῆσιν ὁ νικηφόρος Κύριλλος κατὰ Νεστορίου προήνεγκεν, ἐξ ὧν αὐτοῦ τὸ ἀξιόπιστον καὶ θαυμαστὸν ἐπιδείκνυται. λέγει δὲ καὶ αὐτὸς ὁ ἅγιος Κύριλλος ἄλλα τε πολλὰ κρατύνων τὴν εὐσέβειαν, καὶ ἐν τῷ περὶ πίστεως λόγῳ „λέλυται μὲν ὁ ναὸς ἐν τῷ καιρῷ τῆς τριημέρου ταφῆς βουλομένου αὐτοῦ, καὶ πάλιν ἀνέστησε, καὶ ἡνώθη αὐτῷ ἀρρήτῳ λόγῳ, τῇ τριημέρῳ οὐ κεκραμένος ἐν αὐτῷ ἢ ἀποσεσαρκωμένος, ἀλλὰ σώζων ἐν ἑαυτῷ τῶν δύο φύσεων τῶν ἑτεροουσίων ἀσύγχυτον τὴν ἰδιότητα." καὶ πάλιν ἐν τῷ κατὰ Ματθαῖον ὑπομνήματι, βιβλίῳ α' „πλὴν οἶδεν ὁ λόγος τῆς θεοπνεύστου γραφῆς ἄνθρωπον ὄντα καὶ θεὸν τὸν Χριστόν, εἰ καὶ εἷς νοοῖτο καὶ ὁ αὐτός. ἀπονέμει τοιγαροῦν ὁ μακάριος εὐαγγελιστὴς τὸ οἱονεὶ τῶν μερῶν ἑκατέρῳ πρέπον, ἀπλανῆ καὶ ἀσύγχυτον τοῦ μυστηρίου διατηρήσας τὸν λόγον. τὰ μὲν γὰρ ἰδικῶς οἶδεν ὄντα τε καὶ πρέποντα τοῖς τῆς ἀνθρωπότητος μέτροις, τὰ δὲ ταῖς ὑπεροχαῖς τῆς ἀφράστου θεότητος." οὐ μόνον δὲ δύο φύσεις ὁ Κύριλλος ἀλλὰ καὶ δύο ἐνεργείας κηρύττει, ὡς ἐν τοῖς θησαυροῖς λέγει „οὐδὲν γὰρ τῶν ὄντων πρὸς τὸ ἑτερογενὲς καὶ ἑτεροούσιον τὰς αὐτὰς ἀπαραλλάκτους φορήσει δυνάμεις τε καὶ ἐνεργείας·" καὶ πάλιν „ὥσπερ ἀπεχοινισμένον ἔχουσι τῆς οὐσίας ἤτοι τῆς ποιότητος τὸν λόγον, οὕτω καὶ διάφορον ἀποσώζουσι τὴν ἐνέργειαν·" καὶ πάλιν „οὐ γὰρ δήπου μίαν εἶναι φυσικὴν τὴν ἐνέργειαν δώσομεν θεοῦ καὶ ποιήματος, ἵνα μήτε τὸ ποιηθὲν εἰς τὴν θείαν ἀναγάγωμεν οὐσίαν, μήτε μὴν τῆς θείας φύσεως τὸ ἐξαίρετον εἰς τὸν τοῖς γεννητοῖς πρέποντα καταγάγωμεν τρόπον."

Ἐπειδὴ δὲ οἱ πρὸς οὓς ἔγραφεν ἐζήτησαν ψιλῶς τὴν λέξιν τὴν ἑκατέρα παρά τισιν εἴρηται τῶν πατέρων, προκομίζει χρῆσιν κειμένην ἐν τῇ πρὸς Ἑβραίους 820 R. 430 H.
Κυρίλλου ἑρμηνείᾳ, ἔχουσαν οὕτως „οὐκ ἀνάχυσίν τινα [τῆς] εἰς ἀλλήλας τῶν φύσεων πεπρᾶχθαί φαμεν· μενούσης δὲ μᾶλλον ἑκατέρας τοῦθ' ὅπερ ἐστίν, ἡνῶσθαι σαρκὶ νοοῦμεν τὸν λόγον." καὶ πάλιν τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν „καὶ οὐ δήπου φαμὲν ἀνάχυσιν ὥσπερ τινὰ συμβῆναι περὶ τὰς φύσεις, ὡς στῆναι τὴν τοῦ λόγου φύσιν εἰς τὴν τοῦ ἀνθρώπου τυχόν· ἀλλ' οὐδ' αὖ πάλιν τὴν ἀνθρωπίνην εἰς τὴν αὐτοῦ τοῦ λόγου· νοουμένης δὲ μᾶλλον καὶ ὑπαρχούσης ἑκατέρας ἐν τῷ τῆς ἰδίας φύσεως ὅρῳ πεπρᾶχθαί φαμεν τὴν ἕνωσιν, ἐνοικήσαντος τοῦ λόγου σωματικῶς τῷ ἐκ τῆς ἁγίας παρθένου ναῷ." ὡσαύτως δὲ λέγει καὶ Βασίλειος ὁ Καισαρείας τῆς Καππαδοκίας ἐν τῷ κατ' Εὐνομίου λόγῳ „διὸ μετὰ πάσης ἀγωνίας τε καὶ εὐλαβείας δεῖ συνορᾶν, ὅπως ἂν ἐν τῷ ἑνὶ καὶ τῷ αὐτῷ ἑκατέρας φύσεως ἀποδειχθῇ ἡ ἀλήθεια."

Ὅτι μέντοι γε οὐ μίαν οἱ πατέρες ἡμῶν ἐπὶ Χριστοῦ ἀλλὰ δύο φύσεις ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει κηρύττουσιν, εἴρηται μὲν καὶ πρότερον, οὐδὲν δὲ κωλύει καὶ νῦν παραστῆσαι. λέγει γὰρ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Νύσσης ἐν τῷ κατὰ Ἀπολιναρίου λόγῳ „εἰ οὖν ἐν τοῖς ἐναντίοις ἰδιώμασιν ἡ θατέρου τούτων θεωρεῖται φύσις, τῆς σαρκός τε λέγω καὶ τῆς θεότητος, πῶς μία αἱ δύο;" καὶ ὁ ἐν ἁγίοις δὲ Ἐφραὶμ ἐν τῷ περὶ ἐνανθρωπήσεως καὶ εἰς τὸν μαργαρίτην „οὐχ ἡττήθη" φησὶ „τῇ πλοκῇ τῆς προσλήψεως, ἵνα ἀπολέσῃ ὃ ἔχει, καὶ ὃ μὴ ἔχει γένηται. τέλειον ἔχει ὃ ἦν, καὶ τέλειον ἔχει ὃ προσέλαβε." καὶ Κύριλλος δὲ ἐν τῇ πρὸς Εὐλόγιον ἐπιστολῇ, ἀλλὰ καὶ ἐν τῇ πρὸς Σούκενσον πρώτῃ καὶ ἐν τῷ περὶ πίστεως λόγῳ καὶ ἐν τῷ κατὰ τοῦ δυσσεβοῦς Νεστορίου καὶ ἐν τοῖς θησαυροῖς τὰ αὐτὰ λέγει. ὡσαύτως δὲ καὶ ἐν τῷ περὶ ἐνανθρωπήσεως λόγῳ· φησὶ γὰρ „ἀλλ' εἰς ἓν ἄμφω συλλέγων κατὰ σύμβασιν οἰκονομικὴν τὰ τῶν φύσεων ἰδιώματα διὰ μυρίων ὅσων ἡμῖν ὁρᾶται λόγων." καὶ μεθ' ἕτερα „ἐπαγωνιεῖται δὲ αὖ καὶ συναθλήσει τῷ λόγῳ καὶ ὁ σοφὸς Ἰωάννης, μονονουχὶ καὶ συναγείρων

a. 4. ἀνεκήρυξεν ς. 8. τούτους ς. 12. libri κρατ. ὡς μείζονι. cf. p. 251 b 7. 16. ἐξ A: εἶναι ς. 21. ἀρρήτως ς.
b. 1. τρέποντα ς. 7. τῆς expungit Scaliger. 11. στῆναι] fortasse legendum μεταστῆναι. 13. αὐτοῦ] τοῦ αὐτοῦ ς. 25. ὁ post Γρηγόριος add A. 34. οὐκενσον A.

τὰς φύσεις, καὶ συνδέων [τὴν φύσιν] τῶν ἑκατέρᾳ προσόντων ἰδιωμάτων τὴν δύναμιν." καὶ ἐκ μυρίων ἄλλων λόγων αὐτοῦ τὰ αὐτὰ ἔστι λαβεῖν. ἑρμηνεύων δὲ τὸν προφήτην Ζαχαρίαν οὕτω φησίν „ὁ δέ γε θεσπέσιος Ἰεζεκιὴλ θρόνον τεθεᾶσθαί φησιν ἐπὶ στερεώματος ὑπερκείμενον τῶν Χερουβίμ· ἔφη δὲ ὅτι τὸν ἐπὶ θρόνου καθήμενον ἑώρακε διφυᾶ." καὶ πάλιν ἑρμηνεύων τὸ κατὰ Ἰωάννην εὐαγγέλιον, ἐν τῷ δευτέρῳ βιβλίῳ, φησὶν „ἐπεὶ τί ποιήσεις, ὅταν ἡμῖν ὁ ἁπλοῦς τὴν φύσιν εἰσβαίνῃ διπλοῦς;" καὶ μυρία ἄλλα. πῶς δὲ οὐκ ἐκ δύο φύσεων εἶπεν ἡ ἁγία σύνοδος τὸν Χριστόν, διαρρήδην βοῶσα πρὸ αἰώνων τὸν αὐτὸν ἐκ τοῦ πατρὸς γεννηθῆναι κατὰ τὴν θεότητα, καὶ ἐπ' ἐσχάτων τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς θεοτόκου
431 H. καὶ ἀειπαρθένου κατὰ τὴν ἀνθρωπότητα;" ἄλλωστε δὲ εἰ τὰς Κυρίλλου ἠσπάσατο ἐπιστολάς, αἳ πολλαχοῦ τὸ ἐκ δύο φύσεων διακεκράγασι, πῶς οὐ μάτην ἡ αἵρεσις κατὰ τῆς ἱερᾶς συνόδου φρυάττεται;

Ἀλλ' ὅρα τὸ κακοῦργον τῆς αἱρέσεως. φαμένης γὰρ τῆς συνόδου „περί τε γὰρ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐκδιδάσκουσι τὸ τέλειον, καὶ τοῦ κυρίου τὴν ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παριστῆσι" τετράδα εἰπεῖν ἐμμανῶς ἡ κατήγορος ἀνεβόησε. διὰ τί;
821 R. "διότι μετὰ τὸ εἰπεῖν πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον τὴν τοῦ κυρίου ἐπήγαγεν ἐνανθρώπησιν. ἀλλὰ καὶ ταύτην ὁ συγγραφεὺς τὴν συκοφαντίαν εἰς τὰς τῶν συκοφαντῶν ἔτρεψε κεφαλάς, μυρίαις μαρτυρίαις ἀρχαιοπαράδοτον εἶναι τὴν τοιαύτην ἐπιδειξάμενος σύνταξιν, ὡς μετὰ τὴν τῆς ἁγίας καὶ ὑπερφυοῦς τριάδος ἀνύμνησιν τὴν τοῦ ἑνὸς τῆς ἁγίας τριάδος σάρκωσιν ἡ ἐκκλησία θεολογεῖ, μηδαμῶς τετράδος ἐγκληθεῖσα συναρίθμησιν. οὕτω Κύριλλος ἐν τῷ ἑβδόμῳ λόγῳ τῆς ἐν πνεύματι λατρείας λέγει, οὕτως ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ, οὕτως ἐν τῷ κατὰ Ματθαῖον, καὶ μυρίοι ἄλλοι.

Λαμπρῶς δὲ καὶ ἐν πολλοῖς αὐτοῦ λόγοις ὁ νικηφόρος Κύριλλος τὸ ἐν θεότητι τέλειον καὶ ἐν ἀνθρωπότητι τοῦ Χριστοῦ τέλειον ἀνακηρύττει καὶ παραδίδωσιν. ᾧ καὶ ἡ ἁγία συνᾴδουσα σύνοδος ἕνα τὸν αὐτὸν Ἰησοῦν Χριστὸν κύριον μονογενῆ ἐν δυσὶ φύσεσιν ἀσυγχύτως τε καὶ ἀδιαιρέτως ἐκήρυξεν. οἷς πάλιν ὁ ἱερὸς Κύριλλος ἐν τῇ πρὸς Σούκενσον ἐπιστολῇ συμφθέγγεται, λέγων „ἐννοοῦντες τοίνυν, ὡς ἔφην, τῆς ἐνανθρωπήσεως τὸν τρόπον, ὁρῶμεν ὅτι δύο φύσεις συνῆλθον ἀλλήλαις καθ' ἕνωσιν ἀδιάσπαστον ἀσυγχύτως, ἀτρέπτως· ἡ γὰρ σὰρξ σάρξ ἐστι καὶ οὐ θεότης, εἰ καὶ γέγονε θεοῦ σάρξ· ὁμοίως δὲ καὶ ὁ λόγος θεός ἐστι καὶ οὐ σάρξ, εἰ καὶ ἰδίαν ἐποιήσατο τὴν σάρκα οἰκονομικῶς." καὶ μεθ' ἕτερα „οὐκοῦν ὅσον μὲν ἧκεν εἰς ἔννοιαν καὶ εἰς μόνον τὸ ὁρᾶν τοῖς τῆς ψυχῆς ὄμμασιν, ὃν τρόπον ἐνηνθρώπησεν ὁ μονογενής, δύο τὰς φύσεις εἶναί φαμεν, ἕνα δὲ Χριστὸν καὶ υἱὸν καὶ κύριον τὸν τοῦ θεοῦ λόγον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον." καὶ ἐν τῇ πρὸς τοὺς ἀνατολικοὺς ἐπιστολῇ „δύο γὰρ φύσεων ἕνωσις γέγονε, διὸ ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογοῦμεν." καὶ ἐν τῇ πρὸς Ἀκάκιον τὸν Μελιτηνῆς „ὅτε τοίνυν ὁ τῆς σαρκώσεως πολυπραγμονεῖται τρόπος, δύο τὰ ἀλλήλοις ἀπορρήτως τε καὶ ἀσυγχύτως συνηνεγμένα καθ' ἕνωσιν ὁρᾷ δὴ πάντως ὁ ἀνθρώπινος νοῦς, ἑνωθέντα γε μὴν διΐστησιν οὐδαμῶς, ἀλλ' ἕνα τὸν ἐξ ἀμφοῖν καὶ υἱὸν καὶ Χριστὸν καὶ θεὸν καὶ κύριον εἶναι πιστεύει καὶ ἀραρότως εἰσδέχεται." καὶ ἐν τοῖς σχολίοις „γεγονότα δὲ σάρκα καὶ ἐν ἡμῖν σκηνῶσαί φησιν, ἵνα δι' ἀμφοῖν ἀποδείξῃ καὶ γενόμενον ἄνθρωπον καὶ οὐ μεθέντα τὸ ἴδιον. μεμένηκε γὰρ ὅπερ ἦν, νοεῖται δὲ πάντως ἕτερον ἐν ἑτέρῳ τὸ κατοικοῦν, τουτέστιν ἡ θεία φύσις ἐν ἀνθρωπότητι, καὶ οὐ παθοῦσα φυρμὸν ἢ ἀνάχυσίν τινα καὶ μετάστασιν τὴν εἰς ὅπερ οὐκ ἦν. τὸ γὰρ οἰκεῖν ἐν ἑτέρῳ λεγόμενον οὐκ αὐτὸ γέγονε τοῦθ' ὅπερ "ἐστὶ 432 H.
τὸ ἐν ᾧ κατοικεῖ, νοεῖται δὲ μᾶλλον ἕτερον ἐν ἑτέρῳ." καὶ ἐν τῇ ἑρμηνείᾳ δὲ τοῦ Λευϊτικοῦ „διὰ τοῦτο καὶ δύο λαμβάνεται τὰ ὀρνίθια καὶ νοεῖται πάλιν ὡς ἓν ἀμφότερα, πλὴν ζῶντα καὶ καθαρά. ζωῆς γὰρ καὶ καθαρότητος ἁπάσης παρεκτικὸς καὶ αὐτὸς καθ' ἑαυτὸν ὁ λόγος καὶ ὁ ἐκ παρθένου ναὸς τὸν αὐτὸν λόγον ἔχων ἐν ἑαυτῷ· ἦν γὰρ ἴδιον αὐτοῦ τὸ σῶμα, καὶ οὐχὶ ἀλλότριον φόρημα. διά τοι τοῦτο καὶ εἷς κύριος Ἰησοῦς Χριστός." καὶ ἐν τῇ ἑρμηνείᾳ δὲ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου „οὐκοῦν ὁ στατὴρ ὁ ἀληθινός τε καὶ νοητὸς καὶ ὡς ἐν τύπῳ τῷ ἐξ ὕλης δηλούμενος αὐτός ἐστιν ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, διπλοῦς χαρακτήρ·" καὶ μεθ' ἕτερα „ὁ στατὴρ τοιγαροῦν ὁ νοητός, τουτέστι τὸ νόμισμα τὸ βασιλικόν, "ὁ ἐν ἑνότητι διπλοῦς χαρακτήρ, ἑαυτὸν 824 R

a. 1. ἑκάτερα ς. 5. Ἰεζ.] 10, 18. 23. παριστῆσι] immo παριστῶσι. 41. κύριον et 42. τε add A.
b. 15. ὅτε] ὅτι A: ὅταν ς. 17. συνηγμένα ς. 19. γε μὴν] τε μὴν A: τε μὴ ς. 27. τὴν εἰς A: τῆς ς.
28. ἐν om pr A. 30. Λευϊτ.] 5, 7. 37. Ματθ.] 17, 27. 40. ὁ add A.

Digitized by Google

ὑπὲρ πάντων, ὡς παρὰ πάντων προσκεκόμικε τῆς ἡμετέρας ζωῆς ἀντίλυτρον." καὶ ἐν τῷ κατὰ Ἀρείου λόγῳ πάλιν „διττὸς οὖν ἄρα ἐστὶν ὁ ἐφ' υἱῷ λόγος· ἀναθετέον δὴ οὖν ὡς θεῷ τὰ θεοῦ καὶ ὡς καθ' ἡμᾶς γεγονότι τὰ ἀνθρώπινα·" καὶ πάλιν „ἆρ' οὖν (ἐρήσομαι γάρ) σοφοὶ καὶ ἀγχίνοι καταλογισθεῖεν ἂν οἱ διφυᾶ καὶ διπλοῦν τὸν ἕν γε τούτοις προσιέμενοι λόγον, καὶ καιροῖς ἀπονέμοντες τοῖς καθήκουσι τὴν μυσταγωγίαν;" καὶ ἐν τῷ θ' λόγῳ τῆς ἐν πνεύματι λατρείας „ἐξ ἀργύρου δὲ καὶ ἐκ δυοῖν ἡ βάσις· λαμπρὸς γὰρ ἐν γῇ καὶ διαφανὴς ὁ Χριστός, κατά γε τὸ θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν, καὶ οἱονεὶ διφυᾶ τὴν γνώμην ἔχων· νοεῖται γὰρ ἐν ταὐτῷ θεὸς καὶ ἄνθρωπος. τουτὶ γὰρ οἶμαι ἐστὶ τὸ διπλῆν ἐξ ἀργύρου τὴν βάσιν ἔχειν." καὶ ἐν τῷ κατὰ Νεστορίου λόγῳ „ἑτέρα μὲν γὰρ παρὰ τὸν τοῦ θεοῦ λόγον ἡ σάρξ, κατά γε τὸν τῆς ἰδίας φύσεως λόγον, ἑτέρα δὲ πάλιν οὐσιωδῶς ἡ αὐτοῦ τοῦ λόγου φύσις." οὕτω σύμφωνος τῶν τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου δογμάτων ἡ Κυρίλλου πανταχοῦ δόξα.

Πάλιν μέντοι τῆς αὐτῆς ὁσίας συνόδου φαμένης „οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης," ὅρα πῶς κατ' οὐδένα τρόπον ὁ νικηφόρος Κύριλλος διαφωνεῖ. ἐν γὰρ τῇ πρὸς τὸν Νεστόριον α' φησὶν ἐπιστολῇ „οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, ἀποτελεσασῶν δὲ μᾶλλον ἡμῖν τὸν ἕνα κύριον καὶ υἱὸν καὶ Χριστὸν θεότητός τε καὶ ἀνθρωπότητος διὰ τῆς ἀφράστου καὶ ἀπορρήτου πρὸς ἑνότητα συνδρομῆς." καὶ πάλιν ἐν τοῖς χολίοις „προσκυνεῖ μὲν γὰρ ὡς τὴν προσκυνοῦσαν φύσιν λαβών, προσκυνεῖται δὲ πάλιν ὁ αὐτὸς ὡς τῆς προσκυνουμένης φύσεως ὑπάρχων ἐπέκεινα, καθ' ὃ νοεῖται θεός." καὶ σκόπει ὡς οὔτε τὰ κατ' εὐθεῖαν ἄρθρα οὔτε τὰ κατ' αἰτιατικὴν μερισμὸν εἰσάγει τῷ ἱερῷ Κυρίλλῳ τοῦ ἑνὸς Χριστοῦ. πάλιν δὲ ὁ αὐτὸς ἐν τοῖς αὐτοῖς χολίοις φησὶν „οὐ διοριστέον ἄρα τὸν ἕνα κύριον Ἰησοῦν
H. Χριστὸν ἰδικῶς καὶ εἰς θεὸν ἰδικῶς, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Ἰησοῦν Χριστὸν δεῖ φρονεῖν τοῖς τῶν φύσεων φαμὲν εἰδόσι τὴν διαφορὰν καὶ ἀσυγχύτως ἀλλήλαις τηροῦσιν αὐτάς." καὶ ἐν τοῖς θησαυροῖς „τέλος δὲ τί ἂν ἕτερον εἴη ἣν ἄγνοιαν ἔφησεν οἰκονομικῶς, ἢ ἀποσώζειν πάλιν τῇ ἀνθρωπότητι τὴν αὐτῇ πρέπουσαν τάξιν; ἀνθρωπότητος γὰρ ἴδιον τὸ μὴ εἰδέναι τὰ μέλλοντα." καὶ ἐν τῇ πρὸς Σούκενσον δευτέρᾳ ἐπιστολῇ „εἰ γὰρ καὶ εἷς λέγοιτο πρὸς ἡμῶν ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ σεσαρκωμένος καὶ ἐνανθρωπήσας, οὐ πέφυρται διὰ τὸ ἐκείνοις δοκοῦν, οὔτε μὴν εἰς τὴν τῆς σαρκὸς φύσιν μεταπεφοίτηκεν ἡ τοῦ λόγου φύσις, ἀλλ' οὐδὲ ἡ τῆς σαρκὸς εἰς τὴν αὐτοῦ, ἀλλ' ἐν ἰδιότητι τῇ κατὰ φύσιν ἑκατέρου μένοντός τε καὶ νοουμένου. ὁ ταῦτα οὕτω δεχόμενος λύει τὸ σκάνδαλον· ὁ δὲ ἐναντίως φερόμενος ὑπόκειται τῇ φοβερᾷ ἀποφάσει τῆς ἀχράντου φωνῆς, λεγούσης ἐν τοῖς εὐαγγελίοις οὐαὶ δι' οὗ ἔρχεται τὸ σκάνδαλον." οὕτως ἡ σύνοδος καὶ ὁ Κύριλλος· καὶ οὐχ ὁ Κύριλλος μόνον, ἀλλὰ καὶ πᾶς ὁ ἄλλος τῶν ἱερῶν ἀνδρῶν χορός, ὥσπερ ὁμόφρονες, οὕτω γνωρίζονται καὶ ὁμόφωνοι.

Ἀλλ' ἔτι σκόπει τὸ ἀναίσχυντον τῆς αἱρέσεως· ἐπικαλεῖ γὰρ αὐτῷ τὴν ἐπιστολὴν τόμον καλέσαντι, ἀγνοοῦντες οἱ παράπληγες ὡς αὐτός τε Κύριλλος καὶ ὁ πολύαθλος Ἀθανάσιος καὶ πολὺς ἄλλος τῶν ἁγίων ὅμιλος 825 R.
τοὺς ἰδίους ὑπὲρ εὐσεβείας πόνους τόμους ἐκάλεσαν, ὥστε μάτην αὐτοῖς τὸ τοῦ τόμου ὄνομα τὴν τομὴν ἐφάντασε καὶ διαίρεσιν.

Ἀλλ' οὐκ ἐπιλείπουσιν οἱ τῆς αἱρέσεως ἐρασταὶ καταισχυνόμενοι καὶ ἀναιδευόμενοι τὸ „ἐν ὅσῳ τὰ συναμφότερα μετ' ἀλλήλων ἐστίν" ὡς χρονικὴν καὶ πρόσκαιρον ἐπαγγελλόμενον τὴν συνάφειαν· τὸ γὰρ ἐν ὅσῳ ἀντὶ τοῦ ἕως λαμβάνεσθαι. ἀλλ' ὁ μὲν ἱερὸς συγγραφεὺς δείκνυσι τὸ ἐπίρρημα παρὰ τοῖς ἱεροῖς λογίοις οὐ χρονικὴν μόνον διάνοιαν ὑποσημαῖνον, ἀλλ' ἐν πολλοῖς πολλάκις καὶ τὸ ἀπέραντον· ἐμοὶ δὲ δοκεῖ τὸ ἐν ὅσῳ ἐνταῦθα οὐδὲ τὴν ἕως δύναμιν ἔχειν, ἀλλ' ἀντὶ τοῦ καθὸ παρειλῆφθαι μᾶλλον. πλὴν ἀλλὰ γὰρ καὶ ὁ θεολόγος Γρηγόριος τὰς αὐτὰς προεῖπε φωνάς, οἷς ὁ ἐν ἁγίοις Λέων ἠκολούθησεν.

Πάλιν δὲ ἡ αἵρεσις διαβάλλει τὸν ὅσιον Λέοντα, διότι, φησίν, εἶπε τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ τό τε ταπεινὸν τῆς σαρκὸς καὶ τὸ μέγεθος τῆς θεότητος. καίτοι γε εἰ μὲν μὴ προειπὼν τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ, τάχα ἂν τοῖς ἄφροσι παρεῖχε λαβῆς ὑπόνοιαν ὡς ἀνὰ μέρος τίθησι τὴν σάρκα καὶ τὴν θεότητα, εἰ καὶ μηδὲ τοῦτο ἡ λέξις μηδὲ τότε ἐδήλου· ἐπεὶ δὲ προειπὼν τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ ἐπήγαγε τό τε ταπεινὸν τῆς σαρκὸς καὶ

a. 4. ὡς θεῷ τὰ A: πρὸς θεῷ τὰ τοῦ ς. 7. προϊέμενοι ς. 11. θεὸς] Ps. 117, 27. 40. τηροῦσιν A: τηροῦντες ς. 42. ἔφη ς.
b. 17. αὐτῷ τὴν ἐπιστολὴν τόμον A: τὴν ἐπιστολὴν αὐτοῦ ς. 28. διάνοιαν μόνον ς.



Digitized by Google

τὸ μέγεθος τῆς θεότητος, πῶς οὐκ ἐσχάτης ἐστὶ μανίας ἐν αἰτίαις ποιεῖν τὸν ἀναίτιον; ὅτι δὲ καὶ τῶν ἱερῶν ἡμῶν πατέρων γέμει τὰ γράμματα τὰς τοιαύτας φωνάς, περιττὸν οἶμαι παριστάνειν τῇ παραθέσει τῶν χρήσεων. καίτοι καὶ εἴ τι τοιοῦτον ὑπενοεῖτο τοῖς τοῦ μακα-
434 H. ρίου Λέοντος ῥήμασιν, ἐχρῆν κατὰ τὸν ἐν ἁγίοις Γρηγόριον τὸ ἀμφίβολον πρὸς τὸ εὐσεβέστερον εὐλαβῶς ἑλκύσαι ἀλλὰ μὴ θρασέως οὕτω πρὸς τὴν ἀσέβειαν ἐκβιάσασθαι· εἰ δὲ ἐν οὐδενὶ λόγῳ αὐτοῖς ὁ θεολόγος Γρηγόριος, ἀλλ᾽ οὖν γε δυσωπηθῆναι τὸν ἀπόστολον Παῦλον λέγοντα „αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ."

Οἱ δὲ πάλιν ἐπιπηδῶσι τοῖς τοῦ ἀνδρὸς ῥήμασιν, ἐν οἷς φησὶν „ἐνεργεῖ γὰρ ἐν ἑκατέρᾳ μορφῇ μετὰ τῆς θατέρου κοινωνίας ὅπερ ἴδιόν ἐστι, τοῦ μὲν λόγου κατεργαζομένου τοῦθ᾽ ὅπερ ἐστὶ τοῦ λόγου, τοῦ δὲ σώματος ἐκτελοῦντος ἅπερ ἐστὶ τοῦ σώματος." ἰδού, φασί, δύο πρόσωπα εἴρηκεν, καὶ ἰδίᾳ τὰς ἐνεργείας ἐκήρυξε. καίτοι γε οὐδὲν τοιοῦτον οὔτε ἡ λέξις οὔτε ἡ ἀκολουθία ἀπαιτεῖ τοῦ νοήματος. ποῦ γὰρ εἶπεν ὡς ἀνὰ μέρος [καὶ ἀνὰ μέρος] μορφὴ ἑκατέρα ἐνεργεῖ; ἢ ποῦ παρέλιπε τὸ μετὰ τῆς θατέρου κοινωνίας, τουτέστιν ἐν τῇ ἑνώσει τῶν φύσεων; εἰ δ᾽ οὗτος ταῦτα εἰπὼν ὑπ᾽ αἰτίαν, καὶ Κύριλλος οὐκ ἄλλα λέγων ἐν τοῖς κατὰ Νεστορίου λόγοις τῆς αὐτῆς ἔνοχος μέμψεως· „παρεχώρει μὲν γὰρ τὸ σῶμα" φησί „τοῖς τῆς ἰδίας χρῆσθαι φύσεως νόμοις, καὶ τὴν τοῦ θανάτου γεῦσιν ἐδέχετο, καὶ τοῦτο παθεῖν ἐφέντος αὐτῷ χρησίμως τοῦ ἑνωθέντος λόγου." καὶ πάλιν ἐν τοῖς θησαυροῖς „ἐπιτρέπει δὲ τῷ σώματι καὶ τῇ ἀνθρωπότητι τὰ αὐτοῖς φύσει προσόντα, εἰς ἀπόδειξιν τοῦ ὄντως καὶ κατὰ ἀλήθειαν φορῆσαι σάρκα καὶ ἄνθρωπον γενέσθαι κατὰ τὰς γραφάς." ἀλλὰ ταῦτα μὲν ταύτῃ.

Ὅτι δὲ ἡ μορφὴ οὐχ ὑπόστασις ἢ πρόσωπον νοεῖται ἀλλ᾽ οὐσία, Βασίλειος μὲν ὁ λαμπρὸς τῆς ἐκκλησίας κῆρυξ ἐν τῷ κατ᾽ Εὐνομίου λόγῳ τρανῶς διδάσκει, καὶ Κύριλλος δ᾽ ἐν τοῖς θησαυροῖς λέγων „ἣν ἔλαβε μορφὴν ὁ ἐν μορφῇ θεοῦ ὑπάρχων, ὁμοουσία ἡμῶν ἐστίν, ὅτι καὶ ἐξ ἡμῶν. ἔστι δὲ θεοῦ μορφὴ ὁ υἱός· ὁμοούσιος ἄρα ἐκείνου οὗ καὶ ἔστιν ἐν μορφῇ." καὶ πρὸ τούτων ὁ
828 B. μέγας Παῦλος „ὁ ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ᾽ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών." δῆλον γὰρ οὐχὶ πρόσωπον ὑπῆρχεν ὁ υἱὸς τοῦ πατρός, οὐδὲ τῆς αὐτῆς ὑποστάσεως, ἀλλὰ τῆς αὐτῆς οὐσίας, ἐν ᾗ καὶ εἶναι λέγεται. πάλιν δὲ ὁ ἐν ἁγίοις Βασίλειος ἐν τῷ κατ᾽ Εὐνομίου λόγῳ, ἐν τῷ πρώτῳ κεφαλαίῳ, οὕτω φησί „τὸ ἐν μορφῇ ἐν οὐσίᾳ ἐστὶ θεοῦ. οὐ γὰρ ἄλλο μορφὴ καὶ ἄλλο οὐσία θεοῦ, ἵνα μὴ σύνθετος ᾖ. ὁ οὖν κατὰ μορφὴν ἴσος κατ᾽ οὐσίαν ἴσος." τὰ αὐτὰ δὲ καὶ ὁ ἐν ἁγίοις Ἀμφιλόχιος ὁ Ἰκονίου ἐν τῇ πρὸς Σέλευκον ἐπιστολῇ „ὥστε τὴν τοῦ θεοῦ μορφὴν καὶ τὴν τοῦ δούλου μορφὴν συντελεῖν εἰς ἓν πρόσωπον υἱοῦ τε καὶ κυρίου Ἰησοῦ Χριστοῦ, οὕτω θεόν τε καὶ ἄνθρωπον ὁμολογῶ τὸν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, ἕνα δὲ υἱὸν δύο φύσεων, παθητῆς τε καὶ ἀπαθοῦς, θνητῆς τε καὶ ἀθανάτου, νοητῆς καὶ ἀοράτου, ψηλαφητῆς καὶ ἀν-πάφου, ἀνάρχου καὶ ἀρχομένης, ἀπεριγράφου καὶ περιγεγραμμένης." τοῦ μέντοι γε προκειμένου ἀνδρός, ὡς τὸ ἐπίσημον ἐπ᾽ εὐσεβείᾳ ἔχοντος, ὁ ἱερὸς Κύριλλος κατὰ τὴν ἱερὰν γ᾽ σύνοδον παρήγαγε μαρτυρίας κατὰ Νεστο- 435 H.
ρίου. καὶ μὴν καὶ Πρόκλος ὁ Κωνσταντινουπόλεως καὶ Κυριακὸς ὁ τῆς Πάφου ἐπίσκοπος, εἷς ὢν τῶν τιή ἁγίων πατέρων, τὰ αὐτά φησιν, ὁ μὲν ἐν Πουλχεριαναῖς μετὰ τὸ γενέθλιον, ὁ δὲ ἐν τῷ εἰς τὰ θεοφάνια λόγῳ. ὁ αὐτὸς δὲ καὶ ἐν τῷ περὶ ἐνανθρωπήσεως τὰ αὐτὰ λέγει· ἀλλά γε δὴ καὶ ὁ Χρυσόστομος ἐν τῷ περὶ τῆς ἀναλήψεως λόγῳ. καὶ ὁ Γρηγόριος δὲ ὁ Νύσσης ἐν τοῖς κατ᾽ Εὐνομίου ταὐτά φησι „τί τὸ τῆς δόξης ἀπαύγασμα; τί τὸ τοῖς ἥλοις καταπειρόμενον; ποία μορφὴ ἐπὶ τοῦ πάθους ῥαπίζεται, καὶ ποία ἐξ ἀϊδίου δοξάζεται;" οὕτω μὲν οὖν [οὕτω] σύμφωνοι πανταχοῦ τῇ τε ἁγίᾳ συνόδῳ καὶ τῷ ἱερῷ ἀνδρὶ Λέοντι καὶ ὁ προγενέστερος ἅπας τῶν ἁγίων χορός.

Ἀλλ᾽ ἡ αἵρεσις πάλιν ἀναισχυντοῦσα κατὰ τοῦ ἱεροῦ Λέοντός φησιν ἐν τῷ εἰπεῖν αὐτὸν „τὸ μὲν αὐτοῦ διαλάμπει τοῖς θαύμασι, τὸ δὲ ταῖς ὕβρεσιν ὑποπέπτωκεν" υἱῶν δυάδα συνεισάγει καὶ ὑποστάσεων. καίτοι εἰ „ὁ μὲν" ἔφη „διαλάμπει τοῖς θαύμασιν, ὁ δὲ ταῖς ὕβρεσιν ὑποπέπτωκεν," εἶχεν ἂν προφάσεως κἂν γοῦν σχῆμα ἡ λαβή· ὅτε δὲ τοῦτο μὲν παντελῶς οὐ λέγει, ἀλλὰ τὸ μὲν αὐτοῦ διαλάμπειν τοῖς θαύμασι, τὸ δὲ ὑποκεῖσθαι ταῖς ὕβρεσι, τοῦ αὐτοῦ εἶναι λέγων ἀμφότερα, τά τε πάθη καὶ τὰ θαύματα, πῶς ἂν ἀσεβείας τινὸς

a. 4. χρήσεων A: χρημάτων ς. 11. αἰχμ.] 2 Cor. 10, 5. 14. ἐν om A. 21. παρέλειπε A. 25. φησί add A. 30. αὐτοῖς A: αὐτῆς ς. 33. πρόσ. πάλιν νοεῖται ς. 35. εὐνόμιον A. 37. ἡμῖν ς. 40. ὁ ἐν] ὃς ἐν corr A, ut est Philipp. 2, 6. b. 4. εὐνόμιον A. 7. κατ᾽ οὐσίαν ἴσος add A. 9. ὥστε] malim ὡς δὴ. 18. μαρτυρίας om pr A. 23. ἐνανθρ. λόγῳ τὰ ς. 25. δὲ et 29. τε add A. 32. κατὰ τοῦ ἱεροῦ λέοντός A: καὶ κατὰ τοῦ ἱεροῦ λέγεται ς. 33. αὐτοῦ corr A: αὐτῶν ς. 37. προφάσεις ς. 38. ὅτε] libri ὅτι.

Digitized by Google

λαβὴν παρέχοι; τὸ αὐτὸ δὲ καὶ πάντες οἱ πατέρες ἡμῶν ἐκδιδάσκουσιν. ὁ δέ γε Νύσσης Γρηγόριος [ἐν τῷ] κατ' Εὐνομίου γράφων οὐδ' οἷς μᾶλλον ἀνασοβεῖται ἡ αἵρεσις, οὐδὲ τούτοις χρήσασθαι παρῃτήσατο. οὐ γὰρ κατὰ τὸ οὐδέτερον, ἀλλὰ κατὰ τῆς φωνῆς τὸ ἀῤῥενικὸν προάγει τὸν λόγον. λέγει γὰρ „τίς ὁ κοπιάσας ἐκ τῆς ὁδοιπορίας, καὶ τίς ὁ ἀπόνως ὅλον τὸν κόσμον ὑποστήσας τῷ λόγῳ;" καὶ κατὰ συνέχειαν „τί τὸ τῆς δόξης ἀπαύγασμα, καὶ τί τὸ τοῖς ἥλοις καταπειρόμενον;" φανερὰ γὰρ ταῦτα, φησί, κἂν μή τις ἑρμηνεύσῃ τῷ λόγῳ.

Πάλιν δὲ διασύρουσι τὸν ἐν ἁγίοις Λέοντα φάμενον οὕτως ὅτι „καθάπερ ὁ λόγος ἀπὸ τῆς ἰσότητος τῆς τοῦ πατρὸς δόξης ἐστὶν ἀχώριστος, οὕτω τὸ σῶμα τὴν φύσιν τοῦ ἡμετέρου γένους οὐκ ἀπολέλοιπεν." καὶ τί διαφέρει ταῦτα τοῦ λέγειν ὁμοούσιον ἡμῖν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα καὶ ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα; ὃ τῷ Εὐτυχεῖ μόνῳ οὐκ ἀρέσκει καὶ ὅσοι τῆς αὐτοῦ μανίας ὑπόδικοι. καίτοι ὁ ἐν ὁσίοις Λέων τοῖς εἰρημένοις ἐπιφέρει „εἷς γὰρ καὶ ὁ αὐτὸς ἀληθῶς υἱός τε θεοῦ καὶ ἀληθῶς υἱὸς ἀνθρώπου ὑπάρχει," ὃ πᾶσαν [illegible]ζούντων ἰσχὺν ἄμαχον ἔχει καταισχῦναι κακόνοιαν.

Ταῦτα μὲν οὖν παρὰ τῶν αἱρετικῶν προτεινόμενα πρὸς λαβὴν τῆς εὐσεβείας γενναίως ὁ ἐν ἁγίοις Ἐφραίμιος ἀπελύσατο. τίθησι δὲ καὶ αὐτὸς οἴκοθεν τοῦ αὐτοῦ [illegible]ου ῥήματα, ἐν οἷς τοῦ ἀρχιερέως αὐτοῦ τῆς εὐσεβείας ἐξαστράπτει τὸ κήρυγμα, καὶ οὐδ' ἡ ἀναίσχυντος τῶν ἀσεβούντων τόλμα ἐπιλαβέσθαι τινὸς τούτων οὐ μὲν οὖν [illegible]μῶς ἀπηναισχύντησεν. ὧν ἐκ πολλῶν ἐστὶν ἓν καὶ [illegible] „ὁ ἀπαθὴς θεὸς οὐκ ἀπηξίωσε παθητὸς γενέσθαι ἄν[illegible]τος, καὶ ὁ ἀθάνατος νόμοις ὑποκεῖσθαι θανάτου." [illegible]θεματίζει δὲ τρανῶς ἡ σύνοδος καὶ Νεστόριον διὰ [illegible]τοῦ Λέοντος, οὕτω λέγουσα „ἀναθεματιζέσθω Νεστόριος ὁ τὴν μακαρίαν παρθένον Μαρίαν οὐχὶ τοῦ θεοῦ, [illegible]ώπου δὲ μόνον πιστεύων εἶναι μητέρα, ἵνα τῆς μὲν [illegible]ς ἄλλο τῆς δὲ θεότητος ἄλλο πρόσωπον ἀπερ[illegible]ῃ." πῶς οὖν τὰ Νεστορίου φρονεῖ ὁ Νεστόριον καὶ [illegible]τοῦ δόγματα οὕτω καταδικάζων;

Πάλιν δὲ ἐπηρεάζουσιν οἱ αἱρετικοὶ τὴν δ' σύνοδον, [illegible]τις ὡς ἐδογμάτισε μηδενὶ ἐξεῖναι προφέρειν ἤγουν [illegible]γράφειν ἢ συντιθέναι ἢ φρονεῖν πίστιν ἑτέραν παρ' [illegible]θετο αὐτή. καίτοι οὐ τοῦτο ἡ σύνοδος διωρίσατο, [illegible]σχύντως οὗτοι καταψεύδονται· ἀλλὰ τὴν πίστιν ἥν οἱ τί καὶ ή' ἅγιοι πατέρες ἐξέθεντο τιμῶσά τε καὶ θειάζουσα, παρὰ ταύτην ἔφησε μηδενὶ ἐξεῖναι προφέρειν ἑτέραν πίστιν καὶ τὰ ὑπόλοιπα. δῆλον δέ ἐστιν ἐξ αὐτῶν μάλιστα τῶν συνοδικῶν φωνῶν, ὧν καὶ μόνον ἀναγινωσκομένων οὐδεμιᾶς ἄλλης δεῖσθαι κατασκευῆς ἡ συστάσεως ἐπιδειχθεῖσα ἡ ἀλήθεια. καὶ οὐχ ὥρισε μὲν τοῦτο, ἔπραξε δὲ ἄλλως, ἀλλ' ὡς ὥρισεν, οὕτω πανταχοῦ καὶ διαπραττομένη γνωρίζεται· καὶ γὰρ τοὺς τῇ εὐσεβείᾳ προσιόντας οὐκ ἄλλο σύμβολον, ἀλλὰ τῶν τιή' ἁγίων πατέρων ἐκδιδάσκει καὶ παραδίδωσιν.

Γέλωτα δὲ μᾶλλον καθ' ἑαυτῶν ἢ διαβολὴν τῆς συνόδου καταχέουσιν, ἐν οἷς φασὶν αὐτὴν ὑπὸ πολλῶν διασύρεσθαι. πόσαι γὰρ τῆς πρώτης καὶ οἰκουμενικῆς ἁγίας συνόδου κατεῖπον σύνοδοι, καὶ τότε ἀρχιερέων οὖσαι πλήρωμα; τὴν δὲ τῶν ρν' οὐδ' εἰ γεγονέ τινες τῶν Αἰγυπτίων εἰδέναι ἠθέλησαν. ἀλλ' ἐάσωμεν τὸ ἀλόγιστον.

Ἐπεὶ δὲ χρῆσίν τινα τοῦ Ἰουλίου Ῥώμης οἳ πρὸς οὓς ἔγραφεν ὑπὲρ τῆς ἰδίας δυσσεβείας (ὡς ἐνόμιζον) προεκόμισαν, τὴν μὲν χρῆσιν ὁ σοφὸς συγγραφεὺς ἐπεδείξατο κατά τε τοῦ Σαμωσατέως Παύλου καὶ τῆς Νεστοριανῆς δευτέρας αἱρέσεως εἰρῆσθαι, καὶ κωλύειν τὰς δύο φύσεις ἰδικῶς καὶ ἀνὰ μέρος φρονεῖν, ὥσπερ καὶ δύο ὑποστάσεις καὶ πρόσωπα καὶ υἱούς. καὶ γὰρ ἡ μία φύσις ἐπὶ Χριστοῦ τῷ Ἰουλίῳ ἐνταῦθα ἀντὶ τῆς ὑποστάσεως εἴληπται, καὶ οὐδὲν οὔτε τῇ ἀληθείᾳ οὔτε τοῖς ἄλλοις θεοφόροις ἡμῶν πατράσιν ἀπομάχεται. καὶ δῆλον τοῦτο ποιεῖ ὁ θεῖος Ἰούλιος κατὰ Μαρκίωνος καὶ Οὐαλεντίνου καὶ Ἀπολιναρίου καὶ Εὐτυχέως διὰ τῶν ἱερῶν αὐτοῦ φωνῶν τὸ βέλος ἀφείς. ἔφη γὰρ ἐν τῷ λόγῳ τῷ περὶ τοῦ ὁμοουσίου „ὅθεν ἐξ ἀνάγκης καὶ τὸ σωματικὸν καθόλου καὶ τὸ θεϊκὸν καθόλου λέγεσθαι. καὶ ὁ μὴ δυνάμενος ἐν τοῖς ἡνωμένοις διαφόροις εἰδέναι τί τὸ ἴδιον ἑκατέρου, ἐναντιώμασιν ἀσυμφώνοις περιπεσεῖται· ὁ δὲ καὶ τὰ ἴδια γινώσκων καὶ τὴν ἕνωσιν φυλάττων οὔτε τὰς φύσεις ψεύσεται οὔτε τὴν ἕνωσιν ἀγνοήσειεν." ὥστε φανερὸν ὡς ὁ θαυμαστὸς Ἰούλιος τὰς δύο φύσεις ἀνομολογῶν, τὴν μίαν φύσιν ἐν τῷ προτεθέντι ῥητῷ ἀντὶ τῆς ὑπο- 437 H.
στάσεως παρέλαβεν.

Ἐλέγχει δὲ καὶ ἕτερά τινα οὐκ ὀλίγα ἄτοπα, ἃ οἱ 832 R.
πρὸς οὓς ἀντέγραφεν ὁ φιλόθεος Ἐφραίμιος τῇ οἰκείᾳ ἐντεθείκασιν ἐπιστολῇ, δεικνὺς αὐτὰ δυσσεβείας γέμοντα.

a. 5. προσάγει ς. 8. καὶ add A. 17. μόνον A. 20. τε τοῦ θεοῦ ς. 23. πρὸς λαβὴν A: προσλαβὼν ς. 35. ἀπερ[illegible] ς. 42. καταψεύδονται ς. b. 1. τι καὶ ή A: τιή καὶ οἱ ς. 3. μάλιστα ἐξ αὐτῶν ς. 5. δεῖται Scaliger. [illegible] ἴσεσθαι μὲν τὸ ς. 19. ὑπὲρ mg: libri ὑπὸ. 20. προσεκόμισαν A. 31. τοῦ add A. 37. θαυμάσιος ς. [illegible] οἱ add A. 41. ἀντέγραφειν ς.



Digitized by Google

ἐκεῖνο δέ ἐϛι θαυμάζειν ἄξιον, ὅτι ἃ Κύριλλος μὲν προεῖπεν, ἐκεῖ δὲ ἡ σύνοδος λαβȣ̃σα προήνεγκε (λέγω δὴ τὸ ȣ̓δαμȣ̃ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, καὶ πάλιν τὸ συντρεχȣσῶν τῶν φύσεων εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόϛασιν), ταῦτα οἱ ἐπὶ Κυρίλλῳ σεμνυνόμενοι διασύρȣσιν.

Ἀλλὰ γȣ̃ ταῦτα διελθὼν ὁ θεοφιλὴς Ἐφραίμιος παρατίθησιν ἐπιϛολὰς τȣ̃ τε ἐν ἁγίοις Συμεῶνος, τȣ̃ τὴν ἐν τῷ κίονι ϛάσιν ἀθλήσαντος, καὶ Βαραδάτου πρὸς Βασίλειον τὸν ἐπίσκοπον Ἀντιοχείας ἐπεϛαλμένας καὶ δὴ καὶ πρὸς Λέοντα τὸν βασιλέα, ἑκατέρου τȣ́των ἰδίᾳ πρὸς ἑκάτερον τοῖν δυοῖν ἀνὰ μιᾶς γεγραμμένης. τȣ̃ μέντοι γε Ἰακώβȣ μία καὶ αὐτὴ πρὸς τὸν αὐτὸν εὐσεβέϛατον ἐγράφη βασιλέα. ἅπασαι δὲ ἀφελεῖ μὲν συντέθεινται καὶ ἁπλῷ λόγῳ, πνεύματος δὲ πεπλήρωνται καὶ τῆς ἱερᾶς ἡμῶν σοφίας. πρεσβεύουσι δ' ὁμοίως τὴν ἐν Καλχηδόνι σύνοδον, ἐν τοῖς εὐσεβεϛάτοις ταύτης δόγμασι διαμένειν τȣ̀ς γεγραφότας ἀνομολογȣ̃σαι, καὶ τȣ̀ς δεχομένȣς αὐτὰς ϛέργειν καὶ κηρύσσειν τὰ ἐν τῇ ὁσίᾳ σπουδῇ δογματισθέντα παράκλησίν τε καὶ παραίνεσιν συνεισάγȣσαι.

a. 2. ἐκεῖ] ἐκεῖνα A, ἐκεῖθεν mg. 10. τὸν add A. 11. an ἑκατέρῳ? b. 1. ἰδίῳ ς. ἀνὰ μιᾶς A: ἀνανίας ς 3. αὐτὸν add A. βασιλέα A: Βασίλειον ς. 10. post συνεισάγουσαι in A vacui versus quattuor et pagina una.

Digitized by Google

# PHOTII

# BIBLIOTHECA

EX RECENSIONE

IMMANUELIS BEKKERI.

TOMUS ALTER.

BEROLINI
TYPIS ET IMPENSIS GE. REIMERI
A. 1825.

Digitized by Google

Digitized by Google

## 230.

Ἀνεγνώσθη τοῦ ἐν ἁγίοις ΕΥΛΟΓΙΟΥ βίβλος πληρουμένη λόγοις ιά. τούτων ὁ α΄ Ῥώμης ἀρχιερέα ἔλεγε πρὸς ὃν ἔγραψεν· ὃς ἐδέξατο μὲν παρὰ τοῦ συγγραφέως ἐπιστολὴν συνοδικήν, ἐνδεῖν δὲ αὐτὴν ἀντεδήλωσεν, ὅτι μήτε τῶν τεσσάρων συνόδων τὰς προσηγορίας ῥήματι εἶπε, μηδ᾽ ἔνθα συνέστησαν, ἀλλὰ μηδὲ τοῦ πλήθους τὸν ἀριθμὸν ἑκάστης ἐσήμηνε· καὶ ὅτι οὐδ᾽ ἡ τοῦ ἐν ἁγίοις Λέοντος ἐπιστολὴ ἐπὶ λέξεως μνήμης ἔτυχεν, ἀλλὰ μηδ᾽ Εὐτυχὴς μηδὲ Διόσκορος μηδὲ Σεβῆρος ἀναθέματι παρεδόθησαν, καὶ ὅτι ἡ ἐν δύο φωνὴ ἀμυδρότερον ἢ ὅσον ἐχρῆν ἀπηγγέλλετο. ἃ μὲν ὁ τὰ συνοδικὰ δεξάμενος ᾐτιᾶτο, ταῦτα ἦν· ὁ μέντοι γε θεοφιλὴς ἀνὴρ λόγον ὑπὲρ ὧν ᾐτιάθη διδούς, πρῶτον μὲν περιειλῆφθαι πάντα φησὶν ἐπὶ κεφαλαίων τοῖς συνοδικοῖς ἃ ἔδοξε παραλελεῖφθαι, πλὴν πλατύτερον καὶ νῦν εἰπεῖν περὶ αὐτῶν μηδένα λαβεῖν ὄκνον. τοῦτο δὲ σπουδαίως τε καὶ θεοφρόνως ἐπιτελῶν εἰς τὸ ἄριστόν τε καὶ τελεώτατον τά τε ἄλλα καὶ τὴν περὶ τῆς πίστεως ἱερὰν ἡμῶν ὁμολογίαν διατίθησιν, ἐμφιλοχωρῶν μάλιστα τῇ κατὰ τὴν οἰκονομίαν ἱερολογίᾳ, ἐν ᾗ τῶν τε δύο φύσεων ἀδιαίρετόν τε καὶ ἀσύγχυτον τὴν καθ᾽ ὑπόστασιν ἕνωσιν ὑμνεῖ, καὶ τὰς ἑκατέρωθεν αἱρετικὰς παραφυάδας τῇ μαχαίρᾳ τέμνει τῆς ἀληθείας. κέχρηται δὲ καὶ τῇ λέξει τῆς κράσεως εὐσεβῶς μέν, πλὴν κέχρηται, μὴ κατὰ τὸν ἄνουν Ἀπολινάριον τῇ φωνῇ κεχρῆσθαι διαμαρτυρόμενος, μὴ μέντοι γε μηδὲ κατὰ τὸν δυσσεβῆ Εὐτυχῆ, ἀλλ᾽ ὡς ὁ τῆς εὐσεβείας νόμος βού-
438 H. λεται, ἅτε δὴ ἕνα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τρανολογεῖν ἐν δύο φύσεσιν ἀδιαιρέτοις τε καὶ ἀσυγχύτοις εἰδώς, ἐν τελείᾳ θεότητι καὶ τελείᾳ ἀνθρωπότητι, οὔτε τῆς κράσεως σύγχυσιν αὐτῷ δηλούσης, οὔτε τῆς ἐν δύο
438 B. φωνῆς διαίρεσιν παρεισαγούσης. τούτοις δὲ καὶ Ἀθανάσιον καὶ Κύριλλον συμβαίνειν ὑπαγορεύει, οἷς καὶ αὐτοὶ διωμολόγησαν μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην· ἐν ᾧ γὰρ ἔφησαν σεσαρκωμένην, τὴν προσληφθεῖσαν ἀνεκήρυξαν φύσιν. ταῦτα διελθών, καὶ ὡς καὶ ἐν ἄλλοις αὐτοῦ πόνοις γυμνάζει τὴν προκειμένην φωνὴν ἐπισημηνάμενος, τριπλῇ φησὶ μερίζεσθαι διανοίᾳ τὴν παροῦσαν χρῆσιν. καὶ γὰρ τὸ σεσαρκωμένη ἢ ἀντὶ τοῦ σαρκὶ ἐσχηματισμένη καὶ οἷον εἰδοποιηθεῖσα, ὥσπερ ὁ χαλκοῦς τῇ μορφῇ τοῦ ἀνδριάντος, ἐκληφθείη ἄν· ἢ ὅτι εἰς σάρκα τῆς τοῦ λόγου φύσεως τραπείσης καὶ οἷον ἀποσαρκωθείσης μία προῆλθεν ἡ φύσις· ἢ ὅτι μία οὖσα ἡ τοῦ λόγου φύσις κατὰ τὴν οἰκονομίαν οὐκέτι μία μόνη ἀλλὰ καὶ μετὰ σαρκὸς θεωρεῖται, τὸ ἄτρεπτον καὶ ἀναλλοίωτον ἑαυτῇ τε καὶ τῇ προσληφθείσῃ σαρκὶ διασώζουσα. αἱ μὲν οὖν πρῶται δύο ὑπολήψεις Ἀπολινάριον ἴσασι καὶ Εὐτυχέα· ἡ δὲ τρίτη δόξα τοῦ κηρύγματός ἐστι τῶν ἀποστόλων, ἣν καὶ ὁ τῶν μακαρίων ἡμῶν πατέρων χορὸς ἐκεῖθεν μαθὼν συνετήρησεν. καὶ δῆλον ὡς, εἴ τις εὐσεβεῖν ἐθέλοι ἐν τῷ λέγειν μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, τὸ αὐτὸ φρονεῖν ἂν χαριτωθείη τοῖς δύο φύσεις ἀδιαιρέτους καὶ ἀσυγχύτους ἐν τῷ ἑνὶ καὶ τῷ αὐτῷ Χριστῷ θεωροῦσί τε καὶ δοξάζουσιν· εἰ δὲ μή, πρὸς Ἀπολινάριον ἢ Εὐτυχέα πάντως δραμεῖται. καὶ γὰρ ἐνταῦθα τὴν μίαν μὲν φύσιν ἀντὶ τῆς ὑποστάσεως εἰρῆσθαι, τὸ δὲ σεσαρκωμένην ἀντὶ τῆς ἀνθρωπίνης φύσεως, ὡς μηδὲν διαφωνεῖν τὸν λέγοντα μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην ἢ μίαν ὑπόστασιν τοῦ λόγου ἀνθρωπίνην φύσιν ἀναλαβοῦσαν· διὸ καὶ οἱ πατέρες ἡμῶν ἐπεξηγούμενοι τὴν φωνὴν ἐπάγουσιν „οὐκ ἀνῃρημένης τῆς τῶν φύσεων διαφορᾶς διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον ἑκατέρας ἐν τῷ ἰδίῳ τῆς φύσεως ὅρῳ τε καὶ λόγῳ, ἐν τῷ αὐτῷ καὶ ἑνὶ Χριστῷ τῷ θεῷ ἡμῶν." ὥστε εἰ τὰ σωζόμενα μὲν θεωρεῖται, τὰ δὲ θεωρούμενα ὁμολογεῖται, ἃ δὲ ὁμολογεῖται, καὶ ἀριθμεῖται, φανερὸν ὅτι τὸ λέγειν εὐσεβῶς μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, καὶ τὸ δύο φύσεις ἀδιαιρέτους ἐν τῇ καθ᾽ ὑπόστασιν ἑνώσει, διαφορὰν οὐδεμίαν εἰς τὸν τῆς εὐσεβείας ἐμποιεῖ λόγον. Ταῦτα καὶ τοιαῦτα ἕτερα εἰπὼν περατοῖ τὸν α΄ λόγον.

Ὁ δὲ β΄ ἐπιγράφεται μὲν δογματικός, ἔκθεσιν δὲ καὶ οὗτος ἀπαγγέλλει πίστεως· ἐν ᾗ τήν τε τριάδα εὐσεβοφρόνως θεολογεῖ καὶ τὰ περὶ τὴν οἰκονομίαν ὁμοίως διέξεισι, συνοπτικώτερον μὲν ἢ ἐν τῷ προτεταγμένῳ ταῦτα διεξιών, οὐδὲν μέντοι τῆς ἀκριβείας καθυφιείς. καὶ ταῦτα διαδραμὼν εἰς παραίνεσιν περαίνει τὴν σπουδήν, δι᾽ ἧς τοὺς τῆς ἐκκλησίας ἀποφοιτῶντας τὴν κοι- 439 H.
νὴν ὁμόνοιαν ἀσπάσασθαι παρακαλεῖ. ἐν τούτῳ τῷ λόγῳ φησὶν ὡς τῶν ἐν τῇ ἐκκλησίᾳ παραδιδομένων ὑπὸ τῶν ὑπηρετῶν τοῦ λόγου διδαγμάτων τὰ μέν ἐστι δόγματα, τὰ δὲ κηρύγματα. καὶ ἡ διαφορά, τὰ μὲν δόγματα

a. 2. quae post Εὐλογίου in ς adduntur, οὗτος πατριάρχης ἦν Ἀλεξανδρείας, omisi cum AC. 4. μὲν om. A. 10. Σεβ. τῷ ἀναθ. ς. 11. ὅτι ἡ] διότι ἡ A, ὅτι ὁ ς. 17. δὲ σπουδαίως τε A: τε σπουδαίως ς. 34. καὶ post οἷς et 35. θεοῦ et 39. καὶ add A. 39. διαμερίζεσθαι ς. 40. χρῆσιν] τὸ σεσαρκωμένην addit mg A cum ς.

b. 10. πατέρων ἡμῶν ς. 11. ἐθέλει ς. 15. ἢ A: καὶ ς. 22. διὰ] καὶ A, καὶ μετὰ rc A. 25. δὲ add A. 39. παραδεδομένων A.

μετ᾽ ἐπικρύψεως καὶ σοφίας ἀπαγγέλλεται, καὶ τὴν ἀσάφειαν πολλάκις ἐξεπίτηδες περιβάλλεται, ὡς ἂν μὴ βεβήλοις εἶεν τὰ ἅγια ἔκθετα καὶ οἱ μαργαρῖται τοῖς χοίροις προκείμενοι, τὰ δὲ κηρύγματα χωρίς τινος ἐπικρύψεως ἀπαγγέλλεται, καὶ μάλιστα ὅσα εἰς λόγον ἐντολῶν καὶ θείου φόβου συντήρησιν ἀναφέρεται. εἶναι δὲ καὶ τῶν δογμάτων ἔτι τινὰ μυστικώτερα, ἃ παντελῶς ὡς τὸ ἔπος φάναι σεσίγηται, ἐκείνοις δὲ μόνοις μυστικῶς παραδέδοται, οἳ διὰ λόγου ζῶντος ἔχουσι πνευματικὴν σοφίαν 836R. πιστοῖς ταῦτα παρατίθεσθαι. ἔτι δὲ διαστολὴν τῶν ἐπὶ Χριστοῦ λεγομένων ποιεῖται, τὰ μὲν ἀληθῶς καὶ κυρίως ὑποτιθέμενος λέγεσθαι, τὰ δὲ κατὰ ἀναφοράν. ἀναφέρεται γὰρ ἀφ᾽ ἡμῶν, ὡς κεφαλῆς ἐκείνου πάντων ἡμῶν ἀναχομένου γενέσθαι, ἥ τε ἁμαρτία καὶ ἡ κατάρα καὶ ὅσα παραπλήσια. λέγει γὰρ ὁ ἀπόστολος „τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησε," καὶ πάλιν „Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα." οὕτω δὲ καὶ τὸ ἀνυπότακτον ἡμῶν καὶ τὴν ἄγνοιαν, ὡς κεφαλὴν τοῦ ὅλου σώματος, ἀναδέχεσθαι, καὶ τὸ „θεέ μου θεέ μου, ἵνα τί με ἐγκατέλιπες;" δι᾽ ἄφατον φιλανθρωπίαν ὡς ἑαυτοῦ τὰ ἡμέτερα οἰκειούμενον.

Ὁ δὲ γ' λόγος κατὰ τῶν συκοφαντησάντων τοὺς ἁγίους πατέρας καὶ τὴν ἐν Καλχηδόνι σύνοδον ἀγωνίζεται. καὶ πρῶτον μὲν τὰς πρὸς Σούκενσον ἐπιστολάς, αἳ τῷ μακαρίῳ Κυρίλλῳ ἐγράφησαν, καὶ ὅσα ἄλλα ταύταις συντρέχειν δοκοῦσι, διευκρινεῖ (καὶ γὰρ οἱ δι᾽ ἐναντίας ἀπὸ τῶν τοιούτων φωνῶν, ὥσπερ ἀπό τινος ἀκροπόλεως, κατατρέχειν τῶν τῆς εὐσεβείας δογμάτων φρυάττονται), ἔπειτα δὲ καὶ τὰς ἄλλας συκοφαντίας ἀποσκευάζεται. τὰ μὲν οὖν αἱρετικὸν φρόνημα πρῶτον μὲν προτείνει τῆς δευτέρας πρὸς Σούκενσον ἐπιστολῆς χρῆσιν, ἥτις τὸ δύο λέγειν φύσεις ἀδιαιρέτους μετὰ τὴν ἕνωσιν ἐναντίον εἶναί φησι τοῖς μίαν πρεσβεύουσι τοῦ λόγου φύσιν σεσαρκωμένην. οἷς ἀνθυποφέρων ὁ συνήγορος λέγει τῆς ἀληθείας, ὡς οἱ μίαν τοῦ λόγου φύσιν σεσαρκωμένην δοξάζοντες σαφῆ μὲν βούλονται διὰ τῆς φωνῆς ποιεῖν τὴν καθ᾽ ὑπόστασιν ἕνωσιν, καὶ ὡς ὁ λόγος οὐκ ἄνθρωπον προϋποστάντα προσέλαβεν ἀλλὰ σὰρξ ὡς ἀληθῶς γέγονεν· ἡ δὲ οὐκ ἐξαρκεῖ τοῦ μυστηρίου δεῖξαι τὸ τέλειον. πῶς γὰρ ἔστι διὰ τῆς φωνῆς λαβεῖν εἴτε ἔμψυχος ἦν ἡ ἀναληφθεῖσα σὰρξ ἢ μή, καὶ εἰ ἐσχημάτιστο μόνον τῇ σαρκὶ ἢ ἀληθῶς ἐπεφύκει σάρξ; πόθεν δ᾽ ὅτι τέλεια ἢ ὅτι ἀσύγχυτα τὰ συνελθόντα μεμενήκασιν; οὐδὲν γὰρ τούτων διευκρινημένον ἔστιν ἐξ αὐτῆς εὑρεῖν. διὰ τοῦτο γὰρ καὶ Ἀπολιναρίῳ καὶ Εὐτυχεῖ τὸ προκείμενον χωρίον περιπτύσσεται, τῷ μὲν συγχέοντι τὰ συνελθόντα, Ἀπολιναρίῳ δὲ ἄψυχον τὴν σάρκα φανταζομένῳ. ἀλλὰ καὶ Μά- 440H νεντι φίλον ἡ φωνή, σχήματι καὶ φαντασίᾳ τὴν ἐνανθρώπησιν πλάττοντι. οἱ μέντοι γε λέγοντες δύο φύσεις ἀδιαιρέτους ἀσύγχυτα μὲν τὰ συνελθόντα φυλάττουσιν, οὐδ᾽ οὕτοι μέντοι διὰ τῶν αὐτῶν φωνῶν τὴν καθ᾽ ὑπόστασιν κηρύττουσιν ἕνωσιν. δυνατὸν γὰρ πάλιν κακούργως λαβεῖν τὸ ἡνωμένον, ὡς ὁ Νεστόριος, τιμῇ καὶ δόξῃ καὶ τοῖς ἄλλοις αἱρετικοῖς ἐπιτεχνάσμασιν. διὰ τοῦτο καὶ ὁ θεῖος Κύριλλος κατὰ τὸ πέρας τῆς εἰρημένης ἐπιστολῆς „τὸ δὲ ἀδιαίρετον" ἔφη „προστεθὲν δοκεῖ μέν πως παρ᾽ ἡμῖν ὀρθῆς δόξης εἶναι σημαντικόν, αὐτοὶ δὲ οὐχ οὕτω νοοῦσι." τὸ γὰρ ἀδιαίρετον παρ᾽ αὐτοῖς κατὰ τὰς Νεστορίου κενοφωνίας καθ᾽ ἕτερον λαμβάνεται τρόπον· φασὶ γὰρ ὅτι τῇ ἰσοτιμίᾳ, τῇ ταυτοβουλίᾳ τῇ αὐθεντίᾳ ἀδιαίρετός ἐστι τοῦ θεοῦ λόγου ὁ ἐν ᾧ κατῴκησεν ἄνθρωπος. ὥστε διττὸν καὶ ὁ μέγας Κύριλλος οἶδε τὸ ἀδιαίρετον, τὸ μὲν αἱρετικῆς δόξης, τὸ δὲ οἰκεῖόν τε καὶ ὀρθοδόξου φρονήματος. διχῇ δὲ τοῦ ἀδιαιρέτου λεγομένου, εὐλόγως ἔφησε μάχεσθαι τὸ λέγειν μίαν τοῦ λόγου φύσιν σεσαρκωμένην τοῖς κατὰ Νεστόριον φάσκουσι δύο φύσεις ἀδιαιρέτους. αὐτὸ δὲ τοῦτο τὸ ῥητὸν ὀρθῆς γίνεται δόξης, ἀπομε- 837H ρισθὲν τῆς ὁμωνυμίας. ἀπομερίζεται δὲ κατ᾽ ἄλλους τρόπους, μάλιστα δὲ ἐν τῷ τὴν καθ᾽ ὑπόστασιν προσλαβεῖν ἕνωσιν· αὕτη γὰρ ἡ προσθήκη τὸ ἀκριβὲς πληροῦσα καὶ τὸν δόλον ἐλαύνει Νεστορίου καὶ τοὺς συκοφάντας τῆς εὐσεβείας καταισχύνει. ἀτελὴς οὖν ἑκατέρα φωνή, ὡς ἐκ τῶν εἰρημένων δῆλον κατέστη, μὴ προσλαβοῦσα τὴν ἑτέραν, λέγω δὴ καὶ ἡ λέγουσα μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην καὶ ἡ δύο φύσεις ἀδιαιρέτους· τελειοῦται δὲ ἑκατέρα συμπλεκομένη τῇ ἑτέρᾳ· ἡ μὲν γὰρ τοῦ λόγου φύσις σεσαρκωμένη τὴν καθ᾽ ὑπόστασιν ἁπλῶς ἕνωσιν εἰσάγει, ὁ δὲ τὰς δύο φύσεις λέγων ἀδιαιρέτους τὸ ἄφυρτόν τε καὶ ἀσύγχυτον τῶν συνελθόντων μηνύει. οὐκοῦν ἀπομερισθεῖσα φωνὴ θατέρας ἡ ἑτέρα καὶ σοφιστικῶς προαγομένη δικαιοτάτην ἂν τὴν κατάγνωσιν

a. 9. οἳ] οἷς corr A. 10. πιστοὶ C: fortasse legendum πιστῶς. παρατίθεται A. 15. τὸν μὴ] 2 Cor. 5, 21. 17. Χριστὸς] Gal. 3. 13. 33. χρῆσιν AC: χρήσεις ς. 38. ἕνωσιν add C.
b. 9. γε add A. 13. κακούργοις ς. 16. ἀδιαιρέτως A. 30. τὴν om A. 37. ἑτέρᾳ A: ἑκατέρᾳ ς.

Digitized by Google

ἐνέγκοι. ὥςε δικαίως ϗ ὁ ἱερὸς Κύριλλος πρὸς Νεςόριον ἀποτεινόμενος ὡς ἀτελῆ τὴν λέγȣσαν ῥῆσιν δύο φύσεις ἀδιαιρέτους, καὶ μὴ ἐξαρκȣ̃σαν τὸ αἱρετικὸν σόφισμα διελέγξαι, παραιτεῖται, καὶ μάχεται αὐτῇ τὴν λέγȣσαν μίαν φύσιν τȣ̃ λόγȣ σεσαρκωμένην, μεθ᾽ ἧς εἰ συντεθεῖσα προῆλθεν, ἀκήρατον τὴν εὐσέβειαν ἐδήλου, τὰς δύο φύσεις ἀδιαιρέτȣς ἐν τῇ καθ᾽ ὑπόςασιν ἑνώσει τρανολογȣ̃σα. οὕτω δὴ κἂν μίαν τις προφέρῃ τȣ̃ λόγȣ φύσιν σεσαρκωμένην, ϗ μάλιςα πρὸς Ἀπολινάριον διαμαχόμενος ἢ Μάνεντα ἢ Εὐτυχέα, ἀτελῶς τε ἂν προφερόμενος εἴη, ϗ τῷ ἐκείνων μᾶλλον φρονήματι συνεπαμύνων, καὶ τὴν τȣ̃ Κυρίλλȣ δόξαν διαπολεμῶν τε ϗ ἀνατρέπων, συνελαύνων δὲ ϗ τȣ̀ς δύο φύσεις ἀδιαιρέτȣς ἐν τῇ καθ᾽ ὑπόςασιν ὁμολογȣ̃ντας ἑνώσει.

ὅτι δὲ τὸ δύο φύσεις ὁμολογεῖν ἐν τῇ καθ᾽ ὑπόστασιν ἑνώσει σύνδρομόν ἐςι τῇ εὐσεβῶς δοξα-
441 H. ζούσῃ γνώμῃ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, ἐμαρτύρησε περιφανῶς ὁ φύλαξ τῆς ἀκριβείας Κύριλλος. τοὺς γ̄ ἀνατολικοὺς τοῦ θεοῦ ἀρχιερεῖς μίαν μὲν τȣ̃ λόγȣ φύσιν σεσαρκωμένην οὐδαμῶς εἰπόντας, δύο δὲ φύσεις ἐν τῇ καθ᾽ ὑπόςασιν ἑνώσει καὶ δογματίζοντας καὶ φρονοῦντας εὖ μάλα καὶ μετὰ πολλῆς τῆς εὐφροσύνης ἀπεδέξατο. ὁ μὲν γ̄ ἐν ἁγίοις Ἰωάννης, ὃς τὸν ἀρχιερατικὸν τῆς Ἀντιοχείας περιεῖπε θρόνον, ἔγραψεν ὅτι „δύο φύσεων ἕνωσις γέγονε· διὸ ἕνα Χριςόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογȣ̃μεν. κατὰ ταύτην τὴν τῆς ἀσυγχύτȣ ἑνώσεως ἔννοιαν ὁμολογȣ̃μεν τὴν ἁγίαν παρθένον θεοτόκον διὰ τὸ τὸν θεὸν λόγον σαρκωθῆναι ϗ ἐνανθρωπῆσαι." ὁ δὲ θερμὸς τῆς ἀκριβείας ἐραςὴς Κύριλλος ταῦτα ϗ τὰ τȣ́τοις ἀκόλȣθα τοῖς γράμμασι διομολογησάμενον οὐ μόνον ἀσμένως ϗ περιχαρῶς προσήκατο, ἀλλὰ καὶ Παῦλον τὸν Ἐμίσης ἐπίσκοπον, ὃς ἐξ αὐτȣ̃ ἀπέςαλτο, ἐπὶ πανδήμȣ προσομιλήσαντα πανηγύρεως ὃ ὑπῆρχεν αὐτῷ τε ϗ τῷ ἀποςείλαντι φρόνημα, ἐγκωμίοις τε ἐδεξιώσατο ϗ ὡς ὁμογνώμονα ἐμεγάλυνεν. ἡ δὲ ὁμιλία διεξῄει ὡς ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ὅτι τὸ δεύτερον τȣ̃ πρώτου ἑρμηνεία ἐςί, τȣ̃ „ὁ λόγος σὰρξ ἐγένετο" τὸ „ἐσκήνωσεν ἐν ἡμῖν," τȣτέςιν ἐν τῇ ἡμετέρᾳ φύσει. τοιαῦτα μὲν ὁμιλήσας ὁ Παῦλος τῶν Κυριλλείων ἀπήλαυσεν ἐπαίνων.

ὅρα δὲ πάλιν καὶ τὸν Ἰωάννην δύο φύσεις κηρύττοντα καὶ ἕνα υἱόν· „ἕτερον σκηνὴ καὶ ἕτερον τὸ σκηνȣ̃ν, ἕτερον ναὸς ϗ ἕτερον ὁ ἐνοικῶν θεός. πρόσεχε τῷ λεγομένῳ. οὐκ εἶπον ἕτερος ϗ ἕτερος, ὡς ἐπὶ 840 R.
δύο Χριςῶν ἢ δύο υἱῶν, ἀλλ᾽ ἕτερον καὶ ἕτερον, ὡς ἐπὶ δύο φύσεων. ὅτε ȣ̓̃ν εἶπεν ἐσκήνωσεν ἐν ἡμῖν ϗ ἐκήρυξε δύο φύσεις, τότε ἐπήγαγε καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτȣ̃, δόξαν ὡς μονογενȣ̃ς." ταῦτα ȣ̓̃ν ϗ τοιȣτότροπα τȣ̃ ἱερȣ̃ γεγραφότος Ἰωάννȣ, ἐπιμαρτύρεται μὲν τοῖς εἰρημένοις δογμάτων ὀρθότητα, τῆς δὲ οἰκείας ἀπαρχόμενος διδασκαλίας ὧδέ φησιν „ὁ μακάριος προφήτης Ἡσαΐας, τῶν ἐν Χριςῷ διδασκάλων τὰς εὐστομίας προανακηρύττων, ἔλεγεν ἀντλήσατε ὕδωρ μετ᾽ εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. ἰδȣ̀ τοίνυν ἠντλήσαμεν ἡμῖν ὕδωρ ἐξ ἁγίας πηγῆς, τȣ̃ προλαβόντος φημὶ διδασκάλȣ, ὃς καὶ ταῖς τοῦ πνεύματος δᾳδουχίαις λελαμπρυσμένος διεσάφησεν ἡμῖν τὸ μέγα ϗ σεπτὸν τȣ̃ σωτῆρος μυςήριον." ȣ̔́τω τὸν ἱερὸν Ἰωάννην, δύο φύσεις ἄνω καὶ κάτω ςρέφοντα, ὁ τῆς ἀληθείας θερμὸς ἐραςὴς Κύριλλος πηγὴν μὲν ἁγίαν ἀποκαλεῖ, τῆς δὲ τȣ̃ παναγίȣ πνεύματος φωτοχυσίας ἔμπλεων καὶ λαμπρὸν ὑποφήτην τȣ̃ κατὰ Χριςὸν σεπτȣ̃ ϗ μεγάλου μυςηρίȣ. ȣ̓ μόνον δέ, ἀλλὰ καὶ περὶ τȣ̃ μνημονευθέντος ἀρχιερέως Παύλȣ, πρὸς τὸν αὐτὸν ἐν ἁγίοις Ἰωάννην ἀντιγράφων, ὧδέ φησιν ἐπὶ λέξεως „ἀφικομένȣ τοίνυν εἰς τὴν Ἀλεξάνδρειαν τȣ̃ κυρίȣ ϗ θεοσεβεςάτου ἀδελφȣ̃ ϗ συλλειτȣργοῦ Παύλȣ θυμηδίας 442 H.
ἐμπεπλήσμεθα, καὶ σφόδρα εἰκότως, ὡς ἀνδρὸς τοιούτου μεσιτεύοντος·" ϗ πάλιν „ὅτι δὲ περιττὴ παντελῶς καὶ οὐκ εὐάφορμος τῶν ἐκκλησιῶν ἡ διχοςασία γέγονε, νυνὶ μάλιςα πεπληροφορήμεθα, τοῦ κυρίȣ τοῦ θεοσεβεςάτȣ Παύλȣ τοῦ ἐπισκόπȣ χάρτην προσκομίσαντος ἀδιάβλητον ἔχοντα τῆς πίςεως τὴν ὁμολογίαν." οὕτω μὲν οὗτος καὶ τὸν ἀρχιερέα Παῦλον θυμηδίας αἴτιον γενέσθαι ϗ τὴν προσκομισθεῖσαν δι᾽ αὐτȣ̃ τῶν ἀνατολικῶν πίςιν, τὸ ἀδιάβλητον ἔχȣσαν, ἀνακηρύττει. ἐπὶ δὲ τούτοις δεικνὺς ἐναργῶς ἐφ᾽ οἷς τοῖς ἀνατολικοῖς συμβαίνει ϗ ἃ κοινῇ πρεσ-

a. 8. προφέροι A: προσφέρῃ ς. 10. ἀπομαχόμενος ς. 11. προσφερόμενος ς. 13. τε add A. 25. γὰρ om A. 33. διομολογησάμενος ς. 34. ἐμέσης ς. 36. ὃ] ἃ A. 39. καὶ τὸ ἐσκήνωσεν ς. 40. πρώτου A: αὐτοῦ ς.
b. 14. Ἡσ.] 12, 3. 20. λελαμπρυμένος A. 24. ἔμπλεον A. 29 et 35. θεοσεβȣ́ςου ς. 36. προκομίσαντος ς. 37. οὗτος] libri οὕτω. 38. αἴτιον A: ἄξιον ς. libri προκομισθεῖσαν. 40. ἀνακηρύττειν ς.

βεύουσιν, ἵνα μὴ τὸ φιλόνεικον μεταφέρειν ἄδειαν λάβοι πρὸς ὃ βούλοιτο τὴν εἰρηνικὴν ὁμόνοιάν τε καὶ κατάστασιν, αὐτοῖς ῥήμασι κεφάλαιον τελευταῖον ταῦτα ποιεῖται „τὰς δὲ εὐαγγελικὰς καὶ ἀποστολικὰς περὶ τοῦ κυρίου φωνὰς ἴσμεν τοὺς θεολόγους ἄνδρας τὰς μὲν κοινοποιοῦντας ὡς ἐφ᾽ ἑνὸς προσώπου, τὰς δὲ διαιροῦντας ὡς ἐπὶ δύο φύσεων, καὶ τὰς μὲν θεοπρεπεῖς κατὰ τὴν θεότητα τοῦ Χριστοῦ, τὰς δὲ ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα παραδιδόντας." οἷς ἐπιφέρει καὶ τὴν οἴκοθεν κρίσιν, λέγων „ταύταις ὑμῶν ἐντυχόντες ταῖς ἱεραῖς φωναῖς, οὕτω τε καὶ αὐτοὺς φρονοῦντας εὑρίσκοντες (εἷς γὰρ κύριος, μία πίστις, ἓν βάπτισμα) ἐδοξάσαμεν τὸν τῶν ὅλων σωτῆρα θεόν, ἀλλήλοις συγχαίροντες ὅτι ταῖς θεοπνεύστοις γραφαῖς καὶ τῇ παραδόσει τῶν ἁγίων πατέρων συμβαίνουσαν ἔχουσι πίστιν αἵ τε παρ᾽ ὑμῖν καὶ αἱ παρ᾽ ἡμῖν ἐκκλησίαι." καὶ τίς ἂν ἄλλος εἴη μεγαλοφωνότερος ἢ ἀξιοπιστότερος Κυρίλλου Κύριλλον ἑρμηνεῦσαι καὶ τὸ αὐτοῦ φρόνημα καθαρὸν καὶ ἀκαπήλευτον αἱρετικῆς ἐπιμιξίας παραστῆσαι; ἐξ ὧν οὖν ἀδιαφόρως δοξάζειν αὐτόν τε καὶ τοὺς ἀνατολικοὺς τὴν εὐσέβειαν ἀνεῖπεν, ἔδειξε περιφανῶς ἀδιάφορον εἶναι καὶ τὸ ἐφ᾽ ἑνὸς προσώπου ἤτοι μιᾶς ὑποστάσεως δύο τὰς φύσεις ἀδιαιρέτους ὁμολογεῖν, καὶ τὸ μίαν τοῦ λόγου σεσαρκωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ.

οὐ μόνον δὲ πρὸς τοὺς τῆς ἀνατολῆς γράφων
841 R. τὸ ὁμόδοξον αὐτοῖς μαρτυρεῖ, ἀλλὰ καὶ τινων ἐγκαλούντων αὐτῷ ὅτι τὰς δύο φύσεις ὁμολογοῦντας τοὺς ἀνατολικοὺς ἐδέξατο, αὐτὸς πρὸς Οὐαλεριανὸν τὸν Ἰκονίου ἐπίσκοπον ὑπὲρ αὐτῶν γράφει, ὡς Νεστόριον μὲν οἱ ἀνατολικοὶ κατακρίνουσι καὶ τὴν τῶν πατέρων ὁμολογίαν ἀκήρυτον διασώζουσι, τὴν ἁγίαν παρθένον θεοτόκον μεθ᾽ ἡμῶν ἀνομολογοῦντες, καὶ ἕνα εἶναι Χριστὸν καὶ υἱὸν καὶ κύριον, τὸν ἐκ θεοῦ μὲν πατρὸς γεννηθέντα θεὸν λόγον, ἐπ᾽ ἐσχάτων δὲ τὸν αὐτὸν ἐκ γυναικὸς κατὰ σάρκα τεχθέντα, καὶ τέλειον εἶναι τὸν αὐτὸν ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι, οὐ διαιροῦντες εἰς δύο υἱοὺς ἢ Χριστοὺς ἢ κυρίους· καὶ τοὺς τολμῶντάς τι λέγειν κατ᾽ αὐτῶν ὡς ψεύστας καὶ ἀπατεῶνας καὶ τὸν τοῦ ψεύδους ἑαυτῶν προβαλλομένους πατέρα μυσάττεσθαί τε παραινεῖ καὶ ἀποπέμπεσθαι. ἀλλὰ
443 H. μὴν καὶ ἐν τῇ πρὸς Ἀκάκιον τὸν Μελιτηνῆς ἐπίσκοπον περὶ τῶν ἀνατολικῶν οὕτω φησίν „οὐ διαιροῦσιν εἰς δύο τὸν ἕνα υἱὸν καὶ Χριστόν, τὸν αὐτὸν δὲ εἶναί φασι τὸν ἐκ θεοῦ πατρὸς ὡς θεὸν καὶ ἐκ γυναικὸς κατὰ σάρκα ὡς ἄνθρωπον, καὶ ὡς οὐκ ἂν νοοῖτο ὁμοούσιος ἡμῖν κατὰ τὴν ἀνθρωπότητα οὐδὲ τῷ πατρὶ κατὰ τὴν θεότητα, εἰ μὴ νοοῖτο θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτός, ὃ Νεστόριος οὐκ ἀνείχετο." οὕτως οὐ μόνον δύο λέγοντας φύσεις τοὺς ἀνατολικοὺς κατασπάζεται, ἀλλὰ κἂν κατηγορῇ τις, ὑπέρμαχος γίνεται, καὶ (τὸ παράδοξον) κἂν μὴ προσθῶσι τὸ ἀδιαιρέτως, οὐ λέγει διαιρεῖν αὐτοὺς τὰς φύσεις. οἶδε γὰρ ὡς ἕνα Χριστόν, ἓν πρόσωπον, μίαν ὑπόστασιν ὁ λέγων, τὸν αὐτὸν θεὸν καὶ ἄνθρωπον, καὶ θεοτόκον τὴν παρθένον, οὐδὲν ἧττον, κἂν μὴ προσθῇ τὸ ἀδιαιρέτους, ὡς ὁμολογῶν ἐκ τῶν εἰρημένων τὴν καθ᾽ ὑπόστασιν ἕνωσιν, συνεισάγει καὶ τὸ ἀληθῶς ἀδιαίρετον. ὁ αὐτὸς δὲ τῆς ἀσφαλοῦς καὶ θείας εἰρήνης ὄντως ἐραστὴς πάλιν πρὸς Ἀκάκιον γράφων „ἔνεστι" φησί „καὶ δύο φύσεις εἰπεῖν, καὶ μὴ διαίρεσιν τῶν φύσεων ἐννοεῖν πως, ἐπειδάν τις συνάψοι τοῖς εἰρημένοις τὴν καθ᾽ ὑπόστασιν ἕνωσιν." καὶ μὴν ἐπιστέλλων καὶ πρὸς Εὐλόγιον ὁμόδοξον ἡγεῖται τὸν μίαν φύσιν λέγοντα τοῦ λόγου σεσαρκωμένην τῷ δύο φύσεις ἀδιαιρέτους ἐν τῇ καθ᾽ ὑπόστασιν ἑνώσει συνομολογοῦντι.

ἐπιλαμβάνονταί τινες τῆς ἐκθέσεως ἧς πεποίηνται οἱ ἀνατολικοί, καί φασι „διὰ τί δύο φύσεις ὀνομαζόντων αὐτῶν ἠνέσχετο καὶ ἐπῄνεσεν ὁ τῆς Ἀλεξανδρείας;" οἱ δὲ τὰ Νεστορίου φρονοῦντες λέγουσι κἀκεῖνον οὕτω φρονεῖν, συναρπάζοντες τοὺς οὐκ εἰδότας τὸ ἀκριβές. χρὴ δὲ τοῖς μεμφομένοις ἐκεῖνα λέγειν ὅτι οὐ πάντα, ὅσα λέγουσιν οἱ αἱρετικοί, φεύγειν καὶ παραιτεῖσθαι χρή· ὥστε δύο φύσεις λέγοντας τοὺς μὲν ἀνατολικοὺς ἀποδέχεται (εὐσεβῶς γὰρ οὗτοί φασι), Νεστόριον δὲ κατακρίνει, οὐχ ὅτι δύο φύσεις ἔλεγεν, ἀλλ᾽ ὅτι δύο φύσεις λέγων τὴν καθ᾽ ὑπόστασιν ἕνωσιν οὐ προσίετο, ὥσπερ οὐδὲ τὸ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην. μετ᾽ ὀλίγα γὰρ ἐπιφέρει ὡς „κἂν δύο λέγῃ φύσεις Νεστόριος, τὴν διαφορὰν σημαίνων τῆς σαρκὸς καὶ τοῦ θεοῦ λόγου, ἀλλ᾽ οὐκέτι τὴν ἕνωσιν ὁμολογεῖ μεθ᾽ ἡμῶν· ἡμεῖς γὰρ ἑνώσαντες αὐτὰ ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογοῦμεν." ὃ κοινόν ἐστιν ὁμολόγημα αὐτοῦ τε καὶ τῶν ἀνατολικῶν. εἶτα καὶ πάλιν ἐπάγει „μίαν τὴν τοῦ υἱοῦ φύσιν ὁμολογοῦμεν σεσαρκωμένην," ὡσεὶ ἔλεγεν, ἡμεῖς τὴν διαφορὰν τῶν συνελθόντων ὁμολογοῦντες δύο μὲν λέγομεν φύσεις, ἀλλὰ καὶ τὴν ἕνωσιν ἐξακριβοῦντες 841

a. 5. ἄνδρας τῶν γραμμάτων τὰς ς. 10. ἡμῶν ς. 12. εἷς γὰρ] Ephes. 4, 5. 14. θεοπίστοις ς. b. 1. εἰς δύο add A. 10. ὡς A : ὁ ς. 16. εἰρήνης add A et mg C. 17. εἰπεῖν καὶ δύο φύσεις φησί ς. 35. φύσεις λέγῃ ς.

συνάπτομεν αὖθις τὸ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην· τὸ μὲν γάρ ἐστι τῆς τῶν ἑνωθέντων διαφορᾶς, τὸ δὲ αὐτῆς τῆς καθ' ὑπόστασιν ἑνώσεως δηλωτικόν. ἐξ ὧν δὲ περὶ Νεστορίου ἔφη, μόνον οὐχὶ τοῦτο βοᾷ, ὡς εἴ γε τὴν ἕνωσιν μεθ' ἡμῶν καὶ Νεστόριος ᾔδει, ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογῶν, ἐδεξάμεθα ἂν αὐτὸν καὶ δύο λέγοντα φύσεις, εἴπερ διὰ τῆς τοιαύτης φωνῆς τὴν διαφορὰν τῆς σαρκὸς καὶ τοῦ θεοῦ λόγου δηλοῦν ἐβούλετο, ἀλλὰ μὴ διασπᾶν τὴν ἕνωσιν ἐτεχνάζετο. εἰ δὲ τὸ δύο φύσεις λέγειν, ὡς αὐτὸς εἶπε, τὴν
III H. διαφορὰν σημαίνει τῆς σαρκὸς καὶ τοῦ θεοῦ λόγου, καὶ ταύτην δεῖ σώζεσθαι μετὰ τὴν ἕνωσιν, δῆλον ὅτι καὶ τὰς δύο διδάσκει φύσεις μετὰ τὴν ἕνωσιν σώζεσθαι· τῆς γὰρ διαφορᾶς σωζομένης, ἀνάγκη καὶ τὰ ὧν ἡ διαφορὰ συνδιασώζεσθαι. καὶ τοὺς ἀνατολικοὺς δ' εἰπὼν συμφρονεῖν αὐτῷ, καίτοι μηδαμοῦ φαμένους μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, ἀλλὰ δύο μὲν λέγοντας τὰς φύσεις, ἡνωμένας δὲ τῇ καθ' ὑπόστασιν ἑνώσει, ἀδιαφόρους τὰς φωνὰς περιφανῶς ἀποφαίνεται. ὥστε καὶ ἡ σύνοδος, κἂν μὴ τῇ γλώσσῃ ἀλλὰ τῇ γε γνώμῃ, μίαν φύσιν κηρύττειν οἶδε τοῦ λόγου σεσαρκωμένην.

οὐκ ἐκ τῶν εἰρημένων δὲ μόνον ῥᾴδιόν ἐστι τοῦτο καθορᾶν, ἀλλὰ καὶ ἐκ τοῦ λιβέλλου ὃν ἔγραψε μὲν οἰκείᾳ χειρὶ ὁ θεσπέσιος Φλαβιανός, ἐπιδέδωκε δὲ Θεοδοσίῳ τῷ βασιλεῖ· ἣ δὲ σύνοδος πρὸ τῶν ἄλλων ταύτην ἔκρινεν ἀναγνωσθῆναι. ἔχει γὰρ ἐπὶ λέξεως ὧδε „καὶ γὰρ ἐκ δύο φύσεων ὁμολογοῦντες τὸν Χριστὸν μετὰ τὴν σάρκωσιν ἐν μιᾷ ὑποστάσει καὶ ἐν ἑνὶ προσώπῳ, ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογοῦμεν. εἶτα καὶ μίαν μὲν φύσιν τοῦ θεοῦ λόγου, σεσαρκωμένην μέντοι καὶ ἐνανθρωπήσασαν λέγειν οὐκ ἀρνούμεθα, διὰ τὸ ἐξ ἀμφοῖν ἕνα καὶ τὸν αὐτὸν εἶναι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν."

σὺ δέ μοι σκόπει κἀκεῖνο. ἡ σύνοδος συνεχῶς τὸν αὐτὸν λέγει καὶ ἕνα Χριστόν. τοῦτο δὲ τί ἐστιν ἕτερον ἢ τὸ τὴν καθ' ὑπόστασιν ἕνωσιν ὁμολογεῖν, ἢ εἰ βούλει, τὴν μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην; καὶ γὰρ χωρὶς τῶν αἱρετικῶν σοφισμάτων ἡ χρῆσις αὕτη προφερομένη τὸ ἀδιάφορον ἔχει, πρός γε τὴν προειρημένην διάνοιαν.

ὥσπερ δὲ ἐκ θεότητος καὶ ἀνθρωπότητος ἡ σύνοδος λέγουσα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ δύο φύσεων ὁμοίως ἀνευφημεῖ, οὕτω καὶ ἐν θεότητι καὶ ἀνθρωπότητι λέγουσα ἐν δυσὶ δοξάζει φύσεσι καὶ συνομολογεῖ. οὐ γὰρ ἐκ τούτων μέν ἐστιν ὁ Χριστός, οὐχὶ ταῦτα δέ, οὐδὲ ταῦτα μέν, οὐκ ἐν τούτοις δέ, ἀλλ' ἐξ ὧν ἐστί, καὶ ἐν τούτοις γνωρίζεται καὶ ταῦτά ἐστιν. οὕτω δὲ καὶ Ἀμβρόσιος ὁ θαυμάσιος ἐν τῷ περὶ ἐνανθρωπήσεως τετάρτῳ δογματίζει λόγῳ· „ἐν τῷ θεὸς εἶναι αἰώνιος τὰ τῆς σαρκὸς μυστήρια προσελάβετο, οὐ διῃρημένος ἀλλ' εἷς, ἐπειδὴ τὸ ἑκάτερον εἷς καὶ ὁ εἷς ἐν ἑκατέρῳ, τουτέστι καὶ θεότητι καὶ σώματι." πάλιν δὲ ἐν ἄλλῳ λόγῳ, ἐξ οὗ καὶ ὁ σοφὸς Κύριλλος χρῆσιν κατὰ Νεστορίου προήνεγκεν, οὕτως ὁ χρηστὸς Ἀμβρόσιός φησιν „εἷς θεοῦ υἱὸς ἐν ἑκατέρᾳ λαλεῖ, ἐπειδήπερ ἑκατέρα φύσις ἐν αὐτῷ." τοῦτο δὲ τὸ ῥητὸν ἐκακούργησε μὲν Σεβῆρος, οὐδὲν δὲ τῆς κακουργίας ἀπώνατο. μεταστρέφει μὲν γὰρ εἰς τὸ ἑκατέρῳ τὴν ἑκατέρᾳ φωνήν, ἵνα πείσῃ δηλοῦσθαι διὰ τῆς φωνῆς μὴ τὴν φύσιν ἀλλὰ τὸν τρόπον τῆς λαλιᾶς, οἷον ἐν ἑκατέρῳ τρόπῳ θείῳ τε καὶ ἀνθρωπίνῳ λαλεῖ. ὅπερ αὐτόθεν μὲν ἔχει τὸν ἔλεγχον, οὐ μὴν ἀλλὰ καὶ διὰ τῆς προειρημένης ἐπιρραπίζεται χρήσεως· ἐν αὐτῇ γὰρ εἰπὼν αὐτὴν τὴν λέξιν ἐν ἑκατέρῳ αὐτὸς ἡρμήνευσε τί βούλεται αὐτῷ τὸ ἐν "ἑκατέρῳ, „τουτέστιν" 845 R. 445 H.
ἐπισυνάψας „καὶ θεότητι καὶ σώματι." ὥστε εἴτε ἐν ἑκατέρᾳ λαλεῖ, ὡς ἔχει τὸ ἀκακούργητον τῶν Ἀμβροσίου ῥημάτων, εἴτε ἐν ἑκατέρῳ, ὡς ὁ τῆς κακίας σοφιστὴς τὴν φωνὴν διαφθείρει, οὐδὲν ἧττον αἱ δύο φύσεις δηλοῦνται, διότι ὁ αὐτὸς Ἀμβρόσιος, ὡς εἴρηται, τὸ ἐν ἑκατέρῳ εἰπών, τουτέστιν ἐν ἑκατέρῳ πράγματι, πρὸς τὴν θεότητα καὶ τὸ σῶμα τὴν φωνὴν ἀποδέδωκεν ἀναφέρεσθαι. καὶ πρὸς Ἀλβῖνον δὲ γράφων ὁ αὐτὸς „ἵνα" φησὶ „τέλειος ἐν ἑκατέρᾳ φύσει τυγχάνῃ." ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

εἰ δέ τις ἡμῖν Ἀθανάσιον ἐν τῷ περὶ σαρκώσεως προκομίζει λόγῳ, καὶ τὸν Νεοκαισαρείας Γρηγόριον ἐν τῷ περὶ τῆς κατὰ μέρος πίστεως, δύο λέγειν κωλύοντας ἐπὶ τοῦ Χριστοῦ τὰς φύσεις, μανθανέτω οὗτος ὅτι (καθάπερ εἴρηται πολλάκις) οὐδ' οἱ λοιποὶ πατέρες τὸ δύο λέγειν φύσεις οὔτε ἁπλῶς ἠσπάσαντο, ἀλλὰ καὶ πολλάκις ἀπώσαντο, μετὰ μέντοι γε τοῦ ἀδιαιρέτου προελθοῦσαν τὴν φωνὴν οὔτε προπετῶς ἀσπάσασθαι οὔτε ἀβασανίστως ταύτην περιπτύξασθαι οὐμενοῦν οὐκ ἐλάμβανον τὸ ἀδίστακτον· συνομολογηθείσης δὲ τοῖς λεχθεῖσι τῆς καθ' ὑπόστασιν ἑνώσεως, οὐμενοῦν οὐδεὶς ὤφθη τῶν

a. 2. ἐστι A: ἐπὶ ς. 3. ἑνώσεως ἐστι δηλωτικός ς. 6. ἕνα κύριον, ἕνα υἱόν ς. 20. γε add A. 22. libri εἶδον. 30. θεοῦ add A. 33. τὸν αὐτὸν συνεχῶς ς. 36. χωρὶς A: καὶ χωρὶς ς. 39. διανοίας ς.
b. 1. ἐν ἀνθρωπότητι ς. 15. ἑκατέρᾳ corr A: ἑκατέραν ς. 20. ἑκατέρᾳ corr A. 21. ἑκατέρῳ A: τῷ ἑκατέρῳ ς. 35. τοῦ add A. 37. οὔτε] an οὕτως? 39. ἀσπάσασθαι] malim ἀπώσασθαι.

Digitized by Google

εὐσεβῶν μὴ λίαν τὴν φωνὴν ἀσπαζόμενος. μὴ οὖν λεγέτω τις (οὐδὲν γὰρ τοῦτο πρὸς τὴν εὐσέβειαν) ὡς ἐπὶ Χριστοῦ δύο φύσεις λέγειν οἱ πατέρες ἐκώλυσαν· ἀλλὰ δεικνύτω πότε ἢ ποῦ τοὺς συνομολογοῦντας τὴν καθ' ὑπόστασιν ἕνωσιν δύο λέγειν φύσεις ἀδιαιρέτως ἐκώλυσαν. καὶ γὰρ κἀνταῦθα ὅρα πῶς φησὶν ὁ Ἀθανάσιος· „οὐ δύο φύσεις ὁμολογοῦμεν τὸν ἕνα υἱόν, μίαν προσκυνητὴν καὶ μίαν ἀπροσκύνητον." ἀκούεις πῶς εἶπε προσκυνητὴν καὶ ἀπροσκύνητον. καὶ τίς οὐκ οἶδεν ὅτι τὸ προσκυνητὸν καὶ ἀπροσκύνητον εἰς δύο μὲν ὑποστάσεις τέμνουσι τὸν ἕνα, τὴν καθ' ὑπόστασιν δὲ ἕνωσιν ἐκκηρύττουσιν;

ἀλλ' ἡ μὲν τοῦ μεγάλου Ἀθανασίου διάνοια δήλη· ἡ δὲ τὸν θαυματουργὸν Γρηγόριον ὑποβαλλομένη χρῆσις (λέγεται μὲν γὰρ ἐκείνου, τὸν δὲ Ἀπολλινάριον εἰσκομίζει) κατάφωρον προβάλλεται τὴν ἀτοπίαν. λέγει γὰρ „καὶ ἔστι θεὸς ἀληθινὸς ὁ ἄσαρκος ἐν σαρκὶ φανερωθείς, τέλειος τῇ ἀληθινῇ καὶ θείᾳ τελειότητι, οὐ δύο πρόσωπα οὐδὲ δύο φύσεις· οὐδὲ γὰρ τέσσαρας προσκυνεῖν λέγομεν." ὁρᾷς ὅπως προφανὴς ἡ δυσσέβεια; τὸ τέλειον γὰρ εἰπὼν κατὰ τὴν θεότητα, τὴν ἀνθρωπότητα παντελῶς ἐσιώπησε. καὶ τὸ προειπεῖν δὲ „ὁ ἄσαρκος ἐν σαρκὶ φανερωθείς" τῆς Ἀπολιναρίου φρενοβλαβοῦς γεωργίας πικρόν ἐστι βλάστημα.

ἀλλὰ γὰρ καὶ ἡ χρῆσις, ἣν ἡ αἵρεσις προκομίζει ἐκ τῆς πρὸς Διονύσιον ἐπιστολῆς τοῦ Ἰουλίου Ῥώμης, ἀναμφίβολον μὲν οὐκ ἔχει τὸ γνήσιον· ὁ γὰρ ἱερὸς Κύριλλος, ἐν τῇ κατ' Ἔφεσον συνόδῳ ἐκ τῆς πρὸς Δόκιον ἐπιστολῆς αὐτοῦ χρείαν προενεγκών, οὐκ ἠξίωσεν εἰς μνήμην ταύτης ἐλθεῖν. ἣν δὲ τῇ συνόδῳ προανέγνωσεν, οὕτω τοῖς ῥήμασιν ἔχει· „ὁ τοῦ θεοῦ υἱὸς σκηνώσας ἐν ἀνθρώποις, οὐκ ἐν ἀνθρώπῳ ἐνεργήσας, τέλειος θεὸς ἐν σαρκί, τέλειος ἄνθρωπος ἐν πνεύματι· οὐ δύο
446 H. υἱοί, εἷς μὲν γνήσιος υἱὸς ἀναλαβὼν ἄνθρωπον, ἕτερος δὲ θνητὸς ἄνθρωπος ἀναληφθεὶς ὑπὸ τοῦ θεοῦ, ἀλλ' εἷς ἐν οὐρανῷ μονογενής, μονογενὴς ἐπὶ γῆς θεός." ἡ μὲν τοῦ Ἰουλίου ῥῆσις ἡ τῇ συνόδῳ διαγνωσθεῖσα τοιαύτη· εἰ δὲ γνησίαν ᾔδει τὴν φωνὴν ἣν ἐκ τῆς πρὸς Διονύσιον προφέρουσιν ἐπιστολῆς καὶ μάλιστα Νεστόριον κατακρίνουσαν, οὐκ ἂν ὑπερεῖδε ταύτην.

ἔτι δὲ κἀκεῖνο δεῖ συνιδεῖν, ὡς ὁ σοφὸς Κύριλλος τὸν ἄνθρωπον εἰς παράδειγμα, οὐχ ἵνα δείξῃ μίαν
848 R. φύσιν ἐπὶ τοῦ Χριστοῦ, παραλαμβάνει, ἀλλ' ὡς ἂν δι' αὐτοῦ τὴν καθ' ὑπόστασιν ἕνωσιν παραστήσῃ. καὶ γὰρ ἐπὶ μὲν τοῦ καθ' ἡμᾶς συγκρίματος ἑτεροειδῆ φάμενος τὸ σῶμα καὶ τὴν ψυχήν, καὶ ὡς ἑνωθέντα μίαν ἀνθρώπου ἀπετέλεσαν φύσιν, οὐκ ἐπήγαγεν οὔτε σεσωματωμένην οὔτε ἐψυχωμένην· ἐπὶ δὲ τοῦ λόγου μίαν φύσιν εἰπὼν εὐθὺς συνάπτει τὸ σεσαρκωμένην. τὸ γὰρ σπανιάκις αὐτὴν ἀποσιωπῆσαι οὐκ ἐναντιότητα τῆς αὐτοῦ γνώμης, βεβαίωσιν δὲ μᾶλλον μαρτυρεῖ· πολλάκις γάρ, ὅπερ τις συνεχῶς ἀναβοᾷ καὶ βεβαίαν τὴν περὶ αὐτοῦ δόξαν πᾶσιν ἐνιδρύσας οἶδεν, ὡς ὁμολογούμενον καὶ δῆλον ἐνίοτε ἀποσιωπᾷ, διὰ τῆς σιγῆς οὐκ ἀθετῶν ὃ πολλάκις ἀνεκήρυξεν, ἀλλὰ δεικνὺς οὕτω βέβαιον εἶναι καὶ περιφανές, ὡς μηκέτι φωνῆς μηδὲ μνήμης δεῖσθαι. οὕτω τοίνυν καὶ ὁ σοφὸς καὶ ἀδίστακτος τὴν εὐσέβειαν Κύριλλος τὸ μίαν δοξάζειν φύσιν τοῦ λόγου, καὶ ταύτην σεσαρκωμένην, καὶ οὐδὲ τοῦτο ἁπλῶς ἀλλὰ ψυχῇ νοερᾷ τε καὶ λογικῇ, τοῦτο δὴ τοῦτο προκαταβαλὼν καὶ προθεμελιώσας ἐν ταῖς ἁπάντων ψυχαῖς, διά τε τὸ γνώριμον καὶ ἀναμφισβήτητον καὶ τὸ σύντομον τῆς φωνῆς ἀπὸ μέρους εἰπὼν ἀφῆκε τὸ λοιπὸν συνεκφωνεῖσθαι καὶ συνεξακούεσθαι. καὶ γάρ ἐστιν οὗτος ὁ πολὺς ἐν διανοίᾳ οὐ τοῖς ῥήμασι καὶ τοῖς ὀνόμασιν ἀεὶ τὸν νοῦν καταπιστεύων, τοῖς δὲ νοήμασι καὶ τὰ ῥήματα καὶ τὰ ὀνόματα συμμεταφέρων τε καὶ μεθαρμοζόμενος. ἄκουε γὰρ τί μὲν ἐν τῷ πρώτῳ τῶν θησαυρῶν λέγει, τί δὲ ἐν ταῖς πρὸς Σούκενσον ἐπιστολαῖς. ἐν ἐκείνῳ μὲν γάρ φησι τὸν θεὸν λόγον, ὑπὲρ ἡμῶν ἀρχιερέα γεγονότα, ὥσπερ τινὰ ποδήρη τὸν ἐκ Μαρίας ἄνθρωπον ἢ τὸν ναὸν ἀναλαβεῖν· ἐν ταύταις δὲ „οὐκοῦν γέγονε" φησὶν „ἄνθρωπος, οὐκ ἄνθρωπον ἀνέλαβετο." πῶς οὖν ἐκεῖ μὲν ἄνθρωπον οὐκ ἀνέλαβεν, ἐνταῦθα δὲ ἀνέλαβεν; αὐτὸς ἑαυτὸν ἑρμηνεύει· ἐπάγει γὰρ „ὡς Νεστορίῳ δοκεῖ." τοῦτο δὲ τί ἐστιν ἄλλο ἢ μὴ τοῖς ῥήμασι καταπιστεύειν τὸν νοῦν, τὰ δὲ ῥήματα τῇ διανοίᾳ ζυγοστατεῖν; ὥστε εἴ που λέγων εὑρεθείη τὸν θεὸν λόγον ἄνθρωπον μὴ ἀναλαβεῖν, ἐκ τῆς παρούσης ἀνεκήρυξε διδασκαλίας οὐχ ἁπλῶς αὐτὸν ἀπείργειν τοῦτο μὴ λέγειν (πῶς γὰρ ἂν ἑτέρους κωλύσειεν, ὅπερ αὐτὸς λαμπρῶς διαπράττοιτο;) ἀλλὰ μὴ λέγειν οὕτως ὡς Νεστορίῳ δοκεῖ.

ὁ μέντοι γε κλεινὸς Εὐλόγιος τὴν μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην διευκρινῶν καὶ τοῦτό φησιν, ὡς εἴ τις τὸν νοῦν τοῦ διδασκάλου ἐξακριβώσασθαι βουληθῇ,

a. 16. κατάφορον ς. 30. ἐπανέγνωσεν ς. 37. διαναγνωσθεῖσα ς. b. 4. ἀπετέλεσαν ἀνθρώπῳ ς. 5. ἐμψυχωμένην ς. 12. ἐκήρυξεν ς. 17. νοερᾷ τε A: τῇ νοερᾷ ς. προκαταλαβὼν ς. 27. libri θεῖον. 31. ἄνθρωπον add A.

Digitized by Google

εἰρήσει τοῦτον διὰ τῆς φωνῆς οὐδὲν ἕτερον βουλόμε- 447 H. νον "ἢ τὸ ἄτρεπτον ἐπιδεῖξαι τοῦ λόγου, ἵνα τὸ λεγόμενον μὴ εἰς ἄλλο τι ἀλλ' εἰς τὴν θεότητα τοῦ μονογενοῦς ἀναφέροιτο. ἐν γὰρ τῷ διαλόγῳ ὃς ἐπιγράφεται ὅτι εἷς ὁ Χριστός „ἕνα γε μὴν υἱὸν καὶ μίαν αὐτοῦ φύσιν φαμέν, κἂν εἰ ἐν προσλήψει νοοῖτο γενέσθαι σαρκὸς ψυχὴν ἐχούσης τὴν νοεράν." δι' ὧν οὐδὲν ἕτερον ἢ τὸ ἄτρεπτον ἀποσημαίνεται τῆς θεότητος. οὐκοῦν ἡ τοῦ υἱοῦ μία φύσις, καθάπερ εἴρηται, τὸ ἄτρεπτον ἀνυμνοῦσα τῆς θεότητος, οὐδαμῶς ἀναιρεῖ τὰς καθ' ὑπόστασιν ἑνωθείσας δύο φύσεις. οὕτω δ' ἂν νοήσειεν ὁ τῆς εὐσεβείας φίλος καὶ τὸ πρὸς Εὐλόγιον τῷ διδασκάλῳ εἰρημένον „εἷς λοιπὸν υἱός, καὶ μία φύσις αὐτοῦ τοῦ σαρκωθέντος λόγου," τουτέστιν οὐ τραπεῖσα οὐδὲ τῆς οἰκείας ἀποστᾶσα τελειότητος.

κἀκεῖνο δὲ δεῖ κατὰ νοῦν φέρειν, ὡς ὁ θεῖος Κύριλλος οὐδαμοῦ φαίνεται μίαν φύσιν Χριστοῦ εἰπών, ἀλλ' ἕνα μὲν Χριστὸν καὶ ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν Χριστοῦ 849 B. πανταχοῦ, "μίαν δὲ φύσιν Χριστοῦ οὐκέτι. τοὐναντίον μέντοι γε καὶ ἀποκωλύει ἐν ταῖς ἐπιστολαῖς, αἳ τὸν Σούκενσον ἐπιγράφονται, μίαν φύσιν λέγειν ἐπὶ τοῦ συνθέτου· „ἐὰν γάρ" φησιν „ἀνέλωμεν τὸ ὅτι ἐκ δύο καὶ διαφόρων φύσεων ὁ εἷς καὶ μόνος ἐστὶ Χριστός, ἀδιάσπαστος ὢν μετὰ τὴν ἕνωσιν, ἐροῦσιν οἱ τῇ ὀρθῇ μαχόμενοι δόξῃ, εἰ μία φύσις τὸ ὅλον, πῶς ἐνηνθρώπησεν;" ὅλον δὲ εἰπών, καὶ μετὰ τὴν ἕνωσιν εἰπών, δῆλον ὡς οὐ τὰ πρὸ τῆς ἑνώσεως ἀλλὰ τὰ μετ' αὐτήν, ὅπερ ἐστὶ τὸ σύνθετον, λέγει. καὶ γὰρ ὅλον τί ἐστιν ὁ Χριστός· εἰ δὲ μὴ μία φύσις τὸ ὅλον, ὑπὲρ τὴν μίαν πάντως. τούτοις καὶ ὁ θεολόγος συνᾴδων Γρηγόριος, εἰ καὶ τὸ συναμφότερον ἕν φησιν, ἀλλ' οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ. ὁ μέντοι δυστυχὴς Εὐτυχὴς ἐκ δύο μὲν φύσεων τὴν ἕνωσιν ὡμολόγει, μετὰ δὲ τὴν ἕνωσιν μίαν ἐδυσφήμει. ἐφ' οἷς αὐτὸν ἥ τε ἐν Καλχηδόνι καὶ ἡ πρὸ αὐτῆς ἐν Κωνσταντινουπόλει δικαίως κατεδίκασε σύνοδος. ἀλλ' ὁ γενναῖος Διόσκορος οὐδὲν αὐτὸν Ἀπολιναρίου διαφέροντα μετὰ πλείστης ὅσης σπουδῆς ἀπεδέξατο. ὁ γὰρ δυσσεβὴς Ἀπολινάριος, ἐν τῷ περὶ σαρκώσεως αὐτοῦ λόγῳ, πρόσεχε οἷά φησιν· „ὢ καινὴ κτίσις καὶ μίξις θεσπεσία! θεὸς καὶ σὰρξ μίαν ἀπετέλεσαν φύσιν." ἐξ οὗ τοὺς ὀχετοὺς τῆς δυσσεβείας οἱ μετ' ἐκεῖνον ἠρύσαντο. σὺ δέ μοι καὶ τὸν ἀρχαιότερον ὅρα βόρβορον. Οὐαλεντῖνος γὰρ κατὰ λέξιν οὕτω λέγει „τῶν Γαλιλαίων ἐπὶ Χριστοῦ δύο φύσεις λεγόντων πλατὺν καταχέομεν γέλωτα· ἡμεῖς γὰρ τοῦ ὁρατοῦ καὶ ἀοράτου μίαν εἶναι τὴν φύσιν φαμέν." ναὶ δὴ καὶ ὁ Μανιχαῖος πρὸς Σκυθιανὸν ἐπιστέλλων, καὶ ὑπὸ μέμψεις ποιῶν τοὺς δύο λέγοντας φύσεις, τοιαῦτά φησιν· „ὁ δὲ τοῦ ἀϊδίου φωτὸς υἱὸς τὴν ἰδίαν οὐσίαν ἐν τῷ ὄρει ἐφανέρωσεν, οὐ δύο φύσεις ἔχων ἀλλὰ μίαν ἐν ὁρατῷ τε καὶ ἀοράτῳ." καὶ Πολέμων δέ (τὸν Ἀπολινάριον δὲ διδάσκαλον οὗτος ἀνευφήμει) τοὺς ἱεροὺς ἡμῶν πατέρας αἰτιώμενος οὓς τοὺς ἐν Καλχηδόνι οἱ ἀπὸ "Σευήρου, 448 H. ὅρα τί φησιν· „οὐδὲν χεῖρον ἐννοῆσαι κἀκεῖνο. θεὸν γὰρ λέγοντες καὶ ἄνθρωπον τὸν αὐτὸν οὐκ αἰσχύνονται μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, καθάπερ μίαν σύνθετον, ὁμολογοῦντες. εἰ γὰρ θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος ὁ αὐτός, δύο φύσεις ἄρα ὁ αὐτός, καθάπερ ἡ τῶν Καππαδοκῶν εἰσηγεῖται καινοτομία καὶ Ἀθανασίου ἡ οἴησις καὶ τῶν ἐν Ἰταλίᾳ ὁ τύφος. καὶ σχηματίζονται μέν, ὡς δῆθεν ἡμέτεροι, φρονεῖν τὰ τοῦ ἁγίου πατρὸς ἡμῶν Ἀπολιναρίου, κηρύττουσι δὲ καθάπερ οἱ Γρηγόριοι τὴν τῶν φύσεων δυάδα." πῶς οὖν ἐνῆν Εὐτυχοῦς τε καὶ Ἀπολιναρίου Οὐαλεντίνου τε καὶ Μανιχαίου τὴν τοσαύτην τῆς ἀσεβείας ῥύμην ἐπισχεῖν καὶ τὴν νομὴν οὕτως ἕρπουσαν καὶ τὰς τῶν ἀνθρώπων ψυχὰς καταβοσκομένην ἀναστεῖλαι, εἰ μὴ τῆς ἱερᾶς ἐν Καλχηδόνι ὁμηγύρεως ὁ θεῖος ζῆλος δύο φύσεις ἀδιαιρέτους ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει τοῦ Χριστοῦ διαπρυσίως τε καὶ θεοφρόνως ἀνεκήρυξε; τῆς γὰρ αἱρετικῆς φορᾶς οὕτω μαινομένης, εἰ μὴ τῆς εὐσεβείας ὁ πύργος ἀνέτρεψε τὸ ῥεῦμα, οὐδὲν ἐκώλυεν ὑποβρυχίους πολλοὺς τῇ πλάνῃ γενέσθαι. ὥστε εἰ μὴ τοῖς ἔμπροσθεν πατράσιν ἡ τῶν δύο φύσεων ἐγνωρίζετο φωνή, τὸ ἀναγκαῖον εἶχεν ἡ σύνοδος διὰ τὴν ἐκείνων λύσσαν ταύτην ἀνευρεῖν τε καὶ ἀνακηρῦξαι. μικροῦ δὲ πᾶσι τοῖς ἱεροῖς ἀνδράσιν ἐγνωσμένης, πῶς οὐκ ἀπαραίτητον ἦν κατὰ τῶν πολεμίων ταύτην πανδήμοις ψήφοις ἀναστηλῶσαι; "ὥσπερ γὰρ 852 B. πρὸς τὸν δυσσεβῆ Ἄρειον, ἑτέραν οὐσίαν πατρὸς καὶ υἱοῦ δυσφημοῦντα, ἡ ἐν Νικαίᾳ σύνοδος τὸ ὁμοούσιον ἀντετάξατο, καίτοι τῆς λέξεως οὔπω τοῖς πατράσιν ἐπιπολαζούσης, τοὐναντίον δὲ καὶ κεκωλυμένης, ὑφ' ὧν ὁ Σαμωσατεὺς Παῦλος καθαιρετικὴν ἀπόφασιν ἤνεγκεν, οὕτω δὴ καὶ κατὰ τῶν εἰρημένων δυσσεβῶν ἡ ἁγία σύνοδος διὰ τοῦ δύο φύσεις λέγειν ἐπὶ Χριστοῦ ἀνθα-

a. 2. ἵνα μὴ τὸ ς. 5. γε A: τε ς. 9. ἢ] εἰ A. 12. εὐσεβ. θεῖος φίλος ς. 27. μετ' αὐτὴν mg., μετὰ τὴν A: μετὰ τὴν ἕνωσιν ς. 34. χαλκηδόνα B, qui sic et infra.
b. 3. καὶ δὴ A: καὶ μὴν ς. 9. δὲ διδάσκαλον οὗτος A: διδάσκαλον οὕτως ς. ἀνευφήμει B. 10. τοὺς] libri τοῖς. 27. ἀνεκήρυξαν A.

πλίσατο, οὐκ αὐτὴ πρώτη τὰς τῆς εὐσεβείας φωνὰς ἀνευροῦσα, ἀλλὰ καὶ πολλοὺς ἔχουσα πρὸ αὐτῆς τούτων διδασκάλους.

εἰ δέ τις φιλονεικοίη τὸν Ἰούλιον ἐπὶ Χριστοῦ μίαν εἰπεῖν φύσιν, πρῶτον μὲν οὔπω δῆλον εἰ γνήσιος ὁ λόγος, δεύτερον δὲ προσήκει γινώσκειν ὡς Ἰουλίου ὕστερον παρὰ Ῥωμαίοις τὸ τῆς φύσεώς τε καὶ ὑποστάσεως ἐφυλοκρινήθη τε καὶ διεκρίθη ὄνομα, καὶ μάτην τὰ αἱρετικὰ ζιζάνια τὴν σπορὰν ἐκεῖθεν σπουδάζει συλλαγωγεῖν. ἀδιακρίτων γὰρ ἔτι τῶν φωνῶν μενουσῶν οὐδὲν ἀπαντᾷ δυσχερές, μᾶλλον δὲ καὶ λίαν ἀκόλουθον, ἀντὶ τῆς ὑποστάσεως τῇ λέξει τῆς φύσεως χρήσασθαι. ἀλλὰ ταῦτα μὲν ὑπὲρ Ἰουλίου ἐστὶ φάναι.

ἔτι δὲ τὸ αἱρετικὸν ἀναισχυντεῖ φρόνημα, καί φησι διὰ τί μή, καθάπερ ἐκ δύο φύσεων λέγοντες τὸν ἄνθρωπον, εἶτα μετὰ τὴν ἕνωσιν καὶ μίαν αὐτοῦ τὴν φύσιν, μὴ καὶ τὸν Χριστὸν ἐκ δύο φύσεων λέγοντες μίαν αὐτοῦ τὴν φύσιν μετὰ τὴν ἕνωσιν ἀνομολογοῦμεν; μίαν μὲν γὰρ ἴσμεν φύσιν τὸ σύνθετον, ἀναλυτικῷ δὲ κεχρημένοι τρόπῳ δύο τὰς συνελθούσας γνω- 449 H. ρίζομεν. ἀλλ' ἡ μὲν αἱρετικὴ ἀναισχυντία ἐπιζητεῖ ταῦτα. μανθανέτωσαν δὲ οἱ ἀσύνετοι ὅτι τότε τὸ σύνθετον μία φύσις ἀκωλύτως λέγεται, ἡνίκα μὴ κυρίως ἐπ' αὐτοῦ τὰ τῶν ἁπλῶν, ἐξ ὧν συνετέθη, ὀνόματα λέγεται. οἷον τὸν ἄνθρωπον οὔτε σῶμα ἄν τις κυρίως οὔτε ψυχὴν εἴποι· οὐδὲ γὰρ οὐδ' ἐπιδέξαιτο ἂν οὔτε τὸν τοῦ σώματος οὔτε τὸν τῆς ψυχῆς ὅρον· καταχρηστικῶς μέντοι πολλάκις ἥ τε ἀνὰ χεῖρα ὁμιλία τὸ ἀκριβὲς παρατρέχουσα, καὶ τὰ ἱερὰ λόγια τῇ ἐλευθερίᾳ κεχρημένα τοῦ πνεύματος, ἐκ μέρους τὸν ὅλον ἄνθρωπον ἐπονομάζουσι, ζυγῷ δουλείας τῆς διαλεκτικῆς ματαιότητος ὑπείκειν οὐκ ἀνεχόμενα. ἐπὶ δέ γε τῆς ἀῤῥήτου καὶ ἀνεπινοήτου ἑνώσεως οὔτε παράδειγμα λαβεῖν οἰκειότερον δύναιτ' ἄν τις, καὶ λέγοντες τὸν Χριστὸν ἐκ θεότητος καὶ ἀνθρωπότητος φαμὲν αὐτὸν ὁμοίως καὶ θεὸν τὸν αὐτὸν καὶ ἄνθρωπον· διὸ καὶ κυρίως καὶ ἀληθῶς ἡ παναγία παρθένος θεοτόκος πρεσβεύεται. ὥστε μάτην ἐκακουργήθη τοῖς ἀσυνέτοις τὸ κατὰ τὸν ἄνθρωπον παράδειγμα εἰς διαβολὴν καὶ ἀνατροπὴν τῆς ἀσυγχύτου καὶ ἀδιαιρέτου τῶν δύο τοῦ Χριστοῦ φύσεων καθ' ὑπόστασιν ἑνώσεως.

ὅτι δὲ Χριστὸς ὁ θεὸς ἡμῶν κυρίως ἀμφότερα, ἐξ ὧν [τέ] ἐστι, λέγεται, οἷον θεὸς καὶ ἄνθρωπος, ἄλλοι τε πολλοὶ βοῶσι, καὶ ὁ θεῖος δὲ Κύριλλος ἐν τῇ πρὸς Σούκενσον ἐπιστολῇ ἕνα φησὶ καὶ τὸν αὐτὸν τοῦτο κἀκεῖνο ὑπάρχειν. καὶ πρὸς Οὐαλεριανὸν δὲ τὸν Ἰκονίου ἐπίσκοπον ὁμοίως γράφει „οὐκοῦν ὁμολογοῦμεν ὡς μὲν τὸ ἀπὸ σαρκὸς σάρξ ἐστι, τὸ δὲ ἐκ θεοῦ θεός ἐστι, κατὰ ταὐτὸν ἀμφότερα Χριστός, εἷς ὢν υἱός, εἷς κύριος μετὰ τῆς ἰδίας αὐτοῦ σαρκός." τὸ γὰρ ἀμφότερα τί ἄλλο ἢ ὅτι ὁ αὐτός ἐστι καὶ θεὸς καὶ ἄνθρωπος βεβαιοῖ; ἀλλὰ καίτοι ταῦτα βοῶντος Κυρίλλου, ὅμως ἐτόλμησάν τινες ὑλακτεῖν ὡς ὁ Χριστὸς ἐκ θεότητος μὲν ἐστι καὶ ἀνθρωπότητος, οὔτε δὲ ἄνθρωπος οὔτε θεός, μηδὲ τοῦ Παύλου τὸ θεόπνευστον καὶ μεγαλόφωνον κα- 853 R. ταιδεσθέντες, ὃς κέκραγεν „Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας," διὰ μὲν τοῦ χθὲς καὶ σήμερον ἄνθρωπον [τὸν] αὐτὸν ὁμολογῶν, διὰ δὲ τοῦ καὶ εἰς τοὺς αἰῶνας τὸν αὐτὸν ἀνακηρύττων θεόν. καὶ πάλιν ὁ αὐτὸς „εἷς θεός, εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς," ὥστε κυρίως ὁ Χριστὸς καὶ ἄνθρωπος καὶ θεός. καὶ Ἀθανάσιος δὲ γνήσιον ἑαυτὸν τοῦ Παύλου δεικνὺς μαθητὴν οὕτω φησίν „ἐπεὶ καὶ θεός ἐστιν ὁ Χριστός." Βασιλείου δὲ καὶ τῶν ἱερῶν Γρηγορίων καὶ τῶν ἄλλων ὁσίων πατέρων, εἴ τις συλλέγειν πειραθείη, εἰς τὸ ἄπειρον ἂν αἱ μαρτυρίαι παρατενοῦσι τὸν λόγον. ὁ μέντοι γε σοφὸς Κύριλλος τὸν τῆς οἰκουμένης διδάσκαλον Παῦλον μάρτυρα καλῶν κατὰ τῶν μὴ βουλομένων ὁμολογεῖν θεοτόκον τὴν ἁγίαν παρθένον (οὕτω γὰρ ἐπιγράφει καὶ τὸν λόγον) ὅρα τί φησιν· „νῦν δὲ τὴν φωνὴν μὲν οὐχ εὕρηκεν, ἤτοι τὴν θεοτόκος, θεὸν δὲ τὸν Χριστὸν ἐπὶ πάντων ἀνεβόησεν." καὶ πάλιν „εἰ μὴ θεὸν ἅμα καὶ ἄνθρωπον ἠπίστατο τὸν Χριστόν, οὐκ ἂν ἐπέφερε κατὰ σάρκα· τοῦτο γὰρ φανερῶς ἐπὶ τοῦ μὴ μόνον ἀνθρώπου 450 H. ἀλλὰ καὶ ἕτερόν τι τὴν οὐσίαν ὑπάρχοντος λέγεται." ὁ δὲ αὐτὸς θεοφόρος ἀνὴρ κἂν τῷ δευτέρῳ ἀναθεματισμῷ τὰ αὐτὰ βοᾷ· „εἴ τις οὐχ ὁμολογεῖ καθ' ὑπόστασιν σαρκὶ ἡνῶσθαι τὸν ἐκ θεοῦ πατρὸς λόγον, ἕνα τε Χριστὸν εἶναι μετὰ τῆς ἰδίας σαρκός, τὸν αὐτὸν δηλονότι θεόν τε καὶ ἄνθρωπον, ἀνάθεμα ἔστω." καὶ ἐν τῷ πρὸς τὰς βασιλίδας προσφωνητικῷ ὁμοίως „ἕνα τε ἡμῖν οὕτως ἀναδειχθῆναι Χριστόν, τὸν αὐτὸν ὁμοῦ θεὸν ὄντα καὶ ἄνθρωπον." καὶ μυρία ἄλλα. κατάδηλον

a. 10. μενουσῶν B: μενόντων AC. 21. ζητεῖ ϛ. 23. ἀπολύτως A. 25. σῶμά τι ἂν ϛ. 32. ἀνεχόμεθα ϛ. 34. οἰκειότατον A. b. 1. λέγεται AC: καὶ λέγεται ϛ. 4. τὸν add A. 5. ὁμολογοῦμεν ὡς] infra (p. R. 857, 5) ὁμολογουμένως. ibidem δὲ additur ante κατά. 9. ὁ om A. 14. Ἰησ.] Hebr. 13, 8. 16. τὸν om A. 17. τοῦ add B. 18. εἷς θ.] 1 Tim. 2, 5. 31. ἅμα A: τε ϛ.

οὖν ὡς πολλὴ καὶ ἄπειρος ἡ διαφορὰ τοῦ κατὰ τὸν Χριστὸν μυστηρίου καὶ τοῦ κατὰ τὸν ἄνθρωπον παραδείγματος· ὁ μὲν γὰρ ἐξ ὧν ἐστίν, ἃ λέγεται ταῦτα, ὁ δὲ ἐξ ὧν προῆλθε, καὶ διαπρυσίως ταῦτα ὀνομάζεται.

ἀλλὰ γὰρ τῆς αἱρέσεως πάλιν ἡ ἀπόνοια τὴν τετάρτην μέμφεται σύνοδον ὡς ὅρον ἐκθεμένην, διατεινομένη τὴν τοιαύτην ἐπιχείρησιν ὑπὸ τῆς κατὰ τὴν Ἔφεσον πρώτης συνόδου παντελῶς ἀποκεκωλῦσθαι. καίτοι γε εἰ κατὰ τὸν λῆρον αὐτῶν ἀπεῖργεν ἡ σύνοδος ἕτερον ὅρον μηδ' ὅλως προάγειν, αὐτὴ καθ' ἑαυτῆς πρὸ τῶν ἄλλων τὴν καταδικάζουσαν ἐξήνεγκε ψῆφον· ὁρίζει γὰρ αὐτὸ τοῦτο τυποῦσα, ἃ μηδετέρα τῶν πρὸ αὐτῆς διωρίσατο. ἀλλὰ καὶ ἡ καθ' ὑπόστασιν ἕνωσις αὐτῆς ἐστὶν ὅρος, ὃ ταῖς πρεσβυτέραις τῶν συνόδων οὐ διώρισται. ναὶ δὴ καὶ τὴν ἐν Κωνσταντινουπόλει τῶν ρν' ἁγίων πατέρων, ἐξ ὧν αὐτοὶ ληροῦσι, παραγράφεται· τὸν πνευματομάχον γὰρ αὕτη καθελοῦσα, τῷ κατὰ τὴν Νίκαιαν ἐκφωνηθέντι ὅρῳ τὴν περὶ τοῦ ἁγίου πνεύματος θεολογίαν προσθεῖσα συνήρμοσεν. εἰ γὰρ αἱ προλαβοῦσαι προστιθεῖσαι τὸν μῶμον ἐκφεύγουσιν, οὐδ' αἱ μετ' αὐτὰς ἐν τοῖς ὁμοίοις ἀνομοίως ἕξουσι τὴν κατάγνωσιν. οὕτω τὸ ἀσύνετον πάντα φύρει καὶ διαστρέφει. καὶ γὰρ ἡ ἐν Ἐφέσῳ σύνοδος πίστιν μὲν ἑτέραν, ἧς ἐναντία τὰ δόγματα πρὸς τὴν ἐν Νικαίᾳ καθέστηκε σύνοδον, παντελῶς ἐκτίθεσθαι διεκώλυσεν· ἀκηράτων δὲ τῶν ἐν αὐτῇ σωζομένων, ἅπερ ὁ καιρὸς ἀπαιτεῖ προστιθέναι αὐτῆς τε γέγονεν ἔργον, καὶ τῶν πραγμάτων ἡ φύσις διδάσκαλος, καὶ τῆς ἐκκλησίας ὁρᾶται τοῦτο στέργουσα διὰ παντὸς ἡ παράδοσις. διὸ καὶ κατὰ τὴν Ἀλεξάνδρειαν, 86 R. οὔπω τῆς οἰκουμενικῆς συγκροτηθείσης συνόδου, τοὺς ἐν αὐτῇ τῶν ἱερέων λογάδας ὁ θεσπέσιος ἀθροισάμενος Κύριλλος, καὶ πίστιν διαθέμενος ἔγγραφον, τῷ Νεστορίῳ διεπέμψατο.

ἐκφεύγει μὲν οὖν οὕτω τὰς ἀδίκους λαβὰς ἡ εὐσέβεια· τὸ αἱρετικὸν δὲ πάλιν ἑτέροις μώμοις ἐπιπηδᾶν οὐκ αἰσχύνεται, καί φησιν ὡς ἡ κατὰ Καλχηδόνα σύνοδος τοῖς Κυρίλλου δόγμασι μάχεται. ὁ μὲν γὰρ ἔν τε ταῖς πρὸς Σούκενσον ἐπιστολαῖς καὶ ἀλλαχοῦ δὲ τὸν Χριστὸν δογματίζει ἐκ δύο φύσεων, ἡ δὲ τὴν τοιαύτην φωνὴν ὀστρακίζουσα δύο φύσεις ἀδιαιρέτους ἀντεχειροτόνησεν· οὕτω τὸ συκοφαντεῖν τοῦ ἀληθεύειν πολὺ τῇ αἱρέσει σπουδαιότερον. καὶ γὰρ Διόσκορον ἡ σύνοδος, τὸ ἐκ δύο μὲν φύσεων δεχόμενον, "τὸ δύο δὲ φύσεις οὐκ ἀνεχόμενον 151 H. δέξασθαι, ὡς τὰ τοῦ Εὐτυχοῦς νοσοῦντα διώσατο· καὶ οὐκ ἁπλῶς ἐξεκήρυξε τὸ ἐκ δύο λέγειν φύσεων τὸν Χριστόν, ἀλλὰ τὸ λέγειν κατ' Εὐτυχέα καὶ Διόσκορον. διὰ μέντοι τοῦ δύο φύσεις ἀδιαιρέτους μετὰ τῆς εὐσεβοῦς διανοίας λέγειν αὐτὴν καὶ τὸ ἐκ δύο φύσεων συνεισήγαγεν· ὅτι γὰρ Εὐτυχὴς ἐκ δύο μὲν ἔλεγε φύσεων, δυσσεβῶς δέ, πρόδηλον. οὐ τοίνυν τὴν Κυρίλλου φίλην φωνήν, ἀλλὰ τὴν Εὐτυχοῦς δυσσέβειαν ἡ σύνοδος ἀπεπέμψατο. καὶ γὰρ καὶ κατ' αὐτὸ τὸ μέσον τῶν ἐν Καλχηδόνι πεπραγμένων τῆς πίστεως τοῦ ἐν ἁγίοις Φλαβιανοῦ ἀναγινωσκομένης, ἐν ᾗ ἐγέγραπτο „ἐκ δύο φύσεων ὁμολογοῦμεν εἶναι τὸν Χριστὸν μετὰ τὴν ἐνανθρώπησιν, ἐν μιᾷ ὑποστάσει, ἐν ἑνὶ προσώπῳ, ἕνα Χριστόν, ἕνα υἱὸν ὁμολογοῦντες," ἡ σύνοδος ἐξεβόησεν αὐτούς τε οὕτω φρονεῖν καὶ τῶν πατέρων πίστιν εἶναι ταύτην ἐπίστασθαι. πῶς οὖν ἡ ταῦτα λέγουσα ἢ Κυρίλλῳ μάχεται, ἢ τοὺς λέγοντας εὐσεβῶς ἐκ δύο φύσεων ἀποστρέφεται;

Ταῦτα διεξελθὼν ὁ ἱεράρχης Εὐλόγιος, καὶ παραίνεσιν πρὸς ἕνωσιν ἐκκλησιαστικὴν τοὺς διεστῶτας παρακαλοῦσαν τοῖς εἰρημένοις ἐπιθείς, περατοῖ τὸν λόγον.

Καὶ ὁ ἐφεξῆς δὲ λόγος κατὰ τῶν συκοφαντῶν τῆς ἐν Καλχηδόνι συνόδου τὴν σπουδὴν ἔχει. γυμνάζει δὲ κἀνταῦθα τὸ κατὰ τὸν ἄνθρωπον παράδειγμα, ᾧ κέχρηται μὲν Κύριλλος εὐσεβῶς, προφέρει δὲ δυσσεβῶς τὸ ἀλλόφυλον· προφέρει γὰρ ἵνα μίαν φύσιν ἐπὶ Χριστοῦ, ὥσπερ καὶ ἐπὶ τοῦ ἀνθρώπου, λέγεσθαι δογματίσῃ. πλὴν ἐξ ὧν ὑπὲρ τῆς ἀσεβείας σπουδάζει, κατ' αὐτῆς μᾶλλον, κἂν οὐκ ἔχῃ τὴν αἴσθησιν, ἐξοπλίζεται. λέγει γὰρ ὡς ἐπὶ τῶν ἀνομοιομερῶν τὸ ὅλον ταῖς τῶν μερῶν προσηγορίαις οὐκ ὀνομάζεται, ἀλλ' ἰδιαζούσῃ κλήσει γνωρίζεται· εἰ δὲ τοῦτο, καὶ μιᾶς γνωσθήσεται φύσεως. ἡ μὲν αἵρεσις οὕτω συμπλέκει τὸ σόφισμα, ὁ δὲ τοῦ λόγου μαθητὴς Εὐλόγιος τὸ ματαιολόγον αὐτῆς ἐξελέγξας, πατρικαῖς ἐπιδείκνυσι μαρτυρίαις κυρίως τε καὶ ἀληθῶς τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν καὶ θεὸν καλεῖσθαι καὶ ἄνθρωπον, ὥστε εἰ ἐφ' ὧν τὸ ὅλον τὰς τῶν μερῶν προσηγορίας οὐ δέχεται, οὐδ' ἡ μία συνεισάγεται, ἐφ' ὧν τὸ ὅλον τῶν μερῶν τὰς κλήσεις κυρίως ἀναδέχεται, ἐπ' ἐκείνων καὶ ἡ μία φύσις συνθεωρηθήσεται.

ὁ μέντοι γε σοφὸς συγγραφεὺς παράγει τὸν ἱερὸν Κύριλλον ἑρμηνεύοντα ἑαυτόν, ὅπως καὶ ἐφ' ᾧ τῷ

a. 5. τήν τε τετ. ς. 22. τὸ A: τὰν ς. 28. διδάσκαλος add A. 31. αὐτῇ A: αὐτῷ ς. 34. οὖν add A. 36. et b 10. 23. χαλκ. B. 39. ἐκ δύο δογματίζει ς. b. 19. ταῦτα δὲ διεξ. ς. 21. τὸν add A. 28. ἀσεβείας mg: libri εὐσεβείας. 37. τὰς τῶν — 38 τὸ ὅλον om B. 39. ἐκείνων γὰρ καὶ ἡ ς.



Digitized by Google

κατὰ τὸν ἄνθρωπον ἐχρήσατο παραδείγματι. Θεοδώρου γὰρ τοῦ Μοψουεστίας τὸ κατὰ τὸν ἄνθρωπον ἐνδιαβάλλοντος παράδειγμα ὡς ὑπάρχον τῷ κατὰ Χριστὸν μυστηρίῳ ἀνάρμοστον, οὕτως ἐν τῷ λεγομένῳ πρώτῳ τόμῳ ἀνθυποφέρει ὁ Κύριλλος· „ἕνα καὶ τὸν αὐτὸν ὄντα 857 R. γινώσκομεν καὶ ἐκ θεοῦ πατρὸς θεϊκῶς καὶ ἐκ γυναικὸς κατὰ σάρκα· κεχρήμεθα δὲ τῇ τοῦ παραδείγματος χρείᾳ, τηροῦντες πανταχοῦ τῇ ἑνώσει τὸ ἀδιάσπαστον, καὶ τὴν διαίρεσιν παρωθούμενοι.“ ἀκούεις ἐφ᾽ ᾧ Κύριλλος παραλαμβάνει τὸ παράδειγμα· οὐ γὰρ ἵνα σὺ μίαν 452 H. τοῦ Χριστοῦ φύσιν καινολογήσῃς, ἀλλ᾽ ἵνα Θεόδωρος καὶ Νεστόριος καταισχυνθῶσι τῇ τοῦ παραδείγματος χρείᾳ, τηροῦντος τοῦ ἱεροῦ Κυρίλλου τῇ ἑνώσει τὸ ἄτμητόν τε ϗ ἀδιάσπαστον. σὺ δ᾽ ἴσως ἀκολουθῶν τῷ παραδείγματι οὐδὲ θεὸν οὐδὲ ἄνθρωπον κυρίως εἰπεῖν ἀνάσχοιο ἂν τὸν Χριστόν, διότι οὐδὲ ὁ ἄνθρωπος, τὸ παράδειγμα, οὔτε σῶμα κυρίως οὔτε ψυχή, εἰ ἐκβιάσῃ ταῦτα λέγειν αὐτόν, διότι ἐπὶ τῆς κατὰ Χριστὸν ἀποῤῥήτου ἑνώσεως, ἐξ ὧν αὐτὸς σύγκειται, ταῦτα κυρίως λέγεται. οὐ τοίνυν, κἂν ὁ ἄνθρωπος μιᾶς λέγοιτο φύσεως, οὐδεὶς ἀκολουθίας ἀπαιτήσει λόγος καὶ τὸν Χριστὸν μιᾶς ὑπάρχειν διὰ τοῦτο φύσεως. διὸ καὶ Κύριλλον τὸν θαυμάσιον μίαν μὲν τὸν ἄνθρωπον φύσιν εὑρήσεις λέγοντα, μίαν δὲ φύσιν εἰπόντα τοῦ Χριστοῦ οὐκ ἂν φωράσῃς. εἰ δέ τις δύο φύσεις δέδοικεν εἰπεῖν, ἵνα μὴ διαίρεσιν συνεισάξῃ, πρῶτον μὲν οὕτως ἁπλῶς μηδὲ λεγέτω δύο φύσεις, προστιθέτω δὲ τὸ ἀδιαίρετον, εἶτα συνομολογείτω καὶ ἓν καθ᾽ ὑπόστασιν πρόσωπον καὶ μίαν ὑπόστασιν, ἢ ἀντ᾽ αὐτῶν, εἰ βούλει, τὸ μίαν τοῦ λόγου φύσιν σεσαρκωμένην. ταῦτα γὰρ ὁ λέγων κατὰ τὸν γνώμονα τῆς ἀκριβείας Κύριλλον οὐκ ἂν οὐδὲ συκοφάνταις παράσχοι λαβὴν ὡς διαίρεσιν δογματίσας τῶν φύσεων. ϗ γὰρ καὶ τῶν ἀνατολικῶν δύο φύσεις εἰπόντων, καὶ συκοφαντεῖν αὐτοὺς ὡς διαιροῦντας ἑτέρων κινηθέντων, πρὸς Ἀκάκιον γράφων, ἐπειδὴ μετὰ τοῦ εἰπεῖν δύο φύσεις ϗ τὸ ἀδιαίρετον συνῆψαν καὶ ἐν ἑνὶ ϗ τῷ αὐτῷ Χριστῷ τὰς δύο φύσεις ὁρᾶν ὡμολόγησαν, τέκνα μὲν διαβόλου τοὺς συκοφάντας ἀποφαίνει, τοὺς δὲ διομολογοῦντας κατὰ τὸ φρόνημα τῶν ἀνατολικῶν ἀδύνατόν ποτε διαίρεσιν εἰσάγειν. ὅρα δὲ καὶ Ἀθανάσιον, οἷα περὶ τῆς ἐνανθρωπήσεως τοῦ λόγου γράφων κατὰ τῶν τὰ Ἀπολιναρίου νοσούντων ἐκτίθεται. λέγων γὰρ διὰ τοῦ ἑκάτερα τὸ δύο παρ᾽ οὐδενὸς τῶν εὐσεβῶν εἰσάγειν ὑπενοήθη διαίρεσιν. λέγει δὲ „ἀλλ᾽ ὁ ὢν φύσει θεὸς γεννᾶται ἄνθρωπος, ἵνα εἷς ᾖ τὰ ἑκάτερα τέλειος, κατὰ πάντα θεὸς καὶ ἄνθρωπος ὁ αὐτός.“ καὶ ὁ θεολόγος δὲ Γρηγόριος ἐν τῷ ἀπολογητικῷ φησὶ „τοῦτο ἡ κενωθεῖσα θεότης, τοῦτο ἡ προσληφθεῖσα σάρξ, τοῦτο ἡ καινὴ μῖξις, θεὸς καὶ ἄνθρωπος, ἓν ἐκ δυοῖν, καὶ δι᾽ ἑνὸς ἀμφότερα.“ ναὶ δὴ καὶ πρὸς Οὐαλεριανὸν τὸν Ἰκονίου γράφων ὁ Κύριλλος „οὐκοῦν ὁμολογουμένως μέν“ φησι „τὸ ἀπὸ σαρκὸς σάρξ ἐστι, τὸ δὲ ἐκ θεοῦ θεός. ἔστι δὲ κατὰ ταὐτὸν ἀμφότερα ὁ Χριστός.“ ὥσπερ οὖν οὐ τέμνει τὸ θεὸς καὶ ἄνθρωπος τὸν ἕνα Χριστόν, οὐδὲ τὸ ἀμφότερα, οὐδὲ τὸ ἑκάτερα, οὕτως οὐδὲ τὸ δύο, εἰ μὴ τὸν νοῦν εἴησαν ἐκτετμημένοι τινὲς καὶ τοῦ καλοῦ σπορέως οὐδένα καρπὸν φῦναι δυνάμενοι.

σὺ δέ μοι σκόπει πάλιν νεανιευομένην τὴν αἵρεσιν. ὁ Κύριλλος, φησί, τὸ δύο λέγειν φύσεις ἀδιαιρέτους ἐξεκήρυξεν, ἀντίπαλον εἶναι νομίζων τῇ λεγούσῃ δόξῃ μίαν εἶναι φύσιν τοῦ λόγου σεσαρκωμένην. ῥᾷον δὲ αὐτῆς τὸ φρύαγμα καταβάλλεται. διττὸν γὰρ τὸ ἀδιαίρετον κἀνταῦθα, ὡς ϗ ἐν τοῖς ἄλλοις αὐτοῦ λόγοις, ὁ συγ- 453 H.
γραφεὺς ἐπιδειξάμενος φαίνεται, καὶ τὸ μὲν Νεστορίῳ 860 R.
φίλον, τὸ δὲ τῇ εὐσεβείᾳ τιμώμενον, καὶ διὰ τοῦτο ἀλλήλοις ἀντικείμενα. τὸ γὰρ κατὰ σχέσιν ἀδιαίρετον ὡς ὅπλον Νεστορίου ἀποβάλλεται, τὸ δὲ καθ᾽ ὑπόστασιν ἀδιαίρετον ἤτοι ἡ καθ᾽ ὑπόστασιν ἕνωσις περιφανῶς ϗ κηρύσσεται καὶ περιπτύσσεται. ὥσπερ οὖν εἴ τις ἕνωσιν ἐπὶ Χριστοῦ λέγων μὴ συνάπτοι τῇ ἑνώσει τὸ καθ᾽ ὑπόστασιν, ὕποπτον τὸ ῥῆμα ποιεῖ, οὕτως εἴ τις δύο φύσεις ἀδιαιρέτους λέγοι μὴ συνεπιφέρων τὸ καθ᾽ ὑπόστασιν, εἰς τὴν αὐτὴν ὑποψίαν περιτρέπεται. ὡσαύτως δὲ καὶ ὁ λέγων ἄνθρωπον ἀναλαβεῖν τὸν θεὸν λόγον, εἰ μὴ τὴν φωνὴν ἄλλοθεν ἑρμηνεύσειε (δυνατὸν γὰρ αὐτὴν καὶ κατὰ Νεστόριον καὶ κατὰ τὸν ὀρθὸν εἰπεῖν λόγον λαβὴν παρασχεῖν τοῖς ἀκροαταῖς), οὐκ ἔστιν ἀναίτιος. διὰ ϗ ὁ διαιτῶν σοφὸς Κύριλλος ἐν μὲν τῷ θησαυρῷ τὸν θεὸν λόγον ὥσπερ τινα ποδήρη τὸν ἐκ Μαρίας ἄνθρωπον ἢ ναὸν ἀναλαβεῖν λέγει, ἐν δὲ ταῖς πρὸς Σούκενσον ἐπιστολαῖς „οὐκοῦν ἄνθρωπος“ φησί „γέγονεν, οὐκ ἄνθρωπον ἀνέλαβεν, ὡς Νεστορίῳ δοκεῖ.“ καὶ ὅρα τῆς διαίτης τὸ ἀγχίνουν καὶ νηφάλιον. ὁ μὲν ἄνθρωπον καὶ ναὸν ἀναλαβεῖν ἱερολογεῖ, Νε-

a. 9. ᾧ A: ὧν ς. 17. εἰ] ἢ A. 22. Κύριλλον μὲν τὸν ς. 28. ἓν] τὸ ἓν A. 29. βούλοιτο τὸ ς. 31. παράσχῃ ς. 33. τῶν add A.
b. 11. κατ᾽ αὐτὸν ς. ὁ om A. 15. σπορέος ς. φῦσαι B. cf. ad p. 17 a 7. 30. λέγοι B: λέγῃ ς. 34 priorem καὶ add A.

Digitized by Google

στόριον δὲ ἄνθρωπον ἀναλαβεῖν εἰπόντα παραγράφεται, εὐσεβῶς δὲ ἑκάτερον. ὁ μὲν γὰρ ὑποστάντα τὸν ἄνθρωπον ἀναλαβεῖν Νεστόριος ἐσοφίζετο, ὁ δὲ οὐ μενοῦν προϋποστάντα, ἐν ἑαυτῷ δὲ τοῦτον ὑποστήσαντα, κἂν τῷ ἀτρέπτῳ μεμενηκότα τῆς θεότητος, ἀληθῶς γενέσθαι καὶ ἄνθρωπον. σοφῶς οὖν καὶ ὁμοίως διαπραττόμενος ὁ ἱερὸς Κύριλλος καὶ ἐν τῇ πρὸς Σούκενσον ἐπιστολῇ τὸ δύο φύσεις λέγειν ἀδιαιρέτους μετὰ τὴν ἕνωσιν, μὴ συνεπιφέροντα τὴν καθ' ὑπόστασιν ἕνωσιν, μάχεσθαι τοῖς μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην δογματίζουσί φησιν. οὐ γὰρ αὐτάρκης οὕτως ἡμίτομος ἡ φωνὴ ῥηθεῖσα συνελθεῖν καὶ ὁμοφρονῆσαι τοῖς μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην κηρύττουσιν. εἰ δὲ δύο τις φύσεις ἀδιαιρέτους εἰπὼν συμπαραλάβοι καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν, ὀρθῶς τε καὶ εὐσεβῶς ἐρεῖ, καὶ Κύριλλον εὑρήσει ὁμόψηφον. καὶ ἄκουσον κατὰ τὸ τέλος τῆς αὐτῆς ἐπιστολῆς οἷα διέξεισι. „τὸ ἀδιαιρέτως" φησὶ „προστεθὲν δοκεῖ μέν πως παρ' ἡμῖν ὀρθῆς εἶναι δόξης σημαντικόν, αὐτοὶ δὲ οὐχ οὕτω νοοῦσιν." ὥστε εἰ οὕτως ἐνόουν, ὀρθοδόξως ἂν ἔλεγον καὶ τῇ Κυρίλλου γνώμῃ συνέβαινον. ἔστι γὰρ τὸ ἀδιαίρετον αὐτῷ δόξης ὀρθῆς τοῖς συνάπτουσι τὴν φωνὴν ἢ συνεπινοοῦσι τῆς καθ' ὑπόστασιν ἑνώσεως, τοῖς αἱρετικοῖς δὲ διεσπασμένον καὶ τὸ ἀδιαίρετον· τῆς γὰρ καθ' ὑποστάσιν ἑνώσεως αὐτὸ διασχίζουσιν. οὕτω δ' ἂν εἴη μεμφόμενος καὶ τοὺς λέγοντας μὲν δύο φύσεις ἀδιαιρέτους, τὴν καθ' ὑπόστασιν δὲ μὴ συνομολογοῦντας ἕνωσιν· μάχονται γὰρ ὡς ἀληθῶς οὗτοι τοῖς μίαν φύσιν φρονοῦσι τοῦ θεοῦ λόγου σεσαρκωμένην. τοὺς μέντοι μετὰ τοῦ λέγειν δύο φύσεις ἀδιαιρέτους ἐν τῇ καθ' ὑποστάσιν ἑνώσει θεωρεῖν οὔτ' ἂν μεμψαίμην ἐρεῖ, ὥσπερ οὐδὲ τοὺς ἀνατολικοὺς τὰ ὅμοια λέγοντας ἐμεμψάμην,
84 H. ἀλλ' οὔτε ἐμοὶ τἀναντία φρονεῖν οὔτε διαμάχεσθαι πρὸς τὴν μίαν τοῦ λόγου φύσιν σεσαρκωμένην οὐκ ἂν ψηφισαίμην.

σὺ δέ μοι συνδιασκόπει ὅπως οὐδ' ἡ μία φύσις τοῦ λόγου σεσαρκωμένη, ἁπλῶς οὕτω προαγο-
R. μένη, οὐμενοῦν τὸ ἀνεπίληπτον οὐ διασώζει. "λέγοιτο γὰρ ἂν μία φύσις τοῦ λόγου σεσαρκωμένη καὶ οἷς ἄψυχος ἡ προσληφθεῖσα νομίζεται σάρξ, καὶ οἷς τῶν συνελθόντων ἡ σύγχυσις δυσσεβεῖται, καὶ οἷς ἡ τοῦ λόγου φύσις εἰς σάρκα φρενοβλαβῶς ἀναχεῖται. ὁ δὲ τῆς ἀκριβείας διδάσκαλος Κύριλλος, ἕκαστον τῶν αἱρετικῶν φρονημάτων ὁμοτίμως βδελυσσόμενος, διὰ τῆς κοινῇ προκειμένης φωνῆς τὸ ἀδιαίρετον μὲν καὶ ἀσύγχυτον τῶν συνελθόντων τρανολογεῖ φύσεων, ἀπευθύνει δὲ ταύτην ἔτι μᾶλλον, τὴν σεσαρκωμένην φύσιν ἐψυχῶσθαι δογματίζων ψυχῇ λογικῇ τε καὶ νοερᾷ. διὸ καὶ τοὺς ἀνατολικούς, ὡς πολλάκις εἴρηται, ταύτην μὲν τὴν φωνὴν οὐκ εἰπόντας, τὴν δὲ ἰσοδυναμοῦσαν προβαλλομένους (δύο γὰρ φύσεις εἶπον πρεσβεύειν ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει) καὶ μηδὲ τὸ ἀδιαιρέτους ἐπενεγκόντας ὀρθοδόξους ἀνεκήρυξεν· καίτοι γε οὐδ' αὐτοῖς ῥήμασι τὸ καθ' ὑπόστασιν ἔγραψαν, ἀλλ' ἐξ ὧν εἶπον ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖν τὸν ἐκ πατρὸς ἀχρόνως γεννηθέντα καὶ ἐκ τῆς θεοτόκου Μαρίας ἐπ' ἐσχάτων, καὶ τὸν αὐτὸν πρεσβεύειν θεόν τε καὶ ἄνθρωπον, ἅτε δὴ σύνδρομα εἰδὼς τὰ εἰρημένα τῇ καθ' ὑπόστασιν ἑνώσει φωνῇ, ὁμοδοξεῖν αὐτὸν αὐτοῖς περιφανῶς ἐμαρτύρησε. δεῖ δ' οὖν εἰδέναι ὡς οἱ τὴν καθ' ὑπόστασιν ἕνωσιν εἰπόντες πατέρες ἡμῶν δύο τινῶν σύνοδον καθ' ἕνωσιν ἀδιάσπαστον διὰ ταύτης τῆς φωνῆς δογματίζουσιν· εἰ δὲ ἀσύγχυτα τὰ συνελθόντα μεμένηκεν, οὐδὲν ἡ προκειμένη φωνὴ παραδίδωσιν. ὡσαύτως καὶ τὸ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην λέγειν εἰς τὴν αὐτὴν μὲν ἔννοιαν σχεδὸν ὑποφέρεται, παρελκυσθῆναι δὲ πολλοῖς αἱρετικοῖς πρὸς τὸ βέλημα τὸ ῥᾴδιον ἐμπαρέχεται. ὥστε οὐχ ἁπλῶς αὐτὴν παραδεκτέον, ἀλλ' ὡς ὁ τὰ θεῖα σοφὸς ἐχρήσατο Κύριλλος, τουτέστι ψυχῇ λογικῇ τε καὶ νοερᾷ συνάπτοντα ἐψυχωμένην, καὶ τῶν συνελθόντων συνεπιθεωροῦντα τὸ ἀσύγχυτον. οὕτω γοῦν ἑκατέρα φωνῇ τῆς ἀκριβείας οὐκ ἐπιστατούσης, ἓν μὲν δηλοῦσι τὸ πρόσωπον, τῶν δὲ συνελθόντων οὐ τρανολογοῦσι τὸ ἀσύγχυτον. πάλιν οἱ δύο φύσεις ἀδιαιρέτους δοξάζοντες τὸ μὲν ἀσύγχυτον διετράνωσαν, ἓν δὲ εἶναι τὸ πρόσωπον ἤτοι τὴν ὑπόστασιν οὐ συνδιετράνωσαν, ὥστε δεῖ καὶ τοὺς δύο φύσεις ἀδιαιρέτους λέγοντας ἢ τὴν καθ' ὑπόστασιν ἐπισυνάπτειν ἕνωσιν ἢ τὴν μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην ἢ τὸν αὐτὸν θεόν τε καὶ ἄνθρωπον· ἄνευ γὰρ ἑνὸς τῶν εἰρημένων τὸ ἀτελὲς ἡ φωνὴ προβαλλομένη δικαίως ἂν διελέγχοιτο. Ταῦτα καὶ τὰ τούτοις ὅμοια διεληλυθὼς ὁ συγγραφεύς, καὶ παραίνεσιν παρακαλοῦσαν πρὸς ὁμόνοιαν καταβαλών, καὶ τὸν παρόντα διαναπαύει λόγον.

Ὁ δὲ ἐφεξῆς αὐτῷ λόγος πρὸς τοὺς οἰομένους ἀνθρωπίναις ἐπινοίαις δύνασθαι τὴν ἀληθῆ τῶν Χριστια-

a. 12. ἡ φωνὴ ἡ ῥηθεῖσα ς. 13. κηρύττουσιν A: δογματίζουσιν ς. 22. ἢ] an ᾗ? 24. διεσπαρμένον ς. 42. ἀναχεῖται A: ἀπετράπη ς. b. 2. κοινῆς A. 7. immo προβαλομένους. 18. libri συνόδων. 27. libri ἐψυχωμένη.

455 H. νῶν ὑποβάλλειν θεολογίαν διαλέγεται· ἐν ᾧ "θεολογήσας εὐσεβῶς, καὶ κρείττω πάσης ἐπιτεχνήσεως καὶ τῆς ἐκ λόγων σοφίας τὴν παρὰ Χριστιανοῖς ἀποδειξάμενος θεολογίαν, καὶ τὸ ἐξῃρημένον αὐτῆς ἀνυμνήσας, διαλαμβάνει ὡς ἐφ' ἡμῶν μὲν αἱ τῶν ἰδιωμάτων διαφοραὶ φανερῶς διεστήκασι, καθ' ἃς ἀπ' ἀλλήλων διακρινόμεθα, καὶ τὰ χαρακτηριστικὰ τῆς τινὸς ὑποστάσεως θατέρας οὐκ οἶδε κοινοποιεῖν ἰδιώματα, ἐπὶ δὲ τῆς 864 R. ἁγίας τριάδος αἱ ἰδιότητες ἀκίνητοι "μένουσαι συνάπτονταί πως, διὰ τῆς ἀδιαιρέτου ἑνώσεως καὶ τὸ μίαν εἶναι τῶν ὑποστάσεων τὴν ἐνέργειαν πλείστην ἔχουσαι κἂν τῇ διακρίσει τὴν θεϊκήν τε καὶ ἄῤῥητον πρὸς ἀλλήλας συνάφειαν, καθ' ἣν υἱὸς ἐν πατρὶ καὶ πατὴρ ἐν υἱῷ καὶ υἱὸς ἐν πατρὶ καὶ πνεύματι καὶ πνεῦμα ἐν υἱῷ καὶ πατρὶ θεωρεῖται, τῆς συναφείας πανταχόθεν ἐπικρατούσης καὶ μηδ' ἐν τοῖς ἰδιώμασι καινοτομούσης τὸ ἀδιαίρετον. καὶ δὴ καὶ τὸ εἶναι ἄλλο τί ἐστιν ἐπὶ τῆς ὑπεράρχου τριάδος καὶ ἄλλο τὸ ἐν ἡμῖν· ἐκεῖ μὲν γὰρ τὸ ὂν ὑπὲρ τὸ εἶναι, ἐνταῦθα δὲ οὐδὲ κυρίως ὄν. πῶς γὰρ ἂν εἴη κυρίως ὂν τὸ ἐκ μὴ ὄντων παρηγμένον, καὶ εἰς τὸ μὴ ὂν τῇ γε οἰκείᾳ φύσει ὑποῤῥέον, εἰ καὶ δῶρον ἐφιλοτιμήθη τοῦ δημιουργοῦ εἰς τὸ ἀεὶ εἶναι καὶ εἰς ἀφθαρσίαν ἀναβιβάζεσθαι; θεὸς οὖν ἡμῖν ἐστὶν εἷς καὶ τριὰς θεωρούμενος, πηγὴ τυγχάνων ἀπερινοήτου σοφίας καὶ ἁγιαστικῆς δυνάμεως. ὅθεν εἷς θεὸς καὶ κύριος καὶ βασιλεύς, αὐτός τε ὁ πατὴρ καὶ ἡ τελειοποιὸς σοφία αὐτοῦ καὶ ἡ ἁγιαστικὴ δύναμις. ἀδιαίρετος γὰρ ὁ πατὴρ πρός τε τὴν ἑαυτοῦ σοφίαν καὶ τὴν ἁγιαστικὴν δύναμιν, ἐν μιᾷ φύσει προσκυνούμενος, οὐκ εἰς ἕνα καὶ ἕνα μεριζόμενος θεόν, καθάπερ ἐφ' ἡμῶν, οἱ τῷ ἀκοινωνήτῳ τῶν ἰδιωμάτων καὶ τῷ διαφόρῳ τῆς ἐνεργείας μεριζόμεθά τε καὶ διαιρούμεθα, καὶ τῇ δι' ὅλου τομῇ τὴν πρὸς ἀλλήλους διαφορὰν ὑφιστάμεθα. διὸ οὐδὲ ἔστιν εἰπεῖν, ὥσπερ ἐφ' ἡμῶν, οὕτω καὶ ἐπ' αὐτῆς, ὅτι τόδε τοῦδε πρῶτον ἢ ἐκεῖνο τοῦδε δεύτερον ἢ τρίτον. μονὰς γὰρ ἀληθῶς ἡ τριάς, καὶ τριὰς ἡ μονάς, οὔτε διότι μονάς, τὴν τριάδα συστέλλουσα, οὔτε διότι τριάς, τὴν μονάδα τέμνουσα· οὐδὲ γὰρ τὸ ἓν ἐπὶ τῆς θείας οὐσίας ὡς ἐπὶ τῶν κτισμάτων νοοῦμεν, παρ' οἷς οὐδὲ τὸ κυρίως ἓν ἔστι θεωρῆσαι. οὐ γὰρ τὸ ἓν ἀριθμῷ ἐφ' ἡμῶν καὶ κυρίως ἕν. καὶ γὰρ τὸ ἐφ' ἡμῶν λεγόμενον ἓν οὐ κυρίως ἕν, ἀλλά τι ἕν. τοῦτο δὲ ἕν τέ ἐστι καὶ οὐχ ἕν, ὅτε δὴ καὶ τοῦ ἑνὸς φέρον τὴν κλῆσιν καὶ πρὸς τὸ πολλὰ εἶναι μεριζόμενον. εἰ δὲ καὶ ὡς νῦν οἱ θεολόγοι τὸ ἓν ἐπὶ τῆς θείας ὑμνοῦσι φύσεως, ἀλλὰ διὰ μόνην τὴν ἀπαθῆ τοῦ λόγου γέννησιν τοῦτο παραλαμβάνουσιν. ἡ γὰρ εὐσεβὴς ἔννοια καὶ τῆς τοῦ νοῦ φύσεως ὑπεριδρυμένην θεολογεῖ τὴν θεότητα. καὶ γὰρ καὶ κατὰ τὸν νοῦν ταυτότης ὁρᾶται καὶ ἑτερότης κίνησίς τε καὶ στάσις, καὶ τῆς διπλόης παντελῶς οὐκ ἐξίσταται, ἀλλὰ στάσις μὲν αὐτῷ διὰ τὴν τῆς οὐσίας ἐνορᾶται ταυτότητα, ἑτερότης δὲ καὶ κίνησις διὰ τὴν αὐτεξούσιον ὁρμὴν καὶ ἐνέργειαν· οὐ γάρ ἐστι ταὐτὸν ἓν εἰπεῖν καὶ μετὰ τῆς πρὸς "ἕτερα παραθέσεως ἕν. ὅθεν εἰ καὶ εἷς τῷ ὑποκειμένῳ 456 H. τυγχάνει, ἀλλὰ νοῶν ἑαυτὸν καὶ ὑφ' ἑαυτοῦ γινωσκόμενος ἀνθ' ἁπλοῦ διπλοῦς ἀποδείκνυται. ὅπερ, καὶ εἴ τι ὅμοιον, τοῦ κυρίως ἑνὸς καὶ τῆς μακαρίας φύσεως παντελῶς ἠλλοτρίωται. διόπερ οὐκ ἔστιν οὐδὲ τῷ ἀριθμῷ ἓν ἢ ὡς ἀρχὴ ἀριθμοῦ, οὐδὲ ὡς μέγεθος ἢ ὡς ἀρχὴ μεγέθους· πάσης γὰρ ποσότητος καὶ μέρους καὶ συνθέσεως ὑπερίδρυται. ἀλλ' εἰ δεῖ θαῤῥήσαντα εἰπεῖν, ἕν ἐστι τὸ θεῖον κατὰ τὴν ἁπλότητα τῆς ὑπάρξεως, οὐχ ὡς ἓν τριώνυμον θεωρούμενον ἢ εἰς μέρη διαιρούμενον ἢ ἐκ πλειόνων συγκείμενον· ἄῤῥητον γάρ ἐστι καὶ ἀκατονόμαστον τοῦτο τὸ ἕν, "ἐπεὶ καὶ αὐτοῦ τοῦ ἑνός ἐστιν αἴτιον, πάσης ἑνάδος 865 R. ἑνοποιὸν καὶ παντὸς ἑνὸς καὶ πλήθους ὑπεραπλούμενον, διὰ τὸ κυρίως ἓν εἶναι καὶ ἐν πᾶσιν εἶναι καὶ ὑπὲρ πάντα γινώσκεσθαι, οὐσιοποιὸν μὲν ἁπάντων τῶν ὄντων, ὑπεριδρυμένον δὲ ἐν τῇ ὑπερουσίῳ καὶ ἰδίᾳ μονότητι, ἑνὰς καὶ μονὰς θεολογούμενον, υἱὸς ἐν πατρὶ καὶ πατὴρ ἐν υἱῷ γινωσκόμενον, πνεῦμα ἅγιον ἐκπορευόμενον ἐκ πατρός, ἀρχὴν μὲν ἔχον τὸν πατέρα, δι' υἱοῦ δὲ εἰς κτίσιν ἐπ' εὐεργεσίᾳ τῶν δεχομένων ἐρχόμενον, οὐ καθ' ὕφεσιν γινωσκομένης τῆς γεννήσεως, οὐ κατὰ τομὴν θεωρουμένης τῆς ἐκπορεύσεως. εἰ γάρ τις δοίη ταῦτα, καὶ ἐπὶ τετράδα καὶ πεντάδα καὶ ἐπ' ἄπειρον τὴν πρόοδον ῥυῆναι κατὰ τοὺς Ἑλλήνων μύθους συγκατασκευάσειεν. ἓν οὖν κυρίως τὸ θεῖον, πληθυσμὸν οὐδένα παραδεχόμενον, ὡς ἀκριβής τε καὶ ἀληθὴς ἑνότης κατὰ τὴν φυσικήν, εἰ χρὴ φάναι, θεωρούμενον ταυτότητα. ὅθεν εἰ καὶ ὑποστάσεις ἢ πρόσωπα ἢ ἰδιότητας ὀνομάζομεν, ἃ ὁ νοῦς ἔγνω, καθ' ὅσον δυνατόν ἐστιν, ἑρμηνεῦσαι βουλόμενοι, οὐ τὸ ἓν διαιροῦμεν, οὐ τὴν μονάδα μερίζομεν, οὐ τὴν ἑνάδα διασπῶμεν, ἀλλὰ τῇ ἀϊδίῳ μονότητι

a. 10. τὸ] malim τῷ. 13. ἣν A: ἣν ὁ ς. 23. εἰς] πρὸς A. 26. ὁ add A. 35. τούτου ς. πρῶτον] immo πρότερον. 38. μονάδα] ἑνάδα A.
b. 6. θεολογεῖται θ. ς. 18. μεσότητος A. 34. καὶ ἐπὶ πεντ. B. 36. κυρίως οὖν ς.

θεολογοῦντες ταύτην ἐν τρισὶν αὐτὴν συνθεολογοῦμεν ὑποστάσεσιν, οὐκ ἀνθρωπίνοις λογισμοῖς τὰ ὑπὲρ νοῦν ὑποβάλλοντες, οὐδὲ περινοητικαῖς ἐρεύναις τὰ ὑπὲρ εὕρεσιν ἐνυβρίζοντες. διὸ τοὺς παρὰ ταῦτα ἢ τὴν ἄῤῥητον ἑνότητα διατέμνοντας ἢ τὸ τριαδικὸν τῶν ὑποστάσεων εἰς μοναδικὴν πενίαν συγκλείοντας ὡς τῆς εὐσεβείας πολεμίους ἐκτρεπόμεθα.

ταῦτα καὶ τοιαῦτα διεξελθὼν πρὸς τοὺς ἰδίωμα μόνον εἶναι κενολογήσαντας τὴν ὑπόστασιν ἀντιφθέγγεται, ϗ πλείοσι τῆς εὐσεβείας λογισμοῖς τὴν αὐτῶν ἐπιστομίζει κακόνοιαν. εἰ γὰρ ταὐτὸν ὑπόστασις ϗ ἰδίωμα, ἐνανθρωπῆσαι δὲ τὴν τοῦ λόγου φαμὲν ὑπόστασιν, — ἀλλὰ τὸ ἀκόλουθον γνώριμον ὄν, ϗ πρὸς βλασφημίαν γνωριμώτερον, εἰς τὰς κεφαλὰς τῶν ῥηθῆναι βιασαμένων σιγῇ ἀπεῤῥίφθω. πῶς δὲ καὶ τὸ πνεῦμα, εἴπερ ἰδίωμα, δύναιτ᾽ ἂν τοῦ πατρὸς ἐκπορεύεσθαι καὶ παρὰ τοῦ πατρὸς ἐπ᾽ εὐεργεσίᾳ τοῦ πλάσματος ἀποστέλλεσθαι; ἀλλὰ καὶ πᾶσα [ὑπόστασις τῶν ὑφεστηκότων ἐστὶ καθ᾽ ἑαυτά· ἰδίωμα δὲ πῶς ἂν ὑποσταίη καθ᾽ ἑαυτό, μὴ ἐκείνῳ ἑδρασθὲν οὗ καὶ εἶναι ἰδίωμα λέγεται; καὶ ἐν τρισὶ μὲν ὑποστάσεσιν ὁ ἱερὸς τῶν πατέρων χορὸς τὴν θεϊκὴν οὐσίαν δογματίζει, ἐν τρισὶ δὲ ἰδιώμασιν οὐδεὶς ἂν φαίη. τοὐναντίον γὰρ ἐν μὲν τῇ οὐσίᾳ καὶ περὶ τὴν
457 H. οὐσίαν ὁρᾶται τὰ ἰδιώματα, αὐτὴν δὲ ἐν ἰδιώμασιν οὐκ ἄν τις φαίη. εἰ γὰρ καὶ τῷ θεολόγῳ εἴρηται τὴν μίαν φύσιν ἐν τρισὶν ὑπάρχειν ἰδιότησιν, ἀλλὰ πρῶτον μὲν οὐ ταὐτὸν ἰδιότης ϗ ἰδίωμα, ἔπειτα δὲ οὐδ᾽ εἰ ὁ πατὴρ κατεχρήσατο τῇ φωνῇ, ταύτην λαβὼν ἀντὶ τῆς ὑποστάσεως, ἤδη ταὐτόν τις εἶναι δογματίσει τὴν ὑπόστασιν καὶ τὴν κυρίως ἰδιότητα. εἰ δὲ ϗ χαρακτηριστικὸν καθέστηκεν ἡ ἰδιότης τῆς ὑποστάσεως, ὥσπερ Βασιλείῳ τε καὶ πολλοῖς τῶν πατέρων δοκεῖ, οὐδὲν μὲν ἄτοπον τὸν ἱερὸν Γρηγόριον εἰπεῖν ἐν τρισὶν ἰδιότησιν, οὐ ταὐτὸν ὑπάρχειν νομοθετοῦντα τῇ ὑποστάσει τὴν ἰδιότητα, ἀλλ᾽ ὡς ἐκ τοῦ μάλιστα χα-
358 B. ρακτηριστικοῦ, τουτέστι τῆς ἰδιότητος, ἐπονομάζοντα τὴν ὑπόστασιν. διὸ ϗ ἐπάγει „νοεραῖς, τελείαις, καθ᾽ ἑαυτὰς ὑφεστώσαις," ὅπερ οὐδεὶς ἂν νοῦν ἔχων ἐπὶ τῶν ἰδιωμάτων παραδέξαιτο. χωρὶς δὲ τῶν εἰρημένων, τὰς μὲν ὑποστάσεις ἡ ἁγία πρώτη σύνοδος ὁμοουσίους ἀνεκήρυξε, τὰ δὲ ἰδιώματα πῶς ἄν τις μὴ μελαγχολῶν ἀποφήνοι ὁμοούσια; εἰ δέ τις ὁμοούσια ἀποθρασυνθείη λέγειν τὰ ἰδιώματα, ὅτι ἐν τῇ αὐτῇ πολλάκις οὐσίᾳ συντρέχοντα ὁρᾶται, λέληθε μὲν αὐτὸς ἑαυτὸν ἕτερον ἀναπλάττων ὁμοουσίου σημαινόμενον, ἄλλως δὲ καὶ τὰ ἑτερογενῆ οὕτος, ποσότητά φημι ϗ ποιότητα ϗ ὅσα ἄλλα ἀδύνατον εἰς μίαν φύσιν συνελθεῖν, ταῦτα πάντα ὁ καινὸς νομοθέτης οὗτος παρακελεύεται νοεῖν τε καὶ λέγειν ὁμοφυῆ τε καὶ ὁμοούσια· ἐν γὰρ τῇ ἡμετέρᾳ οὐσίᾳ φανερῶς ὁρᾶται ϗ ποιότης καὶ ποσότης ϗ πρός τι καὶ εἴ τις τούτοις εἰς ἀκοινωνήτους ἀρχὰς συνδιῄρηται. ἀλλὰ τοῦτο μὲν αὐτάρκως ἔδωκε τὸν ἔλεγχον τὸ ἀτόπημα.

ἀλλ᾽ οὐδ᾽ οὕτω σιγᾶν οἶδε τὸ φίλερι. φασὶ γάρ τινες συμπλοκὴν οὐσίας καὶ ἰδιώματος εἶναι τὴν ὑπόστασιν· ὃ περιφανῶς συνεισάγειν οἶδε τὴν σύνθεσιν. ϗ ποῦ ἂν εἴη τὸ ἁπλοῦν καὶ ἀσύνθετον τῆς ἐν τῇ τριάδι θεότητος; οἱ δὲ ϗ Βασίλειον προϊστῶσι τὸν μέγαν τῆς φωνῆς διδάσκαλον, οὐκ ἐθέλοντες νοεῖν ὡς ὁ σοφὸς ἐκεῖνος ἀνὴρ οὔτε ὅρον οὔτε ὑπογραφὴν ἀποδιδοὺς ὑποστάσεως τὸ τῆς συμπλοκῆς παρέλαβεν ὄνομα, ἀλλὰ βουλόμενος ἐπιστομίσαι τὸν Ἀνόμοιον τὴν ἀγεννησίαν ϗ τὴν οὐσίαν εἰς ταὐτὸν ἀγαγεῖν φιλονεικήσαντα, ϗ τὴν πρὸς τὸ γεννητὸν τοῦ ἀγεννήτου διαφορὰν εἰς τὸν τῆς οὐσίας λόγον μεταγαγεῖν, ἵνα μὴ μόνον διαφόρους ἀλλὰ καὶ ἀντικειμένας οὐσίας εἰσάγοι ἐπί τε τοῦ πατρὸς ϗ τοῦ υἱοῦ. διὰ τοῦτο ὁ τοὺς λόγους οἰκονομῶν ἐν κρίσει Βασίλειος, ἐν τῷ πρὸς τὸν Ἀνόμοιον ἀγῶνι, τῷ κοινῷ συμπλέκει τὸ ἴδιον, ἀσύγχυτον ἡμῖν ϗ διακεκριμένην μεθοδεύων τὴν τῆς ἀληθείας κατάληψιν. ἀπορεῖ μὲν γὰρ ὁ ἀνθρώπινος νοῦς ἁπλῇ ϗ μιᾷ προσβολῇ τὸ ἑνιαῖον ἅμα καὶ ἁπλοῦν ϗ τὸ τρισσὸν καταλαβεῖν τῶν ὑποστάσεων· διὸ τῇ τῶν ἰδιωμάτων, ὡς ὁ διδάσκαλος ἔφη, προσθήκῃ τὴν ἰδιάζουσαν ἀφορίζει τῶν ὑποστάσεων ἔννοιαν. καὶ ἔστι μὲν ἡ μέθοδος ἀσθενείας ἐπίκουρος καὶ τῆς περὶ τὸ ἀκατάληπτον συνεργὸς καταλήψεως, οὐ μήν γε συμπεπλεγμένον τὸ ἁπλοῦν τῆς θεότητος ἢ ὅλως τινὰ τῶν ταύτης ὑποστάσεων οὐμενοῦν οὐδαμῶς ἀπεργάσαιτο. διὸ καὶ ἐπήγαγεν ὡς ἀμήχανον ἰδιάζουσαν ἔννοιαν πατρὸς λαβεῖν ἢ υἱοῦ, μὴ 458 H.
τῇ τῶν ἰδιωμάτων προσθήκῃ τῆς διανοίας διαρθρουμένης. καὶ ὅπερ ἐν τοῖς προλαβοῦσι συμπλοκὴν ἐκάλεσε, τοῦτο νῦν προσθήκην ὠνόμασε. σαφέστερον δὲ τὸ εἰρημένον ποιῶν „οὐ γὰρ οἱ δεικτικοί" φησι „τῆς

a. 8. καὶ τὰ τοιαῦτα ς. 9. κενολογοῦντας ς. 20. ἐκείνῳ B: ἐκεῖνο ς. 36. τῆς A: ἐκ τῆς ς.
b. 2. συντρέχοντα οὐσίᾳ B. 4. οὔτως B. 6. πάντα add A. οὕτω ς. 9. τις] nonne τι? 15. τῇ add A. 20. Ἀνόμοιον A: ἀνώνυμον ς. 21. συναγαγεῖν B. 22. τὸν γ. ς. 23. μόνον εἰς διαφ. ς. 24. εἰσάγῃ ς. 37. ἀπηργάσατο ς.

ἰδιότητος αὐτοῦ τρόποι τὸν τῆς ἁπλότητος αὐτοῦ λόγον παραλυπήσουσιν· ἢ οὕτω γε ἂν πάντα, ὅσα περὶ θεοῦ λέγεται, σύνθετον ἡμῖν τὸν θεὸν ἀναδείξῃ."

ταῦτα διελθὼν ὁ καλὸς Εὐλόγιος ἄλλην ἀπορίαν κινουμένην ἵστησιν. ἆρα γάρ φησιν, ἡνίκα τὸ ἴδιον συμπλέκομεν τῷ κοινῷ, ψευδόμενοι τοῦτο ποιοῦμεν ἢ ἀληθεύ- 869 R. οντες; "ἀλλ' εἰ μὲν ψευδόμενοι, τί καὶ προφέρομεν λέξεις ὧν μὴ ἔστι λαβεῖν ὑποκείμενον; εἰ δ' ἀληθεύοντες, συμπεπλεγμένον ἂν εἴη καὶ ἡ τῆς τριάδος, ἐφ' ἣν τὴν φωνὴν φέρομεν, ὑπόστασις. ἡ μὲν ἀπορία τοιαύτη· ἀνασκευάζει δὲ αὐτὴν δι' ὧν εἶπε πρότερον. ἐξασθενῶν γάρ, φησί, περὶ τὴν τοῦ ὄντος ὄντως θεωρίαν ὁ νοῦς ὁ ἀνθρώπινος βιάζεταί πως συμπεπλεγμέναις χρῆσθαι φωναῖς καὶ τῷ κοινῷ συνάπτειν τὸ ἴδιον, τὸ ἁπλοῦν ἅμα καὶ διακεκριμένον τῶν ὑποστάσεων ἁπλῶς καὶ καθ' αὐτὸ ὑποδηλῶσαι μὴ δυνάμενος· ὡς εἴ γε οἷόν τε ἦν ἁπλῇ τὸ ἁπλοῦν ἀπαγγεῖλαι φωνῇ, τῇ συμπλοκῇ τῶν λέξεων οὐκ ἂν ὁ νοῦς ἀπεκέχρητο. ἀλλ' οὐ συμφέρεται τῇ εὐτελείᾳ τῶν ῥημάτων τῆς θείας οὐσίας τὸ ἀκατάληπτον, ἐπεὶ καὶ αὐτὸς ὁ διδάσκαλος συμπλοκὴν εἰπὼν ἐφεξῆς τὸ θεῖον ἁπλοῦν πάντῃ καὶ ἀσύνθετον καὶ ἀλλαχοῦ πολλάκις ἀνύμνησε, μόνον οὐχὶ βοῶν ὡς ἀσθενείας ἐστὶν ἡ προσθήκη καὶ ἡ συμπλοκὴ πρόβλημα, πρὸς κατάληψιν ἡμᾶς τῆς ἀληθείας χειραγωγοῦσα, οὐ μέντοι γε τὸ ἁπλοῦν τῆς φύσεως καὶ ἀσύνθετον εἰς διπλόην καὶ σύνθεσιν καταγαγεῖν ποθὲν τόλμαν εἴληφεν. ἀῤῥήτως γὰρ καὶ ἀνεπινοήτως ἕν τε ὑπάρχον καὶ τριὰς θεωρούμενον τὸ προσκυνούμενον τὸ μὲν κατὰ τὴν ἄσχετόν τε καὶ ὑπὲρ ἡμᾶς θεολογίαν κατανοεῖται, τὸ δὲ κατὰ τὴν σχετικήν τε καὶ περὶ ἡμᾶς. τὴν μὲν οὖν ἀπορίαν οὕτως ἔδοξεν ἐπιλύεσθαι.

εἰ δέ τις οὐδὲν ἧττον ἐρεῖν οἴεται τὸ ἠπορημένον τοῖς ἀπ' ἀρχῆς ἐπερείδεσθαι, προσλαβέτω τῷ λόγῳ ὅτι καὶ ὅπερ ἄφραστον λέγομεν ῥήμασιν ἀπαγγέλλομεν, καὶ τὸ ἀπερινόητον σκιαγραφοῦμεν διὰ νοήσεως, καὶ τὸ ἄχρονον χρονικαῖς ἐπιβολαῖς καὶ κινήσεσιν ὑποβάλλομεν, καὶ τὸ ἀδιάστατον καὶ ἀκίνητον κινουμέναις τε καὶ διϊσταμέναις φαντασίαις ἀνατυπούμεθα. ὥστε εἰ, ἃ πάσχομεν περὶ τὴν τοῦ θείου θεωρίαν ἀναγόμενοι, ταῦτά τις ἐνορᾷν καὶ περὶ αὐτὸ ἐκβιάσαιτο, τὰ ἄνω κάτω ποιήσει, καὶ πρὸ πάντων αὐτὸς ἑαυτὸν ἀμηχανίας βυθῷ παραπέμψει.

ὁ δὲ ἱερὸς Εὐλόγιος ἀπὸ τῆς προταθείσης ἀπορίας ἑτέραν ἀναφυομένην διέξεισιν. εἰ γὰρ μήτε ἰδίωμά φησιν ἡ ὑπόστασις μήτε συμπλοκὴ οὐσίας καὶ ἰδιώματος, τί ἂν εἴη ἕτερον; καὶ ἐπιλύεται λέγων ὡς ὑπόστασιν μὲν καλεῖν τὸν ἕνα τῆς τριάδος παρὰ τῆς ἐκκλησίας μεμαθήκαμεν, τί δέ ἐστιν ὑπόστασις, εἰ μὲν ἐπὶ κτισμάτων ἡ ἐρώτησις, οὐ πάνυ χαλεπόν ἐστιν ἀποκρίνασθαι· "διὰ 159 H τὸ καὶ τὴν περὶ ταῦτα ἁμαρτίαν τε καὶ ἀποτυχίαν μὴ λίαν εἶναι ὑπεύθυνον, εἰ δὲ περὶ τῆς ἁπλῆς καὶ μακαρίας φύσεως, οὐδὲν παρ' ὃ παρέδοσαν οἱ θεοφόροι πατέρες ἀσφαλές ἐστιν ἀποκρίνασθαι. πλὴν οὐδὲν κωλύει γραφικῶς φάναι ὡς ἡ τοῦ υἱοῦ ὑπόστασις εἰκών ἐστι τοῦ θεοῦ τοῦ ἀοράτου, ὅλον ἐν ἑαυτῇ τὸν πατέρα δεικνύουσα. εἰ δὲ καὶ σοφίαν αὐτὴν πατρικὴν εἶναι ἀποκριθήσομαι ἢ λόγον ἢ δύναμιν τοῦ πατρός, τῇ ἱερολογίᾳ συμφθέγγομαι: καὶ περὶ τῆς τοῦ πατρὸς δὲ καὶ πνεύματος ὑποστάσεως τοιαῦτα ἄν τις ἐκ τῶν ἱερῶν λογίων ἀναλεγόμενος, καὶ διδοὺς τοῖς ἐπερωτῶσιν ἀπόκρισιν, εὐσεβῶς τε καὶ ἀνεπηρεάστως ἀποκρίνοιτο. "σὺ δ' ἂν δυνήσῃ 872 R. λέγειν, ἀποδιδοὺς τὸν λόγον τῆς ὑποστάσεως τοῦ υἱοῦ, θεὸν ἐκ θεοῦ ἀχρόνως τε καὶ ἀπαθῶς γεννηθέντα. ὁμοίως δὲ καὶ τοῦ πνεύματος, θεὸν ἐκ θεοῦ ἀϊδίως τε ἐκπορευόμενον καὶ ἀῤῥεύστως. ὡσαύτως δὲ καὶ τοῦ πατρὸς τὴν ὑπόστασιν λόγῳ παριστάναι μέλλων φήσεις, ἐξ οὗ γεγέννηται ὁ θεὸς λόγος, τομῆς ἁπάσης καὶ παντὸς πάθους μηδὲ κατ' ἐπίνοιαν θεωρουμένης τῇ προόδῳ τῆς γεννήσεως· εἰ βούλει δέ, καὶ ἐξ οὗ τὸ πνεῦμα ἀφράστως τε καὶ ἀνεπινοήτως καὶ ἀπαθῶς καὶ συναϊδίως ἐκπορεύεται, καὶ εἴ τι ἄλλο τοιουτότροπον ἔστιν εἰπεῖν, τῆς θεοπνεύστου γραφῆς τὴν πνευματικὴν σοφίαν πηγαζούσης ἡμῖν καὶ συνεργούσης τῷ βουλήματι. καίτοι οὐδὲ τὰ ῥηθέντα παντελῶς ἐστὶν ἐλεύθερα φαντασίας ἀνατυπουμένης τὴν σύνθεσιν· ἀλλὰ τῷ γε μὴ τῷ ῥήματι τῆς συνθήκης καὶ τῆς συμπλοκῆς καὶ τῶν τοιούτων προσχρήσασθαι οὐ δοκεῖ θορυβεῖν τὸν ἀκροατὴν οὐδὲ προσίστασθαι. Ἀλλ' ἐν τούτοις μὲν αὐτῷ καὶ ὁ παρὼν ἀπαρτίζεται λόγος.

Γράφει δὲ ὁ αὐτὸς ἱερὸς ἀνὴρ καὶ πρὸς Δομετιανόν (Μελιτηνῆς δὲ οὗτος ἐπίσκοπος) οὐκ ἀπρόσφορον εἶναι παριστῶν τὸ μίαν λέγειν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην. ὁ μὲν γὰρ οὐκ ἀνεύθυνον ἐτίθει τὸν ἱερὸν Εὐλόγιον κεχρημένον τῷ ῥήματι· ὁ δὲ οἷς πολλάκις ἐν τοῖς προλαβοῦσι λόγοις τὴν φωνὴν ἐπικουρήσας, καὶ

a. 3. ἀναδείξῃ A, ἀναδείξοι B: ἀναδείξει ς. 5. συμπλέκομεν — ποιοῦμεν] libri συμπλεκόμενοι — ποιοῦσιν. 7. μὲν A: καὶ ς. 8. ὧν μὴ] ὧ μὴ A: ὧν μήτε ς. ἀληθεύοντες A: ἀληθεύομεν ς. 9. ἡ add A. 12. ὄντος ὄντως A, ὄντος B: ὄντως ς. 15. καθ' αὑτὸ B, κατ' αὐτὸν A: κατὰ ταὐτὸν ς. 27. γὰρ A: τε ς. 28. τὸ προσκυνούμενον add A.
b. 7. ἡ A: ἐστὶν ἡ ς. 27. καὶ ἐξ οὗ τὸ πνεῦμα A: τὸ πνεῦμα ἐξ οὗ ς. 35. προσίστασθαι ς. 39. τοῦ θεοῦ A: θεοῦ τοῦ ς.

Digitized by Google

τοῖς ὀρθῶς αὐτὴν ἐκλαμβάνουσιν εὐσεβῶς ἔχουσαν παραχών, καὶ ὡς οἱ λέγοντες μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην οὐ μίαν φύσιν ἁπλῶς φασὶν ἐξ ἀμφοτέρων γεγονέναι τῶν φύσεων, ὥστε καὶ συγχύσει τὰ συνελθόντα περιπεσεῖν, ἐκεῖνο δὲ μᾶλλον βούλεσθαι, ὡς ὁ μονογενὴς τοῦ πατρὸς υἱὸς ἡνώθη σαρκὶ καθ' ὑπόστασιν, ὁ αὐτὸς καὶ θεὸς καὶ ἄνθρωπος ὤν, ὡς καὶ τῷ θεολόγῳ δοκεῖ („ὁ λόγος γάρ" φησι „σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν"), ταῦτα διὰ πλάτους εἰπὼν καὶ ἀπολογησάμενος οὕτω δοξάζειν καὶ Κύριλλον ἐπαγγέλλεται, ἐν οἷς μάλιστα λέγει „εἰ μὲν γὰρ μίαν εἰπόντες τοῦ λόγου φύσιν σεσιγήκαμεν, οὐκ ἐπενεγκόντες τὸ σεσαρκωμένην, ἀλλ' οἷον ἔξω τιθέντες τὴν οἰκονομίαν, ἦν αὐτοῖς τάχα που καὶ οὐκ ἀπίθανος ὁ λόγος προσποιουμένοις ἐρωτᾶν ποῦ τὸ τέλειον ἐν ἀνθρωπότητι ἢ πῶς ὑφέστηκεν ἡ καθ' ἡμᾶς οὐσία· ἐπειδὴ δὲ καὶ ἐν ἀνθρωπότητι τελειότης καὶ τῆς καθ' ἡμᾶς οὐσίας ἡ δήλωσις εἰσκεκόμισται διὰ τοῦ λέγειν
460 H. σεσαρκωμένην, παυσάσθωσαν καλαμίνην ῥάβδον ἑαυτοῖς ὑποστήσαντες." οὐκοῦν τὰς δύο φύσεις ἡ παροῦσα φωνὴ τῷ ἀδιαιρέτῳ εἰσήνεγκεν ἐπισφίγγουσα, ὡς αὐτὸς ἐμβοᾶται ὁ Κύριλλος. διὸ καὶ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην πολλάκις φαίνεται φάμενος, μίαν δὲ φύσιν Χριστοῦ ἁπλῶς εἰπὼν οὐκ ἂν ἁλοίη. τί δ' ἂν εἴη φύσις ἀνθρωπότητος ἤ, ὡς αὐτὸς πάλιν ἐν ἄλλοις ἐδίδαξε, σὰρξ ἐψυχωμένη νοερῶς; ὡς καὶ διὰ τοῦτο πάλιν σώζεσθαι τῶν συνδραμόντων εἰς ἕνωσιν ἀδιαιρέτως ἑκάτερον. δῆλον οὖν ἐκ τῶν εἰρημένων ὡς οἱ ὀρθοδόξως λέγοντες καὶ κατὰ Κύριλλον μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην οὐ πρὸς ἄλλον ἀφορῶσι σκοπόν, ἢ ὅστις αὐτοῖς τὴν τοιαύτην φωνὴν ἐπιδείκνυσι τὰς δύο φύσεις ἐπὶ τοῦ δεσπότου Χριστοῦ τῷ ἀδιαιρέτῳ πάντως συνεισάγουσαν. ἐν τῷ γὰρ εἰπεῖν τὸν μακάριον Κύριλλον σώζεσθαι δι' αὐτῆς τῶν συνδραμόντων εἰς ἕνωσιν ἀδιαι-
38 R. ρέτως ἑκάτερον, ποῖος ἂν ἄλλος παρεισαχθείη σκοπὸς ἢ ὁ τὰς δύο φύσεις ἐπὶ τοῦ σωτῆρος Χριστοῦ σωζομένας κηρύττων ἀδιαιρέτους καὶ ἀποδεχόμενος; καὶ τοῦτο φανερώτερον καὶ ἐν τῇ πρὸς Σούκενσον ὁ αὐτὸς δευτέρᾳ ποιεῖται ἐπιστολῇ. ἑρμηνεύων γὰρ ἐν αὐτῇ τί ποτέ ἐστιν αὐτῷ δηλοῦσα ἡ μία φύσις τοῦ λόγου σεσαρκωμένη, καὶ εἰπὼν ὡς ἐστιν υἱὸς ὁ φύσει καὶ ἀληθῶς, εἷς καὶ κατὰ πρόσληψιν σαρκὸς οὐκ ἀψύχου ἀλλ' ἐψυχωμένης νοερῶς προῆλθεν ἄνθρωπος ἐκ γυναικός, καὶ ἐπενεγκὼν ὡς οὐ διὰ τοῦτο μερισθήσεται εἰς δύο πρόσωπα ἢ υἱούς, ἀλλὰ καὶ οὕτω διαμενεῖ εἷς, προστίθησι πῶς οὐκ ἄσαρκος οὐδὲ ἔξω σώματος, ἀλλ' ἴδιον ἔχων αὐτὸ (δῆλον ὅτι τὸ σῶμα) καθ' ἕνωσιν ἀδιάσπαστον. κἂν τῇ πρὸς . . . . . δὲ ἐπιστολῇ καὶ ἐν ἄλλοις πολλοῖς τὰ αὐτὰ διδάσκων εὑρίσκεται. ἀλλ' οἱ περὶ Σευῆρον τὴν διαφορὰν τῶν συνελθόντων μετὰ τὴν ἕνωσιν ὁμολογεῖν οὐκ ἀνεχόμενοι, κακούργως τε καὶ δυσσεβῶς πρῶτον μὲν τάττουσι τὰς φωνὰς αἳ τὴν διαφορὰν δηλοῦσι τῶν φύσεων, ἔπειτα δέ, ὡς δῆθεν ἀνατρέποντες αὐτάς, τὴν μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην ἐπάγουσιν. οὐχ οὕτω δὲ ποιεῖ ἡ εὐσέβεια, ἀλλὰ ταύτην προσθεῖσα τὴν φωνήν, εὐθὺς ἐφεξῆς δείκνυσι καὶ διὰ ταύτης σώζεσθαι πάλιν τῶν συνελθόντων εἰς ἕνωσιν ἀδιαιρέτως ἑκάτερον, ἐλέγχουσα τοὺς δυσσεβεῖς ὡς ἡ μία τοῦ λόγου φύσις σεσαρκωμένη οὐδὲν ἕτερον ἢ τὴν ἀδιάσπαστον καὶ καθ' ὑπόστασιν ἕνωσιν δηλοῖ, φυλαττομένων κατὰ πάντα καιρὸν ἐν τῷ ἀσυγχύτῳ τῶν φύσεων. δύο γὰρ φύσεις ἀδιαιρέτους δοξάζει, ὡς τὸ διάφορον τῶν συνελθόντων κηρύττουσα, καὶ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, ὡς τὸν αὐτὸν τοῦ πατρὸς προαιώνιον λόγον ἐνανθρωπῆσαι καὶ σαρκωθῆναι δογματίζουσα.

ταῦτα καὶ τοιαῦτα ὑπὲρ τῆς προκειμένης ἀπολογησάμενος φωνῆς, καὶ τὰ αὐτὰ τὴν ἐν Καλχηδόνι σύνοδον φρονοῦσάν τε καὶ κηρύττουσαν ἐπιδειξάμενος διά τε ἄλλων καὶ ἐξ ὧν τοῦ ἐν ἁγίοις Φλαβιανοῦ ἰδιόχειρον πίστιν ἀναγνωσθεῖσαν ἡ σύνοδος ἐπεκύρωσεν, 461 H. ἀπαλλάττει μὲν τὴν φωνὴν αἱρετικῆς ὑπολήψεως, ἀπαλλάττει δὲ καὶ ἑαυτὸν οὐκ εὐαγοῦς ὑπονοίας, ἣν περὶ αὐτοῦ ὁ Δομετιανὸς ὑπετόπαζε, νομίζων αὐτὸν οὐ κατὰ γνώμην ἐνδιάθετον τὴν τοιαύτην οἰκειοῦσθαι καὶ προάγειν φωνήν, ἐξ οἰκονομίας δέ, καὶ ὥστε δι' αὐτῆς τοὺς ἀκροατὰς εὐμηχάνως ἄγειν πρὸς ἑνότητα, καὶ τὰς προφάσεις περικόπτειν τῶν τῆς καθολικῆς ἐκκλησίας διαστάσεων. ταῦτα καὶ τοιαῦτα ἕτερα ἐπιστείλας, ὅπερ κἂν τοῖς προλαβοῦσι λόγοις διεξελήλυθε, καὶ θερμὸν ἑαυτὸν τῆς τε κατὰ Καλχηδόνα συνόδου πρόμαχον καὶ τῆς τοῦ ἐν ἁγίοις πάπα Λέοντος ἐπιστολῆς διὰ πολλῶν, ὧν περ διαφόρως ἔγραψε, παραστησάμενος, πέρας τῷ γράμματι ἐπιτίθησιν.

Γράφει δὲ ὁ αὐτὸς θεσπέσιος ἀνὴρ καὶ πρὸς Χριστοφόρον τινά, ὃν αὐτὸς ὁσιώτατον ἐπιγράφει, γρα-

a. 18. παυσ. καὶ καλ. ς. 36. ἀδιαιρέτως ς. 39. αὐτῷ corr A: αὐτὸ ς. b. 5. . . . . .] in pr A lacuna est, quae non tota impletur inscripto postea σούκενσον. σούκενσον etiam B et corr C: σε ς. 9. αἳ A: καὶ ς. b. 12. προσθεῖσα B. 15. φύσις τοῦ λόγου ς. 23. καὶ τὰ τ. ς. 24 et 36. χαλκ. B. 30. αὐτοῦ B et corr A: αὐτὸν ς.

φικῶν ἐρωτήσεων αἰτησάμενον λύσεις. τὰ δὲ ἠρωτημένα ἐστὶ πρῶτον μέν, πῶς δεῖ νοεῖν τὸ ἐν τῇ δευτέρᾳ τῶν βασιλειῶν εἰρημένον „καὶ ἐπέσεισεν ὁ θεὸς τὸν Δαβὶδ ἀριθμῆσαι τὸν λαόν" καὶ μετὰ ταῦτα, ὅτι ἠρίθμησεν, ἠγανάκτησε κατ' αὐτοῦ; καὶ ἐπιλύεται, ὅτι θεὸν πολλάκις ἡ γραφή, ὥσπερ καὶ κύριον, οὐ μόνον τὸν ἀληθινὸν ὀνομάζει θεόν, ἀλλὰ καὶ αὐτὸν τὸν τῆς
876 B. πονηρίας ἄρχοντα. "κατὰ τοῦτο γὰρ τὸ σημαινόμενον καὶ τὸν Παῦλον φάναι „ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰς καρδίας τῶν ἀπίστων." καὶ ὁ σωτὴρ „οὐ δύνασθε δυσὶ κυρίοις δουλεύειν." διὸ καὶ ἐν τῇ πρώτῃ τῶν παραλειπομένων ἀπαρακαλύπτως τὸν διάβολον λέγει τὸν ἐπισείσαντα τὸν Δαβὶδ ἀριθμῆσαι τὸν λαόν. πλὴν καὶ τὸ παρ' ἡμῖν ἀντίγραφον οὐχ ὡς τὸ ἀποσταλὲν παρὰ σοῦ περιέχει. ἔχει γὰρ „καὶ προσέθετο ὀργὴ κυρίου ἐκκαῆναι ἐν Ἱερουσαλήμ, καὶ ἐπέσεισε τὸν Δαβὶδ ἐν αὐτοῖς" καὶ ἑξῆς, ὡς δοκεῖν πως ὀργὴν ἐνταῦθα λέγεσθαι κυρίου τὸν εἰρημένον ἐν παραλειπομέναις διάβολον. εἴτε δὲ οὕτως εἴτε ὡς γέγραφας ἔχει τὸ ῥητόν, οἶμαι φανερῶς τὴν λύσιν ἀναμφίβολον προελθεῖν. ὅτι δὲ ὁμώνυμον καὶ τὸ κύριος καὶ τὸ θεός, καὶ (ὡς ἐῤῥήθη πολλάκις) καὶ ἐπὶ τοῦ ἀντικειμένου παραλαμβάνεται τῇ ἱερᾷ γραφῇ, εἴρηται μέν, οὐδὲν δὲ κωλύει καὶ δι' ἑτέρων πιστώσασθαι. ἐν γὰρ τῇ νομοθεσίᾳ τῇ περὶ τοῦ πάσχα, μετὰ τὸ χρῖσαι τῷ αἵματι τὴν φλιὰν καὶ τοὺς σταθμοὺς „ὑμεῖς δὲ οὐκ ἐξελεύσεσθε" φησίν „ἕκαστος τὴν θύραν αὐτοῦ ἕως πρωΐ, καὶ παρελεύσεται κύριος πατάξαι τοὺς Αἰγυπτίους, καὶ ὄψεται τὸ αἷμα ἐπὶ τῆς φλιᾶς καὶ ἐπ' ἀμφοτέρων τῶν σταθμῶν, καὶ παρελεύσεται κύριος τὴν θύραν, καὶ οὐκ ἀφήσει τὸν ὀλοθρεύοντα εἰσελθεῖν εἰς τὰς οἰκίας ὑμῶν πατάξαι." δῆλον γὰρ ὡς ἄλλος κύριος ὃν λέγει παρελεύσεσθαι καὶ τοὺς Αἰγυπτίους πατάξαι, καὶ ἄλλος ὁ μὴ συγχωρῶν τὸν ὀλοθρεύοντα εἰσελθεῖν εἰς τὰς τῶν Ἰσραηλιτῶν οἰκίας καὶ πατάξαι αὐτούς. τοιοῦτον δέ ἐστι καὶ τὸ περὶ τοῦ Βαλαὰμ εἰρημένον. λέγει γὰρ ἡ γραφὴ ἐπιτρέψαι
462 H. μὲν αὐτῷ τὸν θεὸν ἀπελθεῖν "πρὸς τοὺς καλοῦντας, ὀργισθῆναι δὲ θυμῷ τὸν θεὸν ὅτι ἐπορεύετο πρὸς αὐτούς. κἀνταῦθα γὰρ ἄλλον αἰνίττεσθαί φησι θεὸν τὸν ἐπιτρέψαντα αὐτῷ καὶ ἄλλον τὸν ὀργισθέντα θυμῷ ἐπ' αὐτόν· οὐ γὰρ ἂν ὁ ἐπιτρέψας ὠργίζετο τῷ πληρώσαντι τὸ ἐπιτραπέν, ἀλλ' ἢ ἐπιτρέψαντα οὐκ ἔδει θυμοῦσθαι, ἢ θυμοῦσθαι μέλλοντα ἀπελθεῖν οὐκ ἔδει ἐπιτρέπειν. αὐτὸς μὲν οὕτω δοκεῖ πως διὰ τῆς ὁμωνυμίας τὴν ἀμφιβολίαν ἐπιλύεσθαι· ἄμεινον δέ μοι δοκεῖ Θεοδωρήτῳ τε καὶ τοῖς ἄλλοις ἱεροῖς ἀνδράσι πραγματευθῆναι τῆς προκειμένης ἀπορίας τὴν ἐπίλυσιν. λέγει δὲ καὶ τοῦ Δαβὶδ ἐν τῇ ἀριθμήσει ἁμαρτήσαντος τὸ πλῆθος ὑποσχεῖν τὴν τιμωρίαν οὐ διότι ἐκεῖνος ἠρίθμησεν, ἀλλ' ὅτι τῷ πατραλοίᾳ Ἀβεσσαλώμ, χεῖρα πολεμίαν ἐπανατείναντος τῷ πατρί, συναντῆρέ τε ὁ λαὸς καὶ συνεστασίασε, προτιμήσας τὸν ἐξ αὐθαδείας ἁρπάσαντα τὴν ἀρχὴν τοῦ παρὰ θεοῦ εἰς βασιλέα χρισθέντος. Τὴν οὖν πρώτην ἐπιλυσάμενος (ὡς ἔδοξεν) ἀπορίαν ἐπιλύεται καὶ τὴν δευτέραν ἔχουσαν οὕτω· πῶς δεῖ νοῆσαι πῇ μὲν λέγοντος τοῦ ἀποστόλου ἐν ταῖς καρδίαις ἡμῶν κατοικεῖν τὸν Χριστόν, πῇ δὲ „ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε," μεγάλης οὔσης τῆς διαφορᾶς οἰκήσεώς τε καὶ ἐνδύσεως· ἡ μὲν γὰρ τὸ ἐπιπόλαιον, ἡ δὲ τὸ διὰ βάθους παρίστησι. λέγει δὲ τὸν νῦν διακρίνων ὅτι, καθάπερ αὐτὸς καὶ βασιλεὺς ὑπάρχει καὶ ποιμήν, καὶ βασιλεὺς μὲν τῶν λογικῶν ποιμὴν δὲ τῶν ἀλόγων, πρὸς τὴν διάφορον χρείαν τῶν τὴν εὐεργεσίαν δεχομένων ὀνομαζόμενος (οὔτε γάρ τις ἀλόγων βασιλεύειν εἰκότως λεχθείη "οὔτε ποιμαίνειν τὰ λογικά), οὕτω δεῖ νοεῖν καὶ τὸ προ- 877 B.
κείμενον. κατοικεῖ μὲν γάρ, ὡς αὐτὸς ὁ θεσπέσιος λέγει Παῦλος, ἡ τοῦ θεοῦ σοφία ἐν οἷς πολιτεύεται καὶ οἳ καθεστήκασιν „ἐῤῥιζωμένοι τε καὶ τεθεμελιωμένοι ἐν αὐτῷ" ἐνδύεται δὲ τὸν Χριστὸν καὶ ὁ πάλιν αὐτὸν δυνάμενος ἀποδύσασθαι. διό φαμεν ἐῤῥιζωμένοις ἐν αὐτῷ δικαίως ἐγκατοικεῖ, τοῖς δὲ ἄλλοις διὰ τὴν ἄφατον φιλανθρωπίαν ἔνδυμα γίνεται, παρέχων σκέπην, ἵνα μὴ ἀπὸ τοῦ βοῤῥᾶ, τοῦ σκληροῦ καὶ ψυχροῦ ἀνέμου, τοῖς ἐπιστρέφουσι πρὸς αὐτὸν ἐπιτρίβοιτο ἄδικα καὶ ψυχοφθόρα ἐπιπνέοντος· „ἀπὸ προσώπου γὰρ βοῤῥᾶ ἐκκαυθήσεται τὰ κακά." Τὰς οὖν δύο ταύτας ἀπορίας ἐπιλυσάμενος ἐν ταύτῃ τῇ ἐπιστολῇ εἰς ἐξαίτησιν προσευχῶν τελευτᾷ.

"Ετι δὲ ὁ αὐτὸς καθωμίλησεν ἐν τῷ θ' σημείῳ, δι' ὧν ἐγκώμιον μὲν διαπλέκεται τοῦ μονάδος βίου, καὶ τί ποτέ ἐστιν ὁ μοναχός, ὑπογράφει· καὶ αὐτὸν δὲ τῆς αὐτῆς πολιτείας ἀπαγγέλλει. παραινεῖ δὲ τοὺς τῆς μονάδας πολιτείας ἐραστὰς κατὰ τὸ ἐπάγγελμα πολιτεύεσθαι, καὶ τῇ μονότητι καὶ τῇ ἑνότητι τῆς ἐκκλησίας συναρ-

a. 2. δευτ.] c. 24. 3. ἐπέσεισεν A: ἐποίησεν ς. 16. ὀργὴν ς. 22. ἐρήθη ς. καὶ add A. 24. δι' ἑτέρων A: ἕτερον ς. 39. αἰνίττεσθαι om B.
b. 1. ἢ A: ἢ εἰ ς. 2. ὁμωνυμίας A: ὁμονοίας ς. 7. οὐ διότι A: οὐδ' ὅτι ς. 9. ἐπανατείναντι B et corr A: ἐπανατείναντος ς. 24. δεῖ A: δὴ ς. 32. βορᾶ A. 34. τὰ add A. 37. καθωμολόγησεν ς. 42. alterum τῇ add A.

Digitized by Google

μόζεσθαι. εἴησαν δέ, πρὸς οὓς ἀφεώρα ἡ παραίνεσις, τῆς Σεβήρου διασπορᾶς καὶ κατατομῆς μερίδες οὐκ ἄσημοι· οἷς ὅπως μὲν μάχονται τῶν πατέρων αὐτῶν αἱ δόξαι
463 H. πρὸς ἑαυτάς, ὅπως δὲ πρὸς ἀλλήλας, καὶ οὐδαμῇ τὸ στάσιμον οὐδὲ τὸ πάγιον ἔχουσιν, ἀπογυμνώσας τε καὶ ἀνακαλυψάμενος, ἐκ τῆς ἐκεῖθεν ἀτοπίας ὁρᾶν αὐτοὺς πρὸς τὴν ἕνωσιν τῆς ἐκκλησίας ὑποτίθεται. τοὺς μὲν γὰρ παράγει λέγοντας σώζεσθαι τὰς διαφορὰς μετὰ τὴν ἕνωσιν, ὥσπερ καὶ Σεβῆρον, τοὺς δὲ σώζεσθαι μηδαμῶς, ὥσπερ καὶ Τιμόθεον ἐν ἄλλοις τε καὶ ἐν οἷς κατὰ τοῦ ἐν ἁγίοις ἀγωνίζεται Λέοντος. οὐ μόνον δὲ αὐτὸς οὐκ ἀνέχεται φάναι σώζεσθαι, ἀλλὰ καὶ ἀσεβείας ἐνόχους ἀποφαίνει τούς, εἴ τινες σώζεσθαι τῶν φύσεων τὴν διαφορὰν μετὰ τὴν ἕνωσιν δογματίζουσιν. ἀλλὰ καὶ Σεβῆρος πάλιν σώζεσθαι λέγων τὰς διαφοράς, τὰ πράγματα οἷς ἡ διαφορὰ ἐπιθεωρεῖται οὐ συνομολογεῖ σώζεσθαι. καὶ οὐ πανταχοῦ δογματίζει τοῦτο· παλίντροπος γάρ ἐστι τὴν πίστιν καὶ πολύμορφος· καὶ γὰρ ἔν τισιν αὐτοῦ λόγοις καὶ αὐτὰ διομολογεῖ τὰ πράγματα σώζεσθαι. οὕτως οὐ πρὸς ἀλλήλους μόνον ἀλλὰ καὶ πρὸς ἑαυτοὺς τὸ ἀλλόφυλον τῆς εὐσεβείας στασιάζουσι σύνταγμα. ἐκ τούτου παραινῶν τοὺς στασιάζοντας τῷ φρονήματι τῆς εὐσεβείας συνδραμεῖν, κατ' ἐπιδρομὴν ἱστορεῖ Μαρκιανὸν μὲν συγκροτῆσαι τὴν ἐν Καλχηδόνι σύνοδον, καὶ ὡς ἐκείνου τὸν βίον λιπόντος Λέων μὲν κατέστη τῶν πραγμάτων κύριος, οἱ δὲ Αἰγύπτιοι τῆς ἱερᾶς ἐπαναστρέψαντες συνόδου ταραχῆς ἐπλήρωσαν τὴν οἰκουμένην, δυσσεβῶς τε καὶ πεπλασμένως φημίσαντες ὡς ἡ σύνοδος Κύριλλον ἀπεβάλετο καὶ Νεστόριον ἀπεδέξατο. ὧν τὸν ἄλογον ὁ Λέων καταστέλλων θόρυβον, τὰ ψηφισθέντα ἐν Καλχηδόνι καὶ τὰ πραχθέντα πανταχοῦ διαπέμψας τῆς οἰκουμένης μετ' ἐγκυκλίων κελεύσεων ἕκαστον τῶν ἀρχιερέων καὶ ἱερέων, ἀλλὰ καὶ τοὺς ὅσοι ἐν τῷ μοναδικῷ διέλαμπον βίῳ, τὸ φρόνημα αὐτῶν ἐγγράφως ἀνομολογῆσαι διετάξατο· ὃ καὶ προθύμως πεπράχασι, τῶν
80 B. ἀρχιερέων τοῦ ἀριθμοῦ εἰς ἑξακοσίους καὶ χιλίους συγκεφαλαιωθέντος, μηδενὸς ἑτερογνωμονήσαντος πλὴν Ἀμφιλοχίου τοῦ Σίδης, ὃς μετ' οὐ πολὺ καὶ αὐτὸς δι' ὑπογραφῆς συνεφώνησε. μεθ' ὧν καὶ ὁ μέγας Συμεών, ὁ ἐν τῷ στύλῳ τὸν ἀγγελικὸν ἐκεῖνον βίον διανυσάμενος, καὶ Βαράδατος, καὶ ἄλλοι τὸν αὐτὸν βαθμὸν τῆς πολιτείας φθάσαντες. Ταῦτα διαδραμὼν καὶ δικαίως Σεβῆρον τῷ ἀναθέματι παραπεμφθῆναι παραστησάμενος εἰς τέλος διέστειλε τὴν διάλεξιν.

Καὶ ὁ ἐφεξῆς δὲ λόγος προδιαβάλλεται μὲν τὴν αὐτὴν ἐπιγραφήν, παραίνεσιν δὲ πρὸς τοὺς διεστῶτας τῆς ἐκκλησίας εἰσηγεῖται, ἐκ τῆς πρὸς ἀλλήλους τῶν αἱρετιζόντων κἀνταῦθα μάχης τε καὶ διαφορᾶς συνιδεῖν τὸ τῆς ἐκκλησίας ὀρθὸν φρόνημα παρακαλῶν. λέγει δὲ καὶ ὅθεν κατετμήθη εἰς μυρίας διαιρέσεις καὶ τομὰς ἡ αἱρετικὴ δόξα. ἐπερωτῶσα γὰρ τὰ τέκνα τῆς ἐκκλησίας εἰ καθάπερ δύο τὰς φύσεις λέγουσιν, οὕτω καὶ τὰς ὑποστάσεις λέγειν ἀνέχονται, καὶ ἐπεὶ μίαν λέγουσιν ἐπὶ Χριστοῦ τὴν ὑπόστασιν, ἆρα καὶ μίαν φύσιν ἐπ' αὐτοῦ δογματίζουσι, ταῦτα ἐπερωτῶσα ἡ αἵρεσις ὧν μὲν ἐζήτησε τέως οὐδὲν ἀκούει, ἀντεπερωτᾶται δὲ παρὰ τῆς ἐκ- 464 H.
κλησίας τί δήποτε ταῦτα ἐρωτᾷ· ἆρα γὰρ ταὐτὸν ἡγεῖται φύσιν καὶ ὑπόστασιν, καὶ διὰ τοῦτο τοὺς δύο λέγοντας φύσεις νομίζει δύο καὶ ὑποστάσεις δοξάζειν, ἢ ἀνάπαλιν τοὺς μίαν ὑπόστασιν λέγοντας καὶ μίαν φύσιν συνομολογεῖν νομίζει; ἀρχὴν οὖν τοιαύτην τῆς κινήσεως λαβούσης, καὶ ὁ πολὺς ἐκεῖνος καὶ ἄσπονδος τῶν αἱρετιζόντων ἐν ἑαυτοῖς συνερράγη πόλεμος, εἰ ταὐτὸν φύσις καὶ ὑπόστασις; ἐπεὶ μίαν φύσιν ἐπὶ τῆς τριάδος φαμέν, καὶ μίαν ὁμολογεῖν ἀνάγκη τὴν ὑπόστασιν, ἢ ἐπεὶ τὰς ὑποστάσεις τρεῖς, καὶ ἡ φύσις εἰς τρεῖς διαιρείσθω. κἀκεῖθεν ἄλλο μὲν σημαίνειν τὴν φύσιν, ἄλλο δὲ σημαίνειν τὴν οὐσίαν ἀνέπλασαν, καὶ τὴν φύσιν πάλιν εἰς γενικὴν φύσιν καὶ ἰδικὰς φύσεις κατεμέρισαν. καὶ πρὸς μὲν τὸν γραμματικὸν Σέργιον ὁ Σεβῆρος γράφων „μίαν οὐσίαν" φησὶν „εἰπεῖν τὸν Χριστὸν ἐβουλόμεθα, ἵνα τῶν συνελθόντων τὴν διαφορὰν μὴ ἀνέλωμεν. μιᾶς γὰρ καθάπαξ γεγενημένης οὐσίας ἢ καὶ ποιότητος, πῶς ἔτι μεμένηκε τῶν φύσεων, ἐξ ὧν εἷς ὁ Χριστός, ἡ κατ' οὐσίαν διαφορά; εἰ γὰρ μία ποιότης καὶ οὐσία, τὰ τῆς διαφορᾶς λοιπὸν φροῦδα καθέστηκε." καίτοι γε ἐξ ὧν τὴν μίαν οὐσίαν εἰπεῖν ὁ Σεβῆρος παραιτεῖται, ἐκ τῶν αὐτῶν καὶ τὸ μίαν λέγειν φύσιν ἐπὶ Χριστοῦ, κἂν μὴ βούλοιτο, παρῃτήσατο. τινὲς δὲ τῶν ἀπηρυθριασμένως φύσιν καὶ ὑπόστασιν καὶ οὐσίαν ταὐτὸν εἰπεῖν ἐκδεξαμένων καὶ ἐπὶ τῆς ἁγίας τριάδος τρεῖς οὐσίας λέγειν οὐκ ἔφριξαν, δι' ὧν καὶ τὸ τρεῖς θεοὺς καὶ θεότητας, εἰ καὶ μὴ τῇ φωνῇ, τοῖς γε νοήμασι δογματίζουσι. καὶ οἱ μὲν κατακρίνονται ὡς τρεῖς οὐσίας ἐπὶ τῆς

a. 2. μερίδος οὐκ ἄσημον ς. 6. ἀποκαλ. ς. 18. αὐτῷ ς. 29. ἀπεβάλλετο ς. 30. χαλκ. A. 38. τοῦ A: τῆς ς.
b. 1. παραστησάμενος — διέστειλε A: συστησάμενος — διέστησε ς. 3. παραδιαβάλλεται ς. malim προβάλλεται. 13. ἐπερωτῶσα A: ἐπιζητοῦσα ς. ἐπεζήτησε μὲν ς. 22. ante ἐπεὶ inseruerim ὥστε. 29. ἐβουλόμεθα] immo οὐ βουλόμεθα. 37. ἀπηρυθριασμένων ς. 39. ἐκδεξάμενοι ς. 41. μὴ add A.

τριάδος τερατευόμενοι, οἱ δὲ ὡς οὐ κυρίως θεὸν τὸν πατέρα ἢ τὸν υἱὸν ἢ τὸ πνεῦμα δοξάζοντες· οὗτοι δ' ἂν εἶεν οἱ μόνα τὰ χαρακτηριστικὰ ἰδιώματα τὰς ὑποστάσεις εἶναι δογματίζοντες. καὶ εἰς πολλὰ ἄλλα τοιαῦτα ὁ μερισμὸς αὐτοῖς καὶ ἡ κατατομὴ προελήλυθεν, ὥσπερ καὶ περὶ τῆς διαφορᾶς τῶν συνελθουσῶν ἐπὶ Χριστοῦ φύσεων. τοῖς μὲν γὰρ μετὰ τὴν ἕνωσιν μὴ φυλάττεσθαι τὴν διαφορὰν ἐπῆλθε φαντάζεσθαι, τοῖς δὲ σώζεσθαι τὴν
881 R. διαφορὰν ἡ ὁμολογία γέγονε. διχῇ δὲ καὶ οὗτοι διετμήθησαν· οἱ μὲν γὰρ τὴν διαφορὰν ὁμολογοῦντες σώζεσθαι τὰ ὧν ἡ διαφορὰ σώζειν οὐ βούλονται· οἱ δὲ κἀκεῖνα ὑπὸ τῆς ἀναγκαζούσης ἀκριβείας συγχωροῦντες πολλάκις (ἄλλος λῆρος τοῦτο καὶ ἄλλη παράνοια) δύο ταύτας λέγειν οὐ μενοῦν οὐδ' ὅλως ἀνέχονται· ἡ γὰρ δύο φωνή, φασίν, ἀνὰ μέρος καὶ καθ' ἑαυτὰ τὰ διαφέροντα τίθησι. Ταῦτα καὶ τὰ τοιαῦτα διὰ βραχέων προθείς, καὶ τὴν παραίνεσιν πλατυνάμενος, καὶ τὸν παρόντα καταπαύει λόγον.

Γράφει λόγον ἕτερον κατὰ Ἀγνοητῶν. μοναχοὺς δέ τινας τῶν ἐκ τῆς κατὰ τὰ Ἱεροσόλυμα ἐρήμου κινῆσαι λέγει τὸ δόγμα, οἳ ἄγνοιαν τῷ κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ περιάπτειν ὑπήχθησαν ἐξ ὧν τε εἶπεν αὐτὸς „ποῦ τεθείκατε Λάζαρον" καὶ „οὐδεὶς οἶδε τὴν ὥραν ἐκείνην ἢ τὴν ἡμέραν οὐδὲ ὁ υἱός," καὶ ἐξ ἄλλων τοιουτο-
465 H. τρόπων ῥημάτων. ὁ δὲ ἱερὸς Εὐλόγιος οὗτος "οὔτε κατὰ τὸ ἀνθρώπινον, πολλῷ δὲ μᾶλλον οὐδὲ κατὰ τὸ θεῖον ἀγνοεῖν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν οὔτε τὸν τάφον τοῦ Λαζάρου οὔτε τὴν τέλειον ἡμέραν διατείνεται. οὔτε γὰρ τὸ ἀνθρώπινον, εἰς μίαν ὑπόστασιν συνελθὸν τῇ ἀπροσίτῳ καὶ οὐσιώδει σοφίᾳ, ἀγνοήσει ἄν τι, ὥσπερ οὐδὲν τῶν παρόντων, οὕτω δὴ οὐδὲ τῶν μελλόντων· οὔτε διαψευσθῆναι δύναται τὸ εἰρημένον παρ' αὐτοῦ „πάντα ὅσα ἔχει ὁ πατήρ, ἐμά ἐστιν," εἰ μὴ ἄρα καὶ τὸν πατέρα πρὸς τὴν ἄγνοιαν οἱ πάντα τολμῶντες παρελκύσωσι. τὸ μέντοι γε φάναι τὸν σωτῆρα „ποῦ τεθείκατε Λάζαρον," εἰς ἐπίστασιν καὶ μνήμην ἄγοντα τοὺς παρόντας τῶν Ἰουδαίων εἰπεῖν. καὶ οὐ τοῦτο μόνον ἀλλὰ καὶ ἕτερά τινα διαπράξασθαι, ὥσπερ τὸ „λύσατε αὐτὸν καὶ ἄφετε ὑπάγειν," ἵνα ἐξ ὧν τε κατὰ μέρος εἶδον καὶ ἐξ ὧν ἤκουσαν, πιστὸν μὲν τὸ θαῦμα καὶ ἀναμφισβήτητον, ἀνεξάλειπτον δὲ παραδοθείη τῇ μνήμῃ. λέγει δὲ ὅτι καὶ τὰ ἐπὶ Χριστοῦ λεγόμενα τὰ μὲν κατὰ ἀναφορὰν τὰ δὲ κατὰ ἀλήθειαν λέγεται, κατὰ ἀναφορὰν μὲν τὸ ἀμαρτίαν αὐτὸν καὶ κατάραν ὑπὲρ ἡμῶν γενέσθαι (οὐ γὰρ γέγονε ταῦτα, ἀλλ' οἷα τῆς κεφαλῆς οἰκειωμένης τὰ τοῦ ἰδίου σώματος, αὐτὸς τὰ τοῦ σώματος ἀναδέχεται)· κατὰ ἀλήθειαν δὲ λέγεται ἄνθρωπός τε γεγονέναι καὶ πεινῆσαι καὶ διψῆσαι καὶ τὰ ὅμοια. ὥστε εἴ τις ἐθέλοι λέγειν ἀγνοεῖν αὐτὸν κατὰ ἀναφοράν, ὡς οὐκ ἐκτὸς ἀγνοίας ὄντος αὐτοῦ τοῦ σώματος ἤτοι τῆς ἀνθρωπίνης φύσεως, ἧς ἐστιν αὐτὸς κεφαλή, οὐκ ἂν μὲν ἔξω τοῦ εἰκότος περιενεχθείη, οὐ μὴν ἀγνοοῦντα τὴν τοῦ πατρὸς σοφίαν δοξάσειεν. ἀλλ' εἰ τὸ „ποῦ τεθείκατε αὐτόν" ἄγνοιαν τοῦ Χριστοῦ κατηγορεῖν τοὺς ἀπαιδεύτους ἀνέπεισε, πῶς οὐχὶ καὶ τῷ πατρὶ τὴν αὐτὴν ἄγνοιαν ἐπιῤῥίψουσι διαπυνθανομένῳ καὶ λέγοντι πρὸς τὸν Ἀδὰμ „ποῦ εἶ;" καὶ πρὸς τὸν ἀδελφοκτόνον „ποῦ ἐστὶν Ἄβελ ὁ ἀδελφός σου;" καὶ „κραυγὴ Σοδόμων καὶ Γομόῤῥας πεπλήθυνται, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα· καταβὰς οὖν ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ." ἐρωτᾷ δὲ καὶ ὁ Ἰησοῦς τὸ δαιμόνιον „τί ὄνομά σοι;" κἀκεῖνο ἀποκρίνεται „λεγεὼν ὄνομά μοι, ὅτι πολλοί ἐσμεν." ἀλλὰ καὶ τοῖς τυφλοῖς λέγει „τί θέλετε ποιήσω ὑμῖν;" καὶ πῶς οὐκ ἔστι ταῦτα φανερὸν ὡς οὐκ ἀγνοίας ἦν, ἀλλὰ τὸ μὲν ἐπερωτᾷ ἀπ' αὐτοῦ τοῦ δαιμονίου τὸ πλῆθος τῶν κατοικούντων τοῖς μαθηταῖς 884 R.
ἐπιδεῖξαι βουλόμενος, ὡς ἂν μάθοιεν ὡς καὶ τῶν πολλῶν ἤδη περιεγένοντο, πίστιν αὐτοῖς καὶ θάρσος ἐντιθεὶς τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. τοὺς τυφλοὺς δὲ ἐπερωτᾷ οἰκονομῶν ἐξ αὐτῶν προσαχθῆναι τὴν αἴτησιν· ὅσον γὰρ αἰτοῦντες τῆς ὠφελείας τυγχάνομεν, τοσοῦτον τὴν αἴσθησιν τῆς εὐεργεσίας δεχόμεθα. τὸ δὲ περὶ τῆς ἐσχάτης ἡμέρας εἰρημένον, ὡς οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι, οὐδὲ ὁ υἱός, εἰ μὴ ὁ πατήρ, τινὲς μὲν κατ' οἰκονομίαν εἰρῆσθαί φασιν, ἵνα τῶν μαθητῶν κατὰ πᾶσαν ἡμέραν νομιζόντων ἐπελεύσεσθαι τὴν τελευταίαν ἡμέραν ἀεὶ γρηγοροῦντες διατελῶσιν· "οὐδὲν δὲ κωλύει καὶ τοῦτο 466 H.
ἐκλαβεῖν ὡς κατὰ ἀναφορὰν εἰρημένον, καθάπερ καὶ τὸ „σὺ ἔγνως τὴν ἀφροσύνην μου" καὶ τὸ „θεέ μου θεέ μου, ἵνα τί με ἐγκατέλιπες;" ἔνιοι δέ φασιν αὐτὸν ἀγνοεῖν φάναι τὴν ἐσχάτην ἡμέραν τὸ ἰδίως προσὸν τῇ ἀνθρωπίνῃ φύσει γνώρισμα δεικνύοντά τε καὶ ἐμφανίζοντα, οὐχ ὡς αὐτοῦ ἀγνοοῦντος (ἄπαγε· οὔτε γὰρ κατὰ τὴν θεότητα οὔτε κατὰ τὴν ἀνθρωπότητα τὴν ἄγνοιαν

a. 5. ὁ μερισμὸς A: ὁρισμὸς ς. 6. ἐπὶ τοῦ Χρ. ς. 13. τοῦτο A: οὗτος ς. 23. ἡμ. ἐκείνην οὐδὲ ς. 35. ἐνάγοντα A.
b. 7. φύσεως A: φωνῆς ς. 8. αὐτὸς ἡ κεφαλὴ ς. 16. σφόδρα καὶ καταβὰς ς. 22. μὲν A: μὴν ς. 24. ὡς ante καὶ add A. 25. αὐτοῖς πίστιν ς.

Digitized by Google

λέγειν ἐπ᾽ αὐτοῦ θράσους ἐπισφαλοῦς ἠλευθέρωται), ἀλλ᾽ ἐπειδή, ὡς ὁ μακάριος Κύριλλός φησιν, ἐν ἰσχναῖς διαιροῦντες ἐννοίαις ἤτοι τοῦ φαντασίαις τῷ τρόπῳ τῆς θεωρίας ἑκατέρας φύσεως ὁρῶμεν ἴδια καὶ καθ᾽ ἑαυτὰ γνωρίσματα, ἢ καὶ ὡς ὁ θεολόγος Γρηγόριος, ἡνίκα αἱ φύσεις διίστανται ταῖς ἐπινοίαις, συνδιαιρεῖται καὶ τὰ ὀνόματα, ἴδιον δὲ γνώρισμα ψιλῆς ἀνθρωπότητος ἡ ἄγνοια, κατὰ τοῦτο ῥηθείη ἂν ἐπὶ τῆς κατὰ Χριστὸν ἀνθρωπότητος, ὡς ἁπλῶς ἀνθρωπότητος, θεωρεῖσθαι τὴν ἄγνοιαν. καὶ τοῦτο καὶ ὁ θεολόγος ἐτράνωσεν, εἰπὼν „γινώσκει μὲν ὡς θεός, ἀγνοεῖ δὲ ὡς ἄνθρωπος, ἄν τις τὸ φαινόμενον χωρίσῃ τοῦ νοουμένου.“ ταῦτα εἰπὼν ἐπάγει ὡς εἰ καί τινες τῶν πατέρων τὴν ἄγνοιαν ἐπὶ τῆς κατὰ τὸν σωτῆρα παρεδέξαντο ἀνθρωπότητος, οὐχ ὡς δόγμα τοῦτο προήνεγκαν, ἀλλὰ πρὸς τὴν τῶν Ἀρειανῶν μανίαν ἀντιφερόμενοι, οἳ καὶ τὰ ἀνθρώπινα πάντα ἐπὶ τὴν θεότητα τοῦ μονογενοῦς μετέφερον, ὡς ἂν κτίσμα τὸν ἄκτιστον λόγον τοῦ θεοῦ παραστήσωσιν, οἰκονομικώτερον ἐδοκίμασαν ἐπὶ τῆς ἀνθρωπότητος ταῦτα φέρειν ἢ παραχωρεῖν ἐκείνους μεθέλκειν ταῦτα κατὰ τῆς θεότητος. εἰ δὲ κατὰ ἀναφορὰν κἀκείνους δοίη ταὐτά τις εἰπεῖν, τὸν εὐσεβέστερον λόγον ἀποδέξεται. Ταῦτα διελθὼν πέρατι περιβάλλει τὸν λόγον.

Τελευταῖον δὲ περιεῖχε τὸ βιβλίον λόγον ἐπιγραφὴν φέροντα „ὅρος ἐκφωνηθεὶς τοῖς Σαμαρείταις.“ ἡ δὲ ὑπόθεσις πρόκειται τοιαύτη. τῶν Σαμαρειτῶν τὸ πλῆθος εἰς ἀντικειμένας μερίδας διαιρεθέντες καὶ στασιάσαντες πρὸς ἀλλήλους καὶ ἀλλοφύλοις ἑαυτοὺς ἀποδιατειχίσαντες δόξαις, οἱ μὲν Ἰησοῦν τὸν Ναυῆ ἐδόξαζον εἶναι περὶ οὗ Μωσῆς εἶπε „προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ,“ οἱ δὲ τοῦτον μὲν παρεγράφοντο, Δοσθῆν δέ τινα τοὔνομα ἢ Δοσίθεον ἀνεκήρυττον, Σαμαρείτην μὲν καὶ αὐτὸν τὸ γένος, συνακμάσαντα δὲ κατά γε τοὺς χρόνους Σίμωνι τῷ μάγῳ· καὶ τοῦτον εἶναι τὸν προφητευθέντα τερατευόμενοι ἐξ αὐτοῦ τὴν ἐπωνυμίαν ἔφερον, Δοσθηνοὶ καλούμενοι. οὗτος δὲ ὑβριστὴς μὲν γέγονε τῶν τοῦ θεοῦ προφητῶν, ὑβριστὴς δὲ μάλιστα τοῦ Ἰούδα τοῦ ἑνὸς τῶν δώδεκα πατριαρχῶν, μηδὲ τοὺς περὶ αὐτοῦ μυρίους ἐπαίνους παρὰ τῆς Μωσαϊκῆς γραφῆς αἰσχυνθείς. τοὺς οὖν εἰρημένους πάντας πλύνων καὶ διαγελῶν, εἰς ἑαυτὸν πάντα καὶ τὴν προφητείαν καὶ τὴν ἄλλην περιέσπα θειότητα. μυρίαις δὲ καὶ ποικίλαις ἄλλαις νοθείαις τὴν Μωσαϊκὴν ὀκτάτευχον κατακιβδηλεύσας, καὶ ἕτερά τινα συγγράμματα μωρά τε καὶ ἀλλόκοτα καὶ ἀπεναντία πνευματικῆς νομοθεσίας συντεταχὼς 467 H. τοῖς πειθομένοις κατέλιπεν. ἀπεκήρυττε δὲ καὶ τὴν ἀνάστασιν. αἱ μὲν οὖν μερίδες οὕτω εἰς ἀντιπάλους καὶ βλασφήμους δόξας διετέτμηντο. ἐπιδιδόασι δὲ καὶ λιβέλλους ὑπέρ τε τοῦ οἰκείου φρονήματος καὶ κατὰ τοῦ ἀντικειμένου, μερὶς ἑκατέρα τὸν παρ᾽ αὐτοῖς πρεσβευόμενον προφήτην εἶναι προτιμῶσα. καθίζει δὲ τούτων δικαστὴς ὁ ἱερὸς Εὐλόγιος μετὰ συνόδου ἀρχιερεῖς τε τῶν ἐπισήμων καὶ τοὺς λαμπροὺς τῶν ἐν ἀξιώμασι πλήρωμα ποιουμένης· Μαρκιανὸς δὲ τηνικαῦτα, ὃς τοῖς Ῥωμαϊκοῖς ἐνίδρυτο σκήπτροις, ἕβδομον ἔτος ἤνυε τῆς βασιλείας. γυμνάσας δὲ τὰ παρ᾽ ἑκατέρων λεγόμενα ὁ ἱερὸς Εὐλόγιος, καὶ τῆς ἀληθείας ἑκατέρους διελέγξας μακρὰν ἀφισταμένους, τὸν μὲν προφητευόμενον γραφικοῖς παρέστησε ῥητοῖς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεὸν εἶναι, τοὺς δὲ μακράν τε καὶ χαλεπωτάτην ἀποπλανηθῆναι πλάνην, τοὺς μὲν Ἰησοῦν τὸν τοῦ Ναυῆ τὸν προφητευόμενον εἶναι κενολογοῦντας, τοὺς δὲ Δόσθην ἢ Δοσίθεον τὸν δυσσεβῆ τερατολογοῦντας. καὶ οὕτω τὸν σύλλογον διαλύει, συντελευτώσης αὐτῷ καὶ τῆς ὑποθέσεως καὶ τῆς ἐκφωνήσεως καὶ τοῦ περιελθόντος εἰς τὰς ἡμετέρας χεῖρας τρίτου τεύχους.

ἐν τούτῳ τῷ βιβλίῳ τὴν ἀνάστασιν ὁ συγγραφεὺς ἐκ τῶν Μωσαϊκῶν μαρτυριῶν ἐπιδεικνύναι σπεύδων τοιαῦτά φησιν. εἰ μὴ πανάληθες ἦν τὸ τῆς ἀναστάσεως χρῆμα, πῶς ἔλεγε πρὸς Ἀβραὰμ ὁ θεὸς „σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου μετ᾽ εἰρήνης, ταφεὶς ἐν γήρει καλῷ;“ πῶς γὰρ ἂν ἀπῄει καὶ πρὸς ποίους, εἰ μηδαμῶς μηκέτι μήτε αὐτὸς ἔμελλεν εἶναι μήτε πρὸς οὓς ἀπῄει; πῶς δὲ πάλιν μετ᾽ ὀλίγα τὸ ἱερὸν λόγιόν φησι περὶ αὐτοῦ „καὶ ἐκλιπὼν ἀπέθανεν Ἀβραὰμ ἐν γήρει καλῷ, πρεσβύτης καὶ πλήρης ἡμερῶν, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ;“ τίς γὰρ τοῦ μὴ ὄντος προσθήκη, καὶ πῶς προστίθεται τοῖς μὴ οὖσι τὸ ὄν; τί δὲ λέγει καὶ περὶ τοῦ Ἰακὼβ ὅτι „συνήχθησαν πάντες οἱ υἱοὶ αὐτοῦ καὶ πᾶσαι αἱ θυγατέρες, καὶ ἦλθον παρακαλέσαι αὐτόν, καὶ οὐκ ἤθελε παρακαλεῖσθαι, λέγων ὅτι καταβήσομαι πρὸς τὸν υἱόν μου

a. 4. ἴδια A. 23. διελθὼν A: δὴ περιελθὼν ς. 32. τοῦτο ς. 34. γε A: τε ς. 39. αὐτὸν ς.
b. 4. ἀπ᾽ ἐναντίας A. 8. τε add A. 13. Μαρκιανὸς] Μαυρίκιος Fabricius. 31. τραφεὶς A. 33. αὐτὸς] οὗτος A. 39. τὸ ὄν] rectius τὸ μὴ ὄν. cf. p. 286 a 7. 41. ἦλθον] ἤθελον A.

πενθῶν εἰς Ἅιδην;" πῶς γὰρ ἂν ἐπινοηθείη κάθοδος τοῦ μὴ ὄντος; πῶς δὲ καὶ κατέβαινε καὶ πρὸς τὸν υἱὸν τὸν μηδαμῇ μηδαμῶς κατὰ τὸν Δοσιθέου δύσφημον λῆρον δυνάμενον εἶναι; πάλιν δὲ τοὺς υἱοὺς εὐλογήσας ὁ Ἰακὼβ φησιν „ἐγὼ δὲ προστίθεμαι πρὸς τὸν λαόν μου." εἰ γὰρ περατουμένην ᾔδει τὴν ὕπαρξιν αὐτοῦ τῷ πέρατι τοῦ παρόντος βίου, πῶς ἔλεγε προστίθεσθαι μὴ ὢν αὐτὸς τῷ μηδαμῇ μηδαμῶς ὄντι αὐτοῦ λαῷ; ὅρα δέ, καὶ αὐτὸς ὁ δεσπότης καὶ θεὸς τῶν ὅλων τί λέγει τῷ Μωσεῖ, ὅτε αὐτὸν εἰς τὸ ὄρος ἀναβιβάζει τὸ πέραν Ναβαῦ, καὶ τὴν γῆν ἐπιδεικνύει ἣν ἔμελλε κατακληροδοτεῖν τῷ Ἰσραήλ; ἐπάγει γὰρ „καὶ ὄψει αὐτήν· εἶτα καὶ προστεθήσῃ πρὸς τὸν λαόν σου καὶ σύ, 888 R. καθὰ προσετέθη καὶ Ἀαρὼν ὁ ἀδελφός σου." ἐκεῖνο 468 H. δὲ τίνας οὐκ ἂν δυσωπήσειεν, αὐτοῦ τοῦ θεοῦ διακεκραγότος καὶ λέγοντος „ἐγώ εἰμι ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακώβ;" πῶς γὰρ ἂν εἴη θεὸς ὁ ἀληθινὸς θεὸς τῶν μηκέτι ἐσομένων ἀλλὰ ἀποφθαρέντων εἰς τὸ μὴ ὄν; τί δὲ καὶ τὸν κατὰ ἀνατολὰς παράδεισον ἐφύτευσε, τὸν ἐν Ἐδέμ, ἐν ᾧ τὸν ἄνθρωπον ὃν ἔπλασεν ἔθετο, εἰ ἐκεῖνον μὲν εὐθὺς παραβήσεσθαι ᾔδει καὶ τοῦ χωρίου γενησόμενον ὑπερόριον, μηδένα δὲ τῶν μετὰ ταῦτα ἀνθρώπων μέλλοντα πάλιν οἰκήσειν αὐτόν; εἰ γὰρ ἕκαστος καὶ τῶν εὐσεβῶς βεβιωκότων καὶ τῶν δυσσεβῶς πολιτευσαμένων μετὰ τὸ στάδιον τοῦ παρόντος βίου πρὸς τὸ μὴ ὂν ἀναλύεται, καὶ οὐδεὶς οὐκέτι διαμένει ὥστε καὶ παράδεισον κληρονομεῖν καὶ τῆς ἐν αὐτῷ τρυφῆς ἀπολαύειν ἱερᾶς, πῶς οὐ μάτην αὐτὸν γεγενῆσθαι ἡ τοιαύτη ἀγνώμων καὶ δυσσεβὴς ὑπόληψις ἀποφανεῖ, καὶ διὰ τῆς εἰς ἐκεῖνον ὕβρεως τὸν κοινὸν ἐξυβρίσει δημιουργόν, ἐκεῖνα πράττειν κατηγορῶν, ἃ μηδὲ μέτριος ἄν τις διαπράξοιτο ἀνήρ;

οὕτω τὸ δυσσεβὲς περὶ ἀναστάσεως διὰ τῶν ἱερολογιῶν Δοσιθέου κήρυγμα καταβαλών, καὶ ὅτι φθαρτὸς ὁ κόσμος (ἐκεῖνος γὰρ φθαρτὴν μὲν τὴν ψυχήν, ἄφθαρτον δὲ τοῦτον ἐτερατολόγει), καὶ ὅτι τῶν ἀγγέλων ἡ φύσις παρὰ θεοῦ ὑπέστη (τῶν γὰρ μὴ ὄντων καὶ τούτων τὴν φύσιν ἐκεῖνος ὁ ληρώδης ἐνόμιζε), ναὶ δὴ καὶ ὅτι τὸ δαιμόνιον γέγονέ τε καὶ διαμένει φῦλον (οἱ γὰρ Δοσιθηνοὶ τὰ μὲν εἴδωλα δαίμονας ἔλεγον, ἄλλο δέ τι δαιμόνιον φῦλον οὐκ ἐγίνωσκον), εἰς πολλὴν αὐτὸν ἐλάσαι φρενοβλάβειαν διήλεγξεν.

ἐν τούτῳ τῷ βιβλίῳ ἀπορίαν προθείς, ὅτι πολλῶν ὄντων ζώων ἃ τῆς τῶν καθαρῶν ἐτάχθη μερίδος, διὰ τί πέντε μόνα ἐθυσιάζοντο τοῖς παλαιοῖς καὶ ἱερουργοῦντο, τράγος καὶ κριὸς καὶ βοῦς, τρυγὼν καὶ περιστερά; καὶ ἐπιλύεται, τύπον μὲν εἶναι λέγων τὰ παλαιά, καὶ τὰ πλείω εἰς αἰνιγμάτων ἀναφέρεσθαι θεωρίαν, πέντε δὲ ἐκ τῶν καθαρῶν ἱερουργεῖσθαι, ὥστε δὴ καὶ τὰς ἡμετέρας αἰσθήσεις τὸν ἴσον ἀριθμὸν ὑποβαλλόμενος· ταύτας γὰρ ἡμᾶς κεκαθαρμένας προσάγειν τῷ λόγῳ νομοθετεῖ τε καὶ βούλεται ὁ νομοθέτης. Ἀλλὰ τὰ μὲν τῆς ἐκλογῆς ἐν τούτοις.

## 231.

Ἀνεγνώσθη ΣΩΦΡΟΝΙΟΥ Ἱεροσολύμων πατριάρχου συνοδική, ἣ ἀπεστάλη ἐν Ῥώμῃ Ὀνωρίῳ τῷ ταύτης ἐπάρχοντι. αὕτη ἡ ἐπιστολὴ πλήρης μέν ἐστιν εὐσεβείας, ἐννεωτερίζει δὲ πολλαχοῦ τοῖς ῥήμασι, καθάπερ τις πῶλος ἐπιγαυρούμενος τοῖς σκιρτήμασι. πλὴν τήν τε ὀρθόδοξον ὡς μάλιστα γνώμην ἐξακριβοῖ, καὶ τῶν ἱερῶν δογμάτων οὐ τὴν τυχοῦσαν μάθησιν ἐπιδείκνυται. ἐν ταύτῃ τῇ ἐπιστολῇ εὑρήσεις καὶ Μάγνον σὺν Ἀπολιναρίῳ ἀναθεματιζόμενον, καὶ Θεοδώρητον τῆς ἐκκλησίας οὐκ ἀποκηρυττόμενον, εἰ καὶ ἐν οἷς Κυρίλλου κατεψηφίσατο τὸ ἀδόκιμον καὶ μεμπτὸν ἀπηνέγκατο. ἀλλὰ καὶ ὡς ἄλλος μέν ἐστιν Ὠριγένης ὁ παλαιός, ἕτερος δὲ ὁ μετ' ἐκεῖνον, ὁ ἐπικληθεὶς ἀδαμάντιος· καὶ ὡς τοῖς ἄλλοις αἱρετικοῖς συναναθεματίζεται ὁ Σύρος Ἰάκωβος, ἐξ οὗ τὴν ἐπωνυμίαν τὸ τῶν Ἀκεφά- 469 H λων αἱρετικῶν εἵλκυσε σύστημα. αἰτεῖται δὲ ἡ ἐπιστολή, καὶ εἴ τι παρώφθη τῶν ὀφειλόντων ῥηθῆναι, τὸν Ῥώμης Ὀνώριον οἷα δὴ καὶ δυνάμενον ταύτης ποιήσασθαι καὶ 889 R τὴν διόρθωσιν καὶ τὴν ἀναπλήρωσιν· μεγάλην δ' ἂν ὁμολογήσειν τὴν χάριν, εἰ μὴ διαμάρτοι τῆς αἰτήσεως, καὶ μηδέποτε φανῆναι τῆς εὐεργεσίας ἀγνώμονα. Ἀλλὰ ταῦτα μὲν ἐν τῷ βιβλίῳ ἔλεγεν ἡ συνοδικὴ Σωφρονίου τοῦ ἁγιωτάτου ἐπιστολή.

Ἐν δὲ τῷ αὐτῷ περιείχοντο τεύχει χρήσεις ἁγίων καὶ διαφόρων πατέρων, τῶν τε προγενεστέρων τῆς τετάρτης συνόδου καὶ τῶν κατ' αὐτὴν ἀκμασάντων καὶ τῶν ἔτι μεταγενεστέρων. αἱ δὲ χρήσεις τὴν διπλῆν ἐνέργειαν ἐπὶ Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀνεκήρυττον, ὧν πατέρες καὶ γεννήτορες ἦσαν Λέων τε ὁ τῆς πρεσβυτέρας Ῥώμης ἀρχιερεύς, καὶ αὐτὴ ἡ τετάρτη καὶ οἰκουμενικὴ

a. 9. δεσπότης om B. 11. ναβὰτ B. 24. εὐσεβῶς A. 26. διαλύεται A. 30. ἀποφαίνει A. 35. μὲν A: ἐπὶ ς. 38. τούτων τὴν φύσιν B, τοῦτον φῦσιν C et pr A.

b. 1. προσθεὶς ς. 8. ὑποβαλλόμενος] fortasse legendum ὑποβαλλομένας. 16. πολλαχοῦ A: πανταχοῦ ς. 25. ὁ ante ἐπικληθεὶς om A.

Digitized by Google

ἁγία σύνοδος, Πέτρος τε ὁ Μύρων ὁσιώτατος ἐπίσκοπος, καὶ Γεννάδιος ὁ Κωνςαντινȣπόλεως, καὶ ὁ τῆς Φωτικῆς ἐπίσκοπος ὄνομα Διάδοχος, καὶ Ἐφραίμιος ὁ τῆς Ἀντιοχείας ἀρχιερεύς, ὃς καὶ κατὰ τῶν Ἀκεφάλων ἐν πολλοῖς συντάγμασι γενναίως ἠνδρίσατο, ϗ Διονύσιος ὁ πολὺς μὲν τὴν γλῶσσαν πλείων δὲ τὴν θεώρίαν, ὁ μαθητὴς Παύλȣ καὶ τȣ̃ Χριςȣ̃ μάρτυς ϗ τῶν Ἀθηνῶν ἐπίσκοπος, καὶ Ἰȣςῖνος ὁ μαρτυρικοῖς αἵμασι βεβαιώσας τὸ φιλόσοφον, καὶ ὁ πολύαθλος Ἀλεξανδρείας Ἀθανάσιος, Γρηγόριός τε ὁ τῆς θεολογίας μυςαγωγός, καὶ τῆς ἐκκλησίας ὁ κόσμος Βασίλειος, καὶ ὁ ποταμὸς τῶν λόγων ὁ Νύσσης Γρηγόριος, καὶ ὁ νικηφόρος Κύριλλος, καὶ ὁ τῆς ἐνθέȣ παῤῥησίας γνώμων ἀκίνητος καὶ τῆς εὐσεβείας, ὁ Μεδιολάνων Ἀμβρόσιος, καὶ ὁ χρυσȣ̃ς τὴν γλῶτταν καὶ τὸ ςόμα Ἰωάννης ὁ Κωνςαντινουπόλεως ἐπίσκοπος, καὶ Σεβηριανὸς ὁ Γαβάλων, καὶ ὁ ἐν ἁγίοις Θεόδοτος (Ἀγκύρας ȣ̃τος ἐπεςάτησε), καὶ Ἰωάννης ὁ Κωνςαντινȣπόλεως, ὁ ἐκ Καππαδοκίας ἕλκων τὸ γένος ϗ τὸ ἐπώνυμον, ἀνὴρ ἀρετῆς οἰκητήριον, καὶ ὁ ἐν ἁγίοις Εὐλόγιος, ὁ τῆς Ἀλεξανδρείας ἀρχιεπίσκοπος, ὁ πολλοῖς λόγοις καταβαλὼν τὴν τῶν Ἀκεφάλων δυσσέβειαν, καὶ Ἰωάννης ὁ ἐν ἁγίοις ἐπίσκοπος Σκυθοπόλεως, ὃς καὶ ὑπὲρ τῆς ἐν Καλχηδόνι συνόδȣ σοφῶς τε ϗ θεοφρόνως ἐσπȣ́δασε, ϗ Ἡρακλειανὸς ὁ Καλχηδόνος ἐπίσκοπος, ὁ πολὺν κατὰ τῶν θεομάχων Μανιχαίων ἀγῶνα βαλόμενος, καὶ Λεόντιος ὁ τὴν ἐρημικὴν πολιτείαν ϗ τὸν μονάδα βίον ἑλόμενος, Ἀναςάσιός τε ὁ ἐν ἁγίοις Θεȣπόλεως ἐπίσκοπος, ϗ Συμεώνιος μοναχὸς καὶ πρεσβύτερος (ἡ δὲ χρῆσις ἡ τὸν ὅσιον ἐπιγινώσκȣσα ἐξ ἐπιςολῆς ἐςὶν ἣν πρὸς τὸν Ἰȣςινιανὸν βασιλέα διεπέμψατο, ἣ καὶ κατὰ Νεςοριανῶν τε καὶ Εὐτυχιανιςῶν τὸν ἀγῶνα ἔχει· αὐτός τε Ἰȣςινιανὸς ὁ εὐσεβὴς βασιλεύς, ἐν οἷς πρὸς Ζώϊλον ἔγραψε — πατριάρχης δ' Ἀλεξανδρείας ȣ̃τος ἦν — καὶ τὴν ἐπιςολὴν Θησαυρὸν ἐπωνόμασε), καὶ δὴ ϗ Κωνςαντῖνός τις, τῶν κυαιςώρων φέρων τὸ ἀξίωμα· καὶ γὰρ ȣ̃τος λόγον κατὰ Θεοδοσίȣ τȣ̃ δυσσεβȣ̃ς ἐσπούδασεν,
90 H. ἐξ οὗ χρήσεις περὶ τῶν δύο ἐνεργειῶν "συναναγράφονͅ. ἐπὶ πᾶσι καὶ Θεόφιλός τις τῶν θεοφιλῶν καὶ λογίων, ὃς κατὰ Σεβήρȣ πολὺν ἐν λόγοις ἀγῶνα διήνεγκεν· ὃν καὶ δυχεραίνων ϗ διαπληκτιζόμενος ὁ δυσσεβὴς καλλιγράφον ὁ κακογράφος, οἷα δὴ ἐνυβρίζων, ὠνόμαζεν. αἱ μὲν ȣ̃ν χρήσεις, ἃς ἡ βίβλος περιεῖχε, τȣ̀ς εἰρημένους ἱεροὺς ἄνδρας πατέρας ἐπεγράφοντο, χρήσιμοι δ' ἂν εἶεν πρὸς ἔλεγχον τῶν φρονȣ́ντων ἐπὶ Χριςοῦ δυσσεβῶς μίαν ἐνέργειαν. περιείχετο μέντοι ταῖς εἰρημέναις καὶ ἐξ ἀνεπιγράφȣ χρῆσις· τὸ δὲ σύνταγμα, ἐξ οὗ ἡ χρῆσις, Σεβῆρον ὑπεδείκνυ γενναίως τοῖς λόγοις καταβαλλόμενον.

## 232.

892 R. "Ἀνεγνώσθη βιβλίον ΣΤΕΦΑΝΟΥ τινὸς τριθεΐτȣ, ᾧ ἐπίκλην ὁ Γόβαρος. τὸ δὲ βιβλίον πόνων μὲν ἐδόκει μακρῶν, κέρδος δ' ἔφερε τῆς πολλῆς ȣ̓χ ὅμοιον σπȣδῆς· φιλοτιμίαν γὰρ μᾶλλον ἢ χρείαν ἐπεδείκνυτο περιττήν. ἀλλὰ γὰρ τὰ μὲν κεφάλαια περὶ ὧν ἡ σπȣδή, καὶ ὅσα εἰς κοινὰς ϗ ἐκκλησιαςικὰς ἀνεφέρετο ζητήσεις, μικρȣ̃ β' ϗ ν' ἦν, μερικωτέρων τινῶν ȣ̓ πολλῶν τȣ́τοις παρεμβεβλημένων. ταῦτα δὲ διτταὶ δόξαι κατεμερίζοντο, καὶ ȣ̓ διτταὶ μόνον ἀλλὰ ϗ ἀντικείμεναι. τὰς δὲ δόξας ȣ̓ λογισμοί τινες ȣ̓δὲ λόγια συνεκρότȣν ἱερά, χρήσεις δὲ μόνον, ὡς ὁ γράφων ἐνόμιζε, διαφόρων πατέρων, ὧν αἱ μὲν τὸ ἐκκλησιαςικὸν φρόνημα, αἱ δὲ συνεκρότουν τὸ ἀπόβλητον. ἀλλὰ τὸ μὲν ἀπόβλητον παλαιαί τε χρήσεις καὶ παλαιῶν ἀνδρῶν, οὐ πάντα πρὸς ἀκρίβειαν ἐξετασάντων, περιέθαλπον, ὧν ἐνίων μὲν ȣ̓δ' ἔθαλπον, ἐδόκȣν δὲ θάλπειν ὅμως τῷ συλλέγοντι ταύτας· τὸ δὲ φρόνημα τὸ ἐκκλησιαςικὸν αἱ τῶν μάλιςα τὴν ἀλήθειαν ἐξακριβωσάντων ἱερῶν ἀνδρῶν ἐβεβαίȣν μαρτυρίαι. ἔςι δὲ τὰ κεφάλαια, περὶ ὧν ἡ διὰ τῶν χρήσεων διπλῆ καὶ ἀντικειμένη σπουδάζει κατασκευή, ταῦτα.

ὅτι τὸ ἰδίωμα καὶ ὁ χαρακτὴρ καὶ ἡ μορφὴ ὑπόςασίς ἐςιν, ἀλλ' ȣ̓χὶ συμπλοκὴ τῆς ȣ̓σίας ϗ τȣ̃ ἰδιώματος, ȣ̓δὲ τὸ αὐθυπόςατον. τȣ̃το μὲν αἱ χρήσεις κατασκευάζȣσι πρότερον, εἶτα πάλιν ὕςερον τὸ ἐναντίον ἕτεραι, τȣτέςιν ὅτι τὸ ἰδίωμα καὶ ἡ μορφὴ ϗ ὁ χαρακτὴρ οὐκ ἔςιν ὑπόςασις ἀλλὰ τῆς ὑποςάσεως χαρακτήρ. ϗ ἐπὶ τῶν ἄλλων κεφαλαίων, ἵνα μὴ τὰ αὐτὰ καθ' ἕκαςον λέγειν συναναγκασθείημεν, τὴν ἀντίθεσιν αἱ διάφοροι χρήσεις ἀπολαμβάνȣσαι δοκȣ̃σιν ἑκατέρωθεν συνιςᾷν τὸ προτεινόμενον. ὡς ὁ βαπτιςὴς Ἰωάννης Ὀκτωβρίῳ μηνὶ συνελήφθη. οὐ τὸ ἀντικείμενον, ὡς ȣ̓κ ἐν τȣ́τῳ ἀλλ' ἐν τῷ Νοεμβρίῳ. ὡς ἡ θεοτόκος τὴν δεσποτικὴν σύλληψιν ἐν τῷ μηνὶ τῶν νέων εὐηγγελίσθη, οἷον Ἀπριλλίῳ, ὃν Ἑβραῖοι Νισὰν

a. 3. Εὐφραίμιος ς. 6. πλεῖον ς. 8. Ἀθηναίων ς. 25. ἡρακλιανὸς A. 27. βαλόμενος B: βαλλόμενος ς. 33. τε ὁ Ἰους. ς. 43. καλλιγράφων ς. b. 5. χρήσεις A. 12. περισσὴν ς. 43. ὃν οἱ Ἑ. ς. νισᾶν A.

Digitized by Google

καλοῦσι· τέτοκε δὲ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μηνῶν συντελεσθέντων θ', τουτέστιν Ἰανουαρίῳ ε', κατὰ τὸ μέσον τῆς νυκτὸς ἥτις ἐστὶ πρὸ ὀκτὼ εἰδῶν Ἰανουαρίων.
471 H. τὸ δὲ τούτου ἀντικείμενον, "ὡς οὐκ ἐν τῷ εἰρημένῳ μηνὶ ἀλλ' ἐν πέμπτῃ καὶ εἰκάδι τοῦ Μαρτίου εὐηγγελίσθη, ἐτέχθη δὲ ὁ σωτὴρ ἡμῶν οὐκ Ἰανουαρίῳ πέμπτῃ ἀλλὰ πρὸ ὀκτὼ καλανδῶν Ἰανουαρίων. ὅτι ἐν τῇ ἀναστάσει τὸ αὐτὸ σῶμα κατὰ πάντα, ὃ καὶ νῦν περικείμεθα, ἀποληψόμεθα, μηδεμίαν διαφορὰν ἐπὶ τὸ ἄφθαρτον προσειληφότες· καὶ τὸ ἀντικείμενον, ὡς οὐ τὸ αὐτὸ σῶμα τῷ νῦν ἀναληψόμεθα φθειρομένῳ. ὅτι ἐν τῷ αὐτῷ σχήματι ἀναστησόμεθα· καὶ ὅτι οὐκ ἐν τῷ αὐτῷ ἀλλ' ἐν ἑτέρῳ. ὅτι καθ' ἣν ἡλικίαν ἕκαστος τὸν βίον μετήλλαξεν, κατὰ ταύτην καὶ ἀναστήσεται· τὸ δὲ ἀντικείμενον, ὅτι οὐχ οὕτως, ἀλλὰ καὶ τὰ παιδία ἐν τελείῳ σχήματι ἀναστήσονται, καὶ οὐκ ἀθρόον πάντες ἀλλὰ παρὰ μέρος. ὅτι λεπτὸν καὶ ἀερῶδες καὶ αἰθέριον καὶ πνευματικὸν ἐν τῷ καιρῷ τῆς ἀναστάσεως ἀποληψόμεθα τὸ σῶμα· καὶ ὅτι οὐ τοιοῦτον ἀλλὰ γήϊνον καὶ
893 R. παχὺ καὶ ἀντίτυπον. "ὅτι τὸ θεῖον ἀνθρωπόμορφον καὶ ἔμψυχον, καὶ ὅτι τὸ κατ' εἰκόνα τὸ σωματικὸν σχῆμα δηλοῖ, καθ' ὃ καὶ ὁ ἄνθρωπος πρὸς μίμησιν τοῦ ἀρχετύπου διαπέπλασται, καὶ ὡς οἱ ἄγγελοι σώματά τε ἔχουσιν ὁμοιόσχημα τῶν ἀνθρωπίνων σωμάτων, καὶ ὡς ἐκ τῆς θείας οὐσίας ἡ ἀνθρωπίνη προελήλυθε ψυχή· καὶ τὰ ἀντικείμενα τούτοις, ὡς οὔτε τὸ θεῖον ἀνθρωπόμορφον οὔτε ὅλως ἐσχηματισμένον, ἀλλ' οὔτε ἄλλο τι πέφυκεν εἶναι τῶν προειρημένων· ὡσαύτως δὲ οὐδ' οἱ ἄγγελοι σώματα ἀλλ' ἀσώματοι, καὶ ὡς ἡ τῶν ἀνθρώπων ψυχὴ οὐκ ἐκ τῆς θείας οὐσίας. ὅτι ἄλλο ἦν τὸ πρὸ τῆς παραβάσεως τοῦ ἀνθρώπου σῶμα, ὅπερ καὶ αὐγοειδὲς καλοῦσι, καὶ ἄλλο τὸ μετὰ τὴν παράβασιν, ὃ νυνὶ περικείμεθα σάρκινον, καὶ τοῦτό ἐστιν οἱ δερμάτινοι χιτῶνες, ὅπερ καὶ ἀποτιθέμεθα ἐν τῇ ἀναστάσει· καὶ ἐκ τοῦ ἐναντίου, ὅτι οὐχ ἡ σὰρξ ἡμῶν οἱ δερμάτινοι χιτῶνες. ὅτι πρότερον οἱ δίκαιοι ἀναστήσονται, καὶ σὺν αὐτοῖς πάντα τὰ ζῶα, καὶ ἐπὶ χίλια ἔτη τρυφήσουσιν ἐσθίοντες καὶ πίνοντες καὶ τεκνοῦντες, καὶ μετὰ τοῦτο ἡ καθολικὴ ἐπιστήσεται ἀνάστασις· καὶ ἐκ τοῦ ἐναντίου, ὅτι τῶν δικαίων προανάστασις οὐκ ἔστιν, οὐδὲ ἡ χιλιονταετὴς τρυφή, οὐδὲ ὁ γάμος. ὅτι μετὰ τὴν ἀνάστασιν ἐν παραδείσῳ τῶν δικαίων ἔσται ἡ διατριβή, καὶ ὅτι οὐκ ἐν παραδείσῳ ἀλλ' ἐν τοῖς οὐρανοῖς, καὶ ὡς ὁ παράδεισος οὔτε ἐν τῷ οὐρανῷ οὔτε ἐπὶ τῆς γῆς ἀλλὰ τούτων μεταξύ. ὡς ὁ παράδεισος ἡ ἄνω ἐστὶν Ἱερουσαλήμ, καὶ ἐν τῷ τρίτῳ ἐστὶν οὐρανῷ, καὶ τὰ ἐν αὐτῷ ξύλα νοερά τέ εἰσι καὶ σύνεσιν ἔχουσι καὶ λόγον, καὶ ὡς ὁ ἄνθρωπος μετὰ τὴν παράβασιν ἐκεῖθεν ἐπὶ τὴν γῆν κατηνέχθη. εἶτα καὶ τὸ ἀντικείμενον, ὅτι ὁ παράδεισος οὐκ ἔστιν ἐν τῷ τρίτῳ οὐρανῷ ἀλλ' ἐπὶ τῆς γῆς. "ὅτι τὰ ἡτοιμασμένα 472 H.
τοῖς δικαίοις ἀγαθὰ οὔτε ὀφθαλμὸς εἶδεν οὔτε οὖς ἤκουσεν οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· Ἡγήσιππος μέντοι, ἀρχαῖός τε ἀνὴρ καὶ ἀποστολικός, ἐν τῷ πέμπτῳ τῶν ὑπομνημάτων, οὐκ οἶδ' ὅ τι καὶ παθών, μάτην μὲν εἰρῆσθαι ταῦτα λέγει, καὶ καταψεύδεσθαι τοὺς ταῦτα φαμένους τῶν τε θείων γραφῶν καὶ τοῦ κυρίου λέγοντος „μακάριοι οἱ ὀφθαλμοὶ ὑμῶν οἱ βλέποντες καὶ τὰ ὦτα ὑμῶν τὰ ἀκούοντα" καὶ ἑξῆς. ὅτι οἱ ἐν τῇ κολάσει παραδιδόμενοι τῶν ἁμαρτωλῶν καθαίρονται τῆς κακίας ἐν αὐτῇ, καὶ μετὰ τὴν κάθαρσιν ἀπολύονται τῆς κολάσεως. εἶτα καὶ ὅτι οὐ πάντες οἱ παραδοθέντες τῇ κολάσει καθαίρονται καὶ ἀπολύονται, ἀλλά τινες· καὶ ὅτι, ὅπερ ἐστὶν ἀληθὲς τῆς ἐκκλησίας φρόνημα, οὐδεὶς ἀπολύεται τῆς κολάσεως. ὅτι τὸ καίεσθαι καὶ μὴ κατακαίεσθαι φθοράν ἐστιν ἄφθαρτον φθείρεσθαι. Τίτος δὲ ὁ ἐπίσκοπος Βόστρων, κατὰ Μανιχαίων γράφων, ἐν τῷ πρώτῳ λόγῳ φησὶ „πῶς ἂν εἴη φθορὰ ἑαυτῆς ἡ φθορά; πάντως γὰρ ἕτερόν τι φθείρει, οὐχ ἑαυτήν. εἰ δὲ ἑαυτὴν ἔφθειρεν, οὐδὲ τὴν ἀρχὴν ἂν ὑπέστη· φθαρήσεται γὰρ ἑαυτὴν μᾶλλον φθείρουσα ἢ οὖσα· φθορὰν γὰρ ἄφθαρτον ἀδύνατον κατά γε τὰς κοινὰς ἐννοίας ἐπινοηθῆναί ποτε." καὶ δῆλον ὅτι ὁ μὲν ἱερὸς οὗτος ἀνὴρ καθ' ἑτέραν ἔννοιαν εἶπεν ἀδύνατον εἶναι τὴν φθορὰν ἄφθαρτον, ὁ δὲ θεσπέσιος Ἰωάννης καθ' ἑτέραν· ὁ μὲν γὰρ τὴν φθορὰν ἄφθαρτον εἶπεν ἀντὶ τοῦ διαιωνίζουσαν καὶ διὰ παντὸς γινομένην, "ὁ δὲ τὴν 896 R.
φθορὰν ἄφθαρτον μὴ εἶναι, τουτέστι μὴ δύνασθαι τὴν φθορὰν ἀπάθειαν εἶναι καὶ ἀφθαρσίαν καὶ σωστικὴν τῶν ὑποκειμένων. ἀλλ' οὕτως ἐχούσης ἑκατέρας διανοίας, ὁ πατὴρ τῆς παρούσης σπουδῆς Γόβαρος τὴν διάφορον ἔννοιαν οὐ συνιεὶς ὡς ἀντικειμένας ἀλλήλαις παρέθηκε τὰς φωνάς. ὅτι ὁ μέλλων αἰὼν ὄγδοός ἐστι· καὶ τὸ ἀντικείμενον, ὡς οὐχ ὄγδοος ἀλλ' ἔνατος. ὅτι τὸ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ

a. 2. τελεσθ. ς. 8. αὐτὸ add *A*. 35. ἡμῶν ἐστιν οἱ *B*. 37. τρυφ. καὶ ἐσθ. ς. 39. ὅτι] ὅτι τε *A*. 41. ὁ om *A*.
b. 2. τῆς om *A*. 12. καὶ om *B*. 19. εἶτα καὶ ὅτι *A*: καίτοι ς. 35. ante τουτέστι cum *B* omisi haec: τουτέστι μὴ δύνασθαι τὴν φθορὰν ἄφθαρτον μὴ εἶναι. 37. ὑποκειμένων ἀπάθειαν. ἀλλ' ς.

Digitized by Google

σῶμα λεπτομερὲς μετὰ τὴν ἀνάστασιν γέγονε καὶ πνευματικὸν καὶ οὐράνιον καὶ κοῦφον καὶ μηδὲ ὑποπίπτον ἁφῇ, καὶ διὰ τοῦτο καὶ τῶν θυρῶν εἰσῆλθε κεκλεισμένων· καὶ ὡς τὸ ἁπτὸν καὶ παχυμερὲς σῶμα ἕτερόν ἐστι παρὰ τὸ λεπτομερές, καὶ ἀντίτυπον, καὶ οὐσίας διαφόρου. καὶ τοῦ εἰρημένου τὸ ἀντικείμενον, ὅτι ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς μετὰ τὴν ἀνάστασιν οὔτε ἀνέπαφον οὔτε λεπτομερὲς οὔτε πνευματικὸν εἶχε σῶμα, κατὰ θαυματουργίαν δὲ καὶ οὐ τῇ τοῦ σώματος φύσει τῶν θυρῶν εἰσῆλθε κεκλεισμένων. ὅτι ὁ Χριστὸς οὐκ ἀπέθετο τὴν σάρκα μετὰ τὴν ἀνάστασιν, ἀλλὰ μετὰ τῆς σαρκὸς ἐν δεξιᾷ καθέζεται τοῦ πατρός· καὶ ἐκ τοῦ ἀν-
635 B. τικειμένου, ὡς ἐλεύσεται μὲν κρῖναι ζῶντας καὶ νεκρούς, οὐκέτι δὲ σάρκα ἔχων ἀλλὰ θεοειδέστερον σῶμα. ὅτι οὐ μετὰ σαρκὸς ἀλλὰ γυμνῇ τῇ θεότητι κατὰ τὴν δευτέραν παρουσίαν ὁ δεσπότης παραγίνεται. τοῦτο δὲ θέμενος ὁ Γύβαρος εἰς κεφάλαιον, καὶ χρήσεις παραγαγὼν Τίτου ἐπισκόπου Βόστρων, μυρίας ἔχων ἑτέρας συναγαγεῖν αἳ κατασκευάζουσι τὸ μὴ γυμνῇ τῇ θεότητι παραγενέσθαι τὸν δεσπότην Χριστόν, πάσας παρῆκε καὶ οὐδεμιᾶς ἐμνήσθη, πανταχοῦ προπηδῶσαν αὐτοῦ τῆς ψυχῆς ἐπιδεικνὺς τὴν ἀσέβειαν, ἥτις ἐν τῇ ἀπαρνήσει τῆς σαρκὸς μίαν φύσιν δογματίζειν ἀναιδεύεται. ὅτι τὸ ἀπαθὲς καὶ ἄτρωτον καὶ ἀθάνατον σῶμα ἑτεροούσιόν ἐστι καὶ ἑτερογενὲς τῷ ἡμετέρῳ σώματι· καὶ ὅτι τὰ φθαρτὰ καὶ θνητὰ εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν μεταβάλλοντα τὴν κατ' οὐσίαν τροπὴν ἐπιδέχεται. ὅτι ἕκαστος ὅρος μένων ἐντελὴς τὴν τῶν ὁριστῶν διασώζει φύσιν· εἰ δέ τις τούτου ἀφέλοι τι ἢ προσθήσοι, τὸ ὁριστὸν διαλύεται. ταῦτα τοίνυν τὰ δύο κεφάλαια, ὥσπερ καὶ τὰ μικρῷ πρόσθεν εἰρημένα, μονομερῶς καὶ οὐκ ἐξ ἑκατέρου τῶν ἀντικειμένων τὰς χρήσεις ἐδέξαντο. ὅτι ὁ τοῦ θεοῦ λόγος ὅλος ἐστὶν ἐν τῷ παντὶ καὶ ὑπὲρ τὸ πᾶν, καὶ ὅλος ἐστὶν ἐν τῷ σώματι ὃ καθ' ὑπόστασιν ἥνωσεν ἑαυτῷ· καὶ ἁπλῶς ἡ τῆς θεότητος οὐσία καὶ φύσει καὶ τῇ δυνάμει καὶ τῇ ἐνεργείᾳ πάντα πληροῖ, καὶ δι' ἑκάστου τῶν ὄντων διϊστῇ πρὸς τὸ πᾶν ἀνακράσει. καὶ ὅτι οὐχ οὕτως, ἀλλ' ὁ θεὸς ἐκτός ἐστι τοῦ παντὸς κατ' οὐσίαν, ἐν πᾶσι δέ ἐστι ταῖς ἑαυτοῦ δυνάμεσιν. ὅτι πρὸ τῆς τοῦ κόσμου γενέσεως καὶ ἀγγέλους ὁ θεὸς ἔκτισε· καὶ ὅτι οὐχ οὕτως, ἀλλ' ἐν τῇ πρώτῃ τῆς κοσμογενείας ἡμέρᾳ. ὅτι οἱ ἄγγελοι καὶ οἱ δαίμονες σώμασιν ἥνωνται, καὶ ὅτι οὐδέτεροι αὐτῶν σώμασιν ἥνωνται. ὅτι οἱ ἄγγελοι καὶ αἱ λογικαὶ ψυχαὶ καὶ πάντα τὰ νοερὰ κτίσματα φύσει καὶ κατὰ φύσιν εἰσὶν ἄφθαρτα· καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι οὐ φύσει ἀλλὰ χάριτί εἰσιν ἀθάνατοι, φύσει δὲ μόνος ὁ
θεός. ὅτι οἱ ἄγγελοι κατελθόντες ἐκ τῶν οὐρανῶν εἰς 897 R.
τὴν γῆν σάρκα τε ἔχον καὶ παιδοποιὰ μόρια, καὶ ταῖς γυναιξὶν ὁμιλήσαντες τοὺς γίγαντας ἐγέννησαν, καὶ ἐδίδαξαν αὐτοὺς τέχνας τε καὶ κακοτεχνίας· οἱ δὲ γίγαντες ἀλόγοις μιγέντες ἐγέννησαν τερατώδεις ἀνθρώπους καὶ δαιμόνια ἄρρενά τε καὶ θήλεα· κολάζονται δὲ οἱ ἄγγελοι ἐκεῖνοι ἔνθα τῆς γῆς πῦρ ἀναδίδοται καὶ θερμὰ ὕδατα· καὶ ὅτι αἱ ψυχαὶ τῶν ἁμαρτωλῶν δαιμόνια γίνονται. καὶ τοὐναντίον, ὅτι ἄσαρκοι ὄντες οἱ ἀποστατήσαντες ἄγγελοι οὐ δι' ἑαυτῶν ἀλλὰ διὰ μέσων ἀνθρώπων ἐμίγησαν ταῖς γυναιξί, μᾶλλον δὲ οὔτε δι' ἑαυτῶν οὔτε διὰ μέσων ἀνθρώπων· καὶ ὅτι οὐ μεταβάλλουσιν αἱ τῶν ἀνθρώπων
ψυχαὶ εἰς δαιμόνια. ὅτι ὁ οὐρανὸς σφαιρικός ἐστι 476 H.
καὶ κύκλῳ κινεῖται· καὶ ὅτι οὔτε σφαιρικός ἐστιν οὔτε κύκλῳ κινεῖται. ὅτι τὸ εἰρημένον „πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος" τὸ πνεῦμα τὸ ἅγιον ἦν· καὶ ὅτι οὐ τὸ πνεῦμα τὸ ἅγιον ἦν, ἀλλὰ τὸ ἓν τῶν τεσσάρων στοιχείων. ὅτι ἡ κυριακὴ ἡμέρα ἡ αὐτή ἐστιν ἡ ὀγδόη καὶ πρώτη· καὶ ὅτι οὐχί. ὅτι σώματά εἰσι νοερὰ αἱ τῶν ἀνθρώπων ψυχαί, καὶ διατετυπωμέναι κατὰ τὸ φαινόμενον ἔξωθεν τοῦ σώματος σχῆμα· καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι ἀσώματός ἐστιν ἡ ψυχὴ καὶ σωματικοῖς οὐχ ὑπόκειται τύποις. ὅτι αἱ ψυχαὶ πρὸ τῆς τοῦ κόσμου ὑπέστησαν καταβολῆς, καὶ ὅτι ἐκ τῶν οὐρανῶν εἰς τὰ σώματα κατέβησαν, ὥσπερ Μωσῆς καὶ οἱ προφῆται καὶ Σωκράτης καὶ Πλάτων καὶ ὁ βαπτιστὴς Ἰωάννης καὶ τῶν ἀποστόλων αἱ ψυχαί, ἀλλὰ καὶ αὐτή γε ἡ τοῦ κυρίου. καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι πρὸ τῶν σωμάτων οὐκ ἦσαν αἱ ψυχαὶ ἐν οὐρανῷ, ἀλλ' ἐν τῇ τοῦ σώματος γενέσει ὑπέστησαν, προϋπάρχει μέντοι γε τὸ σῶμα, εἶτα ἡ ψυχή· ἢ μᾶλλον, ὅτι οὔτε προϋπάρχουσιν οὔτε μεθυπάρχουσιν ἀλλὰ συνυπάρχουσιν ἀλλήλαις. ὅτι τὸ σῶμα τοῦ Ἀδὰμ ἀπὸ γῆς ἔπλασεν ὁ θεός· καὶ ὅτι οὐκ ἀπὸ γῆς ἀλλ' ἐξ ὕδατος καὶ πνεύματος. ὅτι ἡ πνοή, ἣν ἐνεφύσησεν ὁ θεὸς εἰς τὸ πρόσωπον τοῦ Ἀδάμ, πρόσκαιρος ἦν καὶ οὐχ ὡς τὸ πνεῦμα αἰώνιον· καὶ ὅτι οὐ πρόσκαιρος ἦν ἀλλὰ ψυχὴ

a. 3. καὶ ante τῶν om *B*. 7. ὁ add *A*. 19. μὴ add *A*. 25. ἑτερούσιόν ς. 26. φθαρτὰ καὶ add *A*. 31. μικρὰ ς. 34. ἐστὶν ὁ ἐν ς. 39. ἐστιν ἐντὸς ς. *b*. 7. σάρκας A. 17. μεταβάλλουσιν *A*: μεταβάλλονται ς. cf. p. 290 a 7 et 10. 19. καὶ κύκλῳ *A*: οὔτε κύκλῳ ς. ὅτι οὔτε *A*: ὅτι οὐ ς. οὔτε *A*: καὶ ς. 24. ἡ om *A*. 30. μετέβησαν ς. 35. γε om *A*. 36. ἢ] καὶ *B*.

ἀθάνατος. ὅτι οὐ πρόσκαιρος ἦν οὔτε ψυχή, ἀλλὰ νοῦς, ὡς ἐκ τριῶν συγκεῖσθαι μερῶν τὸν ἄνθρωπον, νοῦ τε καὶ ψυχῆς καὶ σώματος· καὶ ὅτι οὐδὲν τῶν εἰρημένων ἦν ἡ ἐμφυσηθεῖσα πνοή, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον, καὶ οὐκ αὐτὸ ψυχὴ οὐδὲ νοῦς χρηματίσαν, ἀλλὰ δεδημιουργηκὸς τὴν ψυχήν. ὅτι ἡ γῆ καὶ τὸ ὕδωρ καὶ τὰ λοιπὰ στοιχεῖα μεταβάλλει εἰς τοὺς καρποὺς καὶ τὰ φυτά, καὶ ἡ τροφὴ εἰς σάρκα καὶ νεῦρα καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος· καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι οὐ μεταβάλλει ἡ γῆ εἰς τὰ φυτὰ καὶ τοὺς καρπούς, οὔτε ἡ τροφὴ εἰς τὸ ἡμέτερον σῶμα. ὅτι μετὰ θάνατον ἡ ψυχὴ οὔτε τοῦ σώματος οὔτε τοῦ τάφου χωρίζεται· καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι οὐ παραμένει τῷ σώματι ἡ ψυχὴ οὔτε τῷ τάφῳ. ἐνταῦθα δὲ μυρίων εὐπορῶν ὁ Γόβαρος χρήσεων Σευηριανοῦ μόνον τοῦ Γαβάλων καὶ Εἰρηναίου παρέθηκε χρήσεις. ὅτι πᾶν γενητὸν φθαρτόν ἐστι καὶ θνητόν, βουλήσει δὲ θεοῦ διαμένει ἄλυτον καὶ ἄφθαρτον. καὶ ἐκ τοῦ ἐναντίου, ὅτι τὸ φύσει φθαρτὸν οὐ δύναται
900 R. ἄφθαρτον εἶναι βουλήσει θεοῦ· ἐναντία γὰρ δοξάζει ἑαυτῷ ὁ τοῦτο λέγων, καὶ ἀδύνατα χαρίζεται τῷ δημιουργῷ. ταύτης δὲ τῆς δόξης χρῆσιν μὲν παρέθηκεν
475 H. ἐκ τοῦ μάρτυρος Ἰουστίνου· τῷ δὲ πρὸς τὴν Ἑλληνικὴν μὲν δόξαν συνενήνεκτο μάχῃ, καὶ τοῦ Πλάτωνος ἔλεγχος κατεσκευάζετο εἰρηκότος „ἐπείπερ ἐγένεσθε, ἀθάνατοι μὲν οὐκ ἐστὲ οὐδὲ ἄλυτοι πάμπαν, οὔτοι γε μὴν λυθήσεσθε οὐδὲ τεύξεσθε θανάτου μοίρης, τῆς ἐμῆς βουλήσεως ἰσχυροτέρου δεσμοῦ λαχόντες.“ καὶ ὁ μὲν μάρτυς, τὸ Πλατωνικὸν διελέγχων σόφισμα, ἐπιδείκνυσι τὸν Πλάτωνα τόν τε δημιουργὸν εἰσάγοντα τἀναντία λέγοντα ἑαυτῷ, καὶ εἱρμὸν ἀκολουθίας οὐδένα τοῖς εἰρημένοις ἁρμόζοντα· ἢ γὰρ ἀνάγκη πᾶσα τὸ γενητὸν φθαρτὸν εἶναι κατὰ τὸν πρότερον ὅρον, ἢ ψεύδεσθαι λέγοντα πᾶν τὸ γενόμενον φθαρτὸν εἶναι. ὁ δὲ Γόβαρος τὸν Ἑλληνικὸν ἔλεγχον εἰς ἀνατροπὴν ἐκβιάζεται χρῆσθαι τοῦ φρονήματος τοῦ ἐκκλησιαστικοῦ.

Τὰ τοίνυν εἰρημένα κεφάλαια διπλαῖς καὶ ἀντικειμέναις χρήσεσιν, ὡς ἐνόμιζε, κατασκευάζων, ἐπὶ τὰ μονομερῆ πάλιν μεταβαίνει. καὶ πρῶτον μὲν φησίν, ὅπερ ἐστὶ τῆς ὅλης συντάξεως η' καὶ λ' κεφάλαιον, ὅπως ἐδόξασε περὶ τῆς τοῦ κυρίου ἡμῶν ἐνανθρωπήσεως ὁ ἐν ἁγίοις Εὐστάθιος, ὁ τῆς Ἀντιοχείας ἀρχιερωσύνης προεδρεύσας, ἐφεξῆς δὲ ὅπως ὁ ἁγιώτατος Κύριλλος, ὁ τῆς Ἀλεξανδρείας ἀρχιερεύς· καὶ ὅπως ἐνόησαν οἱ τῆς ἐκκλησίας διδάσκαλοι τὸ „περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι, οὐδὲ ὁ υἱός, εἰ μὴ ὁ πατήρ,“ καὶ ὅπως τοῦτο Σευῆρος ἐνόησεν.

Ταῦτα μονομερῶς διελθὼν τὰ κεφάλαια μεταβαίνει πάλιν ἐπὶ τὴν διπλῆν προκομιδὴν τῶν χρήσεων, καὶ ποιεῖται κεφάλαιον β' καὶ μ' ὅτι ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐγαλακτοτροφήθη ἐκ τῆς θεοτόκου Μαρίας, καὶ ὅτι οὐκ ἐγαλακτοτροφήθη. ὅτι τὸ „ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων ἐστὶν Ἰωάννου τοῦ βαπτιστοῦ“ περὶ ἑαυτοῦ εἶπεν ὁ σωτήρ· καὶ ὅτι οὐ περὶ ἑαυτοῦ ἀλλὰ περὶ Ἰωάννου τοῦ εὐαγγελιστοῦ. ὅτι ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς λ' ἐνιαυτῶν ὑπάρχων ἐσταυρώθη· καὶ ὅτι οὐ λ' ἀλλὰ γ' καὶ λ'· καὶ ὅτι οὐ γ' καὶ λ' ἀλλὰ μ'· καὶ ὅτι οὔτε λ' ἐτῶν οὔτε μ' μόνον, ἀλλὰ καὶ πλέον, οὐ πολὺ τῶν ν' ἀφεστηκώς. ὅτι ἐν ᾧ καιρῷ παρέδωκε τοῖς μαθηταῖς ὁ κύριος τὸ τῆς καινῆς διαθήκης μυστήριον, τὸ νομικὸν ἔφαγε πάσχα· καὶ ὅτι οὐκ ἔφαγε τηνικαῦτα τὸ νομικὸν πάσχα. ὅτι ὁ χαλκοῦς ὄφις, ὃν ὕψωσεν ἐν τῇ ἐρήμῳ ὁ Μωσῆς, τύπος ἦν τοῦ δεσπότου· καὶ ὅτι οὐχὶ τύπος ἀλλὰ ἀντίτυπος. ὅτι ὁ τὸ ὠτίον ἀποκόψας τοῦ δούλου τοῦ ἀρχιερέως Θωμᾶς ἦν καὶ ὅτι οὐχὶ Θωμᾶς ἦν ἀλλὰ Πέτρος. ὅτι κατὰ τὸν καιρὸν τοῦ πάθους ἡ θεότης ἐχωρίσθη τοῦ σώματος τοῦ Χριστοῦ· καὶ ὅτι οὔτε τῆς ψυχῆς οὔτε τοῦ σώ- 476 H.
ματος ἡ θεότης ἐχωρίσθη. ὅτι λύτρον ἀντὶ τοῦ κατεχομένου ἀνθρώπου τῷ ἐχθρῷ τὸ οἰκεῖον ὁ σωτὴρ ἔδωκεν αἷμα, τοῦ ἐχθροῦ τοῦτο αἱρησαμένου· καὶ τὸ ἀντικείμενον, ὡς οὐχὶ τῷ ἐχθρῷ ἀλλὰ τῷ θεῷ καὶ πατρὶ προσήνεγκε τοῦτο. ὅτι κρεῖσσον καὶ θαυμασιώτερον τῆς ἐν τῷ ὄρει μεταμορφώσεως ἀνέστη ὁ Χριστός· καὶ ὅτι οὐ μετεστοιχείωσεν ἀναστὰς τὸ σῶμα πρὸς δόξαν τὴν αὐτῷ κεχρεωστημένην, ἀλλὰ τοιοῦτον ἔδειξεν οἷον ἦν καὶ πρὸ τοῦ θανάτου. καὶ τοῦτο μὲν λέγει Κύριλλος, τὸ δὲ ἀντίθετον ὁ Ἀλεξανδρείας Διονύσιος. ὅτι ἐν τῇ δωδεκάτῃ τοῦ πρώτου μηνὸς ἤλειψε τὸν κύ- 901 R.
ριον ἡ Μαρία μύρῳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, ἐν δὲ τῇ ιγ' τὸ μυστικὸν δεῖπνον ὁ κύριος παραδίδωσι τοῖς μαθηταῖς, ἐν δὲ τῇ ιδ' τὸ σωτήριον ὑπέστη πάθος, ἐν δὲ τῇ ιε' ἐκ νεκρῶν ἀνέστη καὶ τῇ ις' ἀνελήφθη· ἢ οὐχ

a. 10. εἰς τὰ A: εἰς σάρκα καὶ νεῦρα καὶ τὰ ς. 24. ἐπείπερ] Timaei p. nostrae edit. 43, 6. 25. οὔτοι B, οὔτι A: οὔτε ς. 27. θεσμοῦ ς. 39. κεφάλαια ς.
b. 9. ὁ et 10. τὸ et 14. alterum ὁ add A. 16. οὔτε B: οὐ ς. 21. cf. Suicer. Thes. 1. p. 586. 42. ις] ἑξκαιδεκάτῃ B.

Digitized by Google

οὕτως, ἀλλὰ τῇ μὲν ιδ' τὸ μυστικὸν ἔφαγε δεῖπνον, τῇ δὲ ιε' ἐσταυρώθη, ἀνέστη δὲ τῇ ις'· ἢ ὅτι οὐδὲ τοῦτο, ἀλλ' ὅτι τριήμερος μὲν καὶ ἐν τῇ κυριακῇ γέγονεν ἡ τοῦ κυρίου ἀνάστασις, καὶ μετὰ μ' ἡμέρας ἀνελήφθη.

ὅτι ἀπὸ τῆς ἑσπέρας τῆς ε', ὅτε τὸ μυστικὸν δεῖπνον ὁ κύριος παρεδίδου τοῖς μαθηταῖς, τότε τὸ σῶμα αὐτοῦ ἐτέθυτο.

Μέχρι μὲν οὖν τούτων περὶ τῶν κοινῶν τῆς ἐκκλησίας δογμάτων τε καὶ ζητημάτων μικροῦ διὰ πάντων τῶν κεφαλαίων ἐποιεῖτο τὸν λόγον, τὰ πλεῖστα μὲν δι' ἀντικειμένων χρήσεων ἑκάτερον μέρος τῆς ἀντιθέσεως ἐπιχειρῶν, ὀλίγα δὲ ϗ μονομερέσι μαρτυρίαις ἐπιβεβαιῶν. ἐντεῦθεν δὲ περί τινων ἰδικῶν κεφαλαίων τὸν ἀριθμὸν ὀκτωκαίδεκα διαλαμβάνει, οἷον τίνας εἶχεν ὑπολήψεις Σεβῆρος περὶ τῶν τῆς ἐκκλησίας ὁσίων μυσταγωγῶν, καὶ ὅπως διετέθη πρὸς τὰ εἰρημένα παρὰ Κυρίλλου ϗ Ἰωάννου ἐν τῇ πρὸς Θωμᾶν τὸν ἐπίσκοπον Γερμανικείας, ϗ ὅτι τῷ ἐν ἁγίοις Γρηγορίῳ, τῷ ἐπισκόπῳ Νύσσης, τὰ εἰρημένα περὶ ἀποκαταστάσεως οὐκ ἀποδέχεται, οὐ μὴν ἀλλ' οὐδὲ Παπίαν τὸν Ἱεραπόλεως ἐπίσκοπον ϗ μάρτυρα, οὐδὲ Εἰρηναῖον τὸν ὅσιον ἐπίσκοπον Λουγδούνων, ἐν οἷς λέγουσιν αἰσθητῶν τινῶν βρωμάτων ἀπόλαυσιν εἶναι τὴν τῶν οὐρανῶν βασιλείαν.

ὅτι Βασίλειος ὁ ἐν ἁγίοις τὸν ἐν ἁγίοις Διονύσιον Ἀλεξανδρείας οὐκ ἐν πολλοῖς ἀποδέχεται, μάλιστα δὲ ἐν οἷς τὸ Ἀρειανῶν ἔθνος ἐπερείδεται. ἀπολογεῖται δὲ ὑπὲρ αὐτοῦ ὡς οὐκ ἀσεβεῖ γνώμῃ, μάχῃ δὲ τῇ πρὸς Σαβέλλιον εἰς τὴν ἀντίθετον κατὰ τοὺς λόγους περιτραπῆναι δυσφημίαν. οὐ μὴν ἀλλὰ καὶ περὶ τοῦ πνεύματος οὐκ εὐαγεῖς αὐτὸν ἀφεῖναι φωνάς. ἀλλὰ ϗ ὁ μέγας Ἀθανάσιος τοῦ αὐτοῦ ἀνδρὸς Διονυσίου ὑπεραπολογεῖται· „τὰ γοῦν Ἀρείου" φησὶ „Διονύσιος οὔτε ἐφρόνησέ ποτε, οὔτε
477 H. ἠγνόησε τὴν ἀλήθειαν· οὔτε γοῦν ὑφ' ἑτέρων ἐπισκόπων ἐπ' ἀσεβείᾳ κατεγνώσθη οὔτε τὰς Ἀρειανικὰς φωνὰς ἐφθέγγετο ὡς δογματίζων." ἀλλὰ ϗ Θεοδώρητος τοὺς αὐτοὺς ὑπὲρ τοῦ εἰρημένου Διονυσίου λογισμοὺς ἀποδίδωσιν. ἔτι μὴν παρατίθησι μαρτυρίας καὶ ὅπως μὲν διετέθη Θεόφιλος καὶ ἡ σὺν αὐτῷ σύνοδος πρὸς τὸν ἐν ἁγίοις Ἰωάννην τὸν Χρυσόστομον· ϗ ποίας εἶχε δόξας Ἀττικὸς καὶ Κύριλλος περὶ τοῦ αὐτοῦ ἁγιωτάτου Ἰωάννου Κωνσταντινουπόλεως· καὶ οἵας εἶχεν ὑπολήψεις ὁ εὐλαβέστατος Ἰσίδωρος ὁ τοῦ Πηλουσίου περὶ Θεοφίλου καὶ Κυρίλλου τῶν Ἀλεξανδρείας ἱεραρχῶν καὶ περὶ τοῦ ἐν ἁγίοις Ἰωάννου τοῦ Χρυσοστόμου, ὡς τοὺς μὲν ἕνεκα τῆς πρὸς τὸν Χρυσόστομον ἀπεχθείας ἐκάκιζε, τὸν δὲ ἐπῄνει τε ϗ ἐθαύμαζεν. ὅτι Σεβῆρος τὸν ἐν ἁγίοις Ἰσίδωρον μέμψασθαι μὲν ὁρμηθείς, οὐκ ἔχων δὲ ὅθεν, φήμην αὐτῷ περιπλάττει ὠριγενιασμοῦ, εἰ καὶ ταύτην αὐτὸς πάλιν ἀποσκευάζεται δι' ἑαυτοῦ, ὑπὸ τῆς ἀληθείας νικώμενος. ἔτι δὲ ποίας ὑπολήψεις εἶχεν Ἱππόλυτος καὶ Ἐπιφάνιος περὶ Νικολάου τοῦ ἑνὸς τῶν ζ' διακόνων, ϗ ὅτι ἰσχυρῶς αὐτοῦ καταγινώσκουσιν, Ἰγνάτιος μέντοι ὁ θεοφόρος καὶ Κλήμης ὁ στρωματεὺς ϗ
Εὐσέβιος ὁ Παμφίλου καὶ Θεοδώρητος ὁ Κύρου τὴν 904 R.
μὲν Νικολαϊτῶν καταγινώσκουσιν αἵρεσιν, τὸν δὲ Νικόλαον μὴ τοιοῦτον εἶναι ἀποφαίνονται. ὅτι Ἱππόλυτος καὶ Εἰρηναῖος τὴν πρὸς Ἑβραίους ἐπιστολὴν Παύλου οὐκ ἐκείνου εἶναί φασι, Κλήμης μέντοι καὶ Εὐσέβιος καὶ πολὺς ἄλλος τῶν θεοφόρων πατέρων ὅμιλος ταῖς ἄλλαις συναριθμοῦσι ταύτην ἐπιστολαῖς, καί φασιν αὐτὴν ἐκ τῆς Ἑβραΐδος μεταφράσαι τὸν εἰρημένον Κλήμεντα. ὅτι Ὠριγένην ϗ Θεόγνωστον ὅ τε μέγας Ἀθανάσιος ὁ Ἀλεξανδρείας ἐν πολλοῖς ἀπεδέχετο λόγοις καὶ Τίτος ὁ Βόστρων, καὶ ὁ θεολόγος Γρηγόριος ἐν ἐπιστολαῖς φιλόκαλον αὐτὸν λέγει, ϗ ὁ Νύσσης δὲ εὐφήμως εἰς μνήμην ἄγει. ἀλλὰ καὶ Διονύσιος ὁ Ἀλεξανδρείας πρὸς αὐτὸν ἐκεῖνον γράφων, ἔτι δὲ ϗ μετὰ θάνατον ἐκείνου πρὸς Θεότεκνον τὸν τῆς Καισαρείας ἐπίσκοπον γράφων, δι' ἐπαίνων τὸν Ὠριγένην ἄγει. ϗ Ἀλέξανδρος ὁ Ἱεραπόλεως ἐπίσκοπος ϗ μάρτυς, πρὸς τὸν αὐτὸν Ὠριγένην γράφων, λίαν οἰκειοῦται τὸν ἄνδρα τοῖς λόγοις. ὅτι Θεόφιλος μὲν ϗ Ἐπιφάνιος λίαν ἐκτρέπονται τὸν Ὠριγένην. τίνας ὑπολήψεις εἶχεν ὁ ἁγιώτατος Ἱππόλυτος περὶ τῆς τῶν Μοντανιστῶν αἱρέσεως, καὶ τίνας ὁ ἐν ἁγίοις τῆς Νύσσης Γρηγόριος.

Τὰ μὲν οὖν μερικώτερα τῶν κεφαλαίων ἐν τούτοις· πάλιν δὲ ἐπί τι κοινότερον μεταβαίνει, ϗ παρατίθησι χρήσεις ὅτι παντὸς τεθνεῶτος ψυχὴ ὠφελεῖται μέγιστα
διὰ τῶν ὑπὲρ αὐτοῦ ἐπιτελουμένων εὐχῶν καὶ προσ- 478 H.
φορῶν καὶ ἐλεημοσυνῶν, καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι οὐχ οὕτως.

Τὸν μὲν οὖν Γόβαρον μέχρι τούτων τῶν κεφαλαίων τὸν πόνον εὕρομεν ἀναδεξάμενον.

## 233.

Ἀνεγνώσθη βιβλίον τὸν ἐν ἁγίοις ΓΕΡΜΑΝΟΝ φέρον συγγραφέα, ὃς μετὰ τὸ Κυζίκου χειροτονηθῆναι Κωνσταντινουπόλεως ἐχρημάτισεν ἀρχιερεύς· ἀνταποδοτικὸς δὲ ἢ ἀνόθευτος τὴν ἐπιγραφὴν ἔχει, ὃ ἴσον ἂν

a. 2. ις] ἑξκαιδεκάτη B. b, 7. ἐπιφ ante lacunam A. 12. μὴ τὸν τοιοῦτον ς.

εἴη περὶ τῆς ἀνοθεύτου τῶν βεβιωμένων ἀνθρώποις ἀνταποδόσεως. τῆς μὲν οὖν ἐπιγραφῆς ἡ ἐπαγγελία τοιαύτη, ἀγωνίζεται δὲ ὁ λόγος τὸν ἐν ἁγίοις τῆς Νύσσης Γρηγόριον καὶ τὰ τούτου συγγράμματα τῆς Ὠριγενείου παραχεῖν ἐλεύθερα λώβης. καὶ γὰρ οἷς τοῦ δαιμονίου φύλου καὶ τῶν εἰς κόλασιν ἀτελεύτητον παραπεμπομένων ἀνθρώπων ἡ λῆρος ἀποκατάστασις φίλον, ἤτοι δή, ἅτε τὸν ἄνδρα ὑψηλόν τε τοῖς δόγμασι καὶ πολὺν τοῖς τῶν λόγων ῥεύμασιν εἰδότες, καὶ λαμπρὰν τῆς εὐσεβείας τὴν ὑπόληψιν εἰς πάντας ἀνθρώπους περιηχηθεῖσαν ὁρῶντες, ἐπεβάλοντο παρενεῖραι τοῖς ἐκείνου φωτιστικοῖς καὶ σωτηρίοις λόγοις τὰ ζοφώδη καὶ ὀλέθρια τῆς Ὠριγένους ὀνειρώξεως ἀμβλωθρίδια, τῇ τοῦ ἀνδρὸς περιωνύμῳ ἀρετῇ τε καὶ γνώσει τὴν αἱρετικὴν ὑποβαλεῖν λαθραίως διανοηθέντες ἀπόνοιαν. καὶ διότι τοῦτο μὲν προσθήκαις νόθοις, τοῦτο δὲ καὶ διαστροφῇ τῶν ὀρθῶν λογισμῶν βεβιασμένῃ, πολλὰ τῶν ἀμωμήτων ἐκείνου συνταγμάτων κατακιβδηλεύειν ἐπειράθησαν. καθ᾽ ὧν Γερμανὸς ὁ τῆς εὐσεβείας συνήγορος ὀξὺ τῆς ἀληθείας ἐπαφεὶς τὸ ξίφος, καὶ νεκροὺς τῇ πληγῇ λιπὼν τοὺς πολεμίους, νικηφόρον καὶ πρωταγωνιστὴν τὸν καθ᾽ οὗ τὰς ἐπιβουλὰς ἡ αἱρετικὴ φάλαγξ
905 R. ἐρραδιούργει καὶ κατεσκεύαζε παρεστήσατο. ἔστι μὲν οὖν ὁ ἀνὴρ ἐν τῷ παρόντι λόγῳ καθαρός τε καὶ διειδής, καὶ τὰς ἐν ὀνόμασι τροπὰς εὐστόχως ὑποβαλλόμενος, καὶ τὴν μὲν φράσιν ἡδύνων, οὐχ ὑφελκόμενος δὲ πρὸς ψυχρότητα, γενναῖος μὲν τοῦ ἐπιβαλεῖν τῇ προθέσει, ὅμοιος δὲ διελθεῖν τὰ ἀγωνίσματα, καὶ τοῦ μὲν ἀναγκαίου μηδὲν ἔξωθεν παραπλέκων, οὐδὲν δὲ τῶν ὀφειλόντων ῥηθῆναι παρορῶν, οὔτε ταῖς κατασκευαῖς οὔτε τοῖς ἐπιχειρήμασιν οὔτε τοῖς ἐνθυμήμασιν. ἀλλ᾽ ἔστιν ὥσπερ τῶν εὐσεβῶν δογμάτων κανὼν ἀπαρέγκλιτος, οὕτω καὶ τῶν, εἴ τις ἐθέλει λόγους γράφειν δυνατοὺς καὶ σαφεῖς καὶ χαρίεντας καὶ πνευματικὴν διδασκαλίαν προτιμῶντας τῆς ἐπιδείξεως, καλὸν παράδειγμα καὶ ἀξιοζήλωτον.

Ἐπιρραπίζει μὲν οὖν πρότερον τὸ αἱρετικὸν δόγμα, ὃ τῆς ἀποκαταστάσεως τῶν δαιμόνων εἰς τὸ ἀρχαῖον καὶ τῶν ἐν ἁμαρτίαις καταλυσάντων τὸν βίον, μετά τινας ποινὰς ὡρισμένας εἰς τὸν χορὸν τῶν δικαίων μετελθεῖν τερατεύεται. ἐλέγχει δὲ τὸ μυθῶδες τοῦτο δυσσέβημα πρῶτον μὲν ἐξ αὐτῶν τῶν δεσποτικῶν φωνῶν, δεύτερον δὲ ἐκ τῶν ἀποστολικῶν κηρυγμάτων, οἷς καὶ προφητικὰς ἐπισυνάπτει μαρτυρίας, τρανο- 479 H. λογήσας ὥσπερ αἰώνιον τὴν τῶν δικαίων ἀνεκλάλητον ἀπόλαυσιν, οὕτω καὶ τὴν τῶν ἁμαρτωλῶν ἀτελεύτητόν τε καὶ ἀνυπόστατον κόλασιν. οὐκ ἐκ τῶν εἰρημένων δὲ μόνον χρήσεων τὸ αἱρετικὸν καὶ ἀλλόφυλον καταβάλλει φρύαγμα, ἀλλὰ καὶ ἐξ ἄλλων ἱερῶν ἀνδρῶν, ναὶ δὴ (τὸ κραταιότερον) καὶ ἐκ λογίων αὐτοῦ ἐκείνου, ὃν κακομηχάνως ἡ αἵρεσις συνήγορον λαβεῖν ἠγωνίζετο. διὰ δὴ τούτων ἁπασῶν τῶν ἱερολογιῶν τὸ μὲν παθοποιὸν καὶ ψυχοφθόρον πάσης ἐκκλησιαστικῆς χοροστασίας ἀπελαύνων ἀνεδείχθη μυθολόγημα, τὸ δὲ τῆς εὐσεβείας μισοπόνηρον κρατύνων τε καὶ ἀνυψῶν φρόνημα. οὕτω δὲ προδιασκευάσας καὶ κραταιωσάμενος τὸ τῆς ἀληθείας ὀχύρωμα, ἐξ οὗ καταβαλεῖν ῥᾷον ἔμελλε τὸν πολέμιον, τὰ ῥητὰ λοιπὸν μετὰ ταῦτα τοῦ ἱεροῦ προάγει πατρός, οἷς οἱ κακοὶ καὶ πονηροὶ τῶν δογμάτων κάπηλοι τὸν οἶνον ὕδατι μιγνύντες κιβδηλεύειν αὐτά, μᾶλλον δὲ τὰ τῆς ἐκκλησίας ἐμελέτησαν διδάγματα. ταῦτα δὴ τὰ ἱερὰ ῥητὰ προθείς, ἑαλωκότας ἐπ᾽ αὐτοφώρῳ τοὺς Ὠριγενιαστὰς οἷς ἐκακούργουν ἐθριάμβευσε, τοῦτο μὲν ἀπηρυθριασμέναις καὶ ἀναισχύντοις προσθήκαις ἐπινοθεύοντας διελέγχων τὰ ἀνόθευτα, τοῦτο δὲ καὶ τὸ συνεχὲς ὑφορωμένους τῆς προσθήκης, ἐκ πολλῆς ἄλλης αὐθαδείας τε καὶ ἀπονοίας, πρὸς τὴν αἱρετικὴν αὐτῶν ἐπίνοιαν ἀποθρασυνθέντας ἐκβιάζεσθαι, καὶ ὡς ἔπος εἰπεῖν, πάσης τοὺς τοῦ ἀνδρὸς ἀπηλλαγμένους πόνους ἀποφαίνει αἱρετικῆς τε ἐπιβουλῆς καὶ συκοφαντίας ἀφορώσης εἰς ἀσέβειαν. ἡ δ᾽ ἀπαλλαγὴ καὶ τῆς κακουργίας ὁ ἔλεγχος ἔκ τε τῶν προηγουμένων τοῦ κεκακουργημένου χωρίου καὶ τῶν ἑπομένων κατασκευάζεταί τε καὶ ἀνακαλύπτεται, καὶ ἐξ ἄλλων δὲ τοῦ θεσπεσίου Γρηγορίου μυρίων λόγων, τὸ ὀρθὸν διασωζόντων καὶ ἀνόθευτον. καὶ ταῦτα καλῶς ἀγωνισάμενος, καὶ ὡς οὐκ ἄν τις ἄλλος ἄμεινον, εἰς σωτηρίους εὐχὰς καὶ δοξολογίας θεοῦ ἀποπερατοῖ τὸ φιλοπόνημα. οἱ δὲ λόγοι, οὓς ὑπελθεῖν ἐνέδραις τὸ ἀλλόφυλον ἐτεχνάσατο καὶ ὁ παρὰ τῆς ἀληθείας ταχθεὶς στρατηγὸς τῆς λῃστρικῆς ἐφόδου κακῶν ἀπαθεῖς διεσώσατο, ὅ τε περὶ ψυχῆς ἐστὶ πρὸς τὴν ἀδελφὴν Μακρῖναν διάλογος, καὶ δὴ καὶ ὁ κατηχητικὸς καὶ ὁ περὶ τελείου βίου τὴν εἰσήγησιν ἀναδεξάμενος.

a. 1. περὶ om *B*. 11. ἐπεβάλλοντο ς. 14. πολυωνύμῳ *B*ς. 32. ἀπαρέγκλιτος Scaliger: libri ἀπαρέγκλητος. 33. ἐθέλοι *B*.
b. 1. δὲ om *A*. 9. ὃν corr *B*: ὧν ς. 16. τὸν] τὸ *A*. 20. ῥητὰ] ῥήματα *B*. 31. κακουργουμένου *B*. 38. ἐτεχνήσατο ς. 42. περὶ τοῦ τελείου ς.

Digitized by Google

## 234.

908 R. Ἀνεγνώσθη τοῦ ἁγίου ΜΕΘΟΔΙΟΥ, ἐπισκόπου καὶ μάρτυρος, ἐκ τοῦ περὶ ἀναστάσεως λόγου, οὗ ἡ ἐκλογὴ τὰ ὑποκείμενα λέγει.

ὅτι οὐ δεσμόν φησι τὸ σῶμα τῆς ψυχῆς εἶναι, ὡς Ὠριγένης ᾤετο, οὐδὲ δεσμώτιδας τὰς ψυχὰς παρὰ τοῦ προφήτου Ἱερεμίου καλεῖσθαι διὰ τὸ ἐν σώμασιν αὐτὰς τυγχάνειν. οὐ γὰρ ἐμποδίζειν τὰς τῆς ψυχῆς ἐνεργείας τὸ σῶμα τίθεται, συμπεριάγεσθαι δὲ μᾶλλον τὸ σῶμα καὶ συνεργεῖν πρὸς ἃ ἡ ψυχὴ ἐπιτρέπει. ἀλλὰ
480 B. πῶς τὸ τοῦ θεολόγου Γρηγορίου νοητέον καὶ ἄλλων πολλῶν;

ὅτι Ὠριγένης δεσμὸν τὸ σῶμα ἔλεγε δεδόσθαι τῇ ψυχῇ μετὰ τὴν παράβασιν, πρὶν δὲ ἀσώματον αὐτὴν βιοτεύειν. ἀλλὰ καὶ τοῦτο τὸ σῶμα, ὃ περικείμεθα, αἴτιον εἶναι τῶν ἁμαρτιῶν· διὰ τοῦτο καὶ δεσμὸν ἔλεγεν, ὡς ἀπὸ τῶν ἀγαθῶν ἔργων κωλύειν δυνάμενον τὴν ψυχήν.

ὅτι εἰ δεσμὸς ἐδόθη τὸ σῶμα μετὰ τὴν παράβασιν, ἢ τῶν κακῶν ἢ τῶν ἀγαθῶν ἐδόθη τῇ ψυχῇ. τῶν μὲν οὖν ἀγαθῶν ἀδύνατον· οὐδὲ γὰρ ἰατρὸς ἢ τεχνιτῶν ἄλλος τῷ ἁμαρτήσαντι δίδωσι φάρμακον ὥστε πλέον ἐξαμαρτῆσαι, μὴ ὅτι γε θεός. λείπεται δὴ τῶν κακῶν. ἀλλὰ μὴν ὁρῶμεν ὡς κατ' ἀρχὰς ὁ μὲν Κάϊν περικείμενος τοῦτο τὸ σῶμα ἐφόνευσεν· οἱ δ' ἐφεξῆς πρὸς ἃς ἀθεμιτουργίας ἐξώκειλαν, δῆλον. οὐδὲ τῶν κακῶν ἄρα δεσμὸς τὸ σῶμα. οὐδ' ὅλως ἄρα δεσμός, οὐδ' ἔστερον αὐτὸ ἠμφιάσατο μετὰ τὴν παράβασιν ἡ ψυχή.

ὅτι ἄνθρωπός φησι λέγεται ἀληθέστατα κατὰ φύσιν οὔτε ψυχὴ χωρὶς σώματος οὔτε αὖ πάλιν σῶμα χωρὶς ψυχῆς, ἀλλὰ τὸ ἐκ συστάσεως ψυχῆς καὶ σώματος εἰς μίαν τὴν τοῦ καλοῦ μορφὴν συντεθέν. ὁ δ' Ὠριγένης τὴν ψυχὴν μόνην ἔλεγεν ἄνθρωπον, ὡς ὁ Πλάτων.

ὅτι διαφορὰν ἀνθρώπου καὶ τῶν ἄλλων ζώων φησί· καὶ τοῖς μὲν διάφορα σχήματα φύσεως δέδοται καὶ μορφαί, ὁπόσας ἡ στερέμνιος καὶ ὁρατὴ φύσις κελεύοντος ἐγέννησε θεοῦ, τῷ δὲ τὸ θεοειδὲς καὶ θεοείκελον καὶ πάντα πρὸς ἐκείνην ἀπηκριβωμένον τὴν πρωτότυπον τοῦ πατρὸς καὶ μονογενῆ εἰκόνα. καὶ πῶς τοῦτο λέγει ὁ ἅγιος, ἐπισκεπτέον.

ὅτι φησὶ Φειδίαν τὸν ἀγαλματοποιὸν τὸ Πισαῖον εἴδωλον ποιήσαντα ἐξ ἐλέφαντος προστάξαι ἔλαιον ἔμπροσθεν τοῦ ἀγάλματος ἐκχέειν, ὥστε ἀθάνατον ἐς δύναμιν αὐτὸ φυλάσσεσθαι.

ὅτι φησίν, Ὁ διάβολός ἐστι πνεῦμα περὶ τὴν ὕλην γενόμενον ὑπὸ τοῦ θεοῦ, καθάπερ καὶ Ἀθηναγόρᾳ ἐλέχθη, ὥσπερ δὴ καὶ οἱ λοιποὶ γεγόνασιν ὑπ' αὐτοῦ ἄγγελοι, καὶ τὴν ἐπὶ τῇ ὕλῃ καὶ τοῖς τῆς ὕλης εἴδεσι πεπιστευμένον διοίκησιν. τούτων γὰρ ἡ [τῶν ἀγγέλων] σύστασις τῷ θεῷ ἐπὶ προνοίᾳ γεγονέναι τοῖς ὑπ' αὐτοῦ διακεκοσμημένοις, ἵνα τὴν μὲν παντελικὴν καὶ γενικὴν ὁ θεὸς ἔχων τῶν ὅλων πρόνοιαν ᾖ, τὸ κῦρος καὶ τὸ κράτος ἁπάντων αὐτὸς ἀνηρτημένος. ἀλλ' οἱ μὲν λοιποί, ἐφ' ὧν αὐτοὺς ἐποίησε καὶ διετάξατο ὁ θεός, ἔμειναν· αὐτὸς δὲ ἐνύβρισε καὶ πονηρὸς περὶ τὴν τῶν πεπιστευμένων ἐγένετο διοίκησιν, φθόνον ἐγκισσήσας καθ' ἡμῶν, ὥσπερ καὶ οἱ μετὰ ταῦτα σαρκῶν ἐρασθέντες καὶ ταῖς τῶν ἀνθρώπων εἰς φιλοτησίαν ὁμιλήσαντες 909 R.
θυγατράσιν. αὐθαίρετον γὰρ καὶ αὐτοῖς ἔχειν πρὸς ἑκάτερα διετάξατο βούλησιν ὁ θεός, οἷα καὶ ἐπὶ τῶν ἀνθρώπων. καὶ πῶς τοῦτο ληπτέον;

ὅτι δερματίνους χιτῶνας τὸν θάνατόν φησι. λέγει γὰρ περὶ τοῦ Ἀδάμ, ὃν ὁ θεὸς ὁ παντοκράτωρ ἀθάνατον κακὸν ἐξ ἐπιβουλῆς ἰδὼν γεγενημένον, καθάπερ 481 H.
καὶ ὁ πλανήσας αὐτὸν διάβολος ἦν, τοὺς δερματίνους χιτῶνας διὰ τοῦτο κατεσκεύασεν, οἱονεὶ νεκρότητι περιβαλὼν αὐτόν, ὅπως διὰ τῆς λύσεως τοῦ σώματος πᾶν τὸ ἐν αὐτῷ γεννηθὲν κακὸν ἀποθάνῃ.

ὅτι δύο ἀποκαλύψεις φησὶ γεγονέναι τῷ ἁγίῳ Παύλῳ. λέγει γάρ, Ἀλλ' οὐδὲ ὁ ἀπόστολος ὑποτίθεται εἶναι τὸν παράδεισον ἐν τῷ τρίτῳ οὐρανῷ τοῖς λεπτῶν ἀκροᾶσθαι λόγων ἐπισταμένοις. „οἶδα" γὰρ „τὸν τοιοῦτον ἁρπαγέντα ἕως τρίτου οὐρανοῦ" λέγων „καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον, εἴτε ἐν σώματι εἴτε χωρὶς τοῦ σώματος, ὁ θεὸς οἶδεν, ὅτι ἡρπάγη εἰς τὸν παράδεισον" δύο ἀποκαλύψεις μεγάλας ἑωρακέναι μηνύει, δὶς ἀναληφθεὶς ἐναργῶς, ἅπαξ μὲν ἕως τρίτου οὐρανοῦ, ἅπαξ δ' εἰς τὸν παράδεισον. τὸ γὰρ „οἶδα ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ" ἰδίως ἀποκάλυψιν αὐτῷ κατὰ τὸν τρίτον οὐρανὸν πεφηνέναι συνίστησι· τὸ δὲ „καὶ οἶδα" πάλιν ἐπιφερόμενον „τὸν τοιοῦτον ἄνθρωπον, εἴτε ἐν σώ-

a. 3. ἡ om A. 6. ψυχὰς καὶ παρα ς. 14. ἀσώματον AB: ἀσωμάτως ς. 21. ἰατρῶν ς. 30. κατὰ φύσιν ἀληθέστατα ς. 33. ὁ δ'] οὐδ' A. b. 2. ἐλεφάντου ς. τοῦ ἀγάλμ. ἐκχέειν ἔμπρ. B. 4. φυλάττεσθαι B. 8. τῆς add A. 9. τοῦτο A. 10. γεγονέναι] lege γέγονε. 11. γεννικὴν ς. 14. αὐτοὺς A: αὐτὸς ς. 28. γενηθὲν ς. κακὸν om A. 30. ἀλλ'] ἄλλως B (ἄλλος). 34. ἐν τῷ σώματι A. 40. πεφηνέναι ante κατὰ ponit B.



Digitized by Google

ματι εἴτε ἐκτὸς σώματος, ὁ θεὸς οἶδεν, ὅτι ἡρπάγη εἰς τὸν παράδεισον" ἑτέραν αὖθις αὐτῷ πεφανερῶσθαι κατὰ τὸν παράδεισον ἀποκάλυψιν δείκνυσι. ταῦτα δὲ λέγει, ἐπεὶ οἱ δι' ἐναντίας τὸν παράδεισον νοητὸν ἐτίθεντο ἐκ τοῦ ἀποστολικοῦ ῥητοῦ, ὡς ὄντα ὑπὲρ τὸν οὐρανόν, ἵνα τὸ ἀσωμάτως γενέσθαι τὴν ἐν τῷ παραδείσῳ διαγωγὴν συνάξωσιν.

ὅτι φησί, Τὸ μὲν πρᾶξαι ἢ μὴ πρᾶξαι τὰ κακὰ ἐφ' ἡμῖν, ἐπεὶ οὐκ ἂν δίκας ἐδίδομεν τῶν κακῶς δρωμένων ἢ ἀμοιβὰς ἐλαμβάνομεν τῶν καλῶς· τὸ δ' ἐνθυμηθῆναι τὰ κακὰ ἢ μὴ οὐκ ἐφ' ἡμῖν. διὰ τοῦτο καὶ τὸν θεῖον Παῦλόν φησι λέγειν „οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω, ἀλλ' ὃ οὐ θέλω, τοῦτο ποιῶ," τουτέστιν οὐχ ὃ θέλω ἐννοεῖν, τοῦτο ἐννοῶ, ἀλλ' ὃ μὴ θέλω. ἐκριζωθῆναι δέ φησι καὶ τὸ τὰ κακὰ ἐνθυμεῖσθαι διὰ τῆς τοῦ φυσικοῦ θανάτου παρουσίας, ἐπεὶ καὶ διὰ τοῦτο θάνατος ἐδόθη παρὰ θεοῦ τῷ ἐξημαρτηκότι, ἵνα μὴ ἀθάνατον μείνῃ τὸ κακόν. Ἀλλὰ πῶς τοῦτο εἴρηται; σημειωτέον ὅτι καὶ ἄλλοις ἡμῶν πατράσιν εἴρηται, εἴπερ ὁ θάνατος τοῖς τοῦτον μετερχομένοις κατὰ τὸν καιρὸν ἐκεῖνον οὔτε προσθήκη οὔτε ὕφεσις ἁμαρτημάτων γίνεται.

Ἀνεγνώσθη τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου ἀποστολικῶν ῥητῶν ἑρμηνεία κατὰ σύνοψιν.

ἴδωμεν δὲ τί ἦν ὅπερ πρῶτον εἰς τὸν ἀπόστολον προήχθημεν εἰπεῖν. τὸ γὰρ „ἐγὼ δὲ ἔζων" λεχθὲν αὐτῷ „χωρὶς νόμου ποτέ" ἄνω τὴν ἐν τῷ παραδείσῳ, καθάπερ ἐξ ἀρχῆς ὑπεθέμεθα, πρὸ τῆς ἐντολῆς, οὐκ ἐκτὸς σώματος ἀλλὰ μετὰ σώματος ἡμῶν ἐν τοῖς πρωτοπλάστοις διαγωγὴν παρεγγυᾷ. ἐκτὸς δ' ἐπιθυμίας διή-
912 R. γομεν, οὐ γινώσκοντες ὅλως ἐπιθυμίας προσβολάς. τὸ γὰρ μὴ ἔχειν διορισμὸν καθ' ὃν δεῖ πολιτεύεσθαι, μηδὲ
482 H. ἐξουσίαν αὐτοδέσποτον λογίου ποίῳ δεῖ χρῆσθαι πολιτεύματι, ἵνα δικαίως ἢ τιμηθῇ ἢ ψεχθῇ, ἀνυπεύθυνον παντὸς λέλεκται ὑπάρχειν τοῦτο ἐγκλήματος, ὅτι μὴ δύναταί τούτων τις ἐπιθυμῆσαι, ὧν μὴ κεκώλυται· κἂν ἐπιθυμήσῃ δέ, οὐκ αἰτιαθήσεται. τὸ γὰρ ἐπιθυμῆσαι οὐκ ἐπὶ τῶν παρόντων καὶ ὑποκειμένων ἐν ἐξουσίᾳ πίπτει, ἀλλ' ἐπὶ τῶν παρόντων μέν, μὴ ὄντων δ' ἐν ἐξουσίᾳ· πῶς γάρ, οὗ μὴ κεκώλυταί τις μηδ' ἐνδεής ἐστι, τούτου ἐρᾷ; ὅθεν διὰ τοῦτο „τὴν ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν οὐκ ἐπιθυμήσεις." ἀκούσαντες γὰρ „ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε," τότε τὸ ἐπιθυμῆσαι συνέλαβον καὶ ἐκίσσησαν. διὸ δὴ τὴν ἐπιθυμίαν καλῶς οὐκ ᾔδειν ἐλέχθη, εἰ μὴ ὁ νόμος ἔλεγεν „οὐκ ἐπιθυμήσεις," οὐδὲ ἐσθίειν, εἰ μὴ εἴρητο „οὐ φάγεσθε ἀπ' αὐτοῦ." ἐντεῦθεν γὰρ ἐκτήσατο ἀφορμὴν εἰς τὸ διαπαῖξαί με ἡ ἁμαρτία· δοθείσης γὰρ τῆς ἐντολῆς ἔσχε λαβὴν ὁ διάβολος κατεργάσασθαι ἐν ἐμοὶ τὴν ἐπιθυμίαν. „χωρὶς γὰρ νόμου ἡ ἁμαρτία νεκρά," οἷον οὐ δοθείσης γὰρ τῆς ἐντολῆς ἄπρακτος ἦν ἡ ἁμαρτία. „ἐγὼ δὲ ἔζων" πρὸ τῆς ἐντολῆς ἀμέμπτως, οὐκ ἔχων ἐπιταγὴν καθ' ἣν ἔδει πολιτεύεσθαι. „ἐλθούσης δὲ τῆς ἐντολῆς ἡ ἁμαρτία ἀνέζησεν, ἐγὼ δὲ ἀπέθανον, καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωήν, αὕτη εἰς θάνατον," ὅτι μετὰ τὸ νομοθετῆσαι τὸν θεόν, καὶ διαστείλασθαί μοι ἃ ποιητέον καὶ μὴ ποιητέον, κατειργάσατο ἐν ἐμοὶ τὴν ἐπιθυμίαν ὁ διάβολος. ἡ γὰρ ἐπαγγελία τοῦ θεοῦ ἡ δοθεῖσά μοι αὕτη εἰς ζωὴν καὶ ἀφθαρσίαν, ἵνα πειθόμενος αὐτῇ ἀεὶ θάλλοντα πρὸς ἀθανασίαν βίον ἔχω καὶ χαράν, ἀθετήσαντι αὐτὴν εἰς θάνατον ἀπέβη, ἐπειδὴ ὁ διάβολος, ὃν ἁμαρτίαν νῦν οὗτος ἐκάλεσε διὰ τὸ δημιουργὸν αὐτὸν ἁμαρτίας ὑπάρχειν, διὰ τῆς ἐντολῆς ἀφορμὴν λαβὼν πρὸς παρακοὴν ἀπατῆσαί με, ἀπατήσας ἀπέκτεινε, τῷ „ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε" κατακρίματι ὑπεύθυνον γενέσθαι κατεργασάμενος. „ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ τοῦ θεοῦ ἁγία καὶ δικαία καὶ ἀγαθή," ὅτι μὴ ἐπὶ τῷ βλάψαι ἀλλ' ἐπὶ τῷ σῶσαι ἐδόθη· μὴ γὰρ οἰώμεθα ἀνωφελές τι ἢ βλαβερὸν ποιεῖν τὸν θεόν. τί οὖν; „τὸ ἀγαθὸν ἐμοὶ ἐγένετο θάνατος," ὃ τοῦ μεγίστου μοι ὡς αἴτιον ἐσόμενον ἀγαθοῦ νομοθέτημα ἐδόθη; „μὴ γένοιτο," ὅτι μὴ ἡ ἐντολὴ τοῦ θεοῦ εἰς τὸ καταδουλωθῆναί με ἐγένετο τῇ φθορᾷ αἰτία, ἀλλ' ὁ διάβολος, ἵνα φανερωθῇ διὰ τοῦ ἀγαθοῦ τὸ κακὸν ἐμοὶ κατασκευάσας, ἵνα γένηται καὶ ἐλεγχθῇ καθ' ὑπερβολὴν ὁ εὑρετὴς τῆς ἁμαρτίας ἁμαρτωλός. „οἴδαμεν γὰρ ὅτι ὁ νόμος ἐστὶ πνευματικός," διὸ καὶ οὐδὲν αἴτιος βλάβης οὐδενί· πόῤῥω γὰρ ἐπιθυμίας ἀλόγου καὶ ἁμαρτίας ἐσκήνηνται τὰ πνευματικά. „ἐγὼ δὲ σάρκινός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν," οἷον ἐγὼ δὲ σάρκινος ὤν, καὶ ἐν μέσῳ τοῦ ἀγαθοῦ καὶ πονηροῦ κατασταθεὶς ὡς αὐτεξούσιος, ἵνα ἐπ' ἐμοὶ ἑλέσθαι ὃ βούλο-

a. 1. ἐκτὸς τοῦ σώματος B. 4. ἔθεντο ς. 5. οὐρανὸν] ἄνθρωπον A. 6. τῷ om A. 7. συνάξουσιν ς. 21. ὕφεσις A: ὑφαίρεσις ς. 25. ἐγὼ δὲ] Rom. 7, 9. b. 6. ἡ add A. 11. ἀμέμπτως] βίον ἄμεμπτον B. 13. μοι add A. 14. αὐτὴ ς. 28. τῷ B: τὸ ς. οἰόμεθα ς. 31. ὡς om B. 33. τῇ φθορᾷ] τῆς φθορᾶς B et corr A.

Digitized by Google

μαι ἦ („τέθεικα γὰρ" φησὶ „πρὸ προσώπου σου τὴν
483 H. "ζωὴν καὶ τὸν θάνατον"), νεύσας πρὸς τὸ παρακοῦσαι μὲν τοῦ πνευματικοῦ νόμου, οἷον τῆς ἐντολῆς, ἐπακοῦσαι δὲ τοῦ ὑλικοῦ, οἷον τοῦ ὄφεως τῆς συμ-
913 B. βουλίας, πέπραμαι διὰ τὴν τοιαύτην αἵρεσιν, "πεσὼν ὑπὸ τὴν ἁμαρτίαν, τῷ διαβόλῳ. ὅθεν ἐντεῦθεν πολιορκῆσάν με τὸ κακὸν ἐνιζάνει, καὶ ἐμπολιτεύεται εἰσοικῆσαν ἐν τῇ σαρκί μου, δίκης ἐπιτεθείσης μοι τὴν ἐντολὴν ἀθετήσαντι· πραθῆναι τῷ κακῷ. διὸ καὶ τὸ „οὐ γινώσκω ὃ κατεργάζομαι" ϗ „ποιῶ ὃ μισῶ" λεγόμενον οὐκ ἐπὶ τοῦ δρᾶσαι τὸ φαῦλον παραληπτέον, ἀλλ' ἐπὶ τοῦ μόνον ἐνθυμηθῆναι. οὐ γὰρ ἐφ' ἡμῖν τὸ ἐνθυμεῖσθαι ἢ μὴ ἐνθυμεῖσθαι κεῖται τὰ ἄτοπα, ἀλλὰ τὸ χρῆσθαι ἢ μὴ χρῆσθαι τοῖς ἐνθυμήμασι. κωλῦσαι μὲν γὰρ πίπτειν εἰς ἡμᾶς τοὺς λογισμοὺς οὐ δυνάμεθα, προσδεχομένων ἡμῶν ἔξωθεν εἰσπνεομένους· μὴ πεισθῆναι μέντοι ἢ μὴ χρῆσθαι δυνάμεθα. διὸ τὸ μὲν θέλειν αὐτὰ μὴ ἐνθυμηθῆναι παρακεῖσθαι, τὸ δὲ κατεργάσασθαι εἰς τὸ ἀφανίσαι, ἵνα μὴ αὖθις περὶ τὸν λογισμὸν ἀνέλθωσιν, οὔ, ὅτι μὴ κεῖται τοῦτο ἐφ' ἡμῖν, ὡς ἔφην. ὡς εἶναι τὸν νοῦν τοιοῦτον τοῦ ῥητοῦ „οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν." θέλω γὰρ μὴ ἐνθυμεῖσθαι ἃ βλάπτει με, ἐπειδὴ τοῦτο τὸ ἀγαθὸν πανάμωμον. καὶ τοῦτο μέν, ὃ θέλω ἀγαθόν, οὐ ποιῶ· ὃ δὲ μὴ θέλω, πράσσω κακόν, οὐ θέλων ἐννοεῖσθαι, καὶ ἐννοούμενος ἃ μὴ θέλω. καὶ ἐπισκέψασθε εἰ μὴ διὰ ταῦτα αὐτὰ καὶ ὁ Δαβὶδ ἐνετύγχανε τῷ θεῷ, δυσχεραίνων ἐπὶ τῷ λογίζεσθαι καὶ αὐτὸν ἃ μὴ ἤθελεν, „ἀπὸ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου. ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης." ϗ αὐτὸς δὲ ὁ ἀπόστολος ἐν ἑτέρῳ „λογισμοὺς καθαιροῦντες ϗ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ, ϗ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ."

εἰ δέ τις ὁμόσε τῷ λόγῳ ἰέναι τολμῶν ἀποκρίνοιτο ὡς ἄρα διδάσκοι ὁ ἀπόστολος ὡς οὐ μόνον ἐν τῷ λογίζεσθαι τὸ κακὸν μισοῦμεν καὶ ὃ οὐ θέλομεν πράσσομεν, ἀλλὰ καὶ ἐν τῷ κατεργάζεσθαι αὐτό, διὰ τὸ „οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν" λελέχθαι, „ἀλλ' ὃ οὐ θέλω κακόν, τοῦτο πράσσω," ἀξιώσομέν που, εἰ ἀληθῆ λέγει ὁ ταῦτα λέγων, διασαφῆσαι τί ἦν τὸ κακὸν ὃ ἐμίσει μὲν ὁ ἀπόστολος καὶ οὐκ ἐβούλετο ποιεῖν, ἐποίει δέ, ϗ τὸ ἀγαθὸν ὃ ἐβούλετο μὲν ποιεῖν, οὐκ ἐποίει δέ, ἀλλ' ἀντιστρόφως, ὁσάκις μὲν ἤθελε ποιῆσαι τὸ ἀγαθόν, τοσαυτάκις οὐ τὸ ἀγαθόν, ὃ ἤθελεν, ἐποίει, ἀλλὰ τὸ πονηρόν, ὃ μὴ ἤθελεν, ἐποίει. πῶς δὲ ϗ ἡμᾶς εἰς τὸ παντάπασιν ἀποτινάξασθαι τὸ ἁμαρτάνειν προτρεπόμενος „μιμηταί μου" ἀποφαίνεται „γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ;" οὕτως οὐ τὸ ποιεῖν ἃ μὴ ἤθελεν ὑπέθετο τὰ προειρημένα, ἀλλὰ τὸ μόνον λογίζεσθαι· ἐπεὶ πῶς ἂν ἦν μιμητὴς Χριστοῦ ἀκριβής;

καλὸν μὲν οὖν, εἰ μὴ εἴχομεν, ἦν ἂν καὶ χαριέστατον, τοὺς ἀντιπράσσοντας ἡμῖν καὶ μαχομένους· ἐπεὶ δὲ τοῦτο "ἀδύνατον ϗ ὃ θέλομεν οὐ δυνάμεθα (θέλομεν 484 H.
γὰρ μὴ ἔχειν τοὺς ἐξέλκοντας εἰς πάθη· ἦν γὰρ ἂν ἀνδρωτὶ σωθῆναι· καὶ ὃ θέλομεν τοῦτο οὐ γίνεται, ἀλλ' ὃ οὐ θέλομεν· δεῖ γὰρ ἡμᾶς δοκιμάζεσθαι ὡς ἐχρῆν), "μὴ ἐνδιδῶμεν, ὦ ψυχή, μὴ ἐνδιδῶμεν τῷ πονηρῷ, ἀλλ' ἀναλαβόντες τὴν πανοπλίαν τοῦ θεοῦ ὑπερασπίζουσαν ἡμῶν, ἐνδυσώμεθα τὸν θώρακα τῆς δικαιοσύνης, ϗ ὑποδησώμεθα τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου, ἐπὶ πᾶσί τε ἀναλάβωμεν τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾗ δυνησόμεθα πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, "καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου ϗ 916 B.
τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ, πρὸς τὸ δύνασθαι στῆναι πρὸς τὴν μεθοδείαν τοῦ διαβόλου, λογισμούς τε καθελεῖν καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Χριστοῦ, ὅτι μὴ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα.

„οὐ γὰρ ὃ θέλω πράσσω, ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ. εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλός· νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τουτέστιν ἐν τῇ σαρκί μου, τὸ ἀγαθόν" ὀρθῶς λέγων. μέμνησθε γὰρ ὡς ἐν τοῖς ἔμπροσθεν διωριζόμεθα, ἀφ' οὗ τὸν ἄνθρωπον πλανηθέντα τὴν ἐντολὴν ἀθετῆσαι συνέβη, ἐντεῦθεν ἐκ τῆς παρακοῆς τὴν ἁμαρτίαν λαβοῦσαν γένεσιν εἰς αὐτὸν εἰσῳκηκέναι. οὕτω γὰρ στάσις ἐνέπεσε, σφαδασμῶν τε ϗ λογισμῶν ἀνοικείων ἐπληρώθημεν, κενωθέντες μὲν τοῦ ἐμφυσήματος τοῦ θεοῦ,

a. 1. πρὸ προσώπου φησὶ ς. σου om ς. 8. εἰσοικῆσαν corr A, ἐνοικῆσαν B: εἰσοικεῖσθαι ς. 18. παρακεῖσθαι] legendum videtur παράκειται. 19. ἵνα μὴ — ἀνέλθωσιν B: ἵνα καὶ — μὴ ἀνέλθωσιν ς. 28. ἀπὸ] Ps. 18, 13. 31. λογ.] 2 Cor. 10, 5. 35. ὁμόσε om AB. 37. πράττομεν ς. 40. ἀξιώσωμέν ς. ἀληθῶς ς.

b. 2. καὶ τὸ ἀγαθὸν — 3. ἐποίει δὲ om AB. 8. μιμ.] 1 Cor. 11, 1. μου om pr A. γίνεσθαι ς. 9. τὸ mg: libri τῷ. 10. τὸ A τῷ ς. 15. ἂν add A. 18. ἐνδιδωμένω ψυχὴ μὴ ἐνδ. A. τῷ A: ἐν τῷ ς. 19. ἀναλαβ.] Ephes. 6, 13. 21. ὑποδυσώμεθα ς. 30. οὐ γὰρ ὃ] εἰ γὰρ ὃ οὐ B. cf. Rom. 7, 13. 31. εἰ δὲ — ποιῶ om AB. 32. καλὸν A. 33. οἰκοῦσα] ἐνοικοῦσα A. 39. σφαδαϊσμῶν A.

πληρωθέντες δὲ ἐπιθυμίας ὑλικῆς, ἣν ὁ πολύτροπος ἐνεφύσησεν εἰς ἡμᾶς ὄφις. διὸ καὶ τὸν θάνατον ὁ θεὸς πρὸς ἀναίρεσιν τῆς ἁμαρτίας ὑπὲρ ἡμῶν ἀνεύρατο, ἵνα μὴ ἐν ἀθανάτοις ἡμῖν ἀνατείλασα, ὡς ἔφην, ἀθάνατος ᾖ. ὅθεν ὁ ἀπόστολος „οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τουτέστιν ἐν τῇ σαρκί μου, τὸ ἀγαθόν" λέγων τὴν ἀπὸ τῆς παραβάσεως διὰ τῆς ἐπιθυμίας εἰσοικισθεῖσαν εἰς ἡμᾶς ἁμαρτίαν βούλεται μηνύειν, ἧς δὴ καθάπερ βλαστήματα νέα οἱ φιλήδονοι περὶ ἡμᾶς ἀεὶ λογισμοὶ συνίστανται. δισσὰ γὰρ ἐν ἡμῖν λογισμῶν γένη, τὸ μὲν ἀπὸ τῆς ἐπιθυμίας τῆς ἐμφωλευούσης ἐν τῷ σώματι συνιστάμενον, ἥτις ἐξ ἐπινοίας (ὡς ἔφην) συνέστη τοῦ ὑλικοῦ πνεύματος, τὸ δὲ ἀπὸ τοῦ νόμου τοῦ κατὰ τὴν ἐντολήν, ὃν ἔμφυτον ἐλάβομεν ἔχειν καὶ φυσικὸν νόμον, πρὸς τὸ καλὸν ἡμῶν ἐξεγείροντα τὸν λογισμόν. ὅθεν τῇ μὲν νομοθεσίᾳ τοῦ θεοῦ κατὰ τὸν νοῦν συνηδόμεθα (τοῦτο γὰρ ὁ ἔσω ἄνθρωπος), τῇ δὲ νομοθεσίᾳ τοῦ διαβόλου κατὰ τὴν ἐνοικοῦσαν ἐπιθυμίαν ἐν τῇ σαρκί· ὁ γὰρ ἀντιστρατευόμενος καὶ ἀντιπράσσων τῷ νόμῳ τοῦ θεοῦ, οἷον τῇ πρὸς τὸ ἀγαθὸν ὁρμῇ τοῦ νοός, αὐτός ἐστιν ὁ τοὺς ἐμπαθεῖς ἀναφύων ἀεὶ καὶ ὑλικοὺς πρὸς ἀνομίαν περισπασμούς. τρεῖς γὰρ νόμους ὑποτιθέμενος ὁ Παῦλος ἀναφανδὸν ἐνταῦθά μοι καταφαίνεται, ἕνα μὲν τὸν κατὰ τὸ ἔμφυτον ἐν ἡμῖν ἀγαθόν, ὃν καὶ νόμον σαφῶς ἐκάλεσε νοός, ἕνα δὲ τὸν ἐκ προσβολῆς συνιστάμενον νόμον τοῦ πονηροῦ καὶ εἰς τὰς ἐμ-
485 H. παθεῖς ἐξέλκοντα πολλάκις φαντασίας τὴν ψυχήν, ὃν ἀντιστρατεύεσθαι τῷ νόμῳ τοῦ νοὸς ἔφη, καὶ τρίτον τὸν κατὰ τὴν ἁμαρτίαν ἐκ τῆς ἐπιθυμίας σκιρώσαντα ἐν τῇ σαρκί, ὃν ἁμαρτίας νόμον οἰκοῦντα ἐν τοῖς μέλεσιν ἐκάλεσεν, ᾧ ἐποχούμενος πολλάκις καθ' ἡμῶν ἐγκελεύεται, πρὸς ἀδικίαν καὶ πράξεις συνελαύνων κακάς. φαίνεται γὰρ ὡς ἑαυτοῖς ἡμῖν τὸ μὲν βέλτιον τὸ δὲ χεῖρον ὄν, καὶ ὅταν μέλλῃ τὸ βέλτιον φύσει τοῦ χείρονος ἐγκρατέστερον γενηθῆναι, φέρεται ὅλος πρὸς τὸ ἀγαθὸν ὁ νοῦς, ὅταν δὲ τὸ χεῖρον ἐπιβρίσῃ πλεονάσαν, ἄγεται πάλιν ἀντιστρόφως πρὸς λογισμοὺς χείρους ὁ ἄνθρωπος· οὗ δὴ καὶ χάριν ὁ ἀπόστολος εὔχεται ῥυσθῆναι, θάνατον αὐτὸ καὶ ὄλεθρον ἡγούμενος, ὥσπερ δὴ καὶ ὁ προφήτης „ἀπὸ τῶν κρυφίων μου καθάρισόν με" λέγων. αὐτὰ οὖν τὰ ῥήματα τοῦτο συνιστῶσι
917 R. „συνήδομαι γὰρ τῷ νόμῳ τοῦ θεοῦ κατὰ τὸν ἔσω" λέγοντος „ἄνθρωπον, βλέπω δ' ἕτερον νόμον ἀντιστρατευόμενον τοῖς μέλεσί μου τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου. ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;" οὐ τὸ σῶμα θάνατον ἀποφαινόμενος, ἀλλὰ τὸν νόμον τῆς ἁμαρτίας τὸν ἐν τοῖς μέλεσι διὰ τῆς παραβάσεως ἐν ἡμῖν ἐμφωλεύοντα καὶ πρὸς θάνατον ἀεὶ τὸν τῆς ἀδικίας τὴν ψυχὴν ἐμφαντάζοντα. ἐπιφέρει γοῦν εὐθέως ἀμέλει, διαλυόμενος ὁποίου θανάτου ἐγλίχετο ῥυσθῆναι καὶ τίς αὐτὸν ὁ ῥυόμενος ἦν, „χάρις δὲ τῷ θεῷ διὰ Ἰησοῦ Χριστοῦ." προσεκτέον δέ, εἰ τὸ σῶμα θάνατον τοῦτο, ὦ Ἀγλαοφῶν, ὡς ὑπειλήφατε, ἔλεγεν, οὐκ ἂν τὸν Χριστὸν ὡς ῥυόμενον αὐτὸν ὕστερον ἐκ τοῦ τοιούτου κακοῦ παρελάμβανεν, ἐπεὶ τί παράδοξον ἀπὸ τοῦ Χριστοῦ τῆς παρουσίας ἐσχήκαμεν; τί δὲ καὶ ὁ ἀπόστολος ὅλως, ὡς διὰ τῆς παρουσίας τοῦ Χριστοῦ δυναμένος τοῦ θανάτου ὑπὸ τοῦ θεοῦ ἐλευθερωθῆναι, τοῦτο ἐφθέγγετο, ὁπότε πᾶσι καὶ πρὸ τοῦ τὸν Χριστὸν ἐλθεῖν εἰς τὸν κόσμον συνέβαινε θνήσκειν; ὥστε οὐ τὸ σῶμα τοῦτο, ὦ Ἀγλαοφῶν, θάνατον, ἀλλὰ τὴν ἁμαρτίαν τὴν κατοικήσασαν διὰ τῆς ἐπιθυμίας ἐν τῷ σώματι λέγει, ἧς ὁ θεὸς αὐτὸν διὰ τῆς παρουσίας τοῦ Χριστοῦ ἐρρύσατο.

„ὁ γὰρ νόμος τῆς ζωῆς τοῦ πνεύματος ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσεν ἡμᾶς ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου." ὅπως ὁ ἐγείρας Ἰησοῦν ἐκ νεκρῶν διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ἡμῖν ζωοποιήσῃ καὶ τὰ θνητὰ σώματα ἡμῶν, τῆς ἁμαρτίας τῆς ἐν τῷ σώματι κατακριθείσης πρὸς ἀναίρεσιν, ἵνα τὸ δικαίωμα τοῦ κατὰ τὴν ἐντολὴν πρὸς τὸ ἀγαθὸν ἡμᾶς ἐφελκομένου φυσικοῦ νόμου φανερωθῇ ἐξαφθέν. τὸ γὰρ ἀδύνατον τοῦ ἐν ἡμῖν φυσικοῦ ἀγαθοῦ, ἐν ᾧ ἠσθένει ὑπὸ τῆς ἐπιθυμίας ἡττώμενον τῆς ἐγκειμένης ἐν τῷ σώματι, ὁ θεὸς ἀνερρώσατο, πέμψας τὸν υἱὸν αὐτοῦ τὴν ὁμοίαν τῆς σαρκὸς τῆς ἁμαρτίας σάρκα ἀνειληφότα, ἵνα τῆς ἁμαρτίας κατακεκριμένης πρὸς ἀναίρεσιν, εἰς τὸ μηκέτι καρποφορῆσαι ἐν τῇ σαρκί, τὸ 486 H.
ἰδίωμα τοῦ φυσικοῦ νόμου πληρωθῇ, πλεονάσαν τῇ ὑπακοῇ τοῖς μὴ κατὰ τὴν ἐπιθυμίαν τῆς σαρκὸς περιπατοῦσιν, ἀλλὰ κατὰ τὴν ἐπιθυμίαν τοῦ πνεύματος καὶ τὴν ὑφήγησιν. ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς, ὃ δή ἐστι τὸ εὐαγγέλιον, ἕτερος ὢν τῶν προει-

a. 8. βλάστημα ς. 12. ἐπιπνοίας Scaliger. 24. τὸν add A. 29. ἐπιθυμίας] ἁμαρτίας AB. 33. τὸ μὲν] τόδε B. 38. χείρονας ς.

b. 8. τὸν add A. 11. ἦν] ἦν φησι B. 12. εἰ] fortasse legendum ὅτι εἰ. 20. Ἀγλαόφρων ς. 22. λέγει B: λέγειν ς. 26. ἐκ νεκρῶν Ἰησοῦν ς. 41. τῆς ζωῆς post τὴν v. 41. ponit Roth.

Digitized by Google

ῥημένων νόμων, διὰ τοῦ κηρύγματος πρὸς ὑπακοὴν τεθεὶς καὶ ἄφεσιν ἁμαρτημάτων, ἠλευθέρωσεν ἡμᾶς ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου, νικήσας ἐκ παντὸς τὴν ἁμαρτίαν βασιλεύουσαν τῆς σαρκός.

ὅτι φησὶ μὴ τρέφεσθαι ἢ αὐξάνειν ἀπὸ τῆς γῆς τὰ φυτά. λέγει γάρ, Διαπορήσαι δ' ἄν τις πῶς εἰς τὸν ὄγκον ἀναλαμβάνεσθαι δύναται τῶν δένδρων ἡ γῆ μεταλλοιουμένη· ἐχρῆν γάρ, ἅτε τῆς ὑποκειμένης γῆς ἀναρπαζομένης ἀεὶ διὰ τῶν ῥιζῶν εἰς ὅλην τὴν ἕξιν τοῦ ξύλου, τὸν τόπον, καθ' ὃν τὸ δένδρον βεβλάστηκε, κοιλαίνεσθαι· ὥστε μάταιος αὐτῶν ὁ τοιοῦτος τῆς περὶ τὰ σώματα ῥύσεως ἀναλογισμός. πῶς γὰρ ὅλως ἡ γῆ διὰ τῶν ῥιζῶν εἰς τοὺς κορμοὺς τῶν φυτῶν εἰσδυομένη, καὶ διὰ τῶν πόρων εἰς πάντας αὐτῶν κατακερματιζομένη τοὺς κλάδους, εἰς φύλλα καὶ καρπὸν μεταβάλλεται; εὐμήκη μὲν οὖν δένδρα, κέδροι ἢ πίτυες ἢ ἐλάται, καὶ πολλὴν φέροντα κατ' ἔτος κόμην καὶ καρπόν, 920 R. Ἰδεῖν ἐστιν ὡς οὐδὲν τῆς ὑποκειμένης γῆς εἰς τὸν αὐτῆς ὄγκον τῆς δρυάδος καταναλίσκουσιν. ἐχρῆν γάρ, εἰ ἀληθὲς ἦν διὰ τῶν ῥιζῶν ἀνερχομένην ἀποξυλοῦσθαι τὴν γῆν, ἅπαντα τὸν περὶ αὐτὰ τόπον τῆς γῆς κοιλαίνεσθαι, ὅτι μὴ ἐπιῤῥέειν πέφυκε τὸ ξηρόν, καθάπερ καὶ τὸ ὑγρόν, ἀεὶ πρὸς τὸ κινούμενον. ἤδη δὲ καὶ συκαῖ καὶ ἄλλα τοιαῦτα φυτὰ μνημείων ἐν οἰκοδομήμασι πολλάκις βλαστήσαντα οὐδὲν εἰς ἑαυτὰ τῆς οἰκοδομῆς ὅλως ἱστοροῦνται καταναλωκέναι. εἰ γοῦν ἐτῶν πολλῶν συλλογίσασθαί τις τὸν καρπὸν αὐτῶν καὶ τὰ φύλλα βουληθείη, κατίδοι ἂν πολλαπλασίονα τῆς ἐπὶ τῶν μνημείων γῆς τὸν ὄγκον αὐτῶν γεγενημένον. ὅθεν ἀτοπώτατον ἡγεῖσθαι τὴν γῆν εἰς καρπῶν φορὰν μεταβαλλομένην καὶ φύλλα καταναλίσκεσθαι, κἂν δι' αὐτῆς ἅπαντα γίνωνται, ἕδρᾳ αὐτῇ χρώμενα καὶ τόπῳ. οὐδὲ γὰρ ἄρτος δίχα μύλου καὶ τόπου καὶ χρόνου καὶ πυρὸς γίνεται, καὶ οὐδέν ἐστιν ἢ γίνεται τούτων ὁ ἄρτος. καὶ ἐπὶ ἄλλων μυρίων ὡσαύτως.

ὅτι τὸ „οἴδαμεν γὰρ ὡς ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ" καὶ ἑξῆς οἱ Ὠριγενιασταὶ εἰς ἀναίρεσιν τῆς τῶν σωμάτων ἀναστάσεως προβάλλονται, σκῆνος τὸ σῶμα καὶ ἀχειροποίητον ἐν οὐρανοῖς οἰκίαν τὰ παρ' αὐτῶν πνευματικὰ ἐνδύματα λέγοντες. διό φησιν ὁ ἅγιος Μεθόδιος, Ἐπίγειον οἰκίαν τὴν ἐνταῦθα βραχύβιον ζωὴν καταχρηστικῶς ληπτέον, καὶ οὐ τὸ σκῆνος τοῦτο. εἰ γὰρ ἐπίγειον οἰκίαν καταλυομένην τὸ σῶμα τίθεσθαι αὐτὸν νομίζετε, φράσατε τὸ σκῆνος τί ἐστιν, οὗ ἡ οἰκία καταλύεται; ἕτερον γὰρ τὸ σκῆνος, καὶ ἄλλο τοῦ σκήνους ἡ οἰκία, καὶ ἕτερον ἡμεῖς, ὧν ἐστὶ τὸ σκῆνος. „ἐὰν γὰρ ἡ ἐπίγειος ἡμῶν οἰκία" 487 H. φησὶ „τοῦ σκήνους καταλυθῇ," οἷον ἡμᾶς μὲν τὰς ψυχὰς εἶναι δηλώσας, σκῆνος δὲ τὸ σῶμα, οἰκίαν δὲ τοῦ σκήνους τὴν κατὰ τὴν παροῦσαν ζωὴν ἀπόλαυσιν τῆς σαρκὸς τροπικῶς. ἐὰν οὖν ἡ νῦν δὴ αὕτη ἡ τοῦ σώματος ζωὴ δίκην οἰκίας καταλυθῇ, ἕξομεν τὴν ἐν τοῖς οὐρανοῖς ἀχειροποίητον. ἀχειροποίητόν φησι διὰ τὸ χειροποίητον ταύτην λέγεσθαι τὴν ζωὴν κατὰ ἀντιδιαστολήν, παρὰ τὸ πάντα ἡμῶν τὰ κοσμήματα καὶ σπουδάσματα τοῦ βίου χερσὶ παλαμᾶσθαι ἀνθρώπων. τὸ γὰρ σῶμα δημιούργημα ὑπάρχον θεοῦ χειροποίητον οὐ λέγεται, ὅτι μὴ ἐπαλαμήθη τέχναις ἀνθρώπων. εἰ δὲ διότι ὑπὸ θεοῦ ἐδημιουργήθη, χειροποίητον αὐτὸ λέξουσι, χειροποίητοι ἄρα καὶ αἱ ψυχαὶ καὶ οἱ ἄγγελοι καὶ τὰ ἐνδύματα αὐτὰ τὰ ἐν τοῖς οὐρανοῖς· θεοῦ γὰρ αὐτουργήματα καὶ ταῦτα. τίς οὖν ἐστὶν ἡ χειροποίητος οἰκία; ἡ βραχύβιος, ὡς ἔφην, αὕτη ζωή, ἡ ἀπ' ἀνθρωπίνων χειρῶν δραματουργουμένη· „φαγῇ" γάρ φησιν „ἐν ἱδρῶτι τοῦ προσώπου σου τὸν ἄρτον σου·" ἧς καταλυθείσης ἐκείνην τὴν ἀχειροποίητον ζωὴν ἔχομεν. καθάπερ καὶ ὁ κύριος εἰπὼν ἐδήλωσε „ποιήσατε φίλους ἐκ τῆς ἀδικίας τοῦ μαμωνᾶ, ἵνα ὅταν ἐκλίπωσι, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς." ὃ γὰρ ἐκεῖ σκηνὰς ὁ κύριος ἐκάλεσε, τοῦτο ἐνταῦθα ὁ ἀπόστολος ἐνδύματα· ὃ δὲ ἐκεῖ φίλους ἐκ τῆς ἀδικίας, ἐνταῦθα καταλυομένας ὁ ἀπόστολος οἰκίας. καθάπερ οὖν ἐὰν ἐκλείψωσιν αἱ τῆς παρούσης ζωῆς ἡμῶν ἡμέραι, τὰ πρὸς εὐποιίαν τὰς ψυχὰς ἡμῶν ὑποδέξονται ἀγαθοεργήματα, ἃ ἀπὸ τῆς ἐν τῇ ἀδικίᾳ ζωῆς ἐκτησάμεθα τῷ τὸν κόσμον ἐν τῷ πονηρῷ κεῖσθαι, οὕτω τῆς ζωῆς 921 R. καταλυθείσης τῆς ὠκυμόρου τὴν πρὸ τῆς ἀναστάσεως ἕξομεν οἴκησιν αἱ ψυχαὶ παρὰ τῷ θεῷ, ἕως ἂν ἀνακαινοποιηθεῖσαν ἡμῖν ἄπτωτον ἀναλάβωμεν οἰκίαν. ὅθεν καὶ στενάζομεν, μὴ θέλοντες τὸ σῶμα ἀπεκδύσασθαι, ἀλλ' ἐπ' αὐτῷ τὴν λοιπὴν ἐπενδύσασθαι ζωήν. τὸ γὰρ οἰκητήριον τὸ ἐξ οὐρανοῦ, ὃ ἐπιθυμοῦμεν ἐπενδύ-

a. 4. βασ. καὶ τῆς ς. 16. κέδρος ς. 18. ἰδεῖν γάρ ἐστιν ς. 19. αὐτῆς — δρυάδος] ἑαυτῆς — θρυάδος AB. 20. ἀληθῶς AB. 32. χρώμενοι ς. 36. οἴδαμεν] 2 Cor. 5, 1. 41. τὴν om A.

a. 10. ἡ ante τοῦ om pr A. 23. φάγῃ ς. 26. ποιήσατε] Luc. 16, 9. 27. μαμμωνᾶ ς. ἐκλίπωσιν AB: ἐκλίπητε ς. 33. ἡμῶν om B. 37. αἱ ψυχαὶ] ἀναψυχὴν Scaliger. 38. οἰκίαν AB: τὴν οἰκίαν ς. 41. ἐπενδύσασθαι ἐπιθυμοῦμεν. cf. 2 Cor. 5, 2.

σασθαι, ἡ ἀθανασία ἐστίν. ἣν ἐὰν ἐπενδυσώμεθα, καταποθήσεται πᾶν τὸ ἐν αὐτῇ ὁλοσχερῶς ἀσθενὲς ὑπὸ τῆς ἀχρόνου ζωῆς καταναλωθὲν καὶ θνητόν.

„διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους," τουτέστι διὰ πίστεως γὰρ ἐπιβαίνομεν ἔτι ἀτρανοτάτῳ λογισμῷ τὰ ἐκεῖ πράγματα κατοπτεύοντες, καὶ οὐ σαφῶς, ὥστε καὶ ὁρᾶν καὶ ἀπολαύειν καὶ ἐν αὐτοῖς εἶναι.

„τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα κληρονομῆσαι βασιλείαν θεοῦ οὐ δύναται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ." σάρκα, φησίν, οὐ τὴν σάρκα αὐτὴν ἐδήλωσεν, ἀλλὰ τὴν ἄλογον πρὸς τὰς μαχλώσας τῆς ψυχῆς ὁρμὴν ἡδονάς. εἰπὼν οὖν ὅτι „σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύνανται" ἐπαπεφήνατο „οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ." φθορὰ δὲ οὐκ αὐτό ἐστι τὸ φθειρόμενον, ἀλλὰ τὸ φθεῖρον. ἐπικρατήσαντος μὲν γὰρ τοῦ θανάτου κλίνεται τὸ 488 H. σῶμα εἰς φθοράν· ἐπιμενούσης δὲ ἔμπαλιν τῆς ζωῆς ἐν αὐτῷ ἕστηκε μὴ καθαιρούμενον. διὸ ἐπειδὴ μεθόριον τῆς ἀφθαρσίας ἐγεγήθη καὶ τῆς φθορᾶς ἡ σάρξ, οὐκ οὖσα οὐδὲ φθορὰ οὐδὲ ἀφθαρσία, ἐκρατήθη τε διὰ τὴν ἡδονὴν ὑπὸ τῆς φθορᾶς, ποίημα τῆς ἀφθαρσίας καὶ κτῆμα ὑπάρχουσα, διὰ τοῦτο γεγένηται εἰς φθοράν. καὶ ἐπεὶ συνεκροτήθη ὑπὸ τῆς φθορᾶς καὶ θανάτῳ διὰ παιδείαν παρεδόθη, εἰς νῖκος αὐτὴν τῇ φθορᾷ καθάπερ κληρονομίαν οὐ κατέλιπεν, ἀλλὰ πάλιν διὰ τῆς ἀναστάσεως νικήσας τὸν θάνατον ἀπέδωκε τῇ ἀφθαρσίᾳ, ἵνα μὴ κληρονομήσῃ ἡ φθορὰ τὴν ἀφθαρσίαν, ἀλλ' ἡ ἀφθαρσία τὸ φθαρτόν. ἐπαποκρίνεται γοῦν „δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι τὴν ἀφθαρσίαν, καὶ τὸ θνητὸν τὴν ἀθανασίαν." φθαρτὸν δὲ καὶ θνητὸν ἐνδυόμενον ἀθανασίαν καὶ ἀφθαρσίαν τί ἂν ἕτερον εἴη παρὰ τὸ σπειρόμενον ἐν φθορᾷ καὶ ἀνιστάμενον ἐν ἀφθαρσίᾳ, ἵνα „καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου;" ἡ γὰρ εἰκὼν τοῦ χοϊκοῦ, ἣν ἐφορέσαμεν, τὸ „γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ" ἐστίν, ἡ δὲ εἰκὼν τοῦ ἐπουρανίου ἡ ἐκ νεκρῶν ἀνάστασις καὶ ἡ ἀφθαρσία. Ἰουστῖνος δὲ ὁ Νεαπολίτης, ἀνὴρ οὔτε τῷ χρόνῳ πόῤῥω ὢν τῶν ἀποστόλων οὔτε τῇ ἀρετῇ, κληρονομεῖσθαι μὲν τὸ ἀποθνῆσκον, κληρονομεῖν δὲ τὸ ζῶν λέγει, καὶ ἀποθνήσκειν μὲν σάρκα, ζῆν δὲ τὴν βασιλείαν τῶν οὐρανῶν. ὁπόταν δὲ σάρκα ὁ Παῦλος καὶ αἷμα μὴ δύνασθαι τὴν βασιλείαν τοῦ θεοῦ κληρονομῆσαι λέγῃ, οὐχ ὡς ἐκφαυλίζων, φησί, τῆς σαρκὸς τὴν παλιγγενεσίαν ἀποφαίνεται, ἀλλὰ διδάσκων οὐ κληρονομεῖσθαι βασιλείαν θεοῦ, αἰώνιον ὑπάρχουσαν ζωήν, ὑπὸ τοῦ σώματος, ἀλλὰ τὸ σῶμα ὑπὸ τῆς ζωῆς. εἰ γὰρ ἐκληρονομεῖτο ἡ βασιλεία τοῦ θεοῦ ὑπὸ τοῦ σώματος ζωὴ ὑπάρχουσα, συνέβαινεν ἂν τὴν ζωὴν ὑπὸ τῆς φθορᾶς καταπίνεσθαι. νῦν δὲ τὸ τεθνηκὸς ἡ ζωὴ κληρονομεῖ, ἵνα εἰς νῖκος καταποθῇ ὁ θάνατος ὑπὸ τῆς ζωῆς καὶ τὸ φθαρτὸν τῆς ἀφθαρσίας κτῆμα ἀναφανῇ, ἐλεύ- 924 R. θερον μὲν θανάτου καὶ ἁμαρτίας γεγενημένον, δοῦλον δὲ καὶ ὑπήκοον ἀθανασίας, ὅπως τῆς ἀφθαρσίας τὸ σῶμα ᾖ καὶ μὴ τοῦ σώματος ἡ ἀφθαρσία.

ὅτι „καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες," ὁ ἅγιος Μεθόδιος οὕτω φησί· τουτέστιν αὐτὰ ἡμῶν ταῦτα τὰ σώματα· ἡμεῖς γὰρ οἱ ζῶντες αἱ ψυχαί ἐσμεν, οἱ ἀπολαμβάνοντες ἐγερθέντας ἐκ τῆς γῆς τοὺς νεκρούς, ἵνα εἰς ἀπάντησιν ἅμα αὐτοῖς ἁρπασθέντες τοῦ κυρίου ἐνδόξως ἑορτάσωμεν αὐτῷ τὴν φαιδρὰν τῆς ἀναστάσεως ἑορτήν, ἀνθ' ὧν αἰωνίους ἡμῶν τὰς σκηνάς, οὐκέτι τεθνηξομένας ἢ λυθησομένας, ἀπειλήφαμεν.

ὅτι φησίν, Ἐθεασάμην ἐν Ὀλύμπῳ ἐγώ (ὄρος δέ ἐστιν ὁ Ὄλυμπος τῆς Λυκίας) πῦρ αὐτομάτως κατὰ τὴν ἀκρώρειαν τοῦ ὄρους κάτωθεν ἐκ τῆς γῆς ἀναδι- 489 H. δόμενον, περὶ οὗ πῦρ ἄγνος φυτόν ἐστιν, οὕτω μὲν εὐθαλὲς καὶ χλοερόν, οὕτω δὲ σύσκιον, ὡς ὑπὸ πηγῆς μᾶλλον αὐτὸ δοκεῖν βεβλαστηκέναι. δι' ἥντινα οὖν αἰτίαν, εἰ φύσεις εἰσὶ φθαρτῶν καὶ ὑπὸ πυρὸς καταναλουμένων σωμάτων, οὐ μόνον οὐ καταφλέγεται τὸ φυτὸν τοῦτο, ἀλλὰ καὶ μᾶλλον ἀκμαιότερον ὑπάρχει, εἰ τῇ φύσει ἐστὶν εὔκαυστον, καὶ ταῦτα περὶ αὐτὰς αὐτοῦ τὰς ῥίζας τοῦ πυρὸς ἐντυφομένου; κλάδους γοῦν ἐγὼ δένδρων ἐκ τῆς παρακειμένης ὕλης ἐπέῤῥιψα, καθ' ὃν ἀνερεύγεται τὸ πῦρ τόπον, καὶ εὐθέως εἰς φλόγα ἀρθέντες ἐτεφρώθησαν. τί οὖν βούλεται τὸ παράδοξον; δεῖγμα τοῦτο τῆς μελλούσης ὁ θεὸς ἡμέρας καὶ προοίμιον ἔθετο, ἵνα γινώσκωμεν ὅτι πάντων πυρὶ κατομβρουμένων τὰ ἐν ἁγνείᾳ σώματα διατρίψαντα καὶ δικαιοσύνῃ, καθάπερ ψυχρῷ ὕδατι, τῷ πυρὶ ἐπιβήσονται.

ὅτι φησίν, Ἐπίστησον δὲ μή ποτε καὶ ὁ μακάριος

a. 8. τοῦτο] 1 Cor. 15, 50. 11. τὰς om *A*. 12. ὅτι om *A*. 18. διὸ om *AB*. 31. ἂν] δ' ἂν *A*. 34. τὴν om *A*. 35. γῆ] Gen. 3, 19. 39. κληρονομεῖν — ἀποθνήσκειν] θνήσκειν *AB*. 40. μὲν] δὲ *B*. ζῆν] ζωὴν *B*. 41. ὁ Παῦλος] 1 Cor. 15, 50.

b. 14. καὶ οἱ] 1 Thess. 4, 16. 15. ἡμεῖς] καὶ ἡμεῖς *A*. 25. ἀναδιδόμενον ante κάτωθεν ponit *B*. 26. πῦρ ἄγνος *B* et rc *A*: πύραγνος *c*. ἐστι φυτόν *B*. 28. δοκεῖν add *B*. 33. ἐντυφομένου *A*, ἐκτυφομένου Roth.

Ἰωάννης, „ἔδωκεν ἡ θάλασσα τοὺς νεκροὺς τοὺς ἐν αὐτῇ" λέγων „καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἔδωκαν τοὺς νεκροὺς τοὺς ἐν αὐτοῖς," τὰ ἀπὸ τῶν στοιχείων ἀναδιδόμενα πρὸς ἀποκατάστασιν ἑκάστου μόρια ἐδήλωσε· τὴν μὲν γὰρ θάλασσαν εἶναι τὴν ὑγρὰν οὐσίαν, ᾅδην δὲ τὸν ἀέρα παρὰ τὸ ἀειδές, διὰ τὸ μὴ ὁρᾶσθαι, καθάπερ ἐλέχθη καὶ Ὠριγένει, καὶ θάνατον τὴν γῆν παρὰ τὸ ἐν αὐτῇ κλίνεσθαι τὰ θνήσκοντα, ὅθεν καὶ χοῦς ἐκλήθη θανάτου ἐν ψαλμοῖς, εἰς χοῦν θανάτου κατῆχθαι εἰρηκότος Χριστοῦ.

ὅτι φησί, Πᾶν γὰρ τὸ ἐκ καθαροῦ ἀέρος καὶ καθαροῦ πυρὸς συνιστάμενον σύγκριμα, καὶ τοῖς ἀγγελικοῖς ὁμοούσιον ὑπάρχον, οὐ δύναται γῆς ἔχειν ποιότητα καὶ ὕδατος, ἐπεὶ συμβήσεται ἔσεσθαι αὐτὸ γεῶδες. τοιοῦτον καὶ ἐκ τούτων τὸ ἀναστῆναι μέλλον σῶμα ἀνθρώπου Ὠριγένης ἐφαντάζετο, ὃ καὶ πνευματικὸν ἔφησεν.

ὅτι φησί, Ποδαπὸν ἄρα ἐστὶ καὶ σχῆμα τὸ ἀνιστάμενον, εἰ ὅλως τὸ ἀνθρωποειδὲς τοῦτο, ὡς ἄχρηστον ὂν κατ' αὐτόν, ἐξαφανίζεται· ὃ πάντων ἐστὶ τῶν εἰς ζῶα συγκεκριμένων σχημάτων ἐρασμιώτερον· ᾧ καὶ τὸ θεῖον χρῆται εἰκόνι, καθάπερ καὶ ὁ σοφώτατος Παῦλος δηλοῖ „ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχων" εἰς ὃ καὶ τὰ νοερὰ τῶν ἀγγέλων σώματα διεκοσμήθησαν. ἄρα κυκλοτερὲς ἢ πολυγώνιον ἢ κυβικὸν ἢ πυραμοειδές; πλεῖσται γὰρ τῶν σχημάτων αἱ παραλλαγαί. ἀλλὰ τοῦτο ἀμήχανον. οὐκοῦν τίς ἡ ἀποκλήρωσις, τὸ μὲν θεοείκελον σχῆμα (ὁμολογεῖ γὰρ καὶ αὐτὸς ὁμοειδῆ εἶναι τὴν ψυχὴν τῷ σώματι) ἀπαγορεύεσθαι ὡς ἀκλεέστερον, ἄπουν δὲ καὶ ἄχειρον ἀνίστασθαι;

ΦΒ. ὅτι φησίν, Ὁ μετασχηματισμὸς ἡ εἰς τὸ ἀπαθὲς καὶ ἔνδοξόν ἐστιν ἀποκατάστασις· νῦν μὲν γὰρ σῶμα ἐπιθυμίας ἐστὶ καὶ ταπεινώσεως (διὸ καὶ Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν ἤκουε), τότε δὲ μετασχηματισθήσεται εἰς σῶμα ἀπαθές, οὐ τῇ ἐξαλλαγῇ τῆς διακοσμήσεως τῶν μελῶν, ἀλλὰ τῷ μὴ ἐπιθυμεῖν τῶν ὑλικῶν ἡδονῶν.

ΦΗ. ὅτι φησὶν ἐξελέγχων τὸν Ὠριγένην, Βούλεται τοίνυν ὁ Ὠριγένης τὴν μὲν αὐτὴν σάρκα μὴ ἀποκαθίστασθαι τῇ ψυχῇ, τὴν δὲ ποιὰν ἑκάστου μορφήν, κατὰ τὸ εἶδος τὸ τὴν σάρκα καὶ νῦν χαρακτηρίζον, ἐν ἑτέρῳ πνευματικῷ ἐντετυπωμένην ἀναστήσεσθαι σώματι, ἵνα ἕκαστος πάλιν ὁ αὐτὸς φανῇ κατὰ τὴν μορφήν, καὶ τοῦτο εἶναι τὴν ἐπαγγελλομένην ἀνάστασιν. ῥευστοῦ γάρ φησιν ὑπάρχοντος τοῦ ὑλικοῦ σώματος, καὶ μηδέποτε μένοντος ἐφ' ἑαυτῷ, ἀλλὰ ἀπογινομένου καὶ ἐπιγινομένου περὶ τὸ εἶδος τὸ χαρακτηρίζον τὴν μορφήν, ὑφ' οὗ καὶ συγκρατεῖται τὸ σχῆμα, ἀνάγκη δὴ τὴν ἀνάστασιν ἐπὶ μόνου εἴδους ἔσεσθαι. εἶτα μετ' ὀλίγον φησίν, Οὐκοῦν, ὦ Ὠρίγενες, εἰ ἐπὶ τοῦ εἴδους μόνου προσδοκᾶσθαι διισχυρίζῃ τὴν ἀνάστασιν ἐν πνευματικῷ μεταθησομένου σώματι, ἀπόδειξίν τε δοκιμωτάτην τὴν κατὰ τὸν Ἠλίαν ἡμῖν ὀπτασίαν καὶ Μωϋσέα παρέχεις, „ὥσπερ ἐκεῖνοι" φάμενος „μετὰ τὴν ἀπὸ τοῦ βίου ἔξοδον ὤφθησαν οὐχ ἕτερον παρ' ὃ εἶχον εἶδος ἐξ ἀρχῆς διασώζοντες, κατὰ τὰ αὐτὰ καὶ ἡ πάντων ἔσται ἀνάστασις," ὁ Μωϋσῆς δὲ καὶ ὁ Ἠλίας πρὸ τοῦ τὸν Χριστὸν παθεῖν καὶ ἀναστῆναι ἤδη τὸ εἶδος τοῦτο ὃ φῂς ἔχοντες ἀνέστησαν καὶ ὤφθησαν, πῶς δὴ ἔτι ὁ Χριστὸς πρωτότοκος εἶναι τῶν νεκρῶν ὑπὸ τῶν προφητῶν καὶ τῶν ἀποστόλων ᾄδεται; εἰ γὰρ πρωτότοκος τῶν νεκρῶν Χριστὸς εἶναι πεπίστευται, πρωτότοκος δέ ἐστι τῶν νεκρῶν ὁ πρὸ πάντων ἀναστάς, ὁ δὲ Μωϋσῆς ἤδη καὶ πρὸ τοῦ τὸν Χριστὸν παθεῖν ἔχων τὸ εἶδος τοῦτο ἐφάνη τοῖς ἀποστόλοις, περὶ ὃ πληροῦσθαι φῂς αὐτὸς τὴν ἀνάστασιν, οὐκ ἄρα τοῦ εἴδους χωρὶς τῆς σαρκός ἐστιν ἡ ἀνάστασις. ἤτοι γὰρ τοῦ εἴδους ἐστίν, ὥσπερ ἐγγυᾷ, μόνου ἡ ἀνάστασις, καὶ οὐ δύναται ἔτι πρωτότοκος εἶναι ὁ Χριστὸς τῶν νεκρῶν τῷ πρὸ αὐτοῦ ἐσχηκέναι τοῦτο μετὰ τὴν τελευτὴν τὸ εἶδος πεφηνέναι ψυχάς· ἢ πρωτότοκος ἀληθῶς, ὥσπερ ἐστί, καὶ ἀδύνατον ὅλως ἠξιῶσθαι πρὸ αὐτοῦ τινὰς τῆς εἰς τὸ μὴ αὖθις ἀποθανεῖν ἀναστάσεως. εἰ δὲ ἀνέστη οὐδεὶς πρὸ αὐτοῦ, οἱ δὲ ἀμφὶ τὸν Μωϋσέα καὶ τὸν Ἠλίαν σάρκας μὲν ἔχοντες τοῖς ἀποστόλοις οὐκ ὤφθησαν, μόνον δὲ τὸ εἶδος, ἡ ἄρα ἀνάστασις ἐπὶ τῆς σαρκὸς προφανῶς δηλοῦται. καὶ γὰρ ἀτοπώτατον ἐπὶ μόνου τοῦ εἴδους τὴν ἀνάστασιν διορίζεσθαι, ὁπότε αἱ ψυχαὶ καὶ μετὰ τὴν τῆς σαρκὸς ἔξοδον οὐδέποτε φαίνονται τὸ εἶδος, ὅ φησιν ἀνίστασθαι, ἀποτιθέμεναι. εἰ δὲ συμπαρέσται αὐταῖς τοῦτο ἀναφαίρετον, καθάπερ καὶ ἐπὶ τῆς Μωϋσέως καὶ Ἠλιοῦ ψυχῆς, καὶ οὔτε φθείρεται κατὰ σὲ οὔτε ἀπόλλυται, σὺν αὐταῖς πανταχοῦ συμπαρόν, οὐκ ἄρα τὸ εἶδος ἀνίσταται, ὃ μηδέποτε πέπτωκεν. ἐὰν δέ τις δυσχεράνας „καὶ πῶς δή" ἀποκριθῇ, „εἰ μηδεὶς ἀνέστη πρὸ τοῦ κατελθεῖν

a. 1. ἔδωκεν] Apocal. 20, 13. τοὺς ἐν αὐτῇ] αὐτῆς B. 8. τὰ A: τὸν ς. θανάτου] θάνατος B. 9. ψαλμοῖς] 21, 16. 14. ἀνθρώπου om B. ὁ ὠριγένης A. 15. καὶ add A. ἔφη B. 16. ἐστὶ] σοὶ B. 21. ἀνὴρ] 1 Cor. 11, 7. 31. σῶμα AB: τὸ σῶμα ς. 32. Δανιὴλ] 9, 23.

b. 13. ἔσται] σοι B. 14. ὁ add A. 24. ὥσπερ ἐγγυᾷ A, ὡς παρεγγυᾷ B: ὥσπερ ἐγγύας ς. 34. τῆς σαρκὸς B: σαρκῶν ς. 37. τῆς — ψυχῆς AB: τῇ — ψυχῇ ς. 40. δέ B: δή ς.



Digitized by Google

εἰς τὸν ᾅδην τὸν Χριστόν, ἀναστάντες ἤδη τινὲς ἱστορήθησαν πρὸ αὐτοῦ, ἐν οἷς τῆς Σαραφθίνης χήρας ὁ
928 R. υἱὸς καὶ τῆς Σωμανίτιδος καὶ ὁ Λάζαρος;" "λεκτέον, ἀλλ' οὗτοι εἰς τὸ καὶ αὖθις ἀποθανεῖν ἀνέστησαν, ἡμεῖς
491 H. δὲ περὶ "τῶν μηκέτι μετὰ τὴν ἔγερσιν διοριζόμεθα τεθνηξομένων. ἐὰν δὲ καὶ περὶ τῆς ψυχῆς διαπορήσας φράσῃ τοῦ Ἡλίου, ὡς τῶν μὲν γραφῶν ἀνειλῆφθαι αὐτὸν λεγουσῶν ἐν σαρκί, ἡμῶν δὲ ἀσύμπλοκον σαρκὸς τοῖς ἀποστόλοις ὦφθαι φασκόντων, λεκτέον ὅτι καὶ μὴν μᾶλλον τὸ λέγειν αὐτὸν ὦφθαι τοῖς ἀποστόλοις ἐν σαρκὶ πρὸς ἡμῶν ἐστί. δείκνυται γὰρ καὶ διὰ τοῦτο ἀφθαρσίας ἡμῶν ὑπάρχον τὸ σῶμα δεκτικόν, καθάπερ ἐδείχθη καὶ ἐπὶ τοῦ Ἐνὼχ μετατιθεμένου. εἰ μὴ γὰρ ἀφθαρσίαν ἠδύνατο δέξασθαι, οὐκ ἂν οὐδὲ διέμεινεν ἐν ἀπαθείᾳ τοσούτῳ χρόνῳ. εἰ τοίνυν ὤφθη μετὰ τοῦ σώματος, καὶ ἣν τελευτήσας μέν, ἀναστὰς δὲ ἤδη ἐκ νεκρῶν οὐδέπω.

καὶ ταῦτα ἵνα δὴ συγχωρήσωμεν τῷ Ὠριγένει, καθ' ἑαυτὸ τὸ εἶδος λέγοντι μετὰ τὴν τελευτὴν ἀποζευγνύμενον ἀπὸ τοῦ σώματος τῇ ψυχῇ δίδοσθαι, ὅπερ ἐστὶν ἁπάντων ἀδύνατον τῷ προαπόλλυσθαι τὸ εἶδος τῶν σαρκῶν ἐν ταῖς ἀλλοιώσεσι, καθάπερ καὶ τὸ σχῆμα τοῦ συγχωνευομένου ἀνδριάντος πρὸ τῆς διαλύσεως τοῦ ὅλου, ὅτι μὴ δύναται χωρίζεσθαι καθ' ὑπόστασιν ἀπὸ τῆς ὕλης ἡ ποιότης. χωρίζεται μὲν γὰρ ἀπὸ τοῦ ἀνδριάντος χωνευθέντος ἡ περὶ τῷ χαλκῷ μορφὴ ἀφανιζομένη, οὐ μὴν ὑφεστῶσα ἔτι κατ' οὐσίαν. ἐπεὶ δὲ λέγεται ἐν τῷ θανάτῳ τὸ εἶδος χωρίζεσθαι ἀπὸ τῆς σαρκός, φέρε τὸ χωριζόμενον ποσαχῶς λέγεται χωρίζεσθαι ἐπισκεψώμεθα. λέγεται τοίνυν χωρίζεσθαί τι ἀπό τινος ἢ ἐνεργείᾳ καὶ ὑποστάσει, ἢ ἐπινοίᾳ, ἢ ἐνεργείᾳ μέν, οὐ μὴν καὶ ὑποστάσει. ὡς εἰ πυρούς τις καὶ κριθὰς μεμιγμένα χωρίσειεν ἀπ' ἀλλήλων· ᾗ μὲν γὰρ κατὰ κίνησιν χωρίζεται, ἐνεργείᾳ λέγεται, ᾗ δὲ χωρισθέντα ὑφέστηκεν, ὑποστάσει λέγεται κεχωρίσθαι. ἐπινοίᾳ δέ, ὅταν τὴν ὕλην ἀπὸ τῶν ποιοτήτων χωρίζωμεν καὶ τὰς ποιότητας ἀπὸ τῆς ὕλης. ἐνεργείᾳ δέ, οὐ μὴν καὶ ὑποστάσει, ὅταν χωρισθέν τι ἀπό τινος μηκέτι ὑπάρχοι, ὑπόστασιν οὐσίας οὐκ ἔχον. γνοίη δ' ἄν τις καὶ ἐν τοῖς χειροτεχνήμασιν ὡς ἔχει, ἀνδριάντα ἰδὼν ἢ ἵππον χαλκοῦν. ταῦτα γὰρ λογιζόμενος ὄψεται τὴν ἔμφυτον μορφὴν διαλλάττοντα, εἰς δὲ ἑτέραν ὄψιν μεθιστάμενα ὑφ' ἧς τὸ ξυγγενόμενον εἶδος ἀφανίζεται· εἰ γάρ τις τὰ ἔργα τὰ σχηματιζόμενα εἰς εἶδος ἀνθρώπου ἢ ἵππου συντήκοι, εὑρήσει τὸ μὲν τοῦ σχήματος εἶδος ἀφανιζόμενον, αὐτὴν δὲ τὴν ὕλην μένουσαν. ὥστε ἀσύστατον τὸ λέγειν τὸ μὲν εἶδος ἀνίστασθαι ἠμαυρωμένον μηδέν, τὸ δὲ σῶμα, ἐν ᾧ ἦν τὸ εἶδος ἐντετυπωμένον, διαφθείρεσθαι. ἀλλὰ ναί φησιν, ἐν πνευματικῷ γὰρ μετατεθήσεται σώματι. οὐκοῦν ἀνάγκη τὸ μὲν εἶδος ἰδίως ὁμολογεῖν αὐτὸ τὸ πρῶτον μὴ ἀνίστασθαι, τῷ συνηλλοιῶσθαι αὐτὸ συμφθῖνον τῇ σαρκί. κἂν γὰρ ἐν πνευματικῷ μεταπλασθῇ σώματι, αὐτὸ μὲν ἰδίως τὸ πρῶτον ὑποκείμενον ἐκεῖνο οὐκ ἔσται, ὁμοιότης δέ τις ἐκείνου ἐν λεπτομερεῖ μεταπεπλασμένη σώματι. εἰ δὲ μήτε τὸ εἶδος τὸ αὐτὸ μήτε τὸ σῶμα ἀνίσταται, ἀλλ' ἕτερον ἀντὶ τοῦ προτέρου (τὸ γὰρ ὅμοιον ἕτερον τοῦ "ἑαυτοῦ 492 H.
ὁμοίου ὄν), αὐτὸ ἐκεῖνο τὸ πρῶτον, πρὸς ὃ ἐγένετο, εἶναι οὐ δύναται.

ὅτι εἶδός φησιν εἶναι τὸ τὴν ταυτότητα τῶν μελῶν ἐν τῷ χαρακτῆρι τῆς μορφῆς ἑκάστου ἐμφαῖνον.

"ὅτι τὸ παρὰ τοῦ προφήτου Ἰεζεκιὴλ περὶ τῆς ἀνα- 929 R.
στάσεως τῶν νεκρῶν ῥητὸν εἰρημένον τοῦ Ὠριγένους ἀλληγοροῦντος, καὶ εἰς τὴν τῶν εἰς Βαβυλῶνα αἰχμαλωτισθέντων Ἰσραηλιτῶν ἐπάνοδον ἐκβιαζομένου εἰρῆσθαι, ἐξελέγχων μετὰ πολλὰ ὁ ἅγιος καὶ τοῦτό φησιν. Οὐδὲ γὰρ οὐδὲ αὐτοὶ πρὸς ἐλευθερίαν ἀνέσφηλαν καθαράν, οὐδὲ τῶν ἐχθρῶν κατακρατήσαντες ἐξουσιαστικώτερον κατῴκησαν τὴν Ἱερουσαλήμ. εἴργοντο γοῦν ὑπὸ τῶν ἀλλοεθνῶν πολλάκις οἰκοδομῆσαι θελήσαντες τὸν ναόν· ὅθεν καὶ ἐν μʹ αὐτὸν καὶ ϛʹ ἔτεσι μόλις ἠδυνήθησαν δείμασθαι, τοῦ Σολομῶντος ἐν ἑπταετεῖ χρόνῳ ἐκ θεμελίων αὐτὸν συμπληρώσαντος. καὶ τί χρὴ λέγειν; ἀπὸ γὰρ δὴ Ναβουχοδονόσορ καὶ τῶν μετ' αὐτὸν Βαβυλῶνος βασιλευσάντων ἄχρι τῆς Περσῶν ἐπὶ τοὺς Ἀσσυρίους καθόδου, τῆς τε Ἀλεξάνδρου ἡγεμονίας, καὶ τοῦ Ῥωμαίων τοῦ πρὸς τοὺς Ἰουδαίους συῤῥαγέντος πολέμου, ἑξάκις κατεστράφησαν ὑπὸ τῶν πολεμίων τὰ Ἱεροσόλυμα. καὶ τοῦτο Ἰώσηππος ἱστορεῖ λέγων „ἔτει δευτέρῳ τῆς Οὐεσπασιανοῦ ἡγεμονίας, ἁλοῦσα δὲ καὶ πρότερον πεντάκις, τοῦτο δεύτερον ἠρημώθη. Ἀσωχαῖος μὲν γὰρ ὁ τῶν Αἰγυπτίων βασιλεύς, καὶ μετ' αὐτὸν Ἀντίοχος, ἔπειτα Πομπήϊος, καὶ ἐπὶ τούτοις σὺν Ἡρώδῃ Σόσσιος ἑλόντες ἐνέπρησαν τὴν πόλιν· πρὸ δὲ τούτων ὁ τῶν Βαβυλωνίων βασιλεὺς κρατήσας ἠρήμωσεν αὐτήν."

ὅτι Ὠριγένης τάδε φησί· Περὶ δὲ τοῦ Λαζάρου καὶ

a. 11. malim τούτῳ. 16. δὲ om *AB*. 20. an ἀδυνατώτατον? τῷ] τὰ *B*. 31. ὡς εἰ om pr *A*, εἰ om *B*. b. 10 οὐκ ἔσται] οὐχ *AB*. 24. κατῴκισαν ς. 25. τῶν ἄλλων ἐθνῶν *AB*. 26. τὸν ναόν] libri μᾶλλον. 28. σολομῶνος *AB*. 29. αὐτῶν *B*ς. 30. ναβουχοδονόσωρ *A*. 31. ἀσυρίους *A*. 32. τοῦ] τῶν *B*. 35. οὐεσπεσιανοῦ *B*. 39. σώσιος *B*ς. 42. δὲ add *AB*.

Digitized by Google

καὶ τοῦ πλουσίου ἀπορεῖσθαι δύναται, τῶν μὲν ἁπλούστερον οἰομένων ταῦτα λελέχθαι, ὡς ἀμφοτέρων μετὰ τῶν σωμάτων λαμβανόντων τὰ ἄξια τῶν τῷ βίῳ πεπραγμένων, τῶν δὲ ἀκριβέστερον, ἐπεὶ μετὰ τὴν ἀνάστασιν οὐδεὶς ἐν βίῳ καταλείπεται, οὐκ ἐν τῇ ἀναστάσει οἰομένων ταῦτα γεγονέναι (λέγει γὰρ ὁ πλούσιος ὅτι „πέντε ἀδελφοὺς ἔχω, καὶ ἵνα μὴ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου, πέμψον Λάζαρον ἀπαγγέλλοντα αὐτοῖς τὰ ἐνταῦθα"), καὶ διὰ τούτων ζητούντων τὴν γλῶσσαν καὶ τὸν δάκτυλον καὶ τοὺς κόλπους Ἀβραὰμ καὶ τὴν ἀνάκλισιν. καὶ τάχα τὸ τῆς ψυχῆς ἅμα τῇ ἀπαλλαγῇ σχῆμα, ὁμοιοειδὲς ὂν τῷ παχεῖ καὶ τῷ γηΐνῳ σώματι, δύναται οὕτως λαμβάνεσθαι. εἴ ποτε γοῦν ἱστορεῖταί τις τῶν κεκοιμημένων φαινόμενος, ὅμοιος ἑωρᾶτο τῷ ὅτε τὴν σάρκα εἶχε σχήματι. εἶτα, ἀλλὰ καὶ ὁ Σαμουὴλ φαινόμενος, ὡς δῆλόν ἐστιν, ὁρατὸς ὢν παρίστησιν ὅτι σῶμα περιέκειτο, μάλιστα ἐὰν ἀναγκασθῶμεν ὑπὸ τῶν ἀποδείξεων τὴν οὐσίαν τῆς ψυχῆς ἀσώματον εἶναι καθ' ἑαυτὴν ἀποφήνασθαι. ἀλλὰ καὶ ὁ κολαζόμενος πλούσιος καὶ ὁ ἐν κόλποις Ἀβραὰμ πένης ἀναπαυόμενος,
493 H. πρὸ τῆς παρουσίας τοῦ σωτῆρος καὶ πρὸ τῆς συντελείας τοῦ αἰῶνος καὶ διὰ τοῦτο πρὸ τῆς ἀναστάσεως λεγόμενοι ὁ μὲν ἐν ᾅδου κολάζεσθαι ὁ δὲ ἐν κόλποις Ἀβραὰμ ἀναπαύεσθαι, διδάσκουσιν ὅτι καὶ νῦν τῇ ἀπαλλαγῇ σώματι χρῆται ἡ ψυχή. Πρὸς ταῦτα ὁ ἅγιος τάδε φησί. σχῆμα ἄλλο ὁμοιοειδὲς τῷ αἰσθητῷ τούτῳ μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν ἔχειν ἐκτιθέμενος τὴν ψυχὴν ἀσώματον ὑπό τι Πλατωνικῶς ἀποφαίνεται αὐτήν. τὸ γὰρ καὶ μετὰ τὴν ἀπὸ τοῦ κόσμου ἀποφοίτησιν ὀχήματος αὐτὴν δεῖσθαι καὶ περιβολῆς λέγειν, ὡς οὐ δυναμένην κατασχεθῆναι γυμνήν, πῶς οὐκ ἂν καθ'
932 R. ἑαυτὴν ἀσώματον εἴη; ἀσώματος δὲ οὖσα πῶς οὐκ ἔσται καὶ ἀνεπίδεκτος παθῶν; ἀκολουθεῖ γὰρ τῷ ἀσώματον αὐτὴν ὑπάρχειν καὶ τὸ ἀπαθῆ εἶναι καὶ ἀπερίσπαστον. εἰ μὲν οὖν ὑπὸ ἀλόγου οὐ παρείλκετο ὅλως ἐπιθυμίας, οὐδὲ συμμετεβάλλετο ἀλγοῦντι καὶ πάσχοντι τῷ σώματι (ἀσώματον γὰρ σώματι ἢ σῶμα ἀσωμάτῳ οὐκ ἄν ποτε συμπάθοι), ἣν ἂν ἀσώματον δόξαι αὐτὴν ἀκολούθως τοῖς εἰρημένοις. εἰ δὲ συμπάσχοι τῷ σώματι, καθάπερ καὶ διὰ τῆς ἐπιμαρτυρήσεως τῶν φαινομένων ἀποδείκνυται, ἀσώματος εἶναι οὐ δύναται. ἡ γοῦν ἀγένητος καὶ ἀνενδεὴς καὶ ἀκάματος φύσις ὁ θεὸς μόνος ᾄδεται, ἀσώματος ὤν, διὸ καὶ ἀόρατος· θεὸν γὰρ οὐδεὶς ἑώρακεν. αἱ δὲ ψυχαὶ ὑπὸ τοῦ δημιουργοῦ καὶ πατρὸς τῶν ὅλων, σώματα νοερὰ ὑπάρχουσαι, εἰς λόγῳ θεωρητὰ μέλη διακεκόσμηνται, ταύτην λαβοῦσαι τὴν διατύπωσιν. ὅθεν καὶ ἐν τῷ ᾅδῃ, καθάπερ καὶ ἐπὶ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου, καὶ γλῶσσαν καὶ δάκτυλον καὶ τὰ ἄλλα μέλη ἱστοροῦνται ἔχειν, οὐχ ὡς σώματος ἑτέρου συνυπάρχοντος αὐταῖς ἀειδοῦς, ἀλλ' ὅτι αὐταὶ φύσει αἱ ψυχαί, παντὸς ἀπογυμνωθεῖσαι περιβλήματος, τοιαῦται κατὰ τὴν οὐσίαν ὑπάρχουσιν.

ὅτι φησὶν ὁ ἅγιος ἐν τέλει· Ὥστε τὸ „διὰ τοῦτο Χριστὸς ἀπέθανε" λεγόμενον „ἵνα ζώντων καὶ νεκρῶν κυριεύσῃ" ἐπὶ τῶν ψυχῶν καὶ ἐπὶ τῶν σωμάτων παραληπτέον, ζώντων μὲν τῶν ψυχῶν, καθὸ ἀθάνατοι, νεκρῶν δὲ τῶν σωμάτων.

ὅτι εἰ τιμιώτερον σῶμα ἀνθρώπου τῶν ἄλλων ζώων, ὅτι χερσί τε θεοῦ λέγεται πεπλάσθαι καὶ ὅτι τιμιωτέρου τῆς ψυχῆς τετύχηκεν ὀχήματος, πῶς τοῦτο μὲν ὀλιγοχρόνιον, ἀλόγων δέ τινων πολλῷ πολυχρονιώτερα; ἢ δῆλον ὡς ἡ τούτου πολυχρόνιος ὕπαρξις μετὰ τὴν ἀνάστασιν ἔσται.

## 235.

Ἀνεγνώσθη ἐκ τοῦ ἁγίου μάρτυρος ΜΕΘΟΔΙΟΥ καὶ ἐπισκόπου τοῦ περὶ τῶν γενητῶν ἐκλογὴ κατὰ σύνοψιν.

ὅτι τὸ „μὴ βάλητε τὸ ἅγιον τοῖς κυσὶ μηδὲ τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων" μαργαρίτας μὲν τοῦ ξενῶνος τὰ μυστικώτερα τῆς θεοσδότου θρησκείας ἐκλαμβάνοντος μαθήματα, χοίρους δὲ τοὺς ἔτι ἀσεβείᾳ καὶ ἡδοναῖς παντοίαις δίκην χοίρων ἐν 494 H.
βορβόρῳ καλινδουμένους (τούτοις γὰρ εἰρῆσθαι παρὰ Χριστοῦ ἔλεγε μὴ παραβαλεῖν τὰ θεῖα μαθήματα, διὰ τὸ μὴ δύνασθαι αὐτὰ φέρειν ἅτε τῇ ἀσεβείᾳ καὶ ταῖς ἀγρίαις ἡδοναῖς προκατισχημένους), ὁ μέγας Μεθόδιός φησιν, εἰ μαργαρίτας τὰ σεμνοπρεπῆ καὶ θεῖα μαθήματα δεῖ ἐξακούειν, χοίρους δὲ τοὺς ἀσεβείᾳ καὶ ἡδοναῖς συζῶντας, οἷς καὶ ἀπαράβλητα καὶ ἀπόκρυφα τὰ πρὸς εὐσέβειαν καὶ τὴν εἰς Χριστὸν πίστιν ἀποστολικὰ διεγεί-

a. 1. ἁπλουστέρων et 4. ἀκριβεστέρων AB. 9. τούτῳ] malim τοῦτο. 11. ἀνάκλισιν B: ἀνάκλησιν ς. 12. τῷ ante γηΐνῳ add AB. 13. 14. ἱστορεῖται — ὅμοιος AB: ἱστόρηται — ὁμοίως ς. 14. ὁρᾶται B. 19. καθ' ἑαυτὴν] libri καὶ ταύτην. cf. v. 31. 24. καὶ νῦν] immo καὶ ἐν vel κἂν. 26 ὁμοιοειδὲς B: ὁμοειδὲς ς. 29. an τῷ? 32. ἀσώματος B et corr A. 33. ἔσται] ἂν AB. 38. ἣν AB: ἵνα ς. b. 2. ἀγέννητος A. 4. ὑπὸ] libri ἀπὸ. 11. αὐταὶ A: καὶ αὗται ς. 13. διὰ τοῦτο] Rom. 14, 9. 19. τιμιωτέρου τῆς ψυχῆς — ὀχήματος B et corr A: τιμιώτερον τῆς λογικῆς ψυχῆς — ὄχημα ς. 25. μεθοδίου καὶ ἐπισκόπου AB: καὶ ἐπισκόπου Μεθοδίου ς. 26. γεννητῶν ς. 28. μὴ βάλ.] Matth. 7, 6. 30. τοῦ ξενῶνος delet A, om B: legi possit τοῦ Ὠριγένους. 31. ἐκλαμβάνοντος AB: ἐκλαμβάνοντας ς.



Digitized by Google

ροντα κηρύγματα δεῖ εἶναι, ὅρα ὡς οὐδένα λέγεις τῶν Χριστιανῶν τοῖς τῶν ἀποστόλων κηρύγμασιν ἐξ ἀσεβείας αὐτῶν τῆς προτέρας ἐπιστρέψαι· οὐδὲ γὰρ ἂν πάντως παρέβαλον τὰ κατὰ Χριστὸν μυστήρια τοῖς δι' ἀπιστίαν χοί- 933 B. ροις ἐοικόσιν. ἢ ἐν πᾶσι τοῖς Ἕλλησι καὶ τοῖς ἄλλοις ἀπίστοις ταῦτα παρεβλήθη παρὰ τῶν τοῦ Χριστοῦ μαθητῶν καὶ ἐκηρύχθη, καὶ ἀπὸ τῆς ἀσεβείας μετέβαλεν αὐτοὺς εἰς τὴν εἰς Χριστὸν πίστιν, ὥσπερ οὖν καὶ πιστεύοντες ὁμολογοῦμεν, καὶ οὐκέτι δύναται νοεῖσθαι τὸ „μὴ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων" ὡς ἐῤῥέθη· ἢ τούτου ὡς ἐλέχθη νοουμένου, ἀνάγκη ἡμᾶς λέγειν ὡς οὐδενὶ τῶν ἀπίστων, οὓς χοίροις ἀπεικάζομεν, ἐκ τῶν ἀποστολικῶν διδαγμάτων, μαργαριτῶν δίκην τὰς ψυχὰς καταυγαζόντων, ἡ εἰς Χριστὸν πίστις καὶ ἡ τῆς ἀσεβείας ἐλευθερία γεγένηται. βλάσφημον δὲ τοῦτο. οὐκ ἄρα δεῖ μαργαρίτας μὲν τὰ μυστικώτερα τῶν μαθημάτων ἐκλαμβάνειν ἐνταῦθα χοίρους δὲ τοὺς ἀσεβεῖς, οὐδὲ τὸ „μὴ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων" εἰς τὸ μὴ παραβάλητε τοῖς ἀσεβέσι καὶ ἀπίστοις τὰ μυστικὰ καὶ τελειοποιὰ τῆς εἰς Χριστὸν πίστεως διδάγματα παραλαμβάνειν· ἀλλὰ μαργαρίτας μὲν τὰς ἀρετὰς ἐκδέχεσθαι χρή, αἷς ὥσπερ πολυτίμοις μαργαρίταις ἡ ψυχὴ καθωραΐζεται, μὴ παραβαλεῖν δὲ αὐτοὺς τοῖς χοίροις τουτέστι μὴ παραβαλεῖν αὐτὰς τὰς ἀρετάς, οἷον ἁγνείαν καὶ σωφροσύνην καὶ δικαιοσύνην καὶ ἀλήθειαν, ταύτας δὴ μὴ παραβαλεῖν ταῖς μαχλώσαις ἡδοναῖς (χοίροις γὰρ ἐοίκασιν αὗται), ἵνα μὴ τὰς ἀρετὰς αὗται καταφαγοῦσαι χοιρώδη βίον καὶ πολυπαθῆ τὴν ψυχὴν βιοτεύειν παρασκευάσωσιν.

ὅτι ὁ Ὠριγένης, ὃν Κένταυρον καλεῖ, ἔλεγε συναΐδιον εἶναι τῷ μόνῳ σοφῷ καὶ ἀπροσδεεῖ θεῷ τὸ πᾶν. ἔφασκε γάρ, Εἰ οὐκ ἔστι δημιουργὸς ἄνευ δημιουργημάτων ἢ ποιητὴς ἄνευ ποιημάτων οὐδὲ παντοκράτωρ ἄνευ τῶν κρατουμένων (τὸν γὰρ δημιουργὸν διὰ τὰ δημιουργήματα ἀνάγκη καὶ τὸν ποιητὴν διὰ τὰ ποιήματα καὶ τὴν παντοκράτορα διὰ τὰ κρατούμενα λέγεσθαι), ἀνάγκη ἐξ ἀρχῆς αὐτὰ ὑπὸ τοῦ θεοῦ γεγενῆσθαι, καὶ μὴ εἶναι χρόνον ὅτε οὐκ ἦν ταῦτα. εἰ γὰρ ἦν χρόνος ὅτε οὐκ ἦν τὰ ποιήματα, ἐπεὶ τῶν ποιημάτων μὴ ὄντων οὐδὲ ποιητής ἐστιν, ὅρα οἷον ἀσεβὲς ἀκολουθεῖ. ἀλλὰ καὶ ἀλλοιοῦσθαι καὶ μεταβάλλειν τὸν ἄτρεπτον καὶ ἀναλλοίωτον συμβήσεται θεόν· εἰ γὰρ ὕστερον πεποίηκε τὸ πᾶν, δῆλον ὅτι ἀπὸ τοῦ μὴ ποιεῖν εἰς τὸ ποιεῖν μετέβαλε. τοῦτο δὲ 935 B. ἄτοπον μετὰ τῶν προειρημένων. οὐκ ἄρα δυνατὸν λέγειν μὴ εἶναι ἄναρχον καὶ συναΐδιον τῷ θεῷ τὸ πᾶν.

Πρὸς ὃν φησι δι' ἑτέρου προσώπου ὁ ἅγιος ἐρωτῶν, ἆρά γε σοφίας καὶ δόξης καὶ συλλήβδην πάσης ἀρετῆς ἀρχὴν καὶ πηγὴν οὐσιωδῶς ἀλλὰ μὴ ἐπικτήτως ἡγῇ τὸν θεόν; ὁ δέ, ναί. τί δὲ πρὸς τούτοις; οὐχὶ τέλειος πάντῃ δι' ἑαυτὸν καὶ ἀπροσδεής; ἀληθῆ. ἀμήχανον γὰρ τὸ ἀπροσδεὲς δι' ἕτερον εἶναί τι ἀπροσδεές; ἀμήχανον. πᾶν γὰρ τὸ δι' ἕτερον πλῆρες ὂν καὶ ἀτελὲς λεκτέον; ἀνάγκη. τὸ γὰρ αὐτὸ δι' ἑαυτὸ ἑαυτοῦ πλήρωμα ὄν, καὶ αὐτὸ ἐν ἑαυτῷ μένον, τέλειον εἶναι τοῦτο μόνον δοξαστέον; ἀληθέστατα λέγεις. τὸ δὲ μήτε αὐτὸ δι' ἑαυτὸ μήτε αὐτὸ ἑαυτοῦ πλήρωμα ὂν φαίης ἂν ἀπροσδεές; οὐδαμῶς. οὐκ ἄρα ὁ θεὸς τέλειος διά τι νομισθήσεται· ὃ γὰρ διά τι τέλειόν ἐστιν, αὐτὸ καθ' ἑαυτὸ ἀτελὲς ἀνάγκη τυγχάνειν. ἀνάγκη. οὐκοῦν καὶ ὁ θεὸς αὐτὸς δι' ἑαυτὸν τέλειος ἀλλ' οὐ δι' ἕτερον λογισθήσεται; ὀρθότατα. ἕτερον θεὸς κόσμου, καὶ ἕτερον 936 B. κόσμος θεοῦ; παντελῶς. οὐκ ἄρα τέλειον φατέον καὶ δημιουργὸν καὶ παντοκράτορα διὰ κόσμον τὸν θεόν; οὔ. ὅπως [μὴ] δι' ἑαυτὸν ἀλλὰ μὴ διὰ κόσμον, καὶ ταῦτα τρεπτόν, αὐτὸς καθ' ἑαυτὸν τέλειος εὑρίσκοιτο προσηκόντως. τί δέ; τὸν πλέσιον διὰ τὸν πλοῦτον λεκτέον πλούσιον; ὀρθῶς. καὶ τὸν σοφὸν κατὰ μετοχὴν τῆς οὐσιώδους σοφίας, οὐκ αὐτὸν σοφίαν ὄντα, σοφὸν προσαγορευτέον; ναί. τί δέ; καὶ τὸν θεόν, ἕτερον ὄντα κόσμου, διὰ κόσμον ταύτῃ πλούσιον καὶ εὐεργέτην καὶ δημιουργὸν κλητέον; οὐδαμῶς, ἄπαγε. οὐκοῦν αὐτὸς ἑαυτοῦ πλοῦτος, καὶ δι' αὐτὸν πλέσιος καὶ δυνατὸς τυγχάνει; ἔοικεν. ἦν ἄρα καὶ πρὸ κόσμου πάντῃ ἀπροσδεὴς ὢν καὶ πατὴρ καὶ παντοκράτωρ καὶ δημιουργός, ὅπως δι' ἑαυτὸν ἀλλὰ μὴ δι' ἕτερον ταῦτα ᾖ; ἀνάγκη. εἰ γὰρ διὰ κόσμον καὶ οὐχὶ δι' ἑαυτόν, ἕτερος ὢν κόσμου, παντοκράτωρ γνωρίζοιτο, (συγγνώμην ὁ θεός, ἀναγκάζομαι γὰρ τοῦτο εἰπεῖν) αὐτὸς καθ' ἑαυτὸν ἀτελὴς ἔσται καὶ προσδεὴς τούτων δι' ἃ παντοκράτωρ καὶ δημιουργός ἐστιν. ὑπερφυῶς. οὐκ ἄρα ἀποδεκτέον ταύτην τὴν ὀλέθριον ἁμαρτίαν περὶ θεοῦ τῶν λεγόντων παντοκράτορα καὶ δημιουργὸν διὰ τὰ

a. 3. παρέλαβον ς. 4. κατὰ τὸν Χρ. ς. 9. βάλετε A. 10. ἔμπροσθεν post χοιρῶν ponit B. 14. ἡ εἰς Χριστὸν πίστις AB: ἡ εἰς πίστιν ς. 18. βάλλετε ς. 19. παραβάλλετε ς. 20. εἰς τὸν χριστὸν A. 24. αὐτὰς] αὐτοῖς B. 29. βιωτεύειν παρασκευάσουσιν A. 30. ὁ Ὠριγένης] οὐ τὸν Ὠριγένην λέγει, ἀλλ' ὁ Ὠριγένης Κένταυρόν τινα ὀνόματι ἐπιλαμβάνεται ταύτης ἐχόμενον τῆς δόξης τῆς ἀσεβοῦς mg rc B. b. 2. ἀπὸ om AB. 21. φατέον] φατὸ AB. 29. κόσμου] libri κόσμον. 30. ἄπαγε, οὐδαμῶς A. 34. post ὅπως cum AB omisi αὐτὸς. 36. ὢν καὶ κόσμου ς. 38. ἀτελὴς bis ponunt AB. ἔσται] ἂν ἔσται rc A, ἂν B. 41. παντοκρ. εἶναι καὶ AB.

κρατούμενα καὶ δημιουργούμενα τρεπτά, ἀλλ' οὐ δεῖ ἑαυτὸν εἶναι τὸν θεόν.

ὅρα δὲ καὶ ὧδε. εἰ ὕστερον, ἔφης, πεποίηται ὁ κόσμος μὴ πρότερον ὤν, μεταβάλλειν ἀνάγκη τὸν ἀπαθῆ καὶ ἀναλλοίωτον θεόν· τὸν γὰρ ποιοῦντα πρότερον μηδέν, ὕστερον δέ, ἀπὸ τοῦ μὴ ποιεῖν εἰς τὸ ποιεῖν μεταβάλλειν καὶ ἀλλοιοῦσθαι ἀνάγκη. ἔλεγον γάρ. πέπαυται δὲ τοῦ ποιεῖν ποτὲ τὸν κόσμον ὁ θεός, ἢ οὔ; πέπαυται. οὕπω γὰρ ἦν τετελειωμένος οὗν. ἀληθές. εἰ οὖν τὸ ποιεῖν ἐκ τοῦ μὴ ποιεῖν ἀλλοίωσιν τοῦ θεοῦ καταψηφίζεται, οὐχὶ καὶ τὸ μὴ ποιεῖν ἐκ τοῦ [μὴ] ποιεῖν; ἀνάγκη. ἠλλοιῶσθαι δὲ αὐτὸν φαίης μὴ ποιοῦντα σήμερον παρ' ὃ ἦν ὅτε ἐποίει; οὐδαμῶς. οὐδ' ἄρα ὅτ' ἐποίει τὸν κόσμον, ἠλλοιῶσθαι αὐτὸν ἀνάγκη παρ' ὃ ἦν ὅτε οὐκ ἐποίει· καὶ οὔτε ἀνάγκη συνυπάρχειν αὐτῷ τὸ πᾶν δεῖ λέγειν
496 H. διὰ τὸ μὴ ἀναγκάζεσθαι λέγειν ἠλλοιῶσθαι, οὔτε συναΐδιον δεῖ αὐτὸ τοῦτο.

καί μοι φάθι καὶ ὧδε. γενητὸν τὸ μὴ γενέσεως ἔχον ἀρχὴν φαίης ἄν; οὐ δῆτα· εἰ γὰρ μὴ ὑποπίπτει γενέσεως ἀρχῇ, ἐξ ἀνάγκης ἀγένητόν ἐστιν. εἰ δὲ γέγονεν, ὑπὸ αἰτίου τινὸς δίδως αὐτὸ γεγονέναι· πάντη γὰρ ἀδύνατον χωρὶς αἰτίου γένεσιν ἔχειν; ἀδύνατον. κόσμον δὴ οὖν, καὶ ὅσα ἐν αὐτῷ, ἄλλου τινὸς ἢ θεοῦ δημιουργοῦντος φήσομεν γεγονέναι ὕστερον, πρότερον οὐκ ὄντα; δῆλον ὅτι θεοῦ. ἀδύνατον γὰρ τὸ γενέσεως ἀρχῇ περιορισθὲν συναπέραντον εἶναι τῷ ἀπεράστῳ; ἀδύνατον.

πάλιν δὴ οὖν, ὦ Κένταυρε, ἐξ ἀρχῆς διαλεγώμεθα. θείᾳ ἐπιστήμῃ τὰ ὄντα φατὲ γεγονέναι, ἢ οὔ; ὦ βάλη λέξεσιν οὐδαμῶς, ἀλλὰ ἀπὸ τῶν στοιχείων ἢ ὕλης ἢ στηριγμάτων, ἢ ὅπως αὐτοὶ ταῦτα βούλεσθε ὀνομάζειν· οὐδὲν γὰρ διαφέρει. τούτων ἀγενήτως προϋφεστηκότων καὶ πλημμελῶς φερομένων ὁ θεὸς διακρίνας ἐτεχνάσατο τὰ πάντα, ὥσπερ ἀγαθὸς ζωγράφος ἀπὸ πολλῶν χρωμάτων μίαν τεχνησάμενος ἰδέαν;
17 R. οὐδὲ τοῦτο· πάντως γὰρ ἀποφεύξονται ὁμολογῆσαι καθ' ἑαυτῶν, ἵνα μὴ τῆς κατακρίσεως καὶ τῆς μεταμορφώσεως τὴν ὕλην συγχωροῦντες ἀρχὴν ἐσχηκυῖαν, ἀναγκασθῶσι τῷ λόγῳ κατὰ πάντα τὸν θεὸν ἦρχθαι τοῦ διοικεῖν λέγειν καὶ κατακοσμεῖν τὴν πρότερον ἄμορφον οὖσαν ὕλην.

φέρε, γάρ, ἐπειδή (σὺν τῷ θεῷ φάναι) ἐνταῦθα τοῦ λόγου γεγόναμεν, ἤτω τις ἀνδριάς, ἑστὼς ἐπὶ βάσεως, καλός· οὗ θαυμάζοντες οἱ θεώμενοι τὴν εὔρυθμον καλλονὴν διαφερέσθωσαν πρὸς ἀλλήλους, πῇ μὲν γενητὸν πῇ δὲ καὶ ἀγένητον πειρώμενοι λέγειν. ἐροίμην γὰρ σφᾶς, δι' ἣν αἰτίαν ἀγένητον αὐτόν φατε; πότερον διὰ τὸν τεχνίτην, ὅπως μηδαμῶς ἀργήσας τῆς δημιουργίας νομίζοιτο, ἢ δι' αὐτόν; ἂν μὲν γὰρ διὰ τὸν τεχνίτην, πῶς ἀγένητος ὢν πρὸς τοῦ τεχνίτου δημιουργεῖται; εἰ γὰρ ὅλως ἐν ἐνδείᾳ τῆς τέχνης καθέστηκε χαλκουργούμενος πρὸς τὸ χεῖν ὁποῖον ὁ δημιουργὸς ἐθέλοι χαρακτῆρα, ποίῳ τρόπῳ ἀγένητος ἔσται πάσχων τε καὶ δρώμενος; εἰ δὲ αὖ δι' ἑαυτὸν τέλειος καὶ ἀγένητος λέγοιτο μὴ δεῖσθαι τῆς τέχνης ὁ ἀνδριάς, κατὰ τὸ ὀλέθριον δόγμα, ἀνάγκη αὐτοματισμὸν ὁμολογεῖν. ἢ οὐδὲ τοῦτον ἴσως ἐθελήσαντες προσήκασθαι τὸν λόγον πικρότερον ἀποκρινοῦνται, τὸ μὲν βρέτας ἀγένητον οὐκ εἶναι λέγοντες, γενητὸν δὲ εἶναι ἀεὶ γενέσεως ἀρχὴν οὐκ ἔχον, ὅπως ἀνάρχως λέγοιτο κρατεῖν τοῦ τεχνάσματος ὁ τεχνίτης. οὐκοῦν, ὦ οὗτοι, λέξομεν αὐτοῖς, εἰ μὴ χρόνος μήτε αἰὼν εὑρίσκοιτο ἐπάνω, ὅτε οὐκ ἦν τέλειος ὁ ἀνδριάς, τί παρέσχεν αὐτῷ ὁ τεχνίτης ἢ τί ἐνήργησεν εἰς αὐτόν; φάτε· εἰ γὰρ ὁ αὐτὸς ἀνενδεὴς ὢν καὶ οὐκ ἔχων ἀρχὴν γενέσεως τυγχάνει, ταύτῃ μᾶλλον καθ' ὑμᾶς ὁ δημιουργὸς οὐδέποτε δημιουργήσας οὔτε δημιουργῶν εὑρεθήσεται. καὶ πάλιν εἰς αὐτὸ ἔοικεν ὁ λόγος περιδεδραμηκέναι, αὐτοματισμὸν ὁμολογεῖν. ἐὰν γὰρ κἂν τὸ ἀκαριαίτατον ἀνδριάντα κινήσας ὁ δημιουργὸς λεχθῇ, ἀρχῇ ὑποπεσεῖται, καθ' ἣν πρότερον αὐτὸν ἄκοσμον καὶ ἀκίνητον ὄντα ἤρξατο κινεῖν καὶ 497 H.
κοσμεῖν. οὐκοῦν καὶ ἦν καὶ ἔσται διηνεκῶς ὁ αὐτὸς ἀεὶ κόσμος· ἀπεικαστέον γὰρ τῷ μὲν θεῷ τὸν τεχνίτην, τὸν δὲ ἀνδριάντα τῷ κόσμῳ. πῇ δὴ οὖν, ὦ ἠλίθιοι, οἴεσθε τὴν κτίσιν συναπέραντον οὖσαν τῷ δημιουργῷ μὴ δεῖσθαι τοῦ δημιουργοῦ; τὸ γὰρ συναπέραντον μηδαμῶς ἀρχὴν γενέσεως ἔχον, καὶ συναγένητον καὶ ἰσοδύναμον ἀνάγκη τυγχάνειν. τὸ δὲ ἀγένητον, αὐτοτελὲς καὶ

a. 4. πρότερος A. 12. δὲ τὸν αὐτὸν B. 13. ὅτ' ἐποίει] libri ὅτε ποιεῖ. 16. οὔτε AB: ὅτι ς. 18. φασὶ AB. 23. ante ἄλλου cum AB omisi μοῦ. 24. πρότερον B: πρῶτον ς. 26. post συναπέραντον cum AB omisi γὰρ τὸ γενέσεως. 28. διαλεγώμεθα corr B: διαλεγόμεθα ς. 30. βάλη] πάλιν B et corr A: alii βάλε i. e. ἔβαλε. 34. ἐτεχνάσατο AB: ἐτεχνήσατο ς. 37. κατακρίσεως] διακρίσεως Scaliger, μετακρίσεως alii.
b. 5. εὔρυθμον AB: ἐῤῥύθμιον ς. 7. λέγειν πειρώμενοι ς. 10. ἑαυτὸν A. 14. ἔσται] ἂν AB. 16. τῆς om A. 22. ὦ om AB. 30. τὸ] τὸν AB. ἀνδριάντα] malim τὸν ἀνδριάντα, et mox κινῆσαι. 35. δὴ] δὲ AB.

*ἄτρεπτον φανθέν, καὶ ἀπροσδεὲς καὶ ἄφθορον ἔσται. καὶ εἰ τοῦτο οὕτως ἔχει, οὐκέτι ὁ κόσμος τρεπτὸς καθ' ὑμᾶς.*

*ὅτι ἐκκλησία παρὰ τὸ ἐκκεκλικέναι τὰς ἡδονὰς λέγεσθαι φησίν.*

*ὅτι φησὶν ὁ ἅγιος, Δύο δὲ δυνάμεις ἐν τοῖς προωμολογημένοις ἔφαμεν εἶναι ποιητικάς, τὴν ἐξ οὐκ ὄντων γυμνῷ τῷ βουλήματι χωρὶς μελλησμοῦ ἅμα τῷ θελῆσαι αὐτουργοῦσαν ὃ βούλεται ποιεῖν· τυγχάνει δὲ ὁ πατήρ· θατέραν δὲ κατακοσμοῦσαν καὶ ποικίλλουσαν κατὰ μίμησιν τῆς προτέρας τὰ ἤδη γεγονότα· ἔστι δὲ ὁ υἱός, ἡ παντοδύναμος καὶ κραταιὰ χεὶρ τοῦ πατρός, ἐν ᾗ μετὰ τὸ ποιῆσαι τὴν ὕλην ἐξ οὐκ ὄντων κατακοσμεῖ.*

*ὅτι τὸ Ἰὼβ βιβλίον Μωσέως εἶναι ὁ ἅγιος φησίν.*

940 R. *ὅτι περὶ τοῦ „ἐν ἀρχῇ ἐποίησεν τὸν οὐρανὸν καὶ τὴν γῆν" φησίν, Ἀρχὴν δὲ αὐτὴν τὴν σοφίαν λέγων τις οὐκ ἂν ἁμάρτοι. λέγεται γὰρ παρά τινι τῶν ἐκ τοῦ θείου χοροῦ λέγουσα περὶ αὐτῆς τὸν τρόπον τοῦτον „κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με." ἣν γὰρ ἀκόλουθον καὶ πρεπωδέστερον πάντα ὅσα εἰς γένεσιν ἦλθον εἶναι ταύτης νεώτερα, ἐπεὶ καὶ δι' αὐτῆς γεγόνασιν. ἐπίστησον γάρ, εἰ μὴ καὶ τὸ „ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν" κατὰ τὸν εὐαγγελιστὴν „καὶ θεὸς ἦν ὁ λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν," εἰ μὴ τούτοις ὁμαρτεῖ. τὴν μὲν γὰρ ἀρχήν, ἀφ' ἧς ἀνεβλάστησεν ὁ ὀρθότατος λόγος, τὸν πατέρα καὶ ποιητὴν τῶν ὅλων φατέον, ἐν ᾧ ἦν· τὸ δὲ „οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν" τὸ ἐξουσιαστικὸν τοῦ λόγου, ὃ εἶχε παρὰ τῷ πατρὶ καὶ πρὸ τοῦ τὸν κόσμον εἰς γένεσιν παρελθεῖν, ἔοικε σημαίνειν, τὴν ἐξουσίαν ἀρχὴν εἰπών. οὐκοῦν ἀρχή, μετὰ τὴν ἰδίαν ἄναρχον ἀρχὴν τὸν πατέρα, αὐτὸς τῶν ἄλλων γίνεται, δι' ἧς ἅπαντα δημιουργεῖται.*

*ὅτι Ὠριγένης μετὰ τὸ πολλὰ μυθήσασθαι περὶ τῆς τοῦ παντὸς ἀϊδιότητος ἐπάγει καὶ τοῦτο· Οὔτε οὖν ἀπὸ Ἀδάμ, ὥς φασί τινες, πρότερον οὐκ ὢν ὁ ἄνθρωπος τότε πρώτως πλασθεὶς εἰς κόσμον παρῆλθεν, οὔτε αὖ κόσμος πρὸ ἓξ ἡμερῶν τῆς τοῦ Ἀδὰμ γενέσεως ἤρξατο δημιουργεῖσθαι. εἰ δὲ φιλοφρονοῖτο διαφέρεσθαι πρὸς ταῦτά τις, πρότερον φρασάτω εἰ μὴ εὐαρίθμητος ἀπὸ τῆς τοῦ κόσμου γενέσεως κατὰ τὴν Μωσέως βίβλον τοῖς οὕτως αὐτὴν ἐκλαμβανομένοις ὁ χρόνος ἐστί, τῆς προφητικῆς καὶ ἐνθάδε βοώσης φωνῆς „ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ· ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σοῦ ὡς ἡμέρα ἡ χθές, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν* 981 *νυκτί." χιλίων γὰρ ἐτῶν περιοριζομένων εἰς μίαν ἡμέραν ἐν ὀφθαλμοῖς θεοῦ, ἀπὸ τῆς τοῦ κόσμου γενέσεως μέχρις ἡμῶν, ὡς οἱ περὶ τὴν ἀριθμητικὴν φάσκουσι δεινοί, ἓξ ἡμέραι συμπεραιοῦνται. ἑξακισχιλιοστὸν ἄρ' ἔτος φασὶν ἀπὸ Ἀδὰμ εἰς δεῦρο συντείνειν· τῇ γὰρ ἑβδομάδι τῷ ἑπτακισχιλιοστῷ ἔτει κρίσιν ἀφίξεσθαί φασιν. οὐκοῦν αἱ πᾶσαι ἡμέραι δέκα καὶ τρεῖς ἀφ' ἡμῶν ἕως εἰς τὴν ἐν ἀρχῇ, ἐν ᾗ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, μετροῦνται. ὧν ὁ θεὸς ἀνώτερον κατὰ τὴν σφῶν αὐτῶν ἄνοιαν οὐδὲν οὐδαμῶς δημιουργήσας ἐγεγύμνωτο τοῦ πατὴρ καὶ παντοκράτωρ εἶναι. εἰ δὲ τρεισκαίδεκα εἰσιν ἡμέραι ἐν ὀφθαλμοῖς θεοῦ ἀπὸ γενέσεως κόσμου, πῶς φησὶν ἡ ἐν τῷ Σειρὰχ σοφία „ἄμμον θαλασσῶν καὶ σταγόνας ὑετοῦ καὶ ἡμέρας αἰῶνος τίς ἐξαριθμήσει;" Ταῦτά φησιν ὁ Ὠριγένης σπουδάζων, καὶ ὅρα οἷα παίζει.*

## 236.

*Ἀνεγνώσθη τοῦ αὐτοῦ ἐκ τοῦ περὶ αὐτεξουσίου, τῆς ἴσης καὶ αὐτὸς τυχὼν συντομίας.*

*πόθεν τὰ κακὰ καὶ τίς ὁ τούτων ποιητής; ὁ μὲν γὰρ θεὸς οὐκ ἔστιν, ὅτι μηδὲ τούτοις ἥδεται, ἀλλὰ καὶ τοὺς δρῶντας αὐτὰ βδελύσσεται. διόπερ ἔδοξέ μοι συνυπάρχειν τι αὐτῷ, τοὔνομα ὕλη, ἐξ ἧς τὰ ὄντα ἐδημιούργησεν, ἐξ ἧς καὶ τὰ κακὰ εἶναί μοι δοκεῖ. ἀποίου τε γὰρ καὶ ἀσχηματίστου οὔσης αὐτῆς, πρὸς δὴ τούτοις καὶ ἀτάκτως φερομένης,* 941 R *οὐ διὰ παντὸς κατέλιπεν αὐτὴν οὕτω φέρεσθαι, ἀλλὰ δημιουργεῖν ἤρχετο, καὶ ἀπὸ τῶν χειρίστων αὐτῆς τὰ κάλλιστα διακρίνειν ἤθελε. καὶ οὕτω γοῦν ἐδημιούργησεν ὅσα ἐξ αὐτῆς ἥρμοζε θεῷ δημιουργεῖν. τὰ δὲ ὅσα αὐτῆς ὡς ἔπος εἰπεῖν τρυγώδη ἐτύγχανε, ταῦτα ἀνάρμοστα ὄντα πρὸς δημιουργίαν ὡς εἶχε κατέλιπεν· ἐξ ὧν δοκεῖ μοι νῦν ἐπιρρεῖν τὰ κακά. ταῦτα μὲν οὕτως· πρὸς αὐτὸν δέ φησιν, Ὅτι μὲν οὖν ἀδύνατον ἀγένητα δύο ἅμα οὐδὲ σὲ ἀγνοεῖν νομίζω. ἢ γὰρ ἡνῶσθαι ἢ κεχωρίσθαι αὐτὰ λέγειν ἀνάγκη. εἰ μὲν οὖν ἡνῶσθαι λέξοι, ἓν τὸ ἀγένητον· ἕκαστον γὰρ τούτων μέρος ἔσται τοῦ πλησίον, ἀλλήλων δὲ μέρη τυγχάνοντα ἀγένητον ἀλλ' οὐκ ἀγένητα ἔσται· οὐδὲ*

a. 1. ἔσται] ἂν AB, ἂν ἔσται ς. 3. ἐκκεκλικέναι AB: ἐκκεκληκέναι ς. 5. δὲ expungit A, om B. 6. ποιητικῆς AB. 7. μελλησμοῦ AB: μελισμοῦ ς. 16. τὴν] καὶ AB. 18. κύριος] Proverb. 8, 22. 26. ἁμάρτοι AB. 28. φατὲ AB. τὸ] malim τῷ. 37. πρῶτος ς. b. 2. ἔστι] ἂν AB: εἰς ς. 3. ἀπὸ] Ps. 89, 2. 6. γενέσεως AB: γενέσεως μέχρις καταπαύσεως ς. 15. δὲ A: δὲ καὶ ς. 17. σιρὰχ B. 18. ἄμμον] 1, 2. 22. τῆς A: ὡσαύτως τῆς ς. 29. δὴ] exspectabam δὲ et hic et p. 305 a 31. 40. 41. ἔσται] ἂν AB, ἂν ἔσται ς.

Digitized by Google

γὰρ τὸν ἄνθρωπον μέρη ἔχοντα κατακερματίζομεν εἰς πολλὰ γενητά. εἰ δὲ κεχωρίσθαι φήσει τις, ἀνάγκη εἶναί τι τὸ ἀνὰ μέσον ἀμφοτέρων, ὅπερ καὶ τὸν χωρισμὸν αὐτῶν δείκνυσι. τοῦτο δὲ ἤτοι ταὐτὸν ὂν ἥνωται θατέρῳ τῶν δύο, καὶ ἀνάγκη πάλιν ἢ ἕνωσιν ἢ χωρισμὸν πρὸς τὸ ἕτερον ζητεῖν. ἕνωσιν μὲν ἀδύνατον ἰδεῖν, εἴπερ θατέρῳ ταὐτὸν εἶναι καὶ ἡνῶσθαι δέδοται· ἡνοῦτο γὰρ ἂν οὕτως καὶ τὸ ἐξ ἀρχῆς, ᾧ ταὐτὸν εἶναι τοῦτο ἐδόθη. εἰ δὲ κεχωρίσθαι ἀπαιτεῖ ὁ λόγος, πάλιν τὸ χωρίζον ἀπαιτητέον, ἕως ἂν ἀπείρων ἡμῖν ἀγενήτων ἐσμὸς ἀναφανῇ. ἂν δ' ἄρα τις καὶ τρίτον λέξῃ λόγον, τουτέστι τὸ μήτε κεχωρίσθαι τὸν θεὸν τῆς ὕλης μηδ' αὖ πάλιν ὡς ἐν μέρει ἡνῶσθαι, εἶναι δὲ ὡς ἐν τόπῳ [καθάπερ] τῇ ὕλῃ
499 H. τὸν θεὸν καὶ τὴν ὕλην ἐν τῷ θεῷ, ἀκουέτω ὅτι ἐὰν τόπον τοῦ θεοῦ τὴν ὕλην εἴπωμεν, ἐξ ἀνάγκης καὶ χωρητὸς ἔσται, τῇ ὕλῃ περιγραφόμενος, καὶ τῇ ὕλῃ ὁμοίως ἀτάκτως φερόμενος· τοῦ γὰρ ἐν ᾧ ἐστὶ πλημμελῶς κινουμένου, ἀνάγκη καὶ τὸ ἐν αὐτῷ συγκινεῖσθαι. πότερον δὲ ἐπλήρου τὴν ὕλην ὁ θεός, ἢ ἐν μέρει αὐτῆς ἐτύγχανεν; εἰ μὲν γὰρ ἐν μέρει, μικρότερος αὐτῆς ἅτε δὴ ἐν μέρει αὐτῆς χωρηθείς· εἰ δὲ ἐπλήρου, πῶς ταύτην ἐδημιούργησεν; ἀνάγκη γὰρ ἢ συστολήν τινα τοῦ θεοῦ λέγειν, ἧς γενομένης ἐδημιούργησεν ἐκεῖνο ἀφ' οὗ ὑπεχώρησεν, ἢ καὶ αὐτὸν τῇ ὕλῃ συνδημιουργεῖν, οὐκ ἔχοντα ὑποχωρήσεως τόπον. εἰ δὲ τὴν ὕλην ἐν τῷ θεῷ εἶναι λέγοι τις, ῥητέον πότερον ὡς διισταμένου αὐτοῦ ἀφ' αὐτοῦ, καὶ ὥσπερ ἐν ἀέρι ζώων ὑπάρχει γένη, μεριζομένου αὐτοῦ εἰς ὑποδοχὴν τῶν γινομένων ἐν αὐτῷ, ἢ ὥσπερ ἐν γῇ ὕδωρ; εἰ μὲν γὰρ ὡς ἐν ἀέρι, μεριστὸν ἀνάγκη λέγειν τὸν θεόν· εἰ δὲ ὡς ὕδωρ ἐν τῇ γῇ, ἦν δὲ ἄτακτος καὶ ἄκοσμος ἡ ὕλη, πρὸς δὴ τούτοις ἔχουσα καὶ κακά, τὸν θεὸν λέγειν ἀνάγκη τῶν ἀκοσμήτων καὶ κακῶν τούτων αἴτιον. καὶ ὅρα [γὰρ] ὡς ὕλην ὑποτιθέμενος, ἵνα μὴ τῶν κακῶν ποιητὴν εἴποις τὸν θεόν, δοχεῖον αὐτὸν τῶν κακῶν εἶναι λέγεις.

λέγε δὲ καὶ ὧδε. φῂς τοίνυν ἄποιον ὕλην συνυπάρχειν τῷ θεῷ, ἐξ ἧς τὴν τοῦ κόσμου γένεσιν ἐδημιούργησεν; οὕτω μοι δοκεῖ. οὐκοῦν εἰ ἄποιος ἐτύγχανεν ἡ ὕλη, γέγονε δὲ κόσμος πρὸς τοῦ θεοῦ, ἐν δὲ τῷ κόσμῳ αἱ ποιότητες, τῶν ποιοτήτων γέγονε ποιητὴς ὁ θεός;
448 B. οὕτως ἔχει. ἐπεὶ δέ σοι δοκεῖ καὶ ὡς ἀδύνατον ἐξ οὐκ ὄντων γίνεσθαί τι, πρὸς τὴν ἐρώτησίν ἀπόκριναι. δοκεῖ σοι τὰς τοῦ κόσμου ποιότητας μὴ ἐξ ὑποκειμένων γεγονέναι ποιοτήτων; δοκεῖ. ἕτερον δέ τι παρὰ τὰς οὐσίας ὑπάρχειν αὐτάς; οὕτως ἔχει. οὐκοῦν εἰ μήτε ἐξ ὑποκειμένων ποιοτήτων τὰς ποιότητας ἐδημιούργησεν ὁ θεός, μήτε ἐκ τῶν οὐσιῶν ὑπάρχουσι τῷ μηδὲ οὐσίας αὐτὰς εἶναι, ἐκ μὴ ὄντων αὐτὰς ὑπὸ θεοῦ γεγονέναι ἀνάγκη εἰπεῖν. περιττὸν ἄρα τὸ δοξάζειν ὡς οὐδὲν ἐξ οὐκ ὄντων γίνεται πρὸς τοῦ θεοῦ. ἀλλ' ὁ μὲν περὶ τούτου λόγος ὧδε ἐχέτω. καὶ γὰρ παρ' ἡμῖν ὁρῶμεν ἀνθρώπους ἐξ οὐκ ὄντων ποιοῦντάς τινα, οἷον ἐπὶ τῶν ἀρχιτεκτονικῶν τὸ παράδειγμα λάβωμεν· ἢ γὰρ οὗτοι ποιοῦσι πόλεις οὐκ ἐκ πόλεων καὶ ναοὺς οὐκ ἐκ ναῶν. εἰ δ' ὅτι τούτοις οὐσίαι ὑπόκεινται, οἴει ἐξ [οὐκ] ὄντων αὐτοὺς ταῦτα ποιεῖν, τῷ λόγῳ σφάλλῃ. οὐδὲ γὰρ ἡ οὐσία ἐστὶν ἡ ποιοῦσα τὴν πόλιν ἢ τοὺς ναούς, ἀλλ' ἡ περὶ τὴν οὐσίαν τέχνη, ἣ οὐκ ἐξ ὑποκειμένης τινὸς τέχνης ἐν ταῖς οὐσίαις γίνεται, ἀλλ' ἐξ οὐκ οὔσης ἐν αὐταῖς γίνεται. ἀπαντήσειν δέ μοι δοκεῖς οὕτω τῷ λόγῳ, ὅτι τεχνίτης τῇ ἐν τῇ οὐσίᾳ τέχνῃ ποιεῖ. φημὶ δὲ πρὸς τοῦτο ὅτι οὐδὲ ἐν τῷ ἀνθρώπῳ ἔκ τινος ὑποκειμένης τέχνης προσγίνεται. οὐδὲ γὰρ ἔνεστι τὴν ἐφ' ἑαυτῆς οὐσίαν δοῦναι τὴν τέχνην· τῶν γὰρ συμβεβηκότων ἐστί, καὶ τῶν τότε τὸ εἶναι ἐχόντων, ὁπόταν ἐν οὐσίᾳ τινὶ γένηται. ὁ μὲν γὰρ ἄνθρωπος καὶ χωρὶς τῆς τεκτο- 500 H.
νικῆς ἔσται· ἡ δὲ οὐκ ἔσται, ἐὰν μὴ πρότερον ἄνθρωπος ᾖ. ὅθεν τὰς τέχνας ἐξ οὐκ ὄντων εἰς ἀνθρώπους πεφυκέναι γίνεσθαι λέγειν ἀναγκαῖον. εἰ τοίνυν τοῦτο οὕτως ἔχειν ἐπ' ἀνθρώπων ἐδείξαμεν, πῶς οὐχὶ προσῆκε τὸν θεὸν μὴ μόνον ποιότητας ἐξ οὐκ ὄντων φάναι δύνασθαι ποιεῖν, ἀλλὰ καὶ οὐσίας; τῷ γὰρ δυνατὸν φανῆναι τὸ γίνεσθαί τι ἐξ οὐκ ὄντων, καὶ τὰς οὐσίας οὕτως ἔχειν δείκνυται.

Πάλιν δὲ διαληπτέον τῶν κακῶν πέρι. τὰ κακὰ πότερον οὐσίαι σοι δοκοῦσιν εἶναι ἢ ποιότητες οὐσιῶν; ποιότητες. ἡ δὲ ὕλη ἄποιος ἦν καὶ ἀσχημάτιστος; οὕτως. πέπλεκται ἄρα τὰ ὀνόματα ταῦτα τῇ οὐσίᾳ ἐκ τῶν συμβεβηκότων αὐτῇ. οὔτε γάρ ἐστιν ὁ φόνος ἡ οὐσία οὔτε τι τῶν ἄλλων κακῶν, ἀλλ' ἐκ τῶν ἐνεργειῶν παρονομάζεται. οὔτε γὰρ φόνος ὁ ἄνθρωπος, ἀλλὰ τῷ ἐνηργηκέναι τοῦτον παρωνύμως φονεὺς παρονομάζεται, μὴ ὢν φόνος αὐτός· οὔτε συλλήβδην εἰπεῖν τι τῶν ἄλλων κακῶν ἐστὶν ἡ οὐσία, ἀλλὰ τῷ πρᾶξαί τι τῶν κακῶν

a. 2. κεχώρισαι AB. 7. ἂν οὕτως AB: οὕτως ἂν ς. 11. λέξῃ A: ἔξει ς. 16. ἔσαι] ἂν AB. περιγραφόμενος καὶ τῇ ὕλῃ om AB. 22. τινα τοῦ] αὐτοῦ AB. 26. ἑαυτοῦ ς. 27. ὑπάρχει] libri ὑπάρχειν. 34. εἴποις] εἰπὼν AB: εἰπεῖν ς.
b. 1. ἀπόκρινε ς. 2. ποιότητας τοῦ κόσμου A. 7. γέγονεν A. 12. ἡ B et corr A: εἰ ς. 14. αὐτοὺς B: αὐτὰς ς. 25. ἔσται bis om AB. 30. τῷ A: τὸ ς.

κακὴ λέγεσθαι δύναται. ὁμοίως ἐπινόησον, εἴ τι ἕτερον ἀναπλάττεις ἐν τῷ νῷ κακῶν τοῖς ἀνθρώποις αἴτιον, ὡς κἀκεῖνο κακὸν ἐν τῷ τούτοις ἐνεργεῖν καὶ ὑποβάλλειν ποιεῖν τὰ κακά. ἔστι γὰρ καὶ αὐτὸς κακὸς ἐξ ὧν ποιεῖ· διὰ τοῦτο γὰρ κακὸς εἶναι λέγεται, ὅτι τῶν κακῶν ἐστὶ ποιητής. ἃ δέ τις ποιεῖ, οὐκ ἔστιν αὐτὸς ἀλλ' ἐνέργεια αὐτοῦ, ἀφ' ὧν τὴν προσηγορίαν τοῦ κακὸς λέγεσθαι λαμβάνει. εἰ γὰρ αὐτὸν εἴποιμεν εἶναι ἃ ποιεῖ, ποιεῖ δὲ φόνους καὶ μοιχείας καὶ ὅσα ὅμοια, αὐτὸς ἔσται ταῦτα· εἰ δὲ αὐτός ἐστι ταῦτα, ὅτε γίνεται, τὴν σύστασιν ἔχει. οὐ γινόμενα δὲ καὶ τοῦ εἶναι παύεται. γίνεται δὲ ταῦτα πρὸς ἀνθρώπων. ἔσονται ἄρα τούτων οἱ ἄνθρωποι ποιηταί, καὶ
945 R. τοῦ εἶναι καὶ τοῦ μηκέτι εἶναι αἴτιοι. ἀλλ' εἰ ἐξ ὧν ἐνεργεῖ ἕκαστος ὑπάρχει κακός, ἃ δὲ ἐνεργεῖ, ἀρχὴν τοῦ εἶναι λαμβάνει, ἤρξατο κἀκεῖνος εἶναι κακός, ἤρξατο δὲ καὶ ταῦτα τὰ κακά. εἰ δ' οὕτως ἔχει, οὐκ ἔστιν ἀνάρχως τις κακός, οὐδὲ ἀγένητα τὰ κακά.

ἀλλὰ τὸ μὲν πρὸς τὸν ἕτερον λόγον ἱκανῶς, ὦ φίλε, πεποιηκέναι μοι δοκεῖς. ἐξ ὧν γὰρ προλαβὼν ἔδωκε τῷ λόγῳ, ἐκ τούτων συνάγειν ἔδοξας καλῶς. ὡς ἀληθῶς γάρ, εἰ ἄποιος ἐτύγχανεν ἡ ὕλη, τῶν δὲ ποιοτήτων δημιουργὸς ὁ θεός, ποιότητες δὲ τὰ κακά, ποιητὴς τῶν κακῶν ὁ θεός. ἐμοὶ δὲ ψεῦδος δοκεῖ τὴν ὕλην ἄποιον λέγειν· οὐδὲ γὰρ ἔνεστιν εἰπεῖν περὶ τῆς τινὸς οὐσίας ὡς ἔστιν ἄποιος. ἀλλὰ μὴν καὶ ἐν ᾧ ἄποιον εἶναι λέγει, τὴν ποιότητα αὐτῆς μηνύει, ὁποία ἐστὶν ἡ ὕλη διαγραφόμενος· ὅπερ ἐστὶ ποιότητος εἶδος. ὅθεν, εἴ σοι φίλον ἐστίν, ἄνωθεν ἄρχου τοῦ λόγου. ἐμοὶ γὰρ ἡ ὕλη ποιότητας ἀνάρχως ἔχειν δοκεῖ· οὕτω γὰρ καὶ τὰ κακὰ ἐκ τῆς ἀποῤῥοίας αὐτῆς εἶναι λέγω. ὦ φίλε, εἰ ἔμποιος ἦν ἀνάρχως ἡ ὕλη, τίνος ἄρα ἔσται ποιητὴς ὁ θεός; εἴτε γὰρ οὐσίας ἐροῦμεν, προεῖναί φαμεν· εἴτε αὖ ποιότητας,
501 H. καὶ αὐτὰς ὑπάρχειν λέγομεν. οὐκοῦν οὐσίας τε οὔσης καὶ ποιοτήτων περιττὸν εἶναί μοι δοκεῖ δημιουργὸν λέγειν τὸν θεόν.

ἀλλ' ἀπόκριναι ἐρωτώμενος, τίνι τρόπῳ δημιουργὸν εἶναι φῂς τὸν θεόν, πότερον ὅτι τὰς οὐσίας ἔτρεψεν ἐκείνας εἰς τὸ μηκέτι ὑπάρχειν, αἵπερ ἦσάν ποτε, ἢ ὅτι τὰς μὲν οὐσίας ἐφύλαξε, τὰς δὲ ποιότητας αὐτῶν ἔτρεψεν; οὔτι μοι δοκεῖ ἀλλαγὴν οὐσιῶν γεγονέναι, ἀλλὰ μόνον ποιοτήτων, καθ' ἃς δημιουργὸν εἶναι λέγομεν τὸν θεόν· καὶ ὥσπερ εἰ τύχοι λέγειν ἐκ λίθων οἰκίαν γεγονέναι, ἐφ' ὧν οὐκ ἔνεστιν εἰπεῖν ὡς οὐκέτι λίθοι μένουσι τῇ οὐσίᾳ οἰκία λεγόμενοι οἱ λίθοι (τῇ γὰρ ποιότητι τῆς συνθέσεως τὴν οἰκίαν γεγονέναι φημί), οὕτω μοι δοκεῖ καὶ τὸν θεόν, ὑπομενούσης τῆς οὐσίας, τροπήν τινα τῶν ποιοτήτων αὐτῆς πεποιηκέναι, καθ' ἣν τὴν τοῦδε τοῦ κόσμου γένεσιν πρὸς τοῦ θεοῦ γεγονέναι φημί. πότερον καὶ σοὶ δοκεῖ τὰ κακὰ ποιότητες οὐσιῶν εἶναι; δοκεῖ. ἄνωθεν δὲ ἦσαν αἱ ποιότητες αὗται ἐν τῇ ὕλῃ, ἢ ἀρχὴν ἔχον τοῦ εἶναι; συνεῖναί φημι ἀγενήτως τῇ ὕλῃ ταύτας δὴ τὰς ποιότητας. οὐχὶ δὲ τὸν θεὸν φῂς τροπήν τινα τῶν ποιοτήτων πεποιηκέναι; τοῦτό φημι. εἰς τὸ κρεῖττον; ἐμοὶ δοκεῖ. οὐκοῦν εἰ ποιότητες ὕλης τὰ κακά, τὰς δὲ ποιότητας αὐτῆς εἰς τὸ κρεῖττον ἔτρεψεν ὁ θεός, πόθεν τὰ κακά, ζητεῖν ἀνάγκη. ἢ γὰρ πᾶσαι κακαὶ οὖσαι ἐπὶ τὸ κρεῖττον ἐτράπησαν ἢ αἱ μὲν οὖσαι κακαί, αἱ δὲ μή, αἱ μὲν κακαὶ οὐκ ἐτράπησαν ἐπὶ τὸ κρεῖττον, αἱ δὲ λοιπαί, ὅσαι διάφοροι ἐτύγχανον, τῆς διακοσμήσεως ἕνεκα πρὸς θεοῦ ἐτράπησαν. οὕτως ἄνωθεν εἶχον ἐγώ. πῶς τοίνυν τὰς τῶν φαύλων ποιότητας ὡς εἶχον καταλελοιπέναι λέγεις; πότερον δυνάμενον μὲν ἐκείνας ἀνελεῖν, ἢ βουληθέντα μὲν μὴ δυνάμενον δέ; εἰ μὲν γὰρ δυνάμενον λέγεις μὴ βουληθέντα δέ, αὐτὸν αἴτιον τούτων, ὅτι δυνάμενος ποιῆσαι μὴ εἶναι κακὰ συνεχώρησεν αὐτὰ μένειν ὡς ἦν, καὶ μάλιστα ὅτε δημιουργεῖν τὴν ὕλην ἤρξατο. εἰ γὰρ μηδὲ ὅλως ἔμελεν αὐτῷ τῆς ὕλης, οὐκ ἂν αἴτιος ἦν ὧν συνεχώρησε μένειν· ἐπεὶ δὲ μέρος μέν τι αὐ- 946 R.
τῆς δημιουργεῖ, μέρος δέ τι αὐτῆς ἐᾷ, δυνάμενος κἀκεῖνο τρέπειν εἰς τὸ κρεῖττον, αἴτιός μοι τῶν κακῶν δοκεῖ, καταλιπὼν μέρος ὕλης πονηρὸν ἐπ' ὀλέθρῳ οὗ ἐδημιούργησε μέρους. ἀλλὰ μὴν καὶ τὰ μέγιστα κατὰ τοῦτο τὸ μέρος ἠδικῆσθαί μοι δοκεῖ, ὅπερ κατεσκεύασε τῆς ὕλης μέρος ἀντιλαμβανόμενον τὰ ἐκ τῶν κακῶν. πρὶν γὰρ αὐτὴν διακριθῆναι τὸ μηδὲ αἰσθέσθαι τῶν κακῶν παρῆν αὐτῇ· νῦν δὲ ἕκαστον τῶν μερῶν αὐτῆς αἴσθησιν λαμβάνει τῶν κακῶν. καί μοι ἐπ' ἀνθρώπου λάβε τὸ παράδειγμα. πρὶν γὰρ ζῶον γένηται, ἀναίσθητον ἦν τῶν κακῶν· ἀφ' οὗ δὲ εἰκονισθὲν ἄνθρωπος πρὸς

a. 3. κἀκεῖνος κακὸς *B* et corr *A*. 5. κακὸς] κακὰ *A*. 7. κακὸς] κακοῦ *AB*. 9. ἔσται om *AB*. 12. τούτων om *AB*. 18. τὸ *AB*: τὸν ς. 21. ποιοτήτων] ποιητῶν pr *A*. 22. ποιητὴς τῶν κακῶν *A*, τῶν κακῶν ποιητὴς *B*: τῶν κακῶς ἔσται ποιητὴς ς. 25. λέγειν *AB*. 28. ἄρχου] ἀνάρχου *A*, ἐνάρχου *B*. 31. ἔσται om *AB*. 33. αὐτὰς *AB*: ταύτας ς. b. 2. καὶ ὥσπερ] καίπερ *AB*. 3. ἐφ' *AB*: ἀφ' ς. 12. δὴ *B*, ἡ *A*: δὴ ἡ ς. 23. post ἀνελεῖν desunt μὴ βουληθέντα δέ. 25. αὐτὸν αἴτιον τούτων] αὐτὸν τούτων *A*, αὐτὸν τούτων ποιητὴν εἰπεῖν ἀνάγκη *B*. 32. οὗ *AB*: οὖν ς. 34. τοῦτο *AB*: τοῦτο, τοῦτο ς. 36. διακριθῆναι *AB*: διακοσμηθῆναι ς. αἰσθάνεσθαι ς.

Digitized by Google

θεοῦ γίνεται, τότε καὶ τὴν αἴσθησιν τοῦ προσπελάζοντος κακοῦ προσλαμβάνει. ϗ τοῦτο, ὅπερ ἐπ' εὐεργεσίᾳ τῆς ὕλης πρὸς θεοῦ γεγονέναι λέγεις, εὑρίσκεται μᾶλλον ἐπὶ τῷ χείρονι προσγενόμενον αὐτῇ. εἰ δὲ μὴ 502 H. δύνασθαι παῦσαι τὰ κακὰ τὸν θεόν φῄς, τὸ δὲ ἀδύνατον ἤτοι τῇ φύσει ἀσθενῆ ὑπάρχειν ἐστὶν ἢ τῷ νικᾶσθαι τῷ φόβῳ δεδουλωμένον πρός τινος κρείττονος, ὅρα ὁποῖον τούτων προσάπτειν ἐθέλοις τῷ παντοκράτορι καὶ ἀγαθῷ θεῷ.

ἀλλὰ πάλιν περὶ τῆς ὕλης ἀπόκριναι, πότερον ἁπλῆ τίς ἐστιν ἡ ὕλη ἢ σύνθετος; εἰ γὰρ ἁπλῆ τις ἐτύγχανεν ὕλη καὶ μονοειδής, σύνθετος δὲ ὁ κόσμος ϗ ἐκ διαφόρων οὐσιῶν συνεστὼς ἐστιν, ἀδύνατον τοῦτον ἐξ ὕλης γεγονέναι λέγειν, τῷ τὰ σύνθετα μὴ οἷόν τε ἐξ ἑνὸς ἁπλοῦ τὴν σύστασιν ἔχειν· τὸ γὰρ σύνθετον ἁπλῶν τινῶν μῖξιν μηνύει. εἰ δ' αὖ πάλιν σύνθετον λέγεις τὴν ὕλην, πάντως ἐξ ἁπλῶν συνετέθη, καὶ ἦν ποτε καθ' ἑαυτὰ ἁπλᾶ, ὧν συντεθέντων γέγονεν ἡ ὕλη· τὰ δὲ σύνθετα ἐξ ἁπλῶν τὴν σύστασιν ἔχει. ἦν ποτε καιρὸς ὅτε ἡ ὕλη οὐκ ἦν, τουτέστι πρὶν τὰ ἁπλᾶ συνελθεῖν. εἰ δὲ ἦν ποτε καιρὸς ὅτε ἡ ὕλη οὐκ ἦν, οὐκ ἦν δέ ποτε καιρὸς ὅτε ἀγένητον οὐκ ἦν, οὐκ ἄρα ἔσται ἀγένητος ἡ ὕλη· τὸ δ' ἐντεῦθεν ἄρα ἔσται πολλὰ τὰ ἀγένητα. εἰ γὰρ ἦν ἀγένητος ὁ θεός, ἦν δὲ ἀγένητα καὶ τὰ ἁπλᾶ ἐξ ὧν ἡ ὕλη συνετέθη, οὐκ ἄρα ἔσται δύο καὶ μόνα τὰ ἀγένητα, ἵνα παρήσω τὸ ἐπιζητῆσαι τί ὄντα ἐστὶν ἁπλᾶ, ὕλη ἢ εἶδος· πολλὰ γὰρ ϗ οὕτως ἄτοπα ἀκολουθήσειαν.

δοκεῖ δέ σοι μηδὲν τῶν ὄντων αὐτὸ ἑαυτῷ ἀντικεῖσθαι; δοκεῖ. ἀντίκειται δὲ τῷ πυρὶ τὸ ὕδωρ, καὶ τῷ φωτὶ τὸ σκότος, ϗ τῷ ψυχρῷ τὸ θερμόν, ϗ τῷ ξηρῷ τὸ ὑγρόν; οὕτως ἔχειν μοι δοκεῖ. οὐκοῦν εἰ μηδὲν τῶν ὄντων αὐτὰ ἑαυτῷ ἀντίκειται, ἀλλήλοις δὲ ταῦτα ἀντίκειται, οὐκ ἔσονται ὕλη μία, οὐδὲ μὴν ἐξ ὕλης μιᾶς.

πάλιν δὲ πυθέσθαι βούλομαι· δοκεῖ σοι τὰ μέρη μὴ ἀναιρετικὰ ἀλλήλων εἶναι; δοκεῖ. εἶναι δὲ τῆς ὕλης μέρος τό τε πῦρ ϗ τὸ ὕδωρ, ὡσαύτως δὲ ϗ τὰ λοιπά; οὕτως ἔχω. τί δέ, οὐ δοκεῖ σοι ἀναιρετικὸν μὲν εἶναι τοῦ πυρὸς τὸ ὕδωρ, τοῦ δὲ σκότους τὸ φῶς, καὶ τἄλλα ὅσα τούτοις παραπλήσια; δοκεῖ. οὐκοῦν εἰ τὰ μέρη οὐκ ἔστιν ἀλλήλων ἀναιρετικά, ταῦτα δὲ ἀναιρετικὰ τυγχάνει, οὐκ ἄρα ἔσται ἀλλήλων μέρη· εἰ δ' οὐκ ἔσται ἀλλήλων μέρη, οὐκ ἔσονται ὕλης μιᾶς. ἀλλὰ μὴν οὐδ' αὖ ἔσονται ὕλη, τῷ μηδέν τι τῶν ὄντων αὐτὸ ἑαυτοῦ ἀναιρετικὸν εἶναι. οὕτως ἓν τῶν ἀντικειμένων ἐχόντων τὸ μὴ εἶναι τὴν ὕλην δείκνυται.

περὶ μὲν τῆς ὕλης αὐτάρκως ἔχει· ἐπὶ δὲ τὴν 949 R. τῶν κακῶν ἐξέτασιν ἔρχεσθαι δεῖ, καὶ ἀναγκαίως ἀναζητεῖν τὰ παρὰ ἀνθρώποις. τὰ παρ' ἀνθρώποις κακὰ πότερον εἴδη τυγχάνει κακοῦ ἢ μέρη; εἰ γὰρ εἴδη, οὐκ ἄρα ἔσται ἕτερον παρὰ ταῦτα τὸ κακὸν καθ' αὑτό, τῷ τὰ γένη ἐν τοῖς εἴδεσιν ἐξετάζεσθαι καὶ ὑφεστάναι. εἰ δὲ τοῦτο, γενητὸν ἄρα ἔσται τὸ κακόν· τὰ γὰρ εἴδη γενητὰ ὄντα δείκνυται, οἷον φόνος καὶ μοιχεία καὶ τὰ τούτοις παραπλήσια. εἰ δὲ μέρη τινὸς κακοῦ ταῦτα εἶναι ἐθέλοις, ἔστι δὲ ταῦτα γενητά, ἀνάγκη κἀκεῖνο γενητὸν ὑπάρχειν. ὧν γὰρ τὰ μέρη γενητά, ταῦτα ὁμοίως ἐξ ἀνάγκης ἐστὶ γενητά· τὸ γὰρ ὅλον ἐκ μερῶν συνέστηκε. καὶ τὸ μὲν ὅλον οὐκ ἔσται μὴ ὄντων μερῶν, 503 H. ἔσται δέ τινα τῶν μερῶν κἂν μὴ τὸ ὅλον παρῇ. οὐδενὸς δὲ τῶν ὄντων μέρος μέν ἐστι γενητόν, μέρος δὲ ἀγένητον. εἰ δὲ ϗ τοῦτο συγχωρήσαιμι τῷ λόγῳ, ἦν ποτε τὸ κακόν, ὅτε ὁλόκληρον οὐκ ἦν, τουτέστι πρὶν δημιουργῆσαι τὴν ὕλην τὸν θεόν· τότε δὲ ὁλόκληρον γίνεται; ὅτε πρὸς θεοῦ γέγονεν ἄνθρωπος· τῶν γὰρ μερῶν τοῦ κακοῦ ἄνθρωπος ὑπάρχει ποιητής. ϗ τὸ ἐντεῦθεν ὁλόκληρον εἶναι τὸ κακὸν αἴτιος ἔσται δημιουργήσας ὁ θεός, ὅπερ ἀσεβές. εἰ δ' οὐδ' ὁπότερον τούτων λέγεις τὸ κακόν, πρᾶξιν δέ τινος κακοῦ εἶναι λέγεις, γενητὸν αὐτὸ ὑπάρχειν μηνύεις· ἡ γὰρ τοῦ τινὸς πρᾶξις ἀρχὴν τοῦ εἶναι λαμβάνει. πρὸς δὴ τούτοις οὐδὲν ἕτερον παρὰ ταῦτα τὸ κακὸν εἰπεῖν ἔχεις. ποίαν γὰρ πρᾶξιν κακὴν ἑτέραν παρὰ τὸ ἐν ἀνθρώποις δεικνύειν ἔχεις; ὅτι γὰρ ὁ ἐνεργῶν οὐ κατὰ τὸν τῆς οὐσίας λόγον ὑπάρχει κακία, ἀλλὰ κατ' αὐτὸ τὸ ἐνεργεῖν τὸ κακόν, ἤδη δέδεικται.

ὅτι τῇ φύσει κακὸν οὐδέν ἐστιν, ἀλλὰ τῇ χρήσει γίνεται κακὰ τὰ κακά.

ὅτι αὐτεξούσιόν φησι γεγονέναι φημὶ τὸν ἄνθρωπον οὐχ ὡς προϋποκειμένου τινὸς ἤδη κακοῦ, οὗ τὴν ἐξουσίαν τοῦ ἑλέσθαι, εἰ βούλοιτο, ἄνθρωπος ἐλάμβανεν· ἀλλὰ τὴν τοῦ ὑπακούειν τῷ θεῷ καὶ μὴ ὑπακούειν αἴτιον μόνον ἦν. τοῦτο γὰρ τὸ αὐτεξούσιον ἐβούλετο

a. 4. προγινόμενον ς. 8. ἐθέλεις B. 11. ἢ σύνθετος — 12. ὕλη om AB. 12. κόσμος om AB. 13. τοῦτον A: τοῦτο ς. 18. δὲ] malim γάρ. 19. ἡ add A. 20. πρὶν A: πλὴν ς. 22. 23. 25. ἔσται om AB. 31. μοι A: μὴ ς. 32. ἀλλήλοις δὲ ταῦτα ἀντίκειται om AB. 41. ἔσται om AB. εἰ δ' — μέρη om A,

b. 2. αὖ A: ἂν ς. 8. πότερον — κακοῦ om AB. 9. 11. ἔσται om AB. 12. ὄντα om AB. 14. ἐθέλεις B. 15. γενητὰ expungit A, om B. 17. 18. 25. ἔσται] ἄρα AB. 31. τὸ] τοῦ AB. 33. τὸ κακὸν om AB. 39. τοῦ ἑλέσθαι εἰ βούλοιτο AB: εἰ βούλοιτο τοῦ ἑλέσθαι ς.

τότε. καὶ γενόμενος ὁ ἄνθρωπος ἐντολὴν λαμβάνει παρὰ τοῦ θεοῦ, καὶ ἐντεῦθεν ἤδη τὸ κακὸν ἄρχεται· οὐ γὰρ πείθεται τῷ θείῳ προστάγματι. καὶ τοῦτο καὶ μόνον ἦν τὸ κακόν, ἡ παρακοή, ἥτις τοῦ εἶναι ἤρξατο.

237.

Ἀνεγνώσθη τοῦ αὐτοῦ ἐκ τοῦ περὶ ἁγνείας, ὃς καὶ ἐν ὁμοίῳ συνόψεως ἐξεδόθη τύπῳ.

ὅτι φησίν, Ὁ γοῦν Ἀβραὰμ πρῶτος ἐν διαθήκῃ τὴν περιτομὴν λαβὼν οὐδὲν ἕτερον αἰνίττεσθαι δοκεῖ, τὸ οἰκεῖον ἀποτεμνόμενος τῆς σαρκὸς αὐτοῦ μέλος, ἢ τοῦτο, τὸ μηκέτι εἰς τὴν ἐκ τοῦ αὐτοῦ αἵματος σάρκα δημιουργηθεῖσαν παιδοσπορίαν ἐπιτελεῖν, ἀπὸ τῆς ἰδίας ἕκαστον διδάσκων ἀδελφῆς οἷα σαρκὸς ἀποτέμνειν τὴν κατὰ συνουσίαν ἡδονήν.

ὅτι φησίν, Ἐγὼ γὰρ καθεωρακέναι μοι δοκῶ σαφῶς ἀπὸ τῶν γραφῶν, ὅτι παρθενίας ἐλθούσης ὁ λόγος οὐκ ἀνεῖλε πάντῃ τεκνογονίαν. οὐ γὰρ ἐπειδὴ τῶν ἄστρων ἡ σελήνη μείζων ἐστί, παρὰ τοῦτο τῶν ἄλλων ἀστέρων τὸ φῶς ἀναιρεῖται, ἢ ἐπειδὴ τῶν ἄλλων ἐστὶ γλυκύτερον τὸ μέλι καὶ ἡδύτερον, τὰ λοιπὰ πικρὰ καὶ ἀνήδονα νομιστέον.

952 R. ὅτι τὸ „τέκνα δὲ μοιχῶν ἀτελεσφόρητα" περὶ τῶν τὴν ἀλήθειαν μοιχωμένων φησὶν εἰρῆσθαι, οἵτινες κλεψίσοφοι, νοθεύοντες τὰς γραφάς, ἀτελεσφόρητον γεννῶσι σοφίαν, τῇ θεοσεβείᾳ συγκρίνοντες τὴν πλάνην. ἄλλως γὰρ νοηθῆναι οὐκ ἐγχωρεῖ. οὔτε γὰρ ἐπὶ τοῦ μὴ τίκτεσθαι τὰ ἐκ μοιχείας τέκνα καὶ εἰς φῶς αἰσθητὸν ἄγεσθαι δύναται νοεῖσθαι, ὅτι πολλοὶ οὐ μόνον ἐτέχθησαν ἀλλὰ καὶ τετόκασιν ἐκ μοιχείας τεχθέντες, οὔτε
504 H. ἐπὶ τοῦ πνευματικῶς καὶ θείως τελεσφορηθῆναι· πολλῶν γὰρ μοιχῶν τέκνα πλήρη ἐγένοντο ἁγίου πνεύματος.

ὅτι ἀπορεῖ λέγων, εἰ παρὰ θεοῦ δίδονται αἱ ψυχαὶ ἀλλ' οὐ παρὰ τοῦ πατρὸς τοῖς τικτομένοις, πῶς δίδωσι καὶ τοῖς ἐκ μοιχείας τικτομένοις; εἰ γὰρ δίδωσι, συνεργεῖν ἂν δόξειεν τοῖς μοιχευομένοις· εἰ γὰρ μὴ ἔδωκε τὴν ψυχήν, οὐκ ἂν ἐτίκτοντο. λύει δὲ τὴν ἀπορίαν διὰ πλειόνων καὶ σαφῶν παραδειγμάτων.

ὅτι τὰ ἐν τῇ Γενέσει φερόμενα, οἷον τὸ „τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῶν σαρκῶν μου· αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν," ταῦτα οὖν οὐ κατὰ τὸ γράμμα φησὶ δεῖν μόνον νοεῖσθαι, ἀλλὰ καὶ πνευματικῶς εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν. καί φησιν ὅτι καὶ ὁ θεῖος Παῦλος μετὰ τὴν τῶν ῥητῶν τούτων ἔκθεσιν λέγει „τὸ μυστήριον τοῦτο μέγα ἐστί, λέγω δ' ἐγὼ εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν." ἀλλὰ καὶ τὸ „αὐξάνεσθε καὶ πληθύνεσθε" οὐκ ἐπὶ τῶν ἐκ σπέρματος καὶ μίξεως γεννωμένων ἀνθρώπων καὶ σιτίοις αὐξανομένων φησὶν εἰρῆσθαι μόνον, ἀλλὰ καὶ περὶ τῶν κατὰ πνεῦμα τελειουμένων καὶ γεννωμένων, καθὼς καὶ Παῦλος βοᾷ, τέκνα καλῶν τοὺς οὕτω δι' αὐτοῦ γεννηθέντας· „τέκνα" γάρ φησιν „οὓς πάλιν ὠδίνω, ἕως οὗ Χριστὸς ἐν ὑμῖν μορφωθῇ," καὶ πάλιν „ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα."

ὅτι τὸ ἐν τοῖς εὐαγγελίοις εἰρημένον παραβολικῶς „τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος ὃς ἔχει ἑκατὸν πρόβατα καὶ ἀπώλεσεν ἓν ἐξ αὐτῶν" καὶ ἑξῆς, ἐνενήκοντα ἐννέα μὲν πρόβατα τὰς οὐρανίους δυνάμεις φησὶν ἐκδέχεσθαι χρή, ἓν δὲ τὸ ἀπολωλὸς τὸν ἄνθρωπον ἤγουν τὴν ἀνθρωπείαν φύσιν, δι' ἣν καὶ κατεληλυθέναι τὸν λόγον τοῦ πατρὸς ἐκ τῶν οὐρανῶν.

ὅτι τὸ „ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος" καὶ ἑξῆς αἱ ψυχαί φησι λέγουσιν. ξένον γὰρ ὄργανα καλοῦσαι τὰ σκηνώματα ἑαυτῶν, ἃ ἐκρέμασαν ἀπὸ τῶν πεισμάτων τῆς ἁγνείας ἐξάψασαι τοῦ ξύλου, ἵνα μὴ δυνηθῶσιν ἐξαρπασθεῖσαι πάλιν παρασυρῆναι τῷ ῥεύματι τῆς ἀκρασίας· Βαβυλὼν γάρ, τάραχος ἢ σύγχυσις ἑρμηνευομένη, τὸν περίρρυτον βίον δείκνυσι τοῦτον, οὗ ἐν μέσῳ καθεσθέντες περικλυζόμεθα τῶν ποταμῶν τῆς κακίας ἐφορμώντων. διὸ καὶ βοῶμεν μετὰ κλαυθμοῦ πρὸς τὸν θεόν, ἵνα μὴ κατολισθήσωσιν ἡμῶν ἀπορρηχθέντα τοῖς κύμασι τῆς ἡδονῆς ἀπὸ τοῦ φυτοῦ τῆς ἁγνείας τὰ ὄργανα. ἐν τύπῳ γὰρ τῆς παρθενίας τὴν ἰτέαν πανταχοῦ παραλαμβάνουσιν αἱ γραφαί, ἐπειδή περ τὸ ἄνθος αὐτῶν εἰς ὕδωρ ἀποτριβὲν ἂν ποθῇ, πᾶν ὅσον εἰς ὀχείας ἀναζεῖ, καὶ ἐρεθισμοὺς ἀποσβέννυσιν, ἔστ' ἂν εἰς ἄρδην ἀποστειρώσῃ τὴν ἐπὶ παιδοποιίαν φοράν, ὥσπερ δὴ καὶ ὁ Ὅμηρος ἐμήνυσε, διὰ τοῦτο καλέσας ὠλεσικάρπους τὰς ἰτέας.

ὅτι φησίν, Ἀμέλει τὸ μὴ ἐπιλαθέσθαι νύμφην τὸν 953 R
κόσμον μηδὲ παρθένον τὴν στηθοδεσμίδα, λεγόμενον 505 H

a. 4. post ἤρξατο in A versus quattuor vacui. 6. ὃς A: ὡς ς. 7. τύπῳ ὡσαύτως. Ὅτι ς. 22. μοιχωμένων B, μοιχομένων A: μοιχευομένων ς. 27. νοεῖσθαι δύναται ς. 30. ἐγένετο ς. 32. πατρὸς] πνεύματος AB. 34. δόξῃ ς. 37. Γεν.] 2, 23. b. 2. δεῖ ς. 5. τὸ μυσ.] Ephes. 5, 32. 7. αὐξ.] Gen. 1, 28. 9. καὶ om AB. 10. πνεύματα ς. 11. καλῶν A: λέγων ς. 12. τέκνα] Gal. 4, 19. 13. ἐν γὰρ] 1 Cor. 4, 15. 15. τὸ om pr A. ἐν om A. 16. τίς] Luc. 15, 4. 22. ἐπὶ] Ps. 136, 1. 23. ὄργανα καλοῦσαι AB: ἀνακαλοῦσαι ς. 36. ἀναζῇ ς. 38. Ὅμηρος] Od. 10, 510.

Digitized by Google

ἐν Ἱερεμίᾳ, τὸ μὴ ἐνδοῦναι καὶ χαλάσαι τὸν δεσμὸν τῆς σωφροσύνης ἀπάταις δηλοῖ. στήθη γὰρ αἱ φρένες εἰκότι λόγῳ καὶ ὁ νοῦς ἡμῶν εἶναι νομίζεται· ἡ δὲ στηθοδεσμίς, ἡ συνδοῦσα ζωὴ τὴν πρόθεσιν τῆς ψυχῆς εἰς ἁγνείαν, ἐστὶν ἡ πρὸς Χριστὸν ἀγάπη.

ὅτι τὸ „λάβε μοι δάμαλιν τριετίζουσαν καὶ αἶγα τριετίζουσαν καὶ κριὸν τριετίζοντα καὶ τρυγόνα καὶ περιστεράν“ αἰνίττεσθαί φησιν ὅτι προσένεγκέ μοι ἄζυγα καὶ ἀκάκωτόν σου τὴν ψυχὴν δαμάλεως δίκην, καὶ τὴν σάρκα καὶ τὸν λογισμόν, τὴν μὲν ὡς αἶγα, ἐπειδὴ τὰ μετέωρα καὶ κρημνώδη περιπολεῖ, τὸν δὲ ὡς κριόν, ἵνα μηδαμῶς ἀποσκιρτήσας ἐξολισθήσῃ τῆς ἀληθείας. οὕτω γὰρ ἀνεπίληπτος ἔσῃ ὡς Ἀβραάμ, ἂν ἀναθῇς ἐμοὶ καὶ τὴν ψυχὴν καὶ τὴν αἴσθησιν καὶ τὸν νοῦν· ἃ συμβολικῶς δάμαλιν ἔφη καὶ αἶγα καὶ κριὸν τριετίζοντα, οἱονεὶ τὴν γνῶσιν ἀκακέμφατον τῆς τριάδος ἐπανῃρημένα. τάχα δὲ καὶ τὴν πρώτην καὶ τὴν μέσην καὶ τὴν τελευταίαν τοῦ βίου τῆς ἡλικίας ἡμῶν αἰνίσσεται τρίβον, βουλόμενος ὡς ὅτι μάλιστα καὶ τὸν τῶν παίδων καὶ τὸν τῶν ἀνδρῶν καὶ τὸν τῶν γεραιτέρων χρόνον συμφρόνως βιώσαντας αὐτῷ προσενέγκασθαι· καθ᾽ ὃν τρόπον καὶ ἐν εὐαγγελίοις ὁ κύριος νομοθετεῖ „διὰ τοῦτο καὶ ὑμεῖς ὅμοιοι γίνεσθε ἀνθρώποις προσδεχομένοις τὸν κύριον αὐτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα ἐλθόντι καὶ κρούσαντι αὐτῷ εὐθέως ἀνοίξωσι. μακάριοί ἐστε, ὅτι ἀνακλινεῖ ὑμᾶς καὶ παρελθὼν διακονήσει. κἂν τῇ δευτέρᾳ καὶ τῇ τρίτῃ μακάριοί ἐστε.“ ἐπισκέψασθε γὰρ ὅτι τρεῖς ὑποθέμενος φυλακὰς νυκτός, ἑσπερινὴν καὶ δευτέραν καὶ τρίτην, καὶ τρεῖς ἡμῶν τὰς τῆς ἡλικίας ᾐνίξατο μεταβολάς, τὴν μειρακιώδη καὶ τὴν πρόσηβον καὶ τὴν πρεσβυτικήν, βουλόμενος ἵνα καὶ παῖδας ὄντας, ἐὰν ἔλθῃ παραληψόμενος τὸν κόσμον, ἑτοίμους καταλάβοι καὶ καθαρούς, καὶ τὴν δευτέραν ὁμοίως καὶ τὴν τρίτην. ἑσπερινὴ γὰρ φυλακὴ ὁ καιρός ἐστι τῆς ἀκμῆς τοῦ ἀνθρώπου, καθ᾽ ἣν ἄρχεται ταράσσεσθαι τὸ ἡγεμονικὸν ἐπιθολούμενον τοῖς πάθεσι· δευτέρα δέ, ὁπηνίκα λοιπὸν εἰς ἄνδρα τέλειον ἐλάσας ἄρχεται βεβαιότητα τῶν θορύβων ὁ νοῦς προσλαμβάνειν· τρίτη δέ, ὅτε αἱ πλεῖσται φαντασίαι τῶν ἐπιθυμιῶν φθίνουσιν, ἀπομαραινομένης ἤδη τῆς σαρκὸς καὶ εἰς γῆρας προκοπτούσης. διὸ προσήκει ἄσβεστον ἐν τῇ καρδίᾳ τῆς πίστεως ἐξάψαντας τὸν λύχνον, καὶ τὴν ὀσφῦν ἀναζωσαμένους τῇ σωφροσύνῃ, ἐγρηγορέναι καὶ προσδοκᾶν ἀεὶ τὸν κύριον.

ὅτι σικερά φησι πᾶν τὸ μέθην φέρον μετὰ τὸν οἶνον τὸν ἐξ ἀμπέλου.

ὅτι δύο εἴδη ἀμπέλων παρὰ τῇ γραφῇ, λίαν ἀγαθὴ καὶ λίαν κακή. καὶ γάρ φησιν ὁ κύριος „ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, ὑμεῖς τὰ κλήματα.“ ἡ δὲ κακὴ καὶ ἀγρία ἐστὶν ὁ διάβολος, λύσσαν ἀποστάζων, ὡς καὶ Μωϋσῆς διαγράφων περὶ αὐτοῦ φησιν „ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόῤῥας“ καὶ ἑξῆς. 506 H.

ὅτι ὁ χρυσὸς ἰὸν οὐ παραδέχεται.

ὅτι φησί, Τὸ γὰρ λεγόμενον ὡμοιώθη τὴν βασιλείαν τῶν οὐρανῶν δέκα παρθένοις σημαίνειν βούλεται τὴν αὐτὴν ὁδὸν τοῦ ἐπιτηδεύματος πάσας ἐπανῃρημένας, διὰ τὴν ἔμφασιν τοῦ ἰῶτα στοιχείου. ἔστειλαντο μὲν γὰρ παρα- 956 R.
πλησίως ἑαυτὰς εἰς τοῦτο καθομολογήσασαι, καὶ ταύτῃ κικλήσκονται δέκα, οὐκέτι δὲ ὁμοίως ἐξῆλθον ὑπαντήσουσαι τῷ νυμφίῳ· αἱ μὲν γὰρ τροφὴν ἄφθονον ἐπορίσαντο ταῖς ἐλαιοθρέπτοις λαμπάσιν, αἱ δὲ κατεῤῥαθύμησαν. διὸ δὴ καὶ ἰσάριθμοι πρὸς ε΄ διαιροῦνται, ἐπειδή περ τὰς ε΄ αἰσθήσεις αἱ μὲν αὐτῶν ἐφυλάξαντο καθαράς, ἃς οἱ πλεῖστοι σοφίας πύλας προσηγόρευσαν, αἱ δὲ τοὐναντίον κατελωβήσαντο κακίᾳ. ἐγκρατευσάμεναι γὰρ καὶ ἁγνεύσασαι δικαιοσύνης μᾶλλον εὐφόρεσαν παραπτώμασιν· ἐξ οὗ καὶ συνέβη αὐτὰς ἀπαγορευθῆναι. εἴτε γὰρ κατορθοῦμεν εἴτε πλημμελοῦμεν, διὰ τούτων ἑκάτερα καὶ τὰ ἀνδραγαθήματα κρατύνεται καὶ τὰ κακὰ πράγματα. καὶ ὥσπερ ἡ θάλλουσα καὶ ὀφθαλμῶν ἁγνείαν ἔφη καὶ ὤτων εἶναι καὶ γλώσσης καὶ τῶν λοιπῶν καθεξῆς αἰσθητηρίων, οὕτω δὴ καὶ τὰ ἐνταῦθα τὴν πίστιν ἄσυλον ἡ φυλαξαμένη τῶν πέντε διόδων τῆς ἀρετῆς, ὁράσεως γεύσεως ὀσφρήσεως ἁφῆς τε καὶ ἀκοῆς, πέντε προσαγορεύονται παρθένοι, διὰ τὸ τὰς πέντε τῆς αἰσθήσεως ἁγνὰς ἀποκαταστῆσαι τῷ Χριστῷ φαντασίας, ἀφ᾽ ἑκάστης αὐτῆς οἷα λαμπάδα τὴν ὁσιότητα λάμπουσαν τρανῶς· ἡ γὰρ πεντάφωτος ἡμῶν ἀληθῶς λαμπὰς ἡ σάρξ ἐστιν, ἣν ἡ ψυχὴ βαστάζουσα δᾳδὸς δίκην τῷ νυμφίῳ παρίσταται Χριστῷ, τῇ ἡμέρᾳ τῆς ἀναστάσεως παραφαίνουσα, διὰ πασῶν τῶν αἰσθήσεων διεκθρώσκουσαν λαμπρὰν τὴν πίστιν, καθὼς αὐτὸς ἐδίδαξεν εἰπὼν „πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ ἤθελον

a. 1. Ἱερ.] 2, 32. 4. an ζώνη? 6. λάβε] Gen. 15, 9. καὶ αἶγα τριετ. add *AB*. 9. libri ἀκακώτατόν. 13. ὡς ὁ Ἀβραὰμ ς. 19. ὅτι] ἄρα *AB*. 22. διὰ τοῦτο] Luc. 12, 36. 26. ἀνακλίνῃ ς. 27. τῇ om *A*. 28. ἐπιθέμενος ς. 29. τὰς τῆς] τὰς *B* et pr *A*, τῆς ς. b. 6. ἐγώ] Io. 15, 1. 9. ἐκ γάρ] Deut. 32, 32. 12. ὡμοιώσθαι] Matth. 25, 1. 16. καθομολογησασαι καὶ ταύτῃ *A*: καθομολογήσασθαι καὶ πάντῃ ς. 17. οὐκέτι *A*: οὐκ ἔτι ς. 24. εὐφόρισαν *AB*: ἐφόρεσαν ς. cf. p. 961, 44. 32. ὀσφρήσεως γεύσεως ς. 33. προσαγορεύονται *AB*: προσαγορεύεται ς. 36. λάμπουσα *AB*. 39. libri διεκθρώσκουσα. 41. πῦρ] Luc. 12, 49.



Digitized by Google

εἰ ἤδη ἀνήφθη," γῆν ἡμῶν τὰ σκηνώματα φράσας, εἰς ἃ ἐβούλετο ταχέως ἀναφθῆναι τὴν ὀξυκίνητον τῆς διδασκαλίας αὐτοῦ καὶ διάπυρον πρᾶξιν (τὸ γὰρ ἔλαιον τῇ δικαιοσύνῃ ϗ τῇ σοφίᾳ παραβλητέον), χρονισμὸν δὲ τὸ πρὸ τῆς παρουσίας διάστημα τοῦ Χριστοῦ, νυσταγμὸν δὲ καὶ κοίμησιν τῆς παρθένου τὴν ἔξοδον τὴν ἀπὸ τοῦ βίου, μεσονύκτιον δὲ τὴν βασιλείαν τοῦ ἀντιχρίστου, καθ' ἣν ὁ ὀλοθρευτὴς ἄγγελος ἐπιπορεύεται τὰς οἰκίας, κραυγὴν δὲ λέγουσαν „ἰδοὺ ὁ νυμφίος· ἔρχεσθε εἰς ἀπάντησιν" τὴν ἀπὸ τῶν οὐρανῶν φωνὴν ϗ σάλπιγγα, ὁπότε πάντες ἐξαναστάντων αὐταῖς τῶν σωμάτων ἐπὶ νεφελῶν ὀχήσονται, εἰς τὴν ἀπάντησιν ἁρπασθέντες τοῦ κυρίου.

ὅτι περὶ τῶν παρθένων καὶ ἁγνῶν ψυχῶν πλεῖστα εἰπὼν ἐπιφέρει ϗ τοῦτο. Ἀμέλει ταύτας μόνον ἐκλεκτὴν νύμφην τὰς ψυχὰς ὁ λόγος ἑαυτοῦ καλεῖ, τὰς λοιπὰς δὲ παλλακὰς καὶ νεάνιδας ϗ θυγατέρας, λέγων ὧδε „ἑξήκοντά εἰσι βασίλισσαι καὶ ὀγδοήκοντα παλλακαί, καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός. μία ἐστὶ περιστερά μου, τελεία μου, μία ἐστὶ τῇ μητρὶ αὐτῆς, ἐκλεκτή ἐστι
507 H. τῇ τεκούσῃ αὐτήν. εἴδοσαν αὐτὴν θυγατέρες, ϗ μακαριοῦσιν αὐτήν, βασίλισσαι καί γε παλλακαὶ αἰνέσουσιν αὐτήν." πολλῶν γὰρ οὐσῶν δηλονότι τῆς ἐκκλησίας τῶν θυγατέρων, μία ἐστὶ μόνη ἡ ἐκλεκτὴ ϗ τιμιωτάτη ἐν ὀφθαλμοῖς αὐτῆς ὑπὲρ πάσας, τὸ τάγμα τῶν παρθένων. βασιλίσσας δὲ αἰνίττεσθαι ἡ προφητεία βούλεται, ὅτι οὐχ ὑφ' ἕνα ἤγοντο βασιλέα βασιλευόμεναι, ἀλλ' ἑκάστη ὥσπερ αὐτοδέσποτος καὶ βασίλισσα ἦν, καὶ ὅτι τῶν μετὰ ταύτας ἀρχαὶ καὶ πρῶται ἦσαν, τὰς βασιλικὰς ἐκείνας, τὰς πρὸ τοῦ κατακλυσμοῦ ψυχὰς εὐαρέστους τῷ θεῷ γεγενημένας, τουτέστι τὰς ἀμφὶ τὸν Ἄβελ καὶ τὸν
957 B. Σὴθ ϗ τὸν Ἐνώχ· παλλακὰς δὲ τὰς μετὰ τὸν κατακλυσμὸν τῶν προφητῶν, αἷς πρὸ τοῦ τὴν ἐκκλησίαν ἁρμοσθῆναι τῷ κυρίῳ παλλακίδων δίκην συγγινόμενος ἀληθεῖς ὑπέσπειρε λόγους ἐν ἀφθόνῳ ϗ καθαρᾷ φιλοσοφίᾳ, ἵνα γεννήσωσιν αὐτῷ συλλαβοῦσαι πίστιν σωτηρίας. παλλακὰς δὲ προσηγόρευσε τὰς προφητικὰς ψυχὰς ὁ λόγος, ὅτι μὴ φανερῶς αὐτάς, ὥσπερ δὴ ϗ τὴν ἐκκλησίαν, ἐπηγάγετο, θύσας δι' αὐτὴν μόσχον τὸν σιτευτόν. ἑξήκοντα δὲ βασιλίσσας ἐντεῦθεν, ὡς οἶμαι δή, τοὺς ἀπὸ τοῦ πρωτοπλάστου μέχρι Νῶε κατὰ διαδοχὴν εὐαρεστήσαντας ἐκάλεσε τῷ θεῷ, ἐπειδή περ ἑτέρων οὗτοι παραγγελμάτων εἰς τὸ σωθήσεσθαι χρείαν οὐκ ἐσχήκασιν, ἔτι [δὲ] προσφάτου τῆς κατὰ τὴν ἑξαήμερον οὔσης αὐτοῖς τοῦ κόσμου συστάσεως· ἐμέμνηντο γὰρ ὅτι ἐν ἓξ ἡμέραις ὁ θεὸς ἐτεκτήνατο τὴν κτίσιν τά τε ἐν τῷ παραδείσῳ γεγονότα. ἐντεῦθεν οὖν δὴ τὰς ἀπὸ τῆς συστάσεως εὐθέως τοῦ κόσμου κατὰ διαδοχὴν τὸν θεὸν ποθεῖν ἑλομένας ψυχάς, ϗ σχεδόν (εἰ χρὴ φάναι) τὰς τοῦ πρώτου αἰῶνος οὔσας ἔγγονα καὶ γείτονας τῆς μεγάλης ἑξαημέρου, ἑξήκοντα βασιλίσσας ἔφη συμβολικῶς, διὰ τὸ μετὰ τὴν ἑξαήμερον ταύτας, ὡς ἔφην, γεγονέναι· μεγάλην γὰρ οὗτοι τιμὴν ἐσχήκασιν ἀγγέλοις ὁμιλήσαντες ϗ τὸν θεὸν ὕπαρ οὐκ ὄναρ θεασάμενοι. ἐπισκέψασθε γὰρ ὅσην ἔσχε παρρησίαν ὁ Σὴθ πρὸς τὸν θεόν, ὅσην ὁ Ἄβελ, ὅσην ὁ Ἐνώχ, ὅσην ὁ Μαθουσάλα, ὅσην ὁ Νῶε, πρῶτοι δικαιοσύνης ὄντες ἐρασταί. ϗ περὶ τούτων μὲν αὐτάρκως· περὶ δὲ τῶν παλλακῶν πάλιν λεκτέον. τοῖς μετὰ τὸν κατακλυσμὸν ἀπωτέρω λοιπὸν ἡ γνῶσις ἦν τοῦ θεοῦ, καὶ ἔχρῃζον ἑτέρας διδαχῆς ἑρπούσης ἤδη τῆς εἰδωλολατρείας. ὁ οὖν θεός, ἵνα μὴ πάντῃ τὸ γένος τῶν ἀνθρώπων ἀϊστωθῇ λήθῃ τῶν καλῶν, τὸν ἴδιον παῖδα τοῖς προφήταις ἐκέλευσεν ὑφηγῆσαι τὴν ἐσομένην ἑαυτοῦ παρουσίαν διὰ σαρκὸς εἰς τὸν κόσμον, καθ' ἣν ἡ τῆς πνευματικῆς ὀγδοάδος χαρὰ καὶ γνῶσις κηρυχθήσεται, ἀφέσεως ἁμαρτημάτων οὖσα ϗ ἀναστάσεως παρεκτική· περιτμηθήσεσθαι γὰρ δι' αὐτῆς τὸν ἄνθρωπον τὰ πάθη ϗ τὴν φθοράν. ϗ διὰ τοῦτο τὸν κατάλογον τῶν ἀπὸ τοῦ Ἀβραὰμ προφητῶν, διὰ τὴν τῆς περιτομῆς πρεσβείαν τὸν ὀκτὼ περιεχούσης ἀριθμόν, ἧς ἐξήρτηται ϗ ὁ νόμος, παλλακὰς ἐκάλεσεν, ὅτι πρὸ τοῦ τὴν νύμφην τὴν ἐκκλησίαν κατεγγυηθῆναι τῷ λόγῳ, τὰ θεῖα συλλαβόντες σπέρματα, τῆς νοητῆς προεξήγγειλαν ὀγδοάδος τὴν περιτομήν. νεάνιδας δὲ πάλιν εἰς ἀναρίθμητον συντελούσας ὅμιλον τὰ ὑπὸ τοῖς κρείττοσι δικαιοπραγήσαντα πλήθη, ϗ νεανικῶς 508 H.
καὶ γενναίως διαθλήσαντα πρὸς τὴν ἁμαρτίαν, καλεῖ. ἀλλὰ τούτων οὔθ' αἱ βασίλισσαι οὔθ' αἱ παλλακαὶ συγκρίνονται τῇ ἐκκλησίᾳ· ἡ γὰρ τελεία ϗ ἐκλεκτὴ παρὰ πάσας ὀνομαζομένη, ἡ ἐκ πάντων συνεστῶσά τε ϗ συνημμένη, τῶν ἀποστόλων ἐστίν, ἡ ὑπερβάλλουσα νύμφη τῷ κάλλει τῆς ἀκμῆς καὶ τῆς παρθενίας πάσας. διὸ ϗ μακαρίζεται πρὸς τῶν ἄλλων, ὅτι αὐτὴ εἶδε ϗ ἤκουσεν ἀφθόνως ἃ ἐκεῖναι ἐπεπόθησαν ἰδεῖν ϗ ἀκοῦσαι ϗ οὐκ εἶδον οὐδ' ἤκουσαν. „μακάριοι γὰρ οἱ ὀφθαλμοί"

a. 1. ἤδη *A*: εἴδη ς. 9. ἔρχεσθε *A*: ἔρχεται ς. 17. ἑξήκοντα] Cant. 6, 7. 19. ἐστὶ post ἐκλεκτή om *A*. 24. παρθ. καὶ βασιλίσσας ς. 28. ταύταις *B*. 34. ἀφθόρῳ Hoeschelius. 38. δι' *A*: δὲ ς.
b. 2. αὐτοῖς] αὐτῆς *A*. 6. ἑλομένας ποθεῖν ς. 19. ἀϊστωθῇ om *AB*. 20. ὑφηγήσασθαι Scaliger. 21. αὐτοῦ ς. 30. προσλαβόντες *AB*. 42. μακάριοι] Luc. 10, 24.

φησὶν „ὑμῶν" ὁ κύριος τοῖς μαθηταῖς „οἱ βλέποντες ἃ βλέπετε. λέγω γὰρ ὑμῖν ὅτι πολλοὶ προφῆται ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ 960R. ἀκούετε, καὶ οὐκ ἤκουσαν." οὐκοῦν διὰ ταῦτα μακαρίζουσιν αὐτὴν οἱ προφῆται, ὅτι ὧν αὐτοὶ μὴ ἐπέτυχον ἡ ἐκκλησία μετείληφε καὶ ἠξιώθη. δύναται δέ τις καὶ ἑτέρως τὴν νύμφην φάναι τὴν σάρκα τὴν ἀμόλυντον εἶναι τοῦ κυρίου, ἧς χάριν καταλείψας τὸν πατέρα κατῆλθεν ἐνταῦθα καὶ προσεκολλήθη αὐτῇ ἐνανθρωπήσας. διὸ δὴ καὶ περιστερὰν αὐτὴν ἔφη τροπικῶς, ἐπειδὴ τιθασὸν τὸ ζῶον ϗ ὑπωρόφιον ϗ διαίτῃ τῇ ἀνθρώπων ἀσμενίζον. καὶ ἐν τῷ μ' ϗ δ' ψαλμῷ ἐκ δεξιῶν παριςαμένη τοῦ θεοῦ μερῶν βασίλισσα, ἡ τῷ διαχρύσῳ τῆς ἀρετῆς κόσμῳ κατεστολισμένη, ἧς ἐπεθύμησε τοῦ κάλλους ὁ βασιλεύς, ἡ σάρξ ἐστιν (ὡς ἔφην) ἡ ἄχραντος ἐκείνη ϗ μακαρία, ἣν αὐτὸς ἀνακομίσας ὁ λόγος εἰς οὐρανοὺς ἐκ δεξιῶν παρέστησε τοῦ πατρός, ἐν ἱματισμῷ διαχρύσῳ κεκοσμημένην, ὃ δή ἐστι συμβολικῶς τοῖς ἐπιτηδεύμασι τῆς ἀφθαρσίας.

ὅτι παρθεία ἡ παρθενία κατὰ μίαν ἀπαλλαγὴν καλεῖται στοιχείου, ὡς δὴ μόνη τὸν ἔχοντα αὐτῆς τὰς ἀφθόρους τελετὰς θεῷ ἀπεικάζουσα, οὗ μεῖζον ἀγαθὸν ἀδύνατον εὑρεῖν.

ὅτι φησίν, Ἡ ἀρετὴ ἤτοι δι' ἑαυτήν, εἴτε διὰ τὸ αἴρειν καὶ μετεωρίζειν πρὸς οὐρανὸν τὰς ψυχὰς ταύτην ἔσχηκε τὴν ἐπωνυμίαν.

ὅτι φησίν, Ἔοικε δὲ τοῖς εἰρημένοις καὶ τοῦτο μάλιστα συμφωνεῖν τὸ χρησμῳδούμενον ἄνωθεν ἐξ αὐτοῦ τοῦ πατρὸς τῷ Χριστῷ ἐν τῷ Ἰορδάνῃ „υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε." παρατηρητέον γὰρ ὅτι τὸ μὲν υἱὸν αὐτοῦ εἶναι ἀορίστως ἀπεφήνατο ϗ ἀχρόνως. εἰ γὰρ υἱὸς αὐτῷ ἔφη [καὶ οὐ γέγονας] ἐμφαίνων μήτε πρόσφατον αὐτὸν τετυχηκέναι τῆς υἱοθεσίας, μήτε αὖ προϋπάρξαντα τέλος ἐσχηκέναι, ἀλλὰ εἶναι ἀεὶ τὸν αὐτόν. τὸ δὲ „ἐγὼ σήμερον γεγέννηκά σε" ὅτι προόντα ἤδη πρὸ τῶν αἰώνων λέγει ἐν τοῖς οὐρανοῖς ἐβουλήθην καὶ τῷ κόσμῳ γεννῆσαι, ὃ δή ἐστι πρόσθεν ἀγνοούμενον γνωρίσαι. ἀμέλει τοῖς μηδέπω τῶν ἀνθρώπων συνηρμοσμένοις τὴν πολυποίκιλον τοῦ θεοῦ σοφίαν ὁ Χριστὸς οὐδέπω γεγέννηται· ὅπερ ἐστὶν οὐδέπω ἐγνώσθη, οὐδέπω πεφανέρωται.

ὅτι τὰ πλεῖστα τῆς τοῦ ἁγίου Ἰωάννου ἀποκαλύψεως ῥητὰ εἰς τὴν ἐκκλησίαν ϗ τὰς παρθενευούσας ψυχὰς ἀνάγει. ἀλλὰ σχεδὸν καὶ ὅσα ἂν ῥητὰ καὶ ἄλλοθεν 509H. ἔλαβεν, ἀλληγορικῶς αὐτὰ ϗ οὐ κατὰ τὸ γράμμα διηγεῖται ἐν τῷδε τῷ διαλόγῳ.

ὅτι ἀναιρῶν τοὺς εἱμαρμένην δοξάζοντάς φησιν· Εἰ τὰς τῶν θνητῶν συμφορὰς ϗ κακοφροσύνας τὰ ἄστρα τεκταίνεται, περὶ τὰς ἀσελγείας ϗ τροπὰς τοῦ βίου ἀσχολούμενα ἄρα ἀθλιώτερα τῶν ἀνθρώπων ἐστίν, ὅτι οὐ μόνον αὐτὰ τῶν κακῶν ἐρῶσιν, ἀλλὰ καὶ τοὺς ἀνθρώπους ἀναγκάζουσι ταῦτα πράττειν. ἔτι εἰ πᾶσα πρᾶξις χωρὶς ἐπιθυμίας οὐ γίνεται, οὐδὲ μὴν ἐπιθυμία χωρὶς ἐνδείας, ἀνενδεὲς δὲ τὸ θεῖον, ἀνεννόητον ἄρα πονηρίας. ἡ δὲ τῶν ἄστρων φύσις ἐγγυτέρω τέτακται θεοῦ, κρείσσων οὖσα τῆς τῶν κρεισσόνων ἀνθρώπων ἀρετῆς· ἀνεννόητα κακίας ἄρα καὶ ἀνενδεῆ ἐστὶ τὰ ἄστρα. ἔτι εἰ τὸ ἀνελεῖν τινὰ γένεσις ἐργάζεται, τοῦτο δὲ νόμος κωλύει, κολάζων τοὺς ἀλάστορας ϗ δι' ἀπειλῆς ἀπείργων τὰ τῆς γενέσεως δόγματα, ἐναντίον ἄρα νόμος γενέσει· ὅσα μὲν γὰρ νόμος κωλύει, ταῦτα γένεσις ὥρισεν, ὅσα δὲ γένεσις ποιεῖν βιάζεται, ταῦτα νόμος κωλύει. πολέμιον ἄρα γενέσει νόμος. εἰ δὲ πολέμιον, οὐκ ἄρα κατὰ γένεσιν οἱ νομοθέται νομοθετοῦσι· τὰ γὰρ ἐναντία δογματίζοντες γενέσει γένεσιν λύουσιν. 961R. ἤτοι οὖν γένεσίς ἐστι, ϗ οὐ χρὴ εἶναι νόμους, ἢ εἰσὶ νόμοι, καὶ οὐκ εἰσὶ κατὰ γένεσιν. ἀλλὰ ἀμήχανον χωρὶς γενέσεως φῦναί τινί τινα καὶ διαπράξασθαί τι· οὐδὲ γὰρ τὸν δάκτυλον ἐξεῖναί φασιν χωρὶς εἱμαρμένης κινῆσαι. κατὰ γένεσιν ἄρα καὶ Μίνως ϗ Ῥαδάμανθυς ϗ Δράκων καὶ Λυκοῦργος καὶ Σόλων καὶ Ζάλευκος νομοθετήσαντες διετάξαντο τοὺς νόμους, ἀπαγορεύοντες κλοπὰς φόνους καὶ τὰ ὅμοια, ἃ κατὰ γένεσιν ἐπισυμβαίνειν δογματίζουσιν. ὅπερ ἀδύνατον· αὐτὴ γὰρ ἂν ὑφ' ἑαυτῆς ἀνῃρεῖτο ἡ γένεσις, αὐτὴ ἑαυτὴν ἀκυροῦσα, ϗ ἐνταῦθα μὲν ἀπαγορευτικοὺς μοιχείας ϗ τῶν ἄλλων νόμους τιθεμένη, ἐνταῦθα δὲ τοὺς νόμους ϗ τὰς μοιχείας ἐργαζομένη· οὐδὲν γὰρ ἀλλόκοτον [αὖ] αὐτὸ ἑαυτῷ μαχόμενον καὶ αὐτὸ ἑαυτὸ καταλύειν σπεῦδον. οὐκ ἄρα γένεσις.

ὅτι, φησίν, ἡ κατὰ σωφροσύνην ἀρετὴ κρείσσων ἐστὶ τῆς κατὰ ἀκρασίαν κακίας, μαθεῖν ἔστι καὶ ἀπὸ βασιλέων, ἀπὸ ἀρχόντων, ἀπὸ στρατηγῶν, ἀπὸ τέκνων, ἀπὸ πολιτῶν, ἀπὸ οἰκετῶν, ἀπὸ παιδαγωγῶν. ἕκαστος γὰρ τούτων ἑαυτῷ καὶ τῷ κοινῷ ὠφέλιμος γίνεται

a. 10. τρόπ. ἔφη ς. 11. τιθασσὸν et ὑποῤῥόφιον ς. τῇ τῶν ἀνθρ. ς. 12. ἐκ τῶν δ. B. 13. τοῦ] λαιῶν καὶ τοῦ pr A. 20. παρὰ θεῖα post Schottum Suicer. Thes. 2. p. 595: frustra. ὑπαλλαγὴν AB. 24. post ἑαυτὴν addendum αἱρετή. 31. εἶναι] εἶναι αὐτὸν Gatakerus ap. Suicer. 2. p. 954. 32. καὶ οὐ γέγονας] horum loco lacuna est in AB. 36. λέγει — 38. ἀμέλει om AB. b. 16. εἰ A: εἰς ς. 33. ἡ add B et rc A. 35. νόμους] φόνους mg.

σωφρονῶν, ἀκολασταίνων δ' ἑαυτῷ καὶ τῷ κοινῷ βλαβερός.

ὅτι φησίν, Ὁ μὲν νόμος τύπος ἐστὶ καὶ σκιὰ τῆς εἰκόνος, τουτέστι τοῦ εὐαγγελίου, ἡ δὲ εἰκὼν τὸ εὐαγγέλιον αὐτῆς τῆς ἀληθείας τῆς ἐσομένης ἐν τῇ δευτέρᾳ τοῦ κυρίου παρουσίᾳ.

ὅτι τὸ ἐν τῷ Λευϊτικῷ περὶ τῆς σκηνοπηγίας λεγόμενον εἰς τὴν ἐν τῇ β' τοῦ κυρίου παρουσίᾳ ἐσομένην τῶν ἀνθρώπων ἀνάστασιν ἐκδέχεται, σκηνὴν ἑκάστου τὸ οἰκεῖον τιθεὶς σῶμα, τὰς δὲ ἑπτὰ ἡμέρας εἰς τύπον τῶν ἑπτὰ αἰώνων, καὶ τἆλλα ἀναλόγως.

ὅτι ἀναγωγικῶς ἐκδέχεται τὸ εἰς τοὺς Κριτὰς εἰρη-
510 H. μένον „πορευόμενα ἐπορεύοντο "τὰ ξύλα τοῦ χρῖσαι ἐφ' ἑαυτῶν βασιλέα, καὶ εἶπαν τῇ ἐλαίᾳ βασίλευσον ἐφ' ἡμῶν· καὶ εἶπεν αὐτοῖς ἡ ἐλαία, ἀφεῖσα τὴν πιότητά μου, ἣν ἐδόξασεν ὁ θεὸς καὶ οἱ ἄνθρωποι, πορευθῶ ἄρχειν τῶν ξύλων; καὶ εἶπαν τὰ ξύλα τῇ συκῇ, δεῦρο σὺ βασίλευσον ἐφ' ἡμῶν· καὶ εἶπεν αὐτοῖς ἡ συκῆ, ἀφεῖσα τὴν γλυκύτητά μου καὶ τὸ γέννημά μου τὸ ἀγαθὸν πορευθῶ ἄρχειν τῶν ξύλων; καὶ εἶπαν τὰ ξύλα τῇ ἀμπέλῳ καὶ εἶπαν τῇ ῥάμνῳ" καὶ ἑξῆς. φησὶ γάρ· Ταῦτα δὲ ὅτι μὴ περὶ ξύλων ἐλέχθη, σαφές ἐστιν· ἀλλὰ περὶ ψυχῶν ἱστορεῖται ταῦτα, αἳ πρὸ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ καθυλομανήσασαι τοῖς παραπτώμασι προσίασιν, οἶκτον αὐτῶν ἀξιοῦσαι λαβεῖν τὸν θεὸν καὶ βασιλεῦσαι τὸν ἔλεον ἐπ' αὐτὰς ἤδη καὶ τὴν εὐσπλαγχνίαν, ἣν ἐλαίας τύπῳ παρέλαβεν ἡ γραφή. καὶ ἐπισκέψασθε μήποτε τὰς ἐπὶ τοῦ πρωτοπλάστου μέχρι τοῦ Χριστοῦ καθεξῆς ἡ γραφὴ νομοθεσίας δηλοῖ, ὧν ὁ διάβολος ἀντιμίμοις ἐξηπάτησε πλάσμασι τὸ ἀνθρώπων γένος, τὴν μὲν οὖν συκῆν ἀπεικάζουσα τῇ κατὰ τὸν παράδεισον δοθείσῃ τῷ ἀνθρώπῳ ἐντολῇ, ἐπειδὴ τὴν γύμνωσιν ἀπατηθεὶς οὗτος πετάλοις ἐπεκάλυψε συκῆς· τὴν δὲ ἄμπελον τῇ ἐπὶ τοῦ κατακλυσμοῦ τῷ Νῶε, διὰ τὸ οἴνῳ χλευασθέντα κοιμηθῆναι· τὴν δὲ ἐλαίαν τῇ κατὰ τὴν ἔρημον τῷ Μωϋσῇ, ἐπειδὴ τὸ χάρισμα τὸ προφητικόν, τὸ ἔλαιον τὸ ἅγιον, ἀνομησάντων αὐτῶν ἐκλελοίπει τῆς κληρονομίας· τὴν δὲ ῥάμνον τῇ ἐπὶ τῆς σωτηρίας τοῦ κόσμου τοῖς ἀποστόλοις, ἐπειδή περ δι' αὐτῶν ἐδιδάχθημεν ἁγνείαν, ἧς ἀπατηλὸν μόνης εἴ-
964 R. δωλον ὁ διάβολος οὐκ ἴσχυσε σκευάσαι. "καὶ διὰ τοῦτο καὶ εὐαγγέλια τέσσαρα παραδέδοται, τετράκις εὐαγγελισαμένου τοῦ θεοῦ τὴν ἀνθρωπότητα καὶ παιδαγωγήσαντος τέτρασι νόμοις, ὧν οἱ καιροὶ σαφῶς ἀπὸ τῆς διαφορότητος δηλοῦνται τῶν καρπῶν. ἡ μὲν γὰρ συκῆ διὰ τὴν γλυκασίαν καὶ τὴν τρυφὴν τὴν πρὸ τῆς παραβάσεως τοῦ ἀνθρώπου παρίστησι γεγενημένην· ἔστι γὰρ ὅτε τῆς συκῆς ὁ καρπὸς τῇ γραφῇ ἐπὶ τὸ κρεῖττον ἐκλαμβάνεται. ἡ δὲ ἄμπελος, διὰ τὴν ἱλαρότητα τὴν ἐκ τοῦ οἴνου καὶ τὴν εὐφροσύνην τῶν περισωθέντων τῆς ὀργῆς καὶ τοῦ κατακλυσμοῦ, τὴν ἀπὸ τοῦ φόβου καὶ τῆς φροντίδος εἰς τὴν χαρὰν αὐτῶν μεταβολὴν αἰνίσσεται. ἡ δὲ ἐλαία διὰ τὸν καρπὸν τοῦ ἐλαίου τὴν εὐσπλαγχνίαν τοῦ θεοῦ μηνύει, πάλιν ἀνεξικακήσαντος τοῦ θεοῦ μετὰ τὸν κατακλυσμόν, τῶν ἀνθρώπων ἐκτραπέντων εἰς ἀθεότητα, δοῦναι νόμον καὶ ἐμφανισθῆναι τισίν. ἡ δὲ ῥάμνος τὴν ἁγνείαν συνίστησι· τὸ γὰρ αὐτὸ δένδρον ῥάμνος καὶ ἄγνος ἐστί, καὶ τάχα διὰ τὸ συγγενὲς τὸ φυτὸν τοῦτο τῇ παρθενίᾳ ταύτῃ ῥάμνος καὶ ἄγνος προσηγορεύθη, ῥάμνος μὲν παρὰ τὸ στερέμνιον καὶ καρτερὸν πρὸς τὰς ἡδονάς, ἄγνος δὲ παρὰ τὸ διὰ παντὸς ἁγνεύειν. ὅθεν καὶ τὸν Ἠλίαν, ἐκ προσώπου τῆς Ἰεζάβελ γυναικὸς φεύγοντα, λόγος ὑπὸ ῥάμνον ἐλθεῖν πρῶτον καὶ εἰσακουσθῆναι καὶ λαβεῖν τροφήν, ὅτι τῶν φευγόντων τὸν οἶστρον καὶ τὴν γυναῖκα "καὶ τὴν ἡδονὴν τὸ καταγώγιον 511 H.
καὶ ἡ σκέπη τὸ τῆς ἁγνείας ἐβλάστησε ξύλον, ἀπὸ τῆς παρουσίας τοῦ ἀρχιπαρθένου Χριστοῦ βασιλεῦσαν τῶν ἀνθρώπων. ταύτην γὰρ μόνην τὴν τῆς ἁγνείας βασιλείαν ἀπὸ τῆς τοῦ Χριστοῦ παρουσίας ἀμεταμελητὶ προσήκαντο οἱ ἄνθρωποι, ἑκάστης τῶν προδεδομένων αὐτοῖς ἐντολῶν πρὸ τῆς Χριστοῦ παρουσίας κατὰ τύχος βασιλείας ἑαυτοὺς ἀφηνιάζοντες, καὶ τῇ ἀντιμίμῳ μᾶλλον πειθαρχεῖν καὶ ὑπ' αὐτῆς βασιλεύεσθαι προαιρούμενοι, εἰ καὶ μεταμελόμενοι πολλάκις ἐπεζήτουν πάλιν τὴν πρὸς θεοῦ δεδομένην αὐτοῖς βασιλικωτάτην ἐντολὴν καὶ ἀνακαινισμὸν τῶν διαφθαρέντων αὐτῶν ἐκ κακίας ψυχικῶν κατορθωμάτων. παραδιδόμενοι γὰρ εἰς χεῖρας ἐχθρῶν καὶ πάθη ἀτιμίας, ἐπεζήτουν βασιλεύεσθαι τῇ ἐντολῇ καὶ τοῖς προστάγμασι τοῦ θεοῦ, ἵνα γένηται αὐτοῖς λύσις τῶν πολυπλόκων συμφορῶν καὶ ἀπαλλαγὴ τῶν κακῶν. αἱ δὲ διὰ τὸ προσόζειν αὐτῶν καὶ ἀνιάτως ἔχειν τοὺς τῆς ψυχῆς

a. 7. τὸ add *A*. 10. τιθεῖσα *B*. 12. ἀναγωγικῶς] ἀναλόγως *AB*. Κριτὰς] 9, 8. 14. ἑαυτῶν] libri ἑαυτῷ. εἶπον ς. 17. ξύλα] ξύλα πάντα *B*. 21. post ἀμπέλῳ cum *AB* omisi καὶ ἕως τοῦ. τὴν ῥάμνον *A*, ut addatur πρός. 34. τῷ *A*: τοῦ ς. 36. μωσεῖ *AB*. 38. τῇ σωτηρίᾳ.
b. 2. παιδ. τοῖς τέτρασι ς. 5. τρυφὴν *AB*: τροφὴν ς. 11. εἰς *A*: τὴν εἰς ς. 12. ἐλέου *A*. 17. παρθένῳ ς. 21. Ἰεζ. καὶ γυναικὸς ς. 33. μεταμελούμενοι ς.

μώλωπας οὐκ ἐβούλοντο βασιλεύειν αὐτῶν, μέχρις ὁ θεὸς τέταρτον κατελεήσας τὸν ἄνθρωπον τὴν ἁγνείαν ἀπέστειλε βασιλεῦσαι, ἣν ῥάμνον ἀκολούθως ἐκάλεσεν ἡ γραφή· ἥτις καταναλώσασα τὰς ἡδονάς, καὶ ἀπειλήσασα λοιπόν, εἰ μὴ αὐτῇ πείθονται πάντες καὶ ἐν ἀληθείᾳ προσέρχοιντο, πυρὶ καταδαπανῆσαι πάντας· οὐκέτι γὰρ μετὰ ταύτην ἔσεσθαι νόμον ἢ διδασκαλίαν ἑτέραν, ἀλλὰ καὶ κρίσιν καὶ πῦρ· καὶ διὰ τοῦτο λοιπὸν ἀπ' ἐντεῦθεν δικαιοπραγεῖν ὁ ἄνθρωπος ἤρξατο καὶ πιστεύειν βεβαίως τῷ θεῷ καὶ ἀποσχίζεσθαι τοῦ διαβόλου.

ὅτι σημειωτέον ὡς οὗτος ὁ διάλογος, ᾧ ἐπιγραφὴ συμπόσιον ἢ περὶ ἁγνείας, παρὰ πολύ ἐστι νενοθευμένος· εὑρήσεις γὰρ ἐν αὐτῷ παραβεβλημένας καὶ Ἀρειανικὰς δοξοκοπίας καὶ ἑτέρων τινῶν κακοδοξούντων μυθολογήματα.

ὅτι σημειωτέον τί ποτέ ἐστι τὸ κατ' εἰκόνα, ὃ μόνος ἐσχηκέναι λέγεται ἄνθρωπος τῶν ὑπὸ θεοῦ γεγενημένων.
967 R. οὐδὲ γὰρ ἂν εὕροι τις ἐπ' ἀνθρώπου τι τῶν τιμίων, οὗ μὴ καὶ ἀγγέλων μετέχει φύσις. οὔτε γὰρ τὸ ἀθάνατον, καὶ γὰρ καὶ ἄγγελος, οὔτε τὸ αὐτεξούσιον· εἰ γὰρ ὅτι ἀγγέλοις κατὰ τὸν θεολόγον ἐπὶ τὸ ἀγαθὸν μᾶλλον ἡ ῥοπή, κατὰ τοῦτο ὅρα ὅτι μηδ' ὅλως δυνατὸν τὸ κατ' εἰκόνα τοῦτο ἐννοεῖν. εἰ δὲ τὸ ἀρχικὸν λέγεις (ἄρχειν γὰρ τῶν ἰχθύων καὶ τῶν ἄλλων ὁ ἄνθρωπος πρὸς θεοῦ ἠξίωται ἐν τῇ τῆς κοσμογενείας ξυγγραφῇ), οὐδ' οὕτως ἀλλοτριώσεις τὸν ἄγγελον· ἄρχειν γὰρ τῶν ἀγγέλων τοὺς πλείους ἔθνους καὶ φυλῆς παρὰ τῆς γραφῆς ἰδίως δεδιδάγμεθα. εἰ δ' ὅτι μὴ χειροήθεις αὐτοῖς τοὺς ἀρχομένους τελοῦσι τὴν διαφορὰν εἰσάγεις, καθάπερ ἐκεῖνοι τὰ πολλὰ τῶν ζώων, οὐδὲν πρὸς τῷ γέλωτι κομπάζεις· οὐδὲ γὰρ οὗ εἰκόνα φέρειν ὁ ἄνθρωπος λέγεται, χειροήθεις τοὺς ἀρχομένους (ἄπαγε) δεικνύει. τί οὖν ἐστὶ τὸ κατ' εἰκόνα; ὅσοι γὰρ
512 H. τὴν τοῦ σωματικοῦ σχήματος εὐπρέπειαν ἐῤῥαψῴδησαν, πρὸς τοῖς μυρίοις ἐλέγχοις, οὐδὲ τῆς πρὸς τὸν ἄγγελον κοινωνίας κατὰ τοῦτο, ὅπερ ἐστὶ τὸ ζητούμενον, τὸν ἄνθρωπον ἠλευθέρωσαν· ἀνθρωπόμορφον γὰρ αἱ θεῖαι γραφαὶ τοὺς ἀγγέλους ἡμῖν ἐνδεδύσθαι σχῆμα ὑπετύπωσαν. εἰ δὲ τὸ δημιουργικὸν καὶ πρακτικὸν εἰς ὕπαρξιν τὸ κατ' εἰκόνα φυλάσσειν ἔχεις ἐπ' ἀνθρώπου (δημιουργεῖ γὰρ θεὸς τὸ πᾶν, ἀφράστως καὶ ἀνεπινοήτως προάγων τὰ μὴ ὄντα, ἀλλὰ καὶ ἄνθρωπος ἐνίοτε μὲν ἐκ τῆς ἰδίας οὐσίας καὶ φύσεως σπορᾶς καταβολῇ ὅμοιον ἄνθρωπον γεωργῶν, ἐνίοτε δὲ τέχνῃ πολλὰ τῶν τεχνητῶν δημιουργῶν, εἰ καὶ μὴ ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος), ἀλλὰ καὶ τοῦτό τι πιθανὸν ἔχον ῥαδίως ἐλέγχεται. οἵ [τε] γὰρ μονάζοντες, καὶ διὰ τὸ δοκεῖν φυλάσσειν τὸ κατ' εἰκόνα παντὸς ἀνθρωπίνου [τεχνήματος ἢ] τεχνάσματος ἀνωτέρω ἑαυτοὺς ἐργασάμενοι, ἄθλιοι ἂν φανεῖεν, τὸ κατ' εἰκόνα δι' αὐτὸ ἐκεῖνο ἀπολέσαντες. τί οὖν τὸ κατ' εἰκόνα; ἡ τῶν ἀρετῶν δι' ἐπιμελείας κτῆσις· ἄγγελοι μὲν γὰρ ἔχειν ἀρετήν, ἀλλ' οὐ τὴν δι' ἐπιμελείας καὶ κόπου, ὅτι μὴ μεθέλκονται ὑπὸ κακίας, δοξάζονται. ἀλλ' εἰ καὶ τοῦτο συγχωρηθείη, ἄκοπον ἀρετῶν κτῆσιν τοῖς ἀγγέλοις ἀποκεκληρῶσθαι, ἢ καὶ οὕτοι τὸ κατ' εἰκόνα τῷ ἀκόπως ἔχειν θεῷ μᾶλλον πλησιάζοντες ἔξουσιν, ἢ εἰ μὴ οὕτοι, πολλῷ μᾶλλον οὐδ' ὁ ἄνθρωπος, ὅτι μετὰ ταύτης ἢ πρὸ ταύτης τὴν κτῆσιν πολλῶν ταράχων καὶ πόνων ἐμπιπλάμενος ταύτην ἐκδέχεται.

## 238.

Ἀνεγνώσθη ΙΩΣΗΠΟΥ ἡ ἀρχαιολογία· ἧς ἡ ἐκλογή, ὅσα τε ἱστορεῖ περὶ Ἡρώδου, καταλέγει, τήν τε ἀνοικοδομὴν τοῦ ναοῦ, ὅπως τε τὴν Ἰουδαϊκὴν ὑπεισῆλθε βασιλείαν, καὶ ὅπως αὐτοῦ τὴν ἀρχὴν οἱ ἐκ γένους διεδέξαντο, ὅπως τε αὕτη εἰς ἀριστοκρατίαν κατελέλυται, τὴν προστασίαν τοῦ ἔθνους τῶν ἀρχιερέων ἀναδεξαμένων, καὶ ὅσα ἄλλα τούτοις συνδιαπλέκεται.

ὅτι Ἰώσηπος πρὸς τῷ τέλει τῆς ιε' κατὰ τὴν ἀρχαιολογίαν ἱστορίας, ὀκτωκαιδέκατον ἔτος τῆς βασιλείας Ἡρώδην ἀνύοντα τὸν ἐν Ἱεροσολύμοις νεών, ὃν ἔκτισε 968 R.
Σολομὼν ὁ βασιλεύς, κατασκαφέντα δὲ πάλιν οἱ ἐκ Βαβυλῶνος ἀναχθέντες αἰχμάλωτοι Δαρείου τοῦ Περσῶν βασιλέως συναραμένου αὐτοῖς ἀνέστησαν ἐν ϛ' ἔτεσι καὶ μ', τοῦτόν φησι τὸν περιώνυμον νεὼν μετὰ ἔτη ἑξακόσια, ἀνελόντα μὲν τοὺς ἀρχαίους θεμελίους, ἑτέρους δὲ καταβαλόντα ἐπ' αὐτῶν τὸν Ἡρώδην διπλάσιον τοῦ προτέρου ἀναστῆσαι· λείπεσθαι γὰρ τὸν ὑπὸ τῶν αἰχμαλώτων τοῦ Σολομωντείου μέτροις κατὰ τὸ ὕψος τισίν. εἶχε δὲ ὁ Ἡρώδου νεὼς μῆκος μὲν πήχεις ρ', ὕψος δὲ κ' περιττοῖς, οὓς καὶ ὑπέβη τῷ χρόνῳ τῶν θεμελίων συνιζησάντων· ὃ καὶ κατὰ τοὺς Νέρωνος καιροὺς Ἰουδαῖοι ἐγνώκεισαν ἐπεγείρειν. οἰκοδομηθῆναι δ' Ἡρώδῃ τὸν 513 H.
ναὸν Ἰώσηπός φησιν ἐνιαυτῷ ἑνὶ καὶ μησὶν ϛ', τῶν δὲ

a. 11. ᾧ — ἁγνείας om *AB*. 12. ἐστι νενοθευμένος *A*: γὰρ νενοθευμένος ἐστίν ς. 37. ἐπετύπωσαν ς. 38. malim προακτικόν, et mox ἔχει. 40. γὰρ ὁ θεὸς ς. b. 2. τεχνιτῶν *A*. 3. μὴ om *A*. μηδαμῇ μηδαμῶς *B*, μηδαμῆ *A*, μηδαμῶς ς. 4. τι] τὸ corr *A*. 8. ἐκεῖνο *AB*: τοῦτο ς. 19. Ἀνεγνώσθη — 26. ὅτι Ἰώσηπος] haec in mg habet *C*, ita praefatus εὕρηται καὶ ἐν ἄλλῳ βιβλίῳ ἔχον οὕτως. qui in textu sola ponit Ἀνεγνώσθη Ἰωσήπου πρὸς τῷ etc. 20. ἡρώδην *A*. 28. ἡρώδην *AB*: Ἡρώδου ς. 32. ναὸν ς. 34. αὐτὸν ς. 38. οὓς] δὲ *B* et corr *A*. 41. τῶν] τὸν *B* et corr *A*.

Digitized by Google

περὶ τὸν νεὼν οἴκων καὶ περιβόλων ἔτεσιν ὅλοις η'. λίθους δ', ἐξ ὧν ἠγείρετο ὁ νεώς, λευκοὺς μὲν εἶναι καὶ κραταιούς, ἔχειν δ' ἕκαστον αὐτῶν μήκους μὲν πήχεις κ' καὶ ε', ὕψους δὲ η' καὶ εὖρος περὶ ιβ'. τελεσθῆναι δὲ τὸ ἔργον φησὶν ἐπινοίᾳ τοιαύτῃ. Ἡρώδῃ πολλή τις ἐγένετο περὶ τὸ ἔργον φιλοτιμία· ἀγείρει οὖν πρότερον ἅπασαν ὕλην, καὶ χίλιαι αὐτῷ ἅμαξαι λίθους ἄγειν εὐτρεπεῖς ἦσαν, ἐργάται δὲ ἄλλοι μὲν μύριοι, τῶν δὲ ἱερέων, οἳ τῶν ἀδύτων ἔργων ἔμελλον ἅπτεσθαι, χίλιοι· τοσούτους γὰρ οἰκοδομεῖν καὶ ξυλουργεῖν ἐξεπαίδευσεν, ἱερατικὰς αὐτοῖς ἅπασιν ὠνησάμενος στολάς. καὶ ἤδε ἡ παρασκευὴ θᾶττον μὲν ἐλπίδος εἰς πέρας τὸ βούλημα ἤγαγε, μεγάλας δὲ καὶ πολλὰς ἀπὸ τοῦ πλήθους τὰς εὐχαριστίας ἐν τοῖς ἄλλοις ἅπασιν ἀχθομένου Ἡρώδῃ προὐξένησε. θύει δ' Ἡρώδης ἅμα τοῦ συντελέσαι τὸν νεὼν βοῦς τριακοσίους· τῶν δ' ἄλλων Ἰουδαίων ὅσα θύσειαν, οὐδ' ἐγένετο λαβεῖν ἀριθμῷ.

οὗτος Ἡρώδης ἐστὶν ὁ Ἀντιπάτρου τοῦ Ἰδουμαίου καὶ τῆς Ἀραβίσσης (Κύπρις δ' ὄνομα αὐτῇ) παῖς, ἐφ' οὗ καὶ Χριστὸς ὁ θεὸς ἡμῶν ἐπὶ σωτηρίᾳ τοῦ ἡμετέρου γένους παρθενικῆς ἀποτίκτεται μήτρας· καθ' οὗ καὶ μανεὶς Ἡρώδης τοῦ μὲν δεσπότου διήμαρτε, φονεὺς δὲ πολλῶν νηπίων γίνεται. εἰς ὠμότητα δὲ καὶ μιαιφονίαν πάντας ὅσοι τύραννοι ὑπερβαλέσθαι ἱστόρηται. καὶ γυναικὸς δὲ τῆς Μαριάμμης (θυγάτηρ δ' ἦν αὕτη Ἀλεξάνδρας τῆς Ὑρκανοῦ τοῦ ἀρχιερέως παιδός, ὥρᾳ σώματος οὐδενὶ χρόνῳ λιποῦσα δεῖξαι ταύτης ἐφάμιλλον), ταύτης οὖν καὶ δύο τῶν ἐξ αὐτῆς αὐτῷ γεννηθέντων παίδων, Ἀριστοβούλου καὶ Ἀλεξάνδρου, οἳ κάλλει τε καὶ λόγων ἀσκήσει καὶ χειρῶν ἔργοις οὐδὲν ἧττον ἢ ὅτι βασιλέως ἦσαν παῖδες ἀνὰ πάντων ἐφέροντο στόμασι, τούτων συμπάντων διαβολαῖς Ἀντιπάτρου μανεὶς δήμιος γίνεται, πρῶτον μὲν τῆς γαμετῆς, εἶτα καὶ τῶν παίδων, καὶ τελευταῖον Ἀντιπάτρου καὶ αὐτοῦ, παιδὸς ἐκ προτέρας γυναικός. νόσῳ δὲ πικρᾷ παραδοθεὶς (ἕλκωσις γὰρ ἐντέρων εἶχε τὸν δύστηνον ὄρθιόν τε ἆσθμα καὶ ποδῶν λευκοῦ φλέγματος οἴδημα, δειναί τε τοῦ κώλου ἀλγηδόνες, καὶ αἰδοίου σῆψις σκώληκας ἐμποιοῦσα, καὶ μυρία ἄλλα) μετὰ πέμπτην [δ'] ἡμέραν τῆς Ἀντιπάτρου σφαγῆς τοῦ παιδὸς καὶ αὐτὸς τὸν βίον κατέστρεψε, διαβιοὺς μὲν ἔτη σύμπαντα ό, βασιλεύσας δ' ἐξ αὐτῶν ζ' καὶ λ'. βασιλεύει δ' οὗτος παρανόμως τε καὶ παρ' ἐλπίδας καὶ αὐτοῦ ἐκείνου, σπουδῇ μὲν Ἀντωνίου τοῦ στρατηγοῦ Ῥωμαίων, χρήμασιν ὑπηρετοῦντος, καὶ Αὐγούστου καταινέσει, ψήφῳ δὲ πρὸς ἀφοσίωσιν καὶ τῆς βουλῆς Ῥωμαίων. 969 B.

ὅτι Ἡρώδου τοῦδε, τοῦ πρώτου ἐξ ἀλλοφύλων παρὰ τοὺς νόμους βασιλεύσαντος Ἰουδαίων, τούτου πατὴρ ἦν Ἰδουμαῖος γένος ἐξ Ἀσκάλωνος πόλεως, παῖς Ἀντίπα, 514 H.
Ἀντίπας καὶ αὐτὸς ἐπικαλούμενος πρότερον, Ἀντίπατρος δ' ἔπειτα. οὗτος πολλῶν μὲν χρημάτων εὐπορῶν, δραστήριος δὲ τὴν φύσιν καὶ στασιαστὴς τυγχάνων, Ὑρκανῷ τῷ Ἰουδαίων ἀρχιερεῖ δι' εὐνοίας ἐτύγχανεν, Ἀριστοβούλῳ δὲ τἀδελφῷ Ὑρκανοῦ διάφορος· διὸ πείθει Ὑρκανόν, πολλάκις ἐνοχλήσας, τὴν βασιλείαν πάλιν ἀναζητεῖν ἅπασι τρόποις, ἣν ἐκείνου συγχωρήσαντος ἀφελόμενος Ἀριστόβουλος εἶχεν ὁ ἀδελφός. αὕτη τῶν ἀδελφῶν ἡ στάσις μεγάλων κακῶν αἰτία αὐτοῖς τε καὶ γένει καὶ τῷ Ἰουδαίων ἔθνει κατέστη, καὶ τῆς εἰς ἀλλοφύλους τῆς βασιλείας μεταπτώσεως. ἐν τῇ στάσει ταύτῃ πολλὰ φαίνεται Ἀντίπατρος ὑπὲρ Ὑρκανοῦ κατ' Ἀριστοβούλου πράξας. τέλος δ' Ἀριστόβουλος μὲν εἰς Ῥώμην ἅμα παισὶν αἰχμάλωτος ἄγεται, ἐκεῖθεν δὲ φυγὼν πάλιν εἰς τὰ περὶ τὴν Ἰουδαίαν παραγίνεται, πάλιν τε πολιορκηθεὶς ὑπὸ Ῥωμαίων ἅμα τῷ παιδὶ Ἀντιγόνῳ (οὗτος γὰρ ἔτυχεν ἐκ Ῥώμης τῷ πατρὶ συμφυγών) ἁλίσκεται, καὶ εἰς Ῥώμην ἀναπέμπεται, καὶ δεθεὶς κατείχετο, βασιλεύσας μὲν καὶ ἀρχιερατεύσας ἔτη γ' μῆνας ς', λαμπρὸς δὲ καὶ μεγαλόψυχος ἐν τῇ ἀρχῇ γεγονώς. Ὑρκανῷ δ' ἡ μὲν ἀρχιερωσύνη δίδοται, οὐκέτι δ' ἡ βασιλεία· ἀλλ' ἦν τὸ ἔθνος αὐτονομούμενον, ἐθνάρχης δ' ὅμως ἀντὶ βασιλέως τῆς δεδομένης αὐτῷ ἐξουσίας εἶχεν ὄνομα. Ἀντιπάτρῳ δ' Ὑρκανοῦ ἀρχιερατεύοντος ἐπὶ πλεῖστον τὰ τῆς δυναστείας ηὔξετο· Ῥωμαίων τε γὰρ τοῖς στρατηγοῖς κατὰ τῶν ἀνθισταμένων συνεμάχει, καὶ τὰ Ἰουδαίων διὰ χειρός, τῇ ἀπραγμοσύνῃ καὶ τῷ συγκεχωρηκότι Ὑρκανοῦ, αὐτὸς εἶχε πράγματα. Ἀριστόβουλον δὲ Ἰούλιος ὁ Καῖσαρ, λύσας τῶν δεσμῶν, εἰς Συρίαν κατὰ τῶν Πομπηΐου πέμπειν ἐγνώκει. ἀλλ' αὐτὸν φθάσαντες οἱ τὰ Πομπηΐου φρονοῦντες φαρμάκῳ φθείρουσι. καὶ Σκιπίων δ' ἐπιστείλαντος αὐτῷ Πομπηΐου τὸν Ἀριστοβούλου παῖδα

a. 1. οἶκον καὶ περίβολον B et corr A. 4. εἰκοσιπέντε ς. 6. περὶ AB: ἢ περὶ ς. 8. εὐπρεπεῖς B. 10. τοσούτους A: τοσούτων ς. 14. Ἡρώδου ς. 25. μαριάμης A. 27. [illegible]ουσα B, λειποῦσα A: λείπουσα ς. 32. συμπάντων] οὖν πάντων B et corr A, οὖν συμπάντων ς. 39. μετὰ A: κατὰ ς. δ' om B.
b. 1. ό mg: libri enim om. 2. καὶ ante αὐτοῦ add A. 11. καὶ στασ. τυγχάνων B, ὢν καὶ στασ. Iosephus Antiq. 14. 1, 3: om participium ς. 12. ἐτύγχανεν add B. 13. δὲ τἀδελφῷ AB: τῷ ἀδελφῷ ς. 17. μεγάλων] libri μεγάλη. 21. δ' add A. 31. δ' ὅμως] ὅμως δ' A.

Digitized by Google

Ἀλέξανδρον, ἐπικαλοῦντος οὐ πρότερον εἰς Ῥωμαίους ἀμάρτοι, πελέκει διεχρήσατο.

Ἀποδείκνυται δὲ ὑπὸ Ἰουλίου Καίσαρος Ἀντίπατρος μετὰ τὴν κατὰ Πομπηΐου νίκην καὶ ἐπίτροπος Ἰουδαίας. ὃς ἐπὶ ταύτην παραγεγονὼς Φασαήλῳ μὲν τῷ παιδὶ Ἱεροσολυμιτῶν καὶ τῶν πέριξ τὴν στρατηγίδα ἀρχὴν δίδωσι, τὸν δὲ μετ᾽ αὐτὸν Ἡρώδην νέον ὄντα κομιδῇ (πεντεκαίδεκα γὰρ αὐτῷ ἀπὸ γενέσεως ἔτη ἦν) τῆς Γαλιλαίας ἀποφαίνει ἐπίτροπον, οὐδὲν ὑπὸ τῆς νεότητος τοῦ μὴ οὐχὶ τὸ δεινὸν αὐτῷ καὶ γενναῖον ἐκφῆναι κωλυόμενον. καὶ ταῦτα πράττων Ἀντίπατρος, καὶ θαυμαζόμενος οὐδὲν ἧττον ὑπὸ τοῦ ἔθνους ἢ κατὰ βασιλέα, ὅμως τῆς πρὸς Ὑρκανὸν τὸν ἀρχιερέα εὐνοίας καὶ πίστεως οὐδὲν ὅλως ἠλλοίωσεν. ἀναιρεῖται δὲ Ἀντίπατρος, εὔρουν καὶ λαμπρὸν διὰ παντὸς ἀνα-
315 H. φαίνων βίον, ἐξ ἐπιβουλῆς φαρμάκῳ, "Μαλίχου τὸν οἰνοχόον χρήμασι πείσαντος στάξαι τῷ πόματι τοῦ φαρμάκου· Μάλιχος δ᾽ οὗτος Ἰουδαῖος μὲν ἦν, δεινὸς δὲ δόλον ῥάψαι καὶ δοθείσης ὑπονοίας ὅρκοις τὴν ὑπόνοιαν θεραπεῦσαι καὶ ὑποκρίσει φιλίας. ἀλλ᾽ οὐδὲν ἧττον, ὡς ἔοικεν, Ἡρώδῃ τοιαῦτα μηχανᾶσθαι
972 R. φύσιν λαχόντι ἢ καὶ δεινοτέρῳ περιτυχών, "δίκην εἰσπραττομένῳ τοῦ πατρῴου φόνου, ξιφιδίοις κατακεντούμενος κτίννυται.

Ἀντίγονος δ᾽ ὁ Ἀριστοβούλου παῖς, Φαβίου χρήμασι θεραπευθέντος, καὶ Πτολεμαίου τοῦ Μεναίου διὰ τὸ κήδευμα (ἀδελφὴ γὰρ αὐτοῦ ἐγεγάμητο) συλλαμβανομένου καὶ ἑτέρων τινῶν, ἐπεχείρησε κατάγεσθαι ἐπὶ Ἰουδαίαν. ἀλλ᾽ Ἡρώδης μάχῃ συμπλακεὶς νικᾷ καὶ τῆς Ἰουδαίων γῆς ἀπελαύνει, καὶ ὑπὸ Ἱεροσολύμων καὶ αὐτοῦ Ὑρκανοῦ λαμπρῶς ἐπὶ τῇ νίκῃ ἐδέχθη παραγεγονώς. καὶ Ἀντώνιος χρήμασιν, ὁ Ῥωμαίων στρατηγός, Ἡρώδῃ καὶ τῷ ἀδελφῷ Φασαήλῳ τὰς τῶν Ἰουδαίων τετραρχίας δίδωσιν, οὐδὲν πρὸς ταῦτα δυσχεραίνοντος Ὑρκανοῦ. τοῦ δὲ πλήθους τῶν περὶ Ἡρώδην κατηγορούντων οὐδὲν πλέον πλὴν τοῦ τιμωρίαν ὑπέχειν ἀντὶ τοῦ λαβεῖν ὧν ἐπεκάλουν ἐγίνετο διὰ τὸ χρήμασιν Ἀντώνιον διεφθάρθαι καὶ Ὑρκανὸν τοῖς περὶ Ἡρώδην τίθεσθαι· ἤδη γὰρ καὶ τῆς θυγατρὸς αὐτοῦ παῖδα Μαριάμμην Ἡρώδης ἐγγεγύητο.

Πτολεμαίου δὲ τοῦ Μεναίου τὸν βίον λιπόντος ὁ παῖς λαμβάνει τὴν ἀρχὴν Λυσανίας. καὶ Πάκορος δὲ ὁ βασιλέως παῖς καὶ Βαζαφαρμάνης σατράπης Πάρθος κατέχον τὴν Συρίαν. Λυσανίας δὲ τὸν σατράπην ἔχων σὺν αὐτῷ ποιεῖται πρὸς Ἀντίγονον τὸν Ἀριστοβούλου φιλίαν· καὶ Ἀντίγονος ὑπισχνεῖται Πάρθοις χίλια τάλαντα δώσειν καὶ πεντακοσίας γυναῖκας, εἰ τὴν πατρῴαν ἀρχὴν ἀποδώσουσιν Ὑρκανὸν ἀφελόμενοι καὶ τοὺς περὶ Ἡρώδην ἀνέλοιεν. διὸ Πάκορος καὶ Βαζαφαρμάνης κατάγουσιν Ἀντίγονον, καὶ πολέμου αὐτοῖς ὑπὸ τῶν περὶ Ἡρώδην συστάντος πολλοὶ ἀφ᾽ ἑκατέρων κτείνονται, εὐδοκιμοῦντος μάλιστα τοῖς πόνοις Ἡρώδου. τέλος Ὑρκανὸς καὶ Φασάηλος δόλῳ συλλαμβάνεται ὑπὸ Πάρθων· καὶ ὁ μὲν Φασάηλος τῶν ἐχθρῶν προφθάσας τὴν σφαγήν, πέτρᾳ τὴν κεφαλὴν προσαράξας ἔξεισι τοῦ βίου, Ὑρκανὸς δὲ δέσμιος εἴχετο. καὶ οἱ Πάρθοι λοιπὸν τὰ Ἱεροσόλυμα λαβόντες, μόλις αὐτοὺς Ἡρώδου δεινότητι γνώμης καὶ τάχει τοῦ προμηθοῦς καὶ χειρῶν ἀρετῇ σὺν τῇ γενεᾷ διαφυγόντος, τὰ τῶν Ἱεροσολυμιτῶν διήρπαζον χρήματα πλὴν τῶν Ὑρκανοῦ (π΄ δ᾽ ἦν τάλαντα), καὶ οὕτως εἰς τὴν πατρῴαν ἀρχὴν Ἀντίγονον ἐγκαθιστῶσιν. Ἀντίγονος δ᾽ Ὑρκανοῦ τοῦ θείου ὑπὲρ τοῦ μὴ πάλιν ἀναλαβεῖν τὴν ἱερωσύνην (τὸ γὰρ σεσινωμένον κατά τι τοῦ σώματος μέρος ἀπείρηται Ἰουδαίοις ἱερᾶσθαι) περιτέμνει τὰ ὦτα, καὶ Πάρθοις ἄγειν σὺν αὐτοῖς δίδωσιν.

Ἡρώδης δ᾽ οὐδαμῶς ἠρέμει, ἀλλὰ πρῶτον μὲν εἰς Μάλιχον τὸν Ἀράβων ἀπῄει βασιλέα, ἐπικουρίαν κατὰ πατρῴαν φιλίαν ἐλπίδας ἔχων εὑρεῖν· ἀποτυχὼν "δὲ 316 H.
ἐπὶ Βρεντήσιον πρὸς Ἀντώνιον τὸν Ῥωμαίων στρατηγόν, κἀκεῖθεν εἰς Ῥώμην σὺν αὐτῷ ἀνάγεται, ἀπολοφυράμενος τὰ συνενεχθέντα καὶ τὸν τἀδελφοῦ θάνατον. ἐποιεῖτο δὲ γνώμην τῷ τῆς γαμετῆς ἀδελφῷ, Ὑρκανοῦ δὲ θυγατρὸς παιδί, εἴ πως δύναιτο, τὴν βασιλείαν καταπράξασθαι· αὐτῷ γὰρ ἀνέλπιστον ἦν παντάπασι ταύτην περιελθεῖν ἀλλοφύλῳ ὄντι. ἀλλ᾽ Ἀντώνιος καὶ Αὔγουστος, σύμψηφον λαβόντες τὴν βουλήν, καὶ βασιλέα Ἰουδαίων ἀποφαίνουσι, καὶ κατὰ Ἀντιγόνου πολλάκις αὐτῷ συμμαχήσαντες μετὰ πολλὰς σφαγὰς καὶ πολέμους Ἀντίγονον μὲν αἰχμάλωτον ἄγουσι, Σοσσίου στρατηγοῦ Ῥωμαίων τέλος τοῦτο τοῖς πολεμίοις ἐπιθεμένου, αὐτῷ δὲ τὰ τῆς ἀρχῆς ἐπὶ μᾶλλον κρατύνουσιν. Ἀντώνιος δὲ ὁ στρατηγὸς λαβὼν αἰχμάλωτον τὸν Ἀντίγονον "δέσμιον ἔγνω μέχρι τοῦ θριάμβου φυλάττειν· 973 R.

a. 5. ἐπ᾽ αὐτὴν ς. 7. ἄρχειν ς. 12. κατὰ βασιλέα A: καὶ βασιλέως ς. 15. ἀναβαίνων A. 24. κτείνονται A. 26. μεναίου A: Ὑμεναίου ς. apud Iosephum est Μενναίου. 30. Ἱεροσολυμιτῶν Scaliger.
b. 6. ἀποδώσουσιν] αὐτῷ δώσουσιν A. 19. πλὴν — τάλαντα om A. 28. τὸν] τῶν A.

μαθὼν δὲ νεωτερίζειν τὸ Ἰουδαίων ἔθνος ἐκ τοῦ πρὸς Ἡρώδην μίσους, τοῦτον ἐν Ἀντιοχείᾳ ἐπελέκισεν. Ὑρκανὸς δ', ἐπεὶ Ἡρώδην βασιλεύειν ἤκουσεν, ἐδεήθη Φραάτου βασιλέως, καὶ συνδεηθέντος Ἡρώδου ἀφίεται εἰς τὴν πατρίδα, πολλῶν ἐλπίσας παρ' Ἡρώδῃ τυχεῖν. Ἡρώδης δὲ σχήματα μὲν εὐνοίας καὶ τιμῆς τῆς πρωτευούσης πολλὰ εἰς αὐτὸν ἐδείκνυ, ἐν ὑστέρῳ δὲ διαβολὰς ἐπενεγκὼν δωροδοκίας καὶ τῆς πρὸς Ἄραβας προδοσίας ἀνεῖλεν ἄνδρα ὑπὲρ τὰ π' ἔτη ἐνιαυτῷ ἑνὶ μετὰ πολλῆς καὶ ἀφάτου τῆς ἐπιεικείας καὶ ἀπραγμοσύνης βεβιωκότα. καὶ Ἀριστόβουλον δὲ τὸν υἱωνὸν μὲν Ὑρκανοῦ Μαριάμμης δὲ τῆς γαμετῆς ἀδελφόν, ἐνοχλησάσης Ἀλεξάνδρας τῆς τῶν παίδων μητρὸς καὶ αὐτῆς Μαριάμμης, ἀρχιερέα μὲν καθίστησιν ιζ' ἔτος ἄγοντα, καὶ μετ' ὀλίγον ἐν Ἱεριχοῦντι ταῖς ἐκεῖσε κολυμβήθραις ἐναποπνιγῆναι κατεπράξατο. ἀλλ' Ἡρώδης μὲν τοιοῦτος, καὶ οἷος εἶναι προείρηται.

ὅτι τελευτῶν Ἡρώδης Ἀρχέλαον τὸν υἱὸν διατίθεται, Καίσαρος διδοῦντος, τῆς βασιλείας γενέσθαι διάδοχον. Καῖσαρ δέ (ὁ Αὔγουστος δ' ἦν) τῆς ἡμισείας Ἀρχέλαον ἀποφήνας κύριον, καὶ βασιλείᾳ τιμήσειν εἶπεν, εἰ ἐπιεικῶς καὶ δικαίως τὴν ἀρχὴν μάθοι χειρίζοντα· τὴν δ' ἄλλην μοῖραν διελὼν τετράρχας Φίλιππον καὶ Ἀντίπατρον, καὶ αὐτοὺς Ἡρώδου παῖδας ὄντας, καθίστησιν. ἀλλ' Ἀρχέλαος ἐπεὶ ὠμῶς καὶ κατὰ τὸν πατέρα Ἰουδαίων ἦρχε, Καίσαρος δεηθέντων τῶν τυραννουμένων δεκάτῳ ἔτει τῆς βασιλείας ἐκπέπτωκε, καὶ Βίενναν οἰκεῖν τῆς Γαλλίας καταδικάζεται, καὶ μεταπίπτει ἐντεῦθεν ἡ Ἰουδαία ἐκ βασιλείας εἰς ἐπαρχίαν.

ὅτι Ἡρώδης ὁ τετράρχης Γαλιλαίας καὶ Περαίας, παῖς Ἡρώδου τοῦ μεγάλου, ἠράσθη (ὡς Ἰώσηπός φησιν) ἀδελφοῦ Ἡρώδου γυναῖκα ὄνομα Ἡρωδιάδα· ἀπόγονος δ' ἦν αὕτη τοῦ μεγάλου Ἡρώδου, Ἀριστοβούλῳ τῷ παιδί, ὃν ἐκεῖνος ἀνεῖλε, γεγενημένη· ἦν δ' αὐτῇ καὶ ὁ ἀδελφὸς 517 H. Ἀγρίππας. ταύτην Ἡρώδης τἀνδρὸς διαστήσας ἠγάγετο γυναῖκα. οὗτός ἐστιν ὁ τὸν μέγαν ἀνελὼν Ἰωάννην τὸν πρόδρομον, δεδιώς (Ἰώσηπός φησι) μὴ τὸ ἔθνος αὐτοῦ διαστήσει· πάντες γὰρ δι' ὑπερβολὴν ἀρετῆς τοῖς Ἰωάννου λόγοις εἵποντο. κατὰ τοῦτον καὶ τὸ σωτήριον ἐγεγόνει πάθος.

ὅτι Ἀγρίππας ὁ Ἡρώδου μὲν ἀπόγονος τοῦ πρώτου, Ἀριστοβούλου δὲ τοῦ ἀνῃρημένου παῖς, ἀδελφὸς δ' Ἡρωδιάδος, μυρίαις τύχαις καὶ μεταβολαῖς περιπεσὼν ὅμως ἐκ φυλακῆς καὶ δεσμῶν, οἷς αὐτὸν κατεχόμενον Τιβέριος Καῖσαρ τελευτῶν ἀπολελοίπει, ἐκ τούτων ἀπαλλαγεὶς Γαΐου Καίσαρος προνοίᾳ καὶ βασιλεὺς χειροτονεῖται τετραρχίας Φιλίππου (Ἡρώδου δ' ἦν οὗτος ἀδελφὸς τοῦ πρώτου), προσλαμβάνει δὲ καὶ τὴν Λυσανίου τετραρχίαν, καὶ ἀποπλεῖ πρὸς τὴν Ἰουδαίαν, πάντων ἐν ἐκπλήξει καὶ θαύματι τὸ τῆς μεταβολῆς ἀθρόον ποιουμένων. μεθ' ὧν καὶ Ἡρωδιὰς ἐκπεπληγμένη καιρίαν δέχεται πληγὴν ἐκ φθόνου, καὶ οὐκ ἀνίει διενοχλοῦσα τὸν ἄνδρα, ἕως κατειργάσατο ἀνελθεῖν εἰς Ῥώμην καὶ βασιλείαν ἑαυτῷ σπουδὴν ποιεῖσθαι καταπράξασθαι. ἀλλ' ὁ μὲν ἀνῄει σὺν αὐτῇ, εἵπετο δ' Ἀγρίππας, καὶ καταλαμβάνει ἄρτι κατάραντας. κατηγορήσας δ' Ἡρώδην παρὰ Γαΐῳ Καίσαρι ὡς δύσνους εἴη Ῥωμαίοις ἀεί (Τιβερίου μὲν γὰρ ἔτι περιόντος πρὸς Ἰανὸν ἐχθρὸν 976 R ὄντα Ῥωμαίων θέσθαι φιλίαν, καὶ νῦν δὲ πρὸς Ἀρτάβανον τὸν Πάρθων βασιλέα τὰ αὐτὰ φρονεῖν κατὰ Ῥωμαίων) παρασκευάζει ἀντὶ τῆς ὀνειροποληθείσης βασιλείας τῆς τε οἰκείας ἐκπεσεῖν τετραρχίας καὶ εἰς Λουγδουνίων ἀϊδίῳ φυγῇ ζημιωθέντα ἐλαθῆναι. καὶ Ἡρωδιὰς δ' ἑκοῦσα τῷ ἀνδρὶ συμφυγαδεύεται· τὴν δὲ τετραρχίαν αὐτοῦ Γάϊος Ἀγρίππᾳ προστίθησι. τοῦτον τὸν Ἀγρίππαν πρὸς ἀντιδιαστολὴν τοῦ υἱοῦ καὶ μέγαν Ἀγρίππαν καλοῦσι, καὶ εἰς τὸ μάλιστα κεχαρισμένον Ἰώσηπός φησιν Ἰουδαίων ἄρξαι. οὗτος ἐκείνοις, ὡς ἔοικε, χαριζόμενος καὶ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ ἀνεῖλε, καὶ τὸν κορυφαῖον τῶν μαθητῶν Πέτρον ἐπεχείρησεν, εἰ καὶ διήμαρτεν, ἀνελεῖν. οὗτος ἐσθῆτα ἀργύρου πεποιημένην περιθέμενος καὶ τῷ πλήθει δημηγορήσας, ἐπεὶ φωνὰς παρ' αὐτῶν μετὰ τὸ ὑπερβολὴν κολακείας ἔχειν καὶ ἀσεβείας εἰς ἔσχατον ἥκειν ἀκούων οὐκ ἐπετίμησε, παραυτίκα δίκην δίδωσιν· ἀλγήματος γὰρ αὐτῷ κατὰ γαστέρα σφοδροῦ γεγονότος δι' ἡμερῶν ε' τὸν βίον κατέστρεψεν, ἄγων ἀπὸ γενέσεως ἔτος δ' καὶ ν', τῆς δὲ βασιλείας ζ', ὧν δ' Γαΐου βασιλεύοντος ἦρξε, τὰ μὲν γ' τὴν Φιλίππου ἔχων τετραρχίαν, τῷ δ' δὲ προσλαβὼν καὶ τὴν Ἡρώδου, τὰ δὲ λοιπὰ γ' ἐπὶ Κλαυδίου, ἐν οἷς Ἰουδαίαν τε καὶ Σαμάρειαν καὶ Καισάρειαν Καίσαρος δόντος προσεκτήσατο. οὕτως Ἀγρίππας τελευτᾷ, τοῦ βουβῶνος (τοῦ πτηνοῦ δὲ γένους παρὰ Ῥωμαίοις ἐστὶν οὕτω

a. 11. υἱωνὸν A: υἱὸν ς. μὲν om A. 12. Μαριάμμης om A. 15. ἱερουντι A. 19. διδόντος ς. 28. βίενναν A: βίαινναν ς. Γαλιλαίας ς. 34. ἀνεῖλε — p. 318 b 20. ἐπιστεύοντο om A. 37. φησι om C. 38. τοῖς add C.
b. 15. Ῥωμαίοις C: εἰς ῥωμαίους ς. 16. Ἰανὸν] Σηϊανὸν Hoeschelius. 27. Ἰάκωβον om C. 32. τὸ — ἥκειν] malim τοῦ — ἠκούσας. 42. γένους C: γένος ς.

518 H. καλούμενον ζῶον) πρὸ πέντε τῆς τελευτῆς "ἡμερῶν ὑπὲρ κεφαλῆς φανέντος, ᾧ καὶ τὴν βασιλείαν προσαγγεῖλαι νομίζει Ἰώσηπος. τελευτᾷ δ᾽ οὖν παῖδας λιπὼν δ´, ἄρρενα μὲν Ἀγρίππαν, ιζ´ ἔτος ἄγοντα, θηλείας δὲ γ´, Βερενίκην Μαριάμμην καὶ Δρουσίλαν. ὧν ἡ μὲν ἔτος ἄγουσα ις´ Ἡρώδῃ πατρὸς ἀδελφῷ ἐγεγάμητο, Μαριάμμῃ δ᾽ ἠνύετο δέκατον καὶ Δρουσίλᾳ ἕκτον· ἃς οἱ Σεβαστηνοὶ κατ᾽ οὐδεμίαν ἄλλην πρόφασιν πλὴν τοῦ μανῆναι ἁρπάσαντες ἀθρόον καὶ πορνείοις ἐγκαταστήσαντες, πᾶσαν αὐταῖς ὕβριν ῥητὴν καὶ ἄρρητον ἐπεδείξαντο. οἷς χαλεπήνας Κλαύδιος ὅμως οὐδὲν ἄξιον τῆς παρανομίας εἰσεπράξατο.

ὅτι Ἀγρίππας ὁ τοῦ Ἀγρίππου παῖς τελευτήσαντος αὐτῷ τοῦ πατρὸς εἰς Ῥώμην ἀπαίρει· Κλαύδιος δ᾽ αὐτῷ τὴν πατρῴαν ἀρχὴν ἐγνώκει χειρίζειν, ἀνακοπεὶς δ᾽ ἐνίων βουλαῖς τὸ νέον τῆς ἡλικίας Ἀγρίππα αἰτιασαμένων, Φάδον μὲν ἐπίτροπον ἐκπέμπει τῆς Ἰουδαίας, Ἀγρίππαν δὲ Χαλκίδος, Ἡρώδου τελευτήσαντος τοῦ ταύτης ἔχοντος τὴν βασιλείαν, εἰς βασιλέα καθίστησι. μετὰ δὲ τέταρτον ἔτος δωρεῖται αὐτὸν τῇ τε Φιλίππου τετραρχίᾳ καὶ Βαταναίᾳ, προσθεὶς αὐτῷ καὶ τὴν Τραχωνῖτιν· Λυσανίου δ᾽ αὕτη τετραρχία ἐγεγόνει. καὶ ταῦτα δοὺς ἀφαιρεῖται τὴν Χαλκίδα. Ἀγρίππας δὲ Δρουσίλαν τὴν ἀδελφὴν Ἀζιζῷ τῷ Ἐμέσων βασιλεῖ περιτμηθέντι δίδωσι γυναῖκα· Ἐπιφανὴς γὰρ Ἀντιόχου, καίτοι ὑποσχόμενος, οὐκ ἐδέχετο τὴν περιτομήν, ἐξ οὗ καὶ ἡ τῆς ἐγγυήσεως διάλυσις ἠκολούθει. Δρουσίλα δὲ καὶ Ἀζίζου διαλύεται, καὶ Φήλικι τῷ τῆς Ἰουδαίας ἐπιτρόπῳ, πολλὰ σπουδάσαντος ἐκείνου διὰ τὸ κάλλος, γαμεῖται. καὶ Μαριάμμην δὲ δίδωσιν Ἀρχελάῳ παιδὶ τῷ Ἑλκίου, ᾧ καὶ 977 B. ζῶν ὁ πατὴρ ἡρμόσατο· "ἐξ ὧν τίκτεται Βερενίκη. Κλαυδίου δὲ τελευτήσαντος Νέρων καταστὰς διάδοχος δωρεῖται Ἀγρίππαν μοίρᾳ τινὶ τῆς Γαλιλαίας, Τιβεριάδα καὶ Ταριχαίαν κελεύσας αὐτῷ ὑπακούειν, προστίθησι δὲ καὶ Ἰουλιάδα πόλιν τῆς Περαίας, καὶ κώμας τὰς περὶ αὐτὴν δέκα. οὗτός ἐστιν Ἀγρίππας, ἐφ᾽ οὗ ὁ θεῖος Παῦλος Φήστου συνεδριάζοντος ἐδημηγόρησεν.

ὅτι μετὰ Φάδον ἐπίτροπον Ἰουδαίας Κουμανὸς πέμπεται· μεθ᾽ ὃν εἰς Ῥώμην ἀναχθέντα ἐπ᾽ αἰτίαις Φῆλιξ πέμπεται· μεθ᾽ ὃν Φῆστος, εἶτα Ἀλβῖνος, λοιπὸς Φλῶρος. οὗ δευτέρῳ ἔτει διὰ τὴν ὑπερβολὴν τῶν παρ᾽ αὐτῷ κακῶν ὁ πρὸς Ῥωμαίους Ἰουδαίων πόλεμος ἀρχὴν δέχεται, Νέρωνος ἔτος δωδέκατον ἐν τῇ ἀρχῇ διανύοντος.

ὅτι Ἄνανος ὁ Ἀνάνου παῖς τὴν ἀρχιερωσύνην παραλαβών, ἀφαιρεθέντος αὐτὴν Ἰωσήπου, θρασὺς ἦν καὶ τολμητὴς διαφερόντως· αἵρεσιν γὰρ τὴν Σαδδουκαίων μετῄει· οὗτοι γὰρ ὠμοί τε περὶ τὰς κρίσεις καὶ πρὸς πᾶσαν αὐθάδειαν ἕτοιμοι. οὗτος οὖν ὁ Ἄνανος Φήστου μὲν ἐν Ἰουδαίᾳ τελευτήσαντος, "Ἀλβίνου δὲ οὔπω κατα- 519 H. λαβόντος, αὐθεντήσας καθίζει συνέδριον, καὶ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου σὺν ἑτέροις, παρανομίαν αἰτιασάμενος, λίθοις ἀναιρεθῆναι παρασκευάζει. ἐφ᾽ ᾧ τῶν Ἰουδαίων ὑπεραλγήσαντες οἱ ἐπιεικέστεροι, καὶ αὐτὸς Ἀγρίππας ὁ βασιλεύς, ἐκβάλλουσιν ἄρξαντα μηνὶ γ´, Ἰησοῦν δ᾽ ἀντ᾽ αὐτοῦ τὸν Δάμνεον ἐγκατέστησαν.

ὅτι Ἀαρὼν τελευτήσαντος, Μωϋσέως ἀδελφοῦ, οἱ παῖδες ἐκδέχονται τὴν ἀρχιερωσύνην, εἶτα ἑξῆς οἱ τούτων ἔκγονοι· νόμος γὰρ μηδένα ἢ τὸν ἐξ αἵματος Ἀαρὼν τὴν ἀρχιερωσύνην εἰσδέχεσθαι πάτριος ἐκράτει. ἐγένοντο οὖν ἀπὸ Ἀαρῶνος μέχρι Φανάσου τοῦ κατὰ τὸν πόλεμον ὑπὸ τῶν στασιαστῶν ἀναδειχθέντος ἀρχιερέως πγ´ ἔτη. ἐκ τούτων ἀπὸ τῆς ἐν τῇ ἐρήμῳ διαγωγῆς, ἐν ᾗ καὶ ἡ σκηνὴ ἐπήγνυτο, μέχρι τοῦ νεὼ ὃν ἤγειρεν ὁ βασιλεὺς Σολομών, ἀρχιεράτευσαν δεκατρεῖς, τὴν ἀρχιερωσύνην διὰ βίου κατασχόντες ἕκαστος. ἐγένετο δὲ αὐτῶν ἀριστοκρατορικὴ μὲν ἡ πρώτη πολιτεία, εἶτα μοναρχία, εἶτα βασιλέων ἡ τρίτη. ἀπὸ γοῦν τῆς ἀπ᾽ Αἰγύπτου ἐξόδου ἕως τοῦ ἐν Ἱεροσολύμοις νεὼ τῆς οἰκοδομῆς ἔτη γίνεται ιβ´ καὶ χ´. μετὰ δὲ τοὺς ιγ´ ἀρχιερεῖς καὶ τὴν οἰκοδομὴν τοῦ νεὼ ι´ καὶ η´ τὴν ἀρχιερωσύνην ἔχον ἀπὸ Σολομῶνος βασιλέως ἐν τῷ ναῷ ἱερούμενοι, ἕως Ναβουχοδονόσορ ὁ Βαβυλωνίων βασιλεὺς τὸν νεὼν ἐμπρήσας αἰχμαλώτους τὸ Ἰουδαίων ἔθνος εἰς Βαβυλῶνα μετήνεγκεν Ἀμαΐε ἐκ τοῦ ἀρχιερέως. τούτων χρόνος ἐστὶ τῆς ἀρχιερωσύνης τξς´, μῆνες ς´, ἡμέραι ι´. μετὰ δὲ τὴν ἅλωσιν ἐτῶν ο´ διελθόντων Κῦρος ὁ Περσῶν βασιλεὺς τοὺς αἰχμαλώτους ἀπέλυσεν εἰς τὴν ἰδίαν ἐλθεῖν πατρίδα. εἷς οὖν τῶν ἀναχθέντων αἰχμαλώτων λαμβάνει τὴν ἀρχιερωσύνην, καὶ ἐκεῖθεν οἱ ἐξ αὐτοῦ ἔκγονοι ιε´ μέχρις Ἀντιόχου τοῦ Εὐπάτορος, πολιτείας οὔσης ἐν αὐτοῖς δημοκρατορικῆς. καὶ τούτων δὲ χρόνος ἔτη υιδ´. πρῶτος δ᾽ οὗτος Ἀντίοχος καὶ ὁ στρατηγὸς αὐτοῦ Λυσίας τὸν Ὀνίαν, ᾧ Μενέλαος ἐπίκλην, παύουσι τῆς ἀρχιερωσύνης, ἀνελόντες αὐτὸν ἐν Βεροίᾳ, καὶ ἀντικαθιστῶσιν Ἰάκιμον, γένους μὲν τοῦ Ἀαρῶνος, οὐ τῆς αὐτῆς δ᾽ οἰκίας. "διὰ τοῦτο καὶ Ἀνανίας ὁ τοῦ τελευτή- 980 R.

a. 2. ᾧ — προσαγγεῖλαι] immo ὃν — προαγγεῖλαι. cf. Archaeolog. 18, 6, 7. 15. χαρίζειν pr C. 31. τίκτ. καὶ καὶ Βερ. ς. b. 10. οἱ libris deest. 15. τὸν] τοῦ C. 31. ἀμαΐε ἐκ τοῦ C: Ἀμαίη ἐκ τοῦ ς. legendum ἅμα Ἰωσεδὲκ: sic enim Iosephus. Hoeschelius. Ἰωσάδοκος vel Ἰωσάδωκος est Archaeolg. 10, 8, 5 et 6. 32. post ἀρχιερωσύνης excidit ἔτη.

σαντος Ὀνίου ἐξάδελφος, εἰς Αἴγυπτον ἀφικόμενος καὶ Πτολεμαίῳ τῷ Φιλομήτορι καὶ Κλεοπάτρᾳ τῇ γυναικὶ διὰ φιλίας ἐλθών, πείθει τούτους κατὰ τὸν Ἡλιουπολίτην νομὸν δειμάμενος τῷ θεῷ παραπλήσιον τοῦ ἐν Ἱεροσολύμοις αὐτὸν ἀρχιερέα καταστῆσαι. ὁ μέντοι Ἰάκιμος ἔτη γʹ ἀρχιερατεύσας τελευτᾷ· οὗ διάδοχος οὐδεὶς κατέστη ἐπὶ ἔτεσιν ἑπτά. πάλιν δὲ οἱ τῶν Ἀσαμωναίου παίδων ἔκγονοι τὴν προστασίαν τοῦ ἔθνους πιστευθέντες, καὶ Μακεδόσι πολεμήσαντες, Ἰωάννην ἀρχιερέα καθιστῶσιν, ὃς ἄρξας ἐνιαυτοὺς ἑπτὰ τελευτᾷ, Τρύφωνος
520 H. ἐπιβουλαῖς διαμηχανηθείσης "αὐτῷ τῆς τελευτῆς· οὗ διάδοχος Σίμων καθίσταται ὁ ἀδελφός. καὶ τοῦτον δὲ δόλῳ παρὰ τὸ συμπόσιον διαφθαρέντα ὑπὸ τοῦ γαμβροῦ διαδέχεται παῖς Ὑρκανὸς ὄνομα· ὃς τελευτῶν Ἰούδᾳ τῷ καὶ Ἀριστοβούλῳ κληθέντι καταλείπει τὴν ἀρχήν. κληρονομεῖ δὲ καὶ τοῦτον ἀδελφὸς Ἀλέξανδρος, ὑπὸ νόσου μὲν τελευτήσαντα, τὴν ἱερωσύνην δὲ καταχόντα μετὰ τῆς βασιλείας (καὶ γὰρ διάδημα περιέθετο πρῶτος Ἰούδας) ἐνιαυτὸν ἕνα. βασιλεύσας δ' ὁ Ἀλέξανδρος καὶ ἱερατεύσας ἔτη κζʹ καταστρέφει τὸν βίον, Ἀλεξάνδρᾳ [δὲ] τῇ γυναικὶ καταστῆσαι τὸν ἀρχιερατευσόμενον ἐπιτρέψας. ἡ δὲ τὴν μὲν ἀρχιερωσύνην Ὑρκανῷ δίδωσι τῶν υἱῶν τῷ πρεσβυτέρῳ, αὐτὴ δὲ τὴν βασιλείαν ἔτη θʹ κατασχοῦσα τελευτᾷ· τὸν ἴσον δὲ χρόνον ἀρχιερατεύει καὶ Ὑρκανός. μετὰ γὰρ τὸν ἐκείνης θάνατον ὁ νεώτερος παῖς πρὸς τὸν ἀδελφὸν πολεμήσας (Ἀριστόβουλος αὐτῷ ὄνομα) καὶ ἀφελὼν τὴν ἀρχιερωσύνην, ταύτην τε καὶ τὴν τῆς μητρὸς βασιλείαν αὐτὸς περιβάλλεται. ἔτει δὲ τῆς ἀρχῆς τρίτῳ, καὶ πρὸς μησὶ τοῖς ἴσοις, Πομπήϊος ἐλθὼν καὶ τὴν πόλιν κατ' ἄκρας ἑλὼν αὐτὸν μὲν εἰς Ῥώμην μετὰ τῶν τέκνων δήσας ἔπεμψε, τῷ δ' Ὑρκανῷ τὴν ἀρχιερωσύνην ἀποδοὺς τὴν μὲν τοῦ ἔθνους προστασίαν ἐπέτρεψε, διάδημα δὲ φορεῖν ἐκώλυσεν. ἦρξε δὲ πρὸς τοῖς θʹ τοῖς πρώτοις ἔτη τέσσαρα καὶ εἴκοσι. Βαζαφαρμάνης δὲ καὶ Πάκορος, οἱ τῆς Παρθυηνῆς δυνάσται, πολεμήσαντες Ὑρκανῷ αὐτὸν μὲν ζωγρίᾳ ἔλαβον, Ἀντίγονον δὲ τὸν Ἀριστοβούλου υἱὸν βασιλέα κατέστησαν. γʹ δὲ ἔτη καὶ μῆνας γʹ ἄρξαντα τοῦτον Σόσσιος καὶ Ἡρώδης ἐξεπολιόρκησαν, Ἀντώνιος δὲ ἀναχθέντα ἐν Ἀντιοχείᾳ ἐπελέκισεν. τὴν δὲ βασιλείαν Ἡρώδης παρὰ Ῥωμαίων ἐγχειρισθεὶς οὐκέτι ἐκ τοῦ Ἀσαμωναίου γένους καθίστησιν ἀρχιερεῖς, ἀσήμους δέ τινας καὶ μόνον ἐξ ἱερέων ὄντας, πλὴν ἑνός· Ἀριστόβουλος δ' ἦν οὗτος, υἱωνὸς δ' ἦν οὗτος ἐκ θυγατρὸς Ὑρκανοῦ τοῦ ὑπὸ Πάρθων ληφθέντος, οὗ καὶ τῇ ἀδελφῇ συνῴκει Μαριάμμῃ. τοῦτον δὲ τὸν Ἀριστόβουλον δεδιὼς ἅτε γένους ὄντα λαμπροῦ καὶ αὐτὸν καθ' ἑαυτὸν περίβλεπτον, μὴ τὸ πλῆθος νεύσῃ πρὸς αὐτόν, ἐν Ἱεριχοῖ κολυμβῶντα πνιγῆναι διεμηχανήσατο. περὶ δὲ τῆς τῶν ἱερέων καταστάσεως ὅμοια διεπράξατο Ἀρχέλαός τε ὁ παῖς αὐτοῦ καὶ μετ' αὐτὸν οἱ τὴν ἀρχὴν παραλαβόντες Ῥωμαῖοι. εἰσὶν οὖν ἀπὸ τῶν Ἡρώδου χρόνων ἀρχιερατεύσαντες μέχρι τῆς ἡμέρας, ᾗ τὸν ναὸν καὶ τὴν πόλιν ἑλὼν ἐπυρπόλησεν, κʹ καὶ ηʹ· χρόνος δ' αὐτῶν ἔτη πρὸς τοῖς ρζʹ. καὶ τινὲς μὲν ἐπολιτεύσαντο ἐπὶ τῇ Ἡρώδου δηλονότι καὶ Ἀρχελάου βασιλείᾳ· μετὰ δὲ τοῦτο ἀριστοκράτεια μὲν ἦν ἡ πολιτεία, τὴν δὲ προστασίαν τοῦ ἔθνους οἱ ἀρχιερεῖς ἐπιστεύοντο.

## 239.

"Ἀνεγνώσθησαν ἐκ τῆς ΠΡΟΚΛΟΥ χρηστομαθείας 981 R.
γραμματικῆς" ἐκλογαί. ἔστι δὲ τὸ βιβλίον εἰς δʹ διῃρημένον 521 H.
λόγους. καὶ ἐν μὲν τῷ αʹ λέγει ὡς αἱ αὐταί εἰσιν ἀρεταὶ [τοῦ] λόγου καὶ ποιήματος, παραλλάσσουσι δὲ ἐν τῷ μᾶλλον καὶ ἧττον. καὶ ὅτι τοῦ πλάσματος τὸ μὲν ἐστιν ἰσχνόν, τὸ δὲ ἁδρόν, τὸ δὲ μέσον. καὶ τὸ μὲν ἁδρὸν ἐκπληκτικώτατόν ἐστι καὶ κατεσκευασμένον μάλιστα καὶ ποιητικὸν ἐπιφαῖνον κάλλος· τὸ δὲ ἰσχνὸν τὴν τροπικὴν μὲν καὶ φιλοκατάσκευον σύνθεσιν μεταδιώκει, ἐξ ἀνειμένων δὲ μᾶλλον συνήρτηται, ὅθεν ὡς ἐπίπαν τοῖς γοεροῖς ἄριστά πως ἐφαρμόττει· τὸ δὲ μέσον καὶ τοὔνομα μὲν δηλοῖ ὅτι μέσον ἐστὶν ἀμφοῖν. ἀνθηρὸν δὲ κατ' ἰδίαν οὐκ ἔστι πλάσμα, ἀλλὰ συνεκφέρεται καὶ συμμέμικται τοῖς εἰρημένοις, ἁρμόζει δὲ τοπογραφίαις καὶ λειμώνων ἢ ἀλσῶν ἐκφράσεσιν. οἱ δὲ τῶν εἰρημένων ἀποσφαλέντες ἰδεῶν ἀπὸ μὲν τοῦ ἁδροῦ εἰς τὸ σκληρὸν καὶ ἐπηρμένον ἐτράπησαν, ἀπὸ δὲ τοῦ ἰσχνοῦ εἰς τὸ ταπεινόν,

a. 4. δειμαμένους Hoeschelius. deest autem ναόν. 13. παρὰ] περὶ C. 22. ἡ C: αὐτὴ ς. 23. τὴν add C. 34. τοῖς post θʹ add C. 36. ζωγρίαν ς. b. 7. τῇ ἀδελφῇ C: ἡ ἀδελφὴ ς. 15. ᾗ] ἧς C. ἑλὼν] Τίτος addit Hoeschelius. 22. Ἀνέγνώσθησαν — ἐκλογαί] ἀνεγνώσθη ἐκ του ἐπιγραφομένου βιβλίου πρ. χρ. γραμμ. A et h (i. e. Harleianus 3592 p. 261.) cf. Heyn. ap. Gaisford. Hephaest. p. 461. Πρόκλου] vid. Henr. Vales. de critica 1, 20. χρηστομαθειας B, πολυμαθιας mg A. 23. ἔστι δὲ — λόγους Ah: τὸ παρὸν βιβλίον διαιρεῖται εἰς δ ς. 24. καὶ ἐν μὲν τῷ πρώτῳ λέγει] λέγει μὲν ἐν τῷ πρώτῳ Ah. αἱ αὐταί Ah: αὗται ς. 25. τοῦ om r (i. e. Gaisfordi Regius 16. C. XIII). 26. ἰσχνὸν — 27. τὸ μὲν om A. 29. ἐπιφαῖνον Ah: ἐμφαῖνον ς. 31. συνῆρται ς. τοῖς add A. 32. ἐφαρμόττει Ah: ἐφαρμόζει ς. 34. συνεκφέρεται delet h, qui quae inferuntur, καὶ συμμέμικται, in mg ponit. 36. ἢ Ah: καὶ ς. 37. ἰδεῶν A et mg h: εἰδῶν ς.

Digitized by Google

ἀπὸ δὲ τοῦ μέσου εἰς τὸ ἀργὸν καὶ ἐκλελυμένον. διαλαμβάνει δὲ καὶ περὶ κρίσεως ποιήματος, ἐν ᾧ παραδίδωσι τίς ἤθους καὶ πάθους διαφορά. καὶ ὅτι τῆς ποιητικῆς τὸ μὲν ἐστι διηγηματικὸν τὸ δὲ μιμητικόν, καὶ τὸ μὲν διηγηματικὸν ἐκφέρεται δι᾽ ἔπους ἰάμβου τε καὶ ἐλεγείου καὶ μέλους, τὸ δὲ μιμητικὸν διὰ τραγῳδίας Σατύρων τε καὶ κωμῳδίας.

Καὶ ὅτι τὸ ἔπος πρῶτον μὲν ἐφεῦρε Φημονόη ἡ Ἀπόλλωνος προφῆτις, ἑξαμέτροις χρησμοῖς χρησαμένη· καὶ ἐπειδὴ τοῖς χρησμοῖς τὰ πράγματα εἵπετο καὶ σύμφωνα ἦν, ἔπος τὸ ἐκ τῶν μέτρων κληθῆναι. οἱ δέ φασιν ὅτι διὰ τὴν κατασκευὴν καὶ τὴν ἄγαν ὑπεροχὴν τὴν ἐν τοῖς ἑξαμέτροις θεωρουμένην τὸ κοινὸν ὄνομα παντὸς τοῦ λόγου τὸ ἑξάμετρον ἰδιώσατο καὶ ἐκλήθη ἔπος, καθάπερ καὶ ὁ Ὅμηρος τὸν ποιητὴν καὶ ὁ Δημοσθένης τὸν ῥήτορα ᾠκειώσατο, ἐπεὶ καὶ τὰ τρίμετρα ἔπη προσηγόρευον. γεγόνασι δὲ τοῦ ἔπους ποιηταὶ κράτιστοι μὲν Ὅμηρος, Ἡσίοδος, Πείσανδρος, Πανύασις, Ἀντίμαχος. διέρχεται δὲ τούτων, ὡς οἷόν τε, καὶ γένος καὶ πατρίδας καί τινας ἐπὶ μέρους πράξεις. διαλαμβάνει δὲ καὶ περὶ τοῦ λεγομένου ἐπικοῦ κύκλου, ὃς ἄρχεται μὲν ἐκ τῆς Οὐρανοῦ καὶ Γῆς μυθολογουμένης μίξεως, ἐξ ἧς αὐτῷ καὶ τρεῖς παῖδας ἑκατοντάχειρας καὶ τρεῖς γεννῶσι Κύκλωπας, διαπορεύεται δὲ τά τε ἄλλως περὶ θεῶν τοῖς Ἕλλησι μυθολογούμενα, καὶ εἴ πού τι καὶ πρὸς ἱστορίαν ἐξαληθίζεται. καὶ περατοῦται ὁ ἐπικὸς κύκλος, ἐκ διαφόρων ποιητῶν συμπληρούμενος, μέχρι τῆς ἀποβάσεως Ὀδυσσέως τῆς εἰς Ἰθάκην, ἐν ᾗ καὶ ὑπὸ τοῦ παιδὸς Τηλεγόνου ἀγνοοῦντος κτείνεται. λέγει δὲ ὡς τοῦ ἐπικοῦ κύκλου τὰ ποιήματα διασώζεται καὶ σπουδάζεται τοῖς πολλοῖς οὐχ οὕτω διὰ τὴν ἀρετὴν ὡς διὰ τὴν ἀκολουθίαν τῶν ἐν αὐτῷ πραγμάτων. λέγει δὲ καὶ τὰ ὀνόματα καὶ τὰς πατρίδας τῶν πραγματευσαμένων τὸν ἐπικὸν κύκλον. λέγει δὲ καὶ περί
Sch.H. τινων Κυπρίων ποιημάτων, καὶ ὡς οἱ μὲν "ταῦτα εἰς
Sch.II. Στασῖνον ἀναφέρουσι Κύπριον, "οἱ δὲ Ἡγησῖνον τὸν Σαλαμίνιον αὐτοῖς ἐπιγράφουσιν, οἱ δὲ Ὅμηρον· δοῦναι δὲ ὑπὲρ τῆς θυγατρὸς Στασίνῳ, καὶ διὰ τὴν αὐτοῦ πατρίδα Κύπρια τὸν πόνον ἐπικληθῆναι. ἀλλ᾽ οὐ τίθεται [ὁ συγγραφεὺς] ταύτῃ τῇ αἰτίᾳ· μηδὲ γὰρ Κύπρια προπαροξυτόνως ἐπιγράφεσθαι τὰ ποιήματα.

Τὴν δὲ ἐλεγείαν συγκεῖσθαι μὲν ἐξ ἡρῴου καὶ πενταμέτρου στίχου, ἁρμόζειν δὲ τοῖς κατοιχομένοις. ὅθεν καὶ τοῦ ὀνόματος ἔτυχε· τὸ γὰρ θρῆνος ἔλεγον ἐκάλουν οἱ παλαιοί, καὶ τοὺς τετελευτηκότας δι᾽ αὐτοῦ εὐλόγουν. οἱ μέντοι γε μεταγενέστεροι τοῖς ἐλεγείοις πρὸς διαφόρους ὑποθέσεις ἀπεχρήσαντο. λέγει δὲ καὶ ἀριστεῦσαι τῷ μέτρῳ Καλλῖνόν τε τὸν Ἐφέσιον καὶ Μίμνερμον τὸν Κολοφώνιον, ἀλλὰ καὶ τὸν [τοῦ] Τηλέφου Φιλητᾶν τὸν Κῷον καὶ Καλλίμαχον τὸν Βάττου· Κυρηναῖος δ᾽ οὗτος ἦν.

Ἀλλὰ γὰρ καὶ τὸν ἴαμβον τάττεσθαι μὲν ἐπὶ λοιδορίας τὸ παλαιόν· καὶ γὰρ καὶ τὸ ἰαμβίζειν κατά τινα γλῶσσαν λοιδορεῖν ἔλεγον. οἱ δὲ ἀπό τινος Ἰάμβης θεραπαινίδος, Θρᾴττης τὸ γένος· ταύτην φασί, τῆς Δήμητρος ἀνιωμένης ἐπὶ τῇ τῆς θυγατρὸς ἁρπαγῇ, προσελθεῖν περὶ τὸν Ἐλευσῖνα ἐπὶ τῇ νῦν Ἀγελάστῳ καλουμένῃ πέτρᾳ καθημένην καὶ διά τινων χλευασμάτων εἰς γέλωτα προαγαγέσθαι τὴν θεόν. ἔοικε δὲ ὁ ἴαμβος τὸ μὲν παλαιὸν ἐπὶ τῶν εἰς ψόγον καὶ ἔπαινον γραφομένων ὁμοίως λέγεσθαι, ἐπεὶ δέ τινες ἐπλεόνασαν ἐν ταῖς κακολογίαις τὸ μέτρον, ἐκεῖθεν τὸ ἰαμβίζειν εἰς τὸ ὑβρίζειν ὑπὸ τῆς συνηθείας ἐκπεσεῖν, ὥσπερ ἀπὸ τῶν κωμικῶν τὸ κωμῳδεῖσθαι. ἰάμβων δὲ ποιηταὶ Ἀρχίλοχός τε ὁ Πάριος ἄριστος, καὶ Σιμωνίδης ὁ Ἀμόργιος ἢ ὥς ἔνιοι Σάμιος, καὶ Ἱππῶναξ ὁ Ἐφέσιος· ὧν ὁ μὲν πρῶτος ἐπὶ Γύγου, ὁ δὲ ἐπ᾽ Ἀνανίου τοῦ Μακεδόνος, Ἱππῶναξ δὲ κατὰ Δαρεῖον ἤκμαζεν.

Περὶ δὲ μελικῆς ποιήσεώς φησιν ὡς πολυμερεστάτη τε καὶ διαφόρους ἔχει τομάς. ἃ μὲν γὰρ αὐτῆς μεμέρισται θεοῖς, ἃ δὲ ἀνθρώποις, ἃ δὲ εἰς τὰς προσπιπτούσας περιστάσεις. καὶ εἰς θεοὺς μὲν ἀναφέρεσθαι ὕμνον, προσόδιον, παιᾶνα, διθύραμβον, νόμον, ἀδωνίδια, ἰόβακχον,

a. 2. καὶ περὶ κρίσεως ποιήματος om r, in mg ponit h. 3. τίς add A. διαφοράν ϛ. 5. ἐλεγείου hr: ἐλεγείας ϛ. 8. ἔπος Ah: μέλος ϛ. 10. καὶ om A. 13. τὴν ante ἐν om A. 15. ὁ om A. 16. τὸν ante ποιητὴν add A. ᾠκειώσατο om Ah. 18. κράτιστοι Ah: κράτιστος ϛ. Πείσανδρος om r et mg h. 20. καὶ γένος καὶ A: ἐστι γένος τε καὶ ϛ. καὶ πατρίδας om r et mg h. ἐπιμέτρους r. 22. ὃς A: ὡς ϛ. καὶ γῆς om B. 23. post παῖδας cum Ah omisi γινώσκουσιν. 24. γεννῶσι Ah: ἑτέρους ἀποτίκτουσι ϛ. διαπορεύεται δὲ τά τε ἄλλως περὶ θεῶν Ah: διεξέρχεται δὲ περὶ θεῶν τά τε ἄλλα ϛ. 27. κύκλος Ah: λόγος ϛ. συμπληρούμενος ante ἐκ ponit ϛ. 28. τῆς ἀποβάσεως Ὀδυσσέως τῆς εἰς Ἰθάκην Ah: τῆς εἰς Ἰθάκην ἀποβάσεως Ὀδυσσέως ϛ. 29. καὶ om A. τηλεγόνου ἀγνοοῦντος Ah: Τηλέγονος ἀγνοούμενος ὡς πατὴρ εἴη ϛ. 30. τοῦ A: ἐκ τοῦ ϛ. 33. λέγει — 35. ποιημάτων om r et mg h. δὲ add B. 36. ἡγησῖνον Ah, Ἡγησίαν Sylburgius ex Athenaeo (15 p. 682 E), Ἡγήσιον ϛ.

b. 1. δοῦναι] γράψαι A, γράψαι δοῦναι B. 3. κύπρια A et mg h. 4. ὁ συγγραφεὺς om A. τῇ αἰτίᾳ ταύτῃ ϛ. 8. ἔλεγος mg h. 10. γε add A. τοῖς ἐλεγείοις] ἐλεγεῖα A. 13. τοῦ om B. φιλῆταν A, φιλήταν B, φίλητα ϛ. 14. βάτου A. δ᾽ οὗτος] οὗτος δ᾽ A. 17. ἰαμβῆς A. 20. περὶ Ah: ἐπὶ ϛ. 21. nonne καθημένη? 24. ἐπεὶ δὲ A: ἐπειδὴ ϛ. 29. Ἱππῶναξ δὲ Ah: ὁ δ᾽ Ἱππῶναξ ϛ. 32. φασὶν ϛ. 35. προσῴδιον ϛ. 36. ἀδωνίδια A: ἀδωνίδα ϛ.

Digitized by Google

ὑπορχήματα· εἰς δὲ ἀνθρώπους ἐγκώμια, ἐπίνικοι, σκολιά, ἐρωτικά, ἐπιθαλάμια, ὑμεναίους, σίλλους, θρήνους, ἐπικήδεια· εἰς θεοὺς δὲ καὶ ἀνθρώπους παρθένια, δαφνηφορικά, ὠσχοφορικά, εὐκτικά· ταῦτα γὰρ εἰς θεοὺς γραφόμενα καὶ ἀνθρώπων περιείληφεν ἐπαίνους. τὰ δὲ εἰς τὰς προσπιπτούσας περιστάσεις οὐκ ἔστι μὲν εἴδη τῆς μελικῆς, ὑπ᾽ αὐτῶν δὲ τῶν ποιητῶν ἐπικεχείρηται· τούτων δέ ἐστι πραγματικά, ἐμπορικά, ἀποστολικά, γνωμολογικά, γεωργικά, ἐπισταλτικά. καί φησι τὸν ὕμνον μὲν ὠνομάσθαι ἀπὸ τοῦ ὑπόμνησίν τινα εἶναι ϗ οἱονεὶ εἰς μνήμην ϗ ὑπόμνησιν ἄγειν τὰς πράξεις τῶν ὑμνουμένων, ἢ ἀπὸ τοῦ ὕδειν αὐτάς, ὅπερ ἐστὶ λέγειν. ἐκάλουν δὲ καθόλου πάντα τὰ εἰς τοὺς ὑπηρέτας γραφόμενα ὕμνους· διὸ καὶ τὸ προσόδιον ϗ τὰ ἄλλα τὰ προειρη- 323 H. μένα φαίνονται ἀντιδιαστέλλοντες τῷ ὕμνῳ ὡς εἴδη πρὸς γένος· ϗ γάρ ἐστιν αὐτῶν ἀκούειν γραφόντων ὕμνος προσοδίου, ὕμνος ἐγκωμίου, ὕμνος παιᾶνος, ϗ τὰ ὅμοια.
985 R. ἐλέγετο δὲ τὸ προσόδιον, ἐπειδὰν προσίασι τοῖς βωμοῖς ἢ ναοῖς, ϗ ἐν τῷ προσιέναι ᾔδετο πρὸς αὐλόν· ὁ δὲ κυρίως ὕμνος πρὸς κιθάραν ᾔδετο ἑστώτων. ὁ δὲ παιάν ἐστιν εἶδος ᾠδῆς εἰς πάντας νῦν γραφόμενος θεούς, τὸ δὲ παλαιὸν ἰδίως ἀπενέμετο τῷ Ἀπόλλωνι ϗ τῇ Ἀρτέμιδι, ἐπὶ καταπαύσει λοιμῶν ϗ νόσων ᾀδόμενος. καταχρηστικῶς δὲ ϗ τὰ προσόδιά τινες παιᾶνας λέγουσιν. ὁ δὲ διθύραμβος γράφεται μὲν εἰς Διόνυσον, προσαγορεύεται δὲ ἐξ αὐτοῦ ἤτοι διὰ τὸ κατὰ τὴν Νύσσαν ἐπ᾽ ἄντρῳ διθύρῳ τραφῆναι τὸν Διόνυσον, ἢ διὰ τὸ λυθέντων τῶν ῥαμμάτων τοῦ Διὸς εὑρεθῆναι αὐτόν, ἢ διότι δὶς δοκεῖ γενέσθαι, ἅπαξ μὲν ἐκ τῆς Σεμέλης, δεύτερον δὲ ἐκ τοῦ μηροῦ. εὑρεθῆναι δὲ τὸν διθύραμβον Πίνδαρος ἐν Κορίνθῳ λέγει· τὸν δὲ ἀρξάμενον τῆς ᾠδῆς Ἀριστοτέλης Ἀρίονά φησιν εἶναι, ὃς πρῶτος τὸν κύκλιον ἤγαγε χορόν. ὁ μέντοι νόμος γράφεται μὲν εἰς Ἀπόλλωνα, ἔχει δὲ ϗ τὴν ἐπωνυμίαν ἀπ᾽ αὐτοῦ (νόμιμος γὰρ ὁ Ἀπόλλων ἐπεκλήθη), ὅτι τῶν ἀρχαίων χοροὺς ἱστάντων ϗ πρὸς αὐλὸν ἢ λύραν ᾀδόντων τὸν νόμον Χρυσόθεμις Κρὴς πρῶτος, στολῇ χρησάμενος ἐκπρεπεῖ καὶ κιθάραν ἀναλαβὼν εἰς μίμησιν τοῦ Ἀπόλλωνος, μόνος ᾖσε νόμον, καὶ εὐδοκιμήσαντος αὐτοῦ διαμένει ὁ τρόπος τοῦ ἀγωνίσματος. δοκεῖ δὲ Τέρπανδρος μὲν πρῶτος τελειῶσαι τὸν νόμον, ἡρῴῳ μέτρῳ χρησάμενος, ἔπειτα Ἀρίων ὁ Μηθυμναῖος οὐκ ὀλίγα συναυξῆσαι, αὐτὸς ϗ ποιητὴς ϗ κιθαρῳδὸς γενόμενος. Φρῦνις δὲ ὁ Μιτυληναῖος ἐκαινοτόμησεν αὐτόν· τό τε γὰρ ἑξάμετρον τῷ λελυμένῳ συνῆψε, καὶ χορδαῖς τῶν ζ πλείοσιν ἐχρήσατο. Τιμόθεος δὲ ὕστερον εἰς τὴν νῦν αὐτὸν ἤγαγε τάξιν.

ἔστιν οὖν ὁ μὲν διθύραμβος κεκινημένος ϗ πολὺ τὸ ἐνθουσιῶδες μετὰ χορείας ἐμφαίνων, εἰς πάθη κατασκευαζόμενος τὰ μάλιστα οἰκεῖα τῷ θεῷ· ϗ σεσόβηται μὲν ϗ τοῖς ῥυθμοῖς, καὶ ἁπλουστέραις κέχρηται ταῖς λέξεσιν. ὁ δὲ νόμος τοὐναντίον διὰ τῶν θεῶν ἀνεῖται τεταγμένως ϗ μεγαλοπρεπῶς, ϗ τοῖς ῥυθμοῖς ἀνεῖται, καὶ διπλασίαις ταῖς λέξεσι κέχρηται. οὐ μὴν ἀλλὰ καὶ ταῖς ἁρμονίαις οἰκείαις ἑκάτερος χρῆται· ὁ μὲν [γὰρ] τὸν Φρύγιον καὶ Ὑποφρύγιον ἁρμόζεται, ὁ νόμος δὲ τῷ συστήματι τῷ τῶν κιθαρῳδῶν Λυδίῳ. ἔοικε δὲ ὁ μὲν διθύραμβος ἀπὸ τῆς κατὰ τοὺς ἀγροὺς παιδιᾶς ϗ τῆς ἐν τοῖς πότοις εὐφροσύνης εὑρεθῆναι, ὁ δὲ νόμος δοκεῖ μὲν ἀπὸ τοῦ παιᾶνος ῥυῆναι· ὁ μὲν γάρ ἐστι κοινότερος, εἰς κακῶν παραίτησιν γεγραμμένος, ὁ δὲ ἰδίως εἰς Ἀπόλλωνα. ὅθεν τὸ μὲν ἐνθουσιῶδες οὐκ ἔχει, ὡς ὁ διθύραμβος· ἐκεῖ μὲν γὰρ μέθαι καὶ παιδιαί, ἐνταῦθα δὲ ἱκετεῖαι καὶ πολλὴ τάξις· καὶ γὰρ αὐτὸς ὁ θεὸς ἐν τάξει καὶ συστήματι κατεσταλμένη περιέρχεται τὸν χρησμόν. Ἀδωνίδια δὲ λέγεται τὰ 324 H. εἰς Ἄδωνιν ἀναφερόμενα. ᾔδετο δὲ ὁ Ἰόβακχος ἐν ἑορταῖς ϗ θυσίαις Διονύσου, βεβαπτισμένος πολλῷ φρυάγματι. ὑπόρχημα δὲ τὸ μετ᾽ ὀρχήσεως ᾀδόμενον μέλος ἐλέγετο· καὶ γὰρ οἱ παλαιοὶ τὴν ὑπὸ ἀντὶ τῆς μετά πολλάκις ἐλάμβανον. εὑρετὰς δὲ τούτων 986 R. λέγουσιν οἱ μὲν Κούρητας, οἱ δὲ Πύῤῥον τὸν Ἀχιλ-

a. 1. ἐπίνικοι *A*: ἐπινίκιοι ς, Gaisfordus post Sylburgium ἐπινίκια. legendum ἐπινίκους. σκόλια *A*, qui et infra σκόλιον (p. 321 a 4). 2. σίλλους *A*. 5. ἐπαίνους ante ἀνθρώπων ponit *B*. 9. φασι ς. 10. μὲν add *A* ἀπὸ] ἀντὶ *B*. ὑπόμνησίν] ὑπὸ μνημόν *Ah*, ὑπόμονόν Sylburgius Etymologum secutus, quanquam aptius sit ὑπόμνημόν. οἱονεὶ] οἷον *A*, τουτέστιν *h*. 11. μνήμην *Ah*: μνήμην τινὰ ς. 13. ὑπηρέτας] malim ὑπὲρ ἡμᾶς. Sylburgius ὑπερέτους. 16. ὕμνος προσοδίου, ὕμνος ἐγκωμίου, ὕμνος *A*: ὕμνους προσῳδίους καὶ ὕμνους ἐγκωμίους καὶ ὕμνους ς. 20. ἑστώτων] ἑστῶσαν *Ah*. 27. διθύρῳ] libri διθυράμβῳ. 29. μὲν add *Ah*. 30. δεύτερον δὲ *Ah*: καὶ δεύτερον ς. 32. Ἀρίωνι ς. φησιν εἶναι *A*: λέγει ς. 35. νόμιος Schottus. ἐπεκλήθη] νόμιμος δὲ ἐκλήθη *Ah*.

b. 1. Χρυσ. ὁ Κρὴς ς. 3. καὶ εὐδοκιμήσαντος *Ah*: εὐδοκιμήσαντος δὲ ς. 8. φρῦνις *B*: Φρύνης ς. 11. αὐτὸν add *Ah*. 12. οὖν *Ah*: δὲ ς. 14. τῷ θεῷ *Ah*: τοῦ θεοῦ ς. 15. ἁπλουστέρως *Ah*: ἁπλουστέραις δὲ ς. 17. τεταγμένος *A*. 18. διπλασίοις *Ah*. 19. ἑκάτερος *B* et corr *A*: ἑκατέρως ς. 20. τὸν] τὴν Sylburgius. 26. Ἀπόλλωνα *Ah*: Ἀπόλλω ς. 27. μέθαι καὶ παιδιαὶ *Ah*: μέθη καὶ παιδιὰ ς. 29. σχήματι κατεσταλμένῳ Hermannus ad Aristot. Poet. p. 90. 30. Ἀδωνίδεια Bentleius ad Horat. serm. 1, 3, 7. 33. δὲ om *A*. 36. λέγουσιν *Ah*: φασὶν ς.

Digitized by Google

λέως, ὅθεν καὶ Πυῤῥίχην εἶδός τι ὀρχήσεως λέγουσιν. ὁ δὲ ἐπίνικος ὑπ' αὐτὸν τὸν καιρὸν τῆς νίκης τοῖς προτεροῦσιν ἐν τοῖς ἀγῶσιν ἐγράφετο. τὸ δὲ σκολιὸν μέλος ᾔδετο παρὰ τοὺς πότους· διὸ καὶ παροίνιον αὐτὸ ἔσθ' ὅτε καλοῦσιν· ἀνειμένον δέ ἐστι τῇ κατασκευῇ καὶ ἁπλούστατον μάλιστα. σκολιὸν δὲ εἴρηται, οὐχ ὡς ἐνίοις ἔδοξε, κατὰ ἀντίφρασιν (τινὰ γὰρ κατὰ ἀντίφρασιν ὡς ἐπίπαν τοῦ εὐφημισμοῦ στοχάζεται, οὐκ εἰς κακοφημίαν μεταβάλλει τὸ εὔφημον), ἀλλὰ διὰ τὸ προκατειλημμένων ἤδη τῶν αἰσθητηρίων καὶ παρειμένων οἴνῳ τῶν ἀκροατῶν τηνικαῦτα εἰσφέρεσθαι τὸ βάρβιτον εἰς τὰ συμπόσια, καὶ διονυσιάζοντα ἕκαστον ἀκροσφαλῶς συγκόπτεσθαι περὶ τὴν προφορὰν τῆς ᾠδῆς. ὅπερ οὖν ἔπασχον αὐτοὶ διὰ τὴν μέθην, τοῦτο τρέψαντες εἰς τὸ μέλος σκολιὸν ἐκάλουν τὸ ἁπλούστατον. τὰ δὲ ἐρωτικὰ δῆλον ὅτι γυναικῶν καὶ παίδων καὶ παρθένων ἐρωτικὰς ᾄδει περιστάσεις. καὶ τὰ ἐπιθαλάμια δὲ τοῖς ἄρτι θαλαμευομένοις ἅμα οἱ ἠΐθεοι καὶ αἱ παρθένοι ἐπὶ τῶν θαλάμων ᾖδον. ὑμέναιον δὲ ἐν γάμοις ᾄδεσθαί φασι κατὰ πόθον καὶ ζήτησιν Ὑμεναίου τοῦ Τερψιχόρας, ὅν φασι γήμαντα ἀφανῆ γενέσθαι· οἱ δὲ κατὰ τιμὴν τοῦ Ἀττικοῦ Ὑμεναίου· τοῦτον γάρ φησί ποτε διώξαντα ἀφελέσθαι κόρας Ἀττικὰς λῃστῶν. ἐγὼ δὲ οἶμαι βίου τινὰ εὐτυχοῦς προαναφώνησιν ὑπάρχειν, καὶ συνεύχεσθαι τοῖς συνιοῦσι πρὸς γάμου κοινωνίαν μετὰ φιλοστοργίας, Αἰολικῇ παραπλέκοντας τὴν εὐχὴν διαλέκτῳ, οἷον ὑμεναίειν καὶ ὁμονοεῖν τούτους ἀεὶ ὁμόσε ναίοντας. ὁ δὲ σίλλος λοιδορίας καὶ διασυρμοὺς πεφεισμένως ἀνθρώπων ἔχει. διαφέρει δὲ τοῦ ἐπικηδείου ὁ θρῆνος, ὅτι τὸ μὲν ἐπικήδειον παρ' αὐτὸ τὸ κῆδος, ἔτι τοῦ σώματος προκειμένου, λέγεται, ὁ δὲ θρῆνος οὐ περιγράφεται χρόνῳ. τὰ δὲ λεγόμενα παρθένια χοροῖς παρθένων ἐνεγράφετο. οἷς καὶ τὰ δαφνηφορικὰ ὡς εἰς γένος πίπτει· δάφνας γὰρ ἐν Βοιωτίᾳ δι' ἐνναετηρίδος εἰς τὰ τοῦ Ἀπόλλωνος κομίζοντες οἱ ἱερεῖς ἐξύμνουν αὐτὸν διὰ χοροῦ παρθένων. καὶ ἡ αἰτία· τῶν Αἰολέων ὅσοι κατῴκουν Ἄρνην καὶ τὰ ταύτῃ χωρία, κατὰ χρησμὸν ἀναστάντες ἐκεῖθεν καὶ προσκαθεζόμενοι Θήβας ἐπόρθουν προκατεχομένας ὑπὸ Πελασγῶν. κοινῆς ἀμφοῖν ἑορτῆς Ἀπόλλωνος ἐνστάσης ἀνοχὰς ἔθεντο, καὶ δάφνας τεμόντες, οἱ μὲν ἐξ Ἑλικῶνος οἱ δὲ ἐγγὺς τοῦ Μέλανος ποταμοῦ, ἐκόμιζον τῷ Ἀπόλλωνι. Πολεμάτας δὲ ὁ τῶν Βοιωτῶν ἀφηγούμενος ἔδοξεν ὄναρ νεανίαν τινὰ πανοπλίαν αὐτῷ διδόναι καὶ εὐχὰς ποιεῖσθαι τῷ Ἀπόλλωνι δαφνηφοροῦντας διὰ ἐνναετηρίδος προστάττειν. 525 H. μετὰ δὲ τρίτην ἡμέραν ἐπιθέμενος κρατεῖ τῶν πολεμίων· καὶ αὐτός τε τὴν δαφνηφορίαν ἐτέλει, καὶ τὸ ἔθος ἐκεῖθεν διατηρεῖται. ἡ δὲ δαφνηφορία· ξύλον ἐλαίας καταστέφουσι δάφναις καὶ ποικίλοις ἄνθεσι, καὶ ἐπ' ἄκρου μὲν χαλκῆ ἐφαρμόζεται σφαῖρα, ἐκ δὲ ταύτης μικροτέρας ἐξαρτῶσι· κατὰ δὲ τὸ μέσον τοῦ ξύλου περιθέντες ἐλάσσονα τῆς 989 R. ἐπ' ἄκρῳ σφαίρας καθάπτουσι πορφυρᾶ στέμματα· τὰ δὲ τελευταῖα τοῦ ξύλου περιστέλλουσι κροκωτῷ. βούλεται δ' αὐτοῖς ἡ μὲν ἀκρωτάτω σφαῖρα τὸν ἥλιον, ᾧ καὶ τὸν Ἀπόλλωνα ἀναφέρουσιν, ἡ δὲ ὑποκειμένη τὴν σελήνην, τὰ δὲ προσηρτημένα τῶν σφαιρίων ἄστρα τε καὶ ἀστέρας, τὰ δέ γε στέμματα τὸν ἐνιαύσιον δρόμον· καὶ γὰρ καὶ τξε' ποιοῦσιν αὐτά. ἄρχει δὲ τῆς δαφνηφορίας παῖς ἀμφιθαλής, καὶ ὁ μάλιστα αὐτῷ οἰκεῖος βαστάζει τὸ κατεστεμμένον ξύλον, ὃ κωπὼ καλοῦσιν· αὐτὸς δὲ ὁ δαφνηφόρος ἑπόμενος τῆς δάφνης ἐφάπτεται, τὰς μὲν κόμας καθειμένος, χρυσοῦν δὲ στέφανον φέρων, καὶ λαμπρὰν ἐσθῆτα ποδήρη ἐστολισμένος, ἰφικρατίδας τε ὑποδεδεμένος· ᾧ χορὸς παρθένων ἐπακολουθεῖ, προτείνων κλῶνας πρὸς ἱκετηρίαν τῶν ὕμνων. παρέπεμπον δὲ τὴν δαφνηφορίαν εἰς Ἀπόλλωνος Ἰσμηνίου καὶ χαλαζίου. τὸ δὲ τριποδηφορικὸν μέλος τρίποδος προηγουμένου παρὰ τοῖς Βοιωτοῖς ᾔδετο. ἔχει δὲ καὶ τοῦτο αἰτίαν τοιαύτην. Πελασγῶν τινὲς Πάνακτον τῆς Βοιωτίας ἐπόρθουν, Θηβαῖοι δὲ ἤμυνον καὶ πέμψαντες εἰς Δωδώνην περὶ τῆς τοῦ πολέμου νίκης ἐχρῶντο. χρησμὸς δὲ τοῖς Θηβαίοις ἐξέπεσεν ὡς, εἰ μέγιστον ἀσέβημα

a. 1. εἶδός τι *Ah*: τι εἶδος ς. 2. ἐπίνικος *Ah*: ἐπινίκιος ς. 3. προτεροῦσιν *Ah*: πρωτεύουσιν ς. 4. παρὰ *Ah*: περὶ ς. 7. ἔδοξε *Ah*: ἤρεσε ς. 9. μεταβάλλει *Ah*: μεταλαμβάνει ς. 11. οἴνῳ] ἤδη *A*. 14. αὐτοὶ post μέθην ponit *A*. 20. φησι *A*. 24. τινὰ *Ah*: τινὸς ς. 25. συνιοῦσι *Ah*: συνοῦσι ς. 26. παραπλέκοντα ς. 28. ναίοντας *Ah*: μένοντας ς. σίλος *A*. 29. πεφεισμένως ante λοιδορίας ponit ς. 32. προκειμένου *Ah*: κειμένου ς. 33. παρθενεῖα Gaisfordus. 35. ἐννεαετηρίδος *A*, ἐννεατηρίδος *B*. 36. οἱ om *A*. 37. Αἰολέων *Ah*: ἐφων ς.

b. 1. ταύτῃ *Ah*: ταύτης ς. 3. προκατεχομένας *Ah*: προσκαθεζομένας ς. κοινῶς ς. 5. δάφνας *A*: δαιΐνας ς. τέμνοντες *Ah*. 9. ἐννεαετηρίδος *A*. 10. προστάττειν post ποιεῖσθαι ponit ς. 16. ἐλάσσονα τῆς ἐπ' ἄκρῳ *A*, ἐλάσσονα τῆς ἐπ' ἄκρου *h*: ἐλάσσονας τῆς ἐπ' ἄκρου τοῦ ξύλου ς. 25. κόπω pr *A*, κοπώ *h*, κώπω *B*. 27. καθειμένος *AB*: καθειμένας ς. 28. ἰφικρατίδας] ἐπικρατίδας *Ah*. 30. τῶν om *A*. 31. ἰσανίου *B*, ἰσυνίου *h*. χαλαζίου *Ah*: γαλαξίου ς. 32. τριποδικὸν *B*. 34. Πάνακτον] cf. Müller. Orchomen. p. 385.

Digitized by Google

ἀσεβήσουσι, νικήσουσιν. ἔδοξεν οὖν αὐτοῖς ἀσεβημάτων εἶναι μέγιστον τὸ τὴν χρησμῳδήσασαν αὐτοῖς τὸν χρησμὸν ἀνελεῖν· καὶ ἀνεῖλον. αἱ δὲ περὶ τὸ τέμενος συνιέρειαι δίκην λαβεῖν ἀπῄτουν τοῦ φόνου τοὺς Θηβαίους. Θηβαῖοι δὲ οὐκ ἐπιτρέπουσι γυναιξὶ μόναις τὴν περὶ αὐτῶν δίκην· κοινῆς δὲ κρίσεως ἀνδρῶν καὶ γυναικῶν γεγενημένης, καὶ τῶν ἀνδρῶν λευκὰς αὐτοῖς ἐπενεγκόντων ψήφους, ἀπέφυγον οἱ Θηβαῖοι. ὕστερον δὲ ἐπιγνόντες αὐτοῖς τὸ ὑπὸ τοῦ χρησμοῦ προστασσόμενον, βαστάσαντες τῶν κατὰ τὴν Βοιωτίαν ἱερῶν τριπόδων ἕνα, καὶ κατακαλύψαντες ὡς ἱερόσυλοι, ἀνέπεμψαν εἰς Δωδώνην. εὐπραγήσαντες δὲ ἐξ ἐκείνου τοῦ λοιποῦ τὴν πρᾶξιν ἑορτὴν ἐποίουν. ὠσχοφορικὰ δὲ μέλη παρ' Ἀθηναίοις ᾔδετο· τοῦ χοροῦ δὲ δύο νεανίαι, κατὰ γυναῖκας ἐστολισμένοι, κλῆμα ἀμπέλου κομίζοντες μεστὸν εὐθαλῶν βοτρύων (ἐκάλουν δὲ αὐτὸ ὦσχην, ἀφ' οὗ καὶ τοῖς μέλεσιν ἡ ἐπωνυμία) τῆς ἑορτῆς καθηγοῦντο. ἄρξαι δέ φασι Θησέα πρῶτον τοῦ ἔργου· ἐπεὶ γὰρ ἑκούσιος ὑποστὰς τὸν εἰς Κρήτην πλοῦν ἀπήλλαξε τὴν πατρίδα τῆς κατὰ τὸν δασμὸν συμφορᾶς, χαριστήρια ἀποδιδοὺς Ἀθηνᾷ καὶ Διονύσῳ, οἳ αὐτῷ κατὰ τὴν νῆσον τὴν Δίαν ἐπεφάνησαν, ἔπραττε τοῦτο, δυσὶ νεανίαις ἐσκια-
526 B. τραφημένοις ''χρησάμενος πρὸς τὴν ἱερουργίαν ὑπηρέταις. ἦν δὲ τοῖς Ἀθηναίοις ἡ παραπομπὴ ἐκ τοῦ Διονυσιακοῦ ἱεροῦ εἰς τὸ τῆς Ἀθηνᾶς τῆς Σκιράδος τέμενος. εἵπετο δὲ τοῖς νεανίαις ὁ χορός, καὶ ᾖδε τὰ μέλη. ἐξ ἑκάστης δὲ φυλῆς ἔφηβοι διημιλλῶντο πρὸς ἀλλήλους δρόμῳ· καὶ τούτων ὁ πρότερος ἐγεύετο ἐκ τῆς πενταπλῆς λεγομένης φιάλης, ἣ συνεκιρνᾶτο ἐλαίῳ καὶ οἴνῳ καὶ μέλιτι καὶ τυρῷ καὶ ἀλφίτοις. εὐκτικὰ δὲ μέλη ἐγράφετο τοῖς αἰτουμένοις τι παρὰ θεοῦ γενέσθαι.
992 R. πραγματικὰ δέ, ἅ τινων περιεῖχε πράξεις. ''ἐμπορικὰ δέ, ὅσα κατὰ τὰς ἀποδημίας καὶ ἐμπορείας ἐπιδεικνύμενά τισιν ἐγράφη. καὶ ἀποστολικὰ δέ, ὅσα διαπεμπόμενοι πρός τινας ἐποίουν. τὰ δὲ γνωμολογικὰ δῆλον ὅτι παραίνεσιν ἠθῶν ἔχει, καὶ τὰ γεωργικὰ δὲ χώρας καὶ φυτῶν καιροὺς καὶ ἐπιμελείας. καὶ τὰ ἐπισταλτικὰ δέ, ὅσα κατ' ἐντολὰς πρός τινας ποιοῦντες διέπεμπον.

Οἱ μὲν δύο λόγοι τῆς Πρόκλου γραμματικῆς χρηστομαθίας ἐν τούτοις.

## 240.

*Ἀνεγνώσθη ἐκ τῶν ἸΩΑΝΝΟΥ ΤΟΥ ΦΙΛΟΠΟΝΟΥ εἰς τὴν ἑξαήμερον.*

ὅτι τὸ σύγγραμμα Σεργίῳ τῷ Κωνσταντινουπόλεως προσφωνεῖ, ἐκείνου προτροπῇ τοῦτον ὑπελθεῖν τὸν πόνον προοιμιαζόμενος. τὸν δὲ σκοπὸν εἶναί φησι σύμφωνον δεῖξαι τοῖς φαινομένοις τὴν τοῦ θεσπεσίου Μωσέως κοσμογένειαν.

ὅτι σκοπὸς ἦν τῷ Μωσεῖ οὔτε φυσιολογῆσαι οὔτε ἀστρονομῆσαι, ἀλλ' εἰς θεογνωσίαν καὶ διὰ τῆς κοσμογονίας ἀνθρώπους ἀγαγεῖν, καὶ παραστῆσαι ὅτι δὴ τὸ μέγα τοῦτο καὶ λαμπρὸν τοῦ κόσμου δημιούργημα ἔχει τὸν θεὸν ποιητήν, καὶ οὔτε αὐτόματον ἔχει τὴν ὕπαρξιν οὔτε ἀγένητον τὴν ὑπόστασιν καὶ τῷ θεῷ συναΐδιον. καὶ Πλάτωνα δὲ τὸν παρ' Ἕλλησι νομισθέντα σοφώτατον, καίτοι πολλαῖς ὕστερον γενεαῖς γεγονότα καὶ οὐ πλήθει τυχόντι τοὺς λόγους ποιούμενον ἀλλὰ τοῖς ἐπὶ φιλοσοφίᾳ τῶν ἄλλων προὔχουσιν, ὅμως Μωσέα δείκνυσιν ἐν τῇ τῆς κοσμογονίας αὐτοῦ διηγήσει ἐκμιμούμενον. πολὺ δὲ μεγαλοπρεπέστερον Μωσέα Πλάτωνος τεθεολογηκέναι παρίστησιν.

ὅτι οὐδέν φησιν οὐδ' ὅλως τῶν ἐν τῇ κοσμογονίᾳ τοῦ προφήτου τῇ τοῦ παντὸς διατάξει ἀσύμφωνον τοὐναντίον δὲ καὶ πολλὰ τῶν ὕστερον αἰτιολογηθέντων ὑπὸ τῶν φυσικῶν ἐκ τῶν Μωσέως γραφέντων εἴληφε τὴν ἀρχήν.

ὅτι ἐν πολλοῖς ἀξίως τὸν μέγαν ἀποθειάζει Βασίλειον, καὶ Θεόδωρον τὸν Μοψουεστίας, εἰ καὶ μὴ ἐν πᾶσιν οἷς ἐπαιτιᾶται, ἀλλ' οὖν οὐκ ἐν ὀλίγοις ἐπιλαμβάνεται δικαίως.

''ὅτι τῆς ἀρχῆς πολλαχῶς φησὶ λεγομένης τὸ ἐν 993 R.
ἀρχῇ νῦν τὴν κατὰ χρόνον ἀρχὴν δηλοῦν. κατὰ χρόνον δὲ λέγειν φησὶν οὐχ οὗ τῆς γενέσεως προηγεῖται χρόνος, ὡς ἡμῶν ἑκάστου, ἀλλὰ τὸ πρῶτον τοῦ χρόνου νῦν, ἐν ᾧ τὸν οὐρανὸν καὶ τὴν γῆν παρήγαγεν ὁ θεός, ''παντὸς 527 H
χρονικοῦ χωρὶς διαστήματος. πᾶσαν γὰρ ἀρχὴν ἑτέραν εἶναι πάντως φησίν, οὗπερ λέγεται ἀρχή· καὶ τοῦτο διὰ παραδειγμάτων κατασκευάζει. ὥστε ἐν τῇ ἀρχῇ τοῦ χρόνου καὶ οὐκ ἐν χρόνῳ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐποίησεν ὁ θεός. ἀλλ' ἓν τοῦτο σημαινόμενον τῆς ἐν ᾧ γέγονεν ἀρχῆς ὁ οὐρανὸς καὶ ἡ γῆ. δεύτερον τὸ πρῶτον τοῦ κα-

a. 6. δίκην] δίκην ἀξιοῦν *ABh*. 8. δὲ add *A*. 10. τριπόδων *Ah*: τρίποδα ς. 13. ὠσχοφορικὰ *Ah*: ὀσχοφορικὰ ς. 14. δὲ om *A*. 15. κλήματα — μεστῶν ς. 16. ὦσχην *Ah*: ὄσχην ς. 18. Θησέα φασὶ ς. 25. κειράδος *A*, κειριάδος *h*: Σκειριάδος ς. 33. ἐμπορίας ς. 34. διαπεμπόμενοι *A*: διαπεμπόμενα ς. 38. ἐξέπεμπον ς. 39. μὲν *A*: δὲ ς. 40. post τούτοις in *A* vacui versus quattuor et pagina una.
b. 32. τὴν add *C*.

Digitized by Google

τασκευάσματος μόριον, ὡς ἀρχὴ ἡ τρόπις τοῦ πλοίου καὶ οἱ θεμέλιοι τῆς οἰκίας. δῆλον δ' ὅτι καὶ κατὰ τοῦτό φησι τὸ σημαινόμενον τῆς ἀρχῆς δυνατὸν ἐννοῆσαι τὸν οὐρανὸν καὶ τὴν γῆν ἐν ἀρχῇ γεγενῆσθαι· οἷον γὰρ θεμέλιον καὶ ἀρχὴν τῶν γεγονότων ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν προκατεβάλετο. κατὰ δὲ τὰ ἄλλα τῆς ἀρχῆς σημαινόμενα οὐκέτι.

ὅτι ἀντὶ τοῦ ἐν ἀρχῇ ἐν κεφαλαίῳ εἰπὼν ὁ Ἀκύλας δίδωσιν ἐννοεῖν ἀντὶ τοῦ συνῃρημένως καὶ ὁμοῦ γενέσθαι τὸν οὐρανὸν σημαίνειν τὸ ἐν ἀρχῇ· οὐδὲ γὰρ τὸ μὲν αὐτῶν πρότερον, τὸ δὲ ὕστερον γέγονεν. εἰώθαμεν γὰρ κεφάλαιον καλεῖν τὴν ἐν ἑνὶ πολλῶν ἅμα συναίρεσιν· καὶ πολλὴ ἡ χρῆσις. ἐδήλωσε δὲ καὶ ἡ τῆς σὺν προσθήκη, συνδυασμὸν ὡς τὰ πολλὰ δηλοῦσα. καὶ γὰρ εἰπὼν „ἐν κεφαλαίῳ ἔκτισε σὺν τὸν οὐρανόν, σὺν τὴν γῆν" ἐν ἀρχῇ παρεῖχε τὴν δήλωσιν τοῦ ἅμα γενέσθαι τὰ δύο. τινὲς τὸ ἐν κεφαλαίῳ οὐχ οὕτως, ἀλλ' ἀπὸ τῆς ἀρχῆς τοῦ σώματος τῆς κεφαλῆς αὐτὸ λογιζόμενοι ἐσχηματίσθαι, εἰς τοιαύτην ἀρχὴν αὐτὸ μετειλήφασιν.

ὅτι φησίν, Οὐρανὸν καὶ γῆν εἰπὼν διὰ τῶν ἄκρων καὶ τὰ μέσα συμπαρείληφεν, ὡς καὶ πάντα φασίν. ἄκρα δὲ εὐλόγως ταῦτα καλεῖσθαι, ὅτι γῆ μὲν κέντρον τοῦ παντὸς ἐπέχουσα κάτωθεν πάντων ἐστὶν ἀρχή, πέρας δὲ ὁ πάντα περιέχων οὐρανός. πάλιν ἄνωθεν ἀρχὴ μὲν ἐστιν ὁ οὐρανός, πέρας δὲ ἡ γῆ. μέσα δὲ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ. διό φησιν ἐφεξῆς „καὶ σκότος ἐπάνω τῆς ἀβύσσου," τὸ μὲν ὕδωρ ἄβυσσον εἰπών, τὸ δὲ σκότος τὸν ἀφώτιστον ἀέρα· καὶ γὰρ κυρίως σκότος ἐστὶν ἡ τοῦ φωτὸς ἀπουσία. καὶ ἡ συνήθεια δὲ σκότος τὸν ἀφώτιστον λέγει ἀέρα, ἤτοι τὸ νυκτερινὸν τοῦ ἀέρος κατάστημα ἢ καὶ τὸ ἄλλως πως συμβαῖνον.

ὅτι τὸ ψηλαφητὸν σκότος τοῖς Αἰγυπτίοις σκότος ψηλαφητὸν εἰρῆσθαι διὰ δύο αἰτίας, ἢ ὅτι μηδεμία ἀκτὶς τῶν οὐρανίων εἰσεκρίνετο τῷ ἀέρι διὰ τὴν πολλὴν αὐτοῦ παχύτητα καὶ οἷον ψηλαφητὴν καὶ δυναμένην αἴσθησιν ἀντιτυπίας τοῖς ἐπαφωμένοις παρέχειν, ἢ ὅτι διὰ τὸ ψηλαφητὸν τὰ στερεμνιώτερα τῶν σωμάτων δίκην τυφλῶν καὶ οὕτω τὰς μεταβάσεις ποιεῖσθαι, ἢ καὶ αὐτὸ τοῦτο γνωρίζειν οὕτω τὰ ψηλαφώμενα.

ὅτι ἄβυσσος παρὰ πᾶσι τὸ πολὺ καλεῖται ὕδωρ καὶ εἰς βάθος χωροῦν ἄληπτον ἡμῖν, παρὰ τὸ μηνύειν εἰς αὐτό· διὸ καὶ Μωσῆς ἄβυσσον ἐκεῖνο τὸ ὕδωρ καλεῖ. πλὴν καὶ ὕδωρ αὐτὸ κατονομάζει· „καὶ πνεῦμα" γὰρ „θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος"· τοῖς ὕδασι γὰρ ὁ ἀὴρ ἐπινήχεται. αὐτὸ δὲ τὸ τοῦ ἀέρος ὄνομα παρὰ τῇ Μωϋσέως οὐκ ἔστι γραφῇ, ἢ μήπω ἐχούσης τότε τῆς Ἑβραΐδος διαλέκτου ἀφωρισμένον ὄνομα τῷ ἀέρι, 528 H.
ἢ ἀρκουμένου Μωϋσέως διὰ τοῦ ὕδατος τῆς φωνῆς 996 R.
ἄμφω δηλοῦν· πολλὴ γὰρ ὕδατος καὶ ἀέρος ἡ κοινωνία, καὶ πολλάκις ἐν τοῖς ἑξῆς ἐπ' ἀμφοῖν κέχρηται τῷ ὀνόματι.

ὅτι τοὺς ἀγγέλους καὶ μηδαμοῦ τῆς προαγωγῆς αὐτῶν ἐμνήσθη Μωσῆς, ἅτε τῶν ἐγκοσμίων ἱστορίαν παραδιδούς, ἀλλ' ἐν οὐδὲ δεῖ λέγειν ὡς συνυπέστησαν, φησίν, ἢ καὶ ὕστερον γεγόνασιν οὐρανοῦ, πρότερον δέ. καὶ τοῦτο πειρᾶται καὶ φυσικώτερον καὶ ἐκ τῶν θείων λογίων παριστάνειν, ὡς δῆθεν πρὸς Θεόδωρον ἀπομαχόμενος, καὶ τὰς παρ' αὐτοῦ κομιζομένας ἀποδείξεις ὅτι σὺν οὐρανῷ γεγόνασιν ἀνασκευαζόμενος, καὶ σύμφωνον τὸν μέγαν ἐπικομιζόμενος Βασίλειον, ὑπὲρ οὗ καὶ δοκεῖ Θεοδώρῳ διαμάχεσθαι. ἀνακεφαλαιούμενος οὖν τὰς ἀποδείξεις δι' ὧν τοὺς ἀγγέλους μὴ συνυποστῆναι τῷ κόσμῳ παριστάνειν ἠγώνιστο, φησὶ „σκόπει τοίνυν ἐκ πόσων αὐτῶν ἡ ὑπερκόσμιος συνήχθη γένεσις, ἐκ τοῦ μήτε Μωσέα μήτ' ἄλλην θεόπνευστον γραφὴν ἅμα τῷ κόσμῳ γεγονέναι αὐτοὺς εἰπεῖν, ἐκ τοῦ μήτε σώματα εἶναι μήτε συνδεδέσθαι σώμασιν ὀργανικοῖς ὥσπερ τὴν ἡμετέραν ψυχήν, ἐκ τῆς ὑπερκοσμίου δυνάμεως αὐτῶν, ἐξ ὧν τὸ θεῖον διηνεκῶς θεωροῦσιν, ὧν οὐδὲν τῶν ἐγκοσμίων μετέχει· ἐκ τοῦ μηδὲ τὰς ἀλόγους ψυχὰς συγκαταβεβλῆσθαι τοῖς σώμασι, καίτοι χωρὶς σωμάτων μὴ δυναμένας εἶναι· ἐκ τοῦ μὴ τὴν ἀνθρωπίνην ψυχὴν μηδὲ τῷ ἰδίῳ συνυποστῆναι σώματι· τὸ μὲν γὰρ ἐκ γῆς, ἡ δὲ καθ' ἑαυτὴν θειοτέρας ὑπὸ θεοῦ μετέχει γενέσεως."

## 241.

Ἀνεγνώσθη ἐκ τοῦ εἰς τὸν Ἀπολλώνιον ἀπὸ φωνῆς ΦΙΛΟΣΤΡΑΤΟΥ.

ὅτι Βαβυλῶνά φησι τετειχίσθαι ὀγδοήκοντα καὶ τετρακόσια στάδια κύκλῳ· τεῖχος δὲ αὐτῆς τρία μὲν τὸ ὕψος ἡμίπλεθρα, πλέθρου δὲ μεῖον τὸ εὖρος. ποταμῷ δὲ Εὐφράτῃ τέμνεσθαι ξὺν ὁμοιότητι τοῦ εἴδους, ὃν ἀπόρρητος ὑποστείχει γέφυρα, τὰ βασίλεια τὰ ἐπὶ ταῖς ὄχθαις ἀφανῶς ξυνάπτουσα. γυνὴ γὰρ λέγεται Μήδεια, τῶν ἐκείνῃ ποτὲ ἄρχουσα, τὸν ποταμὸν ὑποζεῦξαι τρόπον ὃν μήπω τις ποταμῶν ἐζεύχθη. λίθους γὰρ δὴ καὶ χαλκὸν καὶ ἄσφαλτον, καὶ ὁπόσα ἐς ἔφυδρον ξύνδε-

a. 8. ἀντὶ C: καὶ ἀντὶ ς. 12. πολλῶν] libri πολλήν. 41. μηνύειν] immo μὴ δύειν. cf. Etym. M.
b. 3. τότε] libri τό. 9. καὶ] lege εἰ καί. 31. post γενέσεως in C vacat versus 58. 33. ἐκ τοῦ εἰς τὸν Ἀπολλώνιον AB: Ἀπολλωνίου βίος ς. 35. ὅτι] Philostrat. V. A. 1, 25.



Digitized by Google

σιν ἀνθρώποις εὕρηται, παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ νήσασα, τὸ ῥεῦμα εἰς λίμνας ἔτρεψε, ξηρόν τε ἤδη τὸν ποταμὸν ὤρυγεν, ὀργυιὰς ἐς δύο σήραγγα ἐργαζομένη κοίλην, ἵνα ἐς τὰ βασίλεια τὰ περὶ ταῖς ὄχθαις ὥσπερ ἐκ γῆς ἀναφαίνοιτο, καὶ ἤρεψεν αὐτὴν ἴσως τῷ τοῦ ῥεύματος δαπέδῳ. οἱ μὲν δὴ θεμέλιοι ἐβεβήκεσαν καὶ οἱ τοῖχοι τῆς σήραγγος· ἅτε δὲ τῆς ἀσφάλτου δεομένης τοῦ ὕδατος εἰς τὸ λιθοῦσθαι καὶ πήγνυσθαι, ὁ Εὐφράτης ἐπαφείθη ὑγρῷ τῷ ὀρόφῳ, καὶ ὧδε ἔστη τὸ ζεῦγμα. τὰ δὲ βασίλεια χαλκῷ μὲν ἤρεπται καὶ ἀπ᾽ αὐτῶν ἀστράπτει· θάλαμοι δὲ καὶ ἀνδρῶνες καὶ στοαὶ
529 H. τὰ μὲν ἀργύρῳ, τὰ δὲ χρυσοῖς ὑφάσμασι, τὰ δὲ χρυσῷ αὐτῷ, καθάπερ γραφαῖς, ἠγλάϊσαι. φησὶ δὲ φῆσαι τὸν Ἀπολλώνιον καὶ ἀνδρῶνι ἐντυχεῖν, οὗ τὸν ὄροφον εἰς θόλου ἀνῆχθαι σχῆμα, οὐρανῷ τινι εἰκασμένον· σαπφειρίνῃ δὲ αὐτὸν κατηρέφθαι λίθῳ·
997 R. κυανωτάτη δὲ ἡ λίθος καὶ οὐρανία ἰδεῖν. θεῶν τε ἀγάλματα, οὓς νομίζουσιν, ἵδρυται ἄνω καὶ χρυσᾶ φαίνεται καθάπερ ἐξ αἰθέρος. δικάζει μὲν δὴ ὁ βασιλεύς, χρυσαῖ δὲ ἴυγγες ἀποκρέμανται τοῦ ὀρόφου τέτταρες, τὴν ἀδράστειαν αὐτῷ παρεγγυῶσαι καὶ τὸ μὴ ὑπὲρ τοὺς ἀνθρώπους αἴρεσθαι. ταύτας οἱ μάγοι αὐτοί φασιν ἁρμόττεσθαι, φοιτῶντες εἰς τὰ βασίλεια· καλοῦσι δὲ αὐτὰς θεῶν γλώττας.

ὅτι φησὶν Ἀπολλώνιον καὶ τοὺς μετ᾽ αὐτὸν ἐξιόντας τῆς Περσῶν ἀρχῆς καὶ προσιόντας τῷ Καυκάσῳ εὐωδεστέρας τῆς γῆς αἰσθέσθαι. τὸ δὲ ὄρος τοῦτο ἀρχὴν ποιούμεθα τοῦ Ταύρου τοῦ δι᾽ Ἀρμενίας τε καὶ Κιλίκων ἐπὶ Παμφύλους τε καὶ Μυκάλην στείχοντος, ἣ τελευτῶσα εἰς θάλασσαν, ἣν Κᾶρες οἰκοῦσι, τέρμα τοῦ Καυκάσου νομίζοιτ᾽ ἄν, ἀλλ᾽ οὐχ, ὥς ἔνιοί φασιν, ἀρχή· τό τε γὰρ τῆς Μυκάλης ὕψος οὔπω μέγα, καὶ αἱ ὑπερβολαὶ τοῦ Καυκάσου τοσοῦτον ἀνεστᾶσιν ὡς σχίζεσθαι περὶ αὐτὰς τὸν ἥλιον. περιβάλλει δὲ Ταύρῳ ἑτέρῳ καὶ τὴν ὅμορον τῇ Ἰνδικῇ Σκυθίαν πᾶσαν, κατὰ Μαιῶτίν τε καὶ ἀριστερὸν Πόντον, σταδίων μάλιστα δισμυρίων μῆκος· τοσοῦτον γὰρ ἐπέχει μέτρον τῆς γῆς ὁ ἀγκὼν τοῦ Καυκάσου. τὸ δὲ περὶ τοῦ ἐν τῇ ἡμεδαπῇ Ταύρου λεγόμενον, ὡς ὑπὲρ τὴν Ἀρμενίαν πορεύοιτο, χρόνῳ ἀπιστηθὲν πιστοῦνται λοιπὸν αἱ παρδάλεις ἃς οἶδα ἁλισκομένας ἐν τῇ Παμφύλων ἀρωματοφόρῳ· χαίρουσι γὰρ τοῖς ἀρώμασι, καὶ ἐκ πολλοῦ τὰς ὀσμὰς ἕλκουσαι φοιτῶσιν ἐξ Ἀρμενίας διὰ τῶν ὀρῶν πρὸς τὸ δάκρυον τοῦ στύρακος, ἐπειδὰν οἵ τε ἄνεμοι ἀπ᾽ αὐτῶν πνεύσωσι καὶ τὰ δένδρα ὀπώδη γένηται. καὶ ἁλῶναι ποτέ φασιν ἐν Παμφυλίᾳ πορδάλιον στρεπτῷ ἅμα, ὃν περὶ τῇ δέρῃ ἔφερε· χρυσοῦν δὲ ἦν, καὶ ἐπεγέγραπτο Ἀρμενίοις γράμμασι „βασιλεὺς Ἀρσάκης θεῷ Νυσίῳ." βασιλεὺς μὲν δὴ Ἀρμενίας τότε ἦν Ἀρσάκης, καὶ αὐτὸς οἶμαι ἰδὼν τὴν πόρδαλιν ἀνῆκε τῷ Διονυσίῳ διὰ μέγεθος τοῦ θηρίου· Νύσιος γὰρ ὁ Διόνυσος ἀπὸ τῆς ἐν Ἰνδοῖς Νύσσης Ἰνδοῖς τε ὀνομάζεται καὶ πᾶσι τοῖς πρὸς ἀκτῖνα ἔθνεσιν. ἡ δὲ χρόνον μέν τινα ὑπεζεύχθη ἀνθρώπῳ, καὶ χεῖρα ἠνέχετο ἐπαφωμένην τε καὶ καταψῶσαν· ἐπεὶ δὲ ἀνοίστρησεν αὐτὴν ἔαρ, ἀνέθορεν ἐς τὰ ὄρη πόθῳ ἀρσένων, ὡς εἶχε τοῦ κόσμου, καὶ ἥλω περὶ τὸν κάτω Ταῦρον ὑπὸ τοῦ ἀρώματος ἑλχθεῖσα. ὁ δὲ Καύκασος ὁρίζει μὲν τὴν Ἰνδικὴν καὶ τὴν Μηδικήν, καθήκει δὲ ἐπὶ τὴν ἐρυθρὰν θάλασσαν ἑτέρῳ ἀγκῶνι.

ὅτι παραμείψαντας τὸν Καύκασον τετραπήχεις ἀνθρώπους ἰδεῖν φησίν, οὓς ἤδη μελαίνεσθαι, καὶ πενταπήχεις δὲ ἑτέρους, ὑπὲρ τὸν Ἰνδὸν ποταμὸν ἐλθόντας. 530 H.

ὅτι ὑπερβάντας φησὶ τὸ ὄρος τὸν Καύκασον ἐντυχεῖν ἐπὶ ἐλεφάντων ἤδη ὀχουμένοις ἀνδράσιν. εἰσὶ δ᾽ οὗτοι μέσοι Καυκάσου καὶ ποταμοῦ Κωφῆνος, ἄβιοί τε καὶ ἱπποῦνται τῆς ἀγέλης ταύτης. καὶ κάμηλοι δὲ ἐνίους ἦγον, αἷς χρῶνται Ἰνδοὶ ἐς τὰ δρομικά· πορεύονται δὲ χίλια στάδια διὰ τῆς ἡμέρας, γόνυ οὐδαμοῦ κάμψασαι.

ὅτι Ἰνδὸν ἐπεραιώθησαν οἱ περὶ Ἀπολλώνιον σταδίους μάλιστα μ´· τὸ γὰρ πλώϊμον αὐτοῦ τοσοῦτον. ἄρχεσθαι 1000 R.
δὲ αὐτόν φασιν ἐκ τοῦ Καυκάσου μείζω αὐτόθεν ἢ οἱ κατὰ τὴν Ἀσίαν ποταμοὶ πάντες, προχωρεῖν δὲ πολλοὺς τῶν ναυσιπόρων ἑαυτοῦ ποιούμενον.

ὅτι φησί, Πορευθέντας αὐτοὺς ὑπὲρ τὸν Ἰνδὸν ποταμὸν ἦγεν ὁ παρὰ τοῦ σατράπου ἡγεμὼν εὐθὺ τῶν Ταξίλων, οὗ τὰ βασίλεια ἦν τῷ Ἰνδῷ. στολὴν δ᾽ εἶναι τοῖς μετὰ τὸν Ἰνδὸν λίνου φασὶν ἐγχωρίου καὶ ὑποδήματα βύβλου. καὶ βύσσῳ δὲ τοὺς φανερωτέρους αὐτῶν ἐστάλθαι· τὴν δὲ βύσσον φύεσθαι δένδρου φασὶν ὁμοίου μὲν τῇ λεύκῃ τὴν βάσιν, παραπλησίου δὲ τῇ ἰτέᾳ τὰ πέταλα. καὶ ἡσθῆναί φησι τῇ βύσσῳ ὁ Ἀπολλώνιος, ἐπειδὴ ἔοικε φαιῷ τρίβωνι. τὰ δὲ Τάξιλα μέγεθος μὲν

a. 3. ὤρυγεν *AB*: ὤρυττεν ς. 7. δὲ] libri δή. 13. φῆναί ς. 17. δὲ *A*: τε ς. 20. τέσσαρες ς. 21. ἀνθρώπους *A*: οὐρανοὺς ς. 25. ὅτι] 2, 2. 33. αὐτὰς] αὐτὸν *AB*. 40. οἶδα ἁλισκομένας *AB*: οἱ διαλισκομένας ς.

b. 5. πάρδαλιν *B*. 9. πάρδαλιν ς. 19. παραμείψαντας *AB*: παραμείψας ς. 20. libri φασίν. 22. ὅτι] 2, 6. 28. ὅτι Ἰνδὸν — 32. ἑαυτοῦ ποιούμενον (2, 18) om *AB*. οἱ om ς. 33. ὅτι] 2, 20. 39. τῇ om *AB*

Digitized by Google

εἶναι κατὰ τὴν Νῖνον, τετειχίσθαι δὲ συμμέτρως ὥσπερ αἱ Ἑλλάδες, βασίλεια δ᾽ εἶναι ἀνδρὸς τὴν Πώρου ποτὲ ἀρχὴν ἄρχοντος.

ὅτι αἱ πηγαὶ τοῦ Ὑφάσιος ποταμοῦ, ᾧ πλησιάσαι φησὶ τοὺς περὶ Ἀπολλώνιον τὸν Ὑδραώτην ὑπερβάντας καὶ πολλὰ διαμείψαντας ἔθνη, τούτου δὴ τοῦ ποταμοῦ αἱ πηγαὶ βλύζουσι μὲν ἐκ πεδίου ναυσίποροι αὐτόθεν, προϊοῦσαι δὲ καὶ ναυσὶν ἤδη ἄποροί εἰσιν· ἀκρωνυχίαι γὰρ παραλλὰξ πετρῶν ὑπανίσχουσι τοῦ ὕδατος, περὶ ἃς ἀνάγκη τὸ ῥεῦμα ἑλίττεσθαι καὶ ποιεῖν τὸν ποταμὸν ἄπλουν. εὖρος δὲ αὐτῷ κατὰ τὸν Ἴστρον· ποταμῶν δὲ οὗτος δοκεῖ μέγιστος, ὁπόσοι δι᾽ Εὐρώπης ῥέουσι. δένδρα δ᾽ ὁ Ὕφασις προσόμοια φύει περὶ τὰς ὄχθας, καί τι καὶ μύρον ἐκδίδοται τῶν δένδρων, ὃ ποιοῦνται Ἰνδοὶ γαμικὸν χρίσμα. καὶ τοὺς ἰχθῦς δὲ τοὺς ταὼς λεγομένους μόνος οὗτος ποταμῶν τρέφει· πεποίηνται δὲ αὐτοὺς ὁμωνύμους τοῦ ὄρνιθος, ἐπεὶ κυάνεοι μὲν αὐτοῖς οἱ λόφοι, στικταὶ δὲ αἱ φολίδες, χρυσᾶ δὲ τὰ οὐραῖα, καὶ ὁπότε βούλοιντο, ἀνακλώμενα. ἔστι δέ τι θηρίον ἐν τῷ ποταμῷ σκώληκι εἰκασμένον λευκῷ, τοῦτον δ᾽ οἱ τήκοντες ἔλαιον ποιοῦνται· πῦρ δὲ ἄρα τοῦ ἐλαίου τούτου ἐκδίδοται, καὶ στέγει αὐτὸ πλὴν ὑέλου οὐδέν. ἁλίσκεται δὴ μόνῳ τῷ βασιλεῖ τὸ θηρίον τοῦτο πρὸς τειχῶν ἅλωσιν· ἐπειδὰν γὰρ θίγῃ τῶν ἐπάλξεων ἡ πιμελή, πῦρ ἐκκαλεῖται κρεῖττον σβεστηρίων, ὁπόσα ἀνθρώποις πρὸς τὰ πυρφόρα εὕρηται. καὶ τοὺς ὄνους δὲ τοὺς ἀγρίους ἐν τοῖς ἕλεσι τούτοις ἁλίσκεσθαί φασιν. εἶναι δὲ τοῖς θηρίοις τούτοις ἐπὶ μετώπου κέρας, ᾧ ταυρηδόν τε καὶ οὐκ ἀγεννῶς μάχονται. καὶ ἀποφαίνειν τοὺς Ἰνδοὺς ἔκπωμα τὸ κέρας τοῦτο· οὐ γὰρ οὔτε νοσῆσαι τὴν ἡμέραν ἐκείνην ὁ ἀπ᾽ αὐτοῦ πιών, οὔτε ἂν τρωθεὶς ἀλγῆσαι, πυρός τε διεξελθεῖν ἄν, καὶ μηδ᾽ 531 H. ἂν φαρμάκοις ἁλῶναι, ὁπόσα ἐπὶ κακῷ πίνεται. βασιλέων δὲ τὸ ἔκπωμα εἶναι, καὶ βασιλεῖ μόνῳ ἀνεῖσθαι τὴν θήραν. μῦθον δὲ ἄρα δεικνύει ταῦτα τῶν ἐν Ἰνδοῖς βασιλέων καὶ νόσοι καὶ θάνατοι· τὸ δὲ θηρίον, οἷον εἴρηται, τοιοῦτον ὁρᾶται.

Ἐντεῦθεν ὑπερβαλεῖν τοῦ Καυκάσου τὸ κατατεῖνον ἐς τὴν ἐρυθρὰν θάλασσαν· εἶναι δὲ αὐτὸ συνηρεφὲς ἰδέαις ἀρωμάτων. τοὺς μὲν δὴ πρῶνας τοῦ ὄρους τὸ κιννάμωμον φέρειν, προσεοικέναι δὲ αὐτὸ νέοις κλήμασι. βάσανον δὲ τοῦ ἀρώματος τὴν αἶγα εἶναι· κινναμώμου γὰρ εἴ τις αἰγὶ ὀρέξειε, κνυζήσεται πρὸς τὴν χεῖρα καθάπερ κύων, ἀπιόντι τε ὁμαρτήσει τὴν ῥῖνα ἐς αὐτὸν ἐρείσασα, κἂν ὁ αἰπόλος ἀπάγῃ, θρηνήσει 1001R. καθάπερ λωτοῦ ἀποσπωμένη. ἐν δὲ τοῖς κρημνοῖς τοῦ ὄρους λίβανοί τε ὑψηλαὶ πεφύκασι καὶ πολλὰ εἴδη ἕτερα. καὶ τὰ δένδρα δὲ αἱ πεπερίδες, ὧν γεωργοὶ πίθηκοι, εἴκασται μὲν τῷ παρ᾽ Ἕλλησιν ἄγνῳ τά τε ἄλλα καὶ τὸν κόρυμβον τοῦ καρποῦ, φύεται δὲ ἐν τοῖς ἀποτόμοις, οὐκ ἐφικτὸς τοῖς ἀνθρώποις, οὗ λέγεται πιθήκων οἰκεῖν δῆμος ἐν μυχοῖς καὶ ὅ τι αὐτοῦ κοῖλον. οὓς πολλοῦ ἀξίους οἱ Ἰνδοὶ νομίζοντες, ἐπειδὴ τὸ πέπερι ἀποτρυγῶσι, τοὺς λέοντας ἀπ᾽ αὐτῶν ἐρύκουσι κυσί τε καὶ ὅπλοις. ἐπιτίθεται δὲ πιθήκῳ λέων νοσῶν μὲν ὑπὲρ φαρμάκου (τὴν γὰρ νόσον αὐτῷ τὰ κρέα ἴσχει ταῦτα), γεγηρακὼς δὲ ὑπὲρ σίτου· τῆς γὰρ τῶν ἐλάφων καὶ συῶν θήρας ἔξωροι γεγονότες τοὺς πιθήκους λαφύσσουσιν, ἐς τοῦτο χρώμενοι τῇ λοιπῇ ῥώμῃ. τὰ δὲ περὶ τὰς πεπερίδας πραττόμενα ὧδε ἔχει. προσελθόντες οἱ Ἰνδοὶ τοῖς κάτω μέρεσι καὶ τὸν καρπὸν ἀποθερίσαντες ἅλως ποιοῦνται μικρὰς περὶ τὰ δένδρα, καὶ τὸ πέπερι περὶ αὐτὰς ξυμφέρουσιν, οἷον ῥιπτοῦντες ὡς ἄτιμόν τι καὶ μὴ ἐν σπουδῇ τοῖς ἀνθρώποις. οἱ δὲ ἄνωθεν κἀκ τῶν ἀβάτων καθεωρακότες ταῦτα, νυκτὸς ὑποκρίνονται τὸ τῶν Ἰνδῶν ἔργον, καὶ τοὺς βοστρύχους τῶν δένδρων περισπῶντες ῥίπτουσι φέροντες ἐς τὰς ἅλως· οἱ δὲ Ἰνδοὶ ἀπόνως συλλέγουσιν.

Ὑπεράραντες δὲ τοῦ ὄρους πεδίον φασὶν ἰδεῖν λεῖον κατατετμημένον εἰς τάφρους πλήρεις ὕδατος· εἶναι δὲ αὐτῶν τὰς μὲν ἐπικαρσίους, τὰς δὲ ὀρθὰς διηγμένας ἐκ τοῦ ποταμοῦ τοῦ Γάγγου, τῆς τε χώρας ὅρια οὔσας, τοῖς τε πεδίοις ἐπαγομένας, ὁπότε ἡ γῆ διψῴη. τὴν δὲ γῆν ταύτην ἀρίστην φασὶ τῆς Ἰνδικῆς εἶναι, καὶ μεγίστην τῶν ἐκεῖ λήξεων, πεντεκαίδεκα ἡμερῶν ὁδοῦ μῆκος ἐπὶ τὸν Γάγγην, ὀκτωκαίδεκα δὲ ἀπὸ θαλάσσης ἐπὶ τὸ τῶν πιθήκων ὄρος, ᾧ ξυμπαρατείνει πεδιάς. μέλαινα πᾶσα ἡ χώρα καὶ πάντων εὔφορος· ἰδεῖν μὲν γὰρ στάχυας ἀνεστῶτας ὅσον οἱ δόνακες, ἰδεῖν δὲ κυάμους τριπλασίους τῶν Αἰγυπτίων τὸ μέγεθος, σήσαμόν τε καὶ κέγχρον, ὑπερφυᾶ πάντα, καὶ τὰ κάρυα φύεσθαί φασι. τὰς δὲ ἀμπέλους φύεσθαι μικράς, καθάπερ Λυδῶν καὶ Μαιόνων, ποτίμους δὲ εἶναι καὶ ἀνθοσμίας ὁμοῦ

a. 3. ἔχοντος ς. 4. ὅτι] 3, 1. 8. ἀκρονυχίαι A. 9. γὰρ A: δὲ ς. 11. αὐτῷν ς. 13. δ᾽ ὁ] δ᾽ ἔχει ὁ B et rc A: ὁ ς. προσόμοια] ὡς ὅμοια A. φύει] φύσει A. 16. πεποίηνται AB: πεποίηται ς. 19. τι add A. 25. καὶ τοὺς] 3, 2. 30. ὁ A: καὶ ὁ ς. 35. οἷον om pr A. 37. ἐντεῦθεν] 3, 4.

b. 1. αἰγὶ corr A: αἴγιον ς. 3. ὑπάγῃ ς. 5. εἴδη ἕτερα] ἡδιώτερα AB. 6. πιπερίδες A. ὧν οἱ γεωργοὶ AB. 13. δὲ om pr A. 17. πιπερίδας A. 22. κἀκ A: ἐκ ς. 27. ὑπεράρ.] 3, 5. 35. πεδία AB. 41. ποταμίους pr A.

τῷ ἀποτρυγᾶν, ἐνταῦθα καὶ δένδρῳ φησὶν ἐντετυχη- 532a H. κέναι προσεοικότι τῇ δάφνῃ, φύεσθαι δὲ αὐτοῦ κάλυκα εἰκασμένην τῇ μεγίστῃ ῥοιᾷ, καὶ μῆλον ἐγκεῖσθαι τῇ κάλυκι κυάνεον μὲν ὥσπερ τῶν ὑακίνθων αἱ καλαί, πάντων δὲ ἥδιστον ὁπόσα ἐξ ὡρῶν ἥκει.

Καταβαίνοντες δὲ τὸ ὄρος δρακόντων θήρᾳ περιτυχεῖν φασί· δρακόντων μὲν γὰρ δὴ ἀπείροις μήκεσι διέζωσται πᾶσα ἡ Ἰνδικὴ χώρα, καὶ μεστὰ μὲν αὐτῶν ἕλη, μεστὰ δὲ ὄρη, κενὸς δὲ οὐδεὶς λόφος. οἱ μὲν δὴ ἕλειοι νωθροί τέ εἰσι καὶ τριακοντάπηχυ μῆκος ἔχουσι, καὶ κράνος αὐτοῖς οὐκ ἀνέστηκεν, ἀλλ' εἰσὶ ταῖς δρακαίναις ὅμοιοι, μέλανες δὲ ἱκανῶς τὸν νῶτον, καὶ ἧττον φολιδωτοὶ τῶν ἄλλων. οἱ δὲ πεδινοὶ πλεονεκτοῦσι τῶν ἑλείων πάντα· καὶ γὰρ ἐς πλέον τοῦ μήκους ἐλαύνουσι, 1004B. καὶ ταχύτεροι τῶν ὀξυτάτων ποταμῶν φέρονται, καὶ διαφεύγει αὐτοὺς οὐδέν. τούτοις καὶ λοφιὰ φύεται, νέοις μὲν ὑπανίσχουσα τὸ μέτριον, συναυξομένη δὲ τελουμένοις καὶ ἀνίσχουσα ἐς πολύ, ὅτε δὴ πυρσοί τε καὶ πριονωτοὶ γίνονται. οὗτοι καὶ γενειάσκουσι, καὶ τὸν αὐχένα ὑψοῦ αἴρουσι, καὶ τὴν φολίδα στίλβουσι δίκην ἀργύρου· αἱ δὲ τῶν ὀφθαλμῶν κόραι λίθος ἐστὶ διάπυρος. ἰσχὺν δὲ αὐτῶν ἀμήχανον εἶναί φησιν ἐς πολλὰ τῶν ἀποθέτων. γίνεται δὲ τοῖς θηρῶσιν ὁ πεδινὸς εὕρημα, ἐπειδὰν τῶν ἐλεφάντων τινὰ ἐπισπάσηται· τοῦτο γὰρ ἀπόλλυσιν ἄμφω τὰ θηρία. καὶ κέρδος τοῖς ἑλοῦσι δράκοντας ὀφθαλμοὶ καὶ δορὰ καὶ ὀδόντες· εἰσὶ δὲ τὰ μὲν ἄλλα ὅμοιοι τοῖς τῶν μεγίστων συῶν, λεπτότεροι δὲ καὶ διάστροφοι καὶ τὴν αἰχμὴν ἄτρεπτοι, καθάπερ οἱ τῶν μεγάλων ἰχθύων. οἱ δὲ ὄρειοι δράκοντες τὴν μὲν φολίδα χρυσοῖ φαίνονται, τὸ δὲ μῆκος ὑπὲρ τοὺς πεδινούς· γένεια δὲ αὐτοῖς βοστρυχώδη, χρυσᾶ κἀκεῖνα. καὶ κατωφρύωνται μᾶλλον ἢ οἱ πεδινοί, ὄμματά τε ὑποκάθηται τῇ ὀφρύϊ δεινὸν καὶ ἀναιδὲς δεδορκότα. ὑπόχαλκόν τε ἦχον φέρουσιν, ἐπειδὰν τῇ γῇ ὑποκυμαίνωσιν. ἀπὸ δὲ τῶν λόφων πυρσῶν ὄντων πῦρ αὐτοῖς ἄττει λαμπάδος πλέον. οὗτοι καὶ τοὺς ἐλέφαντας αἱροῦσιν. αὐτοὶ δὲ ὑπὸ τῶν Ἰνδῶν οὕτως ἁλίσκονται· κοκκοβαφεῖ πέπλῳ χρυσᾶ ἐνείροντες γράμματα τίθενται πρὸ τῆς χειᾶς, ὕπνον ἐγγοητεύσαντες τοῖς γράμμασιν, ὑφ' οὗ νικᾶται τοὺς ὀφθαλμοὺς ἀτρέπτους ὄντας ὁ δράκων, καὶ πολλὰ τῆς ἀποῤῥήτου σοφίας ἐπ' αὐτὸν ᾄδουσιν, οἷς ἄγεταί τε καὶ τὸν αὐχένα ὑποβαλὼν τῆς χειᾶς ἐπικαθεύδει τοῖς γράμμασι. προσπεσόντες οὖν οἱ Ἰνδοὶ κειμένῳ πελέκεις ἐναράττουσι, καὶ τὴν κεφαλὴν ἀποτεμόντες λῄζονται τὰς ἐν αὐτῇ λίθους. λίθοι δὲ τούτοις ἀπόκεινται τὸ μὲν εἶδος ἀνθηραὶ καὶ πάντα ἀπαυγάζουσαι χρώματα, τὴν δὲ ἰσχὺν ἄῤῥητοι κατὰ τὸν δακτύλιον ὃν γενέσθαι φασὶ τῷ Γύγῃ. πολλάκις δὲ τὸν Ἰνδὸν αὐτῷ πελέκει καὶ αὐτῇ τέχνῃ συλλαβὼν ἐς τὴν αὐτοῦ χειὰν φέρων ᾤχετο, μόνον οὐ σείων τὸ ὄρος. οὗτοι καὶ τὰ ὄρη τὰ περὶ τὴν ἐρυθρὰν οἰκεῖν λέγονται. τὰ δ' ἔτη τῶν θηρίων τούτων γνῶναί τε ἄπορον καὶ εἰπεῖν ἄπιστον.

Προϊόντες δέ φασιν αὐλοῦ μὲν ἀκοῦσαι δόξαι νομέως δή τινος ἀγέλην τάττοντος, ἐλάφους δὲ ἄρα βουκολεῖσθαι 533H. λευκάς· ἀμέλγουσι δὲ Ἰνδοὶ ταύτας, εὐτραφὲς ἡγούμενοι τὸ ἀπ' αὐτῶν γάλα.

Ἐντεῦθεν ἡμερῶν τεττάρων πορευόμενοι δι' εὐδαίμονος καὶ ἐνεργοῦ τῆς χώρας, προσελθεῖν φασὶ τῇ τῶν σοφῶν ἤτοι τῶν λεγομένων Βραχμάνων τύρσει, καὶ συγγενέσθαι αὐτοῖς ἐφ' ἱκανόν· περὶ οὓς αὐτούς φησιν εἰρηκέναι τε καὶ ἰδεῖν καὶ ἀκοῦσαι ἃ οὐδεὶς τῶν νοῦν ἐχόντων πιστεύσειε. τὸ δὲ τῆς μετεμψυχώσεως βδελυκτὸν δόγμα ἐκεῖθεν δι' Αἰγυπτίων ἔφασαν καὶ Πυθαγόρα ἐνσκῆψαι. κομῶσι δὲ οὗτοι οἱ Ἰνδοί, ὥσπερ Λακεδαιμόνιοι πάλαι καὶ Θούριοι, μίτραν τε ἀναδοῦνται λευκήν, καὶ γυμνὸν αὐτοῖς βάδισμα. καὶ τὴν ἐσθῆτα ἐσχηματίζοντο παραπλήσιον ταῖς ἐξωμίσιν. ἡ δὲ ὕλη τῆς ἐσθῆτος, ἔριον αὐτοφυὲς ἡ γῆ φύει, λευκὸν μὲν ὥσπερ τὸ Παμφύλων, μαλακώτερον δέ· τοῦτο ἱερὰν ἐσθῆτα ποιοῦνται, καὶ μόνοις αὐτοῖς ἀνασπᾶται τῆς 1005B. γῆς. φοροῦσι δὲ καὶ δακτύλιον καὶ ῥάβδον.

ὅτι λίθον φησί, παντάρβην ὄνομα, γίνεσθαι τὴν μεγίστην κατὰ ὄνυχα δακτύλου τοῦ ἀντίχειρος· κυΐσκεσθαι δὲ αὐτὴν ἐν γῇ κοίλῃ, βάθος ὀργυαὶ τέσσαρες. τοσοῦτον δὲ αὐτῇ περιεῖναι τοῦ πνεύματος, ὡς ὑποιδεῖν τὴν γῆν καὶ κατὰ πολλὰ ῥήγνυσθαι κυϊσκομένης ἐν αὐτῇ τῆς λίθου. οὐ πᾶσι δὲ ἀνασπᾶσθαι, ἀλλὰ τοῖς τὰς ἐπ' αὐτῇ τελετὰς

a. 6. καταβ.] 3, 6. 10. τριακοντάπηχυ B et corr A: τριακοντάπηχον ς. 13. οἱ δὲ] 3, 7. 17. συναυξουμένη B. 18. ἀνίσχουσα mg: libri ἀνίουσα. ἐς A: ἐπὶ ς. δὴ] δὲ AB. πυρσοί τε καὶ πριόνωτοι γίνονται mg, πῦρ τε καὶ πριόνωτοι γίνονται AB: πύρσεται καὶ πριόνωτος γίνεται ς. 22. φασὶν ς. 23. εὕρεμα ς. 28. ἄτριπτοι] ἀστράπτουσι B et corr A. 29. μεγάλων A: μεγίστων ς. οἱ δὲ] 3, 8. 34. ἦχον A: ἠχὼ ς. ὑποκυμαίνουσιν ς. sed malim ἐπικυμαίνωσιν. 36. λαμπάδος πλέον AB: λαμπαδίας πλέων ς. αἱροῦσιν] libri αἴρουσιν.

b. 4. προσπεσοῦντες ς. 8. χρώματα Scaliger: libri χρήματα. 15. προϊόντες] 3, 9. φησιν AB. 20. φησὶ AB. 22. οὓς] ἃς AB. φασιν AB. 24. τὸ δὲ] 3, 19. 26. ἐνσκῆψαι AB: ἐνσκῆψαν ς. κομῶσι] 3, 15. ὥσπερ] ἅπερ AB. 29. παραπλησίως ς. 34. ὅτι] 3, 46. φησὶ AB: φασὶ ς. 35. τοῦ add A. 36. γῇ A: τῇ ς.

Digitized by Google

ἐπισταμένοις. αὕτη νύκτωρ μὲν ἡμέραν ἀναφαίνει καθάπερ τὸ πῦρ (ἔστι γὰρ πυρσὴ καὶ ἀκτινώδης)· εἰ δὲ μεθ' ἡμέραν ὁρῷτο, βάλλει τοὺς ὀφθαλμοὺς μαρμαρυγαῖς μυρίαις. τὸ δὲ ἐν αὐτῇ φῶς πνεῦμά ἐστιν ἀποῤῥήτου ἰσχύος· λίθους γὰρ ὁπόσας βούλει καὶ σποράδην καὶ θαλάσσῃ διαῤῥίψας, καὶ ταύτην αὐταῖς καθιμήσας, ξυλλέγοις ἂν πάσας τῇ τοῦ πνεύματος διαδόσει· ὑποκείσονται γὰρ αὐτῇ βοτρυδὸν αἱ λίθοι, καθάπερ σμῆνος. καί φησιν ὁ μυθογράφος οὗτος Φιλόστρατος ὡς ταῦτα εἰπὼν Ἰάρχας τῷ Ἀπολλωνίῳ ἔδειξε τὴν λίθον αὐτὴν καὶ ὁπόσα ἐργάζεται.

Τοὺς δὲ πυγμαίους φησὶν οἰκεῖν μὲν ὑπογείους, κεῖσθαι δὲ ὑπὲρ τὸν Γάγγην, ζῶντας τρόπον ὃς πᾶσιν εἴρηται. σκιάποδας δὲ ἀνθρώπους ἢ μακροκεφάλους ἢ ὁπόσα Σκύλακος ξυγγραφαὶ περὶ τούτων ᾄδουσιν, οὔτε ἄλλοσέ ποι βιοτεύειν τῆς γῆς οὔτε ἐν Ἰνδοῖς.

ὅτι φησίν, Ὃν ὀρύττουσι χρυσὸν οἱ γρῦπες, πέτραι εἰσὶν οἱονεὶ σπινθῆρσιν ἐστιγμέναι ταῖς τοῦ χρυσοῦ ῥανίσιν, ἃς λιθοτομεῖν τὸ θηρίον τοῦτο τῇ τοῦ ῥάμφους ἰσχύϊ. τὰ γὰρ θηρία ταῦτα εἶναί τε ἐν Ἰνδοῖς, καὶ μέγεθος καὶ ἀλκὴν εἰκάσθαι αὐτοὺς τοῖς λέουσιν, ὑπὸ δὲ πλεονεξίας τῶν πτερῶν αὐτοῖς τε ἐκείνοις ἐπιτίθεσθαι καὶ τῶν ἐλεφάντων καὶ δρακόντων ὑπερτέρους εἶναι. πέτονται δὲ οὔπω μέγα, ἀλλ' ὅσον οἱ βραχύποροι ὄρνιθες· μὴ γὰρ ἐπτιλῶσθαι σφᾶς ὡς ὄρνισι πάτριον, ἀλλ'
334 H. ὑμέσι τοὺς ταρσοὺς ὑφάνθαι πυρσοῖς. τὴν τίγριν δὲ αὐτοῖς ἀνάλωτον εἶναι μόνην, ἐπειδὴ τὸ τάχος αὐτὴν ἰσποιεῖ τοῖς ἀνέμοις.

ὅτι περὶ τοῦ φοίνικος τῆς ὄρνιθος τὰ αὐτὰ καὶ οὗτος τοῖς ἄλλοις ἅπασιν ἀναγράφει.

ὅτι δ' μῆνας τοῖς Ἰνδοῖς τὸν Ἀπολλώνιον συνδιατρῖψαί φησιν· ἐξ ἐκείνου δὲ ἐν δεξιᾷ μὲν τὸν Γάγγην ἔχοντα, ἐν ἀριστερᾷ δὲ τὸν Ὕφασιν κατιέναι ἐπὶ τὴν θάλατταν ἡμερῶν δέκα ὁδὸν ἀπὸ τοῦ ἱεροῦ ὄχθου· κατιοῦσι δὲ αὐτοῖς πολλὰ μὲν καὶ ἄλλα φανῆναι, ἀτὰρ καὶ πιθήκων γένος ἕτερον παρὰ τοὺς ἐν ταῖς πεπερίσι· μέλανές τε γὰρ καὶ λάσιοι ἦσαν καὶ τὰ εἴδη κύνειοι καὶ μικροῖς ἀνθρώποις ἴσοι. ἀφίκοντο δὲ ἐπὶ τὴν θάλατταν τὴν ἐρυθράν· ταύτην δ' εἶναί φησιν οὗτος κυανωτάτην, λαχεῖν δὲ τὴν ἐπωνυμίαν ἀπὸ Ἐρύθρα βασιλέως.

Ἐντεῦθεν ἐπιβάντες νεὼς ἐκομίζοντο λείῳ καὶ εὐφόρῳ πνεύματι, θαυμάζοντες τὸ στόμα τοῦ Ὑφάσιδος, ὡς φοβερῶς δι' αὐτοῦ ἐκχεῖται· τελευτῶν γὰρ εἰς χωρία πετρώδη καὶ στενὰ καὶ κρημνοὺς ἐκπίπτει, δι' ὧν καταῤῥηγνὺς ἐς τὴν θάλατταν ἑνὶ στόματι χαλεπὸς δοκεῖ τοῖς ἄγαν τῇ γῇ προσκειμένοις. καὶ μὴν καὶ τὸ τοῦ Ἰνδοῦ στόμα ἰδεῖν φασί· πόλιν δ' ἐπ' αὐτοῦ κεῖσθαι Πάταλα περιῤῥύτον τῷ Ἰνδῷ, εἰς ἣν τὸ ναυτικὸν τοῦ Ἀλεξάνδρου ξυνελθεῖν, οὗ Νέαρχος ἐπεστάτει. ἃ δὲ Ὀρθαγόρᾳ περὶ τῆς ἐρυθρᾶς εἴρηται, καὶ ὅτι μήτε ἡ 1008R. ἄρκτος ἐν αὐτῇ φαίνοιτο, μήτε σημαίνοιντο τὴν μεσημβρίαν οἱ πλέοντες, οἵ τε ἐπίδηλοι τῶν ἀστέρων ἐξαλλάττοιεν τῆς ἑαυτῶν τάξεως, ταῦτα δοκεῖ καὶ τούτοις.

ὅτι νῆσόν φησιν εἶναι μικράν, ὄνομα Βίβλον, ἐν ᾗ τὸ τοῦ κογχυλίου μέγεθος καὶ οἱ μύες ὄστρεά τε καὶ τὰ τοιαῦτα δεκαπλάσια τῶν Ἑλληνικῶν τὸ μέγεθος ταῖς πέτραις προσπέφυκεν. ἁλίσκεται δὲ ἐκεῖ καὶ λίθος μαργαρὶς ἐν ὀστράκῳ λευκῷ, καρδίας τρόπον ἔχουσα τῷ ὀστρέῳ.

Καταχεῖν δέ φασι καὶ ἐς Πηγάδα τῆς Ὠρειτῶν χώρας. οἱ δὲ Ὠρεῖται, χαλκαῖ μὲν αὐτοῖς αἱ πέτραι, χαλκῆ δὲ ἡ ψάμμος, χαλκοῦν δὲ ψῆγμα οἱ ποταμοὶ ἄγουσι· χρυσῖτιν δ' ἡγοῦνται τὴν γῆν διὰ τὴν εὐγένειαν τοῦ χαλκοῦ.

Φασὶ δὲ καὶ τοῖς ἰχθυοφάγοις ἐντυχεῖν, οἷς πόλιν εἶναι Στόβηρα· διφθέρας δὲ τούτους ἐνῆφθαι μεγίστων ἰχθύων. καὶ τὰ πρόβατα ἐκεῖ ἰχθυώδη εἶναι (ἐξ αὐτῶν γὰρ τρέφεται) καὶ φαγεῖν ἄτοπα.

Καρμανοὶ δὲ Ἰνδοί, γένος ἥμερον, εὔιχθυν οὕτω νέμονται θάλατταν ὡς μηδ' ἀποθέτους ποιεῖσθαι τοὺς ἰχθῦς μηδὲ ταριχεύειν· εἶναι γὰρ αὐτοῖς ἐπὶ χεῖρας τοὺς ἰχθῦς διὰ παντός, ὅσους βούλονται.

ὅτι προσπλεῦσαί φησιν αὐτοὺς καὶ Βαλάροις· ἐμπόριον δὲ τοῦτο εἶναι μεστὸν μυῤῥινῶν καὶ φοινίκων καὶ δαφνῶν καὶ κήπων παντοδαπὰ φερόντων. προκεῖσθαι δὲ τοῦ χωρίου τούτου νῆσον ἱεράν, καὶ καλεῖσθαι Σέλιρα. ταύτης τῆς νήσου τὰ τετραμμένα πρὸς τὸ πέλαγος ἐστὶ μὲν ἄπειρος πυθμὴν θαλάσσης, φέρει δ' ὄστρεον ἐν ἐλύτρῳ λευκῷ μεστὸν πιμελῆς· οὐδὲ γὰρ λίθον φύει

a. 7. ξυλλέγεις ς. ὑποκείσονται] aptius fortasse ἐπικείσονται. 8. γὰρ] καὶ γὰρ ς. 12. τοὺς δὲ] 3, 47.
ως
15. ἄλλος ἐπιβιοτεύειν A. 17. ὅτι] 3, 48. 19. ἃς] ὡς AB. 29. ὅτι] 3, 49. 31. ὅτι] 3, 50. 33. τὸν] τὴν A. 38. θάλασσαν ς. 39. φασιν οὕτως ς. b. 1. ἐντεῦθεν] 3, 51. 6. καὶ μὴν] 3, 52. καὶ post μὴν et 8. τὸ add A. 9. συνελθεῖν ς. 15. ὅτι] 3, 54. φησὶν AB: φασὶν ς. item v. 34. 21. ἐς πηγάδα AB: εὐπηγάδας ς. 26. φασὶ] 3, 55. 27. τούτοις ς. 32. ἐπὶ χεῖρας A: ἐπιχύρας ς. 34. ὅτι] 3, 56. 35. μυρίνων ς. 37. Σέλιρα AB: Σιρίλα ς. 38. ταύτης] 3, 57. τὰ add A.

οὐδένα. γαλήνην δὲ ἐπιφυλάξαντες, καὶ τὴν θάλατταν αὐτοὶ τῇ ἐπιῤῥοῇ τοῦ ἐλαίου λεάναντες, καταδύεταί
535 H. τις ἐπὶ τὴν θήραν τοῦ ὀστρέου, "τὰ μὲν ἄλλα κατασκευασάμενος ὥσπερ οἱ τὰς σπογγιὰς κείροντες, ἔστι δὲ αὐτῷ καὶ πλινθὶς σιδηρᾶ καὶ ἀλάβαστρον μύρου. παριζήσας οὖν ὁ Ἰνδὸς τῷ ὀστρέῳ δέλεαρ αὐτοῦ τὸ μύρον ποιεῖται· τὸ δὲ ἀνοίγνυταί τε καὶ μεθύει ὑπ᾽ αὐτοῦ, κέντρῳ τε διελαθὲν ἀποπτύει τὸν ἰχῶρα· ὁ δὲ ἐνδέχεται αὐτὸν τῇ πλινθίδι τύπους ὀρωρυγμένῃ. λιθοῦται δὲ τὸ ἐντεῦθεν καὶ ῥυθμίζεται καθάπερ ἡ φύσει μαργαρίς, αἷμα λευκὸν ἐξ ἐρυθρᾶς τῆς θαλάσσης. τὸ δὲ ἐντεῦθεν θηριώδη μὲν τὴν θάλασσαν εἶναι πᾶσαν, ἀγελάζεσθαι δὲ ἐν αὐτῇ τὰ κήτη, τὰς δὲ ναῦς ἔρυμα τούτου κωδωνοφορεῖν κατὰ πρύμναν τε καὶ πρῴραν, τὴν δὲ ἠχὼ ἐκπλήττειν τὰ θηρία. καταπλεύσαντες δὲ εἰς τὰς ἐκβολὰς τοῦ Εὐφράτου φασὶν ἐς Βαβυλῶνα δι᾽ αὐτοῦ ἀναπλεῦσαι.

ὅτι ὁ δ' λόγος οὐδὲν ἀλλ᾽ ἢ μῦθοι καὶ πλάσματα ἐς τὸ Ἀπολλωνίῳ κεχαρισμένον καὶ σὺν ἐπαίνῳ θαυμαζόμενον τῷ Φιλοστράτῳ συγγέγραπται.

ὅτι Εὐρώπης καὶ Λιβύης ἄκραι σταδίων ξ' πορθμὸν ἐπέχουσαι τὸν ὠκεανὸν ἐς τὰ ἔξω πελάγη φέρουσι· καὶ τὴν τῆς Λιβύης ἄκραν (ὄνομα δ᾽ αὐτῇ Ἄβιννα) λέοντες ὑπερνέμονται περὶ τὰς ὀφρῦς τῶν ὀρῶν, ἃ εἴσω ὑπερφαίνεται, συνάπτουσαν πρὸς Γαιτούλους τε καὶ Τίγγας, ἄμφω θηριώδη καὶ Λιβυκὰ ἔθνη. παρατείνει δὲ ἐσπλέοντι τὸν ὠκεανὸν μέχρι μὲν τῶν ἐκβολῶν τοῦ Σάληκος ἐννακόσια στάδια, τὸ δὲ ἐντεῦθεν οὐκ ἂν συμβάλοι τις ὁπόσα· μετὰ γὰρ τὸν ποταμὸν τοῦτον ἄβιος ἡ
1009 R. Λιβύη "καὶ οὐκέτι ἄνθρωποι. τὸ δὲ τῆς Εὐρώπης ἀκρωτήριον, ὃ καλεῖται Κάλπις, δεξιὰ μὲν ἐπέχει τοῦ ἔσπλου σταδίων ἑξακοσίων μῆκος, λήγει δὲ ἐς τὰ ἀρχαῖα Γάδειρα.

Τὰς δὲ τοῦ ὠκεανοῦ τροπὰς καὶ αὐτὸς μὲν περὶ Κελτούς, φησίν, εἶδον ὁποῖαι λέγονται· τὴν δὲ αἰτίαν ἐπὶ πολλὰ εἰκάζων, δι᾽ ἣν ἄπειρον οὕτω πέλαγος ἐπιχωρεῖ τε καὶ ἀνασπᾶται, δοκῶ μοι τὸν Ἀπολλώνιον ἐπεσκέφθαι τὸ ὄν. ἐν μιᾷ γὰρ τῶν πρὸς Ἰνδοὺς ἐπιστολῶν τὸν ὠκεανόν φησιν ὑφύδροις ἐλαυνόμενον πνεύμασιν ἐκ πολλῶν χασμάτων, ἃ ὑπ᾽ αὐτῷ τε καὶ περὶ αὐτὸν ἡ γῆ παρέχεται, χωρεῖν ἐς τὸ ἔξω, καὶ ἀναχωρεῖν πάλιν, ἐπειδὰν ὥσπερ ἆσθμα ὑπονοστήσῃ τὸ πνεῦμα. πιστοῦται δὲ αὐτὸ κἀκ τῶν νοσούντων περὶ Γάδειρα· τὸν γὰρ χρόνον ὃν πλημμυρεῖ τὸ ὕδωρ, οὐκ ἀπολείπουσιν αἱ ψυχαὶ τοὺς ἀποθνήσκοντας, ὅπερ οὐκ ἂν συμβαίνειν, εἰ μὴ πνεῦμα τῇ γῇ ἐπεχώρει. ἃ δὲ περὶ τὴν σελήνην φασὶ φαίνεσθαι τικτομένην τε καὶ πληρουμένην καὶ φθίνουσαν, ταῦτα περὶ τὸν ὠκεανὸν οἶδα· τὰ γὰρ ἐκείνης ἄνεισι μέτρα, ξυμμινύθων αὐτῇ καὶ ξυμπληρούμενος. ἡμέρα δ᾽ ἐκδέχεται νύκτα καὶ νὺξ τὴν ἡμέραν περὶ Κελτοὺς μὲν κατ᾽ ὀλίγον ὑπανιόντος τοῦ σκότους ἢ τοῦ φωτός, ὥσπερ ἐνταῦθα, περὶ Γάδειρα δὲ καὶ στήλας ἀθρόως λέγονται τοῖς ὀφθαλμοῖς ἐμπίπτειν, ὥσπερ αἱ ἀστραπαί. φασὶ καὶ τὰς "μακάρων νήσους ὁρίζεσθαι τῷ Λιβυκῷ τέρματι, 535 H.
πρὸς τὸ ἀοίκητον ἀνεχούσας ἀκρωτήριον.

τὰ δὲ Γάδειρα κεῖται μὲν κατὰ τὸ Εὐρώπης τέρμα, περιττοὶ δέ εἰσι τὰ θεῖα. γήρως οὖν βωμὸν ἵδρυνται, καὶ τὸν θάνατον μόνοι ἀνθρώπων παιωνίζονται. βωμοὶ δὲ ἐκεῖ καὶ πενίας καὶ τέχνης καὶ Ἡρακλέους δὲ Αἰγυπτίου, καὶ ἕτεροι Θηβαίου· τὸν μὲν γὰρ ἐπὶ τὴν ἐγγὺς Ἐρύθειαν ἐλάσαι φασίν, ὅτε δὴ τὸν Γηρυόνην τε καὶ τὰς βοῦς ἑλεῖν, τὸν δὲ σοφίᾳ δόντα γῆν τε ἀναμετρήσασθαι πᾶσαν ἐς τέρμα. καὶ μὴν καὶ Ἑλληνικοὺς εἶναί φασι τὰ Γάδειρα, καὶ παιδεύεσθαι τὸν ἡμεδαπὸν τρόπον. καὶ δένδρα δέ φασιν ἐνταῦθα οἷα οὐχ ἑτέρωθι τῆς γῆς· Γηρυόνεια μὲν γὰρ καλεῖσθαι αὐτά, δύο δὲ εἶναι, φύεσθαι δὲ τοῦ σήματος ὃ ἐπὶ τῷ Γηρυόνῃ ἕστηκε, παραλλάττοντα ἐκ πίτυός τε καὶ πεύκης ἐς εἶδος ἕτερον, λείβεσθαι δὲ αἵματι καθάπερ τῷ χρυσῷ τὴν Ἡλιάδα αἴγειρον. ἡ δὲ νῆσος ἐν ᾗ τὸ ἱερόν, ἔστι μὲν ὁπόση ὁ νεώς, πετρῶδες δὲ αὐτῆς οὐδέν, ἀλλὰ βαλβῖδι ξεστῇ εἴκασται. ἐν δὲ τῷ ἱερῷ τιμᾶσθαι μὲν ἄμφω τὼ Ἡρακλέε φασίν, ἀγάλματα δὲ αὐτοῖν οὐκ εἶναι, βωμοὺς δὲ τοῦ μὲν Αἰγυπτίου δύο, χαλκοῦς καὶ ἀσήμους, ἕνα δὲ τοῦ Θηβαίου. τὰς δὲ ὕδρας τε καὶ τὰς Διομήδους ἵππους καὶ τὰ δώδεκα Ἡρακλέους ἔργα ἐκτετυπῶσθαι λίθου ὄντα. ἡ Πυγμαλίωνος δὲ ἐλαία ἡ χρυσῆ (ἀνάκειται δὲ κἀκείνη ἐς τὸ Ἡράκλειον) ἀξία μέν, ὥς φασι, καὶ τοῦ θαλλοῦ θαυμάζειν ᾧ εἴκασται, θαυμάζεσθαι δ᾽ ἂν ἐπὶ τῷ καρπῷ μᾶλλον· βρύει γὰρ αὐτὸν σμαράγδου λίθου. καὶ Τεύκρου

a. 2. αὐτοὶ *B* et corr *A*: αὐτῇ ς. 5. ἀλάβαστρος ς. 8. τε διελασθὲν *A*: δὲ δελεασθὲν ς. 9. τύποις *B* et corr *A*. 11. αἷμα *AB*: καὶ ἔστιν ἡ μαργαρὶς αἷμα ς. 15. καταπλ.] 3, 58. 21. ὅτι] 5, 1. 22. ἐπέχουσαι *A*: ἔχουσαι ς. 23. Ἄβιννα] aliis Ἄβυλα dicitur. Scaliger. 25. συνάπτουσαι *AB*. 28. συμβάλλοι *A*. 31. ὃ *AB*: ἣ ς. 34. τὰς] 5, 2. 35. εἶδον] ἰνδὸν pr *A*, ἰδὼν corr. 36. ἐπιχωρεῖται καὶ *A*. b. 2. ὑπονοστήσῃ *AB*: ὑποστήσῃ ς. 3. νοσούντων] νήσων τῶν corr *A*. περὶ *A*, περὶ τὰ *B*: ἐπὶ ς. 5. μὴ] μὴ καὶ *A*. 8. οἶδα] εἶδον *B*. 9. ἡμέρα] 5, 3. 11. ὑπανιόντας *AB*. 17. περιττοὶ] 5, 4. οὖν *A*: καὶ ς. 20. τὸν *A*: καὶ τὸν ς. 21. ὅτε *A*: ὅτι ς. τὸν μὲν Γηρ. ς. 22. σοφίαν *B*. 25. καὶ δένδρα] 5, 5. 28. ἐκ *A*: δὲ ἐκ ς. 34. τοῦ μὲν *A*: τοὺς μὲν ς. 36. ἐκτετ. φασὶ λίθου ς.

τοῦ Τελαμωνίου ζωστῆρα χρυσοῦν φασὶ δείκνυσθαι, πῶς δὲ ἐς τὸν ὠκεανὸν πλεύσαντος ἢ ἐφ᾽ ὅ τι, οὔ φασιν εἰδέναι. τὰς δὲ ἐν τῷ ἱερῷ στήλας χρυσοῦ μὲν πεποιῆσθαι καὶ 1012R ἀργύρου συντετηκότοιν εἰς ἓν χρῶμα, "εἶναι δὲ αὐτὰς ὑπὲρ πῆχυν, τετραγώνου σχήματος, ὥσπερ οἱ ἄκμονες, ἐπιγεγράφθαι δὲ τὰς κεφαλὰς οὔτε Αἰγυπτίοις οὔτε Ἰνδικοῖς γράμμασιν οὔτε οἵοις ξυμβαλεῖν. ὁ δὲ Ἀπολλώνιος, ὡς οὐδὲν οἱ ἱερεῖς ἔφραζον, „οὐ συγχωρεῖ μοι" ἔφη „ὁ Ἡρακλῆς ὁ Αἰγύπτιος μὴ οὐ λέγειν ὁπόσα οἶδα. γῆς καὶ ὠκεανοῦ ξύνδεσμα αἵδε αἱ στῆλαί εἰσιν· ἐγράψατο δὲ αὐτὰς ἐκεῖνος ἐν Μοιρῶν οἴκῳ, ὡς μήτε νεῖκος τοῖς στοιχείοις ἐγγένοιτο, μήτε ἀτιμάσειαν τὴν φιλότητα ἣν ἀλλήλων ἴσχουσιν."

ὅτι τὸν Βαίτην τὸν ποταμὸν ἀναπλεῦσαί φασιν, ὃς δηλοῖ μάλιστα τὴν τοῦ ὠκεανοῦ φύσιν· ἐπειδὰν γὰρ πλημμυρῇ τὸ πέλαγος, ἐπὶ τὰς πηγὰς ὁ ποταμὸς παλίρρους ἵεται, πνεύματος δή που ἀπωθουμένου αὐτὸν τῆς θαλάττης. τὴν δὲ ἤπειρον τὴν Βαιτικήν, ἧς ὁ ποταμὸς οὗτος ὁμώνυμος, ἀρίστην ἠπείρων φασί· πόλεών τε γὰρ εὖ ἔχειν καὶ νόμων, καὶ διῆχθαι τὸν ποταμὸν ἐς τὰ ἄστη πάντα, γεωργίας τε ξυμπάσης μεστὴν εἶναι, καὶ ὡρῶν οἷαι τῆς Ἀττικῆς αἱ μετόπωροι καὶ μυστηριώτιδες.

ὅτι τοὺς περὶ τῆς Αἴτνης λόγους τῶν ποιητῶν ὡς 537 H. μύθους παραιτεῖσθαί φησι τὸν Ἀπολλώνιον, ὧδε "λέγοντα. ὁ γὰρ μῦθος, ὃν παραιτούμεθα, οὐ τῶν Αἰσώπου λόγων ἐστὶν ἀλλὰ τῶν δραματικωτέρων, καὶ ὧν οἱ ποιηταὶ θρυλοῦσιν. ἐκεῖνοι μὲν γὰρ Τυφῶ τινα ἢ Ἐγκέλαδον δεδέσθαι φασὶν ὑπὸ τῷ ὄρει, καὶ δυσθανατοῦντα ἀσθμαίνειν τὸ πῦρ τοῦτο. ἐγὼ δὲ γίγαντας μὲν γεγονέναι φημί, καὶ πολλαχοῦ τῆς γῆς ἀναδείκνυσθαι τοιαῦτα σώματα ῥαγέντων τάφων, οὐ μὴν εἰς ἀγῶνα ἐλθεῖν τοῖς θεοῖς, ἀλλ᾽ ὑβρίσαι μὲν τάχα ἐς τοὺς νεὼς αὐτῶν καὶ τὰ ἕδη, οὐρανῷ δὲ ἐπιπηδῆσαι καὶ μὴ συγχωρεῖν τοὺς θεοὺς ἐπ᾽ αὐτοῦ εἶναι μανία μὲν λέγειν, μανία δὲ οἴεσθαι. καὶ μηδὲ ἐκεῖνος ὁ λόγος, καίτοι δοκῶν εὐφημότερος εἶναι, τιμάσθω, ὡς Ἡφαίστῳ μέλει τοῦ χαλκεύειν ἐν τῇ Αἴτνῃ καὶ κτυπεῖταί τις ἐνταῦθα ὑπ᾽ αὐτοῦ ἄκμων· πολλὰ γὰρ καὶ ἄλλα [ὄρη] πολλαχοῦ τῆς γῆς ἔμπυρα, καὶ οὐκ ἂν φθάνοιμεν ἐπιφημίζοντες αὐτοῖς γίγαντας καὶ Ἡφαίστους. τίς οὖν ἡ τῶν τοιούτων ὀρῶν αἰτία; γῆ κρᾶσιν ἀσφάλτου καὶ θείου παρεχομένη τύφεται μὲν καὶ παρ᾽ ἑαυτῆς φύσει, πῦρ δὲ οὔπω ἐκδίδωσιν· εἰ δὲ σηραγγώδης τύχοι καὶ ὑποδράμοι αὐτὴν πνεῦμα, φρυκτὸν ἤδη αἴρει· πλεονεκτήσασα δὲ ἡ φλόξ, ὥσπερ τὸ ὕδωρ, ἀποῤῥεῖ τῶν ὀρῶν καὶ ἐς τὰ πεδία προχεῖται, χωρεῖ τε ἐπὶ θάλασσαν πῦρ ἀθρόον, ἐκβολὰς ποιούμενον οἷαι τῶν ποταμῶν εἰσίν.

Αἰθιοπία τῆς μὲν ὑπὸ ἡλίῳ πάσης ἐπέχει τὸ ἑσπέριον κέρας, ὥσπερ Ἰνδοὶ τὸ πρὸς ἕω· κατὰ Μερόην δὲ Αἰγύπτῳ ξυνάπτουσα, καί τι καὶ τῆς ἀμαρτύρου Λιβύης ἐπελθοῦσα, τελευτᾷ εἰς θάλασσαν, ἣν ὠκεανὸν οἱ ποιηταὶ καλοῦσι, τὸ περὶ γῆν ἅπαν ὧδε ἐπονομάζοντες. ποταμὸν δὲ Νεῖλον Αἰγύπτῳ δίδωσιν, ὃς ἐκ Καταδούπων ἀρχόμενος, ἣν ἐπικλύζει πᾶσαν Αἴγυπτον ἀπ᾽ Αἰθιόπων ἄγει. μέγεθος μὲν οὖν οὐκ ἀξία παραβεβλῆσθαι πρὸς Ἰνδοὺς ἥδε ἡ χώρα, ὅτι μηδ᾽ ἄλλη μηδεμία, ὁπόσαι κατὰ ἀνθρώπους ὀνομασταὶ ἤπειροι. εἰ δὲ καὶ πᾶσαν Αἴγυπτον Αἰθιοπίᾳ ξυμβάλλοιμεν, τουτὶ δὲ ἡγώμεθα καὶ τὸν ποταμὸν πράττειν, οὔπω ξύμμετροι πρὸς τὴν Ἰνδῶν ἄμφω ξυντεθεῖσαι. ποταμοὶ δὲ ἀμφοῖν ὅμοιοι λογισαμένῳ τὰ Ἰνδοῦ τε καὶ Νείλου. "περαίνουσί τε γὰρ τὰς ἠπείρους ἐν ὥρᾳ ἔτους, ὁπότε ἡ 1013R. γῆ ἐρᾷ τούτου, ποταμῶν τε παρέχονται μόνοι τὸν κροκόδειλον καὶ τὸν ἵππον. τὴν δὲ ὁμοιότητα τῶν ἠπείρων πιστούσθω μὲν καὶ τὰ ἐν αὐταῖς ἀρώματα, πιστούσθωσαν δὲ καὶ οἱ λέοντες καὶ ὁ ἐλέφας ἐν ἑκατέρᾳ ἁλισκόμενός τε καὶ δουλεύων. βόσκουσι δὲ καὶ θηρία οἷα οὐχ ἑτέρωθι, καὶ ἀνθρώπους μέλανας, οὗ μὴ ἄλλαι ἤπειροι· πυγμαίων τε ἐν αὐταῖς ἔθνη. γρῦπές δὲ Ἰνδῶν καὶ μύρμηκες Αἰθιόπων, εἰ καὶ ἀνόμοιοι τὴν ἰδέαν εἰσίν, ἀλλ᾽ ὅμοιά γε, ὥς φασι, βούλονται· χρυσοῦ γὰρ φύλακες ἐν ἑκατέρᾳ ᾄδονται, τὸ χρυσόγεων τῶν ἠπείρων ἀσπαζόμενοι.

Αἰθιόπων δὲ καὶ Αἰγυπτίων ὅρια τὸ καλούμενον Συκάμινον· οὗ παραγεγονότα τὸν Ἀπολλώνιον "χρυσῷ 538 H. τε ἀσήμῳ φησὶν ἐντυχεῖν καὶ λίνῳ καὶ ἐλέφαντι καὶ ῥίζαις καὶ μύρῳ καὶ ἀρώμασι, κεῖσθαι δὲ πάντα ἀφύλακτα ἐν ὁδῷ σχιστῇ. ἡ δὲ αἰτία αὕτη· ἀγορὰν Αἰθίοπες ἀπάγουσιν ὧν Αἰθιοπία δίδωσιν· οἱ δὲ ἀνελόμενοι πᾶσαν ξυμφέρουσιν εἰς τὸν αὐτὸν χῶρον ἀγορὰν Αἰγυπτίαν ἴσου ἀξίαν, ὠνούμενοι τῶν αὐτοῖς ὄντων τὰ οὐκ ὄντα. οἱ δὲ τὰ ὅρια τῶν ἠπείρων οἰκοῦντες οὔπω

a. 8. οἱ om *AB*. 14. ὅτι] 5, 6. Βαίτην *AB*: Βέτην ς. 15. πλημμυροῖ ς. 22. οἷαι add *AB*. 23. ὅτι] 5, 16. 27. θρυλλοῦσιν ς. 30. τοιαυτὶ *A*. 34. αὐτοῦ] αὐτοὺς *A*. 38. ὄρη om *AB*. 40. τίς] 5, 17.
b. 1. δὲ καὶ σηρ. ς. 2. τύχῃ *A*. 5. πῦρ ἀθρόον om *AB*. 7. Αἰθιοπία] 6, 1. 8. Ἰνδοὶ *A*: ἰνδῷ ς. 13. ἣν om *AB*. 16. ὠνόμασται *AB*. 17. ξυμβάλλοιμεν — ἡγώμεθα *AB*: ξυμβάλοιμεν — ἡγούμεθα ς. 18. ξύμμετροι — ξυντεθεῖσαι *A*: ξύμμετρον — τοσαύτῃ ξυντεθεῖσα ς. 21. πιαίνουσι Schottus. 22. τε *AB*: δὲ ς. 24. πιστούσθω pr *A*. 33. Αἰθιόπων] 6, 2. 35. καὶ λίνῳ om *AB*.

Digitized by Google

μέλανες, ἀλλ' ὁμόφυλοι τὸ χρῶμα· μελαίνονται γὰρ οἱ μὲν ἧττον Αἰθιόπων, οἱ δὲ μᾶλλον Αἰγυπτίων.

Ἐντεῦθέν φησι τὸν Ἀπολλώνιον χωρεῖν ἐπὶ Μέμνονος, ἡγεῖσθαι δὲ αὐτοῖς μειράκιον Αἰγύπτιον, Τιμασίων ὄνομα. κακῶς δέ φησι πεπραχέναι Ἀπολλώνιον ἀφικόμενον ἐς τοὺς τῶν Αἰθιόπων γυμνούς, καὶ οὐχ ὅμοια ὧν ἐξενίσθη παρὰ τοῖς τῶν Ἰνδῶν Βραχμᾶσι. τὸ δὲ αἴτιον, φησίν, ὅτι Εὐφράτης τις φιλοσοφεῖν ἐπιτηδεύων καὶ εἰς διαφορὰν ἐλθὼν Ἀπολλωνίῳ, τὰς ἀκοὰς τῶν γυμνῶν ταῖς κατὰ Ἀπολλωνίου προκαταχὼν διαβολαῖς, κακῶς αὐτοὺς πρὸς αὐτὸν διακεῖσθαι παρεσκεύασε. πολλῷ δὲ κρείττους ἐπὶ σοφίᾳ τε καὶ τοῖς ἄλλοις τοὺς παρὰ Ἰνδοῖς Βραχμᾶνας τῶν παρὰ Αἰθίοψι γυμνῶν ἀποφαίνεται. οἰκεῖν δὲ τοὺς γυμνοὺς ὑπαιθρίους φησὶ καὶ ὑπὸ τῷ οὐρανῷ αὐτῷ, ἐπί τινος δὲ γηλόφου ξυμμέτρου, μικρὸν ἀπὸ τῆς ὄχθης τοῦ Νείλου. ἐποιήσατο δὲ τὴν πρὸς αὐτοὺς ὁδὸν ὁ Ἀπολλώνιος ἀπὸ θαλάσσης καὶ διὰ τοῦ Νείλου.

Συνδιατρίψας δὲ ἐπ' ὀλίγον χρόνον τοῖς γυμνοῖς καὶ προσειπὼν ἅμα τοῖς σὺν αὐτῷ, ἐπορεύοντο τὴν ἐς τὰ ὄρη τείνουσαν ἀριστεροὶ τοῦ Νείλου, τάδε ὁρῶντες λόγου ἄξια. οἱ Κατάδουποι γεώδη ὄρη, παραπλήσια τῷ Λυδῷ Τμώλῳ· κατάρρους δὲ ἀπ' αὐτῶν φέρεται Νεῖλος, ἣν ἐπισπᾶται γῆν ποιῶν Αἴγυπτον. ἡ δὲ ἠχὼ τοῦ ῥεύματος καταρρηγνυμένου τῶν ὀρῶν, καὶ ψόφῳ ἅμα ἐς τὸν Νεῖλον ἐκπίπτοντος, χαλεπὴ δοκεῖ καὶ οὐκ ἀνεκτὴ ἀκοῦσαι· καὶ πολλοὶ τῶν πρόσω τοῦ μετρίου προσελθόντες ἀνέζευξαν ἀποβαλόντες τὸ ἀκούειν.

Προϊόντι δὲ τῷ Ἀπολλωνίῳ καὶ τοῖς ἀμφ' αὐτὸν μαστοὶ ὀρῶν ἐφαίνοντο παρεχόμενοι δένδρα, ὧν Αἰθίοπες τὰ φύλλα καὶ τὸν φλοιὸν καὶ τὸ δάκρυον καρπὸν ἡγοῦνται. ἑώρων δὲ καὶ λέοντας ἀγχοῦ τῆς ὁδοῦ καὶ παρδάλεις καὶ τοιαῦτα θηρία ἕτερα· ἐπῄει δὲ οὐδὲν αὐτοῖς, ἀλλ' ἀπεπήδα σφῶν ὥσπερ ἐκπεπληγμένα τοὺς ἀνθρώπους. ἔλαφοι δὲ καὶ δορκάδες καὶ στρουθοὶ καὶ ὄνοι, πολλὰ μὲν καὶ ταῦτα ἑωρᾶτο, πλεῖστα 1016R. δὲ οἱ βόαγροί τε καὶ οἱ βούτραγοι· σύγκειται δὲ τὰ θηρία ταῦτα, τὸ μὲν ἐλάφου τε καὶ ταύρου, τὸ δὲ ἀφ' οὗπερ τὴν ἐπωνυμίαν εὕρηκε. καὶ ὀστοῖς δὲ τούτων ἐνετύγχανον καὶ ἡμιβρώτοις σώμασιν· οἱ γὰρ λέοντες, ἐπειδὰν θερμῆς τῆς θήρας ἐμφορηθῶσιν, ἀτιμάζουσιν αὐτῆς τὰ περιττά, πιστεύοντες οἶμαι τὸ καὶ αὖθις θηράσειν.

Ἐνταῦθα νομάδες οἰκοῦσιν Αἰθίοπες, ἐφ' ἁμαξῶν πεπολισμένοι, καὶ πλησίον τούτων οἱ τοὺς ἐλέφαντας θηρῶντες· κατακόπτοντες δὲ αὐτοὺς ποιοῦνται ἀγοράν, 539H. ὅθεν ἐπώνυμοί εἰσι τῆς τῶν ἐλεφάντων βρώσεως. Νασαμῶνες δὲ καὶ ἀνδροφάγοι καὶ πυγμαῖοι καὶ σκιάποδες, ἔθνη μὲν Αἰθιόπων καὶ οἵδε, καθήκουσι δὲ ἐς τὸν Αἰθίοπα ὠκεανόν, ὃν μόνον ἐσπλέουσιν ἀπενεχθέντες ἄκοντες.

Διαλεγομένους δὲ ὑπὲρ τῶν θηρίων τοὺς ἄνδρας, καὶ φιλοσοφοῦντας ὑπὲρ τῆς φύσεως ἄλλο ἄλλως βοσκούσης, ἠχὼ προσέβαλλεν οἷον βροντῆς οὔπω σκληρᾶς ἀλλὰ κοίλης ἔτι καὶ ἐν τῷ νέφει. καὶ ὁ Τιμασίων „ἐγγὺς" ἔφη „ὁ καταρράκτης ὁ πρῶτος μὲν ἀνιόντων, ὕστατος δὲ κατιόντων." τέσσαρες δ' ἄρα οἱ καταρράκται. στάδια δὲ ἴσως προελθόντες δέκα ἰδεῖν φασὶ ποταμὸν ἐκδιδόμενον τοῦ ὄρους, μείω οὐδὲν ἢ ἐν πρώταις συμβολαῖς ὁ Μαρσύας καὶ ὁ Μαίανδρος. χωροῦντες δὲ πρόσω θηρία μὲν οὐκέτι ὁρᾶν (ψοφοδεᾶ γὰρ φύσει ὄντα προσοικεῖν τοῖς γαληνοῖς ὕδασι μᾶλλον ἢ τοῖς ῥαγδαίοις τε καὶ ἐνήχοις), ἑτέρου δὲ καταρράκτου ἀκοῦσαι μετὰ πεντεκαίδεκά που στάδια, χαλεποῦ ἤδη καὶ οὐκ ἀνεκτοῦ ἀκοῦσαι· διπλάσιον μὲν γὰρ εἶναι αὐτὸν τοῦ προτέρου, ὀρῶν δὲ ὑψηλοτέρων ἐκπίπτειν. ἑαυτὸν μὲν οὖν καί τινας τῶν ἑταίρων οὕτω τι ἐκκτυπηθῆναι τὰ ὦτά φησιν ὁ Δάμις, ὡς αὐτός τε ἀναζεῦξαι τοῦ τε Ἀπολλωνίου δεῖσθαι μὴ πρόσω χωρεῖν. τὸν δὲ ἐρρωμένως ξύν τε τῷ Τιμασίωνι καὶ ἑτέρῳ τινὶ τοὔνομα Νείλῳ τοῦ τρίτου καταρράκτου ἔχεσθαι, περὶ οὗ τάδε ἀπαγγεῖλαι ἥκοντα. ἐπικρεμᾶσθαι μὲν τῷ Νείλῳ κορυφὰς ἐκεῖ σταδίων μάλιστα ὀκτὼ ὕψος, τὴν δὲ ὄχθην τὴν ἀντικειμένην τοῖς ὄρεσιν ὀφρὺν εἶναι λιθοτομίας ἀρρήτου, τὰς δὲ πηγὰς ἀποκρεμαννυμένας τῶν ὀρῶν ὑπερπίπτειν εἰς τὴν πετρώδη ὄχθην, ἀναχεῖσθαι δὲ ἐκεῖθεν ἐς τὸν Νεῖλον κυμαινούσας τε καὶ λευκάς, τὰ δὲ πάθη τὰ περὶ αὐτὰς ξυμβαίνοντα πολλαπλασίας ἢ αἱ πρότεραι οὔσας, καὶ τὴν πηδῶσαν ἐκ τούτων ἠχὼ ἐς τὰ ὄρη δυσήκοον ἐργάζεσθαι τὴν ἱστορίαν τοῦ ῥεύματος. τὴν δὲ πρόσω ὁδὸν τὴν ἐπὶ τὰς πρώτας πηγὰς ἄγουσαν ἄπορον μὲν ἐλθεῖν φασίν,

a. 3. ἐντεῦθεν] 6, 3. 4. τιμασίων B et corr A: τιμάσιον ς. 6. ἀφικόμενος A. 15. φασὶ ς. 17. ὁ om A. 19. συνδιατρ.] 6, 23. 23. τῷ λυδῷ B et corr A: τῶν λυδῶν ς. 28. libri ἀποβάλλοντες. 29. προϊόντι] 6, 24. 33. ἐποίει ς. 39. εὕρηκε B, ἥιρηκε A: εἴρηκε ς.

b. 1. τὸ] malim τῷ. 3. ἐνταῦθα] 6, 25. ἐπ' ἀμαξῶν πεπολισμένοι ς. 7. Νασσάμωνες ς. 11. διαλεγ.] 6, 26. 19. χωροῦντας ς. 24. ἀκοῦσαι A: ἀκούεσθαι ς. 26. ἑταίρων corr A: ἑτέρων ς. 27. αὐτόν B. τε A: γε ς.

ἄπορον δὲ ἐνθυμηθῆναι· πολλὰ γὰρ καὶ περὶ δαιμόνων ᾄδουσιν, οἷα καὶ Πινδάρῳ κατὰ σοφίαν ὕμνηται περὶ τοῦ δαίμονος, ὃν ταῖς πηγαῖς ταύταις ἐφίστησιν ὑπὲρ ξυμμετρίας τοῦ Νείλου.

ὅτι Δομετιανόν φησι τὸν βασιλέα νομοθετῆσαι εὐνούχους τε μὴ ποιεῖν καὶ ἀμπέλους μὴ φυτεύειν, ἀλλὰ καὶ τὰς οὔσας ἐκτέμνειν. εἰπεῖν δὲ πρὸς ταῦτα τὸν Ἀπολλώνιον ὡς „ἐγὼ μὲν ἴσως οὔτε αἰδοίων δέομαι οὔτε οἴνου, λέληθε δὲ ὁ θαυμασιώτατος τῶν μὲν ἀνθρώπων φειδόμενος, τὴν δὲ γῆν εὐνουχίζων.”

1017R. ὅτι ἐν τῷ ζ´ καὶ η´ λόγῳ ὁ Φιλόστρατος τὴν πρὸς τοὺς τυράννους, καὶ μάλιστα πρὸς Δομετιανόν, τοῦ Ἀπολλωνίου παῤῥησίαν ἐξυμνήσας, καὶ εἰπὼν ὅπως τε ἐγράφη καὶ ὅπως αὐτόκλητος πρὸς τὴν δίκην ἧκεν, ὅπως τε γέγονεν ἐν ἀδέσμῳ φρουρᾷ, καὶ ὅπως ὕστερον ἐδέθη καὶ ἐλύθη καὶ ἀπελογήσατο καὶ τοῦ δικαστηρίου ἀπέστη, ταῦτα 540 H. εἰπών, καὶ μαγικῆς αὐτὸν οὐδ᾽ ὁπωστιοῦν μεταχεῖν, ἀλλὰ καὶ εἴ τις ἄλλος μυσάττεσθαι ταύτην ἀπισχυρισάμενος, καίτοι πολλὰ τερατώδη γράφων περὶ αὐτοῦ, τὸν θάνατον ἄδηλον καὶ πολύφημον ἀναγράφει γενέσθαι, αὐτοῦ ἐκείνου τοῦτο καὶ ζῶντος ἐν μελέτῃ ποιουμένου. φησὶ γὰρ αὐτὸν λέγειν ἀεὶ „λάθε βιώσας· εἰ δὲ μή, λάθε ἀποθανών.” ἀρεταῖς λέγει συνεζηκέναι τὸν ἄνδρα, καὶ τὴν Πυθαγόρου διὰ βίου σοφίαν ἐζηλωκέναι.

Οὗτος δ᾽ ὁ Φιλόστρατος ἀπαγγελίᾳ μὲν κέχρηται γλυκείᾳ καὶ ποικιλωτάτῃ καὶ λέξεσιν ἐμπρεπούσαις φράσει τοιαύτῃ, συντάξεσι μέντοι γε τοιαύταις οἵαις οὐκ ἄν τις ἄλλος ἐς τὸ συγγράφειν τεταγμένος· δοκοῦσι γάρ πως ἀσυνταξίαις μᾶλλον ἐοικέναι ἢ συντάξεως ὁτιοῦν μετέχειν. οὗτος δ᾽ ἴσμεν ὁ ἀνὴρ ὡς πολυμαθέστατος ὢν οὐκ ἂν διαμαρτίᾳ τοῦ ὀρθοῦ εἰς ταύτην ἐξηνέχθη τὴν ἰδιότροπον τῶν συντάξεων καινοτομίαν, ἀλλ᾽ ἃ τισι τῶν ἀρχαιοτέρων σπανιάκις ἴσως εἴρηται, τούτοις οὗτος εἰς κόρον ἀπεχρήσατο, πεπαῤῥησιασμένην αὐτῶν τὴν χρῆσιν ἐπιδεικνύμενος, καὶ οὐδ᾽ εἰς μάτην, ἀλλὰ τοῦ ἡδέος χάριν· ἔχουσι γὰρ καὶ τὰ τοιαῦτα τῶν λόγων τὸ ἐπαγωγὸν καὶ ἐπαφρόδιτον.

**Ἐκ τοῦ αὐτοῦ βίου ὅσα παρεῖται κάλλει ῥημάτων καὶ συνθήκης διαλάμποντα.**

καὶ Πυθαγόρας αὐτὸς καὶ Δημόκριτος ὁμιλήσαντες μάγοις, καὶ πολλὰ δαιμόνια εἰπόντες, οὔπω ὑπήχθησαν τῇ τέχνῃ. καὶ τίς οὐκ οἶδε τὸν Ἀναξαγόραν Ὀλυμπίασι μέν, ὁπότε ἥκιστα ὗοι, παρελθόντα ὑπὸ κωδίῳ εἰς τὸ στάδιον ἐπὶ προῤῥήσει ὄμβρου; ὑφ᾽ ὧν ἔψαυσε τοῦ θεῖός τε καὶ δαιμόνιος εἶναι. τῇ μάγῳ τέχνῃ. μετέχοντι δέ μοι τοῦ περὶ αὐτὴν κύκλου· καὶ γὰρ τοὺς ῥητορικοὺς πάντας λόγους ἐπῄνει καὶ ἠσπάζετο. παρ᾽ ὧν ὑπάρχει μαθεῖν ὡς ὑποθειάζων τὴν φιλοσοφίαν ἐγένετο. κύκνοι τοίνυν, οὓς ὁ λειμὼν ἔβοσκε, χορὸν στήσαντες περὶ τὴν Ἀπολλωνίου μητέρα καθεύδουσαν, καὶ τὰς πτέρυγας (ὥσπερ εἰώθασιν) ἄραντες, ἀθρόον ἤχησαν· καὶ γάρ τι καὶ ζεφύρου ἦν ἐν τῷ λειμῶνι. ἡ δὲ ἐξέθορέ τε ὑπὸ τῆς ᾠδῆς καὶ ἀπέτεκεν. ἱκανὴ δὲ πᾶσα ἔκπληξις μαιεύσασθαι καὶ πρὸ τῆς ὥρας. ὀφθαλμοὶ δὲ πάντες ἐς αὐτὸν ἐφέροντο.

σκωπτόλαι τε καὶ ὑβρισταὶ πάντες· καὶ δεδώκασι τῇ ὀθόνῃ [μᾶλλον] πάντες ἢ σοφίᾳ Ἀθηναῖοι. προάστειον ἐν ᾧ κῆποι ἁπαλοὶ ἦσαν. ὅ τε Κιλίκιος λόγος „ποῖ τρέχεις; ἢ ἐπὶ τὸν ἔφηβον;” ἐπὶ Ἀπολλωνίῳ τε ἐλέγετο καὶ παροιμιώδη τιμὴν εἶχε. τὴν δὲ οὐσίαν λαμπρὰν οὖσαν διέλαχε πρὸς τὸν ἀδελφόν. φιλοσοφίας γὰρ πάσης ἠχὼ ἐν αὐτῷ ἦν. ὅτι ἐρομένου τὸν Ἀπολλώνιον τοῦ Εὐξένου τί δῆτα οὐ ξυγγράφοι, καίτοι ἀπαγγελίᾳ χρώμενος δοκίμῳ τε καὶ διεγηγερμένῃ, ὅτι οὔπω ἔφη ἐσιώπησα. καὶ λιμὸς ἦν, ὄροβοι δὲ ὤνιοι, καὶ τὰ εἰς βρῶσιν ἀναγκαῖα διέβοσκεν αὐτούς. 541 H. κελαρύζει τῶν πηγῶν οὐδεμία. κυπαρίττου τι ἔρνος ἡ γῆ ἀνέδωκεν. ὅτι ὁ Ἀπολλώνιος λόγων ἰδέαν ἐπήσκησεν οὐ διθυραμβώδη καὶ φλεγμαίνουσαν ποιητικοῖς ὀνόμασιν, 1020R. οὐδ᾽ αὖ κατεγλωττισμένην καὶ ὑπεραττικίζουσαν· ἀηδὲς γὰρ τὸ ὑπὲρ τὴν μετρίαν Ἀτθίδα ἡγεῖτο. καὶ αἱ δόξαι βραχεῖαι καὶ ἀδαμάντινοι· κύριά τε ὀνόματα καὶ προσπεφυκότα τοῖς πράγμασι· καὶ τὰ λεγόμενα ἠχὼ εἶχεν ὥσπερ ἀπὸ σκήπτρου θεμιστευόμενα. καὶ ἀφικνεῖται ἐς τὴν ἀρχαίαν Νῖνον, ἐν ᾗ ἄγαλμα ἵδρυται τρόπον βάρβαρον. ἔστι δὲ ἄρα Ἰὼ ἡ Ἰνάχου, καὶ κέρατα τῶν κροτάφων ἐκκρούει μικρὰ καὶ οἷα μέλλοντα. ὁ μὲν δὴ Δάμις ὥσπερ

a. 3. ἀφίστησιν A. 5. ὅτι] 6, 42. 15. ἐν om AB. 17. αὐτὸν οὐδ᾽ ὁπωστιοῦν A: οὐδ᾽ ὅπως τι αὐτὸν ς. 20. ἀναγράφει AB: ἔφη ς. 21. τοῦτο B: τούτου ς. 33. ἀλλ᾽ ἃ τισι A: ἀλλά τι ς.
b. 1. καὶ Π.] 1, 2. p. Olear. 3. 3. καὶ τίς] p. 6. 4. προελθόντα Suidas v. Ἀναξαγόρας. 7. μετέχοντι] 1, 5. 10. κύκνοι] 1, 5. 16. ὀφθ.] 1, 7. ἐς] πρὸς B. 18. μᾶλλον et προάστειον om AB. 19. ὅ τε] 1, 8 extr. 20. ἐπὶ B: ἢ ἐπὶ ς. 21. ἐγένετο ς. τὴν δὲ] 1, 13. 23. ὅτι] 1, 14. 26. ἐσιώπησα AB: ἐσιώπα ς. καὶ λιμὸς] 1, 15. 28. κελαρ.] 1, 16. 29. ἔδωκεν AB. ὅτι] 1, 17. ὁ add A. 32. ἀττικίζουσαν ς. 35. σκήπτου ς. 36. καὶ ἀφ.] 1, 19. 37. δὲ ἄρα om AB. 38. Ἰὼ A: Ἰνὼ ς.

δαίμονα τὸν Ἀπολλώνιον ἔβλεπε, συνῆν τε αὐτῷ ἐπιδιδοὺς τὴν σοφίαν καὶ ὅ τι μάθοι μνημονεύων. φωνὴ δ' ἦν τῷ Ἀσσυρίῳ συμμέτρῳ πράττουσα· τὸ γὰρ λογοειδὲς οὐκ εἶχεν. οἰκοῦσι γὰρ Ἐρετριεῖς ἐν τῇ Μηδικῇ, Βαβυλῶνος οὐ πολὺ ἀπέχοντες δρομικῷ ἀνδρί. οἱ πρόσοικοι τῷ λόφῳ βάρβαροι, σπειρόντων τῶν Ἐρετριέων αὐτόν, ἐληΐζοντο τὰ φυόμενα περὶ τὸ θέρος ἥκοντες, ϗ πεινῆν ἔδει γεωργοῦντας ἑτέροις. φασὶ δὲ καὶ ἀνδρῶνι ἐντυχεῖν, οὗ τὸν ὄροφον ἐς θόλου ἀνῆχθαι σχῆμα, οὐρανῷ τινὶ εἰκασμένον. σαπφειρίνῃ δὲ αὐτὸν κατηρέφθαι λίθῳ· κυανωτάτη δὲ ἡ λίθος καὶ οὐρανία ἰδεῖν. ὁ δὲ βραχὺ ἐπισχὼν αὔριον, ἔφη, ὦ Δάμι, μάθοις ἂν ὅτι καὶ εὐνοῦχοι ἐρῶσι, καὶ τὸ ἐπιθυμητικόν, ὅπερ εἰσάγονται διὰ τῶν ὀφθαλμῶν, οὐκ ἀπομαραίνεται σφῶν, ἀλλ' ἐμμένει θερμόν τε ϗ ζώπυρον. εἰ δὲ καὶ τέχνη τις ἦν ἀνθρωπεία τύραννος ϗ δυνατὴ τὰ τοιαῦτα ἐξωθεῖν τῆς γνώμης. ἔζων γε ὑπὸ τοῖς τῆς ἀρετῆς ὀφθαλμοῖς. νῦν δὲ καὶ ξυγκατακείμενον εὑρηκέναι καὶ ἀνδριζόμενον ἐπὶ τὴν γυναῖκα. ἀλλὰ τοξεύσειε τὸν ὄρνιν, ὃν ἔβοσκεν ὁ Προμηθεὺς τοῖς σπλάγχνοις. ἐντυγχάνουσιν ἐπ' ἐλεφάντων ὀχουμένοις ἀνθρώποις· εἰσὶ δ' οὗτοι μέσοι Καυκάσου καὶ ποταμοῦ Κωφῆνος, ἄβιοί τε καὶ ἱππόται τῆς ἀγέλης ταύτης. ἐδέξαντο τὸν λόγον τοῦτον, καὶ ἠσπάσαντο εὐωχεῖσθαι. ϗ τὴν Νύσσαν αὐτῷ Διονύσῳ φασὶν ἐκφυτεῦσαι, ἀπάγοντα ἐκ Θηβῶν τὸ γόνυ τῆς ἀμπέλου. ὁ δὲ Ἀλέξανδρος φιλότιμός τε ἦν καὶ ἀρχαιολογίας ἥττων. ὅτι οἱ ἐλέφαντες ὑπὲρ τὰ τπ' ἔτη βιοῦσιν, ὡς δείκνυσιν ἡ πεῖρα. εἰ γὰρ φωράσειαν οἱ λέοντες τὰς λεαίνας ἐκ τῶν πορδάλεων τεκεῖν, διασπῶνται τοὺς σκύμνους καὶ ξαίνουσι τὴν σπορὰν ὡς νόθον. ὡς μὴ προσδέξασθαι τριῶν ἡμερῶν σῖτον διὰ τὸν θάνατον τοῦ σκύμνου, καίτοι βορωτάτη θηρίων οὖσα. οἱ δὲ ἐλάττους τῶν ἐλεφάντων προπορευόμενοι οὐδὲν ἂν βλάπτοιεν τὴν τῶν μειζόνων διαπορείαν ἧττον ἐμβοθρεύοντες. ὅτι ὁ Ἀπολλώνιος ἀπαράδεκτον ἡγεῖται τὸν λόγον, ὃς λέγει τὰς ἐχίδνας τίκτεσθαι φθειρούσας τὴν μητρῴαν νηδύν. μηδὲ γὰρ δυνατὸν ὅλως τοῦτο ἐπί τινος ὁρᾶσθαι· καὶ ἥ τε φύσις [illegible]
ἀπαιτεῖ, ϗ ἡ πεῖρα συνᾴδει. ὅτι ὁ Ἰνδὸς τρέφει ὄφεις πηχῶν ἑβδομήκοντα. ϗ τὸν κόσμον ἀγαπᾶσθαι μᾶλλον ἢ τὰ ἐν Βαβυλῶνι φλεγμαίνοντα. οὔτε Ὁμήρου ἐπαινέτου ἔτυχεν, ὑφ' οὗ πολλοὶ ϗ τῶν μὴ πάνυ σπουδαίων ἐς ὄνομα ἤχθησαν. λέγειν ἤδη παρεσκευασάμην, ὡς μηδὲν ἐλλείψων τοῦ πᾶς ἀνὴρ γενέσθαι σφίσιν. ἐκ τούτου μὲν δὴ ξυνῆκεν ὁ Ἀπολλώνιος ὡς βασιλεὺς ἐκεῖνος οὐκ ὀλίγῳ μέρει, φιλοσοφίᾳ δὲ πάσῃ τοῦ Φραώτου λείποιτο. ὅτι Ἀπολλώνιον ξυμφιλοσοφήσαντα τῷ Ἰάρχᾳ ξυγγράψαι μὲν ἐκεῖθεν 1021 R
περὶ μαντείας, ξυγγράψαι δὲ περὶ θυσιῶν. πολυμαθέστατόν τε ϗ φιλομαθείας ἥττω. Ἰάρχας δὲ περὶ μαντικῆς πολλὰ μὲν ἀγαθὰ ἔλεγε τοὺς ἀνθρώπους εἰργάσθαι, μέγιστον δὲ τὸ τῆς ἰατρικῆς δῶρον· οὐ γὰρ ἄν ποτε τοὺς σοφοὺς Ἀσκληπιάδας ἐς ἐπιστήμην τούτου προελθεῖν, εἰ μὴ παῖς Ἀπόλλωνος Ἀσκληπιὸς γενόμενος, ϗ κατὰ τὰς ἐκείνου φήμας τε ϗ μαντείας ξυνθεὶς τὰ πρόσφορα ταῖς νόσοις φάρμακα, παισί τε αὐτοῦ παρέδωκε ϗ τοὺς ξυνόντας ἐδιδάξατο, τίνας μὲν δεῖ προσάγειν πόας ὑγροῖς ἕλκεσι, τίνας δὲ αὐχμηροῖς ϗ ξηροῖς, ξυμμετρίας τε ποτίμων φαρμάκων, ἀφ' ὧν ὕδεροι ἀποχετεύονται αἷμά τε ἴσχεται καὶ τὰ ἄλλα ἰάσεως τυγχάνει. ὅτι τοὺς ἐν Ἰνδοῖς γρῦπας μέγεθος μὲν καὶ ἀλκὴν εἰκάσθαι φησὶ τοῖς λέουσιν, ὑπὸ δὲ πλεονεξίας τῶν πτερῶν αὐτοῖς τε ἐκείνοις ἐπιτίθεσθαι καὶ τῶν ἐλεφάντων δὲ καὶ δρακόντων ὑπερτέρους εἶναι. πέτονται δὲ οὔπω μέγα, ἀλλ' ὅσον οἱ βραχύποροι ὄρνιθες· μὴ γὰρ ἐπτιλῶσθαι σφᾶς ὡς ὄρνισι πάτριον, ἀλλ' ὑμέσι τοὺς ταρσοὺς ὑφάνθαι πυρσοῖς, ὡς πέτεσθαί τε καὶ ἐκ μετεώρου μάχεσθαι. τὴν τίγριν δὲ αὐτοῖς ἀνάλωτον εἶναι μόνην, ἐπειδὴ τὸ τάχος αὐτὴν ἰσοποιεῖ τοῖς ἀνέμοις.

ἀλλὰ ἀπαγγέλλεται ἥδιστος καὶ τῶν ἐν θαλαττουργίᾳ θαυμασιώτερος. οὐχ ὥσπερ οἱ Σωκρατικοὶ τῶν μὲν ἄλλων ἀπάγων ϗ ἀποσπουδάζων, φιλοσοφίᾳ δὲ μόνῃ συμβουλεύων, ἀλλὰ ϗ ἑξῆς. ϗ εἰ καλλίστη πόλεων ὁπόσαι ὑπὸ ἡλίῳ εἰσί, ϗ τὸ πέλαγος οἰκεῖον, ζεφύρου τε πηγὰς ἔχει. ἀλλὰ ἀνδράσιν αὐτὴν ἐσεφανῶσθαι ἥδιον.

a. 3. σὺν μέτρῳ B. 4. οἰκοῦσι] 1, 24. 7. αὐτῶν A. 8. φασὶ] 1, 25. 12. ὁ δὲ] 1, 34. αὔριον add A. 17. ἔζων] 1, 35. 18. νῦν] 1, 37. 20. ἀλλὰ] 2, 3. 21. ἐντυγχ.] 2, 6. 24. ἐδέξ.] 2, 7 extr. 25. καὶ τὴν] 2, 9. αὐτῷ] τῷ B. 26. φησὶν A. 28. ὅτι] 2, 12. 29. εἰ] 2, 14. 34. οἱ δὲ] 2, 15 extr. 35. διαπορίαν ς. 36. ἐμβαίνοντες B. ὅτι] 2, 14. 38. γὰρ om B.

b. 2. ὅτι] 2, 17. 3. καὶ τὸν] 2, 25. 4. οὔτε] 3, 22. 5. ὑφ' οὗ πολλοὶ καὶ τῶν μὴ π. σπ. AB: ἐφ' οὗ μὴ τῶν π. σπ. πολλοὶ ς. 6. λέγειν] 3, 24. παρεκελευσάμην AB. 8. σφίσιν] ἅ φησιν AB. ἐκ] 3, 26. 10. ὅτι] 3, 41. 12. πολυμαθ.] 3, 43. 13. Ἰάρχας] 3, 44. 14. ἀγαθὰ post εἰργάσθαι ponit B. 16. παρελθεῖν ς. 22. ἀφ'] immo ὑφ'. 24. ὅτι] 3, 48. μὲν add A. 25. φησὶ AB: φασὶ ς. 33. ἀλλὰ — 34. θαυμασιώτερος (3, 57) om B. 34. οὐχ] 4, 2. μὲν om AB. 35. σπουδάζων ς. συμβουλεύων ἀλλὰ A: ξυμβουλεύων ς. 36. καὶ εἰ] 4, 7. καλλίστη A: καὶ καλλίστη ς. 38. ἀλλὰ δὲ ἀνδρ. ς.

Digitized by Google

ὅτι Ἀπολλώνιος τὴν ὀρθῶς οἰκησομένην πόλιν ἔλεγεν ὁμονοίας δεῖσθαι στασιαζούσης. τοῦτο δὲ τοιοῦτόν ἐστι. στάσις ἡ μὲν ἐπὶ ξίφη καὶ τὸ καταλιθοῦν ἀλλήλους ἄγουσα ἀπίστω πόλεως, ἣ παιδοτροφίας τε δεῖ καὶ νόμων καὶ ἀνδρῶν, ἐφ' οἷς λόγοι καὶ ἔργα. φιλοτιμία δὲ ἡ πρὸς ἀλλήλους ὑπὲρ τοῦ κοινοῦ, καὶ πῶς ὁ μὲν γνώμης εἴποι βελτίω γνώμην, ὁ δὲ ἑτέρου ἄμεινον ἀρχῆς προσταίη, ὁ δὲ πρεσβεύσειεν, ἔρις οἶμαι αὕτη ἀγαθὴ καὶ στάσις ὑπὲρ τοῦ κοινοῦ. εἰ δὲ ἓν τούτων εἷς ἐλλείψει τι τῶν ἑαυτοῦ ἔργων ἢ ἀμαθῶς τῆς ναυτικῆς ἅψεται, πονηρὸν πλευσοῦνται, καὶ ὁ χειμὼν αὐτοὶ δόξουσιν. εἰ δὲ φιλοτιμήσονται πρὸς ἑαυτοὺς καὶ στασιάσουσι μὴ κακίων ἕτερος ἑτέρου δόξαι, καλοὶ μὲν ὅρμοι τῇ νηῒ ταύτῃ,
543 H. μεστὰ δὲ εὐδίας τε καὶ εὐπλοίας πάντα, Ποσειδῶν δὲ ἀσφάλειος ἡ περὶ αὐτῆς εὐβουλία δόξει. καὶ γὰρ ἱκέτευε καὶ πολλὰ ἐπὶ ἐλέῳ ἔλεγεν. ὡς κολωνὸν λίθων περὶ αὐτὸν χώσασθαι. εὐξυμβόλων ὀνειράτων τεύξονται. καὶ γὰρ μετόπωρον ἐτύγχανε, καὶ ἡ θάλαττα ἧττον βεβαία. ἐπεὶ δὲ Ὀρφεὺς ἔχρα μόνος, ἄρτι ἐκ Θρᾴκης ἥκουσα ἡ κεφαλή, ἐφίσταταί οἱ χρησμῳδοῦντι ὁ Ἀπολλώνιος, καὶ „πέπαυσο" ἔφη „τῶν ἐμῶν· καὶ γὰρ δὴ ᾄδοντά σε ἱκανῶς ἤνεγκα." ξυνῆκεν ὁ Ἀπολλώνιος ὅτι λόγον ἕτερον ὁ Δάμις σπουδάσαι βούλεται. δεῖξον ἡμῖν, Ἀχιλλεῦ, τὸ σεαυτοῦ εἶδος· καὶ γὰρ ἂν ὄναιο ἄγαν τῶν ἐμῶν ὀφθαλμῶν, εἰ μάρτυσιν αὐτοῖς τοῦ εἶναι χρήσαιο. Μουσῶν δὲ θρήνων καὶ Νηρηΐδων, οὓς ἐπ' ἐμοὶ γενέσθαι φασί, Μοῦσαι μὲν οὐδ' ἀφίκοντό ποτε ἐνταῦθα, Νηρηΐδες δὲ ἔτι
24 R. φοιτῶσιν. ἔτι δὲ ἔφη ὁ Ἀχιλλεὺς ὡς οὐδὲ οἱ βάρβαροι πολὺ ἡμῶν ἐλείποντο· οὕτως ἡ γῆ πᾶσα ἀρετῆς ἤνθησε. καὶ γὰρ δὴ καὶ ἀλεκτρυόνες ἤδη ᾠδῆς ἥπτοντο. τὸ δὲ μειράκιον ὥσπερ ἀφυπνίσαν τούς τε ὀφθαλμοὺς ἔτριψε, καὶ πρὸς τὰς αὐγὰς τοῦ ἡλίου εἶδεν, αἰδῶ τε ἠσπάσατο πάντων ἐς αὐτὸ ἐστραμμένων, ἀσελγής τε οὐκέτι ἐφαίνετο. μεταβαλὼν δὲ τῶν χλανιδίων καὶ τῆς ἄλλης Συβαρίδος, εἰς ἔρωτα ἦλθεν αὐχμοῦ καὶ τρίβωνος, καὶ ἐς τὰ τοῦ Ἀπολλωνίου ἤθη ἀπεδύσατο. εἰ μὲν γὰρ Λακωνικὴ ἡ ὄρχησις, συνορχήσομαι, εἰ δὲ ἁπαλὴ καὶ εἰς τὸ θῆλυ σπεύδουσα, οὐκέτι γυναικομίμῳ (κατ' Εὐριπίδην φάναι) μορφώματι. λόγων τε κρατῆρες ἵσταντο, καὶ ἠρύοντο αὐτῶν οἱ διψῶντες. πηνίκα οἱ γάμοι; θερμοί, ἔφη, καὶ ἴσως αὔριον. σοφίαν δὲ αὐτοῦ κατεψεύδετο· καὶ χαλινὸς οὐκ ἦν ἐπὶ τῇ γλώττῃ. ἦν δὲ ὁ Φιλόλαος τὴν μὲν γλῶτταν ξυγκείμενος, μαλακώτερος δὲ καρτερῆσαί τι. δείσας περὶ τοῖς νέοις. περὶ μὲν γὰρ θηρίων οὐκ ἂν εἴποις ὅτι τὰς μητέρας αὐτῶν ἐδαίσαντο· Νέρων δὲ ἐμπεφόρηται τῆς βορᾶς ταύτης ἐπ' Ὀρέστῃ καὶ Ἀλκμαίωνι. ἀλλ' ἐκείνοις σχῆμα τοῦ ἔργου πατέρες ἦσαν, ὁ μὲν ἀποθανών, ὁ δὲ ὅρμου πραθείς. οὗτος δὲ καὶ εἰσποιηθεὶς ὑπὸ τῆς μητρὸς γέροντι βασιλεῖ καὶ κληρονομήσας τὸ ἄρχειν. ἐπὶ κῶμον ἔρχεται, μεθύων ἄνθρωπος, οὐκ ἀγλύκως τῆς φωνῆς ἔχων. περιήρθη πᾶσιν ὀφθαλμοῖς, ὁπόσοις ἡ ἀρχὴ βλέπει. οἱ δὲ δὴ Αἰσώπου τί; βάτραχοι, ἔφη, καὶ ὄνοι καὶ λῆροι, γραῦσιν οἷοι μασᾶσθαι καὶ παιδίοις. ἐκ παίδων γὰρ τοῖς λόγοις τούτοις ξυγγενόμενοι, καὶ ὑπ' αὐτῶν ἐκνηπιωθέντες, δόξας ἀναλαμβάνομεν περὶ ἑκάστου τῶν ζώων, τὰ μὲν ὡς βασιλικὰ εἴη, τὰ δ' ὡς εὐήθη. καὶ τὰ ὦτα ἐς Ἀπολλώνιον Αἰγυπτίοις ὀρθὰ ἦν. ὅτι Κλαύδιος τηλικόσδε ὢν πολλὰ μειρακιώδη ἔπαθε, καὶ μηλόβοτον γυναίοις τὴν ἀρχὴν ἀνῆκεν. κίβδηλος γὰρ ὁ χρυσὸς καὶ μέλας ἦν ἐκ δακρύων ἥκων. ἤκαλλε. καὶ διῆλθε τὸν περὶ τῆς μητρυιᾶς λόγον ὑφειμένῳ τῷ τόνῳ. οὐδὲ ἀφροδισίων ἥπτετο, οὐδ' ἔρως ἐπ' αὐτὸν οὐδεὶς ἐκώμασεν· ἀλλ' ἦν τῆς ἀγροικοτέρας τε καὶ ἀτέγκτου μοίρας. ἐδόκει δὲ καὶ γυμναστικῆς 544 H.
ἐπαφροδίτως ἅψασθαι. ἀποχρῆ τῷ σοφῷ βρώσεώς τε καθαρῷ εἶναι ὁπόση ἔμπνους, ἱμέρου τε ὃς φοιτᾷ δι' ὀμμάτων, φθόνου τε ὃς διδάσκαλος ἀδίκων ἐπὶ χεῖρα καὶ γνώμην ἥκει. θαυμασιουργίας τε καὶ βιαίου τέχνης μὴ δεῖσθαι ἀλήθειαν. ἡ μὲν κακία χρυσῷ τε κατεσκευασμένη καὶ ὅρμοις ἐσθῆτί τε ἁλιπορφύρῳ καὶ παρειᾶς ἄνθει καὶ χαίτης ἀναπλοκαῖς καὶ γραφαῖς ὀμμάτων· ἔστι δ' αὐτῇ καὶ χρυσοῦν πέδιλον· γέγραπται γὰρ καὶ τούτῳ ἐνσοβοῦσα. ἡ δ' ἀρετὴ πεπονηκυίᾳ μὲν προσ-

a. 1. ὅτι] 4, 8. 8. πρεσβεύειν ς. 9. εἰ δὲ] 4, 9. εἷς ἐλλείψοι B, εἷς ἐλλείψειε A: εἰσελλείψει ς. 15. καὶ γὰρ] 4, 10. 17. λίθων A: λίθον ς. εὐξυμβ.] 4, 11. 18. καὶ γὰρ] 4, 13. θάλασσα ς. 19. ἐπεὶ] 4, 14. 20. ἤκουσα ἡ κεφ. ἐκ Θρᾴκης B. 22. ξυνῆκεν] 4, 15. 24. δεῖξον] 4, 16. 27. θρήνων AB: θρήνους ς. 28. οὐκ ς. 32. τὸ δὲ] 4, 20. 34. ἐσπάσατο AB. 35. χαλινιδίων ς. 38. εἰ μὲν] 4, 21.

b. 3. λόγων] 4, 24. 4. πηνίκα] 4, 25. 5. σοφίαν] 4, 26. 6. ἦν δὲ] 4, 36. 8. δείσας] 4, 37. περὶ μὲν] 4, 38. γὰρ AB: γε ς. 14. ἀρχεῖον B. ἐπὶ — 16. βλέπει (4, 39 et 43) om B. 15. ἀγλυκω A. φωνῆς om A. 16. οἱ δὲ] 5, 14. 21. καὶ τὰ] 5, 24. 22. ὅτι] 5, 27. 23. τηλικόσδε A: πηλίκος δὲ ς. 24. κίβδηλος] 5, 36. 25. ἥκων correctum in A. ἤκαλλε (5, 42) om AB. 26. καὶ] 6, 3. τῆς add A. ὑφειμένον ς. 27. ἥπτητο B. ἔρως A: ἑτέρως ς. 29. τε add AB. ἀτέκνου A. δὲ add B. 30. ἀποχρῆ] 6, 10. 37. ἔστι δ' αὐτῇ om AB. 38. τούτω ς.

φερής, τραχὺ δὲ ὁρῶσα, τὸν αὐχμὸν πεποιημένη κόσμημα. οὐδὲ ἔριον δ ἀπὸ ἐμψύχων ἐπέχθη. καί μοι ἔδοξεν ἀνδρῶν εἶναι περιττῶν τὰ θεῖα ψυχήν τε ἄριστα ἐπεσκεμμένων, ἧς τὸ ἀθάνατόν τε καὶ ἀγέννητον πηγαὶ γενέσεως. ὁ Ἀπολλώνιός φησι, ταῦτά με πρὸ ὑμῶν ἐπὶ Ἰνδοὺς ἔτρεψεν, ἐνθυμηθέντα ὡς λεπτότεροι μὲν τὴν ξύνεσιν οἱ τοιοίδε ἄνθρωποι, καθαρωτέραις ὁμιλοῦντες ἀκτῖσιν, ἀληθέστεροι δὲ τὰς περὶ φύσεως καὶ θεῶν δόξας, ἅτε ἀγχίθεοι καὶ πρὸς ἀρχαῖς τῆς ζωογόνου καὶ θερμῆς οὐσίας οἰκοῦντες. ἀλλὰ τὴν ψάμμον εἰδέναι φησὶν ὁ Ἀπόλλων, ὁπόσα ἀριθμῆσαι αὐτήν, καὶ τὰ τῆς θαλάσσης μέτρα ξυνειληφέναι
1025R. πάντα. "φαίνεσθαι δέ τινα καὶ περὶ τοὺς λοιποὺς ἔκπληξιν ἐφ' οἷς ἐρρωμένως τε καὶ σὺν εὐροίᾳ διαλεγομένου Ἀπολλωνίου ἤκουσαν. διαπραΰναι δὲ αὐτὸν ὁ Θεσπεσίων. λέγεται γὰρ καὶ τῶν Φραάτου λόγων ἀγάλματα ἀπὸ Ἰνδῶν ἄγειν. τὸν γὰρ καιρὸν τοῦτον καὶ οἱ Ἰνδοὶ πρὸς ἱεροῖς γίνονται. ἔοικας εὔσιτος εἶναι καὶ δεινὸς φαγεῖν. εἰ γὰρ τὰ παλαιὰ νόμιμα, καὶ πολιώτερα ἢ γινώσκειν αὐτά, πικρῶς ἐξετάζοιμεν, πολλοὶ καὶ ἄτοποι λόγοι ἀναφύσονται. ἰσηλίκων.

ἐπεὶ δὲ Τίτος ᾑρήκει τὰ Ἱεροσόλυμα καὶ νεκρῶν πλέα ἦν πάντα, τὰ ὅμορα ἔθνη ἐστεφάνουν αὐτόν. ὁ δὲ οὐκ ἠξίου ἑαυτὸν τούτου· μὴ γὰρ αὐτὸς ταῦτα εἰργάσθαι, θεῷ δὲ ὀργὴν φήναντι ἐπιδεδωκέναι τὰς ἑαυτοῦ χεῖρας. τοὺς δὲ τοιούτους ὑποβλίττουσιν οἱ συκοφάνται, κέντρα ἐπ' αὐτοὺς ἡρμένοι τὴν γλῶτταν. εἰς διδασκάλων ἐβάδιζεν, ὑφ' ὧν καὶ ἡ γνώμη αὐτῷ καὶ ἡ γλῶττα ἴσχυσε. δεινόν γε, ἔφη, χρηματιστὴν ὁρῶ. κακοδαίμονα μὲν οὖν, εἶπεν, ᾧ γε ἔστιν οὐδὲν πλὴν ὀλίγων, ἃ μὴ ἀποχρῇ βόσκειν τὸν οἶκον. πείθει τὸν ἄνθρωπον ἀποδόσθαι οἱ δισμυρίων αὐτόν, εὕρημα ποιησάμενον τὰς πεντακισχιλίας. ὁ μὲν δὴ τοῦ θησαυροῦ ἐρῶν οὔπω ξυνίει τοῦ δώρου, ἀλλ' ᾤετο ἴσα ἔχειν, τοσούτῳ δ' ἐλάττω, ὅσῳ τὰς μὲν δισμυρίας ἐν ταῖς χερσὶν οὔσας ἐφ' ἑαυτῷ εἶναι ἄν, τὸν δ' ἀντ' αὐτῶν ἀγρὸν ἐπὶ πάχναις κείσεσθαι καὶ χαλάζαις καὶ τοῖς ἄλλοις ἃ τοὺς καρποὺς φθείρει. φιλοσοφία δὲ οὕτω τι ἔπτηξεν, ὡς ἀποβαλόντες τὸ σχῆμα οἱ μὲν ἀποδρᾶναι σφῶν ἐς τὴν Κελτῶν ἑσπέραν, οἱ δ' ἐς τὰ ἔρημα Λιβύης τε καὶ Σκυθίας, ἔνιοι δὲ εἰς λόγους ἀπενεχθῆναι συμβούλους τῶν ἁμαρτημάτων. ἱζησάντων δὲ ὑπὸ πλατάνῳ οἱ μὲν τέττιγες ἐν ᾠδαῖς ἦσαν, ὑποψαλλούσης αὐτοῖς τῆς ὥρας. ἡττηθεὶς δὲ ὁ Δάμας τῶν τοῦ Δημητρίου λόγων, ἀλλὰ σύ γε, "ἔφη, φίλος ἀνδρὶ παρὼν γένοιο ἂν ἀγαθόν τι τούτῳ μέγα· ἐμοῦ γὰρ σμικρὸς λόγος, εἰ συμβουλεύοιμι αὐτῷ μὴ κυβιστᾶν ἐπ' ὀρθὰ ξίφη μηδ' ἀναρρίπτειν πρὸς τυραννίδα, ἧς οὔπω χαλεπωτέρα. ὅ τι μὲν γὰρ ψηφιεῖται ἐπὶ σοί, οὐκ οἶδα· διάκειται δὲ ὥσπερ οἱ καταψηφίσασθαι μὲν ἐπιθυμοῦντες, αἰσχυνόμενοι δὲ τὸ μὴ ἐπ' ἀληθέσι, καὶ πρόφασιν ἀπωλείας ὑπάτων ἀνδρῶν ποιεῖταί σε. βούλεται μὲν γὰρ ἃ μὴ δεῖ, πράττει δὲ αὐτὰ καταρρυθμίζων εἰς τὴν τοῦ δικαίου δόξαν. ἔλεγε δ' αὐτὰ μασώμενός τε καὶ ξυγγελῶν. ὁ δὲ οὐκ ἀκηκοότι ὅμοιος διελέγετο πρὸς τὸν Δάμιν ὑπὲρ τοῦ Δέλτα, περὶ ὃ φασι τὸν Νεῖλον σχίζεσθαι. ἀλλ' ὅμως, οὕτω μὲν χαρακώσαντες τὸν πλοῦτον, οὕτω δὲ ἀσφαλῶς τειχισάμενοι, κινδυνεύομεν περὶ αὐτῷ νῦν. οἰκίας τε ἐπὶ τῶν ἁμαξῶν πέπανται. Ἴστροι τε γὰρ αὐτοὺς καὶ Τανάϊδες ὁρίζουσιν, οὐ ῥᾴδιοι ποταμοὶ ὑπερβῆναι. ἑώρων μὲν δὴ ἐς τὸν Ἀπολλώνιον πάντες· αὐτοῦ τε γὰρ τοῦ σχήματος ἀπεβλέπετο, καὶ θεία ἐδόκει ἡ περὶ τῷ εἴδει ἔκπληξις.

ὑπὲρ μὲν τῆς κουρᾶς ἐλελήθειν, ὦ βασιλεῦ, ἔφη, περὶ ταῖς θριξὶ κινδυνεύων. δεδεμένου τοῦ Ἀπολλωνίου ἀφικνεῖταί τις εἰς τὸ δεσμωτήριον, τὸ προσελθεῖν αὐτῷ ἐωνῆσθαι φάσκων, ξύμβουλος δὲ σωτηρίας ἥκειν. ἦν μὲν δὴ Συρακούσιος οὗτος, Δομετιανοῦ δὲ νοῦς τε καὶ γλῶττα. ἐγένετο Πύθων ὁ Βυζάντιος ἀγαθὸς ῥήτωρ τοῦ κακὰ πείθειν. ἢ τὴν κόμην ἑτερόν τι παρ' ὃ ἔστιν· ἔστι δέ, οἶμαι, ἡλιῶσά τε καὶ ὑποφαίνουσα. "ἐγὼ δὲ οὐ μόνον οὐ προσήειν ὑπὲρ χρημά- 1026
των, ἀλλὰ κἀκείνους ἐώθουν ὡς οὐχ ὑγιαίνοντας. διεβεβλήμην δὲ πρὸς χρήματα μειράκιον ἔτι ὤν. τὰ γοῦν πατρῷα (λαμπρὰ δ' ἦν οὐσία ταῦτα) μιᾶς μόνης ἰδὼν

a. 1. τὸν δὲ αὐχμὸν ς. πεπονημένη ς. 2. οὐδὲ] 6, 11. ἐμψύχου ς. 3. ψυχήν τε A: ψυχὴν δὲ ς. 4. ἧς] οἷς B et corr A. 5. ὁ Ἀπολλ.] p. 244. 6. ὑμῶν B: ἡμῶν ς. 10. ἀλλὰ] p. 248. 11. ἀπολλώνιος corr A. 13. φαίνεσθαι] 6, 12. 15. διαπρ.] 6, 13. 16. Θεσπίων A. λέγεται] 6, 14. 18. πρὸς ἱεροῖς γίνονται] ὡς ἱεροὶ γίνονται AB: πρὸς ἱερεῖς ς. ἔοικας] 6, 15. 19. εἰ γὰρ — 21. ἀναφ. (6, 20. p. 260) et 21. ἰσηλίκων (6, 27. p. 268) om B. 21. ἀναφύονται A. 22. ἐπεὶ] 6, 29. 23. πάντων A. 24. εἰργασαι ς. 26. τοὺς] 6, 36. 29. δεινόν] 6, 39. γε] γὰρ AB. 38. φιλοσοφία — b 5. ἁμαρτημάτων (7, 4) om B. b. 5. ἵζησ.] 7, 11. 7. ἡττ.] 7, 15. 12. ὅ τε] 7, 18. 15. ὑπάτων B: ὑπ' αὐτῶν ς. 16. πράττει A: πράττεσθαι ς. 17. ἔλεγε] 7, 21. μασσώμενος ς. 21. δὲ add A. 22. αὐτὸν B. οἰκίας] 7, 26. ἁμαξῶν A: μαζῶν ς. 23. τε add A. ὁρατίζουσιν ς. 24. ἑώρων] 7, 31. 25. τὸ σχῆμα corr A. ἀπεβλέποντο ς. 27. ὑπὲρ] 7, 34. 28. δεδεμένου] 7, 36. 32. ἐγένετο] 7, 37. ῥήτωρ ἀγαθὸς ς. 33. ἢ τὴν] 7, 42. 35. ἐγὼ] 8, 3. p. 332. προσήειν A: προσήκειν ς.

ἡμέρας ἀδελφοῖς τε τοῖς ἐμαυτοῦ ἀνῆκα καὶ φίλοις καὶ τῶν ξυγγενῶν τοῖς πένησιν. σοφοῦ δὲ ἀνδρὸς κόμης φειδέσθω σίδηρος· οὐ γὰρ θεμιτὸν ἐπάγειν αὐτὸν οὗ πᾶσαι μὲν αἰσθητηρίων πηγαί, πᾶσαι δὲ ὀμφαὶ εὐχαί τε ἀναφαίνονται καὶ σοφίας ἑρμηνεὺς λόγος. Νερούαν δὲ ἄξιον μὲν ἀρχῆς ἡγοῦμαι πάσης καὶ λόγου παντὸς εἰς εὐφημίαν ἥκοντος, ἀγωνιστὴν δὲ φροντίδων οὐ χρηστὸν ὁ Ἀπολλώνιός φησι. τῷ γὰρ Εὐφράτῃ ἐκ τοῦ κολακεύειν τοὺς δυνατοὺς τί λέγω χρήματα; πηγαὶ μὲν οὖν εἰσὶ πλούτου· κἀπὶ τῶν τραπεζῶν ἤδη διαλέγεται, κάπηλος, ὑποκάπηλος, τελώνης, ὀβολοστάτης, πάντα γινόμενος τὰ πωλούμενά τε καὶ πωλοῦντα. ἐντετύπωται δ' ἀεὶ ταῖς τῶν δυνατῶν θύραις, καὶ προσέστηκεν αὐταῖς πλέον ἢ οἱ θυρωροί. ἐπιτειχίζει δὲ τὸν ἑαυτοῦ πλοῦτον ἑτέροις, τὸν Αἰγύπτιον τουτονὶ βόσκων χρήμασι, καὶ ὀξύνων ἐπ' ἐμὲ γλῶτταν ἀξίαν ἐκτετμῆσθαι. νεότης ἐγένετο θαυμάσαι ἄξιοι τοῦ πλήθους καὶ τῆς ἐς τὸ φιλοσοφεῖν ὁρμῆς. καὶ ἐν οὐδεμιᾷ τῶν πόλεων ἀηδὴς δοκῶν, ἀλλὰ καὶ ποθεῖσθαι ἄξιος.

## 242.

546 H. Ἀνεγνώσθη ἐκ τοῦ Ἰσιδώρου βίου τοῦ φιλοσόφου.

Αἰγύπτιοι τοίνυν ὅτι μὲν παλαίτατοι ἀνθρώπων εἰσίν, ὧν ἀκοῇ γινώσκομεν, ὀλίγου τι πάντων, οὐδεὶς οὕτως ἐστὶν ὀψιμαθὴς ὃς οὐχὶ πολλῶν ἀκήκοε λεγόντων τε καὶ γραφόντων. εἴσω δὲ ἡ τοιαύτη σοφία κρυπτομένη ἐν τῷ ἀδύτῳ τῆς μυθολόγου ταύτης ἀληθείας, οὕτως ἠρέμα παραγυμνοῦται κατὰ βραχὺ τῷ δυναμένῳ πρὸς θεὸν ἀνακλῖναι τὴν ἱερὰν αὐγὴν τῆς ψυχῆς. ὅτι οἱ Αἰγύπτιοι ἐσέβοντο θεῶν μάλιστά φησιν Ὄσιρίν τε καὶ Ἶσιν, τὸν μὲν ἅπαντα δημιουργεῖν νομίζοντες, εἴδεσί τε καὶ ἀριθμοῖς τὴν ὕλην διακοσμοῦντα, τὴν δὲ κατάρδουσάν τε καὶ πιαίνουσαν τὴν τούτου δημιουργίαν ἀενάου ζωῆς ὀχετοῖς ἀμετρήτοις. ἐκ τρίτων ἀντὶ τοῦ τρίτον. καὶ τοῦτ' ἂν εἴη θεοκρασία, μᾶλλον δὲ ἕνωσις παντελής, ἐπάνοδος τῶν ἡμετέρων ψυχῶν πρὸς τὸ θεῖον ἐπιστρεφομένων καὶ συναθροιζομένων ἀπὸ τοῦ πολλοῦ μερισμοῦ καὶ τί γὰρ οὐ λέγω σπαραγμοῦ διαῤῥήδην, ὃν ἐνταῦθα ῥυεῖσαι καὶ σῶμα γήϊνον λαβοῦσαι διεσπάσθησαν αὐταὶ ἀφ' ἑαυτῶν, καὶ πολλαχῇ δορκισθησαν ὑπὸ τῶν Τυφωνείων τῷ ὄντι καὶ ἄλλως γηγενῶν παθημάτων, ὄντων γε οὐ κατὰ τὸν Τυφῶνα μόνον, ἀλλ' ἔτι οἶμαι καὶ τούτου πολυπλοκωτέρων.

ἀλλ' οὗ δὴ ἕνεκα τὸν λόγον ἅπαντα τοῦτον ἠγείραμεν, καιρὸς ἂν εἴη προσαποδοῦναι, καὶ ἅμα ἀνακαλέσασθαι τὴν διήγησιν ἔξω φερομένην τῆς ὑποθέσεως.

καὶ ἔχεται αὕτη καταπτᾶσα τῆς οὐρανίας ἁψῖδος τοῦ χθονίου βίου. ἀλλὰ τάχα ἄν τις ὑπολάβοι τὸ λεγόμενον ᾄδειν μακαρίας. ἕτοιμον γὰρ εἰς ἐρώτησιν πόθεν ὦ ἑταῖρε δῆλον, εἴποι τις ἄν, ὅτι ὁ σὸς φιλόσοφος ἀπὸ τοῦδε τοῦ ἔθνους ὡρμᾶτο τῶν ψυχῶν; ἐγὼ δὲ πρὸς ταῦτα ἀποκρινοῦμαι ἔτι γε μαχητικῶς ὥσπερ ἐν δικαστηρίῳ, ἀλλὰ πραότερον, οὐδέ γε διὰ σπουδῆς οἵας ἐν διαλέκτῳ πρὸς τὸ ἀκριβέστατον ἁμιλλωμένης, "ἀλλ' οἷα μέτρα βιογραφίας, αὐτὰ μόνα, ἅπερ ἀληθῆ 1029 B. εἶναι πιστεύω καὶ τοῦ ἐμοῦ καθηγεμόνος ἀκήκοα, προφερόμενος. ἦν δ' ὁ Σεβῆρος Ῥωμαῖος καὶ Ῥωμαίων πατὴρ κατὰ τὴν τοῦ νόμου ἀξίωσιν· ὃς ἔλεγε καὶ λίθον ἰδεῖν, ἐν ᾧ σελήνης ἐγίνετο σχήματα μεταμορφουμένης παντοῖα μέν, ἄλλοτε δὲ ἄλλα, πρὸς ἥλιον αὐξομένης καὶ μειουμένης, ἐνόντα τῷ λίθῳ καὶ αὐτὸν τὸν ἥλιον ὁ οὖν Ἰσίδωρος ἐῴκει μὲν τὸ ζητούμενον εἰδότι, λέγειν δ' οὐκ ἠβούλετο. καὶ τοῦτο δὲ μαθεῖν ἐξ ὀνείρου θαυμασίου τινὸς ἐναργέστατα διετείνετο. καὶ γὰρ ἦν ὁ μέγας Ἰσίδωρος εἰς τοσοῦτον εὖ ἥκων φύσεώς τε καὶ τύχης ὀνειρωττούσης, ὥστε ἔμοιγε θαυμάζειν ἔπεισι πολλάκις, ἀποπειρωμένῳ τῶν ἔργων ἀποβαινόντων, τῆς τοιαύτης αὐτοῦ προῤῥήσεως. εἰσὶ μὲν δὴ καὶ Ἀλεξανδρεῖς ὀλίγου πάντες εὐφυεῖς τε καὶ εὐτυχεῖς ὀνειροπολεῖσθαι καὶ τοὺς ὀνείρους ἐκεῖνοι διὰ τοῦτο καὶ νῦν χρησμοὺς ὀνομάζουσιν. ἐγρηγορότι μὲν τῷ Ἰσιδώρῳ οὐ παρῆν ἡ ἄῤῥητος αὐτοψία· οὐ γὰρ οὕτω λαμπρὰν οὐδὲ βαθεῖαν παρείχετο τὴν μαρμαρυγήν, ὥστε καὶ ὑπὸ τῶν αἰσθητῶν ἐπὶ θάτερα ἀνταυγέντων ἐπηλυγαζομένην "εἴσω ὅμως ἀνύ- 547 H. πτεσθαι καὶ διαλάμπειν. ἀλλ' ὅτε ἔξω τούτων καθίστατο ἡ ψυχή, μηκέτι τῆς αἰσθήσεως ἐνεργούσης, ἤδη δὲ παρειμένης ὑπὸ τοῦ ὕπνου, τότε μονουμένη καθ' ἑαυτὴν ἡ ἀεὶ ἔνδον ἑστῶσα τοῦ θείου ἀστραπή, καὶ ἀπαλλαττομένη τῶν ἐμποδίων, ἐπὶ μᾶλλον ἀνεζωπυρεῖτο καὶ ἐξεχεῖτο πρὸς τὸ ἐκτὸς ἐπὶ πλεῖστον, ἕως ἂν καὶ αὐτὴν καταστράψειεν ἐπ' ἐσχάτῳ τὴν φαντασίαν. ὅτι διττὸν

a. 2. σοφοῦ] 8, 7, 6. 4. οὗ AB: αἱ ς. εὐχαὶ ὀμφαὶ ς. 5. νερούα A. est 8, 7, 10. 6. ἀξίαν AB. 7. ἀνήκοντος ς. 8. χρηστῶν A. τῷ] 8, 7, 11. 17. νεότης] 8, 21. 18. καὶ ἐν] 8, 24. 19. ποθῆσαι ς. 21. ἐκ τοῦ Ἰσ. βίου A: Ἰσ. βίος ς. 23. ὧν A: ὡς ς. 24. ὃς A: ὡς ς. 27. βραχύ περ δυν. ς. 29. ἔσεβον ς. φησιν om B. 33. ζώσης ς. 40. ὑπὸ A: ἀπὸ ς. b. 3. τοῦτον ἅπαντα ς. 7. βίου om A. 15. προσφερόμενος ς. 17. τοῦ om A. 19. αὐξομένης A, αὐξουμένης B: αὐξανομένης ς. cf. p. R. 1065, 44. 22. ἐβούλετο ς. 36. ἡ A: ἦν ς. 38. ἀνεζωπυροῦτο ς.

Digitized by Google

ἔλεγεν ἐκ τούτου τὸν τρόπον τῶν θείων αὐτοψιῶν, τὸν μὲν αἰσθητικὸν τῶν ἐγρηγορότων, φαντασιώδη δὲ τῶν καθευδόντων, ἀληθῆ δ' ἑκάτερον. ἀπαλλαγὴν ᾔτει τοῦ κατακλύζοντος ὀχετοῦ τῆς γενέσεως. ἦν δὲ ἰδεῖν ὁ Ἰσίδωρος ἔμφρων ϗ πρεσβυτικός, ἔτι δ' ἐμβριθὴς ϗ βεβαιότροπος. τὸ μὲν πρόσωπαν ὀλίγου τετράγωνον ἦν, Ἑρμοῦ λογίου τύπος ἱερός· οἱ δὲ ὀφθαλμοί, πῶς μὲν ἂν φράσαιμι τὴν ἐν αὐτοῖς ἱδρυμένην χαρίεσσαν ἀληθῶς Ἀφροδίτην, πῶς δ' ἀπαγγείλαιμι τὴν ἐνοῦσαν αὐταῖς Ἀθηνᾶν σοφωτάτην; οὐκ ἂν δὲ φθάνοιμι λέγων αὐτοὺς ἀπὸ τῶν ἐναντίων εἰς τὸ αὐτὸ συνηρμοσμένους ἓν εἶδος ἀμήχανον, ἑστῶτας ἅμα βεβαίους ϗ ἐπίτροχα κινουμένους πως φάναι τὸ πᾶν ἐν τῷ αὐτῷ ϗ περὶ τὸ αὐτὸ δινουμένους, ἅμα μὲν τὸ σεμνὸν ἅμα δὲ τὸ χάριεν ἐπιφαίνοντας, βαθυτέρους τοὺς αὐτοὺς ϗ ἁπλουστέρους εἶναι βουλομένους. ἁπλῶς δ' εἰπεῖν, ἀγάλματα ἦσαν ὀφθαλμοὶ ἐκεῖνοι τῆς ψυχῆς ἀκριβῆ, οὐ μόνης γε, ἀλλὰ καὶ τῆς ἐνοικούσης αὐτῇ θείας ἀποῤῥοῆς.

αἱ δέ γε αἰσθήσεις μετρίως αὐτῷ διέκειντο, πρὸς μόνην ὑπηρετοῦσαι τὴν χρείαν. καὶ οὐχὶ αἱ αἰσθήσεις μόναι, ἀλλὰ καὶ τὸ κήρινον ἐκμαγεῖον, ἡ φαντασία, οὔτε πρὸς μνήμην τι τῶν πολλῶν διαφέρουσα, ϗ τῆς λήθης οὐ τὸ παράπαν ἀπηλλαγμένη. καὶ γὰρ ἠβουλήθη αὐτὸν ὁ θεός, ὡς ἔοικε, ψυχὴν μᾶλλον ὄντα ἐπιδεῖξαι ἢ τὸ συναμφότερον μετὰ τοῦ σώματος, καὶ τὴν φιλοσοφίαν οὐ τῷ συναμφοτέρῳ ἐναποθεῖναι, ἀλλὰ αὐτῇ μόνῃ τῇ ψυχῇ ἐνιδρῦσαι. ὡς ἔγωγε ἐνίοις ἤδη περιτετύχηκα τὰ μὲν ἔξω φιλοσοφοῦσι λαμπρῶς ἔν τε μνήμῃ βαθείᾳ πολλῶν δοξασμάτων καὶ ἐν ἀγχιστρόφῳ δεινότητι συλλογισμῶν ἀπεράντων ϗ ἐν δυνάμει συχνῇ δαιμονίας αἰσθήσεως, εἴσω δὲ τὰ τῆς ψυχῆς ἀποροῦσι ϗ πενομένοις ἀληθοῦς ἐπιστήμης. εἰ δέ που 1032R. θυμούμενος ἑωρᾶτο καὶ ἀγανακτῶν, ἀλλὰ τοῦ λογισμοῦ ἡγουμένου ϗ ὁ θυμὸς δὴ κατόπιν εἵπετο. οὐδὲ γὰρ οἷός τε ἦν γίνεσθαι πρᾶος οὐδὲ ἄθυμος ἐν τῷ ἐλέγχῳ τῶν ἀνθρωπίνων πονηρευμάτων. ὢν γὰρ ἑτοιμότατος εἰς εὐεργεσίαν, ἔτι καὶ τούτου προχειρότερος ἦν εἰς ἐπιτίμησιν τῆς πονηρίας. διὸ καὶ θαμὰ δὴ πολλοῖς προσέκρουεν, οὐκ ἀνεχόμενος αὐτῶν τὴν κακίαν ὑποκορίζεσθαι, οὐδὲ μελετῶν ἀντὶ τῆς ἀληθινῆς φιλίας τὴν πολυάρατον κολακείαν. οὔτε φιλαιτίως οὔτε ἐθελέχθρως πρὸς οὐδένα διέκειτο. τοιαῦτα ὁ 548B ἡμέτερος ἐπεπόνθει φιλόσοφος ὑπ' ἔρωτος μὲν τῆς περὶ τὰ ἀνθρώπινα πράγματα διορθώσεως, ἔχθρας δὲ ϗ μίσους ἀδιαλλάκτου τῶν κακοήθων ἐπιτηδευμάτων. ἀγχίνους δὲ ὢν καὶ ἐπιστρεφὴς ὅμως τι καὶ εὐπαράγωγον ἐπεδείκνυτο. τῶν μὲν γὰρ ἐπιεικῶν εἶναι προσποιουμένων ῥᾳδίως ἄν τις αὐτὸν παρήγαγεν, ἅτε οὐκ ἐπιφέροντα ἐπὶ τοῦτο ἀκριβῆ ἐξέτασιν διὰ τὸ τῆς ἐπιεικείας ἀνύποπτον· ὁ δὲ τῆς προλαμβανούσης ὑποψίας ἄξιος οὐκ ἂν αὐτὸν ἔλαθεν ἐνεδρεύων οὐδὲ πλέκων δόλους. τριῶν δὲ ὄντων μερῶν ἢ εἰδῶν τῆς ψυχῆς, ἢ ὅπως ἄν τις ἐθέλοι καλεῖν, τριττὴν ἔφασκε γίνεσθαι πολιτείαν, ἔχουσαν μὲν ἑκάστην τὰς τρεῖς, ἀλλὰ τῷ κρατοῦντι ἑνὶ τὸ πᾶν μορφουμένην, καὶ τὴν μὲν προϊέναι μάλιστα κατὰ λόγον, ἣν ἄν τις οἶμαι τὸν ἐπὶ Κρόνου βίον ἐπονομάσειεν ἢ τὴν χρυσῆν γενεὰν ἢ τὸ θεῶν ἀγχίσπορον γένος, οἷα ἐν σχήματι μύθου σεμνύνουσιν ἐν τῷ τρίποδι τῆς Μούσης καθήμενοι ποιηταί. ὁ δὲ πρὸς τῇ ἀφελείᾳ οὕτω ϗ τὴν ἀψεύδειαν ἠγάπα, ὥστε καὶ εὐθύγλωττος εἶναι πέρα τοῦ δέοντος ἐδοξάζετο, καὶ οὐδ' ὁτιοῦν ἔχειν ἐν ἑαυτῷ προσποιούμενον. πολλοῦ γε καὶ ἐδέησε τοῦτο παθεῖν. οὐκ ἦν φιλοχρήματος, ἀλλ' οἰκονομικὸς κατὰ φύσιν· ἦν γὰρ καὶ τὰ ἄλλα πάντα σοφὸς οἴκου διαθέτης, καὶ πολύ τι τῆς ἡμέρας εἰς ταῦτα ἀνήλισκε μέρος, τὰ μὲν αὐτουργῶν, τὰ δὲ διατάττων.

καὶ ὁ μὲν διαναστάς, ἐπειδὴ ἕως ἐγεγόνει, ἔτι τὴν ψυχὴν ὑπὸ τῆς ὀμφῆς κατεχόμενος διηγεῖτο τὸν ὄνειρον. ἐγὼ δὲ οὐκ ὄναρ ἀντὶ ὀνείρατος, ἀντὶ δὲ ἀληθείας ἀλήθειαν ἐγρηγορυῖαν ἀντὶ ὑπνωττούσης ἐπιδίδουν, ἅπερ ἀκήκοα διεξιών. ὑποπεσὼν δὲ συμφορᾷ δημευούσῃ τὰ ὄντα ὁ πρὶν τὴν παραθήκην ἀποστερήσας, κἀκείνην, ϗ τῶν αὐτοῦ ὅσα ἠδύνατο, προλαβὼν παρέθετο τῷ πιστοτάτῳ τῶν πολιτῶν. ὡς δὲ παρεδέξατο ὁ Ἐπιδαύριος μετὰ τῶν ἄλλων καὶ ἣν ἀπεστέρητο παραθήκην, καὶ ἐπέγνω ταύτην, ἦσαν μὲν οἳ συνεβούλευον κατέχειν τὰ οἰκεῖα ϗ μὴ ἀποδοῦναι τῷ

a. 3. ἑκατέρων A, ἑκατέραν B. ᾔτει] ἤτοι B. 9. πῶς A: ποῦ ς. 37. εὐεργεσίαν A: ἐργασίαν ς. 39. ὑποκορίζεσθαι] cf. Toup. emendat. 2. p. 315.

b. 2. post κολακείαν vulgo addunt haec δοκεῖ μοι ταῦτα ἀξιόμομφα καθεστάναι. sed mg A: ἐν τῷ μετώπῳ ἦν τῆς πρωτοτύπου βιβλίου. ὁ δὲ μεταγράψας καὶ τοῦτο ἐντὸς τέθεικε. 3. τοιαυτα A: ταῦτα ς. 5. περὶ A: πρὸς ς. 7. ἀγχ. δὲ ὢν] ὁ δὲ ἀγχ. ὢν Suidas v. Ἐπιστρεφής. qui mox om καί. 9. ποιουμένων A. 10. τοῦτον A, τούτων B. 11. ὁ — ἄξιος — ἐνεδρεύων — πλέκων A: ὃ — ἄξιον — ἐνεδρεῦον — πλέκον ς. 13. τῆς add A. cf. Suidas v. Ψυχή. 14. ἢ om B. 16. μὲν add A. 21. ἀσφαλείᾳ A. 23. ἐδοξάζετο om Suidas v. Ἀφέλεια et Εὐθύγλωττος. 25. οὐκ ἦν —. cf. Suidas v. Παρίστασθαι. 26. τὰ ἄλλα πάντα] τἄλλα Suidas v. διαθέτης. qui mox μέρος ante εἰς ponit. σοφὸς] σαφῶς A. 33. δὲ om A. de re cf. Toup. 1. p. 317. 35. προσλαβὼν B.

Digitized by Google

κατ᾽ ἀρχὰς ἀπεστερηκότι, ὁ δὲ ἐν οἷς ἐπιστεύθη οὐκ ᾤετο δεῖν ἄπιστος γενέσθαι, οὐδὲ καταῤῥυπαίνειν τὴν πασῶν ἀρετῶν ὠφελιμωτάτην πιστότητα διὰ τῆς εὐλόγου φαινομένης ἀπιστίας, οὐ δοκεῖν δὲ δίκαιος ἀλλ᾽ εἶναι ἤθελε, βαθεῖαν τῷ ὄντι ϗ αὐτὸς αὔλακα διὰ φρενῶν καρπούμενος. ἐπιδείξει δὲ ὅσον οὐκ ἤδη τὸ τοιοῦτον ἡ τῶν καθ᾽ ἕκαστα τοῦ λόγου διέξοδος.

ἐφθέγγετο μὲν ἐλάχιστα, τὰ πολλὰ δὲ ἠκροᾶτο λόγων γεγηρακότων. ὁ μέγας ἀνὴρ οὐδένα μικρὸν ἀγῶνα προσίετο, ἀλλ᾽ ὅπου φυγάδες οἱ ἄλλοι δι᾽ ἀνανδρίαν ἀποδιδράσκουσιν, ἐνταῦθα καταβαίνει παραβαλλόμε-
338R. νος, "ἔνθα ἀρετὴ διαείδεται ἀνδρῶν κατὰ τὸν ποιητήν.

ϗ δὴ ἐδόκει τῷ ὄντι δίκαια μέμφεσθαι τῷ γε ἀκριβεῖ λογισμῷ. τῷ δὲ συνήθει ϗ ἀνθρωπίνῳ πολλαχῇ τὸ μέτριον ἔδοξεν ἂν ὑπερβαίνειν. ϗ ἐθαύμαζον ἐπὶ πολλοῖς οἱ ἐγκαλούμενοι, καὶ ὡς φιλαιτίου περὶ αὐτοῦ διέκειντο
49H. "τὰς γνώμας. ὁ δὲ παράδειγμα ἀληθινὸν ὁμονοίας ἀληθινῆς ἐν ἑαυτῷ περιφέρων πρὸς τοῦτο τοὺς ἄλλους ἔκρινε. τρία πάντες ὁμολογοῦσι πρῶτα καὶ μέγιστα στοιχεῖα τῆς τῶν ὄντων φιλοθεάμονος ἱστορίας, ἔρωτα τῶν καλῶν καὶ ἀγαθῶν δεινότατον ἰχνευτήν· ὀξεῖαν ϗ ἀγχίνουν φύσεως δύναμιν, ἐπὶ πολλὰ δι᾽ ὀλίγου φέρεσθαι δυναμένην, ἑτοιμοτάτην συνιέναι καὶ γνωρίζειν τὰ ἴχνη τῶν θηραμάτων, ὅσα τε ἀληθῆ ϗ ὅσα ψευδῆ ἐστι πρὸς τὴν ἄγραν· ἐκ δὲ αὖ τρίτων φιλοπονίαν ἄτρυτον, οὐκ ἐῶσαν τὴν ψυχὴν ἠρεμεῖν ἕως ἂν ἐπὶ τέλος ἔλθῃ τοῦ κυνηγεσίου, ὅ ἐστι τῆς ἀληθείας ἡ εὕρεσις.

ὅτι ἀγχίνοιαν ϗ ὀξύτητα ὁ Ἰσίδωρος, φησίν, ἔλεγεν οὐ τὴν εὐκίνητον φαντασίαν, οὐδὲ τὴν δοξαστικὴν εὐφυΐαν, οὐδὲ μόνην (ὡς ἄν τις οἰηθείη) διάνοιαν εὔτροχον καὶ γόνιμον ἀληθείας· οὐ γὰρ εἶναι ταύτας αἰτίας, ἀλλὰ τῇ αἰτίᾳ δουλεύειν εἰς νόησιν· τὴν δὲ εἶναι θείαν κατοκωχήν, ἠρέμα διανοίγουσαν καὶ ἀποκαθαίρουσαν τὰ τῆς ψυχῆς ὄμματα, ϗ τῷ νοερῷ φωτὶ καταλάμπουσαν, εἰς θέαν καὶ γνώρισιν τοῦ ἀληθοῦς ϗ τοῦ ψεύδους. εὐμοιρίαν ταύτην ἐκεῖνος ὠνόμαζε, καὶ ὡς οὐδὲν γένοιτ᾽ ἂν ὄφελος ἄνευ εὐμοιρίας, ὡς οὐδὲ ὀφθαλμῶν ὑγιαινόντων ὄφελος ἄνευ τοῦ οὐρανίου φωτός, διετείνετο. τὸ ὑψηλόνουν καὶ τελεσιουργὸν εἶχεν οὐ περὶ τὰ κάτω στρεφόμενον, ἀλλ᾽ εὐθὺς ἀναθρῶσκον ἀπὸ μικρᾶς ἀφορμῆς ἐπὶ τὰ πρεσβύτατα τῶν θεαμάτων αὐταῖς γε ταῖς Πλάτωνος ἀκηράτοις ἐννοίαις οὐ κατὰ τὰς συνήθεις τῶν πολλῶν φιλοσόφων ἐπιβολὰς ἐνεφύετο, μετά δέ γε Πλάτωνα καὶ ταῖς θαυμασταῖς Ἰαμβλίχου περινοίαις. ὅτι οὐκ ὀλίγους τῶν φιλοσοφούντων ὁρῶμεν καὶ ἀκούομεν τοὺς μὲν ἄβατον εἶναι τὸν Ἰάμβλιχον οἰομένους, τοὺς δὲ αὐθάδει μεγαληγορίᾳ λόγων τὸ πλέον ἢ ἀληθείᾳ πραγμάτων ἐπαιρόμενον. ῥητορικῆς ϗ ποιητικῆς πολυμαθίας μικρὰ ἥψατο, εἰς δὲ τὴν θειοτέραν φιλοσοφίαν ἐξώρμησε τὴν Ἀριστοτέλους. ὁρῶν δὲ ταύτην τῷ ἀναγκαίῳ μᾶλλον ἢ τῷ οἰκείῳ νῷ πιστεύουσαν, καὶ τεχνικὴν μὲν ἱκανῶς εἶναι σπουδάζουσαν, τὸ δὲ ἔνθεον ἢ νοερὸν οὐ πάνυ προβαλλομένην, ὀλίγον ϗ ταύτης ὁ Ἰσίδωρος ἐποιήσατο λόγον. ὡς δὲ τῶν Πλάτωνος ἐγεύσατο νοημάτων, οὐκέτι παπταίνειν ἠξίου πόρσιον, ὡς ἔφη Πίνδαρος, ἀλλὰ τέλος ἔχειν ἤλπιζεν, εἰ τῆς Πλάτωνος διανοίας εἴσω τῶν ἀδύτων δυνηθείη διαβαλεῖν, ϗ πρὸς τοῦτο ὁ πᾶς αὐτῷ δρόμος ἐτέτατο τῆς σπουδῆς. ὅτι τῶν μὲν παλαίτατα φιλοσοφησάντων Πυθαγόραν καὶ Πλάτωνα θειάζει, καὶ τῶν ἐπτερωμένων ἐκείνων ψυχῶν εἶναι, αἳ εἰς τὸν ὑπερουράνιον τόπον, εἰς τὸ πεδίον τῆς ἀληθείας, εἰς τὸν λειμῶνα τῶν θείων νέμονται εἰδῶν, τῶν νεωστὶ δὲ Πορφύριον καὶ Ἰάμβλιχον καὶ Συριανὸν καὶ Πρόκλον· ϗ ἄλλους δὲ ἐν μέσῳ τοῦ χρόνου πολὺν θησαυρὸν συλλέξαι
"λέγει ἐπιστήμης θεοπρεποῦς. τοὺς μέντοι θνητὰ ϗ ἀν- 550H.
θρώπινα φιλοπονουμένους "ἢ συνιέντας ὀξέως ἢ φιλο- 1036R.
μαθεῖς εἶναι βουλομένους οὐδὲν μέγα ἀνύτειν εἰς τὴν θεοπρεπῆ ϗ μεγάλην σοφίαν. τῶν γὰρ παλαιῶν Ἀριστοτέλη καὶ Χρύσιππον εὐφυεστάτους γενομένους, ἀλλὰ καὶ φιλομαθεστάτους γεγονότας, ἔτι δὲ καὶ φιλοπόνους, οὐκ ἀναβῆναι ὅμως τὴν ὅλην ἀνάβασιν. τῶν δὲ νεωτέρων Ἱεροκλέα τε καὶ εἴ τις ὅμοιος, οὐδὲν μὲν ἐλλείποντας εἰς τὴν ἀνθρωπίνην παρασκευήν, τῶν δὲ μακαρίων νοημάτων πολλαχῇ πολλῶν ἐνδεεῖς γενομένους φησίν. ὅτι ϗ τῶν βιβλίων τὸν ὅμαδον παρῃτεῖτο, πολυδοξίας μᾶλλον αἴτιον ὄντα ἢ πολυνοίας. ἑνὶ δὲ μόνῳ τῷ διδασκάλῳ ἐπαναπαυόμενος πρὸς μόνον ἐκεῖ-

a. 6. οὐ *A*: τε ς. 9. γεγηρακότων καὶ σοφίᾳ τινὶ κεχρημένων Suidas v. Ἀκροατής. 10. προσίεται *A* cum Suida v. Ἄνωλως et Φῶτα: προσίετο ς. φυγάδι Suidas priore loco: qui articulum οἱ utroque om. 11. καταβαίνει *A* cum Suida: καταλαμβάνει ς. cf. Toup. 1. p. 121. 12. διαείδεται *A* et Suidas: διὰ εἰδέ τε καὶ ς. 14. τὸ add *A*. 21. ὀξεῖαν δὲ καὶ Suidas v. Ἀγχίνοια. cf. idem v. Ἔρως et Στοιχεῖα ἀρχαί. 24. τε *A*: του ς. 25. τρίτων] τούτων *B*. 33. κατοκωχὴν *A*, κατοχὴν *B*: κατακωχὴν ς, cum Suida v. Κατακωχή. ἀποκαθ. *A* et Suidas: ὑποκαθ. ς. 35. γνώρισιν] νόησιν Suidas v. Εὐμοιρία. 39. ὑψηλόνουν] ὑψηλὸν οὖν *A*.
b. 10. πολυμαθείας *B*. 19. τούτῳ ς. 22. ἐπτερωμένων] cf. Toup. 2. p. 118. 29. ἀνύτειν *B*: ἀνύττειν ς. 37. καὶ add *A*.

Digitized by Google

νον ἀπετύπου ἑαυτόν, τὰ παρ᾽ αὐτοῦ λεγόμενα ἀπογραφόμενος. δῆλος δ᾽ ἦν οὐκ ἀγαπῶν τὰ παρόντα οὔτε τὰ ἀγάλματα προσκυνεῖν ἐθέλων, ἀλλ᾽ ἤδη ἐπ᾽ αὐτοὺς τοὺς θεοὺς ἱέμενος εἴσω κρυπτομένους, οὐκ ἐν ἀδύτοις, ἀλλ᾽ ἐν αὐτῷ τῷ ἀποῤῥήτῳ, ὁτιποτέ ἐςι, τῆς παντελοῦς ἀγνωσίας. πῶς οὖν ἐπ᾽ αὐτοὺς ἵετο τοιούτους ὄντας; ἔρωτι δεινῷ, ἀποῤῥήτῳ καὶ τούτῳ. καὶ τίς δὲ ἄλλος ἢ ἄγνωςος καὶ ὁ ἔρως; ϗ τίνα τοῦτόν φαμεν, ἴσασιν οἱ πειραθέντες, εἰπεῖν δὲ ἀδύνατον, ϗ νοῆσαί γε οὐδὲν μᾶλλον ῥᾴδιον. εἴπεν ἄν τις οὐ λόγους αὐτὸν ἀλλὰ πραγμάτων φθέγγεσθαι οὐσίας. ἦν δὲ καὶ εὑρετὴς ἑτοιμότατος ὧν τε αὐτὸς ἠπόρει πρὸς ἑτέρους καὶ ὧν ἕτεροι πρὸς αὐτόν, οὐ πολυμαθίᾳ ϗ ἀλλοτρίων δοξασμάτων ἱςορίᾳ καταχωννὺς μὲν τὴν ἀλήθειαν, ἐπιςομίζων δὲ τοὺς ἀποροῦντας· ἀλλὰ ῥώμῃ γενναίας φύσεως καὶ θεῶν ἀγχισπόρου, πόθῳ τε ἀμηχάνῳ τῆς περὶ τὸ θεῖον βακχείας, οἷον ἀπομαντευομένῳ ἐῴκει τὴν τῆς ἀληθείας εὕρεσιν. ἦν δ᾽ ἱκανὸς διιδεῖν ὅπῃ τε σαθρὸν φθέγγεται ὁ λόγος ϗ ὅπῃ ὑγιές. Μαρῖνος δὲ ὁ Πρόκλου διάδοχος, ὁ ϗ Ἰσιδώρου (μετὰ ϗ ἄλλων) τῶν Ἀριςοτέλους λόγων διδάσκαλος, ὑπόμνημα πολύςιχον εἰς Φίληβον συντάξας τοῦ Πλάτωνος, ἔτος τῷ Ἰσιδώρῳ ἐντυχεῖν τε τῷ ὑπομνήματι κελεύει, ϗ ἐπικρῖναι εἰ ἐξοιςέον. ὁ δὲ ἀναγνοὺς οὐδὲν ἀπεκρύψατο τῶν αὐτῷ δοκούντων, οὐ μέντοι οὐδὲ ἄμουσον ἀφῆκε φωνήν, τοσοῦτον δὲ μόνον ἔφη, ἱκανὰ εἶναι τὰ τοῦ διδασκάλου. ὁ δὲ Μαρῖνος συνεὶς πυρὶ διέφθειρε τὸ βιβλίον. ἐξαίρετον δ᾽ ἦν αὐτῷ παρὰ τοὺς ἄλλους ϗ τοῦτο φιλοσόφους. οὐκ ἠβούλετο συλλογισμοῖς ἀναγκάζειν μόνον οὔτε ἑαυτὸν οὔτε τοὺς συνόντας ἐπακολουθεῖν τῇ ἀληθείᾳ μὴ ὁρωμένῃ, κατὰ μίαν ὁδὸν πορεύεσθαι συνελαυνομένους ὑπὸ τοῦ λόγου, οἷον τυφλοὺς τὴν ὀρθὴν ἀγομένους πορείαν· ἀλλὰ πείθειν ἐσπούδαζεν ἀεὶ καὶ ὄψιν ἐντιθέναι τῇ ψυχῇ, μᾶλλον δὲ ἐνοῦσαν διακαθαίρειν.

ὑπηρεσίαν ἐτέλει, ᾗ πρὸς τάχος ἐπετέτακτο γράφειν τὰ ὑπὸ τῶν ἀρχόντων προςαττόμενα. περὶ οὗ ἐρῶ κατὰ τὸν ἱκνούμενον λόγον. ὃ εἰδὼς οὐ λέγω, ὡς μηδὲ ἀκοῦσαι ὤφελον. ὁ δὲ Λεόντιος ἄριςα βεβουλεῦσθαι νομίζων οἴκαδε ἐπανῄει μετὰ παῤῥησίας ἀτυ- 551 H. χοῦς καὶ κακοδαίμονος, οὐ πλουτήσας οὐδὲ σωθείς, ὡς ᾤετο, ἀλλὰ ζημιωθεὶς μὲν εὐσεβείας θεοφιλοῦς, πανωλεθρίᾳ δὲ τὴν ψυχὴν διαφθαρείς. ὁ μὲν οὖν οὕτω διήντλησε πάντα τὸν βίον ἐν συμφοραῖς. οὐδεὶς δ᾽ οὕτως ἦν τὴν ψυχὴν ἀτεράμων καὶ βάρβαρος, ὃς οὐκ ἐπείθετο ϗ κατεκηλεῖτο τοῖς ἀπὸ τοῦ ἱεροῦ ςόματος ἐκείνου ῥέουσι λόγοις· τοιάδε τις ἐπεκάθητο πειθὼ τοῖς χείλεσι τοῦ ἀνδρός, "οὐκ ἀνθρώπειόν τι χρῆμα, ἀλλὰ 1037 R. θειότερον. φύσιν ἀξιάγαςος, μέγας μὲν τὸ σῶμα καὶ εὐμήκης ἰδεῖν, καλὸς δὲ ϗ ἀγαθὸς τὴν ὄψιν, τῆς δ᾽ ἡλικίας ἐν τῷ φρονιμωτάτῳ τότε γεγονώς, εὐόμιλός τε ϗ ἡδύς, ἱκανὸς ϗ ὠφέλιμος τοῖς ἐντυγχάνουσι. ϗ τὴν τροφὴν ἐκληρώσατο μετρίαν τινὰ καὶ ἄθρυπτον, οὔτε κακουργοῦσαν διὰ πενίαν, οὔτε διὰ πλοῦτον βλακεύουσαν, ἀλλὰ μέσην καὶ μουσικήν, τὸν Δώριον τρόπον τῆς τύχης ὡς ἀληθῶς ἡρμοσμένην. μόνος δὲ ἀνθρώπων, ὧν ἀκοῇ ἴσμεν, τὴν παλαιὰν παροιμίαν ἔργῳ διήλεγξεν, οὐχ ἥλιξιν· ἀλλὰ πρεσβύταις ϗ πρεσβυτικοῖς λόγοις τερπόμενος.

εἴποις δ᾽ ἂν καὶ μόνος ἀνθρώπων οὓς ἀκοὴ ἴσχει ἢ ἔγνω ἢ καὶ οὕτως, οἳ πρὸς ἀκοὴν ἦλθον, ἢ ὧν εἰς κατάληψιν ἀκοὴ ἧκεν, ἢ οὓς δι᾽ ἀκοῆς ἴσμεν, ἢ οὓς διασώζει μνήμη, ἢ οὓς οὐκ ἔσβεσε λήθη, καὶ πολλὰ τοιαῦτα.

ὅτι φυλακεῖα οἱ Ἀλεξανδρεῖς ἐκάλουν τὰ ἐκμαγεῖα τῶν γυναικείων μολυσμῶν. οὐκ ἦν δὲ γνήσιος ὁ γάμος, εἰ μὴ ὁ ἱερεὺς ὁ τῆς θεοῦ ἐν τοῖς γαμικοῖς συμβολαίοις ὑπεσημήνατο χειρὶ τῇ ἑαυτοῦ. ὅτι Ἱεροκλῆς, ὁ τὰς ἐν Ἀλεξανδρείᾳ διατριβὰς ὑψηλοφροσύνῃ καὶ μεγαληγορίᾳ κοσμήσας, μετὰ τοῦ σεπτοῦ ϗ μεγαλοπρεποῦς εὔρους τε τὴν διάνοιαν εἰς ὑπερβολὴν ἦν, καὶ διαφέρων εὐγλωττίᾳ ϗ εὐπορίᾳ τῶν καλλίςων ὀνομάτων ϗ ῥημάτων κατέπληττε πανταχῇ τοὺς ἀκροωμένους, πρὸς τὴν Πλάτωνος ἁμιλλώμενος ἀεὶ καλλιεῤῥημοσύνην καὶ πολύνοιαν. οὗτός ποτε τὸν Πλάτωνος Γοργίαν τοῖς ἑταίροις ἐξηγεῖτο· εἷς δέ τις τῶν ἀκροατῶν, Θεοσέβιος, ἀπεγράψατο τὴν ἐξήγησιν. πάλιν δ᾽, οἷα εἰκός, ἐκ δευτέρου τοῦ Ἱεροκλέους εἰς τὸν Γοργίαν

a. 1. cf. Suidas v. Μαρῖνος οὗτος. 13. δοξασμάτων] δραμάτων Suidas v. Εὑρετής. 14. ἀλήθειαν] ἀλήθειαν καὶ ἀποκρύπτων id. 15. cf. Suidas v. Ἀγχίσπορος, Ἀμήχανον, Πολυήκοος. 18. ἰδεῖν Suidas v. Πρόσοιτο. σαθρὸν A cum Suida: θησαυρὸν ς. correxerunt etiam Hemsterhusius ad Polluc. 8, 104 et Leichius p. VII. 20. alterum ὁ om B. 31. ὁρωμένην ς. 32. τυφλοῦ τινὸς ὀρθὴν ἀγομένου ς. 35. ἀπετέτακτο A. 36. πραττόμενα ς. 38. ὁ δὲ — βεβουλεῦσθαι A: οὐδὲ — βουλεύεσθαι ς.

b. 4. οὖν et 6. δ᾽ add A. 6. τὴν ψυχὴν post βάρβαρος ponit B. 7. ἐπείθετο] ἐτέγγετο Ruhnken. Tim. p. 249 a. 11. τὴν B: εἰς ς. 13. καὶ τὴν] τὴν δὲ Suidas v. Ἄθρυπτος. 16. τὸν] καὶ τὸν idem. τρόπον post ἀληθῶς ponit B. 17. τῆς τύχης] τῆς ψυχῆς A, om Suidas. ὡς om A. 18. cf. Suidas v. Ἧλιξ ἥλικα. 28. ὅτι ὁ Ἱεροκλῆς ς. 30. σεπτοῦ] ἀτρέπτου A cum Suida v. Ἱεροκλῆς. 31. εὔρρους B cum eodem. 32. ἦν om Suidas. 33. πανταχοῦ idem. 37. ἐπεγράψατο A.

Digitized by Google

καταβαλλομένȣ μετά τινα χρόνον τὴν ἐξήγησιν ὁ αὐτὸς ταύτην ἀπεγράψατο, ϗ ἀντιπαραβαλὼν τὰ πρότερα καὶ τὰ ὕςερα εὗρεν οὐδὲν τῶν αὐτῶν ὡς ἔπος εἰπεῖν, ἑκάτερα δὲ ὅμως, ὃ καὶ παράλογον ἀκοῦσαι, τῆς Πλάτωνος ἐχόμενα καθ᾽ ὅσον οἷόν τε προαιρέσεως. τούτῳ μὲν οὖν ἐπιδείκνυται τοῦ ἀνδρὸς ἡλίκον ἦν ἄρα τὸ τῶν φρενῶν πέλαγος. γυναῖκα παιδοποιὸν ἄγεται. ὡς δ᾽ οὐκ ἐπείθετο τὸ δαιμόνιον τῆς γυναικὸς ἐξελθεῖν λόγοις ἡμερωτέροις, ὅρκῳ αὐτὸ ἐπηνάγκαζεν ὁ Θεοσέβιος, καίτοι οὔτε μαγεύειν εἰδὼς οὔτε θεουργίασμά τι μελετήσας. ὥρκιζε δὲ τὰς τοῦ ἡλίȣ προτείνων ἀκτῖνας καὶ τὸν Ἑβραίων θεόν. ὁ δὲ ἀπελήλατο ὁ δαίμων, ἀνακραγὼν εὐλαβεῖσθαι μὲν τοὺς θεούς, αἰσχύνεσθαι δὲ καὶ αὐτόν. πάντα οὖν κάλων ἐκίνει καὶ πάντα ἔπραττε καὶ ἔλεγε πείθων ϗ παρα-
a H. καλῶν, οἷος ἐκείνȣ θυμός, ȣ̓δὲν ἄπρακτον ἀπολιπεῖν ἀνεχόμενος, ἐφ᾽ ὅ τι ἂν ὁρμήσειεν. ἔλεγε μὲν ὁ Θεοσέβιος τὰ πολλὰ ἀπὸ τῶν Ἐπικτήτου σχολῶν, τὰ δὲ καὶ αὐτὸς ἐπετεχνᾶτο τῆς ἠθοποιοῦ διανοήματα Μούσης. ὁ δὲ πάντων σωφρονέςατος Θεοσέβιος ϗ τὴν πρὸς γυναῖκα παιδοποιὸν ὁμιλίαν ἐδέξατο. ἐπεὶ δὲ παῖδας οὐκ ἐγεννάτην, κατασκευασάμενος ὁ Θεοσέβιος τὸν τῆς σωφροσύνης δακτύλιον „ὦ γύναι" φησὶ τῇ γυναικί „πάλαι μέν σοι ἐπιδέδωκα δακτύλιον ἁρμοςὴν παιδȣργοῦ συμβιώσεως· τὰ νῦν δὲ τȣ̃τον ἐπιδίδωμί σοι σωφρονιςήν, ἐπίκουρόν σοι παρεσόμενον ἀεὶ τῆς σώφρονος οἰκȣρίας. εἰ μὲν οὖν δυνήσῃ τε ϗ θελήσεις ἐμοὶ συμβιῶναι τὸν καθαρώτερον τρόπον· εἰ δὲ μή, ἔξεςιν ἀπαλλάττεσθαι πρὸς ἕτερον, εὐμενῶς καὶ
10 B. πράως ἐκδιδομένην παρὰ φίλȣ φίλην." ἡ δὲ ἠσμένισεν. ὁ δὲ Ἀμμωνιανὸς ἠγάπα τὴν ἐπὶ ποιητῶν ἐξηγήσει καὶ διορθώσει τῆς Ἑλληνικῆς λέξεως καθημένην τέχνην. ȣ̃τος ἦν Ἀμμωνιανός, ᾧ συνέβη κεκτῆσθαι ὄνον, ὃν φασιν ἀκροώμενον πολλάκις τῶν ποιητικῶν μαθημάτων τροφῆς ἀμελεῖν, καίτοι ϗ ἐκ παρασκευῆς καὶ λιμώττειν ἠναγκασμένον· ȣ̃τως ὤφθη φιλομαθίας ποιητικῆς ἁλȣ̀ς ὁ ὄνος. ὅτι φησὶ μετρίως μετεῖχε τῶν ποιητικῶν ὁ Ἰσίδωρος, οὐ λίαν σπουδάσας περὶ αὐτά, ἅτε οὐχ ἁπτόμενα τῆς ψυχῆς, ἀλλὰ μέχρι φαντασίας καὶ γλώσσης ἱςάμενα, τὰ δὲ αὐτῶν ϗ μαχόμενα ταῖς ὁμολογȣμέναις ἐννοίαις· διὸ καὶ ἐνδεέςερος ἦν ἐν τȣ́τοις. ὅθεν καὶ ὕμνȣς ὅσȣς ἔγραψεν, εὕροι τις ἂν τὸ μὲν ὑψηλόνουν καὶ τελεσιεργὸν ἐπιφαίνοντας, τοῖς δ᾽ ἔπεσιν οὐ πάνυ συνηρμοσμένȣς. ἦν δὲ ὁ Θέων οὐ μάλα ἀγχίνȣς οὐδὲ ὀξύς, φιλομαθὴς δὲ ϗ φιλόπονος, εἴ τις ἄλλος. διὸ καὶ ποιητῶν ϗ ῥητόρων ἐμπειρότατός τε καὶ μνημονικώτατος γέγονε, ϗ τεχνικῆς ἀκριβείας ἑκατέρων εἰς ἄκρον ἥκειν ἐδόκει. γράφειν δὲ μέτρα ἢ λόγȣς, καίτοι λίαν ἐρῶν, ἀδύνατος ἦν. ὅτι μάχης πρὸ τȣ̃ Ῥώμης ἄςεως γεγενημένης Ῥωμαίων πρὸς Σκύθας οὓς Ἀττίλας ἦγεν, Οὐαλεντιανοῦ τȣ̃ μετὰ Ὀνώριον Ῥώμης βασιλεύοντος, φόνος ἐῤῥύη ἑκατέρωθεν τοσοῦτος ὡς μηδένα τῶν συμπλακέντων τῇ μάχῃ μηδετέρου μέρους περισωθῆναι, πλὴν τῶν ἡγεμόνων καὶ τῶν περὶ αὐτοὺς ὀλίγων δορυφόρων. τὸ δὲ παραλογώτατον, ὅτι φασίν, ἐπειδὴ πεπτώκασιν οἱ μαχόμενοι, τοῖς σώμασιν ἀπειπόντες ἔτι ταῖς ψυχαῖς ἵςαντο πολεμȣ̃ντες ἐπὶ τρεῖς ἡμέρας ὅλας καὶ νύκτας, ȣ̓δὲν τῶν ζώντων εἰς ἀγῶνα ἀπολειπόμενοι, ȣ̓́τε κατὰ χεῖρας ȣ̓́τε κατὰ θυμόν. ἑωρᾶτο γοῦν ϗ ἠκούετο τὰ εἴδωλα τῶν ψυχῶν ἀντιφερόμενα καὶ τοῖς ὅπλοις ἀντιπαταγȣ̃ντα. ϗ ἀρχαῖα δὲ ἄλλα τοιαῦτα φάσματα πολέμων μέχρι νῦν φαίνεσθαί φησι, πλὴν ὅτι ταῦτα τὰ μὲν ἄλλα, ὅσα ζῶντες ἄνθρωποι κατὰ πόλεμον δρῶσιν, οὐδὲν ὑςερεῖν, φθέγγεσθαι δὲ οὐδὲ ἐπὶ μικρόν. καὶ ἓν μὲν ἐπιφαίνεσθαι ἐν τῷ περὶ Σόγδαν ποτὲ λίμνην ȣ̓̃σαν πεδίῳ, φαίνεσθαι δ᾽ ὑπὸ τὴν ἕω τὸ φάσμα, φωτὸς ἤδη τὴν 553 H.
γῆν ὑπαυγάζοντος, δεύτερον δ᾽ ἐν Κέρβοις χωρίῳ τῆς Καρίας· ἐν τȣ́τῳ γὰρ φαίνεσθαι ȣ̓ καθ᾽ ἑκάςην ἡμέραν, ἀλλ᾽ ἐνίοτε διαλείποντα ὀλίγας τινάς, ȣ̓δὲ ὡρισμένας γε ταύτας, περὶ ὄρθρον ἕως ἡλίȣ λαμπρᾶς ἀνατολῆς ἐν ἀέρι διαφοιτῶντα ψυχῶν ἄττα σκιοειδῆ φαντάσματα πολεμȣ̃ντα ἀλλήλοις. καὶ ἐν τοῖς καθ᾽ ἡμᾶς δὲ χρόνοις πολλοὶ διηγήσαντο, ȣ̓χ οἷοί τε ὄντες ψεύδεσθαι, κατὰ Σικελίαν ἐν τῷ λεγομένῳ πεδίῳ

a. 2. ἀντιπαραβάλλων B. 6. τοῦτο ς. 9. αὐτὸν B. 11. θεουργίασμά τι A: θεουργίας μάτην ς., unde Toupius 2. p. 524 θεουργίας μὰ τήν. 12. τὸν A: τῶν ς. 17. ἔλεγε] cf. Suidas v. Ἐπίκτητος. 27. σώφρονος] σωφροσύνης A. 29. πρὸς ἕτερον] πρότερον A. 31. ἀμμώνιος A. 32. καθειμένην B cum Suida v. Ἀμμωνιανός. 33. ᾧ] ὃν B. 34. πολλάκις post μαθημάτων ponit ς. 37. ὅτι φησὶ — 38. περὶ αὐτά] ὁ δὲ Ἰσίδωρος ἐμελέτα ἄττα τῶν ποιητικῶν, οὐχ ὅσον δυνάμεως ἀλλ᾽ ὅσον ὀρέξεως εἶχεν. εἶχε δὲ ἐπ᾽ ἐλάχιστον τῆς πρὸς αὐτὰ συμπαθείας Suidas v. Ἄττα.
b. 3. ἐνδεέςερος] ἀσθενέςερος A. cf. Suidas v. Ἐνδεέςερος, Ῥυθμίζει, Τελεσιουργόν. 8. εἴ τις ἄλλος] εἰς ὑπερβολὴν Suidas v. Θέων σοφιστής. 12. ἄςεος B. 13. ἀττίλας B, ἀντίλας A, ἀτήλλας ς. 24. ὅπλοις καὶ ἀντ. A. 25. φαντάσματα ς. 26. φασι ς. τὰ add A. 28. οὐδὲ A: οὐκ ς. 29. ἐν add A. σόγδαν A: Σούδαν ς. 30. τὸ add A. 31. κούβοις ς. χωρίον A. 33. οὐ διωρισμένας ς. 36. φάσματα ς.

τετραπυργίῳ καὶ ἐν ἄλλοις οὐκ ὀλίγοις αὐτῆς μέρεσιν ὁρᾶσθαι ἱπποτῶν πολεμίων ἐπελαυνόντων φάσματα κατὰ τὸν τοῦ θέρους μάλιστα καιρόν, μεσημβρίας σταθηρᾶς ἱσταμένης. ὅτι τὸν Σεβήρου ἵππον φησί (Ῥωμαῖος δ' ἦν οὗτος, καὶ Ἀνθεμίου παρασχόντος ἐλπίδας ὡς ἡ Ῥώμη πεσοῦσα πάλιν δι' αὐτοῦ ἀναστήσεται, ἐπὶ Ῥώμην, ταύτης προαναχωρήσας, ἐπανῆκε καὶ τιμῆς ὑπατικῆς ἔτυχε) τοῦτον τοίνυν ὁ ἵππος, ᾧ τὰ πολλὰ ἐχρῆτο, ψηχόμενος σπινθῆρας ἀπὸ τοῦ σώματος πολλούς τε καὶ μεγάλους ἠφίει, ἕως αὐτῷ τὸ τέρας εἰς τὴν ὑπατικὴν ἀρχὴν ἐν τῇ Ῥώμῃ κατηνύσθη. ἀλλὰ καὶ Τιβερίῳ ὄνος, ὡς Πλούταρχος ὁ Χαιρωνεύς φησιν, ἔτι μειρακίῳ ὄντι καὶ ἐν Ῥόδῳ ἐπὶ λόγοις ῥητορικοῖς διατρίβοντι, 1041R. τὴν βασιλείαν διὰ τοῦ αὐτοῦ παθήματος προεμήνυσεν. ἀλλὰ καὶ τῶν περὶ Ἀττίλαν ἕνα ὄντα τὸν Βαλίμεριν ἀπὸ τοῦ οἰκείου σώματος ἀποπάλλειν σπινθῆρας· ὁ δὲ ἦν ὁ Βαλίμερις Θευδερίχου πατήρ, ὃς νῦν τὸ μέγιστον ἔχει κράτος Ἰταλίας πάσης. λέγει δὲ καὶ περὶ ἑαυτοῦ ὁ συγγραφεὺς ὡς „καὶ ἐμοὶ ἐνδυομένῳ τε καὶ ἐκδυομένῳ, εἰ καὶ σπάνιον τοῦτο συμβαίνει, συμβαίνει δ' οὖν σπινθῆρας ἀποπηδᾶν ἐξαισίους, ἔσθ' ὅτε καὶ κτύπον παρέχοντας, ἐνίοτε δὲ καὶ φλόγας ὅλας καταλάμπειν τὸ ἱμάτιον, μὴ μέντοι καιούσας·" καὶ τὸ τέρας ἀγνοεῖν εἰς ὃ τελευτήσει. ἰδεῖν δὲ λέγει καὶ ἄνθρωπόν τινα ἀπὸ τῆς κεφαλῆς ἀφιέντα σπινθῆρας, ἀλλὰ καὶ φλόγα ἀνάπτοντα, ὅτε βούλοιτο, ἱματίῳ τινὶ τραχεῖ παρατριβομένης. ἤλαυνε τὸν ἵππον, ὅσον εἶχε τάχους· εἶχε δὲ τῶν ἄλλων ἐνδεέστερον. τῶν πολιτικῶν πραγμάτων ἀποτυχὼν ἐπὶ τὸν ἡσύχιον καὶ ἀπράγμονα βίον ἐτράπετο, μίσει τῶν ἐν τῇ πολιτείᾳ δυσχερασμάτων. ἧκον δὲ πρὸς τὸν Σεβῆρον καὶ Βραχμᾶνες κατὰ τὴν Ἀλεξάνδρειαν, καὶ ἐδέξατο σφᾶς οἴκῳ ἰδίῳ καὶ θεραπείᾳ τῇ προσηκούσῃ· οἳ κατὰ χώραν ἐπ' οἴκου μάλα σεμνῶς ἔμενον, οὔτε λουτρῶν δεόμενοι δημοσίων οὔτε ἄλλης ἐπόψεως οὐδεμιᾶς τῶν κατὰ ἄστυ γινομένων, ἀλλὰ πᾶν τὸ θυραῖον ἐξετρέποντο. ἐσιτοῦντο δὲ φοίνικας καὶ ὄρυζαν, καὶ ἦν αὐτοῖς πόμα τὸ ὕδωρ. ἦσαν δὲ οὗτοι οὔτε τῶν ἐν ὄρεσι διατριβόντων Βραχμάνων οὔτε τῶν ἐν πόλεσι κατῳκημένων Ἰνδῶν, ἀλλ' ἀτεχνῶς ἀμφίβιοι, τοῖς Βραχμάνοις ὑπηρετούμενοι τὰ πρὸς τὰς πόλεις, εἴ που δεήσειεν, καὶ ταῖς πόλεσιν αὖ τὰ πρὸς τοὺς Βραχμᾶνας. ἔλεγον δὲ καὶ οὗτοι περὶ τῶν ὀρείων Βραχμάνων ὅσα οἱ συγγραφεῖς περὶ αὐτῶν θρυλοῦσιν, ὄμβρους τε καὶ ἀνομβρίας εὐχαῖς καταπράττειν καὶ λιμῶν καὶ λοιμῶν ἀποδιώξεις ἄλλων τε 554H. κακῶν ἀποτροπάς, ὅσα μὴ ἀνίατον ἔχει τὴν εἱμαρμένην. ἔλεγον δὲ οὗτοι καὶ μονόποδας ἀνθρώπους παρὰ σφίσιν ἱστορῆσαι, καὶ δράκοντας ἐξαισίους κατὰ μέγεθος ἑπτακεφάλους, καὶ ἄλλα ἄττα πολὺ τὸ παράλογον ἔχοντα. ὅτι ἔλεγεν ὁ Σεβῆρος τεθεᾶσθαι Γοργονιάδα βοτάνην, ἧς εἶναι τὴν ῥίζαν ἄντικρυς ὁμοίαν παρθένῳ τὴν κεφαλὴν ἐχούσῃ κατηρεφῆ δρακοντείοις πλοκάμοις. ὅτι τὴν διὰ τῶν νεφῶν μαντικὴν οὐδαμῶς τοῖς παλαιοῖς οὐδ' ἀκοῇ ἐγνωσμένην Ἄνθουσάν τινα γυναῖκα ἐξευρεῖν ἐν ταῖς ἡμέραις Λέοντος τοῦ Ῥωμαίων βασιλέως· ἐξ Αἰγῶν δὲ κατήγετο τῶν Κιλικίων ἡ γυνή, τὸ δὲ ἀνέκαθεν ἀπὸ τῶν ἐν Καππαδοκίᾳ κατοικισθέντων ἐπὶ τὸν Κομανὸν τὸ ὄρος Ὀρεστιαδῶν· καὶ ἀνάγειν τὸ γένος εἰς Πέλοπα. αὕτη φροντίζουσα περὶ τἀνδρὸς ἐπιτετραμμένου στρατιωτικήν τινα ἀρχὴν καὶ ἐπὶ τὸν κατὰ Σικελίαν ἀπεσταλμένου μετὰ καὶ ἄλλων πόλεμον, εὔξατο προϊδεῖν ὀνείρῳ τὰ συμβησόμενα, εὔξατο δὲ πρὸς ἥλιον ἀνίσχοντα. ὁ δὲ πατὴρ ὄναρ αὐτῇ ἐπιστὰς ἐκέλευε καὶ πρὸς δυόμενον εὔξασθαι. καὶ εὐχομένης ἐξ αἰθρίας τινὸς νέφος συστῆναι περὶ τὸν ἥλιον, ἐκεῖθεν δ' αὐξηθῆναι καὶ εἰς ἄνθρωπον διατυπωθῆναι· ἕτερον δ' αὐτοῦ νέφος ἀποσπασθὲν ἐπεδίδου τε εἰς μέγεθος ἴσον, καὶ εἰς λέοντα διεσχηματίζετο θηρίον· ὁ δὲ ἠγρίαινε, καὶ μέγα χάσμα πεποιημένος ὁ λέων καταπίνει τὸν ἄνθρωπον· Γότθῳ ἐῴκει τὸ ἀνθρώπειον καὶ νεφοποίητον εἴδωλον. ἐπὶ δὲ τοῖς φάσμασιν ὀλίγον ἔπειτα τὸν ἡγεμόνα τῶν Γότθων Ἄσπερα βασιλεὺς Λέων ἐδολοφόνησεν αὐτὸν καὶ παῖδας. ἐξ ἐκείνου οὖν 1044B τοῦ χρόνου διέμεινεν ἡ Ἄνθουσα ἄχρι δεῦρο ἀεὶ ἐπιτηδεύουσα τὸν τρόπον τῆς διὰ τῶν νεφῶν μαντικῆς προγνώσεως. ὅτι τὴν Σῶθιν Αἰγύπτιοι τὴν Ἶσιν εἶναι θεολογοῦσιν, οἱ δὲ Ἕλληνες εἰς τὸν Σείριον ἀνάγουσι τοῦτο τὸ ἄστρον, καὶ ὡς κύνα τὸν Σείριον, ὀπαδὸν τοῦ Ὠρίωνος ὄντα κυνηγετοῦντος, οὕτω διαζωγραφοῦσι, μᾶλλον δὲ ἐντετυπωμένον τῷ οὐρανῷ δεικνύουσι. τι-

a. 1. αὐτῆς *A*: αὐτοῖς ς. 3. σταθηρᾶς om *A*. 4. Σεβήρου] Τιβερίου et mox ὑφίει Eustathius ad H. 5. p. Rom. 513, 3: cuius errorem notavit Leichius p. XV. 11. ἐν ῥώμῃ κατηνύσθαι ς. 14. αὐτοῦ om *A*. 15. τῶν *A*: τὸν ς. Βαλέμεριν ς. 18. ἁπάσης ς. 22. δὲ om *A*. 30. δυσχερανάστων ς. 31. βραχμᾶνες *B*: βραχμάνες ς. 36. πᾶν om *B*. θυραῖον] θεωρεῖν *B* et corr *A*. 38. ὄρεσι *B*: ὄρει ς.

b. 1. αὖ *A*: αὐτῶν ς. 2. βραχμάνους *B*. 10. libri ἔχοντας. 12. κατερεφῆ ς. 13. τὴν add *A*. 20. ἀνδρὸς ς. 22. ηὔξατο ς. 24. ἐπιστὰς add *A*. 27. ὑποσπασθὲν ς. 28. διεσχ. τὸ θηρίον ς. 32. ἄσπαρα *B*.

Digitized by Google

τὶς δὲ ἔλαθον τὸ ἕρωμα κατάξαντες ϗ διαφθείραντες, καὶ ἀπορούμενοι τελεσικῆς βοηθείας οἱ ἐπιχώριοι ἀνθρωπίνῃ σπουδῇ ϗ τέχνῃ τὸν λιμένα μόλις ἑαυτοῖς περισώζουσιν οἱ Αἰγύπτιοι. οἱ δὲ ἐδίωκον, οἱ τῆς γυναικὸς θεράποντες, τὸν κύνα φεύγοντα, τῆς Λιβυκῆς στρουθοῦ τὰ κρέα ἁρπάσαντα. ὀρυττόντων δὲ ἀνακύπτει ϗ ἐκφαίνεται παλαιτάτου νεὼ αἴτωμα. ὅτι ὁ Ἑρμείας γένος μὲν ἦν Ἀλεξανδρεύς, πατὴρ δ' Ἀμμωνίου καὶ Ἡλιοδώρου. οὗτος ἐπιεικὴς ἦν τὴν φύσιν ϗ ἁπλοῦς τὸ ἦθος, ἠκροάσατο δὲ ϗ Συριανοῦ σὺν Πρόκλῳ. φιλοπονίᾳ μὲν οὗτος οὐδενὸς ἦν δεύτερος, ἀγχίνους δὲ οὔτι σφόδρα ἦν οὐδὲ λόγων εὑρετὴς ἀποδεικτικῶν, οὐδὲ γενναῖος ἄρα ζητητὴς ἀληθείας· οὔκουν οὐδ' οἷός τε ἐγεγόνει πρὸς ἀποροῦντας κατὰ τὸ καρτερὸν ἀνταγωνίζεσθαι, καίτοι ἐμέμνητο ὡς εἰπεῖν πάντων ὧν
555H. τε ἀκηκόει τοῦ διδασκάλου ἐξηγουμένου καὶ τῶν ἐν βιβλίοις ἀναγεγραμμένων. ἀλλὰ τὸ αὐτοκίνητον οὐ προσήνθει τῇ πολυμαθίᾳ. τὰ δὲ πρὸς ἀρετὴν εὖ ἤσκητο, ὥστε μηδ' ἂν τὸν μῶμον αὐτὸν ἐπιμωμήσασθαι μηδὲ μισῆσαι τὸν φθόνον. οὗτος ἰδιώτου ποτὲ πωλοῦντος αὐτῷ βιβλίον, ϗ ἔλαττον ἤπερ ἦν ἄξιον αἰτοῦντος, ἐπηνώρθωσέ τε τὴν πλάνην καὶ πλείονος ὠνήσατο. καὶ οὐχ ἅπαξ τὴν δικαιοσύνην ταύτην, ἧς τοῖς ἄλλοις οὐδέ τις ἦν ἐπιστροφή, ἀλλὰ πολλάκις, ὁσάκις συνέβαινεν ἀγνοεῖν τὸν πιπράσκοντα τὸ δίκαιον τίμημα, ἐπεδείκνυτο, οὐ κατὰ τοὺς ἄλλους ἀγαπῶν τὸ ἕρμαιον, οὐδὲ οἰηθεὶς ἄρα μηδὲν ἀδικεῖν εἰ ἑκὼν παρ' ἑκόντος ὁτιοῦν ἐωνήσατο· καὶ γὰρ ἐνέδραν τινα εἶναι τῷ πράγματι καὶ ἀπάτην, οὐ λέγουσαν τὸ ψεῦδος ἀλλὰ σιωπῶσαν τὴν ἀλήθειαν, ϗ ἀδικίαν οὖσαν λανθάνειν τοὺς πολλούς, οὐ βίαιον ἀλλὰ κλοπιμαίαν, οὐδ' ἐπικίνδυνόν τινα λῃστοῦ δίκην κλέπτουσαν, ἀλλ' ὑπὸ μὲν τοῦ νόμου ἀφειμένην, τὸ δὲ δίκαιον ἀνατρέπουσαν. ὅτι ὁ ἀδελφὸς Ἑρμείου Γρηγόριος ἅπαν ἦν τοὐναντίον, ὀξύτατος μὲν εἰς ὑπερβολὴν καὶ εὐκίνητος ἐπὶ τὰς ζητήσεις καὶ τὰς μαθήσεις, ἄλλως δὲ οὐχ ἡσύχιος οὐδὲ γαλήνην ἐν τοῖς ἤθεσι φέρων τινά, ἀλλά τι καὶ παρακεκινηκώς· ὕστερον δὲ καὶ τῇ νόσῳ ἑάλω ἐπὶ πλέον, ὥστε δύσχρηστον αὐτοῦ τοῖς λογισμοῖς ϗ πολὺ παραλλάττον γενέσθαι τὸ ὄργανον. ὅτι τῷ Ἑρμείᾳ ἐκ τῆς Αἰδεσίας πρεσβύτερον τῶν φιλοσόφων υἱέων τίκτεται παιδίον, ϗ ἡ Αἰδεσία τῷ υἱεῖ ἑπτὰ μῆνας ἀπὸ γενέσεως ἄγοντι προσέπαιζέ τε οἷα εἰκός, καὶ βάβιον ϗ παιδίον ἀνεκάλει, ὑποκορίζουσα τὴν φωνήν. ὁ δὲ ἀκούσας ἠγανάκτησε καὶ ἐπετίμησε τὸν παιδικὸν τοῦτον ὑποκορισμόν, καὶ διηρθρωμένην τὴν ἐπιτίμησιν ἐξενεγκών. καὶ ἄλλα δὲ πολλὰ περὶ τοῦ παιδὸς τούτου τερατολογεῖ, ϗ ὅτι οὐκ ἀνεχόμενος τὴν ἐν σώματι ζωὴν ἑπτὰ ἐτῶν τοῦ βίου ἀπέστη· οὐ γὰρ ἐχώρει αὐτοῦ τὴν ψυχὴν ὁ περὶ γῆν ὅδε τόπος. βάβια δὲ οἱ Σύροι, ϗ μάλιστα οἱ ἐν Δαμασκῷ, τὰ νεογνὰ καλοῦσι παιδία, ἤδη δὲ καὶ τὰ μειράκια ἀπὸ τῆς παρ' αὐτοῖς νομιζομένης Βαβίας θεοῦ. ἤδη γὰρ ἐνίοις τῶν τὰ ὦτα κατεα- 1045R.
γότων ϗ ἅμα διεφθαρμένων τὰς διανοίας εἰς κωμῳδίαν ἐτράπη ϗ γέλωτα πολὺν τὰ τῆς φιλοσοφίας ἀπόρρητα. ὅτι Πανικόν τι ζῷον διακομιζόμενον θεάσασθαί φησιν ὁ Ἱέραξ ὁ Ἀλεξανδρεύς, ὁ συνακμάσας Ἀμμωνίῳ, ἐξ Αἰθιοπίας εἰς τὸ Βυζάντιον, ἐοικὸς ἀκριβῶς τοῖς γραφομένοις καὶ τυπουμένοις· ἀκηκοέναι τε αὐτοῦ τῆς φωνῆς διὰ τῆς Ἀλεξανδρείας φερομένου οἱονεὶ τριζούσης. ὅτι ὁ Ἀμμώνιος φιλοπονώτατος γέγονε, ϗ πλεῖστα ὠφέλησε τῶν πώποτε γεγενημένων ἐξηγητῶν· μᾶλλον δὲ τὰ Ἀριστοτέλους ἐξήσκητο. ἔτι δὲ διήνεγκεν οὐ τῶν καθ' ἑαυτὸν μόνον ἀλλὰ καὶ τῶν πρεσβυτέρων τοῦ Πρόκλου ἑταίρων, ὀλίγου δὲ ἀποδέω ϗ τῶν πώποτε γεγενημένων εἰπεῖν, τὰ ἀμφὶ γεωμετρίαν τε καὶ ἀστρονομίαν. καὶ ὁ Πρόκλος ἐθαύμαζε τὸ Ἰσιδώρου πρόσωπον, ὡς ἔνθεον ἦν καὶ πλῆρες εἴσω 556H.
φιλοσόφου ζωῆς· οἵ τε ὀφθαλμοὶ τὸ τῆς διανοίας εὔτροχον ἀποσαφοῦντες, ϗ ἅμα αὐτοῖς ἐπιθέουσα σεμνότης ἡδεῖα καὶ ἄπλαστος αἰδὼς ἐπέστρεφε πρὸς αὐτὸν τὸν φιλόσοφον. ὅτι Εὐνόϊος ὁ ῥήτωρ βραδύνους ἦν. ἤδη νεανικοῦ φρονήματος ὑπόπλεως ϗ σοβῶν ἐν λόγοις. ὅτι Σευηριανὸς τριάκοντα ἐτῶν τῶν ῥητορικῶν ἀρξάμενος, καίτοι τὴν φύσιν ὑπονωθέστερος ὤν, ὅμως δι' ὑπερβολὴν φιλοπονίας ὕστερον ἐν ταῖς λιπαραῖς ϗ ἀοιδίμοις Ἀθήναις ἀνηγορεύετο σοφιστής,

a. 1. δὲ om A. 8. Ἑρμείας] cf. Suidas h. v. 12. οὔτι — οὐδὲ A: οὔτε — οὔτε ς. 18. φιλομαθίᾳ ς. τὰ] τὸ B. 24. ἦν add A. ἀλλὰ καὶ πολλ. ς. 26. ἄρα A cum Suida v. Ἕρμαιον: ὅτι ς. 28. nonne ἐνεῖναι? 31. κλοπιμαῖον A. οὐθ' ς. 33. ὁ om A. 35. ἐπὶ] ἐπί τε Suidas (v. Γρηγόριος ἀδελφός), qui hoc fragmentum e Damascii historia philosophica apponit. 37. παρακεκινηκὸς B. ὕστερον δὲ] ἐπεὶ δὲ Ἀθήνηθεν ἧκεν εἰς Ἀλεξάνδρειαν ὕστερον Suidas. idem mox om τοῖς λογισμοῖς.

b. 5. ἀνεκάλει] αὖ ἐκάλει B. 7. ὑποκ. καὶ] ὑποκ. τορόν· B. 14. βαβαίας A. 15. ἅμα om Suidas v. Ὦτα κατεαγότα et Τὰ ὦτα ἐπὶ τῶν ὤμων. 17. διακομιζόμενον B: διακομιζόμενος ς. 26. ἑτέρων ς. 29. εἴσω om B. 32. ἐπέτρεχεν ἱκανῶς τὸν φιλόσοφον καὶ ἤδη γνώριμον ἐποίει αὐτῷ τὸν νεανίσκον Suidas v. Ἄπλασος. 35. τῶν] ὢν A. cf. Suidas v. Ὀψιμαθής et Σουηριανός.



Digitized by Google

οὐ πάνυ τῆς Λαχάρου δόξης ἀπολειπόμενος. ὅτι καὶ Λαχάρης ἐξ ἐπιμελείας μᾶλλον ἢ φύσεως ἔδοξε κατὰ τὴν ῥητορικὴν εὐδοκιμῆσαι. δηλοῖ δὲ αὐτοῦ τὸ τῆς φύσεως ἀγεννέστερον καὶ τὰ συγγράμματα αὐτοῦ. ἄνδρα ἱερὸν καὶ περὶ τὰ θεῖα βακχεύοντα μεγαλοπρεπῶς.

ὅτι Μητροφάνης ὁ σοφιστὴς ἔκγονος ἦν Λαχάρους.

ὅτι φησὶν ὁ συγγραφεὺς ἄγαλμα τῆς Ἀφροδίτης ἰδεῖν ἱδρυμένον Ἡρώδου τοῦ σοφιστοῦ ἀνάθημα. τοῦτο οὖν, φησί, θεασάμενος ἵδρωσα μὲν ὑπὸ τοῦ θάμβους καὶ ἐκπλήξεως, οὕτω δὲ τὴν ψυχὴν διετέθην ὑπὸ τῆς εὐφροσύνης, ὥστε οὐχ οἷός ἦν οἴκαδε ἐπανιέναι, πολλάκις δὲ ἀπιὼν ἐπαναστρέφειν ἐπὶ τὸ θέαμα· τοσοῦτον αὐτῷ κάλλος ἐνεκέρασεν ὁ τεχνίτης, οὐ γλυκύ τι καὶ ἀφροδίσιον, ἀλλὰ βλοσυρόν τε καὶ ἀνδρικόν, ἔνοπλον μέν, οἷον δὲ ἀπὸ νίκης ἐπανηγμένης καὶ τὸ γεγηθὸς ἐπιφαινούσης. ὅτι Ἱέριον τὸν Πλουτάρχου, ὑπὸ Πρόκλῳ φιλοσοφοῦντα, ἐς τὴν Κυρίνου λεγομένην οἰκίαν θεάσασθαί φησι μικρὰν οὕτω κεφαλὴν μόνην ἀνθρώπου, τό τε μέγεθος καὶ τὸ εἶδος οὐδὲν ἐρεβίνθου διαφέρουσαν· διὸ καὶ ἐρέβινθον αὐτὴν καλεῖσθαι· τὰ δ' ἄλλα κεφαλὴν ἀνθρωπείαν εἶναι, ὀφθαλμούς τε ἔχειν καὶ πρόσωπον καὶ τρίχας ἄνω καὶ στόμα πᾶν, καὶ ἀπὸ τοῦ στόματος φωνὴν ἀφιέναι, ὅσον ἀνθρώπων χιλίων, τοσοῦτον μεγάλην. τοῦτο τερατευσάμενος περὶ τοῦ ἐρεβίνθου ὁ συγγραφεὺς τῆς κεφαλῆς, καὶ ἄλλα μυρία περὶ αὐτῆς ἄξια Δαμασκίῳ τῷ δυσσεβεῖ καὶ γράφειν καὶ πιστεύειν προστερατεύεται. ὁ Σαλούστιος κυνίζων οὐ τὴν εἰθισμένην ὁδὸν ἐπορεύετο τῆς φιλοσοφίας, ἀλλὰ τὴν κεχαραγμένην πρὸς ἔλεγχόν τε καὶ λοιδορίαν καὶ τὸν μάλιστα δὴ πόνον ὑπὲρ ἀρετῆς. ὑπεδέδετο δ' οὗτος σπανιάκις, ἢ τὰς Ἀττικὰς ἰφικρατί-
1048 R. δας ἢ τὰ συνήθη σανδάλια περιδεδεμένος. ἐφαίνετο δὲ οὐδέποτε ἐπὶ πλεῖστον χρόνον οὔτε ἀρρωστῶν τὸ σῶμα οὔτε ταλαιπωρούμενος τὴν ψυχήν, ἀλλά (τὸ λεγόμενον) εὐλόφῳ αὐχένι τὴν ἄσκησιν ὑπέμενε. καλὰ καὶ ἀξιέπαινα πολιτεύματα, καὶ ὅσα τοιαῦτα φιλαν-
557 H. θρωπεύματα. ὁ Καρχηδονίων βασιλεὺς Γεζέριχος, ἀκούσας ὡς οἱ Ῥωμαῖοι τὸν σύμμαχον αὐτοῖς κατ' αὐτοῦ Μαρκελλῖνον δόλῳ καὶ παρὰ τοὺς ὅρκους ἀνεῖλον, ἥσθη τε ἄγαν ἐπὶ ταῖς ἐλπίσι τῆς νίκης, καὶ ἔδοξεν εἰρηκέναι λόγον οὐ Καρχηδονίῳ προσήκοντα ἀλλὰ Ῥωμαίῳ βασιλεῖ· τοὺς γάρ τοι Ῥωμαίους ἔφατο τῇ ἀριστερᾷ χειρὶ ἀποκόψαι τὴν δεξιάν. ὁ δὲ Μαρκελλῖνος τῆς Δαλμάτων ἦν χώρας αὐτοδέσποτος ἡγεμών, Ἕλλην τὴν δόξαν. ὅτι ὁ Σαλούστιος εἰς τοὺς τῶν ἐντυγχανόντων ὀφθαλμοὺς ἀφορῶν προὔλεγεν ἑκάστοτε τὴν βίᾳ γενησομένην ἑκάστῳ τελευτήν. τὴν δ' αἰτίαν τῆς προγνώσεως οὐδ' αὐτὸς εἶχε φράζειν καίτοι ἐπειρᾶτο ἐρωτώμενος τὸ σκοτεινὸν τῶν ὀφθαλμῶν αἰτιᾶσθαι καὶ ἀχλυῶδες καὶ νοτισμοῦ μεστόν, οἷον ἐπὶ πένθεσι ταῖς κόραις αὐταῖς ἐμφερόμενον. καὶ Οὐρανιόν τινα ὄνομα, Ἀπαμείας τῆς ἐν Συρίᾳ πολίτην καὶ ἄρξαντα Καισαρείας τῆς ἐν Παλαιστίνῃ, ἀπὸ τῶν ὀφθαλμῶν γνωρίζειν τὸν ὅμοιον τρόπον τοὺς πολυαράτους γόητάς φησι. καὶ Νόμον δέ τινα τοὔνομα, πολίτην ἴδιον, ὁ συγγραφεὺς λέγει ἀπὸ τῆς κατὰ τὰ ὄμματα τῶν ἐντυγχανόντων θέας τοὺς λανθάνοντας ἐπιγινώσκειν φονέας. ὁ δὲ τὸν Αἰγαῖον διαπεραιωθείς, ὁ Ἰσίδωρος, καὶ αὐτὸς δὲ Ἀσκληπιάδης, ἔφασκεν ἑωρακέναι πλόκαμον ἐν τῷ Νείλῳ ποταμῷ δαιμόνιον τὸ μέγεθος καὶ τὸ κάλλος. αὖθις δέ ποτε παρὰ τῷ Νείλῳ ἑστιωμένοις ἀμφοτέροις (παρῆν δὲ ἐκ τρίτων καὶ ὁ ἡμέτερος φιλόσοφος) ἀνέδραμεν ἀπὸ τοῦ ποταμοῦ πλόκαμος ὡς ἰδεῖν πεντάπηχυς. καὶ πολλὰ τοιαῦτα φάσματα λέγει. ὅτι κατὰ τὴν Ἡλιούπολιν τῆς Συρίας εἰς ὄρος τὸ τοῦ Λιβάνου τὸν Ἀσκληπιάδην ἀνελθεῖν φησί, καὶ ἰδεῖν πολλὰ τῶν λεγομένων βαιτυλίων ἢ βαιτύλων, περὶ ὧν μυρία τερατολογεῖ ἄξια γλώσσης ἀσεβούσης. λέγει δὲ καὶ ἑαυτὸν καὶ τὸν Ἰσίδωρον ταῦτα χρόνῳ ὕστερον θεάσασθαι. ἡ δὲ ἱερὰ γενεὰ καθ' ἑαυτὴν διέζη βίον θεοφιλῆ καὶ εὐδαίμονα, τόν τε φιλοσοφοῦντα καὶ τὸν τὰ θεῖα θεραπεύοντα. ἀνέκαιον ὁσίῳ πυρὶ τοὺς βωμούς.

ὅτι ἡ πάρδαλις ἀεί, φησί, διψῇ, ὁ ἱέραξ οὐδέποτε διὸ σπανιάκις ὁρᾶται πίνων. ὁ ἱπποπόταμος ἄδικον ζῶον, ὅθεν καὶ ἐν τοῖς ἱερογλυφικοῖς γράμμασιν ἀδικίαν δηλοῖ· τὸν γὰρ πατέρα ἀποκτείνας βιάζεται τὴν μητέρα. ὁ σοῦχος δίκαιος· ὄνομα δὲ κροκο-

a. 1. Λαχάρους] vid. ad Marin. vit. Procli p. 89. καὶ add A. 2. ἢ καὶ φύσ. ς. 4. ἀγεννέστερον A. 6. Λαχάρου B. cf. Suidas v. Μητροφάνης ἔκγονος. 7. φησὶν add A. 8. ἰδεῖν] ἴδοι A. 9. καὶ A: τε καὶ ς. 15. ἐπανηγμένης A: ἐπανερχομένης ς. 16. ἐπιφανούσης ς. 17. φιλοσοφοῦντα ante ὑπὸ ponit B. Κυρίνου] Θυρίνου B et corr A. 32. σανδάλια B: σάνδαλα Aς cum Suida v. Ἰφικρατίδες. 32. cf. Suidas v. Εὐλόφως. 37. γιζέριχος A. 39. de Marcellino cf. Suidas h. v.

b. 5. δελμάτων A. 6. τὴν] τε B. 8. βίᾳ] βιαίαν A. 10. ἐπεπείρατο ς. 13. ἀπαμείας τῆς B, ἀπάμας τῆς A: ἀπανάστη ς. 17. λέγει] φησιν B. 21. ἐν τῷ νείλῳ ἑωρακέναι ποταμῷ πλόκαμον B. 23. τὸν Νεῖλον ς. 24. καὶ et 27. τῆς add A. 29. βαιτουλίων ς. 35. ἡ add A. φησὶ διψῇ A: διψᾷ ς.

Digitized by Google

διλου καὶ εἶδος ὁ σοῦχος· οὐ γὰρ ἀδικεῖ ζῶον οὐδέν. τὰς δώδεκα ὥρας ἡ αἴλερος διακρίνει, νύκτας καὶ ἡμέρας ὀρεῦσα καθ' ἑκάςην ἀεί, δίκην ὀργάνε τινὸς ὡρογνωμονοῦσα. ἀλλὰ καὶ τῆς σελήνης, φησίν, ὡπαριθμεῖται τὰ φῶτα τοῖς οἰκείοις γεννήμασι. ϗ γὰρ τὴν 558H. αἴλερον ζ' μὲν τὸν πρῶτον, ϛ' δὲ "τὸν δεύτερον τόκον, τὸν τρίτον ε', καὶ δ' τὸν τέταρτον, καὶ γ' τὸν πέμπτον, ἐφ' οἷς δύο τὸν ἕκτον καὶ ἕνα ἐπὶ πᾶσι τὸν ἕβδομον· καὶ εἶναι τοσαῦτα γεννήματα τῆς αἰλέρου, ὅσα καὶ τὰ τῆς σελήνης φῶτα. ὁ κῆβος (ἔςι δὲ πιθήκε εἶδος) ἀποσπερμαίνει κατὰ τὴν σύνοδον ἡλίου ϗ σελήνης. ὁ ὄρυξ τὸ ζῶον πταρνύμενος ἀνατέλλειν διασημαίνει τὴν Σῶθιν. ἕως οἱ ἡγεμόνες αὐτῶν διέςησαν εἰς ἔριν πολιτοφθόρον.
1049B. καὶ προέλεγε κατὰ τὴν ἀπορρήτον θέαν. "ὃ δ' ἐν τῷ τοίχῳ τοῦ φωτὸς φανεὶς ὄγκος οἷον παγεὶς εἰς πρόσωπον διεμορφοῦτο, πρόσωπον ἀτεχνῶς θεσπέσιον δή τι καὶ ὑπερφυές, οὐ γλυκείαις χάρισιν ἀλλὰ βλοσυραῖς ἀγαλλόμενον, κάλλιςον δ' ὅμως ἰδεῖν καὶ ὐδὲν ηττον ἐπὶ τῷ βλοσυρῷ τὸ ἤπιον ἐπιδεικνύμενον. ὃν Ἀλεξανδρεῖς ἐτίμησαν Ὄσιριν ὄντα ϗ Ἄδωνιν κατὰ τὴν μυςικὴν θεοκρασίαν. ὅτι ἐνῆν, φησί, τῇ τῦ Ἡραΐσκε τῦ φιλοσόφε φύσει καί τι τὺς μολυσμὺς τῆς γενέσεως ἀναινόμενον· εἰ γῦν αἴσθοιτο φθεγγομένης ὅπως δὴ καὶ ὅθεν γυναικὸς ἀκαθάρτου τινός, ἤλγει παραχρῆμα τὴν κεφαλήν. ὅτω μὲν ζῶντι συνῆν ἀεί τι θεοειδές· ἀποθανόντι δὲ ἐπειδὴ τὰ νομιζόμενα τοῖς ἱερεῦσιν ὁ Ἀσκληπιάδης ἀποδιδόναι παρεσκευάζετο, τά τε ἄλλα καὶ τὰς Ὀσιριάδας ἐπὶ τῷ σώματι περιβολάς, αὐτίκα φωτὶ κατελάμπετο πανταχῇ τῶν σινδόνων ἀπόρρητα διαγράμματα, καὶ περὶ αὐτὰ καθεωρᾶτο φασμάτων εἴδη θεοπρεπῶν. ἦν δ' αὐτῦ καὶ ἡ πρώτη γένεσις ἱερὰ καὶ μυςική· λέγεται δὲ κατελθεῖν ἀπὸ τῆς μητρὸς εἰς τὸ φῶς ἐπὶ τοῖς χείλεσιν ἔχων τὸν κατασιγάζοντα δάκτυλον, οἷον Αἰγύπτιοι μυθολογοῦσι γενέσθαι τὸν Ὧρον, καὶ πρὸ τοῦ Ὥρου τὸν Ἥλιον. ϗ ἐπεὶ συνεπεφύκει τοῖς χείλεσιν ὁ δάκτυλος, ἐδεήθη τομῆς, καὶ διέμεινεν ἀεὶ τὸ χεῖλος ὑποτετμημένον ἰδεῖν, φανερὸν τὸ σημεῖον τῆς ἀποῤῥήτε γενέσεως. λέγεται δὲ ϗ ὁ Πρόκλος ἑαυτῦ ἀμείνω τὸν Ἡραΐσκον ὁμολογεῖν· ἃ μὲν γὰρ αὐτὸς ᾔδει, καὶ ἐκεῖνον εἰδέναι, ἃ δὲ Ἡραΐσκος, οὐκέτι Πρόκλον. ὅτι Ἀνθέμιον ὄντος τὸν Ῥώμης βασιλεύσαντα ἑλληνόφρονα καὶ ὁμόφρονα Σεβήρε τοῦ εἰδώλοις προσανακειμένε λέγει, ὃν αὐτὸς ὕπατον χειροτονεῖ, καὶ ἀμφαῖν εἶναι κρυφίαν βουλὴν τὸ τῶν εἰδώλων μύσος ἀνανεώσασθαι. ὅτι καὶ Ἴλλεν ὄντος ϗ Λεόντιον, ὃν ἐκεῖνος ἀντιχειροτονεῖ Ζήνωνι βασιλέα, τὰ αὐτὰ καὶ φρονεῖν καὶ βόλεσθαι πρὸς ἀσέβειαν, Παμπρεπίε πρὸς ταύτην αὐτοὺς ἑλκύσαντος, διατείνεται. ὅτι Παμπρεπίε τὸ τερατολόγον καὶ ἀπιςότατον φίλοις, ϗ τὸν βίαιον θάνατον, ὁμοίως τοῖς ἄλλοις καὶ αὐτὸς ἱςορεῖ· ἦν δ' Αἰγύπτιος γένος, τέχνην γραμματικὸς ὁ Παμπρέπιος. οὐκ εἰμὶ πρόθυμος πρᾶγμα λέγειν καὶ ἄδηλον εἰς ἀλήθειαν ϗ πρόχειρον εἰς φιλαπεχθημοσύνην. βόλομαι δὲ καὶ ἀφεὶς ἤδη τὸν "Πύθιον ἐπὶ τὸν Ἡραΐ- 559H. σκον ἐπανελθεῖν τὸν σκύβιέα. ἀνεβόα μέγιςον ὅσον. τῆς κεφαλῆς αἱ κόμαι καθεῖντο μέχρι τῶν ὤμων. ὅτι Φοίνικες καὶ Σύροι τὸν Κρόνον Ἦλ ϗ Βὴλ ϗ Βωλαθὴν ἐπονομάζεσιν. ἐνέβησαν μὲν εἰς τὸ ῥεῖθρον τοῦ Μαιάνδρε διανήξασθαι ποταμοῦ αὐτός τε ϗ ὁ Ἀσκληπιόδοτος ὁ πάλαι γεγονὼς παιδαγωγὸς αὐτῦ· ὁ δὲ σφᾶς ἐν μέσαις ταῖς δίναις ἀπολαβών, ὁ Μαίανδρος, ὑποβρυχίους ἐποίει, ἕως ὁ Ἀσκληπιόδοτος ἐπὶ μικρὸν ἀναδύς, ὅσον θεάσασθαι τὸν ἥλιον, „ἀποθνήσκομεν" ἔφη καί τι προσθεῖναι καὶ ἀπόῤῥητον ἠδυνήθη. τότε δὲ ἐξαίφνης, ἀπ' οὐδεμιᾶς φανερᾶς προμηθείας, ἐπὶ τῆς ὄχθης ἔκειντο τοῦ ποταμοῦ, ἡμιθνῆτες· εἶτα ἀνακτησάμενοι τὰς ψυχὰς ἀνεχώρησαν ἐξ αὐτῶν τῶν γε τῦ ᾅδε ῥευμάτων. ὅτως ἔνθεον ἐκτήσατο δύναμιν ὁ Ἀσκληπιόδοτος, καὶ ταῦτα μετὰ τῦ σώματος ἔτι ὤν. Ἀπόλλωνος αὐλὰς τοῦτο δὴ τὸ χωρίον οἱ Κᾶρες καλοῦσιν. ὁ Ἀσκληπιόδοτος τοίνυν ἀπὸ τῶν αὐλῶν εἰς Ἀφροδισιάδα οἴκαδε ἐπανερχόμενος, ἤδη μὲν ὁ ἥλιος ἐδεδύκει, ὁ δὲ παραχρῆμα ἀνατέλλεσαν ἐθεάσατο τὴν σελήνην" οἷα πανσέληνον ὄσαν. 1052B.

a. 5. γεννήμασι τοῖς οἰκείοις ϛ. 7. καὶ ante δ' om B. 24. ἀναινόμενον A, ut e Suida (v. Ἡραΐσκος) correxit Fabricius proleg. ad Marini vit. Procli p. Boissonad. XLV: ἀναιρούμενον ϛ. 26. κεφαλήν] κεφαλήν, καὶ τοῦτο σημεῖον ἐποιεῖτο τῆς ἀφεδρείας Suidas l. l. 29. Ὀσίριδος id. σώματι] ὄμματι A. 31. αὐτὸν et 32. φαντασμάτων εἴδη θεοπρεπῆ, ἐπιδεικνύντων τὴν ψυχὴν ἐναργῶς, ποίοις ἄρα θεοῖς ἐγεγόνει συνέςιος Suidas. 33. καὶ ἡ A: ὃ καὶ ἡ ϛ. ἱερὰ καὶ] τῷ ὄντι Suidas. δὲ] γὰρ idem, omissis mox εἰς τὸ φῶς. 37. καὶ ἐπεὶ] τοιγαροῦν ἐπεὶ οἱ id.
b. 1. φανεροῦν A: φανερὸν ϛ, ἅπασι φανερὸν Suidas. 2. ἀμείνονα B. 5. ἑλληνόφαρον — 6. ἀνακειμένου ϛ. 8. τὸ om pr B. 10. χειροτονεῖ ϛ. 12. Παμπρ. τὸ τερατολόγον] περὶ παμπρ. τότε ῥῦςον A. an τεράςιον? 19. εὐβοέα B et corr A, εὔιον Leichius p. XVI. ἀνεβόα om A. 20. τῆς A: ᾧ τῆς ϛ. 22. βωλαθὴν A, βωλαθὶν B, βολαθὴν C: βολάθην ϛ. Θολάθην Hamaker. Monument. Pun. p. 10. ἀνέβησαν ϛ. 24. ὁ Ἀσκληπιόδοτος om C.

Digitized by Google

καίτοι ἐκ ἦν ἐν τῷ διαμετροῦντι ζωδίῳ τὸν ἥλιον.

ἀλλὰ δὴ ϗ τοῦτο τὸ ἄγαλμα καθεῖλεν ἡ πάντα τὰ ἀρχαῖα καθελοῦσα ἀνάγκη. Ἀλεξανδρεὺς ἦν τὸ γένος, ἐκ ἐπιφανῶν γονέων τὰ ἀπὸ τῆς τύχης, ἐπιεικῶν δὲ ἄλλως καὶ ἱερῶν. ὅτι περὶ Ἰακώβου τοῦ ἰατροῦ, ὃς ἐγγὺς μὲν τὸ γένος Ἀλεξανδρεὺς ἦν, πορρώτερον δ' ἐκ Δαμασκοῦ, υἱὸς δ' ἰατροῦ μ' ἔτη τῇ πείρᾳ σχολάσαντος καὶ μικροῦ τὴν οἰκεμένην ἐπὶ γυμνασίᾳ καὶ κρίσει τῆς τέχνης ἐπελθόντος, ὃς ϗ τὸν Ἰάκωβον τὴν ἰατρικὴν τὸν παῖδα ἐπὶ ἔτη τὰ ἴσα ἐδιδάξατο, περὶ τοίνυν τοῦδε τοῦ Ἰακώβε, ὥσπερ ϗ ἄλλοι, πολλὰ παράδοξα λέγει, καὶ ὡς ἀκεύσας γυναῖκα πταρεῖσαν ἀθροώτερον πάντας ἀποβαλεῖν τὲς ὀδόντας, ἐκ τούτου μόνου τοῦ συμβεβηκότος ἀνειπεῖν τὰ περὶ τῆς γυναικὸς ἅπαντα, εἶδός τε ϗ χρῶμα σώματος καὶ μέγεθος ϗ τῆς ψυχῆς ὅσα φυσικώτερα τῶν ἠθῶν. ὅτι ὁ τε Ἰακώβε πατὴρ μετὰ τὴν πολλὴν τῆς οἰκουμένης πλάνην ἦλθε καὶ εἰς τὸ Βυζάντιον, φησί, καὶ τὲς ἐνταῦθα κατέλαβεν ἰατροὺς οὐδὲν ἄρα τῆς τέχνης ἐπισαμένες ἀκριβὲς ἐδὲ αὐτόπειρον, ἀλλὰ ἀπὸ τῶν ἀλλοτρίων δοξασμάτων ἐ θεραπεύοντας ἀλλὰ φλυαροῦντας. (ἄμφω δέ, ϗ ὁ παῖς καὶ ὁ φύς, ἀσεβέε ἤσην.) ὅτι ἐχρῶντο κατὰ τῶν νόσων ἔτοι καθαρσίοις πολλοῖς καὶ βαλανείοις, χειρεργεῖν δὲ σιδήρῳ ϗ πυρὶ οὐ λίαν ἦσαν ἕτοιμοι, ἀλλὰ ϗ τὰ μοχθηρότερα τῶν ἑλκῶν διαίτῃ κατηγωνίζοντο· φλεβοτομίαν δ' ἐ προσίετο. ἔπειθεν ὁ Ἰάκωβος τὲς πλεσίες ἰατρεύων
560 H. βοηθεῖν τῇ νοσέσῃ πενίᾳ, ϗ αὐτὸς προῖκα ἰάτρευε, τῷ δημοσίῳ μόνῳ ἀρκέμενος σιτηρεσίῳ. ὅτι φησὶν ὁ συγγραφεύς, Εἶδον εἰκόνα τε Ἰακώβε Ἀθήνησι, καί μοι ἔδοξεν ὁ ἀνὴρ εὐφυὴς μὲν ἐ πάνυ εἶναι, σεμνὸς δὲ ϗ ἐμβριθής. οὗτος δὲ ὁ Ἰάκωβος Πρόκλῳ νοσοῦντι, ἐν Ἀθήναις διατρίβων καὶ θαυμαζόμενος, προσέταξεν ἀπέχεσθαι μὲν κράμβης, ἐμφορεῖσθαι δὲ τῶν λαχάνων· ὁ δὲ κατὰ τὸν Πυθαγόρειον νόμον ἐκ ἠνέχετο μαλάχην ἐσθίειν. ἦν δὲ ὁ Ἀσκληπιόδοτος οὐχ ὁλόκληρος τὴν εὐφυΐαν, ὡς τοῖς πλείσοις ἔδοξε τῶν ἀνθρώπων, ἀλλ' ἀπορεῖν μὲν ὀξύτατος, συνεῖναι δὲ οὐ λίαν ἀγχίνες οὐδὲ αὐτὸς ἑαυτῷ ὅμοιος, ἄλλως τε καὶ τὰ θειότερα τῶν πραγμάτων, ὅσα ἀφανῆ καὶ νοητὰ ϗ τῆς Πλάτωνος ἐξαίρετα διανοίας. πρὸς δὲ τὴν Ὀρφικήν τε καὶ Χαλδαϊκὴν τὴν ὑψηλοτέραν σοφίαν, ϗ τὸν κοινὸν φιλοσοφίας νοῦν ὑπεραίρεσαν, ἔτι μᾶλλον ἐλείπετο. πρὸς δὲ φυσιολογίαν τῶν καθ' ἑαυτὸν πάντων ἦν ἐρρωμενέστατος· ὡσαύτως ϗ ἐν τοῖς μαθήμασιν, ἀφ' ὧν ϗ ἐπὶ τὰ ἄλλα τὸ μέγα τῆς φύσεως ἀπηνέγκατο κλέος. ἐν τοῖς περὶ ἠθῶν δὲ ϗ ἀρετῶν ἀεί τι καινεργεῖν ἐπεχείρει, καὶ πρὸς τὰ κάτω ϗ τὰ φαινόμενα συστέλλειν τὴν θεωρίαν, οὐδὲν μὲν (ὡς ἔπος εἰπεῖν) τῶν ἀρχαίων νοημάτων ἀποικονομέμενος, πάντα δὲ συνωθῶν ϗ κατάγων εἰς τήνδε τὴν φύσιν τὴν περικόσμιον. ὅτι εὐφυέστατος ὁ Ἀσκληπιόδοτος περὶ μεσικὴν γεγονώς, τὸ ἐναρμόνιον γένος ἀπολωλὸς ἐχ οἷός τε ἐγένετο ἀνασώσασθαι, καίτοι τἆλλα δύο γένη κατατεμὼν καὶ ἀνακρεσάμενος, τό τε χρωματικὸν ὀνομαζόμενον καὶ τὸ διατονικόν. τὸ δὲ ἐναρμόνιον οὐχ εὗρε, καίτοι μαγάδας, ὡς ἔλεγεν, ὑπαλλάξας ϗ μεταθεὶς οὐκ ἐλάττες εἴκοσι ϗ διακοσίων. αἴτιον 1053
δὲ τῆς μὴ εὑρέσεως τὸ ἐλάχισον μέτρον τῶν ἐναρμονίων διασημάτων, ὅπερ δίεσιν ὀνομάζουσι. τοῦτο δὴ ἀπολωλὸς ἐκ τῆς ἡμετέρας αἰσθήσεως ϗ τὸ ἄλλο γένος τὸ ἐναρμόνιον προσαπώλεσεν. ὅτι Ἰακώβῳ τὰ κατὰ τὴν ἰατρικὴν μαθητευθεὶς ὁ Ἀσκληπιόδοτος, ϗ κατ' ἴχνη βαίνων ἐκείνε, ἔστιν οἷς ϗ ὑπερεβάλετο. ϗ γὰρ καὶ τοῦ λευκοῦ ἐλλεβόρε πάλαι τὴν χρῆσιν ἀπολωλυῖαν καὶ μηδ' Ἰακώβῳ ἀνασωθεῖσαν αὐτὸς ἀνεκαίνισε, ϗ δι' αὐτοῦ ἀνιάτες νόσες παραδόξως ἐξιάσατο. ὅτι ὁ Ἀσκληπιόδοτος τῶν μὲν νεωτέρων ἰατρῶν τὸν Ἰάκωβον μόνον ἀπεδέχετο, τῶν δὲ πρεσβυτέρων μετὰ τὸν Ἱπποκράτην Σωρανὸν τὸν Κίλικα τὸν Μαλεώτην. τοιγάρτοι καὶ ἀπετέλεσεν ὁ Ἀσκληπιόδοτος τὴν Δαμιανὴν αἰδημονεστάτην ϗ παράλογον οὖσαν, τὴν ἑαυτοῦ γαμετήν, ὑψηλόφρονα καὶ ἀνδρόβελον εἰς οἰκονομίαν, ὥσπερ σώφρονα καὶ ἄθρυπτον εἰς συμβίωσιν. ὅτι ἐν Ἱεραπόλει τῆς Φρυγίας ἱερὸν ἦν Ἀπόλλωνος, ὑπὸ δὲ τὸν ναὸν καταβάσιον ὑπέκειτο θανασίμες ἀναπνοὰς παρεχόμενον. τοῦτον τὸν βόθρον οὐδ' ἄνωθέν ἐστιν ἀκίνδυνον οὐδὲ τοῖς πτη- 561 I
νοῖς τῶν ζώων διελθεῖν, ἀλλ' ὅσα κατ' αὐτὸν γένηται, ἀπόλλυται. τοῖς δὲ τετελεσμένοις, φησί, δυνατὸν ἦν

a. 1. ἐν et 2. τὰ add A. 6. ὃς A: ὅσον ς. 10. τὴν ἰατρικὴν A: τῆς ἰατρικῆς ς, additis τὴν τέχνην post ἐδιδάξατο. 12. πολλὰ add A. 22. ἀσεβέε] ἄθεοι B. 23. ἤσθην ς. 32. δὲ om C. 33. ἀθήναις B: ἀθηναίοις ς. 35. νόμον om A. 36. μαλαχῶν A. de re cf. Iamblich. de vita Pythagorae p. Küster. 91. et protrept. p. 159. b. 2. τὴν ante ὑψηλοτέραν add A. 9. τὰ om A. 22. προσαπώλεσεν ἀγυμνάστου πρὸς αὐτὸ τῆς ἀκοῆς ἀπολελειμμένης Suidas v. Δίεσιν. 23. de Asclepiodoto cf. Suid. h. v. 24. ὑπερεβάλετο B: ὑπερεβάλλετο ς. 27. ἰάσατο ς. 31. Μαλεώτην] immo Μαλλώτην cum Suida v. Σωρανὸς Ἐφέσιος. 32. παράλογον] fortasse legendum παρὰ λόγον.

Digitized by Google

κατιόντας καὶ εἰς αὐτὸν τὸν μυχὸν ἀβλαβῶς διάγειν. λέγει δ᾽ ὁ συγγραφεὺς ὡς αὐτός τε ϗ Δῶρος ὁ φιλόσοφος, ὑπὸ προθυμίας ἐκνικηθέντες, κατέβησάν τε καὶ ἀπαθεῖς κακῶν ἀνέβησαν. λέγει δ᾽ ὁ συγγραφεὺς ὅτι τότε τῇ Ἱεραπόλει ἐγκαθευδήσας ἐδόκουν ὄναρ ὁ Ἄττης γενέσθαι, καί μοι ἐπιτελεῖσθαι παρὰ τῆς μητρὸς τῶν θεῶν τὴν τῶν ἱλαρίων καλουμένων ἑορτήν· ὅπερ ἐδήλου τὴν ἐξ ᾅδου γεγονυῖαν ἡμῶν σωτηρίαν. διηγησάμην δὲ τῷ Ἀσκληπιοδότῳ, ἐπανελθὼν ἐς Ἀφροδισιάδα, τὴν τοῦ ὀνείρου ὄψιν. ὁ δὲ ἐθαύμασέ τε τὸ συμβεβηκός, καὶ διηγήσατο οὐκ ὄναρ ἀντὶ ὀνείρατος, ἀλλὰ θαῦμα μεῖζον ἀντὶ ἐλάττονος. νεώτερος γὰρ ἔλεγεν εἰς τὸ χωρίον ἐλθεῖν τοῦτο, ϗ ἀποπειραθῆναι αὐτοῦ τῆς φύσεως. δὶς οὖν καὶ τρὶς ἐπιπτύξας τὸ ἱμάτιον περὶ τὰς ῥῖνας, ἵνα, κἂν ἀναπνέῃ πολλάκις, μὴ τὸν διεφθαρμένον καὶ λυμαντικὸν ἀέρα ἀναπνῇ, ἀλλὰ τὸν ἀπαθῆ καὶ σωτήριον, ὃν ἔξωθεν εἰσήγαγε περιλαβὼν ἐν τῷ ἱματίῳ, οὕτω πράξας εἰσῄει τε ἐν τῇ καταδύσει, τῇ ἐκροῇ τῶν θερμῶν ὑδάτων ἐπακολουθῶν, ἐπὶ πλεῖστον τοῦ ἀβάτου μυχοῦ, οὐ μὴν εἰς τέλος ἀφίκετο τῆς καταβύσεως· ἡ γὰρ εἴσοδος ἀπερρώγει πρὸς βάθος ἤδη πολὺ τῶν ὑδάτων, καὶ ἀνθρώπῳ γε οὐ διαβατὸν ἦν, ἀλλ᾽ ὁ καταιβάτης ἐνθουσιῶν ἐφέρετο μέχρι τοῦ πέρατος. ὁ μέντοι Ἀσκληπιόδοτος ἐκεῖθεν ἀνῆλθε σοφίᾳ τῇ αὑτοῦ κακῶν ἀπαθής. ἀλλὰ ϗ πνοὴν παραπλησίαν ὕστερον τῇ θανασίμῳ ἐκ διαφόρων εἰδῶν κατασκευασάμενος ἐμηχανήσατο. χωρὶς τὰ φιλοσόφων καὶ τὰ τῶν ἱερέων ὁρίσματα, οὐδὲν ἧττον ἢ τὰ λεγόμενα Μυσῶν καὶ Φρυγῶν. ἀλλ᾽ ὅμως ὁ Πατρίκιος ἐτόλμησε, παρὰ νόμον τὸν φιλοσοφίας, ἐπὶ ταῦτα ῥυείς.

ἡ δὲ ἔφη, ἐγὼ χωρῖτίς εἰμι καὶ ἄγροικος. ἀλλὰ διαναστὰς ἀπὸ τοῦ ὕπνου καὶ διαγκωνισάμενος ἐπὶ τοῦ σκίμποδος ἔφη. ἀστεῖός τε ἦν ϗ εὐόμιλος, οὐ μόνον πρὸς τὴν σπουδάζουσαν ἀλλὰ καὶ πρὸς τὴν παίζουσαν ἐνίοτε συνουσίαν, ὥστε ϗ ἥδιστος εἶναι τοῖς πλησιάζουσι πρὸς τῷ ὠφελίμῳ. τὸν θεὸν προυκαλεῖτο ἐπὶ πάθει περιωδύνῳ τῆς τῶν ὀπισθίων ὀχετῶν ἀφέ- 336 R. σεως. ἐπίτεκα οὖσαν τὴν γαμετὴν συνεπῆγεν.

ἐπὶ τῆς κλίνης ἀνακειμένῳ ἐξαπίνης τὴν δίκην ἰδεῖν συνέβη, λαμπρὰν κόρην, εὔζωνον, κολοβὸν χιτῶνα μηλινόχρουν ἀνεζωσμένην, πορφυροῖς πλατέσι σημαδίοις κεκοσμημένον, ἀναδεδεμένην μὲν τὴν κεφαλὴν ἀναδέσμῃ, γυμνὴν δὲ περιβολαίου, βλοσυρόν τι ὁρῶσαν καὶ συνωφρυωμένον, οὔτι γε πρὸς αὐτὸν ἀλλὰ πρὸς τὴν εἴσοδον. ὅτι Ἀσκληπιόδοτος ὁ φιλόσοφος, ὁ Πρόκλου μαθητής, ἐν σκότῳ βαθεῖ γράμματά τε ἀνεγίνωσκεν, φησίν, ἄνευ φωτὸς ϗ τοὺς παρόντας τῶν ἀνθρώπων διεγίνωσκε. κεφαλὴν γοῦν 562 H. ποτὲ δρακοντείαν ἐν Καρίᾳ εἰς ἀγρὸν πεσοῦσαν Πυθέου τοῦ Καρός, ἐνεχθεῖσαν δὲ αὐτῷ τῷ Πυθέᾳ, καὶ αὐτὸς ἔφη θεάσασθαι μέγεθος οὖσαν ταύρου μεγίστου κατὰ κεφαλήν. ἰδεῖν δὲ τὸν Ἀσκληπιόδοτον ϗ ζῶντα δράκοντα μετέωρον ἐν ἀέρι συννεφεῖ πεπηγότα ϗ συνειλημμένον ὑπὸ τοῦ πνεύματος, ἐν τῇ πυκνότητι τῶν νεφῶν ἀκίνητον ἑστῶτα, ὅσον δὴ κοντόν τινα μέγαν ἀποτεταμένον· ἰδεῖν τε τοῦτον, καὶ ἐπιδεῖξαι ϗ τοῖς παροῦσι, πυκνωθέντων δὲ ἐπὶ μᾶλλον τῶν νεφῶν ἀφανισθῆναι τὸ θηρίον. ὅτι ὁ διάδοχος Πρόκλου, φησίν, ὁ Μαρῖνος, γένος ἦν ἀπὸ τῆς ἐν Παλαιστίνῃ Νέας πόλεως, πρὸς ὄρει κατῳκισμένης τῷ Ἀργαρίζῳ καλουμένῳ. εἶτα βλασφημῶν ὁ δυσσεβής φησιν ὁ συγγραφεύς, ἐν ᾧ Διὸς ὑψίστου ἁγιώτατον ἱερόν, ᾧ καθιέρωτο Ἄβραμος ὁ τῶν πάλαι Ἑβραίων πρόγονος, ὡς αὐτὸς ἔλεγεν ὁ Μαρῖνος. Σαμαρείτης οὖν τὸ ἀπ᾽ ἀρχῆς ὁ Μαρῖνος γεγονὼς ἀπετάξατο μὲν πρὸς τὴν ἐκείνων δόξαν, ἅτε εἰς καινοτομίαν ἀπὸ τῆς Ἀβράμου θρησκείας ἀπορρυεῖσαν, τὰ δὲ Ἑλλήνων ἠγάπησεν. ὅμως φιλοπονίᾳ τε καὶ ἀτρύτοις πόνοις ἐγκείμενος εὐφυεστέρων ἤδη πολλῶν ϗ τῶν πρεσβυτέρων κατέχωσε δόξας τῷ ἑαυτοῦ ὀνόματι ὁ Μαρῖνος.

οὐκ εἴα δὲ αὐτὸν ἐρωτᾶν ὁ Ἰσίδωρος ἀσθενείᾳ σώματος ἐνοχλούμενον, εὐλαβείᾳ τοῦ ὀχλώδους. πλὴν ὁ Μαρῖνος ἐξ ὧν τε διελέγετο καὶ ἐξ ὧν ἔγραψεν (ὀλίγα δὲ ταῦτά ἐστι) δῆλος ἦν οὐ βαθεῖαν αὔλακα τῶν νοημάτων καρπούμενος, ἐξ ὧν τὰ σοφὰ βλαστάνει θεάματα τῆς τῶν ὄντων φύσεως. ὁ ἄριστος ἡγεμὼν Πτολεμαῖος τῆς ἀστροθεάμονος ἐπιστήμης.

τὰ ἀρέσκοντα τοῖς ἐξηγηταῖς ἀπεγράφετο, εἰς τὸ τῆς λήθης γῆρας, ὡς ἔφη Πλάτων, ὑπομνήματα καταλείπων ἑαυτῷ καὶ ἀποθησαυριζόμενος. ϗ τὴν

a. 2. de Doro vide Suidam h. v. 7. καλουμένην B. 10. τε om B. 16. λυμαντικὸν ἀέρα καὶ διεφθαρμένον B. 21. ἀπερράγη B, ἀπεραγη (η correcto) A. πρὸς τὸ β. ς. 23. καταβάτης ς. 27. cf. Suidas v. Χωρὶς τὰ Μυσῶν. 37. ὀπισθίων] πυθίων B. 38. ἐπίτεκα οὖσαν mg, ἐπίτοκα οὖσαν C, ἔπειτα κλάουσαν B et corr A.
b. 1. μιλινόχρουν A: μιλινόχροα ς. 5. ἀλλὰ πρὸς B: ἀλλὰ καὶ ς. 7. φησὶν add A. 27. θρησκείας A: θυσίας ς. 28. φιλολογίᾳ Suidas v. Ἄτρυτος, qui mox om ἤδη πολλῶν et τῶν. 33. τε add A. 39. ὑπομνήματα καταλείπων Suidas v. Λήθη, ὑπομνήματα καταλιπὼν A: ἀπομνήματα καταλιπὼν ς.

Digitized by Google

τοῦ σώματος ἀποῤῥοὴν βλέπων ὁ Πρόκλος ἐδεδίει περὶ τῷ νεανίσκῳ. ὁ τοίνυν τεθνηκώς, ὁ εὐτυχὴς οὗτος νῦν, ἡ ψυχή φημι καὶ τὸ τῆς ψυχῆς εἴδωλον, παρέσῃ μοι ἀναφανδὸν ἐπὶ τοῦδε τοῦ σκίμποδος ἀνακειμένῳ. ἀπιστεῖν δὲ οὐ δίκαιον τῷ λόγῳ βεβαιουμένῳ θέᾳ τε ἐναργεῖ τοῦ κορυφαίου σοφοῦ καὶ ἀκοῇ προσφάτῳ τοῦ δευτέρου μετ᾽ ἐκεῖνον πρὸς ἀλήθειαν, καὶ ἔτι τῷ τρίτῳ βήματι καὶ εἰς ταύτην καταβεβηκότι τὴν συγγραφὴν ὑπὸ τῇ φιλαλήθει πομπῇ τῆς ἐμῆς ἀγγελίας. καὶ ὁ Πρόκλος ἐπεδίδου ταῖς εἰς αὐτὸν ὁρώσαις ἐλπίσι μηδὲ τὸ τοῦ Πλάτωνος ἀτιμάζειν ἀξίωμα, μηδὲ τὴν Ἰαμβλίχου κρίσιν μηδὲ τὴν Πλουτάρχου καταντιζεσθαι, μηδ᾽ αὖ μεῖζον φρονεῖν τῆς κοινωφελοῦς προαιρέσεως. ἀλλ᾽ ὅσῳ ηὔξετο τῆς διαδοχῆς
565 H. τὸ μέγεθος ἐν τῷ λόγῳ, "τοσούτῳ μᾶλλον ὁ Ἰσίδωρος πρὸς τὴν πειθὼ συνεξέλλετο μεῖζόν γε ὂν ἢ καθ᾽ ἑαυ-
1057 R. τὸν ἄρασθαι φορτίον. "δεδιὼς δ᾽ ὁ Πρόκλος περὶ τῇ Πλάτωνος χρυσῇ τῷ ὄντι σειρᾷ, μὴ ἡμῖν ἀπολίπῃ τὴν πόλιν τῆς Ἀθηνᾶς. δεδιὼς δὲ ἐπὶ τῷ Μαρίνῳ διὰ τὴν τοῦ σώματος ἀσθένειαν. ἀληθινὸς ἔρως ἐμφυτεύεται φιλοσοφίας· καὶ πάντα γηγενῆ δεσμὰν ἀποῤῥήξας, ἐλπίδας τε πάσας ὁμοῦ τιμῶν τε καὶ χρημάτων καταπατήσας, ἀφικνεῖται Ἀθήναζε. ἀλλά γε τοιοῦτος καὶ ὁ φιλόσοφος ἱστορεῖται Ζηνόδοτος, παιδικὰ τοῦ Πρόκλου καλεῖσθαι μόνος ἀξιωθείς, ἐφ᾽ ᾧ δὴ καὶ τὰς μάλιστα ἐπεῖχεν ἐλπίδας. καὶ οὐκ ἦν τις ἄρα πρὸς αὐτὸν ἀλαζὼν οὐδὲ σκαιὸς οὐδὲ σοβαρὸς τὴν ἔντευξιν. τῇ τε ἐξ ἀρχῆς εὐγενείᾳ καὶ τῇ μεγαλειότητι τῶν τρόπων καὶ τῇ περὶ λόγους διαφανεῖ σπουδῇ τε καὶ ἐπιμελείᾳ. πρὸς γάρ τοι τοὺς ἄλλους τοὺς εἰς βουλὴν τὴν μεγάλην συγκαλουμένους οὐ μόνον τὰ ἄλλα διαφέρων ἄνθρωπος ἦν ὁ Θεαγένης, ἀλλ᾽ ἤδη τις καὶ φιλόσοφος. ἡ τῶν διαδόχων οὐσία οὐχ ὡς οἱ πολλοὶ νομίζουσι Πλάτωνος ἦν τὸ ἀνέκαθεν· πένης γὰρ ἦν ὁ Πλάτων, καὶ μόνον τὸν ἐν Ἀκαδημίᾳ ἐκέκτητο κῆπον, οὗ ἡ πρόσοδος νομισμάτων τριῶν, ἡ δὲ τῆς οὐσίας ὅλης χιλίων ἢ καὶ ἔτι πλειόνων ὑπῆρχεν ἐπὶ Πρόκλου, πολλῶν τῶν ἀποθνησκόντων κτήματα τῇ σχολῇ καταλιμπανόντων. ἤδη τοίνυν κρουόμεθα πρύμναν ἐπὶ τὸν λόγον ὃν ἀπελίπομεν. ὁ μὲν Ἀσκληπιόδοτος ἐκοσμεῖτο πᾶσι τοῖς τοῦ βίου λαμπροῖς, οἱ δὲ οὐδενὶ τούτων, οἱ προβεβλημένοι τὴν γαμικὴν προβολήν, ἀλλὰ μόνον ἦσαν τῷ ὄντι φιλόσοφοι, ἐπ᾽ ἄκρον ἑκάτερος ἥκων, ὁ μὲν ἰθυβόλου φύσεως, ὁ ἐπὶ θυγατρὶ γαμβρὸς τοῦ μεγάλου Ἀσκληπιοδότου Ἀσκληπιόδοτος, ὃν δ᾽ ἤδη ἐμνήστευεν, ἐπιμελοῦς ἀκριβείας, ὁ Ἰσίδωρος. πηγὴ ἀναδίδωσιν ὕδωρ ἱερόν τε καὶ εὔποτον. ὥστε ποιητικὸς ἀνὴρ ἔφη ἂν τὸ στόμα αὐτοῦ καὶ τὸ ἄλλο πρόσωπον οἰκητήριον εἶναι αὐτῶν τῶν Χαρίτων. εἴ ποτε γὰρ καὶ αὐτοί τινος ἠπορήθησαν, ᾔεσαν αὐτίκα παρ᾽ αὐτὸν φίλοι παρὰ φίλον. ὁ Ἰσίδωρος πολὺ διαφέρων ἦν τῆς Ὑπατίας, οὐ μόνον οἷα γυναικὸς ἀνήρ, ἀλλὰ καὶ οἷα γεωμετρικῆς τῷ ὄντι φιλόσοφος. στεῤῥὸς δὲ τὸ ἦθος ὁ Σεβηριανὸς ὤν, καὶ ἅπερ ἂν διανοηθείη, ταῦτα πράττειν ἐσπουδακώς, ἔφθανε τῷ πρακτικῷ τὸ βουλευτικόν, καὶ διὰ τοῦτο ὁ βίος αὐτῷ πολλαχῇ διεσφάλη. οὐ γὰρ ἐπιδιδόναι ῥᾳδίως, οὐδὲ ἦν αὔξεσθαι κατὰ πῆχυν, ὥσπερ Θεόδωρος ὁ Ἀσιναῖος ηὐξήθη ὑπὸ τῷ Πορφυρίῳ. ὥστε εὐθὺς ἐξ ἀρχῆς τὰ ἀναγκαῖα μόνα προσφέρειν τῷ σώματι, ἀφροδισίων δὲ ἄχραντον εἶναι διὰ βίου παντός. ὁ Παμπρέπιος ἐν ὀλίγῳ χρόνῳ λογιμώτατος εἶναι ἔδοξε καὶ πολυμαθέστατος· οὕτω διεπονεῖτο περὶ τὴν ἄλλην προπαιδείαν, ὅσην ποιητική τε καὶ γραμματικὴ "σοφίζει παιδεύουσα. 566 H.
Αἰγύπτιος δ᾽ ἦν, καὶ τὴν ποιητικὴν ἐν τῇ πατρίδι ἀσκήσας εἶτα Ἀθήναζε παρεγένετο. οἱ δὲ Ἀθηναῖοι γραμματικὸν αὐτὸν ἐποιήσαντο, καὶ ἐπὶ νέοις διδάσκαλον ἔστησαν. δειλὸς δὲ ὢν ὁ Ζήνων φύσει καὶ τὸν Ἴλλουν ὁρῶν ἐν δίκῃ ἀγαπώμενον καὶ μέγα ἤδη δυνάμενον, εὐλαβεῖτο περὶ αὐτῷ, καὶ δι᾽ ἀπιστίαν οὐχ οἷός τε ἦν ἠρεμεῖν, ἀλλὰ πάσας ὁδοὺς διεξῄει καὶ πάσας ἔπλεκε μηχανὰς ὅπως ἂν ἐκποδὼν ποιήσοιτο τὸν Ἴλλουν ὁ Ζήνων. ὁ δὲ τῶν κρατούντων τῆς πολιτείας ἡγεμὼν τὴν δόξαν ἐπισκοπεῖν εἰληχώς, ὄνομα Πέτρος, ἀνὴρ ἰταμὸς ὢν καὶ περιπόνηρος. ἀλλ᾽ ἴσως καὶ ἐνταῦθα ἐκράτουν "οἱ Παμπρεπίου χρησμοὶ βλακεύον- 1060 R.

a. 7. πρὸς ἀλήθειαν μετ᾽ ἐκεῖνον ς. 13. καταντιάσασθαι Suidas h. v. et mox μεῖζω. 14. διαδοχῆς τὸ A: διαγωγῆς ς. 18. ἀπολείπῃ B, ἀπολείπει A. 20. ἐμφύεται αὐτῷ τῆς φιλοσοφίας Suidas v. Ἀληθινὸς ἔρως. 22. ὁμοῦ om Suidas. 23. Ἀθήναζε] πρὸς Πρόκλον Suidas. 24. ἱστορεῖται A: ἱστορείσθω ς. 25. ἐφ᾽ — 26. ἦν om A. 26. cf. Suidas v. Θεαγένης p. 168, 15. 29. περὶ τοὺς λόγους idem. τε om A. 30. εἰς] τὴν B. 33. cf. Suidas v. Πλάτων ὁ φιλόσοφος. 36. ἐν] ἐπὶ A: om ς.

b. 14. de Hypatia cf. Suidas h. v. 15. γεωμετρικὴ ς. 16. cf. Suidas v. Σεβηριανός. 20. cf. Suidas v. Κατὰ πῆχυν ἐπεδίδου. Θεόδωρος] cf. Wyttenbach. Eunap. 2. p. 52. 24. πολυμαθέστατος A cum Suida v. Παμπρέπιος (vol. 3. p. 13, 44): περιμαθέστατος ς. 30. δεινὸς B. 31. καὶ μέγα ἤδη δυνάμενον om A. 32. αὐτῷ AC: αὐτῶν ς. ἀπληστίαν B et corr A. 35. τῶν κρατούντων] vid. Vales. ad Euseb. hist. eccles. p. 62. 38. βλακεύοντες A: βασιλεύοντες ς.

Digitized by Google

τες ἀεὶ ϗ ἀναβάλλοντες εἰς χρόνους τὸν πόλεμον. ὁ δὲ Παμπρέπιος κατὰ τὴν Αἴγυπτον παραγεγονὼς Ἰσιδώρῳ παρέσχεν ἐκ τῶν λόγων αἴσθησιν ὡς οὐχ ὑγιαίνοι πρὸς Ἴλλουν. ἀλλ᾽ ἤδη προδωσείοντι ἐῴκει, ϗ μέντοι καὶ περιορωμένῳ τὴν Ῥωμαίων βασιλείαν. ἡ πέτρα αὕτη τὰ μὲν ἄνωθεν ἐκπεπετασμένη πολὺ εἰς εὖρος, τὰ δὲ κάτωθεν ἀποστενουμένη τοσοῦτον ὅσον ὑπερείδειν τὴν ἐπικρεμαμένην εὐρύτητα μετέωρον, πολλαχῇ ὑπερέχουσαν τῆς ὑποκειμένης καὶ ἀνεχούσης κρηπῖδος ὀρείας· εἰκάσαις ἂν αὐτὴν αὐχένι μεγάλῳ, φέροντι κεφαλὴν ὑπερμεγέθη τινὰ καὶ ἀξιοθέατον. πάλιν δ᾽ ἐπὶ τὸν Ἰσίδωρον ἀνακαλεσώμεθα τὴν συγγραφήν.

οὐκ ἦν τετυφωμένος ὁ Ἰσίδωρος οὔτε δυσόμιλος, οὐδὲ ἠγνόει τὴν Στωϊκὴν συμπεριφορὰν λεγομένην. ϗ ἦν τότε αὐτὸν θεάσασθαι φαιδρόν τε ϗ γεγηθότα, τό τε σῶμα ἀνθοῦντα, καὶ τὴν ψυχὴν ὑψοῦ διεγηγερμένον ἔτι, ϗ ταῦτα τῶν περὶ θανάτου φροντίδων ὑπολειπομένων. πονηρὸν δὲ ἄνθρωπον καὶ τὸν βίον ἐπίῤῥητον. πρὸς τὸν ἐπισκοποῦντα τὸ τηνικαῦτα τὴν κρατοῦσαν δόξαν Ἀθανάσιον. ἐνέβαλον αὐτὰ τοῖς Ἰουλιανοῦ σκευαρίοις. ὁ δὲ Ἰσίδωρος τό τε κιβώτιον καὶ τὰ ἄλλα σκευάρια διέθηκεν ἕτοιμα εἶναι ϗ πρόχειρα, ὡς ἀποπέμψων εἰς τὸ ἐμπόριον. ξίφος ἀνδρῶν συγκεκροτημένον εἰς ἔφοδον. ὁ δὲ ϗ ξύστρας ἤδη ἅπτεσθαι διεκελεύετο τοὺς ὑπηρέτας. καὶ τοὺς φιλοσόφους εἰς τὸ δεσμωτήριον πάλιν ἐνέβαλεν ἐπὶ ψήφῳ δευτέρων ἐλέγχων. ὁ δὲ Ἰουλιανὸς σιωπῇ ἐδέξατο καρτερῶν τὰς πολλὰς ἐπὶ τοῦ νώτου διὰ τῶν τυμπάνων πληγάς· ϗ γὰρ πολλαῖς ἐπαίετο βακτηρίαις, μηδὲν ὅλως φθεγξάμενος. ἰδὼν τὰ σκευάρια συνδούμενα πρὸς τὸν ἀπόπλουν, τί τοῦτο, ἔφη, ποιεῖς ἄνθρωπε; ἁλώσῃ δὲ ὑπὸ τῶν λιμενιτῶν φυλακτήρων.

ἀφίκετο τοίνυν οὐ πολλῷ ὕστερον, ϗ ἐν ἐμοῦ τῷ οἴκῳ διῃτᾶτο. ἀφίκετο μὲν Ἀθήναζε τότε τῷ Πρόκλῳ ἐπὶ ταφῆς ὄντι τὴν θυμιατρίδα φέρων. ἡ μὲν ἐσχάτη κακία καὶ ἀβοήθητος ἀξία τῆς παραυτίκα κολάσεως,
ηH. ἡ δὲ ἐπ᾽ ὀλίγον παρατετραμμένη ἀξία καὶ αὐτὴ τῆς ταχίστης ἐπαφῆς. πλείστοις δὲ τῶν μέσων ἀναβάλλεται ἡ δίκη τὰ τῶν παθῶν ἰατρεύματα, ἤτοι ὡς βοήθειαν ἔχουσιν ἀπὸ τῆς ἀρετῆς, εἴ πως ἐκφύγοιεν μᾶλλον τὰς τομὰς καὶ τὰς καύσεις, ἢ ὡς ἀναξίοις τοῦ παραυτίκα φαρμάκου διὰ κακίας μέγεθος, ἢ ὀφείλεται ἐνίοις πρὸ τῆς τῶν κακῶν ἡ ἀμοιβὴ τῶν ἀγαθῶν. ἡ τῶν φιλοσόφων ὑπεροψία τῆς παρακλήσεως ἱκανὴ ἐκτραχύνειν ἄνδρα βάρβαρον· ἀλλ᾽ ὅμως οἱ φιλόσοφοι καρτερεῖν ᾤοντο δεῖν καὶ τὰ συμβαίνοντα φέρειν εὐλόφως. καὶ γυναικὶ ἐνέτυχεν ἱερᾷ θεόμοιρον ἐχούσῃ φύσιν παραλογωτάτην. ὕδωρ γὰρ ἀκραιφνὲς ἐγχέασα ποτηρίῳ τινὶ τῶν ὑαλίνων, ἑώρα κατὰ τοῦ ὕδατος εἴσω τοῦ ποτηρίου τὰ φάσματα τῶν ἐσομένων πραγμάτων, ϗ προὔλεγεν ἀπὸ τῆς ὄψεως αὐτά, ἅπερ ἔμελλεν ἔσεσθαι πάντως. ἡ δὲ πεῖρα τοῦ πράγματος οὐδὲ ἡμᾶς παρελήλυθεν. τὸν δὲ Ἰωάννην ὁ Ἀνατόλιος αἰκισάμενός τε καὶ τῶν ὑπαρχόντων γυμνώσας. αὐτίκα μέντοι καὶ οὗτος ἀπέῤῥηξε τὸν βίον. ἐνέτυχον ἐξ ἀνάγκης τῷ Ἐμεσίωνι· οὐ γὰρ ἄν ποτε ἑκὼν ἠνεσχόμην τῆς αὐτοῦ ὑηνείας, ἀλλ᾽ ἡ πρεσβεία με ἠνάγκασε.

τῆς Ἀραβίας [καὶ] τὸ Στυγαῖον ὕδωρ κατειβόμενον. ἀπεδήμησεν εἰς τὰ Βόστρα τῆς Ἀραβίας, πόλιν μὲν οὐκ ἀρχαίαν (ὑπὸ γὰρ Σεβήρου τοῦ βασιλέως πολίζεται), φρούριον δὲ παλαιόν, ἐπιτετειχισμένον τοῖς πέλας Διονυσιεῦσιν ὑπὸ τῶν Ἀραβικῶν βασιλέων. ἀκούσας τὴν Ἰὼ θρυλουμένην ϗ τὸ ὄνομα 1061R.
τῆς πόλεως εἰς τὸν οἶστρον τῆς βοὸς ἀναλυόμενον, ἠγάπησε τὴν συνέχειαν τῆς περὶ τὴν Ἰὼ πλάνης μυθευομένης. ἔγνω δὲ ἐνταῦθα τὸν Θεανδρίτην, ἀῤῥενωπὸν ὄντα θεόν, ϗ τὸν ἄθηλυν βίον ἐμπνέοντα ταῖς ψυχαῖς. λέγεται δὲ ϗ τοῦτο τὸ ὕδωρ εἶναι Στύγιον. τὸ δὲ χωρίον, ἐν ᾧ ἐστί, πεδίον τῆς Ἀραβίας, ἀνηπλωμένον ἀπὸ τῆς ἕω μέχρι Δίας τῆς ἐρήμου πόλεως. εἶτα ἐξαίφνης ἀναῤῥήγνυται χάσμα εἰς ἄβυθον πέτραις πανταχόθεν συνηρεφὲς καί τισιν ἀγρίοις φυτοῖς τῶν πετρῶν ἀποφυομένοις· κάθοδος ἐξ ἀριστερᾶς κατιόντι στενὴ καὶ τραχεῖα (πρὸς γὰρ τῷ πετρώδει ϗ φυτοῖς ἀνημέροις ϗ ἀτάκτοις δασύνεται), μακρὰ δὲ ὅσον ἐπὶ σταδίους πεντεκαίδεκα· πλὴν καταβαίνουσιν αὐτὴν οὐ μόνον ἄνδρες, ἀλλὰ ϗ γυναικῶν αἱ εὐζωνότεραι. κατελθόντι δὲ κῆποι ϗ γεωργίαι πολλαί εἰσιν ἐν τῷ διαδεχομένῳ αὐλῶνι. τὸ δ᾽ ἓν ἄκρον αὐτοῦ ϗ στενώτατον ὑποδοχὴν ἔχει τῶν καταλειβομένων ἐν κύκλῳ Στυγίων ὑδάτων,

a. 3. ὑγιαίνει B. 6. πολὺ add A. 7. ἀποστερνουμένη B. ὑπεριδεῖν B et corr A. 9. ὑπερκειμένης A. 12. ἀνακαλεσόμεθα ς. 13. οὔτε τετυφωμένος ἦν ς. 17. ὑπολειπόμενον A. 20. ἐνέβαλον libri. 26. ἔβαλλεν ς. 34. ἐπὶ ταφῆς ὄντι τὴν A: ἐπιταφήσων ς. 38. ἐπαφῆς A: ἐπιστροφῆς ς. τὴν μέσην ς. b. 6. εὐφόρως B. 16. ἀνεσχόμην ς. 17. ἀπηνείας B et corr AC. διηνάγκασε A. 21. ἐπιτ. Scaliger: libri ἀποτ. 26. ἔγνων B. Θυανδρίτην codices Marini p. Fabr. 47. 28. ςύγιον B. 32. συνηρεφέσιν A. φυτοῖς τῶν A: φυτοῖς ἀνημέροις καὶ ἀτάκτοις δασύνεται τῶν ς. 34. πρὸς — 35. δασύνεται add AB. 35. σταδίοις ς. 37. γυναῖκες ς. 38. εἰσιν post αὐλῶνι ponit ς. 40. κατειβομένων ς.

ϗ διὰ τὴν ἀπὸ πολλοῦ ὕψους φορὰν εἰς ἀέρα σκεδαννυμένων, εἶτα αὖ πάλιν εἰς τὸ κάτω συμπηγνυμένων. θέαμα τοῦτο καὶ φύσεως ἔργον σεμνὸν καὶ φρικῶδες· οὐκ ἔστιν οὐδεὶς ἀνὴρ ὃς ἰδὼν οὐκ ἂν πληρωθείη σεβασμίου
568 H. φόβον. τῶν δὲ ῥιπτουμένων τῷ ὕδατι ἀναθημάτων τὰ μὲν καταδύεται εἰς ἄβυθον, κἂν ἐλαφρὰ ᾖ, οἷς εὐμενῶς ἔχει τὸ θεῖον· οἷς δὲ μή, ταῦτα δὲ ἄρα, κἂν βαρύτατα ᾖ, ἐπιπολάζει καὶ εἰς τὸ ἐκτὸς ἀποπτύεται θαυμαστόν τινα τρόπον. τὸ δὲ ὅρκιον τοῦ τε χωρίου ϗ τῶν ὑδάτων πεφρίκασι διὰ πείρας οἱ ἐπιχώριοι, διὸ καὶ ἥκιστα ὀμνύουσιν. εἰ δέ ποτέ τις ἐπιορκήσει, εἴσω ἐνιαυτοῦ ἀπόλλυται, φασί, φυσηθεὶς ὑδέρῳ τὸ σῶμα, ϗ οὐδεὶς τὴν δίκην διέφυγεν. ὅτι Διόνυσος, φησί, Λυκοῦργον καὶ τοὺς ἑπομένους αὐτῷ Ἄραβας κατηγωνίσατο οἴνῳ ἀπ' ἀσκοῦ καταῤῥάνας τὴν πολεμίαν στρατιάν· ἐξ οὗ καὶ τὴν πόλιν ἐκάλεσε Δαμασκόν. οἱ δὲ τὴν ἐπωνυμίαν διδόασι τῇ πόλει ἀπὸ γίγαντός τινος, ᾧ ὄνομα Ἀσκός, ὃν ὁ Ζεὺς ἐδάμασεν ἐνταῦθα. ἄλλοι δὲ καὶ ἄλλας λέγουσι τῆς ἐπωνυμίας αἰτίας. ὁ δὲ συγγραφεὺς ἐκ ταύτης ὥρμητο τῆς πόλεως. ὡς ἡ ἀχολία τοῦ ῥητορεύειν δεινή, στρέφουσα μὲν περὶ στόμα καὶ γλῶτταν τὴν ὅλην μου σπουδήν, ἀποστρέφουσα δὲ τῆς ψυχῆς ϗ τῶν ἀποκαθαιρόντων αὐτὴν μακαρίων τε καὶ θεοφιλῶν ἀκουσμάτων. ταῦτα δ' ἐννοῶν, φησὶν ὁ συγγραφεύς, ἐνίοτε διεκοπτόμην τῶν ῥητορικῶν ἐξηγήσεων. ἔνατον ἔτος οὕτω μοι διεληλύθει. συνδιήγομεν ἀλλήλοις ὅσαι τε ἡμέραι ϗ ὅσαι νύκτες, ἐπὶ μῆνας η'. εἶδον, φησί, τὸν βαίτυλον διὰ τοῦ ἀέρος κινούμενον, ποτὲ δ' ἐν τοῖς ἱματίοις κρυπτόμενον, ἤδη δέ ποτε καὶ ἐν χερσὶ βασταζόμενον τοῦ θεραπεύοντος. ὄνομα δ' ἦν τῷ θεραπεύοντι τὸν βαίτυλον Εὐσέβιος, ὃς καὶ ἔλεγεν ἐπελθεῖν αὐτῷ ποτὲ ἀδόκητον ἐξαίφνης προθυμίαν ἀποπλανηθῆναι τοῦ ἄστεος Ἐμέσης ἐν νυκτὶ μεσούσῃ σχεδὸν ὡς ποῤῥωτάτω πρὸς τὸ ὄρος αὐτό, ἐν ᾧ τῆς Ἀθηνᾶς ἵδρυται νεὼς ἀρχαιοπρεπής· ἀφικέσθαι δὲ τὴν ταχίστην εἰς τὴν ὑπώρειαν τοῦ ὄρους, καὶ αὐτόθι καθίσαντα ἀναπαύεσθαι ὥσπερ ἐξ ὁδοῦ· σφαῖραν δὲ πυρὸς ὑψόθεν καταθοροῦσαν ἐξαίφνης ἰδεῖν, καὶ λέοντα μέγαν τῇ σφαίρᾳ παριστάμενον· τὸν μὲν δὴ παραχρῆμα ἀφανῆ γενέσθαι, αὐτὸν δὲ ἐπὶ τὴν σφαῖραν δραμεῖν ἤδη τοῦ πυρὸς ἀποσβεννυμένου, ϗ καταλαβεῖν αὐτὴν οὖσαν τὸν βαίτυλον, καὶ ἀναλαβεῖν αὐτόν, καὶ διερωτῆσαι ὅτου θεῶν ἂν εἴη, φάναι δ' ἐκεῖνον εἶναι τοῦ γενναίου (τὸν δὲ γενναῖον Ἡλιουπολῖται τιμῶσιν ἐν Διὸς ἱδρυσάμενοι μορφήν τινα λέοντος), ἀπαγαγεῖν τε οἴκαδε τῆς αὐτῆς νυκτὸς οὐκ ἐλάττω σταδίων δέκα καὶ διακοσίων, ὡς ἔφη, διηνυκώς. οὐκ ἦν δὲ κύριος ὁ Εὐσέβιος τῆς τοῦ βαιτύλου κινήσεως, ὥσπερ ἄλλοι ἄλλων· ἀλλ' ὁ μὲν ἐδεῖτο ϗ ηὔχετο, ὁ δὲ ὑπήκουε πρὸς τὰς χρησμῳδίας. ταῦτα ληρήσας καὶ πολλὰ τοιαῦτα ὁ τῶν βαιτυλίων ὡς ἀληθῶς ἄξιος, τὸν λίθον διαγράφει καὶ τὸ εἶδος αὐτοῦ. σφαῖρα μὲν γάρ φησιν ἀκριβὴς ἐτύγχανεν ὤν, 56 ὑπόλευκος δὲ τὸ χρῶμα, σπιθαμιαία δὲ τὴν διάμετρον κατὰ μέγεθος· ἀλλ' ἐνίοτε μείζων ἐγίνετο ϗ ἐλάττων, ϗ πορφυροειδὴς ἄλλοτε. ϗ γράμματα ἀνέδειξεν ἡμῖν ἐν τῷ λίθῳ γεγραμμένα, χρώματι τῷ καλουμένῳ τιγγαβαρίνῳ κατακεχρωσμένα, καὶ ἐν τοίχῳ δὲ ἐγκρούσας δι' ὧν ἀπεδίδου τὸν ζητούμενον τῷ πυνθανομένῳ χρησμόν, καὶ φωνὴν ἠφίει λεπτοῦ συρίσματος, ἣν ἡρμήνευεν ὁ Εὐσέβιος. τερατολογήσας οὖν τὰ εἰρημένα ὁ κενόφρων οὗτος καὶ μυρία ἄλλα παραλογώτερα περὶ τοῦ βαιτύλου, ἐπάγει „ἐγὼ μὲν ᾤμην θειότερον εἶναι τὸ χρῆμα τοῦ βαιτύλου, ὁ δὲ Ἰσίδωρος δαιμόνιον μᾶλλον ἔλεγεν· εἶναι γάρ τινα δαίμονα τὸν κινοῦντα αὐτόν, οὔτε τῶν βλαβερῶν οὔτε τῶν ἄγαν προσύλων, οὐ μέντοι τῶν ἀνηγμένων εἰς τὸ ἄϋλον εἶδος οὐδὲ τῶν καθαρῶν παντάπασι." τῶν δὲ βαιτύλων ἄλλον ἄλλῳ ἀνακεῖσθαι, ὡς ἐκεῖνος δυσφημῶν λέγει, θεῷ, Κρόνῳ, Διί, Ἡλίῳ, τοῖς ἄλλοις. ὅτι Μαξιμῖνος, φησίν, (Ἕλλην δ' οὗτος ἦν τὸ σέβας) τὰς βολὰς τῶν ὀμμάτων ἀφιεὶς οὕτω φοβερόν τι καὶ βλαβερὸν ἐνέβλεπεν, ὥστε τῶν ἐνορώντων ἀποστρέφειν τὰς ὄψεις· καὶ τοῦτο (φησίν) ἐκεῖνος συνειδὼς ἑαυτῷ τὰ πολλὰ κάτω ϗ οὐ πρὸς τοὺς ἐντυγχάνοντας ἔβλεπεν. ἀλλὰ καὶ πολλῶν οὗτος φασμάτων ἐγίνετο θεατής, ἄλλοις οὐχ ὁρωμένων. ἱκανὸς δ' ἦν καὶ δαίμονας ἐπιπέμπειν φθοροεργούς, ϗ ἄλλοθεν ἐπιπεμπομένους ἀναστέλλειν. πλὴν δυσσεβῶν ἁλοὺς κατὰ τὸ Βυζάντιον τὴν διὰ ξίφους οὐκ ἐξέφυγε δίκην. οὔτε φιλόσοφον βίον ἐννοήσας, εἴ τις ὢν τῶν πολλῶν ὑβρίζει ὕβρεις τὰς ἐξ ἀνθρώπων. ἄπειρος

a. 2. εἶτα — συμπηγνυμένων om A. 11. ἐπιορκήσοι B. 13. φασὶ ς. 31. θεράποντι ς. 33. ἐμέσης B: ἐμίσης ς. 37. καθιζήσαντα ς.
b. 8. τοῦ ego addidi. 9. ὑπήκουσε ς. 11. τὸν λίθον B et corr A: τῶν λίθων ς. 15. ἀνεδίδαξεν A. 19. ἀφίει — ἑρμήνευσεν ς. 23. χρῆσμα ς. 27. τὸν δὲ βαίτυλον B. 29. τοῖς A: καὶ τοῖς ς. post ἄλλοις mg A: περὶ τοιούτου δαιμονίου ἤκουσα κἀγὼ ἐν Ἑλλάδι παρὰ τῶν ἐγχωρίων ἐν τοῖς τοῦ Παρνασοῦ μέρεσιν ἐμφαινομένου· περὶ οὗ καὶ ἕτερά τινα παραδοξότερα ἔλεγον, σιωπῆς ἄξια μᾶλλον ἢ ἀφηγήσεως. 31. ἀφιεὶς om C. ἀνέβλεπεν ς. 32. ὁρώντων B. 33. φησὶν B: φασὶν ς. 37. ἀνατέλλει ς. 38. ἁλοὺς] ἄλλως B. 39. ὢν A: ἦν ς.

ὢν τῶν πληκτικῶν τούτων καὶ ἀνιάτων πραγμάτων.

ἡ ἀναβολὴ μακροτέρα αὐτῷ γέγονε τῶν τε εἰς Καρίαν καὶ τῶν Ἀθήναζε σπευδουσῶν ἐλπίδων. καὶ πρὸς θεοῦ λιπαρήσεις ἔρχομαι. τοῦ Κυλληνίου βλακεύοντος καὶ τὰ πράγματα ἀναβάλλοντος οὐδὲν ἤνυτεν ὁ Ἰσίδωρος. οὐ φεισάμενος τοῦ πολυτελεστάτου τῷ ὄντι δαπανήματος, τοῦ χρόνου, κατὰ τὸν εἰπόντα σοφόν.

ὁρῶν δὲ ἐμαυτὸν τῷ θείῳ φωτὶ περιῤῥεόμενον, πῶς οὐκ σφόδρα τὴν ψυχὴν ἐτανυσκόμην; ἐκμανὴς γενόμενος, ἀνελὼν τὸν πέλεκυν, ἀποτέμνει τὴν αὐτὸς ἑαυτοῦ παιδοσπόρον φύσιν. καὶ ἐγὼ ταῦτα ἀπήγγειλα τῷ Ἰσιδώρῳ σοφήν τε καὶ ἔνθεον ἀεὶ προτείνοντι πρὸς τοὺς μύθους τοὺς ἱεροὺς ἀκοήν. οἰηθέντα περὶ τῷ σώματι κινδυνεύειν. ἀλλὰ τοῦτο μὲν τῆς ἰδιώτιδος ἄρα δεῖγμα προαιρέσεως. ὀλίγα ἀντὶ πολλῶν ἀποδιδόντι χαρίσια. ἐναυσολέμεθα πρὸς τὴν Σάμον. τὸ σῶμα δ' ἐφυσᾶτο, κάτωθεν ἀρξάμενον ἀπὸ τῶν ποδῶν ἕως ἤδη τῶν βουβώνων καὶ τῆς αἰδοῦς. κατεκοιμήθην ἐπὶ τῆς νεώς, καί πως ἀφροδισιάζομαι τοῖς ὀνείρασι. κρήδεμνον, φωσώνιον, ῥάριον, ῥ' προσώπου ἐκμαγεῖον, ἡμιτύβιον. εἰς

568 b 11. τοσοῦτον γὰρ ἀκηκόαμεν φιλοσοφίαν καταφρονηθεῖσαν οὐδὲ πώποτε Ἀθήνησιν, ὅσον ἑωράκαμεν ἀτιμαζομένην

1065 R. ἐπὶ Ἡγίου. ὁ δὲ Ἀρχιάδας τὸ μὲν ὅλον τοῦ πατρὸς ἐκ ὀλίγῳ ἦν διαφέρων καὶ πολλῶν ἄλλων εἰς ἀρετήν, τὰ δὲ εἰς φιλοσοφίαν ἄγοντα παρειμένος, ἅτε πρὸς ταῦτα ἀνάγωγος ὢν διὰ τὴν οὐκ ἀκολάκευτον πατρῴαν οὐσίαν, ἱερὰν δὲ ζωὴν προβεβλημένος, εἴπερ τις ἕτερος.

ὁ μὲν οὖν Εὐπείθιος εὐφυέστερος μὲν ἐγένετο, τὰ δὲ ἤδη ἐπισεσυρμένος εἰς ἰδιωτισμόν, ἤδη δὲ καὶ ἀτοπώτερον ἔχων ἢ κατ' ἰδιώτην. ἀσθενῶν αὐτὸς τὸ σῶμα καὶ οὐ πόῤῥω τείνων θανάτου. ὁ δὲ πρὸς μὲν τὸ παραυτίκα δυσχερῶς ἤκουσε τῆς ἀπολογίας, ἅτε [δὴ] μὴ κατ' ἐλπίδας αὐτῷ κραττούσης τῆς ἀγαθοειδοῦς προαιρέσεως. τοιαῦτα πολλὰ λέγων τε καὶ ἐπᾴδων ἔπεισε τὸν Ἰσίδωρον ὁ Μαρῖνος δέξασθαι τὸ ψήφισμα τῆς διαδοχῆς καὶ ἐψηφίσθη διάδοχος ἐπ' ἀξιώματι μᾶλλον ἢ πράγματι τῆς Πλατωνικῆς ἐξηγήσεως. εἰ δὲ θειότερον χρῆμα, ὡς σὺ φῂς ὦ Ἡγία, ἔλεγε πρὸς αὐτὸν ὁ Ἰσίδωρος, ἡ ἱερατικὴ πραγματεία, φημὶ μὲν τοῦτο κἀγώ· ἀλλὰ πρῶτον ἀνθρώπους γενέσθαι τοὺς ἐσομένους θεοὺς δεῖ. διὰ τοῦτο καὶ ὁ Πλάτων ἔφη μὴ ἐλθεῖν εἰς ἀνθρώπους μεῖζον ἀγαθὸν φιλοσοφίας. ἀλλὰ τοῦτο συμβέβηκε νῦν ἐπὶ ξυροῦ ἑστάναι οὐ τῆς ἀκμῆς, τοῦ δὲ ἐσχάτου γήρως ὡς ἀληθῶς. ἐλάνθανε δὲ ἑαυτὸν ἀνίατα πράγματα καὶ πόῤῥω μοχθηρίας προβεβηκότα διορθώσασθαι ἐπιχειρῶν· ἤνυτε δὲ οὐδὲν ἐπὶ πλέον.

ἦρι δὲ ἀρχομένῳ, τοῦ Μαρίνου τὸ σῶμα ἀπολιπόντος, ἐβουλεύετο τὰς Ἀθήνας ἀπολιπεῖν ὁ Ἰσίδωρος. παρῄνει δὲ Συριανὸν καὶ Ἡγίαν ὁ Ἰσίδωρος ὡς χρεὼν εἴη φιλοσοφίαν ὑποῤῥέουσαν ἀνασώσασθαι.

ὅσα παρεῖται χρεὼν ταῖς ἐκλογαῖς συντετάχθαι καλλιέπειαν ἔχοντα.

διὰ μηχανῆς τινὸς ἀπόρου καὶ ἀνθρωπίνης ἐλπίδος ἔξω καθεστηκυίας ἐν ἀποῤῥήτοις τὰ ἀπόῤῥητα διαμηχανωμένους ὑπέρ τε σφῶν αὐτῶν τῆς οὐρανίας ἐλπίδος καὶ ὑπὲρ τῶν ἄλλων Αἰγυπτίων τῆς ὅλης εὐθημοσύνης. ἀλλ' ἐντεῦθέν ποθεν ἀπὸ τῆς τρίτης καὶ περικοσμίου γενέσεως ἀναδήσασθαι τὰ πείσματα τῆς ἀναγωγοῦ σωτηρίας. καὶ δὴ Σευῆρος, ἀνὴρ τῆς Ῥώμης πατρίκιος, ἄλλα τε διηγεῖτο ἐν Ἀλεξανδρείᾳ συνδιαιτώμενος, καὶ ὅτι λίθον ἐθεάσατο ἐν ᾧ σελήνης ἐγίνετο σχήματα μεταμορφουμένης παντοῖα μέν, ἄλλοτε δ' ἄλλα πρὸς ἥλιον αὐξομένης καὶ μειουμένης ἐνόντα τῷ λίθῳ καὶ αὐτὸν τὸν ἥλιον· ὅθεν ἡ φήμη τοὺς τοιούτους λίθους καλεῖ συνοδίτας. καὶ ἡλίτην δὲ λίθον ἔλεγεν ἑωρακέναι, οὐχ οἷον οἱ πολλοὶ ἑωράκαμεν, ἀκτῖνας διαφαίνοντα ἀπὸ τοῦ βάθους χρυσίτιδας, ἀλλὰ δίσκον ἡλιοειδῆ κείμενον μέσον τοῦ λίθου, σφαῖραν αὐτόθεν πυρὸς ὡς ἰδεῖν· ἀπ' αὐτῆς δὲ τὰς ἀκτῖνας ἐκθρώσκειν ἕως ἐπὶ τὴν ἴτυν· εἶναι γὰρ σφαιροειδῆ καὶ ὅλον τὸν λίθον. ἰδεῖν δὲ καὶ σεληνίτην, οὐ τὸν ὕδατι τεγγόμενον, εἶτα ἐκφαίνοντα τὸν μηνίσκον, καὶ διὰ τοῦτο ὑδροσεληνίτην καλούμενον, 569 H. ἀλλὰ κατὰ φύσιν τὴν ἑαυτοῦ τρεπόμενον ὅτε καὶ ὅπως ἡ σελήνη τρέποιτο, θαυμάσιον χρῆμα τοῦτό γε φύσεως. τυφλῆς δὲ καὶ ἀσαφοῦς τῆς φήμης περιπλανωμένης. ὁ μὲν οὖν πλεῖστος λόγος ἀπολωλέναι τὸν Αἰγύπτιον, διεφέρετο δὲ ὅμως

a. 1. πληκτικῶν A: πολιτικῶν ς. 2. τε A: τότε ς. 4. τοῦ A: καὶ τοῦ ς. 6. οὐ add A. 9. malim ἐγανυσκόμην. 12. ἀεὶ om B. 14. τὸ σῶμα ς. κινδυνεύσειν. ἀλλὰ τούτῳ B. 15. ἄρα δεῖγμα A: παράδειγμα ς. 20. κρήδεμνον — 21. ἡμιτύβιον om B. 21. ῥ' AC: τοῦ ς. τὸ ῥ οἶμαι ὡραίου ἢ ἱεροῦ δεῖν ἀναγινώσκεσθαι Maximus Margunius. ἡμιτύβιον] ἢ τύμβιον A. 24. cf. Suidas v. Ἀρχιάδας et Εὐπείθιος et Ἡγίας: unde Leichius p. XX ὁ δὲ Ἡγίας τὸ μὲν ὅλον τοῦ πατρὸς Ἀρχιάδου οὐκ. 25. πολλῶν, ἄλλων] τῶν πολλῶν Suidas v. Εὐπείθιος. 30. δὲ] δέ τι id. 33. δὴ om AC.

b. 7. ἀνίατα] ἄνω τὰ A. προβεβηκότα om B. 8. ἤνυτε B: ἤνυε ς. ἐπὶ add A. 13. παρεῖνται B. 22. συνδιαιτώμενος A, ἐνδιαιτώμενος B: συνδιαιτούμενος ς. 27. συνοδίτας] cf. Boissonad. Marin. p. 90.



Digitized by Google

καὶ σωτηρίας τις ἄγγελος φήμη. ϗ τύχα ἂν ἤδε
ἡ πάθη ἀπροαίρετος ἂν εἴη, καὶ διὰ τῦτο συμβαίνοι
ἂν ἴσως καὶ ταῖς ἀκηράτοις. τὰ βέλτιςα παραι-
νῶν, καὶ παροξύνων τῷ λόγῳ τοὺς ἐν τῷ ἔργῳ βλα-
κεύοντας. ὅτι τριῶν ὄντων εἰδῶν τῆς ψυχῆς τριττὴ
1068B καὶ ἡ πολιτεία, καὶ ἔχει μὲν ἑκάςη τὰς τρεῖς, ἀλλ'
ἑνὶ διαμορφῦται ϗ ὀνομάζεται τῷ ἐπικρατῦντι. ϗ λόγῳ
μὲν ἰθύνεται, ὡς ὁ ἐπὶ Κρόνε βίος, ἡ λεγομένη χρυσῆ
γενεά, ἢ τὸ θεῶν ἀγχίσπορον γένος, οἷα ἐν σχήματι
μύθου σεμνύνεσιν οἱ ἐν τῷ τρίποδι τῆς Μέσης κα-
θήμενοι ποιηταί. θυμῷ δὲ διανιςαμένην πολιτείαν τὴν
ἐπὶ πολέμες ϗ μάχας, ϗ ὡς ἐπίπαν φάναι, τὴν περὶ
πρωτείων ϗ δόξης ἀγωνιζομένην, οἵαν γενέσθαι τὴν ἐπὶ
τῆς ἱςορίας ἑκάςοτε θρυλεμένην ἀκέομεν. ἐπιθυμίᾳ
δὲ τὴν πανταχῆ διαῤῥέεσαν καὶ ὑπὸ τρυφῆς ἀκολά-
ςου διεφθαρμένην, ταπεινὰ καὶ γυναικεῖα φρονῦσαν,
δειλίᾳ σύνοικον καὶ ἐν πάσῃ ὑηνείᾳ καλινδουμένην,
φιλοχρήμονα, μικροπρεπῆ, δουλεύειν ἀσφαλῶς ἐθέ-
λεσαν, οἷα τῶν ἐν τῇ νῦν γενέσει πολιτευομένων ἡ
ζωή. προθυμότατος εἰς ἀποδημίαν ἐ τὴν μάταιον
ϗ τρυφῶσαν, εἰς ἀνθρώπινα οἰκοδομήματα ϗ μεγέθη
καὶ κάλλη πόλεων διαχαίνεσαν· ἀλλ' εἴ πέ τι θαυ-
μαςὸν ἀκήκοεν ἢ ἱεροπρεπές, ἀφανὲς ἢ φανόν, αὐ-
τόπτης ἠβέλετο γενέσθαι τῦ θαύματος. αὐτὴν δὲ
τὴν ψυχὴν ἐν ταῖς ἱεραῖς εὐχαῖς πρὸς ὅλον τὸ θεῖον
πέλαγος ἔλεγε, τὰ μὲν πρῶτα συναγειρομένην ἀπὸ
τῦ σώματος εἰς ἑαυτήν, αὖθις δὲ ἐξιςαμένην τῶν
ἰδίων ἠθῶν καὶ ἀναχωρῦσαν ἀπὸ τῶν λογικῶν ἐν-
νοιῶν ἐπὶ τὰς τῷ νῷ συγγενεῖς, ἐκ δ' αὖ τρίτων ἐν-
θεσιῶσαν ϗ παραλλάττεσαν εἰς ἀήθη τινὰ γαλήνην
θεοπρεπῆ ϗ ἐκ ἀνθρωπίνην. τῦτον ἐπαινῶν Ἰσί-
δωρος ὁ φιλόσοφος κατὰ ςόμα εἶχε. μετριωτέρα
γὰρ πειθὼ ϗ παραίνεσις τῆς ἀπὸ τῶν ἄλλων λόγων
τοῖς πολλοῖς ἡ ἀπὸ τῆς ἱςορίας, ϗ μᾶλλον τῆς πα-
λαιοτέρας ἢ ἀπὸ τῆς νεωτέρας καὶ τοῖς ἀκροωμένοις
φέρεσά τι γνωριμώτερον. οἱ δὲ ϗ ἐν τοῖς Αἰ-
γυπτίοις φιλοσοφήμασι τὸν Ἰσίδωρον συνεργὸν καὶ
συγκυνηγέτην παρελάμβανον τῆς ἐν βυθῷ κεκρυμ-
μένης ὡς ἀληθῶς ἱερᾶς ἀληθείας· καὶ πολλαχῦ φῶς
ἀνῆπτεν αὐτοῖς ἐν ταῖς ζητήσεσι τῆς ἀρχαιοτρόπου
σοφίας. τὸ δὲ σύμπαν αὐτῷ τῆς εὐπορίας ἐκ ἀπὸ
βιβλίων καὶ δοξασμάτων ἐπορίζετο ἀλλοτρίων διὰ
μνήμης, ἀλλ' ἕξιν τινὰ βεβαίαν ϗ πάμφορον ἀλη-
θείας τῆς γε τοιαύτης ἀπ' ἀρχῆς ἐκτήσατο. καὶ 570
δύσεται τοῖς ἀνθρώποις, ἅτε ἐ δυναμένοις αὐτῦ φέ-
ρειν τὴν θείαν ἀνατολήν. ἠναγκάζετο ἐπιμελεῖσθαι
τῆς τῶν παίδων εὐαγωγίας. καὶ μὴν ϗ ἐν ταῖς
ἐξηγήσεσιν ἐνδέεςερος τῷ λόγῳ ἢ ὥςε ἑρμηνεύειν τὰ
δοκῦντα ἀποχρώντως. ἐ μὴν ἐδ' ἐνταῦθα ἀβοήθη-
τος ἦν ὑπὸ τῆς φύσεως ϗ τῆς ἄλλης μελέτης, ἀλλὰ
κατεβάλλετο μὲν σπεδὴν πρὸς τὴν σαφήνειαν, τὴν
δὲ τῶν ὀνομάτων εὐρυθμίαν ἀφιεὶς ἑτέροις πρὸς
ἐπίδειξιν εἴχετο τῶν πραγμάτων, ἐ λόγες τὸ πλέον
ἢ νοήσεις φθεγγόμενος, ἐδὲ νοήσεις μᾶλλον ἢ τὰς
ἐσίας αὐτῶν τῶν πραγμάτων ἄγων εἰς φῶς. τὴν
περὶ τὸ θεῖον ἁγιςεύεσαν θέμιν. εὐφραίνετο δὲ
ὁρῶν τὸν Πρόκλον ὁ Ἰσίδωρος αἰδοῖόν τε ἅμα καὶ
δεινὸν ἰδεῖν, αὐτὸ δοκῶν ἐκεῖ ὁρᾶν τὸ φιλοσοφίας
τῷ ὄντι πρόσωπον. ἐπεὶ ϗ ὁ Πρόκλος ἐθαύμαζε
τῦ Ἰσιδώρε τὸ εἶδος ὡς ἔνθεον ϗ πλῆρες εἴσω φι-
λοσόφε ζωῆς. ὁ δὲ Σαλούσιος οὐκέτι τῷ δικα-
νικῷ ἀλλ' ἤδη τῷ σοφιςικῷ βίῳ προσεῖχε τὸν νοῦν.
ἐξέμαθε δὲ καὶ τὲς δημοσίες ἅπαντας τῦ Δημοσθέ-
νες λόγους. καὶ δὴ λέγειν ἦν ἱκανός, οὐ τοὺς νέους
μιμούμενος σοφιςάς, ἀλλὰ πρὸς τὸν ἀρχαῖον τόνον
τῆς λογογραφίας ἁμιλλώμενος. ἀμέλει καὶ ἔγραψε
λόγους οὐ πολύ τι ἐκείνων λειπομένους. ἀνυ- 1069
πόδετος περιιὼν τὴν οἰκεμένην, ὡς φάναι λόγοι,
ἅπασαν. ὅτι τὰ ἕδη ϗ ἐπὶ αὐτῶν λαμβάνει τῶν
τεμενῶν, τάττεται δὲ ϗ ἐπὶ τῶν ἀγαλμάτων· λέγεται δὲ
ἕδος καὶ τὸ ἔδαφος τοῦ νεώ. ὄναρ μὲν μυριάκις
παρῆν ὡς φάναι τὸ ἔπος, ἅπαξ δὲ καὶ ὕπαρ ἐφάνη
τὸ φάσμα. περιορώμενον τὸν ἄνθρωπον ἀντὶ τῦ
ἐμβλέπον ἀκριβῶς, ἐπισκοπῦν, ἐναντίως τῆς τῶν πολ-
λῶν χρήσεως. ἀκώλυτοι διέμενον ὑπὸ τῶν εἰωθό-
των κατὰ τὸ ἀνθρώπινον κωλυμάτων. ἐδεὶς ἐςιν
ἕτω τὸ θεῖον ἐκκεκωφημένος, ὃς ἐκ αἰσθάνεται αὐτῦ
τῆς ἐνεργείας πάσης μέν, ἐχ ἥκιςα δὲ τῆς κολαζέσης
τὲς ἁμαρτάνοντας. ἐκ ἂν ἁμάρτοι Μέσης ἀλη-
θοῦς, ἢ οὐκ ἂν ἁμάρτοι ἀληθείας ἱερᾶς. οἱ τῆς

a. 11. δὲ om A. 13. οἷον A. 14. ἐπιθυμίαν B. 17. ὑηνείᾳ A: ευβείᾳ. 18. θέλουσαν ς. 23. ἀφανὲς] ἢ ἀφανὲς A. φανερὸν ς. 33. τῆς A: τοῖς ς. 38. συνελάμβανον B.
b. 6. θείαν] ἀλήθειαν A. ἠναγκάζετο] εἶναι εἰκάζετο A. 11. κατεβάλετο A. 14. φθεγγόμενος οὐδὲ νοήσεις om A. 16. τῶν θείων A. 17. αἰδοῖον — δεινὸν] αἰδοῖ — δείματι B. 18. ἐκεῖνον ὁρῶν A. 20. πλῆρες Suidas v. Εἶδος: πλήρης ς. 24. νέους] νεωτέρους ἐκμιμησάμενος Suidas v. Πίνος, νεωτέρους ἐκμιμούμενος idem v. Σαλούσιος οὗτος. 25. τόνον A: πόνον ς. praestat Suidae πίνον. 28. λόγῳ B. 32. ὕπαρ ἐφάνη A: ἐπιςραφάνη ς. 34. διασκόπουν ς. 36. τὸν ἄνθρωπον A.

ἀλλοφύλου δόξης ἑταῖροι καὶ συστασιῶται. καὶ πρὸς φιλοσοφίαν ἔῤῥωντο, καίτοι ἀρχὴν ἀτυχοῦντες εὐαγωγίας φιλοσόφου. καὶ τῇ εὐχῇ χρησάμενος εἰς τὴν συνήθη καὶ ἀνθρωπίνην αἴσθησιν ἀπὸ τῶν ἀλλοκότων ὄψεων ἐπανῆλθε. καὶ δὴ ἐξέδωκεν ἱκνουμένῳ τῷ τοῦ γάμου καιρῷ. ἀλλὰ καὶ τρίβωνα περιβαλὼν φιλοσοφίας, ὡς φιλόσοφον, τὴν νύμφην. τῆς περὶ τὰ θεῖα διατριβούσης θρησκείας, ὅση τε ῥητὴ καὶ ὅση ἀπόῤῥητος. οὐδ᾽ εἰς Ἀφροδισιάδα μετεχώρησε παράκλητος. ἄπαιδα βίον τῇ γυναικὶ συμβεβίωκεν.

ὁ δὲ Ἱλάριος φιλοσοφῶν μέν, ἐκδεδιῃτημένος δὲ τὰς ἀπογαστρίους ἡδονάς, οὐκ ἔτυχε Πρόκλου διδασκάλου.

πεπεῖσθαι ἔλεγε πολυχρονιώτερόν οἱ γεγενῆσθαι τὸν μετὰ τοῦ σώματος βίον διὰ τὴν δεξιότητα τῆς γυναικός. καὶ ταῦτα ἔλεγεν οὐ χάριν ὁμολογῶν, ὡς ἄν τῳ δόξειεν,
71H. ἀλλὰ δυσχεραίνων πρὸς τὴν ἐν σώματι διατριβήν, καὶ εἰς ἐκείνην ἀναφέρων, ὅσα γε εἰς ἄνθρωπον, τὴν τοῦ θανάτου ἀναβολήν. καὶ τῆς γυναικὸς ἐπῄνει τὴν εὐαγωγίαν, καὶ συνήδετο. κατελεήσας τοῦ γάμου τὰς πρώτας ἐλπίδας ὁ θεὸς ἐδίδου σύμβολον τῆς ἐσομένης γονῆς· καὶ τὴν γαμετὴν λοιπὸν ἑώρα ἐπίτεκα οὖσαν ὁ ἀνήρ. καὶ οὐδὲν ἐμποδὼν πρὸς τὴν ἀνάγνωσιν τῷ Ἀσκληπιοδότῳ ὁ σκότος ἐγίνετο. διηγεῖτο δὲ ἄλλα τε ὧν ἀκήκοε, καὶ δὴ καὶ τῆς αὐτοῦ ὄψεως οὐκ ὀλίγα θαύματος ἄξια. ἡ δ᾽ ἄγνωστος φωνὴ οὔτε εἴη τὴν ναῦν ἀνακωχάζειν ἐκέλευε. τοῦ ὀμμακοΐου τῆς αὐτοψίας καὶ ἀκοῆς ἅμα. καὶ διετέλεσεν ἄχρι θανάτου ἀμιγὴς παντὸς σώματος. οὐδ᾽ ἔστιν ὅστις ἐσυκοφάντησεν αὐτὸν ἐπὶ τοιαύταις διαβολαῖς, οὐδὲ τῶν ἐχθίστων. ὁ δὲ Μαρῖνος τῷ ἀτόνῳ τῆς φύσεως οὐδὲ τοῦ Παρμενίδου τὴν ὑπεραίρουσαν ἐξήγησιν τοῦ διδασκάλου ἤνεγκεν, ἐπὶ τὰ εἴδη δὲ τὴν θεωρίαν κατήγαγεν ἀπὸ τῶν ὑπερουσίων ἑνάδων, ταῖς Φίρμου καὶ Γαληνοῦ τὸ πλέον ἐννοίαις ἐπισπώμενος ἢ ταῖς ἀκηράτοις ἐπιβολαῖς τῶν μακαρίων ἀνδρῶν. ἐθεράπευε τὰ δίκαια καὶ φιλοσοφίᾳ πρέποντα, ἀλλ᾽ οὐ τὸν θῶπα τρόπον καὶ βάναυσον. διὰ τὴν στάσιν ὁ Μαρῖνος ἐξ Ἀθηνῶν εἰς Ἐπίδαυρον ἀνεχώρησε, τὰς ἄχρι τοῦ σώματος ἐκβαινούσας ἐπιβουλὰς ὑφορώμενος. ὁ δὲ Μαρῖνος, καὶ αὐτὸς ὁ Πρόκλος, οὐ τῇ ἑτέρᾳ μόνον ἀλλ᾽ ἀμφοῖν τοῖν χεροῖν τοῦ Ἰσιδώρου περιείχοντο.] ὁ δὲ Πρόκλος ὁρῶν αὐτοῦ τὴν προθυμίαν ἄτρυτον οὖσαν καὶ τὴν φιλομάθειαν ἀκόρεστον, πηγὰς λόγων εἰς τὴν ἐκείνου ψυχὴν ἀφιεὶς ἱερῶν τε καὶ φιλοσόφων, γαννύμενος αὐτῷ διετέλει πλατεῖαν ὑπέχοντι καὶ ἀριήκοον τὴν τῆς διανοίας ὑποδοχήν. εἶξε δεδιὼς τὴν ἑκατέρου ἐπιτίμησιν καὶ ἅμα λύπην ἀγανακτοῦσαν. ἔσεισεν ὑπερφυῆ τινὰ σεισμὸν καὶ οὐ φύσεως ἔκγονον. ἦν ἄρα τις Ἀττικὴ γυνή, πολλὰς εἰδυῖα μηχανὰς εἰς πει- 1072R.
θώ, ὡς διέδειξεν. οὐ μιᾷ χειρὶ δωρούμενος ἀλλ᾽ ἀμφοῖν, κατὰ τὴν παροιμίαν. τοιοῦτος ἦν τό τε σῶμα καὶ τὴν ψυχήν, ὥστε καταπληγνύναι τῇ συννοίᾳ τοὺς ἐντυγχάνοντας, ἡνίκα καιρὸς ἦν σεμνότητος καὶ ἐμβριθεστέρων ἠθῶν τε καὶ λόγων· χαρίεις δ᾽ αὖ πρὸς τοὺς χαρίεντας. ἀντὶ γὰρ φιλοσοφίας καὶ ἀπραγμοσύνης εὐδαίμονος εἰς πολιτείαν ἑαυτὸν καὶ εἰς ἀρχὰς ἐξέωσε φέρων. φύσει δὲ ὢν φιλόνεικος καὶ ἀήττητος ἐφ᾽ ὅ τι ἂν ὁρμήσειε, καὶ φιλόδοξος ὡς οὐκ οἶδ᾽ εἰ ἕτερος ἐπὶ τιμίοις ἔργοις τε καὶ λόγοις καὶ τὴν ἀρετὴν εἰς τὸ ἔξω προάγουσι τῆς ψυχῆς, προσκρουστικὸς ἀεὶ καὶ ἁμιλλητικὸς πρὸς τοὺς ὑπερέχοντας ἦν. ἠβούλετο δὲ μόνον ἀξιωθῆναι ὁ δεόμενος τῆς τὸν ἄρχοντα προσκυνούσης ἐντεύξεως. οἱ δὲ πλεῖστοι ὠρθοῦντο πρὸς τὰ ἀρχαῖα ταῖς ἐλπίσιν. ὄργανον ὁ Παμπρέπιος ἐπιτήδειον τῆς πρὸς τὸ κάλλιον ἀντιπνεούσης ἀνάγκης ἦν. κατὰ τὸν ἱκνούμενον χρόνον, ἀντὶ τοῦ κατὰ τὸν ἐπιόντα. ὅτι τοὺς κατὰ τῆς ἱερᾶς ἡμῶν καὶ ἀκα- 572H.
ταλύτου πίστεως ἐπιλυττήσαντας ὁ Δαμάσκιος ἀριθμούμενος, καὶ ἄκων (ὡς ἔοικε) καὶ ὑπὸ τῆς κατὰ τὴν ἐνάργειαν ἀληθείας βιαζόμενος τάδε ἀναγράφει. ἐπεχείρησε μὲν γὰρ καὶ Ἰουλιανὸς ὁ βασιλεύς, ἀλλ᾽ ἐτέων οὐκ ἐπέβη πισύρων, ἐπεχείρησε δὲ χρόνοις ὕστερον καὶ Λούκιος, ἀνὴρ ἐν Βυζαντίῳ τὴν στρατηγίδα ἀρχὴν ὑπὸ βασιλεῖ Θεοδοσίῳ κοσμῶν, ὃς πειραθεὶς τὸν βασιλέα ἀνελεῖν εἴσω τῶν βασιλείων παρῆλθε, καὶ τρὶς θελήσας ἐξελκύσαι τοῦ κολεοῦ τὸ ξίφος ἀπετρέπετο καταπεπληγμένος· ἑώρα γὰρ ἐξαίφνης γυναῖκα μεγάλην καὶ βλοσυρὰν περιπτυσσομένην κατὰ νώτων τὸν Θεοδόσιον. μετὰ ταῦτα ὁ μέγας τῆς ἕω στρατηλάτης ἐπεχείρησεν, ἀλλ᾽ ἐπεχέθη βίαιον εὑράμενος θάνατον· ἀπὸ γὰρ τοῦ

a. 1. πρὸς] εἰς A. 5. ἱκανουμένῳ ς. 6. φιλοσοφίας περιβαλὼν ς. 9. οὐδ᾽ A: ο δ᾽ ς. παρακληθεὶς A. 11. cf. Suidas v. Ἱλάριος Ἀντιοχεύς. 23. ἐγένετο A. 26. τοῦ — 30. ἐχθίστων om B. ὁμακοΐου ς. 30. μαριανὸς A. 33. ἑνάδων] ἐν ᾅδου B et corr A. 35. ἐθεράπευε] cf. Suidas v. Θῶπες.

b. 1. ταῖν B. 10. διεδίδαξεν ς. οὐ μιᾷ] Suidam v. Θεαγένης confert Leichius p. XXI. 11. τό τε add A. 12. καταπηγνύναι B, καταπηγνύναι A, καταπλαγῆναι ς. 14. αὖ A: ἦν ς. 18. εἰ add Leichius. 19. ἐπὶ τιμίοις] ἐπιτίμοις A: ἐπιτιμίοις ς. 23. οἱ δὲ — ἐλπίσιν om B. 29. ὡς ἔοικε om A. ἐνέργειαν ς. 31. καὶ om A. οὐκ a correctore habent AB. 33. ἄρχειν ς. 36. κουλεοῦ ς. 38. νώτου ς. τὸν om A.

Digitized by Google

ἵππου πεσὼν ϗ τὸ σκέλος κακῶς διατεθεὶς ἐτελεύτησε τὸν βίον. εἶτα Σεβηριανός, φησίν, ὁ πολίτης ἡμῶν ἐν τοῖς καθ᾽ ἡμᾶς χρόνοις μετὰ ϗ ἄλλων συχνῶν· ἀλλ᾽ ὀλίγου δεῖν θανάτῳ ἐζημιώθη δι᾽ ἀπιστίαν τῶν συνειδότων, ἄλλων τε ἴσως, καὶ Ἑρμενερίχου τοῦ Ἄσπερος παιδὸς ἐξειπόντος τὴν συνωμοσίαν τῷ Ζήνωνι. πρὸς οἷς Μάρσος καὶ Ἴλλους· ὧν ὁ μὲν Μάρσος ἐν αὐτῇ τῇ ἐπαναστάσει νόσῳ τέθνηκεν, ὁ δὲ Ἴλλους συλληφθεὶς ξίφει τὸν βίον κατέστρεψεν. ἀκοντίζει τὴν κεφαλὴν εἰς τὸ τῶν πολεμίων στρατόπεδον, ἄνωθεν ἀπὸ τῆς πέτρας ἀποδισκεύσας. ὁ δὲ Ἀμμώνιος αἰσχροκερδὴς ὢν καὶ πάντα ὁρῶν εἰς χρηματισμὸν ὁντινοῦν, ὁμολογίας τίθεται πρὸς τὸν ἐπισκοποῦντα τὸ τηνικαῦτα τὴν κρατοῦσαν δόξαν. γρυμαία ἔκειτο παντοδαπῶν βιβλίων. ὅταν ἀφροδισιάζῃ ἐπὶ παιδοποιίᾳ πολιτικῇ. λόγους, φησὶν ὁ συγγραφεύς, ἐπεδεικνύμην πρότερον, τὸν ἐπὶ ῥητορικῇ τρίβωνα περιθέμενος, ὥστε ἦν ϗ τρίβων ῥητορικός, ὡς ϗ φιλόσοφος. πεφύκασι δὲ ἄνθρωποι τῇ μισοπράγμονι ζωῇ τὴν ἀρετὴν ἐπιφημίζειν, οὐχ οὕτως ἔχον κατά γε τὴν ἐμὴν κρίσιν. ἡ γὰρ ἐν μέσῃ τῇ πολιτείᾳ διὰ τῶν πολιτικῶν ἔργων τε ϗ λόγων ἀναστρεφομένη ἀρετὴ γυμνάζει τε τὴν ψυχὴν πρὸς τὸ ἐῤῥωμενέστερον, καὶ βεβαιοῦται μᾶλλον ἐπὶ τῆς πείρας, ὅσον αὐτῆς ὑγιές τε καὶ ὁλόκληρον· ὅσον δὲ κίβδηλον καὶ ἐπίπλαστον ἐμφωλεύει ταῖς ἀνθρωπίναις ζωαῖς, τοῦτο πᾶν διελέγχεται ϗ ἑτοιμότερον καθίσταται πρὸς διόρθωσιν. τὸ δὲ ἀγαθοεργόν τε καὶ ὠφελητικὸν ὅσον ἐστὶν ἐν τοῖς πολιτεύμασιν! τὸ δὲ θαῤῥαλέον καὶ βέβαιον ἡλίκον! τοιγαροῦν οἱ ἐν γωνίᾳ κα-
1073R.θήμενοι λόγιοι, καὶ πολλὰ φιλοσοφοῦντες εὖ μάλα σεμνῶς περὶ δικαίου καὶ σωφροσύνης, ἐκβαίνειν ἐπὶ τὰς πράξεις ἀναγκαζόμενοι δεινὰ ἀσχημονοῦσιν. εἰς Ἀθήνας καὶ Πρόκλον ἀπαίρει ἔτι διακρατούμενον ἐν τῷ σώματι. σεμνὸς ὢν ἅμα ϗ εὐόμιλος ὁ Ἀγά-
573H.πιος, τήν τε ἀρχαίαν γλῶτταν ὑπὲρ τὸν ἰδιώτην μελετήσας, ἐπέστρεψεν εἰς ἑαυτὸν τοὺς ἐν Βυζαντίῳ ἀνθρώπους, θαῦμα δὲ ἑαυτοῦ παρέσχετο καὶ ἐν Ἀλεξανδρείᾳ τοῖς λογιμωτέροις· ὥρμητο γὰρ ἀπὸ πάσης τῆς παιδείας, ζητητικός τε ϗ κριτικὸς ἠβούλετο εἶναι γραμματικῶν τε ϗ ῥητορικῶν, ϗ συλλήβδην εἰπεῖν, ἐδόκει τετράγωνος εἶναι καὶ ἦν τὴν σοφίαν. ϗ εἰς κλέος ὁ Γέσιος μέγα ἀνέβη, οὐ μόνον ἰατρικῆς εἵνεκα παρασκευῆς, τῆς τε διδασκαλικῆς ϗ τῆς ἐργάτιδος, ἀλλὰ ϗ τῆς ἄλλης πάσης παιδείας. διαλεκτικαῖς συνουσίαις ἀρδόμενος τὴν ψυχήν. ὅτι ἀγαγομένῳ Ἰσιδώρῳ Δόμναν γυναῖκα τίκτεται αὐτῷ παῖς ἐξ αὐτῆς Πρόκλον τὸ παιδίον ἐπωνόμασε. καὶ ἡ Δόμνα ἐπὶ τῷ τόκῳ πέμπτῃ ὕστερον ἡμέρᾳ ἀποθνήσκει, κακοῦ θηρίου ϗ πικροῦ συνοικεσίου ἐλευθερώσασα τὸν φιλόσοφον ἑαυτῆς. ὅτι ὁ ἐν Βηρυτῷ, φησίν, Ἀσκληπιὸς οὐκ ἔστιν Ἕλλην οὐδὲ Αἰγύπτιος, ἀλλά τις ἐπιχώριος Φοῖνιξ. Σαδύκῳ γὰρ ἐγένοντο παῖδες, οὓς Διοσκούρους ἑρμηνεύουσι ϗ Καβείρους. ὄγδοος δὲ ἐγένετο ἐπὶ τούτοις ὁ Ἔσμουνος, ὃν Ἀσκληπιὸν ἑρμηνεύουσιν. οὗτος κάλλιστος ὢν θέαν ϗ νεανίας ἰδεῖν ἀξιάγαστος, ἐρώμενος γέγονεν, ὥς φησιν ὁ μῦθος, Ἀστρονόης θεοῦ Φοινίσσης, μητρὸς θεῶν. εἰωθώς τε κυνηγετεῖν ἐν ταῖσδε ταῖς νάπαις, ἐπειδὴ ἐθεάσατο τὴν θεὸν αὐτὸν ἐκκυνηγετοῦσαν καὶ φεύγοντα ἐπιδιώκουσαν ϗ ἤδη καταληψομένην, ἀποτέμνει πελέκει τὴν αὐτὸς αὐτοῦ παιδοσπόρον φύσιν. ἡ δὲ τῷ πάθει περιαλγήσασα, καὶ Παιᾶνα καλέσασα, τὸν νεανίσκον, τῇ τε ζωογόνῳ θέρμῃ ἀναζωπυρήσασα θεὸν ἐποίησεν, Ἔσμουνον ὑπὸ Φοινίκων ὠνομασμένον ἐπὶ τῇ θέρμῃ τῆς ζωῆς. οἱ δὲ τὸν Ἔσμουνον ὄγδοον ἀξιοῦσιν ἑρμηνεύειν ὅτι ὄγδοος ἦν τῷ Σαδύκῳ παῖς. ἐν σκότῳ διωλυγίῳ πολὺ φῶς ἀνάψας. τοῦτον ἀπεδέξαντο τοῦ νεανίσκου τὸν λόγον ϗ ἠγάσθησαν οἱ ἀμφὶ τὸν Μαρῖνον, πῶς οἴει σφόδρα; οὔπω ἐξεῤῥώγει τὰ δύσκολα τῆς ὑποθέσεως. ἐμὲ δὲ ἐπεσπάσατο ἡ ῥύμη τοῦ λόγου πρὸς τὰ μετὰ ταῦτα ἐκβεβηκότα ποιήσασθαι τὴν ἐκβολήν, ἐπακολουθήσαντα παριόντι τῷ βίῳ τῶν διαδόχων, οὓς εἵλετο Πρόκλος. ὃ δὲ καὶ παράδοξον ἀκοῦσαι, μετὰ σεμνότητος εὐγενοῦς ϗ βεβαίας ἐφαίνετο τοῖς παροῦσι χαρίεις, τὰ μὲν πολλὰ σπουδάζων εἰς τὸ κοινὸν τοῖς ἀκούουσιν ὄφελος, ἀνιεὶς δὲ ἐνίοτε τῷ παίζοντι τὴν σπουδήν, καὶ σκώπτων εὐφυῶς τοὺς ἁμαρτάνοντας, ὥστε ἐπικαλύπτειν τῷ γελοίῳ τὸν ἔλεγ-

a. 3. ἄλλων τινῶν συχνῶν ς. 5. ἑρμενερίχου A, ἁρμενερίχου C: Ἀρμερίχου ς. ἄσπαρος B. 13. τὸ om A. 16. λόγοις ς. 19. δὲ] οἱ Suidas v. Μισοπράγμων, γάρ οἱ v. Οὐλπιανός ἀδελφός. 20. κρίσιν om Suidas l. propius l. 23. ἐπὶ] ἀπὸ idem l. priore. 26. ἑτοιμότατον id. ib. 29. βέβαιον] ἰσχυρὸν A. 30. λόγιοι Suidas. 34. Ἀγάπιος] cf. Suidas h. v. b. 3. εἵνεκα A: ἕνεκα ς cum Suida v. Γέσιος. 5. ἁπάσης Suidas. 6. ἀναγαγομένου A. 8. πρόκλος B. ἐπωνόμασε] ἐπονομασθὲν A. 9. τῷ add A. πέμπτην — ἡμέραν AB. 13. Διοσκόρους] cf. Müller. Orchomen. p. 451. 21. ἑαυτοῦ A. 22. καὶ Παιᾶνα καλέσασα om A. Scaliger καὶ πόαις ἀνακαλέσασα. 23. τὸν νεανίσκον post ἀναζωπυρήσασα ponit B. 29. καὶ προσηγάσθησαν πῶς οἴει σφόδρα τὸν Πρόκλον Suidas v. Προσηγάσθησαν. 32. ἐκβεβηκότα C: ἐμβεβηκότα ς.

Digitized by Google

χον. εἰς ὕψος καὶ μῆκος οἷον θαυμάσιον. ὥστε τὰ ἀρχαῖα καὶ πρὸς τὸ μυθῶδες ἐκνενικηκότα μηκέτι ἄπιστα εἶναι. καὶ ζῆτει παρ' ἐμοὶ ὑποδοχὴν λαν-
574 H. θάνουσαν. ὁ δὲ Θεοσέβιος τὸν τῆς σωφροσύνης δακτύλιον, ὃν ὁ Χαλδαῖος εἰσιὼν παραδίδωσι, τοῦτον οὗτος κατασκευασάμενος, προσελθὼν τῇ γυναικὶ ἔφη „πάλαι μέν σοι ἐπιδέδωκα δακτύλιον ἁρμοστὴν παιδουργοῦ συμβιώσεως· τὰ νῦν δὲ τοῦτον ἐπιδίδωμί
1076 R. σοι σωφρονιστήν, ἐπίκουρον παρεσόμενον τῆς σώφρονος οἰκουρίας." ἡ δὲ ἀσμένως ἐδέξατο, καὶ συνέζησε τῷ ἀνδρὶ τὸν λοιπὸν χρόνον ἄνευ σωματικῆς κοινωνίας. τῷ δὲ φυλακτηρίῳ τούτῳ τὸ δραστήριον οὐκ ἐπὶ τῇ γαμετῇ μόνον ἀλλὰ καὶ ἐφ' ἑαυτοῦ πάλαι εἰώθει μαρτυρεῖν· καὶ γὰρ ὅτε νεώτερος ἦν, ὡμολόγει καὶ αὐτὸς ἀγωνιεῖσθαι τὸν παιδείας ἀγῶνα πρὸς τοὺς γενεσιουργοὺς πολεμίους, τούς τε ἔξωθεν ἐπιτιθεμένους καὶ τοὺς ἔνδον προδιδόντας. καταβοῶν δὲ τῶν αἰσθήσεων πασῶν, μᾶλλον τῶν ἄλλων τῆς ἁπτικῆς κατεβόα· εἶναι γὰρ αὐτὴν τῷ ὄντι χθονίαν καὶ ἀντίτυπον καὶ κατασπῶσαν τὴν ψυχὴν εἰς τὸν τῆς γενέσεως ἀέναον ὀχετόν.

## 243.

Ἀνεγνώσθη ἐκ τῶν ἹΜΕΡΙΟΥ τοῦ σοφιστοῦ διάφοροι μελέται. τοὺς ὡραιοτέρους δὲ τῶν αὐτοῦ λόγων ἡ ἐκλογὴ δρεπομένη τὴν τούτων ἔκδοσιν ἀποθησαυρίζει.

### Ἐκ τοῦ ὑπὲρ Δημοσθένους Ὑπερίδου.

#### ἐκ τῆς θεωρίας.

ὕποπτος μὲν καὶ σφαλερὰ παντὶ δήμῳ τοιαύτη συμβουλή, καὶ οὐ μικρὰ λυποῦσα πρὸς πειθὼ τὸν ἀκούοντα. ἀμφότεροι γὰρ δημοτικοὶ καὶ πρὸς τὸ βέλτιον ὑπειλημμένοι τυγχάνουσιν. οὐδὲ τοῖς γυμνοῖς χρῆσθαι τῶν ὀνομάτων, ἀλλὰ τοῖς δι' ἐμφάσεως τὸ βούλημα σημαίνουσιν.

#### ἐκ τῆς μελέτης αὐτὸ τὸ προοίμιον.

ᾤετο μὲν ὦ Ἀθηναῖοι Φίλιππος δι' ἑνὸς τούτου κηρύγματος οὐ Δημοσθένην μόνον ἀλλὰ καὶ πάντας ὑμῶν ἀφαιρήσεσθαι τοὺς δημαγωγούς, ὅσοι μετ' ἐκείνου δόντες ἑαυτοὺς τῇ πολιτείᾳ Φιλίππῳ μὲν ἄβατον τὴν Ἀττικήν, τῇ πόλει δὲ ἀκέραιον μέχρι νῦν τὴν ἐλευθερίαν διετηρήσαμεν. δόξομεν γὰρ ἑκόντες ἤδη καὶ οὐκ ἄκοντες δυστυχεῖν τε καὶ ὑποβεβλῆσθαι Φιλίππῳ. ὁ δὲ ἐπὶ τοὺς βαρβάρους ἐτράπετο πρότερον, καὶ τὴν ἐκεῖ κενώσας ἤπειρον ἐπὶ τὰ καίρια μέρη λοιπὸν τῆς πόλεως καὶ τῶν Ἑλλήνων ἐφέρετο, πανταχόθεν ἡμᾶς περιστοιχιζόμενος κατὰ τοὺς δεινοὺς τῶν θηρατῶν, οἳ τοσοῦτον φείδονται τῶν θηρίων χρόνον, ὅσον ἔτι παρασκευάζονται. ἐκίνησε δὲ ἡμᾶς οὐδὲν οὐδὲ ἀντιλαβέσθαι τῶν πραγμάτων ἠνάγκασεν, οὐ διορυττομένη Πελοπόννησος, οὐ τὸ πτῶμα τὸ Φωκικόν, οὐκ Εὔβοια μετὰ τῶν τροπαίων τῶν Μηδικῶν τυραννουμένη, οὐκ Ἀρκαδία δουλεύουσα, οὐ τὰ Ἠλεῖα ἀτυχήματα· ἀλλὰ καὶ Χερρόνησον πειραζομένην ἐπείδομεν, καὶ τὸν Ἑλλήσποντον ἀλλοτριούμενον ὁρῶντες ἐμέλλομεν. τίς γὰρ λοιμὸς ἢ σεισμὸς τοσαύτας πόλεις ἐκένωσεν ἢ τοσαῦτα γένη ἀνθρώπων ἠφάνισε καὶ κατέδυσεν, ὅσα Φίλιππος καὶ ὁ Φιλίππου χρόνος; οἶδε γὰρ ἀκριβῶς, ὧν τε μηδέπω τυγχάνει, διὰ τοῦτον ἀποστερέμενος, 575 H.
καὶ ὧν οὐκ ἔχει μηδὲν ἂν λαβών, εἰ συμβουλεύοντι Δημοσθένει τις ἐπείθετο. οὐδὲ κατὰ τῶν πόλεων μόνον δωροδοκεῖ ταῖς τῶν προδοτῶν ἐπηρμένος γνώμαις ὁ Φίλιππος, οὐδὲ ἆθλα τῶν πατρίδων προτίθησιν, οὐδὲ κατὰ τῶν δήμων ὁπλίζει τοὺς ἀλάστορας· ἀλλ' ἐπὶ τοὺς ῥήτορας, ἐπὶ τοὺς δημαγωγοὺς μετενήνοχε τὸ μηχάνημα. ἀλλὰ καὶ τοὐναντίον ἑορτὴν εἶναι καὶ πανήγυριν ἐκείνην τὴν πρᾶξιν ἅπαντες ἐνομοθέτησαν. τότε ἐκεῖνος παρανομεῖν οὐκ ἀπὸ ῥημάτων ἀλλ' ἀπὸ τῆς φύσεως ἤρχετο. ἐπετίθει γὰρ θαλάττῃ μὲν ἤπειρον, δι' ὀρῶν δὲ μέσων ἐναντίλλετο, θαλάττῃ μὲν ὅσα γῇ, γῇ δὲ ὅσα θαλάττῃ χρώμενος. καὶ τὰς τριήρεις ἀντὶ τῆς Ἀττικῆς μετοικήσασα, καὶ πάντα ὅσα ἐν ἀνακτόροις, ἐπὶ τῆς θαλάττης ἡ 1077 R.
πόλις ἔπραττεν. οὐ Μακεδόνες ἐπιπολάζουσι τοῖς πράγμασιν, οἱ πρόσθεν ἀγαπητῶς μετὰ τῶν φόρων σωζόμενοι; παρωσάμενοι δὲ τῆς ἀρχῆς τὴν ἡμετέραν πόλιν αὐτοὶ παρέδυσαν εἰς τὴν τάξιν ἐκείνην, ἐφ' ἧς ἡμᾶς οἱ πρόγονοι κατέλιπον. τίς νόμος κατήγαγεν ἐπὶ θάλατταν Φίλιππον καὶ στοιχεῖου μηδὲν αὐτῷ διαφέροντος προσάψασθαι κατηνάγκασεν; ὅταν μὲν γὰρ τὰ αὐτὰ κελεύωσιν ὅ τε νόμος καὶ ὁ τῶν πραγμάτων καιρός, ἀμφοτέροις διὰ τὸ συμφέρον πείθομαι· ὅταν δὲ ἕτερα μὲν ἡ χρεία ἕτερα δὲ οἱ νόμοι φράζωσι, πα-

a. 5. χυδαῖος ς. 9. ἐπίκουρόν σοι παρεσ. ς. 12. τῇ add A. 15. ἀγωνιεῖσθαι] immo ἀγωνίζεσθαι. 16. ἔνδοθεν B. 20. ἀένναον ς. 22. σοφιστοῦ — 24. ἀποθησαυρίζει AB et mg C: σοφιστοῦ μελετῶν ς. 35. δημοσθένη ς. 36. ἀφαιρεθήσεσθαι A. 38. τὴν ἐλευθερίαν ante ἀκέραιον ponit ς.
b. 7. διορυσσομένη B. 10. ἠλεῖα A: ἑλλῆ ς. 17. ἂν λαβὼν] ἀναλαβὼν A. 18. μόνων A. 29. μετοικήσασα Wernsdorfius: libri μετοικίσασα. 31. οὐ] οἱ B. 33. ἀρχῆς] τύχης A. 35. ἧς A: ἣν ς. νόμος A: νόμων ς. 40. δὲ ante ἕτερα add A. φράζουσι ς.

Digitized by Google

ρεῖς ἀκούειν τῶν συλλαβῶν ἀκολουθοῦ τῷ συμφέροντι.

καὶ τίς οὐκ οἶδεν ὡς ἐκεῖνοι πάλαι τοῖς παρ' ἡμῶν νομοθέταις ἐρρῶσθαι φράσαντες, καὶ πολλὰ χαίρειν Σόλωνι καὶ Δράκοντι καὶ τοῖς ἄλλοις εἰπόντες ἅπασι, τὸ Μακεδονικὸν χρυσίον καὶ τὴν Φιλίππου φιλίαν νόμους καὶ πατρίδα καὶ πολιτείαν καὶ πάντα τὰ τιμιώτατα νομίζουσι; στηλίτην παρὰ τῷ θεῷ γινόμενον ἀντὶ τοῦ ἐν στήλῃ θριαμβευόμενον ὧν ἐτόλμησεν. ὑφορῶμαι Αἰσχίνην· ταράττει γάρ με τὸ δρᾶμα τὸ Φωκικόν, ὅπερ οὐκ ἐπὶ σκηνῆς ἡμῖν ἀλλ' ἐπὶ τῆς ἀληθείας αὐτῆς ὁ θαυμαστὸς οὗτος τριταγωνιστὴς ἐπεδείξατο.

ἀλλ' ὅμως καὶ τούτων οὕτως ἐχόντων, εἰρωνεύονται τὸν ἄνθρωπον, καὶ τὸν Πεισίστρατον πολλάκις παραφέρουσι, καὶ οὐκ αἰσχύνονται νῦν μὲν εἰς δειλίαν καὶ μαλακίαν σκώπτοντες, νῦν δὲ μὴ τυραννήσῃ τῆς πόλεως δεδιότες· ἃ πλεῖστον ἀλλήλων κεχώρισται. ὁ στόλοις ὅλοις ἐκ τοῦ Πειραιῶς ἐπὶ τοὺς τυράννους ἀναγόμενος. φθείρουσι μὲν τὰ περὶ αὐτὴν τὴν πόλιν, Φιλίππῳ δὲ ὁδοποιοῦσι τὰ πράγματα.

**Ἐκ τῆς μελέτης ᾗ Δημοσθένην εἰσάγει συμβουλεύοντα κατάγειν Αἰσχίνην, φήμης ῥυείσης ὅτι Ἀλέξανδρος τοὺς φυγάδας κατάξει.**

ὄντος γὰρ ἑκατέρου δεινοῦ, καὶ τοῦ λύειν ψῆφον ἑκόντας καὶ τοῦ ταῦτα ὑπομεῖναι παρὰ γνώμην ἐξ ἐπιτάγματος, ἧττον ἑκόντας κακὸν τοῦ λύειν ἄκοντας ὑπείληφα. τὸ μὲν γὰρ ἐνδέχεταί ποτε καὶ φιλανθρωπίας [576 H.] δόξαν λαβεῖν· οἱ δὲ ἑτέροις ὑπακούοντες τὴν μὲν αἰσχύνην ἑαυτῶν ποιοῦσι, τῶν δὲ προσταξάντων τὴν εὔκλειαν. κοινολογεῖται καὶ μετὰ βῆμα βασιλεῦσιν Αἰσχίνης, καὶ μετὰ Κτησιφῶντα καὶ τὴν φυγὴν τυράννους ἔτι περιεργάζεται. ἄνθρωπος τὴν οὐσίαν ὅλην ὑπερπηδήσας τοῖς ὅπλοις, καὶ τῇ φύσει φιλονεικῶν λοιπὸν ὅτι πολεμίους μὴ κέκτηται. δι' οὓς ἤρθη τοσοῦτος Φίλιππος, δι' οὓς ἔπεσε τὰ τῶν Ἑλλήνων φρονήματα· παρ' ὧν σύμμαχοι, τόποι, καιροί, πᾶσα τῶν μεγάλων κατορθωμάτων ἡ πρόφασις. ἀλλὰ τὸ μὲν Θηβῶν πάθος ὑπερεφώνει τοὺς Ἕλληνας· Ἀλέξανδρος δὲ τὴν πόλιν καὶ μετὰ Θήβας ᾐσχύνετο. καίτοι γε εἶχέ τι τότε τῇ πόλει καὶ μέμψασθαι· ἡμεῖς γὰρ Θηβαίων πεσόντων τὴν τελετὴν ἀπεκλείσαμεν, ἵνα μὴ τοῖς Θηβαίων θρήνοις ἀντιβοῶμεν τὸν ἴακχον. ὥσπερ γὰρ ἀγαθοῦ φανέντος τοῦ κομιζομένου τὴν χάριν μεθέξειν ἡ πόλις τὸ μέρος τῆς δόξης ἤμελλεν, οὕτω τῆς αἰσχύνης, εἰ πονηρὸς ἐξηλέγχετο. οὔτ' ἂν ἑτέρου γράφοντος καὶ παρανομοῦντος ἐσίγησα, ἀλλὰ προσδραμὼν ἂν τῷ [1080 R.] βήματι, τὸν Σόλωνα κεκραγώς, τὴν πολιτείαν ἐπιβοώμενος, οὐ λύσω τοὺς νόμους, ἂν ἔφην, οὐδὲ δέχομαι φυγάδας ἐξ ἐπιτάγματος, οὐδὲ τῷ Φωκέων αὐθέντῃ κελεύοντος ἄλλου σπένδομαι· ἀλλ' ἕως ἂν ἔχω λιμένας, ἕως ἡλικίαν ἀκμάζουσαν, ἕως ἀριθμῶ τὰ τρόπαια, ἕως μία γοῦν ἐκ Πειραιῶς ἔτι τριήρης ἀνάγεται, οὐ προΐεμαι τοὺς νόμους, οὐδὲ τῆς πολιτείας ἀφίσταμαι, οὐδὲ ποιῶ τὴν φήμην αὐτῆς τῆς πόλεως πόρθησιν, οὐδ' ὑποπτεύων τὰ παρὰ τῆς τύχης ἀμφίβολα φθάνω τὴν δουλείαν αὐτὸς ἑκουσίως αἱρούμενος. κατίτω τοίνυν Αἰσχίνης Δημοσθένους ἀλλὰ μὴ Ἀλεξάνδρου κελεύοντος· παρανομοῦντος ῥήτορος, ἀλλὰ μὴ βασιλέως προστάττοντος ὡς φυγὰς ἐλεούμενος, μὴ φοβερὸς ἡμῖν ὡς ἐκ προστάγματος. Ἀθηναίων οἱ λόγοι, καὶ γνωρίζω τὴν πόλιν ἀπὸ τοῦ ῥήματος· ὑμεῖς γάρ ἐστε οἱ πᾶσαν μὲν γῆν πᾶσαν δὲ θάλασσαν τροπαίων ὑπὲρ τῶν νόμων καὶ τῆς ἐλευθερίας πληρώσαντες. ἐπολέμει Ξέρξης, γῆν μεταποιῶν καὶ θάλατταν, ὅτι τοὺς τὴν βῶλον καὶ τὸν κύαθον αἰτήσαντας τὸ βάραθρον ἀντὶ τῆς ἐκκλησίας ἐδέχετο. ἀλλ' ἡ πόλις ἔμεινε τῶν στοιχείων πλέον ἀκίνητος. ἐπεὶ κἂν τοῖς ἄλλοις, ὡς ἔπος εἰπεῖν, τῶν πραττομένων ἕκαστον, κἂν ταὐτὸν εἶναι τῇ φύσει δοκῇ, ἀλλὰ τῇ προφάσει μερίζεται. οἷον τύπτει τις τὸν πλησίον. ἂν μὲν ἐν ἄθλοις, ἔχει νικήσας τὸν στέφανον· ἂν δὲ τῆς ἀγωνίας ἐκτός, ὑπέχει τὸ τίμημα. ἐθρηνοῦμέν ποτε πορθουμένης ὑπὸ τῶν τυράννων τῆς πόλεως· ἀλλ' ἑκόντες αὐτὴν ὑπὲρ ἀνδραγαθίας τῷ πυρὶ τῶν Μήδων ἐδώκαμεν. ὁ μὴ Φιλίππῳ σπεισάμενος, μηδὲ μετὰ τὴν μεστὴν τῆς πονηρᾶς τύχης Χαιρώνειαν. ἦν ἡμῖν ποτὲ πάτριον ἡγεῖσθαι τῆς Ἑλλάδος καὶ τοῖς τυράννοις ὑπὲρ τῆς ἐλευθερίας ἀνταγωνίζεσθαι. οὗτος ὁ νόμος ἤρξατο μὲν ἀπὸ Μιλτιάδου πρότερον, [577 H.] ἤκμασε δὲ ἐπὶ Θεμιστοκλέους, κατέβη δὲ εἰς Κίμωνα, ἐφυλάχθη δὲ ὑπὸ Περικλέους, ἐθαυμάσθη δὲ ὑπὸ Ἀλκιβιάδου· ἐπ' ἐμοῦ δὲ τῇ γνώμῃ μὲν ἐτηρήθη, τῇ τύχῃ δὲ καὶ τῇ κολακείᾳ τῶν προδιδόντων διέφθαρται. ἀπέστημεν ἑτέροις τῆς ἡγεμονίας οὐκ

a. 2. ἡμῖν B. 3. πολλὰ μὲν χαίρ. ς. 5. χρυσίον add A. 6. καὶ πολιτείαν add A. 11. θαυμαστὸς] καλὸς B. 20. ᾗ A: ἧς ς. 22. κατάγει B. 31. οὐσίαν A: Ἀσίαν ς. 32. φύσει] φήμῃ B. 33. κέκτημαι C. τοσοῦτος] ἐς τοσοῦτον ὁ B. 37. ὑπερεφόβει Scaliger.

b. 3. εἰ πονηρὸς A: οἱ πονηροῦ ς. 8. ἄλλου A: ἀλλ' οὐ ς. malim Ἀλεξάνδρου. 9. γοῦν μία ς. 22. θάλασσαν B. 33. πονηρίας — χαιρωνίαν A. 37. κατέβη — Περικλέους om A. 40. τύχῃ A: ψυχῇ ς. 41. ἀπέστης B.

Digitized by Google

ἀντεῖπες. παρεχωρήσαμεν τοῦ πατρίου σχήματος· οὐκ ἠγανάκτησας. οὐκ εἶξε μετὰ Σικελίαν Λακεδαιμονίοις ἡ πόλις· ἀλλ' ἡ μὲν νῆσος τὴν ἡλικίαν ὅλην ἐχώρησεν, ἡ πόλις δὲ ἔμεινε τῷ φρονήματι καὶ μετὰ τὴν ἑσπέραν ἀνάλωτος. ἀλλὰ πονηρὸς Αἰσχίνης. πρόσθες, εἰ βούλει, καὶ Φωκέων ὄλεθρον καὶ προδοσίαν Θρᾴκης καὶ ἀναίρεσιν Κερσοβλέπτου καὶ πάνθ' ὅσα πολλάκις Αἰσχίνης ἀδικῶν τὸν δῆμον ἐγκέκληται. νόσημα γάρ, ὦ Ἀθηναῖοι, κατὰ τῶν Ἑλλήνων τῇ φορᾷ τῶν Ἀθηναίων συνήκμασε. πονηροὺς μὲν γὰρ ἡ πόλις ἤδη που πολλάκις ἔσωσεν, οὐκ ἐπαινοῦσα τὴν γνώμην, ἀλλὰ τὴν τύχην οἰκτείρουσα· ὑπήκουσε δὲ οὐδενὶ κατὰ τῶν νόμων, ἡνίκα ἐτήρει τὸ φρόνημα. τί οὖν οὐκ ἤδη προαγγέλλω; τί δὲ οὐκ ἔξειμι τοῦ βίου, πρὶν ἰδεῖν τὴν πόλιν δουλεύουσαν; ἐγὼ γοῦν καὶ αὐτὸς ἡγοῦμαι τὴν φήμην ἔχειν, οὐχ οὕτω δ' ἔχειν ὡς τερατεύονταί τινες, σκοπῶν πρῶτον μὲν ὦ Ἀθηναῖοι τὸν Ἀλεξάνδρου τρόπον. τίς δὲ οὗτός ἐστιν; ὁμοῦ τε ἐγχειρεῖ καὶ πέπρακται, μᾶλλον δὲ φθάνει τοὺς μὲν λογισμοὺς ταῖς
1081R. πράξεσιν, οἷς δὲ ἐγχειρεῖ, τοὺς διαγγέλλοντας· ἔπει καὶ τὰ πολλὰ δὴ ταῦτα καὶ μεγάλα τῶν ἔργων, ἃ λογοποιοῦσιν οἱ κόλακες, τάχει μᾶλλον ἢ ῥώμῃ κρατῶν τούτους οἷς ἐπῄει κατώρθωσε, πρὶν ἀγγελθῆναι παρών, πρὶν ἀκουσθῆναι φαινόμενος, κατὰ τοὺς σκηπτοὺς ἢ τὰς βροντάς, αἳ πολλάκις φθάνουσι τῆς προσδοκίας ἡγήσασθαι. οὕτω Σάρδεις εἷλεν, οὕτω Καρίαν ἐπόρθησεν, οὕτω Λυκίαν παρέσυρεν, οὕτω Παμφυλίαν ἐπέδραμεν, οὕτως ὤφθη Κίλιξιν, οὕτως ἐπέστη Πέρσαις, οὕτω Δαρεῖον ἐξέπληξεν· οἴμοι τῶν ἐγγὺς κακῶν, οὕτω καὶ Θήβας ἀνήρπασεν. ἔπεσε πόλις ἐπὶ τῆς Ἑλλάδος μέσης, φθάσαντος τὴν φήμην τοῦ πτώματος. κἀγὼ μὲν ἠγνόουν τὴν συμφοράν, τὴν δὲ πόλιν εἶχε τὸ πολυάνδριον. τοῦτο μὲν δὴ πρῶτον οὐκ ἐᾷ με προσέχειν· δεύτερον δὲ ὅτι οἶδεν Ἀλέξανδρος, κἂν εἰ σφόδρα τις αὐτὸν μεθύειν ὑπὸ τῆς εὐτυχίας ὑπείληφε, καὶ ἑξῆς.

τί οὖν οὐ καθαιρῶ τὰ τρόπαια; τί δὲ οὐκ ἀνατρέπω τὰς στήλας; τί δὲ οὐκ ἐξαλείφω τὰ ἐπιγράμματα; πάντα γὰρ οἶμαι τὰ τῆς ἀρετῆς ὑπομνήματα, ὥσπερ τοῖς ἀγαθοῖς κόσμος ἐστίν, οὕτως ἔλεγχος τοῖς καταισχύνουσι. καλῶς ἐθαύμαζον τὴν ποικίλην οἱ Σαλαμῖνι κινδυνεύσαντες. ἐδαπάνων γὰρ ἐπὶ τῆς θαλάττης τὸ τῆς ἠπείρου λείψανον. Παρνασσὸς δὲ ἐς τὴν θάλασσαν ἐσφενδόνα τὰς κορυφάς, καὶ τοῖς ἑαυτοῦ μέρεσιν ἀντὶ βελῶν ὑπὲρ τοῦ γένους ὁπλίζεται. μερίζονται δὲ τὰς μάχας Ἕλληνες, καὶ νέμονται πρὸς ἀλλήλους μετὰ τῶν στοιχείων τὰ κατορθώματα, Λακεδαιμόνιοι τὴν ἤπει- 578H.
ρον, ἡμεῖς τὴν θάλατταν. ἐκεῖνοι τριακοσίοις τὰς Πύλας σώμασιν, ἡμεῖς τοσαύταις τριήρεσι τὰς τῆς Ἑλλάδος παρόδους κλείομεν. νεανίσκου δὲ Μακεδόνος καθ' ὅλης τῆς ὑφ' ἡλίῳ κωμάζοντος, καὶ λυποῦντος μικροῦ καὶ αὐτὴν τὴν τύχην οἷς ἐνυβρίζει τοῖς εὐτυχήμασιν, οὐκ ἔστιν οὓς διανίσταται. ὅτε βασιλεῖ τὰς ὑποσχέσεις διακονούμενος οὐ πείσας ἀπῆλθεν, ἀλλὰ κερδάνας ὅτι μὴ πείσας ἐσώζετο. ὑμᾶς δὲ χειροήθεις ἀεὶ τοῖς τυραννοῦσι παρασκευάζουσιν, ἵνα αὐτοῖς μὲν ὑπάρχῃ πλουτεῖν, τῇ πόλει δὲ τὸ τῶν οἰκείων στέρεσθαι. ἀναγκαῖος μὲν ὁ φόβος, ὀψὲ δὲ καὶ λίαν βραδέως ἄρτι τὸν τρόπον τὸν Αἰσχίνου φυλάττεσθε. τὰς τριήρεις ἐμπρήσει τῆς πόλεως οὐκέτι δι' Ἀντιφῶντος οὐδὲ δι' ἀποῤῥήτων, ὡς πρότερον, ἀλλ' αὐτοπροσώπως τὴν ἀδικίαν ὑποκρινόμενος. ὁ δῆμος ὁ τῶν Ἀθηναίων Αἰσχίνῃ γράφει τὴν κάθοδον, ὁ τὰς ἀπ' Ἰνδῶν φήμας ὡς ὅπλα καὶ μάχας φοβούμενος. ὤκνουν Ἀριστείδην κατάγειν, καὶ ταῦτα οὐ κακίαν ἀλλ' ἀρετὴν τῆς φυγῆς ἔχοντα πρόφασιν. ἵνα γὰρ πεισθῶσι τῷ Σόλωνι, οὐδ' αὐτὸν ἔφευγον ἀδικεῖν δόξαι τὸ δίκαιον. κεῖται Βαβυλών, Δαρεῖος οἴχεται, Ἰνδοὺς ἀνῄρηκε, Πέρσαι δουλεύουσι· μόναι λείπουσιν Ἀθῆναι τοῖς κατορθώμασιν, ὧν Πέρσαι τοσαυτάκις ᾔσθοντο τῆς ἀρετῆς, ὁσάκις ἔδει μάχεσθαι.

Ἐκ τῆς μελέτης ἧς ἡ ἐπιγραφὴ „Ἐπίκουρος, πρόνοιαν οὐκ εἶναι λέγων, ἀσεβείας φεύγει γραφήν".

ἐκ τῆς θεωρίας.

οἶδε ῥητορικὴ καὶ φιλοσοφίαν ἑαυτῆς ὕλην ποιήσασθαι· τύραννος γὰρ ἡ τοῦ λέγειν ἄνωθεν δύναμις.

Ἐξ αὐτῆς τῆς μελέτης. τὸ προοίμιον. 1084R.

νῦν μέν, εἰ καὶ μὴ πρότερον, εἴσεται σαφῶς Ἐπίκουρος ὅτι πρόνοια διοικεῖ τὴν τῶν ὅλων φύσιν, οὐ δογματίζων, ἀλλὰ κρινόμενος· τὸ γὰρ τοὺς πονηροὺς κρίνεσθαι καὶ κολάζεσθαι καὶ διδόναι δίκην οὐκ εἰκῇ φερο-

a. 1. ἀντεῖπες ὅτι παρεχ. B. 9. φορᾷ] φθορᾷ Reiskius apud Wernsdorfium. 11. που ἤδη ς. 12. ἐπήκουσε B. 13. τὸν νόμον A. 16. οὐχ οὕτω δ' ἔχειν om A. 22. ῥώμῃ B: τῇ ῥώμῃ ς. τούτους Reiskius: libri τούτοις. 25. τὴν προσδοκίαν A. 36. δὲ om A. 38. οἶμαι τὰ] τὰ μετὰ B et corr A. 40. σαλαμίνιοι ς.
b. 1. θαλάσσης B. 2. παρνασὸς B. 5. τῶν add A. 12. ὅτε] ὅ, τε C. 13. διακρινούμενος A. 15. τυραννοῦσι] τυγχάνουσι A. 17. ἄρτι A: ἀντὶ ς. 18. τὸν Αἰσχ.] τοῦ αἰσχ. B. φυλάττεσθαι ς. 20. αὐτοπρόσωπος B. 26. malim αὐτὸ. τὸ] τὸν B. 28. λείπ. αἱ ἀθῆναι ς. 31. ἧς om C. 34. φιλοσοφίαν ἑαυτῆς] φιλοσοφίας A. 36. τῆς add A.



Digitized by Google

μένης καὶ μάτην φύσεως, ἀλλὰ θεσμοῦ καὶ νόμου καὶ πολιτείας καὶ (τὸ μέγιστον) αὐτῆς τῆς προνοίας λαμπρὸν ὑπάρχει τεκμήριον. ἤδη μὲν οὖν προὔργου τι τῆς γραφῆς, ἄνδρες Ἀθηναῖοι, γεγένηται. συγνάζων ἧκεν ἐπὶ τὴν κρίσιν Ἐπίκουρος, καὶ τὰ τῆς ἡδονῆς δόγμα τῇ κατηφείᾳ διέφθαρκε. δι᾽ ἀμφότερα δὲ μισεῖσθαι δίκαιος, καὶ ὧν ἰδίᾳ παιδεύει καὶ ὧν δημοσίᾳ πλάττεται. ἐκεῖ μὲν γὰρ τὴν ἡδονὴν θρυλεῖ, ἵνα τὴν ὥραν τὴν τῶν χρωμένων καρπώσηται· ἐνταῦθα δὲ τὴν σεμνότητα καθυποκρίνεται, ἵν᾽ ὑφαρπάσῃ τὸ δικαστήριον.

ἡ μὲν κρίσις παράδοξος· ἀνὴρ πρὸς τὴν φύσιν τῶν ὄντων κρίνεται, καὶ πονηρὸς σοφιστὴς πρὸς τὴν πρόνοιαν δικάζεται. οἴχεται μὲν ἀρετὴ πᾶσα τοῖς Ἐπικούρου
579 H. λόγοις καὶ δόγμασιν, οἴχεται δὲ δικαστήρια καὶ κρίσεις, καὶ τῶν μὲν ἀγαθῶν αἱ τιμαί, τῶν δὲ ἐναντίων τὸ τίμημα. ἀναβαίνει δὲ καὶ εἰς οὐρανὸν ἄνω τοῖς ἀδικήμασι, καὶ τόπος οὐδεὶς τῆς θρασύτητος Ἐπικούρου καὶ τῶν τολμημάτων ἐξαίρετος. τὸ δ᾽ αἴτιον, ᾐσχύνθη τοῖς ἀρχαίοις ἐμμεῖναι φιλοσοφίας ὅροις Ἐπίκουρος, καὶ τὴν αὐτὴν ὁδὸν ἐλθεῖν τοῖς πρότερον φιλοσοφήσασιν ὤκνησε. μᾶλλον δὲ μικροψυχίαν καταγνοὺς τῶν ὅσοι παρ᾽ ἡμῖν ἐπὶ πονηροῖς δόγμασι πλημμελοῦντες ἐκολάσθησαν, ἔγνω πάντας ἀθρόως ὑπερβαλέσθαι τοῖς ἀδικήμασιν. ἢ πῶς οὐκ ἄξιος μέμψεως, τοσαύτης καὶ τηλικαύτης ἐπωνυμίας ἐπιχειρῶν καταψεύδεσθαι; ποῦ γὰρ ὁμολογεῖται ταῦτα; ποῦ δὲ συμβαίνει καὶ μίγνυται ἡδονὴ πόνοις, καρτερία τρυφῇ; Ἀκαδημία καὶ πόρναι, φιλοσοφία καὶ πότος, σωφρονούντων βίος καὶ ἀκόλαστα μειράκια; ὁ δὲ τί προῄρηται καὶ τί τετόλμηκε; πόλεμον ἀπειλεῖ καὶ μάχην τοῖς νόμοις ὅλης τῆς φύσεως.

ἐμάνη μανίαν καθ᾽ ἡλικίας ἁπάσης Ἐπίκουρος, καὶ δυσσεβεῖς ἔρωτας ἠράσθη πάντων ὅσοι τὴν ὥραν ὑπὲρ τοὺς ἄλλους θαυμάζονται. πρότερον δὲ αὐτοῦ τὴν ἀπολογίαν σκεψώμεθα. δόγματος οὖν ἀπαιτεῖς δίκας; οὔκ, ἀλλ᾽ ἀσεβείας· δογματίζειν μὲν γὰρ ἐξόν, ἀσεβεῖν δὲ οὐκ ἐπιτέτραπται. εἰ μὲν οὖν ἔχεις εἰπεῖν ὡς οὐκ ἀσεβεῖς οἷς εἴρηκας, οὐ κρίνω τοὺς λόγους· εἰ δ᾽ ἀσέβεια τοῖς λόγοις πρόσεστιν, οὐ διὰ τοὺς λόγους κερδανεῖς τὴν δίκην, ἀλλὰ κολασθήσῃ πλέον οἷς ἐπὶ τὸ ἀδικεῖν τοῖς λόγοις κέχρησαι. οὐ γὰρ εἴ τις, ἐξὸν χρῆσθαι πρὸς ἃ δεῖ, κἂν πρὸς ἃ μὴ δεῖ θέλῃ, δίκην οὐ δώσει κρινόμενος· τοὐναντίον δὲ ὑφέξει λόγον, ὅτι καλὸν πρᾶγμα πονηρᾷ γνώμῃ διέφθειρεν. καλοῦμεν ἐπὶ τὸ βῆμα τοὺς ῥήτορας· κἂν ὀκνῇ τις, πολλάκις ἡ κοινὴ φωνὴ τῆς πόλεως ἐπὶ τὸ λέγειν ἐγείρει καὶ τὸν οὐ λέγειν βουλόμενον. παρέρχεταί τις εἰς τὸ σεμνὸν Ἐπικούρου φροντιστήριον νέος ἢ νέα· εἰς γὰρ ταύτην τὴν ἡλικίαν τὸ λαμπρὸν τοῦτο συνέδριον. ὑπὲρ τὸν Ἰξίονα τὸ θράσος ἄνθρωπος, ὑπὲρ τὸν Σαλμωνέα τὴν ὕβριν, τὴν τόλμαν ὑπὲρ τὸν Τάνταλον. ἀλλ᾽ ἐκεῖνα μὲν μῦθοι, καὶ τῇ σκηνῇ μόλις τά γε τοιαῦτα πιστεύομεν· Ἐπί- 1085 R.
κουρος δὲ οὐκ ἐν μύθοις ἀλλ᾽ ἐν δόγμασι καὶ πράξεσι νικῶν ἐκείνους εὑρίσκεται. κἀκεῖνοι μὲν ἑτέρωθί που ταῦτα τολμῆσαι λέγονται, οἱ μὲν ἐν ὄρεσιν, οἱ δὲ ἐν νάπαις, οἱ δὲ ἐν βαρβάροις τισὶ καὶ ἀπερριμμένοις χωρίοις· δίδωσι δέ πως συγγνώμην καὶ τόπου φύσις ἐγκλήμασιν· Ἐπίκουρος δὲ Ἀθήνησι ταῦτα φιλοσοφεῖ. Ἀθήνησι δὲ ὅταν εἴπω, τὸ μέγιστον εἶπον τῆς εὐσεβείας κεφάλαιον. οὐδὲν ὁ Σωκράτης σοι δοκεῖ πρὸς μίμησιν; καὶ τί, φησί, τῶν ὑπευθύνων ἠσέβησα; αὐτό μοι λέγεις, Ἐπίκουρε, τὸ μεῖζον ἔγκλημα, ὅτι μὴ δυσσεβεῖς μόνον, ἀλλ᾽ ὅτι καὶ καινά· ὅθεν διχόθεν ὑπεύθυνος. βωμοὺς οὐκ ἀνέτρεψας, ἀλλὰ μάτην ἑστῶτας ἔδειξας, πρόνοιαν ἀνελών, δι᾽ ἣν βωμοὺς ἱδρυσάμεθα. 580 H.
θυσίαν καινὴν οὐκ ἔθυσας, ἀλλὰ πάσας ἀθρόως ἀνῄρηκας. μὴ ῥυέσθω τῆς τιμωρίας Ἐπίκουρος, ὅτι μὴ κατὰ τοὺς πρότερον κατὰ θεῶν ἐθρασύνατο. πάντας μὲν γὰρ ἀσεβῆσαι τρόπους ἑνὶ τῶν κατὰ τὴν πόλιν ἀδύνατον· εἰ δὲ ἕκαστος, ἀνθ᾽ ὧν ἔδρασε προβαλλόμενος ἃ μὴ πεποίηκε, τὴν τιμωρίαν ἐκφεύξεται, τίς ὑφέξει τῶν ἀσεβῶν δίκην, οὐ πάντας ἀσεβεῖν ἐγχωροῦντος ἑκάστῳ καὶ τοῖς κρινομένοις ἐξὸν ἀντὶ τῶν πεπραγμένων τὰ μὴ πεπραγμένα προτείνεσθαι; οὐ δὴ ταῦτά γε νῦν ἐχόντων τὰς διαδύσεις προσίεσθαι. οὐ γὰρ ὑπὲρ ὧν τις οὐκ εὐθύνεται, τὴν ἀπολογίαν προσήκει ποιεῖσθαι, ἀλλ᾽ ἐφ᾽ οἷς οἵ τε κρίνοντες κατηγοροῦσιν οἵ τε δικάζοντες κάθηνται. οἱ δὲ ἀφέντες τὸ δικαιότατον ἐπὶ τὸ ῥᾷστον βαδίζουσι· τὸ μὲν γὰρ δικαιότατον λύειν τὸ ἔγκλημα δι᾽ ὃ κρίνεται, τὸ ῥᾷστον δὲ ἀπολογεῖσθαι περὶ τούτων ἐφ᾽ οἷς οὐ φεύγει τις δίκας. εἴπερ οὖν ὅτι μή πω δέδωκας δίκην, οὐκ εἶναι νομίζεις πρόνοιαν, ὀρθῶς βεβούλευσαι· εἰ δὲ διὰ τὴν φύσιν

a. 1. καὶ post νόμου om B. 4. malim ἥκει. 9. τὴν ante τῶν om B. 11. κρίσις A: φύσις ς. 12. ὅλων A. 26. ὁμολογῶ A. 29. προῄρηκε ς. 30. ὅλοις A. 34. fortasse legendum ἀπαιτῇ, passive. 39. ἀλλὰ om A.
b. 1. δὲ add A. 15. πως A: ποτε ς. 21. καὶ om A. 22. ante ὑπεύθυνος excidisse opinor verbum εἶ. 24. ἀθρόως add A. 25. μὴ ῥ. B: μηδὲ ῥ. ς. 29. ante ἐκφεύξ. cum ABC omisi οὐκ. 30. δίκην om A. πάντα Scaliger. ἐγχωροῦντος ἑκάστῳ ἀσεβεῖν ς. 32. δὴ A: δεῖ ς. ταύτας Scaliger. 33. προτίθεσθαι ς. 38. δι᾽ ὃ A: διότι ς. 39. εἴπερ A: εἰ μὲν ς.

Digitized by Google

τῶν ὅλων, ὁ λόγος μάταιος. ἀλλὰ πόθεν; πρὸς τῶν ἀτόμων ϗ τοῦ κενοῦ τοῦ πολυθρυλήτου, ταύτην τὴν δόξαν ἐξεύρηκας; ἄτακτός τις ἐνοχλεῖ τὴν τῶν ὅλων φύσιν φορὰ ϗ κίνησις· ἀλλ' ἀρχαῖον τὸ χάος ϗ τῶν σῶν λόγων πρεσβύτερον. ἀλλ' οὐδὲ πείθεται τοῖς ὡρισμένοις νόμοις τῆς φύσεως· ϗ μὴν ἅπαντα ϗ τάξει χωρεῖ, καὶ τῆς προνοίας ταύτης μέγιστον οἶμαι τεκμήριον τὸ πάντα σώζεσθαι· ἀταξία μὲν γὰρ φθοράν, τάξις δὲ σωτηρίαν ἐργάζεται. τί συλᾷς ἐκ Δελφῶν, ὡς ἐξ οὐρανοῦ, τὴν πρόνοιαν; ἀλλ' ὅμως ἐκινεῖτο μὲν Παρνασὸς ϗ κατὰ Περσῶν ἐκραδαίνετο, κορυφαὶ δὲ ὀρῶν ἀντὶ βελῶν ἐτοξεύοντο, Πέρσαι δὲ ἔπιπτον τάφοις ταῖς πέτραις χρησάμενοι. Ἐπικούρου δὲ ταῦτα λέγειν κατὰ τοῦ θεοῦ τολμήσαντος οὐκ ὄρη σείεται, οὐχ Ὑμηττὸς συγκραδαίνεται, οὐ πρηστῆρες οὐδὲ σκηπτοὶ αὐτῇ τοῦτον Ἀκαδημίᾳ συναφανίζουσι. συνίημι τὸ στρατήγημα τῶν θεῶν· ὑμετέραις ψήφοις τοῦτον ἐτήρησαν, ἵνα Ἀττικὸν δικαστήριον ἴσα Πυθίῳ βουλεύσηται. εἰ μὲν οὖν γράψαι τοσοῦτον μόνον ἐτόλμησεν ὅσον καθαιρεῖν τὰ τῆς προνοίας ἀγάλματα, ἔδει διδόναι δίκην ὡς ἀσεβήσαντα· εἰ δὲ εἰς αὐτὴν ἐκείνην ἀσεβεῖ, ἧς οὐρανὸς ϗ γῆ ϗ στοιχείων φύσεις ἀγάλματα, ὡς μέτριόν τι δρᾶσαι διανοηθέντος φεισόμεθα; εὐτυχοῦσι γάρ, φησίν, οἱ κακοί. καὶ τί κακίας μεῖζον
1088R. δυστύχημα; δυστυχοῦσι γὰρ οἱ σοφοί, εἶτα εὐτυχίαν ἄλλην ἀρετῆς ἡγῇ βελτίονα; οὐχ εἷς βίος ἀνθρώπου γνώμης ὑπάρχει ϗ φύσεως, ἀλλὰ σχίζονται μὲν οἱ τῶν βιούντων σκοποί, συμμερίζονται δὲ πέρας ἑκάστῳ τὸ πρόσφορον. οὐκ ἐρᾷ σοφὸς τὴν ἀρχὴν οὐδενὸς τῶν πάντων, ἐφ' οἷς οἱ πλεῖστοι τοὺς κεκτημένους εὐδαιμο-
11H. νίζουσιν· οὔκουν οὐδὲ ζημίαν τὸ μὴ τυγχάνειν ὑπείληφε, τί οὖν ἐκείνῳ τέλος, ϗ πρὸς τί βλέπων ϗ πόνους πονεῖ καὶ νύκτωρ ἀγρυπνεῖ ϗ μεθ' ἡμέραν ἐσπούδακεν; ἀρετῆς κτῆσις, ὦ τάν. ταύτην δὲ πῶς αἱρεῖ, κἀκ τίνος τρόπου τῆς θείας ἐκείνης θήρας ἐγκρατὴς γίνεται; πλούτῳ ϗ χρήμασιν οὐκ ἔστιν αἱρετή. ῥώμῃ τοῦ σώματος; ὑπὲρ ἅπαντα κότινον ὁ ταύτης στέφανος. δυνάμει τῇ κατὰ τὸν πόλεμον; ϗ τίνα τρόπαια τῶν ἀπὸ κακίας μείζονα; μήτ' οὖν πενομένῳ τῷ σοφῷ πενίαν πρόφερε (οὐ γὰρ ἦν σκοπὸς τὰ χρήματα), μήτε νοσοῦντι τὴν ἀῤῥωστίαν ὀνείδιζε, εἴπερ ὑγιαίνει τὰ κρείττονα, μήτε ἡττωμένῳ τῶν δυναστευόντων ἐν πόλεσιν, εἴπερ κρατεῖ τοῖς ἀμείνοσι. τοσοῦτον γὰρ ἂν δέοι σπουδαῖος ἀνὴρ μεταδιώκειν τὴν τῶν τοιούτων κτῆσιν ἢ δυστυχεῖν ὑπολαμβάνειν τῷ στέρεσθαι, ὥστε ἤδη τινὲς ϗ μάλα τῶν ὀνομαστῶν ἐπὶ σοφίᾳ ϗ ἀρετῇ [οἳ] τούτων ἑκόντες ἀπέστησαν, ἵνα πάσης ἑαυτοὺς τῆς ἔξωθεν ἀσχολίας ἐλευθερώσαντες τὸν ἀθάνατον τῆς ἀρετῆς πλοῦτον ἀλλάξωνται. Ἀναξαγόρας γῆν ἀνῆκε τὴν ἑαυτοῦ πᾶσαν μηλόβοτον, ἔργῳ νομοθετῶν τίς γεωργία τοῖς σοφωτέροις ἁρμόττουσα. ἑκὼν δὲ ἐνόσει τὸ σῶμα Δημόκριτος, ἵνα ὑγιαίνῃ τὰ κρείττονα. τί οὖν ἐγκαλεῖς προνοίᾳ ὡς μὴ μεριζούσῃ κατ' ἀξίαν τὸ δίκαιον; εἰ γὰρ ϗ περιόντων ὑπερορῶσι τῶν ἐκτὸς ἁπάντων, πῶς ἢ ἄχθονται μὴ παρόντων, ἢ ὅπως ὑπάρχῃ σπουδάζουσι; τίς γὰρ πλουτῶν οὐκ ἀσχολίαν ἄγει μεγίστην αὐτὰ τὰ χρήματα; θείων δὲ γνῶσις καὶ ἀνθρωπίνων πραγμάτων, καὶ τοσαύτης ϗ τηλικαύτης σοφίας μέγεθος, ἆρά σοι δοκεῖ πάρεργον μὲν εἶναι τοῦ χρηματιστοῦ, τοῦ δὲ παρεργοῦντος ἐφόλκιον, τοῦ δὲ τὰς ἐν πόλει τιμὰς διώκοντος ἐπακολούθημα; μὴ τοίνυν κακοδαίμονας κάλει τοὺς τὴν μεγίστην εὐδαιμονίαν εὐδαιμονήσαντας, μηδὲ δυστυχεῖς τοὺς ὁμοιουμένους τοῖς κρείττοσι, μηδὲ πένητας, ὧν θησαυρὸς ἀθάνατος, μηδὲ ἀτίμους, οὓς ἴσα θεοῖς θαυμάζομεν. πολλοὶ γὰρ πολλάκις κακοὶ μὲν γνώμην τυγχάνουσιν, ἐπαινοῦνται δὲ πολλάκις παρ' ἐνίων, τῆς χρείας ποιούσης ἀντὶ τῆς ἀληθείας τὸν ἔπαινον.

καίτοι γε ἡδέως ἂν ἐροίμην τοὺς ὀνειδίζειν τοῖς σοφοῖς τὴν δυστυχίαν ἐθέλοντας, πότερον ἦσαν τοιοῦτοι πρὶν γενέσθαι σοφοί, ἢ μετὰ ταῦτα τῶν λεγομένων εὐτυχημάτων ἀφῄρηνται; εἰ μὲν πρότερον, οὐ τῆς ἀρετῆς τὸ ἔγκλημα· εἰ δὲ ἐξ οὗ ταύτην εἰλήφασιν, οὐχ ὧν ἐπόθουν ἀλλ' ὧν οὐκ ἐπόθουν ἐστέρηνται. ὁ δὲ καὶ κατειρωνεύεται τῆς συμφορᾶς, ϗ παραγράφεται τὸν τρόπον ἤδη τῆς κρίσεως. οἷς γὰρ οὐδ' ὁτιοῦν (οἶμαι) τῶν εἰωθότων ἠδίκηκε, τούτοις ὅτι μηδὲ τὴν ἀρχὴν ἠδίκηκε δείξειν ὑπείληφεν, ὥσπερ οὐ διὰ τοῦτο μείζονος ὀργῆς ϗ κατηγορίας ὑπάρχων ἄξιος, ὅτι τοιαῦτα ϗ τηλικαῦτα πεποίηκεν ὧν οὐκ ἔστιν εὑρεῖν παραδείγματα. 582 H.
εἰ δ' οἱ τὰ μείζω τολμήσαντες, ὅτι τὰ μείζω δεδρά- 1089R.
κασι, τὴν τιμωρίαν οὐ δώσουσι, τίς ἔτι λόγος κολάζειν ἐθέλει τοὺς τὰ μικρότερα; τί δέ, εἰ τοὺς μὴ τὰ συνήθη

a. 2. καινοῦ ς. 4. φορά τε καὶ B. 11. δὲ om B. 14. τοῦ] τῆς A. 24. καὶ om A. 26. βελτίονα A: βελτίως ναὶ ς. 33. ἡμέρας ς. 36. αἱρετή] ἀρετή AC. τοῦ A, τε ς: om B. post σώματος cum A omisi αἱρετή, delebat etiam Leichius p. XXV. 38. τὸν om B. ἀπὸ] ὑπὸ A.
b. 1. μήτε τῷ ἡττ. ς. 2. τοσοῦτο ς. 4. τῷ B: τὸ ς. 10. ἁρμόζουσα B. τὸ libri om. 18. παρεργοῦντος] περιεργοῦντος Scaliger, πανουργοῦντος Reiskius. non peius fuerit γεωργοῦντος. 23. ἀθάνατος A: ὁ θάνατος ς. 33. τὰς συμφορὰς ς. 41. ἐθέλειν B.

παρανομοῦντας ἀφήσομεν, πῶς οὐκ ἐξουσία πᾶσα γενήσεται τοῖς ἐθέλουσι πλημμελεῖν ἃ μὴ συνείθισαι, ὅταν οἱ πρῶτοι ταῦτα τολμήσαντες ὡς οὐκ ἀδικοῦντες ἐκφύγοιεν; χρὴ δὲ οὐκ ἀφέσεις τῶν κρίσεων τὰς ὑπερβολὰς τῶν ἀδικημάτων μᾶλλον ἢ τοὐναντίον αἰτίας γίνεσθαι, ὅσῳ μετὰ τῶν ἔργων καὶ τὸ τῆς γνώμης μεμίσηται. τὸ γὰρ οἷς ἀδικεῖ τις καὶ φύσιν ἀδικημάτων καινὴν προσάγειν βούλεσθαι διχόθεν ἂν εἴη τὴν μοχθηρίαν ἐλέγχοντος, καὶ τῷ πλημμελεῖν ἃ μὴ δεῖ, καὶ τῷ ποιεῖν ἐθέλειν ἃ μή τις πρότερον δράσειεν. οὐδέν σοι, φῄς, τῶν εἰωθότων τετόλμηται. αὐτήν μοι λέγεις τὴν ὑπερβολὴν ὧν ἠτυχήκαμεν. οἱ μὲν γὰρ ἠδικημένοι ταῦθ᾽ ἅπερ καὶ ἑτέρους ἠδικημένους ἐπίστανται, φέρουσι ῥᾷον τὰς συμφοράς, παραμυθίαν ὧν πεπόνθασι τὴν τῶν πέλας δυστυχίαν νομίζοντες· οἱ δὲ νεωτέρων ἀδικημάτων οὐκ ἔχοντες παραδείγματα ἀφόρητον ἡγοῦνται τὴν συμφορὰν τῷ μὴ τῶν ὁμοίων εὐπορεῖν ἔχειν ἐφ᾽ οἷς ἠτύχησαν.

Ἠδίκηταί τις εἰς παῖδα; οὐχὶ καὶ γυνὴ προσηδίκηται. δι᾽ ἀμφοῖν ἡ βλάβη κεχώρηκεν; οὐ πρόσκειται φόνος τοῖς ἀδικήμασι. σφαγῆς τις αἴτιος γέγονε; τὸ λαθεῖν θεραπεύει τὴν συμφοράν. μοιχείαν τολμᾷ, καὶ λαθραίοις μηχανήμασιν οἶκον διαλύει σώφρονα; οὐ μὴν τοσοῦτον κακὸν κακῷ μείζονι κατασκευάζει δεινότερον, παῖδα ἐπιβαλὼν μητρί, καὶ τοῖς τῶν μοιχευόντων σώμασι κοῦφον ποιῶν καὶ αὐτὸ τὸ τῆς μοιχείας δοκοῦν ἀδίκημα εἶναι. ἀδιάφθορον τὴν ψυχὴν ἔσχηκεν, ἀλλ᾽ οὐχὶ καὶ τὴν ἑστίαν ἕξει δι᾽ ἡμᾶς ἀδιάφθορον. οὐκ ἐψεύσω τοῖς ἔργοις τὰς ἀπειλάς, ὦ πλούσιε· ἑαλώκαμεν, νενικήμεθα, σιωπῶμεν, τῆς πολιτείας ἐπελαθόμεθα. ἀπέτεμες ἡμῶν τὴν φωνὴν τοῖς φόνοις, καὶ τὸ στόμα τὸ λάλον ἀπέφραξας τοῖς τραγικοῖς τούτοις γνωρίσμασι. μόλις τἀναγκαῖα λέγω καὶ φθέγγομαι· ῥήτωρ εἰμὶ λοιπὸν οὐκέτι τῆς πόλεως, ἀλλ᾽ ἤδη μόνης τῆς συμφορᾶς. τίνος τὰ τηλικαῦτα μιάσματα; οὐ σὰ πάντα; οὐ τῇ μὲν δεξιᾷ τῇ ἐμῇ, τῇ σῇ δὲ γνώμῃ πάντες ἀνάλωνται; οὔπω τὸ κεφάλαιον τῶν ἀδικημάτων εἶπον, τῆς λαμπρᾶς σου σκηνῆς τὰ κατὰ καιρὸν ἀναφανέντα γνωρίσματα. ὦ κωμικὸν πέρας τραγικαῖς τύχαις ἐπαγαγών, καὶ τούτοις αὐξήσας τὴν συμφοράν, οἷς ἐν κωμῳδίαις πάθη λύεται. οὕτω τοίνυν πάντα τὰ καθ᾽ ἡμῶν διαπεπραγμένος περιιὼν λέγει „τί δ᾽ ἂν εἴποις περὶ τοῦ πένητος; ὅσα μηδεὶς κωλύει νόμος, κατηγορεῖν ἐθέλει καὶ γράφεσθαι.“ εἶτά με ἐρωτᾷ, οὐκ ἔξεστιν οὖν ἀνελέσθαι παιδίον; οὐκ ἔξεστιν οὖν μηδὲν ἀδικεῖν ἀναλαμβάνοντα. εἰ δ᾽ ἑκάτερον τοῦ νόμου διδόντος καὶ τὸ ἐξὸν εἵλω καὶ τὸ μὴ ἐξὸν προσέθηκας, οὐ διὰ θάτερον ἀφεθήσῃ μᾶλλον ἢ δίκην ὑφέξεις οἷς 358 B.
τούτῳ προσάγεις καὶ ἃ μὴ ἔξεστιν. ἔξεστί μοι, φησί. πλουσίου λόγος, τυραννικῆς ὑπερηφανίας ἀπόκρισις. ἐγὼ δέ σοι πράως οὕτω καὶ δημοτικῶς ἀποκρίνομαι· δώσεις γὰρ δίκας τέως ἂν οὗτοι δικάζωσιν. ἔγνωκάς τι ποιεῖν ἀνεύθυνον; ἔχεις τὴν ἐξουσίαν. εἰ δὲ τὴν ἐξουσίαν εἰς παρανομίαν μετήνεγκας, κολάζω ταύτην, ὅτι τῇ προφάσει τὴν φύσιν τοῦ μηκέτι ἐξεῖναι μετεί- 1092 B.
ληφε. τὸ κοινωνεῖν καλόν, ἀλλ᾽ ὅταν ἡ χάρις ἀνύποπτος. ἂν δὲ διορύττῃ μὲν οἰκίας τις, ἐπιβουλεύῃ δὲ γάμοις, λυμαίνηται δὲ γένη, διαφθείρῃ δὲ ἑστίας, ὑποκρίνηται δὲ φιλανθρωπίαν ἀπανθρωπίας ἁπάσης γέμουσαν, ἃ τὴν προσθήκην οὐκ ἔχοντα τέως τὴν ἄδικον μετ᾽ ἐξουσίας ἐπράττετο, ταῦτα ὅτι ταύτην προσείληφε τῷ δοκεῖν ἀνεύθυνα φαίνεσθαι, προσθήκη τῶν ἀδικημάτων γίνεται. ἀλλ᾽ εἰς θέσιν ἴσως ἐζήτεις παιδίον. τί δὲ οὐ πρὸ τοῦ τόκου τὴν γνώμην σου κατεμήνυες, ἢ τὸ παιδίον μετὰ τὰς ὠδῖνας οὐκ ᾔτησας; ἢ τυχὸν οὐδέτερον τούτων ἤθελες· ἀλλ᾽ οὖν ἐκ τῆς ἐρημίας ἀνελὼν εὐθὺς οὐκ ἐκοινολογήσω περὶ τοῦ πράγματος, οὐ κατὰ νόμους τὴν θέσιν ἔπραττες. ταῦτα ἀφαιρήσεταί τις ἡμᾶς, ὡς παρὰ τοὺς νόμους οὐ πέπρακται;

ἐναγὴς μοιχεία διὰ σοφισμάτων τετόλμηται, καὶ παῖς δυστυχὴς κατὰ μητρὸς ἀθλίας ἐξ ἐναγοῦς κρατῆρος ἐμεθύσθη κακῶς, καὶ δεξιὰ πατρὸς ἐπὶ φόνους τῶν φιλτάτων ὑπὸ κακοήθους τέχνης ἐξώπλισται. θρηνῶ νῦν οὓς ὡς πολεμίους ἐφόνευσα, καὶ σφαγαῖς παρακάθημαι δακρύων, ἃς ᾤμην μετὰ τῶν νόμων ἐργάζεσθαι καὶ ὃν πρὸ τῶν φόνων μοιχὸν ἐνόμιζον, τοῦτον παῖδα μετὰ τὴν σφαγὴν ἐγνώρισα. νῦν ὄντως τιτρώσκῃ, νῦν τὴν καιρίαν λαμβάνεις, παιδίον. καλέσω γάρ σε λοιπὸν οὐ τοῖς τῶν ἀδικημάτων ἀλλὰ τοῖς τοῦ γένους ὀνόμασιν· οὐ γὰρ σύ μοι τῶν ἀτυχημάτων ἀλλ᾽ ἕτερος αἴτιος. ἡδέως δ᾽ ἂν ἐροίμην ἐκεῖνο δή που πρῶτον τὸν πλούσιον. χρηστὸς αὐτῷ τὸν τρόπον ὁ νεανίσκος ἐφαίνετο, ἢ τοὐναντίον παράνο-

a. 2. ἐθέλουσι ς. συνήθισαι ς. 10. πρότερος AC. 14. τῶν A: τοῦ ς. δυστυχίαν] τυχεῖν C et pr A. 19. πρόκειται ς. 21. τὸ] τῷ corr B. 24. malim ἐπιβάλλων. 26. ἀδιάφορον A. τυχὴν B. 39. ἐπανάγαγὼν ς. 40. οἷς] ὡς A. 41. περιὼν A. b. 1. περὶ] κατὰ B. 3. οὐκ ἔστιν οὖν μηδὲν B, ἔξεστι μὲν οὖν ἀλλ᾽ ἐπὶ τῷ μηδὲν Reiskius. 5. pro εἵλω lacuna est in B. 6. οἷς] immo ὧν. 10. δικάζουσιν ς. 11. ποιεῖν C: ποιεῖ ς. ἔχεις AC: ἔχειν ς. 18. ἀδικίαν A. 27. ὑμᾶς A. 28. ἐναγὴς μοιχεία] ἐνάγεις μοι χεῖρα B. 29. ἀθλίας] ἀθρόως B. ἐξ ἐναγοῦς Scaliger: libri ξεναγοῦς.

Digitized by Google

μος; εἰ μὲν γὰρ χρηστός, τίνος αἱ πράξεις, οὐκ ἄδηλον· εἰ δὲ πονηρός, ἐχρῆν ἀποδιδόναι τῷ φύσαντι. πρὸς δὲ τούτοις πότερον ἐλελήθει σε ταῦτα ποιῶν, ἢ προειδὼς οὐκ ἐκώλυες; εἰ μὲν γὰρ ἠγνόεις, πατρός γε ὄντως φυλακὴν λέγεις· εἰ δ᾽ οὐκ ἠγνόεις, ὥσπερ εἰκός, μέλλοντα κωλύειν, οὐ πεποιηκότα ἐχρῆν. τὸ μὲν γὰρ προνοίας, τὸ δὲ ἀδικίας τεκμήριον· καὶ τὸ μὲν τὸν εὔνουν, τὸ δὲ τὸν προσποιούμενον δείκνυσιν. ὁ νεανίσκος ἁπάντων αἴτιος. εἰ γὰρ οἷόστε ἦν ἀφεῖναι φωνήν! εἰ γάρ τις αὐτὸν θεῶν, οἷα πολλὰ πολλάκις παρὰ τῶν ποιητῶν ἀκούομεν, πρὸς μικρὸν ἀνῆκεν, ὅσον παραγενέσθαι τῇ κρίσει! οὐκ ἂν ἐκ μέσων τῶν πληγῶν καὶ τῶν τραυμάτων ἀνέκραγεν „ἔγωγε μοιχός; ἐγὼ παράνομος; ἐχθρὲ καὶ πλούσιε· ὀψὲ γάρ με
584 H. τὰς σεαυτῷ πρεπούσας ἐπωνυμίας ἐδίδαξας.“ ἀλλ᾽ οἰκτείρας (φησί) τὸ πάθος ἐπέδειξα τὰ γνωρίσματα, τάφων πατρῴων ἀξιωθῆναι παρὰ σοῦ τὸν νεανίσκον βουλόμενος. εἰς καιρόν γε (οὐ γάρ;) τὰς διαλλαγὰς ἐτήρησας, καὶ τότε ἀνεμνήσθης συνάψαι τὸ γένος, ὅτε τὸν πόλεμον ἄσπονδον ἐν ξίφει καὶ μοιχείᾳ πεποίηκας.

εἰ λέγει καὶ γράφει καὶ τὴν πατρικὴν τοῦ βίου τάξιν εὑρίσκεται, οὐ δεήσομαι γνωρισμάτων πλειόνων, γνωριῶ τὴν φύσιν ἀπὸ τοῦ βήματος. δός μοι νόσῳ καὶ λοιμῷ δαπανηθέντα κομίσασθαι. θρηνήσω μὲν καὶ τότε τὴν συντυχίαν τῆς γνώσεως, ὅτι μου τὴν ἐπωνυμίαν τὴν τοῦ πατρὸς μόνῳ τῷ τάφῳ τετήρηκας· παραμυθήσεται δέ με τὸ πέμψαι τὸν παῖδα τοῖς κάτω θεοῖς νόσῳ λυθέντα, μὴ δράμασι. νυνὶ δέ, ὢ τῆς τραγικῆς ὄντως, ὢ τῆς ἀώρου καὶ ἀπηνοῦς τῶν γνωρισμάτων καταμηνύσεως!
1093 R. νῦν ἠνάγκασμαι γνωρίζειν τὸν παῖδα, ὅτε ἀγνοεῖν συνέφερε, καὶ τότε πατὴρ ἀναγορεύομαι, ὅτε καὶ παιδοκτόνος εὑρίσκομαι. ἔα με μόνην τὴν μοιχείαν θρηνεῖν, ἑνί μου παραχώρησον τὰ δυστυχήματα δράματι. τί δέ με μερίζεις τρῖς ποιηταῖς; τί δὲ καθ᾽ ἕκαστον τῶν ἐμῶν ἀτυχημάτων σκηνὴν ἐγείρεις καὶ θέατρα; νυνὶ δὲ παρηκολούθηκας ἀριθμῶν μου τὰ δυστυχήματα. καὶ τότε μου πληρῶσαι τὸν τάφον θέλεις, ὅτε τὸν οἶκον ἐκένωσας. θάψαι με βούλει τὸν παῖδα; καλῆς γε (οὐ γάρ;) μοι φιλοτιμίας παρεχώρησας. ἐμὲ δὲ ἄφες στένειν τὰς συμφοράς· σὺ καὶ θάψον, εἰ θέλεις, τὸν ἀνῃρημένον, καὶ δὸς αὐτῷ φέρειν ἀντὶ τῶν ἐνταφίων τὰ σπάργανα. αἱ σαὶ χεῖρές εἰσι τοιαύτης ταφῆς ἐπάξιαι. πόθεν δὲ καὶ τὴν ἐκφορὰν ποιήσομαι; ἀπὸ τῆς ἑστίας; καὶ ποῖον ὄρυγμα τῆς δυστυχοῦς ἐκείνης στυγνότερον; περὶ αὐτὴν δυστυχῆ σώματα, καὶ φοβερὸν αἷμα κατὰ πᾶν μέρος ἐκκέχυται, καὶ πολὺς φόνος ἐν μέσῳ κατηφὲς θέαμα πρόκειται· περικάθηται ταύτην ποινῶν καὶ δαιμόνων καὶ ἀλαστόρων στρατόπεδον. νυνὶ δέ, ὢ τῆς ὑπερβολῆς! ὢ τῆς ὑπερηφανίας τῶν κακῶν! πατὴρ ὡπλίσθη κατὰ παιδός, μήτηρ εἰς μῖξιν ἀθέμιτον παιδὸς βεβίασται. ἀλλ᾽ ὦ πολέμου καὶ λοιμοῦ καὶ τυραννίδος ἐχθρὲ βαρύτερε, ἀλλ᾽ ὦ τῆς πατρίδος πλέον ἢ τῆς πολιτείας τῆς ἡμετέρας πολέμιε, οἵας ἀνθ᾽ οἵων ἐκτίνεις τῇ πόλει ταύτας τὰς χάριτας! ἀντὶ προεδρίας, ἀντὶ τιμῶν, ἀνθ᾽ ὧν ἀνάξιον ὄντα σε τοσούτων πολλάκις καὶ τηλικούτων ἠξίωσεν, ἐκδέδωκας αὐτὴν τῇ σκηνῇ, καὶ τραγῳδῶν πεποίηκας τὴν πόλιν ἡμῶν ἀγώνισμα, καὶ ἡ μὲν ἐμὴ συμφορὰ τῷ βίῳ τῷ ἐμῷ περιγραφήσεται, τὸ μίασμα δὲ καὶ ὁ σὸς τρόπος τῷ τῆς πόλεως βίῳ συνεκταθήσεται. σὺ δὲ καὶ λέγε καὶ γράφε καὶ νομοθέτει καὶ πρέσβευε. καὶ πρῶτον, εἰ θέλεις, τοῦτον τὸν νόμον εἰσένεγκε „μὴ λέγειν ἔτι τοῦ λοιποῦ πένητα· τολμήσαντι δὲ τίμημα ἐπικεῖσθαι τοῦ γένους γίνεσθαι δήμιον.“ μᾶλλον δέ (τί γάρ σοι δεῖ ῥημάτων 585 H.
ἔτι καὶ συλλαβῶν;) ἐναργέστερός σοι διὰ τῆς ἐμῆς συμφορᾶς ὁ νόμος γέγραπται· ἀποτετείχισταί σοι λαμπρῶς τὸ βῆμα, καὶ πᾶσα πένητος ἐκκέκοπται γλῶττα τῷ παραδείγματι. λέγε μόνος, πολιτεύου μόνος· ἀντερεῖ δ᾽ οὐδείς. τυχὸν δὲ ἴσως οὐδὲ μικρολογήσεις λοιπόν, οὐδὲ ὁριεῖς τὴν δυναστείαν ἄχρι τοῦ βήματος. σκηνῆς ὑψηλοτέρας τῶν ἐνταῦθα τάχα δεήσει σοι, καὶ δραμάτων οὐκ ἐχόντων τὴν τραγῳδίαν ἀπόρρητον. ἵνα δὲ πλέον φοβήσῃς ἅπαντας, μίμησαι καὶ γραφῇ τὸ πάθος, καὶ δὸς ἐν εἰκόνι τὴν συμφοράν. χαλεπὸν εὑρεῖν τέχνην οἵαν τε οὖσαν ὑποκρίνασθαι πράγματος φύσιν οὕτως ἀλλόκοτον. πλὴν ἀλλὰ τῷ πλουσίῳ τῶν πάντων οὐδὲν ἀτόλμητον. ἔστω μὲν ἔκ τινος Ποινῶν λειμῶνος καὶ Ἐριννύων τὰ φάρμακα· ὑποκείσθω δὲ ὁ πίναξ τῇ γραφῇ ἐξ ἐπαράτου ποθὲν καὶ ἐναγοῦς ὕλης γενόμενος· πῦρ δὲ ὑπηρετείσθω τῇ γραφῇ, οἷον ἀνάπτειν πεφύκασι τιμωροὶ τοιούτων θανάτων δαίμονες. ζήτησον δὲ καὶ ζωγράφον τραγικὸν μὲν τὴν χεῖρα, τὴν δὲ ψυχὴν τραγι-

a. 9. ἁπάντων *A*: ὁ πάντων ς. 11. πρὸς *B*: ὡς ς. 16. ἐπέδειξα *A* et corr *B*: ἐπέδειξας ς. 31. ἀναγορεύομαι *A*. 33. μοι *AB*. 38. με Reiskius: libri μου. 39. φιλοτησίας *A*.
b. 4. περὶ — δυστυχῆ *ABC*: ὑπὲρ — δυστυχεῖ ς. 17. ἐμὴ add *A*. 19. καὶ ante λέγε om *A*. 26. γλῶσσα ς. 30. τάχα post σοι ponit ς, om *B*. 32. γραφῇ] libri γράφε. 35. πλουσίῳ *A*: πλησίον ς. 36. libri ποινῆς λειμώνων. 41. χεῖρα *A*: χρείαν ς.

Digitized by Google

κώτερον. κέλευε δὲ αὐτῷ τὴν τάξιν τῶν ἐμῶν ἀτυχημάτων τάξιν ποιεῖσθαι καὶ τῆς γραφῆς, μηδὲν δὲ γράφειν πρὸ τῆς ἐκθέσεως, μὴ λέγοντα, μὴ δημηγοροῦντα,
1096R. μὴ στεφανούμενον, μή τι τῶν εὐτυχεστέρων ἕτερον· ὅλη γενέσθω μεστὴ τῆς σκυθρωποτέρας τύχης ἡ γραφή. ὁ δυστυχὴς πρῶτος ἔστω πατήρ, φέρων εἰς τὴν ἐρημίαν ταῖς ἑαυτοῦ χερσὶ τὸ βρέφος, ὀδυρόμενος τὴν τύχην, θρηνῶν τὴν συμφοράν, ἐξιών, ἀναστρέφων, τιθείς, ἀναιρέμενος, εἴκων τῇ φύσει, τῆς ἀνάγκης πάλιν ἡττώμενος. μιμησάσθω καὶ λόγους (εἰ δυνατόν) ἡ γραφὴ διὰ προσώπου στυγνάζοντος, καὶ πᾶς τις τῶν ῥημάτων ἀκουσάτω διὰ τοῦ σχήματος. γράφε μετὰ τοῦτο τοὺς καλοὺς ἔρωτας, μᾶλλον δὲ μὴ καταψεύσῃ μου κἂν τῇ γραφῇ τοῦ παιδός· ποίησον ὀκνοῦντα, μέλλοντα, χωροῦντα πρὸς τὴν πρᾶξιν, ἀναδυόμενον, ἰλιγγιῶντα μὲν τῇ ψυχῇ, τῷ φόβῳ δὲ βιαζόμενον, δεδιότα μὲν τὴν μοιχείαν, οὔπω δὲ συνιέντα ὅτι καὶ κατὰ μητρὸς ἀναγκάζεται. ἔστω που καὶ δυστυχὴς πρεσβῦτις, εἰ θέλεις· γράψον αὐτὴν ἐρῶσαν, ἀλλὰ μετὰ τῆς ῥυτίδος, ἀλλὰ μετὰ τῆς κόμης τῆς πολιᾶς, ἵνα μᾶλλον ἐκπλήξῃς τῷ παραλόγῳ τοῦ δράματος. ἐλθὲ λοιπὸν ἐπὶ τὸ κεφάλαιον τῆς γραφῆς· ὅπλισον τὸν δυστυχῆ πένητα κατὰ τῶν φιλτάτων, καὶ τοσαῦτα μίμησαι πράγματα, ὁπόσα ἐμπλήσει τὴν σὴν ἀπανθρωπίαν πλαττόμενα. πρόσθες ἤδη λοιπὸν τὸν κολοφῶνα τοῦ δράματος, σαυτὸν τοῖς φόνοις μετὰ τῶν γνωρισμάτων ἐπιφαινόμενον, μειδιῶντα, φαιδρόν, τοῖς κατωρθωμένοις γανύμενον. τήρησον πρὸς θεῶν κἀμοί τι μέρος τοῦ πίνακος, ἵνα μή τις ἐπιζητήσῃ „ποῦ δὲ ὁ δυστυχὴς πένης; πῶς ἔζη; πῶς
586 H. ἐβίω μετὰ τοιαύτας συμφοράς;" „ἀλλ' οὐ πάντα χαρήσῃ, πλούσιε. δεῖ γενέσθαι καὶ σὲ μέρος τοῦ δράματος. οὐδεὶς οἶδεν ὑψηλὴν τραγῳδίαν, ὅπου μὴ πίπτουσι τύραννοι.

Ἐκ τῆς ἐπιγραφομένης μελέτης „μετὰ τὰ Μηδικὰ ἐψηφίσαντο Ἀθηναῖοι πρὸς τοὺς βαρβάρους πόλεμον. πυθόμενος ὁ βασιλεὺς ὑπέσχετο τὰ λελυμασμένα ἐπανορθώσασθαι, εἰ τὸν πόλεμον καταλύσειαν. βουλομένων αὐτῶν Θεμιστοκλῆς ἀντιλέγει."

αὐτὸ τὸ προοίμιον.

Οὔπω τῆς πείρας, ὡς ἔοικεν, ὦ Ἀθηναῖοι, τῆς καθ' ἡμῶν βασιλεὺς παύεται, κἂν ἀεὶ κρείττω τῆς ἑαυτοῦ τέχνης τὸν τρόπον εὑρίσκῃ τῆς πόλεως. ἐγὼ δὲ οὐδὲν βασιλέα τοῖς αὐτοῖς αὖθις ἐπιχειρεῖν θαυμαστὸν οἴομαι· τοὺς γὰρ ἐν ἀπορίᾳ καθεστηκότας καὶ φόβοις οὐδὲν θαυμαστὸν μηδὲ ἀφ' ὧν διορθώσονται τὰς συμφοράς, εὑρίσκειν δύνασθαι. ὥστε τοῦτο μὲν οὐδαμῶς ἄτοπον· τοὺς δὲ ῥήτορας ἄν τις δικαίως μᾶλλον τοὺς παρ' ἡμῖν θαυμάσειεν, εἰ καιρὸν αὐτοῖς ἔτι τῆς [παρ' ἡμῖν] προδοσίας νομίζουσιν, ὅτε μηδὲ βασιλεὺς ἀρνεῖσθαι τὸ κρείττους εἶναι τῆς ἑαυτοῦ δυναστείας διέγνωκε. προσήκει δὲ καὶ ὑμᾶς μὴ χείρους ἐν κοινῷ τῆς ἑνὸς ἀνδρὸς γνώμης ἐλέγχεσθαι, ὡς ἔστιν ἄτοπον φιλοτιμεῖσθαι μὲν ἐπὶ τῷ τοὺς βαρβάρους τοῖς ὅπλοις νικᾶν, ἁλίσκεσθαι δὲ ἐλάττους ἐν τῷ βουλεύεσθαι. ἤδη δὲ καὶ τὰς αὐτὰς ἠφίει φωνὰς ὑπὲρ τῶν ὅλων τοῖς θεοῖς, καὶ τὰ αὐτὰ τῷ Πυθίῳ περὶ τῶν τριήρων ἐδόξαζεν. τί πορθμοῖς ἐνοχλεῖς δι' ἐμέ; τί δὲ ὄρη τέμνεις εἰς θάλασσαν; τί καλύπτεις ἠπείρῳ τὸ ῥόθιον; ἔασον ἑστάναι τὸν Ἄθω, καὶ μὴ πέμπε μοι διὰ τῶν ὀρῶν ἀλλὰ διὰ τοῦ ῥοθίου τὸν στόλον. ἀλλ' εἰ καὶ τούτων ὀλίγον τινὰ ἐποιήσω λόγον, τῶν οὐρανίων ἀπέχου μοι, καὶ φεῖσαι τῆς ἄνω λήξεως· μή 1097R.
μοι νύκτα ποίει τὴν ἡμέραν τοῖς βέλεσι, μηδ' ὑποτρεχέτω τὸν ἥλιον νέφος ἐκ τῶν βελῶν τῆς σῆς στρατιᾶς συγκείμενον. ἀλλ' οὐδὲν ἐᾷς ἀκίνητον, ἵνα ἓν γένηται τῶν Μηδικῶν διηγημάτων ἡ πόλις ἡ Ἀθηναίων. φοβερώτερος δὲ τῆς φήμης ἐπὶ τῆς πείρας φαινόμενος, νῦν μὲν ἐπὶ τῆς ἠπείρου τὰ θαύματα, νῦν δὲ μεταφέρων τὴν μεγαλουργίαν ἐπὶ τὴν θάλατταν, καὶ νῦν μὲν ἐπαφιεὶς τοῖς ποταμοῖς τὸ στράτευμα, νῦν δὲ ἡλίῳ τὰ βέλη, νῦν δὲ τῷ ῥοθίῳ τὰς μάστιγας. ὄρος ἐπλεῖτο χειμαζόμενον, καὶ πορθμὸς ὅλος γεφυρωθεὶς ἐπεζεύετο· Ἄθως διὰ μέσου τριήρεις ἔπεμπε, καὶ τὴν ἵππον ὑπὲρ τοῦ ῥοθίου θέουσαν τὴν Μηδικὴν Ἑλλήσποντος. εἰς τριακοσίους ἦν ὁπλίτας τὸ παρὰ Λακεδαιμονίοις ὄφελος, οἱ δὲ λοιποὶ τύχῃ τὸ γένος ἐμέριζον. οὐ λέληθας ἡμᾶς ἄλλον δεινότερον ἐπάγων τοῦ προτέρου πόλεμον, οὐκέτι χιλίας καὶ διακοσίας τριήρεις πληροῖς κατὰ τῆς πόλεως, οὐδὲ ἀποκρύπτεις ἠπείρῳ τὸ ῥόθιον, οὐδὲ στενοχωρεῖς στρατιώταις τὴν ἤπειρον, οὐδὲ τὰ στοιχεῖα πρὸς τὴν σαυτοῦ χρείαν καταναγκάζεις μετασκευάζεσθαι· οἶδας γὰρ ὡς πάντων ἐκείνων „κρείττων 587 H.
ἐγενόμην μαχόμενος, ἀπὸ Βαβυλῶνος προσβάλλεις τῇ

a. 27. γαννύμενον Bς. 30. τοιαύτας A: τοσαύτας ς. χαιρήσῃ A. 36. λελυμασμένα A, λελυμένα B: λελυσμένα ς.
b. 2. τοῖς αὐτοῖς A, τοῖς ἑαυτοῦ B: τῷ ἑαυτοῦ ς. 6. δὲ om A, post ῥήτορας ponit B. 8. ὅτι B. 10. ὑμᾶς ABC: ἡμᾶς ς. 11. μὲν om A. 17. μὴ πέμπε μοι] πέμπε μὴ B. 20. οὐρανῶν B. 22. σῆς om B. 30. ἐπλεῖτο] ἔπειτα A. 35. δεινότερον post προτέρου ponit B. 36. τριακοσίας ς. 40. οὐδὲς B. 41. προσβάλλει A. qui et mox ἐφίστησι — διορύττει — ὀνομάζει.

Digitized by Google

πόλει, ϗ διὰ τῶν κηρύκων ἡμῖν ἐφιστᾶς μηχανήματα, καὶ ταῖς πρεσβείαις διορύττεις τὴν ἐπὶ τῶν καλλίστων φιλοτιμίαν τῆς πόλεως, καὶ ταῦτα δωρεὰς ὀνομάζεις καὶ χάριτας. μὴ πρὸς τροπαίων διὰ γῆς ϗ θαλάττης ἐγηγερμένων! εἰ μὲν οὖν οἴεσθε δεῖν γράφειν μὲν ἃ χρὴ ποιεῖν, ἃ δ᾽ ἂν γράψητε μὴ ποιεῖν, καὶ λαμπροὶ μὲν ἐπὶ τῶν ψηφισμάτων φαίνεσθαι, διὰ δὲ τῶν ἔργων οὐχ ὅμοιοι, καλῶς ἔχει. ὁ μὲν γὰρ ἐν τῷ βουλεύσασθαί τι λαμπρός, τῷ μή πω δῆλος εἶναι ὅτι καὶ πράξειεν, οὔπω καθαρῶς τὴν εὐφημίαν κομίζεται, ἀλλ᾽ ἔτι πρὸς τοὺς ἐπαίνους ἀμφίβολος· περιμένουσι γὰρ τὸ τέλος ἅπαντες, ἵνα τὴν γνώμην θαυμάσωσιν. ὁ δ᾽ οἷς ἔγνω καλῶς καὶ τὴν ἀπὸ τῶν ἔργων πεῖραν ἑλόμενος, ἐπ᾽ ἀμφοτέροις θαυμάζεται, τὴν μὲν γνώμην, οἷς ἔκρινε, τὴν δὲ πρᾶξιν, οἷς οὐκ ἤλεγξε τὰ ψηφισθέντα τοῖς πράγμασιν. ἡδέως δ᾽ ἂν ἐροίμην τοὺς ἀντιλέγοντας, πότερον ἀντεῖπον ἡνίκα ἐκυροῦμεν τὸν πόλεμον, ἢ τὴν ἡσυχίαν ἄγοντες εἴκειν ἠξίουν τοῖς συμβουλεύουσιν; εἰ μὲν γὰρ οὐκ ἀντεῖπον, οὐχ ἡμῖν μόνον ἀλλὰ καὶ σφίσιν αὐτοῖς τἀναντία πράττοντες φαίνονται, τούτοις ἐγκαλεῖν σπουδάζοντες, οἷς ὡς κάλλιστα ἔχουσι σιωπὴν ἐπεψήφιζον. οὐ γάρ που δυσνοίᾳ γε φήσουσι τὸ συμφέρον ἑκόντες ἀποκρύψασθαι. ἀλλὰ μὴν εἴγε ἀντειπόντες ἡττήθησαν, πῶς οὐκ ἀναιδείας ὑπεύθυνοι τὰ αὐτὰ λέγειν ἐπιχειροῦντες δεύτερον, ἃ πρόσθεν εἰπεῖν τολμήσαντες ἥττους εἶναι τῶν ἀντιλεγόντων ἠλέγχθησαν; καὶ μὴν εἴγε λύσομεν ἃ κεκυρώκαμεν, οὐκ ἄδηλον δήπουθεν ὡς εὐχερείας τε ὁμοῦ καὶ ἀβουλίας ὄνειδος ἕξομεν, ἀβουλίας μὲν ὡς ἐν ἀρχῇ δέον εὑρεῖν τὸ συμφέρον ἀδυνατήσαντες, εὐχερείας δὲ ὡς ἀφ᾽ ὧν ἐκρίναμεν ταχέως αὖθις μεταβαλλόμενοι. ϗ οὔπω λέγω τὸ μεῖζον ἔγκλημα, ὅτι ϗ χρείας ἡττημένοι δόξομεν ἐθέλειν ἡμῶν αὐτῶν καταψηφίζεσθαι ὅπερ (οἶμαι) ϗ ἀπαραίτητον ποιεῖ τὸ ἔγκλημα. ἃ γὰρ ϗ χωρὶς τοιαύτης αἰτίας οὐκ ἀνεκτὸν ἡμαρτηκότας ἐλέγχεσθαι, πῶς οὐχ ἅπαξ ἀσύγγνωστον,
808 R. ὅταν ϗ λήμματος ἀλλάττεσθαι τὴν ἀδοξίαν φαινώμεθα; εἰ δέ τις τῶν συμμάχων τῆς πόλεως δωρεὰν παρὰ βασιλέως δεξάμενος λύειν ἐπεχείρει τὸ δόγμα τῆς πόλεως ἢ καταλύειν τὴν συμμαχίαν ἐτόλμησεν, ἆρ᾽ οὐκ ἂν ὠργίσθητε καὶ δίκην ἀπῃτήσατε παρὰ τῶν ἀναιρεῖν ἐπιχειρούντων ἃ κεκυρώκατε; ἐγὼ μὲν ἀκριβῶς οἶμαι. εἶθ᾽ ἑτέροις ἂν τι λῦσαι τῶν ὑμετέρων οὐ συγχωρήσαντες, αὐτοὶ τοῦτο ποιοῦντες ὀφθήσεσθε; καὶ ἐφ᾽ οἷς ἄλλου πράξαντος οὐκ ἂν ἠνέσχεσθε τὸ μὴ ϗ δίκας εἰσπράξασθαι, ταῦτα ἑκόντες αὐτοὶ πλημμελεῖν δόξετε; καὶ μὴν ἅπαντα μὲν εὐλαβητέον ἐργάζεσθαι τὰ ϗ ὄντα πονηρὰ ϗ νομιζόμενα, ἐκεῖνα δὲ πλεῖον, ὧν αὐτός τις φθάσας κατέγνωκεν. ἐφ᾽ οἷς γάρ τις ἀγανακτῶν ὡς φαύλοις ἐπιδείκνυται, εἰ τὰ αὐτὰ πράτ- 588 II.
των ἁλίσκοιτο, φιλαπεχθήμων ὁμοῦ ϗ πονηρός, πονηρὸς μέν, οἷς ἃ μὴ χρὴ πράττων ἐλέγχεται, φιλαπεχθήμων δέ, ὅτι τούτων τοὺς πλησίον εἴργειν ζητεῖ, ἃ τῷ λόγῳ μισεῖν προσποιούμενος ἔργοις μεταδιώκων ἁλίσκεται. λέγε μοι τὰ τῶν νομοθετῶν, εἰ βούλει, ῥήματα· ἀρίθμει μοι μετὰ τούτων, εἰ θέλεις, ϗ τὰ τῆς πόλεως τρόπαια· νόμους γὰρ ἐγὼ πολεμικοὺς ὀνομάζω τὰ τῆς πόλεως κατορθώματα. τί νῦν ἐν ἅπασι τούτοις διεσπούδασαι; μὴ σπένδεσθαι βαρβάροις, μισεῖν τὸ γένος ὡς ἀλιτήριον, ἀδιάλλακτον ἡγεῖσθαι τὸν πρὸς ἀλλήλους πόλεμον. ϗ μάλ᾽ εἰκότως· οὓς γὰρ τῇ φύσει πολεμίους ἐνόμιζον, παρὰ τούτων ἀεί τι κακὸν προσδοκήσαντες νόμῳ τὸ μὴ παθεῖν ἐφυλάξαντο, μέγιστον εἶναι τῆς πόλεως φυλακτήριον τὴν ἀπιστίαν τὴν πρὸς αὐτοὺς ἡγησάμενοι. εἰώθασι γὰρ οἱ πονηροὶ τῶν ἀνθρώπων ϗ πρὸς πλεονεξίαν τὰ πάντα βλέποντες πλείονα κερδαίνειν ἐπὶ φιλίας προσχήματι τῶν ὅτε φανερῶς ὡμολόγουν τὸν πόλεμον. ψηφίσματα γὰρ Ἀθηναίων ἐγὼ καλῶ τὰ τοῦ θείου Πυθίου μαντεύματα. πολέμιος ὁ Πέρσης οὐ καθ᾽ ἕνα καιρὸν οὐδὲ χρόνον, οὐδὲ παρ᾽ αὐτὴν μόνην τὴν τοῦ πολέμου καταβολήν, ἀλλ᾽ εἰς πάντα τὸν βίον τῆς πόλεως. εἰ γὰρ Πλαταιὰς μόνας κατέσκαψε, καὶ δῆμον εἰς τοὺς ὑπὲρ τῆς ἐλευθερίας πολέμους αὐτόκλητον ἐποίησεν ἄπολιν. οὐ γὰρ ἃ πέπονθε βασιλεύς, ταῦτα διαλογιζομένους ἐκεῖνον ἀπαλλάττειν τῆς μέμψεως δεῖ, ἀλλ᾽ ἅπερ ἂν κρατήσας ἔδρασεν, ἐν νῷ λαβόντας, πᾶσαν ἴσως νομίζειν δίκην τῆς ἀξίας κομίζεσθαι. οὐδὲ δίκαιον τὰ αὐτὰ μὴ δρᾶσαι κρατήσαντας, ἅπερ ἡττηθέντες ὑπὸ τῶν κεκρατηκότων ἂν ἐπάθομεν. ὁ γάρ, πρὶν ἀνενεγκεῖν αὖθις τοὺς ἐναντίους ἀφ᾽ ὧν ἐσφάλησαν, ἐπεξιὼν καὶ τιμωρούμενος οὐδὲ ἐκείνοις καιρὸν ἐπὶ τῆς ἀμύνης ἐνδίδωσι, καὶ πᾶσαν ἑαυτῷ προξενεῖ τοῦ μήτι παθεῖν ἀσφάλειαν, οἷς κατὰ καιρὸν ἐπέξεισι,

a. 3. τῇ πόλει ς. 4. θαλάσσης A. 5. εἰ A: ἐπεὶ ς. 6. γράψητε A, γράφητε B: γράφηται ς. 7. φαίνεσθαι ABC: φαίνεσθε ς. 9. εἶναι add Stephanus. 10. πράξειν C. 15. πρᾶξιν A: τάξιν ς. 20. διαπράττοντες libri. 22. δυσνοίᾳ B: δυσνοίας ς. 24. ἀναιδείας Reiskius: libri ἂν δειλίας. b. 1. οἶμαι] immo οἶδα. 3. ἂν ἠνέσχεσθε A: ἀνείχεσθε ς. 9. ὁμοῦ — 10. φιλαπεχθήμων om A. 11. ὅτι] ὃς B. 14. τρόπαια — 15. πόλεως om A. 33. δεῖ ABC: χρὴ ς. 35. ἴσως] malim ἥττω. 39. οὐδὲ — ἐπὶ] rectius scripseris οὔτε — ἔτι.

Digitized by Google

τούτοις περιγράφων ἅπασαν τὴν ἐν ὑστέρῳ παρὰ τῶν πεπονθότων ἐπίδοσιν. καί φασι, δωρεὰς τῷ δήμῳ βασιλεὺς πέπομφε. Κυρσίλου μοι λέγεις ῥήματα, καὶ πονηρᾶς εἶ δημηγορίας διάδοχος, καὶ ταῦτα λέγειν ἐν Ἀθήναις ἐπικεχείρηκας, ἐφ' οἷς τῷ προειπόντι τάφον ἐποιήσαμεν τὸν τόπον ἐφ' οὗπερ εἱστήκει φθεγγόμενος. ἀδήλου δὲ ὄντος τίνα τρόπον ἡ ναυμαχία κριθήσεται, οὐ δὴ καλόν, ἀφ' ὧν εὐδοκιμοῦντες φαινόμεθα καὶ μεθ' ὧν ἐπιτηδευμάτων διαγεγόναμεν, ἄκυρα ποιεῖν ἐπὶ τοῦ παρόντος βουλεύεσθαι. οἷς μὲν γὰρ ἐξ ἀρχῆς ὀλίγος τῆς ἀρετῆς ὁ λόγος, οὐ μέγας τούτοις οὐδὲ σφαλεῖσιν ὁ κίνδυνος· οἷς δὲ τοσαῦτα καὶ τηλικαῦτα παραδείγματα τῆς ἀρετῆς ἔστηκε, τίς συγγνώμη παρὰ τοῖς ἔξωθεν, εἰ τοῖς τελευταίοις ἀφα- 1101R. νίζοντες τὴν ἔμπροσθεν δόξαν ἐλέγχοιντο; "πᾶς γὰρ ἐμοὶ Ξέρξου πρὸς δωρεὰν καὶ χάριν ἐγγύτερος. ἔτι τοίνυν, εἰ μὲν προῖκα παρεῖχε τὴν δωρεάν, ἦν 589H. ἄν τις λόγος ἴσως τοῖς βασιλεῖ "συναγορεύουσι· καίτοι γε οὐδὲ τοῦτο τῶν Ἀθηναίων ἄξιον. εἰ δ' ἀνταιτεῖ χάριν παρὰ τῆς πόλεως, εὔδηλον δήπουθεν ὡς οἷς παρ' ἡμῶν ἀντ' ἐκείνων τυχεῖν ἐσπούδασε, τούτοις ἐπιδείκνυσι μηδὲν αὐτὸς χαριζόμενος. εἰ δὲ ἁπλῶς διδόντος λαβεῖν οὐκ εὔλογον, πῶς οὐ πλέον, ὅτε μηδὲ προῖκα τὴν δωρεὰν ἀλλ' ἐπ' ἀντιδόσει τοσαύτῃ, ᾗ καὶ αὐτὸς δῆλός ἐστιν ἃ δίδωσιν ὁμολογῶν ἀνταλλάξασθαι; φέρε δὴ καὶ αὐτὰς τὰς ὑποσχέσεις σκεψώμεθα. ἀντικαταστήσω (φησίν) οἷς ἐλυμηνάμην κατὰ τὸν πόλεμον. αὐτήν μοι λέγεις τοῦ πολέμου τὴν πρόφασιν, καὶ μάχης μᾶλλον ἢ διαλλαγῆς μοι ἀναγινώσκεις συνθήματα, καὶ λανθάνεις οἷς διαλλάξαι βασιλεῖ τὴν πόλιν ἐσπούδακας, τούτοις ἡμᾶς ἐγείρων πλέον ἐπὶ τὸν πόλεμον. ὢ τῶν ἀνομοίων ῥημάτων! λυμεῶνά μοι τὸν αὐτὸν προσαγορεύεις καὶ φίλον, αὐτόχειρα καὶ πάλιν ἔνσπονδον. τὴν αὐτὴν ἀναγινώσκεις ἐπιστολὴν μεστὴν ἀδικημάτων καὶ δωρεῶν, μιγνὺς τὰ ἄμικτα πάθη, [δωρεάς,] χάριτας, συμφοράς, βαρβάρους, Ἕλληνας· καὶ τῷ μὲν δοκεῖν σπουδάζεις ὑπὲρ τῆς πόλεως, τὸ δ' ἀληθές, βασιλεῖ ποιεῖς φιλοτιμίας ὑπόθεσιν τὸ πτῶμα τῆς πόλεως. τί οὖν οὐκ ἐπὶ τὰς τριήρεις ἴμεν, ἀλλ' ἀνεχόμεθα προφέροντος ἡμῖν βασιλέως τὴν πόρθησιν; ἐπολυπραγμόνησέ μου Ξέρξης τὰ διηγήματα, ὥσπερ καὶ τοῖς ἐγκωμίοις πολεμῆσαι θέλων τῆς πόλεως. εἰ μὲν οὖν παρ' ἑτέρου μὲν ἦν τὸ ἀδίκημα, παρ' ἑτέρου δὲ ἡ χάρις, τῷ μὲν ἐχρῆν ὡς πολεμίῳ χρῆσθαι, τὸν δὲ ὡς εὐεργέτην ἀμείβεσθαι. εἰ δὲ ὁ αὐτὸς ἀμφότερα, τί μᾶλλον εἰδέναι χάριν ἀνθ' ὧν ὑπισχνεῖται προσῆκεν ἢ τιμωρίαν ἀπαιτεῖν ἐφ' οἷς ἀδικῶν ἐλέγχεται; τίνα δὲ καὶ τὰ λελυμασμένα καλεῖ; ἀφοσιοῦται γὰρ καὶ διὰ τῶν γραμμάτων τὴν χάριν. τὰς Ἀθήνας πάντως ἀνοικιεῖν ἐπαγγέλλεται· τοῦτο γὰρ ὑπαινίττεται δήπου, κἂν μὴ τολμᾷ φανερῶς ὀνομάζειν τῷ ῥήματι. Ἀθήνας ἀνοικιῶ φησί. σὺ τὴν τῆς Ἀθηνᾶς πόλιν; σὺ τὴν Θησέως καὶ Κέκροπος; εἶτα σιωπηθήσονται Ἐριχθόνιοι καὶ Κέκροπες, ἔτι δὲ Θησεῖς καὶ Κόδροι; πάντα δὲ ἔσται Ξέρξης τῇ πόλει, οἰκιστής, ἀρχηγέτης, τῶν ἐπαίνων, τῶν ἐγκωμίων ὑπόθεσις; οἴμοι τῶν κακῶν! ἡττημένος μου Ξέρξης λαμβάνει τὴν πόλιν. τί δ', ἂν καὶ ἡμᾶς αὐτοὺς κατὰ τῶν Ἑλλήνων συστρατεύεσθαι κελεύῃ; οὐ γὰρ εἶναι δίκαιον τῷ τοσαύτην ἐνδεικνυμένῳ περὶ τὴν πόλιν μεγαλοψυχίαν μὴ πάντα τρόπον συναγωνίζεσθαι. καλάς γε (οὐ γάρ;) τότε καὶ τῶν τροπαίων ἀξίας τῶν ἐγηγερμένων τὰς παρατάξεις παραταξόμεθα, ὑπὸ Ξέρξῃ στρατηγῷ τοὺς κατὰ τῶν ὁμοφύλων πολέμους ἐκφέροντες. δι' οὓς ὤφθη Πέρσαις ἀντὶ νικηφόρου σχῆμα δραπέτου καὶ φυγάδος περικείμενος, τούτοις πόλιν οἰκίζειν, τούτους εὐεργετεῖν ἀνέξεται; εἰ μὲν γὰρ εὐθὺς ἀναμάχεσθαι τοῖς ὅπλοις τὴν ἧτταν ἐπίστευεν, ἐστράτευσεν ἄν, οὐκ ἐπρεσβεύετο· ἐπεὶ δὲ ἀπογινώσκει τῶν δυνάμεων, τὴν ἀπάτην τέως "ἀντὶ τῶν ὅπλων προβέ- 590H. βληται. ἔτι τοίνυν καὶ διαβάλλειν τοὺς Ἕλληνας πρὸς τὴν πόλιν ἐσπούδασεν, ἵνα ἐρήμους τῆς παρ' ἐκείνων συμμαχίας ἐργασάμενος πρὸς μόνους ἡμᾶς ὕστερον ἐξενέγκῃ τὸν πόλεμον. καὶ μὴν ἐξ αὐτῶν τῶν ῥημάτων δῆλός ἐστι πρὸς τὴν δωρεὰν ἀφοσιούμενος. "τοῦ 1102R. μὲν γὰρ ἀνοικίσαι τὴν πόλιν τὴν ἡμετέραν θέλοντος ἔργον ἦν αὐτὸ τοῦτο σαφῶς ἐγγράψαι τοῖς γράμμασιν· ὁ δὲ τοῦτο μὲν οὐκ εἰπών, ἁπλῶς δὲ ἀντικαταστῆσαι φήσας οἷς ἐλυμήνατο κατὰ τὸν πόλεμον, τῇ τοῦ προρρήματος ἀμφιβολίᾳ κακῶς ὃ κακουργεῖ διὰ τῶν γραμμάτων δεδήλωκεν. τί δὲ ἦν τῆς πόλεως τῆς ἡμετέρας τὸ ἐπίσημον; σεμνότης οἰκοδομημάτων, πανταχοῦ τῆς ἀρχαίας ἀρετῆς ὑπομνήματα, ὁ παρὰ τῆς φύσεως κόσμος μεῖζον τοῦ παρὰ τῆς τέχνης προστιθεὶς τῇ πόλει τὸ κάλλος. οἷα μὲν ἰδεῖν ἀκρόπολις, οἷον ἄλλο

a. 11. ὁ om *A*. 17. ante δωρεὰν cum *ABC* omisi ἔμπροσθεν. 18. προσαγορεύουσι *C*. 29. μοι add *A*. 35. μιγνὺς καὶ τὰ ς. 39. ἴμεν] libri εἶμεν,

b. 1. ἦν add *A*. 3. ὁ om *A*. 12. δὲ post ἔτι om *B*. 16. στρατεύεσθαι *A*. 18. μεγαλ. καὶ μὴ ς. 19. καλοὺς *A*: καλῶς ς. 23. τούτους ς. 24. τούτοις ς. 31. τῶν libris deest. 37. κακῶς *C*. ὃ] malim ὅτι.

θεῶν μετ' οὐρανὸν ἐνδιαίτημα! οἷος δὲ ὁ τῆς Πολιάδος νεώς, καὶ τὸ πλησίον τὸ Ποσειδῶνος τέμενος! συνήψαμεν γὰρ διὰ τῶν ἀνακτόρων τοὺς θεοὺς ἀλλήλοις μετὰ τὴν ἅμιλλαν. οὐ λαμβάνω παρὰ ἀνδρὸς τὸν τελετῆς τόπον, ὃν εἴργει τῆς τελετῆς τῆς ἡμετέρας τὸ κήρυγμα. τίς ἀναστήσει τοὺς ἄνδρας, οὓς ἀπολώλεκε; τίς τὰ σώματα τῶν πεσόντων, οἷς ἔτος κατὰ τοὺς πολέμους λελύμανται; ἄνδρες γάρ (φησίν) αἱ πόλεις, οὐκ οἰκοδομήματα. εἰ δὲ τὰ λελυμασμένα ἡμῖν ἀποδώσειν ἐπαγγέλλεται, τούτων δὲ τὰ μὲν οὐδ' ὅλως ἐγχωρεῖ λαβεῖν, τὰ δὲ τοῖς διεφθαρμένοις οὐχ ὅμοια, πῶς οὐκ ἀδύνατος ἐλέγχεται τοῖς πᾶσιν ἡ περὶ τούτων ὑπόσχεσις; οὐκ ἤνεγκαν οὐδὲ τριακοσίους ἐκεῖνοι Λακεδαιμονίους ἐν Πύλαις, ἀλλ' ἐν ὀφθαλμοῖς βασιλέως ἔπιπτον αἱ τοσαῦται μυριάδες πρὸς ἕνα λόχον ὑπὸ μαστίγων παραταττόμεναι. αὐτὸς ἡμᾶς ἐπὶ τὴν Ἀσίαν καλεῖ βασιλεύς, οἷς παραιτεῖται τὰς μάχας, τούτοις ἀκίνδυνον εἶναι τὸν πρὸς αὐτὸν δεικνύων πόλεμον. λόχος εἷς πρὸς ὅλην τὴν Ἀσίαν παραταττόμενος, καὶ τριακόσιοι Σπαρτιᾶται κλείοντες πρότερον μὲν τοῖς ὅπλοις ὕστερον δὲ τῷ θανάτῳ τὰς Πύλας. σεμνότερον ἠγείρατε τροπαίου τὸ πολυάνδριον. ἐγὼ καὶ ὑπὲρ Θηβαίων ἀπαιτῆσαι δίκας ἐσπούδακα. δῆμος Ἕλλην διὰ Πέρσας τοῦ κοινοῦ γένους προδοσίαν κατέγνωσται, καὶ πόλις ἐμὴ Περσικὸν ἐδέξατο κατὰ τῶν Ἑλλήνων στρατόπεδον. κέρδος οὐκ Ἀθηναίων μόνον, ἀλλὰ καὶ κοινὸν τῶν Ἑλλήνων ἁπάντων, Πέρσαι νικώμενοι. εἴθε καὶ εἰς Πύλας ἀπηντήσαμεν! τρόπαιον ἂν ἐδείκνυσαν νῦν ἀντὶ τοῦ τάφου Λακεδαιμόνιοι. ἐπὶ Ξέρξην καλῶ, ἐπὶ Ξέρξην, Ἄπολλον, τὸν μέχρι τῶν ἀδύτων στρατεύσαντα, τὸν τοῖς ἱεροῖς σου τρίποσι τὸ πῦρ προσάγειν φιλονεικήσαντα, δι' ὃν ἐκίνησας φάσματα. δοῦναι θέλω καὶ τοῖς χωρίοις ἀπὸ τῶν ἐμῶν κατορθωμάτων ὀνόματα, καὶ τὰ πελάγη καὶ τοὺς ποταμοὺς ἀπὸ τῶν ἐμῶν
591 H. τροπαίων ʺμᾶλλον ἢ τῶν ἀρχαίων ὀνομάτων προσαγορεύεσθαι. πότε οὖν ἢ πόθεν ἀνοικιοῦμεν τὴν πόλιν; ὑπέκρουσέ τις. ποίαν γὰρ ἐπιζητεῖς ἔτι πόλιν, τὰς τριήρεις ἔχων, τῆς νέας πόλεως οἰκιστὴν ἔχων τὸν Πύθιον; προβάλλεται δὲ αὐτῆς ἀντὶ μὲν τειχῶν τὴν θάλασσαν, ἀντὶ δὲ πύργων τὰς νήσους, ἀντὶ δὲ κόσμου τὰ τρόπαια. εἰ δὲ καὶ τοὺς ὅρους αὐτῆς ἐπιζητεῖς μαθεῖν, περίελθε κύκλῳ τῷ λογισμῷ τὴν οἰκουμένην ἅπασαν, καὶ γῆν ὅση βατή, καὶ θάλατταν ὁπόση πλώϊμος· οὗτοι τῶν Ἀθηνῶν τῶν ἐπὶ Θεμιστοκλέους οἱ ὅροι. ἀπαιτήσω Ξέρξην ἀντὶ τοῦ θαλλοῦ τῆς Ἀθηνᾶς τὴν πλάτανον, ἵνα δύο βλέπηται τῆς θεοῦ κατὰ τὴν ἀκρόπολιν τρόπαια, κατὰ μὲν Ποσειδῶνος ὁ θαλλός, κατὰ δὲ τῶν βαρβάρων ἡ πλάτανος.

### ʺἘκ τοῦ πολεμαρχικοῦ. 1105R.

#### τὸ προοίμιον.

οὐ τοῖς ψέγουσι τὸν νόμον τῶν ἐπὶ τοῦ μνήματος εἰωθότων λέγειν, ἀλλὰ τοῖς ἐπαινοῦσι συνθήσομαι. καὶ γὰρ ἄτοπον τὴν τοῦ λέγειν ἐξουσίαν παρ' αὐτοῦ λαβόντας, κατ' αὐτοῦ τῇ [παρὰ] τοῦ λέγειν ἐξουσίᾳ χρῆσθαι. τὸν γὰρ ἐκ τοῦ θανάτου φόβον ὁ νομοθέτης τῇ παρὰ τοῦ λόγου τιμῇ παραμυθούμενος, ἄοκνον πᾶσι τὴν τόλμαν τὴν ὑπὲρ τῶν κινδύνων καθίστησιν. ἡ δὲ τῶν ἐγκωμίων ἀρχὴ τῷ μὲν δοκεῖν κοινὴ πρὸς ἅπαντας, τὸ δ' ἀληθὲς τῶν ἀνδρῶν τούτων ἐξαίρετος. οἱ μὲν γὰρ τοὺς ἄλλους ἐπαινεῖν σπουδάζοντες, ἵνα τὸ γένος ὑμνήσωσιν, εἰς προγόνων τινὰς εὐφημίας τὴν τοῦ λέγειν φύσιν ἀναβιβάζουσιν, ἢ τὴν γῆν ὅθεν οἱ πρόγονοι τῶν ἐπαινουμένων ἐγένοντο. πάντες γὰρ ἐπιεικῶς οἱ πρόγονοι τῶν πανταχοῦ θαυμαζομένων ἐπήλυδες. οὐ μὴν καὶ κατὰ τούτων ὁ νόμος οὗτος νενίκηκεν, ἀλλ' ὁμοῦ τε Ἀθηναίους εἴρηκας, καὶ μετὰ τῆς ἐπωνυμίας δηλοῖς τοὺς αὐτόχθονας. ἄοπλος ἦν ὁ βίος· ὅπλα τῶν κινδυνευόντων προὐβάλετο. ἵππων χρῆσιν οὐκ ἠπίστατο· μερίζει πρώτη πρὸς ἄθλους καὶ πολέμου χρείαν τὴν ἵππων γένεσιν. κριθείσης δὲ τῆς ἁμίλλης θαλλῷ τε καὶ κύματι, τῷ θαλλῷ τὴν ψῆφον τίθενται. τῷ θαλλῷ δ' ὅταν εἴπω, τῇ θεῷ λέγω· Ἀθηνᾶς γάρ (οἶμαι) τὸ γνώρισμα. ἀλλὰ γὰρ οὐχ ὅ τι τις τοιοῦτον εἴπῃ χαλεπὸν εὑρεῖν, ἀλλ' [ἓν] ὅπως μὴ τούτοις ἑπόμενος πόῤῥω τῶν πράξεων γένηται, ἃς τοῦτο μὲν ὑπὲρ τῆς πόλεως οἱ τῶν τῇδε κειμένων πρόγονοι, τοῦτο δὲ ὑπὲρ τῆς ὅλης Ἑλλάδος ἤραντο, παῖδες πατέρας μιμούμενοι, καὶ διὰ πάσης ἡλικίας τε ὁμοῦ καὶ διαδοχῆς τοῦ γένους τὴν εὐψυχίαν καταβιβάζοντες. Ἡρακλείδας δὲ ὑποδεξάμενοι τὸν μὲν ὑβρίζοντα τῆς παρανομίας ἔπαυσαν, αὐτοῖς δὲ τὴν τύχην ἀμείψαντες βασιλέας Πελοποννήσου πάσης ἀντὶ φυγάδων εἰργάσαντο. ἐκίνησε φθόνος ʺποτὲ κατὰ τῆς πόλεως Δωρικὸν ὁμοῦ καὶ Βοιώτιον καὶ 592 H.
προσέτι Χαλκιδέων τῶν ἀπ' Εὐβοίας ἐκ τρίτου πόλεμον.

a. 2. τὸ ποσειδῶνος *C*: τοῦ Ποσειδῶνος ς. 5. τόπρον pr *C*: τύπον ς. 8. φασίν Scaliger. 15. παραττόμενοι *C*. 24. ἐμὴ] Ἑλληνικὴ Wernsdorfius. b. 1. πλώϊμος ς. 12. καθ' ἑαυτοῦ *C*. 16. μὲν om *B*. ἅπαν *B*. 26. προὐβάλλετο *ABC*. 28. τε] τε ἐλαίας *C*. 30. τῇ θεῷ *A*: τὴν θεὸν ς. 31. εἴποι *B*. 32. οὖν om *C*. 34. ὅλης om *C*. 40. φυγάδος *B*.

πῶς ἐν ἅπασι τέτοις ἡ πόλις ἀντέςη; ἔπιπτον Βοιωτοί, Δωριεῖς ἠγάπων σῳζόμενοι, Χαλκιδεῖς ἅπαντες ἤγοντο, τρία δὲ εἰςήκει τρόπαια. τῶν δὲ τροπαίων τὸ τάχος ἐςὶ λαμπρότερον· τὸ γὰρ κατ᾽ Εὐβοίας ϗ Βοιωτῶν μιᾶς ἦν ἡμέρας τὸ συναμφότερον. ἀλλὰ γὰρ ἔοικα, πᾶσι τὸ μέρος ἀποδιδόναι τῆς εὐφημίας βελόμενος τοῖς ἄνω χρόνοις ὑπὲρ τῆς πατρίδος ϗ παντὸς τῦ γένυς κατὰ τὰς μάχας πρωτεύσασιν, ὅτε τούτοις τὴν ἀξίαν τηρεῖν τῷ τὸ μέγεθος τῶν πράξεων ἐν τῷ τῶν λόγων τάχει συγκρύπτεσθαι, ϗ μήπω τέτων προσάπτεσθαι, ὧν ἡ τῶν ἀκροωμένων προσδοκία ζητοῦσα πάλαι τὸν ἔπαινον ἀγάλλειν ἔοικεν ὅτι μήπω τῆς ἐπιθυμίας ἐμπίπλαται. ὀκῦν ἐπὶ ταῦτα ἤδη ἰτέον τῷ λόγῳ. τὸ δὲ ἐξ ἀνάγκης ἀπολείπεσθαι μέλλειν τῶν πράξεων, ὅτι κοινὸν ἁπάντων, ὐδενὸς ἂν εἴη δίκαιον ἔγκλημα.

Πέρσαι κλῆρον ἕνα τὴν ὑφ᾽ ἡλίῳ πᾶσαν δεῖξαι τοῖς ὅπλοις βελόμενοι, μικρῷ μέρει τῷ πρὸς ἑσπέραν πληρῶσαι τὴν ἐπιθυμίαν ἀπείργοντο. ὡς δ᾽ ἀφεὶς ἀπ᾽ Ἰωνίας ὁ ςόλος, ϗ πάλιν ἀποκρύψας πλήθει νεῶν τὸ φαινόμενον, περὶ τὰς νήσυς τὰς κατ᾽ Αἰγαῖον ἐςί-
1108B ζετο, "τὴν μὲν Ναξίων πόλιν πρὸς τὴν θάλατταν εὐθὺς μερίζεται, τῇ μὲν ἀφεὶς μετὰ τῆς ἐπωνυμίας τῦδαφος, αὐτὸς δὲ τὸ γένος εἰς τὰς τριήρεις ἐνθέμενος· τὸν δὲ Ἐρετριέων δῆμον ὅπλων μὲν ὐκ ἠξίωσαν, ἐλάττονα Περσικῦ πολέμυ τὴν τύχην αὐτῶν νομίσαντες, χειρὶ δὲ χεῖρα πάντες ἀλλήλων συνέχοντες σαγηνείας εἰκόνα τὴν Ἐρετριέων ἔδειξαν πόρθησιν. ἐπεὶ δὲ καὶ Μαραθῶνος ἥψαντο, τὰ μὲν τῶν ἐλπίδων ἠφάνιςο, ἐγνώρισαν δὲ καλῶς διὰ τῆς πείρας μαθόντες ὅσον τὸ μέσον Ἐρετριέων ϗ τῆς ἡμετέρας πόλεως. τότε τις καὶ κατὰ τριήρυς ὅλης ναυτικὸς ςρατιώτης ἐτόλμησεν· ἐπιδραμὼν γὰρ τοῖς φεύγυσιν εἰς τὴν θάλασσαν Φοινίσσης νεὼς λαμβάνεται, κρείττονα δεξιὰν ἔχειν τριήρυς ὅλης οἰόμενος. δείσαντες δὲ ὑπὲρ τῆς τριήρους οἱ βάρβαροι, μὴ δεξιᾶς Ἀττικῆς γένηται λάφυρον, πελέκει τὴν χεῖρα μερίζυσιν. ὁ δὲ πληγεὶς ἔκειτο τῆς μὲν χειρὸς ἀφαιρεθείς, τῆς δὲ τριήρυς ἐχόμενος. ὦ πρῶτοι τὴν Περσῶν τύχην ἐλέγξαντες! ὦ κρείττους τῆς ἀνθρωπίνης φύσεως νίκας νικήσαντες! ὦ μετὰ διηγημάτων πεσόντες, ἃ μήτε πρὸ ὑμῶν μήτε μεθ᾽ ὑμᾶς ὁ χρόνος ἤνεγκεν! ὦ σεμνότερον τροπαίυ τάφον κτησάμενοι! ὦ τὸ Μαραθῶνος ὄνομα τοῖς ἡλίυ δρόμοις συναποτείνοντες! Μαραθὼν μὲν ἔχει τὰ σώματα, τὰς δὲ ψυχὰς οἱ συςρατιῶται θεοί, γῆ δὲ τὸ κλέος ϗ θάλαττα. θυμυμένυ δὲ τῦ Ξέρξυ κατὰ τῆς πόλεως οὐδὲν τῶν πάντων ἡσύχαζεν, ἀλλὰ πᾶν αὐτῷ συνεκινεῖτο ϗ συνεσείετο, καθάπερ Ποσειδῶνος αὐτῦ τινάσσοντος γῆν ὁμῦ πᾶσαν ϗ θάλατταν. γῆ "δὲ ϗ θάλαττα τὴν ἀλλήλων φύσιν ἠλλάττοντο. τοῖς 369B.
μὲν πορθμοῖς ἐπετίθει τὴν ἤπειρον, τὰς δὲ Φοινίσσας διὰ τῶν ἰσθμῶν ἔπεμπεν. ὤφθη τότε πάσης ἐλπίδος κρείττονα θαύματα, ἵππος καθ᾽ Ἑλλησπόντυ Μηδική, καὶ δι᾽ Ἄθω μέσυ ςόλος τριήρων πεμπόμενος. ἀπήχετο δ᾽ ὁ Ξέρξης ὐδὲ ὐρανῦ τοῖς τολμήμασιν, ἀλλὰ μετῄει καὶ μετεπήδα τοῖς θαύμασιν ἀπὸ θαλάσσης ἐπ᾽ ἤπειρον, ἀπὸ γῆς ἐπ᾽ ὐρανὸν ἐκεῖθεν καὶ ἥλιον τῦ μὲν γὰρ τοξεύων τὸ φῶς ἀπέκρυπτεν, τῆς δὲ πλέων τὴν φύσιν ἤμειβεν, τῆς δὲ πεζεύων τὴν χρείαν ἤλεγχεν. ϗ σιωπῶ πελάγη μὲν ὑπὸ τριήρων κρυπτόμενα, ςρατόπεδα τῆς ἀριθμῦ φύσεως κρείττονα, ἔθνη δὲ δείπνων δαπάνης ἥττονα, βασιλέα δὲ πανταχοῦ μὲν ὄντα τῷ φόβῳ, ὅ δὲ γῆς εἴη, διὰ τὸ πλῆθος λανθάνοντα. τοσύτυ τοίνυν θορύβυ γῆς ἁπάσης ἠχήσαντος, ϗ κρινομένων ἐπὶ τῆς Ἑλλάδος τῶν ὅλων, οἱ μὲν ἄλλοι σύμπαντες τοσῦτον ἐν τοῖς δεινοῖς κερδαίνειν ᾤοντο ὅσον ἀπεῖναι Πέρσας τῶν πόλεων, ὐ μὴν καὶ ἡ πόλις εἶξε βασιλεῖ τὰ πάντα σείοντι, ὐδὲ φόβῳ τῆς φήμης αἰσχρόν τι καὶ πρὸ τῆς πείρας ἐβέλευσεν, ἀλλ᾽ ἀπὸ τῆς πρεσβείας πρώτης κρείττων βασιλέως ἐγίγνετο. ὁ μὲν τὰ τῆς δυλείας ἀπῄτει σύμβολα, οἱ δὲ τὰ τῆς ἐλευθερίας ἀντέπεμπον· ἦν γὰρ θάνατος ἡ τῆς πρεσβείας ἀντίδοσις. ἐφόβει δὲ αὐτὺς ὐδὲν τῶν ἁπάντων, ὐδὲ ἐποίει τῆς ἀρετῆς ἐπιλανθάνεσθαι, ὐ Λακεδαιμόνιοι πίπτοντες καὶ τοσῦτον συντελῦντες τοῖς Ἕλλησιν ὅσον ἀνδρείως ὑπὲρ θανάτυ βουλεύσασθαι, ὐ μαςιζόμενα κύματα καὶ κολαζόμενα πνεύματα ϗ τρυφῶν βάρβαρος κατὰ τῆς φύσεως. ὦ μείζονα Ξέρξυ τολμήσαντες! ὦ ψυχὰς ςοιχείων βεβαιοτέρας ἐπιδειξάμενοι! "ὦ τοῖς 1109B
Περσῶν τοξεύμασιν οὐ καλυφθέντες τὸ φρόνημα! ὦ δύο τροπαίοις δεκαετῆ ςόλον ἐλέγξαντες! ὑμεῖς τὸν ἐπὶ πᾶσαν ἰόντα γῆν ϗ θάλατταν ἀγαπητῶς κλέψαι τὴν σωτηρίαν κατηναγκάσατε. ὦ μόνοι δείξαντες ἀνθρώ-

a. 7. τοῖς] malim τοῖς ἐν τοῖς. 8. πρωτεύσασα ς. 19. ἀπ᾽ A: ἐπ᾽ ς. 22. ἀφεὶς codices Himerii: Photiani ἀφεῖσα. 37. ἀφαιρεθείσης A.

b. 7. τινάσσ. τὴν γῆν ς. θάλασσαν B. 11. ἑλλήσποντον ς. 21. εἴη mg, ἢ pr C, ᾗ ceteri. 27. καὶ πρὸ τῆς πείρας ἐβούλευσεν] πεποίηκεν B et rc A: pr enim om. ἀπὸ] καὶ πρὸ B et corr A. 28. πρώτης] αὐτῆς B et corr A. 31. οὐδὲν ς. 36. post τολμήσαντες cum ABC omisi κατὰ τῆς φύσεως. 38. καμφθέντες ς. 40. ἰόντα Scaliger: libri ἰδόντα. 41. ἀνθρώποις om C.

Digitized by Google

τοις ἅπασιν ὅτι πᾶσα χεὶρ ὑπ᾽ ἀρετῆς ἐλέγχεται.

ἀλλὰ κἂν ταῦτα σιγῇ παρέλθωμεν, κἂν τῆς εἰρήνης πρὸς βασιλέα γεγενημένης μνημονεύσωμεν, ἣ παντὸς τροπαίου σεμνοτέραν ἔτι τὴν πόλιν ἐργάζεται. καὶ μάλα εἰκότως. ἃ μὲν γὰρ καὶ τύχης ἔργον πολλάκις· τὸ δὲ ἑκόντα συγχωρῆσαι βασιλέα τῇ πόλει ἵππου μὲν δρόμον ἡμέρας θαλάττης ἀφέξειν ἄνω, εἴσω δὲ Χελιδονέων καὶ Κυανέων μὴ πέμψειν ὁλκάδα, πῶς οὐ καθαρὰν πανταχόθεν τῇ πόλει προξενεῖ τὴν εὔκλειαν;

ἀλλὰ γὰρ Ἀθηναίων τὰ μυρία τρόπαια καὶ ναυμαχίας καὶ πεζομαχίας, καὶ ὡς πρὸς ἅπασαν μὲν τυραννίδα πρὸς ἅπασαν δὲ δυναστείαν ἀντέστησαν, ἄλλοτε κατ᾽ ἄλλους χρόνους ὑπὲρ τοῦ γένους μυρίους ἀγῶνας ἀναδεξάμενοι, οὔτε ἐμοὶ διεξελθεῖν ῥᾴδιον οὔτε εἴ τις πρό-
594 R. τερον ἐπικεχείρηκε. διόπερ οἶμαι δεῖν, ὡς οἱ τοὺς ἐν τοῖς σταδίοις νικηφόρους ἀνακηρύττοντες, ἓν καὶ ταυτὸν συνθεῖναι γνώρισμα, εἶθ᾽ οὕτω ταύτῃ καὶ πρὸς τὸν νόμον ἀφοσιώσασθαι. ὦ πᾶσαν γῆν καὶ θάλασσαν, ὅση μὲν βατή, νίκης καὶ τροπαίων, ὅση δ᾽ ἄβατος, δόξης καὶ κλέους πληρώσαντες! ὦ μόνοι ταῖς μεγάλαις πράξεσι χρόνον καὶ φθόνον νικήσαντες! ὦ τὴν οἰκουμένην ἅπασαν οὐ στήλαις ἀλλὰ τροπαίοις μετρήσαντες! εἴρηται κἀμοὶ τῆς μὲν ὑποθέσεως ἴσως ἔλαττον, τῶν δὲ πολλῶν οὐκ ἐλάττονα. λείπεται δὲ εὐφήμῳ βοῇ προσηχήσαντας πανδημεὶ πάντας τῷ μνήματι, οὕτω τῆς τιμῆς ἀπαλλάττεσθαι.

### Ἐκ τοῦ Ἀρεοπαγιτικοῦ ἢ ἐλευθερωτικοῦ τοῦ υἱοῦ αὐτοῦ τοῦ Ῥουφίνου,

#### τὸ προοίμιον.

Ἄνδρες οἱ καὶ θεοῖς ὑπὲρ νίκης πάλαι καὶ νῦν Ἀθηναίοις ὑπὲρ ἐλευθερίας δικάζοντες. οὐκοῦν τῷ νόμῳ πειθόμενος τὰ τῆς χρείας μόνης φθέγξομαι ῥήματα. ἐγὼ καὶ σοφιστὴς ἐγενόμην παρ᾽ ὑμῖν καὶ πατήρ. εἰ σοφιστὴς δεξιός, ὑμεῖς ἐπίστασθε· λέγω γὰρ ἀεί, καὶ τὴν ἐμὴν πολιτείαν ἔχει τὰ θέατρα· εἰ πατὴρ Ἀττικός, ἡ παροῦσα δείκνυσι πρόφασις· οὐ γὰρ ἀνέχομαι τὸν Ἀθηναίων παῖδα μὴ προσαγορεύειν ἐλεύθερον. πιστεύω καὶ πρὸ ἥβης τὴν ἐλευθερίαν τῷ παιδί. ἐμός ἐστιν, Ἀθηναῖός ἐστι, πόλεως καὶ πλέον τιμώσης τὸ κοινὸν γῆρας ἢ τὸ τῶν πατέρων ἕτεροι. οὗτός ἐστιν ἐκ Πλουτάρχου, δι᾽ οὗ πάντας ὑμεῖς παιδεύετε· οὗτος ἐκ Μινουκιανοῦ τοῦ διὰ τῆς ἑαυτοῦ φωνῆς πολλοὺς πολλάκις ἐλευθερώσαντος. τὸν ἐκ Νικαγόρου προσήγαγον ὑμῖν, τὸν ἐξ ἐμαυτοῦ. σοφιστῶν ὑμῖν καὶ φιλοσόφων λέγω κατάλογον, Ἀττικὴν ὄντως εὐγένειαν. ἀφῆκα πολλάκις τὰς τοῦ σοφιστοῦ φωνάς, νῦν τὰς τοῦ πατρὸς ἀφίημι. ἐδώκατέ μοι παῖδα δι᾽ Ἀττικοῦ γένους· λάβετε τοῦτον καὶ διὰ τῆς ψήφου τῆς ὑμετέρας ἐλεύθερον. οὐκοῦν ἄφετέ μοι τῇ ψήφῳ τὸν παῖδα, καὶ φωνὴν ἐλευθέριον συνεπηχήσατε, ἵνα ὡς Ἀθηναῖος (ἴσον γὰρ εἰπεῖν ἐλεύθερος) καὶ λέγῃ καὶ γράφῃ παρ᾽ ὑμῖν, κἂν οἱ θεοὶ βούλωνται, καὶ πολιτεύηται.

### Ἐκ τῆς μονῳδίας τῆς εἰς τὸν αὐτὸν υἱὸν Ῥουφῖνον. 1112 R.

#### τὸ προοίμιον.

Ἀδικῶ μὲν ὅλως φθεγγόμενος Ῥουφίνου κειμένου, πλὴν εἰ τῷ δαίμονι τετήρημαι πρὸς μόνην τὴν μονῳδίαν τοῦ δράματος. φθέγξομαί γε ὅμως· οὐ γάρ μοι θέμις μὴ καὶ λόγῳ θρηνῆσαι τὸν αὐτῶν τῶν λόγων ἔκγονον. ἠγνόουν δὲ ἄρα ὁ δείλαιος ἀντὶ μὲν λουτρῶν ἀνιστάς σοι τάφους, ἀντὶ δὲ οἰκιῶν τύμβους καὶ χώματα, ἀντὶ δὲ πλούτου καὶ χλιδῆς τραγικώτατα δῶρα τῶν ἐν ἀνθρώποις, ἐντάφια. ἐδημαγώγεις ἄρτι τὰ πρῶτα φθεγγόμενος, ἀνήρτησο πᾶσαν τὴν ὑφ᾽ 595 R.
ἥλιον τοῖς ἀσήμοις ἔτι κνυζήμασιν. ἔπειθε Περικλῆς, ἀλλὰ μετὰ Ἀναξαγόραν δημήγορος· σὺ δὲ ἦσθα δημήγορος ἐκ μέσων σπαργάνων. εἷλεν Ἀλκιβιάδης ὅλον τὸ θέατρον, ἀλλ᾽ ἀκμάζων ἤδη τὴν ὥραν καὶ τὴν ἡλικίαν μειρακιούμενος· σὺ δὲ ἔτι τῷ μαστῷ καὶ τῷ γάλακτι προσκείμενος. ὦ πάθος τῆς Αἰσχύλου μεγαλοφωνίας ἄξιον! Ἡρακλεῖ μὲν ἐδέησε πολλῆς περιόδου καὶ τῶν ἄθλων οἶμαι τῶν δώδεκα, ἵνα μάρτυρας τῆς ἀρετῆς τὴν ὑφ᾽ ἥλιον πᾶσαν κτήσαιτο· σὺ δὲ εἴσω τοῦ κύκλου μένων ὑπερέβης τὰς στήλας ἡμῖν τὰς Ἡρακλείους τοῖς θαύμασι. τίς ἀπέκειρε δαίμων τῆς ἐμῆς ἑστίας τὸν χρυσοῦν βόστρυχον; τίς τὸν πυρσὸν τῆς ἐμῆς δόξης ἔσβεσε; τίς Ἐρινύων τὸ παρειῶν ἔρευθος καὶ τὸ προσηνὲς καὶ ἡδὺ μειδίαμα τῶν σῶν προσώπων ἐσύλησεν; οἴμοι, Διόνυσε, πῶς ἤνεγκας ἐκ τοῦ σοῦ τεμένους παῖδα τὸν ἱερὸν ἁρπαζόμενον; κοινὸν ἔστηκε κατὰ σοῦ καὶ τῆς ἐμῆς ἑστίας Ἐρινύσι τοῦτο τὸ τρόπαιον. τί δὲ οὐχ ἡτοίμαζον αὐτῷ τὸν κάτω θάλαμον, ἐπειδὴ τὰς ἄνω παστάδας Ἐρινύων φθόνος

a. 5. libri *αἱ*. 13. *κατ᾽ ἄλλους χρόνους*] fortasse legendum *κατ᾽ ἄλλων*. 19. *νίκης* om *C* et pr *A*. 25. *πάντας* expungit *A*, om *C*. 28. *τοῦ Ῥουφίνου*] *ῥοφίνου B*.
b. 6. *τῆς ψήφου* add *A*. 12. *αὐτὸν υἱὸν*] *υἱὸν αὐτοῦ B*. 16. *εἰ*] *ἐν AC*. 28. *μαστῷ ς*. 36. *ἐριννύων ς*. 41. *τὸ* om *A*.

ἐξήρπασεν; οἵαις μονῳδίαις τετήρημαι; πάσας ὑποθέσεις τολμήσας λόγων μόνους τοὺς θρήνους ἐξέκλινον. ἐλάνθανον δὲ ἄρα τοῖς ἐμαυτοῦ θρήνοις τηρούμενος.

πόῤῥωθεν ἄρα ἐμμελετήσας τὴν ἐνθένδε ἀναχώρησιν, πόῤῥωθεν ἐδίδως τοῖς δυναμένοις τεκμήρασθαι ὅτι κρείττων ἄρα ἦσθα τῆς τῇδε λήξεως. ὦ πρότερον τοὺς τῆς ἡλικίας ὅρους τῇ τῶν ἀρετῶν κτήσει, νυνὶ δὲ τῷ θανάτῳ παραμειψάμενος! ὦ φιλαδελφίᾳ νικήσας τὰ Διοσκούρων ἐγκώμια! οἱ μὲν γὰρ ὑπὲρ Ἑλένης ἐστράτευον, τὴν δὲ ἁρπαγὴν οὐκ ἐκώλυσαν· σὺ δὲ φύλαξ τῆς αὐταδέλφου ἦσθα παντὸς τείχους ὀχυρώτερος. σὺ δὲ πρὸς πάσας νόσους ἔστης ἀεὶ μόνῳ τῷ τῆς ψυχῆς παραστήματι. ἐφιλονείκησέ σοι διὰ τοῦτο ἴσως ὁ πονηρὸς δαίμων καὶ ἄγριος, καὶ πολλὰς ἡττηθεὶς μάχας ὀψέ ποτε λαθραίῳ καὶ δολερῷ κατέσεισε μηχανήματι. εἶξας δὲ οὐδὲ ἄχρι τῶν ἐσχάτων, ὡς ἔστιν ἀκούειν, τῷ δαίμονι, ἀλλὰ παραχωρῶν τοῦ σώματος τοῦ φρονήματος οὐ παρεχώρησας. ἀλλ' ὁ μὲν ἦγχε καὶ ἐβιάζετο, σὺ δὲ ἐκ μέσου τοῦ βρόχου διετέλεις τὴν φίλην σοι τιθὴν ἀναφθεγγόμενος, ἕως πάσης σε συμμαχίας ποιήσας ἔρημον, οὕτω προσῆγε τὸν βρόχον. ᾔδει γὰρ ὡς πολλάκις ἡττηθεὶς ἀπῆλθε τοῦ πατρὸς παρόντος καὶ συνασπίζοντος. ἐνίκησας καὶ τοῦ δικαστηρίου τὸ στεγανόν τε καὶ ἄτρεπτον· ὤφθη τότε μειδιᾶσαν πρῶτον τὸ σύννουν ἀεὶ συνέδριον· εἰς πόθον ψυχὰς ἐκίνησας,
1113R. ἃς οὐκ ἐκίνησαν οὐδὲ θεοὶ δικαζόμενοι. ἀπέκλεισάς μοι τῷ θανάτῳ τὰς τοῦ ἄστεως πύλας, ἀπέκλεισάς μοι τὴν Ἐλευσῖνα. πῶς Ἀθηνᾷ θύσω, ἢ τὴν Γοργόνα κατὰ τοῦ δαίμονος ὑπὲρ σοῦ, παιδίον, οὐκ ἔσεισε; πῶς τῷ πατρῴῳ προσεύξομαι, πατὴρ ἐπὶ παιδίῳ λυπού-
596H. μενος; ὦ τολμηροὶ λόγοι! κεῖται Ῥουφῖνος, ὑμεῖς δὲ ἔτι νεανιεύεσθε. ὦ δυστυχὴς γλῶττα, ὦ πρότερον μὲν ὄργανον Μουσῶν, νυνὶ δὲ ἀμούσου δαίμονος! ὦ λάμψας ἑωσφόρου ταχύτερον! ὦ πασῶν μὲν δείξας ἐμοὶ φαιδροτέραν ἡμέραν, ὅτε σε εἶδε πρῶτον ὁ ἥλιος, πασῶν δὲ ἀφεγγεστάτην αὖ πάλιν, ἀφ' ἧς τὴν δυστυχῆ καὶ τραγικὴν φήμην κεκόμισμαι! οἵαν τύχην ἀνθ' οἵων ἐλπίδων ὁ δαίμων μου κατεψήφισαι! θρηνῶ νῦν ὃν δεινότερον ἤλπισα Μινουκιανοῦ φθέγξασθαι, σεμνότερον δὲ Νικαγόρου, Πλουτάρχου δὲ εὐγλωττότερον, Μουσωνίου δὲ φιλοσοφώτερον, Σέξτου δὲ καρτερικώτερον, πάντων δ' ὁμοῦ τῶν προγόνων λαμπρότερόν τε καὶ κρείττονα. αὐτὸς μὲν γὰρ παρεχώρουν ἔτι κουρίζοντί σοι τὰ νικητήρια, καὶ τοὺς σοὺς λόγους τῶν ἐμαυτοῦ λόγων ἡγούμην κρείττονας. προὔκρινον τῶν σπουδασμάτων τὰ σὰ ψελλίσματα. ἀλλὰ ταῦτα πάντα ὁμοῦ συλήσας ὁ δαίμων οἴχεται, ἐμοὶ δὲ ἀφῆκεν ἀντὶ σοῦ θρήνους καὶ δάκρυα. κοσμήσω σε καὶ ἐπιταφίοις ἀγῶσι, καὶ παραδώσω τῷ χρόνῳ τὸ σὸν ὄνομα, καὶ γενήσομαι τοῦ δαίμονος κατὰ τοῦτο γοῦν τὸ μέρος φιλονεικότερος, ἵνα ἔχῃ μὲν ἐκεῖνος τὸ σῶμα, τὴν δὲ ψυχὴν ὁ οὐρανός, τὴν δὲ δόξαν ἅπαντες ἄνθρωποι.

### Ἐκ τοῦ εἰς Σεβῆρον ἐπιθαλαμίου.

#### ἐκ τῆς προθεωρίας.

ἴσως μὲν ἂν τῷ περίεργον εἶναι δόξειε τὸ πρὸ τῶν ἐπιθαλαμίων τεχνολογεῖν· ὅπου γὰρ Ὑμέναιος καὶ χοροὶ καὶ ποιητικῆς αὐτονομίας ἄδεια, τίς ἐνταῦθα τέχνης καιρός; ἐπεὶ δὲ χρὴ τὸν ἐπιστήμονα καὶ ἐν τοῖς τοιούτοις μηδὲν ἄνευ τέχνης ποιεῖν, βραχέα καὶ περὶ τούτων εἰπεῖν ἄξιον. ἔστω τοίνυν ὁ ἄριστος ἐπιθαλαμίων κανὼν τὸ τὴν μὲν λέξιν πρὸς τοὺς ποιητὰς ὁρᾶν, τὰ πράγματα δὲ πρὸς τὴν χρείαν, τὸ δὲ μέτρον πρὸς τὴν ὑπόθεσιν. ὧν εἰ πάντων ὁ λόγος ἐστόχασται, σαφέστερον δείξει τὸ σύγγραμμα.

#### τὸ προοίμιον τοῦ ἐπιθαλαμίου.

Ἀπόλλωνά φασι μετὰ τὰς μεγάλας νίκας, ἃς πλήττων τὴν λύραν ἤρατο, καὶ κατὰ παστάδων ἠχῆσαι μέλος γαμήλιον. ἄγει καὶ Ἀφροδίτην ἐφ' ἅρμα Χαρίτων, καὶ χορὸν Ἐρώτων συμπαίστορα. καὶ τῆς μὲν ὑακίνθῳ τὰς κόμας σφίγξασα, πλὴν ὅσαι μετώπῳ μερίζονται, τὰς λοιπὰς ταῖς αὔραις ἀφῆκεν ὑποκυμαίνειν, εἰ πλήττοιεν· τῶν δὲ τὰ πτερὰ καὶ τοὺς βοστρύχους χρυσῷ κοσμήσασα πρὸ τοῦ δίφρου σπεύδει πολιτεύοντας καὶ δᾷδα κινοῦντας μετάρσιον. ἐπεὶ δὲ Πέλοπα οἱ τῆς Ἱπποδαμείας πόθοι Ἔρωτι καὶ Ἀφροδίτῃ λατρεύειν ἔπει- 597H
σαν, τότε καὶ ὁ Ἀπόλλων τὸν τῶν Νηρηΐδων χορὸν ἀθροίσας ἵστησι μὲν αὐτῷ κατ' ἄκρας ἠϊόνος τὸν θάλαμον· κῦμα δὲ ἦν (οἶμαι) ὁ θάλαμος πορφῦρόν τι καὶ μετάρσιον, ὑπὲρ τοῦ λέχους κυρτούμενον, ἵνα παστάδα μιμήσηται. ἦν θεὸς καὶ φύσις· καὶ ὁ μὲν ἐδέετο γονῆς, ἡ δὲ τοῦ κυΐσκειν μέλλοντος. Ἵνα δὴ ταῦτα ἄρ- 111
ξηται, θάλαμος τῷ παντὶ τὸ πᾶν ἐγίνετο. ἐκ δὲ δὴ τῶν γάμων τούτων οὐρανὸς γεννᾶται καὶ ἥλιος, ἔτι δὲ ἄστρων χορός, σελήνης φέγγος, καὶ διπλοῖ πόλοι, περὶ

a. 4. ἐμελέτησας C: ἐμμελετήσας ς. 5. ἐδίδους B. 6. τῇδε mg: τοῦδε ς. 7. νῦν A. 18. ἦγχε B: εἶχε ς. 19. τήθην pr A, τήθὴν C, τηθύν B. 27. ἄστεος ς. 32. ὦ om A.
b. 1. κρεῖττον ς. 28 μετώπων B. 31. σπένδει A. καὶ om A. δᾷδα κινοῦντας] διακινοῦντας C. 36. πορφυροῦν ς.

Digitized by Google

οὓς ἡ πρώτη γένεσις τῶν πρώτων τοῦ θεοῦ γάμων ἐλίττεται. δευτέρους δὴ μετὰ τούτους γάμους Ὠκεανοῦ ϗ Τηθύος ἡ φύσις ἔδειξεν, ἀφ' ὧν ἀνίσχουσι μὲν ποταμοὶ καὶ λίμναι, ἔτι δὲ κρῆναι καὶ πηγαὶ καὶ φρέατα καὶ ἡ πάντων μήτηρ ναμάτων θάλασσα, τίκτεται δὲ καὶ φυτὰ καὶ ζῶα, καὶ γῆ οἰκεῖται, καὶ τὸ νηχόμενον λαμβάνει θάλασσα, καὶ ἀὴρ ἐφάνη πτερῷ πορεύσιμος. τὸν δὲ θεωρὸν μὲν τῶν θείων, ἐργάτην δὲ τῶν ἐπὶ γῆς πραγμάτων ἄνθρωπον ὕστατον ὁ γάμος ἐγέννησε. τὸ γὰρ γῆς παῖδα γενέσθαι ἄνθρωπον, καὶ τὴν Ἀττικὴν ῥαγεῖσαν ὠδῖνα τοσοῦτον βλαστῆσαι βλάστημα, μῦθός ἐστιν Ἀττικῆς χάριτος παίγνιον. οὗτος καὶ τὴν Ἀφροδίτην αὐτὴν κατὰ θάλασσαν λανθάνουσαν, ῥήξας τῷ τόκῳ τὰ κύματα, ἔδειξεν ἡλίῳ μαρμαίρουσαν. τοὺς δὲ ποταμῶν ἔρωτας εἰ λέγειν ἐθέλοιμι, μυρίος ἂν ποταμῶν ἐπιῤῥέοι ὄχλος τῷ λόγῳ. πάντες γάρ μοι δοκοῦσι θαλάττης ἐρᾷν, καὶ διὰ τοῦτο ἐπ' αὐτὴν ἐκ πηγῶν πολλῷ τῷ τάχει κομίζεσθαι, ὥσπερ ἄλλος πρὸ ἄλλου τὴν ἐρωμένην θέλων ἀσπάσασθαι. ὁ δὲ κυμαίνει καὶ τέρπεται πορφύρων τε καὶ εἰς παστάδα κυρτούμενος, ὥσπερ (οἶμαι) φρονῶν κατὰ ποταμῶν τῶν ἄλλων, ὅτι δὴ μόνος τοὺς Ποσειδῶνος πόθους πεπίστευται. οὕτω καὶ οὗτοι, φύντες ἴσως ϗ ἐκτραφέντες ὁμοίως, ἀπ' ἴσων ἁπάντων τῆς κοινωνίας ἠράσθησαν. λέγεταί ποτε ϗ Ὀλυμπιάδα τὴν ἐπὶ τοῖς Ἀλεξάνδρου τόκοις εὐδαίμονα, ὀργιάζουσαν τὰ Καβείρων ἐν Σαμοθράκῃ μυστήρια, ἰδεῖν κατὰ τὴν τελετὴν τὸν Φίλιππον (ἦν δὲ ὑπηνήτης ἔτι), ἰδοῦσάν τε ἐρασθῆναι τοῦ νεανίσκου καὶ ὁμολογῆσαι τὸν γάμον, προτέλειά τε ποιησαμένην τοῦ γαμηλίου πυρὸς τὰ μυστήρια. γένος δὲ τῇ νύμφῃ Θρακῶν τὰ πρῶτα, αὐτόχθονες οἶμαί τινες καὶ εἰς βασιλείους τύχας τὰς ἄνω ῥίζας ἀναβιβάζοντες... ἀκμάζουσι μὲν γὰρ ἐπ' ἴσης ὥσπερ ἐαριναὶ κάλυκες ἀφ' ἑνὸς λειμῶνος ἢ βότρυες, αἳ καθ' ἕνα καιρὸν καὶ βλαστάνουσιν ἅμα ϗ σχίζονται. σώφρονες ἄμφω, δεξιοὶ τὸν τρόπον, μόνοις τοῖς ἔργοις τοῖς κατὰ φύσιν σχιζόμενοι. ἡ μὲν γὰρ ταλασίαν τὴν Ἀθηνᾶς τέχνην, ὁ δὲ τοῖς πόνοις τὴν Ἑρμοῦ χάριν κεκάρπωται· ϗ τῇ μὲν κερκίς, τῷ δὲ λόγος μέλει. ὁ μὲν ὑπηνήτης ἔτι, πρωϊαίτερον τῆς ἡλικίας βλαστήσας ἴουλον·

598H. ἡ δὲ ἀκμάζει πρὸς γάμον. Ἔρωτες δὲ ῥόδων στεφάνους πλεξάμενοι, οὓς ἐξ Ἀφροδίτης κήπων, ὅταν θέλωσι, δρέπονται, τὴν παστάδα πᾶσαν ἀνάπτουσι. Πειθὼ δὲ καὶ Πόθοι καὶ Ἵμερος τὸ σὸν κάλλος ἅπαν ἐνείμαντο, ὁ μὲν ἐφιζάνων τοῖς ὄμμασι, κἀκεῖθεν ἐκπυρσεύων ἀμήχανον· οἱ δὲ τὰς παρειὰς αἰδοῖ φοινίσσοντες πλέον ἢ τὰς τῶν ῥόδων ἡ φύσις κάλυκας, ὅταν ἠριναῖς ὥραις ὑπὸ τῆς ἀκμῆς σχιζόμεναι πετάλοις ἄκροις ἐρεύθονται· Πειθὼ δὲ κατὰ τῶν χειλέων σκηνώσασα τὴν ἑαυτῆς χάριν συναποστάζει τοῖς ῥήμασιν. ἐπανθεῖ δὲ τῇ κεφαλῇ πολὺς ὁ βόστρυχος, πορφύρων τε καὶ κατὰ μέτωπον σχιζόμενος. ἀλλ' εἰ γὰρ ἐγὼ ποιητικὸς τὴν φύσιν, ὥστε ἀφεῖναι κατὰ τῆς νύμφης γλῶτταν αὐτόνομον. ἐγὼ δὲ στὰς παρ' αὐτὸν τὸν θάλαμον Τύχῃ ϗ Ἔρωσι γενεθλίοις προσεύξομαι, τοῖς μὲν τοξεύειν εἰς τέλος, τῇ δὲ διδόναι βίον, τοῖς δὲ παίδων γνησίων γένεσιν, ἵνα τῷ γαμηλίῳ κρατῆρι ϗ τὴν γενέθλιον σπονδὴν συνάψωμεν.

### Ἐκ τοῦ ἐπιγραφομένου διαλόγου „Διογένης ἢ προπεμπτικός." 1117B.

#### Ἐκ τῆς προθεωρίας.

τὰς κοινότητας τῶν ὑποθέσεων ἰδίας αἱ μεταχειρίσεις ἐργάζονται· διὸ καὶ τοὺς προπεμπτικοὺς λόγους, κἂν νέοι τῷ νόμῳ τυγχάνωσιν, ἀλλ' ἔνεστι τῇ τέχνῃ καὶ πρεσβυτέρους ἐργάσασθαι. ὅπερ ἡμεῖς πεποιήκαμεν· τὴν γὰρ παροῦσαν ὑπόθεσιν εἰς σχῆμα διαλόγου μετασκευάσαντες οὔτε τὴν χρείαν διεφθείραμεν οὔθ' ὅσον σεμνὸν τοῖς διαλόγοις ὀφείλεται. κατὰ Πλάτωνα δὲ ϗ ἡμεῖς, ἠθικοῦ τοῦ λόγου τυγχάνοντος, ὅμως φυσικῆς τε ϗ θεολογικῆς θεωρίας, ἐγκαταμιγνύντες ταύτας τοῖς ἠθικοῖς, ἐφαπτόμεθα. καὶ μύθῳ δὲ τοὺς θειοτέρους τῶν λόγων τοῦ Πλάτωνος ἐναποκρύπτοντος, χρὴ σκοπεῖν εἰ τὸν τοιοῦτον ζῆλον μετεδιώξαμεν. τὰς δὲ ἄλλας ἀρετὰς τῶν διαλόγων, ἀναπαύλας λέγω ϗ διαθέσεις καὶ ἐπεισόδια, ἔτι δὲ χάριτας καὶ τὸ δι' ὅλου δραματικόν, ἄμεινον, εἰ κατωρθώθη, δείξει τὸ σύγγραμμα. τῶν δὲ διαλόγων ἀρχομένων ἀπὸ τῆς ἰσχνοτέρας ἰδέας, ἵνα τὴν ἀφέλειαν ὁ τύπος προσβάλλῃ τῆς λέξεως, ἐν δὲ τοῖς ἐφεξῆς συνεξαιρομένων ὁμοῦ τοῖς πράγμασιν, εἰ καὶ τοῦτο ἡμεῖς τετηρήκαμεν, πάρεστι κρίνειν οἷς τέχνη πρὸς ἀκρόασιν τὴν ἀκοὴν παρεσκεύασεν.

a. 3. ἔδειξεν om pr C. 7. θάλαττα ς. πτερῷ πορεύσιμος C: πτεροπορεύσιμος ς. 15. ἐθέλοιμι μυρίους μυρίος ς. 16. ἐπιῤῥεύσοι A. 18. πρὸ ἄλλου] libri πρὸς ἄλλον. 22. τοὺς — πόθους codices Him.: Phot. τοῦ — πόθου. 28. δὲ add A. 32. τινες om A. 34. ἢ add codices Him.

b. 3. σὸν A: σοὶ ς. 4. τοῖς A: σοῖς ς. 7. ἄκραις ς. 8. δὲ A: γε ς. 11. εἰ] malim οὐ. 12. γλῶσσαν B. 13. δὲ om A. 17. σπονδὴν Him.: Phot. σπουδήν. 20. θεωρίας C. 27. δὲ A: γε ς. 33. διαθέσεις A: θέσεις ς. 37. προσβάλῃ BC. 38. συνεξαιρομένων Wernsdorfius: συνεξαιρουμένων ς.

αὐτοῦ τοῦ διαλόγου τὸ προοίμιον.

Σιωπῆς μὲν καιρός, οὐ λόγων, ὅταν οἱ λόγοι στυγνάζωσι, τοὺς ἑαυτῶν τροφίμους ἀπὸ τῆς ἑαυτῶν ἀγέλης ἐκπέμποντες. ὅμως δέ (χρὴ γὰρ λέγειν ἐν πάσῃ τύχῃ τοὺς λόγους) φέρε καὶ αὐτός, ὃν ἡ φροντὶς ἡ προσ-
599 H. πεσοῦσα "λόγον ἐγέννησεν, εἰ φίλον ὑμῖν, καὶ πρὸς ὑμᾶς ἀφηγήσομαι. ἑκάτερος τοσούτοις διαστήμασι τῆς ἀρετῆς ἀφεστηκότες ἀλλήλων, ὅσον Εὐρώπης τὰ μέσα πρὸς τοὺς ἄνω μυχοὺς Ἀσίας σχίζεται, εἰς τὸν τούτου πόθον συνέδραμον, ἑκάτερος προαρπάσαι τὰς πρώτας ὠδῖνας τῆς τούτου γλώττης βουλόμενος. οὐ μιμησάμενος τὸν μυστικὸν νόμον, ὃς ἐπόπτῃ τε καὶ μύστῃ μερίζει τὸν χρόνον, ἀλλὰ τὸν αὐτὸν ἐν ταὐτῷ μύστην τε ὁμοῦ καὶ προφήτην τῆς ἱερᾶς τελεστῆς τῶν ἐν σοὶ λόγων δεξάμενος, ἔδαικας ἀπλήστως τῶν ἐκεῖθεν ναμάτων ἐμπλήσασθαι. ἢ οὐκ ἀκήκοας ὡς ὄντες ἄνθρωποι τὸ παλαιὸν οὗτοι οἱ τέττιγες, εἶτα ἔρωτι Μουσῶν ἐκ τοῦ ᾄδειν ἀεὶ λυθέντες εἰς μέλος, ἐκ μὲν ἀνθρώπων εἰς ὄρνιθας, ἐκ δὲ ᾠδῆς εἰς ᾠδὴν ἄλλην μετέβαλον; ἄκουε δὴ τὸν μῦθον. ὅτε τοὺς ἀνθρώπους ὁ Ζεὺς ἐγέννησε, τὰ μὲν ἄλλα πάντα εἶχον ὡς νῦν κεκόσμηνται, Ἔρως δὲ οὔπω ταῖς ψυχαῖς τῶν ἀνθρώπων ἐγκατῳκίζετο, ἀλλ' ἔχων ἔτι τὸ πτερὸν ὁ θεὸς οὗτος μετάρσιον οὐρανῷ τε ἐνωμίλει καὶ εἰς θεοὺς μόνους ἐτόξευε. δείσας δὲ μὴ αὐτῷ ἀφανισθῇ τῶν ποιημάτων τὸ κάλλιστον, Ἔρωτα πέμπει τοῦ τῶν ἀνθρώπων γένους ἐσόμενον φύλακα. ὁ δὲ ταύτην ἐκ Διὸς τὴν ἐπιτροπὴν λαβών, τὸ μὲν ἁπάσαις ψυχαῖς ἐγκατοικίζεσθαι ἢ πᾶν ἐπ' ἴσης ἦθος νεοτελές τε καὶ βέβηλον ἔχειν τέμενος οὐκ ἐδοκίμαζεν, ἀλλὰ τὰς μὲν πολλὰς καὶ ἀγελαίους ψυχὰς τοῖς πανδήμοις Ἔρωσι τοῖς τῶν Νυμφῶν παισὶ ποιμαίνειν ἀπένειμεν, αὐτὸς δὲ τὰς θείας καὶ οὐρανίας ψυχὰς ἐνῳκίσατο, καὶ ταύτας ἀναβακχεύων ἐπὶ μανίαν ἐρωτικὴν μυρία ἀγαθὰ τὸ
1120 R. τῶν ἀνθρώπων γένος εἰργάσατο. "ὅταν μὲν οὖν ἴδῃς τινὰ βραδύν τε τὴν φύσιν καὶ πρὸς φιλίαν δυσκίνητον, νόησον ὅτι τῶν Ἔρωτος ἐκείνου ξενίων οὐδαμῶς οὗτος ἠξίωται· ὅταν δὲ ὀξὺν καὶ θερμὸν τὴν γνώμην καὶ φλογὸς δίκην ἐπ' ἐρωτικὴν φιλίαν ἄττοντα, νόησον τοῦτον εἶναι ἐκείνου ξένον τοῦ Ἔρωτος. οὐ γάρ μοι λέγεις, ὦ φίλε Σώκρατες, ἐραστῶν ἄριστε, ἀρετῆς Κλεινίου μόριον, ἀνδρείαν ἐν φόβοις, ἣν καὶ μελέτη πολλάκις δίδωσιν, ἐξηγητὴν λόγον οὐκ ἀναμείνασα. δίδωσι δ' αὐτῷ τὴν παρρησίαν, ὅπερ καὶ Περικλεῖ πρότερον, ὅτ' ἐστρατήγει τῆς πόλεως. τοῦτο δέ ἐστι τρόπος ἄδολος. εἰ δὲ τοῦτον ἴδοις δικαστικῶν θρόνων εἰργόμενον, στέναξον τὸν νόμον, ὅτι χρυσίου νενίκηται. συνακμάσας γὰρ τῇ βασιλέως πόλει, περὶ ἣν τὰ μεγάλα πελάγη σχίζεται, καὶ τὴν αὐτὴν ἐκείνῃ κρηπῖδα τῆς ἑαυτοῦ δόξης βαλόμενος, ἕως μὲν ἐν σπαργάνοις ἔτι τὸ σῶμα τῆς πόλεως ἐπλάττετο, ἑτέρας ἀρχὰς ἐκ βασιλέως κατηύθυνεν, ἐπεὶ δὲ ἔδει τῆς ἀκριβοῦς χειρὸς καθάπερ ἐν τύποις ἀγάλματος, ἐπ' αὐτὴν ἐπάνεισιν, ἵνα αὐτός τε ἀρχὴ καὶ τέλος γένοιτο τῷ παντὶ κόσμῳ τῆς πόλεως. πόλεις ἐγειρομένας, δήμους ἀκμάζοντας, Ταρτησσοῦ βίον, Ἀμαλθείας κέρας, πᾶν ὅσον εὐδαιμονίας κεφάλαιον. ἀλλὰ "τίς τῆς περὶ 600 H.
τὸν νεανίσκον σπουδῆς αἰτία; ψυχὴ πᾶσα, ἄρτι χωρισθεῖσα τῆς ἄνω λήξεως, ἔναυλον ἔτι φέρει τὴν θέαν τῶν ἀγαλμάτων ἐκείνων, ἃ τότε εἶδεν, ὅτε εὐδαίμονα χορείαν σὺν θεῶν δίφροις ἐχόρευεν. ὅταν οὖν ἴδῃ καὶ τῇδε κάλλος, ὃ τότε πλάσματος ἄνευ ἑώρησεν, εἴσω ψυχῆς θείας κρυπτόμενον, σπαργᾷ τε καὶ χαίρει τῇ θέᾳ, καὶ συμβιβάζειν ἑαυτὴν πρὸς τὸν ἐκεῖ τόπον ἐπείγεται, δόξῃ τε καὶ ἐπιστήμῃ κουφίσασα. τοιοῦτόν τι πάθος καὶ αὐτὸς περὶ τὸν νέον ἔπαθον. καθάπερ γὰρ ἐν κατόπτρῳ τῇ τοῦδε ψυχῇ εἴδωλόν τι τῆς ἐμαυτοῦ γνώμης ἰδὼν φαινόμενον ἥσθην τε αὐτῷ, καὶ διὰ τοῦτο ἐπόθησα, καὶ καθάπερ ἄλλον ἐμαυτὸν τὴν τοῦδε ψυχὴν [ἐξεζήτησα ἢ] ἐξήσκησα. δεινὸς μὲν οὖν καὶ μνήμῃ φυλάξαι πᾶν, ὅπερ ἂν ὑφ' ἡγεμόνι πονήσειε. φιλόσοφος μὲν τὴν γνώμην, τοὺς δὲ λόγους οὐ τούτους μόνον, ἀλλὰ καὶ πᾶν ὅ τι βούλει τῶν ὅσα Μουσῶν τε καὶ Ἀπόλλωνος λειμῶνες βρύουσιν· ἀφ' ὧν δρεψάμενος ἁπάσης παιδείας λωτόν, οἷόν τινα στέφανον ἠρινὸν τὴν ἑαυτοῦ ψυχὴν ἀπείργασται. εἰ μὲν γὰρ λέγειν δεήσειεν, οὐκέτ' ἂν ζητήσαις ὅτου παῖς εἴη καὶ ὅτῳ προσῆκεν· οὕτω πάσης γραφῆς ἀκριβέστερον τὴν εἰκόνα τοῦ καθηγεμόνος μεμίμηται. ἀγαθὸς μὲν συμπαραστάτης, εἴ που δέοι τῷ καθηγεμόνι συναγωνίζεσθαι, ἀγαθὸς δὲ καὶ αὐτοπροσώπως. δικαίως ἄρα οἱ ποιηταί, καὶ μετ' αὐτῶν γραφεῖς τε καὶ πλάσται, Ἔρωτος γῆρας ἀποσυλήσαντες νέον ποιοῦσι τὸν θεὸν τοῦτον καὶ ἔφηβον, τὰ τῆς ἀπιστίας αὐτοῦ τῷ νεαρῷ τῆς ἡλικίας

a. 17. ἔρωσι ς. 20. μετέβαλον B: μετέβαλλον ς. 39. ἄγοντα A. 40. ξένον Reiskius: ξένιον ς. 41. Κλεινίου] malim τοῦ Κλεινίου. cf. p. R. 1137, 9. b. 1. οὐκ om A. 8. βαλλόμενος AC. 14. ταρτησσοῦ BC. κέρας ἀμαλθείας B. 16. τῶν νεανίσκων C. 19. δίφροις] διαφόροις C. 28. ἐξήσκησα] ἐξεκάκισα C. 35. ζητήσαιο A. ὅτῳ] ὅτου A. 42. τὰ νεαρὰ C.

ἐμφαίνοντες. ὦ τοσοῦτον ἰσχύσας τοῖς λόγοις, ὅσον καὶ τὸν Θετταλὸν ἀκούω Κινέαν, ὃς σὺν βασιλεῖ Πύῤῥῳ γῆν ἐπιὼν πᾶσαν ϗ θάλασσαν πρὸ τῶν μηχανημάτων τοῖς λόγοις τὰς πόλεις ἔκλινεν. ὁ γὰρ αὐτός γε τούτου διδάσκαλος, ὁ μὰ τοὺς ὑμετέρους ὦ λόγοι πόθους, δι' οὓς ἐγὼ πατρικὸν ὄλβον ῥίψας εὐδαίμονα παρ' Ἰλισσοῦ μουσικαῖς ὄχθαις ἐσκήνημαι. Ἀλέξανδρος ὁ τοῖς τροπαίοις ὅροις τῆς ὅλης χρησάμενος. τό τε γὰρ τῆς μεσημβρίας ὑποῤῥεῖ ζέον, αὔρα τε πραΰνει τὸν ἥλιον. καὶ χίσαι Ζεφύρῳ πορφύροντα περὶ τὴν πρῷραν τὰ κύματα.

1121R. Ἐκ τῆς πρὸς τοὺς ἑταίρους συντακτικῆς, ὅτε ἐξῄει ἐπὶ Κόρινθον.

τὸ προοίμιον.

οἱ πάλαι τὴν λύραν κάμνοντες, εἴ ποτε γῆν ἐπ' ἄλλην ἔσπευδον, οὐκ ἄφθογγον τὴν ἀποδημίαν ἐποίουν, ἀλλ' ᾠδῇ καὶ μέλει τὸν χορὸν τὸν ἑαυτῶν ἀπησπάζοντο.

Ἐκ τῶν ὑπολοίπων, διαφόρων ὄντων καὶ διαφόρους ἐχόντων ὑποθέσεις.

601H. τὰς βασιλέως αὐλὰς ϗ χρυσῆν τύχην ὑπόπτερον. οὐ γὰρ ἀφῃρέθης τὴν ἀρχήν, ἀλλ' ἑκὼν ἔῤῥιψας, ὥσπερ τις ὑπερόπτης κατὰ παιδικῶν τρυφῆσαι βουλόμενος. τὴν χρυσῆν κόμην ῥόδων στεφάνῳ πορφύροντι. ἀλλὰ τίς τούτων ἡ χάρις; φυγὴ ϗ δρασμὸς ϗ τοσαύτης φιλίας ἄρνησις. ἐνίκησα μὲν ὑπὸ σοὶ κριτῇ κατὰ τὴν θερινὴν ὥραν τὸν τέττιγα, ἠπείλησα δὲ ϗ ταῖς ἀηδόσι ταῖς Ἀττικαῖς, εἴ ποτέ μοι ϗ Ἀττικὸν πήξαιο θέατρον, μῦθον ὄντως τὰς ἐκείνων γλώττας ταῖς ἐπὶ σοὶ φωναῖς ἀπεργάσασθαι. ὦ καὶ τοῦ σαυτοῦ γένους ὄμμα φανότατον, καὶ ταὐτὸν τῷ γένει γενόμενος, ὅπερ καὶ σοὶ πολλάκις ὁ προπάτωρ ἥλιος. τῆς γὰρ συνωρίδος ταύτης δὴ τῆς καλῆς ὁ μὲν καταυγάζοντι τοὺς μεγάλους θρόνους ὥς τις ἑωσφόρος συνανέχεν ὄρθριος, ταῖς αὐτοῦ βολαῖς τὰς σὰς ἀκτῖνας μιμούμενος· ὁ δέ, τῆς τῶν νέων ἀγέλης ἐκλάμπων καθάπερ τις ταῦρος ἀγελάρχης ἀγέρωχος, ἐσκίρτησε μὲν κατὰ τοὺς Μουσῶν λειμῶνας ὥσπερ τις πῶλος ὑψαύχην καὶ ἔνθεος, ἐμιμήσατο δὲ ϗ τὸν Ὁμηρικὸν νεανίσκον τὸν Θέτιδος, καὶ μύθων ῥητὴρ ἀγαθὸς καὶ πρηκτὴρ ἔργων γενόμενος. εἰ δέ μοι καὶ τῆς ποιητῶν ἐξουσίας μετῆν, ἔδειξα ἄν σοι ϗ Ἰλισσὸν τοῦτον δακρύοντα, ἔχρωσα δ' ἂν ϗ κατηφεῖ χρώματι τὰ καλὰ Καλλιῤῥόης νάματα. πέμποι μέν σε Πὰν ἐνόδιος, πομπαῖον καὶ γλυκὺ προσηχῶν μέλος τῇ σύριγγι· Ἀφροδίτη δὲ ϗ οἱ ταύτης παῖδες Ἔρωτες, πόθου κρατῆρα κεράσαντες, σοῦ τῆς ὁδοῦ προπομπεύοιεν.

Προπεμπτήριον λόγου. τὸ προοίμιον.

ὁ τοῦ Διὸς παῖς Ἀλέξανδρος (συνάπτει γὰρ αὐτὸν οὐρανῷ ϗ Διὶ τὸ πολὺ κλέος καθ' Ἕλληνας) ὅτε πληρώσας τῆς ἑαυτοῦ δόξης τὴν Εὐρώπην ἅπασαν ἐπὶ τὴν Ἀσίαν ἐξάλλετο, συνάψαι τὰς ἠπείρους τῷ καθ' ἑαυτὸν ἐθέλων θαύματι, τὸν Τιμοθέου παρακαλέσας αὐλὸν (οὗτος γὰρ ἤχει μέγα καὶ τοσούτου βασιλέως ἄξιον) ὑπὸ τοῖς ἐκείνου μέλεσιν ἔλυε τοῦ στόλου τὰ πείσματα. φέρε δὴ γράψω τῷ λόγῳ τὸν πίνακα· ἔχει γάρ (οἶμαι) πρὸς μίμησιν οἰκεῖα ϗ λόγος φάρμακα. ναῦς ἦν κατὰ τῆς γραφῆς καὶ θάλαττα. ἡ δὲ θάλαττα (οἶμαι) Αἰγαῖος ἦν· αἱ γὰρ πολλαὶ νῆσοι αἱ κατ' ἄλλο καὶ ἄλλο μέρος τῆς θαλάσσης χιζόμεναι, Αἰγαῖος ὑπ' αὐτῶν ἐδείκνυτο εἶναι ἡ θάλαττα. γέγραπτο δὲ οὐκ ἀπηνής τε ϗ ἄγριος, οὐδὲ εἰς αὐτὰς ἐγείρων νεφέλας τὰ κύματα, οἷα τὰ πολλὰ Αἰγαῖος κατὰ τῶν ἐκεῖ πλωτήρων θρασύνεται, ἀλλ' ἐσόρεσο μὲν εἰς γαλήνην τὰ κύματα, τὸ δὲ ὕδωρ ὅλον ἐπόρφυρε πρὸς αὐταῖς ᾐόσιν, εἰς γλαυκὸν ἄνθος ἠρέμα μεθισταμένου τοῦ κύματος. πρῶτοι γὰρ Φρύγες αἰτίαν ἔχουσιν αὐλῷ τε ἐμπνεῦσαι καὶ ταῖς τελεταῖς 602H. ἀναμίξαι τὰ κύμβαλα. τὸ δὲ ἐπὶ θάτερα τῆς νεὼς 1124R. μέρος εἰς πρῷραν ἤδη θλιβόμενον, χρυσοῦν τῆς ὕλης πεποίητο. ἔνθα καὶ θαυμάσαι τὴν τέχνην ἄξιον· τὸ γὰρ περὶ τὴν πρῷραν τῆς θαλάσσης ὕδωρ χιζόμενον, ταῖς τοῦ χρυσοῦ βολαῖς ἐπαυγάζον, εἰς ὅμοιον ἄνθος ἀμείβειν ἐδόκει τὴν θάλασσαν. οὐκοῦν δότε μοι τὴν Ζεύξιδος τέχνην, τὰ Παῤῥασίου σοφίσματα. Δελφοὶ δὲ ἄρα, ἱερὰ πόλις Ἀπόλλωνος, λατρεύουσι μὲν ἀεὶ τῷ θεῷ ϗ περιχορεύουσι μετὰ παιάνων τὸν τρίποδα. καὶ μὴν ϗ Ἠλεῖοι δακρύουσι, τὸν ποταμὸν τὸν Πισαῖον ἐπὶ τὴν Σικελικὴν κρήνην προπέμποντες, ὥσπερ (οἶμαι) τοῦτο φοβούμενοι, μὴ μελετῶν τὴν ἀποδημίαν ὁ ποταμὸς ἄλλοις ἀνθρώποις χαρίσηται τὰ νάματα. τάχα δέ σοι καὶ ἀηδόνες καὶ κύκνοι καὶ πάντα τὰ μέλη συναποπτήσεται. αἱ μὲν γὰρ ἡμέτεραι Μοῦσαι καὶ σκάφη ἤδη τολμῶσι πήγνυσθαι, καὶ ἀπειλοῦσι φυγὴν ϗ

a. 1. φαίνοντες C. 2. libri κιννέαν. 7. Ἰλισοῦ A. 8. τῆς ὅλης B, τοῖς ὅλων C: τοῖς ὅλης ς. 22. κατὰ τῶν π. ς. 29. τοῦ A: τὸ ς. 39. πραντὴρ ς. b. 6. προοίμιον προπ. λόγου A. 12. οὗτος Reiskius: libri οὕτω. 14. ἔχει — 15. φάρμακα om AB. 16. ἡ δὲ θάλαττα om A. 18. ὑπ' Wernsdorfius: libri ὑπὲρ. 19. θάλασσα B. libri γέγραπται. 23. ὅλον] οἷον Reiskius. 26. κύμβαλα] κυκλώματα A. θάτερον B. 35. πισαῖον B. 40. συναποπτήσονται A. μοῦσαι φυγὴν καὶ ς. 41. σκάφος C.

Digitized by Google

θάλατταν, κἂν ἀγριαίνῃ τοῖς κύμασι. ῥίψας ἐκ τῶν χειρῶν τὴν λύραν, σιωπὴν τῶν μελῶν καταψηφίζεται. ναῦς ἐν ὅρμοις στρατηγίς, ἱστίον ὑψηλὸν μετάρσιον, οἷον καὶ λαμπραῖς αὔραις καὶ πελαγίοις πετάννυσθαι. μικροὶ μὲν εἰς χάριν Ἑσπερίδων λειμῶνες, μικραὶ δὲ εἰς μέγεθος πυραμίδες Αἰγύπτιαι, καὶ εἴ τι Περσῶν καὶ Ἀσσυρίων χεῖρες πονήσασαι θαῦμα ἀφῆκαν τοῖς ὕστερον. ἀλλ' ἐπὶ τὰς φίλας Ἀθήνας ὁ στόλος, αἵ σε τοῖς πόθοις οὕτως ἐξέκαυσαν ὡς καὶ ἐπ' αὐτῆς περιφέρειν γλώττης τὸν ἔρωτα. τί δὲ ὀκνεῖς τὴν ἀπόκρισιν τοῦ κοινοῦ πάντων ἀγάλματος μετασκηνοῦν παρ' ἑτέροις μέλλοντος; Κιμμερίους μὲν δή, δῆμον ἑσπέριον, ἀφείλετο μῦθος τὸν ἥλιον, εἶτα φοβηθεὶς τὸν ἔλεγχον ἀμφιβόλοις ῥήμασι κρύψαι τὴν φήμην ἐσπούδασεν· ἡμᾶς δὲ οὐδεὶς ποιητὴς ψεύδεσθαι δόξειε μετὰ τὴν σὴν ἀποδημίαν ἀφελέσθαι θέλων τὸν ἥλιον. ὦ φίλη πατρίς, νῦν σε ὄντως ἀδικήσας αἰσθάνομαι, τοὺς σοὺς ὑπεριδὼν ἔρωτας, ἐραστῇ θέλων ὀπίσω πάντα χαρίσασθαι. ἀλλὰ μικροῦ τῷ νόμῳ τῷ περὶ τούτων ἑπόμενος, εἰς ἀκοσμίαν τὸν λόγον ἔτρεψα, καίτοι μοι τῶν θεῶν πληρούντων τὸν πόθον· πάλιν γὰρ σκῆπτρα, πάλιν τῆς δίκης οἱ θρόνοι. τοῦτον Ἐφύρα μὲν ἤνεγκε, πόλις οὐ μόνον καλλωπιζομένη μύθοις πρὸς τὸ θαυμάζεσθαι, οἷα τῶν Ἑλληνίδων αἱ πλείονες, ἀλλ' ὀφθαλμῷ κριτῇ τὴν εὐδαιμονίαν προβάλλουσα. οὕτω καὶ τὸ τούτου γένος μυρίοις μὲν λόγοις, μυρίοις δὲ ἔργοις καὶ παραπλησίοις ἀγάλλεται. μνηστέον ἤδη καὶ αὐτοῦ τοῦ γένους, ὅτι παντός· κἀμοὶ γὰρ ἂν (οἶμαι) καὶ ἱστορία τοσοῦτον πλῆθος φροντίζουσα. οἱ ἀπ' ἐκείνων τῶν γάμων ἀποβλαστήσαντες. εἰκώ τινα τῆς ἐκείνου σοφίας τοῖς τῆς ψυχῆς φέρον ἀγάλμασι. προσκλύζων κόλπος Ἰόνιος λεαίνει τὴν θῖνα τῷ κύματι. κατὰ δὴ ταύτης τῆς ᾐόνος χορὸς Νηρηΐδων ἐχόρευε, λευκαὶ πᾶσαι, γάλα αὐτό, οἷον ἂν ἐκεῖνο γένοιτο τέχναις
603 H. ποιμένων ἱστάμενον, γλαυκαὶ τὸ ὄμμα, κομῶσαι τῷ βρύῳ, ἔτι λευκὸν ἐκ τῆς θαλάττης ἀφρὸν ἐξ ἄκρων πλοκάμων στάζουσαι. ἡ δὲ ἀντερᾷ τοῦ νυμφίου, καὶ δώρῳ πιστοῦται τὸν γάμον· ἀναδίδωσι γὰρ ἐκ μέσης θαλάττης πηγήν. ἡ δέ, ὥσπερ ἐπισταμένη τοῦ χάριν ὑπὸ τῆς νύμφης ἐγένετο, κλέπτει μὲν τοῖς ἄλλοις πλωτῆρσι τὰ νάματα, μόνοις δὲ τηρεῖ τοῖς ἐκ τῆς νύμφης τὴν πότιμον φιλοτησίαν ἀρύσασθαι. ὅπερ καὶ κατὰ τῆς ἀρετῆς ἀνύμνηται. εὐμαθὴς ἐστι ψυχή, ταχεῖα σύνεσιν, μνήμῃ συμφυής, ἕτοιμος πρὸς λόγους, "δεινὴ μὲν κρύπτειν, κρείττων λανθάνειν (σοφώτερον 1125 B.
δὲ τοῦτο καὶ ἅμα θεοῖς προσφιλέστερον), δεινοτέρα δὲ φωρᾶσαι τὸν ἐντυχόντα· κρείττων ἡδονῆς, ἥττων φιλίας. ἄκρος σοφίαν, δεινὸς εἰπεῖν, ἀνάλωτος φιλίᾳ, γενναῖος ἐν φόβοις, ὑψηλὸς ἰδιώτης, ἄρχων ἐπιεικής, τὸν μὲν ἰδιώτην ἀποσεμνύνων φρονήματι, λόγῳ δὲ πραΰνων τὸ τῆς ἐξουσίας αὐθέκαστον. ἀλλὰ μὴν καὶ τὴν τύχην ἴδοις ἂν ὥσπερ ἐξ οὐρίας τὸν τοῦδε βίον συμπαραπέμπουσαν. πρεσβύτης τις ἦν σεμνὸς ἰδεῖν, ἀρχαῖος τὸν βίον, τὸν λόγον ὅμοιος. σοφὸς εἰπεῖν, ἀμείνων ἀκοῦσαι, τὰ πάντα γενναῖος. πλήρης δὲ ὢν ἤδη τοῦ κλέους, καὶ πᾶσαν εἰς ἑαυτὸν ἐπιστρέφων τὴν Ἑλλάδα, διαβαίνει καὶ εἰς βασιλέα τῷ θαύματι, πρὶν ὑπηνήτης γενέσθαι, πρὶν καθερπύσαι τὸν πρῶτον ἴουλον. ποιητοῦ δὲ ἄρα ἦν ἐνταῦθα τοῦ λόγου ῥόδοις μὲν ἀναπλέξαι τὸν στέφανον, ἄγειν δὲ ἐξ Ἑλικῶνος τὰς Μούσας. περὶ τὴν πόλιν ἐκείνην, ἣν ἀπὸ Γαδείρων Εὐρώπη λήγουσα πορθμῷ θαλάσσης πρὸς τὴν Ἀσίαν μερίζεται. ἤλασεν οὗτος καὶ κατ' Ἴστρου, καὶ ποταμὸν οὐκ ἔδεισε βάρβαρον κρυστάλλῳ πεδία μιμούμενον. ἐπεὶ δὲ θεὸς πρὸς πᾶσαν αὐτὸν ἀρετὴν ἀκριβῶσαι βουλόμενος, καὶ ἀπ' ἐναντίας ποτὲ τὸ πνεῦμα τῆς τύχης ἔστησεν, ἵν' οἷος ἦν, τοιοῦτος τὴν γνώμην καὶ ἐν τρικυμίαις πραγμάτων καὶ χειμῶνι βίου δειχθείη τοῖς πᾶσι καὶ κατ' αὐτὸ τὸ μέρος εὐδοκιμήσῃ, τίς ἐνταῦθα ποιητὴς ἢ λόγων συνθέτης φωνὴν ἀξίαν τοῖς ὑπὸ τούτου κατειργασμένοις συμβάλλοιτο; οὐδὲ Σικελικήν τινα Σκύλλαν καὶ Χάρυβδιν, ἀνδρῶν δὲ ἀτασθάλων ὑπὲρ τὸν ἄγριον ἐκεῖνον τὸν Σικελικόν, τὸν ποιμένα, τὸν Κύκλωπα, μυρίας ἐπ' αὐτὸν κινηθείσας φάλαγγας οὐκ ἀγχεμάχοις ὅπλοις οὐδὲ ξυστοῖς τε καὶ δόρασιν, ἀλλὰ φρονήσει καὶ λόγῳ κατὰ γῆς ἁπάσης ἐστόρεσεν. ὁ δὲ δὴ τῶν Τελχίνων τε ἡγεμὼν καὶ κορυφαῖος καλούμενος, πληγὴν καιρίαν δεξάμενος, στένει δακρύων τὸν πόλεμον. Ἀσία πᾶσα, οὐχ ἣν νῦν οὕτω προσαγορεύομεν τὴν τῆς ὅλης ἐπωνυμίαν ἠπείρου τῷ μέρει μόνῳ τιθέμενοι, ἄρχεται μὲν ἀπ' Ἰνδῶν ἄνω, πρὸς μὲν ἕω καὶ ἄρτον ἐρυθρῷ κόλπῳ καὶ Φάσιδι, πρὸς δὲ μεσημβρίαν καὶ ἀπιόντα ἥλιον Αἰγύπτῳ τε καὶ τῷ Ἰονίῳ πελάγει πρὸς τὰς ἄλλας

a. 1. κἂν om A. ἀγριαίνῃ C: ἀγριαίνειν ς. 4. αὔραις A: αὐγαῖς ς. 25. προβάλλουσαι A. 29. πλήθους B. 31. φέρων C, ἔφερον Scaliger. 36. λ. τὸν ἐκ B. 37. στάζουσαι C: βαστάζουσαι ς. 39. θαλάσσης ς.
b. 6. ἄκρα ς. 17. πρῶτον om B. ποιητὰς C. 25. ἦν] libri ἦ. 37. ἀσίαν πᾶσαν C.

Digitized by Google

ἤπειρος ἀποσχιζομένη καὶ λήγουσα, παρατείνει δὲ αὐτὴν ἐκ Προποντίδος εἰς Παμφυλίαν πλευρὰ παρή-
604H. κουσα, ἣν Αἰγαῖος προσκλύζει σύμπασαν, ἐκ μιᾶς ϗ αὐτὸς ἀρχῆς τῇ πλευρᾷ ταύτῃ τικτόμενος. οἵ τε ἐνοικοῦντες τὰς πόλεις ἄνθρωποι οὐ τῷ τέττιγι ϗ τῷ χιτῶνι τοὺς προπάτορας, ἀλλ᾽ ἀρετῇ καὶ σοφίᾳ καθαρῶς δή που δεικνύουσιν, ὅθεν (οἶμαι) ϗ τὸ ἀρχαῖον ἐγένοντο. ὁ γὰρ δὴ Μέλης οὗτος (οὐ γὰρ δὴ θέμις σιωπῇ παρελθεῖν γλῶσσαν τοσαύτην γεννήσαντα) ἀνίσχει μὲν ἐκ προαστείων τῆς Σμύρνης, τίκτουσι δ᾽ αὐτὸν μυρίαι πηγαὶ καὶ πλησίον ἀλλήλων βλαστάνουσαι, ἀφ᾽ ὧν πλημμύρων ὁ ποταμὸς πελαγίζει τε εὐθύς, ϗ ἐκ πηγῶν ἔκπλωτος καὶ ὁλκάσι καὶ κώπῃ γίνεται. παραμείψας δὲ τὰς ἑκατέρωθεν ὄχθας κυπαρίττῳ κομώσας καὶ δόνακι, τῇ πλησίον θαλάττῃ κοινοῦται τὸ ῥεῦμα, εἰ ῥεῦμα θέμις ἐκεῖνο καλεῖν· οὐ γὰρ ἠχοῦντος ἀκούσῃ, οὐδὲ δόξειεν ἄν σοι τὸ ὕδωρ φέρεσθαι, ἀλλ᾽ ὥσπερ τις ἐραστὴς παιδικῶν συνουσίαν κλέψαι βουλόμενος λάθρᾳ τῇ θα-
1128R. λάττῃ κιρνᾶται, λεαίνων τὸ κῦμα τῷ ῥεύματι. νῦν γὰρ ποιητικῶς ἐθέλων καλέσαι τὸν ἄνεμον, εἶτα οὐκ ἔχων ποιητικὴν ἀφεῖναι φωνήν, ἐκ τῆς οἰκείας Μούσης προσειπεῖν ἐθέλω τὸν ἄνεμον. ἁπαλὸς δ᾽ ὑπὲρ κυμάτων χεόμενος πορφυροῦ σχίζει περὶ τὴν πρῴραν τὰ κύματα. οὐ γὰρ ἀταυθάλως μαστεύων ἔρωτας τὴν σὴν πλεῦσαι σπουδάζει θάλασσαν, ἀλλὰ τελέσαι θέλων πάντας τοὺς Ἴωνας τὰ σεμνὰ σωφροσύνης μυστήρια. Ῥοδίους μὲν δὴ λόγος ὑσθῆναι χρυσῷ, χρυσὴν ἐπ᾽ αὐτοὺς τοῦ Διὸς νεφέλην ῥήξαντος· τὴν δ᾽ ὑμετέραν τύχην, ἣν διὰ τοῦδε καρπώσεσθε, οὐ μῦθος ἐρεῖ τις ἀμφίβολος, ἀλλ᾽ ἐν ὀφθαλμοῖς ἔσται τὰ θαύματα. ἤμελλεν ἄρα τὸ καλὸν ἔαρ οὐκ ἀηδόνας ἄξειν ἡμῖν οὐδέ τινας κύκνους ἢ τέττιγας, ἀλλ᾽ αὐτὸν τὸν ταῖς χρυσαῖς ἀκτῖσι καταυγάζειν μέλλοντα τὴν Ἰωνίαν ἥλιον. πρὸ δὲ τῶν ἄλλων ἁπάντων ὁ τῶν ἐμῶν πώλων ἔξαρχος πῶλος ἱερὸς καὶ ἀγέρωχος, οἵους Ἡλίῳ θεῷ Νισαῖοι πώλους πωλεύουσι, τοῦτον ἐγὼ τὸν πῶλον ψαλίοις κοσμήσας Μουσῶν, ϗ ταῖς Χαρίτων μίτραις ὅλον ποιήσας ἀνάδετον, ὥσπερ τινὶ θεῷ τῆς ἐμῆς ἀγέλης ἀπαρχὰς φέρων, ἀνέθηκα. γλαυκοὶ δὲ ἀστέρες ἀνίσχοιεν φαιδρῷ φωτὶ τὴν ἀναγωγὴν καταυγάζοντες. οἱ δέ μου λόγοι ϗ προλαβεῖν μικροῦ τὸ μέλλον ὠδίνουσι, ϗ τοῖς ἐκβατηρίοις μέλεσι τὴν ᾠδὴν τὴν ἐπιβατήριον συνάψαι σπεύδουσιν, ἐν νῷ λαμβάνοντες τίνες (οἶμαι) τότε γενήσονται, ὅταν ἐπανελθόντα προσβλέψαντες αὐτῷ πάλιν τὰ Μουσῶν χορεύειν μέλλωσιν.

*Ἑτέρου προτρεπτικοῦ λόγου προοίμιον.*

δεινὸς δὲ ἦν ἄρα οὐ χεῖρα μόνον ἀλλὰ καὶ γνώμην ὁ Λύσιππος. οἷα γοῦν ἐκεῖνος διὰ τῆς ἑαυτοῦ γνώμης 605H.
τετόλμηκεν! ἐγγράφει τοῖς θεοῖς τὸν καιρόν, ϗ μορφώσας ἀγάλματι τὴν φύσιν αὐτοῦ διὰ τῆς εἰκόνος ἐξηγήσατο. ἔχει δὲ ὧδέ πως, ὡς ἐμὲ μνημονεύειν, τὸ δαίδαλμα. ποιεῖ παῖδα τὸ εἶδος ἁβρόν, τὴν ἀκμὴν ἔφηβον, κομῶντα μὲν τὸ ἐκ κροτάφων εἰς μέτωπον, γυμνὸν δὲ τὸ ὅσον ἐκεῖθεν ἐπὶ τὰ νῶτα μερίζεται, σιδήρῳ τὴν δεξιὰν ὡπλισμένον, ζυγῷ τὴν λαιὰν ἐπέχοντα, πτερωτὸν τὰ σφυρά, οὐχ ὡς μετάρσιον ὑπὲρ γῆς ἄνω κουφίζεσθαι, ἀλλ᾽ ἵνα δοκῶν ἐπιψαύειν τῆς γῆς λανθάνῃ κλέπτων τὸ μὴ κατὰ γῆς ἐπερείδεσθαι. ὁ δὲ Γλαῦκος, ὥσπερ (οἶμαι) λοχῶν αὐτὸ τῆς ἀγωνίας τὸ καίριον, ἧκέ τε ἐπὶ τὸν στεφανίτην μόνος, ϗ πρῶτος εἶχε τὸν στέφανον. πάντα γὰρ καλὰ ἐν καιρῷ, ϗ τοξότης ἐπίσκοπος, ὅστις οἶδε καίρια βάλλειν τοξεύματα. ϗ δὴ εἰς οὐρανὸν ἀηδόνες ἀπὸ γῆς ἵπτανται· τολμᾷ γὰρ ἀνάγειν ὑπὲρ ᾠδῆς εἰς αὐτὸν [τὸν] οὐρανὸν ὁ μῦθος ὄρνιθας. ἧκον οὖν παρὰ τὸν κύκνον. ὁ δ᾽ ἔτυχεν ἐπί τινος λειμῶνος ἠρινοῦ ἄρτι Ζεφύρῳ πρὸς ᾠδὴν ἐκδιδόναι μέλλων τὰς πτέρυγας.

*Ἐκ τοῦ εἰς τὸν νέηλυν τὸν Αἰγύπτιον.*

πήχεις οἱ Αἰγύπτιοι τὴν αὔξησιν τοῦ Νείλου προσαγορεύουσι, καὶ μετροῦσι τὰ νάματα, ϗ πανήγυρις αὐτοῖς ὁ πῆχυς γίνεται. ϗ τοὺς γενναίους ὄψει τῶν στρατηγῶν ἀπ᾽ ἐλαττόνων τροπαίων τὰς μυρίας νίκας κηρύττοντας. μικρὸς ἦν ἐν Ἀρτεμισίῳ Θεμιστοκλῆς (κατὰ γὰρ τῶν προπατόρων ἔτι τῶν βασιλέως ἠρίστευε), μείζων ἐν Ψυτταλίᾳ, μέγας ἐπὶ Σαλαμῖνα· ἐβάπτιζε γὰρ ὅλην ἐκεῖ τὴν Ἀσίαν μαχόμενος.

*Ἐκ προπεμπτικοῦ.* 1129R.

καὶ τοῦτο μὲν ἴσως καλῶς ποιεῖς· ἀνάγκη γὰρ δή που τὸν ἐπαινεῖσθαι βουλόμενον ϗ τῶν πράξεων ἐκείνων ἐπιθυμεῖν, ἀφ᾽ ὧν ὑπάρχει τὸ θαυμάζεσθαι. οὐ γὰρ ἀπέχρησε τοῖς παισὶ τὰ τοῦ Περικλέους σεμνολογήματα, ἀλλ᾽ ἀνάξιοι τῆς πατρῴας ἀρετῆς γενόμενοι μείζονος

a. 2. παρήκουσα Wernsdorfius: libri παρείκουσα. 13. καὶ om C. 20. ἐθέλων] γὰρ θέλων C. 23. χεόμενος AC: γενόμενος ς. 24. μαστεύων C. 25. θάλασσαν C. 27. ὑσθῆναι AC: ῥυσθῆναι ς. 29. καρπώσασθαι C. 30. ἔσται om A. 35. νησαῖοι AC.
b. 1. ἐμβατηρίοις C. 19. εἶχε AC: εἶλε ς. 23. τὸν om AC. 28. οἱ om C. προσαγορεύουσι C. 29. καὶ μέτρῳ μετροῦσι ς. 32. κατὰ] καὶ A. 33. προπατόρων] πρόπλων Wernsdorfius. 36. ἐν AC: ἐκ τοῦ ς.



Digitized by Google

δήπου διαβολῆς αἰτίαν τὴν πατρῴαν δόξαν ἐκτήσαντο. ϗ πολλῶν δὲ ἄλλων ἀνδρῶν ἀρίστων γεγόνασι παῖδες, οἷς ἅπασιν οὐ πρὸς ἐγκωμίου πλέον, ἔλεγχος δὲ κακίας ἐγένετο τὰ τῶν πατέρων ὀνόματα. τίς οὖν (ἴσως ἂν ἐρεῖς) ἡ θεραπεία τοῦ νοῦ; ἀρετὴ ϗ λόγος, ἡ μὲν ἄρχουσα ϗ ἐπιστατοῦσα τῷ λόγῳ, ὁ δέ, καθάπερ τις δεξιὸς ἀγαθῆς βασιλίδος διάκονος, τὰ ἐκείνης ἐπιτελῶν σπουδῇ πάσῃ εἰς ἔργον τε ἄγων προστάγματα. ἔστι καὶ ἄλλος ἀρετῶν μυρίος χορός, ὃν ἅπαντα εὑρήσεις εἴσω παιδείας ἀνακτόρων γενόμενος. ταύτας δὲ ὥσπερ τιθηνοὺς καὶ μητέρας ἐκείνων
606 H. προξενῶ τέ σοι καὶ φημὶ δὴ δεῖν ἐκείνων ϗ τῆς τῶν ἑχομένων θήρας ἐφίεσθαι. οἱ δὲ παῖδες ἀπολελυμένοι διδασκάλων τὴν πόλιν ἐκείνην ἔπεμπον. ὁ δὲ Φρὺξ ὁ Μίδας ἑλεῖν θελήσας τὸν Σάτυρον οἴνῳ φαρμάττει τὰ νάματα, καὶ δήσας ὕπνῳ καὶ κώματι θήραν ἐποιεῖτο τὸν Σάτυρον.

Ἐκ τοῦ ἐπὶ τῇ κατὰ τὴν διατριβὴν στάσει αὐτοσχεδίου.

τὸ προοίμιον.

Ἀρά τι καὶ ἐν τοῖς ἡμετέροις λόγοις ἐστίν, ὦ φίλοι, φάρμακον ἔριν κοιμίσαι δυνάμενον; καί τι βούλεται τοιοῦτον ϗ ἡ παρ᾽ ἡμῖν τέχνη νεανιεύεσθαι, ὁποῖον Ὅμηρος διὰ τοῦ κρατῆρος τοῦ τῆς Ἑλένης αἰνίττεται, ὃν ἡ τοῦ Διὸς παῖς τοῖς ξένοις ἵστησιν ἐν Μενελάου δακρύουσιν; ἢ ϗ τὸ τῆς Ἑλένης φάρμακον οὐ πόα τις ἦν, οὐδέ τις Αἰγυπτία τέχνη νηπενθὲς πόμα σκευάζουσα, ἀλλά τις λόγος ἡδὺς καὶ πάνσοφος, φαρμάκου δίκην σβέσαι δυνάμενος θυμὸν ἐκ μέσης καρδίας ζέοντα; ἀπάγει δὲ εἰς Αἴγυπτον τὸν μῦθον ἡ ποίησις, ἵνα τὴν μητέρα τῶν σοφῶν λόγων αἰνίξηται. ἐφρόνει ποτὲ βασιλεὺς μικρότερον; οὐκ εἴα τοῦτο Τιμόθεος, ἀλλὰ ϗ εἰς οὐρανὸν αὐτὸν ἀνῆγε τὴν γνώμην τοῦ βασιλέως τοῖς μέλεσι. θυμὸς ἐπέζει τοῦ μετρίου πλέον; ἀφῄρει παρὼν ἐκεῖνος τὸ πλεονάζον τοῖς κρούσμασιν. ἄθυμος ἦν; μειδιῶντα εὐθὺς ἐδείκνυ. ἡδοναῖς ἐνεδίδου; εἶδες ἂν εὐθὺς σεμνὸν μετὰ τὴν μουσικὴν Ἀλέξανδρον. ϗ τὸ σύμπαν εἰπεῖν, τοιοῦτον ἐξῆν ὁρᾶν ἐκεῖνον, ὁποῖον αὐτὸν ἐποίει διὰ τῶν αὐλημάτων Τιμόθεος. πραΰνει Ζέφυρος ταῖς αὔραις τὰ κύματα· Ἀττικὸς δὲ ῥήτωρ ϗ λόγος Ἕλλην οὐ λύσει στάσιν, εἰ μόνον φθέγξαιτο; ὅ τε Ξενοφῶν ἐστρατεύετο· ϗ γὰρ ϗ δόρυ μετὰ Σωκράτην Ξενοφῶν ἤνεγκεν. τὸ γὰρ εὐφυὲς εὐάρμοστον. ἁβρὸς ἦν Ἀλκιβιάδης, ὁπηνίκα παρ᾽ Ἀθηναίοις εἶχε τὴν δίαιταν· σεμνὸς ἦν ἐν Λακεδαίμονι· τὰ Περσῶν ἐς τρυφὴν μόνος ἐξήλεγχεν. εἰ δέ ποτε ἔδει καὶ λόγους φροντίσαι καὶ τὰ φιλοσοφίας γυμνάσασθαι, Λύκειον ἅπαντα ϗ Ἀκαδημίαν ταῖς αὐτοῦ συνουσίαις εἰργάζετο. οἱ κάμνοντες τὴν ἱστορίαν τὴν ἀμφὶ τούτους.

Ἐκ τοῦ εἰς τὴν τῶν Κυπρίων ἐπιδημίαν. 1132 B.

τὸ προοίμιον.

Τὴν Κύπρον οἱ ποιηταὶ θεῶν Ἀφροδίτῃ χαρίζονται, ὥσπερ τὴν Δῆλον Ἀπόλλωνι. ἡ γὰρ Κύπρος πόλις μεγάλη· δῆμοι τὴν γλῶτταν ἀκριβῶς Ἕλληνες. ὤδινεν ἐξ Οὐρανοῦ τὴν Ἀφροδίτην ἡ θάλαττα· τὰς δὲ ὠδῖνας ταύτας, αἵ τινές ποτε εἰσί, μυστικοὶ λόγοι 607 H. κρύπτειν κελεύουσι. καὶ ἔδει γὰρ λοιπὸν ἐκκυηθῆναι τὴν δαίμονα. ἵσταται μὲν εὐθὺς ϗ ἄγει γαλήνην ἡ θάλαττα, ἁπαλοῖς κύμασι περὶ τὸν τόκον πορφύρουσα. πανδήμῳ δ᾽ Ἀφροδίτῃ πρὸς τὴν οὐρανίαν οὐδὲν κοινόν. ἡ μὲν γὰρ βεβήλους ϗ οὐ καθαροὺς τὴν φύσιν γεννᾷ τοὺς ἔρωτας· τῇ δὲ χρυσοῖ μὲν οἱ παῖδες, χρυσᾶ δὲ τὰ τούτων καὶ βέλη, σκοποὶ δὲ αὐτοῖς ψυχαὶ νεοτελεῖς καὶ ἀκήρατοι.

Ἐκ τοῦ εἰς τὸν ἐκ Καππαδοκίας ῥηθέντος.

οὐδὲ ὑπὲρ Ἴστρον αὐτὸν καὶ Τάναϊν, ἀλλ᾽ ἐπὶ πᾶσαν γῆν ϗ θάλατταν ἦλθεν ὁ Σκύθης ὑπὲρ τοῦ βέλους ὀχούμενος. λόγος δὲ ἄρα τὸ βέλος Ἀπόλλωνος. καὶ ποταμὸς ἐκεῖ μῦθον ἔχων ἀκοῆς Ἑλλήνων ἄξιον. ἦλθεν ἐπ᾽ Ἰνδοὺς ὁ Διόνυσος, γένος τὴν Διονύσου χάριν ἀρνούμενον. ἦν δὲ ὁ μὲν στρατὸς Βάκχαι ϗ Σάτυροι, τὰ δὲ ὅπλα νεβρῖδες ϗ θύρσοι. οἱ δὲ ἅμα ὁμοῦ τε εἶδον τὸν θεὸν καὶ ἥρηντο, καὶ τὰ ὅπλα ῥίψαντες χορὸς οἱ τέως μαχόμενοι τῷ Διονύσῳ καθίσαντο. ἐπεὶ δὲ ἐν ὅροις Καππαδοκῶν ἦσαν ἀγόμενοι, σκηνοῦσι μὲν ἐπὶ τῷ χείλει τοῦ ποταμοῦ, ᾧ ϗ δώσειν τὴν ἐπωνυμίαν ἤμελλον, δεῆσαν δὲ τοῖς νάμασι λούσασθαι ἀμείβεται μὲν ὁ ποταμὸς καὶ τὸ ἀργυροῦν ὕδωρ Ἰνδοῖς ὁμιλῆσαν μελαίνεται, οἱ δὲ ὅπερ ἦσαν αὐτοί, τοῦτο ϗ εἶναι ϗ καλεῖσθαι τὸν ποταμὸν ἀπεργάζονται. ἐντεῦθεν ἄγει τὸν νεανίσκον ἡ φήμη. ὁ δὲ ἡμέτε-

a. 12. προξενῶ τέ C: προξενοῦντές ς. 14. πόλιν] πομπὴν Wernsdorfius. 15. ἑλεῖν θελήσας] ἐθελήσας C. 22. καί τι] καὶ τί ς. 23. τοιοῦτον Reiskius: libri τοσοῦτον. ὁποῖον] ὅποι C. 24. τοῦ τῆς] τὸ τῆς A. 26. δάκρυσιν C. 33. ἀνῆγε C: ἀνήγαγε ς. 35. παρὸν C. 36. εὐθὺ ἐδείκνυεν ς.
b. 14. δήμῳ pr C. 19. τόπον A. 22. παῖδες C: πόδες ς. 23. τὰ om A. 30. ὁ om C. 32. νεβρίδες A. 35. ὅροις AC: οὔροις ς. 40. λαλεῖσθαι ς.

ρος πλοῦτος ἢ χρυσός τις Γυγάδας ἢ Λύδιος, ἀλλά τινες παῖδες ἡβῶντες μὲν τὴν ὥραν καὶ τὴν ἡλικίαν ἀκμάζοντες, σοβαροὶ μὲν ἰδεῖν καὶ ὑψαύχενες, ἅτε ἐκ μέσων Διὸς στέρνων γεινάμενοι.

Ἐκ τοῦ ὅτι τὴν ἐπίδειξιν ἀξιούμενος ἀνεβάλετο, εἶτα εἶπεν.

τὸ προοίμιον.

Πέρσαι τὰ τόξα σπουδάζουσι, καὶ πᾶς ὁ βίος ἐκείνοις φαρέτρα καὶ βέλη. ἐπαινῶ τὸν νόμον, δίκαια φιλοπόνου γνώμης βάσανος· σπάνια γὰρ εἶναι καθήκει τὰ τίμια. οἶδε τοῦτον πρὸ Περσῶν ἡ φύσις τὸν νόμον. οὐδεὶς ἂν ὠκεανὸν ἰδεῖν ἠξίωσεν, εἰ μὴ τὴν ἐν μέσῳ φυγὼν περιεχύθη τῆς γῆς τοῖς τέρμασι. τίς δ' ἂν εἴη πυραμίδων λόγος, εἰ μὴ πόῤῥω τοῦτο τὸ θέαμα; ἢ τοῦ κατ' Αἰθίοπας λίθου τοῦ Μέμνονος, εἰ μὴ κἀκεῖνον ἄνω τῆς πολλῆς θέας ἡ μήτηρ ἔστησε; ταῦτά τοι καὶ ἀλήθειαν, ἀλλ' οὐ μῦθον εἶναι τὸν περὶ αὐτοῦ λόγον πιστεύομεν, ὅτι λίθος ὁμιλήσας ἡλίῳ οἷον ἄνθρωπος ἠχεῖ καὶ φθέγγεται. μόλις καὶ ῥόδον ἡ 608 H. φύσις ἀνθρώποις χαρίζεται. καὶ οὐδὲ τοῦτο ὁμοῦ τε φύει καὶ εἰς ἀέρα πετάννυται, ἀλλ' οἰκουρήσαν τὸ πολὺ τῆς ἀκμῆς εἴσω τοῦ κάλυκος ὀψὲ προκύπτει καὶ σχίζεται. ἀλλ' οὐδ' ὀπωρίζειν ἔξεστιν, ὅταν ἐθέλωσιν ἄνθρωποι· ἀλλὰ κἂν συκάζειν ἐθέλῃς, ἀναμένεις τὴν ὥραν τὴν τῆς ὀπώρας ἐπώνυμον. τὸ δὲ ἐν Δωδώνῃ χαλκεῖον ὅτι ἤχει ἀεί, μισήσας ὁ χρόνος διέλυσεν εἰς μῦθον τὸ τέχνημα. 1133R. δεινὴ γὰρ ἡ συνήθεια κόρον τεκεῖν καὶ τὴν ἐξουσίαν ὕβρει λυμήνασθαι. οἰκοῦντες γῆν ζητοῦμεν θάλατταν, καὶ πλέοντες πάλιν περισκοποῦμεν τὰ λήϊα. ὁ πλωτὴρ μακαρίζει γηπόνον, καὶ τὸν ναυτίλον ἀρότης ἡγεῖται πάλιν εὐδαίμονα. ταῦτα πάντα τοῦ κόρου παίγνια. κόρον γεννᾷ ἡ συνήθεια. φεύγωμεν τὸν κόρον, ὦ παῖδες· τοξεύει πολλάκις δι' ὕβριν οὗτος καὶ αὐτοῖς ἤδη τοῖς ἐρῶσι. τοῦτο γάρ ποτε τῆς παροιμίας ἤκουσα.

Ἐκ τοῦ εἰς Μουσώνιον τὸν ἀνθύπατον Ἑλλάδος.

τὸ προοίμιον.

Ὀκνοῦντά με πάνυ τὰ θέατρα, καὶ τῶν πανδήμων συλλόγων ἀπάγειν τοὺς λόγους σπεύδοντα, λῦσαι τὸν νόμον ἠνάγκασας. λύει καὶ κύκνος σιγήν, λύραν ὅταν Ἀπόλλωνος ἀκούσῃ πλήττοντος, καὶ τῶν ἄντρων ἐξάγει τὴν ἀηδόνα πρὸς ἥλιον λυρικὸν ἠχήσας ὁ Ζέφυρος. τολμᾷ καὶ ναύτης τὰ κύματα, καὶ βακχεῖος ἀνὴρ θαῤῥῶν ἐγείρει τὸ σκίρτημα, ὁ μὲν ἔαρ ὅταν κοιμίζῃ θάλατταν, ὁ δὲ ὅταν Διονύσου θύρσον δονοῦντος αἰσθάνηται. σὲ μὲν ποιητής τις εὔτολμος οὐκ ἂν (οἶμαι) ὀκνήσειεν οὐδ' αὐτῷ εἰκάσαι Ἀπόλλωνι. τόξα δέ σοι καὶ βέλη τοσοῦτον φίλα ὅσον Ἀπόλλωνος φύσιν ἐνδείξασθαι, ἀναίμακτα δὲ μένει ἀεί· σῆς γὰρ ἀκίδος φόνον ἀνθρώπων οὐ θέμις ἅψασθαι, ἀλλά τις ἔφυγεν διὰ σὴν ψῆφον καὶ δήμιον ἤδη τὸ ξίφος κατὰ τῆς σφαγῆς ἀνατείνοντα. οὕτω καὶ πῶλος καλῶς πωλεύεται καὶ σκύλαξ δεξιῶς σκυλακεύεται, ὅταν ἄνευ κέντρου καὶ μάστιγος ὁ μὲν πωλοδάμνης τὸν ἵππον ὁ δὲ σκυλακευτὴς τὸν κύνα χειρὶ τιθασσεύων ἐκτρέφειν βούλοιτο. τί Κῦρον ἐν Πέρσαις μέγαν ἐποίησεν; ἥμερος τρόπος καὶ μείλιχος. εὐτύχησε γὰρ ἀεὶ κατὰ βαρβάρων ἡ πόλις. ἀγγέλλει ποτὲ τὴν νίκην τῶν τις ἀριστέων τῷ δήμῳ· οἱ δὲ οὕτως αὐτὸν τῆς προθυμίας ἠγάσθησαν, ὥστε χαλκοῦς παρ' Ἀθηναίοις ἀπὸ τῶν λόγων ἐκείνων ἕστηκεν.

Ἐκ τοῦ εἰς Σεβῆρον νέηλυν.

τὸ προοίμιον.

Ἐμέμνητο δὲ ἄρα καὶ παρὰ τὰς μάχας Ἀχιλλεὺς 609 H. τῆς λύρας· καὶ τὰ μὲν πεδία τοῖς ὅπλοις ἤστραπτεν, ὁ δὲ κατὰ τὴν σκηνὴν τὴν ἑαυτοῦ κιθάραν ἥρμοζεν. ἡ δὲ τῆς ᾠδῆς ὑπόθεσις· ἦρα ἀρετῆς Ἀχιλλεύς, καὶ τὰ κλέα τῶν ἀνδρῶν νῦν μὲν πολεμῶν ἐμιμεῖτο, νῦν δὲ ᾠδὰς ἐργαζόμενος. ἔρις ἦν ἀμφὶ τοῖς παιδικοῖς τῶν θεῶν· ἀλλ' οὔτε Ἀθηνᾶ τὰ ὅπλα ἔχουσα τοῖς ὅπλοις ἤριζεν, οὔτε Ποσειδῶν φέρων τὴν τρίαιναν ταύτην προβέβλητο, ἀλλ' ἡ μὲν τὸν θαλλὸν ἀνέσειεν, ὁ δὲ ἀντήχει τῷ κύματι. καὶ λύει ψῆφος τὴν κρίσιν, καὶ Ἀθηνᾶ λαμβάνει τὰ νικητήρια. καὶ ἡ μὲν ηὔλει, ἡ δὲ κιθάραν εἶχεν, ἡ δὲ ἐνέπνει τῇ σύριγγι.

Ἐκ τῆς λαλιᾶς. 1136R.

τὸ προοίμιον.

ὅταν αἱ Μοῦσαι καθ' Ἑλικῶνα χορεύωσι, πάντα μοι ἠχῆς ἐμπίπλαται. ἠχεῖ μὲν τέττιξ, καὶ ἀναμιμνήσκει τὸν μῦθον τῷ μέλει, ὅτι ἐγώ, φησίν, ὢν ἄνθρωπος ᾖδον ἀεί, καὶ ἐπειδὴ τὴν φύσιν ἤμειψα, οὐ συνηφῆκα τῷ βίῳ τὸν πόθον. ἀηδόνων δὲ καὶ χε-

a. 2. τὴν ante ἡλικίαν om A. 4. γεννώμενοι Lobeck. ad Phrynich p. 320. 5. ἀνεβάλλετο A. 11. τὸν νόμον post τοῦτον ponit C. 21. εἰς ἀέρα] ἴσα B. 24. ἐθέλοις C. 25. ἐπώνυμον A: ὁμώνυμον ς. libri ἠχεῖ. 34. ἔρωσι C: ἐρῶσι ς. 37. τὸ om A. b. 3. κοιμίζῃ] ἴδῃ κοιμίζον C. 4. δονοῦντα C. 6. σοι] τοι C. 9. διὰ om C. 10. ἤδη Wernsdorfius, δὴ C: εἶδε a. 11. ἀνατείνοντας C. 18. οὕτως C: ὄντως ς. 32. καὶ ante λύει om A. 36. τὸ om A. 38. ἐμπίπλαται C: ἐμπίμπλανται ς.

ἀηδόνων γένη, ἔτι δὲ κύκνων ἀγέλαι, περὶ τὰς θεὰς χορεύουσιν.

1136B. Ἐκ τοῦ εἰς τὸν κόμητα Οὐρσίκιον.

ὅσα γραφεῖς, καὶ λόγοι δύνανται· μᾶλλον δὲ μικρότερα μίμησις πᾶσα πρὸς λόγους. Ἄβαριν τὸν σοφὸν γένος μὲν Ὑπερβόρειον λέγουσιν, Ἕλληνα δὲ τὴν φωνὴν γεγενῆσθαι, καὶ Σκύθην μὲν ἄχρι στολῆς τε καὶ σχήματος, εἰ δέ που γλῶτταν κινήσειε, τοῦτο ἐκεῖνο ἐκ μέσης Ἀκαδημίας καὶ αὐτοῦ Λυκείου νομίζεσθαι. τὸν Ἐλευσίνιον ἔφηβον ἀρθῆναι λόγος πρὸς Δήμητρος, ἵνα τὴν νομάδα τράπεζαν ἡμέροις ἀμείψῃ πυροῖς. ἧκεν Ἄβαρις Ἀθήναζε τόξα ἔχων, φαρέτραν ἡμμένος εἰς ὦμον, χλαμύδι σφιγγόμενος· ζώνη ἦν κατ᾽ ἰξύων χρυσῆ, ἀναξυρίδες ἐκ ταρσῶν ἄκρων ἄχρι καὶ γλουτῶν ἀνατείνουσαι. τοῦτον πανταχόθεν εὑρίσκομεν, καθάπερ ἐν ἁρμονίᾳ λύρας, σύμφωνον ἠχοῦντα τῇ γνώμῃ τὸν λόγον. ἦν ἡδὺς ἐντυχεῖν, δεινὸς ἡσυχῇ μεγάλην πρᾶξιν ἐργάσασθαι, ὀξὺς τὸ παρὸν ἰδεῖν, προμηθὴς τὸ μέλλον φυλάττεσθαι, σοφίας ἥττων, ἐραστὴς φιλίας, ὀλίγα μὲν τύχῃ πιστεύων, γνώμῃ δὲ τὰ πάντα πιστούμενος.

Ἐκ τοῦ εἰς Σεβῆρον ἑταῖρον.

τίς γὰρ ἐκείνου μᾶλλον ἢ σὺν τάχει τὴν τοῦ δικαίου φύσιν ἐθήρευεν, ἢ σὺν ὀρθότητι θηρεύσας ἐδημοσίευεν; τίς μὲν οὕτως ὀξὺς πρᾶξαι, τίς δὲ βραδὺς κολάσαι τὸν κινδυνεύοντα; τίς μὲν οὕτω κρείττων

610 H. χρυσίου, τίς δὲ ἥττων φιλανθρωπίας καὶ τοῦ κατελεῆσαι τὸν δυστυχήσαντα; ἁδρὸς μὲν ἐν λόγοις, ἔργα δὲ καὶ πράξεις ἁδρότερος.

Ἐκ τοῦ εἰς Σκυλάκειον τὸν ἀνθύπατον Ἑλλάδος.

χρυσῷ μὲν ἀσπὶς ἀστράπτουσα, καὶ τὴν Ἡφαίστου μηνύουσα χεῖρα τοῖς θαύμασιν, ὅτι μόνη διὰ σοφίαν ἠπίστατο τῇ τέχνῃ φύσιν μιμήσασθαι. Μαίανδρος ὁ Κὰρ ποταμός, ὅσον πλήθει τοῦ Νείλου λείπεται, τοσοῦτον φύσει περίεστι. τοῦ μὲν γὰρ μῦθος ἡ γῆ ἣν Αἰγυπτίοις χαρίζεται· ὁ δὲ πλωτῆρας ἀποσυλήσας τὴν θάλατταν, γηπόνοις σχίζειν ἔδωκεν ἀρόυραις ἀντὶ κυμάτων τὰς αὔλακας. ἴδοις ἂν πεδίον μὲν τὴν πρόσθεν θάλατταν, σκιρτῶντα δὲ ἀντὶ μὲν δελφίνων νεβρόν· ἀντὶ δὲ ναύτου κελεύοντος νομέως ἠχούσης ἀκούσῃ σύριγγος.

Ἐκ τοῦ εἰς νεήλυδας Ἐφεσίους. τὸ προοίμιον.

ὅτε τὸν μαντικὸν Ἀπόλλων ἱδρύσας τρίποδα τοῖς πανταχόθεν ἐθέσπιζε, πάντα γένη καὶ πᾶσαι πόλεις παρὰ τὸν θεὸν ἐστέλλοντο ὑπὸ τῆς φήμης δημαγωγούμενοι.

Ἐκ τοῦ εἰς τοὺς ἑταίρους πατρίδος. τὸ προοίμιον.

ἀλλὰ γὰρ ὥρα λοιπόν, ὦ παῖδες, καὶ τοῖς πολίταις τὴν λύραν τὴν ἡμετέραν ἁρμόσασθαι. τί τὴν ἐνεγκοῦσαν πόλιν ποιήσομεν; ἀλλ᾽ ἐπεὶ οὐκ ἐπὶ τῶν ἁρμάτων ἡμεῖς ὀχούμεθα οὐδὲ τὰ ποιητῶν σπουδάζομεν, φέρε ἀνδράσι καὶ λόγοις τὴν πόλιν τειχίσωμεν. τὴν δὲ Ὁμήρου τὴν μεγάλην ἠχὼ τί τῶν ἁπάντων ἐξέμηνεν; οὐκ ἀνδρῶν δόξα; ἐγὼ δὲ ἀρετὴν ζητῶ, καὶ ἀπὸ ταύτης ἐπαινεῖν τοὺς ἄνδρας βούλομαι. τῆς δὲ ἀρχικῆς ἀρετῆς διπλᾶ τεκμήρια, βασιλέως τε αἱ ψῆφοι καὶ τῶν ἀρχομένων οἱ πόθοι. μετὰ τῶν ἔργων 1137B τὴν φύσιν σκέπτεσθαι ἄξιον· καὶ ἴσον τις εὑρήσει τάς τε πράξεις ἠχούσας καὶ τὴν φύσιν ὅθεν κατώρθωνται. τίνα δὴ τῆς φύσεως τοῦδε γνωρίσματα; ὀξὺς φρόνησιν, ὑψηλὸς γνώμην, εὖ ποιεῖν ἄοκνος, δημοτικὸς τὸν τρόπον· εἰ μὲν εἰπεῖν δέῃ, τὸν Περικλέα νικῶν, εἰ δέ τι πρᾶξαι, τὸν Ἀλκιβιάδην μιμούμενος, μᾶλλον δὲ καὶ φιλόπολις [μᾶλλον δὲ] καὶ χρημάτων κρείττων, ὅπερ ἡ συγγραφὴ τὸν Περικλέα προσείρηκεν, ἐν δὲ τῷ πράττειν πολλῷ τοῦ Κλεινίου θερμότερος, ἁπάσης ἀτεχνῶς λύρας οὐ μεῖον πρὸς πᾶσαν πρᾶξιν εὐάρμοστος. τοιοῦτόν τινα καὶ τὸν Πρωτέα γενέσθαι μῦθοι δηλοῦσιν Αἰγύπτιοι, ὅταν αὐτὸν νῦν μὲν εἰς ὕδωρ 611 H. ἀμείβουσι νῦν δὲ εἰς δένδρον καὶ φλόγα· τὸ εὔκολον γὰρ τῆς φύσεως διὰ τούτου σημῆναι βούλονται.

Ἐκ τοῦ εἰς Πριβᾶτον Ῥωμαῖον. τὸ προοίμιον.

ἤγαγε δὲ ἄρα ὁ τοῦ πυρὸς τοῦ κατ᾽ Ἐλευσῖνα πόθος καὶ Ἀνάχαρσιν τὸν Σκύθην ἐπὶ μυστήρια.

Ἐκ τοῦ ὅτε ἀπὸ τῆς Κορίνθου ἐπανῆλθεν.

εἰ δὲ ἄρα τύχη τις διασχίζοι τὰ σώματα, τῇ γοῦν ψυχῇ προβλέπειν καὶ μὴ τῷ πόθῳ τῶν παιδικῶν ἀποσχίζεσθαι. γνωρίζω τὸ πάθος· ἐμὴν ἑρμηνεύει γνώμην ἡ ποίησις.

a. 8. ἐκεῖνον A. 13. ἰξὺν C. 23. ἐδημοσίευσεν A. 26. φιλανθρωπίας ἥττων C. 29. σκυλάκειον corr A, σκυλάκιον corr C, κυλάκειον pr A, κυλάκκιον pr C. 34. Κὰρ] καρῶν C. 36. ἀποσυλήσας C. 38. τὰς C: τοὺς ς. b. 3. ὅτε — 8. προοίμιον om pr C. 7. vocis πατρίδος litteras ιδ correctas habet A. 11. τῶν ἀφετῶν ἁρμάτων C. 17. αἱ om A. 18. quae post πόθοι addebantur, μετὰ τῶν ἀρχομένων οἱ πόθοι, omisi cum AC. 21. τοῦδε C: τούτων ς. 26. ὅπερ] fortasse legendum ἥπερ.

Digitized by Google

Ἐκ τῆς εἰς Ἀμπέλιον προπεμπτικῆς.

τὸ προοίμιον.

ἤμελλον ἄρα, ὦ παῖδες, ἤμελλον μόνος εὑρήσειν Ἑλλήνων τῆς τῦδε φυγῆς τὰ θήρατρα. χθὲς δρασμὸν ἠπείλει ϗ ἅρματα, τήμερον ὤφθη τοῖς ἐμοῖς δικτύοις ἁλώσιμος. γενέσθω μὲν ϗ Ἀλέξανδρον λόγος ταῖς πάλαι τέχναις ἀγώνισμα, ὥςε δὴ καὶ νειμάμενοι τὴν μορφὴν αὐτῦ Λύσιππος ϗ Ἀπελλῆς, ὁ μὲν φαρμάκοις ὁ δὲ χαλκῷ τὴν φύσιν τῦ βασιλέως ἡρμήνευσαν. ἐπεὶ δὲ ὁ λόγος ὑπερβὰς τὸ σῶμα ψυχῆς ὁμιλεῖ ϗ κάλλει καὶ χάρισιν, εἴη ἂν καὶ ὗτος ἀψευδὴς ζωγράφος. μὴ τὸν πρωράτην ἐπιςήμονα πάσῃ ναυτιλίᾳ κτησάμενος· τὸ γὰρ ἄπειρον ἐπὶ τῆς χρείας ταράττεται, τὸ δὲ μελετῆσαν θαῤῥεῖ τὴν τέχνην ἣν ἔμαθεν. ἐκ πυλῶν εἰς νύσσαν ἴσον τὸν δρόμον ἰθύνατε. πρᾶος εἶ; κοινὸν ϗ τῦτο πλεονέκτημα. κακίαν μισεῖς; κακίᾳ συνεπεςράτευσεν. ἀδίκων δώρων ἐξέκλινας φύσιν; ἀπέκλεισε καὶ ὗτος τὰς τῆς ψυχῆς πύλας ὑβριςῇ χρυσῷ καὶ δικαιοσύνην ἐλέγχοντι· ἔγνω γὰρ ὡς ἐ δικαιοσύνη σὺν ὀλίγοις ψόγος, ἀλλὰ σὺν ἀδικίᾳ πλῦτος ἐχθρὸς ἀρετῆς καὶ τῦ θαυμάζεσθαι. αὕτη δὴ πρώτη τῶν ἐγκωμίων ἀρχή, ὅτι ϗ ἀρχὴ τῶν πράξεων. τὸ δὲ μετὰ τῦτο τί μὲν εἴποι τις, τί δὲ φυλάξαιτο; ϗ γὰρ τὸ λέγειν ἄπορον, καὶ τὸ μὴ λέγειν ἀχάριςον. ὥσπερ γὰρ οἱ τὰ κάλλη τῶν ἀγαλμάτων θεώμενοι ἔχονται μὲν τοὺς ὀφθαλμὲς ὑπὸ τῦ πρώτε προσπίπτοντος, μεταβιβάζοντες δὲ ἄλλοτε ἐπ' ἄλλο τὴν θέαν ἀπορῦσιν ὅ τι πρῶτον θεάσωνται· μᾶλλον δέ (τί γάρ μοι δεῖ παλαιᾶς εἰκόνος;) ὥσπερ οἵ τι τῶν νέων δημιεργημάτων θεώμενοι προσβλέπειν μὲν ἅπασιν ἀθρόως ὑπὸ τῦ περικεχυμένε τῷ παντὶ κάλλες βιάζονται, ἐν μέρει δὲ ἄλλε ἄλλοθεν δημαγωγοῦντος τὸν πόθον σχίζονται τὴν θέαν τῷ θαύματι, ὕτω καὶ αἱ σαὶ πράξεις πᾶσαι πανταχόθεν προσπίπτεσαι ἱςορίαν ἄλλην ζητῦσιν, ἀλλ' ὃ τὸν παρόντα τῶν λόγων νόμον ἀνέχονται. τὰς πράξεις εἴπῃ τις ἢ τὰς δίκας; [ἢ] τὴν ἐν μέρει σπεδὴν ἢ τὰς ὑπὲρ τῶν ὅλων φροντίδας; πενίας πρόνοιαν ἢ τὸν σὺν πραότητι τῶν δυναςευόντων σωφρονισμόν; ἀλλὰ διὰ σὲ ϗ Σπάρτη τρυφᾷ, ῥυπῶντα πλόκαμον εἰς εὐανθῆ κόμην ἀμείψασα. τὸν δὲ ἄπειρον τῶν οἰκοδομημάτων ὄχλον τίς ἂν κατ' ἀξίαν δηλώσειε; Περικλεῖ μὲν προπύλαια πρὸς φιλοτιμίαν ἤρκει καὶ παρθενών, καὶ οἶκος Δαρείῳ βασίλειος, ϗ ἄμπελος Ἀρταξέρξῃ χρυσῆ, Θεοδώρε Σαμίε ποίημα, ἄχρηςον ἔργον τρυφῶντος Μήδε κατὰ τῆς φύσεως. σὺ δὲ ἐκ Πυλῶν ἀρξάμενος ἄχρι ϗ Πελοποννήσου μυχοῦ πάντα τὸν ἐν μέσῳ τόπον πόλεις ἀπέφηνας.

ςενωπός τις ἦν Κολυττὸς ὕτω καλέμενος ἐν τῷ μεσαιτάτῳ τῆς πόλεως, δήμου μὲν ἔχων ἐπώνυμον, ἀγορᾶς δὲ χρείᾳ τιμώμενος. κατὰ δὴ κλέος τὸ πάλαι ἔρχεται ϗ ὗτος ἐπὶ τὸν τόπον, ὑπὸ τῆς φήμης δημαγωγούμενος· ἰδὼν δὲ τὴν μὲν φύσιν ἠγάσθη τῦ τόπε, τῇ κατασκευῇ δὲ ᾐσχύνθη [πλέον] ὑπὲρ τῆς πόλεως, οὐ μὴν ἀφῆκε πλέον ἐρυθριᾶσαι τὴν πόλιν ἐπὶ τῷ πράγματι. σὺ ϗ τὲς μύθους πιςοὺς ἀπέδειξας, ὅτι ςένει καὶ λίθος ἐρῶν καὶ λείβει δάκρυα ὥσπερ ἐραςὴς τῆς ἐρωμένης κλεπτόμενος· ὡς ἐγὼ δέδοικα μή τι ϗ πάθος ὁ περὶ σὲ πόθος ἐργάσηται, καί τινες τὴν φύσιν ἀμείψαντες εἶτα ξένον μῦθον γεννήσωσιν, ἄνθος ἢ δένδρον γενόμενοι.

Ἐκ τοῦ εἰς Ἀνατόλιον ὕπαρχον.

τὸ προοίμιον.

Ἀχιλλέα παρ' Ὁμήρῳ φόνον ἑταίρε δακρύοντα Ζεὺς ἐξ ὐρανῦ, δι' Ἑρμῦ πέμψας σύνθημα, ὅπλων ἐκέλευσεν ἅψασθαι. φέρ' οὖν ϗ ἡμεῖς ὥσπερ ἔκ τινος ἄνωθεν ῥεύματος εἰς πανήγυριν τὸ πάθος λύσαντες, τῷ μεσηγέτῃ χορεύσωμεν. θήρα γέγονε τῆς ἡμετέρας τέχνης ὁ μέγας ὕπαρχος. ὐ μῦθος ταῦτα ὐτε Ἀττικὰ κομψεύματα, ξένος ἐκ Θηβῶν Διόνυσος, Ποσειδῶν ἐραςὴς ἀπὸ τῦ κύματος, οἷα κατὰ τῆς πόλεως Λάκωνες παίζεσιν, ἀλλ' ἀληθὲς ἐντύχημα, ἀλλὰ παιδεία ϗ νόμοι, ῥίζα τῶν ἀγαθῶν ϗ μητρόπολις. αὐτός τε φυτεύει τῷ φυτῷ τέτῳ τὴν ἑαυτῦ ψυχήν, Ἀττικὰ ἐπάρδων τὰ νάματα. ἀεὶ δὲ τὰ καλὰ σπάνια, καὶ δόξαν ἀθάνατον τοῖς ἐπινοῦσι προμνώμενα. πρῶτος μὲν ὁ σοφὸς Ἀνάχαρσις ἐκ Σκυθῶν ἦλθεν εἰς Ἕλληνας, πρῶτος δὲ Πέλοψ Λυδῶν, ἐπ' ἀθανάτων ἵππων κατὰ γαλήνης ὀχούμενος. καὶ 613 H. μισθὸν τῆς καινοτομίας λαμβάνει δῦναι τῇ χώρᾳ τὸ πρόσρημα. καὶ ὁ μὲν ἔπαινος ἐν αἰγιαλοῖς ἔτι, πελαγίζει δὲ ὁ λόγος, οὐχ ὁρῶν ὅρμον φαινόμενον. κράτιςον ὖν ἴσως εἰκόνι τὴν τῦδε φύσιν θηράσαντα, τὸ τῦ Φειδίε μιμήσασθαι. ὐκ ἠγνόει Φειδίας ὅσος καὶ ἐν ὅσοις ὁ Ζεύς, ἅτε τὴν ψυχὴν τῆς χειρὸς σο-

a. 10. ὁμιλεῖ Wernsdorfius: libri ὡμίλει. καὶ om C. 16. κακίᾳ Wernsdorfius: libri κακίας. 22. ὅτι καὶ ἀρχὴ om C. 25. κάλλη post ἀγαλμάτων ponit C. 27. πρῶτον A: καὶ πρῶτον ς. 28. θεάσονται ς.
b. 6. Κολυττὸς] κόλπος C. 7. ἔχων om C. 14. λίθους C. 29. εὐτύχημα C. 32. τὰ post δὲ add AC.

φώτερος. βελόμενος ἓν ἐνὶ θηρᾶσαι τὴν Διὸς φύσιν ἀγάλματι, χρυσῷ κεράσας ἐλέφαντα, Ἠλείοις μὲν τὸν Ὀλύμπιον, τοῖς δὲ ἄλλοις ἀνθρώποις τὸν Δία εἰκόνι μιᾷ τοσοῦτον ὅσον ἐκτυπωσάμενος. ἐθέλω δέ σοι θείων ἐκ φαρμάκων γράψαι τὸν πίνακα· ἔκπλυτα γ̀ ταχέως χρόνῳ τὰ γήϊνα. δόγμα δὲ καὶ δόξαν εἴ τῳ φίλον καλεῖν τὸν πίνακα, οὐ διοίσομαι.

1141B. Ἐπειδὰν κἀμοί τὸ πολὺ σῶμα τοῦτο κακίας νόσῳ φθειρόμενον, ὃ γῆν μὲν ἡμεῖς κέντρον ἐκείνου τοῦ θείου κόσμου νομίζομεν, τότε Λαχέσεως ἄτρακτος οὐρανὸν σχίσας τοῖς νήμασιν ἐκ τῆς Διὸς ἑϛίας ἄγει ψυχὴν ἀκραιφνῆ, τῶν θείων φασμάτων παρ' ἡμᾶς τὴν ὁσίαν διαπορθμεύσασαν. αὕτη φέρει δικαιοσύνην, αὕτη ἀνδρείαν παρ' αὐτῆς· αὐτοφρόνησις καθαρῶς ἡ τοιαύτη ψυχή. ἕπεται δὲ αὐτῇ καὶ ἀρετῶν συμφύτων μυρίος θίασος, ὕψος ψυχῆς, μεγαλοπρέπεια γνώμης, ἐλευθέρα φωνή, χεῖρες ἄδωροι, φιλίας πόθος, ἀληθείας ἔρως, ἄτρεπτον φρόνημα. οὐκ ἐκ φιλίας ἀρετὴν κρίνων, ἀλλ' ἐξ ἀρετῆς τὰ τῆς φιλίας ϛαθμώμενος.

Ἐκ τοῦ εἰς Φοῖβον τὸν τοῦ ἀνθυπάτου παῖδα. τὸ προοίμιον.

σοφιϛοῦ δὲ θύραν ἐκ μικροτέρας γλώττης ἀμείψαντας σοφιϛικοῖς εἰκὸς οἶμαι περιτυγχάνειν καὶ διηγήμασιν. Ἰσοκράτης ὁ σοφιϛής (γνώριμον δὲ πᾶσιν οἶμαι μετὰ τῶν λόγων καὶ τοὔνομα, ὅτι δι' ἐκεῖνον σοφιϛῶν γλῶττα ποιητικὴν ἀτιμάσασα οἰκεῖον νόμον ἠσπάσατο) λόγῳ μὲν ἀεὶ τοῖς λόγων ἐρῶσι τὰ βασίλεια τῶν ἑαυτοῦ μουσείων ἀνεπετάννυεν.

Ἐκ τοῦ εἰς Ἀρκάδιον τὸν ἰατρὸν καὶ κόμητα.

παίζοντας γ̀ τοὺς νέους περὶ θάλαμον ἱϛόρησε, καὶ ταῖς ἑαυτῶν ἴυγξι ποιεῖ τὴν χάριν ἐλέγχοντας. νῦν δὲ ἕτερός ἆθλος, καὶ ἄλλο ϛάδιον, καὶ Μουσῶν τέμενος μύϛαις ὁσίοις ἀνοιγόμενον. περὶ τοῖς φιλτάτοις κυβεύουσι. φασὶ δὲ καὶ Δημοκήδην τὸν Κροτωνιάτην ἐκεῖνον τὸν πρῶτον ἰατρικὴν Ἑλλάδα παρὰ βαρβάροις κομίσαντα.

Ἐκ τοῦ προπεμπτικοῦ τοῦ εἰς τοὺς προσελθόντας ἑταίρους.

614H. Ὁ θυμοειδὴς τὴν ψυχήν, λόγῳ κεράσας τὸ πάθος, ἀνδρεῖος ἤκουσεν· ὁ τὸν βίον ἁβρός, μέτρον ἐπιθεὶς τῇ φύσει, τὴν σωφροσύνην ἐλάμβανεν. ἀμείβει τὴν φύσιν εἰς πολλὰς ἰδέας καὶ θάλαττα· πορφύρει μέν, ὅταν εἰς γαλήνην ϛορέσῃ τὰ κύματα, ζόφον δὲ ἔχει τὸ πρόσωπον, ὅταν ἀγριαίνῃ ταρασσομένη τοῖς κύμασιν.

Ἐκ τοῦ εἰς Φλαβιανὸν προπεμπτικοῦ. τὸ προοίμιον.

κρείττονά με λύραν, ὦ φίλε, κάμνοντα, ἵνα σε μετὰ Λιβύην ἀσπάσωμαι, φεύγων ἐξαίφνης εἰς συγγνὸν μέλος ἀπέῤῥιψας. οὔπω τὸ ἔαρ ὤφθη, καὶ χειμὼν Ἑλλησπόντιος προσβαλὼν τὴν ψυχὴν πήγνυσιν· οὔπω τὸν ἥλιον εἴδομεν, καὶ τὰς ἀκτῖνας ἑτέρωσε κλίνων ἀπειλεῖ νύκτα ποιήσειν τοῖς Ἕλλησι. πρὶν μειδιάσαι συγνάζομεν, πρὶν ἐπιδήμια θῦσαι θεοῖς ἐνοδίοις εὐχόμεθα. λόγους δὲ χειρὸς ἀτολμοτέρους ἐλέγχεσθαι, ὀκνοῦντας ποιεῖν ἃ κηρός τε ἐθέλει καὶ σίδηρος. διέπλει γὰρ ἀεὶ τὸ κλέος ἀπὸ Λιβύης εἰς Ἕλληνας. τὴν μὲν αὔραν ἐποίει καὶ τεθρυμμένην καὶ παίζουσαν, οἵας τὰς Λυδὰς ποιοῦσι ζωγράφοι κατὰ πινάκων τέχνῃ μεθύσας. μικρὸν οὖν ἀναβιβάσαντες ἐκ μέσου τὸν λόγον, εἶτα ῥυῆναι κατὰ Λιβύης ἐάσομεν. νικᾷ δὲ οὐδείς, ὅτι τὰ πάντα θαυμάζεται. ἀλλ' ὁ λόγος γ̀ ἀκολουθήσας τῷ πόθῳ ὥς πέρ τινι βιαίῳ ῥεύματι, μικροῦ πρὸς ἑτέραν ὁδὸν μετωχετεύθη φερόμενος. Ἐπανακτέον οὖν ἐπὶ Λιβύην 1142 τὸν λόγον. ἠλέγχθη Περικλῆς εἰς πειθὼ δεύτερος, ἠλέγχθη δὲ Θεμιϛοκλῆς εἰς γνώμης τάχος ἀμβλύτερος, καὶ Πλάτων εἰς φύσιν, καὶ Σόλων εἰς νόμους· καὶ πάντες ἴσασιν ὅτι εἷς ἕκαϛος ὡς μόνοις ὡς πᾶσιν οὕτως ἀγάλλεται. τί δράσω; τί δὲ βουλεύσωμαι; ὕπαρχον πέμψω Ῥωμαίοις; χελιδὼν δὲ δῆμος σεμνὸν οὐκ οἶδεν ἡνίοχον. δυσχεραίνει μοι τάχα Καρχηδὼν καὶ πόλις ἐπὶ Λιβύην δι' ἀρετήν ποτε κατὰ Ῥώμης φρονήσασα, πόλις Ἰταλίαν ὅλην τοῖς ἑαυτῆς κάλλεσι βόσκουσα, πόλις παρὰ τοσοῦτον οὐ πρώτη παρ' ὅσον Ῥώμην αἰσχύνεται. κινδυνεύει μοι πόλις μεγάλη, καὶ ἤπειρος ὅλη πονηροῖς κυβερνᾶται τοῖς οἴαξι. πέμψωμεν αὐτὸν τὸν μέγαν τῆς νίκης ἡνίοχον. ἔγνω ταῦτα βασιλεύς, καὶ χρυσαῖ παραχρῆμα δέλτοι τὴν γνώμην ἔφθανον. ἐνταῦθα τοῦ λόγου γενόμενος τί πρῶτον, τί δ' ἔπειτα, τί δ' ὑϛάτιον καταλέξω; κινοῦνται μὲν γ̀ πανταχόθεν αἱ πράξεις, ἴσα δὲ πάντα,

a. 10. ἄτρακτος] ὕραστον C. 13. αὕτη ἀ.] αὐτὴν ἀ. A. 19. κρίνων — ϛαθμώμενος A: κρίνον — ϛαθμώμενον ϛ. 22. σοφιϛοῦ δὲ] σοφίας τοῦδε A. ἀμείψαντας codices Him.: Phot. ἀμείψαντες. 25. καὶ om C. 26. γλῶσσα τὰς ποιητικὰς ἀτ. C. 33. μύϛαις C: καὶ μύϛαις ϛ.
b. 15. διέπλει] ἔπλει A. 17. λίδας C. 18. μεθύσας A, μεθύσαντες C, μεθυούσας ϛ. 20. λιβύην C. 21. πάντα] πάντων C. γὰρ om C. 23. ἐπὶ τὴν λιβύην C. 27. εἷς — οὕτως] οἷς — οὗτος Reiskius. 28. βουλεύσομαι ϛ. 36. νίκης] δίκης C. 39. δ' ante ἔπειτα om C.

καὶ τῷ μὴ λέγειν τὸ λέγειν ὁμοίως ἄπορον, ὅτι τὸ μὲν πλήθει τὸ δὲ μεγέθει κωλύεται. λεκτέον οὖν οὐχ ὅσα ἔνεστιν, ἀλλ᾽ ὅσα ἔξεστιν. ὁρῶντες δὲ αὐτὸν κατὰ τοῦ χειμῶνος ὡς κατὰ γαλήνης τὸν στόλον πέμποντα, 615 H. καὶ κατὰ κυμάτων ὡς κατὰ λιμένων ἀθύροντα, οἱ μὲν ὡς δριμὺν ἐραστὴν ἐπόθουν, οἱ δὲ ἔφριττον ὡς πᾶσι φόβοις ἀήττητον. κρείττονα πομπὴν τῆς Ἡφαίστου ἐπόμπευον. ἀντήχει δὲ δῆμος κύμασι, καὶ ῥοθίῳ κρότος ἐκ πόλεως· καὶ ψόφον θαλάσσης βοὴ Καρχηδόνος ἐξέπληττε. συγγνώμην δὲ ἅπας ἐχέτω καὶ γέρων καὶ νέος, εἰ ἔπη φθέγγομαι· οἶδε γάρ, οἶδεν ἔρως καὶ λόγον ποιεῖν αὐτόνομον. οὗτος νόσον ἐνόσησε τῆς μὲν ἑαυτοῦ τύχης μείζονα, τῆς δὲ πονηρίας οὐχ ἥττονα. καὶ μὴ θαυμάσῃ τις εἰ ταῦτα ἐκεῖνος κατὰ τοιοῦδε ἀνδρὸς ἐνόσησεν. ἄνωθεν κατὰ τῶν ἀρίστων ἀρχόντων τοῖς ἐλάττοσι φθόνος φύεται. ἐσυκοφάντει Περικλέα Κλέων, ἔφυγε Νικίας Ὑπέρβολον, Δημάδης δ᾽ ἔκρινε Δημοσθένην, Κλεοφῶν Ἀλκιβιάδην ἐγράφετο, ἀνὴρ ἐλοιδόρει Θεμιστοκλέα Σερίφιος. τῷ γὰρ ὑπερβάλλοντι τῆς τύχης φθονοῦντες, τὸ ἐλαττούμενον τῆς ἀξίας ἀνισοῦν θράσει βιάζονται. ἔνθα δὴ καὶ μάλιστα ἔδειξεν ὅσον τὸ μέσον ἀρετῆς τε καὶ πανούργου τρόπου καθέστηκεν.

## 244.

Ἀνεγνώσθησαν τῆς ΔΙΟΔΩΡΟΥ βιβλιοθήκης ἄλλοι τε λόγοι καὶ ὁ λβ´ καὶ λδ´, καὶ ὁ μ´ καὶ ὁ μη´, καὶ ὁ λα´ καὶ ὁ β´ καὶ δ´ καὶ ς´, καὶ λζ´ καὶ λη´. ὧν ἐκλογὴν ἡ παροῦσα ἔκδοσις περιέχει.

ὅτι πολλοὶ μὲν καὶ ἄλλοι ἱστόρησαν ἀπὸ σχήματος γυναικείου καὶ ὑπολήψεως εἰς ἀνδρὸς καὶ σχῆμα καὶ φύσιν ἀναφανῆναι· ἀτὰρ καὶ Διόδωρος ἐν τῇ λβ´ τῶν ἱστοριῶν τοιαῦτα περὶ ταύτης τῆς περιπετείας ἱστορεῖ, τὰ περὶ Ἀλέξανδρον τὸν Κοίλης Συρίας καὶ Ἀντιοχείας βασιλεύσαντα διεξιών. φησὶ δέ, ὁ δὲ Ἀλέξανδρος ἀπὸ μὲν τῆς μάχης μετὰ πεντακοσίων τὴν φυγὴν ἐποιήσατο τῆς Ἀραβίας εἰς τὰς καλουμένας Ἄβας πρὸς Διοκλέα τὸν δυνάστην, πρὸς ὃν ἦν καὶ τὸν υἱὸν Ἀντίοχον προεκτεθειμένος ὄντα νήπιον. εἶτα οἱ μὲν περὶ τὸν Ἡλιάδην ἡγεμόνες, οἳ συνῆσαν Ἀλεξάνδρῳ, λάθρα διεπρεσβεύσαντο περὶ τῆς ἰδίας ἡγεμονίας, 1145 R. ἐπαγγελλόμενοι δολοφονήσειν τὸν Ἀλέξανδρον· συγχωρήσαντος δὲ τοῦ Δημητρίου περὶ ὧν ἠξίουν, οὐ μόνον προδόται τοῦ βασιλέως ἀλλὰ καὶ φονεῖς ἐγενήθησαν. οὐκ ἄξιον δὲ παρελθεῖν τὴν γενομένην περιπέτειαν πρὸ τῆς Ἀλεξάνδρου τελευτῆς, διὰ δὲ τὸ παράδοξον ἴσως ἀπιστηθησομένην. Ἀλεξάνδρου γὰρ τοῦ βασιλέως βραχὺ πρὸ τῶν ἐνεστώτων χρόνων χρηστηριαζομένου κατὰ τὴν Κιλικίαν, ἔνθα φασὶν Ἀπόλλωνος Σαρπηδονίου ἱερὸν εἶναι, ἀνελεῖν αὐτῷ λέγεται τὸν θεὸν φυλάξασθαι τὸν τόπον τὸν ἐνεγκόντα τὸν δίμορφον. καὶ τότε μὲν αἰνιγματώδη τὸν χρησμὸν εἶναι δόξαι, ὕστερον μέντοι μετὰ τὴν τελευτὴν τοῦ βασιλέως ἐπιγνωσθῆναι τὸ λόγιον διὰ τοιαύτας τινὰς αἰτίας. τῆς Ἀραβίας ἐν ταῖς καλουμέναις Ἄβαις ᾤκει τις Διόφαντος ὄνομα, τὸ δὲ γένος Μακεδών. οὗτος ἐγχώριον Ἀραβίαν γυναῖκα γήμας ἐγέννησε υἱὸν μὲν ὁμώνυμον ἑαυτῷ, θυγατέρα δὲ τὴν 616 H. προσαγορευθεῖσαν Ἡραΐδα. τὸν μὲν οὖν υἱὸν πρὸ τῆς ἀκμῆς ἐπεῖδε τελευτήσαντα, τὴν δὲ θυγατέρα γάμου ἔχουσαν ὥραν προικίσας συγκατῴκισέ τινι ὄνομα Σαμιάδης. οὗτος μὲν οὖν συμβιώσας τῇ γαμηθείσῃ χρόνον ἐνιαύσιον ἀπεδήμησε μακρὰν ἀποδημίαν. τὴν δ᾽ Ἡραΐδα φασὶν ἀῤῥωστίᾳ περιπεσεῖν παραδόξῳ καὶ παντελῶς ἀπιστουμένῃ· φλεγμονὴν γὰρ ἰσχυρὰν γενέσθαι περὶ τὸ ἦτρον αὐτῆς. ἐπὶ πλέον δὲ οἰδήσαντος τοῦ τόπου, ἔπειτα τῶν πυρετῶν μεγάλων συνεπιγινομένων, καταδοξάσαι τοὺς ἰατροὺς ἕλκωσιν γεγονέναι περὶ τὸν τράχηλον τῆς μήτρας. χρωμένων δὲ αὐτῶν θεραπείαις αἷς ὑπελάμβανον καταστέλλειν τὰς φλεγμονάς, ἑβδομαίας δ᾽ οὔσης, ῥῆξιν ἐπιγενέσθαι τῆς ἐπιφανείας, καὶ προπεσεῖν ἐκ τῶν τῆς Ἡραΐδος γυναικείων αἰδοῖον ἀνδρεῖον, ἔχον διδύμους προσκειμένους. τὴν δὲ ῥῆξιν τούτων καὶ τὸ πάθος γενέσθαι μήτε ἰατροῦ μήτ᾽ ἄλλων τῶν ἔξωθεν παρόντων, πλὴν μητρὸς καὶ δύο θεραπαινίδων. τότε μὲν οὖν ἀχανεῖς γενομένας διὰ τὸ παράδοξον, τὴν ἐνδεχομένην ἐπιμέλειαν ποιήσασθαι τῆς Ἡραΐδος, καὶ κατασιωπῆσαι τὸ γεγονός. τὴν δὲ ἀπολυθεῖσαν τῆς νόσου τὴν ἐσθῆτα φορεῖν γυναικείαν, καὶ τὴν ἄλλην ἀγωγὴν οἰκουρὸν καὶ ὕπανδρον διαφυλάττειν· καταδοξάζεσθαι δὲ ὑπὸ τῶν συν-

a 1. τῷ — τὸ] τὸ — τῷ C. 4. χειμῶνος Wernsdorfius: libri λειμῶνος. 8. δῆμος τοῖς κύμασι ς. 11. ἔπη φθέγγομαι C, ἔτι φθέγγομαι A, ἐπιφθέγγομαι ς. 19. libri σέριφος. 25. τῆς A: ἐκ τῆς ς. 26. καὶ ὁ μ´ A, καὶ μ´ B: om ς. 27. καὶ δ´ om A. λζ´] ὁ λζ´ A. λη´] ὁ λη´ A. 33. ἱστορεῖ — κοίλης] καὶ τῶν B et rc A: pr enim om. 34. βασιλευσάντων B. δὲ ante ὁ om B. 37. ἦν om B.

b. 5. πρὸ A, πρὸς ς. 11. τὸν δίμορφον pr A, θέαν δίμορφον B: τὸν θεὸν δίμορφον ς. cf. p. 378 a 40. 17. μὲν υἱὸν ς. 20. σαμίᾳ A. 26. τῷ πυρετῷ ς. συνεπιγινομένῳ ς. 29. δ᾽ om B. 30. προπεσεῖν B: προσπεσεῖν ς. 33. ἄλλου τῶν ἔξω ς. 34. οὖν add B. 35. γενομένας B: γινομένας ς. 39. ὑπ᾽ ἄνδρα φυλάττειν A. καταδεδοξάσθαι B, κατεδόξασο corr A, κατεδοξάσθαι ς.

εἰδότων τὴν περιπέτειαν ἑρμαφρόδιτον εἶναι, καὶ κατὰ τὴν γεγενημένην μετ' ἀνδρὸς συμβίωσιν, τῆς κατὰ φύσιν ἐπιπλοκῆς ἀντιπραττούσης, δοκεῖν αὐτὴν ταῖς ἀρρενικαῖς συμπεριφοραῖς καθωμιλῆσθαι. λανθανούσης δὲ τοὺς ἐκτὸς τῆς διαθέσεως ταύτης ἐπανελθεῖν τὸν Σαμιάδην καὶ (καθάπερ ἦν ἐπιβάλλον) τὴν γαμηθεῖσαν ἐπιζητεῖν, οὐ τολμώσης δ' ἐκείνης εἰς ὄψιν ἐλθεῖν διὰ τὴν αἰσχύνην, τὸν Σαμιάδην φασὶ βαρέως ἐνεγκεῖν. ἐπικειμένου δὲ συνεχέστερον καὶ ἀπαιτοῦντος τὴν σύμβιον, καὶ τοῦ πατρὸς μὴ συγχωροῦντος μέν, αἰσχυνομένου δὲ τὴν αἰτίαν εἰπεῖν, εἰς μέγα ηὔξετο ἡ διαφορά. ἐπενεγκεῖν τε διὰ τοῦτο δίκην τῷ πατρὶ περὶ τῆς ἰδίας γυναικός, τῆς τύχης ὥσπερ ἐν δράμασι τὸ παράδοξον τῆς περιπετείας ἀγούσης εἰς ἔγκλημα. συνεδρευσάντων δὲ τῶν κριτῶν καὶ λόγων ῥηθέντων συμπαρεῖναι μὲν τῇ κρίσει τὸ ἀμφισβητούμενον σῶμα, διαπορεῖν δὲ τοὺς δικαστὰς πότερον προσήκει τὸν ἄνδρα τῆς γυναικὸς ἢ τὸν πατέρα τῆς θυγατρὸς κυριεύειν. πέρας τῶν κριτῶν οἰομένων δεῖν ἀκολουθεῖν τἀνδρὶ τὴν γαμηθεῖσαν, τὴν ἀλήθειαν διασαφῆσαι τὸ τῆς φύσεως ἄρρεν, καὶ θυμῷ τετολμηκότι τὴν καθυποκρινομένην ἐσθῆτα λύσασαν δεῖξαι πᾶσι, ῥῆξαί τε φωνὴν δεινοπαθοῦσαν, εἴ
1148R. τινες ἀναγκάζουσι συνοικεῖν ἀνδρὶ τὸν ἄνδρα. πάντων δὲ καταπλαγέντων καὶ φωνῇ θαυμαζούσῃ τὸ παράδοξον ἐπισημαινομένων, τὴν μὲν Ἡραΐδα φασὶν ἀποκαλυφθείσης τῆς αἰσχύνης μεταμφιάσασθαι τὸν γυναικεῖον κόσμον εἰς νεανίσκου διάθεσιν, τοὺς δὲ ἰατροὺς
617H. ἐπιδειχθέντων αὐτοῖς τῶν φανέντων γνῶναι ὅτι κατεκέκρυπτο φύσις ἄρρενος ἐν ᾠειδεῖ τόπῳ φύσεως θηλείας, καὶ δέρματος περιειληφότος παρὰ τὸ σύνηθες τὴν φύσιν σύντρησις ἐγεγένητο, δι' ὧν ἐξωδεύοντο τὰ περιττώματα· διόπερ τὸν προσσεσυριγγωμένον τόπον ἑλκώσαντας δεῖν κατουλῶσαι, τὴν δὲ ἀνδρὸς φύσιν εὔκοσμον ποιήσαντας σὺν ἐνδεχομένῃ δόξαι κεχρῆσθαι θεραπείᾳ. τὴν δ' Ἡραΐδα μετονομασθεῖσαν Διόφαντον εἰς τοὺς ἱππεῖς καταλεχθῆναι, καὶ σὺν τῷ βασιλεῖ παραταξάμενον εἰς τὰς Ἄβας συναναχωρῆσαι. διὸ καὶ τὸν πρότερον ἀγνοούμενον χρησμὸν τότε γνωσθῆναι φανέντος τοῦ βασιλέως ἐν ταῖς Ἄβαις, καθ' ὃν τόπον ὁ δίμορφος ἐγεγένητο. τὸν δὲ Σαμιάδην λέγουσιν, ἔρωτι καὶ τῇ προγεγενημένῃ συνηθείᾳ δεδουλωμένον, αἰσχύνῃ τε τοῦ παρὰ φύσιν γάμου συνεχόμενον, τῆς μὲν οὐσίας τὸν Διόφαντον ἀναδεῖξαι διαθήκῃ κληρονόμον, ἑαυτὸν δὲ τοῦ ζῆν μεταστῆσαι, ὥστε τὴν μὲν γυναῖκα γεγενημένην ἀνδρὸς ἀναλαβεῖν δόξαν καὶ τόλμαν, τὸν δ' ἄνδρα γυναικείας ψυχῆς ἀσθενέστερον γενέσθαι.

Παραπλησία δὲ ταύτῃ τῇ διαθέσει συνετελέσθη περιπέτεια τριάκοντα ἔτεσιν ὕστερον ἐν τῇ πόλει τῶν Ἐπιδαυρίων. ἦν γάρ τις Ἐπιδαυρία, κόρη μὲν εἶναι δοκοῦσα, γονέων δὲ ὀρφανή, Καλλὼ δ' ὄνομα. αὕτη τὸν ἐπὶ τῆς φύσεως ἀποδεδειγμένον ταῖς γυναιξὶ πόρον ἄτρητον εἶχεν, παρὰ δὲ τὸν καλούμενον συριγγωθέντος ἐκ γενετῆς τὰς περιττώσεις τῶν ὑγρῶν ἐξέκρινεν. εἰς δὲ τὴν ἀκμὴν τῆς ἡλικίας παραγενομένη συνῳκίσθη τινὶ τῶν πολιτῶν. διετῆ μὲν οὖν χρόνον συνεβίωσε τἀνδρί, τὴν μὲν γυναικείαν ἐπιπλοκὴν οὐκ ἐπιδεχομένη, τὴν δὲ παρὰ φύσιν ὁμιλίαν ὑπομένειν ἀναγκαζομένη. μετὰ δὲ ταῦτα φλεγμονῆς αὐτῇ συμβάσης περὶ τὸν κτένα καὶ δεινῶν ἀλγηδόνων ἐπιγενομένων συνεκλήθη πλῆθος ἰατρῶν. καὶ τῶν μὲν ἄλλων οὐδεὶς ὑπισχνεῖτο θεραπεύειν, φαρμακοπώλης δέ τις ἐπαγγελλόμενος ὑγιάσειν ἔτεμε τὸν ἐπηρμένον τόπον, ἐξ οὗπερ ἐξέπεσεν ἀνδρὸς αἰδοῖα, δίδυμοι καὶ καυλὸς ἄτρητος. πάντων δὲ τὸ παράδοξον καταπλαγέντων ὁ φαρμακοπώλης ἐβοήθει τοῖς λειπομένοις μέρεσι τῆς πηρώσεως. τὸ μὲν οὖν πρῶτον τὸ αἰδοῖον ἄκρον ἐπιτεμὼν συνέτρησεν εἰς τὸν οὐρητῆρα, καὶ καθεὶς ἀργυροῦν καυλίσκον ταύτῃ τὰ περιττώματα τῶν ὑγρῶν ἐξεκόμιζε, τὸν δὲ σεσυριγγωμένον τόπον ἑλκώσας ἐνέφυσε. καὶ τοῦτον τὸν τρόπον ὑγιοποιήσας διπλοῦν ἀπῄτει τὸν μισθόν· ἔφη γὰρ αὐτὸν παρειληφέναι γυναῖκα νοσοῦσαν, καθεστακέναι δὲ νεανίσκον ὑγιαίνοντα. ἡ δὲ Καλλὼ τὰς μὲν ἐκ τῶν ἱστῶν κερκίδας καὶ τὴν ἄλλην τῶν γυναικῶν ταλασιουργίαν ἀπέθετο, μεταλαβοῦσα δὲ ἀνδρὸς ἐσθῆτα καὶ τὴν ἄλλην διάθεσιν μετωνομάσθη Κάλλων, ἑνὸς στοιχείου ἐπὶ τῷ τέλει τοῦ ν προστεθέντος. λέγεται δ' ὑπό τινων ὅτι πρὸ τοῦ μεταλαβεῖν τὴν εἰς ἄνδρα μορφὴν ἱέρεια τῆς Δήμη- 618B
τρος ἐγεγένητο, καὶ τὰ τοῖς ἄρρεσιν ἀόρατα ἰδοῦσα κρίσιν ἔσχεν ἀσεβείας.

Ὁμοίως δ' ἐν τῇ Νεαπόλει καὶ κατ' ἄλλους τόπους πλείονας ἱστοροῦνται γεγονέναι τοιαῦται περιπέτειαι, οὐκ ἄρρενος καὶ θηλείας φύσεως εἰς δίμορ-

a. 8. φησὶ B. 13. δράματι B. 28. κατακέκρυπτο B. 29. ᾠειδεῖ] ὁμοειδεῖ A. fortasse ὠοειδεῖ. 31. σύντρησίς τις γεγένητο B. 35. χρῆσθαι δόξαι ς. 40. ἐγεγένητο B.
b. 4. τόλμαν καὶ δόξαν B. 9. καλὼ B. 11. παρὰ δὲ AB: παρ' αὐτὸν δὲ ς, καλούμενον A, καλούμενον κτένα Stephanus, καλούμενον τόπον ς. συριγγωθέντα B. 41. πλείονες B.

φον τύπον δημιουργηθείσης (ἀδύνατον γὰρ τοῦτο), 1149R. ἀλλὰ τῆς φύσεως διὰ τῶν τοῦ σώματος μερῶν ψευδογραφούσης εἰς ἔκπληξιν καὶ ἀπάτην τῶν ἀνθρώπων. διόπερ καὶ ἡμεῖς τὰς περιπετείας ταύτας ἀναγραφῆς ἠξιώσαμεν, οὐ ψυχαγωγίας ἀλλ' ὠφελείας ἕνεκα τῶν ἀναγινωσκόντων. πολλοὶ γὰρ τέρατα τὰ τοιαῦτα νομίζοντες εἶναι δεισιδαιμονοῦσιν, οὐκ ἰδιῶται μόνον ἀλλὰ καὶ ἔθνη καὶ πόλεις. κατ' ἀρχὰς γοῦν τοῦ Μαρσικοῦ πολέμου πλησίον τῆς Ῥώμης οἰκοῦντά φασιν Ἰταλικόν, γεγαμηκότα παραπλήσιον τοῖς εἰρημένοις ἀνδρόγυνον, προσαγγεῖλαι τῇ συγκλήτῳ, τὴν δὲ δεισιδαιμονήσασαν ϗ τοῖς ἀπὸ Τυῤῥηνίας ἱεροσκόποις πεισθεῖσαν ζῶντα προσάξαι καῦσαι. τοῦτον μὲν οὖν ὁμοίας κεκοινωνηκότα φύσεως, ἀλλ' οὐ πρὸς ἀλήθειαν τέρας γεγενημένον, φασὶν ἀγνοίᾳ τῆς νόσου παρὰ τὸ προσῆκον ἀπολωλέναι. μετ' ὀλίγον δὲ καὶ παρ' Ἀθηναίοις τοῦ τοιούτου γενομένου διὰ τὴν ἄγνοιαν τοῦ πάθους ζῶντά φασι κατακαῆναι. ϗ γὰρ τὰς λεγομένας ὑαίνας τινὲς μυθολογοῦσιν ἄῤῥενας ἅμα καὶ θηλείας ὑπάρχειν, ϗ παρ' ἐνιαυτὸν ἀλλήλας ὀχεύειν, τῆς ἀληθείας οὐχ οὕτως ἐχούσης. ἑκατέρου γὰρ τοῦ γένους ἁπλῆν ἔχοντος καὶ ἀνεπίμικτον τὴν φύσιν, προσώρισται τὸ ψευδογραφοῦν ϗ παρακρουόμενον τοὺς εἰκῆ θεωροῦντας· τῇ μὲν γὰρ θηλείᾳ πρόσκειταί τι κατὰ τὴν φύσιν παρεμφερὲς ἄῤῥενι μορίῳ, τῷ δὲ ἄῤῥενι κατὰ τὸ ἐναντίον ἔμφασις θηλείας φύσεως. ὁ δ' αὐτὸς λόγος ϗ ἐπὶ πάντων τῶν ζώων, γενομένων μὲν πρὸς ἀλήθειαν πολλῶν καὶ παντοδαπῶν τεράτων, μὴ τρεφομένων δὲ καὶ εἰς τελείαν αὔξησιν ἐλθεῖν οὐ δυναμένων. ταῦτα μὲν εἰρήσθω πρὸς διόρθωσιν δεισιδαιμονίας.

Ὁ μὲν οὖν Διόδωρος πρὸς τῷ τέλει τοῦ λβ' λόγου τῆς ἱστορικῆς αὐτοῦ πραγματείας τοσαῦτα διέξεισι· ϗ ἄλλοι δὲ πλεῖστοι τοιαύτας περιπετείας ἱστορήκασιν.

Ἐκ τοῦ λδ'.

Ὡς Ἀντίοχος ὁ βασιλεύς, φησίν, ἐπολιόρκει τὰ Ἱεροσόλυμα, οἱ δὲ Ἰουδαῖοι μέχρι μέν τινος ἀντεῖχον, ἐξαναλωθέντων δὲ τῶν ἐπιτηδείων ἁπάντων ἠναγκάσθησαν περὶ διαλύσεως διαπρεσβεύσασθαι. οἱ δὲ πλείους αὐτῷ τῶν φίλων συνεβούλευον κατὰ κράτος αἱρήσειν τὴν πόλιν καὶ τὸ γένος ἄρδην ἀνελεῖν τῶν Ἰουδαίων· μόνους γὰρ ἁπάντων ἐθνῶν ἀκοινωνήτους εἶναι τῆς πρὸς ἄλλο ἔθνος ἐπιμιξίας ϗ πολεμίους ὑπολαμβάνειν πάντας. ἀπεδείκνυον δὲ καὶ τοὺς προγόνους αὐτῶν ὡς ἀσεβεῖς ϗ μισουμένους ὑπὸ τῶν θεῶν ἐξ ἁπάσης τῆς Αἰγύπτου πεφυγαδευμένους. τοὺς γὰρ ἀλφοὺς ἢ λέπρας ἔχοντας ἐν τοῖς σώμασι, καθαρμοῦ χάριν ὡς ἐναγεῖς συναθροισθέντας, ὑπερορίους ἐκβεβλῆσθαι· τοὺς δὲ ἐξορισθέντας 619H. καταλαβέσθαι μὲν τοὺς περὶ τὰ Ἱεροσόλυμα τόπους, συστησαμένους δὲ τὸ τῶν Ἰουδαίων ἔθνος παραδόσιμον ποιῆσαι τὸ μῖσος τὸ πρὸς τοὺς ἀνθρώπους· διὰ τοῦτο δὲ καὶ νόμιμα παντελῶς ἐξηλλαγμένα καταδεῖξαι, τὸ μηδενὶ ἄλλῳ ἔθνει τραπέζης κοινωνεῖν μηδ' εὐνοεῖν τὸ παράπαν. ὑπέμνησαν δὲ αὐτὸν ϗ περὶ τοῦ προγενομένου μίσους τοῖς προγόνοις πρὸς τοῦτο τὸ ἔθνος. Ἀντίοχος γὰρ ὁ προσαγορευθεὶς Ἐπιφανής, καταπολεμήσας τοὺς Ἰουδαίους, εἰσῆλθεν εἰς τὸν ἄδυτον τοῦ θεοῦ σηκόν, οὗ νόμιμον εἰσιέναι μόνον τὸν ἱερέα· εὑρὼν δὲ ἐν αὐτῷ λίθινον ἄγαλμα ἀνδρὸς βαθυπώγωνος, καθήμενον ἐπ' ὄνου, μετὰ χεῖρας ἔχον βιβλίον, τοῦτο μὲν ὑπέλαβε Μωϋσέως εἶναι τοῦ κτίσαντος τὰ Ἱεροσόλυμα καὶ συστησαμένου τὸ ἔθνος, πρὸς δὲ τούτοις νομοθετήσαντος τὰ μισάνθρωπα καὶ παράνομα ἔθη τοῖς Ἰουδαίοις, αὐτὸς δὲ συγήσας τὴν μισανθρωπίαν πάντων ἐθνῶν ἐφιλοτιμήθη καταλῦσαι τὰ νόμιμα· διὸ τῷ 1152R. ἀγάλματι τοῦ κτίσου καὶ τῷ ὑπαίθρῳ βωμῷ τοῦ θεοῦ μεγάλην ὗν θύσας τό τε αἷμα προσέχεεν αὐτοῖς, καὶ τὰ κρέα σκευάσας προσέταξε τῷ [μὲν] ἀπὸ τούτων ζωμῷ τὰς ἱερὰς αὐτῶν βίβλους καὶ περιεχούσας τὰ μισόξενα νόμιμα καταῤῥᾶναι, τὸν δὲ ἀθάνατον λεγόμενον παρ' αὐτοῖς λύχνον καὶ καιόμενον ἀδιαλείπτως ἐν τῷ ναῷ κατασβέσαι, τῶν τε κρεῶν ἀναγκάσας προσενέγκασθαι τὸν ἀρχιερέα καὶ τοὺς ἄλλους Ἰουδαίους. ταῦτα δὴ διεξιόντες οἱ φίλοι τὸν Ἀντίοχον παρεκάλουν μάλιστα μὲν ἄρδην ἀνελεῖν τὸ ἔθνος, εἰ δὲ μή, καταλῦσαι τὰ νόμιμα καὶ συναναγκάσαι τὰς ἀγωγὰς μεταθέσθαι. ὁ δὲ βασιλεὺς μεγαλόψυχος ὢν καὶ τὸ ἦθος ἥμερος, λαβὼν ὁμήρους ἀπέλυσε τῶν ἐγκλημάτων τοὺς Ἰουδαίους, φόρους τε τοὺς ὀφειλομένους πραξάμενος, καὶ τὰ τείχη περιελὼν τῶν Ἱεροσολύμων.

Ταῦτα Διόδωρος περὶ τῶν Μωσαϊκῶν ἐθῶν ϗ νομίμων, ἀλλὰ καὶ τοῦ τῶν Ἱεροσολύμων κτίσου καταψευσάμενος καὶ αὐτῆς τῆς ἐξ Αἰγύπτου τῶν Ἰουδαίων

a. 1. τύπον *B*: τόπον ς. 4. καὶ add *B*. 17. φησι ς. 18. καὶ γὰρ καὶ τ. ς. 23. γὰρ add *B*. 25. ἔμφασις *B* et corr *A*: ἐμφύσεις ς. 26. malim γινομένων. 35. φησὶν om *B*.

b. 3. ὑπὸ τῶν *A*: παρὰ ς. 9. τὸ πρὸς τοὺς ἀνθρώπους μῖσος *B*. 10. δὲ om *B*. 12. τὸ παράπαν μηδ' εὐνοεῖν ς. προγενομένου *A*: γενομένου ς. 16. οὗ] ἢ *A*. malim οἶ. 19. μωϋσέως *A*, μωϋσέος *B*: Μωσέως ς. 21. καὶ add *A*. 22. συγήσας] libri συστήσας. 27. αὐτοῦ *A*. 29. κάομενον *B*. 30. ἀναγκάσαι *B*.

ἐξόδῳ, καὶ πρὸς τὸν ἔλεγχον τοῦ ψεύδους ὥσπερ ἑαυτῷ τὸ μὴ αὐτὸς ἁλῶναι διοικονομούμενος, ἑτέροις περιτίθησι προσώποις τὴν περὶ τῶν διεψευσμένων ἀφήγησιν, τὴν Ἀντιόχου φιλίαν τούτοις προσεπισυνάπτων. γράφει δὲ καὶ ἐν τῷ μʹ λόγῳ τῆς αὐτῆς βιβλιοθήκης περὶ Ἰουδαίων ταῦτα.

Ἐκ τοῦ μʹ λόγου, περὶ τὸ μέσον.

Ἡμεῖς δὲ μέλλοντες ἀναγράφειν τὸν πρὸς Ἰουδαίους πόλεμον, οἰκεῖον εἶναι διαλαμβάνομεν προδιελθεῖν ἐν κεφαλαίοις τήν τε τοῦ ἔθνους τούτου ἐξ ἀρχῆς κτίσιν καὶ τὰ παρ' αὐτοῖς νόμιμα. κατὰ τὴν Αἴγυπτον τὸ πά-
620 H. λαιὸν λοιμικῆς περιστάσεως γενομένης ἀνέπεμπον οἱ πολλοὶ τὴν αἰτίαν τῶν κακῶν ἐπὶ τὸ δαιμόνιον· πολλῶν γὰρ καὶ παντοδαπῶν κατοικούντων ξένων, καὶ διηλλαγμένοις ἔθεσι χρωμένων περὶ τὸ ἱερὸν καὶ τὰς θυσίας, καταλελύσθαι συνέβαινε παρ' αὐτοῖς τὰς πατρίους τῶν θεῶν τιμάς. ὅπερ οἱ τῆς χώρας ἐγγενεῖς ὑπέλαβον, ἐὰν μὴ τοὺς ἀλλοφύλους μεταστήσωνται, κρίσιν οὐκ ἔσεσθαι τῶν κακῶν. εὐθὺς οὖν ξενηλατουμένων τῶν ἀλλοεθνῶν οἱ μὲν ἐπιφανέστατοι καὶ δραστικώτατοι συστραφέντες ἐξερρίφησαν (ὥς τινές φασιν) εἰς τὴν Ἑλλάδα καί τινας ἑτέρους τόπους, ἔχοντες ἀξιολόγους ἡγεμόνας, ὧν ἡγοῦντο Δαναὸς καὶ Κάδμος τῶν ἄλλων ἐπιφανέστατοι· ὁ δὲ πολὺς λεὼς ἐξέπεσεν εἰς τὴν νῦν καλουμένην Ἰουδαίαν, οὐ πόρρω μὲν κειμένην τῆς Αἰγύπτου, παντελῶς δὲ ἔρημον οὖσαν κατ' ἐκείνους τοὺς χρόνους. ἡγεῖτο δὲ τῆς ἀποικίας ὁ προσαγορευόμενος Μωσῆς, φρονήσει τε καὶ ἀνδρείᾳ πολὺ διαφέρων. οὗτος δὲ καταλαβόμενος τὴν χώραν ἄλλας τε πόλεις ἔκτισε καὶ τὴν νῦν οὖσαν ἐπιφανεστάτην, ὀνομαζομένην Ἱεροσόλυμα. ἱδρύσατο δὲ καὶ τὸ μάλιστα παρ' αὐτοῖς τιμώμενον ἱερόν, καὶ τὰς τιμὰς καὶ ἁγιστείας τοῦ θείου κατέδειξε, καὶ τὰ κατὰ τὴν πολιτείαν ἐνομοθέτησέ τε καὶ διέταξε. διεῖλε δὲ τὸ πλῆθος εἰς δώδεκα φυλάς, διὰ τὸ τὸν ἀριθμὸν τοῦτον τελειότατον νομίζεσθαι καὶ σύμφωνον εἶναι τῷ πλήθει τῶν μηνῶν τῶν τὸν ἐνιαυτὸν συμπληρούντων. ἄγαλμα δὲ θεῶν τὸ σύνολον οὐ κατεσκεύασε, διὰ τὸ μὴ νομίζειν ἀνθρωπόμορφον εἶναι τὸν θεόν, ἀλλὰ τὸν περιέχοντα τὴν γῆν οὐρανὸν μόνον εἶναι θεὸν καὶ τῶν ὅλων κύριον. τὰς δὲ θυσίας ἐξηλλαγμένας συνεστήσατο τῶν παρὰ τοῖς ἄλλοις ἔθνεσι, καὶ τὰς κατὰ τὸν βίον ἀγωγάς· διὰ γὰρ τὴν ἰδίαν ξενηλασίαν ἀπάνθρωπόν 1153 R.
τινα καὶ μισόξενον βίον εἰσηγήσατο. ἐπιλέξας δὲ τῶν ἀνδρῶν τοὺς χαριεστάτους καὶ μάλιστα δυνησομένους τοῦ σύμπαντος ἔθνους προΐστασθαι, τούτους ἱερεῖς ἀπέδειξε· τὴν δὲ διατριβὴν ἔταξεν αὐτῶν γίνεσθαι περὶ τὸ ἱερὸν καὶ τὰς τοῦ θεοῦ τιμάς τε καὶ θυσίας. τοὺς αὐτοὺς δὲ καὶ δικαστὰς ἀπέδειξε τῶν μεγίστων κρίσεων, καὶ τὴν τῶν νόμων καὶ τῶν ἐθῶν φυλακὴν τούτοις ἐπέτρεψε· διὸ καὶ βασιλέα μὲν μηδέποτε τῶν Ἰουδαίων, τὴν δὲ τοῦ πλήθους προστασίαν δίδοσθαι διὰ παντὸς τῷ δοκοῦντι τῶν ἱερέων φρονήσει καὶ ἀρετῇ προέχειν. τοῦτον δὲ προσαγορεύουσιν ἀρχιερέα, καὶ νομίζουσιν αὐτοῖς ἄγγελον γίνεσθαι τῶν τοῦ θεοῦ προσταγμάτων. τοῦτον δὲ κατὰ τὰς ἐκκλησίας καὶ τὰς ἄλλας συνόδους φησὶν ἐκφέρειν τὰ παραγγελλόμενα· καὶ πρὸς τοῦτο τὸ μέρος οὕτως εὐπειθεῖς γίνεσθαι τοὺς Ἰουδαίους ὥστε παραχρῆμα πίπτοντας ἐπὶ τὴν γῆν προσκυνεῖν τὸν τούτοις ἑρμηνεύοντα ἀρχιερέα. προσγέγραπται δὲ καὶ τοῖς νόμοις ἐπὶ τῆς τε- 621 H.
λευτῆς ὅτι Μωσῆς ἀκούσας τοῦ θεοῦ τάδε λέγει τοῖς Ἰουδαίοις. ἐποιήσατο δ' ὁ νομοθέτης τῶν τε πολεμικῶν ἔργων πολλὴν πρόνοιαν, καὶ τοὺς νέους ἠνάγκαζεν ἀσκεῖν ἀνδρείαν τε καὶ καρτερίαν καὶ τὸ σύνολον ὑπομονὴν πάσης κακοπαθείας. ἐποιεῖτο δὲ καὶ στρατείας εἰς τὰ πλησιόχωρα τῶν ἐθνῶν, καὶ πολλὴν κατακτησάμενος χώραν κατεκληρούχησε, τοῖς μὲν ἰδιώταις ἴσους ποιήσας κλήρους, τοῖς δ' ἱερεῦσι μείζονας, ἵνα λαμβάνοντες ἀξιολογωτέρας προσόδους ἀπερίσπαστοι συνεχῶς προσεδρεύωσι ταῖς τοῦ θεοῦ τιμαῖς. οὐκ ἐξῆν δὲ τοῖς ἰδιώταις τοὺς ἰδίους κλήρους πωλεῖν, ὅπως μή τινες διὰ πλεονεξίαν ἀγοράζοντες τοὺς κλήρους ἐκθλίβωσι τοὺς ἀπορωτέρους καὶ κατασκευάζωσιν ὀλιγανδρίαν. τεκνοτροφεῖν τε ἠνάγκαζε τοὺς ἐπὶ τῆς χώρας· καὶ δι' ὀλίγης δαπάνης ἐκτρεφομένων τῶν βρεφῶν ἀεὶ τὸ γένος τῶν Ἰουδαίων ὑπῆρχε πολυάνθρωπον. καὶ τὰ περὶ τοὺς γάμους δὲ καὶ τὰς τῶν τελευτώντων ταφὰς πολὺ τὸ παρηλλαγμένον ἔχειν ἐποίησε νόμιμα πρὸς τὰ τῶν ἄλλων ἀνθρώπων. κατὰ δὲ τὰς ὕστερον γενομένας ἐπικρατείας ἐκ τῆς τῶν ἀλλοφύλων ἐπιμιξίας, ἐπὶ τετάρτης τῶν Περσῶν ἡγεμονίας καὶ τῶν ταύτην καταλυσάντων Μακεδόνων, πολλὰ τῶν πατρίων τοῖς Ἰουδαίοις νομίμων ἐκινήθη.

a. 5. ἐν add *A*. 10. τε add *A*. 17. εὐγενεῖς *A*. 22. ἔχοντας ς. 28. τε mg: libri δὲ. quod addebatur πολλῇ, omisi cum *A*. πολὺ *A*: πλεῖστον ς. 30. οὖσαν ἐπιφανεστάτην om *B*. 32. ἁγιαστείας ς. 35. τελειότατον ς. b. 4. σύμπαντος *B*: συμπαρόντος ς. 5. διατριβὴν *A*: τριβὴν ς. 11. δὲ add *A*. 15. εὐπειθοῦς ς. 18. τῆς om *A*. 22. καρτερίαν τε καὶ ἀνδρείαν ἀσκεῖν ς. πάσης ὑπομονὴν ς. 27. προσεδρεύωσι *B*: προσεδρεύουσι ς. 28. δὲ om pr *A*. 36. ἔχειν om *B*. 37. γενομένας] ἐγνωσμένας *B*. 38. τετάρτης] malim τε τῆς.

Οὕτω μὲν κἀνταῦθά φησι περὶ τῶν παρὰ Ἰȣδαίοις ἐθῶν τε καὶ νομίμων, καὶ αὐτῶν ἐκείνων τῆς ἐξ Αἰγύπτȣ ἀπαλλαγῆς, ϗ τȣ̃ θείȣ Μωϋσέως, ψευδολογῶν τὰ πλεῖςα, καὶ διερχόμενος πρὸς τȣ̀ς ἐλέγχους πάλιν ὧν κατεψεύσατο τῆς ἀληθείας, ἀναχώρησιν ἑαυτῷ μεθοδευσάμενος, εἰς ἕτερον καὶ νῦν ἀναφέρει τῶν εἰρημένων τὴν παριςορίαν· ἐπάγει γάρ „περὶ μὲν τῶν Ἰȣδαίων Ἑκαταῖος ὁ Μιλήσιος ταῦτα ἱςόρηκεν.“

Ἐκ τοῦ μη'.

ὅτι ὃ λέγεται συνενεχθῆναι αἴτιον θανάτου παρά τινων Ἰοβιανῷ τῷ βασιλεῖ, τὸ κατακοιμηθῆναι ἐν οἴκῳ νεωςὶ κεκονιαμένῳ, πυρὶ δὲ διὰ τὴν ψύξιν ὑποθερμαινομένῳ καὶ ἀτμȣ̀ς ἀφιέντι τȣ̀ς ἐκ τῆς νενοτισμένης κονίας, τοῦτο ἑκόντα ὑπελθεῖν ἱςορεῖ Διόδωρος Κάτλον κατὰ τȣ̀ς πολλῷ παλαιοτέρȣς χρόνους. φησὶ γὰρ ἐν μη' λόγῳ πρὸς τῇ ἀρχῇ ὅτι οἱ περὶ τὸν Κίνναν καὶ Μάριον συνεδρεύσαντες μετὰ τῶν ἐπιφανεςάτων ἡγεμόνων ἐβȣλεύοντο ὅπως βεβαίως καταςήσωσι τὴν εἰρήνην· τέλος ἔδοξεν αὐτοῖς τους ἐπιφανεςάτȣς τῶν ἐχθρῶν ϗ δυναμένȣς ἀμφισβητῆσαι πραγμάτων πάν-
1156R. τας ἀποκτεῖναι, ὅπως καθαρᾶς γενομένης τῆς ἰδίας αἱρέσεως καὶ μερίδος ἀδεῶς τὸ λοιπόν, καὶ ὡς ἂν βȣ́λωνται, μετὰ τῶν φίλων διοικῶσι τὰ κατὰ τὴν ἡγεμονίαν. εὐθὺς ȣ̓̃ν τῶν μὲν γεγενημένων συνθέσεων καὶ πίςεων ἠμέλησαν, σφαγαὶ δὲ τῶν καταψηφισθέντων
22 H. αὐτοῖς ἄκριτοι ϗ πανταχȣ̃ ἐγίνοντο. Κόϊντος δὲ Λȣτάτιος ὁ Κάτλος, τεθριαμβευκὼς μὲν ἐπισήμως ἀπὸ Κίμβρων, ἀγαπώμενος δὲ ὑπὸ τῶν πολιτῶν περιττότερον, ὑπό τινος δημάρχου κατηγορίας ἐτύγχανεν ἐν τῷ δήμῳ θανάτȣ. φοβȣ́μενος δὲ τὸν ἐκ τῆς συκοφαντίας κίνδυνον ἧκεν εἰς τὸν Μάριον, δεόμενος τυχεῖν βοηθείας. ὁ δὲ τὸ μὲν ἔμπροσθεν ἐγεγόνει φίλος, τότε δ' ἔκ τινος ὑποψίας ἀλλοτρίως ἔχων πρὸς αὐτὸν τȣ̃το μόνον ἀπεκρίθη „θανεῖν δεῖ.“ ϗ ὁ Κάτλος ἀπογνȣ̀ς μὲν τὰς τῆς σωτηρίας ἐλπίδας, σπεύδων δὲ χωρὶς ὕβρεως καταςρέψαι τὸν βίον, ἑαυτὸν τȣ̃ ζῆν μετέςησεν ἰδίῳ τινὶ καὶ παρηλλαγμένῳ τρόπῳ. συγκλείσας ἑαυτὸν εἰς οἶκον νεόχριςον, ϗ τὴν ἐκ τῆς κονίας ἀναφορὰν πυρὶ καὶ καπνῷ συναυξήσας, τῇ τῆς ἀναπνοῆς φθορᾷ περιπνιγὴς γενόμενος ἀπήλλαξεν.

Ἐκ τοῦ λα'.

Ἅμα δὲ τȣ́τοις πραττομένοις εἰς Ῥώμην παρεγένοντο πρεσβευταὶ Ῥοδίων, τὰς γεγενημένας διαβολὰς κατ' αὐτῶν ἀπολύσασθαι· ἐδόκȣν γὰρ ἐν τῷ πρὸς Περσέα πολέμῳ ταῖς εὐνοίαις ἀποκεκλικέναι πρὸς τὸν βασιλέα καὶ προδεδωκέναι τὴν πρὸς Ῥωμαίȣς φιλίαν. μηδὲν δὲ ἀνύοντες ὧν ἐπρέσβευον εἰς ἀθυμίαν ἐνέπιπτον, ϗ μετὰ δακρύων ἐποιȣ̃ντο τὰς ἐντεύξεις. εἰσαγαγόντος δὲ αὐτȣ̀ς εἰς τὴν σύγκλητον ἑνὸς τῶν δημάρχων Ἀντωνίου πρῶτος μὲν ἐποιεῖτο τὸν ὑπὲρ τῆς πρεσβείας λόγον Φιλόφρων, μετὰ δὲ τοῦτον Ἀςυμήδης. πολλὰ δὲ πρὸς δέησιν καὶ παραίτησιν εἰπόντες, ϗ τὸ τελευταῖον κατὰ τὴν παροιμίαν τὸ κύκνειον ᾄσαντες, μόλις ἔλαβον ἀποκρίσεις, δι' ὧν τȣ̃ μὲν ὁλοσχερȣ̃ς φόβȣ παρελύθησαν, περὶ δὲ τῶν ἐγκλημάτων πικρῶς ὠνειδίσθησαν.

διόπερ ἰδεῖν ἔςι παρὰ Ῥωμαίοις τους ἐπιφανεςάτους ἄνδρας ὑπὲρ δόξης ἁμιλλωμένους, δι' ὧν ἅπαντα σχεδὸν τὰ μέγιςα τῷ δήμῳ κατορθοῦνται. ἐν μὲν γὰρ τοῖς ἄλλοις πολιτεύμασι ζηλοτυποῦσιν ἀλλήλους, Ῥωμαῖοι δὲ ἐπαινȣ̃σιν. ἐξ οὗ συμβαίνει μάλιςα τοὺς μὲν πράσσειν τὰ κάλλιςα τῶν ἔργων, ἁμιλλωμένους αὔξειν τὸ κοινῇ συμφέρον, τȣ̀ς δ' ἄλλȣς ἀδικοδοξȣ̃ντας ϗ τὰς ἀλλήλων ἐπιβολὰς λυμαινομένȣς βλάπτειν τὴν πατρίδα.

ὅτι Περσέα τὸν τελευταῖον Μακεδονίας βασιλέα, πολλάκις Ῥωμαίοις διὰ φιλίας ἰόντα, πολλάκις δὲ ϗ ςρατιᾷ ȣ̓κ ἀναξιολόγῳ πολεμήσαντα, τέλος Αἰμίλιος καταπολεμήσας εἷλε, καὶ λαμπρὸν θρίαμβον ἐπὶ τῇ νίκῃ κατήγαγε. Περσεὺς δὲ τηλικαύταις περιπεσὼν συμφοραῖς ὥςε δοκεῖν ὅμοια μύθοις ἀγενήτοις εἶναι τὰ πάθη τὰ περὶ αὐτόν, ȣ̓δ' ἀπολυθῆναι τȣ̃ ζῆν ἤθελε. πρὶν γὰρ ἢ τὴν σύγκλητον ὑπὲρ αὐτȣ̃ διαλαβεῖν ὃ χρὴ παθεῖν, τῶν κατὰ πόλιν ςρατηγῶν εἷς ἐνέβαλεν αὐτὸν εἰς τὸν ἐν Ἄλβαις κάρκαρον μετὰ τῶν τέκνων. ἔςι 3 H. δὲ ὁ κάρκαρος ὄρυγμα κατάγειον βαθύ, τὸ μὲν μέγεθος ἔχον οἴκȣ μάλιςά πως ἐννεακλίνȣ, σκότȣ δὲ πλῆρες ϗ δυσοσμίας διὰ τὸ πλῆθος τῶν παραδεδομένων εἰς τȣ̃τον τὸν τόπον ἀνδρῶν, τῶν ἐπὶ θανατικοῖς ἐγκλήμασι καταδικαζομένων, ὧν ἐν ἐκείνοις τοῖς χρόνοις οἱ πλεῖςȣς 1157R. ἐνταῦθα καθείργνυντο· ἐν ȣ̓́τω γὰρ ςενωπῷ συγκεκλεισμένων πολλῶν ἀνδρῶν ἀπεθηριȣ̃το τὰ τῶν ἀτυχῶν σώματα, τῶν τε πρὸς τροφὴν καὶ τὴν ἄλλην πᾶσαν χρείαν ἀνηκόντων πάντων ἐν ταὐτῷ πεφυρμένων το-

a. 1. παρὰ Ἰȣδαίοις ἐθῶν B et corr A, qui pr παρὰ ἐθῶν: παρεθῶν ς. 2. αὐτῶν] an αὐτῆς? 9. μη'] λη' Wesselingius post Rhodomannum. 15. Κάτλον post χρόνȣς ponit ς. 20. ἀμφ. περὶ πραγμάτων Bς. 23. διοικῶσι ς. 35. τῆς add A. 40. περιπνιγὴς B et corr A: περιπνιγεὶς ς. b. 21. κοινῇ B: κοινὸν ς. 22. ἀλλήλων B et corr A: ἀλλήλȣς ς. ἐπιβουλὰς — βλάπτει ς. 32. τὸν — στρατηγὸν B. εἰσέβαλον B, ἐνέβαλλεν ς. 35. ἔχον B et corr A. ἐννεακλίνȣ corr A: ἐννεακλινεῖς ς. σκότους B. πλῆρες B et corr A: πλήρης ς.

σαύτην προσπίπτειν δυσωδίαν συνέβαινεν, ὥστε μηδένα τῶν προσιόντων ῥᾳδίως δύνασθαι καρτερῆσαι. ἐφ' ἡμέρας μὲν οὖν ἑπτὰ διετέλεσεν ἐνταῦθα κακουχούμενος, ὥστε καὶ παρὰ τῶν ἐσχάτων καὶ τακτὰ σιτουμένων ἐπικουρίας δεηθῆναι· συμπαθεῖς γὰρ οὗτοι γινόμενοι διὰ τὸ μέγεθος τῶν ἀκληρωμάτων, ὧν μετελάμβανον, φιλανθρώπως τούτων ἐκείνῳ μετεδίδοσαν δακρύοντες. ἔρριπτο δ' αὐτῷ καὶ ξίφος πρὸς ἀναίρεσιν καὶ κάλως πρὸς ἀγχόνην, ἐξουσίας διδομένης ὡς βούλοιτο χρήσασθαι. ἀλλ' οὐδὲν οὕτω γλυκὺ φαίνεται τοῖς ἠτυχηκόσιν ὡς τὸ ζῆν, καίπερ αὐτῶν ἄξια θανάτου πασχόντων. καὶ πέρας ἐν ταύταις ἂν ταῖς ἀνάγκαις κατέστρεψε τὸν βίον, εἰ μὴ Μάρκος Αἰμίλιος προκαθήμενος τοῦ βουλευτηρίου, τηρῶν τό τε περὶ αὐτὸν ἀξίωμα καὶ τὸ τῆς πατρίδος ἐπιεικές, παρῄνεσε τῇ συγκλήτῳ σχετλιάζων, εἰ μὴ τὸν ἀνθρώπινον φόβον εὐλαβοῦνται, τήν γε τοὺς ὑπερηφάνως ταῖς ἐξουσίαις χρωμένους μετερχομένην νέμεσιν αἰδεῖσθαι. διόπερ εἰς ἐπιεικεστέραν δοθεὶς φυλακήν, καὶ κεναῖς ἐλπίσι προσανέχων, ὁμοίαν τοῖς προητυχημένοις ἔσχε τοῦ βίου τὴν καταστροφήν. διετῆ γὰρ χρόνον φιλοψυχήσας, καὶ προσκόψας τοῖς φυλάττουσι βαρβάροις, κωλυόμενος ὑπ' ἐκείνων ὕπνου τυχεῖν ἐτελεύτησεν.

ὅτι λέγουσιν ἑαυτοὺς οἱ τῆς Καππαδοκίας βασιλεῖς εἰς Κῦρον ἀναφέρειν τὸ γένος τὸν ἐν Πέρσαις, διαβεβαιοῦνται δὲ καὶ τῶν ἑπτὰ Περσῶν τῶν τὸν μάγον ἐπανελομένων ἑνὸς ὑπάρχειν ἀπόγονοι. καὶ τὴν μὲν ἀπὸ Κύρου συγγένειαν οὕτω καταριθμοῦνται. Καμβύσου τοῦ Κύρου πατρὸς ἀδελφὴν ὑπάρξαι γνησίαν Ἄτοσσαν· ταύτης δὲ καὶ Φαρνάκου τοῦ Καππαδοκίας βασιλέως γενέσθαι παῖδα Γάλλον, καὶ τούτου γενέσθαι Σμέρδιν, οὗ Ἀρτάμνην· τοῦ δὲ Ἀναφᾶν, ὃν καὶ διενεγκεῖν μὲν ἀνδρείᾳ καὶ τόλμῃ, γενέσθαι δ' ἕνα τῶν ἑπτὰ Περσῶν. τὴν μὲν οὖν εἰς Κῦρον συγγένειαν οὕτω γενεαλογοῦσι καὶ τὴν εἰς Ἀναφᾶν, ὅν φασι δι' ἀνδρείαν συγχωρηθῆναι τὴν Καππαδοκίας δυναστείαν ὥστε μὴ τελεῖν φόρους Πέρσαις. οὗ τελευτήσαντος ὁμώνυμος υἱὸς ἄρχει. μετὰ δὲ τὴν τούτου τελευτὴν ἀπολειφθέντων δυεῖν υἱοῖν, Δατάμου καὶ Ἀριμναίου, διαδέξασθαι τὴν ἀρχὴν Δατάμην, ἄνδρα καὶ κατὰ πόλεμον καὶ κατ' ἄλλα μέρη τῆς βα-
624 H. σιλείας ἐπαινούμενον, ὃς Πέρσαις διὰ μάχης ἐλθὼν καὶ λαμπρῶς κατὰ τὴν μάχην ἀγωνισάμενος ἐν αὐτῇ τελευτᾷ. διεδέξατο δὲ τὴν βασιλείαν ὁ υἱὸς Ἀριάμνης, οὗ γίνονται παῖδες Ἀριαράθης καὶ Ὀλοφέρνης· οὗτος δὲ ἔτη πεντήκοντα δυναστεύσας καὶ μηδὲν ἔργον ἄξιον μνήμης πράξας τελευτᾷ. τὴν δὲ ἀρχὴν διεδέξατο ὁ πρεσβύτερος τῶν υἱῶν Ἀριαράθης, ὃς φιλοστοργῆσαι διαφερόντως λέγεται τὸν ἀδελφόν, καὶ προάγειν αὐτὸν εἰς τὰς ἐπιφανεστάτας τάξεις· ὃν καὶ Πέρσαις κατ' Αἰγυπτίων ἀποσταλέντα συμμαχῆσαι μετὰ μεγάλων τιμῶν ἐπανελθεῖν, ἃς Ὦχος ὁ Περσῶν βασιλεὺς ὑπὲρ ἀνδρείας ἐδίδου, καὶ τὸν βίον ἐν τῇ πατρίδι λιπεῖν, υἱοὺς ἐγκαταλιπόντα Ἀριαράθην καὶ Ἀρύσην. ὁ δὲ ἀδελφὸς καὶ τῆς Καππαδοκίας ἔχων τὴν ἀρχήν (οὐ γὰρ ἦν αὐτῷ γονὴ γνησία) τὸν πρεσβύτερον τῶν παίδων 1160 B.
τἀδελφοῦ Ἀριαράθην υἱοποιεῖται. κατὰ δὲ τούτους τοὺς χρόνους Ἀλέξανδρος ὁ Μακεδὼν καταπολεμεῖ μὲν Πέρσας, εἶτα καὶ τελευτᾷ, καὶ Περδίκκας ὁ τῶν ὅλων τότε ἡγούμενος Εὐμένη πέμπει Καππαδοκίας στρατηγόν. καὶ καταπολεμηθέντος Ἀριαράθου, πεσόντος τε ἐν τῇ μάχῃ, αὐτή τε ἡ Καππαδοκία καὶ τὰ πλησιόχωρα αὐτῆς ἔπεσεν ὑπὸ Μακεδόνας. Ἀριαράθης δὲ ὁ τοῦ προβεβασιλευκότος υἱός, ἀπελπίσας κατὰ τὸ παρόν, ἀποχωρεῖ μετ' ὀλίγων πρὸς τὴν Ἀρμενίαν. μετ' οὐ πολὺν δὲ χρόνον τῶν περὶ τὸν Εὐμένη καὶ Περδίκκαν τελευτησάντων, Ἀντιγόνου δὲ καὶ Σελεύκου περισπωμένων, λαβὼν δύναμιν παρὰ τοῦ βασιλέως τῶν Ἀρμενίων Ἀρδοάτου τὸν μὲν τῶν Μακεδόνων στρατηγὸν Ἀμύνταν ἀπέκτεινεν, ἐξέβαλε δὲ καὶ Μακεδόνας ταχέως τῆς χώρας, καὶ τὴν οἰκείαν ἀρχὴν ἀνεκτήσατο. τούτῳ δὲ τριῶν παίδων γενομένων παρέλαβε τὴν βασιλείαν ὁ πρεσβύτατος Ἀριάμνης· ὃς ἐπιγαμίαν πρὸς Ἀντίοχον ποιησάμενος τὸν ἐπονομασθέντα θεόν, τὴν τούτου θυγατέρα Στρατονίκην συνῴκισε τῷ πρεσβυτέρῳ τῶν υἱῶν Ἀριαράθῃ. ὑπάρχων δὲ φιλότεκνος διαφερόντως περιέθετο τῷ παιδὶ διάδημα, καὶ συνάρχειν πάντων τῶν τῆς βασιλείας προτερημάτων ἐπ' ἴσης μεταδίδωσι. τοῦ δὲ πατρὸς τελευτήσαντος Ἀριαράθης βασιλεύει καθ' ἑαυτόν, καὶ μεταλλάσσων τὸν βίον κατέλιπε τὴν βασιλείαν Ἀριαράθῃ τῷ υἱῷ, νηπίῳ παντελῶς ὄντι τὴν ἡλικίαν. οὗτος δὲ ἔγημε θυγατέρα τοῦ μεγάλου κληθέντος Ἀντιόχου, ὀνομαζομένην Ἀντιοχίδα, πανοῦργον μάλιστα.

a. 4. τακτὰ] ταxατα A, τὰ ἔγκατα B. 5. γινόμενοι — 6. μετελάμβανον add A. 7. ἔρριπτο AB: ἐρρίπτουν ς. 9. ὡς ἂν βούλοιτο ς. 11. καίπερ αὐτῶν] καὶ παρ' αὐτῶν A, καὶ παρὰ τῶν B. 18. καιναῖς ς. 21. φυλάσσουσι B. 23. λέγουσιν (φησιν) ἑαυτοὺς ς. 28. ὑπάρξαι γὰρ γνησίαν ς. ἄτοσσαν AB: Ἀττόσαν ς. 30. σμέρδην B. 33. κῦρον A: Κύρου ς. 39. καὶ post ἄνδρα add A. b. 8. μετὰ] καὶ μετὰ B. 13. γυνὴ B. 16. περδίκας B. 18. πεσόντος τε] καὶ πεσόντος B. 28. μακεδόνα ς. 29. τούτου B. 35. τῆς om A. βασιλέως B. 38. κατέλειπε A.

ταύτην δὲ μὴ γινομένων τέκνων ὑποβαλέσθαι δύο παῖδας ἀγνοοῦντος τοῦ ἀνδρός, Ἀριαράθην καὶ Ὀλοφέρνην. μετὰ δέ τινα χρόνον τῆς φύσεως ἐπιδεξαμένης ἀνελπίστως τεκεῖν αὐτὴν δύο μὲν θυγατέρας, υἱὸν δὲ ἕνα τὸν ὀνομασθέντα Μιθριδάτην. ἐξ οὗ τοὺς ὑποβολιμαίους ἀναδιδαξαμένην τἀνδρὶ τὸν μὲν πρεσβύτερον μετὰ συμμέτρου χρείας εἰς Ῥώμην ἀποσταλῆναι παρασκευάσαι, τὸν δὲ νεώτερον εἰς τὴν Ἰωνίαν χάριν τοῦ μὴ διαμφισβητεῖν ὑπὲρ τῆς βασιλείας τῷ γνησίῳ. τοῦτον δὲ ἀνδρωθέντα καὶ Ἀριαράθην φασὶ μετονο-
645 B. μασθῆναι, παιδείας τε Ἑλληνικῆς μεταχεῖν, καὶ κατὰ τὴν ἄλλην ἐπαινεῖσθαι ἀρετήν. καὶ ὁ μὲν πατὴρ φιλοπατορίζοντι τῷ υἱῷ ἔσπευδεν ἀποδοῦναι τὴν τοῦ φιλοτέκνου σπουδήν, καὶ ἐπὶ τοσοῦτον αὐτοῖς προέβη τὰ τῆς πρὸς ἀλλήλους εὐνοίας, ὥστε ὁ μὲν πατὴρ ἐξίστασθαι τῆς ὅλης ἀρχῆς ἠγωνίζετο τῷ παιδί, ὁ δὲ ἀδύνατον ἐδείκνυ δέξασθαι αὐτὸν παρὰ γονέων ἔτι ζώντων τὴν τοιαύτην χάριτα. οὗτος τὸν πατέρα τοῦ πεπρωμένου καταλαβόντος διεδέξατο τὴν βασιλείαν, τήν τε ἄλλην ἀγωγὴν τοῦ βίου ἀξιολογωτάτην ἐνδεικνύμενος καὶ φιλοσοφίᾳ προσανέχων, ἐξ οὗ καὶ ἡ παρὰ τοῖς Ἕλλησιν ἀγνοουμένη πάλαι Καππαδοκία τότε τοῖς πεπαιδευμένοις ἐμβιώτερον ὑπῆρχεν. ἀνενεώσατο δ' οὗτος καὶ τὴν πρὸς Ῥωμαίους φιλίαν τε καὶ συμμαχίαν. Ἀλλὰ τὰ μὲν περὶ τῆς εἰς Κῦρον ἀναφορᾶς τῶν μέχρι τοῦδε τῆς Καππαδοκίας βασιλευσάντων ἐν τούτοις.

Ἐκ τοῦ αὐτοῦ.

ὅτι περὶ Λευκίου Αἰμιλίου, τοῦ Περσέα καταπολεμήσαντος, τῆς ταφῆς διερχόμενος, καὶ λαμπρὰν αὐτὴν ἐς τὰ μάλιστα γενέσθαι λέγων, ἐπάγει· Τῶν γὰρ Ῥωμαίων οἱ ταῖς εὐγενείαις καὶ προγόνων δόξῃ διαφέροντες μετὰ τὴν τελευτὴν εἰδωλοποιοῦνται κατά τε τὴν τοῦ χαρακτῆρος
1161 R. ὁμοιότητα καὶ κατὰ τὴν ὅλην τοῦ σώματος περιγραφήν, μιμητὰς ἔχοντες ἐκ παντὸς τοῦ βίου παρατετηρηκότας τήν τε πορείαν καὶ τὰς κατὰ μέρος ἰδιότητας τῆς ἐμφάσεως. παραπλησίως δὲ καὶ τῶν προγόνων ἕκαστος προηγεῖται τοιαύτην ἔχων διασκευὴν καὶ κόσμον, ὥστε τοὺς θεωμένους διὰ τῆς ἐκ τούτων ἐμφάσεως γινώσκειν ἐφ' ὅσον ἕκαστοι τιμῆς προήχθησαν καὶ μετέχον τῶν ἐν τῇ πολιτείᾳ καλῶν.

ὅτι τοὺς Ἴβηρας καὶ Λυσιτανοὺς ὀνομάζει. φησὶ γὰρ ὡς Μέμμιος ἐξαπέλεκυς στρατηγὸς εἰς τὴν Ἰβηρίαν ἐξαπέσταλτο μετὰ δυνάμεως, οἱ δὲ Λυσιτανοὶ συστραφέντες πρὸς αὐτόν, καὶ λαβόντες ἀπαράσκευον ἐκ κατάπλου, μάχῃ τε ἐνίκησαν καὶ τὸ πλεῖστον τοῦ στρατοῦ διέφθειραν. περιβοήτου δὲ γενομένης τῆς τῶν Ἰβήρων εὐημερίας οἱ μὲν Ἀρουακοί, νομίσαντες πολὺ κρείττους εἶναι τῶν Ἰβήρων, κατεφρόνησαν τῶν πολεμίων, καὶ τὸ πλῆθος τὸ κατὰ τὴν ἐκκλησίαν διὰ ταύτην μάλιστα τὴν αἰτίαν εἵλετο τὸν πρὸς Ῥωμαίους πόλεμον.

Ἐκ τοῦ λβ'.

ὅτι τὸ τεῖχος τῶν Καρχηδονίων τῆς πόλεώς φησιν ὕψος μὲν εἶναι πηχῶν τεσσαράκοντα, πλάτος δὲ εἰκοσιδύο· ὅμως καὶ τοιούτων ὄντων αἱ Ῥωμαίων μηχαναὶ καὶ τὰ κατὰ πόλεμον ἀνδραγαθήματα κρείττους ὤφθησαν τῆς ἐκείνων ἀσφαλείας, καὶ ἑάλω ἡ πόλις καὶ κατηρειπώθη.

ὅτι Μασανάσσης ὁ Λιβύων βεβασιλευκὼς καὶ τὴν πρὸς Ῥωμαίους φιλίαν τετηρηκὼς ἐνενήκοντα μὲν ἐβίω ἔτη ἐν δυνάμει, παῖδας δέκα ἐν τῷ ἀπαλλάττεσθαι καταλιπών, οὓς καὶ Ῥωμαίοις ἐπιτροπεύεσθαι παρεκατέθετο, ἦν δὲ καὶ κατὰ τὴν τοῦ σώματος εὐτονίαν διαφέρων, 626 H.
καὶ καρτερίᾳ καὶ πόνοις συνήθης ἐκ παιδός· ὃς γε στὰς ἐν τοῖς ἴχνεσιν ὅλην τὴν ἡμέραν ἀκίνητος ἔμενε, καθεζόμενος δὲ οὐκ ἠγείρετο μέχρι νυκτὸς ἐνημερεύων ταῖς τῶν πόνων μελέταις, ἐπὶ δὲ τὸν ἵππον ἐπιβαίνων συνεχῶς ἡμέραν καὶ νύκτα καὶ ταῖς ἱππασίαις χρώμενος οὐκ ἐξελύετο. σημεῖον δὲ τῆς περὶ αὐτὸν εὐεξίας τε καὶ δυνάμεως μέγιστον· ἐνενήκοντα γὰρ σχεδὸν ἔχων ἔτη υἱὸν εἶχε τετραετῆ, διαφέροντα τῇ τοῦ σώματος ῥώμῃ. ἐν δὲ ταῖς τῶν ἀγρῶν ἐπιμελείαις τοσοῦτον διήνεγκεν, ὡς ἑκάστῳ τῶν υἱῶν ἀπολιπεῖν ἀγρὸν μυριόπλεθρον, κεκοσμημένον πάσαις ταῖς κατασκευαῖς. ἐβασίλευσε δ' ἐπιφανῶς ἔτη ἑξήκοντα.

ὅτι Νικομήδης Προυσίαν τὸν ἑαυτοῦ πατέρα καταπολεμήσας, καὶ καταφυγόντα εἰς τὸ τοῦ Διὸς ἱερὸν ἀνελών, παρέλαβε τὴν βασιλείαν τῆς Βιθυνίας, ἀσεβεστάτῳ φόνῳ κτησάμενος τὴν ἀρχήν.

ὅτι Λυσιτανοί, φησί, τὸ μὲν πρῶτον οὐκ ἔχοντες ἀξιόχρεων ἡγεμόνα εὐάλωτοι καθίσταντο Ῥωμαίοις πολεμοῦντες, ὕστερον δὲ Ὑριάτθου κυρήσαντες μεγάλα Ῥωμαίους ἔβλαψαν. ἦν μὲν οὖν οὗτος τῶν παρὰ τὸν

a. 1. γενομένων ς. libri ὑποβάλλεσθαι. 5. Μιθριδάτης ς. 17. ἐδείκνυε B. 23. ἐμβιωτήριον Stephanus. 34. βίου τοὺς παρατετηρ. B. 39. ἕκαστοι A: ἕκαστος ς.

b. 1. ἐξαπέλεκυς] ἐξ οὗ πέλεκυς A. 3. ἀπαράσκευον Rhodomannus, ἐκ παρασκευῶν A, ἐκπαράσκευον ς. 13. καὶ] καίτοι A. κατερειπώθη A. 17. μανασσῆς A, μανασσῆς B. 18. ἐνενήκοντα ς. 20. παρακατέθετο ς. 25. τὸν ἵππον ἐπιβαίνων B et corr A: τῶν ἵππων ἐπιμένων ς. 27. ἐξελύετο corr A. 39. εὐάλωτον ς.

ὠκεανὸν οἰκούντων Λυσιτανῶν, ποιμαίνων ἐκ παιδός, ὀρείῳ βίῳ [κατέστη] συνήθης, συνεργὸν ἔχων καὶ τὴν τοῦ σώματος φύσιν· καὶ γὰρ ῥώμῃ καὶ τάχει καὶ τῇ τῶν λοιπῶν μερῶν εὐκινησίᾳ πολὺ διήνεγκε τῶν Ἰβήρων. συνεθίσας δὲ αὑτὸν τροφῇ μὲν ὀλίγῃ γυμνασίοις δὲ πολλοῖς χρῆσθαι, καὶ ὕπνῳ μέχρι μόνου τοῦ ἀναγκαίου, καθόλου δὲ σιδηροφορῶν συνεχῶς καὶ θηρίοις καὶ λῃσταῖς εἰς ἀγῶνας καθιστάμενος, περιβόητος ἐγένετο παρὰ τοῖς πλήθεσι, καὶ ἡγεμὼν αὐτοῖς ᾑρέθη, καὶ ταχὺ σύστημα 1164R περὶ ἑαυτὸν λῃστῶν ἤθροισε. καὶ προκόπτων ἐν τοῖς πολέμοις οὐ μόνον ἐθαυμάσθη δι᾽ ἀλκήν, ἀλλὰ καὶ στρατηγεῖν ἔδοξε διαφερόντως. ἦν δὲ καὶ δίκαιος ἐν ταῖς διανομαῖς τῶν λαφύρων, καὶ κατ᾽ ἀξίαν τοὺς ἀνδραγαθήσαντας ἐξῆρε τοῖς δώροις. προϊὼν δὲ οὐκέτι λῃστὴν ἀλλὰ δυνάστην αὑτὸν ἀναδείξας ἐπολέμησε Ῥωμαίοις, καὶ πολλαῖς ἐκράτησε μάχαις, ὡς καὶ στρατηγὸν Ῥωμαίων Οὐϊτέλλιον αὐτῷ καταπολεμῆσαι στρατῷ καὶ αἰχμάλωτον λαβεῖν καὶ ξίφει ἀνελεῖν, καὶ πολλὰ ἕτερα εὐημερῆσαι κατὰ πόλεμον, ἕως Φάβιος στρατηγὸς τοῦ πρὸς αὐτὸν πολέμου κεχειροτόνητο. ἐκεῖθεν δ᾽ ἐλαττοῦσθαι ἤρξατο ἐπ᾽ οὐκ ὀλίγον. εἶτα ἀναλαβὼν καὶ κατευδοκιμήσας Φαβίου εἰς συνθήκας αὐτὸν ἐλθεῖν ἀναξίους Ῥωμαίων ἠνάγκασεν. ἀλλ᾽ ὅ γε Σκηπίων στρατηγεῖν καθ᾽ Ὑριάτθου αἱρεθεὶς τάς τε συνθήκας ἠκύρωσε, καὶ πολλάκις Ὑρίατθον ἐλαττώσας, εἶτα εἰς ἔσχατον ἥττης συνελάσας ὥστε καὶ πρὸς σπονδὰς ὁρᾶν, διὰ τῶν οἰκείων ἐδολοφόνησε. καὶ τὸν διαδεξάμενον αὐτοῦ τὴν στρατηγίαν Ταύταμον καὶ τοὺς μετ᾽ αὐτοῦ καταπληξάμενος, 627H καὶ σπονδὰς οἵας ἐβούλετο θέσθαι παρασκευασάμενος, ἔδωκε χώραν καὶ πόλιν εἰς κατοίκησιν.

Ἐκ τοῦ λδ.

ὅτι μετὰ τὴν Καρχηδονίων κατάλυσιν ἐπὶ ξ΄ ἔτεσι τῶν Σικελῶν εὐροούντων ἐν πᾶσιν, ὁ δουλικὸς αὐτοῖς ἐπανέστη πόλεμος ἐξ αἰτίας τοιαύτης. ἐπὶ πολὺ τοῖς βίοις ἀναδραμόντες καὶ μεγάλους περιποιησάμενοι πλούτους συνηγόραζον οἰκετῶν πλῆθος· οἷς ἐκ τῶν σωματοτροφείων ἀγεληδὸν ἀπαχθεῖσιν εὐθὺς χαρακτῆρα ἐπέβαλλον καὶ στιγμὰς τοῖς σώμασιν. ἐχρῶντο δὲ αὐτῶν τοῖς μὲν νέοις νομεῦσι, τοῖς δ᾽ ἄλλοις, ὥς πῃ ἑκάστῳ ἡ χρεία ἐπέβαλλε. βαρέως δ᾽ αὐτοῖς κατά τε τὰς ὑπηρεσίας ἐχρῶντο, καὶ ἐπιμελείας παντελῶς ὀλίγης ἠξίουν, ὅσα τε ἐντρέφεσθαι καὶ ὅσα ἐνδύσασθαι. ἐξ ὧν οἱ πλείους ἀπὸ λῃστείας τὸ ζῆν ἐπορίζοντο, καὶ μεστὰ φόνων ἦν ἅπαντα, καθάπερ στρατευμάτων διεσπαρμένων τῶν λῃστῶν. οἱ δὲ στρατηγοὶ κωλύειν μὲν ἐπεχείρουν, κολάζειν δὲ οὐ τολμῶντες διὰ τὴν ἰσχὺν καὶ τὸ βάρος τῶν κυρίων, οἳ ἐδέσποζον τῶν λῃστῶν, ἠναγκάζοντο περιορᾶν λῃστευομένην τὴν ἐπαρχίαν· οἱ πλεῖστοι γὰρ τῶν κτητόρων ἱππεῖς ὄντες τῶν Ῥωμαίων, καὶ κριταὶ τοῖς ἀπὸ τῶν ἐπαρχιῶν κατηγορουμένοις στρατηγοῖς γινόμενοι, φοβεροὶ τοῖς ἄρχουσιν ὑπῆρχον. πιεζόμενοι δὲ οἱ δοῦλοι ταῖς ταλαιπωρίαις, καὶ πληγαῖς τὰ πολλὰ παραλόγως ὑβριζόμενοι, οὐχ ὑπέμενον. συνιόντες οὖν ἀλλήλοις κατὰ τὰς εὐκαιρίας συνελάλουν περὶ ἀποστάσεως, ἕως εἰς ἔργον τὴν βουλὴν ἤγαγον. ἦν δέ τις οἰκέτης Σύρος Ἀντιγένους Ἐνναίου τὸ γένος, ἐκ τῆς Ἀπαμείας, ἄνθρωπος μάγος καὶ τερατουργὸς τὸν τρόπον. οὗτος προσεποιεῖτο θεῶν ἐπιτάγμασι καθ᾽ ὕπνον προλέγειν τὰ μέλλοντα, καὶ πολλοὺς διὰ τὴν εἰς τοῦτο τὸ μέρος εὐφυΐαν ἐξηπάτα. ἐντεῦθεν προϊὼν οὐ μόνον ἐξ ὀνείρων ἐμαντεύετο, ἀλλὰ καὶ ἐγρηγορότως θεοὺς ὁρᾶν ὑπεκρίνετο καὶ ἐξ 1165R αὐτῶν ἀκούειν τὰ μέλλοντα. πολλῶν δ᾽ ὑπ᾽ αὐτοῦ σχεδιαζομένων, ἀπὸ τύχης ἔνια πρὸς ἀλήθειαν ἐξέβαινε· καὶ τῶν μὲν μὴ γινομένων ὑπ᾽ οὐδενὸς ἐλεγχομένων, τῶν δὲ συντελουμένων ἐπισημασίας τυγχανόντων, προκοπὴν ἐλάμβανεν ἡ περὶ αὐτὸν δόξα. τελευταῖον διά τινος μηχανῆς πῦρ μετά τινος ἐνθουσιασμοῦ καὶ φλόγα διὰ τοῦ στόματος ἠφίει, καὶ οὕτω τὰ μέλλοντα ἀπεφοίβαζεν. εἰς γὰρ κάρυον ἤ τι τοιοῦτο τετρημένον ἐξ ἑκατέρου μέρους ἐνετίθει πῦρ καὶ τὴν συνέχειν αὐτὸ δυναμένην ὕλην· εἶτα ἐντιθεὶς τῷ στόματι καὶ προσπνέων ποτὲ μὲν σπινθῆρας ποτὲ δὲ φλόγα ἐξέκαεν. οὗτος πρὸ τῆς ἀποστάσεως ἔλεγε τὴν Συρίαν θεὸν ἐπιφαινομένην αὐτῷ λέγειν ὅτι βασιλεύσει· καὶ τοῦτο οὐ πρὸς ἄλλους μόνον ἀλλὰ καὶ πρὸς αὐτὸν τὸν κύριον αὐτοῦ διετέλει λέγων. εἰς δὲ γέλωτα τρεπομένου τοῦ πράγματος, ὁ μὲν Ἀντιγένης ψυχαγωγούμενος ἐπὶ τῇ τερατείᾳ παρῆγε τὸν Εὔνουν εἰς τὰ σύνδειπνα (τοῦτο γὰρ 388H ὄνομα τῷ τερατίᾳ) καὶ διηρώτα περὶ τῆς βασιλείας, καὶ πῶς ἑκάστῳ χρήσεται τῶν παρόντων· τοῦ δὲ ἀτρέπτως πάντα διηγουμένου, καὶ ὡς μετρίως χρήσεται τοῖς κυρίοις, καὶ τὸ σύνολον ποικίλως τερατευομένου, γέλωτες ἐγί-

a. 2. κατέστη om B. ἔχων om pr A. 5. συνεθίσας B, συνήθης A: συνείθισε ς. δὲ om A. ἑαυτὸν B. 6. ὕπνου A. 8. ἐγένετο add A. 15. ἑαυτὸν B. 17. Οὐϊτέλλιον ς. 23. κατ᾽ Οὐριάτθου ς. 30. κατοίκισιν B. 33. εὐρροούντων B. b. 2. μεστὰ B: μετὰ ς. 6. τῶν add A. 9. στρατηγοῖς B: στρατηγοὶ ς. 11. παραλόγως A: παρὰ λόγον ς. 16. οὗτος B: αὐτὸς ς. 18. μέρος A: γένος ς. 25. αὐτῶν A. 28. κάρυον] κάρανον B. 36. μὲν A: μὲν οὖν ς. 40. ἅπαντα ς.

Digitized by Google

νοντο τοῖς παρακεκλημένοις, καί τινες αὐτῶν ἀπὸ τῆς τραπέζης ἀξιολόγους μερίδας αἴροντες ἐδωροῦντο, ἐπιλέγοντες ὅπως, ὅταν γένηται βασιλεύς, τῆς χάριτος μνημονεύοι. οὐ μὴν ἀλλ' ἡ τερατεία προῆλθεν εἰς ἀληθινὸν ἀποτέλεσμα βασιλείας, καὶ τὴν ἀνταπόδοσιν τοῖς παρὰ τὰ δεῖπνα δεξιωσαμένοις ἐν γέλωτι οὐ χωρὶς σπουδῆς ἐποιήσατο τῆς χάριτος. ἀρχὴ δὲ τῆς ὅλης ἀποστάσεως ἐγένετο τοιαύτη. Δαμόφιλός τις ἦν Ἐνναῖος, τὴν δ' οὐσίαν μεγαλόψυχος, ὑπερήφανος δὲ τὸν τρόπον. οὗτος κακῶς εἰς ὑπερβολὴν ἐκέχρητο τοῖς δούλοις, καὶ ἡ γυνὴ δὲ Μεγαλλὶς ἀντεφιλονείκει τἀνδρὶ πρὸς τὴν τιμωρίαν καὶ τὴν ἄλλην ἀπανθρωπίαν τὴν περὶ τοὺς δούλους. ἐξ ὧν ἀποθηριωθέντες οἱ προπηλακιζόμενοι συνέθεντο πρὸς ἀλλήλους ὑπὲρ ἀποστάσεως καὶ φόνου τῶν κυρίων. καὶ πρὸς τὸν Εὔνουν ἐλθόντες ἠρώτων εἰ συγχωρεῖται παρὰ τῶν θεῶν αὐτοῖς τὸ βεβουλευμένον. ὁ δὲ μετὰ τερατείας, ὡς εἰώθει, συνθέμενος ὅτι συγχωροῦσι, παραχρῆμα πείθει ἔχεσθαι τῆς ἐγχειρήσεως. εὐθὺς οὖν τετρακοσίους τῶν ὁμοδούλων συνήθροισαν, καὶ ὡς ἂν ὁ καιρὸς ἐδίδου, καθοπλισθέντες εἰς τὴν Ἔνναν τὴν πόλιν εἰσπίπτουσιν, ἀφηγουμένου αὐτῶν καὶ τοῦ πυρὸς τὰς φλόγας τερατευομένου τούτοις τοῦ Εὔνου. ταῖς δ' οἰκίαις ἐπεισελθόντες πλεῖστον φόνον εἰργάζοντο, μηδ' αὐτῶν τῶν ὑπομαζίων φειδόμενοι. ἀλλὰ ταῦτα μὲν τῆς θηλῆς ἀποσπῶντες προσήρασσον τῇ γῇ· εἰς δὲ τὰς γυναῖκας οὐδ' ἔστιν εἰπεῖν (καὶ τότε βλεπόντων τῶν ἀνδρῶν) ὅσα ἐνύβριζόν τε καὶ ἐνησέλγαινον, πολλοῦ αὐτοῖς πλήθους τῶν ἀπὸ τῆς πόλεως δούλων προστεθέντος, οἳ καὶ κατὰ τῶν κυρίων πρότερον τὰ ἔσχατα ἐνδεικνύμενοι οὕτω πρὸς τὸν τῶν ἄλλων φόνον ἐτρέποντο. οἱ δὲ περὶ τὸν Εὔνουν πυθόμενοι τὸν Δαμόφιλον ὅτι κατὰ τὸν πλησίον τῆς πόλεως περίκηπον διατρίβει μετὰ
388 R. τῆς γυναικός, εἷλκον ἐκεῖθεν διά τινων ἐξ αὐτῶν σταλέντων αὐτόν τε καὶ τὴν γυναῖκα δεδεμένους ἐξαγκωνίσαντες, πολλὰς κατὰ τὴν ὁδὸν ὕβρεις ὑπέχοντας. μόνης δὲ τῆς θυγατρὸς αὐτῶν οἱ δοῦλοι ὤφθησαν εἰς πάντα φεισάμενοι, διὰ τὸ φιλάνθρωπον αὐτῆς ἦθος καὶ περὶ τοὺς δούλους συμπαθὲς καὶ βοηθητικὸν κατὰ δύναμιν. ἐξ ὧν ἐδείκνυτο τῶν δούλων οὐχὶ ὠμότης εἶναι φύσεως τὰ γινόμενα εἰς τοὺς ἄλλους, ἀλλὰ τῶν προϋπηργμένων εἰς αὐτοὺς ἀδικημάτων ἀνταπόδοσις.

τὸν δὲ Δαμόφιλον καὶ τὴν Μεγαλλίδα εἰς τὴν πόλιν οἱ ἀπεσταλμένοι ἑλκύσαντες, ὥσπερ ἔφημεν, εἰς τὸ θέατρον εἰσήγαγον, συνεληλυθότος ἐνταῦθα τοῦ πλήθους τῶν ἀποστατῶν. καὶ τοῦ Δαμοφίλου τεχνάσασθαί τι πρὸς τὴν σωτηρίαν ἐγχειρήσαντος, καὶ πολλοὺς τοῦ 629 H. πλήθους τοῖς λόγοις ἐπαγομένου, Ἑρμείας καὶ Ζεῦξις πικρῶς πρὸς αὐτὸν διακείμενοι πλάνον τε ἀπεκάλουν, καὶ οὐκ ἀναμείναντες τὴν ἀκριβῆ τοῦ δήμου κρίσιν ὁ μὲν διὰ τῶν πλευρῶν τὸ ξίφος ὠθεῖ, ὁ δὲ πελέκει τὸν τράχηλον ἔκοψεν. ἐκεῖθεν αἱρεῖται βασιλεὺς ὁ Εὔνους, οὔτε δι' ἀνδρείαν οὔτε διὰ στρατηγίαν, διὰ δὲ μόνην τερατείαν καὶ τὸ τῆς ἀποστάσεως ἄρξαι, ἅμα δὲ καὶ τῆς προσηγορίας οἱονεί τινα καλὸν οἰωνὸν ἐχούσης πρὸς τὴν τῶν ὑποταττομένων εὔνοιαν. τῶν ὅλων δὲ τοῖς ἀποστάταις καταστὰς κύριος, καὶ συναγαγὼν ἐκκλησίαν, ἀνεῖλε μὲν τοὺς ἐζωγρημένους τῶν Ἐνναίων, ὅσοις οὐκ ἦν ἡ τέχνη ὅπλα ἐργάζεσθαι, ἐκείνους δὲ δεδεμένους τοῖς ἔργοις ὑπέβαλεν. ἔδωκε δὲ καὶ ταῖς θεραπαίναις τὴν Μεγαλλίδα χρήσασθαι ὡς ἂν βούλοιντο· καὶ αὗται κατεκρήμνισαν αἰκισάμεναι. καὶ αὐτὸς δὲ τοὺς ἰδίους ἀνεῖλε κυρίους Ἀντιγένη καὶ Πύθωνα. περιθέμενος δὲ διάδημα καὶ πάντα τὰ ἄλλα τὰ περὶ αὐτὸν βασιλικῶς διακοσμήσας, τήν τε συμβιοῦσαν αὐτῷ, Σύραν καὶ συμπολῖτιν οὖσαν, βασίλισσαν ἀποδείξας, συνέδρους τε τοὺς συνέσει δοκοῦντας διαφέρειν ποιησάμενος, ὧν ἦν Ἀχαιὸς καὶ τοὔνομα καὶ τὸ γένος, ἀνὴρ καὶ βουλῇ καὶ χειρὶ διαφέρων, καὶ ἐν τρισὶν ἡμέραις πλείους τῶν ἑξακισχιλίων τὸν δυνατὸν καθοπλίσας τρόπον, καὶ ἑτέρους συνεπαγόμενος ἀξίναις καὶ πελέκεσι χρωμένους ἢ σφενδόναις ἢ δρεπάνοις ἢ ξύλοις πεπυρακτωμένοις ἢ καὶ μαγείρων ὀβελοῖς, ἐπῄει πᾶσαν λεηλατῶν τὴν χώραν, καὶ πλῆθος ἄπειρον οἰκετῶν προσλαμβάνων ἐθάρρησε καὶ στρατηγοῖς Ῥωμαίων πολεμῆσαι, καὶ συμπλακεὶς τῷ πλήθει πολλάκις ἐκράτησεν, ἔχων ἤδη στρατιώτας ὑπὲρ τοὺς μυρίους. ἐν τούτῳ δὲ Κλέων τις Κίλιξ ἄλλων δούλων ἀποστάσεως ἦρξε. καὶ πάντων ταῖς ἐλπίσι μετεωρισθέντων, ὡς ἀντιπολεμήσει τὰ στασιάσαντα πρὸς ἀλλήλους καὶ αὐτοὶ ἑαυτοὺς οἱ ἀποστάται διαφθείροντες ἐλευθερώσουσι τὴν Σικελίαν τῆς στάσεως, παρὰ δόξαν ἀλλήλοις συνέβησαν, τοῦ Κλέωνος ὑποταγέντος ψιλῷ τοῦ Εὔνου προστάγματι καὶ τὴν τοῦ στρατηγοῦ (οἷα δὴ βασιλεῖ) χρείαν ἀποπλη-

a. 6. παρὰ A: περὶ ς. 9. μεγαλόψυχος] aptius, quod est p. 386 b 37 et 387 b 29 et 389 a 7, μεγαλόπλουτος. 16. ἠρώτων post βεβουλευμένον ponit B. 23. ὑπεισελθόντες ς. 27. καὶ τότε A: καίτοι ς. 29. προστεθέντων B. 40. οἷαι B. b. 3. συνεληλυθότων B. 7. αὐτὸν] αὐτὸν αὐτοὶ B. 13. τῆς] τὸ τῆς A. 16. μὲν add A. 17. δὲ add B. 18. libri ὑπέβαλλεν. 26. Ἀχαιὸς] ἀρχαῖος B. 40. στάσεως A: ἀποστάσεως ς. 42. δὴ A: δεῖ ς.

Digitized by Google

ροῦντος, ἔχοντος οἰκεῖον πλῆθος στρατιωτῶν πεντακισχιλίων· ἡμέραι δ' ἐγγὺς ἦσαν ἀπὸ τῆς ἀποστάσεως τριά-
1169R. κοντα. ϗ μετὰ βραχὺ ἐκ Ῥώμης ἥκοντι στρατηγῷ Λευκίῳ Ὑψαίῳ, ἔχοντι στρατιώτας ἐκ Σικελίας ὀκτακισχιλίους, εἰς πόλεμον καταστάντες οἱ ἀποστάται ἐνίκησαν, πλῆθος ὄντες δισμύριοι. μετ' οὐ πολὺ δὲ ἀθροίζεται τὸ σύστημα αὐτῶν εἰς μυριάδας εἴκοσι, καὶ πολλαῖς τοῖς πρὸς Ῥωμαίους πολέμοις ἐνευδοκιμήσαντες ἔλαττον αὐτοὶ ἔπταιον. οὗ διαβοηθέντος κατά τε Ῥώμην δούλων ἀπόστασις ἑκατὸν πεντήκοντα συνομοσάντων ἀνήπτετο, ϗ κατὰ τὴν Ἀττικὴν ὑπὲρ χιλίων, ἔν τε Δήλῳ ϗ κατ'
530H. ἄλλους πολλοὺς τόπους· οὓς τάχει τε τῆς βοηθείας ϗ τῇ σφοδρᾷ κολάσει τῆς τιμωρίας οἱ καθ' ἕκαστον ἐπιμεληταὶ τῶν κοινῶν θᾶττον ἠφάνισαν, σωφρονίσαντες καὶ τὸ ἄλλο, ὅσον ἦν ἐπὶ ἀποστάσει μετέωρον. κατὰ δὲ Σικελίαν ηὔξετο τὸ κακόν, ϗ πόλεις ἡλίσκοντο αὔτανδροι, καὶ πολλὰ στρατόπεδα ὑπὸ τῶν ἀποστατῶν κατεκόπησαν, ἕως Ῥουτίλιος ὁ Ῥωμαίων στρατηγὸς τὸ Ταυρομένιον ἀνεσώσατο Ῥωμαίοις, καρτερῶς μὲν αὐτὸ πολιορκήσας, καὶ εἰς ἄφατον ἀνάγκην ϗ λιμὸν τοὺς ἀποστάτας συγκλείσας, ὥστε ἀρξαμένους ἐκ παίδων βορᾶς ϗ διελθόντας διὰ γυναικῶν μηδὲ τῆς αὐτῶν ἀλληλοφαγίας μηδ' ὅλως φείσασθαι· ὅτε ϗ Κομανὸν τὸν ἀδελφὸν Κλέωνος φεύγοντα τῆς πολιορκουμένης πόλεως εἷλε. ϗ τὸ τελευταῖον, Σαραπίωνος Σύρου τὴν ἄκραν προδόντος, συμπάντων τῶν ἐν τῇ πόλει δραπετῶν ὁ στρατηγὸς ἐκυρίευσεν· οὓς καὶ αἰκισάμενος κατεκρήμνισεν. ἐκεῖθεν ἐπὶ τὴν Ἔνναν ἐλθὼν παραπλησίως ἐπολιόρκει, εἰς ἐσχάτην ἀνάγκην συγκλείων τὰς τῶν ἀποστατῶν ἐλπίδας. καὶ Κλέωνα τὸν στρατηγόν, ἐξελθόντα τῆς πόλεως ϗ ἡρωϊκῶς ἀγωνισάμενον μετ' ὀλίγων ὑπὸ τῶν τραυμάτων δείξας νεκρόν, εἷλε καὶ ταύτην προδοσίᾳ τὴν πόλιν, ἐπεὶ οὐδ' ἦν ἁλώσιμος διὰ τὴν ὀχυρότητα βίᾳ χειρός. ὁ δὲ Εὔνους ἀναλαβὼν τοὺς σωματοφύλακας, ὄντας χιλίους, ἔφυγεν ἀνάνδρως εἴς τινας παρακρήμνους τόπους. ἀλλ' οἱ μὲν σὺν αὐτῷ ἄφυκτον τὸ περὶ αὐτοὺς δεινὸν ἐπιστάμενοι (ἤδη γὰρ ϗ ὁ στρατηγὸς Ῥουτίλιος ἐπ' αὐτοὺς ἤλαυνεν) ἀλλήλους τοῖς ξίφεσιν ἔσφαζον ἀπαυχενίσαντας· ὁ δὲ τερατίας Εὔνους ϗ βασιλεύς, καταφυγὼν διὰ δειλίαν ἔν τισι κοιλάσιν, ἐξειλκύσθη ἅμα τεττάρων, μαγείρου ϗ ἀρτοποιοῦ ϗ τοῦ τρίβοντος αὐτὸν ἐν τῷ λουτρῷ καὶ τετάρτου τοῦ παρὰ τοὺς πότους εἰωθότος ψυχαγωγεῖν αὐτόν. ϗ παραδοθεὶς εἰς φυλακήν, ϗ τοῦ σώματος αὐτοῦ διαλυθέντος εἰς φθειρῶν πλῆθος, οἰκείως τῆς περὶ αὐτὸν ῥᾳδιουργίας κατέστρεψε τὸν βίον ἐν τῇ Μοργαντίνῃ. ἐντεῦθεν Ῥουτίλιος ἐπιτρέχων ὅλην τὴν Σικελίαν ἅμα λογάσιν ὀλίγοις, θᾶττον ἤπερ τις ἤλπισε παντὸς αὐτὴν ἠλευθέρωσε λῃστηρίου.

ὅτι ὁ τῶν ἀποστατῶν βασιλεὺς Εὔνους ἑαυτὸν μὲν Ἀντίοχον, Σύρους δὲ τῶν ἀποστατῶν τὸ πλῆθος ἐπωνόμασεν.

Ἐκ τοῦ λϛ'.

ὅτι ὑπὸ τοὺς αὐτοὺς χρόνους ἐν Ῥώμῃ, καθ' οὓς Μάριος μὲν τοὺς κατὰ Λιβύην βασιλεῖς Βόκχον ϗ Ἰουγόρθαν κατεπολέμησε μεγάλῃ παρατάξει, ϗ πολλὰς μὲν τῶν Λιβύων μυριάδας ἀνεῖλεν, ὕστερον δὲ αὐτὸν Ἰουγόρθαν συλληφθέντα ὑπὸ Βόκχου, ὥστε τυχεῖν συγγνώμης 1172R παρὰ Ῥωμαίων ὑπὲρ ὧν αὐτοῖς κατέστη πρὸς πόλεμον, λαβὼν ἐκεῖθεν αἰχμάλωτον εἶχε, μεγίστοις δὲ πταίσμασι τοῖς κατὰ Γαλατίαν τῶν Κίμβρων πολεμούντων Ῥωμαῖοι περιπεσόντες ἠθύμουν, κατὰ τοὺς αὐτοὺς χρόνους 631H ἧκόν τινες ἀπὸ Σικελίας ἀπόστασιν ἀγγέλλοντες οἰκετῶν εἰς πολλὰς ἀριθμουμένων μυριάδας. οὗ προσαγγελθέντος ἐν πολλῇ περιστάσει τὸ Ῥωμαϊκὸν ἅπαν συνεχόμενον διετέλει, ὡς ἂν στρατιωτῶν ἐπιλέκτων σχεδὸν ἑξακισμυρίων ἐν τῷ πρὸς Κίμβρους κατὰ Γαλατίαν πολέμῳ διολωλότων, ϗ ἀπόρων ὄντων εἰς ἀποστολὴν στρατιωτῶν λογάδων.

πρὸ δὲ τῆς κατὰ τὴν Σικελίαν τῶν δούλων ἐπαναστάσεως ἐγένοντο κατὰ τὴν Ἰταλίαν πλείους ἀποστάσεις ὀλιγοχρόνιοι καὶ μικραί, καθάπερ τοῦ δαιμονίου προσημαίνοντος τὸ μέγεθος τῆς ἐσομένης κατὰ τὴν Σικελίαν ἐπαναστάσεως, πρώτη μὲν ἡ περὶ Νουκερίαν, τριάκοντα οἰκετῶν συνωμοσίαν ποιησαμένων ϗ ταχὺ κολασθέντων, δευτέρα ἡ περὶ τὴν Καπύην, διακοσίων οἰκετῶν ἐπαναστάντων καὶ ταχὺ καταλυθέντων. τρίτη δὲ παράδοξος γέγονέ τις. ἦν Τίτος Μινούτιος, ἱππεὺς μὲν Ῥωμαίων, μεγαλοπλούτου δὲ πατρὸς παῖς. οὗτος ἠράσθη θεραπαινίδος ἀλλοτρίας, κάλλει διαφερούσης. συμπλακεὶς δ' αὐτῇ καὶ εἰς ἔρωτα παράδοξον αὐτῆς ἐμπεσὼν ἐξηγόρασεν αὐτήν, οὕτω τοῦ τι μανιώδους ἔρωτος βιαζομένου ϗ τοῦ κυρίου τῆς κόρης

a. 12. τε add A. 18. ῥοτίλιος A, Rhodomannus Ῥουπίλιος. ὁ om A. 19. ῥωμαίοις ἀνεσώσατο B. 23. ὅτε Amstel.: ὅτι ς. κωμανον A. 31. ὀλίγων A: ὀλίγον ς. 33. οὐδ'] μηδ' A. 34. δὲ add A. 35. χιλίους AB: ἑξακοσίους ς. ἔφευγεν A. 39. ἔσφαζον] ἔφθαζον γρ B. malim ἀπαυχενίσαντες.
b. 1. λουτρῷ B. 15. Ἰουγούρθαν] ἰουργὰν A. 28. τὴν add A. 31. ἐπομένης B. 39. καὶ et 40. τοῦ add A.

Digitized by Google

τὴν πρᾶσιν μόλις κατανεύσαντος, ταλάντων Ἀττικῶν ἑπτά, καὶ χρόνον ὥρισε καθ' ὃν ἀποτίσει τὸ χρέος· ἐπιστεύετο δὲ διὰ τὴν πατρῴαν περιουσίαν. ἐνστάντος δὲ τοῦ ὁρισθέντος, καὶ μὴ ἔχων ἀποδοῦναι, πάλιν ἔταξε λ' ἡμερῶν προθεσμίαν. ὡς δὲ καὶ ταύτης ἐπιστάσης οἱ μὲν ἀπήτουν, ὁ δὲ οὐδὲν πλέον εἶχεν ἀνύειν, ὁ δ' ἔρως ἤκμαζεν, ἐπεχείρησε πράξει παραλογωτάτῃ. ἐπιβουλεύει μὲν γὰρ τοὺς ἀπαιτοῦντας, ἑαυτῷ δὲ μοναρχικὴν ἐξουσίαν περιέθηκε. συναγοράσας γὰρ πεντακοσίας πανοπλίας, καὶ χρόνον τῆς τιμῆς συντάξας, καὶ πιστευθείς, λάθρα πρός ἀγρόν τινα παρακομίσας τοὺς ἰδίους ἀνέσεισε πρὸς ἀπόστασιν οἰκέτας, τετρακοσίους ὄντας. εἶτα ἀναλαβὼν διάδημα καὶ περιβόλαιον πορφυροῦν καὶ ῥαβδούχους καὶ τὰ ἄλλα εὔσημα τῆς ἀρχῆς, καὶ βασιλέα ἑαυτὸν συνεργίᾳ τῶν δούλων ἀναδείξας, τοὺς μὲν ἀπαιτοῦντας τὴν τιμὴν τῆς κόρης ῥαβδίσας ἐπελέκισεν, ἐξοπλίσας δὲ τοὺς οἰκέτας ἐπῄει τὰς σύνεγγυς ἐπαύλεις, καὶ τοὺς μὲν προθύμως συναφισταμένους καθώπλιζε, τοὺς δ' ἀντιπράττοντας ἀνῄρει. ταχὺ δὲ συναγαγὼν στρατιώτας πλείους τῶν ἑπτακοσίων, καὶ τούτους εἰς ἑκατονταρχίας καταλέξας, ἐνεβάλετο χάρακα καὶ τοὺς ἀφισταμένους ὑπεδέχετο. τῆς δ' ἀποστάσεως εἰς Ῥώμην ἀπαγγελθείσης, ἡ σύγκλητος ἐμφρόνως περὶ αὐτῆς ἐβουλεύσατο καὶ κατώρθωσε. τῶν γὰρ κατὰ πόλιν στρατηγῶν ἀπέδειξεν ἕνα πρὸς τὴν τῶν δραπετῶν σύλληψιν, Λεύκιον Λούκουλλον. οὗτος δὲ αὐθημερὸν ἐκ τῆς Ῥώμης ἐπιλέξας στρατιώτας ἑξακοσίους, εἰς τὴν Καπύην ἦλθε συναθροίσας πεζοὺς μὲν τετρακισχιλίους, ἱππεῖς δὲ τετρακοσίους. ὁ δὲ Οὐέττιος τὴν 53a H. ὁρμὴν τοῦ Λουκούλλου πυθόμενος κατελάβετο λόφον καρτερόν, ἔχων τοὺς πάντας πλέον τῶν γ καὶ φ'. 1173 B. καὶ τὸ μὲν πρῶτον συμβολῆς γενομένης ἐπλεονέκτησαν οἱ δραπέται, ἐκ τόπων ὑπερδεξίων μαχόμενοι· μετὰ δὲ ταῦτα τὸν μὲν στρατηγὸν τοῦ Οὐεττίου Ἀπολλώνιον διαφθείρας ὁ Λούκουλλος, καὶ τῇ δημοσίᾳ πίστει τὴν ἄφεσιν τῆς τιμωρίας βεβαιώσας, ἔπεισεν αὐτὸν προδότην γενέσθαι τῶν συναποστατῶν. διὸ καὶ τούτου συνεργοῦντος τοῖς Ῥωμαίοις καὶ τὰς χεῖρας προσφέροντος τῷ Οὐεττίῳ, φοβηθεὶς τὴν ἐκ τῆς ἁλώσεως τιμωρίαν ἑαυτὸν ἀπέσφαξεν, αὐτίκα συναπολωλότων καὶ τῶν τῆς ἀποστάσεως κεκοινωνηκότων, πλὴν τοῦ προδόντος Ἀπολλωνίου. καὶ ταῦτα μὲν πρὸ τῆς κατὰ Σικελίαν, ὥσπερ προοιμιαζόμενα ταύτῃ, μεγίστης ἀποστάσεως· ἥτις ἀρχὴν ἔλαβε τοιαύτην.

κατὰ τὴν ἐπὶ τοὺς Κίμβρους τοῦ Μαρίου στρατείαν ἔδωκεν ἡ σύγκλητος ἐξουσίαν τῷ Μαρίῳ ἐκ τῶν πέραν θαλάττης ἐθνῶν μεταπέμπεσθαι συμμαχίαν. ὁ μὲν οὖν Μάριος ἐξέπεμψε πρὸς Νικομήδην τὸν τῆς Βιθυνίας βασιλέα περὶ βοηθείας· ὁ δὲ ἀπόκρισιν ἔδωκε τοὺς πλείους τῶν Βιθυνῶν ὑπὸ τῶν δημοσιωνῶν διαρπαγέντας δουλεύειν ἐν ταῖς ἐπαρχίαις. τῆς δὲ συγκλήτου ψηφισαμένης ὅπως μηδεὶς σύμμαχος ἐλεύθερος ἐν ἐπαρχίᾳ δουλεύῃ καὶ τῆς τούτων ἐλευθερώσεως οἱ στρατηγοὶ πρόνοιαν ποιῶνται, τότε κατὰ τὴν Σικελίαν ὢν στρατηγὸς Λικίνιος Νερούας ἀκολούθως τῷ δόγματι συχνοὺς τῶν δούλων ἠλευθέρωσε, κρίσεις προθείς, ὡς ἐν ὀλίγαις ἡμέραις πλείους τῶν ὀκτακοσίων τυχεῖν τῆς ἐλευθερίας. καὶ ἦσαν πάντες οἱ κατὰ τὴν νῆσον δουλεύοντες μετέωροι πρὸς τὴν ἐλευθερίαν. οἱ δ' ἐν ἀξιώμασι συνδραμόντες παρεκάλουν τὸν στρατηγὸν ἀποστῆναι ταύτης τῆς ἐπιβολῆς. ὁ δ' εἴτε χρήμασι πεισθεὶς εἴτε χάρισι δουλεύσας τῆς μὲν τῶν κριτηρίων τούτων σπουδῆς ἀπέστη, καὶ τοὺς προσιόντας ἐπὶ τῷ τυχεῖν τῆς ἐλευθερίας ἐπιπλήττων εἰς τοὺς ἰδίους κυρίους προσέταττεν ἐπαναστρέφειν. οἱ δὲ δοῦλοι συστραφέντες, καὶ τῶν Συρακουσῶν ἀπαλλαγέντες, καὶ καταφυγόντες εἰς τὸ τῶν Παλίκων τέμενος, διελάλουν πρὸς ἀλλήλους ὑπὲρ ἀποστάσεως. ἐκεῖθεν ἐν πολλοῖς τόποις τῆς τῶν οἰκετῶν τόλμης ἐκδήλου γινομένης πρῶτοι τῆς ἐλευθερίας ἀντεποιήσαντο κατὰ τὴν Ἀγκυλίων χώραν ἀδελφῶν δυεῖν μεγαλοπλούτων οἰκέται τριάκοντα, ὧν ἡγεῖτο Οὐάριος ὄνομα· οἳ πρῶτον μὲν νυκτὸς κοιμωμένους τοὺς ἰδίους δεσπότας ἀπέσφαξαν, εἶτα ἐπὶ τὰς γειτνιώσας ἐπαύλεις παρελθόντες παρεκάλουν ἐπὶ τὴν ἐλευθερίαν τοὺς δούλους· καὶ ἐν αὐτῇ τῇ νυκτὶ συνέδραμον πλείους τῶν ρκ'. καὶ καταλαβόμενοι χωρίον φύσει ὀχυρόν, τοῦτο μᾶλλον ἐπωχύρωσαν, προσδεξάμενοι καὶ ἑτέρους δούλους ὡπλισμένους π'. ὁ δὲ στρατηγὸς τῆς ἐπαρχίας Λικίνιος Νερούας κατὰ τάχος αὐτοῖς ἐπελθὼν καὶ πολιορκῶν ἄπρακτον εἶχε τὴν σπουδήν. ἐπεὶ δὲ βίᾳ ἀνάλωτον τὸ φρούριον ἑώρα, ἐπὶ τὴν προδοσίαν ὁρᾷ, καὶ σωτηρίας ὑποσχέσεσι Γάϊον Τιτίνιον ἐπικαλούμενον Γαδαῖον ἀναπείσας 633 H. (ἦν δ' οὗτος πρὸ δυεῖν ἐτῶν καταδικασθεὶς μὲν θανάτῳ, τὴν τιμωρίαν δ' ἐκφυγὼν καὶ πολλοὺς τῶν

a. 12. ἀνέσεισε A: ἀνέστησε ς. 14. τὰ ἄλλα τὰ εὔσ. A. 15. αὐτὸν B. 21. ἐνεβάλετο B: ἐνεβάλλετο ς, Scaliger ἐβάλετο. 32. συμβουλῆς ς. b. 1. ταύτῃ mg. ταυτὶ corr A: ταύτης ς. 5. θαλάττης Scaliger: libri θαλαττίων. ὁ μὲν οὖν B, ὁ μὲν A: ὅθεν ς. 8. δημοσιωνῶν A: δημοσίων ς. 11. δουλεύοι A. 17. ἐν ἀξιώμασι A: ἀξιώματι ς. 21. τῷ B: τὸ ς. 27. γενομένης ς. 36. λικίννιος A. 38. τὸ om A. 40. γαδδαῖον B.

Ddd

κατὰ τὴν χώραν ἐλευθέρων κατὰ λῃστείαν ἀναιρῶν, οὐδένα δὲ τῶν οἰκετῶν παραλυπῶν) εἶχεν ὑπηρέτην τοῦ 1176R. σκοποῦ. οὗτος ἔχων αὐτῷ πιστοὺς οἰκέτας ἱκανοὺς πρόσεισι τῷ φρουρίῳ τῶν ἀποστατῶν, ὡς δὴ συμμεθέξων τοῦ κατὰ Ῥωμαίων πολέμου· εὐμενῶς δὲ καὶ φιλοφρόνως προσδεχθεὶς ᾑρέθη διὰ τὴν ἀνδρείαν καὶ στρατηγός, καὶ προὔδωκε τὸ φρούριον. τῶν δ' ἀποστατῶν οἱ μὲν μαχόμενοι κατεκόπησαν, οἱ δὲ τὴν ἀπὸ τῆς ἁλώσεως δεδιότες τιμωρίαν ἑαυτοὺς κατεκρήμνισαν. ἡ μὲν οὖν πρώτη τῶν δραπετῶν στάσις κατελύθη τὸν εἰρημένον τρόπον.

τῶν δὲ στρατιωτῶν πρὸς τὰ οἰκεῖα ἤδη ἀπολυθέντων, ἧκόν τινες ἀπαγγέλλοντες ὅτι Πόπλιον Κλόνιον, γενόμενον ἱππέα Ῥωμαίων, ἐπαναστάντες οἱ δοῦλοι κατέσφαξαν ὀγδοήκοντα ὄντες, καὶ ὅτι πλῆθος ἀγείρουσι. καὶ ὁ μὲν στρατηγὸς ἑτέρων βουλαῖς παρακρουσθείς, ἤδη καὶ τῶν πλείστων στρατιωτῶν ἀπολελυμένων, καιρὸν παρεῖχε διὰ τῆς ἀναβολῆς τοῖς ἀποστάταις βέλτιον αὐτοὺς ἀσφαλίσασθαι. προῆγε δὲ μετὰ τῶν ἐνόντων στρατιωτῶν, καὶ διαβὰς τὸν Ἄλβαν ποταμὸν παρῆλθε τοὺς ἀποστάτας διατρίβοντας ἐν ὄρει καλουμένῳ Καπριανῷ, καὶ κατήντησεν εἰς πόλιν Ἡράκλειαν. ἐκ γὰρ τοῦ μὴ προσβαλεῖν αὐτοῖς τὸν στρατηγὸν ἀτολμίαν αὐτοῦ διαφημίσαντες συχνοὺς ἀνέσειον τῶν οἰκετῶν. καὶ πολλῶν συῤῥεόντων καὶ τὸν δυνατὸν τρόπον εἰς μάχην παρασκευαζομένων, ἐν ἑπτὰ ταῖς πρώταις ἡμέραις καθωπλίσθησαν πλείους τῶν ὀκτακοσίων, ἐφεξῆς δ' ἐγένοντο τῶν δισχιλίων οὐκ ἐλάττους. πυθόμενος δ' ἐν Ἡρακλείᾳ τὴν αὔξησιν αὐτῶν ὁ στρατηγὸς ἡγεμόνα προεχειρίσατο Μάρκον Τιτίνιον, δοὺς αὐτῷ στρατιώτας τοὺς ἐκ τῆς Ἔννης φρουροὺς ἑξακοσίους. οὗτος δὲ μάχῃ προσβαλὼν τοῖς ἀποστάταις, ἐπεὶ καὶ τῷ πλήθει καὶ ταῖς δυσχωρίαις ἐπλεονέκτουν ἐκεῖνοι, ἐτράπη σὺν τοῖς περὶ αὐτὸν πολλῶν μὲν ἀναιρεθέντων, τῶν δὲ λοιπῶν ῥιψάντων τὰ ὅπλα καὶ φυγῇ μόλις διασωθέντων. καὶ οἱ ἀποστάται ὅπλων τε εὐπορήσαντες τοσούτων ἀθρόον καὶ νίκης θρασύτερον εἴχοντο τῶν ἔργων, καὶ πάντες τῶν δούλων ἐμετεωρίζοντο πρὸς ἀπόστασιν. καὶ πολλῶν καθ' ἡμέραν ἀφισταμένων σύντομον καὶ παράδοξον ἐλάμβανον αὔξησιν, ὡς ἐν ὀλίγαις ἡμέραις πλείους γενέσθαι τῶν ἑξακισχιλίων, ὅτε δὴ καὶ εἰς ἐκκλησίαν συνελθόντες καὶ βουλῆς προτεθείσης πρῶτον μὲν εἵλαντο βασιλέα τὸν ὀνομαζόμενον Σαλούϊον, δοκοῦντα τῆς ἱεροσκοπίας ἔμπειρον εἶναι καὶ ταῖς γυναικείαις θέαις αὐλομανοῦντα. οὗτος βασιλεύσας τὰς μὲν πόλεις ἀργίας καὶ τρυφῆς νομίζων ἐξέκλινεν, εἰς τρία δὲ μερίσας τοὺς ἀποστάτας, καὶ ἴσους ἡγεμόνας ἐγκαταστήσας ταῖς μερίσι, προσέταξεν ἐπιέναι τὴν χώραν καὶ πρὸς ἕνα τόπον καὶ καιρὸν ἅπαντας ἀπαντᾶν. διὸ πολλῶν ἐκ τῆς ἐπελασίας ἄλλων τε ζώων καὶ ἵππων εὐπορήσαντες, ἐν ὀλίγῳ χρόνῳ κατεσκευάσθησαν ἱππεῖς μὲν πλείους τῶν δι- 634H. χιλίων, πεζοὶ δὲ οὐκ ἐλάττους τῶν δισμυρίων, ἤδη καὶ γυμνασίαις πολεμικαῖς ἐνδιαπρέποντες. προσπεσόντες οὖν ἄφνω πόλει ὀχυρᾷ Μοργαντίνῃ προσβολὰς ἐνεργεῖς καὶ συνεχεῖς ἐποιοῦντο. ὁ δὲ στρατηγὸς ὡς βοηθήσων τῇ πόλει ἐπελθών, νυκτοπορίᾳ χρησάμενος, ἔχων μεθ' ἑαυτοῦ Ἰταλιώτας τε καὶ ἐκ Σικελίας σχεδὸν στρατιώ- 1177R. τας μυρίους, κατέλαβε τοὺς ἀποστάτας ἀσχολουμένους περὶ τὴν πολιορκίαν, καὶ ἐπιθέμενος αὐτῶν τῇ παρεμβολῇ, καὶ εὑρὼν ὀλίγους μὲν τοὺς φυλάττοντας, πλῆθος δὲ γυναικῶν αἰχμαλώτων καὶ λείας ἄλλης παντοδαπῆς, ῥᾳδίως ἐξεῖλε τὴν στρατοπεδείαν. καὶ ταύτην μὲν διήρπασεν, ἐπὶ δὲ τὴν Μοργαντίνην ᾔει. οἱ δ' ἀποστάται ἐξαίφνης ἀντεπιθέμενοι, καὶ ὑπερδέξιον τὴν τάξιν ἔχοντες, βιαίως τε ἐπιῤῥάξαντες εὐθὺς ἐπὶ προτερήματος ἦσαν· οἱ δὲ τοῦ στρατηγοῦ ἐτράπησαν πρὸς φυγήν. τοῦ δὲ βασιλέως τῶν ἀποστατῶν κήρυγμα ποιησαμένου μηδένα κτείνειν τῶν τὰ ὅπλα ῥιπτούντων, οἱ πλεῖστοι ῥιπτοῦντες ἔφευγον. καὶ τούτῳ τῷ τρόπῳ καταστρατηγήσας τοὺς πολεμίους ὁ Σαλούϊος τήν τε παρεμβολὴν ἀνεκτήσατο, καὶ περιβόητον νίκην ἀπενεγκάμενος πολλῶν ὅπλων ἐκυρίευσεν. ἀπέθανον δὲ ἐν τῇ μάχῃ τῶν Ἰταλιωτῶν τε καὶ Σικελῶν οὐ πλείους ἑξακοσίων διὰ τὴν τοῦ κηρύγματος φιλανθρωπίαν, ἑάλωσαν δὲ περὶ τετρακισχιλίους. ὁ δὲ Σαλούϊος, πολλῶν πρὸς αὐτὸν ἀπὸ τοῦ κατορθώματος συῤῥεόντων διπλασιάσας τὴν ἰδίαν δύναμιν, ἐκράτει τῶν ὑπαίθρων, καὶ πολιορκεῖν πάλιν ἐπεχείρει τὴν Μοργαντῖναν, κήρυγμα δοὺς τοῖς ἐν αὐτῇ δούλοις τὴν ἐλευθερίαν. τῶν δὲ κυρίων ἀντιπροτεινόντων αὐτοῖς ταύτην, εἰ σφίσι συναγωνίσαιντο, εἵλοντο μᾶλλον τὴν ἀπὸ τῶν κυρίων, καὶ προθύμως ἀγωνισάμενοι ἀπετρίψαντο τὴν πολιορκίαν. ὁ δὲ στρατηγὸς μετὰ ταῦτα τὴν ἐλευθερίαν

a. 3. αὐτοῦ B. 4. τῶν] καὶ τῶν B. ὡς δὴ — 7. ἀποστατῶν om B et pr A. 7. μαχόμενοι ς. 16. στρατιωτῶν ἀπολελυμένων om A. 21. γάρ] γοῦν A. praestiterit δ' οὖν. 31. δυσχερείαις ς. 41. εἵλοντο ς.

b. 2. τοῖς et 3. τὰς μὲν add A. 13. βοηθῶν ς. 14. νυκτοπορείᾳ A. 16. κατέλαβε om A. 17. πολιορκίαν] πολιορκίαν καταλαβὼν B. 19. παντοδαπῆς ς. 22. τάξιν] στάσιν A. 23. ἐπαρράξαντες B. ἐπὶ Scaliger, libr. ὑπό. 27. ῥίπτοντες A. 34. τῶν κατορθωμάτων B. 38. ἀντιπαρατεινόντων B.

ἀνατρέψας αὐτομολῆσαι τοὺς πλείστους παρεσκεύασε τοῖς ἀποστάταις.

περὶ δὲ τὴν Αἰγεσταίων καὶ Λιλυβαϊτῶν χώραν, ἔτι δὲ τῶν ἄλλων τῶν πλησιοχώρων, ἐνόσει πρὸς ἀπόστασιν τὰ πλήθη τῶν οἰκετῶν. γίνεται δὲ τούτων ἀρχηγὸς Ἀθηνίων ὄνομα, ἀνὴρ ἀνδρείᾳ διαφέρων, Κίλιξ τὸ γένος. οὗτος οἰκονόμος ὢν δυοῖν ἀδελφῶν μεγαλοπλούτων, καὶ τῆς ἀστρομαντικῆς πολλὴν ἔχων ἐμπειρίαν, ἔπεισε τῶν οἰκετῶν πρῶτον μὲν τοὺς ὑφ᾽ ἑαυτὸν τεταγμένους, περὶ διακοσίους ὄντας, ἔπειτα τοὺς γειτνιῶντας, ὥστε ἐν πέντε ἡμέραις συναχθῆναι πλείους τῶν χιλίων. ὑπὸ δὲ τούτων αἱρεθεὶς βασιλεὺς καὶ διάδημα περιθέμενος ἐναντίαν τοῖς ἄλλοις ἅπασιν ἀποστάταις τὴν διάθεσιν ἐποιεῖτο. οὐ γὰρ προσεδέχετο πάντας τοὺς ἀφισταμένους, ἀλλὰ τοὺς ἀρίστους ποιούμενος στρατιώτας, τοὺς ἄλλους ἠνάγκαζε μένοντας ἐπὶ τῶν προγεγενημένων ἐργασιῶν ἐπιμελεῖσθαι τῆς ἰδίας ἕκαστον οἰκονομίας καὶ τάξεως, ἐξ ὧν καὶ τροφὰς ἀφθόνους τῶν στρατιωτῶν ἐχορηγεῖτο. προσεποιεῖτο δὲ τοὺς θεοὺς αὐτῷ διὰ τῶν

635 H. ἄστρων προσημαίνειν ὡς ἔσοιτο τῆς Σικελίας συμπάσης βασιλεύς· διὸ δεῖν αὐτῆς τε τῆς χώρας καὶ τῶν ἐν αὐτῇ ζώων τε καὶ καρπῶν ὡς ἰδίων φείδεσθαι. τέλος ἀθροίσας ὑπὲρ τοὺς μυρίους ἐτόλμησε πόλιν ἀπόρθητον τὸ Λιλυβαῖον πολιορκεῖν. μηδὲν δὲ ἀνύων μετανίστατο αὐτῆς, εἰπὼν αὐτῷ τοὺς θεοὺς τοῦτο ἐπιτάττειν· ἐπιμένοντας γὰρ τῇ πολιορκίᾳ δυστυχήματος πειραθῆναι. παρασκευαζομένου δὲ αὐτοῦ τὴν ἀπὸ τῆς πόλεως ἀναχώρησιν κατέπλευσάν τινες ἐν ταῖς ναυσὶ κομίζοντες ἐπιλέκτους Μαυρουσίους, οἳ ἐπὶ βοήθειαν

[illegible] ἦσαν ἀπεσταλμένοι τοῖς Λιλυβαΐταις, ἔχοντες ἡγούμενον ὃς ὠνομάζετο Γόμων. οὗτος οὖν τοῖς ἅμ᾽ αὐτῷ κατὰ νύκτα καὶ ἀνελπίστως ἐπιθέμενος τοὺς περὶ Ἀθηνίωνα ὁδοιποροῦντας, πολλοὺς καταβαλόντες, οὐκ ὀλίγους δὲ τραυματίσαντες εἰς τὴν πόλιν ἐπανῆλθον. διόπερ οἱ ἀποστάται τὴν ἐκ τῆς ἀστρομαντείας πρόρρησιν ἐθαύμαζον.

εἶχε δὲ τὴν Σικελίαν πᾶσαν σύγχυσις καὶ κακῶν Ἰλιάς. οὐ γὰρ οἱ δοῦλοι μόνον, ἀλλὰ καὶ τῶν ἐλευθέρων οἱ ἄποροι πᾶσαν ἁρπαγὴν καὶ παρανομίαν ἐργαζόμενοι, καὶ τοὺς περιτυγχάνοντας δούλους τε καὶ ἐλευθέρους, ὅπως μηδεὶς ἀπαγγέλλοι τὴν περὶ αὐτοὺς ἀπόνοιαν, ἐφόνευον ἀναιδῶς. διὸ καὶ πάντες οἱ κατὰ τὰς πόλεις ὑπελάμβανον τὰ μὲν ἐντὸς τειχῶν μόλις εἶναι ἴδια, τὰ δ᾽ ἐκτὸς ἀλλότρια καὶ δοῦλα τῆς παρανόμου χειροκρασίας. καὶ ἄλλα δὲ πολλὰ πολλοῖς ἄτοπα κατὰ τὴν Σικελίαν ἐτολμᾶτο.

ὁ δὲ τὴν Μοργαντίνην πολιορκήσας Σαλούιος, ἐπιδραμὼν τὴν χώραν μέχρι τοῦ Λεοντίνου πεδίου, ἤθροισεν αὐτοῦ τὸ σύμπαν στράτευμα, ἐπιλέκτους ἄνδρας οὐκ ἐλάττους τῶν τρισμυρίων, καὶ θύσας τοῖς Ἰταλικοῖς ἥρωσι τούτοις μὲν ἀνέθηκε μίαν τῶν ἁλουργῶν περιπορφύρων στολὴν χαριστήρια τῆς νίκης, αὐτὸς δ᾽ ἀναγορεύσας ἑαυτὸν βασιλέα Τρύφων μὲν ὑπὸ τῶν ἀποστατῶν προσηγορεύετο. διανοούμενος δὲ τὰ Τριόκαλα καταλαβέσθαι καὶ κατασκευάσαι βασίλεια πέμπει καὶ πρὸς Ἀθηνίωνα, μεταπεμπόμενος αὐτὸν ὡς στρατηγὸν βασιλεύς. πάντες μὲν οὖν ὑπελάμβανον τὸν Ἀθηνίωνα τῶν πρωτείων ἀντιποιήσεσθαι, καὶ διὰ τὴν στάσιν τῶν ἀποστατῶν ῥᾳδίως καταλυθήσεσθαι τὸν πόλεμον· ἡ δὲ τύχη καθάπερ ἐπίτηδες αὔξουσα τὰς τῶν δραπετῶν δυνάμεις, ὁμονοῆσαι τοὺς τούτων ἡγεμόνας ἐποίησεν. ἧκε μὲν γὰρ συντόμως μετὰ τῆς δυνάμεως ἐπὶ τὰ Τριόκαλα ὁ Τρύφων, ἧκε δὲ καὶ Ἀθηνίων μετὰ τρισχιλίων, ὑπακούων ὡς στρατηγὸς βασιλεῖ τῷ Τρύφωνι, τὴν ἄλλην αὐτοῦ δύναμιν κατατρέχειν τὴν χώραν καὶ ἀνασείειν πρὸς ἀπόστασιν τοὺς οἰκέτας ἀπεσταλκώς. μετὰ δὲ ταῦτα ὑπονοήσας ὁ Τρύφων τὸν Ἀθηνίωνα ἐπιθήσεσθαι ἐν καιρῷ παρέδωκεν εἰς φυλακήν. τὸ δὲ φρούριον ὀχυρώτατον ὂν κατεσκεύαζε πολυτελέσι κατασκευαῖς καὶ ἐπὶ μᾶλλον ὠχύρου. Τριόκαλα δὲ αὐτό φασιν ὠνομάσθαι διὰ τὸ τρία καλὰ ἔχειν, πρῶτον μὲν ναματιαίων ὑδάτων πλῆθος, διαφόρων τῇ γλυκύτητι, δεύτερον παρακειμένην χώραν ἀμπελόφυτόν τε καὶ 636 H.
ἐλαιόφυτον καὶ γεωργεῖσθαι δυναμένην θαυμαστῶς, τρίτον ὑπερβάλλουσαν ὀχυρότητα, ὡς ἂν οὔσης μεγάλης πέτρας ἀναλώτου· ἣν καὶ περιβόλῳ πόλεως σταδίων ὀκτὼ προσπεριβαλών, καὶ ταφρεύσας βαθείᾳ τάφρῳ, βασιλείοις ἐχρῆτο, πάσῃ ἀφθονίᾳ τῶν κατὰ τὸν βίον ἁπάντων πεπληρωμένην. κατεσκεύασε δὲ καὶ βασιλικὴν οἰκίαν καὶ ἀγορὰν δυναμένην δέξασθαι πλῆθος ἀνθρώπων. ἐξελέξατο δὲ καὶ τῶν φρονήσει διαφερόντων ἀνδρῶν τοὺς ἱκανούς, οὓς ἀποδείξας συμβούλους ἐχρῆτο συνέδροις αὐτοῖς· τήβεννάν τε περιπόρφυρον περιεβάλλετο καὶ πλατύσημον ἔσθ᾽ χιτῶνα κατὰ τοὺς χρηματισμούς, καὶ

a. 7. δυοῖν B. 10. περὶ om B. 20. σικελίας B et corr A: βασιλείας ς. 25. ἀνίστατο B. 27. σκευαζομένου ς. 34. ὀλίγους ς. 35. ἐκ A: ἀπὸ ς. 37. πᾶσαν mg: libri πᾶσα. 41. ἀπαγγέλλοι A. b, 8. Παλικοῖς Wesselingius. 11. Τρύφων — ὑπὸ — προσηγορεύετο] τρύφωνις — μετὰ — προηγάγετο A et (qui τρύφωνα habet) B. 12. τρίοκαλα A. 16. ἀντιποιήσασθαι A. 29. φησὶν B. 32. θαυμαστῶς om B. 37. ἅπαντα ς. 38. δέχεσθαι ς. 41. περιεβάλετο B.

1181B. ῥαβδούχους εἶχε μετὰ πελέκεων τοὺς προηγουμένους, καὶ τἆλλα πάντα ὅσα ποιοῦσί τε καὶ ἐπικοσμοῦσιν ἐπετήδευε βασιλείαν.

προχειρίζεται δὲ κατὰ τῶν ἀποστατῶν ἡ σύγκλητος τῶν Ῥωμαίων Λεύκιον Λικίνιον Λούκουλλον, ἔχοντα στρατιώτας μυρίους μὲν καὶ τετρακισχιλίους Ῥωμαίους καὶ Ἰταλούς, Βιθυνοὺς δὲ καὶ Θετταλοὺς καὶ Ἀκαρνᾶνας ὀκτακοσίους, ἐκ δὲ τῆς Λευκανίας ἑξακοσίους, ὧν ἡγεῖτο Κλέπτιος, ἀνὴρ στρατηγικὸς καὶ ἐπ' ἀνδρείᾳ περιβόητος, ἔτι δὲ καὶ ἑτέρους ἑξακοσίους, ὡς γενέσθαι σύμπαντας ἑπτακισχιλίους καὶ μυρίους, οὓς ἔχων κατέλαβε τὴν Σικελίαν. ὁ δὲ Τρύφων ἀπολύσας Ἀθηνίωνα τῆς αἰτίας ἐβουλεύετο περὶ τοῦ πρὸς Ῥωμαίους πολέμου. καὶ τῷ μὲν ἤρεσκεν ἐν τοῖς Τριοκάλοις ἀγωνίζεσθαι, Ἀθηνίων δὲ συνεβούλευε μὴ συγκλείειν ἑαυτοὺς εἰς πολιορκίαν, ἀλλ' ἐν ὑπαίθρῳ διαγωνίζεσθαι. κρατησάσης δὲ ταύτης τῆς βουλῆς κατεστρατοπέδευσαν πλησίον Σκιρθαίας, ὄντες οὐκ ἐλάττους τῶν τετρακισμυρίων· ἀπεῖχε δ' αὐτῶν ἡ Ῥωμαίων παρεμβολὴ στάδια δυοκαίδεκα. τὸ μὲν οὖν πρῶτον ἐγίνοντο συνεχεῖς ἀκροβολισμοί· εἶτα παραταξαμένων ἑκατέρων, καὶ τῆς μάχης ὧδε κἀκεῖσε ῥεπούσης, καὶ πολλῶν ἑκατέρωθεν πιπτόντων, ὁ μὲν Ἀθηνίων ἔχων συναγωνιζομένους διακοσίους ἱππεῖς ἐπιλέκτων πάντα τὸν περὶ αὐτὸν τόπον νεκρῶν ἐπλήρωσε, τρωθεὶς δ' εἰς ἀμφότερα τὰ γόνατα καὶ τρίτην λαβὼν ἄχρηστος ἐγένετο πρὸς τὴν μάχην, ἐξ οὗ οἱ δραπέται ταῖς ψυχαῖς πεσόντες πρὸς φυγὴν ἐτράπησαν. ὁ δὲ Ἀθηνίων ὡς νεκρὸς ὢν ἔλαθε, καὶ προσποιηθεὶς τετελευτηκέναι τῆς νυκτὸς ἐπιλαβούσης διεσώθη. ἐπεκράτησαν δὲ λαμπρῶς οἱ Ῥωμαῖοι, φυγόντων καὶ τῶν μετὰ Τρύφωνος καὶ αὐτοῦ ἐκείνου· καὶ πολλῶν κατὰ τὴν φυγὴν κοπέντων τέλος οὐκ ἐλάττους τῶν δισμυρίων ἀνῃρέθησαν. οἱ δὲ λοιποὶ τῆς νυκτὸς συνεργούσης διέφυγον εἰς τὰ Τριόκαλα· καίτοι ῥᾷον ἦν ἐπιδιώξαντι τῷ στρατηγῷ καὶ τούτους ἀνελεῖν. ἐπὶ τοσοῦτον δὲ τεταπείνωτο τὸ οἰκετικόν, ὥστε καὶ ἐβουλεύσαντο ἐπὶ τοὺς κυρίους ἐπαναδραμεῖν καὶ σφᾶς αὐτοῖς ἐγχειρίσαι· πλὴν ἐπεκράτησεν ἡ γνώμη τῶν μέχρι τελευτῆς ὑποθεμένων ἀγωνίσασθαι καὶ μὴ τοῖς ἐχθροῖς ἑαυτοὺς καταπροδοῦναι. μετὰ δ'
637 H. ἐνάτην ἡμέραν ὁ στρατηγὸς ἧκε πολιορκήσων τὰ Τριόκαλα. καὶ τὰ μὲν ἀναιρῶν τὰ δὲ ἀναιρούμενος, ἔλαττον ἔχων ἀπηλλάγη, καὶ οἱ ἀποστάται αὖθις ἐφρονηματίζοντο. ἤνυε δὲ τῶν δεόντων ὁ στρατηγός, εἴτε διὰ ῥᾳστώνην εἴτε διὰ δωροδοκίαν, οὐδέν· ἀνθ' ὧν καὶ δίκην ὕστερον κριθεὶς Ῥωμαίοις ἔδωκε.

Γάϊος δὲ Σερουΐλιος καταπεμφθεὶς στρατηγὸς διάδοχος Λουκούλλου οὐδ' αὐτός τι ἄξιον μνήμης ἔπραξε· διὸ καὶ ὁμοίως Λουκούλλῳ ὕστερον φυγῇ κατεδικάσθη. τελευτήσαντος δὲ Τρύφωνος διάδοχος τῆς ἀρχῆς ὁ Ἀθηνίων καθίσταται, καὶ τοῦτο μὲν πόλεις ἐπολιόρκει, τοῦτο δὲ πᾶσαν τὴν χώραν ἀδεῶς κατέτρεχε, καὶ πολλῶν ἐκυρίευσε, τοῦ Σερουϊλίου μηδὲν ἀντιπράττοντος.

τοῦ δ' ἐνιαυσίου χρόνου διελθόντος ὕπατος ἐν Ῥώμῃ Γάϊος Μάριος ᾑρέθη τὸ πέμπτον καὶ Γάϊος Ἀκύλλιος· ὧν ὁ Ἀκύλλιος στρατηγὸς κατὰ τῶν ἀποστατῶν σταλεὶς διὰ τῆς ἰδίας ἀνδρείας ἐπιφανεῖ μάχῃ τοὺς ἀπο- 1184
στάτας ἐνίκησε. καὶ πρὸς αὐτὸν δὲ τὸν βασιλέα τῶν ἀποστατῶν Ἀθηνίωνα συμβαλὼν ἡρωϊκὸν ἀγῶνα συνεστήσατο. καὶ τοῦτον μὲν ἀνεῖλεν, αὐτὸς δ' εἰς τὴν κεφαλὴν τρωθεὶς ἐθεραπεύθη. καὶ στρατεύει ἐπὶ τοὺς ὑπολειπομένους τῶν ἀποστατῶν, ὄντας μυρίους. οὐχ ὑπομεινάντων δὲ τὴν ἔφοδον ἀλλ' εἰς τὰ ὀχυρώματα καταφυγόντων, ὅμως Ἀκύλλιος οὐκ ἐνεδίδου πάντα πράττων, ἕως αὐτοὺς ἐκπολιορκήσας ἐχειρώσατο. ἔτι δ' ὑπολειπομένων χιλίων, καὶ στρατηγὸν ἐχόντων τὸν Σάτυρον, τὸ μὲν πρῶτον ἐπεβάλετο διὰ τῶν ὅπλων αὐτοὺς χειρώσασθαι, μετὰ δὲ ταῦτα διαπρεσβευόντων καὶ παραδόντων ἑαυτοὺς τῆς μὲν παραυτίκα τιμωρίας ἀπέλυσεν, ἀπαγαγὼν δὲ εἰς τὴν Ῥώμην θηριομάχας αὐτοὺς ἐποίησε. τοὺς δέ φασί τινες ἐπιφανεστάτην ποιήσασθαι τοῦ βίου καταστροφήν· τῆς μὲν γὰρ πρὸς τὰ θηρία μάχης ἀποστῆναι, ἀλλήλους δὲ ἐπὶ τῶν δημοσίων βωμῶν κατασφάξαι, καὶ τὸν τελευταῖον αὐτὸν τὸν Σάτυρον ἀνελόντα, τοῦτον δ' ἐπὶ πᾶσιν αὐτοχειρίᾳ ἡρωϊκῶς καταστρέψαι. ὁ μὲν οὖν κατὰ Σικελίαν τῶν οἰκετῶν πόλεμος, διαμείνας ἔτη σχεδόν που τέτταρα, τραγικὴν ἔσχε τὴν καταστροφήν.

ὅτι Βαττάκης τις ὄνομα ἧκε, φησίν, ἐκ Πισινοῦντος τῆς Φρυγίας, ἱερεὺς ὑπάρχων τῆς μεγάλης τῶν θεῶν μητρός. οὗτος κατὰ πρόσταγμα τῆς θεοῦ παρεῖναι φήσας τοῖς ἄρχουσιν ἐνέτυχε καὶ τῇ συγκλήτῳ, λέγων τὸ ἱερὸν τῆς θεοῦ μεμιάνθαι καὶ δεῖν αὐτοὺς δημοσίᾳ καθαρμοὺς ἐπὶ τῆς Ῥώμης συντελεσθῆναι. ἐφόρει δὲ ἐσθῆτα καὶ τὴν περὶ τὸ σῶμα ἄλλην κατασκευὴν ἐξηλ-

a. 2. τε A: γε ς. 5. Λεύκουλλον ς. 7. καρνᾶνας A. 16. ταύτης] αὐτῆς A. 17. σκριθαίας A. 23. ἱππεῖς om A. ἐπιλέκτων] ἐπικρατῶν B et corr A. 34. ῥᾷον] immo ῥᾴδιον. 39. ἐνάτην] ἕκτην B. 41. δὲ] δὲ καὶ B.
b. 10 μηδὲν A: δὲ μηδὲν ς. 22. ἐκπολιορκήσας A: ἐκπολεμήσας ς. 24. ἐπεβάλλετο ς. 27. θηριομάχους B. 29. μὲν add B. 36. Πισσινοῦντος B. 40. αὐτοὺς] αὐτῇ Wesselingius.

Digitized by Google

λαγμένην καὶ ὑπὸ τῶν Ῥωμαίων ἐθῶν οὐκ ἐπιχωρουμένην· χρυσοῦν τε γὰρ στέφανον εἶχεν ὑπερμεγέθη καὶ στολὴν ἀνθίνην διάχρυσον, βασιλικὴν ἀξίαν ἐπιφαίνουσαν. ποιησάμενος δὲ λόγους ἐπὶ τῶν ἐμβόλων ἐν τῷ δήμῳ, καὶ τὸ πλῆθος εἰς δεισιδαιμονίαν ἐμβαλών, καταλύματος μὲν δημοσίου καὶ ξενίων ἠξιώθη, τὸν δὲ στέφανον ἐκωλύθη φορεῖν ὑφ' ἑνὸς τῶν δημάρχων Αὔλου Πομ-
638 H πηΐου. διά τινος δ' ἑτέρου δημάρχου προαχθεὶς ἐπὶ τὰ ἔμβολα, καὶ περὶ τῆς εἰς τὸ ἱερὸν ἁγνείας ἐπερωτώμενος, ἀποκρίσεις ἐποιεῖτο δεισιδαιμονίαν περιεχούσας. καταστασιασθεὶς δὲ ὑπὸ τοῦ Πομπηΐου, καὶ μεθ' ὕβρεως ἀπαλλαγεὶς ἐπὶ τὴν κατάλυσιν, οὐκέτι προεπορεύετο, λέγων μὴ μόνον ἑαυτὸν ἀσεβῶς προπεπηλακίσθαι, ἀλλὰ καὶ τὴν θεόν. ὁ δὲ Πομπήϊος παραχρῆμα μὲν λάβρῳ πυρετῷ συνεχέθη, μετὰ δὲ ταῦτα ἄφωνος γενόμενος καὶ καταληφθεὶς κυναγχικῷ πάθει τριταῖος κατέστρεψε τὸν βίον, παρὰ τοῖς πολλοῖς ὑποληφθεὶς θείᾳ τινὶ προνοίᾳ, ἀνθ' ὧν εἰς τὸν ἱερέα καὶ τὴν θεὸν ἐπλημμέλησεν, τοῦ ζῆν ἐστερῆσθαι· σφόδρα γὰρ Ῥωμαῖοι δεισιδαιμονοῦσι. διόπερ ὁ Βαττάκης λαβὼν τὴν συγχώρησιν τῆς κατὰ τὴν ἱερὰν στολὴν κατασκευῆς, καὶ τιμηθεὶς ἀξιολόγοις ξενίοις, ὑπὸ πολλῶν ἀνδρῶν τε καὶ γυναικῶν προεπέμφθη τὴν ἐκ τῆς Ῥώμης ἐπάνοδον ποιούμενος.

ὅτι ἔθος ἦν τοῖς Ῥωμαίων στρατιώταις, ἡνίκα ὁ στρατηγὸς αὐτῶν σὺν αὐτοῖς μάχῃ πρός τινας τῶν πολεμίων συμπλακεὶς ὑπὲρ τοὺς ἑξακισχιλίους τῶν ἐχθρῶν ἐφαίνετο ἀνελών, ἰμπεράτορα αὐτὸν ἀναγορεύειν καὶ ἀποκαλεῖν, ὅ ἐστι βασιλέα.

Ἐκ τοῦ λζ΄ καὶ η΄ καὶ τῶν ἐφεξῆς.

ὅτι τὸν Μαρσικὸν ὀνομασθέντα πόλεμον ἐπὶ τῆς
185 B αὐτοῦ ἡλικίας Διόδωρος μείζονα πάντων τῶν προγεγονότων ἀποφαίνεται. ὠνομάσθαι δέ φησι Μαρσικὸν ἐκ τῶν ἀρξάντων τῆς ἀποστάσεως, ἐπεὶ σύμπαντές γε Ἰταλοὶ κατὰ Ῥωμαίων τοῦτον ἐξήνεγκαν τὸν πόλεμον. αἰτίαν δὲ πρώτην γενέσθαι τοῦ πολέμου τὸ μεταπεσεῖν τοὺς Ῥωμαίους ἀπὸ τῆς εὐτάκτου καὶ λιτῆς ἀγωγῆς καὶ ἐγκρατοῦς, δι' ἧς ἐπὶ τοσοῦτον ηὐξήθησαν, εἰς ὀλέθριον ζῆλον τρυφῆς καὶ ἀκολασίας. ἐκ γὰρ τῆς διαφθορᾶς ταύτης στασιάσαντος τοῦ δημοτικοῦ πρὸς τὴν σύγκλητον, εἶτα ἐκείνης ἐπικαλεσαμένης τοὺς ἐκ τῆς Ἰταλίας ἐπικουρῆσαι, καὶ ὑποσχομένης τῆς πολυεράστου Ῥωμαϊκῆς πολιτείας μεταδοῦναι καὶ νόμῳ κυρῶσαι, ἐπεὶ οὐδὲν τῶν ὑπεσχημένων τοῖς Ἰταλιώταις ἐγένετο, ὁ ἐξ αὐτῶν πόλεμος πρὸς Ῥωμαίους ἐξεκαύθη, ὑπατευόντων ἐν τῇ Ῥώμῃ Λευκίου Μάρκου Φιλίππου καὶ Σέξτου Ἰουλίου· Ὀλυμπιὰς δ' ἤχθη πρὸς ταῖς ἑκατὸν ἑβδομήκοντα. ἐν τούτῳ τῷ πολέμῳ ποικίλα καὶ πολύτροπα πάθη καὶ πόλεων ἁλώσεις ἑκατέρῳ μέρει τῶν διαπολεμησάντων συνέβη, ταλαντευομένης ὥσπερ ἐπίτηδες παρὰ μέρος τῆς νίκης καὶ μηδετέροις ἐν βεβαίῳ διαμενούσης· ὅμως ἀπείρου πλήθους ἑκατέρωθεν πεσόντος, ὀψὲ καὶ μόλις Ῥωμαίοις ἐξενίκησε βεβαιωθῆναι τὸ κράτος. ἐπολέμουν δὲ Ῥωμαίοις Σαυνῖται, Ἀσκολανοί, Λευκανοί, Πικεντηνοί, Νωλανοὶ καὶ ἕτεραι πόλεις καὶ ἔθνη· ἐν οἷς ἐπισημοτάτη καὶ μεγίστη καὶ κοινὴ πόλις ἄρτι συντετελεσμένη τοῖς Ἰταλιώταις τὸ Κορφίνιον ἦν, ἐν ᾗ τά τε ἄλλα, ὅσα μεγάλην πόλιν καὶ ἀρχὴν κρατύνουσι, συνεστήσαντο καὶ ἀγορὰν εὐμεγέθη καὶ βουλευτήριον, καὶ τὰ ἄλλα τὰ 639 H.
πρὸς πόλεμον ἀφθόνως ἅπαντα, καὶ χρημάτων πλῆθος καὶ τροφῆς δαψιλῆ χορηγίαν. συνεστήσαντο δὲ καὶ σύγκλητον κοινὴν πεντακοσίων ἀνδρῶν, ἐξ ὧν οἵ τε τῆς πατρίδος ἄρχειν ἄξιοι προαχθήσεσθαι ἔμελλον καὶ οἱ προβουλεύεσθαι δυνάμενοι περὶ τῆς κοινῆς σωτηρίας. καὶ τούτοις ἐπέτρεψαν τὰ κατὰ τὸν πόλεμον διοικεῖν, αὐτοκράτορας ποιήσαντες τοὺς συνέδρους. οὗτοι δ' ἐνομοθέτησαν δύο μὲν ὑπάτους κατ' ἐνιαυτὸν αἱρεῖσθαι, δώδεκα δὲ στρατηγούς. καὶ κατεστάθησαν ὕπατοι μὲν Κόϊντος Πομπαίδιος Σίλων, Μάρσος μὲν τὸ γένος, πρωτεύων δὲ τῶν ὁμοεθνῶν, καὶ δεύτερος ἐκ τοῦ Σαυνιτῶν γένους Γάϊος Ἀπώνιος Μότυλος, καὶ αὐτὸς δόξῃ καὶ πράξεσι τοῦ ἔθνους προέχων. τὴν δ' ὅλην Ἰταλίαν εἰς δύο μέρη διελόντες ὑπατικὰς ἐπαρχίας ταύτας καὶ μερίδας ἀπέδειξαν, καὶ τῷ μὲν Πομπαιδίῳ προσώρισαν χώραν ἀπὸ τῶν Κερκώλων καλουμένων μέχρι τῆς Ἀδριατικῆς θαλάσσης, τὰ πρὸς δυσμὰς καὶ τὴν ἄρκτον νεύοντα μέρη, καὶ στρατηγοὺς ἔταξαν αὐτῷ ἕξ· τὸ δὲ λοιπὸν τῆς Ἰταλίας, τὴν πρὸς ἕω καὶ μεσημβρίαν νεύουσαν, προσώρισαν Γαΐῳ Μοτύλῳ, στρατηγοὺς ὁμοίως συζεύξαντες ἕξ. οὕτω πάντα δεξιῶς καὶ κατὰ μίμησιν, τὸ σύνολον φάναι, τῆς Ῥωμαϊκῆς καὶ ἐκ παλαιοῦ τάξεως τὴν ἑαυτῶν ἀρχὴν διαθέμενοι, κατὰ τὸ σφοδρότερον λοιπὸν εἴχοντο καὶ τοῦ ἐφεξῆς πολέμου, τὴν κοινὴν πόλιν Ἰταλίαν ἐπονο-

a. 1. ἐθῶν Scaliger: libri ἐθνῶν. ἐπιχωρουμένην] libri ἐπιχωρημένην. 9. εἰς om A. 11. τοῦ add A. 14. λαύρῳ c. 27. ἰμπεράτορα B: ἰνπεράτορα c. 28. βασιλέα om pr A: in quo post eam vocem vacui sunt versus 3½. 31. αὐτῆς A. πάντων B: ἁπάντων c. 32. φασι c. 37. ἧς μὲν ἐπὶ c. 38. διαφορᾶς c.
b. 4. Μάρκου] Μαρκίου Scaliger. σέξτου c. 5. ἤχθη] ἤχθη ἡ β Scaliger. 12. ἀσκαλανοί A. πικεντηνοί B: πικεντινοί c. 20. libri αὐτήν. 21. παραβουλεύεσθαι B. 23. ἐπέτρεψαν] ἐπιτρέψαντες A. 41. ὀνομάσαντες c.

Digitized by Google

μάσαντες. καὶ διεπολέμησαν Ῥωμαίοις τὰ πλεῖστα κατὰ τὸ ἐπικρατέστερον, ἕως Γναῖος Πομπήϊος ὕπατος αἱρεθεὶς καὶ στρατηγὸς τοῦ πολέμου, καὶ Σύλλας στρατηγὸς ὑπὸ τῷ ἑτέρῳ ὑπάτῳ Κάτωνι, ἐπιφανεστάταις μάχαις τοὺς Ἰταλιώτας οὐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις νικήσαντες, 1188R. "τὰ πράγματα αὐτῶν εἰς τὸ συντρίβεσθαι περιέστησαν. ἐπολέμησαν δ' οὖν καὶ ἔτι· ἀλλὰ Γαΐου Κοσκονίου σταλέντος εἰς Ἰαπυγίαν στρατηγοῦ πολλάκις ἡττήθησαν. εἶτα ἐλαττωθέντες καὶ ἐκ πολλῶν ὀλίγοι καταλειφθέντες κοινῇ γνώμῃ τὴν κοινὴν ἐκλείπουσι πόλιν, τὸ Κορφίνιον, διὰ τὸ τοὺς Μάρσους καὶ πάντα τὰ γειτνιῶντα τῶν ἐθνῶν προσκεχωρηκέναι τοῖς Ῥωμαίοις. εἰς δὲ τὴν ἐν Σαυνίταις Αἰσερνίαν καθιδρύθησαν, πέντε στρατηγοὺς αὐτοῖς ἐπιστήσαντες, ὧν ἑνὶ μάλιστα Κοΐντῳ Πομπαιδίῳ Σίλωνι τὴν πάντων ἡγεμονίαν ἐπίστευσαν διὰ τὴν περὶ αὐτὸν ἐν τῷ στρατηγεῖν ἀρετήν τε καὶ δόξαν. οὗτος δὲ μετὰ τῆς κοινῆς τῶν στρατηγῶν γνώμης κατεσκεύασε μεγάλην δύναμιν, ὡς τοὺς σύμπαντας μετὰ τῶν προϋπαρχόντων περὶ τρισμυρίους γενέσθαι. χωρὶς δὲ τούτων τοὺς δούλους ἐλευθερώσας καὶ (ὡς ὁ καιρὸς ἐδίδου) καθοπλίσας συνῆγεν οὐ πολὺ λείποντας τῶν δισμυρίων, ἱππεῖς δὲ χιλίους. συμβαλὼν δὲ Ῥωμαίοις Μαμέρκου στρατηγοῦντος αὐτῶν, Ῥωμαίους μὲν ἀναιρεῖ ὀλίγους, τῶν δ' οἰκείων ὑπὲρ ἑξακισχιλίους ἀποβάλλει.

640 H. καὶ Μέτελλος κατὰ τὴν Ἀπουλίαν "τὴν Οὐενουσίαν πόλιν ἀξιόλογον οὖσαν καὶ στρατιώτας πολλοὺς ἔχουσαν ἐξεπολιόρκησε κατὰ καιρὸν τὸν αὐτόν, καὶ πλείους τῶν τρισχιλίων αἰχμαλώτους εἷλεν. ἐπικρατούντων δ' ἐπὶ μᾶλλον καὶ μᾶλλον τῶν Ῥωμαίων πέμπουσιν οἱ Ἰταλοὶ πρὸς Μιθριδάτην τὸν βασιλέα Πόντου, ἀκμάζοντα τότε πολεμικῇ χειρὶ καὶ παρασκευῇ, ἀξιοῦντες ἐπὶ τὴν Ἰταλίαν κατὰ Ῥωμαίων ἄγειν τὰς δυνάμεις· οὕτω γὰρ ῥᾳδίως ἂν συναφθέντων τὸ Ῥωμαϊκὸν καταβληθήσεσθαι κράτος. ὁ δὲ Μιθριδάτης ἀπόκρισιν δίδωσιν ἄξειν τὰς δυνάμεις εἰς τὴν Ἰταλίαν, ἐπειδὰν αὐτῷ καταστήσῃ τὴν Ἀσίαν· τοῦτο γὰρ καὶ ἔπραττε. διὸ παντελῶς οἱ ἀποστάται τεταπεινωμένοι ἀπεγίνωσκον· λοιποὶ γὰρ ὑπῆρχον Σαυνιτῶν ὀλίγοι καὶ Σάβελλοι διατρίβοντες ἐν τῇ Νώλῃ καὶ πρός γε τούτοις οἱ περὶ Λαμπώνιον καὶ Κλεπίτιον, ἔχοντες λείψανα τῶν Λευκανῶν. διὸ καὶ τοῦ Μαρσικοῦ πολέμου σχεδὸν ἤδη διαλυομένου πάλιν αἱ προγεγενημέναι στάσεις ἐμφύλιοι κατὰ τὴν Ῥώμην κινήσεις ἐλάμβανον, ἀντιποιουμένων πολλῶν ἐνδόξων τὸ τυχεῖν τῆς κατὰ Μιθριδάτου στρατηγίας διὰ τὸ μέγεθος τῶν ἐπάθλων· Γάϊός τε γὰρ Ἰούλιος καὶ Γάϊος Μάριος ὁ ἑξάκις ὑπατεύσας ἀντεφιλονείκουν, καὶ τὸ πλῆθος ἦν ἑκατέροις συμμεριζόμενον ταῖς γνώμαις. συνέβησαν δὲ καὶ ἕτεραι ταραχαί. ὁ μέντοι Σύλλας ὕπατος ὤν, χωρισθεὶς τῆς Ῥώμης, πρὸς τὰς περὶ Νῶλαν ἠθροισμένας παρεγένετο δυνάμεις, καὶ πολλοὺς τῶν πλησιοχώρων καταπληξάμενος ἠνάγκασε παραδοῦναι σφᾶς αὐτοὺς καὶ τὰς πόλεις. τοῦ δὲ Σύλλα στρατεύσαντος μὲν ἐπὶ τὴν Ἀσίαν κατὰ Μιθριδάτου, τῆς δὲ Ῥώμης μεγάλαις ταραχαῖς καὶ φόνοις ἐμφυλίοις περισπωμένης, Μάρκος Ἀπώνιος καὶ Τιβέριος Κλεπίτιος, ἔτι δὲ Πομπήϊος, οἱ τῶν ὑπολοίπων Ἰταλιωτῶν στρατηγοί, διατρίβοντες ἐν τῇ Βρεττίᾳ, Ἰσίας μὲν πόλιν ὀχυρὰν ἐπὶ πολὺν χρόνον πολιορκήσαντες οὐκ ἴσχυσαν ἑλεῖν, μέρος δ' ἐπὶ τῆς πολιορκίας τοῦ στρατεύματος καταλιπόντες τῇ λοιπῇ τὸ Ῥήγιον ἰσχυρῶς ἐπολιόρκουν, ἐλπίζοντες, εἰ ταύτης κρατήσαιεν, ῥᾳδίως εἰς τὴν Σικελίαν διαβιβάσειν τὰς δυνάμεις καὶ κρατήσειν τῆς εὐδαιμονεστάτης τῶν ὑπὸ τὸν ἥλιον νήσων. ἀλλ' ὁ ταύτης στρατηγὸς Γάϊος Ὀρβανός, πολλῇ δυνάμει καὶ παρασκευῇ καὶ προθυμίᾳ χρησάμενος, "καὶ καταπληξάμενος τοὺς Ἰταλιώτας τῷ μεγέθει 1893. τῆς παρασκευῆς, ἐξήρπασε τοὺς Ῥηγίνους. εἶτα τῆς περὶ Σύλλαν καὶ Μάριον ἐμφυλίου στάσεως ἀναρριπισθείσης Ῥωμαίοις οἱ μὲν Σύλλᾳ, οἱ δὲ Μαρίῳ συνεμάχησαν. καὶ τὸ μὲν πλέον αὐτῶν ἔπεσε τοῖς πολέμοις, τὸ δ' ὑπόλοιπον ἐπικρατήσαντι Σύλλᾳ προσεχώρησε. καὶ οὕτω τέλεον τῇ ἐμφυλίῳ συναπέσβη στάσει μέγιστος γεγονὼς καὶ ὁ Μαρσικὸς ἐπικληθεὶς πόλεμος.

ὅτι μεγάλη στάσις ἐμφύλιος ἤδη διαλυομένου τοῦ Μαρσικοῦ γέγονε πολέμου, ἧς ἡγοῦντο Σύλλας καὶ Γάϊος Μάριος, νέος ὤν, ὁ Μαρίου τοῦ πολλάκις ὑπατευκότος (ἑπτάκις γὰρ ὑπάτευσε) παῖς. ἐν δὲ τῇ στάσει "πολ- 641 H. λαὶ μυριάδες ἀνθρώπων ἀνῃρέθησαν. ἐκράτησε δ' ὁ Σύλλας, καὶ δικτάτωρ γεγονώς, ἐπαφρόδιτόν τε ὀνομάσας ἑαυτόν, οὐκ ἐψεύσθη τῆς ἀλαζονείας· κρατῶν γὰρ τοῖς πολέμοις ἰδίῳ ἀπεβίω θανάτῳ. ὁ δὲ Μάριος μάχῃ τῇ πρὸς Σύλλαν γενναίως ἀγωνισάμενος, ὅμως

a. 3. σύλας A. 4. ἐπιφ. ταῖς μάχαις ς. 7. καὶ] οὐκ A. κοσκωίου ς. 9. ἐλαττ. εἰ καὶ ς. 10. κοινὴν ς. 13. καθιδρύθησαν B: καθίδρυσαν ς. 19. ὑπαρχόντων ς. 22. μυρίων A. 26. οὖσαν om A. ἴχουσαι A: ἀνέχουσαν ς. 28. εἷλον ς. 33. ῥᾴδιον ς. 35. ἄξειν A: ἥξειν ς. 41. καὶ add A.

b. 10. πλησιοχώρων] πλησίον χώρων A. 15. κλέπτιος B. Πομπήϊος] Πόντιος Wesselingius. 16. Ἰσίας A, ἀσίας ς: Τισίας Wesselingius. 18. οὐκ — 19. καταλιπόντες om ς. 26. ῥηγίους ς.

ἡττηθεὶς κατέφυγεν εἰς Πραίνεστον ἅμα μυρίοις πεντακισχιλίοις. σύγκλεισθεὶς δ' ἐν αὐτῇ καὶ χρόνον οὐκ ὀλίγον πολιορκηθεὶς ἠναγκάσθη, πάντων αὐτὸν ἐγκαταλιπόντων, καὶ μηδεμίαν σωτηρίας ὁδὸν καθορῶν, τὴν ἑνὸς οἰκέτου τῶν πιστῶν χεῖρα εἰς λύσιν τῶν δεινῶν παρακαλέσαι. καὶ ὅ γε πεισθείς, καὶ μιᾷ πληγῇ τοῦ βίου τὸν δεσπότην ἀπαλλάξας, ἑαυτὸν ἐπικατέσφαξε. καὶ παύεται μὲν αὕτη ἡ στάσις, λείψανα μέντοι τοῦ πολέμου ὑπολειφθέντα τῆς Μαρίου μοίρας ἐπὶ χρόνον Σύλλᾳ διεμαχέσαντο, ἕως καὶ αὐτὰ συνδιέφθορε τοῖς ἄλλοις. μετὰ μέντοι τὴν τούτων ἀπαλλαγὴν Πομπηΐῳ τῷ ἐπικληθέντι Μάγνῳ διὰ τὰς πράξεις ἃς κατώρθωσε Σύλλᾳ τε πράττων καὶ καθ' ἑαυτὸν Ῥωμαίοις, τούτῳ δὴ καὶ Ἰουλίῳ Καίσαρι ἔρις ἐκκαεῖσα εἰς ἐμφυλίους σφαγὰς τοὺς Ῥωμαίους πάλιν ἠνάγκασε συστραφῆναι. Πομπηΐου δὲ λαμπρῶς τοῖς ὅλοις ἡττηθέντος καὶ κατὰ τὴν Ἀλεξάνδρειαν ἀναιρεθέντος, συστέλλεται μὲν ἡ τῶν ὑπάτων ἀρχὴ εἰς μοναρχίαν Καίσαρι τῷ Ἰουλίῳ, παύει δὲ τέλεον καὶ ἡ στάσις. ἐκείνου δὲ ἀνῃρημένου κατὰ Βρούτου καὶ Κασσίου τῶν ἀνελόντων πόλεμος ἐμφύλιος κινεῖται, χειριζομένων Λεπίδου τε καὶ Ἀντωνίου καὶ Ὀκταβιανοῦ τοῦ Αὐγούστου τὴν ὕπατον ἀρχὴν ἐχόντων. οὐ βραδέως δὲ τοῦ πολέμου κρίσιν τοῖς ὅπλοις λαβόντος, καὶ νικηθέντων καὶ ἀναιρεθέντων τῶν περὶ Κάσσιον καὶ Βροῦτον, μετ' οὐ πολὺ ῥήγνυται εἰς τὸ φανερὸν ἡ ἐνδομυχοῦσα Αὐγούστου καὶ Ἀντωνίου ὑπὲρ τῆς φιλοπρωτίας ἅμιλλα. καὶ πολλῶν συγγενῶν αἱμάτων ἑκατέρωθεν ῥυέντων τὸ κράτος Αὐγούστῳ βεβαιοῦται, καὶ τῶν ὅλων ἡ ἐξουσία αὐτῷ παραμένει διὰ βίου, τῆς τῶν ὑπάτων λοιπὸν ἀρχῆς τὴν ἰδίαν τάξιν καὶ δυναστείαν ἀποβεβληκυίας.

ὅτι τὸ τῶν ἰλλουστρίων ἀξίωμα τρίτην ἀπὸ τῶν πατρικίων τάξιν ἐπέχειν οὗτός φησιν.

ὅτι πρὸ τῆς τοῦ Αὐγούστου μοναρχίας ταῦτα ἐγίνωσκον Ῥωμαῖοι ἀρχικοῦ κράτους ὀνόματα, πατρικίους, οἳ καὶ βουλὴ καὶ σύγκλητος ἐκαλοῦντο, δημάρχους τοὺς προεστῶτας τοῦ δήμου, ἀγορανόμους, ὑπάτους τοὺς ἔχοντας ὑπεύθυνον τὸ κατὰ πάντων κράτος, δικτάτορα ἔχοντα καὶ αὐτὸν ἀλλ' ἀνυπεύθυνον καὶ μεῖζον τὸ κατὰ πάντων κράτος, στρατηγοὺς ὑπάρχους αὐτοκράτορας στρατηγούς, ἀνθυπάτους, καὶ ἕτερα τοιαῦτα. σύμβολα μὲν οὖν τῆς τοῦ ἀνθυπάτου ἀρχῆς πελέκεις 1192 R. δώδεκα καὶ τήβεννα περιπόρφυρος, τοῦ δὲ δικτάτορος πελέκεις μὲν

## 245.

Ἀνεγνώσθησαν ἐκ τῶν ΠΛΟΥΤΑΡΧΟΥ παραλ- 1142 H. λήλων διάφοροι λόγοι, ὧν ἡ ἔκδοσις κατὰ σύνοψιν ἐκλέγεται διάφορον χρηστομαθίαν.

### Ἐκ τοῦ Δίωνος.

ἀλλὰ Τίμαιος οὐκ ἄδικον λαβὼν πρόφασιν τὴν ὑπὲρ τῆς τυραννίδος τοῦ Φιλίστου σπουδὴν καὶ πίστιν, ἐμπίπλαται τῶν κατ' αὐτοῦ βλασφημιῶν. οὐ τοὺς μὲν ἀδικηθέντας σύγγνωστόν ἐστιν ἴσως ἄχρι τῆς εἰς ἀναίσθητον ὀργῆς χαλεποὺς γενέσθαι· τοὺς δ' ὕστερον συγγράφοντας τὰ πεπραγμένα, καὶ τῷ μὲν βίῳ μὴ λυπηθέντας αὐτοῦ, τῷ δὲ λόγῳ χρωμένους, ἡ δόξα παραιτεῖται μὴ μεθ' ὕβρεως μηδὲ μετὰ βωμολοχίας ὀνειδίζειν τὰς συμφοράς, ὧν οὐδὲν ἐπέχει καὶ τὸν ἄριστον ἀνδρῶν ἐκ τύχης μεταχεῖν. οὐ μὴν οὐδ' Ἔφορος ὑγιαίνει τὸν Φίλιστον ἐγκωμιάζων· ὃς καίπερ ὢν δεινότατος ἀδίκοις πράγμασι καὶ πονηροῖς ἤθεσιν εὐσχήμονας αἰτίας περιβάλλειν καὶ λόγους ἔχοντας κόσμον ἐξευρεῖν, αὐτὸς ἑαυτὸν οὐ δύναται πάντα μηχανώμενος ἐξελέσθαι τῆς γραφῆς, ὡς οὐ φιλοτυραννότατος ἀνθρώπων γένοιτο καὶ μάλιστα πάντων ἀεὶ ζηλώσας καὶ θαυμάσας τρυφὴν καὶ δύναμιν καὶ πλοῦτον καὶ γάμους τοὺς τῶν τυράννων. ἀλλὰ γὰρ Φιλίστου μὲν ὁ μήτε τὰς πράξεις ἐπαινῶν μήτε τὰς τύχας ὀνειδίζων ἐμμελέστατος.

### Ἐκ τοῦ Βρούτου.

ἐν μὲν οὖν ταῖς πρώταις ἐπιστολαῖς τοιοῦτος ὁ Βροῦτος· ἤδη δὲ τῶν μὲν ὡς Καίσαρα τῶν δὲ ὡς Ἀντώνιον δυσαμένων, ὠνίων δὲ τῶν στρατοπέδων ὥσπερ ὑπὸ κήρυκι προστιθεμένων τῷ πλεῖον διδόντι, παντάπασιν ἀπογνοὺς τῶν πραγμάτων ἔγνω καταλιπεῖν Ἰταλίαν, καὶ πεζῇ διὰ Λευκανίας εἰς Ἐλαίαν ἐπὶ θάλασσαν ἧκεν. ὅθεν ἡ Πορκία μέλλουσα πάλιν εἰς Ῥώμην ἀποτρέπεσθαι, λανθάνειν μὲν ἐπειρᾶτο περιπαθῶς ἔχουσα, γραφὴ δέ τις αὐτὴν προὔδωκε, τἆλλα γενναίαν

a. 3. ἐγκαταλειπόντων A. 19. παύει] παύεται apographum Stephani. 21. χειριζομένων B, χειριζομένου A, χειριζομένου ς. 22. ἀντωνίου A. 32. ὅτι τὸ τῶν ἰλλουστρίων] „Illustrissimi dignitas vel illustrissimatus est posteriorum temporum. itaque ridiculum putare hoc a Diodoro unquam proditum fuisse. itaque sine dubio haec et quae sequuntur sunt sequioris et posterioris scriptoris." Scaliger. 33. ἐπέχει A. 34. τοῦ om B. 38. ἀνυπεύθυνον A, οὐκ ἀνυπεύθυνον B. b. 5. post μὲν versus vacui in B 11½, in C 6½. 9. διαφόρων χρηστομαθία A. 10. δίωνος rc A (pr enim titulum om): βίου Δίωνος ς. 11. ἀλλὰ] cap. 36. 13. ἐμπίπλαται τῶν A: ἐμπίμπλαται ς. ὃ A: ᾧ ς. 14. ἀναισθήτου ς. 23. κόσμου ς. 27. πλούτους ς. 31. ἐν μὲν] c. 23. 33. ἐνίων ς. 37. ἧκεν A: ἐπανῆκεν ς. Πορκία A: πολιορκία ς.

Digitized by Google

ἦσαν. ἦν γὰρ ἐκ τῶν Ἑλληνικῶν διάθεσις Ἕκτωρ ὑπὸ Ἀνδρομάχης προπεμπόμενος, κομιζομένης παρ᾽ αὐτοῦ τὸ παιδίον, ἐκείνῳ δὲ προσβλεπούσης. ταῦτα θεωμένην τὴν Πορκίαν ἡ τοῦ πάθους εἰκὼν ἐξέτηξεν εἰς δάκρυα, καὶ πολλάκις φοιτῶσα τῆς ἡμέρας ἔκλαιεν.

Ἐκ τοῦ Αἰμιλίου.

ἐν ᾧ παθῶν τε παντοδαπῶν καὶ νοσημάτων ἐνόντων ἐπρώτευεν ἡ φιλαργυρία. (περὶ δὲ τοῦ Περσέως τῶν Μακεδόνων βασιλέως ὁ Πλούταρχός λέγει.)

Ἐκ τοῦ Δημοσθένους.

ὅτι τῶν πρέσβεων ἐξ Ἀθηνῶν πρὸς Φίλιππον παραγεγονότων ἤκουσε μὲν ἁπάντων ὁ Φίλιππος, ἀντεῖπε δὲ μετὰ πλείστης ἐπιμελείας πρὸς τὸν Δημοσθένους λόγον. οὐ μὴν ταῖς ἄλλαις τιμαῖς ϗ φιλοφροσύναις ὅμοιον αὐτὸν τῷ Δημοσθένει παρεῖχεν, ἀλλὰ ϗ προσή-
643 H. γετο τοὺς περὶ Αἰσχίνην καὶ Φιλοκράτην μᾶλλον.
1193 R. ὅθεν ἐπαινούντων ἐκείνων τὸν Φίλιππον ὡς λέγειν δυνατώτατον καὶ κάλλιστον ὀφθῆναι ϗ νὴ Δία συμπιεῖν ἱκανώτατον, ἠναγκάζετο βασκαίνων ἐπισκώπτειν ὡς τὸ μὲν σοφιστοῦ, τὸ δὲ γυναικός, τὸ δὲ σπογγιᾶς εἴη, βασιλέως δὲ οὐδὲν ἐγκώμιον.

ὅτι τῆς θυγατρὸς τοῦ Δημοσθένους ἀποθανούσης, γνοὺς αὐτὸς κρύφα τὴν τοῦ Φιλίππου τελευτήν, προῆλθε φαιδρὸς εἰς τὴν βουλήν, ἐπιθαρρύνων τοὺς Ἀθηναίους πρὸς τὰ μέλλοντα, καὶ ὄναρ ἑωρακέναι ἔλεγεν ἀφ᾽ οὗ τι μέγα προσδοκᾷν Ἀθηναίοις ἀγαθόν. καὶ μετ᾽ οὐ πολὺ παρῆσαν οἱ τὸν Φιλίππου θάνατον ἀπαγγέλλοντες, καὶ παρῆλθεν ὁ Δημοσθένης ἐστεφανωμένος, ἔχων καὶ λαμπρὸν ἱμάτιον, ἑβδόμην ἡμέραν τῆς θυγατρὸς αὐτοῦ τεθνηκυίας, ὡς Αἰσχίνης φησὶ λοιδορῶν αὐτὸν ἐπὶ τούτῳ καὶ κατηγορῶν αὐτοῦ μισοτεκνίαν, αὐτὸς ὢν ἀγεννὴς καὶ μαλακός, εἰ τὸ ταπεινὸν ϗ τοὺς ὀδυρμοὺς ἡμέρου ϗ φιλοστόργου ψυχῆς ποιεῖται σημεῖα, τὸ δὲ ἀλύπως καὶ πράως ταῦτα φέρειν ἀπεδοκίμαζεν. ἐγὼ δὲ ὡς μὲν ἐπὶ θανάτῳ βασιλέως ἡμέρως οὕτω ϗ φιλανθρώπως, ἐν οἷς ηὐτύχησε, χρησαμένου πταίσασιν αὐτοῖς στεφανηφορεῖν καλῶς εἶχε ϗ θύειν, οὐκ ἂν εἴποιμι· πρὸς γὰρ τῷ νεμεσητῷ καὶ ἀγεννὲς ζῶντα μὲν τιμᾷν ϗ ποιεῖσθαι πολίτην, πεσόντος δὲ ὑφ᾽ ἑτέρου μὴ φέρειν τὴν χαρὰν μετρίως, ἀλλ᾽ ἐπισκιρτᾷν τῷ νεκρῷ. ὅτι μέντοι τὰς οἴκοι τύχας καὶ δάκρυα ϗ ὀδυρμοὺς ἀπολιπὼν ταῖς γυναιξὶν ὁ Δημοσθένης, ἃ τῇ πόλει συμφέρειν ᾤετο, ταῦτα ἔπραττεν, ἐπαινῶ, ϗ τίθεμαι πολιτικῆς ϗ ἀνδρώδους ψυχῆς, ἀεὶ πρὸς τὸ κοινὸν ἐνιστάμενον καὶ τὰ οἰκεῖα πράγματα καὶ πάθη τοῖς δημοσίοις ἐπανέχοντα, τηρεῖν τὸ ἀξίωμα πολὺ μᾶλλον ἢ τοὺς ὑποκριτὰς τῶν βασιλικῶν καὶ τυραννικῶν προσώπων, οὓς ὁρῶμεν οὔτε κλαίοντας οὔτε γελῶντας ἐν τοῖς θεάτροις ὡς αὐτοὶ θέλουσιν, ἀλλ᾽ ὡς ὁ ἀγὼν ἀπαιτεῖ πρὸς τὴν ὑπόθεσιν. χωρὶς δὲ τούτων ἔδει τὸν ἀτυχήσαντα μὴ περιορᾷν ἀπαρηγόρητον ἐν τῷ πάσχειν κείμενον, ἀλλὰ καὶ λόγοις χρῆσθαι κουφίζουσι ϗ πρὸς ἡδίω πράγματα τρέπειν τὴν διάνοιαν, ὥσπερ τοὺς ὀφθαλμιῶντας ἀπὸ τῶν λαμπρῶν ϗ ἀντιτύπων ἐπὶ τὰ μαλακὰ ϗ χλωρὰ χρώματα τὴν ὄψιν ἀπάγειν κελεύοντες. πόθεν ἂν τις ἐπάγοιτο βελτίω παρηγορίαν, ἢ πατρίδος εὐτυχούσης ἐκ τῶν κοινῶν παθῶν ἐπὶ τὰ οἰκεῖα σύγκρασιν πορίζόμενος, [καὶ] τοῖς βελτίοσιν ἐναφανίζουσαν τὰ χείρω;

ὅτι Δημοσθένης, φησί, πληγεὶς ὑπὸ τῆς δωροδοκίας Ἁρπάλου, ὥσπερ δεδεγμένος φρουράν, προσεκεχωρήκει αὐτῷ. καὶ ἀθροισθείσης ἐκκλησίας ᾗ ἔμελλε τὰ περὶ Ἅρπαλον ἐπισκέψασθαι, (ἀντέλεγε γὰρ τοῖς βουλο- 644 H.
μένοις σώζειν αὐτὸν ϗ δέχεσθαι πρὸ τοῦ τὴν χεῖρα τῷ χρυσίῳ ὑποσχεῖν) εὖ καὶ καλῶς ἐρίοις ϗ ταινίαις κατὰ τοῦ τραχήλου κατελιξάμενος εἰς τὴν ἐκκλησίαν προῆλθε, καὶ κελευόντων ἀνίστασθαι καὶ λέγειν διένευεν ὡς ἀποκεκομμένης αὐτῷ τῆς φωνῆς. οἱ δὲ εὐφυεῖς χλευάζοντες οὐχ ὑπὸ συνάγχης ἔφραζον ἀλλ᾽ ἀργυράγχης εἰλῆφθαι νύκτωρ τὸν δημαγωγόν.

ὅτι μετὰ τὸ φυγαδευθῆναι διὰ τὰ Ἁρπάλεια χρή- 1196 R.
ματα Δημοσθένης τοὺς προσιόντας αὐτῷ καὶ συνδιατρίβοντας νεανίσκους ἀπέτρεπε τῆς πολιτείας, λέγων ὡς εἰ δυεῖν αὐτῷ προκειμένων ἀπ᾽ ἀρχῆς ὁδῶν, τῆς μὲν ἐπὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν τῆς δὲ ἄντικρυς εἰς τὸν ὄλεθρον, ἐτύγχανεν εἰδὼς τὰ κατὰ τὴν πολιτείαν κακά, φόβους καὶ φθόνους καὶ διαβολὰς καὶ ἀγωνίας, ἐπὶ ταύτην ἂν ὁρμῆσαι τὴν εὐθὺ τοῦ θανάτου τείνουσαν.

a. 1. Ἕκτωρ] ἐκ τῶν B. 2. κομιζομένη B. 6. Αἰμιλίου] βρούτου A: B enim titulum om. 7. ἐν ᾧ] c. 8. 8. ἐπρώτευσεν ς. δὲ om A. 9. βασιλέως add B. 11. ὅτι] c. 16. 12. μὲν add A. 21. βασιλέως δὲ A: δὲ βασιλέως ς. 22. ὅτι] c. 22. τοῦ om B. 23. προσῆλθε pr A. 26. ἀθηναίους B. 27. παρῆσαν post ἀπαγγέλλοντες ponit A. 28. προῆλθεν ς. 35. ἡμέρου A. 36. εὐτύχησε B. πταίσμασιν ς.

b. 2. ἀπολιπὼν A: ἀποβαλὼν ς. 8. τυραννικῶν καὶ βασιλικῶν B. 13. ἡδίω πράγματα τρέπειν] ἴδιον πρᾶγμα μετατρέπειν A, ἴδιον pr, reliqua corr. 14. ὀφθαλμιῶντας ς. 17. ἂν] οὖν ἂν B. 19. ἐναφανίζουσαν A: ἐμφανιζούσας ς. 21. ὅτι] c. 25. 22. Ἁρπάλου] ἅρπαλος A, ὁ γὰρ ἅρπαλος B. ὥσπερ om B. δεδεγμένος A: δεδεγμένος ς. προσκεχωρήκει B. 24. ἀντέλεγε B: ἀντέλεγον ς. 32. ὅτι] c. 26. διὰ add A: δημοσθένην διὰ B. 33. δημοσθένην A, om B. 35. δυοῖν ς.

Ἐκ τοῦ Κικέρωνος.

ὅτι οὐ μικρά (φησίν) ἐκ τοῦ ὑποκρίνεσθαι ῥοπὴ προσῆν εἰς τὸ πείθειν τῷ Κικέρωνι· ϗ τοὺς τῷ μεγάλα βοᾶν χρωμένους ῥήτορας ἐπισκώπτων ἔλεγε δι' ἀσθένειαν ἐπὶ τὴν κραυγὴν ὥσπερ τοὺς χωλοὺς ἐφ' ἵππον πηδᾶν. ὅτι τὸ μὲν πρὸς ἐχθροὺς ἢ πρὸς ἀντιδίκους σκώμμασι χρῆσθαι πικροτέροις δοκεῖ ῥητορικὸν εἶναι· τὸ δὲ οἷς ἔτυχε προσκρόυειν ἕνεκα τοῦ γελοίου πολὺ συνήγαγε μῖσος τῷ Κικέρωνι, ϗ ἐκ τούτου πολλοῖς γέγονεν ἐπαχθής, ϗ οἱ μετὰ Κλωδίου συνέστησαν ἐπ' αὐτὸν ἀρχὴν τοιαύτην λαβόντες. ὅτι τὸ λεπτότατον τοῦ χαλκοῦ νόμισμα κουαδράντην Ῥωμαῖοι καλοῦσιν. ὅτι λέγεται, φησί, τὰς πρώτας ἡμέρας διαγωνισάμενος ὑπὲρ τοῦ Κικέρωνος ὁ Καῖσαρ ἐνδοῦναι τῇ τρίτῃ ϗ προέσθαι τὸν φίλον. τὰ δὲ τῆς ἀντιδόσεως οὕτως εἶχεν· ἔδει Κικέρωνος μὲν ἐκστῆναι Καίσαρα, Παύλου δὲ τἀδελφοῦ Λέπιδον, Λευκίου δὲ Καίσαρος Ἀντώνιον, ὃς ἦν θεῖος αὐτῷ πρὸς μητρός. οὕτως ἐξέπεσον ὑπὸ θυμοῦ ϗ λύσσης τῶν ἀνθρωπίνων λογισμῶν, μᾶλλον δὲ ἀπέδειξαν ὡς οὐδὲν θηρίον ἀνθρώπου ἐστὶν ἀγριώτερον, ἐξουσίαν πάθει προσλαβόντος.

Ἐκ τοῦ Φωκίωνος.

ὅτι φησίν, ὁ Φωκίων τραχὺς ἦν ϗ κατηφής· διὸ καὶ Ἀριστογείτονος τοῦ συκοφάντου πολεμικοῦ ὄντος ἐν ταῖς ἐκκλησίαις καὶ παροξύνοντος ἐπὶ τὰς πράξεις τὸν δῆμον, ἐν δὲ τῷ καταλόγῳ προσελθόντος ἐπὶ βακτηρίᾳ τὼ σκέλη καταδεδεμένω, πόῤῥωθεν αὐτὸν ἀπὸ τοῦ βήματος ἰδὼν ὁ Φωκίων ἀνέκραγε „γράφε καὶ Ἀριστογείτονα χωλὸν καὶ πονηρόν." ὥστε θαυμάζειν ὅπως ϗ ὁπόθεν τραχὺς οὕτως ἀνὴρ καὶ σκυθρωπὸς ἐκτήσατο τὴν τοῦ χρηστοῦ προσηγορίαν. ἔστι δέ (οἶμαι) χαλεπόν, 645H. οὐ μὴν ἀδύνατον, "ὥσπερ οἶνον, ϗ ἄνθρωπον τὸν αὐτὸν ἡδὺν ἅμα ϗ αὐστηρὸν εἶναι, καθάπερ ἕτεροι πάλιν φαινόμενοι γλυκεῖς ἀηδέστατοι τοῖς χρωμένοις εἰσὶ καὶ βλαβερώτατοι. καί τοί φασιν Ὑπερίδην ποτὲ εἰπεῖν πρὸς τὸν δῆμον „ἄνδρες Ἀθηναῖοι, μὴ σκοπεῖτε μόνον εἰ πικρός εἰμι, ἀλλ' εἰ προῖκά εἰμι πικρός." Φωκίων τοίνυν ἔχθρᾳ μὲν τῶν πολιτῶν κακῶς οὐδένα ἐποίησεν, οὐδὲ ἐνόμιζεν ἐχθρόν· ἀλλ' ὅσον ἔδει μόνῳ τῷ ἐνισταμένῳ οἷς ἔπραττεν ὑπὲρ τῆς πατρίδος κατεξαναστῆναι, τραχύς τε ὢν καὶ δυσεκβίαστος καὶ ἀπαραίτητος, εἰς τὸν ἄλλον βίον εὐμενῆ πᾶσι ϗ κοινὸν ϗ φιλάνθρωπον ἑαυτὸν παρεῖχεν, ὥστε καὶ πταίσασι βοηθεῖν καὶ κινδυνεύουσι συνεξετάζεσθαι τοῖς διαφόροις.

ὅτι Ἀντίπατρον τὸν Μακεδονίας στρατηγὸν λέγεται εἰπεῖν ὡς δυοῖν αὐτῷ φίλων Ἀθήνησιν ὄντων, Φωκίωνος καὶ Δημάδου, τὸν μὲν λαβεῖν οὐ πέπεικε, τὸν δὲ διδοὺς οὐκ ἐμπέπληκεν.

"Ἐκ τοῦ Κάτωνος. 1197R.

ὡς οὖν εἰς τὸ μανθάνειν ἧκεν ὁ Κάτων, νωθρὸς ἦν ἀναλαβεῖν καὶ βραδύς, ἀναλαβὼν δὲ κάτοχος ϗ μνημονικός. ὃ δὴ ϗ πέφυκεν ἄλλως τοὺς μὲν εὐφυεστάτους ἀναμνηστικοὺς μᾶλλον εἶναι, μνημονικοὺς δὲ τοὺς μετὰ πόνου καὶ πραγματείας παραδεχομένους· γίνεται γὰρ οἷον ἔγκαυμα τῆς ψυχῆς τῶν παθημάτων ἕκαστον.

Ἐκ τοῦ Ἀλεξάνδρου.

ὅτι φησί, λευκὸς ἦν ὁ Ἀλέξανδρος, ἡ δὲ λευκότης ἐπεφοίνισσεν αὐτοῦ μάλιστα περὶ τὸ στῆθος ϗ τὸ πρόσωπον. ὅτι δὲ τοῦ χρωτὸς ἥδιστον ἀπέπνει καὶ τὸ στόμα κατεῖχεν εὐωδία καὶ τὴν σάρκα πᾶσαν, ὥστε πληροῦσθαι τοὺς χιτωνίσκους, πολλοὶ γεγράφασιν. αἰτία δὲ ἴσως ἡ τοῦ σώματος κρᾶσις, πολύθερμος οὖσα καὶ πυρώδης· ἡ γὰρ εὐωδία γίνεται πέψει τῶν ὑγρῶν ὑπὸ θερμότητος, ὡς οἴεται Θεόφραστος. ὅθεν οἱ ξηροὶ καὶ διάπυροι τόποι τῆς οἰκουμένης τὰ πλεῖστα καὶ κάλλιστα τῶν ἀρωμάτων φέρουσιν· ἐξαίρει γὰρ ὁ ἥλιος τὸ ὑγρὸν ὥσπερ ὕλην σηπεδόνος ἐπιπολάζον τοῖς σώμασιν. Ἀλέξανδρον δέ, ὡς ἔοικεν, ἡ θερμότης καὶ ποτικὸν ϗ θυμοειδῆ παρεῖχεν.

ὅτι τὸν Βουκέφαλον προσαχθέντα ὤνιον ταλάντων δέκα ϗ τριῶν παρὰ Φιλονίκου τοῦ Θετταλοῦ ὁ μὲν Φίλιππος ἀπεπέμπετο ὡς τὸν ἀναβάτην οὐ δεχόμενον οὐδὲ φωνήν τινος τῶν περὶ τὸν Φίλιππον ὑπομένοντα· ὁ δὲ Ἀλέξανδρος μεμψάμενος τὴν ἀποπομπὴν τοῦ ἵππου ᾐτήσατο παρὰ τοῦ πατρὸς λαβεῖν αὐτόν, καὶ λαβὼν τὸν δοκοῦντα ἵππον ἄγριον εἶναι πρὸς πάντας, οἳ προσῄεσαν αὐτῷ, καὶ ἀκόλαστον, προσδραμὼν τῷ ἵππῳ ϗ παραλαβὼν τὴν ἡνίαν ὁ Ἀλέξανδρος ἐπέστρεψε πρὸς τὸν ἥλιον, ὡς ἔοικεν, ἐννοήσας ὅτι τὴν σκιὰν προσπίπτουσαν καὶ σαλευομένην ὁρῶν πρὸ αὐτοῦ "διαταράττοιτο. 646H. μικρὰ δὲ οὕτω παρακαλπάσας ϗ καταψήσας ὡς ἑώρα θυμοῦ πληρούμενον ὁμοῦ ϗ πνεύματος, ἀποῤῥίψας ἡσυχῇ τὴν χλαμύδα ϗ μετεωρίσας ἑαυτὸν ἀσφα-

a 2. ὅτι] c. 5. ἀποκρίνεσθαι ς. 4. ἐπὶ τὴν κραυγὴν δι' ἀσθένειαν ς. 5. ἔπιον B: ἵππων ς. ὅτι] c. 27. 11. ὅτι] c. 29. 12. ὅτι] c. 46. 18. τῶν add A. 21. προσλαβόντες ς. 23. ὅτι] c. 10. 27. σκέλει A. 41. τε om A.
b. 3. συνεττάζεσθαι A. 4. ὅτι] c. 30. 9. ὡς] Cat. Min. c. 1. 14. τῆς om A. 16. ὅτι] c. 4. 17. περὶ A: παρ ς. 19. καὶ τὴν — ὥστε πληροῦσθαι] ὡς καὶ τὴν — πληροῦσθαι καὶ A. 22. πέψει] καὶ πέψει A. 27. post θερμότης cum A omisi τοῦ σώματος. 28. ὅτι] c. 6. 29. φιλονείκου τοῦ θεσσαλοῦ ς. 30. ὡς mg, πρὸς ς: B om. 38. πρὸ] πρὸς A.

λῶς περιέβη, καὶ ἤλαυνεν ἀνὰ κράτος τὸν ἵππον. καὶ τοῖς μὲν δέος καὶ ἀγὼν ἐνέπιπτε, μή τι τὸ μειράκιον πάθῃ, τοῖς δὲ κρότος ἦν χειρῶν καὶ τερπνὸν θέαμα· πάντας δ' ὁμοίως εἶχεν ἔκπληξις. ὡς δὲ κάμψας ὑπέστρεψεν ὀρθῶς σοβαρὸς ϗ γεγηθώς, ἅπαντες μὲν χαίροντες ἀνηλάλαξαν, ὁ δὲ πατὴρ καὶ δακρῦσαι λέγεται πρὸς τὴν χαράν, καταβάντος δὲ αὐτοῦ τὴν κεφαλὴν φιλήσας „ὦ παῖ" φάναι, „ζήτει σεαυτῷ βασιλείαν ἴσην· Μακεδονία γάρ σε οὐ χωρεῖ." ὅτι Ἀλέξανδρος (φησὶ) τοῦ νικᾶν τοὺς πολεμίους τὸ κρατεῖν ἑαυτοῦ βασιλικώτερον ἡγούμενος, οὔτε τινὸς τῶν Δαρείου θυγατέρων, κάλλει διαπρεπεστάτων οὐσῶν, οὐδεμιᾶς ἔθιγεν, οὔτε ἄλλην ἔγνω γυναῖκα πρὸ γάμου πλὴν Βαρσίνης, ἀνδρὸς οὔσης κεχηρωμένης. ὅτι προβάτου (φησὶ) τεκόντος ἄρνα περὶ τὴν κεφαλὴν σχῆμα καὶ χρῶμα ἔχοντα τιάρας καὶ διδύμους ἑκατέρωθεν αὐτοῦ, βδελυχθεὶς τὸ σημεῖον ἐκαθάρθη μὲν ὑπὸ τῶν Βαβυλωνίων ὁ Ἀλέξανδρος, οὓς ἐξ ἔθους ἐπήγετο πρὸς τὰ τοιαῦτα, διειλέχθη δὲ πρὸς τοὺς φίλους ὡς οὐ δι' αὐτὸν ἀλλὰ δι' ἐκείνους ταράττοιτο, μὴ τὸ κράτος εἰς ἀγεννῆ ϗ ἄναλκιν ἄνθρωπον ἐκλιπόντος αὐτοῦ περιστήσῃ τὸ δαιμόνιον. οὐ μὴν ἀλλὰ βέλτιόν τι σημεῖον γενόμενον τὴν
1200R. ἀθυμίαν ἔλυσεν. ὁ γὰρ ἐπὶ τῶν σωμάτων τεταγμένος ὄνομα Πρόξενος, χώραν ὀρύττων τῇ βασιλικῇ σκηνῇ παρὰ τὸν Ὦξον ποταμόν, ἀπεκάλυψε πηγὴν ὑγροῦ λιπαροῦ καὶ πιμελώδους. ἀπαντλουμένου δὲ τοῦ πρώτου, καθαρὸν ἀνέβλυζεν ἤδη ϗ διαυγὲς ἔλαιον, οὔτε ὀσμῇ δοκοῦν οὔτε γεύσει ἐλαίου διαφέρειν, στιλβότητι δὲ ϗ λιπαρότητι παντάπασιν ἀπαράλλακτον, ϗ ταῦτα τῆς χώρας μηδὲ ἐλαίας φερούσης. λέγεται μὲν οὖν ϗ τὸν Ὦξον αὐτὸν μαλακώτατον ὕδωρ, ὥστε τὸ δέρμα τοὺς λουομένους ἐπιλιπαίνειν. οὐ μὴν ἀλλὰ καὶ θαυμαστῶς Ἀλέξανδρος τῷ σημείῳ ἥσθη. ὅτι Ἀριδαῖος μὲν γέγονε τῷ Φιλίππῳ ἐξ ἀδόξου γυναικὸς ϗ κοινῆς, Φιλίνης, ἀτελὴς δὲ τῷ σωφρονεῖν διὰ σώματος ἐγεγόνει νόσον, οὐ μὴν φύσει, ἀλλὰ καὶ πάνυ φασὶν αὐτοῦ παιδὸς ὄντος διαφαίνεσθαι χάριεν ἦθος ϗ οὐκ ἀγεννές, εἶτα μέντοι φαρμάκοις ὑπὸ Ὀλυμπιάδος κακωθέντα διαφθαρῆναι τὴν διάνοιαν.

Ἐκ τοῦ Καίσαρος.

ὅτι Καῖσαρ λέγεται τῇ προτέρᾳ νυκτὶ τῆς ἐπ' Ἀρίμινον διαβάσεως (πόλις δέ ἐστιν αὕτη τῆς Κελτικῆς μεγάλη, ἣν ϗ ἀθρόον ἐπελθὼν ἔσχεν) ὄναρ ἰδεῖν ἔκθεσμον· ἐδόκει γὰρ αὐτὸς τῇ ἑαυτοῦ μητρὶ μίγνυσθαι τὴν ἄρρητον μίξιν.

Ἐκ τοῦ Εὐμένους. 617H.

τὸ μὲν εὐτυχεῖν καὶ τοὺς φύσει μικροὺς συνεπικουφίζει τοῖς φρονήμασιν, ὥστε φαίνεσθαί τι μέγεθος περὶ αὐτοὺς καὶ ὄγκον ἐκ πραγμάτων ὑπερεχόντων ἀποβλεπομένους. ὁ δέ γε ἀληθῶς μεγαλόφρων ϗ βέβαιος ἐν τοῖς σφάλμασι μᾶλλον ϗ ταῖς δυσημερίαις ἀναφέρων γίνεται κατάδηλος, ὥσπερ ὁ Εὐμένης κακοπραγήσας. μᾶλλον γὰρ αὐτοῦ τῆς ψυχῆς τὸ γενναῖον διεφάνη καὶ ἐξέλαμψε καὶ τὸ ἀπτόητον τοῦ φρονήματος καὶ ταῖς συμφοραῖς ἀταπείνωτον. ὅτι αἰσθόμενος (φησὶ) τοὺς ὑπ' αὐτὸν ἀλλήλων μὲν καταφρονοῦντας, αὐτὸν δὲ φοβουμένους, καὶ παραφυλάττοντας ἀνελεῖν, εἰ γένοιτο καιρός, ἐσκήψατο χρημάτων δεῖσθαι, ϗ συνεδανείσατο τάλαντα πολλὰ παρὰ τῶν μάλιστα μισούντων, ἵνα καὶ πιστεύωσι καὶ ἀπέχωνται περὶ τὸ δάνειον ἀγωνιῶντες. ὥστε συνέβη τὸν ἀλλότριον πλοῦτον φύλακα τοῦ σώματος ἔχειν, καὶ τῶν ἄλλων ἐπὶ σωτηρίᾳ διδόντων μόνον ἐκ τοῦ λαβεῖν κτήσασθαι τὴν ἀσφάλειαν. ὅτι φιλοπόλεμος μέν ἐστι (φησίν) ὁ τῆς ἀσφαλείας τὴν πλεονεξίαν προτιμῶν, πολεμικὸς δὲ ὁ τῷ πολέμῳ κτώμενος τὴν ἀσφάλειαν.

Ἐκ τοῦ Σερτωρίου.

ὅτι διατρίβοντι (φησὶ) Σερτωρίῳ περὶ Ἰβηρίαν ναῦταί τινες ἐντυγχάνουσιν αὐτῷ ἐκ τῶν Ἀτλαντικῶν νήσων ἀναπεπλευκότες, αἳ δύο μέν εἰσι λεπτῷ παντάπασι πορθμῷ διαιρούμεναι, μυρίους δὲ ἀπέχουσι Λιβύης σταδίους, ϗ ὀνομάζονται μακάρων. ὄμβροις δὲ χρώμεναι μετρίοις σπανίως, τὰ πλεῖστα πνεύμασι μαλακοῖς καὶ δροσοβόλοις καταπνεόμεναι, οὐ μόνον ἀροῦν ϗ φυτεύειν παρέχουσιν ἀγαθὴν καὶ πίονα χώραν, ἀλλὰ ϗ καρπὸν αὐτοφυῆ φέρουσιν, ἀποχρῶντα πλήθει καὶ γλυκύτητι βόσκειν ἄνευ πόνων ϗ πραγματείας σχολάζοντα δῆμον. ἀὴρ δὲ ἄλυπος ὡρῶν τε κράσει ϗ μεταβολῆς μετριότητι κατέχει τὰς νήσους. οἱ γὰρ ἐνθένδε τῆς γῆς ἀπο- 1201
πνέοντες ἔξω Βορέαι καὶ Ἀπηλιῶται διὰ μῆκος ἐκπεσόντες εἰς τόπον ἀχανῆ διασπείρονται καὶ προαπολείπουσι· πελάγιοι δὲ περιρρέοντες Ἀργέσται καὶ Ζέφυροι

a. 5. σοβαρὸς B et corr A: σοβαρῶς ς. 9. ὅτι] c. 21. 14. κεχηρωμένης B. ὅτι] c. 57. 21. περιστήσει ς. 23. ἔλυσεν A: διέλυσεν ς. ὁ γὰρ A: ὅπερ ς. 24. σκηνῇ add A. 26. ἀπαντλουμένου B: ἀπαντλουμένου ς. 28. ἐλαίου γεύσει ς. στιλβότητα — λιπαρότητα A. 32. θαυμαστὸν A. 33. ὅτι] c. 77. 35. τῷ σωφρονεῖν] τὸ φρονεῖν B 41. ὅτι] c. 32. ἀριμῖνον ς. b. 1. τῆς Κελτικῆς om B. 6. τὸ μὲν] c. 9. 12. τὸ γενναῖον τῆς ψυχῆς ς. 14. ὅτι] c. 13. 15. μὲν add A. 18. τάλαντα τὰ πολλὰ ς. 19. πιστεύωσι ς. 21. μόνον σύμπαν ἐκ B. 22. ὅτι] comparat. c. 2. 27. ὅτι] c. 8. 33. καταπνεόμεναι add B. ἀροῦν ἀλλὰ καὶ ς. 37. κρᾶσις — μετριότης B.

βληχρὰς μὲν ὑετοὺς καὶ σποράδας ἐκ θαλάττης ἐπάγοντες, τὰ δὲ πολλὰ νοτεραῖς αἰθρίαις ἐπιψύχοντες, ἡσυχῇ τρέφουσιν. ὥστε μέχρι τῶν βαρβάρων διῖχθαι πίστιν ἰσχυρὰν αὐτόθι τὸ Ἠλύσιον εἶναι πεδίον ϗ τὴν τῶν εὐδαιμόνων οἴκησιν, ἣν Ὅμηρος ὕμνησε. ταῦτα ὁ Σερτώριος ἀκούσας ἔρωτα θαυμαστὸν ἔσχεν οἰκῆσαι τὰς νήσους καὶ ζῆν ἐν ἡσυχίᾳ, τυραννίδος ἀπαλλαγεὶς καὶ πολέμων ἀπαύστων. ἀλλὰ διεμάραναν αὐτοῦ καὶ περιέσπασαν τὸν ἔρωτα ἥ τε κίνησις τῶν μετ᾽ αὐτοῦ Κιλίκων ἐκταραχθεῖσα καὶ νεωτέρων φροντὶς πολεμίων.

ὅτι λέγεται (φησὶν) ὁ Σερτώριος οὔτε ὑφ᾽ ἡδονῆς οὔτε ὑπὸ δέους εὐάλωτος γενέσθαι, φύσει δὲ ἀνέκπληκτος παρὰ 648 Η. τὰ δεινὰ ϗ μέτριος ἐνεγκεῖν εὐτυχίαν· οὐδενὸς μέντοι οὐδὲ πρὸς εὐθυμαχίαν ἀτολμότερος τῶν καθ᾽ ἑαυτὸν ἡγεμόνων, ὅσα δὲ κλοπείας ἐν πολέμοις ἔργα ϗ πλεονεξίας περὶ τόπους ὀχυροὺς ϗ διαβάσεις τάχους δεομένας, ἀπάτης τε καὶ ψευδῶν ἐν δέοντι, σοφιστὴς δεινότατος. ἐν δὲ ταῖς τιμαῖς τῶν ἀνδραγαθημάτων δαψιλὴς φαινόμενος, περὶ τὰς τιμωρίας ἐμετρίαζε τῶν ἁμαρτημάτων· καίτοι δοκεῖ περὶ τὸν ἔσχατον αὐτοῦ βίον ὠμότητός τε ϗ βαρύτητος τὸ περὶ τοὺς ὁμήρους πραχθὲν ἔργον ἐπιδεῖξαι τὴν φύσιν οὐκ οὖσαν ἥμερον, ἀλλ᾽ ἀπεχομένην λογισμῷ διὰ τὴν ἀνάγκην. ἐμοὶ δ᾽ ἀρετὴν μὲν εἰλικρινῆ καὶ κατὰ λόγον συνεστῶσαν οὐκ ἄν ποτε δοκεῖ τύχη τις ἐκστῆσαι πρὸς τοὐναντίον· ἄλλως δὲ προαιρέσεις ϗ φύσεις χρηστὰς ὑπὸ συμφορῶν μεγάλων παρ᾽ ἀξίαν κακωθείσας οὐκ ἀδύνατον τῷ δαίμονι συμμεταβαλεῖν τὸ ἦθος· ὃ καὶ Σερτώριον οἶμαι παθεῖν, ἤδη τῆς τύχης αὐτὸν ἐπιλειπούσης ἐκτραχυνόμενον ὑπὸ τῶν πραγμάτων ϗ γινόμενον πονηρὸν πρὸς τοὺς ἀδικοῦντας.

### Ἐκ τοῦ Δημητρίου.

ὅτι Δημήτριος (φησὶ) μεγέθει μὲν ἦν τοῦ πατρὸς ἐλάττων, καίπερ ὢν μέγας, ἰδέᾳ δὲ ϗ κάλλει προσώπου θαυμαστὸς καὶ περιττός, ὥστε τῶν πλαττόντων ϗ γραφόντων μηδένα τῆς ὁμοιότητος ἐφικέσθαι. τὸ γὰρ αὐτὸ χάριν καὶ βάρος καὶ φόβον καὶ ὥραν εἶχε, ϗ συνεκέκρατο τῷ νεαρῷ καὶ ἰταμῷ δυσμίμητος ἡρωϊκή τις ἐπιφάνεια καὶ βασιλικὴ σεμνότης. οὕτω δέ πως ϗ τὸ ἦθος ἐπεφύκει πρὸς ἔκπληξιν ἀνθρώπων ἅμα ϗ χάριν.

ὅτι τὸ ὑπερφυέστατον ἐνθύμημα τοῦ Στρατοκλέους φησίν· οὗτος γὰρ ἦν ὁ τῶν σοφῶν τούτων καὶ περιττῶν καινουργὸς ἀρεσκευμάτων. ἔγραψεν· ὅπως οἱ πεμπόμενοι κατὰ ψήφισμα δημοσίᾳ πρὸς Ἀντίγονον ἢ Δημήτριον ἀντὶ πρεσβευτῶν θεωροὶ λέγοιντο, καθάπερ οἱ Πυθοῖ ϗ Ὀλυμπίαζε τὰς πατρίους θυσίας ἀπάγοντες ἐν ταῖς Ἑλληνικαῖς ἑορταῖς. οὕτω δὲ καταμωκώμενοι τοῦ Δημητρίου προσδιέφθειραν αὐτὸν οὐδὲ ἄλλως ὑγιαίνοντα τὴν διάνοιαν.

ὅτι Ἀθηναῖοι, πολιορκοῦντος αὐτοὺς Φιλίππου, γραμματοφόρους ἑλόντες τὰς μὲν ἄλλας ἀνέγνωσαν ἐπιστολάς, μόνην δὲ τὴν Ὀλυμπιάδος οὐκ ἔλυσαν, ἀλλ᾽ ὥσπερ ἦν κατασεσημασμένη, πρὸς ἐκεῖνον ἀπέλυσαν.

ὅτι οὐδέν φησιν οὕτω βασιλεῖ προσήκειν 1204 B. ὡς τὸ τῆς δίκης ἔργον. Ἄρης μὲν γὰρ τύραννος, ὥς φησι Τιμόθεος, νόμος δὲ πάντων βασιλεὺς κατὰ Πίνδαρόν ἐστιν.

ὅτι μέχρι Δημητρίου τοῦ Ἀντιγόνου παιδός, ὃς καὶ πολιορκητὴς ἐπωνομάζετο, οὐδεὶς εἶδεν ἀνθρώπων οὔτε πεντεκαιδεκήρη ναῦν πρότερον οὔτε ἑκκαιδεκήρη· ὕστερον δὲ ϗ τεσσαρακοντήρη Πτολεμαῖος ὁ φιλοπάτωρ ἐναυπηγήσατο, μῆκος διακοσίων ὀγδοή- 649 H. κοντα πηχῶν, ὕψος δὲ ἕως ἀκροστολίου πεντήκοντα δυεῖν δεόντων, ναύταις δὲ χωρὶς ἐρετῶν ἐξηρτυμένην τετρακοσίοις, ἐρέταις δὲ τετρακισχιλίοις, χωρὶς δὲ τούτων ὁπλίτας δεχομένην ἐπί τε τῶν παρόδων καὶ τοῦ καταστρώματος ὀλίγῳ τρισχιλίων ἀποδέοντας. ἀλλὰ [ναῦται υ΄, ἐρέται δ,, ὁπλῖται παρὰ μικρὸν γ,, ὁμοῦ ͵ζυ΄] θέαν μόνην ἐκείνη παρέσχε, ϗ μικρὸν ὅσον διαφέρουσα τῶν μονίμων οἰκοδομημάτων φανῆναι πρὸς ἐπίδειξιν, οὐ χρείαν ἐπισφαλῶς ϗ δυσέργως ἐκινήθη.

### Ἐκ τοῦ Ἀντωνίου.

ὅτι Ἀντώνιος, φησίν, ἠγνόει πολλὰ τῶν ὑπ᾽ αὐτῷ γινομένων, οὐχ οὕτω ῥάθυμος ὢν ὡς δι᾽ ἁπλότητα πιστεύων τοῖς περὶ αὐτόν· ἐνῆν γὰρ ἁπλότης τῷ ἤθει, ϗ βραδεῖα μὲν αἴσθησις, αἰσθανομένῳ δὲ τῶν ἁμαρτανομένων ἰσχυρὰ μετάνοια ϗ πρὸς αὐτοὺς ἐξομολόγησις τοὺς ἀγνωμονηθέντας, μέγεθος δὲ ϗ περὶ τὰς ἀμοιβὰς ϗ περὶ τὰς τιμωρίας· μᾶλλόν γε μὴν ἐδόκει χαριζόμενος ἢ κολάζων ὑπερβάλλειν τὸ μέτριον. ἡ δὲ περὶ τὰς παιδιὰς ϗ τὰς σκώψεις ὕβρις ἐν αὐτῇ τὸ φάρμακον εἶχεν· ἀντισκῶψαι γὰρ ἐξῆν ϗ ἀνθυβρίσαι, ϗ γελώμενος ἢ γελῶν ἔχαιρε. ϗ τοῦτο διελυμήνατο τὰ πολλὰ τῶν πραγμάτων· τοὺς γὰρ ἐν τῷ παίζειν παρρησιαζομένους

a. 1. καὶ βληχρὰς ς. 11. ὅτι A: ὅτε ς. φησὶν] c. 10. 12. δὲ A: τε ς. παρὰ A: περὶ ς. 13. καὶ μέτριος A: μετρίας ς. 15. κλοπείας ς. 21. γε add A. πραχθὲν ς. 23. ἐπεχομένην B. 29. ἐπιλιπούσης A. 30. γινόμενον πονηρὸν B: γινομένου πονηροῦ ς. 33. ὅτι] c. 2. 35. δὲ om B. 37. εἶχε] ἔχει A. συνεκέκρατο A. 41. ὅτι] c. 11. b. 3. δημόσιον A. 7. οὐδὲν ς. 8. ὅτι] c. 22. 11. κατασεσημασμένην A. 12. ὅτι] c. 42. 15. ὅτι] c. 43. 16. καὶ add A. ἐπωνομάζετο B: ὠνομάζετο ς. 17. ναῦν — 18. ἑκκαιδεκήρη om A. 18. καὶ om A. 27. μονίμων A: νομίμων ς. 30. ὅτι c. 24. φησὶν add A. αὐτοῦ B. 33. μὲν A, τις B: δὲ ς. 38. ἑαυτῇ ς. 39. ἐξῆν A: ἐχρῆν ς.

οὐκ ἂν οἰηθεὶς σπουδάζοντας κολακεύειν αὐτόν, ἡλίσκετο ῥᾳδίως ὑπὸ τῶν ἐπαίνων, ἀγνοῶν ὅτι τὴν παῤῥησίαν τινὲς ὡς ὑποστῦφον ἥδυσμα τῇ κολακείᾳ παραμιγνύντες ἀφῄρουν τὸ πλήσμιον, τῇ παρὰ τὴν κύλικα θρασύτητι καὶ λαλιᾷ διαμηχανώμενοι τὴν τῶν πραγμάτων ὕφεσιν καὶ συγκατάθεσιν, ὡς μὴ πρὸς χάριν ὁμιλεῖν, ἀλλὰ τῷ φρονεῖν ἡττωμένων φαίνεσθαι.

Ἐκ τοῦ Πύῤῥου.

ὅτι Πύῤῥος (φησὶ) τῇ μὲν ἰδέᾳ τοῦ προσώπου φοβερώτερον ἦν ἔχων ἢ σεμνότερον καὶ βασιλικώτερον, πολλοὺς δὲ ὀδόντας οὐκ εἶχεν, ἀλλ' ἓν ὀστοῦν συνεχὲς ἦν, ἄνωθεν οἷον λεπταῖς ἀμυχαῖς τὰς διαφυὰς ὑπογεγραμμένον τῶν ὀδόντων. τοῖς δὲ σπληνιῶσιν ἐδόκει βοηθεῖν ἀλεκτρυόνα θύων λευκόν, ὑπτίων τε κατακειμένων τῷ δεξιῷ ποδὶ πιέζων ἀτρέμα τὸ σπλάγχνον. οὐδεὶς δ' ἦν πένης οὔτε ἄδοξος οὕτως ὥστε μὴ τυχεῖν τῆς ἰατρείας δεηθείς. ἐλάμβανε δὲ καὶ τὸν ἀλεκτρυόνα θύσας, καὶ τὸ γέρας τοῦτο ἥδιστον ἦν αὐτῷ. λέγεται δὲ τοῦ ποδὸς ἐκείνου τὸν μείζονα δάκτυλον ἔχειν δύναμιν ἰδίαν, ὥστε μετὰ τὴν τελευτὴν τοῦ λοιποῦ σώματος κατακαέντος ἀπαθῆ καὶ ἄθικτον ὑπὸ τοῦ πυρὸς εὑρεθῆναι.

Ἐκ τοῦ Μαρίου.

ὅτι τῷ Μαρίῳ (φησὶ) καὶ σωφροσύνην καὶ καρτερίαν
650 H. 1205 B μαρτυροῦσιν, ἧς δεῖγμα "καὶ τὸ περὶ τὴν "χειρουργίαν ἐστίν. ἰσχῶν γὰρ ἀνάπλεως ἄμφω τὰ σκέλη γεγονὼς καὶ τὴν ἀμορφίαν δυσχεραίνων ἔγνω παραχεῖν ἑαυτόν. καὶ παρέσχεν ἄδετος θάτερον σκέλος οὐδὲ κινηθείς, οὐδὲ στενάξας, ἀλλὰ καθεστῶτι τῷ προσώπῳ καὶ μετὰ σιωπῆς ὑπερβολάς τινας ἀλγηδόνων ἐπὶ ταῖς τομαῖς ἀναχόμενος. τοῦ δὲ ἰατροῦ μετιόντος ἐπὶ θάτερον οὐκέτι παρέσχε, φήσας ὁρᾶν τὸ ἐπανόρθωμα τῆς ἀλγηδόνος οὐκ ἄξιον.

ὅτι Μάριος ἐκ Λιβύης μετὰ τοῦ στρατεύματος ἀνακομισθεὶς τήν τε ὑπατείαν ἀνέλαβε καὶ τὸν θρίαμβον εἰσήλασεν, ἄπιστον ἐπιδειξάμενος θέαμα Ῥωμαίοις, Ἰουγούρθαν αἰχμάλωτον, οὗ ζῶντος οὐδ' ἂν εἷς ἤλπισε πολεμίων κρατήσειν· οὕτως ἦν ποικίλος ἀνὴρ τύχαις ὁμιλῆσαι, καὶ πανουργίᾳ πολλῇ μεμιγμένον ἔχων τὸ θυμοειδές. ἐν δὲ τῷ θριάμβῳ κομισθῆναι λέγουσι χρυσίου μὲν ἑπτὰ καὶ τρισχιλίας λίτρας, ἀργύρου δὲ ἀσήμου ε, ψοέ, νομίσματος δὲ δραχμὰς ζ, ἐπὶ μυριάσιν ή καὶ κ'.

ὅτι τοὺς φιλοπόνους καὶ σιωπῇ μετ' εὐκολίας τὰ προστασσόμενα πράττοντας (ἄτρυτος γὰρ ἦν ὁ Μάριος καὶ αὐτουργεῖν τὰ πολλά, καὶ μιμεῖσθαι διδάσκειν αὐτὸν καὶ ἐξομοιοῦσθαι τοὺς στρατιώτας) ἡμιόνους Μαριανοὺς ὠνόμαζον. οἱ δέ, ὅτι Μάριος, φησίν, ὑπὸ Σκηπίωνι πάλαι στρατευόμενος, καὶ πολυπραγμονοῦντι περί τε τῶν ὅπλων καὶ τῶν ὑποζυγίων τὸν στρατιώτην προσήγαγεν ἵππον τε κάλλιστα τεθραμμένον καὶ ἡμίονον εὐεξίᾳ καὶ πραότητι καὶ ῥώμῃ διαφέροντα πολὺ τῶν ἄλλων. ἡσθέντος δὲ τοῦ στρατηγοῦ τοῖς τοῦ Μαρίου θρέμμασι καὶ πολλάκις αὐτῶν μνησθέντος, οὕτως ἄρα τοὺς σκώπτοντας ἐν ἐπαίνῳ τὸν ἐνδελεχῆ καὶ τλήμονα καὶ φιλόπονον Μαριανὸν ἡμίονον προσαγορεύειν.

ὅτι Τεύτονας Μαρίου καταπολεμήσαντος, μυριάδας δέκα, Μασσαλιῶται τοῖς ὀστέοις λέγονται περιθριγκῶσαι τοὺς ἀμπελῶνας· τὴν δὲ γῆν, τῶν νεκρῶν καταναλωθέντων ἐν αὐτῇ καὶ διὰ χειμῶνος ὄμβρων ἐπιπεσόντων, οὕτως ἐκλιπανθῆναι καὶ γενέσθαι διὰ βάθους ἀνάπλεω τῆς σηπεδόνος ἐνδύσης, ὥστε καρπῶν ὑπερβάλλον εἰς ὥρας πλῆθος ἐξενεγκεῖν, καὶ μαρτυρῆσαι τῷ Ἀρχιλόχῳ λέγοντι πιαίνεσθαι πρὸς τοῦ τοιούτου τὰς ἀρούρας. ἐπιεικῶς δὲ ταῖς μεγάλαις μάχαις ἐξαισίους ὑετοὺς ἐπικαταῤῥήγνυσθαι λέγουσιν, εἴτε δαιμονίου τινὸς τοῖς καθαροῖς καὶ διιπετέσιν ἁγνίζοντος ὕδασι καὶ κατακλύζοντος, εἴτε τοῦ φόνου καὶ τῆς σηπεδόνος ἐξανιείσης ὑγρὰν καὶ βαρεῖαν ἀναθυμίασιν, ἢ τὸν ἀέρα συνίστησιν, εὔτρεπτον ὄντα καὶ ῥᾳδίως μεταβάλλειν ἐπὶ πλεῖστον ἀπὸ σμικροτάτης ἀρχῆς. ὅτι ἄξιον θαυμάσαι τοὺς Κορνούτου θεράποντας. πολλῶν γὰρ ἐν στασιαζούσῃ τῇ πόλει θανάτῳ καὶ τῶν ἀναιτίων καταψηφισαμένων, καὶ μυρίων σφαγῶν καὶ ποικίλων προελθόντων, οὗτοι τὸν δεσπότην ἀποκρύψαντες, νεκρὸν δέ τινα τῶν πολλῶν ἀναρτήσαντες ἐκ τοῦ τραχήλου καὶ περιθέντες αὐτοῦ χρυσοῦν δακτύλιον ἐπεδείκνυον "τοῖς Μαρίου δορυ- 651 H.
φόροις, καὶ κοσμήσαντες ὡς ἐκεῖνον αὐτὸν ἔθαπτον. ὑπενόησε δὲ οὐδείς, ἀλλ' οὕτω λαθὼν ὁ Κορνοῦτος ὑπὸ τῶν οἰκετῶν εἰς Γαλατίαν διεκομίσθη.

Ἐκ τοῦ Ἀράτου.

ὅτι ὁ Ἄρατος (φησὶ) λαμπρῶς κατὰ Ἀριστίππου τοῦ τυράννου καὶ κατὰ τῶν σὺν αὐτῷ ἀριστεύσας, πεσόντος καὶ αὐτοῦ τοῦ τυράννου ὑπὸ Κρητός τινος Τραγίσκου τοὔνομα, καὶ τοῦ πλήθους "τῶν ἄλλων ὄντων 1206

a. 1. σχολάζοντας B. 9. ὅτι] c. 5. φοβερώτερος A. 10. ἢ] ἦθος AB. βασιλικόν B. 12. ὑπογεγραμμένον ς. 19. δύναμιν ἔχειν ς. 21. ἄθικτον A: ἄλυπον ς. 23. ὅτι] c. 6. 29. ὑπερβολάς τινας A: τινὸς ὑπερβολὰς καὶ ς. 32. ὅτι] c. 12. τοῦ om B. 36. οὗτος A. 38. χρυσίον A. 40. δραχμὰς A: διδραχμὰς ς. 41. ὅτι] c. 13, b. 4. ὅτι] c. 21. σκιπίωνι A. 14. μασσαλιῶται B, μασαλαῖται A, μασαλιῶται ς. περιθριγκῶσαι A: περιτροχῶσαι ς. 17. ἀνάπλεων B. 20. τοῦ τοιούτου B et corr A: τὸ τοιοῦτο ς. 27. ὅτι] c. 13. 38. ὅτι] c. 29. λαμπρῶς καὶ κατὰ ς. 40. τραγίσκον ς.

Digitized by Google

φ' τῶν ἀναιρεθέντων, καὶ μηδένα τῶν αὐτοῦ στρατιωτῶν ἀποβαλών, ὅμως ἐκ ἔλαβε τὸ Ἄργος οὐδὲ ἠλευθέρωσε τοὺς ἐν αὐτῷ τῶν περὶ Ἄγιν ϗ τὸν νεώτερον Ἀριστόμαχον μετὰ δυνάμεως βασιλικῆς παρεισπεσόντων καὶ καταχόντων τὰ πράγματα. τὸ μὲν οὖν πολὺ τῆς διαβολῆς ϗ λόγους ϗ σκώμματα ϗ βωμολοχίας παρείλετο τῶν κολακευόντων τοὺς τυράννους, ϗ διεξιόντων, ἐκείνοις χαριζομένων, ὡς τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν ἐκταράττοιτο μὲν ἡ κοιλία παρὰ τὰς μάχας, κάρος δὲ ϗ ἴλιγγος προσπίπτοι ἅμα τῷ παραστῆναι τὸν σαλπιγκτήν, ἐκτάξας δὲ τὴν δύναμιν ϗ τὸ σύνθημα παρεγγυήσας, καὶ πυθόμενος τῶν ὑποστρατηγῶν μή τις αὐτοῦ χρεία παρόντος, βεβλῆσθαι γὰρ τοὺς ἀστραγάλους, ἀπέρχοιτο, καραδοκήσων πόῤῥωθεν τὸ συμβησόμενον. ταῦτα γὰρ οὕτως ἴσχυσεν, ὥστε ϗ τοὺς φιλοσόφους ἐν ταῖς σχολαῖς ζητεῖν εἰ τὸ πάλλεσθαι τὴν καρδίαν ϗ τὸ χρῶμα τρέπεσθαι ϗ τὴν κοιλίαν ἐξυγραίνεσθαι παρὰ τὰ φαινόμενα δεινὰ δειλίας ἐστὶν ἢ δυσκρασίας τινὸς περὶ τὸ σῶμα καὶ ψυχρότητος· τὸν γὰρ Ἄρατον ἀεὶ μὲν ἀγαθὸν ἡγεῖσθαι στρατηγόν, ἀεὶ δὲ ταῦτα πάσχοντα παρὰ τοὺς ἀγῶνας. ὅτι νόμου (φησίν) ὄντος ἀρχαίου μηδένα θάπτεσθαι τυχὼν ἐντός, ἰσχυρᾶς τε τῷ νόμῳ δεισιδαιμονίας προσούσης, ἔπεμψαν εἰς Δελφοὺς ὑπὲρ τούτων ἐρησόμενοι τὴν Πυθίαν· ἡ δὲ ἐπέτρεπε. καὶ οἵ τε Ἀχαιοὶ ἅπαντες ἥσθησαν, καὶ διαφερόντως οἱ Σικυώνιοι, μεταβαλόντες εἰς ἑορτὴν τὸ πένθος, εὐθὺς ἐκ τοῦ Αἰγίου τὸν νεκρὸν Ἀράτου ἐστεφανωμένοι ϗ λευχειμονοῦντες ὑπὸ παιάνων ϗ χορῶν εἰς τὴν πόλιν ἀνῆγον, καὶ τόπον ἐξελόμενοι περίοπτον, ὥσπερ οἰκιστὴν ϗ σωτῆρα τῆς πόλεως ἐκήδευσαν καὶ καλεῖται μέχρι νῦν Ἀράτειον. ἡ δὲ τελευτὴ αὐτῷ ἐν φιλοφροσύνης σχήματι φαρμάκῳ καὶ δόλῳ γέγονε, Ταυρίωνος μὲν τοῦ στρατηγοῦ ὑπηρετησαμένου τῷ φόνῳ, Φιλίππου δὲ τοῦ Πελοποννησίου τυράννου, ὡς ἄδειαν ἔχοι πράττειν ἃ βούλοιτο τῶν ἐκθέσμων, προσάξαντος.

Ἐκ τοῦ Ἀρτοξέρξου.

ὅτι ἡ τοῦ Ἀρτοξέρξου μήτηρ Παρύσατις θυμόσοφος ἦν γυνή, ϗ δεινὴ (φησί) κυβεύειν. ὅτι ἡ δειλία (φησί) φονικώτατόν ἐστιν ἐν ταῖς τυραννίσιν.

Ἐκ τοῦ Ἄγιδος.

ὅτι Ἀντίγονος (φησίν) ὁ Μακεδονίας βασιλεύς, ἐπικαλεσαμένων αὐτὸν ἐπὶ βοήθειαν κατὰ Κλεομέ- 65a H.
νους Ἀχαιῶν, μάχῃ ἐνίκησε, καὶ ἐξ ἐφόδου φυγόντος Κλεομένους τὴν πόλιν παραλαβών, ϗ τοῖς Λακεδαιμονίοις φιλανθρώπως χρησάμενος, ϗ τὸ ἀξίωμα τῆς Σπάρτης οὐ προπηλακίσας οὐδ' ἐνυβρίσας, ἀλλὰ καὶ νόμους ϗ πολιτείαν ἀποδούς, ἀνεχώρησεν εἰς Μακεδονίαν ἡμέρᾳ τρίτῃ, πολέμων αὐτῷ φύντων ἐκεῖσε καὶ παρεῖναι βιαζομένων. ἤδη δὲ ϗ τὸ νόσημα κατεῖχεν αὐτόν, εἰς φθίσιν ἐκβεβηκὸς ἰσχυρὰν ϗ κατάῤῥουν συντεῖνον. οὐ μὴν ἀπεῖπεν, ἀλλ' ἀντήρκεσε πρὸς τοὺς οἰκείους ἀγῶνας, ὅσον ἐπὶ νίκῃ μεγίστῃ καὶ φόνῳ πλείστῳ τῶν βαρβάρων εὐκλεέστερος ἀποθανεῖν, ὡς μὲν εἰκός ἐστι ϗ λέγουσιν οἱ περὶ Φύλαρχον, αὐτῇ τῇ περὶ τὸν ἀγῶνα κραυγῇ τὸ σῶμα προσαναῤῥήξας· ἐν δὲ ταῖς σχολαῖς ἦν ἀκούειν ὅτι βοῶν μετὰ τὴν νίκην ὑπὸ χαρᾶς „ὦ καλῆς ἡμέρας" πλῆθος αἵματος ἀνήγαγε, καὶ πυρέξας συντόνως ἐτελεύτησεν.

ὅτι Κλεομένους Αἰγύπτῳ προσπεφευγότος μετὰ 1209 B.
τὴν ὑπ' Ἀντιγόνου ἧτταν, τὰ μὲν πρῶτα ὁ βασιλεὺς Αἰγύπτου ἐν τιμῇ καὶ δεξιώσεσι περιεῖπε τὸν ἄνδρα, μετ' οὐ πολὺ δὲ μηδὲν ἀδικοῦντα, ἐξ ὑποψιῶν ἀλόγων ϗ συκοφαντιῶν κακούργων ὑποῤῥυϊσκόμενος τῆς περὶ αὐτὸν διαθέσεως, ἐν φρουρᾷ κατεῖχεν ἀδέσμῳ, μελετῶν κατ' αὐτοῦ θάνατον. ὁ δὲ μετά τινων ἑξκαίδεκα τῶν αὐτοῦ ἑταίρων ἐκπηδήσας μετὰ ξιφῶν τοῦ οἰκήματος ἔθει μὲν διὰ τῆς ἀγορᾶς, ϗ τοὺς πολίτας ϗ τοὺς ἄλλους εἰς ἐλευθερίαν ἐκάλει· οἱ δὲ ἐπῄνουν μὲν τὴν γνώμην καὶ ἐθαύμαζον τὸ γενναῖον, οὐδεὶς μέντοι διὰ τὸν ἐκ τῆς τυραννίδος φόβον ἐτόλμα συνεπιλαβέσθαι. ἀνελόντες δ' οὖν τοὺς εἰς χεῖρας ἐλθόντας καὶ δύο τῶν ἐχθίστων, πολλοῦ συῤῥυέντος ἐπ' αὐτοὺς πλήθους, ϗ πολλοὺς ἀνελόντες, καὶ αὐτοὶ κατεκόπησαν, εἶτα ἀνεσταυρώθησαν. ὀλίγαις δὲ ὕστερον ἡμέραις οἱ τὸ σῶμα τοῦ Κλεομένους ἀνεσταυρωμένον παραφυλάττοντες εἶδον εὐμεγέθη δράκοντα τῇ κεφαλῇ περιπεπλεγμένον καὶ ἀποκρύπτοντα τὸ πρόσωπον, ὥστε μηδὲν ὄρνεον ἐφίπτασθαι σαρκοφάγον. ἐκ δὲ τούτου δεισιδαιμονία προσέπεσε τῷ βασιλεῖ καὶ φόβος, ὡς ἀνδρὸς ἀνῃρημένου θεοφιλοῦς καὶ κρείτ-

a. 9. τὰς add A. 10. προσπίπτοι B: προσπίπτειν ς. 11. σαλπικτήν ς. 16. ζητεῖν A: ζητοῦντας ς. 17. τρέπεσθαι A: φαίνεσθαι ἠλλοιωμένον ς. 21. ὅτι] c. 53. 23. τε om A. ἔπεμψεν ς. 26. μεταβαλόντες B: μεταβάλλοντας ς. 27. τὸν A: τὸ ς. 29. ἀνῆγον A: ἀνῆρον ς. 37 et 38. Ἀρταξέρξου ς. 38. ὅτι] c. 17. 39. ὅτι] c. 25. 40. φησί om A.
b. 2. ὅτι] Cleomen. c. 30. 11. ἐκβεβηκὸς A: ἐμβεβληκὸς ς. 19. πυρέξας] πῦρ ἐξάψας A. 20. ὅτι] c. 32. 24. συκοφαντιῶν A. 32. χεῖρας καὶ ἐλθόντας ς. 34. εἶτα ἀνεσταυρώθησαν om A. 35. ὀλίγαις] c. 39.

τονος τὴν φύσιν. οἱ δὲ Ἀλεξανδρεῖς ϗ προσετέρποντο φοιτῶντες, ἥρωα τὸν Κλεομένην ϗ θεῶν παῖδα προσαγορεύοντες, ἄχρις οὗ κατέπαυσαν αὐτοὺς οἱ σοφώτεροι, διδόντες λόγον ὡς μελίττας μὲν βόες, σφῆκας δὲ ἵπποι ἀποσαπέντες ἐξανθοῦσι, κάνθαροι δὲ τὸ αὐτὸ παθόντων ὄνων ζωογονοῦνται, τὰ δὲ ἀνθρώπινα σώματα περὶ τὸν μυελὸν ἰχώρων συῤῥοήν τινα καὶ σύστασιν ἐν ἑαυτοῖς λαβόντων ὄφεις ἀναδίδωσι. καὶ τοῦτο κατιδόντες οἱ παλαιοὶ μάλιστα τῶν ζώων τὸν δράκοντα τοῖς ἥρωσι συνῳκείωσαν.

653 H. Ἐκ τοῦ Τίτου.

ὅτι Ἰσθμίων ἀγομένων πλῆθος μὲν ἀνθρώπων ἐν τῷ σταδίῳ καθῆστο τὸν γυμνικὸν ἀγῶνα θεωμένων, ἅτε διὰ χρόνων πεπαυμένης μὲν πολέμων τῆς Ἑλλάδος, ἐν ἐλευθερίᾳ δὲ σαφεῖ καὶ εἰρήνῃ πανηγυριζούσης· τῇ σάλπιγγι δὲ σιωπῆς εἰς ἅπαντας διαδοθείσης προελθὼν εἰς μέσον ὁ κῆρυξ ἀνεῖπεν ὅτι Ῥωμαίων ἡ σύγκλητος ϗ Τίτος Κόϊντος στρατηγὸς ὕπατος, καταπολεμήσαντες βασιλέα Φίλιππον ϗ Μακεδόνας, ἀφιᾶσιν ἀφρουρήτους καὶ ἐλευθέρους ϗ ἀφορολογήτους τοὺς Ἕλληνας, νόμοις χρωμένους τοῖς πατρίοις, Κορινθίους, Λοκρούς, Εὐβοέας, Φωκεῖς, Ἀχαιούς, Φθιώτας, Μάγνητας, Θετταλούς, Περῤαιβούς. τὸ μὲν οὖν πρῶτον οὐ πάντες οὐδὲ σαφῶς ἤκουσαν, ἀλλ' ἀνώμαλος καὶ θορυβώδης κίνησις ἦν ἐν τῷ σταδίῳ θαυμαζόντων ϗ διαπυνθανομένων ϗ πάλιν ἀνειπεῖν κελευόντων. ὡς δ' ἅπαξ ἡσυχίας γενομένης ἀναγαγὼν ὁ κῆρυξ τὴν φωνὴν προθυμότερον εἰς ἅπαντας ἐγεγώνησε καὶ διῆλθε τὸ κήρυγμα, κραυγὴ μὲν ἄπιστος τὸ μέγεθος διὰ χαρὰν ἐχώρει μέχρι θαλάσσης, ὀρθὸν δὲ ἀνειστήκει τὸ θέατρον, οὐδεὶς δὲ λόγος ἦν τῶν ἀγωνιζομένων, ἔσπευδον δὲ πάντες ἀναπηδῆσαι ϗ δεξιώσασθαι καὶ προσειπεῖν τὸν σωτῆρα τῆς Ἑλλάδος ϗ πρόμαχον. τὸ δὲ πολλάκις λεγόμενον εἰς ὑπερβολὴν
1212 R. ϗ μέγεθος τῆς φωνῆς ὤφθη τότε· κόρακες γὰρ περιπετόμενοι κατὰ τύχην ἔπεσον εἰς τὸ στάδιον. αἰτία δ' ἡ τοῦ ἀέρος ῥῆξις· ὅταν γὰρ ἡ φωνὴ πολλὴ ϗ μεγάλη φέρηται, διασπώμενος ὑπ' αὐτῆς οὐκ ἀντερείδει τοῖς πετομένοις, ἀλλ' ὀλίσθημα ποιεῖ καθάπερ κενεμβατοῦσιν, εἰ μὴ νὴ Δία πληγῇ τινι μᾶλλον ὡς ὑπὸ βέλους διελαυνόμενα πίπτει καὶ ἀποθνήσκει. δύναται δὲ ϗ περιδίνησις εἶναι τοῦ ἀέρος οἷον ἑλιγμὸν ἐν πελάγει ϗ πάλιν ῥύμην διὰ μέγεθος λαβόντος. ὁ δ' οὖν Τίτος εἰ μὴ τάχιστα τῆς θέας διαλυθείσης ὑπειδόμενος τὴν φορὰν τοῦ πλήθους καὶ τὸν δρόμον ἐξέκλινεν, οὐκ ἂν ἐδόκει περιγενέσθαι τοσούτων αὐτῷ περιχεομένων.

ὅτι Πλούταρχος, ὡς αὐτὸς κἀν τῷ παρόντι παραλλήλῳ καὶ ἐν ἄλλοις φησίν, ἐπὶ Νέρωνος ἦν.

## 246.

Ἀνεγνώσθη ἈΡΙΣΤΕΙΔΟΥ ὁ παναθηναϊκός, ἐκλογὴν ὑπέχων ῥημάτων τε ϗ ὀνομάτων ϗ περιόδων, ἀλλὰ ϗ νοημάτων εἰς δεινότητα ϗ κάλλος διεσκευασμένων.

ἔῤῥωτο μὲν ἡ γῆ πρὸς ἁπάσας γονάς. λαβόντες δὲ οὕτω τὰς παρὰ τῶν θεῶν δωρεάς, οὕτως εὖ τοὺς δόντας ἐμιμήσαντο, ὥστε αὐτοὶ τοῖς ἄλλοις ἀνθρώποις ἀντὶ τῶν θεῶν κατέστησαν. ϗ πεῖραν ταύτην πρώτην ἔδοσαν τοῦ κατ' ἀξίαν τυχεῖν, τὸ χρήσασθαι τοῖς ὑπάρχουσιν ὡς προσῆκεν. οὐ γὰρ ἠξίωσαν αὐτὸ δὴ τοῦτο 654 H.
γῇ κρύψαντες ἐξαρκεῖν· ἀλλὰ τοσοῦτον ἀπέσχον τοῦ φοβηθῆναι μὴ ἄρα τοὺς ἄλλους ἐξ ἴσου σφίσι ποιήσωσιν, ὥστε οὐκ εἶναι κάλλιον ᾠήθησαν ὅσῳ τῶν ἄλλων προέχουσιν ἐνδείξασθαι, ἢ εἰ πάντας εὖ ποιοῦντες ὀφθήσονται.

ἀλλ' ὁ λόγος γὰρ ὥσπερ ῥεῦμα φέρων ὑπήνεγκε βίᾳ ἀναχωρεῖν οὖν ὅθεν ἐξέβην καιρός. πέμπουσι δὴ θείᾳ πομπῇ γῆν ἐπὶ πᾶσαν ἀφορμὰς τοῦ βίου, καθάπερ θεωρικοῦ τινος διάδοσιν. εὖ γὰρ ποιοῦντες ἔφθανον τὴν ἐπιθυμίαν τῶν εὖ παθεῖν δεομένων. οὐ γὰρ ἔστι γένος οὐδὲν τῆς Ἑλλάδος ὡς ἔπος εἰπεῖν, ὃ τῆσδε τῆς πόλεως ἀπειρατόν ἐστιν. ὧν ἁπάντων μὲν ἀμήχανον καὶ μνημονεῦσαι πρῶτον καὶ τῆς μνήμης τοὺς λόγους συμμέτρους ἀποδοῦναι. ἃ δέ ἐστι τῶν παλαιῶν ἐντιμότατα καὶ ὥσπερ ἀρχὴ τοῖς πολλοῖς διηγεῖσθαι Ἡρακλέους ἐξ ἀνθρώπων ἀπελθόντος ἡ μὲν πόλις ϗ νεὼς καὶ βωμοὺς ἱδρύετο πρώτη.

κατὰ ἔλλειψιν ἡ προκειμένη φράσις, ἔχουσά τι ἀσαφές· πολλαχοῦ δὲ αὐτῇ κέχρηται.

ϗ νῦν εἰσὶ Μεσσήνιοι διὰ τὴν πόλιν. μόνη γὰρ (ὡς εἰπεῖν) διαγέγονε πρὸς τὴν ἁπάντων τύχην διαμιλλωμένη, ϗ πειρωμένη περιτρέπειν πᾶσι τὰς συμφορὰς ἐπὶ θάτερα. καὶ τὴν παροιμίαν ἐνήλλαξεν· οὐ γὰρ ἐκποδὼν εἶναι κατέδειξε φίλου κακῶς πράσσοντος, ἀλλὰ πολλοὺς ϗ τῶν πρόσθεν διαφόρων ἐπὶ τοῖς ἀτυχήμασι φίλους πεποίηται. οὐδ' εὖ μὲν πράττουσι κέχρηται,

a. 6. ὄνων A: τῶν ὄνων ς. 12. ὅτι] c. 10. 14. πεπαυμένοι pr A. 15. ἐν add A. 16. εἰς] πρὸς B. 17. ὁ κ. εἰς μ. ς. 29. θαλάττης B. 31. δὲ om A. 32. καὶ προσειπεῖν om A. 39. τινὶ add A.
b. 2. φθορὰν ς. 6. ἐπὶ A, ἐκ τοῦ C: ἐπὶ τοῦ ς. 11. ἔῤῥωτο] p. Canter. 179. 11. λαβόντες] p. 180. 15. τὸ] τῷ B. 21. ἀλλ'] p. 181. 24. διάδοσιν] δίδωσιν A. 25. οὐ γὰρ] p. 187. 33. προσκειμένη A. 35. καὶ νῦν] p. 191. Μεσσήτιοι B: μεσήνιοι ς. μόνη] p. 192. 36. ἀμιλλωμένη B. 37. πᾶσι τὰς συμφορὰς περιτρέπειν ς.

κακῶς δ' ἀπαλλάξαντας ἠτίμακε, τῇ τύχῃ μετροῦσα τὴν φιλανθρωπίαν· ἀλλὰ τοὺς τοῦ δυστυχεῖν καιροὺς τοῦ πράττειν εὖ πεποιήκει, τοῖς πολλοῖς τὰ παρ' αὐτῆς ἀγαθὰ προσθεῖσα, καὶ ποιησαμένη κοινωνοὺς ὧν ὅτε κάλλιστα ἔπραττον οὐδὲ ἐλπὶς ἦν αὐτοῖς. καὶ νῦν ἐπ' ἀμφοτέροις τοῖς πέρασι τῆς γῆς ἡμετέρων παίδων
1213 R. παῖδες οἰκοῦσιν, οἱ μὲν ἄχρι Γαδείρων ἀπὸ Μασσαλίας προήκοντες, οἱ δὲ ἐπὶ τῷ Ταναΐδι καὶ τῇ λίμνῃ μεμερισμένοι. ἐκδέχεται δ' ἡ πάλαι τοῦ λόγου προσδοκωμένη μοῖρα, ὡς ἐμοὶ δοκεῖ, καὶ ὑπὲρ πολλῶν, αἱ μετὰ τῶν κινδύνων πράξεις· ἃς ἐγὼ δέδοικα μὴ τῷ λέγοντι κίνδυνον ἔχωσιν εἰπεῖν μᾶλλον ἢ τῇ πόλει τῶν ἔργων ὅτε ἐπραγματεύετο. οὐ μὴν ἀλλ' ἀναγκαῖον ἅψασθαι καὶ τούτων ἤδη. καὶ μὴν αὐτὸ τοῦτο πρῶτον, τὸ πάντας τοὺς ἐν χρείᾳ βοηθείας καταφεύγειν ἐπὶ τὴν πόλιν ὥσπερ ἐκ δυοῖν ποδοῖν ὡς ἀληθῶς, καὶ μηδεμίαν τῶν ἄλλων πόλεων ὁρᾶν, μέγα καὶ φανερὸν σύμβολόν ἐστι, καὶ στήλης ἄμεινον, τοῦ προέχειν εὐθὺς ἐξ ἀρχῆς οὐχ ὅσον λανθάνειν, καὶ μαρτύριόν γε δυοῖν τοῖν καλλίστοιν, ἀνδρείας καὶ φιλανθρωπίας· εἰ δὲ βούλει, λέγω δικαιοσύνης ἀντὶ τῆς φιλανθρωπίας. ὥσπερ γὰρ κήρυκες ἅπαντες οὗτοι περὶ αὐτῆς γεγόνασι, καὶ τὴν ἀνάρρησιν ἐπ' αὐτῶν τῶν ἔργων πεποίηνται μήτε μέλειν τισὶ τοῦ δικαίου μᾶλλον τῶν Ἀθηναίων, μήτε ἀμείνους εἶναι κωλύειν ὅσα ἂν ἔξω τοῦ καλοῦ γίγνηται, ἀλλ' εἶναι τὰς
655 H. μὲν ἄλλας πόλεις τῶν Ἀθηναίων δεομένας, αὐτὰς δ' ἐφ' ἑαυτῶν ἀριθμὸν πληρούσας τῇ Ἑλλάδι, τὴν δὲ ὡς ἀληθῶς ὥσπερ πόλιν ἐν χωρίοις ἀνέχουσαν ὁμοίαν τῇ κατασκευῇ καὶ τοῖς λογισμοῖς, τῶν μὲν τὰ δίκαια τιμώντων ὀχυρωτέραν, τῶν δὲ τὰς δυνάμεις ἐχόντων ἐπιεικεστέραν, μᾶλλον δὲ τῶν μὲν τὰ δίκαια τιμώντων ἀκριβεστέραν εἰς αὐτὸν τὸν τοῦ δικαίου λόγον, τῶν δὲ ἐπὶ τοῦ βιάζεσθαι δυνατωτέραν εἰς τέλος, ὥστε ἄμφω τὼ γένη δι' ἀμφοῖν νικᾶν. ταυτὶ μὲν οὖν κοινὰ δείγματα.

τὸ προκείμενον τοῦ λόγου σχῆμα διαφόροις ὀνόμασι κέκληται· καὶ γὰρ στρεπτόλυτον καλεῖται καὶ διάλληλον, ἐναγώνιον, διαγώνιον, χῖ χιαστόν, πλεκτὸν καὶ λυτόν, παρακειμένου κακοῦ ἀναίρεσις, στρεπτόλυτον μὲν παρὰ τὸ ἐκ τῶν ἀντιστρόφων λύειν τὰ λεγόμενα, ἐναγώνιον δὲ διὰ τὸ δοκεῖν ἔχειν ἀγῶνα τῇ ἐπαγωγῇ τῶν νοημάτων, χῖ δὲ χιαστόν, διότι δύο προτάσεων οὐσῶν τοῦ δικαίου καὶ τοῦ δυνατοῦ, ὃ μὲν ἔδει τῷ δικαίῳ δοῦναι, τοῦτο ἀπένειμε τῷ δυνατῷ, ὃ δὲ ἔδει τῷ δυνατῷ, ἀνέθηκε τῷ δικαίῳ πάλιν, ἐναλλάξας τὰς ἐννοίας. παρακειμένου δὲ κακοῦ ἀναίρεσις λέγεται, ἐπειδὴ παράκειται ὡς δικαίοις τὸ εὐχερῶς πάσχειν καὶ ἀδικεῖσθαι, ὡς δὲ ἀνδρείοις τὸ ἀδικεῖν, ἀνεῖλε τὴν ἑκατέρου κακίαν, οἷον δικαία οὖσα καὶ οὐ πάσχουσα, καὶ ἀνδρεία οὖσα καὶ οὐκ ἀδικοῦσα. εἰ γὰρ καὶ ἐν τέλει ἔθηκε τὸ συγκριτικὸν τοῦ ὀνόματος, ἀλλ' οὐκ ἔστι τὸ σχῆμα συγκριτικόν, ἀλλ' ὡς εἴρηται παρακειμένου κακοῦ μεθοδεύει ἀναίρεσιν.

Ἀμαζόσι μὲν γάρ, αἳ παρῆλθον τοῖς ἔργοις τὴν φύσιν, ἱππομαχίαν συνάψαντες πανωλεθρίᾳ διέφθειραν, οὐδενὸς ἀνταίραντος τῶν μέχρι τῆς Ἀττικῆς· ἀλλ' ἐξισώκεσαν ἤδη τὰς ἠπείρους, ὥσπερ ἀπὸ σημείου τοῦ Θερμώδοντος ὁρμώμεναι. ἐντεῦθεν δέ, ὥσπερ κάλω ῥαγέντος, ἐχώρησεν ὀπίσω· καὶ διελέλυτο Ἀμαζόσιν ἥ τε ἀρχὴ καὶ ὁ δρόμος, καὶ ἡ πόλις κἀνταῦθα ἐβοήθησε τῇ κοινῇ φύσει, καὶ νῦν εἰς ἄπιστον περιέστηκεν εἴ ποτε ἐγένοντο. νῦν δ' ἐξ ἴσου καθεστῶτος τοῦ τε εὑρεῖν ἃ χρὴ παραλιπεῖν καὶ τοῦ πρὸς ἀξίαν εἰπεῖν τὰ νικήσαντα, καὶ οὐδενὸς μὲν οὐδ' ἐν ἁπλῇ διηγήσει πάντα πω διεξελθόντος, πλεῖστα δὲ ὑπὲρ μιᾶς πόλεως ταύτης ἁπάντων εἰρηκότων, μᾶλλον δὲ ὑπὲρ μόνης πλείω σχεδὸν ἢ τῶν ἄλλων ἁπασῶν, οὐκ ἐνδέχεται διεξιέναι 1216 R.
καθ' ἕκαστον ἀκριβῶς, ἀλλ' ἀνάγκη τὰ πλεῖστα παραλιπεῖν, ἵνα δὴ τοῖς μεγίστοις χρησώμεθα. ἐπεὶ τίς οὐκ ἂν ἄσμενος καὶ ταῦτα εἰς μέσον ἤνεγκεν; ὅτε γὰρ τοῖς Ἕλλησι καὶ βαρβάροις τὰ πράγματα ἐκρίνετο, καὶ μικροῦ πρὸς πολὺ μέρος τῆς γῆς ἠγωνίζετο, ὁ δὲ ἀγὼν ἦν ὑπὲρ σωτηρίας ἅμα καὶ ἀρετῆς, τότε ἐνίκησεν ἡ πόλις ἄμφω τὼ γένη κάλλιον εὐχῆς, ὡς τὸ μὲν προσθήκην αὐτῆς μικρὰν ἀποφανθῆναι, τὸ δὲ πλεῖον χεῖρον ἢ ὅσῳ πλεῖον ἐδόκει. ἐν ἐκείνοις μέντοι τοῖς καιροῖς ἔργα λόγων ἡττήθη, λέγω δὲ τὰ τῶν ἄλλων ἔργα λόγων τῶν παρ' ἡμῖν· καὶ ψήφισμα τροπαίου κρεῖττον εἰς μνήμην ἐνίκησεν, ἅμα λόγῳ καὶ ἔργῳ νικῆσαν. εὐθὺς γὰρ ἐν χεροῖν κύριον ἦν, οὐ τῇ χειροτονίᾳ 656 H.
μόνον ὡς νόμος, ἀλλὰ καὶ τῷ διαφθεῖραι τοὺς ἀγγέλους.

a. 5. κάλλιστον B. καὶ νῦν] p. 295. 6. ὑμετέρων B. 8. προήκοντες B: παρήκοντες ς. 9. ἐκδέχεται] p. 199. δ' om B. 10. καὶ ὑπὲρ πολλῶν om A. 14. καὶ μὴν] p. 202. 16. ὥσπερ — καὶ] ὡς A. 19. γε om A. δυοῖν A. 20. εἰ δὲ — 21. φιλανθρωπίας om A. 25. γίγνοιτο ς. 34. ταυτὶ — b 11. ἀναίρεσιν om B. 35. ἑρμηνεία. τὸ rc A.
b. 1. δὲ] δὲ καὶ A. 8. οὐκ ἀδικοῦσα A: ἀδικοῦσα οὐδ' ὅλως ς. 9. ἀλλ' — 10. συγκριτικόν om A. 12. Ἀμαζ.] p. 203. 13. ἱππομαχίαν corr B, ἱππομαχίᾳ A et pr B: ἱππομαχίας ς. 14. τῶν om A. 15. τὰς ἠπείρους] ταύτας A et fortasse pr B. 16. ὁρμώμεναι om A, a correctore habet B. ἐντεῦθεν] p. 204. κάλου AB. 18. καὶ ἡ πόλις om AB: sed B post φύσει addit ἡ πόλις. 20. νῦν] p. 207. τε om A. 21. πρὸς] ὡς A. 22. πάντα] πάντων A et pr B. 23. διελθόντος A. 28. γὰρ om B. 33. αὐτῆς μικρὰν A: μικρὰν αὐτοῖς ς. πλεῖον A: πλέον ς. malim πλείονι. 34. πλεῖον] πλειόνων A. ἐν] p. 211.

Digitized by Google

τῷ δὲ ἑρμηνεύσαντι τὰ γράμματα διαχειροτονίαν μὲν ἀπέδοσαν, ἵνα ἐπειδή περ Ἕλλην ἦν, ἔχοι πλέον τὴν τῆς κρίσεως εἰκόνα, ἀπέκτειναν δὲ καὶ τοῦτον ὡς οὐδ' ἄχρι φωνῆς διακονῆσαι προσῆκον τοῖς βαρβάροις, καὶ τὸ ἰσχυρὸν περιῆλθεν αὐτῷ. τὸν γὰρ τῆς πόλεως ἄποικον οὐκ ἠξίουν κατὰ τῆς πόλεως καὶ τῶν Ἑλλήνων ἑρμηνέα τῷ φύσει πολεμίῳ γίνεσθαι. καὶ οὕτω δὴ ῥίπτουσιν εἰς τὸ βάραθρον, ὥστε ἄλλους ἀναγγεῖλαι τῷ βασιλεῖ τὰς ἀποκρίσεις.

ὁ ἑρμηνεὺς ὁ ἀναιρεθεὶς Σάμιος ἦν τὸ γένος, τοὔνομα δὲ Μῦς.

ἡ δὲ πόλις πομπὴν ἀγούσῃ προσεῴκει μᾶλλον ἢ πρὸς ἀγῶνα κοσμουμένῃ· ἱερά τε γὰρ πάντα ἀνέῳγε, καὶ τὰ τῶν ἱερέων γένη συνῆγε, καὶ διεπρεσβεύετο πρὸς τοὺς θεοὺς τὸν ἀρχαῖον τρόπον. καὶ πρῶτον μὲν τοὺς ἐν τοῖς στεφανίταις δρόμους ἀπέκρυψαν, ὅσῳ περὶ καλλιόνων τῶν ἄθλων ἠγωνίζοντο, τοσούτῳ θαυμαστοτέραν τὴν προθυμίαν ἐπιδειξάμενοι. τοσαύτη δ' ἦν ὑπερηφανία τῆς παρασκευῆς καὶ τῶν ποιουμένων, ὥστε ἐξαρκεῖν ἐδόκει τοῖς βαρβάροις ὀφθῆναι μόνον· ᾤοντο γὰρ ὥσπερ ἐν ἄθλοις ἅπαντας εὐθὺς ἀπογνώσεσθαι καὶ δώσειν ἑαυτοὺς ἀκονιτί. αὕτη πρώτη δημοτελὴς κρίσις ἐν τῷ μέσῳ κατ' ἀνθρώπους ἐγένετο ἀρετῆς πρὸς πλοῦτον καὶ φρονήματος Ἑλληνικοῦ πρὸς βαρβάρων πλῆθος καὶ παρασκευήν, οὐ λόγων εὐφημίᾳ κριθεῖσα, ἀλλ' ἔργων ἀποδείξει καὶ τῷ καλοῦντι τοῦ καιροῦ. οὐ γὰρ εἰς φόβον τὴν θέαν ἔτρεψαν, οὐδ' ἐξεπλάγησαν τῶν ὁρωμένων τὴν ἀήθειαν, ἀλλ' ἥσθησαν ὁρῶντες ὅσων κρείττους γενήσονται, καὶ νομίσαντες ὥσπερ ἀφορμὴν εἰληφέναι παρὰ τῆς τύχης ὑπερβαλέσθαι πάντας ἀνθρώπους ἀνδραγαθίᾳ, καὶ τοῦτ' εἶναι πλέον τῆς τοσαύτης στρατιᾶς, ἔχειν ὥσπερ χρήμασιν ἀφθόνως χρήσασθαι, καὶ διανοηθέντες ὅτι νῦν ὥσπερ ἑστιάσονται λαμπρῶς ὑπὸ τῶν βαρβάρων καὶ τῆς ἀρετῆς ἀξίως τῆς ἑαυτῶν. καὶ γὰρ ἵπποι καὶ βέλη καὶ νῆες καὶ ψέλλια καὶ στρεπτοὶ καὶ κύνες καὶ πάντα χρήματα δῶρα τῆς τύχης ἐστὶ προκείμενα τοῖς κρείττοσι. ταῦτα καὶ στρατηγοὶ πρὸς ἑαυτοὺς εἰπόντες, καὶ πρὸς αὐτοὺς ἕκαστοι διαλεχθέντες, ἐκ θεῶν ἀρξάμενοι καὶ τοῦ φίλου παιῶνος ἐχώρουν δρόμῳ, καθάπερ διὰ ψιλοῦ τοῦ πεδίου θέοντες, καὶ τοῖς βαρβάροις οὐκ ἔδωκαν ἰδεῖν ὅ τι ἐστὶ τὰ γιγνόμενα, ἀλλ' ἅμα τάξεις ἐρρώγεσαν καὶ ἄνδρες ἐκτείνοντο καὶ ἵπποι συνελαμβάνοντο καὶ νῆες εἵλκοντο καὶ χρήματα ἤγετο καὶ χορεία Πανὸς ἦν τὰ ποιού- 1217 B.
μενα. ἤδη δέ τις τελευτήσας εἱστήκει περιτοξευθεὶς ὑπὸ τῶν βαρβάρων, φοβῶν τοὺς λοιποὺς ὥσπερ ἀθάνατος ὤν. ἀλλὰ τότε ὡς ἀληθῶς ὄχλος ὄντες ἠσθάνοντο, καὶ μέγιστον ἐναντίωμα ἑαυτοῖς, καὶ τοῖς πλείοσιν ἥττους [illegible] B.
ἐγένοντο ἢ ὅσοις ἄν τις ἐξ ἀρχῆς ἐθάρρησεν ἀντιστῆναι. ὥστ' εἰκότως εἰπεῖν εἶναι τὴν μὲν πόλιν τὸν ἐλευθέριον Δία τιμᾶν ἐπὶ τοῖς πραχθεῖσι προσήκειν, τοῖς δ' ἄλλοις Ἕλλησι τὴν πόλιν, καὶ νομίζειν τὸν Ἀθηναίων δῆμον ὥσπερ ἐλευθέριον τοῖς Ἕλλησιν εἶναι. ὥστε εἰ τὸ μὴ ἔχειν ἐξ ἴσου γενέσθαι τῶν ἡττώνων ἐστίν, ἅπαντας ἀνθρώπους νενικήκασιν. ὁ δὲ πάντας βασιλέας παρενεγκὼν ταῖς ἐπινοίαις, καὶ μηδὲν καταλιπὼν ἄτοπον νομίσαι, Ξέρξης ὁ Δαρείου, καταγνοὺς μὲν τοῦ πατρὸς ὡς ἐνδεῶς ἐπιχειρήσαντος, ὑπεριδὼν δὲ τῆς πόλεως καὶ τῶν Ἑλλήνων ὡς οὐδαμοῦ φανησομένων, ἀγῶνα διπλοῦν ἀγωνίζεται, τὸν μὲν ὑπερβαλέσθαι, τὴν δὲ τιμωρήσασθαι μετὰ πολλοῦ τοῦ κρείττονος. δοκεῖ δέ μοι καὶ πρὸς τὰς διοσημείας τότε Ξέρξης ἁμιλλήσασθαι, καὶ πρὸς ἅπασαν ὄψιν τε καὶ ἀκοὴν ἀνθρώποις ἀνέλπιστον, ὥσπερ ἐνδείξασθαι βουλόμενος ὅτι αὐτοῦ βεβαίως ἐστὶν ἡ γῆ.

ὅτι Ἰσοκράτης ἀνθηρότερον εἶπεν, ὅτω τὴν πρᾶξιν ἀπαγγείλας „καθάπερ πρὸς τὸν Δία τὰ ὄντα διανειμάμενος, καὶ τῷ μὲν Διὶ παραχωρήσας τοῦ οὐρανοῦ, ἑαυτῷ δὲ τὴν γῆν."

ἢ ποίους φόβους ἐγγείους ἢ θαλαττίους οὐχὶ συνέστησε τοῖς παρ' αὐτοῦ; οὐ τὰς ἀπειλὰς πρῶτον οὐκ ἦν ἐσῶσι τοῖς ὠσὶν ἀκοῦσαι. ἀλλ' ἀπῆγον εἰς ἔσχατα γῆς, καὶ προὔλεγεν ἃ μηδενὸς ἦν εὑρεῖν πλὴν ἐκείνου. ἔτι δὲ Ἀτλαντικοῦ πελάγους κληρουχίας ἀτίμους ἠπείλει, καὶ γῆς ποίησιν ἔξω τῆς οἰκουμένης, ἣν ἀναγκάσειν ἠκρωτηριασμένους προχοῦν εἰς τὸ πέλαγος, ὕδωρ μὲν ἀντλοῦντας, πέτρας δὲ ὀρύττοντας, τοσαῦτα ἔχοντας τοῦ σώματος, ὅσα τοῖς ἔργοις ἀρκέσει. καὶ οὐκ ἠπείλει μὲν οὕτως ἀήθη καὶ ὑπερόρια καὶ φόβου μείζω, ἐτελεύτησε δ' ἐνταῦθα· ἀλλ' ἀπέκρυψε τοῖς ἔργοις τὰς ἀπειλάς, ἄνευ τοῦ τι δυνηθῆναι λέγω δὴ χρήσασθαι τῇ πόλει. καὶ ὁ Ἄθως

a. 10. τὸ om *A*. 12. ἡ δὲ] p. 213. 15. καὶ πρῶτον] p. 214. 17. τῶν om *A*. τοσοῦτον θαυμαστότερον *A*. 18. ἦν ἡ ὑπ. ς. 24. βάρβαρον ς. 27. ἔτρεψεν *A*. 28. ἀήθειαν *A*: ἀλήθειαν ς. 30. ὑπερβαλέσθαι *B*: ὑπερβάλλεσθαι ς. 36. στρεπτὰ *B*. 39. παιᾶνος *B*. b. 5. ἤδη—7. ὢν om *A*. 7. ἀλλὰ] p. 216. τότε add *A*. ὄντες ὄχλος *B*. 10. ὥστ'] p. 217. 11. πραχθεῖσι *B*: προαχθεῖσι ς. 13. ἐλευθέριον] ἐλευ pr *A*, ἐλευσῖνα corr. Ἕλλησιν] ἄλλοις *A*. 14. ὥστε] p. 218. 15. ὁ δὲ] p. 220. 20. τὸν μὲν ὑπερβαλέσθαι om *A*, a correctore habet *B*. ὑπερβαλέσθαι *B*: ὑπερβάλλεσθαι ς. 29. ἢ ποίους] p. 221. ἢ ante ποίους om *A*. 32. ἐκείνου *A*: ἐκείνου μόνου ς. 35. ὕδωρ — 36. ὀρύττοντας om *A*. 38. μείζονα *A*. 40. καὶ ὁ] p. 223.

ἀντὶ στήλης τῷ ἔργῳ λέλειπται. κάμηλοι δὲ χρυσοῦ καὶ ἀργύρου κατέλαμπον, ὅσον μήκιστον ἀνύσαι, τοσοῦτον ἐπέχουσαι. εἰ δ' ἐπιθυμήσειε σκιᾶς, δένδρον ἦν αὐτῷ χρυσοῦν ἡ σκιά. ὥστε νύκτωρ μὲν ἤστραπτεν ἀργύρῳ καὶ χρυσῷ, μεθ' ἡμέραν δὲ νύκτα ἐπῆγεν, ὅσαχοῦ τοξεῦσαι κελεύσειεν. ἀλλὰ τούς τε Ἕλληνας συνεκάλει πρὸς τὸν ἀγῶνα τὸν κοινόν, αἰσχυνομένη δοκεῖν μοι μόνη φανῆναι τῷ βαρβάρῳ καθάπερ πρότερον Μαραθῶνι. οὐ γὰρ αὐτή γε ἐν ἄλλοις εἶχε τὰς ἐλπίδας τῆς σωτηρίας, ἀλλὰ πάντες εἶχον ἐν αὐτῇ τὰς ὑπὲρ αὐτῶν.

καίτοι τίς προθυμία λαμπροτέρα, τίς εὐψυχία φανερωτέρα τίνων Ἑλλήνων ἢ καθάπαξ εἰπεῖν ἀνθρώπων ἐξετάζοντι φανήσεται; οἳ τῆς γῆς ἐξέστησαν ὑπὲρ τοῦ μήτε ἐν γῇ μήτε ἐν θαλάσσῃ δουλεῦσαι, τὸ μὲν τηρεῖν τὰ ὑπάρχοντα δουλείας ἀρχὴν νομίσαντες εἶναι, τὴν δὲ τῶν ὄντων στέρησιν ἀφορμὴν τῶν μελλόντων ἀγαθῶν ποιησάμενοι, καὶ τοὺς ἔχοντας τὰ ἑαυτῶν ἔσωζον ἀφ' ὧν αὐτοὶ πρόοιντο τὴν ἑαυτῶν. [πρὸς ταῦτα αἱ-
1220R. ρεῖσθε ὁπότερα] ἆρ' ἢ τῷ δικαίῳ λόγους οὐχὶ συμβαι-
658H. νοντας, ἢ ταῖς παρούσαις ἀνάγκαις οἵους ἐγχωρεῖ παριδεῖν, εἶπον ἄν, εἰ τούτοις ἐχρῶντο; ἀλλ' εἰ κοινὰ μὲν πάντα ἦν, μηδεὶς δὲ ὑπερεῖχε μηδενός, πάντες δ' ἐξ ἴσου συνετέλουν, οἱ δὲ ναύαρχοι παραπλησίως εἶχον τὰς φύσεις ἀλλήλοις, ἔρανος δ' ἦν, ἔδει δ' ἐκ τῶν ὑπαρχόντων σκεψαμένους τοὺς ἡγησομένους καταστῆσαι, πῶς οὐκ ἐκεῖνοι διὰ πάντων ἐξέλαμπον ὥσπερ ἀστέρες; οὐ μὴν ὥσπερ τοῖς ψηφίσμασιν καὶ τῷ κέρᾳ τῆς παρατάξεως, οὕτω κἂν ταῖς πράξεσι τὴν ἡγεμονίαν ἑτέροις παρεῖσαν, πόθεν; ἀλλ' οἱ μὲν ὄνομα ἡγεμόνων, οἱ δὲ ἔργα παρείχοντο. καὶ τοσούτῳ κάλλιον αὐτοῖς τὸ σχῆμα καθίστατο, ὅσῳ τῶν ἡγεμόνων αὐτῶν εἶχον τὴν ἡγεμονίαν. ὅ τι γὰρ Ἀθηναίων μὴ δόξειεν ἑνί, πάντ' ἦν [τῶν ἄλλων Ἑλλήνων] ἄκυρα, ὥσθ' ὁ μὲν Λακεδαιμονίων ναύαρχος τῶν ἀφ' ἑκάστων ἀρχόντων ἦρχεν, ὁ δὲ τῶν Ἀθηναίων ἄρχοντος ἀρχόντων. ἀλλὰ γὰρ ἡ περὶ τὰς ἀποδείξεις σπουδὴ καὶ λόγῳ λόγος παραδιδοὺς ἡμᾶς παρήνεγκε περαιτέρω. εἶμι δὲ ἐπ' αὐτὰς πάλιν τὰς πράξεις, ἐπειδὴ περὶ ὧν ἐβουλόμην ἐν τῷ μέσῳ διέλαβον. τίνες οὖν ἀρετῆς ἀγωνισταὶ καλλίους; ἢ τίνες τῶν πώποτε διαρκέστερον τὴν ἐπίδειξιν αὐτῆς ἐποιήσαντο; οἳ καὶ χρυσῷ καὶ ἀργύρῳ καὶ σιδήρῳ καὶ τοῖς πᾶσιν ἀήττητοι διεγένοντο, καὶ πάντα ἀπέφηναν ὁμοίως ἄχρηστα τῷ βασιλεῖ, ὥσπερ ἂν εἰ ἐκρύπτετο ὑπὸ γῆς ἔτι, πενίαν μὲν ἀντὶ πλούτου τιμήσαντες, κινδύνους δὲ ἀντ' ἀσφαλείας ἑλόμενοι, δικαιοσύνην δὲ ἀντὶ τῆς βασιλέως τοσαύτης φιλανθρωπίας.

ἀλλ' ἵνα μὴ πλέον τῶν ἀναγκαίων παραιτούμενος αὐτῷ τούτῳ μηκύνω, πρὸς τοὺς ἑξῆς τῶν λόγων καὶ συνεχεῖς καὶ δὴ τρέψομαι. ἀλλὰ γὰρ ἐνταῦθα μὲν ὥσπερ ἄκων ἐνέπεσον, καὶ καθ' ὁδὸν τοῦ λόγου μᾶλλον ἢ προειδόμενος· οὐ γὰρ εἰς τοῦτο ὁρῶν ἠπειγόμην.

**τὸ καθ' ὁδὸν ἢ κατ' ἀξίαν λέγει, ὥσπερ ἐστὶν εὐθεῖα ἡ ὁδὸς, ἢ ὥσπερ συμβαίνει ἐν ὁδῷ γενέσθαι· πολλάκις γάρ τις ἀπερχόμενος τήνδε τὴν ὁδόν, ἄλλην ἕλκοντος αὐτὸν βαδίζει φίλου.**

ὅμως δὲ πρὸς πᾶσαν τὴν τῶν Περσῶν ἀρχὴν διακινδυνεύοντες ἐν τῇ γῇ ἀντ' ἀριθμοῦ σωμάτων ἐθνῶν ἀριθμοὺς διαφθείροντές τε καὶ λαμβάνοντες. ἤδη δὲ καὶ δύο τρόπαια εἰς μίαν ἡμέραν ἦλθε, καὶ ναυμαχία πεζομαχίᾳ παρισώθη. μόνοι γὰρ ἀνθρώπων τῶν εἰς κοινὸν πολιτευσαμένων τὴν μὲν οἰκείαν ὥσπερ ἀλλοτρίαν ἐνόμισαν, τὴν δ' ἀλλοτρίαν οὐκ αὐτῶν ἀλλοτρίαν ἀλλὰ τῶν σὺν κακίᾳ νεμομένων. φυλάκων δ' ἐβίωσαν βίον, οὐδὲ τούτων ἱδρυμένων, οὐδέ γε ἑνὸς τόπου τινὸς περιπόλων. ἀλλὰ τοῦ διὰ πάσης γῆς Ἑλληνικοῦ περιπόλους ἐκείνους χρὴ καλεῖν. ἕως ἔγνω βασιλεὺς ἀνταίρων τῇ πόλει παραπλήσιον ποιῶν, ὥσπερ ἂν εἰ πρὸς φλόγα πολλὴν ἐπιοῦσαν ὕλην ἐπηρμένος ἠγωνίζετο. οὐδὲν γὰρ ἦν ὅ τι οὐκ ἔπασχεν, ἀλλ' ἀνηλίσκετο 659H.
αὐτὸς ἐξ αὐτοῦ, καὶ τὴν χώραν ἐπιτείχισμα τῆς ἑαυτοῦ σωτηρίας ἔχων ἤσθετο.

**τὴν ἰδίαν χώραν καθ' ἑαυτοῦ· ἐξ αὐτῆς γὰρ οἱ Ἀθηναῖοι, ἤγουν τῆς Ἀσίας, ὡς ἐξ ὁρμητηρίου ἀφορμῶντες ἔβλαπτον αὐτόν.**

εἶχε μέν γε πρὸ τοῦ τὸν μέχρι Πηνειοῦ τόπον. καίτοι τὸ θαυμαστὸν ἀφεῖλον, ὡς ἤδη τι θαυμαστὸν λέ- 1221R.
γων. εἶχε πάντα τὸν μέχρι τῆς Ἀττικῆς, ἕως ἐνέτυχε

a. 5. χρυσίῳ A. 6. ἀλλὰ] p. 225. τε om A. 7. τὸν ἀγῶνα om AB: sed corr B ἀγῶνα post κοινὸν addit. δοκεῖ A. 11. καίτοι om A. locus est p. 231. 13. ἐξεταζόντων B. οἳ] οἷον A. 18. πρόοιντο] immo προεῖντο. πρὸς] p. 235. πρὸς — 19. ὁπότερα om A. 23. δὲ om A. 24. ἀλλήλοις om A. 25. σκεψομένους ς. 27. οὐ μὴν ὥσπερ A: ταῦτα δὲ ἐποίουν καὶ ς. est p. 238. 29. παρῆσαν A, παρῆκαν B. 32. ὅ τι B, οὕτω A: ὅτι οὕτω ς. 33. ὥσθ' ὁ — ἄρχοντος ἀρχόντων om A. 35. ἀλλὰ] p. 239. 37. περαιτέρω A: πορρωτέρω ς. b. 1. τίνες] p. 251. 2. διαρκέστερον] διαρκεστέραν B: τῶν ἀθηναίων διαρκέστερον ς. 4. καὶ ante τοῖς add A. 6. γῆν A. 9. ἀλλ'] p. 257. πλέον A: πλείω ς. 10. ἑξῆς A: ἐφεξῆς ς. 11. ἀλλὰ] p. 258 extr. 12. λόγου τοῦτο μᾶλλον ς. μᾶλλον om A. 13. οὐ — ἠπειγόμην om B. τοῦτο A: ταῦτα ς. 14. ὥσπερ] ὅπερ A. 18. ὅμου] p. 263. 19. ἐν τῇ γῇ om A. 22. μόνοι] p. 265. 24. ἀλλοτρίων ς. 27. πάσης τῆς γῆς ς. 35. ἀφορμῶντες A: ἀφορῶντες ς. 36. εἶχε] p. 266. γε om A



Digitized by Google

τοῖς ἐκ τῆς Ἀττικῆς ἐν τῇ θαλάττῃ· τοσοῦτον παρελήλυθε τὸν ὀμφαλὸν τῆς γῆς τε καὶ τῆς Ἑλλάδος τοὺς Δελφούς. ἐκ δὲ τῶν τῆς πόλεως ἀγώνων καὶ ἀποστόλων εἰς τοῦτο κατῆλθεν, ὥστε ὡμολόγησε δυοῖν μὲν ὅροιν εἴσω μηκέτι πλευσεῖσθαι, πρὸς μεσημβρίαν μὲν Χελιδονέας, πρὸς δὲ ἄρκτον Κυανέας θέμενος, θαλάσσης δ' ἀφέξειν ἴσον πανταχῇ σταδίους πεντακοσίους· ὥστ' εἶναι τὸν κύκλον τοῦτον ἀντ' ἄλλου τινὸς στεφάνου τοῖς Ἕλλησιν ὑπὲρ κεφαλῆς, καὶ τὴν φρουρὰν ἐξ αὐτῆς τῆς χώρας τοῦ βασιλέως. καίτοι τί κάλλιον εἴποι τις εἰρήνης ἢ πολέμου κεφάλαιον, ἢ πρὸς Ἕλληνας ἢ πρὸς βαρβάρους, ᾧ κατέκλεισε τότε τὰς πράξεις ἡ πόλις; καὶ ταῦτα μέντοι τοσαῦτα καὶ τοιαῦτα διῆλθε σὺν πολλοῖς ὅμως ἐναντιώμασι τῶν Ἑλλήνων, καὶ πάντων ὥσπερ ἀνθελκόντων. τὸ γὰρ ἐν πολέμῳ καὶ φιλονεικίᾳ τῶν Ἑλλήνων πρὸς αὐτὴν καθεστηκότων τῆς ὑπὲρ τῶν Ἑλλήνων προνοίας μηδὲν μᾶλλον ἀφεῖσθαι, ἀλλ' ὑπὲρ τῶν κοινῇ συμφερόντων βασιλεῖ πολεμεῖν διὰ γῆς ἁπάσης καὶ θαλάττης, πόσῃ τινὶ χρὴ τῇ μεγαλοψυχίᾳ προσθεῖναι; χωρὶς τοῦ πρὸς τοσαῦτα μερισθῆναι, καὶ πάντων ὡς μόνων ἑκάστων ἐφικέσθαι, τῆς μὲν γνώμης τὴν ἀνδρείαν, τῆς δὲ παρασκευῆς τὴν ὑπερβολὴν παρέχειν θαυμάσαι. τά τε γὰρ πρὸς τοὺς βαρβάρους ὡς πᾶσαν ἄγουσα ἀπὸ πάντων σχολήν, οὕτω διῳκήσατο, καὶ τοῖς ἐνοχλοῦσι τῶν Ἑλλήνων οὐδὲν μᾶλλον ὑπῆρχε χρήσασθαι τῷ καιρῷ, ἀλλὰ καὶ τούτοις οὕτως ἀπήντησεν, ὥστε σὺν πέντε καὶ σὺν πλείω ταῦτ' ἔχειν ἀριθμεῖν, ὥσπερ ἄλλα ἄττα συλλήβδην ἀριθμούμενα. ἐνίκων μέν γε ναυμαχίᾳ Πελοποννησίους ἐπὶ Κεκρυφαλίᾳ, ἐνίκων δ' Αἰγινήτας πρὸς Αἰγίνῃ, καὶ Πελοποννησίους αὖθις. Μεγαρεῦσι δ' ἔστησαν τείχη μέχρι θαλάσσης, καὶ τὴν ἐλευθερίαν ἅμα καὶ τὴν χώραν διεφύλαξαν. ἐνίκων δὲ Κορινθίους πρὸ Μεγαρέων· καὶ πρὶν δώδεκα ἐξήκειν ἡμέρας ἐνίκων αὖθις ἑτέραν, οὐ καλῶς τὸ τρόπαιον ὑφαρπάζοντας. καὶ οὔπω ταῦτα μεγάλα· ἀλλ' εἰρήσεται γάρ, κἂν ἐπείγωμαι· ἡ γὰρ προσθήκη δείξει τὸ πᾶν. ἀπῆσαν μὲν γὰρ αἱ δυνάμεις τῇ πόλει, ἡ μὲν κατὰ τὴν τῶν Αἰγυπτίων χρείαν, νῆες πλείους ἢ τότ' ἦσαν ἐν τοῖς Ἕλλησιν αἱ σύμπασαι σχεδόν, ἡ δ' Αἰγίνῃ προσεκάθητο. ὅπερ καὶ τοὺς ἐναντίους μᾶλλον ἐπῆρεν ὁρμῆσαι πρὸς τὰ Μέγαρα· ᾤοντο γὰρ εἶναι σχολὴν Ἀθηναίων εἰς τὸ ἔργον ἑαυτοῖς. εἰ δ' ἄρα καὶ τὰ δεύτερα νικῷη, ἀλλ' ἑτέραν πολιορκίαν λύσειν τῆς Αἰγίνης· οὐ γὰρ ἀλλοθέν 160 I γε λοιπὸν ἥξειν αὐτούς. οἱ δὲ τοσοῦτον κατεγέλασαν τοῦ σοφίσματος, ὥστε οὐδὲν μᾶλλον οἱ πρὸς Αἰγίνῃ τότε ἐκινήθησαν τῶν ἐν Αἰγύπτῳ καὶ μηδὲν πεπυσμένων.

ἀλλὰ μὴν μόνη μὲν ἁπασῶν πόλεων ἰδίοις κινδύνοις κρινὴν ἅπαντι τῷ γένει τὴν ὠφέλειαν ἐπορίσατο, μόνη δὲ ἐκ τῶν κοινῶν εὐεργεσιῶν τὴν ἡγεμονίαν ἐκτήσατο, καὶ μετέθηκε τὸν θεσμόν· οὐ γὰρ ἐξ ὧν κατεδουλώσατο τὰς πόλεις ἔσχε τὴν ἀρχήν, ἀλλ' ἐξ ὧν ἐποίησεν ἐλευθέρας. ὥστε συμβῆναι τοὺς αὐτοὺς χρόνους τοῖς μὲν Ἕλλησι τὸ τῆς ἐλευθερίας, τῇ δὲ πόλει τὸ τῆς ἀρχῆς κέρδος ἐνεγκεῖν. μόνοι γὰρ ἑκόντων ἦρξαν, καὶ μόνος οὗτος δήμων ὥσπερ εἷς ἄρχων αἱρετὸς ἐξ ἁπάντων ἐνίκησε, τοὺς μὲν βαρβάρους τοῖς ὅπλοις βιασάμενος, τοὺς δ' ὁμοφύλους οὐ πείσας ἀλλ' ὑπ' αὐτῶν ἄρχειν 1224 πεισθείς, σύμβολον δικαιοσύνης ἔχων τὴν ἀρχήν, ἀλλ' οὐκ ἀδικίας. εἰ δὲ δεῖ διελόντα εἰπεῖν, μόνη πόλεων τῶν μὲν βαρβάρων ἀκόντων, τῶν δ' Ἑλλήνων δεηθέντων ἔσχε τὴν ἀρχήν. ποίᾳ ταῦτ' ἔνεστι ψυχῇ παραβαλεῖν ἀνθρωπίνῃ, καὶ τίνος οὐκ εὐτυχίας μᾶλλον θαυμάσαι; γενομένου δὲ τοῦ μεγάλου πάθους· οὐ γὰρ οὖν σιωπήσομαι, ἀλλὰ καὶ τοῦτο ἔτι μεῖζω μοι δοκεῖ δεῖξαι τὴν πόλιν. οὕτω γὰρ τοῖς ὑπολοίποις προσηνέχθη πράγμασιν, ὥσπερ ἂν εἰ πᾶσαν εἰλήφει τὴν Σικελίαν. οὐ γὰρ ἐστερημένῃ δυνάμεως ἐῴκει, ἀλλ' ἄρτι προσκεκτημένῃ. καὶ τὴν μὲν τῶν τρόπων εὐκολίαν καὶ σωφροσύνην καὶ τάξιν διαίτης, ἣν ὑπὲρ τοῦ μηδὲν αἰσχρὸν συγχωρῆσαι προείλοντο, οὐδ' ἂν εἷς ἀξίως εἴποι. περιστάντων δ' αὐτοὺς τῶν Ἑλλήνων ἁπάντων, καὶ τῶν μὲν ὑπαρχόντων πολεμίων τότε πρῶτον λαβόντων ἐλπίδας καὶ παροξυνθέντων ὑπὸ τῆς τύχης, ἐπελθόντων δὲ τῶν ἐκ Σικελίας, μεταστάσης δὲ τῆς συμμαχίας ὀλίγου δεῖν ἁπάσης, καὶ νήσων καὶ ἠπείρου καὶ πάντων ὡς εἰπεῖν πολεμίων καταστάντων, καὶ πανταχόθεν κεκυκλωμένοι, ἔτι δ' ἀγνωμοσύνης ἀπροσδοκήτου συμβάσης ὥστε καὶ βασιλέα κληθῆναι κατὰ τῆς πόλεως ὑπὸ τῶν ἀπ' ἐκείνου σωθέντων ταῖς ἀπὸ τῆς πόλεως πράξεσι, προσγενομένου δὲ κἀκείνου μάλα ἀσμένως καὶ

a. 4. εἰς τοῦτο] τοσοῦτον *A*. δυεῖν ς. 5 χελιδονέας *B*: χελιδονίας ς. 10. καίτοι] p. 267. 15. τὸ] τῷ *A*. est p. 268. 19 χρὴ om *AB*, ante προσθεῖναι ponit rc *B*. 20 πρὸς om *A*. 21. ἀφικέσθαι *A*. 24. ἔγουσαν *A*. 26. ὥστε σὺν om *A* 27. ἀπαριθμεῖν ς. 31. τεῖχος *A*. 32. τὴν om *A*. 34. ὑφαρπάζοντες *A*. 37. τὴν τῶν om *A*. 38. νῆες — 39. σχεδόν om *A*.

b. 7. ἀλλὰ] p. 274. 9. μόνη δὲ — ἐκτήσατο om *A*. 18. σύμβολον δὲ δικ. *B*. 20. δεηθ[illegible]] [illegible], idque rc, *AB*. 21. ποίᾳ] p. 279. ἔνι *A*. παραβάλλειν *A*: περιλαβεῖν ς. 24. μείζων *A*, μεῖζον *B*. [illegible] om *A*. 28. τάξιν καὶ σωφροσύνην ς. 36. καταστάντων add *A*. 37. κεκυκλωμένων ς. 40. [illegible] om *A*. ἀσμένου ς.

συμπολεμοῦντος καὶ σώμασι καὶ ναυσὶ καὶ χρυσῷ, καὶ τίνα γῆς ἢ θαλάττης [τόπον] οὐ παρέχοντος ἀφορμὴν τῷ πολέμῳ; ἣν μὲν οὖν οὐδεὶς ὅστις οὐκ ἂν ἤλπισεν, ἔξωθεν οὑτωσὶ σκοπῶν, ἀναρπασθήσεσθαι νῦν ἤδη τὴν πόλιν, οὕτω κοινῷ πολέμῳ βαρβάρων τε καὶ Ἑλλήνων συνεχομένην· οἱ δὲ οὕτω μετέστησαν τὰ πράγματα, ὥσπερ ἁπάντων τούτων ὑπὲρ αὐτῶν ἀλλ' οὐ κατ' αὐτῶν γινομένων, ἢ στρατηγούντων σφίσι τῶν πολεμίων. διέλαβον δὲ τροπαίοις τὸν Ἑλλήσποντον ἄλλους ἄλλοσε καταδιώκοντες, ὥσπερ μελέτας μᾶλλον ἐν σφίσιν αὐτοῖς ἢ ναυμαχίας πρὸς τοὺς ἐντυγχάνοντας ἀεὶ ποιούμενοι. εἴρηταί τε καὶ ἐνεθυμήθην ὡς ἑτέρῳ προείρηται. τέλος
661 H. δ' ἐπὶ Κυζίκῳ συμπεσόντες ὁμοῦ Λακεδαιμονίοις καὶ τοῖς ἀπὸ τῆς Ἑλλάδος καὶ τοῖς ἀπὸ τῆς Ἀσίας βαρβάροις καὶ Φαρναβάζῳ λαμβάνουσι τὰς ναῦς παρὰ τοσοῦτον οὐ πάσας, παρ' ὅσας διέφθειραν. ὥστε ἡ μὲν τοσοῦτον ὑπερβληθεῖσα ὑπὸ τῆς στάσεως πόλις οὐδ' ὄνομα εἰρήνης ἐπ' ἐκείνων τῶν χρόνων ἐνενόησεν, οἱ δ' ἀπὸ τοσούτων καὶ τηλικούτων πλεονεκτημάτων ὁρμώμενοι πληγέντες κατέφευγον εὐθὺς ἐπὶ τὴν εἰρήνην. ἔτι δὲ αὐτὴ μὲν πρὸς ἅπαντας ὁμοῦ πολεμεῖν ἠνάγκασται τοὺς ἐπιόντας ἢ κινοῦντας, τῶν δ' ἐναντίων οἱ πλεῖστοι πρὸς μέρος αὐτῆς ἀντήρκασιν, ἀθρόας δὲ τῆς δυνάμεως ἢ τὶς ἢ οὐδεὶς ἐπειράθη. ὥστε ἡ τῶν Ἀθηναίων πόλις νενίκηκε μὲν πολλὰ δὴ πολλάκις, αὐτὴ δ' ἴσα καὶ ἀήττητός ἐστι. τὸ δὲ πάντων μέγιστον, ὅτι αὐτῆς μὲν οὐδεὶς ἐκράτησεν (οὐδεὶς γὰρ αὐτῆς τὴν γνώμην παρεστήσατο, ἀλλὰ στρατιᾶς γέγονε πάντα τὰ τοιαῦτα ἀτυχήματα), αὐτὴ δὲ τὰς γνώμας τῶν ἐναντίων ἅμα τοῖς ἔργοις δεδούλωται, Ξέρξην μὲν φεύγειν ἀπὸ τῶν πραγμάτων ποιήσασα ἐν εὐχῆς μέρει, Λακεδαιμονίους δὲ ἀνακλίνασα οὐχ ἧττον τοὺς ἀκούοντας ἢ τοὺς ἐν ταῖς μάχαις παρόντας καὶ πταίσαντας αὐτῶν.

εἰς τί ἀνέκλινεν; ἢ εἰς τὸ ἐπιθυμῆσαι εἰρήνης;

εἰρήνην γὰρ Λακεδαιμόνιοι ἀπηξίωσαν ποιήσασθαι πρὸς Θηβαίους, μόνῃ τῇ τῶν Ἀθηναίων πόλει νομίζοντες εἴκειν εὐπρεπῆ συμφορὰν εἶναι. ἀναμιχθέν-
225 R. τες δὲ τοῖς ἄλλοις πολεμίοις οὐ μᾶλλον σώζειν ἑτέρους εἶχον, ἢ τῶν ἄλλων ἐδέοντο σώζειν σφᾶς.

οἵ γε ὀλίγων μὲν πλείους ὄντες ἢ πεντήκοντα οἱ πρῶτοι ταῦτα βουλεύσαντες ὁμοῦ πρός τε τὴν Λακεδαιμονίαν ἀρχὴν γῆς καὶ θαλάττης οὖσαν, καὶ πρὸς τοὺς ἐν αὐτῇ τῇ πόλει κινδυνεύειν ὑπέστησαν, οἰόμενοι δεῖν ἢ ζῆν ἐν ἐλευθερίᾳ ἢ μὴ προσορᾶν τὸν ἥλιον κακίας μάρτυρα ἑαυτοῖς γενόμενον. ἐνόσησε μὲν γὰρ τῇ τῶν πάντων ἀνθρώπων φύσει, ἰάθη δὲ τῇ ἑαυτῆς, ὥστε καὶ τοῦτο ζῆλον αὐτῇ μᾶλλον ἐνήνοχεν ἢ συμφοράν. κρατήσαντες δὲ εὐψυχίᾳ τοὺς ἐχθρούς, ἐπιεικείᾳ τοὺς οἰκείους ἐνίκησαν. χρησάμενοι δὲ ἀμφοτέροις, καὶ τῇ παρὰ τοὺς ἀγῶνας ἀνδρείᾳ καὶ τῷ μετὰ τὰς πράξεις ἃ δεῖ βουλεύσασθαι, οὕτως ἀνεκτήσαντο τὴν πόλιν. ὥστ' εἴ τις βούλοιτο μὴ πάντα διηγεῖσθαι, ἐνεῖναι κλέψαι τὴν συμβᾶσαν ἐπὶ τοῦ συμφοράν· οὕτως πολέμου ἀκολούθους ταῖς ἄνω πράξεσι τὰς ἐφεξῆς καὶ προείλοντο καὶ κατώρθωσαν.

πόσῃ τινὶ τῇ περιουσίᾳ χρὴ νομίζειν ταύτην ὑπεραίρειν; ὃ δὲ οὐδενὸς ἧττον τῶν ὑπ' ἐκείνων πραχθέντων ἄξιον εἰπεῖν τε καὶ τιμῆσαι· Λακεδαιμονίων γὰρ ἃ τοῖς τριάκοντα ἐδάνεισαν ἐπὶ τὸν δῆμον ἀπαιτούντων, ἐπειδὴ συνέβησαν, συνέτισεν ὁ δῆμος, ἵν' ἔργῳ τὰς συνθήκας βεβαιώσηται. παράδειγμα δὲ ἀνθρώποις τῶν ἐν τοῖς δεινοῖς ἐλπίδων ἐγένοντο. ὁ 662 H.
δῆμος ἤδη συνειλεγμένοι ἅμα τε εἰς χεῖρας παρῆσαν καὶ σχεδὸν εἰς λόγους, ὥσπερ ὑπὲρ ἀλλήλων, οὐχ ὑπὲρ ἑαυτῶν πολεμήσαντες ἑκάτεροι· ὥστε μὴ εἶναι διελέσθαι, πότερον τῶν ἐναντίων ἦν καταρᾶσθαι τὴν στάσιν, ἢ τῶν εὔνων συνεύξασθαι τῇ πόλει τοῦτόν γε λυθεῖσαν τὸν τρόπον. ἐπεὶ δὲ τῆς εἰρήνης ἐμνήσθην, πάλιν ἐνταῦθα ἐπανελθεῖν βούλομαι βραχύ τι. ὥστε καὶ πρώτη τοὺς βαρβάρους καὶ μόνη ἐνίκησε· καὶ σὺν ἄλλοις γεναμένη οὐκ ἔλαττον τοὺς συμπαρόντας ἢ τοὺς ἀντιπάλους ἐνίκα. ὥσπερ οἱ θηρᾶν ἀδύνατοι τὸ ληφθὲν ἀπροσδοκήτως οὐ μεθιᾶσιν, οὐδ' ἂν ἀποδόσθαι τις ἀξιώσῃ, τῆς ἀξίας τιμήσαιντ' ἄν, ἀλλὰ τὴν αὐτῶν ἀδυναμίαν προστιθέντες πλεονάζουσιν. ἡ δέ, οἶμαι, συνειδυῖα ἑαυτῇ κρείττων οὖσα τοῖς ὅλοις, οὐδὲ πώποτε ἐμικρολογήσατο, ἐξ ἴσου τοῖς παροῦσι τὰ ἀπόντα ἐλπίζουσα.

a. 2. θαλάσσης ς. τόπον om A. ἀφορμὴν οὐ παρέχοντος ς. 5. οὕτω — συνεχομένην om A. 7. ὑπὲρ αὐτῶν ἀλλ' οὐ κατ' αὐτῶν A: οὐ κατ' αὐτῶν ἀλλ' ὑπὲρ αὐτῶν ς. 8. διέλαβον] p. 280. 16. ὥστε] p. 281. 21. ἔτι] p. 285. πολεμεῖν ὁμοῦ ἠνάγκασο ς. 23. ἀντήρκεσαν B et corr A. 29. τοιαῦτα add A. 30. τῶν ἐναντίων om A, a correctore habet B. 36. εἰρήνην] p. 286. 39. πολεμίοις] πελοποννησίοις corr B.

b. 2. οἵ γε — 3. πρῶτοι om A, addito δὲ post ταῦτα. est autem p. 287. 4. θαλάσσης ς. 7. ἑαυτοῖς] ἐπ' αὐτοῖς A. ἐνόσησε] p. 288. 9. τοῦτον A. 10. εὐψυχίᾳ B: εὐτυχίᾳ ς. 14. ἐνεῖναι] ἔνιοι corr A. 15. συμβᾶσαν B: σύμπασαν ς. 16. ἀκολούθως ς. 18. πόσῃ — ὑπεραίρειν om A. leguntur autem p. 289. 22. συνεξέτισεν ς. ἵν' corr B, εἰ A. 23. παράδειγμα] p. 287. 24. ἐγίνοντο A. 25. συνειλεγμένος ς. 29. λυθεῖσαν B, λυθησαν A: λυθείσῃ ς. 30. ἐπεὶ] p. 293. 31. ὥστε] p. 294. 32. ἐνίκησε A: νενίκηκε ς. 34. ὥσπερ] οὐχ ὥσπερ B. p. 296.

διὸ πάντα ῥᾷον τοῖς πολεμίοις ἀπέδωκεν ἢ ἐκεῖνοι τὰ σφέτερα αὐτῶν ἀπῄτησαν. ἴσως μὲν οὖν κἀγώ τισιν ἄτοπον ποιεῖν δοκῶ, μεμφόμενος μὲν (τοὺς συγκρίνοντας Ἀθηναίοις Λακεδαιμονίους), αὐτὸς δ᾽ εἰς τοὺς ὁμοίους λόγους προεληλυθώς, καὶ δι᾽ αὐτά γε ταῦτα εἰρηκὼς αὐτούς, δι᾽ ἅ φημι δεῖν μὴ λέγειν. οὐ μὴν ἀλλ᾽ ἐξ αὐτῶν γε τούτων καὶ μάλιστα ἄν τις κατίδοι ὡς οὔτε ἡ χάρις θαυμαστή, ἣν οἴονται τῇ πόλει κατατίθεσθαι, οὔτε ἐξεπίτηδες τά γε τοιαῦτα ἀγωνιστέον, ἀλλὰ κατὰ τὸ πάρεργον οἷον ὥσπερ νῦν ἐγώ. ὥστε εἴ τις ἀξιοῖ καὶ ἡμῖν ἄῤῥητα ταῦτα εἶναι, σχεδὸν τούτου χάριν εἴρηται. καὶ Λακεδαιμόνιοι οἱ τῶν Ἑλλήνων προέχοντες καὶ προκινδυνεύοντες ἐν ταῖς χρείαις παῖδες τῇ πόλει παραβάλλειν εἰσίν. ὥστε ἐβουλόμην ἂν καὶ τὰ τρόπαια ἃ μέλλω λέγειν ἀπ᾽ ἄλλων ὑπάρχειν ἀνακείμενα τῇ πόλει, καὶ μὴ ἀναγκαῖον εἶναι προστιθέναι τοῖς
1228R. πολλοῖς ὅτι ἀπὸ Λακεδαιμονίων. ʺνῦν δὲ αὐτὰ τὰ πράγματα ταύτην ἄγει, ὥστε οὐ τοῦ παρεξετάσαι χάριν εἰρήσεται, ἀλλὰ τοῦ μὴ παντάπασι τὰς πράξεις παρελθεῖν· καὶ γάρ εἰσιν ἃς παρεξέλιπον. δεῖ δέ, ὡς ἔοικεν, οὐ τοῦ τυχόντος δρόμου. καὶ οὐχ ἓν εἶδος εὐεργεσίας ἐπεδείξαντο, ἀλλ᾽ οὐδὲν εἶδος εὐεργεσίας ἀπέλιπον.

περιίσταται δέ με παντοδαπὰ ὥσπερ ἐν συγγραφῇ τῶν αὐτῶν χρόνων, ἃ μὴ ὅτι πάντα διεξελθεῖν εὔπορον, ἀλλ᾽ οὐδενὸς στρατηγοῦ πάντα ἑξῆς. ὧν τί παρεὶς τίνος μνησθῶ; ὃ δὲ δεῖ μάλιστα τῆς ἐκείνων φύσεως ἀγασθῆναι καὶ κρεῖττον ἢ κατὰ ἄνθρωπον ἡγήσασθαι· ἐξὸν γὰρ ἑαυτοῖς ἀκολουθοῦντας ἔχειν Λακεδαιμονίους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἢ περιιδεῖν ἐπὶ κεφαλὴν ὠσθέντας, συμμάχων περιοίκων οἰκετῶν ἁπάντων ἐπανεστηκότων, ἐπὶ τοῖς ἴσοις ἐδέξαντο. καὶ πορευομένης ὥσπερ φλογὸς τῆς Θηβαίων δυνάμεως ἐπὶ τὴν πόλιν τῶν Λακεδαιμονίων καὶ τὰ λοιπὰ τῆς Πελοποννήσου, μόνοι καὶ Ἑλλήνων καὶ βαρβάρων προστάντες ἐκώλυσαν. ἐξ ὧν οὕτως ὑπὸ πάντων ἑωρῶντο, ὥστε καταστῆναι τὴν πόλιν συνέδριον τῆς συμμαχίας ἁπά-
663 H. σης. ἔτι τοίνυν πότερον τῆς πόλεως ἢ ʺτῶν συμβάντων κατηγοροῦσιν; εἰ μὲν γὰρ τῆς πόλεως, οὐδέν, ὡς ἔοικε, τῶν μεγίστων ἐπίστανται, ἀλλ᾽ ἐκπέφευγεν αὐτοὺς ἀφ᾽ ὧν ἡ πόλις γνωρίζεται. εἰ δὲ τὰ συμβάντα μέμφονται, οὐχ ὅμοια τοῖς ἄλλοις, ὡς ἔοικεν, οἷς προείλετο ἡ πόλις νομίζοντες, οὕτω μέμφονται· ὥστε ἐξ ὧν τὸ πρᾶγμα κακίζουσι, τὴν πόλιν ἐγκωμιάζουσι. τότε γὰρ τὰ [μὰ] καὶ πόλεως καὶ ἰδιώτου δείκνυται, ὅταν ἢ μόνα τῷ προσῇ τὰ ὑπαίτια, ἢ πλείω τὰ φαῦλα τῶν ἐπιεικῶν ἐλέγχῃ τις ἢ μείζω· προσκείσθω γάρ. ὅταν δ᾽ ἐξετάζων διὰ πάντων ἑνὸς ἢ δυεῖν λαμβάνῃ, λέληθας ἐπαινῶν οἷς ἀφίης, ἄλλως τε εἰ μηδ᾽ ἰδιώτου ποιῇ τὴν κρίσιν, ἀλλὰ πόλεως, καὶ ταύτης πρεσβυτάτης τῶν Ἑλληνίδων καὶ ᾗ πλεῖστα ὑπάρχει τὰ δέοντα συμβάντα. ἅπασα γὰρ δήπουθεν ἀρχὴ τῶν κρειττόνων ἐστὶ καὶ παρ᾽ αὐτὸν τὸν τῆς ἰσότητος νόμον. εἰ δὲ μή, πῶς ἴσον ἢ ποῦ δίκαιον ἢ φόρους ἐκλέγειν ἀπὸ τῆς ἀλλοτρίας, ἢ νόμους τιθέναι τοῖς οὐδὲν δεομένοις, ἢ κρίνειν τὰ ἐκείνων, ἢ προστάττειν, ἢ πολεμεῖν, ἢ κτᾶσθαι τὰ μὴ προσήκοντα; ὅλως γὰρ οὐδὲν τούτων ἀπὸ τοῦ ἴσου γίνεται. ὥστ᾽ εἴ τις ἀκριβολογεῖται περὶ τῶν δικαίων, καὶ σοφιστὴς εἶναι μᾶλλον βούλεται ἢ τῇ τῶν πραγμάτων φύσει συγχωρεῖν, οὐκ ἂν φθάνοι διαγράφων πάσας ἀρχὰς καὶ δυνάμεις ἁπλῶς, ὡς ἅπαντά γε ταῦτά ἐστιν ἐν τῷ θεσμῷ τοῦ κρείττονος. εἶτα ὑπὸ σοφίας ἄνεισι μέχρι τῶν θεῶν ἐλέγχων, καὶ λέγων ὡς οὐδὲ οὗτοι τοῖς ἀνθρώποις ἐξ ἴσου προσομιλοῦσιν, ἀλλ᾽ ἥρηνται κρείττους εἶναι. ἀλλ᾽ οἶμαι ταῦτ᾽ ἐστὶ γωνίας ἀξίων ἀνθρώπων, καὶ τὸν ἥλιον οὐχ ἑωρακότων, ὃς ἀφαιρεῖται τοὺς ἄλλους ἀστέρας τὸ φαίνεσθαι. εἰ δὲ ἀναγκαῖον τὸ πάσῃ δυναστείᾳ καὶ πάσῃ περιουσίᾳ τὰ τοιαῦτα προσεῖναι, καὶ οὗτός ἐστιν ἀρχῆς θεσμός, μὴ ἀπὸ τοῦ ἴσου πρὸς τοὺς ὑπηκόους κρίνεσθαι, τότε νικῶν ἀπίτω τις, ὅταν δείξῃ τῶν ἄλλων εἴτε Ἑλληνικῶν δυνάμεων εἴτε καὶ βαρβαρικῶν βασιλειῶν ἡντιναοῦν ἐλάττονι τῷ τῆς πλεονεξίας γιγνομένῳ χρησαμένην, ἢ τὸν τῶν Ἀθηναίων δῆμον ἔστιν εὑρεῖν. φανήσεται γάρ, ἃ μὲν διαφερόντως ἐβουλεύσατο, ἑνὸς ἀνδρὸς ἤθει κεχρημένος τοῦ βελτίστου, ἃ δὲ ἐγκαλοῦσί τινες, οὐ τῇ κοινῇ φύσει τῶν ἀνθρώπων ἐξαμαρτών, ἀλλὰ τῇ τῆς ἀρχῆς ἀκολουθήσας ἀνάγκῃ, ʺκαὶ δυνάμει μὲν ἄρχων καταστὰς τὸ ἐξ ἀρχῆς, φιλαν- 1229R.
θρωπίᾳ δὲ τὸ τῆς ἀρχῆς δεδοικὸς ἑκὼν μεθείς, καὶ

a. 2. ἴσως] p. 297. 5. προεληλυθὼς A: παρεληλυθὼς ς. 12. οἱ et καὶ — 13. χρείαις om A. 14. ὥστε] p. 299. 15. ἃ A: ἃ μὴν ς. 17. αὐτὰ] ταῦτα A. 21. καὶ οὐχ] p. 300 extr. 23. περιίσταται] p. 302. με] με τὰ A. 26. ὃ δὲ] p. 303. δεῖ] δὴ A. 30. ὠσθέντας] ὠφθέντας A. ἁπάντων om A. 35. πάντων] πᾶν B. ἑωρῶντο] ἑωρῶντο οἱ ἀθηναῖοι τῶν πελοποννησίων A. 37. ἔτι] p. 304. ἢ τῶν — 38. πόλεως om A.
b. 2. προείλετο] προείληπτο A. 5. καὶ ante πόλεως add A. ἢ μόνα om A. 6. ὑπαίτια A: ἐπάντια ς. 7. προκείσθω A. δ᾽ om A. 9. τε add A. 10. καὶ ταύτης om A. 12. ἅπασα] p. 306. 14. ἐκλέγειν A: ἐκλογεῖν ς. 16. προστάττειν] πράττειν A. 22. κρείττονος B, κηρύττοντος A. 28. πάσῃ δυναστείᾳ A: ἁπάσῃ 30. ἀπίτω A. 34. μὲν] μὲν γὰρ A. 39. δεδοικὸς A: δεδωκὼς ς.

Digitized by Google

σχεδὸν τῶν ἐγκλημάτων αἴτιος αὐτῷ γεγονώς. πλείστῳ γὰρ τῷ κοινῷ καὶ μετρίῳ πρὸς ἅπαντα χρησάμενος, καὶ τρόπον τινὰ τῆς πολιτείας μᾶλλον κοινωνοὺς ποιησάμενος ἢ δυναστείας νόμῳ κατέχων, ταὐτὸν τοῖς χρηστοῖς ἔπαθε τῶν δεσποτῶν· οὐ γὰρ διὰ τὴν ἄλλην ἐπιείκειαν χάριτος παρ' ἐνίων ἔτυχεν, ἀλλ' εἴ τι προσηνάγκασεν, ἐπιφανῶς ἔδοξε βιάζεσθαι. καὶ μὴν εἰ μὲν ἔχοντας τὸ τῶν ὑπηκόων σχῆμα ταῦτα εἰργασμένος φαίνεται, δῶμεν τοῖς ἐθέλουσι βλασφημεῖν· εἰ δὲ τοὺς μὲν ἀποστάντας
664 H. καὶ παρ' ἀξίαν ὑβρίσαντας εἰς αὐτόν, τοὺς δὲ ἐκ τοῦ φανεροῦ πολεμίους ὄντας, ποτέροις ἄξιον ἐγκαλεῖν; οἶμαί γε τοῖς τὴν ἀνάγκην παρασχοῦσιν. ἐπεὶ κἀκεῖνοί μοι δοκοῦσιν ὥσπερ ἐνέχυρον αὐτὸ τοῦτο ἔχοντες ἐπαρθῆναι, καὶ τούτῳ μάλιστα πιστεύσαντες ἁμαρτεῖν, οὐ τῷ διὰ τέλους κρατήσειν τῆς πόλεως, ἀλλὰ τῷ μηδ' ἂν ληφθῶσι μηδὲν δεινὸν πείσεσθαι, ὡς Ἀθηναίους γε πεφυκότας σώζειν. δῆλον δέ· ἃ γὰρ περὶ Μιτυληναίων μετέγνωσαν, τίς ἔχει νικῆσαι πόλις οἷς ἐξ ἀρχῆς ἐβουλεύσατο; ἐκεῖνοι γὰρ ἃ μὲν τῇ προτεραίᾳ διέγνωσαν, τῆς κρίσεως ἦν καὶ ὧν ἠδίκηντο· ἃ δὲ τῇ ὑστεραίᾳ μετέγνωσαν, τῆς πόλεως ἦν μόνης. καὶ ἡ τριήρης τὴν τριήρη κατειλήφει. θαυμάζω δὲ εἰ τῶν μὲν ἰδιωτῶν τὴν ἔργῳ πάντες ἀπολογίαν τιμῶσι, τῆς πόλεως δὲ οὐχ ὁρῶσιν οἱ σεμνοὶ τὰ ἔργα, δι' οἵων καὶ ὅσων ἀπολελόγηται περὶ τούτων. καὶ ἡλίου μὲν καὶ σελήνης οὐχ ὅσα βλάπτουσι κατηγοροῦμεν, ἀλλ' ὅσων ἀγαθῶν αἴτιοι γίνονται θαυμάζομεν· τὴν πόλιν δ' ἐξ ὧν ἐνίοις προσέκρουσεν, ἀλλ' οὐκ ἐξ ὧν ἅπασιν ὡμίλησεν οὐδ' ἐκ τῆς ὅλης φύσεως κρινοῦμεν; οὐκ οἴομαί γε· ὥσπερ ἂν εἴ τις καὶ τῶν θεῶν κατηγοροίη τοὺς σκηπτοὺς καὶ τὰς βροντάς, κἂν εἴ τι σεισθῇ, τὰς ὅλας καὶ κοινὰς αὐτῶν εὐεργεσίας ἀμελήσας σκοπεῖν. ἔχων δὲ πολλὰ καὶ τῶν ὕστερον εἰπεῖν, καὶ μάχας ἀτόπους καὶ τολμήματα θαυμαστὰ καὶ καρτερίας ὑπερφυεῖς, οὐκέθ' ὁρῶ τὸν καιρὸν ἀρκοῦντα. τοσοῦτον δ' ἔτι προσθεὶς τοῖς περὶ τούτων λόγοις ἀπαλλάττομαι. ὥσπερ γὰρ προειδυῖα ἐξ ἀρχῆς ἡ φύσις περὶ τῆς πόλεως, ὅσον τοῖς ἔργοις προέξει τῶν ἄλλων, κατεσκευάσατο αὐτῇ πρὸς ἀξίαν τοὺς λόγους, ἵνα αὐτή τε κοσμοῖτο ὑπὸ τῶν ἑαυτῆς ἀγαθῶν, κἂν τισι τῶν ἄλλων δέῃ, καὶ τοῦτ' ἔχῃ μετὰ τῶν ἄλλων χαρίζεσθαι. πρότερον μὲν οὖν τοὺς καταφεύγοντας ἐφ' ὑμᾶς τῶν Ἑλλήνων διεσώζετε· νυνὶ δ' ἀτεχνῶς πάντας ἀνθρώπους καὶ πάντα γένη τῇ καλλίστῃ τῶν εὐεργεσιῶν ἀνέχετε, ἡγεμόνες παιδείας καὶ σοφίας ἁπάσης γινόμενοι. ἀλλὰ μὴν πέντε μὲν ἔστι μνήμῃ βασιλειῶν· μὴ γένοιτο δὲ πλειόνων. τούτων δ' ἐπὶ μὲν τῆς Ἀσσυρίων τῆς πρεσβυτάτης αἱ πρῶται τῆς πόλεώς εἰσι πράξεις, καὶ ὅσα τῶν θείων εἰς τοῦτον ἐμπίπτει τὸν χρόνον· ἐπὶ δὲ τῆς δευτέρας ἤρετο ἡ πόλις· τὴν δὲ τρίτην διὰ τέλους ἐνίκησεν· ἐν δὲ τῇ τετάρτῃ μόνη μὲν ἀντέσχεν, ἄριστα δ' ἀπήλλαξε τῶν ἄλλων· ἐπὶ δὲ τῆς πάντα ἀρίστης καὶ μεγίστης, τῆς νυνὶ καθεστηκυίας, τὰ πρεσβεῖα παντὸς ἔχει τοῦ Ἑλληνικοῦ, καὶ πέπραγεν οὕτως ὥστε μὴ ῥᾳδίως ἄν τινα αὐτῇ τὰ ἀρχαῖα ἀντὶ τῶν παρόντων συνεύξασθαι. γνοίη δ' ἄν τις ὅσον τῇ πόλει περίεστιν ἐκ τοῦ παντὸς αἰῶνος, εἰ 1232 R.
τὰ ὑπάρχοντα αὐτῇ, πάντα μὲν οὐκ ἴσως δυνατόν, μᾶλλον δὲ σαφῶς ἀδύνατον, ἀλλ' ὅσα γε ἐγχωρεῖ, μερίσας, ἄλλο ἄλλῃ πόλει καὶ χώρᾳ προσθείς, εἶτα ἀγῶνα τῷ λόγῳ ποιήσειε καθάπερ ποιητῶν ἢ χορῶν. οὐ γάρ μοι δοκεῖ τὴν νικῶσαν εὑρεῖν ἂν ῥᾳδίως. οἷον εἰ φιλοτιμοῖτο ἡ μὲν ὡς πρώτη τεκοῦσα τὸ τῶν ἀνθρώπων 665 H.
γένος, ἡ δὲ ὡς πρώτη δείξασα τοὺς καρπούς, ἡ δὲ ὡς πλείστοις μεταδοῦσα, ἡ δέ τις ὡς νόμους καταδείξασα, ἡ δὲ πανηγύρεις, ἡ δὲ ὡς ἐν καλλίστοις κεῖται γῆς ἅμα καὶ θαλάττης, ἡ δὲ τοῖς τῆς σοφίας ἀγαθοῖς ἀγάλλοιτο, ἡ δὲ τὰς ἐν τοῖς πολέμοις πράξεις καταλέγοι, ἄλλη δὲ ὅσους ὑπεδέξατο τῶν Ἑλλήνων, ἡ δὲ τὰς ἀποικίας ἃς ἀπέστειλεν, ἡ δὲ ὅ τι καὶ δοίη τις αὐτῇ τῶν ὑπαρχόντων τῇ πόλει, φήμ' ἔγωγε μάλιστ' ἂν οὕτω γενέσθαι καταφανὲς ὁπόσοις τισὶ τοῖς κρείττοσιν ἡ πόλις ἡμῖν τὰς ἄλλας παρελήλυθεν. ἃ γὰρ ἐξαρκεῖ νειμαμένη τῇ Ἑλλάδι, ταῦτα μόνη συλλήβδην ἔχει. καὶ μὴν τῶν γε δωρεῶν ὡσαύτως τὴν μεγίστην οὐ ῥᾴδιον εὑρεῖν, ἁμιλλάσθω δὲ καὶ περὶ τούτων ἄλλη πρὸς ἄλλην πόλις, ἡ μὲν τοὺς Δήμητρος καρποὺς κομίζουσα, ἡ δὲ τοὺς τοῦ Διονύσου, καὶ τούτους οὐ μόνον τοὺς ἀπὸ τῆς ἀμπέλου, ἀλλὰ καὶ τῶν ἄλλων ἡμέρων· ἡ δὲ τρίτη λεγέτω τὴν τῆς Ἀθηνᾶς δωρεάν, καὶ ταύτην διπλῆν. ἆρ' οὐ πολ-

a. 1. αὐτῷ A: καὶ αὐτῷ ς. 7. μὴν] τὴν A. 12. γε om A. κἀκεῖνοί A: κἀκεῖνό ς. 14. τούτῳ] τοῦ A. οὐ τῷ] οὕτω A. 15. κρατῆσαι A. 18. ἐβουλεύσαντο A. 22. μὲν om B. 23. δὲ om A. τὰ ἔργα om A, ante οἱ σεμνοὶ ponit corr B. 24. ἀπολογεῖται A. 25. ἥλιον — σελήνην A. 26. γίνονται om A. 28. κινοῦμεν B. 29. ἂν εἴ τις καὶ τῶν θεῶν] καὶ τῶν θεῶν εἴ τις ἂν A. 30. κἂν εἴ τι σεισθῇ om A. 31. ἀμελήσας] ἀμελὴς A, ἀμελεῖ B. ἔχων] p. 311. 34. δ' ἔτι A: δέ τι ς. 35. ὥσπερ] p. 317. 36. προέξει τοῖς ἔργοις ς.
b. 5. ἀλλὰ] p. 320. εἰσὶ μνῆμαι ς. 14. πέπραχεν A. 19. ἄλλο B: ἄλλος ς. 20. ποιήσει A, ποιήσοι B. καθάπερ] ἔνθαπερ A. χωρῶν A. 21. ἂν om A. 24. ἡ δέ τις — 25. πανηγύρεις om A. 26. θαλάσσης A. 28. δὲ ante ὅσους om A. 32. ἡμῖν] ὑμῶν B. 33. καὶ μὴν] p. 322. 34. ὡσαύτως om A. 36. τοὺς A: τῆς ς.

λαῖς πόλεσι μεριζόμενα ἐξαρκεῖ τὰ ἐκ τῶν θεῶν ἑκάστῃ φιλοτιμεῖσθαι ὡς ἐχούσῃ τὸ κάλλιστον; εἶεν. ἀλλὰ ταῦτα μὲν τοιαῦτα. τὰ δ' αὖ τοῦ μεγέθους καὶ τῆς ἄλλης κατασκευῆς τίς ἂν οὐκ ἄξια τῆς ὅλης τύχης εἴποι καὶ τοῦ μεγάλου τῶν Ἀθηναίων ὀνόματος; τοῦτο μὲν αὐτὸν τὸν κύκλον τοῦ ἄστεως, μέγιστον μὲν τῶν Ἑλληνικῶν, κάλλιστον δὲ τῶν πανταχοῦ. καὶ σιωπῶ τείχη καθήκοντά ποτε ἐπὶ τὴν θάλατταν, ἡμερησίας ὁδοῦ μῆκος τὰ σύμπαντα, καὶ πρὸς τῇ θαλάττῃ κύκλους ἑτέρους ἀντιστρόφους τῶν περὶ τὴν πόλιν. ἀλλὰ τοὺς δήμους πάρεστι δήπου θεωρεῖν, ὧν ἔνιοι λαμπρότεροι τῶν ἀλλαχοῦ πόλεών εἰσι κατεσκευασμένοι, καὶ πάντα δὴ τὸν κόσμον καὶ τὸν παρὰ τῆς φύσεως καὶ τὸν παρὰ τῆς τέχνης ἐφάμιλλον κἂν τῇ πόλει κἂν τῇ χώρᾳ. τῶν μὲν αὐτοφυῶν ἀήρ τε οὗτος ἐξαίρετος τοῦ πολλοῦ, καὶ λιμένες τοσοῦτοι, ὧν εἷς ἕκαστος ἀντάξιος πολλῶν, ἔτι δὲ αὐτῆς τῆς ἀκροπόλεως ἡ θέσις, καὶ τὸ ὥσπερ αὔρας εὔχαρι προσβάλλον πανταχοῦ. ὃ δὲ καὶ ἐν αὐτοῖς τούτοις ἄξιον ἐπισημήνασθαι· ταῖς μὲν γὰρ ἄλλαις πόλεσιν, ὅπως ἂν ἔχωσι τοῦ οὐρανοῦ, τῆς γε αὐτῶν χώρας ἐπιεικῶς ἡττᾶσθαι συμβέβηκε· τοῦ δὲ τῆς πάσης Ἀττικῆς ἀέρος οὕτως ἔχοντος, ἄριστος καὶ καθαρώτατός ἐστιν ὁ τῆς πόλεως ὑπερέχων. γνοίης δ' ἂν αὐτὴν ἐπὶ τῇ πόῤῥωθεν ὥσπερ αὐγῇ τῷ ὑπὲρ κεφαλῆς ἀέρι. καὶ τὰ μὲν παρὰ τῆς φύσεως τοιαῦτα, πολλὰ τῶν ὄντων ἀφελόντι· τῶν δ' αὖ τῆς τέχνης τί χρὴ πρῶτον εἰπεῖν ἢ μέγιστον θεῖναι; νεῴ τε γὰρ ἐνταῦθα οἱ αὐτοὶ μέγιστοι καὶ κάλλιστοι τῶν πανταχοῦ, καὶ ἀγάλματα, ἄνευ τῶν οὐρανίων, τῆς πρώτης τέχνης τὰ πρῶτα, καὶ παλαιὰ καὶ καινά. πρὸς δὲ τούτοις βιβλίων ταμιεῖα, οἷα οὐχ ἑτέρωθι γῆς φανερῶς, καὶ μάλα τῶν Ἀθηναίων κόσμος οἰκεῖος, καὶ οἷα δὴ τῆς παρούσης ἐξουσίας καὶ διαίτης, λουτρά τε σεμνότητι καὶ
666 H. τρυφῇ νικῶντα "καὶ δρόμοι καὶ γυμνάσια. ὥστε εἴ τις περιέλοι τῆς πόλεως τοὺς Ἐριχθονίους, τοὺς Κέκροπας, τὰ μυθώδη, τὰ τῶν καρπῶν, τὰ τρόπαια τὰ ἐν τῇ γῇ καὶ τῇ θαλάττῃ, τοὺς λόγους, τοὺς ἄνδρας, πάντα δι' ὧν τὸν αἰῶνα διεξελήλυθε, σκοποῖτο δ' αὐτὴν ὥσπερ τὰς νῦν φρονούσας ἐφ' ἑαυταῖς, ἐξαρκεῖν αὐτὴν τοῖς ὁρωμένοις νικᾶν. "ἀλλὰ μόνη δὴ πόλεων τὰ μὲν 1233 R.
παλαιὰ τοῖς παλαιοῖς νικᾷ, τὰ δὲ καινὰ τοῖς καινοῖς εἰ δὲ βούλει, τὰ μὲν παλαιὰ τοῖς καινοῖς, τὰ δὲ καινὰ τοῖς παλαιοῖς, τοῖς ἑαυτῆς λέγω τὰ ἄλλων.

**ὅτι πολλάκις σχηματίζεται. σχηματίσαις δ' ἂν τὸ χωρίον μεταλαμβάνων καὶ οὕτω. τὰ μὲν παλαιὰ τοῖς παλαιοῖς νικᾷ, τὰ δὲ καινὰ τοῖς παλαιοῖς. μᾶλλον δὲ ἀντὶ τοῦ „εἰ βούλει" καὶ ἑξῆς, καὶ ἔτι τὰ μὲν παλαιὰ τοῖς παλαιοῖς νικᾷ, τὰ δὲ καινὰ τοῖς καινοῖς. εἶτα, πῶς εἶπον; ἀλλὰ καὶ τὰ παλαιὰ τοῖς καινοῖς καὶ τὰ καινὰ τοῖς παλαιοῖς. ἔτι δὲ εἴποι δ' ἄν τις ἄμεινον, ἢ διέλοι δ' ἄν τις οἰκειότερον λέγων, ἢ οὐκ ἂν διαμάρτοις, καὶ πολλαχῶς ἄλλως.**

ὡς δ' εἰπεῖν, ἅπαντα ἢ παρ' ὑμῖν ἐστὶ μόνοις ἢ καὶ παρ' ὑμῶν. καὶ τριῶν ἕν γέ τι συμβέβηκε· τὰ μὲν γὰρ παρ' ὑμῶν ἤρξατο, τὰ δὲ ὡς κάλλιστα παρ' ὑμῖν ἐστί, τὰ δ' ὡς πλεῖστα. εἰσὶ τοίνυν οἱ μηδὲν ἔχοντες φανερὸν δεῖξαι μηδὲ εἰπεῖν ἔργον ἑαυτῶν, μηδὲ ἐφ' ὅτῳ ἂν δικαίως φρονοῖεν, ἐπὶ τοὺς Τρωϊκοὺς καταφεύγουσι χρόνους καὶ φιλοτιμίας ἀμφισβητοῦσιν, οὐδ' οὕτω λέγοντες οὐδὲν κοινὸν ἑαυτῶν, ἀλλ' ἑνὸς ἀνδρὸς δόξης ἐξαρτώμενοι, ὥσπερ τινὲς γεωπεῖναι δι' ἑνὸς τῶν πλουσίων ἑαυτοὺς ποιούμενοι. ἡ πόλις δὲ πρὸς τῷ μηδὲν δεῖσθαι τοιαύτης καταφυγῆς, οὐδὲ τούτου στέρεται τοῦ ἡδύσματος, ἀλλ' ὁ κοινὸς τῶν Ἑλλήνων ποιητὴς ἐν τῷ καταλόγῳ τῶν νεῶν τε καὶ πόλεων τὸν Ἀθηναίων στρατηγὸν εἰς ἄκρον φησὶν ἐλθεῖν κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας. (εἰς Μενεσθέα Ἀλέξανδρον ἀποτείνεται.)

εἰ γὰρ δεῖ τῶν ἄλλων ἀποστάντα ὑπὲρ τῆς δημοκρατίας μόνης εἰπεῖν, φανήσονται τοῖς μὲν βουλήμασι καὶ ταῖς ἐπιθυμίαις πολλῷ προπετέστεροι καὶ ὑβριστότεροι πάντες οἱ τοῦ σχήματος τούτου μετασχόντες, τῷ δ' ἀξιώματι καὶ τῇ λαμπρότητι μηδὲ τοῖς ἀπὸ τῆς πόλεως γεγενημένοι. καὶ μὴν ἐκεῖνό γε ἡ πόλις πρώτη κατέδειξε, μὴ τίθεσθαι πλούτῳ μηδὲ θαυμάζειν. οὔτε γὰρ τοὺς ὑπερέχοντας ταῖς οὐσίαις οὐδεπώποτε ἐπῆρεν, ἀλλ' ὅσον μὴ ἀδικεῖσθαι διὰ τοῦτο, τοσοῦτον αὐτοῖς ἠξίου παρ' αὐτῆς ὀφείλεσθαι· οὔτε τοῖς ἀρετῇ μὲν ὑπερφέρουσι χρήμασι δ' ἡττωμένοις οὐδαμοῦ πώποτε ἔλαττον ἔνειμεν,

a. 2. εἶεν — 3. τοιαῦτα om *A*. leguntur p. 326. 6. ἄστεος *B*ς. 7. καὶ add *A*. 8. ἡμερησίας — 9. σύμπαντα om *A*. 10. δήμους *A*: δόμους ς. 11. ὧν] ὡς *A*. λαμπρότερον *B*: λαμπρότεροι ς. 12. κατεσκευασμένοι εἰσὶν *A*. 19. γὰρ om *A*. 20. οὐρανοῦ] ἀνθρώπου *A* et pr *B*. 21. τῆς om *A*. 23. γνοίης — 24. ἀέρι om *A*. 24. παρὰ om *A*. 26. χρὴ om *A*. θεῖναι] εἶναι *A*. 27. ἐνταῦθα om *A*. 30. ταμεῖα ς. 32. ἐξουσίας τε καὶ ς. 36. καὶ τῇ] τὰ ἐν τῇ *A*. 37. διεξῆλθε *B*.

b. 1. ἀλλὰ μόνη δὴ] μόνη δὲ *A*. sunt p. 328. 4. τὰ] τῶν *A*. 5. ὅτι — 12. ἄλλως om *B*. 11. ἢ διέλοι — λέγων om *A*. 12. ἄλλως *A*: ἄλλους ς. 13. ὡς] p. 334. δ' ἂν εἰπεῖν ς. ἐστὶ καὶ μόνοις ς. 23. καταφυγῆς] κατασκευῆς *A*. 26. φησὶν] ἔφησεν *A*. 27. εἰς — ἀποτείνεται om *A*. 28. εἰ γὰρ] p. 338 extr. 29. μόνης] μόνον *B*. 30. ὑβριστικώτεροι *B*. 36. ἠξίου παρ' αὐτῆς om *A*. 37. ἀφείλεσθαι *A*. 38. ἡττημένοις *A*. ἔλαττον] τὸ ἔλαττον *A*.

Digitized by Google

αἰσχρὸν οἶμαι νομίζουσα τῶν μὲν οἰκετῶν οὐ τοὺς εὐπορωτάτους ἀλλὰ τοὺς πιστοτάτους βελτίστους νομίζειν, τῶν δὲ ἐλευθέρων φασκόντων εἶναι τὴν ἀξίαν ὡρίσθαι χρήμασιν, ἀλλὰ μὴ ὁποῖός τις ἂν αὐτὸς ἕκαστος ᾖ, τοιοῦτον καὶ νομίζεσθαι. ἐμοὶ μὲν οὐδὲ πένταθλοι δοκοῦσιν οἱ πάντα νικῶντες τοσοῦτον τοῖς πᾶσι κρατεῖν.

H. "πράγματα εἶπεν ἀντὶ προσώπου· δέον γὰρ εἰπεῖν οἱ τοὺς πεντάθλους νικῶντες, ὁ δὲ εἶπεν οἱ πένταθλοι. ἀντὶ τοῦ ἄθλους ἔχων πέντε ἀγωνίσματα, πάλην, δρόμον, ἀκόντιον, δίσκον, παγκράτιον. ἢ ἀντὶ τοῦ οἱ ε' ἀγωνιζόμενοι. ἢ οἱ ἐν τοῖς πέντε ἀγωνίσμασι νικῶντες. οὐχ ὅτι δὲ οἱ πένταθλοι πάντα νικῶσιν· ἀρκεῖ γὰρ αὐτοῖς τρία τῶν πέντε πρὸς νίκην. λέγεται δὲ Πηλεύς, ὅτε ἦν μετὰ τῶν Ἀργοναυτῶν, τοῦτον θεῖναι τὸν ἀγῶνα πρῶτος· τὰ δὲ πέντε ἆθλα ἦν ἃ προείρηται. οἱ δὲ ἀντὶ τοῦ παγκρατίου τὸ ἅλμα συναριθμοῦσι.

καὶ τίς δήμων αὐτοῦ ὀξύτερος καὶ πρᾳότερος; ἢ
363. τίνες δημαγωγοὶ μᾶλλον ἄξιοι θαυμάσαι; "αἰετόν τε ἐν νεφέλαις αὐτὴν ὁ θεὸς καλεῖ πρὸς τὰ ἄλλα πολίσματα. μόνη δ', ὡς ἔοικε, ταύτῃ πόλεων δύο τἀναντία συμβέβηκε· πλεῖστά τε γὰρ καὶ κάλλιστα ἀνθρώποις εἴρηται περὶ ταύτης, καὶ οὐκ ἔστιν ἥτις ἐλαττόνων τετύχηκε. πρὸ μὲν γὰρ τῶν ἄλλων τεθαύμασται, ἄξιον δ' αὐτῆς οὐδὲν ἤκουσε. πρότερον μὲν οὖν ἠγάμην ἀκούων τὸ τῆς σοφίας πρυτανεῖον καὶ τὴν τῆς Ἑλλάδος ἑστίαν καὶ τὸ ἔρεισμα, καὶ ὅσα τοιαῦτα εἰς τὴν πόλιν ᾖδετο· νῦν δέ μοι δοκεῖ ταῦτα πάντα εἴσω πίπτειν. ἀλλ' εἴ τινα χρὴ πόλιν θεῶν ὕπαρχον ἢ συγγενῆ προσειπεῖν, ἢ τῆς φύσεως τῆς ἀνθρωπείας εἰκόνα καὶ ὅρον, ἥδ' ἄν μοι δοκεῖ δικαίως κληθῆναι. ἀνθ' ὧν, ὦ ἄνδρες Ἕλληνες, οὔτε φθόνον εἰκὸς ἔχειν τῇ πόλει οὔθ' ὑποχωροῦντας αἰσχύνεσθαι, ἀλλὰ συναύξειν ἐκ τῶν ἐνόντων καὶ φιλοτιμεῖσθαι. τῶν γὰρ Ἀθηναίων νικώντων παρ' ὑμῖν ἐστι τὸ νικᾶν. πάντας μὲν γὰρ πάντων ἂν εἶναι ἀρίστους ἀδύνατον· ὥσπερ δὲ ὅταν στρατηγὸς προέχῃ, μετέχει τῆς δόξης ἡ πόλις, οὕτω τῆς ἡγουμένης πόλεως τὰ εἰκότα τιμωμένης ἅπασι μέτεστι τῆς φιλοτιμίας. οἶμαι δ' οὐδ' αὐτοῖς Ἀθηναίοις φέρειν αἰσχύνην, ἄν τις αὐτοῖς πρεσβεύῃ τὴν ἀκρόπολιν.

ἀντὶ τοῦ τιμιωτέραν καὶ ἐνδοξοτέραν τῆς πάσης Ἀττικῆς εἴ τις λέγοι τὴν ἀκρόπολιν.

χρὴ τοίνυν καὶ ὑμᾶς ὥσπερ ἀκρόπολίν τινα ἢ κορυφὴν νομίσαντας τῆς Ἑλλάδος καὶ τῶν ὁμοφύλων τὴν πόλιν, καὶ ἔργῳ καὶ λόγῳ κοσμεῖν, καὶ μετέχειν τῆς δόξης ἀλλ' οὐκ ἀποστερεῖσθαι νομίζοντας. εἴργασται καὶ ἡμῖν ὁ λόγος ἀντὶ τοῦ πέπλου κόσμος Παναθηναίων τῇ θεωρίᾳ· δοῦναι δὲ χάριν τῆς αὐτῆς θεοῦ, ἧσπερ καὶ ὁ λόγος καὶ ἡ πόλις.

247.

Ἀνεγνώσθησαν τοῦ αὐτοῦ πρὸς Πλάτωνα ὑπὲρ ῥητορικῆς λόγοι τέσσαρες, τὴν αὐτὴν τῷ προειρημένῳ παρεχόμενοι χρείαν.

Οἶμαι δεῖν, ὅστις μέλλει τὰ δέοντα ἐρεῖν ἢ ψήφου κύριος ὀρθῶς ἔσεσθαι, μὴ τοῦτο σκοπεῖν μηδὲ βασκαίνειν, εἴ τινι τῶν πρότερον καὶ δόξαν ἐχόντων ἑτέρως εἰρῆσθαι περὶ τῶν αὐτῶν συμβέβηκεν, ἀλλ' οὗ πανταχοῦ πλεῖστον εἰκός ἐστι λόγον εἶναι, τοῦτο κἂν τῷ παρόντι ζητεῖν, ὁποτέρωθι τἀληθές, καὶ τοῦτο συμβούλεσθαι νικᾶν. ἄτοπον γὰρ ἐν μὲν ταῖς ἐκκλησίαις μὴ τὸν πρῶτον εἰπόντα πιστεύεσθαι, μηδὲ ἐν τοῖς δικαστηρίοις, ἀλλὰ τοῦτό γε εὖ εἰδέναι πάντας, ὅτι εἰ ταύτῃ ταῦτα κριθήσεται, τῶν φευγόντων οὐδεὶς ἀποφεύξεται· πάντες γὰρ δήπου ὕστεροι τοῦ διώκοντος λέγουσιν· "ἐν δὲ τοῖς λόγοις 668 H.
αὐτοῖς καὶ τῇ περὶ τούτων κρίσει τοὺς τῷ χρόνῳ προλαβόντας κρατεῖν, ἀλλὰ μὴ τοὺς ἀποδείξοντας περὶ ὧν ἀγωνίζονται. καίτοι πῶς οὐκ ἀλογία πολλὴ τοὺς μέν, ἃ τῆς τοῦ σώματος τύχης ἔχεται, μελετῶντας ἢ τιμῶντας οὕτω σφόδρα καὶ πρότερον τὸ τοῦ λόγου καλὸν καὶ δίκαιον τετιμηκέναι,

ἤτοι τῆς εὐταξίας, ἐπειδὴ πᾶν τὸ εὔτακτον κατὰ λόγον γίνεται, τὸ δὲ ἄτακτον ἀλόγως.

τοὺς δ' ἐπὶ τῶν λόγων ἀνέχοντας, καὶ χωρὶς τῆς ἐν τούτοις διατριβῆς οὐδ' ἂν ζῆν δεξαμένους "οὕτως ἀργῶς; μᾶλλον δὲ ἀδίκως ἔχειν, ὥστε ἑνὶ πιστῷ 1237 R.
χρῆσθαι περὶ ἁπάντων, ἄν τις φθάσῃ γενόμενος, καὶ τὰ ὀνόματα ἀντὶ τῆς ἀληθείας θαυμάζειν αἱρεῖσθαι, ὥσπερ νομίσαι δέον, οὐχ εὑρεῖν τὸ βέλτιον, καὶ τοὺς μὲν νόμους

a. 4. αὐτὸς A: αὐτῶν ς. 5. καὶ add A. ἐμοὶ] p. 341. 7. πράγματα — 15. συναριθμοῦσιν om B: πράγματα — 8. πένταθλοι om A. 8. ἀντὶ — 9. ἀγωνίσματα add A. 13. ἀργοναυτῶν A: ἀργείων αὐτῶν ς. 16. αὐτοῦ B et corr A: αὐτὸς ς. 17. αἰετόν] p. 342. 20. ἀνθρώποις om A. 22. αὐτῆς om A. 23. ἀκούων post πρυτανεῖον ponit A. 27. ὑπάρχων A 28. δοκεῖ corr B. 32. ἡμῖν ς. 37. πρεσβεύοι A.
b. 1. ἀντὶ — 2. ἀκρόπολιν om B. 2. λέγει ς. 3. χρὴ — 9. πόλις om A. 11. Ἀνεγνώσθησαν τοῦ αὐτοῦ] ἀνεγνώσθη τῶν ἀριστείδου A. 14. οἶμαι] p. 3. 15. ὀρθῶς ἔσεσθαι om A. 19. συμβούλεσθαι B, συμβουλεύεσθαι A. 24. δήπουθεν A. 27. καίτοι] p. 5. 31. ἤτοι — 32. ἀλόγως om A. 33. τῶν A: τὸ τῶν ς. et B quoque ante τῶν habet nescio quid a τ̄ incipiens. 36. πάντων A. 37. ἠρῆσθαι A.

αὐτούς, ἂν συμφέρῃ, κινεῖν, τοὺς δὲ περὶ τῶν ἀεὶ μενόντων τῇ φύσει λόγους ἐπὶ τοῖς πρώτοις μὴ δέχεσθαι, ἀλλ' ὥσπερ ὅρους ἢ στήλας τοὺς προκατεσχηκότας πρεσβεύειν, καὶ ταῦτα οὐ λύειν ὥσπερ ἐν τοῖς νόμοις τοὺς προτέρους διὰ τῶν ἐναντίων δέον, ἀλλὰ τῆς αὐτῆς χώρας καὶ ἑτέρους ἀξιοῦν αὐτοῖς, καὶ τοῖς μὲν ὅρκοις τοῖς κοινοῖς προσπαραγράφειν ἐξεῖναι ἀνελεῖν καὶ προσθεῖναι ὅ τι ἂν σκοπουμένοις ὕστερον συνδοκῇ, οὓς δὲ ἀπὸ τῆς αὐτῆς ἐξουσίας ἀεὶ καὶ διὰ παντὸς ἐξετάζειν δεῖ λόγους, τῷ παρελθόντι χρόνῳ μόνῳ προσθεῖναι, ὥσπερ ἂν εἴ τις καὶ ὑγιαίνειν φάσκοι χρῆναι μόνους τοὺς πρώτους γενομένους, καὶ μηδὲ ἐκεῖνο ὁρᾶν, ὅτι ἡ τοιαύτη κρίσις καὶ ὁ λογισμὸς ὁ τοιοῦτος αὐτοῖς πρώτοις οὓς τιμῶσιν οὐ λυσιτελεῖ. εἰ γὰρ τῷ χρόνῳ δεῖ συγχωρεῖν καὶ τὴν ἀξίαν ἀπὸ τούτου μετρεῖν, οὐκέτ' ἔχει τόπον ἡ νῦν παρὰ πάντων εἰς ἐκείνους αἰδώς. Ἴασος γὰρ ἂν οὕτω γε νικῴη περὶ λόγους, καὶ Κρίασος καὶ Κρότωπος καὶ Φορωνεύς, καὶ εἴ τις Ἀργεῖος ἐκ μύθου καὶ Δευκαλίων αἰπιῶν βεβοημένων. ἐὰν οὕτω κρίνωμεν, ὡς οὐ Κόδρῳ γε μετέσται τῆς φιλοτιμίας, ἀλλὰ καὶ οὗτος παῖς οἷς εἶπον συμβαλεῖν καὶ οὐκ ἀρχαῖος· καὶ κατὰ μικρὸν οὕτω ζητήσομεν εἴ τις ἦν πρὶν σελήνην εἶναι. Ὁμήρου δὲ καὶ Ἡσιόδου καὶ τῶν εἰς ἡμᾶς νενικηκότων, Πλάτωνος (εἰ βούλει) καὶ Δημοσθένους καὶ τῶν ὀλίγον πρὸ τούτων οὐδ' εἰς πολλοστὸν χρόνον ἐλπὶς ὁμοίαν ἐγγενέσθαι δόξαν, συμπροϊόντος ἴσου τοῦ πρὸ αὐτῶν ἐκείνοις ἀεί. εἰ δὲ τοῦτο εὔδηλον ἅπασιν, ὅτι καὶ οὗτοι φύσει καὶ δυνάμει διενεγκόντες τοὺς πρὸ αὐτῶν ἀπέκρυψαν, οὐδὲ τοὺς ὕστερον παντάπασιν ἅπαντας ἀπείργειν εἰκός, οὐδ' ἀπιστεῖν, εἴ τις καὶ τοῦ νυνὶ χρόνου μετεσχηκὼς ἔχει συμβαλέσθαι γνώμην περὶ ὧν πρόκειται λόγος, ἀλλὰ παρ' αὐτῶν, ὡς ἔοικεν, ὧν τιμῶμεν ὑπάρχειν εἰδότας τὸ προσίεσθαι καὶ προσέχειν ὁπόσον διαφέρει. ἅπαντας μὲν οὖν ἴσως τοὺς παλαιοὺς αἰδεῖσθαι μὲν δίκαιον, φρίττειν δ' οὐκ ἄξιον, εἴπερ μὴ τοὺς ἐπὶ τοῖς λόγοις ὀνομασθέντας μᾶλλον ἢ τοὺς λόγους αὐτοὺς δεῖ δοκεῖν τιμᾶν· ὅτι δ', εἰ πρὸς ἄλλον τινά, χρὴ γνώμης οὕτως ἔχειν καὶ πρὸς Πλάτωνα, οὐκ ἄλλου δέομαι μάρτυρος, ἀλλ' αὐτὸς ἐξαρκεῖ,
669 H. οὐ μόνον οἷς ἁπανταχοῦ βοᾷ καὶ παρακελεύεται "μηδὲν πρότερον ποιεῖσθαι τῆς ἀληθείας, ἀλλὰ καὶ ὀλίγῳ τῷ παραδείγματι. εἰ γὰρ ἐκεῖνος Ὁμήρῳ τῷ τοσοῦτον πρὸ αὐτοῦ περὶ πολλῶν ἐπιτιμῶν οὐκ ἀπεστέρηται λόγου, ἀλλ' ἔχει πρὸς τοὺς ἀγανακτοῦντας ὅ τι εἴπῃ, κατ' αὐτόν, ὡς ἔοικε, Πλάτωνα καὶ τοὺς ἐκεῖνον ἐπαινοῦντας καὶ πάσης αἰτίας ἀφιέντας ἔστι, κἂν ἄλλος τις ἐκείνῳ δοκῇ τι λέγειν ὑπεναντίον, τολμᾶν ἀκροάσασθαι μήπω τοῦτο ἔγκλημα ποιουμένους, ἀλλ' ἐὰν τοῖς περὶ τῶν πραγμάτων λόγοις ἀπολειφθῇ. καὶ γὰρ ἂν εἴη δεινόν, εἰ ἐκεῖνος μὲν ὑποστὰς κατηγορεῖν ἐκ προφανοῦς οὐκ ἀπεστέρησε τρόπον γέ τινα αὐτὴν τῶν ὑπὲρ ἑαυτῆς λόγων, ἀλλ' ἀπέδωκε δυσὶ καὶ τρισὶν ἀντειπεῖν ὥς γοῦν ἐν σχήματι διαλόγων, ἡμεῖς δὲ οἱ τὸ ὅλον βοηθεῖν ἔχοντες καὶ προῃρημένοι "μὴ τολμήσωμεν, ὥσπερ τοσαῦτ' ἀντιλέγειν 124 C.
Πλάτωνι δέον, ὁπόσα ἂν αὐτὸς πρὸς αὐτὸν βουληθείη. ἄτοπον δέ μοι φαίνεται, εἰ Πλάτων μὲν οὐκ ἠδέσθη ψέγων ῥητορικήν, ἧς ἴσως τι καὶ αὐτῷ μετῆν, ἡμεῖς δ' αἰσχυνόμεθα ὑπὲρ ῥητορικῆς λέγοντες, μή τις δι' ἐκεῖνον ἀχθεσθείη. χωρὶς δὲ τούτων, εἰ μὲν μηδὲν ἀντειπεῖν δεῖ ἀλλ' ἐρήμην ἑαλωκέναι καθάπερ ἐν δικαστηρίῳ, καὶ ταῦτα λόγων τέχνην οὖσαν, ἄλλο τι τοῦτ' ἂν εἴη τοὐπίταγμα. εἰ δ' ἔστιν ὅντινα δεῖ, σχεδὸν ἡμῖν ἂν πρέποι, ἵνα καὶ τὸ δίκαιον εὐθὺς ἐν αὐτῷ τούτῳ πρώτῳ δείξωμεν, οὗ προεστήκαμεν· ὡς ἔστιν οὐ λόγον σῷζον, παρ' ἧς τὸ τοῖς ἄλλοις συναγορεύειν ἐστί, ταύτῃ τῶν παρ' αὐτῆς μὴ μεταδοῦναι, ἀλλὰ δυεῖν θάτερον, ἢ τοιοῦτον εἶναι δοκεῖν αὐτὴν οἷον Πλάτων βεβούληται, ἢ τοιοῦτόν γ' εἶναι δοκεῖν ποιῆσαι. οὐ γάρ ἐστιν ἓν τοῦτο ὃ πανταχοῦ, ὅτι τὰς αἰτίας ἡ σιωπὴ βεβαιοῖ· ἀλλ' ἅμα τῶν τε δικαίων οὐ τεύξεται, καὶ τὸ σεμνὸν αὐτῆς ἐπ' αὐτῆς ἐξελήλεγκται. δόξει γὰρ οὐχ οἵα τε εἶναι σῴζειν τὰ δίκαια.

ἐνταῦθα ἀπόδειξις μὲν οὐδ' ἡτισοῦν ἔνεστιν, οὐδ' ἔλεγχος ἀνάγκῃ προεληλυθώς· ὑπόκειται δὲ ἁπλῶς ὥσπερ ἐξόν, οὗ πολὺς ἦν ἱδρὼς πρότερον, οὐδὲν διαφερόντως ἢ εἰ χάριν ᾔτει τοὺς ἀκούοντας ταῦτα συγχωρῆσαι. καίτοι εἰ τὰ ζητούμενα ὡς ὁμολογούμενα ὑποτίθεσθαι γέλως, πῶς εἰκός, ἅ γε ζητεῖν γέλως, ταῦτα ἐξ ἀρχῆς ὑποτίθεσθαι; πῶς γὰρ οὐ γέλως, εἰ τῆς αὐτῆς φύσεως ῥητορικὴ καὶ ὀψοποιητική, ζητεῖν; ὃ δὲ ὥσπερ ὁμολογούμενον εἴ-

a. 11. φάσκει ς. 12. ὁρᾷ B. 15. νῦν om A. 16. ἂν om A. γε et 17. περὶ λόγους om A. 17. καὶ ὁ Κρότωπος ς. καὶ Φορωνεὺς om A. 18. καὶ Δευκαλίων αἰπ. βεβ. om A. pro αἰπιῶν apud Aristidem est ἀντὶ τῶν νῦν. 21. συμβάλλειν ς. οὐκ A: οὔτ' ς. κατὰ] τὰ κατὰ A. ζητήσωμεν ς. 24. ὀλίγων ς. 25. προϊόντος ς. 28. τοὺς ὕσ.] τούτους ὕσ. A et pr B. 30. ἔχοι B. 31. ἀλλὰ — 33. διαφέρει om A. 35. μὴ om A. 36. ὅτι — b 2. παραδείγματι om A. b. 3. περὶ πολλῶν om B. 4. εἴποι ς. 6. δοκῇ B: δοκεῖ ς. 7. ἀκροᾶσθαι A. μήπω A: μή που ς. 9. καὶ γὰρ] p. 8. 16. φαίνεται] δοκεῖ A. 17. τι] γε A. 21. ταῦτ' ς. 22. ἂν πρέποι corr B, ἂν πρέπειν A: ἂν πρέπῃ ς. 27. οἵαν A. 28. γ' add B. ἓν τοῦτο] ἐν τούτῳ B. 30. ἐπ' αὐτῆς add A. 32. ἐνταῦθα] p. 13. ἔνεστιν] ἐστὶν A. 34. οὐ] οὐ A. ἦν om A, post ἱδρὼς ponit B. διαφέροντος B.

ληφεν αὐτό. γνοίη δ' ἂν τις ἐκείνως, εἰ τὸ τῆς ῥητορικῆς ὄνομα ἐξελὼν τὸ τῆς φιλοσοφίας ἀντ' ἐκείνου ὄνομα μεταλάβοι, καὶ ἐπὶ τούτῳ πᾶσι τοῖς αὐτοῖς χρήσαιτο. καὶ μηδεὶς μήτ' ἀγροικίαν μήτε ψυχρότητα καταγνῷ τοῦ λόγου. μάλιστα μὲν γὰρ οὐ δή που δυοῖν ἐπιστήμαιν ἢ δυνάμεοιν τοῖς μὲν τῆς ἑτέρας προϊσταμένοις οὐδ' ἂν ὁτιοῦν βλασφημῶσιν εἰς τοὺς ἑτέρους, οὐδὲν ἄγροικον ὑπεῖναι φήσομεν, τοῖς δ' οὐδὲ τοῖς αὐτοῖς ἀμύνεσθαι δώσομεν· ἔπειτ' οὐ τοῦ φορτικοῦ χάριν εἰρήσεται, ἀλλὰ τῆς ἀποδείξεως, ἣν οὐδαμοῦ τούτοις εἶναι φαμέν. πολλῷ μέντ' ἂν πλέον ἐκείνων ἐλλείποιμεν τοῦ σωφρονεῖν. οὐκοῦν
670 H. παρὰ πάντων ὡς "εἰπεῖν τῶν θεῶν μαρτυρία καὶ ψῆφος ἐπῆκται τοῦ μηδενὸς ἄξιον εἶναι τὸν τοιοῦτον λόγον, ὅστις ἢ τὴν τέχνην ζητεῖ ἢ φαυλίζει τὸ μὴ σὺν ταύτῃ πανταχοῦ. εἶτ' οὖν, ὦ πρὸς Διός, ἐν μέτρῳ μὲν εἰπεῖν μουσοληπτούμενον ἄνευ τέχνης οὐ δεινόν, ἀλλὰ καὶ θεῖον πολλάκις, [ὥσπερ οἱ ῥήτορες] οὑτωσὶ δὲ εἰπεῖν τὰ βέλτιστα δεινόν, ἐὰν μὴ σὺν τέχνῃ; ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ τὴν ἀνάγκην. πῶς γὰρ οὐκ ἄτοπον, εἰ ὁ μὲν ποιητὴς ἄνευ τέχνης ποιῶν ὀρθῶς τὸν ῥήτορα μιμήσεται καὶ τὰ βέλτιστα ἐρεῖ, ὁ ῥήτωρ δ' αὐτὸς οὐκ ἐρεῖ τὰ βέλτιστα, ἐὰν μὴ σὺν τέχνῃ; εἰ τοίνυν, ὦ Ζεῦ καὶ θεοί, μανία τίς ἐστιν ἀμείνων σωφροσύνης καὶ παρὰ θεῶν ἀνθρώποις γιγνομένη, πῶς ἄξιον πᾶν γε τὸ μὴ τέχνῃ γινόμενον ψέγειν, ἢ πῶς ῥητορικὴν ἁπλῶς αἰσχρὸν ἡγεῖσθαι; ἀλλ' ἔστιν οὖν καὶ λαμπρότερον καὶ θεοφιλέστερον εἶναι τὸ μὴ δουλεύειν τέχνῃ. σαφῶς γὰρ οὑτωσὶ Πλάτων διορίζεται, τὸ μὴ δεῖν ἐπὶ τῶν μεγίστων τέχνην ζητεῖν. καὶ μὴν εἰ μὲν ἀξιόπιστος Πλάτων, αὐτός ἐστιν ὁ μὴ διδοὺς τῇ τέχνῃ τὰ πρεσβεῖα· εἰ δὲ [τὸ ἀξιόπιστον ἦν ἂν] οὐδὲ τοῦτό τις συγχωρεῖ, πῶς ῥητορικὴ
241 R. διὰ τοὺς ἐκείνου λόγους αἰσχρόν; "ἐγὼ δὲ ἀξιόπιστον μὲν τοῖς ὅλοις οὐδενὸς ἧττον τῶν Ἑλλήνων ἡγοῦμαι, ἡδέως δ' ἂν ἐροίμην τοὺς πρὸς ἐκείνου πότερ' αὐτῷ μᾶλλον πιστεύειν ἄξιον, ταῦτα ἢ κεῖνα. καὶ μὴν εἰ τὰ μάλιστα σεμνός ἐστι, φαίνεται μαρτυρῶν ἡμῖν, ὥστε ὑπὲρ ἡμῶν σεμνός ἐστιν. ὅταν γὰρ ἡμεῖς μὲν καὶ ἡμῖν αὐτοῖς ταῦτα λέγωμεν κἀκείνῳ, ἐκεῖνος δὲ μήθ' αὐτῷ μηδὲ ἡμῖν, οὐκ ἀντιλέγει μᾶλλον ἢ μαρτυρεῖ κατ' αὐτὸ τοῦτο μὴ τἀληθῆ λέγειν. περὶ δέ γε τούτου τοῦ μέρους οὐκέτ' ἐκ λόγου πρὸς Πλάτωνα ἀγωνιοῦμαι, ὡς ἄρα πολλοὶ διὰ θείας μοίρας ἐσώθησαν. οὐδέ μοι νεμεσήσει δήπουθεν οὔτε Αἰσχίνης ὁ Λυσανίου οὔτε ἄλλος οὐδείς, εἰ φαίην αὐτὸς ἔχειν μαρτυρῆσαι μᾶλλον τοῖς ῥήμασιν ἢ τῆς παρ' ἐκείνου πρὸς δὴ ταῦτα προσδεῖσθαι μαρτυρίας. ἀλλ' ὡς ἀληθῶς ὥσπερ οἱ θεομάντεις οἱ τοῖς τῶν πραγμάτων ἐπωνύμοις τετελεσμένοι, παρ' αὐτῶν τῶν θεῶν ἔχω τὸ μάθημα· ὑφ' ὧν ἃ μηδεὶς ἰατρῶν μήτε οἶδεν ὅ τι χρὴ προσειπεῖν, μὴ ὅτι ἰάσασθαι, μήτε εἶδεν ἀνθρώπου φύσει συμβάντα, ἄλλοτε ἄλλαις παραμυθίαις τε καὶ συμβουλαῖς ἐκ τοῦ θεοῦ διαφεύγω ζῶν παρὰ πᾶν τὸ ἐκ τῶν παρόντων εἰκός. καίτοι τέχνης μὲν ἡμῶν οὐδ' ὁτιοῦν εἰς ταῦτα μέτεστιν οὐδενὶ δήπουθεν [τῶν ἰωμένων], ἀλλὰ καὶ τοῦ καταφυγεῖν ἐπὶ τοὺς θεοὺς σχεδὸν ἀρχὴ τὸ τῆς τέχνης ὑπεριδεῖν ἐστίν. ὅμως δὲ σὺν αὐτοῖς εἰπεῖν, οὔθ' οἱ θεοὶ τὸν τοιοῦτον ἡμῶν λογισμὸν ἀτιμάζουσιν, οὔτε πολλοὶ μετέγνωσαν τῶν πρὸ τῆς τέχνης τὴν παρὰ τῶν θεῶν τύχην ἑλομένων. ὥστε καὶ τοὺς ἰατροὺς οὐδὲν κωλύει φρίττειν, ἐπειδὰν ἀκούσωσι πολλὰ τῶν ἔργων. πότερ' οὖν τὰ ὀνείρατα ποιεῖ θεοῖς ἀνακεῖσθαι τὰ ἀνθρώπινα; ἢ τὸ θεοὺς ἀνθρώπων κήδεσθαι ποιεῖ καὶ δι' ὀνειράτων ἀνθρώπους σώζεσθαι; ἐγὼ μὲν οἶμαι "τοῦτο. 671 H.
τί οὖν, ὦ μεγίστη σὺ γλῶττα τῶν Ἑλληνίδων, ἔφη Κρατῖνος ποιῶν. ἀλλ' οὕτω σφόδρα ταῦτ' οἰκεῖα τῷ Σωκράτους ἤθει καὶ προσήκοντα ἐκρίθη, ὥστε καὶ ταύτῃ τῇ δόξῃ γενέσθαι χώραν. δοκεῖ δέ μοι καὶ Σωκράτης αὐτός, εἰ καὶ μηδεὶς λόγος αὐτοῦ γραφῇ σώζεται, οὐχ ἧττον οὔτε Πλάτωνος τοῦ σεμνοῦ οὔτε Αἰσχίνου τοῦ κομψοῦ μαρτυρεῖν, ἀλλ' ἔτι κάλλιον καὶ ὡς ἀληθῶς εἰς τὸ μέσον. ὁμολογεῖται μὲν γὰρ λέγειν αὐτὸν ὡς ἄρα οὐδὲν ἐπίσταιτο, καὶ πάντες τοῦτό φασιν οἱ συγγενόμενοι· ὁμολογεῖται δὲ αὖ καὶ τοῦτο, σοφώτατον εἶναι Σωκράτη τὴν Πυθίαν εἰρηκέναι. πῶς οὖν ταῦτ' ἔχει; οὐ γὰρ τόν γε τοῦ παντὸς ἐσφαλμένον ὡς ἀνέλοι σοφώτατον ἀνθρώπων πιστεῦσαι θεμιτὸν περὶ τοῦ θεοῦ. τέχνην δέ, ὡς ἔοικεν, οὐκ ἔφασκεν ἀσκεῖν, ἀληθῆ λέγων· ᾧ γοῦν συν-

a. 3. μεταλάβοι B: μεταβάλοι ς. 6. τῆς ἑτέρας προϊσταμένοις B: τὴν ἑτέραν προϊστάμενος ς. 7. βλασφημοῦσιν A. 10. πολλῷ — σωφρονεῖν om A. leguntur p. 21. 15. εἶτ'] p. 23. 17. ὥσπερ οἱ ῥήτορες om A. 21. ἐρεῖ — βέλτιστα om A. 22. σὺν add B. εἰ τοίνυν] p. 26 extr. 24. πᾶν γε] γε πᾶν A. 25. ἁπλῶς om A. 26. ἀλλ' ἔστιν (p. 27) — 28. τέχνην ζητεῖν] ὅτι πλάτων αὐτὴν οὐ τέχνην νομίζει· καίτοι αὐτὸς πλάτων διορίζεται τὸ μὴ δεῖν ἐπὶ τῶν μεγίστων τέχνην ζητεῖν A. 29. καὶ μὴν] p. 29. αὐτός A: οὗτος αὐτός ς. 30. τῇ τέχνῃ] αὐτῇ A. 31. οὐδὲ A: τὸ ἀξιόπιστον ἦν ἂν οὐδὲν ς. συγχωρῇ A. 33. τῶν add A. ἑλληνικῶν A. 34. πότερον A. 35. ἐκεῖνα ς.

b. 1. ἀντιλ. ἡμῖν μᾶλλον ς. 2. περὶ] p. 31. 7. δεῖσθαι B. 11. μὴ ὅτι A: οὐχ ὅπως ς. 13. διαφεύγω ζῶν] φεύγω A, qui in mg τῶν ἐπιλήπτων γὰρ ἦν ὁ Ἀριστείδης. 14. καίτοι] p. 32. 17. αὐτοῖς] αὐτοῖς τοῖς θεοῖς B. 20. ἑλομένων A: ἀνελομένων ς. ὥστε] p. 33. 21. τῶν θείων ἔργων ς. 22. πότερον A. 25. ἑλλήνων A. ἔφη — 28. χώραν om A. 26. ἀλλ'] p. 35. 29. μηθεὶς ς. 33. ἐπίσταιτο ς. 34. εἶναι Σωκράτη τὴν Πυθίαν εἰρηκέναι] εἰρηκέναι τὴν πυθίαν σωκράτη A. 35. γὰρ] γὰρ ἂν A. 38. οὐκ ἔφασκεν A: ἔφασκεν οὐκ ς.



Digitized by Google

ἐγένετο Ἀναξαγόρᾳ, οὐ τἀκείνου τιμήσας φαίνεται.

οὐκοῦν μηδὲν μὲν ἐπίστασθαι τῶν δεόντων ἀμήχανον, ᾧ γε παρηκολούθει τὸ δαιμόνιον. ὅτι δὲ οὐδὲν ἐπίσταιτο, αὐτὸς ἔλεγε. λέγων δὲ οὐκ ἐψεύδετο, εἴπερ γε μηδ᾽ ὁ θεὸς σοφώτατον αὐτὸν εἰρηκώς. λοιπὸν οὖν τί ποτέ ἐστι τὸ φάσκειν αὐτὸν οὐκ εἰδέναι; οἶμαί γε τὸ μὴ τέχνῃ [τί ποτε ἐπίστασθαι]. ἀλλὰ μὴν εἰ μηδετέρως γ᾽ ἂν σοφώτατος ἦν ἔτι, μήτε ψευδόμενος περὶ αὑτοῦ, εἴπερ ἕν τι τῶν αἰσχρῶν τὸ ψεύδεσθαι, μήτε ἀληθῆ λέγων, εἰ τὸ μὴ χρῆσθαι τέχνῃ τῶν ἁπλῶς αἰσχρῶν ἦν, ἅμα Σωκράτης τε δι᾽ ἀμφοτέρων μαρτυρεῖ τῷ λόγῳ, καὶ ὧν ἔξαρνος ἦν καὶ ὧν ὡμολόγει, καὶ διὰ τοῦ Σωκράτους ὁ θεὸς περὶ ἀμφοῖν μεμαρτύρηκε, χρήσας ἐκεῖνον σοφώτατον εἶναι, ὥστε διπλῆν οὖσαν τὴν τοῦ Σωκράτους μαρτυρίαν ἑτέρᾳ κυρίᾳ τῇ παρ᾽ αὑτοῦ βεβαιοῖ.

1244R. "τὸ μὲν παρὸν ἐπιχείρημα διλήμματόν ἐστι, νῦν δὲ τοιοῦτον δηλοῖ. εἶπε (φησὶν) ὁ Σωκράτης μηδὲν ἐπίστασθαι. εἰ μὲν ἀληθῆ δῶμεν λέγειν αὐτόν, οὐ σοφὸς Σωκράτης, εἰ δὲ ψευδῆ, πάλιν οὐ σοφός· αἰσχρὸν γὰρ τὸ ψεύδεσθαι. εἰ τοίνυν κατ᾽ ἀμφότερα οὐ σοφός, καὶ κατ᾽ ἀμφότερα σοφός, καὶ δι᾽ ὧν ἀρνεῖταί τι εἰδέναι (οὐ γὰρ ᾔδει τέχνῃ, καὶ ἠλήθευε λέγων μὴ εἰδέναι) καὶ δι᾽ ὧν ὁμολογεῖ τὸ δαιμόνιον αὐτῷ λέγειν. καὶ διπλῇ δὲ μαρτυρεῖ Σωκράτης, μιᾷ μὲν ὅτι τὸ δαιμόνιον αὐτῷ προλέγειν φάσκει, δευτέρᾳ δὲ ὅτι λέγει μὴ εἰδέναι. καὶ ἑκατέραν μαρτυρίαν ἐπισφραγίζεται ὁ Ἀπόλλων, σοφώτατον αὐτὸν εἶναι λέγων, τοῦτ᾽ ἔστι μήτε ψευδόμενον, μήτ᾽ αἰσχρὸν εἶναι τὸ μὴ εἰδέναι τέχνῃ.

εἰ δὲ δεῖ καὶ ποιητῶν παρασχέσθαι μαρτυρίας, ἔστι μὲν ἔργον ἢ τὰς ἁπάντων ἢ τὰς τῶν προκριθέντων διὰ πάντων παρασχέσθαι, ὅμως δέ, ὡς ἄν τις ἔχοι τῶν γνωριμωτάτων ἐκλέξας εἰπεῖν, ῥᾳθυμία παραλιπεῖν. κοινῇ μὲν οὖν πάντες ποιηταὶ μαρτυροῦσι τὴν ἔργῳ μαρτυρίαν, εἴπερ εἰσὶ ποιηταὶ τῷ κρατοῦντι [τῷ ὑπὲρ τὴν τέχνην] λόγῳ τῆς τέχνης. ἀλλ᾽ οὐ ταύτης δέομαι τὰ νῦν (ἔστι γὰρ ἐν τοῖς εἰρημένοις) ἀλλὰ τῆς κατὰ ῥῆμα.

οὐδὲ τοῦτο πάρεργον προσθεὶς οὐδὲ εἰκῇ οὐδὲ ἐφόλκιον ἄλλως ἐπὶ τοῖς ἄνω, ἀλλ᾽ ἐνδεικνύμενος καὶ πρὸς ἓν σημαινόμενος, ὅτι τοῦτο τὸ ἐν κόσμῳ καὶ λαμπρῶς οὐκ ἐκ τέχνης ἀλλ᾽ ἐπιπνοίᾳ θεῶν παραγίνεται. εὑρεῖν οὖν, φησίν, ὦ Πλάτων, κρεῖττον ἢ μαθεῖν, καὶ τέχνη φύσεως δεύτερον, εἰκότως ὁ Ἡσίοδος "καὶ φρονῶν οὕτως 673 H. καὶ λέγων, καὶ τῆς δάφνης οὐκ ἀμνημονῶν, ἣν ἅμα τῷ λαβεῖν ποιητὴς ἦν [γεγονὼς] ἐκ ποιμένος· ἐπεὶ καὶ τὰς τέχνας αὐτὰς καὶ τὰ ἐπιτηδεύματα φύσει δήπου διενεγκόντες ἄνθρωποι καὶ νικήσαντες ἀνεῦρον τὸ ἐξ ἀρχῆς. οὐ γὰρ αἱ τέχναι τὰς φύσεις ἐποίησαν, ἀλλ᾽ αἱ κράτισται φύσεις τὰς βελτίστας τῶν τεχνῶν εὗρον. ὥστε καὶ τῇ τάξει καὶ τῇ δυνάμει παρὰ τῇ φύσει τὰ πρεσβεῖα εἶναι. εἰ δὲ δὴ μηδ᾽ ἁπλῶς ἀνθρώποις τὴν εὕρεσιν προστίθεμεν τῶν τεχνῶν, ἀλλὰ θεοὺς ἡγήσασθαί φαμεν αὐτοῖς καὶ καταδεῖξαι, πῶς οὐκ εὔδηλον ὅτι πολλῷ τινος εἶναι νικῶντος δεῖ προσθήκην τὴν τέχνην; καὶ μὴν εἰ τοῦτο δῆλον ἅπασι, καὶ πάντες ἂν συμφαῖεν μὴ θεοὺς παρ᾽ ἀνθρώπων λαβεῖν τὰς ἐπιστήμας ἀλλ᾽ ἀνθρώπους παρὰ θεῶν, καὶ διδασκάλων μὲν ἐκείνους μαθητῶν δ᾽ ἡμᾶς τάξιν ἔχειν, τοσούτῳ κρεῖττον, ὡς ἔοικεν, εὑρεῖν ἢ μαθεῖν, ὅσῳ κρείττων ἀνθρώπου θεός. οἱ μὲν γὰρ εὑρήκασιν ἅμα πάντα, ἡμεῖς δέ, οἶμαι, λαβόντες χρώμεθα. ὀρθῶς ἄρα καὶ δικαίως ὁ τοῦ Ἑλικῶνος πρόσοικος, καὶ ὡς εἰκὸς ἦν τὸν αὐτὸν ἐκ θεῶν ἐπιπνοίας λέγειν εἰληφότα, τὸν μὲν τοιοῦτον ἄνδρα ὡς θεὸν καὶ θεῷ ἐγγὺς πρῶτον καὶ κράτιστον μὲν ἔθετο, ὃς αὐτὸς πάντα νοήσει, τὸν δ᾽ ἀκούσαντα καὶ μαθόντα δεύτερον.

εἰ γὰρ ἦν τὸ μαθεῖν ἄριστον καὶ πρῶτον, οὐδ᾽ ἂν αὐτὸ πρῶτον τὸ μαθεῖν ἦν. ἐχρῆν γὰρ δήπου μαθεῖν παρ᾽ ἑτέρου, ὥστε οὐκ ἂν ἦν ὁ διδάσκων πρῶτος, εἰ τὸ μαθεῖν κρεῖττον καὶ πρῶτον ἦν. παρὰ τοῦ γάρ, ὦ καὶ σὺ τὴν ποικίλην στοὰν κοσμήσας, ἀκούσῃ, τίσι πεισθῇ, εἰ κρείττων ὁ μαθὼν ἐστὶ τοῦ τὸ πρῶτον εὑρόντος, καὶ μὴ ἀνάγκῃ δεύτερος, εἴ πέρ τι μέλλοι μαθήσεσθαι. πᾶς γὰρ ὁ μανθάνων ὡμολόγηκε δήπουθεν εἶναι χείρων αὐτῷ γε τῷ δεῖσθαι μαθεῖν. ὡς εἴγε μὴ πείσειεν αὐτὸν δεῖσθαι πρότερον, πῶς ἂν μάθοι; ἢ πῶς ἄλλῳ γ᾽ ἂν εἰπόντι "πεισθείη; οὐκοῦν ἄτοπον τόν γε αὐτὸν ὡμολογηκότα 1245R.

a. 1. οὔτ᾽ ἐκείνου ς. 2. οὐκοῦν μηδὲν μὲν] ἔτι δὲ εἰ μηδὲν A, εἰ μηδὲν pr B, μηδὲν corr. leguntur autem p. 36. ᾧ γε] ὡς A. 3. ἐπίστατο ς. 7. τί ποτε ἐπίστασθαι om A. μὴν εἰ om A. 8. αὐτοῦ A: ἑαυτοῦ ς. 9. τὸ μὴ] τῷ μὴ B. 11. τι om A. 12. ὁμολογεῖ B. 13. μεμαρτύρηκε περὶ ἀμφοῖν A. χρήσας] φήσας B. ἐκεῖνον σοφώτατον A, σοφώτατον ἐκεῖνον B, ἐκεῖνο σοφώτατον ς. 16. τὸ μὲν — 27. τέχνῃ om B. 19. αἰσχρὸν — 20. οὐ σοφός add A. 21. ἠλήθευσε ς. 23. καὶ add A. 28. εἰ δὲ] p. 37. 30. ὡς A: ὅσας ς. 33. τῷ ὑπὲρ τὴν τέχνην om A. 35. τῆς] τοὺς A. 36. οὐδὲ] p. 39. 37. ἄλλως — b 2. παραγίνεται om A.

b. 2. εὑρεῖν] p. 45. 6. λαβεῖν om A. ἦν γεγονὼς ἐκ ς. 9. οὐ — 11. εἶναι om A. 12. δὴ om A. 13. τῶν τεχνῶν om A. 15. τὴν om A et pr B. 16. καὶ πάντες — 17. ἀλλ᾽ ἀνθρώπους om A, additis post θεῶν his: ἀνθρώπους λαβεῖν τὰς ἐπιστήμας. 21. ἅπαντα ς. 23. καὶ ὡς — 25. πρῶτον καὶ om A. 25. ἔθετο] ἔφη A. αὐτὸς A: καὶ αὐτὸς ς. 27. εἰ γὰρ] p. 46. ἂν om A. 28. πρῶτον om A. γὰρ δήπου] μὲν γὰρ A. 31. ἀκούσει A. πεισθείη A. 32. τὸ om A. 35. ὡς — 37. πεισθείη om A. 37. γε αὐτὸν om A.

Digitized by Google

εἶναι χείρω, τοῦτον ἀμείνω καλεῖν, καὶ ταῦτα δι᾽ αὐτὸ τοῦτ᾽ ἐπαινούμενον, ὅτι ὡμολόγηκεν οἷς ἐζήτησε μαθεῖν χείρων εἶναι. ἄτοπον δὲ καὶ μηδ᾽ ἐκεῖνο ὁρᾶν, ὅτι οὐ μόνον ἐξ ἀρχῆς αἱ φύσεις τὰς τέχνας συνεστήσαντο, ἀλλὰ καὶ περὶ αὐτὰς τὰς τέχνας οἱ τῇ φύσει νικήσαντες διενηνόχασιν. ἕνεκα μὲν γὰρ τῆς τέχνης πάντας ἔδει παραπλησίους εἶναι τοὺς αὐτὰ μαθόντας, οἶμαι δὲ καὶ χείρους τοὺς δευτέρους ἀεὶ τῶν προτέρων, ἕως εἰς τὸ λυθῆναι τὴν τέχνην ἀφίκετο· οὐ γὰρ ἂν ἦν πάντα λαβεῖν ἀκριβῶς παρ᾽ ἑτέρου λαμβάνοντα, ἀλλ᾽ ἔδει διαφυγεῖν ἀεί τι. ῥώμῃ δέ, οἶμαι, φύσεως καὶ περιουσίᾳ τὴν δόξαν οἱ κρατήσαντες εἰλήφασι· καὶ οὐδεὶς τὸν Δαίδαλον οὐδὲ τοὺς ἄνω θαυμάζει παρὰ τὸν Φειδίαν, ἀλλὰ τοὐναντίον ἐκ μικρῶν καὶ φαύλων τὸ κατ᾽ ἀρχὰς εἰς τὸ μεῖζον καὶ
673 H. τελειότερον αἱ τέχναι κατέστησαν. αὐταῖς τοίνυν, ὡς ἔοικε, ταῖς τέχναις οὐ λυσιτελοῦν φαίνεται τὴν τέχνην πρὸ τῆς φύσεως τετιμῆσθαι. οὐκοῦν προελθεῖν γ᾽ ἂν αὐταῖς ἦν οὐδὲ τυχεῖν τοῦ νῦν σχήματος οὐδὲ σεμνύνεσθαι. ἀλλ᾽ οἶμαι, οὐχ αἱ τέχναι τοὺς ἄνδρας ἦραν μεγάλους, ἀλλ᾽ οἱ τῇ δυνάμει πρωτεύσαντες ἐντίμους τὰς τέχνας ἐποίησαν, οὐ μείναντες ἐφ᾽ ὧν παρέλαβον. εἰ δὲ τοῦθ᾽ ἅπασιν εὔδηλον, εἰ καὶ μὴ πρότερον, ἀλλὰ νῦν γε εἰρημένον, οἱ μέγιστοι τῶν ἐν ταῖς τέχναις οὐχ ᾧ μετεσχήκασι τῆς τέχνης μέγιστοι γεγόνασιν, ἀλλ᾽ ᾧ τὴν τέχνην παρεληλύθασιν. ἀλλ᾽ ἐνδιδόντες τῇ φύσει τῶν λόγων, οἱ δὲ τῶν πραγμάτων, παῖδας τοὺς πρὸ αὐτῶν [δυνάμει φύσεως] ἀπέδειξαν. ἀλλὰ πάσας τὰς τέχνας, ὅπερ εἶπον, ἡ φύσις εὗρεν. εἰ γὰρ αἱ τέχναι τὰς τέχνας ἔμελλον εὑρήσειν, οὐκ ἂν ἦν λαβεῖν τὴν ἀρχήν. οὐ γάρ πω τεχνῶν οὐσῶν οὐκ ἂν ἦν τέχνην εὑρεῖν· τῇ γὰρ μὴ οὔσῃ πῶς ἐνῆν εὑρεῖν; οὐκοῦν καὶ κατὰ τοὺς εὑρόντας τὰς τέχνας ἐξ ἀρχῆς καὶ κατὰ τοὺς ὑπερέχοντας ἐν αὐταῖς ἡ φύσις νικᾷ. φαίνεται τοίνυν καὶ κατὰ τοῦτον τὸν λόγον ἡ μὲν φύσις ἄρχοντος χώραν ἔχουσα, ἡ δὲ ἐκ τοῦ μαθεῖν τέχνη διακόνου καὶ πειθομένου τῷ κρείττονι. ἃ μὲν οὖν, εἰ καὶ μὴ τέχνην εἶναι δοίημεν τὴν ῥητορικήν, ἔχοι τις ἂν λέγειν ὑπὲρ αὐτῆς, πολλὰ ὠφελοῦντι τῶν ἐπιόντων τοσαῦτα καὶ τοιαῦτά ἐστιν. ἴσως δέ τις οἰήσεται, τούτων οὕτως ἀποδεδειγμένων, τὸ φαυλότερον σπεύδειν ἡμᾶς λοιπόν, ἐὰν ὅτι καὶ τέχνη διδάσκειν πειρώμεθα. ἐγὼ δὲ οὔτε τῶν εἰρημένων οὐδὲν μετατίθεμαι, οὔτε Πλάτωνι συγχωρῶ τὸ μηδὲν μετεῖναι ῥητορικῇ τέχνης, ἀλλ᾽ ὅσον αὐτῇ τέχνης (χρήσομαι γὰρ τοῖς τοῦ Πλάτωνος αὐτοῦ ῥήμασιν), τοῦτ᾽ ἐπέξειμι. καίτοι πῶς οὐχ ὑπεναντίον φάσκειν μὲν στοχάζεσθαι τὴν ῥητορικήν, λέγειν δὲ ὡς οὐ χρῆται λόγῳ δι᾽ αὐτὸ τοῦτο; πάντες γὰρ οἱ στοχαζόμενοι δή που τῷ λόγῳ προσάγοντες ἑαυτούς, οὕτω στοχάζονται. οὐ γὰρ ἔστι μὴ λόγῳ χρώμενον στοχάζεσθαι, ἀλλ᾽ ὁ τοῦ πράγματος λόγος οὗτός ἐστιν ὁ ποιῶν στοχάζεσθαι. ἔστι δὲ στοχάζεσθαι τὸ τυχεῖν τοῦ πράγματος, ὡς οἵ γε ἀποτυγχάνοντες ἀρχὴν οὐδὲ στοχάζονται. οὐκοῦν οὐχ ᾧ στοχάζεται ἁμαρτάνει τις, ἀλλ᾽ ᾧ διήμαρτεν οὐκ ἐστοχάσατο. εἰκότως· οὐδεὶς γὰρ ἁμαρτάνει λόγῳ χρώμενος, ἀλλ᾽ ἅμα ἐσφάλη καὶ τὸν λόγον οὐ διεσώσατο. [τὸ μέλλον ἑκάστῳ συνοίσειν ἐκλέγοντες]. καὶ ταῦτα, ὦ Πλάτων, ταῖς σαῖς ἀδαμαντίναις ἀνάγκαις ἀποδείκνυται. τί δὲ περὶ 1248 R.
ῥητορικῆς, εἰ στοχάζεται, θαυμάζεις; φαίνεται γὰρ ἡ ῥητορικὴ ὁμοίως διακειμένη τῇ μαντικῇ, πλὴν ὅσον μαντικὴ μὲν ἀπήλλακται στοχασαμένη, ῥητορικὴ δὲ οὐ στοχάζεται μόνον τῶν πραγμάτων, ἀλλὰ καὶ πράττει διὰ τῶν ὑπηρετῶν ἅττα ἂν εὑρίσκῃ βέλτιστα. ὥστε καὶ τὸν τῆς μαντικῆς ἐπέχει λόγον καὶ τὸν τῆς στρατηγικῆς, ἣν μηδὲν προσήκειν τῇ πολιτικῇ Πλάτων οὐκ ἐρεῖ. πῶς οὖν ῥητορικὴ πολιτικῆς μορίου εἴδωλον, εἰ μὴ οὕτως; ἀλλὰ μὴν οὕτω γε οὐκ εἴδωλον. εἶεν. 674 H.

κατ᾽ εἰρωνείαν τὸ οὕτως, οἷον εἰ μὴ κατὰ τὸ ἐοικέναι τῇ στρατηγικῇ, καὶ λοιπὸν ἐξ ἐπικρίσεως, ὅτι οὔτε κατὰ τοῦτο δύναιτ᾽ ἂν εἴδωλον εἶναι.

ὅτι τοίνυν ὅλως ἐστὶ σόφισμα τὸ φάσκειν τὰ δοκοῦντα τοῖς πλήθεσι, ταῦτα συμβουλεύειν τοὺς ῥήτορας καὶ τούτου μόνου στοχάζεσθαι, εἰ καὶ μὴ παῖς ἐξελέγξειεν, ἀλλ᾽ ὅστις γε εὖ φρονεῖ. ἐμοὶ μὲν γὰρ τοὐναντίον πᾶν φαίνεται, μήτε ἐν τῇ τῆς ῥητορικῆς φύσει πλεῖον εἶναι

a. 1. καὶ ταῦτα — 1313, 16 R χείρω] pro his in *B* paginae vacuae sunt quinque. 2. οἷς ἐζήτησε μαθεῖν om pr *C*. 3. ἄτοπον δὲ om pr *C*. leguntur p. 51. καὶ om *A*. 4. συνέστησαν *A*. 7. μαθόντας] μαθόντας εἶναι *C*. 10. διαφυγεῖν *AC*: διαφεύγειν ς. 13. τὸν add *A*. 15. τελειώτερον ς. αὐταῖς] p. 52. 21. εἰ δὲ — 25. παρεληλύθασιν] haec ante 15. αὐταῖς τοίνυν ponit *C* cum ς. 23. οὐχ *AC*: καὶ ς. 25. ἀλλ᾽ ἐνδιδόντες τῇ φύσει τῶν λόγων et mox τῶν πραγμάτων om *A*. 27. δυνάμει φύσεως om pr *C*. ἀλλὰ] p. 53. 30. τῇ γὰρ — εὑρεῖν om *A*. 33. ἐν αὐταῖς om pr *C*. φαίνεται] p. 54. καὶ κατὰ τοῦτον τὸν λόγον om *A*. 34. χώραν] λόγον *A*. 36. ἃ μὲν] p. 57. 37. ἔχει ς. b. 2. δὲ] δ᾽ ἂν *A*. 4. οὔτε — 5. μετατίθεμαι] οὔμαι *A*. 6. αὐτῇ τέχνης] immo αὐτῆς τέχνη. 7. χρήσομαι — ῥήμασιν om *A*. 8. καίτοι] p. 58. 9. τὴν ῥητορικὴν om *C*. 11. προάγοντες ς. 12. οὐ *AC*: οὐ ς. 15. οὐχ ᾧ] οὐ *A*. 18. τὸ μέλλον — 19. ἐκλέγοντες om *AC*. leguntur p. 64. 20. τί δὲ (p. 69) — 21. θαυμάζεις om *A*. 21. γὰρ] δ᾽ *A*. 23. στοχασαμένη *A*: στοχαζομένης ς. 29. ἀλλὰ — 30. οὕτως om *A*. 32. ἂν om *A*. 33. ὅτι] p. 70. ὅλως om *A*. 35. ἐλέγξειεν *A*. 36. ὅστις *A*.



Digitized by Google

μηδὲν ἢ τὸ μὴ τὰ δοκοῦντα τοῖς πλήθεσιν εὐθὺς ἔξω γίνεσθαι, μήτε τοὺς ῥήτορας ἐς ἄλλο τι μᾶλλον σκοπεῖν ἢ τὰ βέλτιστα, μήτε τοὺς δήμους αὐτοὺς τοῦτό γε ἐκφυγεῖν, ὡς οὐκ ἀμείνους σφῶν οἱ ῥήτορες λογίσασθαι περὶ τῶν πραγμάτων καὶ πᾶσαν ὅλως τὴν τοῦ βίου σχέσιν καὶ τὴν τύχην, καὶ τοῦτο ἐξ αὐτῶν τῶν τιμῶν εἶναι δῆλον ὧν αὐτοῖς ἀπονέμουσιν. εἰ δὲ αὐτοὺς τοῖς πλήθεσιν ὑπείκειν φῂς καὶ ποιεῖν τὰ κελευόμενα ἀλλ' οὐ κελεύειν, τὴν θεράπαιναν εἴληφας ἀντὶ τῆς δεσποίνης, καὶ τοὺς δημοσίους ψέγων δοκεῖς τοὺς ῥήτορας. ἀλλ' οὐδ' οἱ δημόσιοι μέγα φρονοῦσιν ἐφ' ἑαυτοῖς, ὅτι δουλεύουσι τοῖς τῆς πόλεως βουλήμασι, καὶ τοῖς ῥήτορσι τοῦ φρονεῖν αὐτὸ τοῦτο αἴτιόν ἐστι τὸ μὴ τὰ δοκοῦντα τοῖς δήμοις λέγειν, ἀλλ' ἃ δοκοῦσιν αὐτοὶ βέλτιστα εἶναι. εἰ δὲ ἦσαν διάκονοι τῆς τῶν πολλῶν ἐπιθυμίας καὶ τὰ δοκοῦντα τοῖς καθημένοις ἐδημηγόρουν, οὐδ' ἂν παρρησιάσασθαί ποτ' αὐτοῖς ἐξῆν, οὐχ ὅπως ὑπὲρ τοὺς ἄλλους φρονεῖν. ἀλλ' οἶμαι συνίσασιν ἑαυτοῖς οὐ τὰς ἡδονὰς θεραπεύουσιν, ἀλλὰ τῶν δήμων τὰς ἐπιθυμίας σωφρονίζουσιν· οὐδὲ ὁρῶσιν εἰς τοὺς πολλούς, ἀλλὰ πολλοὶ ὁρῶσιν εἰς τούτους· οὐδ' ἀρχομένοις ὑπὸ τῶν ἰδιωτῶν ἑαυτοῖς, ἀλλ' ἄρχουσιν αὐτοῖς τῶν πολλῶν. καὶ τὴν ἐπωνυμίαν διὰ τοῦτο εἰλήφασι παρ' αὐτῶν ἀντ' ἄλλου συμβόλου μαρτύριον τῆς ἐξουσίας, λέγω τὴν τῶν δημαγωγῶν, οὐκ ἐπειδή περ ὑπὸ τῶν δήμων ἄγονται, ὦ πάντα ἄνω καὶ κάτω ποιῶν, ἀλλ' ὅτι τοὺς δήμους ἄγουσιν, ὥσπερ δὴ καὶ τοὺς παιδαγωγοὺς οἶμαι καλοῦμεν οὐκ ἐπειδή περ ὑποπεπτώκασι τοῖς παισίν, ἀλλ' ὅτι αὐτοῖς ἡγοῦνται. ὅ τι γὰρ ἂν φαίης, ἁρμόττει τὸ τοιοῦτον ἀκοῦσαι τῷ ῥήτορι, ἄρχων, προστάτης, διδάσκαλος. πάντα ταῦτά ἐστι τοῦ ῥήτορος τὰ ὀνόματα. πάντες μὲν οὖν ἄρχοντες ἐν ἑκάστῃ πράξει κρείττους φύσει τῶν ὑφ' ἑαυτοῖς· εἰ δέ τις μετ' ἐξουσίας καὶ χαρίζεται πείθων, οὐκ ἀναγκάζων, καὶ πρὸς τῷ σώζειν τὴν αὐτοῦ τάξιν στοχάζεται καὶ τῆς ἐπιθυμίας τῆς τῶν ὑφ' ἑαυτῷ, οὗτος ἐκεῖνός ἐστιν ὁ τῷ ὄντι πολιτικός. μὴ δὴ τοῦτο λέγε ὡς ὄνειδος κατὰ τῶν ῥητόρων, εἰ χαρίζονται, ἀλλ' εἰ μετὰ τοῦ βελτίστου καὶ τῆς χάριτος στοχάζονται. καὶ κατὰ τοῦτο ἀπόδος τῇ ῥητορικῇ τὴν πρέπουσαν εὐφημίαν, ἵνα τοῖς ὁμοίοις αὐτὴν ἀμειβόμενος φανείης. πῶς δέ τις καὶ διακονήσεται μυρίαις γνώμαις δήμου καὶ ἀλλήλαις μαχομέναις ταῖς ἐπιθυμίαις; ὅταν γὰρ δέῃ μὲν διακονεῖν πολλοῖς, οὗτοι δ' ὡς μὴ κατὰ ταὐτὰ γινώσκοντες, πᾶσι δὲ ἀμήχανον τοῖς τοιούτοις "ἐκ τῶν αὐτῶν τὰ αὐτὰ 675 II.
χαρίζεσθαι," πῶς οὖν ὁ ῥήτωρ θεραπεύσει τὰς ἐπιθυ- 124 D.
μίας αὐτῶν; ἅμα γὰρ χαριεῖται τοῖς ἑτέροις καὶ τοὺς ἑτέρους ἀνιάσει, ὥστε οὐ μᾶλλον πρὸς ἡδονὴν ἢ πρὸς ἀηδίαν ἐρεῖ. οὐκοῦν εἰ μὲν ἡ ῥητορικὴ πειθοῦς δημιουργὸς καὶ τὸ πείθειν τῶν ῥητόρων, οὐ κολακεύουσιν οἱ ῥήτορες· οὐ γὰρ διακονοῦσι τοῖς πολλοῖς, ἀλλὰ πείθουσιν. εἰ δ' οἱ ῥήτορες τὰ δοκοῦντα λέγουσι τοῖς πολλοῖς, οὐ δημιουργὸς ἡ ῥητορικὴ πειθοῦς· πειθομένους γὰρ τοῖς πολλοῖς, ἀλλ' οὐ πείθοντας παρέχεται. πρὸς ταῦτα ἑλοῦ ὁποτέρωθι τὸ ψεῦδος. Πλάτων γὰρ ἡμῖν ἐλέγχει Πλάτωνα, καὶ τὸ κάλλιστον, οὐ πόρρωθεν, ἀλλ' ἐκ τῶν αὐτῶν καὶ τοῖς αὐτοῖς τούτοις λόγοις ἀναμίξ. οὐδὲ μεθ' ὧν ἀρτίως διεξῄειν τεχνῶν εἶναι τῶν πολλῶν, ἀλλὰ καὶ [ὅτι τοίνυν] πλεῖστον λόγου μετέχον ἡ ῥητορική, μᾶλλον δ' ἅπαν ἐν λόγοις, καὶ μέγιστον καὶ πρῶτον τῶν ἐν ἀνθρώποις καὶ τελεώτατον καὶ πέρας, εἰ οἷόν τ' εἰπεῖν, εὐχῆς, ἄξιον δεῖξαι. οἶμαι τοίνυν ἅπαντας ἄν, οἷς δυνατόν, συμφῆσαι τὸ μὴ κατ' αὐτὰ φῦναι τοὺς ἀνθρώπους, ἀλλὰ δυοῖν μερίδοιν τὴν μὲν οἵαν βιάζεσθαι καὶ πλεονεκτεῖν εἶναι, ἣν τῶν κρειττόνων τις ἂν εἴποι, λέγω δ' οὐκ ἀρετῇ βελτιόνων ἀλλ' ἰσχυροτέρων, τὴν δὲ οἵαν ἐλαττοῦσθαι καὶ παρὰ γνώμην συγχωρεῖν ἀπειρίᾳ τοῦ κωλύειν, ἣν τῶν ἀσθενεστέρων οὖσαν γινώσκομεν. τοῦτο οὖν εἶναι αἴτιον τὸ ποιῆσαν εὑρεῖν τι τοιοῦτον ἀνθρώπους ὑπὲρ αὑτῶν ἢ θεούς γε ὑπὲρ τῶν ἀνθρώπων, ὃ τὴν μὲν ἰσχὺν ἐπισχήσει, τοῦ δὲ ἴσου καὶ δικαίου πᾶσιν ὥσπερ ἐνέχυρον γενήσεται, ταὐτὸν τοῖς τε πολλοῖς συμφέρον καὶ τοῖς πρὸς τὸ βιάζεσθαι πεφυκόσιν αὐτοῖς. οὐδὲ γὰρ ἐκεῖνοι ἔμελλον ἐκφεύξεσθαι τῶν ἀδίκων καὶ κακῶν ἔργων τἀπίχειρα, ἀλλὰ τῶν ἀσθενεστάτων πρώτων ἀναιρεθέντων ἄλλων ὑπ' ἄλλων κατὰ μικρὸν οὕτως ἀεὶ τῶν λοιπῶν ὑπεξαιρουμένων ἔμελλε τελευτῶντας αὐτοὺς ὑφ' ἑαυτοὺς ἐλθεῖν, ὥσπερ φασὶ τοὺς σπαρτούς, εἰ ἄρα καὶ ὁ μῦθος τοῦτο αἰνίττεται. ἔδει δὴ κοινόν τι φάρ-

a. 1. εὐθὺς om A. 2. μήτε τοὺς — σκοπεῖν] μήθ' οἱ ῥήτορες ἄλλο σκοπεῖν A. 4. λογίσασθαι] βουλεύσασθαι A. 7. εἰ δὲ] p. 74. αὐτοὺς] τοὺς ῥήτορας A. 10. δοκεῖς] ἀδικεῖς A. 15. εἰ δὲ — 18. φρονεῖν om A. 20. οὐδὲ — 21. τούτους om A. 22. ἑαυτοῖς om A. 24. συμβούλου ς. 29. ἀκοῦσαι om A. 30. ταῦτα om A. 31. πάντες] p. 76. 32. ἑαυτῆς ς. 34. τῷ] τὸ A. ἑαυτοῦ ς. 36. μὴ δὴ] p. 79. 39. ἵνα — b 1. φανείης om A. b. 3. ταῖς — 4. πᾶσι δὲ om A. 6. θεραπ. τὰς ἐπιθ.] χαριεῖται ταῖς ἐπιθυμίαις A. 9. οὐκοῦν] p. 80. 16. αὐτῶν] αὐτῶν λόγων A. 17. οὐδὲ μεθ' (p. 81.) — 18. ἀλλὰ καὶ om A. 19. ἅπαν] αὖ πᾶν A. 22. οἶμαι] p. 81. ἂν] τοὺς ἀνθρώπους A. 24. δυεῖν ς. καὶ πλεονεκτεῖν — 26. ἰσχυροτέρων om A. 27. καὶ παρὰ — 28. γινώσκομεν om A. 28. εἶναι] ἦν A. 29. ἀνθρώπους ante εὑρεῖν ponit A. 30. τῶν om A. 39. δὴ A: δὲ ς.

μακον εὑρεθῆναι τῷ γένει," ταὐτὸν ἅπασι συμφέρον, τοῖς ἰσχυροῖς, τοῖς ἥττοσι, τοῖς ἐπιεικέσιν, ὡς τοὺς μὲν ἢ κωλῦσαι πρὸ τῶν ἀδικημάτων ἢ παρ' αὐτὰ τιμωρήσασθαι, τοῖς δὲ ἄδειαν τοῦ βίου παρασκευάσαι, τοῖς δὲ χάριν τὴν πρέπουσαν, ὅσοι τὸ δίκαιον ἐτίμων ἑκόντες. εὑρέθη τοίνυν ἐκ τούτων ῥητορική, καὶ παρῆλθε φυλακτήριον δικαιοσύνης καὶ σύνδεσμος τοῦ βίου τοῖς ἀνθρώποις, ὅπως μὴ ταῖς χερσὶ μηδὲ τοῖς ὅπλοις μηδὲ τῷ προλαβεῖν μηδὲ πλήθει καὶ μεγέθει, μηδ' ἄλλῳ τῶν ἀνίσων μηδενὶ κρίνοιτο τὰ πράγματα, ἀλλ' ὁ λόγος τὸ δίκαιον ἐφ' ἡσυχίας διαιροῖ. ἀρχὴ μὲν οὖν αὕτη καὶ φύσις ῥητορικῆς, καὶ βούλημα τοῦτο, σῶσαι πάντας ἀνθρώπους καὶ τὴν βίαν διὰ τῆς πειθοῦς ἀπώσασθαι. φαίνεται τοίνυν ἡ ῥητορικὴ τῇ νομοθετικῇ τῆς αὐτῆς μετειληφυῖα φύσεως, εἴπερ τό γε ἀκριβὲς ἐπ' ἀμφοτέρων δεῖ θεωρεῖν· μᾶλλον δὲ μέρος οὖσα τῆς ῥητορικῆς ἡ νομοθετική, καὶ τοῖς πᾶσι δευτέρα. πῶς; πρῶτον μὲν ὅτι καὶ περὶ αὐτῶν ἔδει τῶν νόμων
161 H. λόγου "τοῦ πείθοντος. εἰ γάρ ἐστιν εὔδηλον ὅτι οἱ νόμοι μὲν ὑπὲρ τοῦ πάντας τὸ προσῆκον ἔχειν ἔμελλον τεθήσεσθαι, τοῦτο δὲ οἱ τῇ χειρὶ κρείττους ἔμελλον συμβουλήσεσθαι, πῶς οὐκ ἀναγκαίως ἔδει λόγου τοῦ πείθοντος ἤδη; οὐ γὰρ βιάσασθαί γε ἐνῆν τοὺς πρὸς αὐτὸ τοῦτο πεφυκότας, οὐδ' ἦν αὕτη νόμων ἀρχή· ὑπὲρ γὰρ αὐτοῦ τοῦ μὴ βιάζεσθαι τοὺς νόμους ἔδει θέσθαι. οὔκουν ἦν
252 B. τιθέναι βιασάμενον, "ἀλλὰ τοῦτ' ἦν πρῶτον παρὰ τοὺς νόμους. φαίνεται τοίνυν κἀνταῦθα ἡ ῥητορικὴ βουλομένη μὲν ταὐτὰ τῇ δικαστικῇ, τοσοῦτον δὲ νικῶσα ὅσον ἀμφοτέρας [τὴν νομοθετικὴν καὶ δικαστικὴν] συνέχει μόνη βεβαίως. βουλομένη γὰρ ἡ δικαστικὴ καθάπερ ἐν μάχῃ τῇ νομοθετικῇ βοηθῆσαι, ταὐτὸν ἔπαθεν αὐτὴ τῇ νομοθετικῇ. ἐκείνη τε γὰρ ῥητορικῆς πρότερον ἐδέησεν, ὥστε ταύτῃ ἔχειν πάροδον τοὺς νόμους· ἥ τε δικαστικὴ σχῆμα ἐπικούρου λαβοῦσα τοῖς νόμοις, αὐτὴ πρότερον προσεδεήθη τῆς παρὰ τῆς ῥητορικῆς βοηθείας. ἔδει γὰρ δυνηθῆναι βοηθῆσαι, τοῦτο δ' οὐκ ἦν ἄνευ ῥητορικῆς. πότερον οὖν πολιτικῆς μορίου εἴδωλον ἡ ῥητορική, ἢ τὰ τῆς πολιτικῆς, ὡς σὺ φῄς, μόρια ὑπὸ τῆς ῥητορικῆς συνέχεται; ἐμοὶ μὲν γὰρ ὡς ἀληθῶς ὁ ῥητορικὴν ἐν τούτοις κακίζειν φαίνεται, οὐδὲ πολιτικῆς μορίου εἴδωλον δεικνύναι, ἀλλ' οὕτως ὥσπερ εἴδωλον ῥητορικῆς ἀπειληφὼς ἐπὶ τούτῳ σπουδάζειν, αὐτῆς δὲ οὐδ' ἅπτεσθαι, ὥσπερ οἱ Στησιχόρου Τρῶες οἱ τὸ τῆς Ἑλένης εἴδωλον ἔχοντες ὡς αὐτήν. διαφέροι δ' ἂν τοσοῦτον, ὅτι οὐδὲν ὅμοιον τῇ ῥητορικῇ τὸ εἴδωλον. οὐκοῦν ὁπότε μήτ' ἀδικεῖν μήτ' ἀδικεῖσθαί φησι βούλεσθαι, δῆλον ὅτι καὶ τὸ ἀδικεῖσθαι κακὸν ἡγούμενος οὔ φησι βούλεσθαι, ἀλλὰ τοῦ μὲν ἀδικεῖν ἄμεινον τὸ ἀδικεῖσθαι, οὐ μὴν ἐκείνου γε τοῦ μήτ' ἀδικεῖν μήτ' ἀδικεῖσθαι, ὀρθῶς οἶμαι καὶ γινώσκων καὶ λέγων. εἰ μὲν τοίνυν ἡ ῥητορικὴ ἀδικεῖσθαι μὲν ἐκώλυεν, ἀδικεῖν δὲ προηνάγκαζεν, οὐδ' οὕτω μὲν ἴσως ἂν καθάπαξ πονηρὸν ἦν, πονηρόν γε ὂν κωλύουσα τὸ ἀδικεῖσθαι, χεῖρον δ' ἂν ἴσως βελτίονος, ὅπερ ἀδικεῖσθαι κρεῖττον ἢ ἀδικεῖν. εἰ δ' οὔτ' ἐκεῖνος ἐπαναγκάζει καὶ τοῦτο κωλύει, κατ' ἐκεῖνο μὲν οὔτε ἀγαθὸν οὔτε κακόν πω (δῶμεν γὰρ ὡς ἐν τῷ παρόντι), κατὰ τοῦτο δὲ κυρίως ἀγαθόν. καὶ μὴν ὁ μὲν μὴ ἀδικεῖν ἐγνωκὼς οὐχ ἅμα αὐτός τε τοῦ κακουργεῖν ἀπέχεται καὶ τὸ ἀδικεῖσθαι πέφευγεν· αὐτὸ γὰρ τοῦτο ἦν ἀδικεῖν, τὸ κακῶς ὂν οὐ προσῆκε ποιεῖν. ὥσθ' ἕως ἂν ἐν ἀνθρώποις ᾖ τὸ κακουργεῖν, ἀδικήσεται. ὁ δὲ τὴν τοῦ μὴ ἀδικεῖσθαι φυλακὴν ἔχων ἅμα καὶ τὸ ἀδικεῖν που κωλύει. ὥσπερ γὰρ ἅμα ἠδίκηται καὶ ἠδίκηκεν ὁ ἕτερος, οὕτως ὁ τὴν τοῦ μὴ ἀδικεῖσθαι δύναμιν ἔχων τὴν αὐτὴν τοῦ μὴ ἐᾶν ἀδικεῖν ἔχει. ὥστε εἰ τὸ μὲν μὴ ἀδικεῖσθαι τῆς ῥητορικῆς τίθησι, τὸ δὲ μὴ ἀδικεῖν τῆς φιλοσοφίας, τοσούτῳ χείρων φιλοσοφίας ῥητορική, ὅσῳ τοῦ ἀδικεῖσθαι τὸ ἀδικεῖν. ὁπότε δ' αὖ πρὸ τούτου τίθησι τὸ μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι, τούτῳ βελτίων αὖ γίνεται ῥητορικὴ φιλοσοφίας, ἐπειδή γε ὁμοῦ τὸ ἀδικεῖσθαι καὶ τὸ ἀδικεῖν ἀναιρεῖ, ἐπεὶ καὶ οἱ νόμοι κωλύοντες ἀδικεῖσθαι ἅμα τὸ ἀδικεῖν δή που κωλύουσιν.

"ταῦτα πιθανῶς μᾶλλον ἢ ἀναγκαίως λέγει Ἀριστείδης. αὕτη H. γὰρ περὶ τοῦ μὴ ἀδικεῖσθαι καὶ τῆς ῥητορικῆς συμβουλεύεται, κρείττω δεικνύναι φιλοσοφίας φιλοτιμούμενος τὴν ῥητορικήν,

a. 3. ἢ om A. 9. μηδὲ τῷ — μεγέθει om A. 10. τῶν ἀνίσων μηδενὶ] τινὶ τῶν ἀνίσων A. 11. ἐν om A. 14. φαίνεται] p. 85. τῇ om A. 15. εἴπερ — 16. θεωρεῖν om A. 19. εἰ γὰρ — 23. ἤδη om A. 23. γε om A. πρὸς αὐτὸ τοῦτο πεφυκότας] τὴν ἐκείνων ἰσότητα μὴ αἱρουμένους A. 27. φαίνεται] p. 87. κἀνταῦθα om A. 29. τὴν νομοθ. καὶ δικας. om A, 32. αὕτη om A. πρότερον ῥητορικῆς A. 33. ταύτην ς. 35. ἐδεήθη A. 37. πότερον] p. 91. b. 1. ἐμοὶ A: ἐμὸν ς. 4. ὑπολαβὼν ῥητορικῆς A. 7. τὸ εἴδωλον τῇ ῥητορικῇ A. 8. οὐκοῦν] p. 103. μήτ' ἀδικεῖν μήτ' ἀδικεῖσθαι A: οὐδέτερον μήτ' ἀδικεῖν ς. 9. φησὶ] φὴς A. καὶ τὸ om A. 10. ἡγούμενος] ἡγεῖται A. οὔ φησι — ἀδικεῖν om A. 11. τὸ ἀδικεῖσθαι] δ' ὅμως τοῦ δ' ἀδικεῖν A. ἐκείνου γε om A. 12. ὀρθῶς — λέγων om A. 13. μὲν post εἰ om A. 14. ἴσως ἂν om A. 16. ὅπερ — 17. ἀδικεῖν om A. pro ὅπερ lege ὅσῳπερ. 20. καὶ μὴν] p. 104. 26. ἠδίκηται καὶ ἠδίκηκεν ὁ ἕτερος] ἠδίκηκεν καὶ ἠδίκηται ἕτερος A. 27. τοῦ A: που ς. 30. τὸ om A. 32. αὖ] ἂν A. 33. γε om A. 34. τὸ] τε A, καὶ ς.

ταῦτα περὶ τοῦ μὴ ἀδικεῖν καὶ τῆς φιλοσοφίας ἀπαραλλάκτως μεταλαβὼν τὴν φιλοσοφίαν ἄμεινον τῆς ῥητορικῆς ἐπιδείξειέ τις.

εἰ δὲ δὴ καὶ ὅλως βοηθείας ἕνεκα τῷ δικαίῳ 1253B. τὴν ῥητορικὴν δείκνυμεν εὑρεθεῖσαν, καὶ τὴν αὐτὴν καθαρῶς τάξιν ἔχουσαν τοῖς νόμοις, ὡς δέδεικται, ἔχει τὴν αὐτὴν οὐ μόνον (ὡς ἔοικεν) ὁ ῥήτωρ· οὐ τὸ μὲν ἀδικεῖσθαι φεύξεται, τὸ δ᾽ ἀδικεῖν βεβαιώσει, ἀλλ᾽ οὐδὲν οὕτως ὡς τὸ ἀδικεῖν κωλύσει. οὐ γὰρ μόνον τῶν εἰς αὐτὸν χήσει πρόνοιαν, ἀλλ᾽ ὅπως μηδ᾽ ἄλλος πείσεται κακῶς, εἴπερ ὧν τοὺς νόμους χάριν, τούτων καὶ τὴν ῥητορικὴν εὑρέσθαι νενίκηκεν. ἀλλὰ μὴν ὅ γε ἑτέρους τὰ δίκαια πράττειν ἐπαναγκάζων πολύ που πρότερον αὐτός γε παρασκευάσεται. οὐ γὰρ ἐγχωρεῖ βοηθεῖν μὲν τῷ δικαίῳ, τοῦ δὲ καταλύειν τὸ δίκαιον αὐτὸν πρῶτον ὑπάρχειν. οὐ μὴν ἀλλ᾽ εἰ τοῦτο Πλάτων ἰσχυρίζεται, ὡς οὐ πολλήν τινα οὐδ᾽ ἀξίαν σπουδῆς οὐδὲ λόγου χρείαν ἡ ῥητορικὴ παρέχεται, ὅτι οὐ τηλικοῦτόν ἐστι τὸ ἀδικεῖσθαι κακὸν ἡλίκον τὸ ἀδικεῖν, τί κωλύει καὶ τοὺς νόμους αὐτὸν ἅπαντας τοῖς αὐτοῖς τούτοις διαγράφειν λόγοις; ἀλλ᾽ ὥσπερ ἑταιρείας καταγνωσθείσης, μετὰ καὶ τῶν ταῦτα συμβουλομένων νόμων ἐξελαθήσεται. καὶ τότε ῥητορικὴν ἐκπέμψομεν καὶ προπηλακιοῦμεν, ὅταν καὶ τοὺς νόμους [συνεκπέμψαι καλῶς ἡμῖν ἔχῃ] ἐκβάλλωμεν τῆς πόλεως καὶ τοῦ βίου. ἀλλ᾽ ὦ δαιμόνιε καὶ πάντα σὺ θαυμαστὰ εὑρίσκων, εἰ μηδέν ἐστι πρᾶγμα τὸ ἀδικεῖσθαι, μηδ᾽ ἡ τοῦτο κωλύουσα δύναμις μηδενὸς ἀξία λόγου, μηδ᾽ ὁπόσα ἐστὶ καὶ γίνεται μὴ δι᾽ αὐτῆς μηδὲν χρηστόν, ἀλλ᾽ οὕτως ἄτιμον καὶ ἀνελεύθερον ὥστ᾽ εἶναι μόριον κολακείας καὶ σκιᾶς, τοῦ χάριν ταύτην οἰκίζων τὴν ἐν τῇ βίβλῳ πόλιν καθίστης αὐτῇ πολιτείαν, ἀφ᾽ ἧς μηδ᾽ ὁτιοῦν πείσεται, καὶ τὸ μάχιμον χωρὶς τῶν ἄλλων ἱδρῦσθαι κελεύεις, τιμὴν τὴν πρώτην ἀποδούς, ἵνα μήτι πάθῃ μηδ᾽ ὑπό τινων ἀδικηθῇ πολεμίων; εἰ γὰρ ἐξήρκει μὴ ἀδικεῖν, τί δέδοικας, εἰ πρὸς τοῦτό τ᾽ αὐτὴν παρεσκεύασας; εἰ δὲ δὴ καὶ χεῖρον τοῖς ἀδικοῦσιν, ὅταν μὴ διδῶσι δίκην, καὶ χρὴ δὴ κατὰ σὲ καὶ αὐτὸν ἑαυτοῦ κατήγορον, ὅταν ἀδικήσῃ, γίνεσθαι καὶ παίδων καὶ πατρὸς αὐτοῦ, τοὺς δ᾽ ἐχθροὺς ἐᾶν, τί οὐ συνεύχῃ τοῖς πολεμίοις ἐπελθεῖν καὶ λαβεῖν τὴν πόλιν, καὶ νὴ Δία τοὺς μὲν ἐν ἡλικίᾳ πάντας κατακόψαι, καὶ ταῦτα πρὸς τοῖς βωμοῖς, παῖδας δὲ καὶ γυναῖκας ἐξανδραποδίσασθαι πέρα, εἰ βούλει, Γαδείρων, τὰ δὲ ἱερὰ συλήσαντας κατασκάψαι πάντα, μὴ λιπεῖν δὲ μηδὲ τοὺς τάφους ἀθώους τῆς ἑαυτῶν πλεονεξίας, ἵν᾽ ἀδικήσαντες τὰ μέγιστα ἐν τοῖς μεγίστοις δὴ κακοῖς ὦσι, μὴ δόντες δίκην. ἀλλὰ τοσοῦτον ἀπέχεις τοῦ ταῦτα συμπράττειν, ὥστε κωλύεις καὶ βίον ἐν τοῖς ὅπλοις εὕρηκας, ἵνα μήτι τοιοῦτον γένοιτο· κἄν τις ἐγγένηται προδότης, τοῦτον οὐ στεφανοῦν κελεύεις οὐδὲ κηρύττειν, ἀλλὰ ταὐτὰ τοῖς ἄλλοις νομοθέταις περὶ 178H. τούτων νομίζεις. εἰπέ, πρὸς Διὸς τεραστίου, τί χρὴ περὶ τούτων ἡμᾶς νομίζειν; εἶεν, ὦ γενναῖε· νόμους δὲ δὴ τοῦ χάριν ἡμῖν ἐτίθης. εἰ γάρ, ὦ τάν, τὸ δίκην λαμβάνειν καὶ τὸ μὴ ἐᾶν ἀδικεῖν οὐχ ἕν τι τῶν σπουδαίων ἦν, τοῦ χάριν ταῦτα πραγματεύῃ, καὶ σκοπεῖς ὅπως μηδεὶς [που τῶν ἐν τῇ πόλει] ἀδικήσεται; καὶ μὴν ἐν μὲν οἷς ἡμεῖς λέγομεν, καὶ τοῖς ἄλλοις συνδοκοῦν ἐστὶ καὶ τῷ Πλάτωνι πρόσεστιν· ἃ δ᾽ οὗτος ἐνταῦθα εἴρηκεν, οὐ μόνον τοῖς τῶν πραγμάτων λόγοις ἀλλὰ καὶ τοῖς αὐτοῦ Πλάτωνος ἐξελέγχεται καὶ λόγοις καὶ βουλήμασιν. ἐκείνων μὲν ὀρθῶς ἔχειν συγχωρουμένων, καὶ ἡ παρὰ τῶν ἄλλων μαρτυρεῖ δόξα καὶ ψῆφος ὀρθή· ταῦτα δὲ εἰ δοίημεν κρατεῖν, ἄπεστι τὸ ὁτῳοῦν συνδοκεῖν τῶν ἄλλων. ἰσχυρότερον δὲ τὸ καὶ ἅπασι καὶ Πλά- 125[illegible] τωνι τοῦ μηδενὶ καὶ μηδὲ Πλάτωνι συνδοκεῖν, ὡς οὗτος ἀλλαχοῦ. οὐκοῦν οὐ τὴν παρὰ τούτου μαρτυρίαν διὰ τὴν παρὰ τῶν ἄλλων φευξόμεθα, ἀλλὰ τῇ τῶν ἄλλων τὴν παρὰ τούτου προσθήσομαι. ἡγοῦμαι μὲν τοίνυν κἂν τούτοις τὴν ἔργῳ μαρτυρίαν παρέχεσθαι· τὸ γὰρ δὴ λόγοις πρὸς λόγους ἀγωνιζόμενον λόγοις ἑτέροις σπουδαίοις μαρτυροῦντα ἀποφαίνειν τὸν ἀντίπαλον τὴν ἔργῳ παρέχεσθαι μαρτυρίαν ἐστίν. οὐ μὴν ἀλλ᾽ ἔτι καὶ προσωτέρω προελθεῖν βούλομαι, ἵνα, ἐπειδὴ τιμᾷ τὸ ἕνα ἐπιψηφίζειν καὶ αὐτὸν πρὸς ὃν ἂν οἱ λόγοι γίγνωνται, καὶ λόγῳ καὶ ἔργῳ σύμψηφον ὄντα αὐτόν μοι δείξω. σὺ μὲν ξένου χάριν Συρακουσίου, κοινοῦ τῆς πατρίδος ἐχθροῦ, ἔπλεις οὐχ ἅπαξ ἀλλὰ καὶ δὶς καὶ τρίς, ἐν γήρᾳ, πλα-

a. 3. εἰ δὲ] p. 105. δὴ — 4. εὑρεθεῖσαν om A. 4. αὐτὴν καθαρῶς τάξιν ἔχουσαν] τάξιν ἡ ῥητορικὴ A. 7. οὐ τὸ] οὕτω A. 11. τῆς ῥητορικῆς A. εὑρέσθαι] immo εὑρῆσθαι. 13. γε om A. παρασκευάσεται A: παρ[illegible]άσθαι ς. fortasse leg. παρεσκευάσεται. 15. οὐ μὴν (p. 106) om A. διισχυρίζεται A. 16. τινὰ — χρείαν] τὴν ἀχρείαν A. 18. αὐτὸν] αὐτῶν A. 20. ἀλλ᾽ (p. 107) — 21. ἐξελαθήσεται om A. 23. συνεκπέμψαι — ἔχῃ om A. 25. ἐστι om A. 26. μηδενὸς — 29 σκιᾶς om A. 33. μηδ᾽ ὑπό τινων ἀδικηθῇ om A. ἐξαρκεῖ A. 34. εἰ — παρεσκεύασας om A. 35. δὴ add A. 36. χρὴ δὴ κατὰ] χρήματα A. αὐτὸν ἑαυτοῦ] αὐτοῦ A. 37. παίδων A: παιδίων ς. b. 3. πέρα — 6. πλεονεξίας] καὶ ἱερὰ πάντα καὶ τάφους συλῆσαι καὶ κατασκάψαι A. 8. τοῦ om A. 9. μή τοιοῦτόν τι A. 10. οὐδὲ κηρύττειν om A. 12. εἰπὲ] p. 109. 13. νομίζειν — 14. ἐτίθης om A. 16. ταῦτα πραγματεύῃ] νόμους εἰσφέρεις A. 17. που] σου A. καὶ μὴν] p. 110. 20. τῶν om A. 26. ὡς οὗτος — 29. προσθήσομαι om A. 30. γὰρ om A. 36. σὺ] p. 111.

Digitized by Google

γος τοσοῦτον, καὶ τῷ τυράννῳ συνεῖναι δοκεῖν οὐκ ἔφυγες, ὡς ἔχων παραμυθίαν τὸ σχῆμα τῆς διατριβῆς, ὃ Δίωνα μένειν οἴκοι καὶ τῆς οὐσίας κρατεῖν ἦν. τὴν δ' αὐτοῦ τις οἰκῶν καὶ τοῖς αὐτοῦ πολίταις καὶ γονεῦσι καὶ ἀδελφοῖς εἰ τὴν ὅπως μὴ ἀδικήσωνται φυλακὴν ἔχοι, καὶ σώζοι καὶ τούτους καὶ ἑαυτόν, καὶ νὴ Δία γε εἰ τοῦτ' αὐτὸ τύραννον ἔσεσθαί τινα μέλλοντα καὶ Διονυσίῳ προσόμοιον οἷός τε εἴη κωλῦσαι, καὶ παρελέσθαι λόγῳ τὰς πράξεις, καὶ τὴν ἐκ τῶν νόμων ἄδειαν ἅπασι βεβαιῶσαι, ἔπειτ' οὐδὲν σπουδαῖον τοῦτ' εἶναι φήσομεν, οὐδ' ἐπαινεῖν χρὴ τὴν τοιαύτην εἴτε τέχνην εἴτε μηδὲ τέχνην εἰπεῖν δεῖ; ὅτι νὴ Δία ἓν μέγα τοῦτ' ἦν κακόν, τὸ ἀδικεῖν, τὸ δὲ ἀδικεῖσθαι πρᾶγμα οὐδέν. ἐγὼ γὰρ οὔτ' αὐτὸς ἐπέγκλημα δή που τοῦτο ποιοῦμαι, εἴ ποι καὶ ὁπωσοῦν ᾠήθη δεῖν εἰς Σικελίαν Πλάτων ἐλθεῖν ἡστινοσοῦν ἕνεκα αἰτίας, οὔθ' ὅστις ἄλλος προφέρει τι τοιοῦτον εὖ φρονεῖν ἡγοῦμαι, οὔθ' ὅλως ἔξω τῶν εἰς τὸν λόγον ἡκόντων οὐδὲν περιεργάζομαι· μὴ τοσούτου μηδὲν ἄξιον ἔξω νικητήριον. ἀλλ' ἃ αὐτὸς ἔπραξε καὶ ὧν τίνων ἔπραξε χάριν αὐτὸς καθαρῶς εἴρηκε, ταῦτα συμβαίνειν φημὶ τοῖς ὑπὲρ τῆς ῥητορικῆς λόγοις. καὶ μὴν ὅσῳ κάλλιον φρόνησις ἀνδρείας, τοσούτῳ ῥητορικὴ τῆς κατὰ πόλεμον εὐψυχίας. εἰ γὰρ δεῖ συνελόντα εἰπεῖν, οὐδέν ἐστιν ἄλλο ῥητορικὴ ἢ φρόνησις λόγων 679 H. δύναμιν προσειληφυῖα, ὡς μὴ μόνον "αὐτὸς ἔρδειν τὰ βέλτιστα ἀλλὰ καὶ ἑτέρους πείθειν ἔχοι. ἡγοῦμαι μὲν τοίνυν καὶ ταῦτα πίστεις ἱκανὰς ἔχειν τῆς ἀληθείας, εἰ μὴ καὶ πλείους ἄρα τῶν ἱκανῶν· εἶμι δ' ἐπ' αὐτὸν ἤδη τὸν κολοφῶνα τοῦ Πλάτωνος, ὡς ἂν τις εἴποι, ῥημάτων. οὐ γὰρ μόνον ἐξ ὧν ἐλέγχεται βούλομαι φανῆναι μαρτυροῦντα αὐτόν, ἀλλὰ καὶ ὥσπερ ἂν εἰ καὶ παραστὰς αὐτὸς ἐμαρτύρει τῇ ἑαυτοῦ φωνῇ. οὐκοῦν ὅτ' ἀδικεῖν μὲν οὐκ ἐπηνάγκαζεν, ἀδικεῖσθαι δ' οὐκ ἐᾶ, ὡς δ' ἐκ τοῦ λόγου συνέβαινεν, οὐδέτερον τούτων ἐᾶ, οὔτ' ἀδικεῖν οὔτ' ἀδικεῖσθαι, εἰ μὲν καὶ τῆς φιλοσοφίας ὁ αὐτός ἐστιν ὅρος, φιλοσοφία τις οὖσα ἡ ῥητορικὴ φαίνεται· εἰ δὲ ἐξαρκεῖ τῇ φιλοσοφίᾳ μηδ' ἀδικεῖν, ἡ ῥητορικὴ τελεώτερον.

τίς γὰρ οὐκ οἶδεν ὅτι ῥητορικὴ καὶ τυραννὶς τοσοῦτον ἀλλήλων κεχώρισται, ὅσον τοῦ πείθειν τὸ βιάζεσθαι; ἀλλὰ μὴν ταῦτά γε οὐδεὶς ἔστιν ὃς ἂν τὴν ἐναντίαν φύσιν εἰπὼν ἔχειν αἰσχυνθείη. πῶς γὰρ ὁμοῦ μὲν κολακεύουσιν οἱ ῥήτορες, ὁμοῦ δ' ἐν ταῖς δυναστείαις εἰσίν; οἱ δ' αὖ τύραννοι ἀπέχουσι τοσοῦτον τοῦ κολακεύειν ὥστε βίᾳ πάντας ὠθοῦσι, καὶ οὐδενὸς ἔστι παρ' αὐτῶν τυχεῖν οὐδὲ τῶν μετρίων, "μή τί γε δὴ τῆς ὑπὲρ τὸ 1257 B. προσῆκον θεραπείας· ὥσθ' ὁ τύραννος μικροῦ δεῖν καὶ τὸ τοῦ δεσπότου μέτρον παρελήλυθε. καὶ κόλακος μὲν [γὰρ] οὐδέν ἐστι δή που ταπεινότερον, οὐδ' ὅ τι μᾶλλον ᾕρηται δουλεύειν· τυράννου δὲ οὐδὲν ἂν εἴποις ἀγριώτερον, οὐδ' ὅ τι μᾶλλον πρὸς τῷ δεσπόζειν ἐθέλειν ἐστίν. ὥστε εἰ μὲν κολακεία ἡ ῥητορική, τὰ τῶν τυράννων ἐγκλήματα οὐ πρὸς αὐτῆς ἐστιν. εἰ δ' ὁμοῦ τῇ τυραννίδι τὴν κολακείαν μεγάλοις τοῖς ὁρίοις παρελήλυθεν, οὐκοῦν τά γε ἕτερα πάντως ἤδη ψευδῆ. τοσοῦτον γὰρ ἡ ῥητορικὴ κεχώρισται δυναστείας ὅσον, εἰ καὶ τοῦτ' εἰπεῖν δεῖ, Πλάτων Διονυσίου. φανήσεται γὰρ οὐδ' ὅπου ῥητορικὴ σώζεται τύραννος ἐγγινόμενος, μέχρις ἂν σώζεται λόγῳ, οὔτ' αὖ ἔνθα τυραννὶς κρατεῖ ῥητορικὴ περιοῦσα· ἀλλ' ὅ τε ῥήτωρ πάντα πράττων ὅπως μηδεὶς τύραννος ἐγγένηται, τό τε αὑτοῦ καὶ τὸ κοινὸν ὁμοῦ προορῶν, ὅπως μηδεὶς αὐτὸν τῷ λόγῳ πείθειν παρελόμενος αὐτὸς ἄγῃ κατ' ἀρχὴν τὰ πράγματα, οἵ τε τύραννοι σκοποῦντες καὶ φοβούμενοι τῶν πάντων οὐδὲν μᾶλλον ἢ μή τις ἐγγένηται λέγειν καὶ πείθειν δυνατός, ὅστις συναγαγὼν τὰ πλήθη καὶ σύμβουλος καὶ μηνυτὴς τοῦ προσήκοντος γινόμενος ὁμοῦ τῆς ἀρχῆς καὶ τῆς ἐξουσίας ἀκύρους αὐτοὺς καταστήσῃ. διόπερ τὴν ἔχθραν ἀναγκαίως ἀλλήλοις ἔχουσιν· ἡ γὰρ τῶν ἑτέρων σωτηρία καὶ δύναμις μὴ εἶναι τοὺς ἑτέρους ἐστὶ τὴν ἀρχήν.

πῶς οὖν τἀναντία (φησίν) ἀλλήλοις οἱ ῥήτορες λέγουσιν; ἔστι μὲν οὐκέτι τοῦτ' ἐν εἰρημένοις ὑπὸ Πλάτωνος· ὅμως δὲ ὑπὲρ τοῦ πανταχῇ διακαθᾶραι τὸν λόγον μηδὲ τοῦθ' ἡμῖν ἀνεξέταστον ἀφείσθω. καὶ τοῦτ' οὖν ἰσχυρότατον πάντων ὂν σχεδόν, ὡς ἐν ψεύδεσιν, ὧν ἐκεῖ-

a. 1. συνεῖναι A: τὸ συνεῖναι ς. 2. Δίωνι ς. 3. τῆς om A. 9. πᾶσι A. 12. εἰπεῖν om A. τοῦτ' ἦν om A. 13. ἐγὼ] p. 118. 14. δήπου om A. 18. τοσούτου] τοσοῦτον οὐ A. 19. ἔξω] ἐς τὸ A. 21. καὶ μὴν] p. 122. 22. ὅσῳ A: ὅσα ς. καλλίων A. τοσοῦτον A. 25. ὡς — 26. ἔχοι om A. 26. τοίνυν] οὖν A. 29. τοῦ om A. ῥήματι A. 32. οὐκοῦν] p. 124. ὅτ' — 35. ἀδικεῖσθαι om A. 37. μηδ' add A.
b. 1. τίς] p. 125. γὰρ] δ' A. 2. ἀλλὰ — 4. αἰσχυνθείη om A. 4. γὰρ] δ' A. μὲν add A. 6. οἱ δ' αὖ τύρ. ἀπ. τοσ.] καίτοι τοσοῦτον ἀπέχουσιν οἱ τύραννοι A. 9. ὥσθ' — 10. παρελήλυθε om A. 11. γὰρ om A. οὐδ' — 12. δουλεύειν om A. 14. μὲν om A. 15. αὐτῆς] αὐτὴν οὐδ' ὁμοῦ A. 17. πάντως ἤδη om A. τοσοῦτον] p. 127. 18. γὰρ] δ' A. 19. φανήσεται (p. 128) — 20. σώζεται] φαίνεται δ' ὅπου ῥητορικὴ σώζεται οὐδαμῶς A. 20. ἐγγενόμενος A. μέχρις — 21. λόγῳ om A. 21. αὖ ἔνθα] ἂν ἐν οἷς A. 22. ὅπως] ὥστε A. 23. τό τε — 25. πράγματα om A. 27. ἢ om A. 33. πῶς] p. 129. 34. οὐκέτι — 36. καὶ τοῦτ' om A. 36. μηδὲ addidi ex Aristide. 37. ὂν σχεδὸν om A.

Digitized by Google

680 H. νος εἴρηκεν, ὅτι οἶμαι ϗ ἡμῖν αὐτοῖς ἀπαντῶμεν οὗ ἐν τῷ λόγῳ, αὐτὸ τοῦτο κἀγὼ νῦν πεποίηκα. ἀλλ᾽ οὐδὲν μᾶλλον ὅ γε ἐξ ἀρχῆς λόγος διαφθείρεται, ἐπεὶ καὶ οἱ φιλοσοφεῖν οὕτω λεγόμενοι οὐ τοῖς αὐτοῖς λόγοις ἅπαντες δήπου χρῶνται, ἀλλὰ ϗ τοῖς ἐναντιωτάτοις ἀλλήλοις· ἀλλ᾽ οὐδὲν κωλύει κατὰ τοὺς τυγχάνοντας τῆς ἀληθείας φιλοσοφίαν εἶναι καλόν. οὐ δήπου διπλοῦν ἐστιν οὐδ᾽ ἐναντίον αὐτὸ ἑαυτῷ. πῶς οὖν, ἂν φαίη τις, ἢ φιλοσοφεῖν ἀμφοτέρους φήσομεν τἀναντία λέγοντας, ἢ τὸ φιλοσοφεῖν εἶναι καλόν; οὕτως ὡς ἔφην. ἴδοις δ᾽ ἂν καὶ κυβερνήτας ἐναντία ἀλλήλοις ναυμαχοῦντας· ἀλλ᾽ ὅμως τῆς κυβερνητικῆς ἐστὶ σώζειν τὴν ναῦν. οὕτω τοίνυν καὶ ὅταν οἱ ῥήτορες ἀλλήλοις ἐναντία, ὡς ἂν τις φαίη, λέγωσιν, οὐ κωλύεται τὸ ἐξ ἀρχῆς κεφάλαιον τῆς ῥητορικῆς, ἀλλὰ τὸ συμβαῖνον τῷ λόγῳ χρὴ σκοπεῖν, μεμνημένους ὧν ἕνεκα εὑρέθη. [εὑρέθη δὲ τὸ λέγειν ὑπὲρ τῶν δικαίων.] ὁ μὲν οὖν ὑπὲρ ῥητορικῆς λόγος οὗτος.

(ὁ μὲν α′ λόγος ὑπὲρ ῥητορικῆς μόνον ἦν· οὗτος δὲ καὶ ὑπὲρ ῥητορικῆς καὶ ὑπὲρ ῥητόρων.)

Ἐκ τῶν Ἀριστείδου πρὸς Πλάτωνα ὑπὲρ ῥητορικῆς

τὸ προοίμιον τοῦ δευτέρου λόγου.

ἐπεὶ δὲ καὶ Μιλτιάδου καὶ Θεμιστοκλέους καθήψατο ϗ Κίμωνος ϗ Περικλέους, οὐ πρὸς τὸ βέλτιστον φάσκων προστῆναι τῆς πόλεως, ἔστι μὲν οὖν ἴσως οὐδὲν κατεπεῖγον περὶ τούτων νῦν διαφέρεσθαι. οὗτοι μὲν γάρ, εἰ δίκαια Πλάτων αὐτῶν κατηγόρηκε, δικαίως ἂν φαῦλοι νομίζοιντο· ῥητορικὴ δέ, εἰ ϗ πάντων μοχθηροτάτους τούτους θείημεν, οὐδὲν μᾶλλον ἐλέγχεται. συγχωρούντων μὲν
1260 R. οὖν ἡμῶν οὗ ὅ γε ὑπὲρ ῥητορικῆς οὐκ ἀπόλωλε λόγος. εἰ δὲ δὴ ϗ περὶ τούτων ἐλέγχοιτο οὐ παντάπασιν εὐγνωμόνως τῷ λόγῳ κεχρημένος, πανταχῇ δειχθήσεται φιλονεικῶν. τοῦτ᾽ ἐστὶ πάρεργον τὸ καὶ περὶ τούτων εἰπεῖν.

αὐτοὶ παράδειγμα τοῖς ἄλλοις γινόμενοι τοῦ πῶς δεῖ καρτερεῖν, ἐν αὐτοῖς τοῖς δεινοῖς ϗ ταῖς ἀκμαῖς τῶν κινδύνων τὴν ἡμετέραν αὐτῶν, εἰ συγχωρεῖς εἰπεῖν, ἀρετὴν ἐπιδεικνύμενοι. τί οὖν ἡμῖν προφέρεις κολακείαν ϗ διακονίαν, ϗ τοὺς ἰδίᾳ τροφεῖα μὴ ἐκτίνοντας φαύλους ἂν εἶναι συμφήσας αὐτὸς ἡμῖν οὐ καλὴν χάριν ἐκτίνεις τῆς κοινῆς τῶν Ἑλλήνων σωτηρίας ϗ τροφῆς, ἣν σύ τε ϗ οἱ ἄλλοι δι᾽ ἡμᾶς ἐν ἐλευθερίᾳ τέτραφθε. εἰ ταῦτα λέγοιεν οἱ ἄνδρες, ποίους λαβυρίνθους σοφίας ἀνελίττων ἢ τί λέγων τῶν πάντων οἷός τε γένοιτ᾽ ὢν ἀντειπεῖν; πᾶσι τοίνυν προτέροις ἐστὶ λόγος πρὸς ταῦτα ἢ Πλάτωνι. διὰ τί; ὅτι ἐν αὐτοῖς τούτοις ἃ πρὸς τοὺς Δίωνος γέγραφεν ἑταίρους, καὶ ἐν οἷς ὁ Δίων αὐτῷ τετελευτηκὼς ὑπόκειται λέγων ὡς ἔμπνους, ἔνεστι ταυτί.

τὸ δὲ πάντων ἀτοπώτατον, ὅτι χρῆται μὲν τούτοις ἐν ἐλέγχῳ τοῦ κολακείαν εἶναι τὴν ῥητορικήν, ὡς δὴ τούτους ὄντας ῥήτορας, πάλιν δ᾽ αὐτὸς αὐτοὺς ἀφίησι τῆς κολακείας, οὐκ οὖν φησί γε αὐτοὺς ταύτῃ χρῆσθαι, ἐν οὗ οἷς περὶ ὧν ἔπαθον λέγει. κἂν τούτοις οὖν ἀνάγκη θάτερα ἐψεῦσθαι. εἰ μὲν γὰρ ἡ ῥητορικὴ κολακεία, πάντως 681 H.
δεῖ κόλακας τούτους εἶναι, ῥήτοράς γε ὄντας, ὥς φησιν· εἰ δὲ οὐδὲν οὗτοι κολακείᾳ προσήκουσι, ποῦ ῥητορικὴ κολακείᾳ προσήκει διὰ τούτους, ἢ τί τούτων ἔδει τῶν παραδειγμάτων; ᾤμην δὲ οὐδὲ τοῦτο τῶν δικαίων εἶναι, τὰς προαιρέσεις τὰς ἐκείνων ἐξετάζοντας τὰς συμφορὰς αἷς ἐχρήσαντο ὑπολογίζεσθαι. οὐ γὰρ εἰ μὴ κατὰ νοῦν ἀπήλλαξαν, φαῦλοι γεγόνασιν, ἀλλ᾽ εἰ μὴ τὰ βέλτιστα ἐβουλεύοντο τοῖς πράγμασιν. ἐκεῖνο μὲν γάρ ἐστι τῆς τύχης κατηγορεῖν, τοῦτο δὲ τὴν γνώμην ἐλέγχειν.

ἐνθυμοῦμαι δὲ ἔγωγε πῶς ἀνέχεσθαι χρή, ὅταν Ἀλκιβιάδην μὲν ϗ Κριτίαν Σωκράτει συγγενομένους, οἳ τοσαύτας καὶ τηλικαύτας αἰτίας ἐσχήκασι ϗ ὑπὸ τῶν πολλῶν ϗ ὑπὸ τῶν ἐπιεικῶν, ὥστε Κριτίου γε οὐδ᾽ ἐπινοῆσαι ῥᾴδιον ἐξωλέστερον, ὃς ἐν τριάκοντα τοῖς πονηροτάτοις τῶν Ἑλλήνων πρῶτος ἦν, τοὺς μὲν οὔ φασι δεῖν ἐν τεκμηρίῳ ποιεῖσθαι ὅτι Σωκράτης τοὺς νέους διέφθειρεν, οὐδ᾽ εἶναι τὰ ἐκείνων ἁμαρτήματα οὐδ᾽ ὁτιοῦν πρὸς Σωκράτην τὸν οὐδὲ αὐτὸν ἔξαρνον ὄντα τὸ μὴ οὐ διαλέγεσθαι τοῖς νέοις· εἰ δ᾽ Ἀθηναίων δῆμος ἐν πολλοῖς καὶ μεγάλοις οἷς καὶ ὑπὲρ αὐτοῦ καὶ ὑπὲρ τῶν Ἑλλήνων διεχείρισεν, ἔσθ᾽ ἃ μὲν ὀρθῶς ϗ προσηκόντως ἐβουλεύσατο, ἔστι δὲ ἃ ϗ ἐξήμαρτεν εἰς τοὺς προεστηκότας, ταῦτ᾽ ἀξιοῦσιν αὐτοῖς τοῖς προστάταις λογίζεσθαι.

ὥσπερ ἂν εἴ τις καὶ τοῦ θείου κατηγοροίη τοῖς αὐτοῖς λόγοις, ὅτι χρῆν αὐτοῦ τὴν πρόνοιαν εἶναι τοιαύτην ὥστ᾽ ἀδικίαν ϗ ἀγνωμοσύνην ἀνελεῖν παντάπασιν

a. 1. εἴρηκεν] εἴρηκεν ὁ πλάτων A. ὅτι οἶμαι — 2. πεποίηκα om A. 5. ἐναντίοις A. 8. αὐτὸ ἑαυτῷ] αὐτὸ ἐπ᾽ αὐτῷ A. 10. οὕτως add A. 11. ἀλλήλοις ἐναντία A. 17. ὁ μὲν οὖν — 20. ῥητόρων om A. 28. νομίζωνται A. 29. πάντων μοχθηροτάτους A: πάνυ τῶν μοχθηροτάτων ς. 35. αὐτοὶ] p. 132. 38. προσφέρεις A.
b. 5. πρὸς ταῦτα om A. 6. ὅτι] διότι A. 9. τὸ δὲ] p. 136. 13. λέγειν A. 16. προσήκουσι — 17. προσήκει om A. 19. ἐξετάζοντα ς. 22. ἐβουλεύσαντο A. 24. ἐνθυμοῦμαι] p. 139. 26. καὶ ὑπὸ — 29. πρῶτος ἦν om A. 30. ὅτι ὁ Σωκράτης ς. 34. καὶ post οἷς om A. 35. καὶ προσηκόντως om A. 38. ὥσπερ] p. 140. ἂν om A. τοῦ θείου add A. τοῖς αὐτοῖς λόγοις om A. 39. αὐτοῦ A: αὐτοῖς ς. εἶναι καὶ τοιαύτην ς.

Digitized by Google

ἐξ ἀνθρώπων ϗ μηδὲν ἁμαρτάνειν μηδένας ἀνθρώπων μηδαμοῦ. νῦν δὲ πῶς, εἰ προνοεῖν αὐτοὺς χρὴ νομίζειν, ὅταν μὴ [εἰ δ᾽ οὐ] παύωνται πλημμελοῦντες ὧν ἄρχουσι, μὴ δικαίως ὑπ᾽ ἐνίων ἀμελεῖσθαι; ϗ ὁ μὲν ἡνίοχος παραλαβὼν λακτίζοντας τοὺς ἵππους πραΰνει ϗ τιθασσεύει, ϗ τελευτῶν ἐπ᾽ αὐτῶν ἀσφαλῶς κατὰ πολλὴν ῥᾳστώνην εἶσιν ὅποι βούλεται· οἱ θεοὶ δὲ οὔπω καὶ νῦν
1261R. ἐξῃρήκασιν ἀδικίαν ἐξ ἀνθρώπων ἐκ τοσούτου, ϗ ταῦτα ἐκ παντὸς τοῦ αἰῶνος πολιτευόμενοι, καὶ προσέτι εἰς ἑαυτοὺς ἁμαρτάνοντας ὁρῶντες ἔστιν οὓς αὐτῶν. ἀλλὰ μὴν ὅτι ταῦτα οὐδ᾽ ἂν εἷς ὑγιαίνων εἴποι σπουδῇ, πλὴν ὡς ἡμεῖς νῦν εἰς ἔλεγχον λόγου, πῶς οὐ κομιδῇ Πλάτων συκοφαντεῖ; εἰ γὰρ ἃ μηδ᾽ οἱ θεοὶ πώποτε πεποιήκασι, μηδὲ παρ᾽ αὐτῆς τῆς Ἀθηνᾶς τῆς πολιάδος εἶχεν ἀπαιτῆσαι, ταῦτα παρὰ Θεμιστοκλέους ϗ Περικλέους ἀπαιτεῖ, αὐτὸν ἐρωτῶν πῶς οὐ συκοφαντεῖ; ἀλλ᾽ οἶμαι τὴν μὲν τοῦ δήμου φύσιν οὐκ ἠδυνήθησαν μεταποιῆσαι οὐδ᾽ ἀφανίσαι· ἔστι δ᾽ αὕτη μήδεποτε γενέσθαι πάντα χρηστὸν μηδ᾽ ἀναμάρτητον· ὅσα δὲ κινδυνεύοντας ἔδει προνοήσασθαι, ἐν οἷς ἅμα καὶ τῶν πολλῶν ϗ τῶν ἐπιεικῶν ἦν εὐεργέτας εἶναι, ἢ κατ᾽ ἐξουσίαν πράττοντας ἀπάγειν ἀπὸ τῶν δυσχερεστάτων ἀεὶ καὶ εἰς ἐλάχιστον τρέπειν τὰ τῆς φύσεως ἁμαρτήματα, ταῦτα οὐκ ἔστιν ὅπως οὐ παρὰ
682 H. τούτοις ὄντα φανήσεται, καὶ ταῦτα πρὸς τῷ λόγῳ τῷ παρ᾽ ἡμῶν ϗ ταῖς ἀποδείξεσι Πλάτων αὐτὸς ἐπισφραγίζεται, ϗ ἔστιν ἡμῖν κἀνταῦθα μάρτυς ὑπὸ τῆς αὐτῆς δεξιότητος, ἧσπερ κἀν τοῖς ἄνω κατὰ τὴν χρείαν ἀεί.

καίτοι πῶς οὐκ ἄτοπον ἦν τὰ ἔργα κοσμεῖν τούτων, τὴν δὲ πολιτείαν φαυλίζειν· καὶ ἃ τῆς τῶν πεισθέντων ἀρετῆς τίθεταί τις δείγματα, ταῦτα μὴ τῆς τῶν πεισάντων πρῶτον ὑπάρχειν ἡγεῖσθαι; ἔγκειται μὲν γάρ που ταῦτα μεταξὺ τοῦ μύθου [χωρίς τινος προφάσεως] οὐκ ἀσκέπτως ἐμοὶ δοκεῖν οὐδὲ φαύλως, οὐδ᾽ ὡς ἐξέπεσεν, ἀλλ᾽ ὅπως συγκρυφθείη τε ὡς δυνατὸν μάλιστα, καὶ εἴ τις εὑρὼν χρῷτο, μηδ᾽ αὐτὸς δοκῇ παρελθεῖν, ἀλλ᾽ ἐνεῖη· οὕτω μέσην τινὰ εὗρε τάξιν, καὶ ἅμα πρὸς τῇ τελευτῇ τοῦ λόγου τοῦ παντός, ἃ θεὶς ἐν ἀρχῇ τοῖς ἐφεξῆς οὐκ ἔμελλεν ἕξειν οἶμαι χρῆσθαι.

οὐ γὰρ εἰ ῥᾴδιον ἢ μὴ τῷ ὄντι γενέσθαι ῥήτορα προὔκειτο σκοπεῖν, ἐπεὶ τοῦτό γε ϗ ἡμεῖς, εἰ βούλει, μαρτυροῦμεν, κἂν εἰ τὴν Στέντορος φωνὴν κτησαίμεθα, φθεγξαίμεθ᾽ ἄν, ὡς οὐ ῥᾴδιον, κἂν ὁ Νεῖλος, ὦ μακάριε, τοῖς ἑπτὰ στόμασιν εἰ λάβοι φωνήν, ὥσπερ ὁ Σκάμανδρος καθ᾽ Ὅμηρον. ἀλλ᾽ εἰ δυνατὸν ἢ μή, ϗ φύσιν ἔστ᾽ ἔχον συμβῆναι, τοῦτ᾽ ἦν ἐκ τοῦ λόγου.

φανήσεται γὰρ οὐχ ἁπλῶς, οὐδ᾽ ὡς νῦν μόνον δείκνυμεν, εἰς τοὺς ἐναντίους ἐληλυθὼς αὐτὸς ἑαυτῷ, ἀλλὰ ϗ ἐξ ὧν ἐκείνους ᾐτιᾶτο [τοῦτον] Ἀριστείδην ὃν ἐπῄνεσεν ἐπαινεῖν οὐκ ἔχων, ἢ εἴπερ ὀρθῶς ἐπαινεῖ τοῦτον, διὰ τὸ αὐτὸ τοῦτο οὐδ᾽ ἐκείνους ἔχων αἰτιάσασθαι. πῶς; ὅτι σύμβολον οἶμαι ποιεῖται τοῦ κακῶς Ἀθηναίων ἐκείνους προστῆναι τὸ παθεῖν αὐτοὺς ὑπ᾽ Ἀθηναίων κακῶς, ὡς οὐκ ἂν τούς γε βελτίους ὑπ᾽ αὐτῶν γενομένους ἁμαρτόντας εἰς τούτους, ὑφ᾽ ὧν μηδ᾽ εἰς τοὺς ἄλλους ἁμαρτάνειν ἐπαιδεύθησαν. ταῦτα δὲ οὕτω θείς, καὶ ἡνιόχους καὶ τὰ τοιαῦτα ἐπεισαγαγὼν ἐνταυθοῖ, τόν γε Ἀριστείδην οὐ μόνον οὐδὲν φαῦλον εἴρηκεν, ἀλλὰ ϗ σαφῶς ἐξαίρετον τῶν ἄλλων πεποίηται. καίτοι εἰ τὸ παθεῖν κακῶς ὑπ᾽ Ἀθηναίων ἦν τι δεῖγμα τοῦ μὴ καλῶς Ἀθηναίων προστῆναι, οὐδ᾽ Ἀριστείδης προὔστη καλῶς· οὐδὲ γὰρ οὗτος ἀθῷος δή που διέφυγεν, ἀλλ᾽ ἐξέπεσε. προσθήσω δὲ ὅτι οὗτός γε οὐδὲν δικαστηρίῳ δυστυχήσας ὥσπερ Μιλτιάδης ϗ Περικλῆς, οὐδ᾽ ὑπὸ τούτων οἷς προσέκρουσεν ὑπὲρ τῶν πολλῶν, ἀλλ᾽ ἐξοστρακισθεὶς ὑπ᾽ αὐτοῦ τοῦ δήμου. ἔστι δὲ ϗ κυβερνήτῃ ϗ παντὶ συνιδεῖν ὅτι κυβερνήτης μὲν ὅστις πλείστους ἀθρόους ἔσωσεν ὑπὲρ χιλίους, τὸ δὲ τοῦ ῥήτορος πλήρωμα ὃ σῴζει οὐ κατὰ ναῦν ἐστιν Αἰγυπτίαν, οὐδέ γε ὅλως μετρεῖται στόλῳ, ἀλλὰ ϗ λιμένες αὐτοὶ ϗ πόλεις 1264R.
οὐ μυρίανδροι μόνον ἀντὶ τῶν μυριοφόρων, ἀλλὰ ϗ μετρῆσαι χαλεπαί, τῇ τῆς ῥητορικῆς ὑποπίπτουσι τύχῃ τε ϗ προστασίᾳ. ϗ ὁ μέν γε κυβερνήτης κατάρας οὐκέτι ἔχει τί χρήσεται τῇ τέχνῃ· τοῦ δὲ ῥήτορος οὐδέν ἐστι χωρίον ἐξαίρετον. ἀλλ᾽ ἵνα μὴ λόγος ἡμῖν λόγον ἐκδέξηται, ἀγαπητὸν ὂν εἰ ϗ τοῖς ἐπικαίροις ἐξαρκέσαιμεν, ἐῶ τὸ νῦν εἶναι τὴν ὑπὲρ τούτου

a. 1. καὶ — 3. μὴ om A. 3. εἰ] οἱ A. παύονται A. ὧν — 4. δικαίως] διὰ μηδ᾽ ἀδίκως αὐτὸ A: 4. καὶ ὁ μὲν] p. 141. 6. καὶ τελευτῶν — 7. βούλεται om A. 7. οὔπω A: οὐδέπω ς. 9. τοῦ αἰῶνος παντὸς A. καὶ προσέτι — 10. αὐτῶν om A. 11. ὅτε] εἰς A. 12. ἡμεῖς μὲν νῦν A. 15. καὶ Περικλέους om A. 17. οὐδ᾽ ἀφανίσαι om A. 22. εἰς A: ὡς ς. 25. ἡμῖν A. 27. οἵσπερ A. 28. καίτοι] p. 143. ἦν om A. 29. τὴν δὲ πολ. φαυλίζειν] ὧν τὴν πολ. φαυλίζειν ἐστὶ A. 31. ὑπάρχειν om A. ἔγκειται] p. 147. 32. γάρ που om A. χωρίς τινος προφάσεως om A. 33. οὐδὲ φαύλως om A. 36. ἀλλ᾽ ἐνείη om A. 38. τοῖς — ἕξειν A: τῆς — ἕξει ς. b. 1. οὐ γὰρ εἰ (p. 14)] ἡμῖν δ᾽ οὐ A. 8. φανήσεται] p. 150. γὰρ] δ᾽ A. δείκνυμεν om A. 10. τοῦτον om A. 12. οὐδ᾽ A: οὐδὲν ς. 13. σύμβουλον — ποιεῖ A. 15. γε om A. 18. καὶ ἡνιόχους om A. 19. γε om A. 20. πεποίηκε A. 27. ἔστι δὲ] p. 155. 29. ἀθρόως A. ὑπὲρ om A. 31. αὐτοὶ om A. 34. γε om A. 36. ἀλλ᾽ ἵνα] p. 157.



Digitized by Google

685 H. διαφοράν. "ὅτι ἡ ῥητορικὴ διὰ πάντων τῶν τῆς ἀρετῆς μορίων διήκει, φρονήσει μὲν εὑρεθεῖσα, εὑρεθεῖσα δὲ ὑπὲρ δικαιοσύνης, σωφροσύνῃ δὲ ϗ ἀνδρείᾳ φυλαττομένη. τοῦτο δὲ ϗ κατὰ τούτους τοὺς λόγους [οὓς μέλλω εἰπεῖν αὐτῆς] ἰδεῖν ἐστιν. ἐστι μὲν γὰρ δή που ῥητορεύειν τὸ τὰ δέοντα ἐξευρεῖν ϗ τάξαι ϗ τὰ πρέποντα ἀποδοῦναι μετὰ κόσμου καὶ δυνάμεως. φαίνεται δὲ ἡ μὲν εὕρεσις κατὰ τὴν φρόνησιν ἔχουσα, εἴπερ ἀμήχανον φρονήσεως ἀπολειπόμενον τῶν χρησίμων εὑρεῖν ὁτιοῦν, ἡ δὲ σωφροσύνη κατὰ τὴν διαχείρισιν οὖσα ϗ τὴν τῶν ἡγουμένων τε ϗ εἰκότων συμφωνίαν· ἀντὶ δ' αὐτῆς δικαιοσύνης τὸ πρέπον τιθεῖ. τοῦτο δέ ἐστιν ὁποῖα ἄττα ϗ ὁπόσα προσήκει ἑκάστῳ σῶσαι τῷ πράγματι. ἀλλὰ μὴν ἀνδρείας ἐκ τοῦ εὐθέος οὐδὲ οὕτω μετέχειν ὡς ὁ λόγος βούλεται· τὸ γὰρ ταπεινὸν καὶ ἀγεννὲς οὐδὲν οὕτως, ὡς ὁ λόγος, ἐξορίζει ϗ ὑπερφρονεῖ. εἶεν. οὗτος ὁ νουθετῶν ἀνύτει, οὗτος ὁ κατηγορῶν πιστεύεται. ϗ μὴν ὅστις γε ἃ προσῆκε λέγειν οἶδεν, οἶδεν ἃ πράττειν προσήκει· οὐδεὶς γὰρ ἐστιν ὅστις, ἃ προσήκει πράττειν εἰπεῖν εἰδώς, ἃ προσήκει πράττειν ἀγνοεῖ, οὐδ' ὅστις ἀγνοῶν ἃ προσήκει πράττειν, εἰπεῖν ἔχει. ὅσῳ γὰρ ἄρχειν βέλτιον ἢ διακονεῖν, τοσούτῳ λέγειν τὰ δέοντα βέλτιον ἢ πράττειν. ὁ μὲν γάρ, οἶμαι, πολλοῖς σύμβουλος γίνεται, ὁ δὲ ἀνθ' ἑνὸς ἄλλου τινὸς γίνεται. ὥσπερ οὖν τοὺς ἀρχιτέκτονας τῶν τεκτόνων ἀνάγκη προέχειν, ὄντας ὅμως περὶ ταὐτὰ ἃ ϗ τῆς τῶν τεκτόνων ἐστὶν ἐμπειρίας, οὕτω ϗ τοὺς ἐν ταῖς ἀγοραῖς ϗ τοῖς λόγοις προέχοντας τῶν τούτοις ὑπηρετούντων βελτίους ὁ ποιητὴς ἔθηκε ϗ προσεῖπεν ἀριπρεπεῖς μάλα ὀρθῶς προσειπών. εἰ δὲ δεῖ ϗ μῦθον λέγειν, δέδοικα μὲν ἐγὼ μὴ ϗ ταῖς γραυσὶν ἡμᾶς ἐξούλης ὀφλεῖν ἐπισκώπτων φῇ τις ἀνὴρ κωμικός, ἐρῶ δὲ οὐ μῦθον ἄλλως αὐτὸν εἰς ἑαυτὸν τελευτῶντα, ἀλλὰ καὶ ἐνταῦθα ἡ παρὰ τῶν πραγμάτων προσέσται πίστις. ὁ μὲν οὖν Προμηθεὺς καθ' ἕκαστον ἐπ' ἴσης ἅπασι τάς τε αἰσθήσεις ϗ τὰ μέλη τοῦ σώματος συμπεπλακὼς ἦν πρότερον· τὸν δὲ Ἑρμῆν οὐχ οὕτως ἐκέλευσεν ὁ Ζεὺς ὥσπερ θεωρικοῦ διάδοσιν διελεῖν, ἵνα πάντες ῥητορικῆς ἐφεξῆς μετέχοιεν ὥσπερ ὀφθαλμῶν ϗ χειρῶν καὶ ποδῶν, ἀλλ' ἐπιλεξάμενον τοὺς ἀρίστους ϗ γενναιοτάτους καὶ τὰς φύσεις ἐρρωμενεστάτους, τούτοις ἐγχειρίσαι τὸ δῶρον, ἵνα ὁμοῦ σφᾶς τε αὐτοὺς ϗ τοὺς ἄλλους σώζειν ἔχοιεν. ἀφικομένης δὲ ῥητορικῆς ἐκ θεῶν οὕτως ἐς ἀνθρώπους, ἠδυνήθησαν μὲν ἄνθρωποι τὴν μετὰ τῶν θηρίων δίαιταν χαλεπὴν ἐκφυγεῖν, ἐπαύσαντο δὲ ἐχθροὶ πάντες ὄντες ἀλλήλοις ἐν κύκλῳ, κοινωνίας δὲ εὗρον ἀρχήν. καταβάντες δὲ ἐκ τῶν ὀρῶν ἄλλοι κατ' ἄλλα μέρη τῆς οἰκουμένης ἐπλησιάσαντό γε πρῶτον ὕπαιθροι, μετὰ δὲ τοῦτο ἤδη λόγου νικήσαντος πόλιν τε κατεσκευάσαντο ϗ διεκρίθησαν, οὐχ ὥσπερ πρότερον, ὡς ἔτυχεν, [καὶ] εἰς τὸ νῦν σχῆμα καὶ ἀξίωμα χρόνῳ τε ϗ κατὰ μικρὸν ἀνήχθησαν. καὶ ὁ μῦθος μὲν ἡμῖν ταύτην ἐχέτω τὴν τελευτήν, οἶμαι κεφαλὴν οὐδὲν ἄτιμον εἰληφώς. "ὅτι δὲ οὐκ ἄλλως μῦθος ταῦτα" οὐδ' ὄναρ, ἀλλ' ὕπαρ ϗ ὁ τῶν πραγμάτων αὐτῶν ἐστὶ λόγος, δῆλον ἐξ αὐτῶν. 128 686

ἐὰν τοίνυν ἔτι τούτων ἐγγυτέρω προσαγάγω τὸν λόγον, ἢ που τρυφή τις ἂν εἴη τῆς ἀποδείξεως, ϗ οὔτε ἔννοιαν οὔτε ἐλπίδ' ἐλέγχων ἰσχυροτέρων οὐδ' εἷς ἔτι δή που λάβοι. οὐ γὰρ μόνον αὐτὸς Πλάτων, ὡς πολλάκις ἐδείξαμεν πρότερον, ἀλλὰ καὶ ἐν αὐτοῖς τούτοις τοῖς λόγοις τῷ παραδόξῳ δὴ συγγράμματι διαρρήδην ὁμολογεῖ τῇ ῥητορικῇ τὰ κάλλιστα εἶναι πράττειν.

τὰ μὲν οὖν ἄλλα ἢ ψυχαγωγίαν ἢ χρείαν ὡς ἐπὶ τὸ πλεῖστον εἰπεῖν ἔχει, μόνον δὲ τὸ τῆς ῥητορικῆς μάλιστά γε ἄμφω πληροῖ, καὶ μετὰ τῶν ὠφελειῶν τὴν χάριν θαυμαστὴν ἔχει, ὥστε καὶ ὅταν εἰς πολέμους ἀλλήλοις ἔλθωσιν ἄνθρωποι, τοὺς παρὰ τῶν αὐτοχείρων πρέσβεις ἀφικνουμένους δέχονται ϗ ἀποπέμπουσιν, ἐνθυμούμενοι τὸ τῶν ῥητόρων φῦλον, ὑπεξαιρούμενοι τὴν τοῦ λόγου φύσιν, αἰδούμενοι ὅτι ἐξ ἀρχῆς ἐπὶ σωτηρίᾳ καὶ κοινῇ χρείᾳ τοῦ γένους εἰσῆλθεν. εἰ δέ τις ἡμῖν περὶ Πλάτωνος ὑπολάβοι ὅτι οὐ ταύτην κακῶς εἴρηκε τὴν ῥητορικήν, ὑπὲρ ἧς νῦν ἡμεῖς τοὺς λόγους ποιούμεθα, ἀλλὰ δύο οὐσῶν τὴν ἑτέραν κακίζει, πρῶτον μὲν οὐδὲν μᾶλλον τά γε ἡμῖν εἰρημένα φαύλως ἔχοντα ἐλέγχεται,

a. 1. ὅτι ἡ] p. 160. 4. φυλασσομένη ς. οὓς μέλλω εἰπεῖν αὐτῆς om A. 5. δή που om A. 6. πρέπ A. 8. εἴπερ — 10. ὁτιοῦν om A. 10. διαχήρισιν A: διαχείρησιν ς. 12. ἀντὶ — τιθεῖ om A. αὐτῆς] malim αὐτῆς. 13. ὁποῖα — καὶ] ποῖα — ἢ A. 14. οὐδὲ οὕτω om A. 17. εἶεν — 18. πιστεύεται om A. οὗτος] p. 162. 19. οἶδεν ἃ — εἰδὼς add A. 22. ὅσῳ] p. 163. γὰρ] δ' A. 26. ὄντας] ὄντως A. 27. καὶ post ἃ om A. 30. εἰ δὲ] p. 167. 35. πρόσεστιν A. ὁ μὲν] p. 168. 36. ἐπ' ἴσης om A. 37. πεπλακὼς A. πρότερον om A.
b. 7. μὲν om A. 13. καὶ διεκρίθησαν — ἔτυχεν om A. 15. καὶ ὁ] p. 170. 16 οὐδὲ A. 17. μῦθος ταῦτα] μῦθον A. 19. ἐὰν] p. 185. 20. ἢ A: εἰ ς. τῆς A: τὸ ς. 21. ἐλέγχων ἰσχυροτέρων οὐδ' om A. 23. τούτοις om A. 25. τῇ ῥητορικῇ om A. τὰ add A. 26. τὰ μὲν] p. 178. 34. εἰ δὲ] p. 186. 35. τὴν ῥητορικὴν om A.

ἀλλὰ κατ' αὐτὸ τοῦτο καλῶς καὶ προσηκόντως ἅπαντα ταῦτα ἠνύσθη μαρτυρεῖ· ὥσπερ γὰρ ἐκεῖνος τὴν φαύλην δικαίως ψέγει, τί κωλύει τήν γε ἐναντίαν ἡμᾶς ἐπαινοῦντας ὀρθῶς ποιεῖν; ἔπειτα οὐκ ἀναιρεῖ τοὺς παρ' ἡμῶν ἐλέγχους ἡ παραίτησις αὕτη, ἀλλὰ καὶ οὕτως ἐναντία φαίνοιτ' ἂν εἰρηκὼς αὐτὸς ἑαυτῷ, εἰ διττὴν εἶναι τὴν ῥητορικὴν ἀξιῶν εἶθ' ὡς μιᾶς καὶ ἁπλῆς τινὸς οὔσης τὴν κατηγορίαν πεποίηται. δῆλον γὰρ ὅτι εἰ τοῦτ' ἐστὶν ἀληθές, τὴν μὲν φαυλίζειν τὴν δ' ἐπαινεῖν προσῆκεν αὐτῷ διελομένῳ, ὥσπερ ἐν τοῖς περὶ ἔρωτος λόγοις φαίνεται πεποιηκὼς καὶ πολύ γε μειζόνων εὐφημιῶν τὸν χρηστὸν ἠξιωκὼς ἢ οἵων τὸν ἕτερον βλασφημιῶν.

ὁ δ' οὖν αὐτὸς λόγος καὶ περὶ πάσης φιλοσοφίας καὶ περί γε τῶν τῆς ἀρετῆς, εἴ τις βούλοιτο διαιρούμενος πρῶτον μὲν σοφίας δύο προσαγορεύειν, τὴν μὲν ᾗ τὰ βέλτιστα συνίεμεν, τὴν δ' ἑτέραν ᾗ κακουργοῦσιν, ἔπειτα σωφροσύνην διπλῆν, τὴν μὲν σπουδῆς ἀξίαν καὶ πολιτικήν, τὴν δὲ νωθράν τε καὶ ὑπτίαν, ἔτι δ' αὖ δικαιοσύνην ὀρθὴν καὶ ἑτέραν ταπεινήν, καὶ διπλῆν ἀνδρίαν. τὴν μὲν σὺν νῷ καὶ φρεσίν, τὴν δὲ ἀπόνοιαν καὶ μανίαν οὖσαν. ἀλλ' οἶμαι, πάντα ταῦτα τῶν φυρόντων ἐστὶ τὰ ὀνόματα, καὶ διῄρηται σοφία καὶ κακουργία, σωφροσύνη καὶ βλακεία, δικαιοσύνη τε καὶ εὐήθεια, ἀνδρεία καὶ θρασύτης· οὐδέτερον δέ γε οὔτε καλὸν χαλεπὸν οὔτε προσῆκον. πολλῷ γὰρ ταῦτα ἀπ' ἀλλήλων διῄρηται, καὶ οὐ δεῖ τὰς κακίας ὑποκορίζεσθαι τῷ τῆς ἀρετῆς ὀνόματι, οὔτε τὰς ἀρετὰς φαυλίζειν τὰ τῆς κακίας ἑκάστῃ παρατιθέντα. εἰ γὰρ ὅτι μάλιστα οὕτω Πλάτων διενοεῖτο, ὥσπερ ἔγωγε οὐκ ἀντιλέγω, ἀλλ' ὑπεξῄρηται τὴν καθαρὰν καὶ τῷ ὄντι ῥητορικήν, ἄξιον μὴ παρακρουσθῆναι, 511. μηδ' ἀγνοῆσαι τοῦτο αὐτὸ τοὺς πολλούς, μηδ' ὡς ψήφῳ καθαρᾷ προσέχοντας θᾶττον ἢ συμφέρει βουλεύσασθαι περὶ τῶν τηλικούτων. πανταχῇ δὲ καὶ διὰ πάντων ἐκπίπτουσιν ἡμῖν αἱ ψῆφοι. πρῶτος δὲ Πλάτων αὐτὸς ψηφίζεται καὶ μέσος (φασί) καὶ τελευταῖος. καὶ κινδυνεύω δοκῶν ἀντιλέγειν Πλάτωνι παντὸς μᾶλλον συνηγορεύειν. εἰ δὲ δεῖ τι καὶ παῖξαι, δοκῶ μοι τοὺς κωμῳδοποιοὺς ὥσπερ ἀποδιδράσκοντα αὐτὸν 1268R, ἕλξειν εἰς τοὺς ῥήτορας, ὅτι μαθὼν καλλωπίζεται.

### Ἀριστείδου ἐκ τοῦ ἐπιγραφομένου λόγου Πλατωνικὸς τρίτος πρὸς Καπίτωνα.

#### τὸ προοίμιον.

Νῦν σε καὶ μᾶλλον φιλοῦμεν, οὕτως ἐρωτικῶς τοῦ Πλάτωνος ἔχοντα, ὃν ἐγὼ φαίην ἂν τιμῶν καθ' Ὅμηρον ἶσον ἐμῇ κεφαλῇ. εἰ γάρ τοι καὶ πάντες φαῦλοι πρὸς ἐκεῖνον, ἀλλ' ἕκαστος τιμιώτατος αὐτὸς ἑαυτῷ, φασί. καίτοι τί λέγω; οὐκ οἶδα μὲν γὰρ εἰ πιστεύεις, ἀληθὲς δ' ἐρῶ. εἰ δὲ μὴ ἐγγὺς ἐκεῖνον ἔφησας ἡμῶν εἶναι, οὐκ ἂν οὕτω με εὔφρανας, ὡς ὅτι προκατείληψαι δείξας· οὕτως ἐμοὶ φίλος ἀνὴρ καὶ φίλων ἐπέκεινα. συνέβη δέ μοι καὶ περὶ Δημοσθένην τοιοῦτον ἕτερον· φράσω δὲ καὶ πρὸς σέ. ἀνὴρ τῶν ἐκ τῆς γερουσίας τῆς Ῥωμαίων, Λίβυς τὰ ἀρχαῖα, Μάξιμος τοὔνομα, ἄξιος ὅτου βούλει (φασὶ δὲ οἱ ταῦτα δεινοὶ καὶ ῥήτορα αὐτὸν ἐν πρώτοις εἶναι Ῥωμαίων), οὗτος τοῖς τε Δημοσθένους λόγοις προσέκειτο ὑπερφυῶς, καὶ οὐκ οἶδ' ὅντινα τρόπον καὶ τοῖς ἡμετέροις ἑάλω τούτοις. ἔτυχε γάρ μοι λόγος τις πεποιημένος ἐκ τρίτων πρὸς Λεπτίνην, ἐξ ἀρχῆς τοιᾶσδε. εἶχον μὲν γὰρ ἐν χερσὶ τὸν λόγον τὸν τοῦ Δημοσθένους, καὶ ὡς ἐγενόμην ἐπὶ τῶν κεφαλαίων ἃ τοῦ Λεπτίνου μέλλοντος ἐρεῖν ὑποτέμνεται, ἀποστήσας ἐμαυτὸν τοῦ Δημοσθένους ὑπ' ἐμαυτοῦ τι συνεώρων. ὡς δὲ εὗρον καὶ δύο καὶ τρία τῶν χρησίμων, ἐνταῦθα πάλιν αὖ ἐπ' ἄλλο τι ἐχώρουν. καί μοι πειρωμένῳ τὸ αὐτὸ ἀεὶ συνέβαινε. καὶ οὕτω δὴ ἀπὸ τοῦ κρασπέδου θοἰμάτιον, εἰ δὲ βούλει, τὸν λέοντα ἀπὸ τοῦ ὄνυχος ἀπειργασάμην. τοῦτον αὐτῷ τὸν λόγον δεῖξαι ἐπεχείρησα· καὶ μέλλων δείξειν, προεῖπον ὅτι πρὸς Λεπτίνην ἐφευρημένος σὺν τῷ πρὸς Λεπτίνην ἐφευρήσει. ἆρα μὴ ἀδικῶ σε; ἔφην ἐγώ. καὶ ὃς μὰ Δία εὐγενῶς τε καὶ ὡς ἂν πᾶς ἠράσθη τε καὶ ἠγάσθη ὅστις φιλόλογος, οἶσθα, ἔφη, ὅτι κάθημαι πρὸς τοῦ Δημοσθένους; κἀγώ, τὸν αὐτὸν ἄρα, ἔφην, ἐμοὶ βουκολεῖς, ὥστε εἰ νικῴη μ', οὐκ ἐχθρὸς ὁ στεφανούμενος, ἀλλ' ᾧ σύ γε κἀγὼ συσπεύδομεν. ὡς

a. 1. ἀλλὰ — 2. μαρτυρεῖ om A. 10. λόγοις om A. 12. τὸν χρ. A, τὸ χρ. ς. 13. ὁ δ' οὖν] p. 188. αὐτὸς om A. 15. libri προσαγορεύειν. 18. νωθρῶν — ὑπτίων A. ἔτι δ' αὖ] καὶ A. 19. ὀρθὴν — ταπεινήν om A. καὶ διπλῆν ἀνδρίαν] διπλῆν καὶ ἀνδρίαν ὁμοίως A. 21. ταῦτα πάντα ς. 22. καὶ διῄρηται — 25. προσῆκον om A. 26. δεῖ add A. τοῖς — ὀνόμασιν A. 27. οὐδὲ A. 28. παρατιθέντας A. εἰ γὰρ] p. 189. 30. μὴ] μὲν A. 31. αὐτὸ om A. 33. τῶν om A. πανταχῇ] p. 191. δὲ καὶ διὰ πάντων] δὴ καὶ ἁπάντων A. 35. φασὶ om A. b. 2. καλλωπίζεται A: καὶ καλλωπίζεται ς. 6. νῦν σε] p. 525. 7. ἂν τιμῶν om A. 8. τοι om A. 12. ηὔφρανας A. 13. συνέβη — 15. πρὸς σέ om A. 17. φασὶ — 18. αὐτὸς om A. 20. καὶ add A. γάρ] δέ A. 21. ἐξ ἀρχῆς τοιᾶσδε om A. 22. εἶχον μὲν] εἴχομεν A. τὸν τοῦ δημοσθένους λόγον A. 30. δεῖξαι om A. 31. μέλλων δείξειν om A. ὅτι — 32. ἐφευρήσει om A. 33. σε ἔφην ἐγώ] γε A. 35. τοῦ] τοὺς A. 36. ἔφη μοι A.



Digitized by Google

δὲ ἐκέλευε τὰ βιβλία ἐν μέρει δεικνύναι κ̀ τὸ πρᾶγμα πανταχῆ σπȣδὴ ἦν, ȣ̓τωσί τοι, ἔφην ἐγώ, σοὶ ταῦτα γινώσκω περὶ Δημοσθένȣς, καὶ ἡγȣ̃μαι ταὐτὸν ὅπερ σύ, μὴ ῥᾴδιον εἶναι τὸν ἄνδρα ἐκεῖνον παρελθεῖν. κ̀ ὃς ἥσθη τε ἀκȣ́σας, ὥσπερ ἐγὼ ἐκείνȣ ἀκȣ́σας ἥσθην 686 H. ὅτι τῷ Δημοσθένει συνεγήκοι, κ̀ ἔδωκεν ἄδειαν "δεῖξαι τὸν λόγον. ὡς δ᾽ ὁ λόγος ἐδείχθη, κ̀ ὅπως ἤδη διετέθη τὰ ἐπὶ τούτοις, αὐτὸς ἂν εἰδείη. πάρεςι δέ σοι γνῶναι ὅτι καὶ ἡμῖν τι προσήκει Πλάτωνος, εἰ κ̀ μὴ τοσȣ̃τον ὅσον τοῖς σοφοῖς, ἀλλ᾽ ὅσον ἐπίςασθαι χαίρειν τῷ ἀνδρί. φέρε δὴ σαφέςερον κατίδωμεν, τί ποτε ἦν ὅ σοι προέςη τῶν λόγων, ȣ̃ς δὴ πρὸς αὐτὸν ἡμῖν φασί τινες πεποιῆσθαι. ἐγὼ μὲν γ̀ ἐπειρώμην αὐτὸν πανταχȣ̃ σύμψηφον ὄντα ἐμαυτῷ δεικνύναι. εἴτε γάρ τι ἡμῖν λελήρηται, ȣ̓δὲν δεῖ τῆς Στησιχόρȣ παλινῳδίας, ἀλλὰ σπογγιὰ ἰάσεται, εἴτε τι καὶ κρεῖττον ἐν τοῖς λόγοις ἔνεςιν ἢ ὡς τοῦτο τὸ ἆθλον πρέπειν αὐτοῖς. σὺ δὲ ἐπαίνει μέν, εἴ σοι μὴ δοκεῖ, μηδὲν μᾶλλον, συγγίνωσκε δὲ ὅμως· εἰ κ̀ μὴ τιμῆς ἀξιοῖς, ἀλλὰ τȣ́τȣ γε ἂν ἀξιοῖς. ἔφησθα, ὡς ἐγὼ πυνθάνομαι, δυχεραίνειν ὅτι ἦν ἐν τοῖς λόγοις μνήμη τῆς εἰς Σικελίαν 1269 R. ἀποδημίας αὐτȣ̃, "καὶ ὅτι δὴ τȣ̃ βίȣ τοῦ Πλάτωνος ἐν τȣ́τοις ἐδοκȣ̃μεν καθάπτεσθαι· ἐχρῆν δὲ ἄρα τοῦτο μὲν χωρίς πȣ εἶναι, τὸν λόγον δὲ ἐλέγχειν. καὶ ταῦτά γε ȣ̓κ ἐραςȣ̃ μόνον ὄντα ἐγκλήματα, ἀλλὰ κ̀ σωφρονȣ̃ντος περὶ λόγους. ἀλλ᾽ ὅρα μὴ ἀναίτιόν με αἰτιᾷ. ἐγὼ γ̀ ȣ̓κ ἔλεγον δή πȣ Πλάτωνα κακῶς, ὥσπερ ἐν δικαςηρίῳ τινὶ κρίνων, ȣ̓δ᾽ ᾐτιώμην τὰς ἀποδημίας, ἵνα χείρων νομίζοιτο, ἀλλὰ κἂν τȣ́τοις μαρτυρεῖν ἔφασκον ἐμαυτῷ τε καὶ ῥητορικῇ. ἀλλὰ μή πω περὶ τȣ́των. ἀλλὰ τί με χρῆν ὦ πρὸς Διὸς ποιεῖν; πότερον μὴ μνησθῆναι τὸ παράπαν τῆς ἐς Σικελίαν ἀποδημίας, ὥσπερ τι τῶν ἀποῤῥήτων μέλλοντα ἐρεῖν; ἀλλ᾽ ȣ̓́τε ψήφισμα συνῄδειν ἀπαγορεῦον κ̀ τῷ λόγῳ συνέφερε, καὶ ἅμα ἀληθὲς ἦν· κ̀ γ̀ ἔπλευσεν ȣ̓χ ἅπαξ καὶ ὑπὲρ τȣ̃ Δίωνι γενέσθαι τὰ δίκαια. ἀλλὰ νὴ Δία ἀνιαρὸν τȣ̃το τοῖς Πλάτωνος ἑταίροις. ἕτερος λόγος ȣ̓̃τος, οὐ πρὸς ἐμέ, ἀλλὰ πρὸς ὁντιναδήποτε. ἢ κ̀ τȣ̃το ἀδικῶ, ὅτι τὰ ἐκ τῶν νόμων αὐτȣ̃ παρεγραψάμην; κ̀ ὅπως γε κἀκεῖνο ἐπιδείξȣσιν, ἐπεὶ καὶ δυχεραίνȣσιν, ὡς οὐ τοῖς αὐτὸς αὑτȣ̃ περιπίπτει λόγοις, ἐπειδάν τι φάσκῃ. „τοῖς δὲ εὐδαιμόνως ζῶσιν ὑπάρχειν ἀνάγκη πρῶτον τὸ μὴ ἀδικεῖν ἄλλους, μήτε αὐτȣ̀ς ὑφ᾽ ἑτέρων ἀδικεῖσθαι" καὶ ἑξῆς. ἢ καὶ τȣ̃το ἀδικȣ̃μεν κ̀ περιεργαζόμεθα, ὅτι προσηγάγομεν εἰς μέσον ταῦτα, καὶ οὐ προσκυνοῦμεν ὡσπερεὶ κίςιν ἀπόῤῥητα κρύπτουσαν; ἐγὼ δὲ οὐ τοῦτο ᾤμην εἶναι τὸ τὰ ἀπόῤῥητα ἐκφέρειν, [καὶ ἄλλα ἄττα τοιαῦτα]. διὰ ταῦτα ἠξίουν ἀκροᾶσθαι διὰ τέλους, ὅςις μέλλει τὸ ἀγώνισμα πᾶν ὄψεσθαι καὶ ψῆφον ὀρθὴν καὶ δικαίαν ἐποίσειν.

ὅτι ὁ Ἀριςείδης τὴν ἀνακεφαλαίωσιν τῶν προειρημένων ἐπάνοδόν φησιν. ἐρεῖς δ᾽ ἂν καὶ συγκεφαλαίωσιν καὶ ἐπίλογον καὶ σύνοψιν καὶ ἀνάμνησιν, καὶ συλλογίσασθαι τὰ εἰρημένα, ὡς ὁ Δημοσθένης, καὶ συναγαγεῖν, καὶ συντόμως εἰπεῖν καὶ ἀριθμῆσαι καὶ ἀπαριθμήσασθαι, καὶ ἄλλ᾽ ἄττα τοιαῦτα, καὶ ἐπαναλαβεῖν καὶ ἀνακεφαλαιῶσαι.

ȣ̓̃τω πᾶσαν αἰδῶ κ̀ τιμὴν ἀπεδώκαμεν αὐτῷ, ὥςτ᾽ εἰ αὐτὸς πρὸς ἑαυτὸν ἔμελλεν ἀντερεῖν, ȣ̓κ ἄν μοι δοκοίη μᾶλλον ἑαυτȣ̃ φείσασθαι. ἀτάρ, "ὦ ἄριςε Κεπίτων, 687 ἐνεθυμήθην καὶ τȣ̃το μεταξὺ τῶν λόγων, ὅτι πάντα εἴδωλά ἐςι τῷ ἀνδρί, καὶ τȣ̃το μὲν οἱ ποιηταὶ μιμηταὶ εἰδώλων ἀρετῆς, τȣ̃το δὲ ἡ ῥητορικὴ πολιτικῆς μορίȣ εἴδωλον. „εἰδώλων δὲ πλέον πρόθυρον" φαίη ἂν εἰς αὐτὸν Ὅμηρος. πότερον ταῦτα θρασύτερα κ̀ προπετέςερα ἢ τἀμά; ἐν οἷς φημὶ Πλάτωνα ἀποδημῆσαι ὑπὲρ αὐτῶν, καί φημι ταῦτα λέγειν οὐ τὴν ἀποδημίαν κακίζων ἀλλὰ τῇ ἀποδημίᾳ τὸν λόγον πιςȣ́μενος. ναί, ἀλλ᾽ ἀπεςερήκαμεν αὐτὸν δόξης φιλοσοφίας, ὥσπερ ἐκεῖνος τȣ̀ς μὲν τῆς τραγῳδίας ποιητὰς ȣ̓δὲ ἐν ὀλίγῳ τίθησιν, Ὅμηρον δὲ τραγῳδοποιὸν προσείρηκεν ȣ̓ τȣ̃τον τȣ́τῳ κοσμῶν, ἀλλὰ τȣ́τους μὲν διὰ τȣ́των κολȣ́ων, τȣ̃τον δὲ ᾧ τιμᾷ καθαιρῶν. ȣ̓κȣ̃ν δεινόν, εἰ ȣ̓̃τος μὲν καὶ τραγῳδοποιȣ̀ς καὶ κωμῳδοποιȣ̀ς καὶ πόλιν καὶ πολιτείαν καὶ νόμȣς ἑαυτῷ καθίςησιν, ἡμῖν δὲ μηδὲ λόγȣ τινὸς ἐξέςαι πρὸς αὐτὸν ἀμφισβη-

a. 1. ἐκέλευσεν A. τὸ πρᾶγμα om A. 3. ταὐτὸν ὅπερ σὺ μὴ ῥᾴδιον εἶναι] μηδὲν εἶναι ὃ ῥᾴδιον A. 4. παρελθεῖν τὸν ἄνδρα ἐκεῖνον A. 5. ὃς A: ὡς ς. 6. καὶ ἔδωκεν — λόγον om A. 7. καὶ et ἤδη om A. 8. πάρεστι] p. 528. 9. ὅτι om A. 11. σαφέστερον om A. 14. ὄντα om A. 15. τι ἡμῖν A: ἡμῖν τι ς. 20. δυσχεραίνειν post ἔφησθα ponit A. 24. τὸ λόγον διελέγχειν ς. 25. γε om A. 26. ἀλλ᾽ ὅρα] ὅρα δὲ A. 27. που om A. 28. οὐδ᾽ A: οὔτε δ᾽ ς. 30. ἀλλὰ μήπω περὶ τούτων (p. 532) om A. 31. μ᾽ ἐχρῆν A. 32. Σικελίαν ἀποδημίας] σικελίας A b. 2. κἀκεῖνο ἐπιδείξουσιν] ἐπιδείξωσιν A. 3. ἑαυτοῦ ς. φάσκῃ A: λέγῃ ς. 6. ἢ καὶ τοῦτο (p. 534)] τούτῳ A. 8. κρύπτουσαν] φέρουσαν A. 9. τοῦτο ᾤμην εἶναι] το ᾤμην A. 10. καὶ ἄλλα ἄττα τοιαῦτα om A. διὰ] p. 535. 13. ἐποίσειν A: ἐποίησεν ς. 20. οὕτω] p. 536. αἰδῶ καὶ om A. 21. δοκοίη] δοκεῖν A. 22. ἀτάρ] p. 549. 26. εἰδώλων — 27. Ὅμηρος om A. 29. ὑπὲρ αὐτῶν om A. 36. μὲν om A. 37. πολιτείαν καὶ πόλιν A. καὶ νόμους om A. 38. τινὸς om A. ἀμφισβ.] ἀλλ᾽ ἀμφισβ. A.

Digitized by Google

τῆσαι, καὶ ταῦτα οὐ μύρῳ ἐπαλείφουσιν αὐτόν, ἀλλὰ λόγοις τοῖς εὐφημοτάτοις καὶ ὧν οὐδ᾽ ἂν αὐτὸς ἠξίωσε μείζους ἀκούειν ὑπὲρ ἑαυτοῦ.

## 248.

1272R. "Ἀνεγνώσθη τοῦ αὐτοῦ ὑπὲρ τῆς κοινῆς ἀπολογίας, τὸν ὅμοιον διὰ τῆς ἐκλογῆς περιηνθισμένος τρόπον, [ὑπὲρ Περικλέους.]

Ἐκ τοῦ Ἀριστείδου πρὸς Πλάτωνα ὑπὲρ τῶν τεσσάρων.

τὸ προοίμιον.

Παραιτεῖσθαι μὲν οὐκ οἶδ᾽ ὅ τι δεῖ περὶ τῶν αὐτῶν πολλάκις, ἄλλωστε καὶ οὐ πρὸς ἄνδρας μέλλοντας ἐρεῖν μᾶλλον ἢ ὑπὲρ ἀνδρῶν καλῶν καὶ ἀγαθῶν, καὶ τούτων οὐκ ὀλίγων, οὐδὲ ἧττον παλαιῶν ἢ Πλάτων, ὅτι μὴ καὶ πρεσβυτέρων ἐκείνου, εἴ τῳ καὶ τοῦτο αἰδοῦς ἄξιον εἶναι δοκεῖ. ὥστε ὅταν ὡμολόγητο καὶ συγκεχώρητο ὑπὲρ οὗ πᾶς ἤνυστο ὁ λόγος καὶ πρὸς ὃ πάντα ταῦτ᾽ εἶχε τὴν ἀναφοράν, τίς ἦν ζημία τῶν ἀνδρῶν μὴ προσκαθάπτεσθαι; νῦν δ᾽ ὥσπερ ὠδίνων, καὶ περιβαλλόμενος κύκλῳ τὴν ἐπ᾽ ἐκείνους ὁδόν, οὕτως ἐπιβούλως ἐλθὼν ἐπὶ τοὺς [κατ᾽ ἐκείνων τοὺς] λόγους φαίνεται. καὶ μὴν τὸ μὲν διάφορον οὐχὶ μικρόν· ἐκεῖνο μὲν γὰρ ἦν ὑπὲρ αὐτῆς τῆς ἀληθείας ἀγωνίζεσθαι, τοῦτο δὲ ἐγὼ μὲν οὐδέ ποτε ἂν φήσαιμι, ἄλλος δ᾽ ἄν τις εἴποι διαβάλλων οὐ πόῤῥω κακοηθείας εἶναι. Περικλῆς τοίνυν τά τε ἄλλα τὸν βίον ἦν ἄριστος, καὶ οὐδὲ γελῶν πώποτε ὑπό τινος ὤφθη. καὶ τῇ μὲν τῆς πολιτείας φυλακῇ, καὶ τῷ τὸ ἴσον τοῖς ἄλλοις ἔχων ἀνέχεσθαι, κοινὸς (εἴπερ τις ἀνθρώπων) ἐσπούδαζεν εἶναι, τῷ δὲ ἀξιώματι τῆς γνώμης καὶ τῷ μὴ τῶν αὐτῶν ἡττᾶσθαι τοῖς πολλοῖς ὀλίγοις καταλιπεῖν ἐγγὺς ἐλθεῖν ἑαυτοῦ. ὃ δέ φασιν ὑπάρξαι Σωκράτει σοφιστῶν διαφερόντως, τοῦτ᾽ ἐκείνῳ δημαγωγῶν· ἐπαρθέντα μὲν γὰρ τὸν δῆμον καὶ μείζονα φρονήσαντα δεινότατον εἶναι συστεῖλαι καὶ καθελεῖν, ἀθυμήσαντα 668 H. δὲ "καὶ ταπεινωθέντα ἀναγαγεῖν αὖ τοῖς λόγοις καὶ μεστὸν ἐλπίδων ποιῆσαι, ὥσπερ ἐκεῖνος εἰώθει περὶ τοὺς νέους ποιεῖν. συνελόντι δ᾽ εἰπεῖν, σχῆμα τῆς πόλεως ἦν Περικλῆς, οὐ δουλεύων ταῖς τῶν πολλῶν ἐπιθυμίαις, ἀλλ᾽ αὐτὸς ἄρχων τῶν πολλῶν, οὐδ᾽ ὅ τι δόξειεν ἐκείνοις τοῦτο λέγειν ἀξιῶν, ἀλλ᾽ ὅ τι δόξειεν αὐτῷ τοῦτ᾽ ἐκείνους πράττειν ἐπαναγκάζων, οὐδ᾽ ἐν κόλακος μοίρᾳ πρoσκείμενος, ἀλλ᾽ οὐδαμοῦ τοῖς κόλαξι πάροδον τὸ καθ᾽ αὐτὸν διδούς, τῇ μὲν χρηστότητι καὶ ταῖς ἐπιεικείαις ἐν πατρὸς ὢν τάξει τῷ δήμῳ, τῷ δὲ κατείργειν ἅπαντας καὶ πάνθ᾽ ὑφ᾽ ἑαυτὸν ἔχειν πλέον ἢ τύραννος. ἐξ ὧν, ὡς ἔοικεν, ἔξεστι σαφῶς ἰδεῖν ὅτι, εἴ τις ἄλλος, καὶ Περικλῆς ἑκὼν δίκαιος. οὐδαμοῦ γὰρ τὴν πλεονεξίαν ἀντὶ τῶν νόμων ἠγάπησεν, οὐδ᾽ ὅπως ἔσται μείζων τῆς τάξεως προὐνοήθη, παρὸν αὐτῷ μᾶλλον παντὸς Πεισιστράτου· ἀλλ᾽ ἦν παραπλήσιος κατέχοντι τὴν ἀκρόπολιν ἐπὶ τῷ σώζειν τοὺς νόμους καὶ τῷ πάντας εὖ ποιεῖν ἐκ μέσου [τοῦ δημοσίου].

οἷον ἴσως· τὸ γὰρ ἐκ μέσου φερόμενον ἴσον ἐπὶ πάντας ὥσπερ ἐπὶ κύκλον φέρεται. ἢ ὅτι ἡ ἀκρόπολις μέση κεῖται τῆς πόλεως.

ἐπειδὴ δὲ ἐτελεύτησεν ἐκεῖνος, ὠνειροπόλουν μὲν Σικελίαν, ἐφίεντο δὲ Ἰταλίας, ὠρέγοντο δὲ Καρχηδόνος καὶ Λιβύης, πάντας δ᾽ ἀνθρώπους περιεσκόπουν, ἤρκει δὲ αὐτοῖς οὐδέν, μακροτέραν δὲ τοῦ πολέμου τὴν παρενθήκην ἐποιήσαντο. ὁ δὲ ταῦτα πείθων ἦν, ὦ Πλάτων τε καὶ Σώκρατες, ὁ ἡμέτερος κοινωνὸς μὲν οὐκ ἔστιν εἰπεῖν, ἑταῖρος δὲ καὶ αὐτὸς ἂν φαίης, μᾶλλον δ᾽ εἴρηκας. πῶς οὖν ἄν τις ταῦτα δικαίως κατηγοροίη Περικλέους, ἢ πῶς οὐκ ἀναγκαίως Ἀλκιβιάδου, ὅστις παραλαβὼν "τὴν 1273R. πόλιν εἰδυῖαν ἀκούειν συμβούλων, εἶθ᾽ οὕτως ἐξέμηνεν; οὐκοῦν τῷ μὲν ἅπαντος κέρδους κρείττω παρέχειν ἑαυτὸν δικαιοσύνην ἀσκῶν δῆλος ἦν, τῷ δὲ τὸν ἐν τάξει βίον ἀντὶ τοῦ πρὸς ἡδονὴν προῃρῆσθαι σωφροσύνης πίστιν παρείχετο ἐμφανῆ. καὶ μὴν ἀνδρείας γε ἐν οἷς οὐ πρὸς χάριν οὐδ᾽ ὑποπεπτωκώς, ἀλλ᾽ ὡς οἷόν τε μάλιστα ἐλευθέρως ὡμίλει τῷ δήμῳ. μόνος τοίνυν καὶ τὰ μέλλοντα ἔσεσθαι προειδὼς καὶ τοῖς παροῦσι χρήσασθαι δυνηθεὶς πῶς οὐκ ἂν σοφίας δικαίως δόξαν φέροιτό τῆς γέ που χρησιμωτάτης, εἴ τις ἀνθρωπίνως ἐθέλοι λογίζεσθαι; εἶθ᾽ ὃν ἐξ ἁπάντων τῶν τῆς ἀρετῆς μορίων ὑπάρχει προσειπεῖν ἀνδρεῖον, δίκαιον, φρόνιμον, σώφρονα, τοῦτον Πλάτων μετὰ τῶν κολάκων ἠρίθμησε. λάλους γάρ, φησίν, Ἀθηναίους ἐποίησε καὶ ἀργοὺς

a. 5. Ἀνεγνώσθη — 7. Περικλέους om A. 11. παραιτεῖσθαι] p. 193. 12. μέλλοντα A. 16. ὥστε] p. 195. 18. ζημίαν ς. 21. κατ᾽ ἐκείνων τοὺς om A. 25. Περικλῆς] p. 197. 31. ὃ δέ] p. 198. 32. σοφιστῶν σωκράτει A. 36. ὥσπερ] ὅπερ A. b. 1. οὐδ᾽ ἐν — 3. διδούς om A. 4. ταῖς ἐπιεικείαις] ἐπιεικείᾳ A. 12. τοῦ δημοσίου om A. 17. ἐπειδὴ] p. 207. 20. μακροτέραν — 21. ἐποιήσαντο om A. 28. οὐκοῦν] p. 209. ἅπαντος] ἅπαν τοῦ A. 30. ἀντὶ τοῦ πρὸς ἡδ. προῃρῆσθαι] προῃρῆσθαι τοῦ πρὸς ἡδ. A. 35. χρῆσθαι A. 40. λάλους — 424, a 1. καταστήσας om A.

καὶ δειλοὺς καὶ φιλαργύρους, εἰς μισθοφορὰν καταστήσας. περὶ μὲν δὴ καλῶν, ὦ Πλάτων, καὶ ἀργῶν καὶ δειλῶν αὐτόθεν κατάβαλε, μή πού τις καὶ Τρῶας ἐγείρησι θεὸς ἄλλος.

κατάβαλε κατάθου, πέπαυσο, σίγα.

σὺ δὲ Μαντινικὴν μὲν ξένην καὶ Μιλησίαν ἐπίστασαι κοσμεῖν, καὶ οὕστινας ἂν σοι δοκῇ, πάνυ ῥᾳδίως μεγάλων ἠξίωσας· τῶν δὲ Ἑλλήνων τοὺς ἄκρους καὶ παρὰ
689 H. πᾶσι βεβοημένους ἐν φαύλῳ καθαιρεῖς. αἴτιον δ' οὐ τὸ ἀγνοεῖν τὴν ἀξίαν, ἀλλὰ πῶς ἂν εἴποιμι εὐπρεπῶς; σφόδρα τῶν λόγων γίνῃ.

ἀντὶ τοῦ λέσχης γίνῃ καὶ οὐ τῆς τῶν πραγμάτων ἀληθείας.

πῶς ἂν εἴη διεφθαρκὼς Ἀθηναίους ἢ πῶς καλοὺς πεποιηκώς, ὅς γε κἂν τοῖς λόγοις αὐτοῖς τὸ μηδὲν φαύλως μηδ' εἰκῇ τιμήσας φαίνεται; τοὐναντίον γὰρ ἔμοιγε πᾶν αὐτοὺς ἐθίσαι δοκεῖ, μήτε λέγειν ὅπως ἔτυχε μηδὲν μήτε ποιεῖν ἀπὸ τοῦ πρώτου παραστάντος. ἔτι δ' ἄλλου μέν τινος πράγματος σκήπτεσθαι μάρτυρι κωμῳδίας διδασκάλῳ τάχα ἂν οὐκ ἰσχυρὸν ἦν· εἰς δὲ λόγων κρίσιν μή ποτε οὕτω σεμνὸς γενοίμην ὥσθ' ὑπεριδεῖν τῶν ἀνδρῶν τούτων ὡς οὐδενὸς ἀξίων. ὁ μὲν τῶν Ἑλληνίδων μεγίστην ὁ Κρατῖνος τὴν ἐκείνου γλῶτταν εἴρηκε, λέγων μὲν ἴσον τι καὶ φωνήν, ἀναμίξας δέ τι τῆς παρὰ τῆς τέχνης πικρίας τοῖς ἀπὸ τῆς ἀληθείας. ὅμως δ' οὐκ ἐξέφυγε τὸ μὴ οὐ τὰ πρῶτα δοῦναι τῷ ἀνδρὶ μηδ' ἐνδείξασθαι τὴν μεγαλοπρέπειαν τὴν περὶ τοὺς λόγους αὐτοῦ. ὁ δὲ Ἀριστοφάνης ἀστράπτειν καὶ βροντᾶν αὐτὸν καὶ κυκᾶν φησὶ δημηγοροῦντα. μὴ γάρ μοι τοῦτο, εἴ τι μέμφεται αὐτοῦ· ἀλλ' ὅσον εἰς τὸν παρόντα προσήκει λόγον τῆς μαρτυρίας λάβωμεν. ἀλλ' οὐ πολλῇ τινὶ τῇ περιουσίᾳ χρώμενος οὕτω διεγίγνετο, πόρρω μὲν αὐτὸς ὢν τοῦ ληρεῖν, πλεῖστον δὲ τοὺς ἄλλους ἐθίζειν ἀπέχων. πῶς οὖν ὁ τοσοῦτον ὑπερέχων καὶ μόνος πᾶσι τοῖς κριταῖς νικῶν τὴν τοῦ φλυαρεῖν εἰκῇ καὶ παρὰ καιρὸν Ἀθηναίους ἀνεῖναι φέροιτ' ἂν δόξαν; ἐγὼ μὲν γὰρ τοὐναντίον ἡγοῦμαι, σιωπῆς αἴτιον αὐτὸν πλείονος ἢ προπετείας καταστῆναι. ἴσμεν γοῦν ὅτι κἂν ταῖς ἄλλαις δή που δυνάμεσιν, οὗ μὲν πολλοὶ παραπλήσιοι καὶ ἐφάμιλλοι πρὸς ἀλλήλους, πολλὰ τὰ πράγματα καὶ πλείων ἡ ἔρις, ἐπειδὰν δέ τις εἷς ὑπερσχῇ λαμπρῶς, ἅπαντες ἤδη συγκεχωρήκασιν. οὕτω δὴ καὶ λέγειν ἐπειδάν τις ἄκρος ἐγγένηται, στέργειν ἀνάγκη τοὺς πλείους καὶ μὴ πολυπραγμονεῖν, ἀλλ' ὡς οἷόν τε μάλιστα εὐλαβεῖς καὶ κοσμίους εἶναι περὶ τοὺς λόγους. οὐ γὰρ ἂν ᾧ γέ τις ἐστὶ βέλτιστος, τούτῳ χεῖρους ἀπεργάζοιτο, ἄλλως τε καὶ πρὸς αὐτὰ ταῦτα οὗ βέλτιστός ἐστιν. ἀλλὰ μὴν ὡς αὐτό γε οὐκ 1276 R.
ἄτιμον τὸ δύνασθαι λέγειν, οὐδ' εἰς ὄνειδος φέρον, οὐδὲ κατηγορίας ἄξιον οὐδέ γε συγγνώμης ἀλλά τινος κρείττονος, αἰσχυνοίμην ἂν τοὺς λογίους θεοὺς εἰ ζητοίην ἀποδεικνύναι. πλήν γε τοσοῦτ' ἂν εἴποιμι· ἐμοὶ γὰρ εἴη, εἴ τις ἄλλος δυσχεραίνει, καὶ τρέπει τὸ ἅπαν εἰς ἐμὲ καὶ οὐ μέμψομαι τῷ δαίμονι· ὡς ἐγὼ δεξαίμην ἂν δύνασθαι λέγειν μετὰ χρηστοῦ βίου καὶ σώφρονος, εἰς ὅσον οἷόν τε, κάλλιστα ἀνθρώπων μᾶλλον ἢ μυριάκις Δαρεῖος ὁ Ὑστάσπου γενέσθαι· καὶ μικρά μοι πάνθ' ὡς ἀληθῶς πρὸς τοῦτο ἤδη φαίνεται. οἶδα δὲ καὶ τὰ Πλάτωνος πράγματα, εἰ μὴ τετυφώμεθα, οὐδὲν ἄλλο σχεδὸν ὄντα ἢ λόγους, καὶ συγχαίρω τῆς λέξεως αὐτῷ· κἂν με προσπαίζων οὑτωσὶ πείθῃ μὴ πάνυ τούτου φροντίζειν, οὐ πάνυ πείσομαι, ἀλλ' εἴσομαι σφόδρα σπουδάζοντα, καὶ τηνικαῦτα μά- 690 H.
λιστα, ἡνίκα ἂν ὡς παίζων λέγῃ. ὥστε τὸν οἴκοι θησαυρὸν διαβάλλοιμεν ἄν, εἰ ταῦτα διασύροιμεν.

παροιμία. τάττεται δὲ ἐπὶ τῶν τὰ οἴκοι διαβαλλόντων.

ἀλλ' ὑπὲρ μὲν τούτων οὐδὲ λέγειν ἄξιον, ἀλλὰ τοσούτῳ ἧττον, ὅσῳ περ ἂν ᾖ κρεῖττον τὸ δύνασθαι λέγειν. εἶεν. εἶτα τὸν οὕτως ὀξὺν καὶ ἄγρυπνον καὶ ἥδιστα ἂν εἶπον ὑπόπτερον, τοῦτον ἢ ἀργεῖν αὐτὸν ἢ ἑτέρους ἐθίζειν ἐγὼ πείθω; οὐκ ἄρα ἐπίστασθαι δόξω τῶν πραγμάτων οὐδέν· ὅστις γε μὴ ὅτι Ἀθηναίοις ἀλλ' οὐδὲ τοῖς πολεμίοις ἀργεῖν ἐπέτρεπεν, ἀλλὰ κἀκείνους ἐποίησε μεταβαλεῖν τοὺς τρόπους· τοσαύτας ἀνάγκας αὐτοῖς περιέστη τοῦ κινεῖσθαι. καὶ τὸ δικαίως οἷς ἐποίει προσῆν, ἔφη Δημοσθένης. ἀλλ' ὅμως Πλάτων ᾐτιάσατο αὐτὸν ἀργοὺς καὶ δειλοὺς πεποιηκέναι. ὁ Κρὴς δὴ τὸν πόντον, φήσει τις.

παροιμία ἐπὶ τῶν προσποιουμένων τὸ ἀγνοεῖν· οἱ γὰρ Κρῆτες ἐμπειροθάλασσοι. λέγεται δὲ καὶ ὁ νησιώτης ἀγνοεῖ τὴν θάλασσαν, καὶ ὁ Σικελὸς τὴν θάλασσαν.

ὥσθ' οἱ μὲν ἄλλοι τοῖς παροῦσι τούτοις ἠθύμουν, ὁ δὲ καὶ

a. 3. ἀγείρησι ς. 4. κατάβα A. 5. σὺ δὲ] p. 212. μὲν A: καὶ ς. – 10. λόγων A: λογίων ς. 12. πῶς ἂν] p. 213. διεφθ. — πεποιηκώς] καλοὺς πεποιηκὼς ἀθηναίους περικλῆς A. 16. ἔτι δ' (p. 214) om A. 17. κωμῳδίας διδασκάλῳ] κωμῳδιδασκάλῳ A. 20. ὁ μὲν — 21. εἴρηκε] μεγίστην ὁ μὲν τὴν αὐτοῦ γλῶτταν εἶπεν A. 23. δ' add A. 26. Ἀριστοφάνης om A. 29. ἀλλ' (p. 216)] ἄρ' A. 32. πῶς] p. 218. 33. εἰκῇ] εἰ μὴ A. 39. εἷς om A. ὑπερίσχῃ ς. b. 1. ἐπειδὰν δέ τις εἷς ς. 6. ἀλλὰ] p. 224. 8. γε om A. 10. τοσοῦτον ς. ἐμοὶ — 16. φαίνεται om A. 24. μὴν om A. 26. εἶεν om A. εἶτα] p. 226. 28. ἐγὼ om A. 32. περιέστη — 33. Δημοσθένης] περιστάς. καίτοι δίκαιος καὶ πρᾶος ἦν, ἔφη δημοσθένης A. 34. ὁ Κρής] p. 229. δὴ om A. 36. cf. Suid. v. ὁ Κρής. 36. τὸ om A. 38. ὁ add A. 39. ὥσθ'] p. 230.

Digitized by Google

τοῦτ' αὐτὸ προσειλήφει μεῖζον, τὸ τοὺς πολίτας οὕτως ἔχοντας ὁρᾶν ὥστε ἀπόρους εἶναι χρῆσθαι, καὶ ταῦτα οὐχ ὅσον τοῖς πολεμίοις ὑποπεπτωκέναι ἀλλὰ κἀκείνῳ δυσμεναίνειν ὡς τῶν παρόντων πραγμάτων αἰτίῳ. πρὸς δυοῖν τοῖν ἀπὸ τῆς τύχης (τῷ πολέμῳ καὶ τῇ νήσῳ) δύο ταῦτα προσειληφότας ὁρῶν αὐτούς, λύπην καὶ παροξυσμὸν εἰς αὐτόν, ἐν μέσοις τοῖς δεινοῖς ἐμβεβηκὼς καὶ πανταχόθεν μεμονωμένος ὡς εἰπεῖν οὐκ ἔδεισεν, οὐδ' ὑπεχώρησεν, οὐδ' ὥσπερ χροιὰν τὴν γνώμην μετέβαλε, τοῖς τε πολίταις καὶ τοῖς πολεμίοις ὁμοῦ ἀντιτεταγμένος· ἀλλ' ὥσπερ ἂν ἄλλο τι μάθημα διδάσκων αὐτούς, κατὰ ταὐτὰ ἃ καὶ πρότερον διεξῄει, καὶ οὐ διέφθειρε τὰ δόγματα ἐπὶ τῶν κινδύνων, οὐδὲ ἐπὶ τῆς ἐξουσίας ἐφιλοσόφησε μόνον, ἀλλ' ὡς περὶ ἀριθμῶν ἢ μέτρων ἐρωτηθεὶς ταὐτὸν ἀπεκρίνατο ἂν καὶ ὕστερον καὶ πρότερον, οὕτω καὶ τότε τὰς αὐτὰς ἠφίει φωνὰς ὑπὲρ τῶν ὅλων πραγμάτων, οὔτε τοῖς δεινοῖς εἴκειν ἀξιῶν οὔτε ἑαυτῷ μέμφεσθαι, αἰσχύνεσθαί τε ὑπὲρ αὐτῶν ἅμα τοῖς καιροῖς ἑτέρων γεγονότων. μὴ δὴ τοῦτο λέγωμεν, ὡς οὐκ ἐξῆγεν· ἀλλ' εἰ προσῆκον ἐξάγειν καὶ μάχεσθαι παρεώρα, τοῦτο σκοποῦμεν, ἐπεὶ καὶ Λακεδαιμονίους ἀκούομέν δή που προσκειμένων αὐτοῖς ποτὲ Θηβαίων, καὶ κελευόντων ἐξιέναι καὶ μάχεσθαι ἢ 1277 B. χείρους ὁμολογεῖν εἶναι σφῶν, ἀποκρίνασθαι "περὶ μὲν τοῦ πότεροι βελτίους τὰς πράξεις κρίνειν τὰς ὑπὲρ τῶν Ἑλλήνων ἑκατέροις πεπραγμένας, μαχεῖσθαι δὲ οὐκ ἐν τῷ τῶν πολεμίων καιρῷ οὐδ' ὅτε ἐκεῖνοι κελεύουσιν, ἀλλ' ἡνίκα ἂν αὐτοῖς δοκῇ, καὶ οὐ χρήσασθαι περὶ τούτου συμβούλοις Θηβαίοις. ἐγὼ μὲν οὖν ὅπερ λέγω περὶ τούτων, οὕτω καὶ χαίρω τῇ μεγαλοπρεπείᾳ παντὸς μᾶλλον, ὥς γε ἐμαυτὸν πείθω. ὁρῶ δὲ ὅτι πολλὰ τῶν πόλεών ἐστιν ὥσπερ ἐφόλκια, οἷς ἀνάγκη συγχωρεῖν ὥσπερ ἐν σώματι. καὶ γὰρ τὰ σώματα, καὶ 691 H. τὰ χείριστα καὶ τὰ κάλλιστα, "ἀκούω ἐκ τῶν αὐτῶν κεκρᾶσθαι· τῷ δὲ ἢ πλείονος ἢ ἐλάττονος τούτων ἑκάστου μετέχειν, τούτῳ κρίνεσθαι τό τε χεῖρον καὶ τὸ βέλτιον. οὕτω δὴ καὶ τὰς πόλεις ἀνάγκη τῆς φύσεως τῆς ἀνθρωπείας ἀπολαύειν, κἂν ὡς βέλτιστα οἰκεῖσθαι δοκῶσιν. ἐπεὶ κἂν τῷδε τῷ παντὶ τοσούτων καλῶν καὶ τοσαύτης ἀγαθῆς τύχης μετειληφότι καὶ οὐδὲν ἔξω δήπουθεν αὐτοῦ λελοιπότι τῶν καλῶν πολλὰ ἂν εὕροις, οἷς ἥκιστα ἂν ἡσθείης. ἀλλ' οὐ κατηγορεῖς διὰ ταῦτα τοῦ παντὸς οὐδὲ τοῦ ποιήσαντος, οὐδὲ νομίζεις ἄλλον τινὰ δή που βελτίω γενέσθαι ποτ' ἂν αὖθις δημιουργὸν τῶν ὅλων· ἀλλὰ δίδως τῇ φύσει ταῦτα ἐφειλκύσθαι, καὶ οὐ πολυπραγμονεῖς. τί δὴ θαυμαστόν, εἰ καὶ Ἀθήνησί τι τῶν πάντων οὕτως ἔχεν ὥσπερ ἴσως ἂν που καὶ ἄλλοθι, καὶ συνεχώρησαν οἱ προεστῶτες ἅμα μὲν τὴν τῶν πολλῶν πενίαν καὶ χρείαν ἐπανορθούμενοι, δι' ἣν οὐκ ἐλάχιστα τῶν ἁμαρτημάτων συμβαίνει, ἃ κωλύειν μᾶλλον οὕτως ἡγοῦντο, ἅμα δὲ εὐλαβούμενοι μή τι καὶ χεῖρον ἐξεργάσαιντο τῷ κατείργειν παντελῶς αὐτούς. τί γὰρ οὐκ ἦν προσδοκῆσαι ποιήσειν ἀνθρώπους τοσούτους τὸ πλῆθος καὶ οὕτως ὀξεῖς, καὶ χρημάτων τοσούτων παρόντων, εἰ μηδεὶς αὐτοῖς μετεδίδου τὰ μέτρια; ἆρ' οὐ πάντ' ἂν αὐτοῖς ἐπιχειρῆσαι λαβεῖν; οὐκ ἔστι ταῦτα, ὦ Πλάτων, ἀλλὰ δυοῖν θάτερον· ἢ οὐκ ἦσαν Ἀθηναῖοι τοιοῦτοι οἵους σὺ κατῃτιάσω, ἢ πάντες μᾶλλον ἢ Περικλῆς αἴτιος, εἴπερ γε μήτε φαύλως ἐδείκνυ τὰ παλαίσματα, μήτε ἀσαφεῖς τινὰς ἢ κιβδήλους ἢ σκολιὰς παρεῖχε τὰς γραμμάς.

Ἐκ τῶν περὶ Κίμωνος.

ὅτι ὁ Κίμων Μιλτιάδου μὲν ἔφυ πατρός, εὐήθης δὲ τὰ πρῶτα δόξας ὕστερον ἐν πολλοῖς καὶ στρατηγῶν εὐδοκίμησεν. ἐξοστρακισθεὶς δὲ κατῆλθε, καὶ στρατηγήσας ἐνίκησεν ἐπ' Εὐρυμέδοντι ποταμῷ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. τέθνηκε δὲ τὸ Κίτιον τῆς Κύπρου πολιορκῶν.

Ἐβουλόμην δ' ἂν καὶ πρὸς ἄλλον τινά μοι τὸν ἀγῶνα τυγχάνειν ὄντα καὶ μὴ πρὸς Πλάτωνα, καὶ περὶ τούτου λέγω καὶ περὶ τῶν ἄλλων, ἵνα πᾶσιν οἷς εἶχον ἐχρώμην θαῤῥούντως, καὶ μὴ συνέβαινέ μοι παραπλήσιον ὥσπερ ἂν εἰ πλέων, καὶ παρὸν ἐξ οὐρίας κομίζεσθαι, εἶτα ὑφιέμην ὑπὸ δειλίας, ἢ καὶ ἵπποις ἀγωνιζόμενος, ἐξὸν καὶ ταχὺ καὶ τοσοῦτον ὅσον βούλομαι παρενεγκεῖν, εἶτ' ἀνεῖχον ἐξεπίτηδες φειδοῖ τοῦ προειληφότος· οὕτω πολὺ πλείω ποιοῦμαι λόγον μηδὲν ἀπηχὲς εἰς Πλάτωνα τυχεῖν εἰπὼν μηδ' ὡσπερεὶ θρασύνεσθαι δοκεῖν, ἢ ἐκείνων ἕκαστον ἐπαινέσαι, εἰκότως·

a. 5. ψυχῆς A. τῷ — νήσῳ om A. 9. μετέβαλλε A. 11. ἂν add A. 14. περὶ — μέτρων] περ — μέτρον A. 18. ἅμα] ἅμα καὶ A. 19. μὴ δὴ] p. 233. 28. δοκεῖ ς. χρῆσθαι ς. 29. ἐγὼ] p. 239. 32. ἐφόλκια νῦν τὰ ἁμαρτήματα λέγει mg A. 35. ἑκάστου om A. 36. τοῦτο A. τό — τὸ] τῷ — τῷ A.
b. 1. ἀγαθῆς om A. 5. βελτίω om A. 8. ἄν που om A. 12. δὲ add A. 13. αὐτοὺς om A. 17. οὐκ ἔστι] p. 246. 23. Ἐκ τῶν περὶ K.] περικλῆς ἐκ τῶν περὶ τοῦ κ. A. 29. ἐβουλόμην] p. 251. 31. nonne λέγων? 34. ὑφιέμην] ὑφιέμην ἀντὶ τοῦ ὑπεχώρουν καὶ ὑπεῖχον ἐμαυτόν, ἀπὸ μεταφορᾶς τῶν χαλώντων τὰ ἱστία mg A. δειλίαν ς. 37. πλέω A. λόγον om A. 39. ἢ om A.

οὐδὲ γὰρ ἐλάττονος ἄξια χάριτός μοι τὰ πρὸς τοῦτον. οὐ μὴν ἀλλ' εἴγε ἄμφω συμβήσεται καὶ τὰς κατ' ἐκείνων αἰτίας ἀπολύσασθαι καὶ Πλάτωνι πᾶν ὅσον αἰδοῦς καὶ τιμῆς ἔξεστι σεσωκέναι, καὶ προσέσται τὸ δίκαιον ἀμφο-
1280 R. τέροις, μετρίως ἂν ἔχοι τὸ δίκαιον πανταχῇ. "εἰ γὰρ τἀναντία τοῖς ἐναντίοις ὁριούμεθα, πῶς ἕκαστον ἔθ' ἡμῖν σώσει τὴν ἑαυτοῦ φύσιν; εἰ γὰρ ἡ ἀρχὴ δουλεία,
692 H. σχολῇ γ' ἂν ἄλλο τι δουλείαν "ἐκφύγοι. κἂν εἴ γε τὴν ἀρχὴν δουλείαν εἶναι τιθείημεν, τί κωλύει καὶ τὴν δουλείαν ἀρχὴν τοῖς αὐτοῖς τούτοις τιθέναι λόγοις; κἀκ τούτου περίεισιν ἡμῖν ἡ θέσις καὶ οὐδέ ποτε ἐν τῷ αὐτῷ μένει, ἀλλ' ἡ μὲν ἀρχὴ δουλεία πρότερον γενομένη δι' ἐκείνης πάλιν ἀρχὴ γίνεται, ἡ δ' αὖ δουλεία πρότερον ἀρχὴ νομισθεῖσα ὑπ' αὐτῆς τῆς ἀρχῆς ἐπάνεισι δουλεία πάλιν εἶναι. καὶ οὕτω πλανήσεται καὶ μεταχωρήσει τὰ ὀνόματα ταῦτα, τῶν ἐναντίων πραγμάτων ὄντα, εἰ δὲ βούλει, τὰ ἐναντία τοῦ πράγματος.

τοῦ πράγματος εἶπε, δεινῶς, ἐπειδὴ ἓν καὶ ταὐτὸν εἶναι τὴν ἀρχὴν καὶ τὴν δουλείαν κατεσυλλογίσατο.

τοιούτους ἐπικούρους ὦ Πλάτων τοῖς Ἕλλησι παρέσχετο, ὥστε ἕως ἔζη Κίμων, τεθνάναι περιῆν τοῖς βαρβάροις τῷ φόβῳ τοὺς Ἕλληνας.

Δημοσθενικὸν τὸ σχῆμα· ἔφη γὰρ „τεθνᾶσι τῷ δέει τοὺς ἀποστόλους." τῷ δὲ φόβῳ τοὺς Ἕλληνας ἀντὶ τοῦ τῷ φόβῳ τῶν Ἑλλήνων, ἢ ὅτι κατέπτηξαν τοὺς Ἕλληνας οὕτως ὡς ἐγγὺς τοῦ τεθνάναι γενέσθαι.

Νὴ Δία ἀλλ' ἐξωστράκισαν αὐτόν, ὅπως αὐτοῦ δέκα ἐτῶν τῆς φωνῆς μὴ ἀκούσειαν. καὶ πάλιν γε κατήγαγον, πρὶν τὰ δέκα ἐξήκειν ἔτη, ἵνα αὐτοῦ τῆς φωνῆς ἀκούσειαν· οὕτως ἐπόθησαν. σὺ δὲ ὡς μὲν κατέγνωσαν, λέγεις, ὡς δὲ μετέγνωσαν, οὐκ ἐνθυμῇ. καὶ ἃ μὲν οὐ δικαίως ἐψηφίσαντο κατ' ἀμφοτέρων, λέγεις, ἃ δὲ ὀρθῶς ἐβουλεύσαντο, οὐχ ἡγῇ τοῖς μὲν προαχθεῖσι παραίτησιν τῷ δὲ ἀφεθέντι μεγίστην πίστιν τῆς ἀρετῆς ἔχειν. καὶ ὡς ἔοικεν, οἱ μὲν καταγνόντες αὐτοὶ μετέγνωσαν καὶ οὐκ ἔμειναν ἐφ' ὧν ἔγνωσαν ἐξ ἀρχῆς, σὺ δὲ ὥσπερ τι κύριον ἐγκέκληκας, καὶ οὐκ ἠξίωσας ταύτῃ μιμήσασθαι τοὺς Ἀθηναίους, ἀφεὶς τὸν ἄνδρα τῆς αἰτίας, ἀλλ' ὃ μὲν ἦν χαλεπώτερον αὐτῶν ἐμιμήσω, τὸ δὲ λοιπὸν εἴασας. καὶ μὴν πολὺ μεῖζον καὶ κάλλιον εἰς ἀρετῆς λόγον ἐκπεσόντα κατελθεῖν ἢ μὴ φυγεῖν ὅλως. τὸ μὲν γὰρ καὶ τοῖς τυχοῦσιν ὑπάρχει δή που, τοῦτο δὲ οὐ κατὰ τοὺς πολλοὺς ἄνδρας ἧκε· κἀκεῖνο μὲν ἂν τῇ τύχῃ τις οὐκ λογίζεσθαι, τοῦτο δὲ τῷ κρείττονα ἢ κατὰ τοὺς ἄλλους ὄντα γιγνώσκεσθαι. τοῦ μὲν γὰρ ἐκπεσεῖν καὶ φεύγειν φθόνος αἴτιος καὶ τάχα ἄν τι καὶ ἄλλο τοιοῦτο φανείη, τῆς δὲ πρὸ τοῦ χρόνου κλήσεως καὶ παρακλήσεως οὐδὲν ἔσθ' ἕτερον πλὴν τῆς ἀρετῆς αἰτιᾶσθαι, δι' ἣν καὶ ἀπόντα ᾐσχύνοντο καὶ παρεῖναι λυσιτελεῖν αὑτοῖς ὑπελάμβανον, καὶ τὸ μέγιστον, σφῶν αὐτῶν καταγινώσκειν μᾶλλον ἠξίουν ἢ ἐκείνου. ὥστε εἰ μὲν αὐτὸν ἐφ' ἑαυτοῦ δεῖ σκοπεῖν, τί δεῖ λέγειν, εἴ τις εἰς ἐκεῖνον ἐξήμαρτεν; εἰ δὲ ἀπὸ τῶν ἄλλων αὐτὸν δεῖ θεωρῆσαι, διαφερόντως οὗτος τιμηθεὶς φαίνεται. ἀλλὰ μή πω ταῦτα· αὐτίκα γὰρ μᾶλλον ἴσως ἁρμόσει.

ἤγουν ἐν τῇ κοινῇ ἀπολογίᾳ.

"Ὑπὲρ Μιλτιάδου. τὸ προοίμιον. 693 H.

Περιήκει δ' ἡμῖν ὁ λόγος εἰς αὐτὸν τὸν Μιλτιάδην, ὃν ἐγὼ μᾶλλον αἰσχυνοίμην ἐπαινῶν ἢ ψέγων· οὕτω μοι δοκῶ πάντα ἂν ἔλαττον εἰπεῖν ἢ βούλομαι.

Μιλτιάδης δὲ πάλαι "πεπεικὼς ἦν Ἀθηναίους μη- 1281 R.
δένα δεσπότην πλὴν τῶν νόμων ἡγεῖσθαι, μηδὲ τοῦ καλοῦ καὶ δικαίου μηδένα κρείττω νομίσαι φόβον, μηδ' οὕτως ἀνάγκην ἰσχυρὰν δι' ἣν προσήκειν γενέσθαι χείροσι. διὰ ταῦτα εἶχεν ὅ τι χρῷτο αὐτοῖς. ἀλλ' ὥσπερ οἱ γεωργοὶ πολλοστῷ μηνὶ τῶν σπερμάτων τὴν ἐπικαρπίαν κομίζονται, καὶ οὐχ ἅμα τῷ καταβαλεῖν, οὕτω καὶ ἐκείνους Μιλτιάδης παλαιαῖς ὁμολογίαις κατειληφὼς εἶχεν ἐν καιρῷ χρησίμους, οὐκ ἐπὶ τῆς χρείας λαμβάνοντας τὰ μαθήματα (αἰσχρῶς γὰρ ἂν οὕτω γε χοροὺς ἠγωνίσατο αὐτῷ) ἀλλ' ἐπὶ τῆς ἐξουσίας εἰς τὴν χρείαν ἠσκημένους. οἷου τοίνυν καὶ Μιλτιάδου προεστῶτος τοὺς μὲν ὡς πλεῖστον τῆς ἐκείνου δυνάμεως ἀπολαῦσαι, τοὺς δὲ μέσως· κἂν τῷ μέσῳ τὸ παραλλὰξ αὖ τίθει. γένοιτο δ' ἄν τις ἐν πλήθει καὶ περὶ ὦτα ἀτυχέστερος· οὐ τοι πάντας οὐδ' ὁ ἥλιος οἷός τε ἐστι θερμαίνειν, ἀλλ' ἤδη τις ἐν καθαρῷ τῆς μεσημβρίας ἐρρίγωσε, τῆς καταβολῆς ἐπελθούσης. ἀλλ' ἐκεῖνος ὁ καιρὸς ὥσπερ κῆρυξ ἐκάλει τῶν Ἑλλήνων τὸν ἀνδρειότατον καὶ τὸν ἐκ πλείστου τοῖς ἀρίστοις λογισμοῖς ἀμι-

a. 5. εἰ γάρ] p. 254. 15. καὶ οὕτω πλανήσεται om A. 18. τοῦ πράγματος — κατεσυλλογίσατο in mg ponit A. 20. τοιούτους] p. 261. 27. νὴ Δία (p. 263) om A. δέκα ἐτῶν om A. 28 et 29. τὴν φωνὴν A. 32. κατεψηφίσαντο ς. λέγεις] λοιδορῇ A. 34. μεγάλην A. 40. καὶ μὴν] p. 264.

b. 4. λογίσασθαι ς. 6. τοιοῦτο om A. 9. παρεῖναι] παρόντα corr A. 14. οὗτος A. ἀλλὰ — 16. ἀπολογίᾳ om A. 17. ὑπὲρ Μιλτιάδου] μιλτιάδης A. 18. Περιήκει] p. 266. 21. Μιλτιάδης] p. 270. 24. προσήκει ς. 30. αἰσχρῶς — 31. αὐτῷ om A. 32. οἷου] p. 274. 38. ἀλλ' ἐκεῖνος] p. 280.

Digitized by Google

ληκότα, καὶ ὅστις οἶδεν ὅπως δεῖ σώζειν τε καὶ σώζεσθαι.

εἰ δ' ἀπ' αὐτῶν τῶν κηρύκων ἀρξάμενοι καὶ τῆς ἀποκρίσεως προηγόρευον Ἀθηναίοις ὅτι δεῖ μελετᾶν τὸν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀγῶνα καὶ μὴ λιπεῖν τὴν τοῦ φρονήματος τάξιν καὶ οὐ τὰ ὅπλα ῥίψαντας οὐδὲ τοῖς φόβοις εἴξαντας, ἀλλ' ἀναλαβόντας τὰ ὅπλα καὶ τῶν φόβων κρείττους γενομένους, μᾶλλον δὲ ἕνα τοῦτον φόβον καὶ δεινὸν καὶ ἀφόρητον νομίσαντας, εἶξαι τοῖς χείροσι καὶ παραχωρῆσαι τοῦ πατρίου σχήματος, εἰ ταῦτα λέγοντας καὶ οὕτω παρεσκευασμένους ἠξίουν ἀπαντᾶν ἐπὶ τὴν κρίσιν τὴν περὶ τῶν ὅλων, καὶ δέχεσθαι τὸ ἐκβησόμενον ὡς ἐπ' ἀμφότερα ὁμοίως κερδανοῦντας, οὐχ ὁρῶ τίνα ταῦτ' ἔχει διακονίαν ἀγεννῆ, ἢ πῶς ἔοικε τοῖς τοῦ κυβερνήτου λογισμοῖς.

ὁρᾷς ὅσῳ τὸν κυβερνήτην παρελήλυθε. καὶ γάρ τοι ὅσοι μὲν τοῦτ' ἐπείσθησαν αὐτῷ, σεμνοὶ σεμνῶς κεῖνται, κάλλιστα δὴ πάντων Ἑλλήνων καταλύσαντες τὸν αἰῶνα, μνημεῖον τῆς ἀρετῆς τὸν τάφον κεκτημένοι, καὶ ὑπὸ γῆς ὄντες τὴν γῆν φυλάττοντες αὐτήν, ἀλλ' οὐχ ὑπ' αὐτῆς ἐχόμενοι, τῆς Ἡσιόδου προσρήσεως ἐγγύτατα ἥκοντες μετέχειν, ἣν ἐκεῖνος εἰς τὴν τοῦ χρυσοῦ γένους τελευτὴν ἐποίησεν, εἰπὼν

οἱ μὲν δαίμονες ἁγνοὶ ὑποχθόνιοι καλέονται,
ἐσθλοί, ἀλεξίκακοι, φύλακες θνητῶν ἀνθρώπων.

694 H. κἀκείνους πλὴν ὅσον οὐ δαίμονας ἀλλὰ δαιμονίους καλῶν, θαῤῥούντως ἂν ἔχοις λέγειν ὑποχθονίους τινὰς φύλακας καὶ σωτῆρας τῶν Ἑλλήνων ἀλεξικάκους καὶ πάντα ἀγαθούς, καὶ ῥύεσθαί γε τὴν χώραν οὐ χεῖρον ἢ τὸν ἐν Κολωνῷ κείμενον Οἰδίπουν, ἢ εἴ τις ἄλλοθί που τῆς χώρας ἐν καιρῷ τοῖς ζῶσι κεῖσθαι πεπίστευται. καὶ μὴν τεχνικόν γε εἶναι περὶ λόγους Πᾶνα τὸν Ἑρμοῦ Πλάτωνος ἡ φωνή. σκέψαι δὴ καὶ τοῦτο, ὁπόσον τι τῆς ἐκείνου σωφροσύνης τεκμήριον, καὶ ὅτι, εἰ χρυσῆν ἐτύγχανεν ἔχων τὴν ψυχήν, οὐκ ἂν αὐτῇ καλλίω βάσανον προσήνεγκεν. οἶμαι δὲ κἂν ἐν θεῶν δικαστηρίῳ κρινόμενον Μιλτιάδην ἁπάσας ἀποφυγεῖν, οὐχ ὥσπερ τὸν Ὀρέστην φασὶ τὰς ἡμισείας μεταλαβόντα. εἰκότως· ὁ μὲν γὰρ τὴν μητέρα ἀπέκτεινε δικαίως, ὁ δὲ τὴν Ἑλλάδα ἔσωσε δικαίως, καὶ τὰ τροφεῖα κάλ-
284 R. λιστα ἀνθρώπων ἐξέτισεν οὐ μόνον τῇ πατρίδι ἀλλὰ καὶ τῇ κοινῇ φύσει τοῦ γένους τοῦ Ἑλληνικοῦ. καὶ γάρ τοι κατὰ πόλεις μὲν ἄλλους ἄλλοι νομίζουσιν ἀρχηγέτας, κοινὸν δὲ τῆς Ἑλλάδος ἀρχηγέτην ἐκεῖνον δικαίως ἄν τις ἡγοῖτο. νομίζω δ' ἔγωγε καὶ τὴν αἰτίαν, ἣν ὕστερον ἔσχεν, εἰ δεῖ τι καὶ περὶ ταύτης εἰπεῖν, ἤδη μέγιστον σύμβολον εἶναι τοῦ πολλῷ τινι τῶν ἄλλων ἐκεῖνον διενεγκεῖν. ἅπαντας γὰρ ἠξίουν ἡττᾶσθαι τῆς ἀρετῆς τῆς ἐκείνου, καὶ μηδὲν ἀήττητον εἶναι μηδ' ἀνάλωτον ὅπου Μιλτιάδης παρείη. εἶτ' ἐγὼ τὸν οὕτως ἀνδρεῖον καὶ φρόνιμον καὶ σώφρονα, τὸν διὰ βίου μελετήσαντα ἀρετήν, τοῦτον κολακείας μορίῳ κολάσαι δοκῶ; τὸν οὐδ' ὅτε ἐκρίνετο, οὐδὲν πλέον τοῖς δικασταῖς δείξαντα τοῦ τραύματος, οὐ δακρύσαντα, οὐ παιδία ἀναβιβασάμενον, ὄντος αὐτῷ Κίμωνος, τοῦτον ἐγὼ κόλακα οὑτωσὶ προσείπω μεγαλοπρεπῶς; καὶ τοῦτ' ἦν τὸ κεφάλαιον τῶν ἐκείνῳ πεπολιτευμένων καὶ βεβιωμένων, κολακεία; καὶ πῶς οὐ δικαίως ἄν τις ἡμᾶς αἰτιῷτο αὐτοὺς κολακεύειν, καὶ διακόνων ἔργον οὐκ ἐλευθέρων ποιεῖν, εἰ τὴν ἑτέρου χάριν διώκοντες τἀληθὲς ἑκόντες διαφθείροιμεν;

### ὑπὲρ Θεμιστοκλέους.

#### τὸ προοίμιον.

Λοιπὸς τοίνυν Θεμιστοκλῆς, ἥκιστα δὴ πάντων ἄξιος ἐκ δευτερείων τὰ πρωτεῖα ἔχειν, εἰ τὰ μάλιστα καὶ τοῦτο αὐτὸ ἐκείνῳ μόνῳ τῶν πάντων ὑπάρξαν φαίνεται· ἀλλὰ μᾶλλον ὅστις ἐκείνου δεύτερος, τοῦτο ἴσως ἔργον εὑρεῖν. τοσούτῳ γὰρ ἡμῖν τὸν Μαραθῶνα, τὸν πάνυ, τὸν ὡς βούλει λέγε, τοσούτῳ δ' οὖν ἐκεῖνον ὑπερεβάλλετο πᾶσι τοῖς εἰς αὐτὸν ἐλθοῦσι πῶς ἂν εἴποιμι ὁμολογουμένως, ὅσῳ Ξέρξης Δαρεῖον ταῖς παρασκευαῖς ἅπασι δῆλός ἐστιν ὑπερβαλλόμενος. καὶ μὴν ὁ μὲν τοὺς ὑπάρχους τοῦ βασιλέως, ὁ δὲ αὐτὸν ἐνίκα βασιλέα. καὶ μετὰ μέν γε τὴν Μαραθῶνι μάχην αὖθις ἐπεστράτευσε, μετὰ 695 H.
δὲ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν φεύγων ᾤχετο. πρὸς μὲν γὰρ ἐκείνην τὴν ἧτταν παρωξύνθη, πρὸς δὲ ταύτην ἀπεῖπεν, ὥσθ' ἱκανὸν κέρδος ἡγεῖτο, ἂν σωθῇ· ᾔδει γὰρ τότε μὲν πολλοστὸν μέρος τῆς πάσης ἐλθὸν δυνάμεως, νῦν δὲ σχεδὸν μετὰ πάντων ἀνθρώπων ἡττώμενος. Μιλτιάδῃ μὲν οὖν εἰς ἓν κεφάλαιον ἡ τῆς ἀνδρείας ἀπόδειξις ἧκεν, εἰ καὶ τὰ μάλιστα ἐχρῆτο αὐτῇ παρὰ πᾶσαν τὴν πολιτείαν· Θεμιστοκλέα δὲ ἀεὶ τὰ δεύτερα τῶν προτέρων μείζονα ἐξεδέχετο, καὶ τὸ τῆς παροιμίας αὐτῷ περιειστήκει· τὸ μὲν γὰρ ἔλιπεν αὐ-

a. 2. εἰ δ'] p. 281. ἀπ' αὐτῶν] ἁπάντων A. 5. οὐ τὰ A: αὐτὰ ς. 12. δέξασθαι ς. 15. ὁρᾷς] p. 284. 26. ἔχοις λέγειν] ἔχειν A. 30. καὶ μὴν] p. 285. 32. σκέψαι] p. 288. 35. οἶμαι] p. 291. 41. καὶ γάρ τοι — b. 3. ἡγοῖτο om A. b. 6. ἅπαντας A: ἅπαντες ς. 13. αὐτοῦ A. οὑτωσὶ om A. 14. μεγαλοπρεπῶς — 15. κολακεία om A. 19. ὑπὲρ Θεμιστοκλέους] μιλτιάδης θεμιστοκλῆς A: Μιλτιάδης ὑπὲρ Θεμιστοκλέους ς. 21. λοιπὸς] p. 293. 28. ὅσῳ] ὡς ὁ A. 31. γε om A. αὖθις] οὐδεὶς A. 33. τὴν ἧτταν om A. 34. ὥσθ'] ὡς A. 37. Μιλτιάδῃ] p. 294.



Digitized by Google

τὸν κῦμα, τὸ δὲ ἐγκατελάμβανεν, ἕως διεξῆλθε διὰ τῶν τρικυμιῶν νικῶν. τί οὖν κωλύει δεῖξαι διὰ βραχέων ἐν ποίοις τισὶ πράγμασι ποῖός τις ἦν ὁ Θεμιστοκλῆς; καίτοι τοῦτό γε οὐδὲν ἴσως πρὸ ἔργου. ἃ γὰρ οὐκ ἔστιν ἐνδείξασθαι τῷ λόγῳ, πῶς ἄν τις ἐκ τούτων ἐκεῖνον θεωρήσειε; πλὴν εἰ τοῦτό γε αὐτὸ ἐνθυμηθείς, ὅτι ὑπὲρ ὧν οὐδ' εἰπεῖν ὡς βούλεταί τις ἐγχωρεῖ, ταῦτ' ἐκεῖνος μετεχείρισεν ὡς ἐβούλετο. δέκα μὲν γὰρ ἑξῆς ἔτη ὤδινεν ἅπασα ἤπειρος, φιλονεικοῦντες ἅπαντες ἄνθρωποι δίκην τῆς Μαραθῶνι μάχης λαβεῖν· ἡτοιμάζετο δὲ ἐκ πάσης γῆς καὶ θαλάττης πάντα. Αἰγύπτου δὲ ἀποστάσης ἐν τῷ διὰ μέσου βασιλεὺς οὐδὲν σπουδάσας αὖθις ἦν ἐν τοῖς αὐτοῖς· οὕτω ῥᾳδίως ἐκείνην παρεστήσατο. δεκάτῳ δὲ ἔτει συνῆλθον ἐσχατιαὶ πᾶσαι καὶ
1285R. γένη πάντα, ὥσπερ μετανισταμένης ἑτέρωσε τῆς οἰκουμένης, καὶ βασιλεὺς ἀπῄει δεδοικὼς μὴ οὐ δέξαιτο τὸ πλῆθος ἡ Ἑλλάς, ὥσπερ ἀρχὴ γῆς πάσης τοῦ στρατοπέδου γιγνόμενος, καθὸ βούλοιτο, ἀεί. καὶ οὐ τοσοῦτόν γ' ἂν αὐτοὺς ἡ τοῦ ἡλίου συμβᾶσα ἔκλειψις ἐξέπληξεν, ὅσον ἡ τῆς γῆς καὶ θαλάττης ἔκλειψις γινομένη πρὸς τὴν τοῦ βασιλέως, ἐμοὶ δοκεῖν, ἐπιθυμίαν μᾶλλον ἢ χρείαν. πρὸς δὲ τούτοις τείχη μὲν ᾠκοδομεῖτο, ὅπως ἀριθμοίη κατὰ μυρίους, ὁ δὲ ἥλιος συνεκρύπτετο τοῖς τοξεύμασιν, ἦν δὲ πλήρης ἡ μὲν θάλαττα νεῶν, ἡ δὲ γῆ πεζῶν, ὁ δὲ ἀὴρ βελῶν. παρεῖναι δὲ καὶ μέλλειν ἴσον ἦν, ὥστε ἔχεσθαι πάντας· πάντα δὲ ὥσπερ τοῦ Ποσειδῶνος κατιόντος ἐσείετο. πάντα δὲ τὰ ἐπιόντα Θεμιστοκλῆς εἰς ἑαυτὸν ἀναδεξάμενος, καὶ τὴν αὐτοῦ γνώμην ὑποθεὶς ἀντ' ἄλλου τοῦ φυλακτηρίου, καὶ μόνος ὀρθοῖς τοῖς ὀφθαλμοῖς ἀντισχὼν ἅπασι καὶ τοῖς παροῦσι καὶ τοῖς ἐπιοῦσι πράγμασι, καὶ οὐκ ἀποστραφεὶς ὥσπερ οἱ πρὸς τὸν ἥλιον βλέποντες, ὃ πᾶσι μικροῦ δεῖν συνέβη τοῖς τότε, οὐκ ἂν εἴποιμι ὡς οὐκ ἔψευσε τῆς ἐλπίδος τοὺς Ἕλληνας, ἀλλὰ καὶ πολὺ τὴν προσδοκίαν ἐνήλλαξεν αὐτοῖς. οὐδὲν γὰρ τῶν ἐσχάτων ὅ τι οὐ πείσεσθαι τῶν πολλῶν νομιζόντων, καὶ βλεπόντων εἰς αἰσχρὰς μηχανὰς καὶ ἀπόρους καταφυγάς, τοσοῦτον μετέστησε τὰ πράγματα ὥστε, εἴ τις ὕστερον αὐτοὺς ἀπελθόντων τῶν βαρβάρων ἤρετο εἰ ἐβούλοντο ἂν μήτ' ἐκείνους ἐπιστρατεῦσαι μήτε σφίσι ταῦτα πεπρᾶχθαι μήτε τοὺς κινδύνους σφίσι μηδὲ τὰς πράξεις γεγενῆσθαι, τεθνάναι πάντας ἂν εἰπεῖν ἐθέλειν μᾶλ- 696 H.
λον ἢ ταῦτα ἄπρακτα αὐτοῖς εἶναι.

**μικροῦ δεῖν, παρ' ὀλίγον, σχεδόν, ἐγγὺς ἧκεν, οὐ πόρρω ἦν, οὐ πόρρω εἰπεῖν, ὡς εἰπεῖν, ὡς ἔπος φάναι, ὡς τὸ ἔπος φάναι, ὀλίγου δεῖν, ὀλίγου δέω φάναι, μόνον οὐχί.**

οὕτως οὐ μόνον τὰς ἐλπίδας, ὅσοι γε καὶ τὰ μήκιστα ἤλπισαν αὐτῶν, ἀλλὰ καὶ τὰς εὐχὰς τῶν πλείστων ὑπερεβάλλετο. εἰπὲ γάρ, ὦ πρὸς τῶν θεῶν! εἰ δὲ μή, ἄλλος τις κληρονομείτω τοῦ λόγου, λεγέτω, δεικνύτω, τί χρῆν πράττειν τὸν Θεμιστοκλέα τότε καὶ πῶς χρήσασθαι τοῖς παροῦσι; πότερον εἰς τὴν Πνύκα συλλέξαντα Ἀθηναίους περὶ τῶν ἰδεῶν αὐτοῖς διαλέγεσθαι, καὶ διδάσκειν τί αὐτοδίκαιον καὶ τί αὐτοκαλόν, καὶ τί τὸ ὂν μὲν ἀεί, γένεσιν δὲ οὐκ ἔχον; ταχέως μέντ' ἂν αὐτοὺς καὶ γένεσις καὶ τὸ εἶναι καὶ πάντα ἐπέλιπεν. ἀλλ' ὅθεν ἀνδρεία τὸ πρῶτον ἐκλήθη καὶ ὅθεν δειλία, ζητεῖν, καὶ πότερον ῥεῖ τὰ πάντα ἢ οὔ; ἔγνωσαν μέντ' ἂν κακῶς ῥέοντα τὰ πάντα αὐτοῖς. ἀλλὰ τί μὴν ὅλως ἔδει λέγειν ἢ ποιεῖν; τρίτον γὰρ ἤδη αὐτὸ τὸ ἐρώτημα ὥσπερ σύνθημα περιήκει. πόθεν ἐξετάσομεν τὸν Θεμιστοκλέα; πότε σύμβουλος τῷ ὄντι καὶ προστάτης καὶ ἡγεμὼν ἦν, ἢ τί καὶ ἄλλο πρέπον ἀκοῦσαι; καὶ μὴν δεῖ γε δυεῖν θάτερον, ἢ τὰ πραχθέντα ὑπ' αὐτοῦ μέμψασθαι τίνα ἔχει, ἢ δεῖξαι τί δέον πρᾶξαι παρέλιπε, τὸ ῥᾷον καὶ ἴδιον ἀντὶ τοῦ καλοῦ προελόμενος. καίτοι τήν γε ὕστερον τῶν πραγμάτων σοφίαν καὶ τοὺς ἐπὶ τῆς ἀδείας ἐλέγχους οὐδὲν ἔχειν λαμπρὸν φασιν οὐδ' ὑπερήφανον. ἐγὼ δ' οὖν καὶ τοῦτο συγχωρῶ, κἄν τις ἀμείνω τινὰ πρᾶξιν ἢ λόγους βελτίους ἢ προαίρεσιν δικαιοτέραν ἢ τοῖς πᾶσι βελτίω δείξῃ τότε ἐγχωροῦσαν, παρ' ἣν ἐκεῖνος ἐνεστήσατο, ἕτοιμος αὐτὸς τῆς αἰτίας κληρονομεῖν.

**ἢ οὕτως ἐρεῖς, οὐδέν φασι λαμπρὸν οὐδ' ὑπερήφανον** 1288R.
**πολλὰ γὰρ ἃ κατὰ μελέτην ἔδοξεν ἄριστα βεβουλεῦσθαι, ἐπὶ τῶν καιρῶν ἐδείχθη τῶν ἀτυχημάτων αἴτια φανέντα. ἢ καὶ οὕτω, πολλὰ γὰρ ἐν ταῖς βουλαῖς τὴν κρίσιν τοῦ νικᾶν λαβόντα, ἐπὶ τῆς χρείας τὴν αἰτίαν ἀπηνέγκατο τῆς ἀτυχίας. καὶ οὐκ ὀλίγα ἄλλα τοιαῦτα. ἀλλὰ μή ποτε τὰ τοιαῦτα καὶ τὰ περιφανῶς οὐκ εὖ πεπραγμένα οὐδὲ βεβουλευμένα τοῖς αἰτιωμένοις οὐ πολλὴν παρέχοι τὴν παρρησίαν. ἢ οὕτω, τοῖς αἰτιωμένοις δόξειεν ἂν εἰς οὐκ εὔλογον ποιεῖν ἀποβλέπειν**

a. 2. τί οὖν] p. 296. 4. τοῦτό om A. 8. μετεχειρίζετο A. δέκα — ἔτη] δεκάτῳ — ἔτει A. 12. ἀποστάσης] ἁπάσης A. 17. πάσης om A. 18. καὶ οὐ] p. 297. 19. γ' ἂν om A. 22 et 26. δὲ add A. 27. πάντα δὲ] p. 299. 31. καὶ ante οὐκ om A 36. πείσεσθαι] πείσονται A. καὶ βλεπόντων — 37. καταφυγάς om A. 39. ἐβούλοντο] βούλοιντ' A. 41. μηδὲ A: μήτε ς.

b. 1. ἐθέλειν] ἂν A. 6. καὶ om A. 8. εἰπὲ] p. 300. 16. τὸ πρῶτον om A. 21. πότε — 22. ἀκοῦσαι om A. 23. δεῖ om A. δυοῖν γε A. 25. καὶ ἴδιον] ἥδιον A. 38. τὰ add A.

Digitized by Google

**αἰτιολογίαν· ἀλλὰ γάρ πως ἀπαντήσει ταῦτα τοῖς μὴ ὀρθῶς προελθοῦσιν, ὥσπερ τοῖς οὐ φαύλως. ἐν ἐκείνοις μὲν γὰρ ἐνῆν τὸ δέον, ἐξ οὗ προήγετο τὸ ἐνθύμημα· ἐν τούτοις δὲ τὸ μὴ δέον προφαινόμενον καὶ αὐτὴν ἐπέχει τὴν γένεσιν τοῦ ἐπιχειρήματος.**

συνιδὼν ἐκεῖνος ὁ πάντα ἄριστος ὡς εἰ τὸ δίκαιον ἀκριβῶς ἐξετάζοι καὶ στάσις ἐγγένοιτο ὑπὲρ τῆς ἡγεμονίας, ἅπαντα ἀπολεῖται κακῶς καὶ οὐχ ἕξουσιν ὅ τι χρήσονται, πείθει τοὺς Ἀθηναίους ὑφίεσθαι καὶ συγχωρῆσαι τοῖς Λακεδαιμονίοις ἐν τῷ τότε τὴν ἡγεμονίαν, ὑποσχόμενος παρ' ἑκόντων αὐτοῖς τῶν Ἑλλήνων αὐτὴν 697 H. ἀνακτήσασθαι· καὶ οὐκ ἐψεύσατο. σχεδὸν δέ τι καὶ τοὔνομα τῆς ἡγεμονίας, ἀλλ' οὐκ αὐτὴν ἔπεισε παρεῖναι, ἐπεὶ τό γε ἀληθὲς εἰπεῖν, αὐτοῖς μὲν τὴν ἡγεμονίαν ἐκείνοις δὲ τὴν ἐπωνυμίαν ἀνέθεσαν, καὶ περιεγένετο αὐτοῖς, ἄνευ τῆς σωτηρίας τῆς κοινῆς καὶ τοῦ τῶν μὲν πολεμίων ἀνδρείᾳ τῶν δὲ συμμάχων πρᾳότητι κρατῆσαι, καὶ τὸ σχῆμα τῷ παντὶ κάλλιον καὶ σεμνότερον· ἡγεμόνων γὰρ ἡγεμόνες κατέστησαν. τοῦτο τὸ ψήφισμα οὐ κόλαξ (ἐμοὶ δοκεῖν) ἄνθρωπος, οὐδὲ κάτω βλέπων, οὐδ' ὑποπεπτωκὼς τοῖς ἀκούουσιν, ἀλλὰ θεῶν τις διὰ τῆς Θεμιστοκλέους γλώσσης ἐφθέγξατο. ὥστε ὁρῶν μὲν αὐτοὺς δακρύοντας, ἀκούων δὲ παίδων καὶ γυναικῶν ποτνιωμένων, ἔτι δὲ ὑπολειπομένων τινῶν ἀναγκαίως, παραπλησίου δὲ μάλιστά πως ὄντος ὥσπερ ἂν εἰ ἑαλωκυίας τῆς πόλεως κατὰ κράτος, εἰκότως (τὸ μὲν γὰρ μέλλον ἦν ἅπασιν ἐν ἀφανεῖ, λεπτὴν καὶ ἄπιστον ἔχον τὴν ἐλπίδα, τὰ δὲ παρόντα στέρησις πόλεως καὶ κτημάτων καὶ διαίτης ἁπάσης τῆς πρότερον), καὶ παραλαβὼν αὐτοὺς ὥσπερ παῖδας, ἀτρεμιζούσῃ τούτους ἐξῆγε τῇ ψυχῇ καὶ τοῖς λογισμοῖς ἑστῶσιν, οὐ μόνον τοῖς ὀφθαλμοῖς.

οὐκοῦν δεινόν, ὦ γῆ καὶ θεοὶ καὶ λόγων καὶ ἔργων ἡγεμόνες! (ἐξάγομαι γὰρ εἰπεῖν) Σωκράτη μὲν καὶ τῆς φυγῆς ἐπαινεῖν, καὶ φάσκειν ἐκεῖνον ἀναχωρεῖν κάλλιον Λάχητος, Θεμιστοκλέα δέ, ὃς διώκων, οὐ φεύγων τοὺς πολεμίους τὴν ἀνδρείαν ἐπεδείκνυτο, καὶ οὗ τῆς ἀρετῆς ἀπέλαυσεν ἅπασα ἡ Ἑλλάς, ἃ τῆς δειλίας καὶ τῆς ἀνανδρίας ἐστὶν ὀνόματα, τούτοις καλοῦντα μὴ φροντίζειν; ὃς καὶ ὅτ' ἀπ' Εὐβοίας ἀνεχώρει νενικηκώς, τοιαῦτα τὰν μέσῳ διεπράττετο, οἷα ἂν οὐδείς πω τῶν ἐπειγομένων ὁπωσοῦν ἀπελθεῖν. εἶτα λέγεις ὡς οὐ πολλοῦ τινὸς ἡ σωτηρία ἄξιον. τί οὖν κωλύει καὶ τοῖς σωτῆρσι θεοῖς, οἳ καὶ καθ' ἕνα ἡμᾶς σῴζουσι καὶ τότε ἐκεῖνα κατεργάσασθαι τοῖς Ἕλλησι παρέσχον. ἀλλ' ἐγὼ μὲν ἐάσω τὸ βλάσφημον· ὑπονοεῖν δὲ ἔστι τό γε ἐκ τοῦ λόγου συμβαῖνον. ἤ που σφόδρα ἄν τι δόξειε λέγειν.

**ἀντὶ τοῦ οὐδαμῶς μὲν παραλαμβάνεται τὸ ἤ που· ἐνταῦθα 1289 R. δὲ ὁ Ἀριστείδης ἀντὶ τοῦ πολλῷ πλέον ἔλαβεν. εἰρωνικῶς δὲ τὸ πολλῷ πλέον εἶπεν, οἷον οὐδ' ὅλως. καὶ πολλάκις οὕτω τῷ ἤ που ἀντὶ τοῦ πολλῷ πλέον χρῆται, μᾶλλον δὲ σχεδὸν ἀεί.**

καὶ μὴν οὐχ ὅμοιον ἐν μέσῃ τῇ θαλάσσῃ περὶ τῶν ἐν τῷ πλοίῳ λέγειν καὶ τὴν εὐψυχίαν τὴν αὐτοῦ δεικνύναι, καὶ καθήμενον ἔξω τῆς ζάλης ὑπὸ τῷ τειχίῳ· ἃ Πλάτων παντὸς μᾶλλον καλῶς εἰδὼς ἑκὼν ὑπερβαίνει, καὶ κατηγορεῖ Θεμιστοκλέους ἐμβιβάσαντος Ἀθηναίους εἰς τὰς τριήρεις.

**παροιμία· τάττεται δὲ ἐπὶ τῶν ἄλλα ἀντ' ἄλλων ποιούντων ἢ ἐωμένων. παρῆκται δὲ ἀπὸ τοῦ τὸν Πρίαμον καὶ τὴν Ἑλένην ἐκ τοῦ τείχους θεωροῦντας τοὺς Ἕλληνας περὶ αὐτῶν διαλέγεσθαι.**

ἐγὼ δ', εἰ μὲν ἦν ἕτερον τρόπον νικῆσαι ἢ καὶ σωθῆναι τὸ πρῶτον, τάχα ἄν τι τούτους ᾤμην τοὺς λό- 698 H. γους εἶναι. ὅτε δ' ἦν αἵρεσις ἢ ναυμαχοῦντας κρατεῖν ἢ κατὰ γῆν ἀπολωλέναι, πῶς ἦν ἴσον ἢ τίς ἡ θαυμαστὴ φιλοσοφία τεθνάναι μάτην, ἐξὸν μετὰ τῆς μεγίστης εὐδοξίας σωθῆναι; ἀρχὴν δ' ἔγωγε οὐκ ἐπινοῶ ποῦ διακέκριται κατὰ γῆν μὲν νικῆσαι καλὸν εἶναι, ἐν θαλάττῃ δ' αἰσχρόν, ἢ τὴν μὲν κρανίαν καὶ τὴν βύρσαν πολλοῦ τινὸς ἀξίαν εἶναι, τὰ δὲ νήϊα καὶ τοὺς κωπέας τοῦ μηδενός.

**λείπει τὸ ὀρεὶ νομίζειν. κρανίαν τὴν περικεφαλαίαν λέγει, βύρσαν δὲ τὸ ὅπλον παρὰ τὸ ἔχειν βύρσαν περὶ αὐτό, νήϊα δὲ τὰ σχοινία, κωπέας δὲ τὰ ξύλα τὰ πρὸς κώπας ἐπιτήδεια.**

εἰ δ' ἅπασα μὲν ἡ γῆ κατείληπτο, ἐπέρρει δὲ ὥσπερ θαλάττης ἐπίκλυσις ἡ στρατιά, πάντα δὲ ἄρδην ἀνηρπάζετο, ἀναβλέπειν δὲ οὐκ ἦν, ἀλλ' ἐν τοῖς στενοῖς οὐ τῆς Πελοποννήσου μόνον ἀλλὰ καὶ τῶν ἐλπίδων ἐκάθηντο, ἀπέκειτο δὲ μήτε γῆς μήτε θαλάττης εἶναι μηδαμοῦ, τί ταῦτα τοὺς Ἀχαιοὺς ἀπὸ τοῦ πύργου κρίνομεν;

**παροιμία· ὥσπερ ὁ Πρίαμος ἐκ τοῦ τείχους καὶ Ἑλένη.**

μόνος δέ μοι δοκεῖ πάντων ἀνθρώπων ἢ κομιδῇ γε ἐν ὀλίγοις δεῖξαι Θεμιστοκλῆς ἀληθῆ τὸν λόγον

a. 6. συνιδὼν] p. 310. 7. ἐγγένηται *A*. 10. ἐν τῷ τότε τὴν ἡγεμονίαν om *A*. 11. αὐτὴν] ταύτην *A*. 16. καὶ τοῦ *A*: τὸ ς. 19. τοῦτο] p. 317. 29. καὶ παραλαβὼν αὐτοὺς ὥσπερ παῖδας om *A*. 32. οὐκοῦν] p. 324. 35. ὃς *A*: ὡς ς. 37. ἀπήλαυσεν ς. 40. τῶν *A*: ἐν ς. 41. ὁπωσοῦν ἀπελθεῖν om *A*.
b. 6. ἤ που] p. 326. 10. καὶ μὴν] p. 335. θαλάττῃ *A*. 11. τὴν ante αὐτοῦ om *A*, 12. τῷ om *A*. 13. ἃ — 19. διαλέγεσθαι om *A*, proverbii explicatione infra post Ἑλένη v. 39 posita. 18. libri θεωροῦντες. 29. τὸ *A*. 33. εἰ δ'] p. 337. 40. μόνος] p. 339. 41. γε om *A*.



Digitized by Google

ὄντα, ὃν πάλαι μὲν Ἀλκαῖος ὁ ποιητὴς εἶπεν, ὕστερον δὲ οἱ πολλοὶ παραλαβόντες ἐχρήσαντο, ὡς ἄρα οὐ λίθοι οὐδὲ ξύλα οὐδὲ τέχνη τεκτόνων αἱ πόλεις εἶεν, ἀλλ᾽ ὅπου ποτ᾽ ἂν ὦσιν ἄνδρες αὑτοὺς σώζειν εἰδότες, ἐνταῦθα καὶ τείχη καὶ πόλεις. εἰ μὲν οὖν αὐτοῦ γνώμῃ μόνον περὶ τούτων ἐκέχρητο Θεμιστοκλῆς, ἐκείνου τις ἂν εἶπεν αὐτὸν τὴν κατηγορίαν πεποιῆσθαι· ἐπεὶ δὲ καὶ θεὸς ταῦτα ἀνελὼν φαίνεται, ἐγὼ μὲν ὀκνῶ λέγειν, πᾶς δ᾽ ἄν τις συνίῃ τὸ λοιπόν, ὃ δ᾽ οὖν Θεμιστοκλῆς λαμπρῶς ἀποφεύγει τὴν αἰτίαν. τουτὶ γὰρ ἕν μοι τῆς ἀπορίας διαλύσαντες στησάτωσαν παρὰ τὸν τρίποδα τὸν ἐν Δελφοῖς,

ἴσως ἰχέτωσαν τιμὰς τὰς αὐτὰς τῷ Ἀπόλλωνι.

ὃν οἱ Ἕλληνες ἀπὸ τῶν βαρβάρων ἀνέστησαν.

ἴσως ἐκ τοῦ τοὺς βαρβάρους καταπολεμῆσαι καὶ τὰ ἐκείνων λαβεῖν.

ὁ μὲν τοίνυν θεὸς θείαν προσεῖπεν τὴν Σαλαμῖνα, ὡς ἐν αὐτῇ μελλόντων ἔργων ἔσεσθαι κρειττόνων ἢ κατὰ πάντα τἀνθρώπινα· Πλάτων δὲ τὸν ταῦτα κατειργασμένον καὶ τὸν κομίσαντα αὐτοὺς εἰς τὴν Σαλαμῖνα λυμήνασθαί φησι τοῖς πράγμασι καὶ τῶν πρὸς ἡδονὴν ὑπηρετούντων οὐδὲν γενέσθαι βελτίω. καὶ γάρ τοι μετὰ τὴν ναυμαχίαν συλλεγέντων εἰς τὸν Ἰσθμὸν ἁπάντων, καὶ φερόντων τὴν ψῆφον ἀπὸ 1292R. τοῦ βωμοῦ τοῦ Ποσειδῶνος περὶ τῶν ἀριστείων, „ἔξεστι μέν τι καὶ ἄγνωμον ἐνταῦθα κατηγορῆσαι τῶν Ἑλλήνων, ἔξεστι δὲ τὸ λοιπὸν τῆς εὐγνωμοσύνης ἐπαινέσαι καὶ λαβεῖν ὑπὲρ Θεμιστοκλέους. ἕκαστος γὰρ ἑαυτὸν πρῶτον φέρων, δεύτερον συνεξέπιπτον ἅπαντες φέροντες Θεμιστοκλέα. ἡ μὲν οὖν τοῦ πρωτείου ψῆφος, οἶμαι, τοῦ πᾶσι φύσει συμβεβηκότος ἀνθρώποις ἦν· τοῦτο δέ ἐστι μηδένα ἑαυτοῦ μᾶλλον φιλεῖν· ὥστε οὔτε ἰσχυρὸν εἶχεν 699H. οὐδὲν οὔτε συγγνώμης ἀπήλλακτο. ἡ δὲ ὑπὲρ τῶν δευτέρων σαφῶς ἤδη σύμβολον ἦν τῆς ἀληθείας, καὶ ὅτι οὐκ εἶχον ἑτέρως θέσθαι. ὥστε εἰ προσείρητο ἐξ ἀρχῆς μηδένα ἑαυτὸν φέρειν ἀλλ᾽ ἕτερον, Θεμιστοκλέα πάντες οἴσειν ἔμελλον, ὅν γε καὶ παντὸς ἄλλου πᾶς τις προὔκρινεν αὑτῶν, καὶ ὁμοίως ἂν πρῶτος ἐγίγνετο ὥσπερ τότε δεύτερος. οὕτω καὶ νῦν δεύτερον εἶναι ψηφισάμενοι προσόμοιον ἐποίουν, ὥσπερ ἂν εἰ πρῶτον ἐψηφίσαντο. οὐ μὴν οὐδ᾽ οὕτως ἔλαττον ἔχων ἀπῆλθεν, ἀλλ᾽ ἀμφοτέροις ἐνίκησε. τὰ μὲν γὰρ πρῶτα καὶ παρὰ τῆς ἀληθείας καὶ παρ᾽ αὑτοῦ λαβὼν εἶχε (τὸ γὰρ αὐτὸ τοῖς ἄλλοις ἐποίησε μόνος τῶν ἄλλων δικαίως), τὰ δὲ δεύτερα ἤδη συνεκεχώρητο, ὥστε ἐξ ἁπάντων πρῶτος ἦν. ἔχων δὲ λέγειν πολλὰ καὶ περὶ τῶν ὕστερον αὐτοῦ συμφορῶν, καὶ ὅπως ἂν ἅπαν τὸ πρᾶγμα συνεσκευάσθη, καὶ ὁποῖόν τινα κἀν τούτοις παρέχεν ἑαυτόν, ἐβουλόμην ἂν ἐν τούτῳ χρείας εἶναι τὸν λόγον ὥστε καὶ περὶ τούτων ἐπείγειν εἶναι διελθεῖν· οἶμαι γὰρ οὐδὲ φαυλότερα οὐδ᾽ ἐλάττω τῶν εἰρημένων ἤδη εἰπεῖν ἂν περὶ αὐτοῦ. ἐπεὶ δὲ ἅμα τε ἔξω τῆς ὑποθέσεώς ἐστι καὶ μῆκος ἐπεισέρχεται τοῖς λόγοις, παραλείψω ταῦτα, τοσοῦτον ἐπιφθεγξάμενος καὶ περὶ τούτου τοῦ μέρους, ὅτι ἐπειδὴ ἔδει στρατεύειν ἐπὶ τὴν Ἑλλάδα, προὔκρινε τελευτᾶν, ἔργῳ μὲν λύσας πᾶσαν αἰτίαν, δείξας δὲ ὁπόσου τιμᾶται τὰς πρότερον πράξεις καὶ τὰ πολιτεύματα, καὶ ὅτι οὐδέποτε ἑκὼν εἶναι τοῦ καλοῦ καὶ τοῦ προσήκοντος οὐδὲν πρότερον ποιήσεται, οὐ πλοῦτον, οὐ παῖδας, οὐκ ἐλπίδας, οὐ τὴν σωτηρίαν αὐτήν. ἐγὼ μὲν οἶμαι καὶ ἱερέας καὶ ἱερείας, καὶ ὅστις ἄλλος Ἀθήνησιν εὔχεται δημοσίᾳ, τοῦτ᾽ ἂν εἰκότως καθ᾽ ἕκαστον ἔτος πρὸς ἅπασι τοῖς ἄλλοις προσεύχεσθαι, κατὰ γοῦν ἐκείνους τοὺς χρόνους, καὶ ἕως ἐξῆν, φῦναί τινα αὐτοῖς ἄνδρα ὅμοιον Θεμιστοκλεῖ, καὶ μετὰ τῆς ἄλλης φορᾶς καὶ τοῦτ᾽ ἐνεγκεῖν τὴν γῆν τἀγαθόν. οὔκουν ἐλάττω γ᾽ ἂν ὄνασθαί μοι δοκοῦσιν ἢ εἰ πάντα εἰς ἑκατὸν καὶ ἔτι πλείω τῆς χώρας αὐτῆς ἐξενεγκούσης. ἄλλως μὲν τοίνυν ᾐσχυνόμην ἔγωγε ἐπὶ τοσούτοις καὶ τοιούτοις τοῖς εἰρημένοις μάρτυσι προσχρώμενος. ἔστι δέ τι πάρεργον μιᾶς μαρτυρίας, ἣν δεῖ παρασχέσθαι. σκεψώμεθα δὴ ποῖα ἅττα λέγει περὶ Θεμιστοκλέους ἡμῖν Αἰσχίνης ὁ Σωκράτους μὲν ἑταῖρος, Πλάτωνος δὲ συμφοιτητής. „ἐπειδὴ τοίνυν τοῦ Θεμιστοκλέους βίου ἐπιλαμβάνεσθαι ἐτόλμησας, σκέψαι οἵῳ ἀνδρὶ ἐπιτιμᾶν ἠξίωσας· ἐνθυμήθητι γὰρ ὁπόθεν ὁ ἥλιος ἀνίσχει καὶ ὅπου δύεται. ἀλλ᾽ οὐδέν, ἔφη, χαλεπὸν ὦ Σώκρατες τὰ τοιαῦτα εἰδέναι."

καὶ μετὰ πολλὰ ἄλλα ἐγκώμια ἐπάγει καὶ ταῦτα.

„τοσοῦτον αὐτοῦ ἐκεῖνος τῷ φρονεῖν περιεγένετο. τοιγάρτοι φυγάδι ποτὲ αὐτῷ τῆς πόλεως γενομένῳ ὡς

a. 1. vid. Küster. ad Suid. v. Ἀρήιος. 5. καὶ ante τείχη add A. εἰ μὲν] p. 345. μόνον om A. 9. συνίει A. 10. τουτὶ] p. 348. ἕν μοι] ἐμοὶ A. 12. ἴσως — Ἀπόλλωνι om A, post διαλύσαντες v. 10 ponit ς: ἴσως autem esse videtur illud ἴσως sic ἤγουν, de quo Bastius ap. Bredov. epp. Paris. 14. ἴσως — λαβεῖν om A, post Ἕλληνες v. 13 ponit ς. 15. ὁ μὲν] p. 350. 20. βελτίω] βελτίω. οἷον τὸν πόρον Ἀριστείδης καλεῖ A. 21. καὶ] p. 358. 23. περὶ τῶν ἀριστείων om A. 24. ἐνταῦθα om A. 25. δὲ om A. 35. ἄλλου om A. 36. ἂν] ἂν τότε A.

b. 4. συνεχώρητο ς. 5. ἔχων] p. 361. 9. οὐδὲν A. φαυλότερα οὐδ᾽ om A. 13. ἐπεὶ A. 18. οὐ πλοῦτον om A. 19. ἐγὼ] p. 362. 21. καθ᾽ ἕκαστον ἔτος post προσεύχεσθαι ponit A. 25. οὔκουν — 26. ἐξενεγκούσης om A. 30. δὴ A: δὲ ς. 31. Αἰσχίνης om A. 34. γὰρ] δὴ A. 35. καὶ ὅπου δύεται om A. χαλεπὸν om A. 38. τοσοῦτον (p. 365) — περιεγένετο om A.

σεσωσμένος ὑπ' αὐτοῦ χάριν ἀπέδωκε, ϗ ἄλλα τε δῶρα
πολλὰ ἐδωρήσατο ϗ Μαγνησίας ὅλης ἀρχὴν ἔδωκεν,
1293R. "ὥστε καὶ φεύγοντος αὐτοῦ τὰ πράγματα μείζω ἦν ἢ
700H. πολλῶν Ἀθηναίων, καὶ "καλῶν ϗ ἀγαθῶν εἶναι δο-
κούντων, οἴκοι μενόντων. τίς ἂν οὖν ἐν ἐκείνῳ τῷ χρόνῳ
δικαίως ἂν αἰτίαν ἔχοι μέγιστον δύνασθαι ἄλλος ἢ Θεμι-
στοκλῆς, ὃς τὸν τῶν ἀφ' ἡλίου ἀνίσχοντος μέχρι ἡλίου
δυομένου βασιλεύοντα, στρατηγήσας τῶν Ἑλλήνων, κα-
τεστρέψατο; ἐνθυμοῦ οὖν, ἔφην ἐγώ, ὦ Ἀλκιβιάδη, ὅτι
ἐκείνῳ τοιούτῳ ὄντι οὐχ ἱκανὴ ἡ ἐπιστήμη τοσαύτη οὖσα
ἐγένετο ὥστε φυλάξασθαι μὴ ἐκπεσεῖν μηδὲ ἄτιμον ὑπὸ
τῆς πόλεως γενέσθαι, ἀλλ' ἐνεδέησεν." καὶ μὴν ἐξ
ἴσου μὲν ἔγωγε οὐδέ ποτ' ἂν θείην Αἰσχίνην Πλάτωνι,
μή ποτε οὕτω φιλονεικήσαιμι, ἀλλ' ἀφείσθω τοῖς ἀτύ-
ποις τῶν σοφιστῶν ἡ κρίσις αὕτη. φημὶ δὲ ὅσῳ μείζων
ϗ τελεώτερος Πλάτων εἰς λόγους, τοσούτῳ μᾶλλον ὑπέρ
γε Θεμιστοκλέους ἐκεῖνα προσήκει δέχεσθαι. τὸν μὲν γὰρ ἃ
ἤκουσεν εἰκὸς λέγειν, ἢ ὅτι ἐγγυτάτω ἐκείνων· ὁ δὲ τῆς
φύσεως οἶμαι κέχρηται τῇ περιουσίᾳ, ὥσπερ καὶ ἄλλα
δή που μυρία διεξέρχεται ἐπὶ τῷ Σωκράτους ὀνόματι,
περὶ ὧν ὁμολογεῖται μηδὲν ἐκεῖνον πραγματεύεσθαι, δί-
καια μὲν οἶμαι ποιῶν κατ' αὐτό γε τοῦτο, καὶ ἀνδρὸς
ἀρίστου τὸ τὸν διδάσκαλον ἀξιοῦν κοσμεῖν, πλήν γε ὅτι
καὶ τὸ μηδ' ἄλλους τῶν οὐκ ἀξίων καταισχύνειν ἐθέλειν
προσεῖναι προσήκει.

Ἐκ τῆς κοινῆς ἀπολογίας.

τὸ προοίμιον.

Ἃ μὲν τοίνυν περὶ τῶν ἀνδρῶν εἰπεῖν εἰκὸς ἦν
μήτε τῶν ἀναγκαίων εἰρῆσθαι μηδὲν παριέντας, μήτε
πάντα ἐφεξῆς οἰομένους δεῖν λέγειν, ὡς ἂν μή τῳ δο-
κοίημεν ἀπειροκάλως ἔχειν, ταῦτά ἐστιν. ἰσχυρίζεται δ'
οἷς προσέπταισαν πρὸς τὸ δημόσιον, ὥσπερ εἴ τινες
χεῖρον ἔγνωσαν περὶ αὐτῶν, αὐτοὺς χείρους ἡγεῖσθαι προσ-
ῆκον, ἢ τῷ καὶ ἄλλους τινὰς εἰς αὐτοὺς ἐξαμαρτεῖν οὐδ'
ἡμᾶς τοῦ προπηλακίζειν ἀπέχεσθαι δέον. ἀλλὰ μὴν
ὅπου γε ϗ τοῖς ἁμαρτάνουσιν αὐτοῖς εἰκὸς εἶναι συγ-
γνώμην, ἦ που τοῖς γε ἄγουσιν αὐτοὺς πρὸς τὸ βέλτιστον,
ϗ οἷς δῆθ' ἡμάρτανον οὐκ ἐπείθοντο, δεινὸν εἰ μὴ φή-
σομεν. Πλάτων τοίνυν ὡς μὲν ἐκείνοις χρώμενοι κα-
τώρθουν, οὐδὲν ἔξω σκοπεῖν· ἃ δ' εἰς αὐτοὺς ἐκείνους ἐξή-
μαρτον, τοσοῦτον ἀπεῖχον τοῦ δοκοῦντά γε ἐκείνοις ποιεῖν,
ὡς ταῦτα κατηγορεῖν. καὶ ἃ μὲν τῆς παιδείας αὐτῶν
ἀπέλαυσαν ὑπερβαίνει· ἃ δὲ οὐχ ὧν ἐπαιδεύθησαν ἦν,
ἀλλὰ τῆς ἀνθρωπείας φύσεως ἐμμεμενηκότα, ταῦτ'
ἐπ' ἐκείνους ἄγει τοὺς ὅπως μηδὲν ἁμαρτήσονται πᾶν
ὅσον ἦν ἐν αὐτοῖς πράττοντας, ὥσπερ ἂν εἴ τις τοὺς
γραμματιστάς, τοὺς παραδείξαντας τοῖς παισὶ τὰ γράμ-
ματα καὶ δείξαντας γράφειν ἐκ τῶν δυνατῶν, αἰτίους
εἶναι φάσκοι τῶν περὶ ταῦτα ἁμαρτημάτων, εἴ τι μὴ
καλῶς ὕστερον μηδὲ ὡς χρὴ γράφοιεν ἐφ' ἑαυτῶν. εἰ
δὲ μὴ πάντας ἐπαίδευσαν, μηδὲ ὡς οἷόν τε ἀκριβέ-
στατα, "μηδ' ὡς μάλιστα ἐβουλήθησαν, τί τό γε ἐκπε- 1296R.
φευγὸς τῆς ἐκείνων προστασίας ἄν τις τιθείη; οὐ γὰρ
τῆς ἐκείνων ὁμιλίας τοῦτο ἀπώναντο, ἀλλ' οὐκ ἀπώ-
ναντο ἐκείνων ἔτι τι τοῦτό γε. οὐκουν ἐξ ὧν προσεῖχον
αὐτοῖς, ἐκ τούτων ἥμαρτον, ἀλλ' ἐξ ὧν οὐ προσεῖχον,
ἐπλημμέλησαν. οὕτως ἅ γε ἐπείθοντο σαφῶς ἄρ' οἱ
πείθοντες ἔπειθον καλῶς. τὴν δὲ πολιτικὴν εἰ μὴ
πάντας ἐπαίδευσαν Ἀθηναίους Θεμιστοκλῆς καὶ Περι-
κλῆς καὶ Μιλτιάδης ϗ Κίμων, μηδ' ἅπαντας ἐφεξῆς
βελτίους ἐποίησαν κατὰ φυλὰς καὶ κατ' ἄνδρα ὥσπερ
θεωρικὸν τὴν ἐπιστήμην διανέμοντες, εἶθ' ὑπερφυές τι
φήσομεν κατ' αὐτῶν εὑρηκέναι, ὡς οὐδ' αὐτοὶ βελτίους
ἦσαν οὐδενὸς εἰς ταῦτα; "καὶ οὐκ ἀγαπᾷς τὸ τοῦ σοῦ τοι H.
Πρωταγόρου, εἰ καὶ καθ' ὁσονοῦν προὐβίβασαν τοὺς
πολλοὺς εἰς τὸ βέλτιον, ἀλλ' εἰ μὴ πάντα ὁ δῆμος
ἀνεγκλήτως καὶ ὥσπερ εἷς ἀνὴρ μετεχείρισε, τοῦτ' ἤδη
κατὰ τῶν προστατῶν ἐστί σοι. τί οὖν θαυμαστόν, εἰ
κἀκεῖνοι πολλὰ ϗ χρηστὰ συμβουλεύσαντες Ἀθηναίοις,
καὶ πολλὰ τῶν δυσχερῶν κωλύσαντες, μὴ διὰ τέλους
αὐτοὺς ἠδυνήθησαν καταχεῖν μηδ' ἀθάνατα ἰάσαντο,
ἀλλ' ἡττήθησαν τῆς δήμου φύσεως, εἴτε καὶ τῆς κοι-
νῆς ἀνθρώπων δεῖ λέγειν, ϗ μὴ ἐδυνήθησαν καθάπαξ
ἐκ τῆς πόλεως ἐξελεῖν ἀδικίαν, ὥσπερ γεωργοὶ τὰ λυ-
μαινόμενα τῇ χώρᾳ καθ' ἕκαστον ἐνιαυτὸν ἐκκόπτοντες,
εἶτ' οὐκ ἐφικνούμενοι διὰ παντὸς τοῦ [λυμαινομένου τὴν
χώραν] σπέρματος. εἰ τοῦτον τὸν τρόπον κἀκείνους
ἐθέλοντας καθαίρειν τὴν πόλιν ἐξέφυγε καὶ ἐνέμεινε

a. 1. σεσωμένος ς. 2. malim ἄρχων. 5. ἂν et ἐν om A. 6. μεγίστην ς. 7. τῶν om A. μέχρις ς. 12. καὶ μὴν] p. 367. 13. μὲν om A. 14. ἀτόποις A: τόποις ς. 21. πραγματεύσασθαι A. δίκαια — 25. προσήκει om A. 26. ἐκ τῆς — 27. προοίμιον] om Ἀντιγνώσθη τοῦ αὐτοῦ ἀριστείδου ὑπὲρ τῆς κοινῆς ἀπολογίας τὸν ὅμοιον διὰ τῆς ἐκλογῆς περιηνθισμένος τρόπον. 28. ἃ μὲν] p. 368. τοίνυν] οὖν A. εἰκὸς ἦν εἰπεῖν A. 30. τῳ A: πω ς. δοκοίην A. 33. αὐτοὺς om A. 35. ἀλλὰ μὴν] p. 369. 36. αὐτοῖς om A. 37. βέλτιον A.

b. 1. οὐδὲν] οὐκ A. 4. ἀπήλαυσαν A. 10. ταῦτα] αὐτὰ A. 11. ἐφ' A: ἀφ' ς. εἰ δὲ] p. 371. 13. ἠβουλήθησαν ς. 19. τὴν δὲ] p. 372. 25. τὸ add A. 26. πρωταγόρα A. καὶ om A. 29. τί οὖν] p. 373. 34. ἀνθρώπων] τῶν ἀνθρώπων A. ἠδυνήθησαν ς. 37. λυμ. τὴν χώραν om A. 39. καθαρειν A: καθαριεῖν ς.

Digitized by Google

σπέρμα ἀναγκαῖον ἀδικίας καὶ ἀγνωμοσύνης, καὶ οὐ πάντα ὑπήκουσεν αὐτοῖς, ἀλλ᾽ ἔστιν ἃ καὶ καθ᾽ αὑτὸν ὁ δῆμος ἐβουλεύσατο, τίνα τοῦτο τοῖς ἀνδράσιν ἔχει φαυλότητα; ἢ τί δεῖ τὰ ἐκείνων ἑτέροις λογίζεσθαι, ὥσπερ ἂν εἰ καὶ στάσεως οὔσης ἐν τῇ πόλει, καὶ τούτων τῆς ἑτέρας ἡγουμένων τῆς τῶν ἐπιεικῶν, εἶτα τὰ τῶν ἑτέρων ἁμαρτήματα καὶ τῶν εἰς τούτους πλημμελούντων αὐτοῖς τούτοις τις προσετίθη. καὶ τίνα ἔχει φύσιν, οἳ μήτε ἐχθρῶν ταῦτα καὶ προσέτι κωλύειν ἠξίουν; ἀλλὰ μὴν εἴ γε μηδὲ κακῶς ἀκούσασι καλῶς ἔχειν οἰήσεταί τις ταῖς αὐταῖς χρήσασθαι λαβαῖς, καὶ ταύταις μὴ ἐπὶ τῷ κακῶς ἀντειπεῖν ἀλλ᾽ ἐπὶ τῷ διὰ τῶν ἐκείνου τὰ ἑαυτῶν ἀπολύσασθαι, πῶς εἰρηκέναι γ᾽ αὐτὸν πρότερον κακῶς, ἃ μηδεὶς ἐπηνάγκαζε καὶ δι᾽ ὧν χείρους ᾤετο ἐκείνους ἀποφῆναι, δεξιόν τι νομίζειν κελεύσει; ἐλελήθεις ἄρα σαυτὸν ἁπάσαις ταῖς παροιμίαις ἐνεχόμενος, εἰς πῦρ ξαίνων καὶ λίθον ἕψων καὶ σπείρων τὰς πέτρας. τί γὰρ τῶν σῶν νουθεσιῶν καὶ λόγων ἀπήλαυσαν ἐκεῖνοι; τί τῶν θείων ἢ τῶν ἀνθρωπίνων ἄμεινον μετεχειρίσαντο Διονύσιος ἢ Δίων μετ᾽ ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ σοὶ τὰ ὦτα ὑπέχον; τοσοῦτον ἡμεῖς ἀμείνους τοὺς ἡμῖν χρωμένους ὦ Πλάτων ἀπεδείξαμεν ἢ σὺ τοὺς σοί. εἰ δ᾽ ἐρεῖς ὅτι βελτίους οὗτοι τὴν φύσιν, καὶ ταύτῃ φρονιμωτέρους ἡμᾶς ἀποδεικνύεις, εἴ 702 H. τινας ἐν τούτοις ἔχομεν ἐλπίδας, οὐχ ὥσπερ σὺ τοῦ παντὸς διήμαρτες, ἐκείνοις διαλέγεσθαι προὔργου τι δόξας εἶναι. ἔπειτα ὥσπερ ἐν οἷς βελτίους ἑτέρων γεγόνασι τὴν φύσιν αἰτιᾷ, οὕτως εἴ τι καὶ προπετέστερον εἰργάσθαι σοι δοκοῦσι, τῆς φύσεως αὐτὸν θὲς τῆς αὐτῆς, καὶ μὴ λάμβανε ἐφ᾽ ἡμᾶς, μήθ᾽ ἃ μὲν ἡμῶν ἡγουμένων κατέπραξαν, ἀποστέρει τοὺς συμβουλεύσαντας καὶ τοὺς συγκατεργασαμένους ἡμᾶς τῷ δοκεῖν τὰ βέλτιστα παραινέσαι, ἃ δὲ ἐπὶ σφῶν αὐτῶν ἐξήμαρτον εἰς ἡμᾶς, ταῦτα ὡς ἡμεῖς ἀδικοῦμεν λέγε· ἐκείνων μὲν γὰρ καὶ ἡμεῖς αἴτιοι τὸ μέρος, τούτων δὲ οὐδὲ μικρόν. καὶ ὁ Πόλλις αὖ πάλιν παραλαβὼν Πλάτωνα, Διονύσιον μὲν καὶ ἀπόντα ᾐσχύνετο καὶ ὧν ἐπέσκηψεν ἐμέμνητο, σὲ δὲ ὁρῶν καὶ συνὼν παρ᾽ οὐδὲν ἐποιεῖτο, ἀλλ᾽ ἡ θαυμαστή σου δύναμις καὶ πειθὼ κατὰ τοὺς λόγους ἡττᾶτο τῶν ἐντολῶν τοῦ Διονυσίου· καὶ Πόλλις ἐκείνῳ μὲν συνεβάλλετο, καὶ ταῦτα τοιαῦτα ἐπιτάξαντι, σοὶ δὲ οὐδέν. προσθῶμεν δὲ ὅτι καὶ Σπαρτιάτης ὤν, καὶ τεθραμμένος ἐν νόμοις καὶ πολιτείᾳ δεύτερα τῶν πασῶν ἐχούσῃ παρὰ σοὶ κριτῇ, μᾶλλον δὲ τὰ πρῶτα τῶν οὐσῶν· καί σοι μάτην, ὡς ἔοικε, τὰ πολλὰ ἐκεῖνα εἰς τὴν τῶν Λακεδαιμονίων πόλιν ὕμνητο. ὁ γοῦν 1297 R. τῶν Λακεδαιμονίων ποτὲ ναύαρχος τοσοῦτον διήμαρτε τῆς σῆς ἀξίας, ὅσον οὐδ᾽ ἂν εἷς Περσῶν ἢ Σκυθῶν, οἷς οὐκ ἦν συνεῖναι τῆς σῆς φωνῆς τὸ παράπαν. καίτοι γε εἰ μὲν ἠξίους αὐτὸν [τὸν ναύαρχον τῶν Πελοποννησίων Πόλλιν] ἀμείνω γενέσθαι Διονυσίου περὶ σὲ καὶ βουλεύσασθαί τι βέλτιον, ὁ δὲ οὐ προσεῖχέ σοι τὸν νοῦν, ἀλλὰ μὴ τοῦ παρόντος ἦν καὶ τοῦ τὰ αἴσχιστα ἐντειλαμένου, πῶς οὐχ ἧττω πάμπολυ τοῦ τυράννου; καὶ ποῦ δίκαιος εἶ προφέρειν, εἴ τινά τις πείθειν ἐπιχειρῶν ἀπέτυχεν; εἰ δὲ σὺ μὲν στέργειν ἠξίους τοῖς παροῦσιν, ὁ δὲ οὐκ ᾐδεῖτό σου τὴν σιωπήν, οὐδ᾽ ἁπάντων λόγων ἡγεῖτο ἱκανωτέραν εἶναι τοὺς προσήκοντας αὐτῷ λογισμοὺς περὶ σοῦ παραστῆσαι, πῶς τῶν εἰκότων ἐτύγχανες, ἢ πῶς τὰ πρέποντα ἀπέλαβες τῆς φύσεως τῆς σεαυτοῦ; νὴ Δί᾽ ἀλλ᾽ οὐδὲν σὺ χείρων, εἰ παρέπαιε Πόλλις καὶ Διονύσιος. οὐδέ γε ἡμεῖς, ὦ μακάριε, εἴ τις περὶ ἡμᾶς Ἀθηναίων φαῦλος ἐγένετο. καὶ πωλοῦντος Πόλλιδος Ἑλλήνων μὲν οὐδεὶς ὠνεῖτό σε τὴν ἱερὰν κεφαλήν (οὕτω πάντες κατείχοντο ὑπὸ τῶν σῶν λόγων), Λίβυς δὲ ἄνθρωπος Ἀννίκερις ὄνομα, ὃν οὐδ᾽ ἠπίστατο ἀνθρώπων οὐδείς, εἰ μὴ ταῖς σαῖς συμφοραῖς ἀπεχρήσατο. νῦν δ᾽ οὐ Πλάτωνα ἐπρίατο, ἀλλὰ δόξαν ἑαυτῷ καὶ τὸ γιγνώσκεσθαι. μή τοι νομίσῃς ἡμᾶς ἀγνοεῖν τοὺς σοὺς λόγους ἢ μὴ συγχωρεῖν ἀληθεῖς εἶναι, ὡς οὐ θέμις ἀνδρὶ βελτίονι ὑπὸ χείρονος οὔθ᾽ ὑβρίζεσθαι οὔτε βλάπτεσθαι. σύνισμεν ταῦτα, καὶ μαρτυροῦμεν ὡς ἀληθῆ λέγεις. ὅμως δέ γε ὁ θαυμαστὸς ἐκεῖνος ἐραστής σου οὐδ᾽ ὁτιοῦν ὕβρεως καὶ ἀσελγείας ἀπέλιπε. καὶ σὺ μὲν οὐδὲν ὑβρίσθης ἴσως· ὁ δὲ οἷς ἡγεῖτο ὑβρίζειν, πλείω ταῦτα ἔπραττεν ἢ δι᾽ ὧν 703 H. ᾔδει τιμήσων. ἀλλ᾽ ὦ πάντων θαυμάσιε Πλάτων, μὴ δι᾽ ἀμφοῖν ὤθει, καὶ ταῦτα οὐ διὰ τῶν φίλων ἑνὸς

a. 1. πάντα A: πάστη ς. 4. ἂν om A. 8. προστιθῇ A. φύσιν] φύσιν ταῦτα A. 9. ἀλλὰ μὴν] p. 375. 11. ἐπὶ om A. 13. γ᾽ om A. 15. κελεύει A. ἐλελήθεις] p. 377. 21. τοσοῦτον] p. 380. 27. ὥσπερ om A. 28. εἴ τι] ἔτι A. 29. σοι om A. αὐτῆς] ἑαυτῶν A. 30. ἡμῶν om A. 32. ἡμᾶς om A. 34. μὲν om A. 36. καὶ ὁ] p. 382. αὖ πάλιν om A. 37. ἀπὼν A. 38. ἀλλ᾽] καὶ A: ἀλλ᾽ ἢ ς. 39. σου om A.

b. 4. τῶν πασῶν om A. 5. ἐχούσῃ] λαχούσῃ A. τὰ πρῶτα] πρώτῃ A. 6. ἐκεῖνα om A. 7. ὕμνητο A. ὁ — 10. τὸ παράπαν om A. 11. αὐτὸν om A. 12. ἀμείνονα A. 14. τοῦ τὰ] ταῦτα A. 17. ἐπέτυχεν ς. 22. ἑαυτοῦ A. 24. περὶ] πρὸς A. καὶ πωλοῦντος] p. 385. 30. μή] p. 386. τοι] τοίνυν A. 32. ἀληθὲς ς. 34. γε om A. 38. ἀλλ᾽ ὦ] p. 387. πάντων om A.

Digitized by Google

καὶ τῶν ἐχθρῶν, ἀλλὰ διὰ σαυτοῦ τε καὶ τούτων, οὓς μᾶλλον φίλους ἦν εἰκὸς ἡγεῖσθαι. εἰ δὲ μή, σκόπει μὴ ὅ τι ἐγκαλέσεις, ἀλλ' ὅ τι ἀπολογήσῃ πρότερον· τοσαῦτά ἐστι καὶ τὰ σά. εἰ δ' αὐτὴν ἐφ' ἑαυτῆς δεῖ τὴν προαίρεσιν ἐξετάζειν, ἀναίτιον μὲν τὸ σὸν εἰκότως, ἀναίτιον δὲ ἐκ τῶν αὐτῶν καὶ τὸ ἡμέτερον. καὶ πρόσεστι καὶ τὸ κρατῆσαι τῶν πραγμάτων, καὶ τὸ μείζω ταῦτα εἶναι τῶν τε ὑπὸ σοῦ σπουδαζομένων ὧν τε αὐτοὶ προσεκρούσαμεν. σὺ μὲν τοίνυν ἐλέγχειν ἡμᾶς ἀξιῶν καὶ κατὰ σαυτοῦ λέγεις, ἡμεῖς δὲ ὑπὲρ ἡμῶν αὐτῶν λέγοντες καὶ τὸ σὸν θεραπεύομεν. μᾶλλον δὲ τῆς μὲν σῆς ἀπολογίας καὶ ἡμεῖς μετέχομεν, σοὶ δ' οὐχ ὅσον ἡμῖν ὑπάρχει. ὥστε εἰ μὲν ἡμῶν τις φείσεται, ἄδηλον εἰ καὶ σοῦ· εἰ δὲ σοῦ τις καταγνοίη, τάχα ἂν ἡμῖν γε συγγνοίη· εἰ δ' αὖ μηδ' ἡμῶν φείσεται, χολῇ γε σοῦ. οὕτω τὸ νικᾶν ἡμᾶς ὑπὲρ σοῦ γίνεται. πρὸς ταῦτα σκόπει μὴ τοὐμὸν ἀλλὰ καὶ τὸ σόν, Τεῦκρος ἔφη τινί·

τῷ Ἀγαμέμνονι ὀνειδίσαντι τὸ γένος ὅτι νόθον.

καὶ μὴ βούλου πάντα ἀκριβῶς ἐξετάζειν, μηδὲ τριῶν ὄντων εἰς ἅ τις ἂν βλέψειε, τῆς γνώμης, τῶν ἔργων, τῆς τύχης, ἀφεὶς τὼ δύω τοῦ τρίτου λαμβάνου, ϑ ταῦτα καὶ τοῦ τούτου πλείστου μέρους μεθ' ἡμῶν ὄντος. εἰ γὰρ ἡμᾶς ἔδει ταῦτα προειδότας ἐξ ἀρχῆς ἐξεπίτηδες ὑπὲρ τῆς Ἑλλάδος ἡμᾶς αὐτοὺς ἐπιδοῦναι, οὐκ ἂν ὠκνήσαμεν, οὐδ' ἡττήθημεν τοῦ Κόδρου τοσοῦτον· καὶ σύ γ' ἂν οἶμαι
300 R. ταῦτα συνεβούλευσας. ἐπεί, φέρε πρὸς φιλίου, πότερ' ἂν μᾶλλον ἐβουλήθης, μήτε τὰ πραχθέντα δι' ἡμῶν πεπρᾶχθαι τῇ πόλει, μήτε εἰς ἡμᾶς μηδένα τῶν πολιτῶν ἐξαμαρτεῖν; οὐκοῦν ἕτεροι καὶ εἰς ἡμᾶς καὶ εἰς ἐκείνους ἔμελλον· ἢ ἐκείνων γε ἕνεκα ὥστε πραχθῆναι, καὶ ταῦτα εἰ δέοι συμβῆναι; ἐγὼ μὲν οἶμαι ταῦτα. οὐκοῦν ὅτ' ἀμφότερ' ἂν φαίης ἐθέλειν μᾶλλον ἢ μηδέτερα, ὁμολογεῖς καὶ τοῖς πεπολιτευμένοις ἡμῖν ἅπαντα ἃ προσήκει προσεῖναι, καὶ μειζόνως τὰ πρὸς εὐδοξίαν τῇ πόλει τῆς αἰτίας εἶναι. πῶς οὖν οὐ δίκαιος ἦσθα μᾶλλον ἐπαινεῖν ἢ ψέγειν; ὡς δ' ἁπλῶς εἰπεῖν, ποῦ δίκαιον μόνους ἀπαιτεῖν εὐθύνας τοὺς οὐ μόνους τῶν πραγμάτων αἰτίους; οὔκουν τούς γε ἡνιόχους αἰτιώμεθα τοὺς ἐξ ἀρχῆς, ἂν ἕτερος τοὺς αὐτοὺς ἵππους παραλαβὼν κακίους ἀποδείξῃ· ἀλλὰ καὶ ἡνίοχοι καὶ πωλοδάμναι καὶ διδάσκαλοι μειζόνως εὐδοκιμοῦσιν, ὅταν τῶν αὐτῶν ἕτεροι κύριοι καθεστῶτες μὴ τῶν ἴσων ἄξιοι γένωνται, καὶ νὴ Δί' ἄν γε καὶ κατὰ τοὺς αὐτοὺς χρόνους. φέρε δὴ καὶ περὶ τῶν συμβεβηκότων αὐτῶν τοῖς ἀνδράσι σκεψώμεθα καὶ διέλθωμεν. οὐ γὰρ ἁπάντων ὁ δῆμος οὑτωσὶ κατεψηφίσατο, οὐκ ἀπὸ κοινοῦ δόγματος ταῦτα ἔπαθον, ἀρχὴν δὲ οὐδὲ ταῦτα πάντες· πόθεν; ἀλλὰ Θεμιστοκλῆς μὲν καὶ Κίμων ἐξωστρακίσθησαν· τοῦτο δ' ἦν οὐ μῖσος 304 H.
οὔτ' ἀλλοτρίωσις τοῦ δήμου πρὸς αὐτούς, ἀλλ' ἦν νόμος αὐτοῖς περὶ ταῦτα, ἔχων μὲν ὁπωσδήποτε (ἐῶ γάρ, εἰ μὴ σφόδρα ἄν τις ἐπαινέσαι τὸν νόμον), τὸ δ' οὖν ἁμάρτημα οὐκ ἀπαραίτητον αὐτῶν, ἀλλ' ἔχον ὡς ἐν τοιούτοις εὐπρέπειαν· νόμῳ γάρ, ὥσπερ εἶπον, ἐγίνετο. ἦν δὲ οὗτος ὁ νόμος· ἐκόλουον τοὺς ὑπερέχοντας μεθιστάντες ἔτη δέκα, ἄλλο δὲ οὐδὲν ἔγκλημα προσῆν, οὐδ' ὡς ἐπὶ ἐλέγχῳ πραγμάτων ὀργή. καίτοι πῶς οὐ δεινόν, εἰ οὓς οὐδ' αὐτοὶ οἱ μεθιστάντες εἶχον αἰτιάσασθαι, τούτους αἰτιασόμεθα ἡμεῖς διὰ τοὺς μεταστήσαντας; ὥσπερ οἱ βέβαιον μὲν οὐδ' ὁτιοῦν ἐπιστάμενοι, ἀκοὴν δέ τινα κατηγοροῦντες, καὶ ταῦτ' οὐδ' αὐτὴν σαφῆ τὴν ἀκοήν. ἀλλ' ἐκεῖσε ἐπάνειμι, ὅτι ὑπὲρ τοῦ τὰ φρονήματα ἐπισχεῖν τοῦτο τὸ εἶδος τῆς φυγῆς ἐνόμισαν. οὐκοῦν τούτῳ μεγίστῳ δῆλόν ἐστιν ὅσον κολακείας οἱ ἄνδρες ἀπεῖχον, οὕς γε ὅπως ὑφεῖντο τοῦ φρονήματος διὰ τοῦτο μεθίστασαν, οὐδενὸς ἄλλου τῶν πάντων ἕνεκα. ὥστε τοῦτό γε οὐ κατ' αὐτῶν ἀλλ' ὑπὲρ αὐτῶν ἔλαθες εἰρηκώς, ὡς δεινὸς σὺ τηρεῖν τὰ λεγόμενα καὶ τοὺς ἄλλους ἐλέγχειν. δοκοῦσι γάρ μοι τὰς συμφορὰς ἐνθυμούμενοι τὰς ἐπὶ τῶν Πεισιστρατιδῶν γενομένας ἑαυτοῖς μηδένα βούλεσθαι μεῖζον ἐᾶν τῶν πολλῶν φρονεῖν, ἀλλ' ἐξ ἴσου εἰς δύναμιν εἶναι. δίκαια ἄρα ἐποίουν ἐλαύνοντες Κίμωνα καὶ Θεμιστοκλέα; οὐ λέγω ταῦτα, ἀλλ' οὐδ' ἀναίσχυντά γε παντελῶς, ἀλλὰ καὶ αὐτοῖς ἔχοντα παραίτησιν κἀκείνοις οὐκ ἀσχήμονα τὴν συμφοράν. Περικλῆς δέ, ἕως μὲν εἰρήνην ἡ πόλις ἦγεν, οὐδεμίαν οὔτε μείζω οὔτε ἐλάττω παρ' αὐτοῖς αἰτίαν ἔχεν, ἀλλ' ἐξ ἴσου τοῖς θεοῖς ἐθαυμάζετο. καὶ ἔτι πρότερον στρατιὰς πολλὰς ἐξαγαγὼν Ἀθηναίων ἐπὶ τοὺς οὐκ ἐθέλοντας τοῖς δικαίοις

a. 1. καὶ τῶν ἐχθρῶν om A. τε om A. 3. ἐγκαλέσῃς A. 4. εἰ δ'] p. 589. 9. τοίνυν om A. 11. καὶ om A. ἡμῶν αὐτῶν] αὐτοῦ A. 16. αὖ γε μηδ' ς. φείσεται om A. γε] γ' ἂν A. v. 18. libri post τοίνυν v. 9 ponunt. 26. πότερον A. 20. ἂν] καὶ A. 32. ἂν add A. 34. τὰ πρὸς εὐδοξίαν om A. 36. ὡς δ' ἁπλῶς εἰπεῖν (p. 394) om A. δίκαιον] δὲ δίκαιον καὶ A. 38. τοὺς A: οὓς ς.

b. 3. ἂν om A. 4. φέρε δὴ] p. 398. 7. οὐκ A: οὐδ' ς. 8. ἀλλὰ] ἀλλὰ καὶ A. 10. οὔτ' ἀλλοτρίωσις om A. 15. ἐκώλυον A. 16. οὐδ' — 17. ὀργή om A. 19. διὰ τοὺς] δι' αὐτοὺς A. 20. ὥσπερ — 22. ὅτι om A. 22. τοῦ] δὲ A. 25. τοῦ A: ἄλλου τοῦ ς. 29. ἐνθυμούμενοι post γενομένας ponit A. 30. ἑαυτοῖς om A. 35. Περικλῆς] p. 402. 38. καὶ ἔτι — 434 a 2. πρῶτος ἦν om A.

Digitized by Google

ἐμμένειν, οὐκ ἄμεμπτος μόνον ἀλλὰ καὶ πολλῷ τινὶ
πρῶτος ἦν. ἐπεὶ δ᾽ ἅμα τῆς τε χώρας ἠναγκάζετο ϛέ-
ρεσθαι, καὶ ὁ λοιμὸς ἅπαντα φθείρων ἐπέκειτο, ϗ κα-
κῶν ἀνάπαυσις οὐκ ἦν, οὕτω δὴ τῶν συμφορῶν ἡττη-
1301R. θέντες ἐτραχύνθησαν πρὸς αὐτόν. "καί μοι τοῦ παρα-
δείγματος ἐνταῦθ᾽ ἀναμνήσθητι τοῦ τῶν ἡνιόχων· τάχα
ἂν γὰρ ἁλοίης τοῖς ἅρμασι τοῖς σαυτοῦ, ϗ οὐ τοῖς πτε-
ροῖς. ἀλλ᾽ οὐδ᾽ εἶχεν (οὐθ᾽ ὁ Νέϛωρ) ὅτι χρήσαιτο,
μὴ ὅτι ἐκείνῳ τῷ τὴν πληγὴν λαβόντι, ἀλλ᾽ οὐδὲ τοῖς
ἄλλοις ἵπποις τεταραγμένοις ὑπὸ τοῦ πάθους. ἀλλ᾽ οὐδ᾽
ἀπολῦσαι τὸν ῥυτῆρα ἐν τῷ θορύβῳ ῥᾳδίως ἐδύνατο,
ἀλλ᾽ ὥσπερ ἐπὶ χαλκοῦ ζεύγους εἰσήκει μένων, ὅσα μὴ
ἀπῆν τό γε ἀτρεμεῖν. οἴκοι πονηρῶς ἐπεπράγεσαν.
(ἀντὶ τοῦ ἀτυχῶς.) ἀπεσείσαντο μὲν τὸν ἡνίοχον,
705 H. ἀποσεισάμενοι δὲ οὕτως εὖ καὶ καλῶς "ἤχθησαν ὑπ᾽
αὐτοῦ τὸν ἄνω χρόνον, ὥϛε ἐγνωσάν τε ὃ ἔδρασαν, ϗ
μετέγνωσαν, ϗ ὑποκύψαντες ἐξ ἀρχῆς παρεῖσαν ἄρχειν
ϗ ἄγειν ὅποι βούλοιτο ἑαυτούς. ἀλλὰ μὴν ὅτε ϗ τὸν
ἔμπροσθεν χρόνον εὐδοκίμει πολλὰ ἑξῆς ἔτη, καὶ μετὰ
τὴν καταδίκην μέγιϛος πάλιν ἦν τῶν πολιτῶν, πῶς οὐκ
ἀμφοτέρων ἕνεκα ζηλωτός ἐϛι, καὶ τῆς ἀρχῆς καὶ τοῦ
τέλους; οὐ γὰρ τὸ προσκροῦσαι τοῖς ἔμπροσθεν ἐπεσκό-
τησεν, ἀλλὰ τὸ τιμᾶσθαι μετὰ τοῦτο πᾶσαν παρεγρά-
ψατο τὴν συμφοράν. οὐ γὰρ τὸ μέσον κύριόν ἐϛιν ἑκα-
τέρων τῶν καιρῶν, ἀλλὰ κρατεῖ τὸ συναμφότερον τοῦ
μέσου. εἴτε γὰρ τοῖς πρώτοις δεῖ διδόναι τὴν ψῆφον,
ἐτιμᾶτο ἀπ᾽ ἀρχῆς· εἴτε τοῖς ὕϛερον, οὐκ ἐν οἷς κατέ-
γνωσαν ἔϛησαν, ἀλλὰ προσεῖχον πάλιν ὡς αὐτῶν βελ-
τίονι. καὶ μὴν οὐχ ὅσον δύο ἀνθ᾽ ἑνός ἐϛιν, ἀλλ᾽ ὅτι
ϗ τὸ πλῆθος ἑκάϛου χρόνου οὐκ ἴσον οὐδὲ ἐγγύς. ϗ
μὴν οὐδὲ τοὺς λαχόντας ἅπαντας οἴεσθαι χρὴ καταγνῶ-
ναι τὴν γραφὴν αὐτοῦ, ἀλλ᾽ εἶναί τινας οἳ ϗ τῷ Περι-
κλεῖ καλῶς ποιοῦντες ἔθεντο. οὐκοῦν τούτους γε βελτίους
τε ϗ βελτίϛους ἦν πεποιηκώς. καίτοι τί φήσομεν,
ὦ τῶν Ἑλλήνων ἄριϛε, πότερον δικαίως εἰς σὲ τότ᾽
ἐκείνους ταῦτα τολμῆσαι, ἢ σὲ τῆς ἐκείνων μανίας ὑπεύ-
θυνον εἶναι; ἐγὼ μὲν γὰρ οὐδέτερον ἂν φαίην. καὶ μὴν
ἔχοι γ᾽ ἄν τις τοὺς σοὺς λόγους ἀμυνόμενος διπλᾶ ϛρέ-
φειν κατὰ σοῦ ϗ κατὰ Σωκράτους, ὡς εἰ ϗ τὰ μάλιϛα
ἀδίκως ὑμῖν ταῦτα συνέβαινε, τρόπον γέ τινα τὰ προσ-
ήκοντα ἐπάχετε, εἴ πέρ γε τοιούτους ἀπεδείκνυτε οὓς ἐπαι-
δεύετε. οὐκοῦν εἰ μὲν τὰ τῶν ὁμιλητῶν ἁμαρτήματα τῶν
προεϛηκότων ἐϛὶ κατηγορήματα, σαυτοῦ καὶ τοῦ ἑτέρου
μᾶλλον κατηγόρηκας ἢ Περικλέους τε καὶ ὧν οἴει. ϗ
νὴ Δί᾽, εἰ βούλει, τὸ μᾶλλον ἀφίημί σοι· ὅτι δὲ οὐχ
ἧττον ἀρκεῖ. εἰ δ᾽ ὑμεῖς ἀθῷοι, κἀκείνους ἐκ τῶν αὐ-
τῶν εἰκός ἐϛιν εἶναι, εἴ πέρ γε τοῦ ἴσου μέμνησαι ϗ μὴ
ὑπερβαίνεις τὴν γεωμετρίαν ἑκών. εἶθ᾽ ὃν αὐτὸς
ἀφῆκας ἂν τῆς αἰτίας, τοῦτον διαβάλλεις ἐκ τῆς αὐ-
τῆς ταύτης αἰτίας. καὶ πῶς οὐκ ἄτοπον ἄλλῳ μὲν ἂν
λέγοντι μὴ πιϛεύειν, αὐτὸν δὲ κατηγορεῖν; καὶ δι᾽ ἃ
τὸν λέγοντα ἡγοῦ χείρω, διὰ ταῦτα Περικλέα ἀξιοῦν
φαῦλον νομίζεσθαι; καὶ τοὺς καταψηφισαμένους αἰτιώ-
μενον ἡμᾶς πείθειν συγκαταγινώσκειν, ὥσπερ χρηϛοῦ
τινὸς πράγματος μεθέξειν μέλλοντας, ἀλλ᾽ οὐχ ὃ μηδ᾽
ἐκείνοις καλῶς εἶχε ποιῆσαι; κἀκεῖνοι μὲν αὐτοὶ τὴν
ἑαυτῶν καταδίκην οὐχ ὑπελογίσαντο, ἀλλ᾽ ἐτίμων πά-
λιν ὡς χρηϛὸν καὶ δίκαιον· ἡμεῖς δὲ οὗ μηδὲν ἄλλο
κατηγορεῖν ἔχομεν, τοῦτον ἀτιμάσομεν διὰ τὴν δίκην;
καὶ τῶν αὐτῶν ἀνδρῶν ὃ μὲν ἥμαρτον, ἰσχυρὸν ποιη-
σόμεθα, ἃ δὲ εὖ φρονοῦντες ἔπραττον, ἐν οὐδενὸς μοίρᾳ
θήσομεν, καὶ ταῦτα ὁμολογοῦντες ὡς ἥμαρτον, "μᾶλ- 1304R.
λον δὲ κατηγοροῦντες; ϗ τίνα ταῦτ᾽ εἶχε λόγον; ἐγὼ
μὲν οὐκ ἐπινοῶ. Πλάτων δὲ τὴν συμφορὰν "ὡς 706H.
ἀδίκημα κατηγόρηκε, τὴν μὲν τύχην ἀντὶ γνώμης ἐξε-
τάζων, τὴν δ᾽ ἑτέρων ἁμαρτίαν ὡς ἐκείνων οὖσαν τι-
θείς. εἰ δὲ τοὺς καταψηφιζομένους ϗ τοῖς ἵπποις ἀπει-
κάζων τοῖς λακτίζουσιν ἰσχυρόν τι λέγειν καθ᾽ ὧν ἡ
ψῆφος οἴεται, ταχύ γ᾽ ἂν εἰ τοῖς δώδεκα θεοῖς ἔχειν
εἰκάσαι τοὺς καταγνόντας, ἀπέχετ᾽ ἂν τῶν ἁλόντων
τὸ μὴ οὐ κακῶς εἰπεῖν. εἰ δ᾽ ἐπ᾽ ἀμφότερα Πλά-
των αἰτιάσεται τοὺς ἄνδρας, ὥσπερ σοφοῦ τινὸς εἰλημ-
μένος, τί κωλύει τινὰ τὰς ὁμοίας ἀνταποδιδόντα ἐπ᾽
ἀμφότερα αὖ φιλονείκως ὑπολαμβάνοντα, διαλέγειν
ὡδὶ τὸν λόγον; ὅτι εἰ καλῶς ϗ τὰ δίκαια αὐτῶν Ἀθη-
ναῖοι κατέγνωσαν, οὐκ ἦσαν ὑπ᾽ αὐτῶν διεφθαρμένοι·
τὰ γὰρ δίκαια ἐποίουν. οὐκοῦν οὐδ᾽ ἐκεῖνοι διεφθάρκεσαν·
ὥϛε εἰ δικαίως ἑάλωσαν, οὐδὲν ταύτῃ γε χείρους ἦσαν.

a. 7. ἂν γὰρ A: γὰρ ἂν ς. πτεροῖς] πτεροῖς. παρῴδησε τὴν παροιμίαν ἅρμασιν εἰπὼν A. 8. ἀλλ᾽ οὐδ᾽] p. 403 οὐθ᾽ ὁ Νέϛωρ om A. 11. ἠδ. ς. 12. μένων om A. 13. οἴκοι] p. 404. 18. ἀλλὰ μὴν] p. 405. 19. ἔτη] ἔτει A. 25. συναμφότερον] συμφέρον A. 27. ἀπ᾽ A: ἐξ ς. 30. καὶ μὴν] p. 406. 31. οἴεσθαι χρὴ πάντας ς. 33. ἔθεντο] ἐψηφίσαντο A. γε om A. 34. καίτοι] p. 411. 39. εἰ καὶ A: καὶ εἰ ς.

b. 5. τε om A. 6. σοι om A. 7. ἡμεῖς ς. 8. γε om A. 9. εἶθ᾽ ὃν] p. 413. 10. ἀφῆκες A. 11. ἂν om A. 14. αἰτιώμενον] ἰώμενον corr A, αἰτιώμενος ς. 20. δίκην A: καταδίκην ς. 24. κατηγόρουν A. τοῦτ᾽ A. εἶχεν A: ἔχει ς. 25. Πλάτων] p. 415. 32. εἰ δ᾽] p. 416. 33. εἰλημμένος A. 35. αὖ om A.

εἰ δὲ ἀδίκως αὐτῶν ἐκεῖνοι κατεψηφίσαντο, ἀδικεῖσθαι τοῖς ἀνδράσιν περίεστιν, ἀδικεῖν δὲ οὐδαμῶς· τοῖς δ' ἀδικηθεῖσι βοηθεῖν, οὐκ ἐγκαλεῖν εἰκός ἐστιν. εἰ δέ τοι καὶ μὴ δυνατὸν βοηθεῖν, ἀλλ' οὐχὶ καὶ δίκαιον ἐγκαλεῖν. ἐγὼ δὲ ταῦτα μὲν τοῖς κομψοτέροις παρίημι· αὐτὸς δὲ τί φημι καὶ πῶς δέχομαι τὸν λόγον; οὐκ ἔστι δίκαιον ἅμα ἀμφοῖν κατηγορεῖν, καὶ τοῦ δήμου κἀκείνων· ἢ σαφῶς τοὺς ἑτέρους συκοφαντήσομεν. εἰ μὲν γὰρ ὀρθῶς ἐκεῖνα κατεγνώσθη, ἠδίκουν μὲν (ὡς ἔοικεν) ἐκεῖνοι, τῷ δήμῳ δ' ἃ προσήκει πέπρακται, ὥστε οὐχὶ δή που ταῦτά γε δίκαιον κατηγορεῖν αὐτοῦ. πῶς οὖν τοῖς ἀγριαίνουσι τῶν ζώων αὐτὸν ἀπεικάζοντες ὀρθῶς φήσομεν ποιεῖν; εἰ δ' ἥμαρτεν ὁ δῆμος, ἅμα τε ἐκείνῳ ἡμάρτηται καὶ τοῖς ἀνδράσι τοὔνειδος λέλυται. αὐτὸ γὰρ τοῦτό φαμεν δήπουθεν ἁμαρτεῖν Ἀθηναίους, τιμήσαντας ἐκείνοις φυγῆς ἢ χρημάτων ἢ ὁτουδήποτε ἐτίμησαν ἑκάστῳ. οὗτος δὲ ὁ λόγος τί λέγει; μηδενὸς τούτων ἐκείνους ἀξίους εἶναι. καὶ μὴν εἴ γε ἠδίκουν, ἄξιοι τούτων ἦσαν· ὅτε δὲ οὐ τούτων ἄξιοι, σαφῶς οὐκ ἠδίκουν. τοὺς δ' οὐκ ἀδικοῦντας κακῶς λέγειν καὶ συκοφαντεῖν οὐχὶ δίκαια ποιεῖν ἐστίν. ἡμεῖς τοίνυν ἀντὶ τοῦ κατηγορεῖν ἀμφοτέρων ὑπὲρ ἀμφοτέρων τὰ πρέποντα ἀπολογούμεθα, οὔτε τοῦ δήμου τὴν αἰτίαν παντὸς εἶναι φάσκοντες, οὔτε ἐκείνους προσήκειν, εἰ ὅτι προσέπταισαν, χείρους νομίζεσθαι. καὶ οὐκ ἐπὶ μὲν τῶν ἀθλητῶν οὕτω συμβαίνει, τὰ δὲ τῆς μουσικῆς ἐστηκυῖαν ἔχει τὴν νίκην τοῖς κρείττοσιν, ἀλλὰ κἀνταῦθα τὸ τοῦ Πινδάρου κρατεῖ· πάνυ γὰρ μετ' ἀληθείας τοῦτ' ἐκεῖνος ὕμνησεν „ἐν ἔργμασι νικᾷ τύχα, οὐ σθένος.“ ὥστε ἰδὼν τὸν Εὔμηλον Ἀχιλλεὺς τοῦ ἅρματος ἐκπεσόντα ᾤκτειρέ τε καὶ λέγει

λοῖσθος ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους.

ἆρ' οὖν οὐ παράδοξον ἑξῆς οὑτωσὶ θεῖναι παράλληλα, καὶ τὸν αὐτὸν λοῖσθόν τε καὶ ἄριστον προσειπεῖν; ἀλλ' ὅμως τοιαῦτα, φησί, τὰ ἀνθρώπεια (τοῦτο γάρ μοι δοκεῖ τῶν ηH. ῥημάτων τὸ βούλημα εἶναι)· ὁ αὐτὸς ἀνὴρ ἄριστός τε καὶ ἔσχατος. ὅπερ περὶ τοῦ δακτύλου φασί ποτ' εἰπεῖν Ὀρόντην τὸν Πέρσην, ὡς ὁ αὐτὸς ὢν τῇ θέσει ποτὲ μὲν τὰ μυρία σημαίνει, ποτὲ δ' οὐ πλέον ἢ ἕν. ὥστ' ἐμοὶ μὲν ἄντικρυς εἰς τὸ Πλάτωνος παράδειγμα ὁ Εὔμηλος τείνειν δοκεῖ, κατά τε ἄλλα, καὶ οὐχ ὅσον τῆς νίκης ἐστερήθη, ἀλλὰ καὶ ἀγκῶνάς τε περιεδρύφθη στόμα τε ῥῖνάς τε ὑπὸ τῶν ἵππων τῶν ἀρίστων καὶ ὑφ' ὧν οὐδὲ πώποτε ἐσφάλη.

"Ὀρόντης ὁ Πέρσης ἐκπεσὼν τῆς ἀρχῆς „καὶ ὁ δάκτυλος" 1305B ἔφη „ποτὲ μὲν ἓν ποτὲ δὲ μυρία σημαίνει."

εἰ φίλοις ἰσχύεις, εἰ χρήμασιν, εἰ δόξαν ἔχεις ἐν τῇ πόλει, μηδενὶ τούτων ἐπαρθῇς, μηδὲ μεῖζον φρονήσεις τῆς ἐξουσίας. εἰ πάντων κρατήσεις, ἡττήσῃ τῆς τύχης. ταῦτ' ἐστὶν ὁ ἀγὼν οὗτος, ταῦθ' Ὅμηρος λέγει. οὐδὲν τῶν ἀνθρωπείων ἀσφαλὲς οὐδ' ὁμαλὸν οὐδ' αὔταρκες, ἀλλ' ἡττήσεται μὲν ὁ ἰσχυρὸς τοῦ ἀσθενοῦς, ὅταν καιρὸς ᾖ τούτου, ἁλώσεται δὲ Βαβυλὼν αὐτοῖς τείχεσι, πάλιν δὲ τοὺς Πέρσας πορθήσουσιν ἕτεροι· πάντα ταῦτα ἐναλλὰξ περιέρχεται. εἰ δὲ ἔσωζον μὲν οἱ κυβερνῆται πάντες ἅπαντας τοὺς ἐμπλέοντας, ἔσωζον δ' οἱ ἰατροὶ πάντες ἅπαντας τοὺς κάμνοντας, ἐνίκων δὲ οἱ κρείττονες, ἐνίκων δὲ οἱ μείζονες, τὸ δ' ἀεὶ τούτοις πᾶσι προσῆν, μηδεὶς δ' ἐσφάλλετο τῶν ἀρξαμένων κατορθοῦν, εὐχὴ δὲ καὶ δύναμις μηδενὶ διέφερεν, ἀθάνατα πάντ' ἦν τὰ τῶν ἀνθρώπων πράγματα, καὶ οὐδὲν ἂν ἴσως εὐχῆς προσέδει, οὐδ' ἂν κατέκλυζεν ἡμᾶς τῶν πίθων ἅτερος ὥσπερ νῦν. μὴ τοίνυν θαυμάσῃς εἰ Περικλῆς ἔχων ἐπιστήμην καὶ τέχνην τοῦ θεοῦ καὶ τῆς τύχης ἡττᾶτο· μηδ' ἀμνημόνει τῶν καιρῶν, οὓς αὐτὸς φῂς οὐκ ὀλίγον δύνασθαι, οἷς οὐ πρᾳοτάτοις ἐκεῖνος τότε χρησάμενος φαίνεται. πολλὰ καὶ παράδοξα κατ' ἀνθρώπους καὶ γέγονε καὶ γενήσεται· ὧν ἐστὶ καὶ τὰ τούτοις τοῖς ἀνδράσι συμβάντα. τίς δ' οὐκ ἂν φαίη; ἀλλ' οὔπω ταῦτά ἐστιν ἔλεγχος κατ' αὐτῶν ὡς οὔτε ἠπίσταντο χρηστὸν οὐδέν, οὔτε ἐδύναντο βελτίους ποιεῖν· ἀλλ' ἐξῆν αὐτοῖς τήν γε τέχνην δήπουθεν ἔχειν καὶ τὸ χρηστοὺς εἶναι, εἰ καὶ τῶν μειζόνων ἐπικουριῶν ἔν γε τῷ τότε ἐστέρηντο. ἡδέως δ' ἂν ἐροίμην, ὅστις βούλεται δέξασθαι τὸ ἐρώτημα ὑπὲρ Πλάτωνος, αὐτὸς δὲ δὴ τί μαθὼν ἡμῖν ὁ Πλάτων οὐκ ἐπολιτεύσατο; ἆρ' ἄλλο τι φήσειεν ἂν ὁστισοῦν ἢ τὸ αὐτὸ τοῦτο, ὅπερ καὶ Σωκράτης λέγων ἐκείνῳ φαίνεται; τί μὴν ἕτερον; εἶθ' ἃ φοβηθεὶς μὴ πάθῃς οὐκ ἐδημηγόρεις, ταῦτ' εἴ τις ἐκείνων πέπονθεν, ὡς οὐ τὰ βέλτιστα συνεβούλευεν ἰσχυρίζῃ; καὶ μὴν εἰ μὲν οὐδεὶς ἐπῆν

a. 2. δὲ A: γε ς. 11. πῶς οὖν — 13. ποιεῖν om A. 14. τοὔνειδος A: τὸ ὄνειδος ς. αὐτὸ — 21. ποιεῖν ἐστίν om A. 23. πάντως A. 25. καὶ οὐκ] p. 422. 29. τύχα] τάχα A. ὥστε] p. 423. 37. ὅπερ] ὥσπερ A. 38. Ὀρόντην] cf. Suidas v. Ἀρβαζάκιος. ὁ om A. 40. εἰς τὸ Πλάτωνος παράδειγμα om A.

b. 4. πώποτε om A. 7. εἰ φίλοις ἰσχύεις (p. 426) add A. 8. τούτων μεῖζον ἐπαρθῇς A. 9. τῇ ἐξουσίᾳ A. 11. ἀνθρωπίνων A. 12. ὅταν ὁ καιρὸς ς. 15. εἰ δὲ] p. 427. 16. πάντες] ἅπαντες A. 20. μηδενὶ] οὐδὲν A. πάντ' ἦν A: ἦν ἅπαντα ς. 23. μὴ] p. 431. 31. ποιεῖν om A. 33. ἡδέως] p. 435. 34. βούλοιτο A. 35. δὲ om A. 36. ἆρ'] ἆρ' οὖν A. ἂν om A. 38. φοβηθεὶς μὴ A: μὴ φοβηθεὶς ς.

κίνδυνος, τοῦ χάριν οὐδὲν ὤνησας τὴν πατρίδα; εἰ δ᾽ ἕτοιμον ἦν ἀπολωλέναι, τί θαυμάζεις εἴ τις ἐκείνων ἐχρήσατο συμφορᾷ, καὶ τῷ τὰ βέλτιστα λέγειν τιθεὶς αὐτὸς ἕπεσθαι τὸ κινδυνεύειν, ἐκείνους ἐξ ὧν ἠτύχησαν ἀποστερεῖς τοῦ λέγειν τὰ βέλτιστα; οὐκοῦν ὅτ᾽ ἐκεῖνοι φαίνονται μηδὲν τῶν μελλόντων αὐτοῖς ἔσεσθαι δυσχερῶν ὑπολογισάμενοι πρὸς τὸ δίκαιον, ἀλλ᾽ ἀφειδῶς καὶ
708H. ἁπλῶς δόντες αὑτοὺς ὑπὲρ τοῦ κοινῇ βελτίστου, τῷ Σωκράτους κέχρηνται λόγῳ. ὥστε ἢ δεικτέον ἐστὶν ὡς οὔτε δίκαια οὔτε ἀγαθῶν ἀνδρῶν ἦν ἔργα ἃ προείλοντο καὶ οἷς ἐνεχείρησαν, ἢ συγχωρητέον χρηστοὺς εἶναι τοὺς ἄνδρας, εἰ καὶ ὁτιοῦν ἀπήντησε, καὶ τοσούτῳ μᾶλλον καὶ μειζόνως, ὅσῳ τὴν δυσκολίαν τοῦ πράγματος οὐκ ἔδεισαν· φαῦλοι γὰρ ἂν τῷ γε Σωκράτους λόγῳ εἶεν.

ἔπειτα τοσούτου ἐδέησε τῆς ὑπαρχούσης δόξης ἐκείνοις ἀφελεῖν ἐπιχειρεῖν, ἵνα δὴ μείζων αὐτὸς φανείη, ὥστε τὴν αὑτοῦ πολιτείαν εἰς τὴν ἐκείνων ἀνενήνοχεν. ἔπειθ᾽ ὅτι οὐδὲ τὰ τῶν ἀντιπάλων παραπλήσια, ἀλλὰ πρὸς ἄνδρας ὀξεῖς καὶ δεινοὺς ἦν τὸν Δημοσθένην παρατάττεσθαι, καὶ συγκεκροτημένους, καὶ τοῖς Ἀθηναίοις ὁμόρους καὶ προσοικοῦντας, καὶ ἅμα τῷ κηρυκείῳ καὶ τῷ σιδήρῳ χρωμένους, καὶ τὰ πλεῖστα τῶν πραγμάτων ἐξ ἀφανοῦς ἀφαιρουμένους.

1308R. "διὰ γὰρ τῶν προδοτῶν τὰ πολλὰ Φίλιππος ἴσχυεν. ὥσπερ ἐπεισόδιον χρηστὸν ἐπεισήγαγε, καὶ τοῦ τε Περικλέους αὐτοὺς ὑπεμίμνησκε καὶ ἄλλων.

πότερος καὶ τὴν ὅλην γνώμην φιλανθρωπότερος, καὶ περὶ αὐτοὺς τοὺς λόγους δεξιώτερος κατὰ τοῦτο τὸ μέρος; πότερ᾽ ὅστις, αὐτῷ μηδεμιᾶς ἀνάγκης ὑπαρχούσης, κακῶς λέγειν εἵλετο τοὺς ἄνδρας, ἢ ὅστις, ὄντος μὲν τοῦ παροξύνοντος, οὐ προήχθη οὐδ᾽ ἠξίωσεν ἑαυτὸν σεμνύνειν ἐν οἷς ἑτέρους ἔμελλε κακῶς ἐρεῖν; ἔχε δὴ πρὸς θεῶν. πῶς ἄν τις μᾶλλον ἁλοίη τἀναντία λέγων αὐτὸς ἑαυτῷ; ὅστις λέγων μὲν ὡς ἦσαν κόλακες, καὶ τοῦτ᾽ ἀγωνιζόμενος, εἶτ᾽ αὐτὸς αὖ φησὶν ὡς οὐκ ἐχρῶντο τῇ κολακικῇ· πάλιν δὲ ὧν ἀφῆκεν αὐτούς, ταῦτα κατηγορεῖ. καὶ δι᾽ ὧν μὲν ἐλέγχειν προὐθυμεῖτο, διὰ τούτων ἀφεῖναι ἠναγκάσθη· διὰ δ᾽ ὧν ἀφῆκεν οὓς ᾐτιάσατο τῆς κολακείας, διὰ τούτων ῥητορικὴν ὡς κολακείαν ἐλέγξειν ἀξιοῖ. καὶ μὴν εἰ μὲν ἔμελλε (τοῦτο γάρ ἐστιν ἤδη τὸ ἰσχυρότατον) κόλακας τρόπον τινὰ αὐτοὺς ἐκ τῶν αἰτιῶν δόξειν ἀποφαίνειν, κἀνταῦθα στήσεσθαι τοῦ λόγου, τάχ᾽ ἄν, εἰ καὶ μὴ τὰ ὄντα [μὴ ὄντα] κατηγόρησεν, ἀλλ᾽ οὖν ἐδόκει γ᾽ ἄν τι προὔργου τῶν λόγων εἶναι. ὅτε δὲ εἰπὼν ἅπανθ᾽ ὅσα ἔχειν ἡγεῖτο κατ᾽ αὐτῶν, εἶτα ὥσπερ δικαστὴς ἑτέρου λέγοντος ἀκηκοὼς ἀφῆκε τῆς αἰτίας αὐτούς, τίς ἔσθ᾽ ἡ χρεία τῶν λόγων; ἢ πῶς οὐχ ἅμα τε ψευδῆ καὶ μάτην ἅπαντα εἴρηται; φέρε δὴ τί αὖ φησὶν ἐνταῦθα; προστάτης γὰρ πόλεως οὐδ᾽ ἂν εἷς ποτὲ ἀδίκως ἀπόλοιτο ὑπ᾽ αὐτῆς ταύτης τῆς πόλεως ἧς προστατεῖ. ταῦτ᾽, ὦ πρὸς Διός, πῶς τις εἶναι φῇ τῆς αὐτῆς γνώμης ἢ πρὸς τὸ αὐτὸ τελευτᾶν; ἅμα μὲν τὸν τῷ δικαίῳ βοηθοῦντα ἀναγκαίως ἔχειν ἀπολέσθαι ὑπὸ τῆς πόλεως ἧς προστατεῖ, ἅμα δ᾽ ἂν ἀπόληται, οὐκ ἄν ποτε τοῦτ᾽ ἀδίκως παθεῖν ὑπὸ τῆς πόλεως ἧς προστατεῖ. ποῦ ταῦτ᾽ ἐστὶν ἐοικότα, ἢ πῶς εἰς ταὐτὸν τελεῖ; σκοπῶ δὲ κἀκεῖνο, ὡς εἰ μέν ἐστιν ἡ ῥητορικὴ κολακεία, καθάπαξ δεῖ τῇ κολακείᾳ χρω- 709H.
μένους αὐτοὺς φαίνεσθαι, ἐπειδή γε ἦσαν ῥήτορες. ὥστε πῶς ἢ ἐκείνους ἀπολύει τῆς αἰτίας, ἢ ῥητορικὴν προσείρηκέ τινα ἀληθινήν; εἰ δ᾽ αὖ χρηστὸν ἢ σπουδαῖον ἡ ῥητορική, δεῖ τοῦ βελτίστου δοκεῖν μέλειν αὐτοῖς· ὥστε πῶς ἢ ἐκείνους μὴ πρὸς τὸ βέλτιστον λέγειν αἰτιᾶται, ἢ τὴν ῥητορικὴν κολακείαν καλεῖ; εἰ δ᾽ αὖ διπλοῦν τι τὸ τῆς ῥητορικῆς ἐστί, καὶ τὸ μὲν αὐτοῦ κολακεία τε καὶ αἰσχρὰ δημηγορία, τὸ δ᾽ ἕτερον προστασία τοῦ δικαίου, ἀναγκαῖον ἐκείνοις τοῦ γ᾽ ἑτέρου μετεῖναι σαφῶς γε οὑτωσί. πῶς οὖν ἀμφοτέρων ἀποστερεῖς αὐτούς; καὶ μὴν εἴ γε καὶ δικαίως ἀποστερεῖς ἀμφοτέρων, τρίτη τις ἂν εἴη παρ᾽ ἀμφοτέρας ταύτας ῥητορικὴ πάλιν. ὥστε οὔτε διπλοῦν ἔτι τούτῳ τῷ λόγῳ τὸ τῆς ῥητορικῆς· οὐδὲ ἔδειξε δή που Πλάτων ἥτις ἐστὶν ἡ τρίτη. εἰ μὲν γὰρ ἄλλως ταῦτ᾽ ἐστὶ λόγου χάρις τε καὶ ἡδονή, τί τῆς ῥητορικῆς ταῦτα κατηγορεῖ; καὶ τί τῶν κολάκων εἷς γίνεται, λέγων τὰ ἥδιω πρὸ τῶν ὄντων, καὶ ταῦτα μηδεμιᾶς ἀνάγκης ἐπούσης; εἰ δὲ ἐφ᾽ ἅπασι δικαίοις καὶ μετὰ τῆς ἀληθείας εἴρηται, τίνι χρὴ μείζονι λῦσαι τὰ τῆς βλασφημίας; ἢ τίνα καλλίω ποιήσασθαι μάρτυρα αὐτοῦ Πλάτωνος, ὅταν ἐνταῦθα μὲν καὶ παραχρῆμα ἀφιεὶς φαίνηται τῆς αἰτίας αὐτούς, ἑτέρωθι δὲ καὶ καθά-

a. 1. ὤνησας καὶ τὴν ς. 5. τοῦ] τὸ Α. οὐκοῦν] p. 436. 9. οὔτε] οὐ τὰ Α. 11. εἶναι τοὺς om Α. 12. τοσοῦτον Α. 13. ὅσον Α. 15. ἔπειτα] p. 439. 17. ἔπειθ᾽] p. 440. 18. οὐδὲ om Α. 27. πότερος] p. 443. καὶ om Α. 32. ἔχε] p. 446. 37. ταῦτα om Α. 38. διὰ δ᾽ ὧν Α: δι᾽ ὧν τοῦ ἐκπεσεῖν δ᾽ ς. 40. καὶ μὴν] p. 447.
b. 3. μὴ τὰ] τὰ μὴ Α. 5. ὅσα ἔχειν ἡγεῖτο] ὅσον εἶχεν Α. 7. ἔσθ᾽ ἡ] ἔσεσθαι Α. 8. εἴρηται] εἴρηται. προὔργου νῦν ἀντὶ τοῦ ὄφελος Α. φέρε] p. 448. 10. ποτὲ om Α. ἀπώλλυτο Α. 17. τελεῖ Α: λήγει ς. σκοπῶ] p. 451. 22. libri μέλλειν. 24. τι add Α. 27. γ᾽ om Α. 32. εἴ τις Α. εἰ μὲν] p. 466. 33. γε om Α. 37. τῆς ἀληθείας] τῶν ἀληθῶν Α. τὰ τῆς om Α. 38. μαρτυρίαν Α.

Digitized by Google

παξ ἐγκωμιάζων, καὶ τὸν Στησίχορον μιμούμενος τῇ παλινῳδίᾳ; ἀλλὰ γὰρ ὡς μὲν οὐκ ἄριστος τῶν Ἑλλήνων Πλάτων, κάκιστος ἂν εἴη καὶ Ἑλλήνων καὶ βαρ- 1309R. βάρων ὅστις οὐκ ἐθέλει λέγειν. ἔοικε δέ τι καὶ τῆς φύσεως ἀπολαύειν, ὥσπερ οἱ βασιλεῖς τῆς ἐξουσίας, οἷον καὶ περὶ αὐτὴν τὴν λέξιν ἐστὶν οὗ φανήσεται ποιῶν, ἀδείᾳ λόγων πλείονι χρώμενος, καὶ περί γε αὐτὰς τὰς ὑποθέσεις.

ὅτι ὀνοματοποιεῖ, καὶ ὅτι καὶ ἀποβεβιωκότας ὡς ἔτι παρόντας εἰσάγει τοῖς ἐπαΐουσι διαλεγομένους.

οὐδέ γε Εὐριπίδου φήσομεν τὸ ἰαμβεῖον εἶναι τὸ

σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ,

οὐδ᾽ εἴ τις οὕτω τῶν σοφῶν εἴρηκεν· ἔστι γὰρ ἐξ Αἴαντος Σοφοκλέους, Αἴαντος τοῦ Λοκροῦ. ἀλλ᾽ ἔστι ταῦτα ἀπὸ τῆς τῶν διαλόγων ἐξουσίας καὶ συνηθείας ὡρμημένα. τῷ γὰρ ἅπαντας αὐτοὺς εἶναι ἐπιεικῶς πλάσματα, καὶ πλέκειν ἐξεῖναι δι᾽ ὧν ἄν τις βούληται, ἔνεστί τι κἂν τοῖς λόγοις αὐτοῖς οὐ σφόδρα τηροῦν τὴν ἀλήθειαν· καὶ ἅμα μοι δοκεῖν ἐφέλκεταί τι τῆς ἐλευθερίας καὶ τῆς μεγαλοπρεπείας, καὶ οὐ παντάπασιν ἀκριβολογεῖται, ἀλλ᾽, ὥσπερ ἔφην, συγχωρεῖ τῇ φύσει. ἔπειτα ταῦθ᾽ ἡμεῖς ἁπλῶς οὕτω παραδεξόμεθα; οὐκ ἄρα εἰδέναι τὰ ἐκείνου δόξομεν.

τὸ ἀμέλει Ἀριστείδης πολλάκις ὡς παρέλκον λαμβάνει.

οὗτοί φιλαθηναίου γέ ἐστι τὴν Ἀκαδημίαν μόνην θαυμάζειν τῆς Ἀττικῆς, τὴν δ᾽ ἄλλην ἅπασαν ὥσπερ 710H. ἐχθρὰν κρίνειν καὶ πολεμίαν. οὐδὲ γὰρ καταγελάστους ἀποφήναντα τοὺς ἄλλους ἅπαντας, οὕτω καί ποτε χρὴ Πλάτωνα θαυμάζειν ἀναμεῖναι. τοῦτο γὰρ οὐ Πλάτωνος ἂν εἴη τιμή, ἀλλ᾽ ἀτιμία τῶν ἄλλων μᾶλλον, σχεδὸν δέ τι καὶ αὐτοῦ Πλάτωνος. τὸ γὰρ ἡγεῖσθαι χρηστοῦ τινὸς ἄλλου κριθέντος μὴ εἶναι τούτῳ πλείονος ἀξίῳ δόξαι, πῶς οὐ τοιοῦτόν ἐστιν; οὐ δεῖ τὴν πρὸς τοὺς ἑτέρους ἀπέχθειαν νομίζειν ἀφορμὴν τῆς πρὸς τοὺς ἑτέρους πίστεως εἶναι. εἰ γὰρ τοῦ Πλάτωνα κακόν τι λέγειν ἀφέμενοι τοῖς ἀνδράσι τὰ πρέποντα ἀπεδώκαμεν, οὐκ ἀδικοῦμεν, οἶμαι· ταῦτα γὰρ καὶ πολιτικὰ καὶ ἀνθρώπινα καὶ θεοῖς ἀρέσκοντα ἐκ τοῦ παντὸς χρόνου. ἀλλ᾽ εἴ τοί γε φαῦλόν γε ἡ τραγῳδία καὶ φαύλων ἀνθρώπων, πῶς σε φῶμεν τραγῳδίαν ποιεῖν; οὐ γὰρ τό γε ὅλως αἰσχρὸν οὐδαμῶς ἔνι δή που ποιῆσαι καλῶς. καὶ λέγεις μὲν ὡς οὐ χρὴ μιμεῖσθαι τοὺς φαύλους οὐδ᾽ ἀφομοιοῦν τοῖς χείροσιν, αὐτὸς δ᾽ οὐ πάνυ χρῇ τούτῳ διὰ τέλους, ἀλλὰ μιμῇ σοφιστάς, μιμῇ συκοφάντας, μιμῇ [ἀναίσχυντον πάνυ τοῦτόν φασιν] Θρασύμαχον τὸν οὐδεπώποτε ἐρυθριάσαντα, θυρωρούς, παιδία, μυρίους. ἀλλ᾽ οἶμαι τὸ τῆς φύσεως Ἑλληνικὸν καὶ εὔκολον καὶ εὔχαρι καὶ ποικίλον καὶ θεῖον, ἐφ᾽ ἅπαντα ταῦτα ἄγον σε, ποιεῖ μαρτυρεῖν ὅτι καὶ τούτων ἑκάστου χρῆσίς ἐστι καιρὸν ἔχουσα καὶ χάριν ἐμμελῆ. εἶτα λέγεις ὅτι πάντες οὗτοι τοῦ πρὸς ἡδονὴν ἐξήρτηνται. πότερ᾽ οὖν σε φῶμεν ἔλαττον τοῦ δέοντος λέγειν ἢ πλέον; ὅτι μὲν γὰρ καὶ τοῦ πρὸς ἡδονὴν φροντίζουσιν οἱ ποιηταί, ὁμολογεῖται· ὥσθ᾽ ὅσον προσθεῖναι προσῆκεν, τοῦτ᾽ ἀφελὼν ἔλαττον παρὰ τοῦτ᾽ εἴρηκας. ὅτι δὲ αὐτοῖς κολακείαν ἐπενηνόχεις ἐκ τούτου, πῶς οὐκ ἔξω τοῦ δέοντος εἴρηκας, ἢ πῶς οὐ ταύτῃ πλέον αὖ τοῦ δέοντός ἐστιν ἔχων ὁ λόγος; ἐξῆν γάρ, ὦ γενναῖε, καὶ τοὺς νέους δικαίους εἶναι προτρέπειν καὶ τοῖς πρεσβυτέροις τὰ πρέποντα ἀποδοῦναι. καὶ γὰρ εἰ μηδὲν εἴχομεν ἐπαινεῖν αὐτούς, ἀλλ᾽ ἐξῆν γε δήπου σιωπῇ παρελθεῖν, καὶ οὐκ ἔμελλες ὀφλήσειν ἀλογίου. ἀλλὰ γὰρ 1312R. οὐχ ὅτι Πλάτων ὁ τῶν Ἑλλήνων τοσοῦτον ὑπερφέρων καὶ δικαίως μέγιστον ἐφ᾽ ἑαυτῷ φρονῶν κατηγορῆσαί τινων ἠξίωσε μεγέθει τινὶ καὶ ἐξουσίᾳ φύσεως, τοῦτο καὶ μάλιστ᾽ ἄν τις ἀγανακτήσειεν, ἀλλ᾽ ὅτι καὶ τῶν κομιδῇ τινὲς οὐδενὸς ἀξίων ἀφορμῇ ταύτῃ χρώμενοι μελέτην ἤδη τὸ πρᾶγμα πεποίηνται, καὶ τολμῶσι καὶ περὶ Δημοσθένους (ὃν ἐγὼ φαίην ἂν Ἑρμοῦ τινὸς λογίου τύπον εἰς ἀνθρώπους κατελθεῖν) ὅ τι ἂν τύχωσι βλασφημεῖν. καίτοι τίς ἂν εἰς ζῶντας τελῶν τούτων ἀνάσχοιτο; οἳ πλείω μὲν σολοικίζουσιν ἢ φθέγγονται, ὑπερορῶσι δὲ τῶν ἄλλων ὅσον αὐτοῖς ὑπερορᾶσθαι προσήκει. καὶ τοὺς μὲν ἄλλους ἐξετάζουσιν, αὐτοὺς δὲ οὐ πώποτε ἠξίωσαν. καὶ σεμνύνουσι μὲν τὴν ἀρετήν, ἀσκοῦσι δ᾽ οὔ, περιέρχονται δὲ ἄλλως βροτῶν εἴδωλα καμόντων, Ἡσιόδου κηφῆνες, Ἀρχιλόχου πίθηκοι, δύο μορφὰς ἔχοντες ἀντὶ τριῶν τῆς τραγικῆς βοός. οἳ τοῦ μὲν Διὸς οὐδὲν χεῖρους φα- 711H. σὶν εἶναι, τοῦ δὲ ὀβολοῦ τοσοῦτον ἡττῶνται. ὀνειδίζουσι δὲ τοῖς ἄλλοις, οὐ τῶν πραγμάτων κατεγνωκότες, ἀλλὰ φθονοῦντες ὅτι αὐτοὶ ταῦτα πράττειν οὐ δύνανται. εἰ δέ

a. 2. ἀλλὰ γὰρ] p. 474. 3. ἂν A: δ᾽ ἂν ς. 5. οἷον] οἳ pr A, ἢ corr. 7. τὰς add A. 11. οὐδὲ] p. 477. 13. οὐδ᾽ — εἴρηκεν om A. 19. ἐμοὶ A. τι om A. 25. οὗτοι] p. 485. τοι φιλαθηναίου A: τι φιλαθηναῖόν ς. 30. ἂν om A. 31. δέ τι] δ᾽ ἔτι ς. γὰρ om A. 33. οὐ δεῖ] p. 486. τοὺς om A. 35. τοῦ A: τὸν ς. 37. καὶ πολιτικὰ om A. 38. ἀλλ᾽] p. 489. b. 2. οὐδ᾽ — 3. χείροσιν om A. 4. ἀναισχ. π. τ. φασιν om A. 5. οὐδέποτε A. 6. μυρίους, παιδία ς. 10. εἶτα] p. 491. τοῦ om A. 11. πότερον A. 14. προσῆκεν] πρὸς A. 16. τούτου] τοῦ A. 17. ἐξῆν] p. 510. 22. οὐχ ὅτι] οὐχὶ A. 25. ἂν om A. 26. ἀξίων οὐδενὸς ς. 32. καὶ τοὺς — 33. ἠξίωσαν om A. 39. τοῖς κακοῖς ἄλλοις ς. 40. ταῦτα πράττειν οὐ A: πράττειν ταῦτα ς.



Digitized by Google

τις αὐτῶν περὶ τῆς ἐγκρατείας διαλεγομένων ἄπαντικρὺ στοίη ἔχων ἔνθρυπτα καὶ στρεπτούς, ἐκβάλλουσι τὴν γλῶτταν ὥσπερ ὁ Μενέλεως τὸ ξίφος. αὐτὴν μὲν γὰρ ἐὰν ἴδωσι τὴν Ἑλένην, Ἑλένην λέγω; θεράπαιναν μὲν οὖν ὁποίαν ἐποίησε Μένανδρος τὴν Φρυγίαν, τῷ ὄντι παιδιὰν ἀποφαίνουσι τοὺς Σατύρους τοῦ Σοφοκλέους. οἳ τῷ μὲν ἀποστερεῖν κοινωνεῖν ὄνομα τίθενται, τῷ δὲ φθονεῖν φιλοσοφεῖν, τῷ δ' ἀπορεῖν ὑπερορᾷν χρημάτων. ἐπαγγελλόμενοι δὲ φιλανθρωπίαν ὤνησαν μὲν οὐδένα πώποτε, ἐπηρεάζουσι δὲ τοῖς χρωμένοις. καὶ τοὺς μὲν ἄλλους οὐδ' ἀπαντῶντας ὁρῶσι, τῶν δὲ πλουσίων ἕνεκα εἰς τὴν ὑπερορίαν ἀπαίρουσιν, ὥσπερ οἱ Φρύγες οἱ τῶν ἐλαιῶν ἕνεκα τῆς συλλογῆς, οἳ καὶ προσιόντων εὐθὺς ὤσφροντο. οὗτοι γάρ εἰσιν οἱ τὴν μὲν ἀναισχυντίαν ἐλευθερίαν νομίζοντες, τὸ δ' ἀπεχθάνεσθαι παρρησιάζεσθαι, τὸ δὲ λαμβάνειν φιλανθρωπεύεσθαι. εἰς τοῦθ' ἥκουσι τῆς σοφίας, ὥστε ἀργύριον μὲν οὐ πράττονται, ἀργυρίου δ' ἀξίως λαμβάνειν ἐπίστανται. κἂν μέν γε τύχῃ τις ἔλαττον πέμψας, ἐνέμειναν τῷ δόγματι· ἂν δὲ ἁδρότερον τὸ σακκίον αὐτοῖς φανῇ, Γοργόνα Περσεὺς ἐχειρώσατο. τοῖς ἐν Παλαιστίνῃ δυσσεβέσι παραπλήσια τοὺς τρόπους. καὶ γὰρ ἐκείνοις τοῦτ' ἐστὶ σύμβολον τῆς δυσσεβείας, ὅτι τοὺς κρείττους οὐ νομίζουσι· καὶ οὗτοι τρόπον τινὰ ἀφεστᾶσι τῶν Ἑλλήνων, μᾶλλον δὲ καὶ πάντων τῶν κρειττόνων, τὰ μὲν ἄλλα ἀφωνότεροι τῆς σκιᾶς τῆς ἑαυτῶν, ἐπειδὰν δέ τινας εἰπεῖν κακῶς δέῃ καὶ διαβαλεῖν, τῷ Δωδωναίῳ μὲν οὐκ ἂν εἰκάσαις αὐτοὺς χαλκείῳ· μὴ γάρ, ὦ Ζεῦ! ταῖς δὲ ἐμπίσι ταῖς ἐν τῷ σκότῳ βομβούσαις. συγκαταπρᾶξαι μέν τι τῶν δεόντων ἁπάντων ἀχρηστότατοι, διορύξαι δὲ οἰκίαν καὶ ταράξαι, καὶ συγκροῦσαι τοὺς ἔνδον πρὸς ἀλλήλους, καὶ φῆσαι πάντ' αὐτοὺς διοικήσειν, πάντων δεινότατοι.

καταδύντες δὲ εἰς τοὺς χηραμοὺς ἐκεῖ τὰ θαυμαστὰ σοφίζονται, σκιᾷ τινὶ λόγοις ἀνασπῶντες, ἔφη ὁ Σοφοκλῆς, τὸν ἀνθέρικα θερίζοντες, τὸ ἐκ τῆς ἄμμου σχοινίον πλέκοντες, οὐκ οἶδ' ὅντινα ἱστὸν ἀναλύοντες· ὅσον γὰρ ἂν προκόψωσι τῆς σοφίας, τοσοῦτον ἀνταφαιροῦσι, μεγάλα φρονοῦντες, ἐὰν ῥητορικὴν εἴπωσι κακῶς,

313 R. ὥσπερ οὖν καὶ τοὺς δούλους τοῖς δεσπόταις ὑπ' ὀδόντα πολλάκις καταρωμένους; καὶ μάλιστα τοὺς μαστιγίας αὐτῶν. ἤδη δέ τις καὶ Σάτυρος τῶν ἐπὶ σκηνῆς κατηράσατο τῷ Ἡρακλεῖ, εἶτά γ' ἔκυψε προσιόντος κάτω. εἰκότως δέ μοι δοκοῦσι κακῶς ἅπαντας λέγειν· πολὺ γὰρ αὐτοῖς τοῦ πράγματος περίεστιν, οἵ γε κἂν μηδενὸς ἀνθρώπων μεμνήσωνται, λέγουσι δ' οὖν λέγουσι κακῶς· ὥστε ἀφ' ὧν ἔχουσι χαρίζονται. εἶτα τὸ κάλλιστον τῶν ὀνομάτων αὐτοῖς τίθενται, φιλοσοφίαν, ὥσπερ θέαν προκατειληφότες. ἐγὼ μὲν οὖν καὶ Πλάτωνι τὴν προσ- 312 H. ήκουσαν τιμὴν ἀπένειμα, καὶ τοῖς ἀνδράσι τὰ πρέποντα ἐβοήθησα, καὶ οὐχὶ προηκάμην. εἰ δέ τις ἀντειπεῖν ἔχει τούτοις, φυλάττων ἐμοὶ τὴν ἴσην εὐφημίαν ὅσην περ ἐγὼ Πλάτωνι, τοῦτον ἐγὼ καὶ νῦν καὶ ὕστερον φίλον, οὐκ ἐχθρὸν κρίνω.

## 249.

*Ἀνεγνώσθη Πυθαγόρου βίος.*

ὅτι ἔνατος ἀπὸ Πυθαγόρου διάδοχος γέγονε, φησί, Πλάτων, Ἀρχύτου τοῦ πρεσβυτέρου μαθητὴς γενόμενος, δέκατος δὲ Ἀριστοτέλης. τῶν δὲ Πυθαγόρου οἱ μὲν ἦσαν περὶ τὴν θεωρίαν καταγινόμενοι, οἵ περ ἐκαλοῦντο σεβαστικοί, οἱ δὲ περὶ τὰ ἀνθρώπινα, οἵ περ ἐκαλοῦντο πολιτικοί, οἱ δὲ περὶ τὰ μαθήματα, γεωμετρικὰ καὶ ἀστρονομικά, οἵ περ ἐκαλοῦντο μαθηματικοί. καὶ οἱ μὲν αὐτῷ τῷ Πυθαγόρᾳ συγγένομενοι ἐκαλοῦντο Πυθαγορικοί, οἱ δὲ τούτων μαθηταὶ Πυθαγόρειοι, οἱ δὲ ἄλλως ἔξωθεν ζηλωταὶ Πυθαγορισταί. ἀπείχοντο δὲ ἐμψύχων, καὶ κατὰ καιρὸν μόνον θυσιῶν ἐγεύοντο. ὅτι ἑκατὸν καὶ τεσσάρων λέγεται ἐτῶν ἐζηκέναι τὸν Πυθαγόραν. καὶ ὁ μὲν Μνήσαρχος εἷς τῶν υἱῶν αὐτοῦ λέγεται νεώτερος τελευτῆσαι, Τηλαυγὴς δὲ ὁ ἕτερος διεδέξατο, καὶ Αἰσάρα καὶ Μυῖα αἱ θυγατέρες. καὶ ἡ Θεανὼ δὲ λέγεται οὐ μαθήτρια μόνον ἀλλὰ καὶ μία τῶν θυγατέρων αὐτοῦ εἶναι. ὅτι διαφέρειν ἔλεγον οἱ ἀπὸ Πυθαγόρου μονάδα καὶ ἕν. μονὰς μὲν γὰρ παρ' αὐτοῖς ἐνομίζετο ἡ ἐν τοῖς νοητοῖς οὖσα, ἓν δὲ τὸ ἐν τοῖς ἀριθμοῖς· ὁμοίως δὲ καὶ δύο τὸ ἐν τοῖς ἀριθμητοῖς. ἔλεγον δὲ τὴν δυάδα ἀόριστον, ὅτι ἡ μὲν μονὰς κατα τὴν ἰσότητα καὶ τὸ μέτρον λαμβάνεται, ἡ δὲ δυὰς καθ' ὑπερβολὴν καὶ ἔλλειψιν. μεσότης μὲν οὖν καὶ μέτρον οὐ δύναται μᾶλλον καὶ ἧττον

a. 7. οἳ] οὗτοι A. 13. οἳ καὶ — 14. ὤσφροντο om A. 14. οὗτοι] p. 513. γάρ om A. 17. τοῦθ' A: τοῦτο δ' ς. τῆς om A. μὲν — 18. ἀργυρίου om A. 18. δ'] οὐδ' A. 20. τὸ A: τῷ ς. αὐτοῖς om A. 21. τοῖς (p. 514) — 25. κρειττόνων om A. 26. ἐπεὶ A. 27. διαβάλλειν A. 30. ἁπάντων om A. 34. ὁ om A. 35. θερ. καὶ τὸ ς. 38. μέγα ς. 39. ὑπ' ὀδό[illegible] om A.

b. 3. κάτω] κάτω. σάτυρος δ' ὅστις· οὐ γὰρ τὸν [illegible]αίμονα λέγει τοῦ διονύσου A. 4. μοι δοκοῦσι om A. λέγειν] λέγουσι A. 9. ἐγὼ] p. 524. 11. [illegible] A: τι ς. 14. quae post κρίνω ς addit, ἀλλαντοπώλης ὁ πωλῶν τὰ λεγόμενα ἰδιωτικῶς λουκανικά, om AC. [illegible]νατος ς. 23. οἱ μὲν ap. L. Holstenium (Porphyr. de Vita Pythag. ed. Küster. p. 56). 24. συγγινόμενοι S[illegible] v. Πυθαγόρα (vol. 3. p. 236, 13), γενόμενοι ap. Holsten. 27. μόνων ς. 28. ἐτῶν λέγεται ς. 30. Αἰσάρα Bentleius respons. ad Boyl. p. 215. Lennep. : libri σάρα. 36. δυάδα A: μονάδα ς.

γενέσθαι· ἡ δὲ ὑπερβολὴ ϗ ἔλλειψις ἐπειδὴ ἐπ' ἄπειρον προχωρεῖ, διὰ τοῦτο ἀόριστον αὐτὴν ἔλεγον δυάδα. ϗ ἐπειδὴ πάντα εἰς τοὺς ἀριθμοὺς ἀνῆγον ἔκ τε τῆς μονάδος ϗ τῆς δυάδος, καὶ τὰ ὄντα πάντα ἀριθμοὺς προσηγόρευον, ὁ δὲ ἀριθμὸς συμπληροῦται τοῖς δέκα, ὁ δὲ δέκα σύνθεσις τῶν τεσσάρων κατὰ τὸ ἑξῆς ἀριθμούντων ἡμῶν, καὶ διὰ τοῦτο τὸν ἀριθμὸν πάντα τετρακτὺν ἔλεγον. ἔλεγον δὲ τὸν ἄνθρωπον αὐτὸν ἑαυτοῦ βελτίω κατὰ τρεῖς τρόπους γίνεσθαι, πρῶτον μὲν τῇ ὁμιλίᾳ τῇ πρὸς τοὺς θεούς (ἀνάγκη γὰρ προσιόντας αὐτοῖς κατ' ἐκεῖνο καιροῦ χωρίζεσθαι αὐτοὺς πάσης κακίας, εἰς δύναμιν ὁμοιοῦντας ἑαυτοὺς τῷ θεῷ), δεύτερον ἐν τῷ εὖ ποιεῖν (θεοῦ γὰρ τοῦτο ϗ θείας μιμήσεως), τρίτον ἐν τῷ ἀποθνήσκειν· εἰ γὰρ κατὰ ποσόν

1316R. τι ἡ ψυχὴ τοῦ σώματος ἐν τῷ ζῆν τὸ ζῶον "χωριζομένη βελτίων γίνεται ἑαυτῆς, ἔν τε τοῖς ὕπνοις κατὰ τοὺς ὀνείρους ϗ ἐν ταῖς ἐκστάσεσι τῶν νόσων μαντικὴ

113H. γίνεται, πολλῷ "μᾶλλον βελτιοῦται, ὅταν τέλεον χωρισθῇ ἀπὸ τοῦ σώματος. ὅτι τὴν μονάδα πάντων ἀρχὴν ἔλεγον Πυθαγόρειοι, ἐπεὶ τὸ μὲν σημεῖον ἀρχὴν ἔλεγον γραμμῆς, τὴν δὲ ἐπιπέδου, τὸ δὲ τοῦ τριχῇ διαστατοῦ ἤτοι σώματος. τοῦ δὲ σημείου προεπινοεῖται ἡ μονάς, ὥστε ἀρχὴ τῶν σωμάτων ἡ μονάς· ὥστε τὰ σώματα πάντα ἐκ τῆς μονάδος γεγένηται. ὅτι οἱ Πυθαγόρειοι τῶν ἐμψύχων ἀπείχοντο, τὴν μετεμψύχωσιν ἀφρόνως ὡς ἀληθῆ ὑπολαμβάνοντες, καὶ ὅτι τὰ τοιαῦτα τῶν βρωμάτων παχύνει τὸν νοῦν, τροφιμώτερα ὄντα καὶ πολλὴν ἀνάδοσιν ποιοῦντα. διὰ τοῦτο ϗ τοῦ κυάμου ἀπείχοντο, ὅτι φυσώδης ϗ τροφιμώτατος. καὶ ἄλλας δέ τινας αἰτίας πλείους ἀποδιδόασιν, αἳ αὐτοὺς ἐνῆγον ἀπέχεσθαι τῶν κυάμων. ὅτι τὸν Πυθαγόραν πολλά φασι προειπεῖν, καὶ πάντα ἐκβῆναι. ὅτι τὴν μὲν θεωρητικὴν ϗ φυσικὴν Πλάτωνά φασι παρὰ τῶν ἐν Ἰταλίᾳ Πυθαγορείων ἐκμαθεῖν, τὴν δὲ ἠθικὴν μάλιστα παρὰ Σωκράτους. τῆς δὲ λογικῆς σπέρματα καταβαλεῖν αὐτῷ Ζήνωνα ϗ Παρμενίδην τοὺς Ἐλεάτας· ϗ οὗτοι δὲ τῆς Πυθαγορείου ἦσαν διατριβῆς. ὅτι ἡ ὄψις, κατὰ Πυθαγόραν ϗ Πλάτωνα ϗ Ἀριστοτέλην, τῶν δώδεκα χρωμάτων ἐστὶ κριτική, λευκοῦ ϗ μέλανος ϗ τῶν μεταξύ, ξανθοῦ, φαιοῦ, ὠχροῦ, ἐρυθροῦ, κυανοῦ, ἁλουργοῦ, λαμπροῦ, ὀρφνίνου· ἡ δὲ ἀκοὴ κριτική ἐστιν ὀξέος καὶ βαρέος φθόγγου· ἡ δὲ ὄσφρησις κριτικὴ εὐωδῶν ϗ δυσωδῶν ὀσμῶν ϗ τῶν μεταξὺ ἐκ σηπομένων τε ϗ βρεχομένων ἢ τηκομένων ἢ θυμιαζομένων. ἡ δὲ γεῦσις κριτική ἐστι γλυκέων τε καὶ πικρῶν χυμῶν καὶ τῶν μεταξὺ πέντε· ἑπτὰ γάρ εἰσιν οἱ χυμοὶ πάντες, γλυκύς, πικρός, ὀξύς, δριμύς, σομφός, ἁλυκός, στρυφνός. ἡ δὲ ἁφὴ πλειόνων ἐστὶ κριτική, οἷον βαρέων ϗ κούφων ϗ τῶν μεταξύ, θερμῶν τε ϗ ψυχρῶν ϗ τῶν μεταξύ, τραχέων ϗ λείων καὶ τῶν μεταξύ, ξηρῶν ϗ ὑγρῶν ϗ τῶν μεταξύ. καὶ αἱ μὲν δ' αἰσθήσεις ἔν τε τῇ κεφαλῇ εἰσὶ ϗ ἰδιάζουσι περικλείονται ὀργάνοις· ἡ δὲ ἁφὴ ϗ διὰ τῆς κεφαλῆς ϗ δι' ὅλου τοῦ σώματος κεχώρηκε, ϗ ἐστι κοινὴ πάσης αἰσθήσεως, μᾶλλον δὲ κατὰ τὰς χεῖρας δηλοτέραν παρέχεται τὴν κρίσιν. ὅτι δώδεκα τάξεις φησὶν εἶναι ἐν τῷ οὐρανῷ, πρώτην καὶ ἐξωτάτω τὴν ἀπλανῆ σφαῖραν, ἐν ᾗ ἐστὶν ὅ τε πρῶτος θεὸς καὶ οἱ νοητοὶ θεοί, ὡς Ἀριστοτέλει δοκεῖ, κατὰ δὲ Πλάτωνα αἱ ἰδέαι· μετὰ δὲ τὴν ἀπλανῆ ὁ τοῦ Κρόνου τέτακται ἀστὴρ ϗ οἱ ἐφεξῆς πλάνητες ἕξ, ὁ τοῦ Διός φημι, ὁ τοῦ Ἄρεος, ὁ τῆς Ἀφροδίτης, ὁ τοῦ Ἑρμοῦ, ὁ τοῦ ἡλίου, ὁ τῆς σελήνης, εἶτα ἡ τοῦ πυρὸς σφαῖρα, ἑξῆς ἡ τοῦ ἀέρος, μετ' αὐτὸν ἡ τοῦ ὕδατος. λοιπὴ ϗ ἐπὶ πᾶσιν ἡ γῆ. δώδεκα δὲ τάξεων οὐσῶν ἐν τῇ ἀπλανεῖ τὸ πρῶτον αἴτιόν ἐστι· "ϗ ὅ τι ἂν ᾖ ἐγγὺς αὐτοῦ, τοῦτό φασι τε- 114H.
τάχθαι βεβαίως ϗ ἀρίστως, τὰ δὲ πόρρωθεν ἧττον· τὴν δὲ τάξιν μέχρι σελήνης σώζεσθαι, τὰ δὲ ὑπὸ σελήνην οὐκέτι ὁμοίως. ἐξ ἀνάγκης δέ ἐστι καὶ ἡ κακία εἰς τὸν περὶ γῆν τόπον ἅτε δὴ πυθμένος λόγον ἐπεχούσης τῆς γῆς πρὸς πάντα τὸν κόσμον, ϗ πρὸς ὑποδοχὴν ὑποστάθμης οὔσης ἐπιτηδείας. καὶ πάντα μὲν τὰ ἄλλα μέρη κατὰ τὴν πρόνοιαν ϗ τὴν βεβαίαν τάξιν "καὶ 1317R.
τὴν εἱμαρμένην τοῦ θεοῦ ἑπομένην αὐτῷ φασὶ διοικεῖσθαι, τὰ δὲ μετὰ τὴν σελήνην τέσσαρσιν αἰτίαις, κατὰ θεόν, καθ' εἱμαρμένην, κατὰ προαίρεσιν ἡμετέραν, κατὰ τύχην· οἷον τὸ μὲν εἰσελθεῖν εἰς τὴν ναῦν ἢ μὴ εἰσελθεῖν ἐφ' ἡμῖν ἐστί, τὸ μέντοι ἐν εὐδίᾳ χειμῶνα καὶ

a. 4. ἀριθμὸν Suidas v. Ἀριθμῷ, ἀριθμὸν τετρακτὺν idem v. Τετρακτύς. 9. μὲν ὁμιλίᾳ τῇ πρὸς θεὸν Suidas v. Ἄνθρωπος αὐτός. 10. προσιόντας — 12. ὁμοιοῦντας corr A: τὸν προσιόντα — ὁμοιοῦντα Suidas et, omisso τὸν, ς. 23. ὥστε — μονάς om B. 32. φησι A. 36. παραμενίδην A.

b. 2. ὀρφνίου Suidas v. Ὄψις. 5. ἐκ B et corr A: ἐξ ς. om Suidas. 6. θυμιωμένων Suidas. ἐστι et 8. οἱ et πάντες om Suidas. 9. σομφὸς] στυφὺς σομφὸς Suidas. 10. καὶ ante κούφων sumpsi a Suida, qui om οἷον et θερμῶν τε καὶ ψυχρῶν καὶ τῶν μεταξύ. 11. τραχέων καὶ λ. καὶ τῶν μ. om A. 12. καὶ τῶν μεταξὺ om Suidas. 13. τε om Suidas. 14. περικλ.] καὶ περικλ. Suidas. 15. ὅλου om Suidas. 16. δηλοτέραν A: ἐπιδηλοτέραν ς. 17. ἐν τῷ οὐρανῷ φησὶν εἶναι καὶ πρώτην ς. 18. ἐξωτάτην ς. 22. πλανῆται ς. 27. τούτου B. 36. δὲ post καὶ ponit A. τέσσαρσιν A cum Suida v. Εἱμαρμένη τά: τέτρασιν ς. Suidas v. 35. legisse videtur διακεῖσθαι. 38. εἰς τὴν A et Suidas: αὐτὴν ς.

Digitized by Google

ζάλην ἐξαίφνης ἐπιγενέσθαι ἐκ τύχης, τὸ μέντοι βαπτιζομένην τὴν ναῦν παρ' ἐλπίδα σωθῆναι προνοίας θεοῦ. τῆς δ' εἱμαρμένης πολλοί εἰσι τρόποι καὶ διαφοραί, διαφέρει δὲ τῆς τύχης, ὅτι ἡ μὲν εἱρμὸν ἔχει καὶ τάξιν καὶ ἀκολουθίαν, ἡ δὲ τύχη τὸ αὐτόματον καὶ τὸ ὡς ἔτυχεν· οἷον τὸ ἐκ παιδὸς εἰς μειράκιον ἐλθεῖν καὶ τὰς καθ' ἑξῆς ἡλικίας οἰκείως διελθεῖν, τοῦτο ἑνὸς τρόπου τῆς εἱμαρμένης. ὅτι ὁ ζωδιακὸς λοξῶς κινεῖται, ὡς ζητήσας εὑρεῖν ἔδοξεν Ἀριστοτέλης, ἕνεκεν τῆς γενέσεως τῶν περὶ γῆν τόπων πρὸς ἀναπλήρωσιν τοῦ παντός. εἰ γὰρ καταπαραλλήλως ἐκινεῖτο, ἀεὶ ἂν μία ὥρα ἦν τοῦ ἔτους, ἤτοι θέρος ἢ χειμὼν ἢ ἄλλη τις. νῦν δὲ ἐκ τοῦ τὸν ἥλιον καὶ τοὺς ἄλλους πλάνητας μεταβαίνειν ἀπὸ ζωδίου ἐπὶ ζώδιον γίνονται αἱ μεταβολαὶ τῶν ὡρῶν τέσσαρες, καὶ ἐκ τῆς τούτων εἰς ἄλληλα μεταβολῆς οἵ τε καρποὶ φύονται καὶ αἱ ἄλλαι γενέσεις τῶν ζώων γίνονται.

ὅτι ὁ μὲν ἥλιος, ὡς οὗτος οἰκείαν ἀποφαίνεται δόξαν, ἣν καὶ ἀληθῆ λέγει, ἑκατονταπλασίων ἐστὶ τῆς γῆς. οἱ δὲ πολλοὶ οὐκ ἐλάττονα τοῦ τριακονταπλασίονα αὐτῆς φασίν. ὅτι μέγαν ἐνιαυτὸν καὶ τὴν τοῦ Κρόνου περίοδόν φασιν, ὅτι τῶν λοιπῶν ἓξ πλανωμένων ἐν ἐλάττονι χρόνῳ οὗτος ἐν τριάκοντα τὸν οἰκεῖον δρόμον ἀπαρτίζει. καὶ γὰρ ὁ μὲν τοῦ Διὸς ἐν ιβ' ἔτεσι τὸν ἴδιον διαπεραίνει κύκλον, ἐν δυσὶ δὲ ὁ Ἄρης, ὁ δὲ ἥλιος ἐνιαυτῷ· Ἑρμῆς δὲ καὶ Ἀφροδίτη ἰσοταχεῖς τῷ ἡλίῳ· σελήνη δὲ προσγειοτάτη καὶ ἐλάχιστον κύκλον περιιοῦσα ἐν μηνί. ὅτι πρῶτος Πυθαγόρας τὸν οὐρανὸν κόσμον προσηγόρευσε διὰ τὸ τέλειον εἶναι καὶ πᾶσι κεκοσμῆσθαι τοῖς τε ζώοις καὶ τοῖς καλοῖς. ὅτι καὶ Πλάτων, φησί, καὶ Ἀριστοτέλης ἀθάνατον ὁμοίως λέγουσι τὴν ψυχήν, κἂν τινες εἰς τὸν Ἀριστοτέλους νοῦν οὐκ ἐμβαθύνοντες θνητὴν αὐτὴν νομίζουσιν αὐτὸν λέγειν.

ὅτι ὁ ἄνθρωπος μικρὸς κόσμος λέγεται οὐχ ὅτι ἐκ τῶν τεσσάρων στοιχείων σύγκειται (τοῦτο γὰρ καὶ ἕκαστον τῶν
715 H. ζώων καὶ τῶν εὐτελεστάτων), ἀλλ' ὅτι πάσας ἔχει τὰς τοῦ κόσμου δυνάμεις. ἐν γὰρ τῷ κόσμῳ εἰσὶ θεοί, ἔστι καὶ τὰ τέσσαρα στοιχεῖα, ἔστι καὶ τὰ ἄλογα ζῶα, ἔστι καὶ φυτά· πάσας δὲ ταύτας τὰς δυνάμεις ἔχει ὁ ἄνθρωπος. ἔχει γὰρ θείαν μὲν δύναμιν τὴν λογικήν, ἔχει τὴν τῶν στοιχείων φύσιν, τὴν θρεπτικὴν καὶ αὐξητικὴν καὶ τοῦ ὁμοίου γεννητικήν. ἐν ἑκάστῃ δὲ τούτων λείπεται, καὶ ὥσπερ ὁ πένταθλος πάσας ἔχων τὰς δυνάμεις τῶν ἀθλημάτων ἐν ἑκάστῃ ἥττων ἐστὶ τοῦ ἕν τι ἐπιτηδεύοντος, οὕτω καὶ ὁ ἄνθρωπος πάσας ἔχων τὰς δυνάμεις ἐν ἑκάστῃ λείπεται. ἧττον μὲν γὰρ ἔχομεν τὴν λογικὴν δύναμιν ἤπερ οἱ θεοί, καὶ τὰ τῶν στοιχείων ὁμοίως ἧττον ἢ ἐκεῖνα, καὶ τὸν θυμὸν καὶ ἐπιθυμίαν ἐνδεέστερα τῶν ἐν τοῖς ἀλόγοις, καὶ τὴν θρεπτικὴν καὶ αὐξητικὴν δύναμιν ἐλαττουμένας τῶν ἐν τοῖς φυτοῖς. ὅθεν ἐκ ποικίλων δυνάμεων συνεστῶτες δύσχρηστον τὸν βίον ἔχομεν. ἕκαστον γὰρ τῶν ἄλλων ὑπὸ μιᾶς φύσεως οἰακίζεται, ἡμεῖς δὲ ὑπὸ τῶν διαφόρων δυνάμεων ἀν- 1300
τισπώμεθα, οἷον ποτὲ μὲν ὑπὸ τοῦ θείου ἀναγόμεθα ἐπὶ τὰ κρείττω, ποτὲ δὲ τοῦ θηριώδους ἐπικρατήσαντος ἐπὶ τὰ χείρω· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων δυνάμεων. ἐὰν οὖν τις θεραπεύσῃ τὸ ἐν ἡμῖν θεῖον, ὥσπερ ἡνίοχον ἐγρηγορότα καὶ ἐπιστήμονα ἐπιστήσας, δυνήσεται ἑκάστῃ τῶν ἄλλων δυνάμεων εἰς δέον χρήσασθαι, τῇ τε κράσει φημὶ τῶν στοιχείων καὶ τῷ θυμῷ καὶ τῇ ἐπιθυμίᾳ καὶ τῇ ὀρέξει. τὸ γοῦν γνῶθι σαυτόν, δοκοῦν ῥᾷστον εἶναι, πάντων ἐστὶ χαλεπώτατον· ὃ καί φασι τοῦ Πυθίου εἶναι Ἀπόλλωνος, εἰ καὶ εἰς Χίλωνα τῶν ἑπτὰ σοφῶν ἕνα τὸ ἀπόφθεγμα ἀναφέρουσι. παραινεῖ δ' ἡμῖν γνῶναι τὴν ἑαυτῶν δύναμιν. τὸ δὲ γνῶναι ἑαυτὸν οὐδὲν ἄλλο ἐστὶν ἢ τὴν τοῦ σύμπαντος κόσμου φύσιν γνῶναι. τοῦτο δὲ ἀδύνατον ἄνευ τοῦ φιλοσοφεῖν· ὅπερ ἡμῖν ὁ θεὸς παραινεῖ. ὅτι γνώσεως ὀκτώ φασιν ὄργανα, αἴσθησιν, φαντασίαν, τέχνην, δόξαν, φρόνησιν, ἐπιστήμην, σοφίαν, νοῦν. τούτων κοινὰ μέν ἐστιν ἡμῖν πρὸς τὰ θεῖα τέχνη καὶ φρόνησις καὶ ἐπιστήμη καὶ νοῦς, πρὸς δὲ τὰ ἄλογα αἴσθησις καὶ φαντασία· ἴδιον δὲ ἡμῶν μόνον ἡ δόξα. ἔστι δὲ αἴσθησις μὲν γνῶσις ψευδὴς διὰ σώματος, φαντασία δὲ κίνησις ἐν ψυχῇ, τέχνη δὲ ἕξις ποιητικὴ μετὰ λόγου (τὸ δὲ μετὰ λόγου πρόσκειται, ὅτι καὶ ὁ ἀράχνης ποιεῖ, ἀλλ' οὐ μετὰ λόγου), φρόνησις δὲ ἕξις προαιρετικὴ τῆς ἐν τοῖς πρακτοῖς ὀρθότητος, ἐπιστήμη δὲ ἕξις τῶν ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχόντων, σοφία δὲ ἐπιστήμη τῶν πρώτων αἰτίων, νοῦς δὲ ἀρχὴ καὶ πηγὴ πάντων τῶν καλῶν. ὅτι τρία μέρη εὐμαθίας, ἀγχίνοια, μνήμη, ὀξύτης. μνήμη μὲν οὖν

a. 1. ἐπιγίνεσθαι κατὰ τύχην Suidas. 6. ἐκ τοῦ παιδὸς ς. 7. οἰκείως om B. 15. εἰς ἄλληλα om A. utique leg. εἰς ἀλλήλας. 16. αἱ add A. 21. ὅτι] ὡς B et corr A. πλανωμένων ἐν ἐλάττονι] πλανωμένου ἐν πλείονι B. 22. οὗτος ἐν] ἐν γὰρ A. 23. καὶ γὰρ add A. 25. Ἀφροδίτη] ὅτι A. ἰσοταχὴς B. 28. κατακεκοσμῆσθαι A, κεκοσμεῖσθαι B. 29. τοῖς ante καλοῖς om A. καὶ post ὅτι add A. 32. ἐμβαθ.] ἐμβαίνοντες A. αὐτὴν add A. 33. οὐχ ὅτι A: οὐκ ἄρα ς. apud Holstenium οὐκ ἄρα ὅτι. 35. τῶν add A. 37. τὰ ante ἄλογα deest Holstenio. 40. στρεπτικὴν ς. b. 3. τῶν ἀθλημάτων post ἐπιτηδεύοντος ponit ς. 5. ἧττω ς. 14. τὰ et 15. ἐπὶ add A. 25. τὴν om A. 34. τὸ δὲ μετὰ λόγου om A.

ἐστὶ τήρησις ὧν ἔμαθέ τις, ὀξύτης δὲ ἡ ταχύτης τῆς διανοίας, ἀγχίνοια δέ, ἐξ ὧν ἔμαθέ τις, ἃ μὴ ἔμαθε θηρεύων. ὅτι ὁ οὐρανὸς τριχῶς λέγεται, ἓν μὲν αὐτὴ
16 H. ἡ ἀπλανὴς σφαῖρα, δεύτερον τὸ ἀπὸ τῆς ἀπλανοῦς σφαίρας μέχρι τῆς σελήνης διάστημα, τρίτον ὁ σύμπας κόσμος, ὁ οὐρανός φημι καὶ ἡ γῆ ἅμα. ὅτι πέφυκέ φησι τὰ τελειότατα καὶ τὰ χείριστα ἀεὶ ἐνεργεῖν. ταῦτα δέ ἐστι θεὸς καὶ φυτά. ὅ τε γὰρ θεὸς κατὰ τὸν νοῦν καὶ τὸν λόγον ἀεὶ ἐνεργεῖ, καὶ τὰ πλησίον αὐτοῦ ὄντα, καὶ πάλιν τὰ φυτὰ ἀεὶ ἐνεργεῖ· τρέφεται γὰρ νύκτωρ τε καὶ μεθ' ἡμέραν. ὁ δὲ ἄνθρωπος οὐκ ἀεὶ ἐνεργεῖ, οὐδὲ τὰ ἄλογα ζῶα, ἀλλὰ σχεδὸν τὸν ἡμίση χρόνον καθεύδει τε καὶ ἡσυχάζει. ὅτι οἱ Ἕλληνες ἀεὶ ἀμείνους τὰ ἤθη τῶν βαρβάρων, ὡς τὴν εὔκρατον οἰκοῦντες. Σκύθαι δὲ καὶ Αἰθίοπες, οἱ μὲν ὑπὸ κρύους ἐνοχλούμενοι, οἱ δὲ ὑπὸ θάλπους πυκνουμένης τῆς ἐπιφανείας τοῦ σώματος, καὶ ἀπολαμβανομένου ἐντὸς τοῦ θερμοῦ πολλοῦ καὶ τοῦ ὑγροῦ, τὸ δύσκρατον ἐκληρώσαντο· συμβαίνει οὖν ἐπτηκοὺς καὶ θρασεῖς εἶναι τοὺς οἰκοῦντας ἐν ἐκείνοις τοῖς τόποις. ἀναλόγως δὲ καὶ οἱ τοῦ μέσου καὶ τῶν ἄκρων ἐγγυτέρω ὄντες τῆς κράσεως τῶν παρακειμένων αὐτοῖς μετέχουσι. διὸ καί, ὡς ὁ Πλάτων φησίν, ὅ τι ἂν καὶ παρὰ βαρβάρων μάθημα λάβωσιν οἱ Ἕλληνες, τοῦτο ἄμεινον ἐκφέρουσι, μάλιστα δὲ τῶν ἄλλων Ἑλλήνων οἱ Ἀθηναῖοι. διόπερ καὶ στρατηγικοὶ γεγένηνται ἀρχῆθεν καὶ γραφικῆς εὑρετικοὶ καὶ πάσης τέχνης βαναύσου τε καὶ πολεμικῆς, ἔτι δὲ καὶ λόγων καὶ μαθημάτων. διὸ καὶ οὐδ' ἐπείσακτός ἐστιν (ὡς εἰπεῖν) ἡ παιδεία ἐν ταῖς Ἀθήναις, ἀλλ' ἐκ φύσεως ὑπάρχουσα, τοῦ τοιούτου ἀέρος ἰσχνοτάτου ὄντος καὶ καθαρωτάτου, ὡς μὴ μόνον τὴν γῆν λεπτύνειν (δι' ἣν αἰτίαν καὶ λεπτόγεως ἡ Ἀττική)
321 R. ἀλλὰ καὶ τὰς ψυχὰς τῶν ἀνθρώπων· συμβαίνει γὰρ τὸν λεπτὸν ἀέρα τὴν μὲν γῆν βλάπτειν, τὰς δὲ ψυχὰς ὠφελεῖν. ὅτι οἱ ἐτήσιαι πνέουσι κατὰ τὸν καιρὸν τοῦ ἀκμαιοτάτου θέρους δι' αἰτίαν τοιαύτην. ὁ ἥλιος μετεωρότερος καὶ ἀπὸ τῶν μεσημβρινῶν τόπων ἀρκτικώτερος γινόμενος λύει τὰ ὑγρὰ τὰ ἐν ταῖς ἄρκτοις· λυόμενα δὲ ταῦτα ἐξαεροῦται, ἐξαερούμενα δὲ πνευματοῦται, καὶ ἐκ τούτων γίνονται οἱ ἐτήσιαι ἄνεμοι, ἐκ τῶν πνευμάτων τῶν ἀπὸ τῆς λύσεως τῶν ἀρκτικῶν ὑγρῶν γινομένων. φέρονται οὖν ἐπὶ τοὺς ἐναντίους τόπους, τοὺς μεσημβρινούς. ἐκεῖ δὴ ταῦτα ἐκφερόμενα προσπίπτει τοῖς ὑψηλοτάτοις ὄρεσι τῆς Αἰθιοπίας, καὶ πολλὰ καὶ ἀθρόα γινόμενα ἀπεργάζεται ὑετούς· καὶ ἐκ τῶν ὑετῶν τούτων ὁ Νεῖλος πλημμυρεῖ τοῦ θέρους, ἀπὸ τῶν μεσημβρινῶν καὶ ξηρῶν τόπων ῥέων. καὶ τοῦτο Ἀριστοτέλης ἐπραγματεύσατο· αὐτὸς γὰρ ἀπὸ τῆς φύσεως ἔργῳ κατενόησεν, ἀξιώσας πέμψαι τὸν Ἀλέξανδρον τὸν Μακεδόνα εἰς ἐκείνους τοὺς τόπους καὶ ὄψει τὴν αἰτίαν τῆς τοῦ Νείλου αὐξήσεως παραλαβεῖν. διό φησιν ὡς τοῦτο οὐκέτι πρόβλημά ἐστιν· ὤφθη γὰρ φανερῶς ὅτι ἐξ ὑετῶν αὔξει. καὶ τὸ παράδοξον, ὅτι ἐν τοῖς ξηροτάτοις τό- 17 H.
ποις τῆς Αἰθιοπίας, ἐν οἷς οὔτε χειμὼν οὔτε ὕδωρ ἐστί, ξυμβαίνει τοῦ θέρους πλείστους ὑετοὺς γίνεσθαι.

## 250.

Ἀνεγνώσθησαν ἈΓΑΘΑΡΧΙΔΟΥ λόγοι δύο, ὁ πρῶτος καὶ ὁ πέμπτος, περὶ τῆς ἐρυθρᾶς θαλάσσης καὶ ἑτέρων παραδόξων ἔργων ἐν κεφαλαίῳ διαλαμβάνοντες.

**Ἐκ τοῦ α' λόγου τοῦ περὶ τῆς ἐρυθρᾶς θαλάσσης.**

ὅτι Πτολεμαῖόν φησι τὸν μετὰ τὸν Λάγου πρῶτον ἐλεφάντων θήραν συστήσασθαι· ἀλλὰ γὰρ καὶ τῶν ὁμοιοτρόπων καὶ τὰ τῇ φύσει κεχωρισμένα τῇ προνοίᾳ συναγαγεῖν ὑπὸ μίαν οἴκησιν. σκεπτέον δὲ τί φησιν ἐνταῦθα ὁ ἱστορικός. καὶ γὰρ καὶ πρὸ τῶν Πτολεμαίων ἐλέφασι πολλοὶ χειροήθεσι καὶ ἐν πολέμῳ ἐχρῶντο, ὡς Πῶρός τε ὁ Ἰνδὸς ὁ πρὸς Ἀλέξανδρον πολεμήσας καὶ ἄλλοι οὐκ ὀλίγοι. ἢ ὅτι Πτολεμαῖος οὗτος πολὺς πρῶτος περὶ ταύτην ὤφθη τὴν σπουδήν, ἢ πρῶτος τῶν μετὰ Ἀλέξανδρον, ἢ τῶν Αἰγύπτου βασιλέων πρῶτος.

ὅτι τὴν ἐρυθρὰν θάλατταν τὸ ὄνομα ἑλκύσαι φησὶν οὔτε ὅτι τοῦ Ἀραβίου καλουμένου κόλπου τὰ μὲν πρὸς ἑσπέραν ὄρη, δριμείας καὶ διαπύρου τῆς ἡλιακῆς ἀκτῖνος βαλλούσης, ἄνθρακος φαντασίαν ἀποδίδωσι, τὰ δὲ πρὸς ἀνατολὰς θῖνες ἄμμου γεώδεις ὑπέρυθροι παρὰ πολλὰ στάδια τῆς αὐτόθι παραλίας ἐκκέχυνται. οὐμενοῦν οὐκ ἐκ τούτου ἐρυθρὰ κέκληται. εἰ γὰρ καὶ ὁ παράπλους μὲν ἐστὶ στενός, τῶν δὲ λόφων καὶ θινῶν ἐφ' ἑκάτερα τοῦ κόλπου παντὸς ὑπερκυμένων ἡ πίπτουσα παρ' ἀμφοτέρων εἰς τὸν πόρον τῶν ἠπείρων αὐγὴ τῇ χέρσῳ

a. 1. δὲ — 3. θηρεύων] rectius Suidas v. Ἀγχίνους et Μνήμη: δὲ τὸ ἐξ ὧν ἔμαθε θηρεύειν καὶ ἃ μὴ ἔμαθεν. Holstenius δὲ τὸ ἐξ — ἃ μὴ ἔμ. θηρεύειν. 3. αὕτη ς. 12. ἥμισυ ς. 20. οἱ A: ἡ ς. 31. λεπτόγεώς ἐστιν ἡ ς. 34 et 39. ἐτήσιοι A. 40. τῶν ante ἀπὸ om A.

b. 12. ὅτι om A. 16. Ἀνεγνώσθησαν — 18. διαλαμβάνοντες] ἀνεγνώσθη A. 20. τοῦ περὶ] ἀγαθαρχίδου τῶν περὶ A. 21. φασι ς. Λάγου] λαγὼν A, λάγων B. 23. τῇ προνοίᾳ om B. 25. καὶ post γὰρ et 27. ὁ post Ἰνδὸς add A. 34. βαλούσης A. 38. ἑκατέρας ς.

παρεγγυᾷ τὴν θάλατταν ὁμοίαν, τῆς μὲν ἰδέας πᾶσιν
ὁρωμένης, τοῦ δὲ πάθους οὐ πᾶσι γινωσκομένου, ἀλλ' οὖν
οὐ διὰ τοῦτό φησι τὴν κλῆσιν λαβεῖν τὴν θάλατταν, εἰ
1324 R. καὶ τῶν πρὸ αὐτοῦ τοῦτο πολλοῖς ἔδοξεν. "οὕτω μὲν οὖν
ὁ πρῶτος εἰ καὶ μὴ ἀληθὴς τῆς αἰτίας λόγος. δεύτερος δέ, ὁμοίως ἔχων, τὸν ἥλιον ἐκεῖσέ φησιν ἐπιτέλλοντα οὐχ ὡς παρ' ἡμῖν λαμπραῖς ταῖς ἀκτῖσιν εἰς τὸν πόρον βάλλειν, ἀλλὰ παρομοίαις αἵματι, ἐξ ὧν τοῖς ὁρῶσιν ὕφαιμον παρασκευάζειν τὸ πάθος τὴν τῆς θαλάττης ἔμφασιν, κἀκεῖθεν ἐρυθρὰν κατονομάζεσθαι. τρίτος δέ ἐστιν ὁ Ἀργολικὸς λόγος, ὃς ἐστί (φησι) τῇ μὲν τόλμῃ μέγας, τῇ δ' ἀποδείξει κενός. οἱ γὰρ περὶ Κλεινίαν ἱστορικοί φασιν, ἀπὸ τῆς ποιητικῆς ἐξουσίας καὶ αὐτοὶ ἄδειαν λαβόντες, ἐξ Ἄργους εἰς Αἰθιοπίαν (ἐκαλεῖτο δὲ τότε Κηφηνία) παραγεγονότα ἐπὶ λύσει τῆς Κηφέως θυγατρὸς τὸν Περσέα, ἐκεῖθεν δὲ εἰς Πέρσας μεταστάντα, Πέρσαις μὲν ἀπό τινος τῶν ἐγγόνων τῆς κλήσεως μεταδοῦναι, Ἐρύθραν δὲ γεννῆσαι υἱόν, καὶ ἐξ ἐκείνου τῇ θαλάσσῃ τὴν κλῆσιν παραχεῖν. τοιοῦτος μὲν καὶ ὁ Ἀργολικὸς περὶ τῆς ἐρυθρᾶς θαλάσσης σχεδιασμός. τέταρτος δὲ καὶ ἀληθής ἐστιν, ὃν αὐτὸς μεμάθηκε παρὰ Πέρσου· Βόξος δ' ἦν τούτῳ
718 H. ὄνομα, φησίν· ὃν καὶ "ἑλληνίσαι γλῶσσαν καὶ γνώμην, καὶ ταῖς Ἀθήναις λιπόντα τὴν πατρίδα ἐμβιῶναι. ἔλεγε δὲ ὁ τοῦ Πέρσου λόγος ταῦτα. γίνεταί τις κατ' εὐτολμίαν καὶ πλοῦτον εὐδοκιμῶν Ἐρύθρας ὄνομα, γένος μὲν Πέρσης, υἱὸς δὲ Μυοζαίου, κατοικῶν δὲ θαλάττης μὲν οὐ πόῤῥω, κατεναντίον δὲ νήσων ἐρήμων οὐσῶν οὐ νῦν, ἀλλ' ἐπὶ τῆς Μήδων ἡγεμονίας· τότε γὰρ καὶ ὁ Ἐρύθρας ἐγνωρίζετο, ὃς τοῦ μὲν χειμῶνος ἐν Πασαργάδαις ἐποιεῖτο τὴν οἴκησιν, ἔαρος δὲ μετέβαινεν ἐπὶ τὴν ἰδίαν κτῆσιν τῆς τε ἄλλης ἕνεκα χρείας, καὶ χάριν τινὰ τῷ βίῳ διὰ τῆς τοιαύτης μεταβολῆς ἀπονέμων. τούτου φορβάδων ἀγέλῃ μείζονι λέοντες ἐπορούσαντες τινὰς μὲν αὐτῶν ἀπέκτειναν· αἱ δὲ περισωθεῖσαι, τῷ δέει τῆς ὄψεως οἶστρον λαβοῦσαι, ἐπὶ τὴν θάλατταν ἠλαύνοντο, καὶ (ἦν γὰρ αὔρα κατὰ τύχην ἀπόγαιος) εὐμεγέθεις ἐμπεσοῦσαι τοῖς ῥείθροις μετὰ πτοήσεως τὰ μὲν πρῶτα παρὰ τὴν γῆν ἐνήχοντο, τοῦ δὲ δείματος οὐ λήγοντος ἐξεκυμάνθησαν καὶ μόλις ἐπὶ τὸ τῆς ἀντικρὺ νήσου πέρας διεσώθησαν, ἑνὸς τῶν αἰπόλων νεανίου καὶ τόλμῃ διαφέροντος συμπεραιωθέντος, ἄλλοτε ἄλλης τῶν ὤμων ἀντεχομένου. ὁ οὖν Ἐρύθρας ζητῶν τὰς οὐ φαινομένας φορβάδας πρῶτος τῶν ἐκεῖσε σχεδίαν ἐπήξατο, μεγέθει μὲν σύμμετρον, τῇ δυνάμει δὲ στερίφην, καὶ λαβὼν στάσιν οὐρίου καὶ συμμέτρου πνεύματος ἀφῆκεν εἰς τὸν πόρον· ταχὺ δὲ τοῦ κύματος αὐτὸν προώσαντος εὗρε μὲν τοὺς ἵππους, εὗρε δὲ τὸν νομέα. θαυμάσας δὲ τὴν νῆσον καὶ πόλισμα ἐπὶ λιμένος εὐκαίρου ἱδρύσατο, καὶ ἐκ τῆς ἀντιπέραν τοὺς ἀποροῦντας βίου μετενεγκὼν ἐπόλισεν, ἐκεῖθέν τε καὶ τὰς ἄλλας νήσους ἐρήμους οὔσας ἀνθρώπων οἰκήσεσιν ἐξημέρωσε· καὶ τηλικαύτην δόξαν ἐκ τῶν πραχθέντων πολλοῖς ἐνεποίησεν, ὥστε τὴν ἐκεῖσε θάλατταν, οὖσαν ἄπειρον μεγέθει, πάντας ἔτι καὶ καθ' ἡμᾶς ἐπονομάζειν ἐρυθράν. τὰ μὲν οὖν αἴτια τῆς κλήσεως ἔχοντα διαφοράν (μέγα γὰρ τὸ παραλλάττον Ἐρύθρα θάλατταν εἰπεῖν ἢ θάλατταν ἐρυθράν· τὸ μὲν γὰρ τὸν κυριεύσαντα σημαίνει τῆς θαλάττης ἄνδρα, τὸ δὲ τὴν πυῤῥότητα δηλοῖ τῆς ῥηθείσης φύσεως) ἐν τούτοις. ἔστι δέ, φησί, "τὸ μὲν ἀπὸ τοῦ χρώματος τὴν κλῆ- 1325 R.
σιν κατασκευάζον ψεῦδος (οὐ γάρ ἐστιν ἐρυθρά), τὸ δ' ἀπὸ τοῦ δυναστεύσαντος ἀληθές; ὡς ὁ Πέρσης λόγος ἐπιστώσατο.

ὅτι οὐδὲ ἀπό τινος τῶν τοῦ Περσέως ἐγγόνων ἀξιοῖ οὗτος, καίτοι πολλῶν λεγόντων, τὴν κλῆσιν τοὺς Πέρσας κληρώσασθαι· μηδὲ γὰρ ἐκείνους σφᾶς αὐτοὺς Πέρσας παροξυτόνως ὀνομάζειν, ἀλλὰ Περσᾶς, ἐπὶ τέλους τῆς περισπωμένης τιθεμένης.

ὅτι τὰ κατὰ τὸν Περσέα εἰς ψεῦδος καὶ δι' ἄλλων πολλῶν ἀπάγειν σπουδάζων, προστίθησι καὶ ταῦτα.
Πλὴν εἰ μὲν τραγικῶς ὁ Περσεὺς ἐστράτευσε τὸ "πρόσ- 719 B
ωπον περιθέμενος καὶ τὴν ἅρπην λαβών, καὶ περὶ τῶν ἑξῆς ἐπιτρέψας ὑποκριτῇ καὶ χορῷ διαλύεσθαι καὶ τὰ τῆς ἀντιλογίας εἰς μῦθον, ὡς οἱ πολλοὶ συγκεχωρήκασιν. ἐπιδράμωμεν τῶν τοιούτων τὰ κεφάλαια διὰ βραχέων. Κένταυρον γεγονέναι, Γηρυόνην, Κύκλωπα, Χρόσην, Κίρκην, Καλυψώ, Μινώταυρον, Σκύλλαν, Χίμαιραν, Πήγασον, Λαιστρυγόνας, Κέρβερον, Γλαῦκον θαλάττιον, Ἄτλαντα, Πρωτέα, Νηρέα, Νηρεΐδας, τοὺς παῖδας τοὺς Ἀλωέως, ἐννεοργυίους μὲν αὐξηθέντας μη-

a. 5. δευτέραν A. 6. φασιν ς. 11. ἀργολογικὸς A. 12. δ' ἀποδείξει] δὲ δόξῃ A. 17. μεταστάντα A: μετὰ ταῦτα ς. ἐκγόνων B. 19. θαλάττῃ ς. 21. δὲ et 22. αὐτὸς om B. 23. γλῶτταν ς. 27. θάλατταν ς. 28. οὐσῶν corr A. b. 5. pro στερίφην lacunam habet A. 14. μεγέθη ς. 18. τὸν add A. τῆς θαλάττης A, τῆς θαλάσσης B: τὴν θάλατταν ς. 22. δυναστεύοντος B. ὁ add A. 24. ἐκγόνων B. 25. πολλῶν ἄλλων λεγ. ς. 28. titulum post τιθεμένης addi solitum, περὶ παραδόξων ζώων καὶ ἄλλων πραγμάτων, om B, in mg ponit A. 31. μὲν] malim μή. 33. ἐπιτρέψας mg: ἐπιστρέψας libri. 40. τοὺς A: τοῦ ς.

κος, ἐννεαπήχεις δ' εὖρος. ἔτι δὲ γένος μὲν ἀναφῦναι καθ' Ἡσίοδον πρῶτον μὲν χρυσοῦν, ἔπειτα ἀργυροῦν, εἶτα χαλκοῦν. πάλιν ἵππους μὲν γενέσθαι περὶ τῶν μελλόντων συλλαλοῦντας Ἀχιλλεῖ, Σφίγγα δὲ τοῖς τῶν Θηβαίων παισὶν αἴνιγμα προβάλλουσαν, Σειρῆνας δ' ἐπ' ὀλέθρῳ τῶν ἀκροωμένων ᾀδούσας, Νιόβην δὲ ϗ Πολυδέκτην διὰ φόβον ἀπολιθουμένους. ἐπὶ δὲ τούτοις τοὺς Ὀδυσσεῖ συμπλεύσαντας ἐκ μὲν ἀνθρώπων εἰς σῦς, ἐκ συῶν δὲ εἰς ἀνθρώπων μεταβῆναι διάθεσιν. ἔτι Τάνταλον τιμᾶσθαι μὲν διὰ σωφροσύνην, συνέστιον ὄντα θεοῖς, τιμωρεῖσθαι δὲ δι' ἀκολασίαν, ἐν ἀέρι φερόμενον. ἑτέρους εἰς Ἅιδου καταβαίνοντας διὰ προαίρεσιν, τοὺς μὲν ὅπως ὑπὲρ τῶν ζώντων τοῖς νεκροῖς μάντεσι χρήσαιντο, τοὺς δὲ ἵνα τὴν Περσεφόνην ὡς ἔρημον ὑπάρχουσαν βίᾳ νυμφεύσωσι. ϗ κῴδιον ἐπὶ προβάτου γενέσθαι χρυσόμαλλον, μηλέας ἐν τῇ Λιβύῃ πεφυκέναι μῆλα φερούσας χρυσᾶ, σῶμα ἔμψυχον πάντα τὸν βίον διακαρτερεῖν ἄγρυπνον, βορέαν ϗ νότον μετὰ τῶν ἄλλων ἀνέμων ἐν ἀσκῷ πνίγεσθαι συγκεκλεισμένους. πρὸς τούτοις Πασιφάην μὲν ταύρῳ, Τυρὼ δὲ ποταμῷ μίγνυσθαι, πρὸς οὐδὲν γένος τὴν εὐνὴν ἐχούσας ἀλλόφυλον· ϗ Φιλομήλαν μὲν ἀηδόνος ἐξαλλάξαι μορφήν, Τηρέα δὲ ἔποπος, Ἑκάβην δὲ εἰς κυνὸς οἰκτροῦ καταστρέψαι φύσιν. ἐπὶ τούτοις τὴν Ἰὼ γεγονέναι μὲν ποταμοῦ θυγατέρα, ταυροκέρῳ δὲ μορφῇ διαπτῆναι βοὸς οἰστρώσης τὸ Ποντικὸν πέλαγος· ἀφ' ἧς καὶ τὸν Βόσπορον εἰληφέναι τὴν κλῆσιν. ἔτι Καινέα τὸν Λαπίθην τὸ μὲν ἀπ' ἀρχῆς γενέσθαι παρθένον ϗ γυναῖκα, ἡβήσαντα δὲ εἰς ἄνδρα μεταστῆναι, τὸ δ' ὕστατον εἰς τὴν γῆν ὑπὸ τῶν Κενταύρων καταδῦναι, ταῖς ἐλάταις τυπτόμενον, ὀρθόν τε ϗ ζῶντα. ϗ Λήδαν μὲν ἀντὶ τῆς καθηκούσης γυναικὶ τεκνώσεως ᾠοῦ τεκεῖν φύσιν, ἐξ οὗ τὸ περιμάχητον εἶδος, τὴν Ἑλένην λέγω, τυπωθῆναι· τὴν δὲ Ἕλλην καὶ Φρίξον ἐπὶ κριοῦ τοῖς ποσὶ πετο-
328R. μένους, τὸν πόρον κατανύσαντας, τὴν ἐφ' ἑκάτερα θάλατταν Ἑλλήσποντον ἀφ' ἑαυτῶν προσαγορεῦσαι. τὸν δ' Ἡρακλέα ϗ τὰ πελάγη μέν, οὗ μέγιστοι χειμῶ-
10 H. νες, ἐν λέβητι διαπλεῖν, τὴν δὲ Λιβύην ἄσπορον ἄνυδρον ἀπόρευτον ὑπάρχουσαν μόνον διεξέρχεσθαι, τῷ δὲ Ἄτλαντι τὸν τηλικοῦτον διαδέξασθαι κόσμον, πρόσταγμα μὲν οὐκ ἔχοντα, χάριν δὲ τιθέμενον. ϗ τῷ μὲν Ὀρφεῖ κιθαρίζοντι διὰ φιλομουσίαν τὰ ὄρη καὶ τὰς πέτρας ἀκολουθεῖν, κρέα δὲ ὀπτώμενα τῶν Ἡλίου βοῶν φωνὴν προΐεσθαι τοῖς ἀνθρώποις συνετήν. τῶν δὲ μετηλλαχότων τὸν βίον ἐπὶ σχολῆς πρὸς Ὀδυσσέα διεξέρχεσθαι παντοδαπῇ ἀδολεσχίαν, ἐκ τῆς ἀμόρφου σκιᾶς τὸ τῆς ὄψεως γινώσκοντας ἰδίωμα, καὶ τοὺς μὲν αὐτῶν ἀπὸ τοῦ πίνειν οὐ κοιλίας, οὐ βρόγχους ἔχοντας, ἑτέρους δὲ φοβεῖσθαι τὸν σίδηρον οὐκέτι δυναμένους τρωθῆναι, τινὰς δὲ πέτρον κυλίειν τῶν σωμάτων πάλαι κατακεκαυμένων, ἄλλους δὲ δικάζειν ἑτέροις τεθνηκόσιν ἀδικήματος οὐδενὸς ὑπάρχοντος· τὸ δ' ἔσχατον, τῶν οὐκέτι ὄντων τοὺς τύπους ἐν πορθμίδι διαπλεῖν, ἔχοντας Χάρωνα ναύκληρον ϗ κυβερνήτην, ἵνα μὴ καταστραφέντες ἐκφορᾶς ἐπιδέωνται πάλιν. καὶ τὴν μὲν Ἄλκηστιν ϗ Πρωτεσίλαον καὶ Γλαῦκον τετελευτηκότας πάλιν ἀναστῆναι, τὴν μὲν ὑφ' Ἡρακλέους ἀναχθεῖσαν, τὸν δὲ διὰ τὸν τῆς γυναικὸς ἔρωτα, τὸν δὲ ὑπὸ τοῦ μάντεως τοῦ συγκατορυχθέντος· τοῦ δὲ Ἀμφιαράου ζῶντος τὸ σῶμα καταδέξασθαι μετὰ τῶν ἵππων ϗ τοῦ δίφρου τὴν γῆν. ἔτι τοίνυν ὀδόντας ἐκ Κάδμου σπαρῆναι δράκοντος, ἐκ δὲ τούτων ὁπλίτας ἀνατεῖλαι μαχομένους ἀλλήλοις. τὸν δὲ Τάλων τὸν φύλακα τοῦ Μίνω τρὶς μὲν ἐν ἡμέρᾳ πᾶσαν περιπολεῖν τὴν Κρήτην, τηλικαύτην οὖσαν, τὴν δὲ ζωὴν μόνον τῶν ἐμψύχων τοῦτον ἐν τῷ σφυρῷ κεκτῆσθαι. καὶ τοῦ Μίνω δὲ ἀμήχανον εἶναι παραλῦσαι τὸν βίον, εἰ μή τις αὐτῷ ζέον ὕδωρ καταχέαι. πρὸς τούτοις ὑπὸ μὲν τῆς Μηδείας γέροντα κριὸν ἐπῳδαῖς μεταπεσόντα νέον γενέσθαι πάλιν, ὑπὸ δὲ τῶν Πελιάδων καθεψηθῆναι τὸν πατέρα Πελίαν, ἵνα γένηται νέος. τὰς δὲ Φορκίδας τρεῖς μὲν οὔσας γραίας, ἑνὶ δὲ χρωμένας ὀφθαλμῷ, διεξάγειν τὸν βίον ἄλυτον παρ' ἀλλήλων κατὰ μέρος ἀμειβομένας πίστιν. ἔτι δὲ τοὺς τὴν Ἀρκαδίαν οἰκοῦντας καὶ τὴν Ἀττικὴν γηγενεῖς τε εἶναι ϗ παρὰ φύσιν γεγονέναι. καὶ τὴν μὲν ἐν Αὐλίδι σφαγεῖσαν ἐν Ταύροις ἀναφανῆναι ζῶσαν, τὴν δ' ἐν Πελοποννήσῳ καταποντισθεῖσαν ὑπὸ τοῦ πατρὸς Ἀκρισίου τῇ παραλίᾳ τῇ Σεριφίων ἀβλαβῆ μετὰ τοῦ βρέφους προσπεσεῖν. τὸν δ' ὑπὸ Μενελάου κατὰ τὴν μονομαχίαν ἤδη χειρούμενον, ἐξαίφνης ἁρπαγέντα, ἐν τῷ θαλάμῳ γενέσθαι πρὸς συνουσίαν ἕτοιμον ὄντα, τῶν δεινῶν ἁπάντων

a. 4. τοῖς add *A*. 25. μορφὴν pr *A*. 34. an πετομένου? 36. ἀφ' ἑαυτῶν ἑλλήσποντον *B*. 39. διέρχεσθαι ς. 40. πρόσταγμα μὲν] προστεταγμένα *A*.

b. 5. παντοδαπὴν *B*. ἐκ — γινώσκοντας — ἀπὸ τοῦ] ἐπὶ — γινώσκοντα — αἵματος Hemsterhus. Lucian. 1. p. 407 a. 8. οὐκέτι] οὐ *B*. 17. τὸν τῆς γ.] τῆς γ. τὸν *A*. 22. τάλων τὸν φύλακα τοῦ *A*: ἰταλωτὸν ς. 32. ἄλυτον παρ' om *A*.

ἐπιλελησμένον. τοῦ δὲ δουρείου τὸ κύτος οὐκ ἐφ' ἁλώσει συμπαγῆναι πόλεως, ἀλλ' ἐπὶ προδοσίᾳ τῶν περὶ τὸν Ὀδυσσέα καὶ τὸν Νεοπτόλεμον· τοιαύτην ὁ τρόπος ὑπογράφει τὴν εὐήθειαν καὶ τοῦ κατασκευάσαντος τεχνίτου καὶ τῶν ἐμβάντων ἀριστέων καὶ τῶν ὑποδεξαμένων εἰς τὴν ἰδίαν πόλιν. ἐπὶ τούτοις, ὅτι τὸν τηλικοῦτον οὐρανὸν μετὰ τῶν ἐν αὐτῷ διατριβόντων θεῶν τοῖς ἰδίοις ὁ Ἄτλας ὤμοις ὑπειληφώς, ὅμως τὰς
721 H. καλουμένας Ἀτλαντίδας ἐτεκνοποιήσατο· "ὅπερ ἀμήχανον. ὅτι τὴν ἅπασαν οἰκουμένην ὠκεανὸς περικυκλοῖ φρουρῶν καὶ συνέχων τοῖς ἑαυτοῦ ῥεύμασιν·
1329 R. "οὗ φησι πέραν οἰκεῖν τὰς Γοργόνας Ἡσίοδος. ὅτι τῶν ἡρώων τινὲς ἀπαθῆ τὴν διαμονὴν τῶν σωμάτων διαφυλάττουσι πάντα τὸν χρόνον ἐν ταῖς μακάρων νήσοις, ἃς οὐδεὶς κυρίως ἱστόρηκε. καὶ ταῦτα μὲν εἰς ἄπορον καταστρέφοντα δόξαν πολλαῖς καὶ τῶν γυναικῶν εὔλογον παραδίδωσι χλευασμόν. τῶν δ' αὖ θεῶν πῶς παραδεξώμεθα τὸν μὲν ἐν μηρῷ καταῤῥαφέντα τραφῆναι, τὴν δὲ τῇ τοῦ Διὸς κεφαλῇ κοιλίᾳ χρήσασθαι, τὸν δὲ ἄνευ τοῦ πατρὸς τελειωθῆναι (λέγω δὴ τὸν Ἥφαιστον), τὸν δὲ Ἥλιον διὰ τὰς Ἀτρέως εἰς Θυέστην πράξεις τὴν μὲν δύσιν ἀνατολὴν ποιῆσαι, τὴν δὲ ἀνατολὴν δύσιν. πρὸς δὲ τούτοις Ἀπόλλωνα μὲν καὶ Ποσειδῶνα ἐν Τροίᾳ θητεύσαντας ἐνιαυτὸν οἰκοδομίας ἀποστερηθῆναι μισθὸν καὶ βουτροφίας, ταῖς δεινοτάταις ὑπὸ Λαομέδοντος περιπεσόντας ἀπειλαῖς, Διόνυσον δὲ ὑπὸ Λυκούργου διὰ φόβον καταδιωχθέντα εἰς τὴν θάλατταν πρὸς Θέτιν καταφυγεῖν. πρὸς δὲ τούτοις ἔριν ὑπὲρ κάλλους καταστῆναι θεαῖς, ὧν ἑκάστη μὲν ἐδέκαζε τὸν κριτὴν τοῖς παρ' ἑαυτῇ δώροις, ἵνα παρίδῃ τὸ δίκαιον, οὐδεμιᾷ δὲ παρηκολούθει τὸ συμπεσούμενον ἐκ τῆς κρίσεως τέλος. ἔτι τὸ μὲν Ἀθηνᾶς μέγεθος εἰς χελιδόνος συγκαταβῆναι ὄγκον, τὸ δὲ τοῦ Διὸς ἀξίωμα εἰς κύκνου κατασταλῆναι τάξιν, τὸ δὲ τῆς Δήμητρος κάλλος εἰς τὴν αἰσχίστην μεταστασθῆναι διάθεσιν. τὸν δὲ νομιζόμενον μέγιστον Δία ἐπιβουλευθῆναι μὲν ὑπὸ τοῦ ἀναγκαιοτάτου τῆς γυναικὸς ἀδελφοῦ, σωθῆναι δὲ ὑπὸ τῶν ἐχθίστων, λέγω δὴ τῶν Τιτάνων· οὓς ἀναβάντας ἐκ τῶν δεσμῶν καὶ τοῦ σκότους καὶ τῆς ἐκεῖσε φυλακῆς, ἐπεὶ τὴν χρείαν παρέχοντο φοβήσαντες τοὺς περὶ τὸν Ποσειδῶνα, καταβῆναι πάλιν ἑκουσίως εἰς τὸν Ἀχέροντα καὶ τὸν Ἅιδου τόπον. ἔτι τὴν μὲν Ἀφροδίτην τιτρωσκομένην ὑπὸ θνητῆς δυνάμεως, τὸν δ' Ἄρην δεσμούμενον ὑπ' Ὤτου καὶ Ἐφιάλτου, τὸν δὲ Ἅιδην, ἐν ᾧ τόπῳ τὴν βασιλείαν εἶχεν, ἐκεῖσε ὑφ' Ἡρακλέους τοξευθέντα ταῖς μεγίσταις ἀλγηδόσι περιπεσεῖν· τὸν δὲ Ἥφαιστον, ἀπὸ τοῦ κατὰ τὸν οὐρανὸν ἀποῤῥιφέντα ὕψους, εἰς Λῆμνον ἐνεχθῆναι διακείμενον ἐσχάτως· τῆς δ' Ἥρας ὑπὸ τοῦ Διὸς κρεμαμένης ἐκ τῶν ποδῶν ἐκδεθῆναι παμμεγέθεις ἄκμονας. καθόλου δὲ θεοὺς μοιχεύοντας, κεραυνουμένους, κυλλόποδας, κλέπτειν εἰθισμένους, ἀνθρώπων ἀσθενεστέρους, προχείρως λοιδοροῦντας, ἀδικοῦντας, μεμψιμοιροῦντας, πέρας οὐθενὸς πάθους ἐκτὸς καθεστῶτας, ὑφ' ὧν ἡμεῖς ὀχλούμενοι τοὺς θεοὺς ἐπικαλούμεθα. οἱ οὖν τὰ τοιαῦτα τερατευόμενοι, πόῤῥω τῆς ἀληθείας ἱστάμενοι, οὐκ ἂν ἑτέροις ταύτην εἰσηγεῖσθαι κριθεῖεν ἂν ἀξιόλογοι. Διὰ τοιούτων καὶ τοσούτων Ἀγαθαρχίδης τὰ περὶ τὸν Περσέα εἰς ὁμοίους ἀπάγων μύθους, οὐδὲ τὴν ἐρυθρὰν ἐκ τοῦ παιδὸς αὐτοῦ κληθῆναι δίδωσιν.

ὅτι αὐτός, φησίν, ἑαυτῷ αἴτιος καθίσταται ἐλέγχων ὁ τὴν τῶν μυθοποιῶν ἐξουσίαν εἰς πραγματικὴν "με- 722 H.
τάγων ἐνάργειαν· ἧς ἄν τις ἀφέλῃ τὸν ἔλεγχον, οὐδὲν εὐτελέστερον καταλείψει γένος τῆς πίστεως ἠρημένης. ἐπεὶ διὰ τίνα αἰτίαν Ὅμηρον οὐκ εὐθύνω, Διὸς καὶ Ποσειδῶνος φράζοντα διαφοράν, "ἀδύνατον ἀνθρώπῳ πίστιν 1330 R.
παραδοῦναι· οὐδ' Ἡσιόδῳ μέμφομαι δηλοῦν τολμῶντι θεῶν γένεσιν· οὐδ' Αἰσχύλον ἐπιπλήττω πολλοῖς διεψευσμένον καὶ πολλὰ συγγράφοντα τῶν ἀσυγχωρήτων· οὐδ' Εὐριπίδου κατηγορῶ τῷ μὲν Ἀρχελάῳ περιτεθεικότος τὰς Τημένου πράξεις, τὸν δὲ Τειρεσίαν βεβιωκότα παρεισάγοντος πέντε γενεῶν πλέον· οὐδὲ τοὺς ἄλλους εἰς ἐπιτίμησιν ἄγω διασκευαῖς ἐν τοῖς δράμασι χρωμένους ἀδυνάτοις; ὅτι πᾶς ποιητὴς ψυχαγωγίας ἢ ἀληθείας ἐστὶ στοχαστής.

ὅτι καὶ τὴν Ἰνδικὴν χώραν ἐλέφαντας τρέφειν φησί, καὶ τὴν Αἰθιοπίαν, ἣ τοῖς Θηβαίων ὁρίοις ἐστὶν ὅμορος, καὶ δὴ καὶ τὴν Λιβύην.

ὅτι τέτταρες τόποι τὴν Αἴγυπτον περιειλήφασιν, ἀπὸ μὲν τῆς ἄρκτου τὸ πέλαγος, ἀπ' ἀνατολῆς δὲ καὶ δύσεως ἐρημίαι, ἀπὸ δὲ τῆς μεσημβρίας Αἰθίοπες.

αὐστηρὸς ὁ λόγος, ἀλλὰ σωτήριος. δηλοῦται γὰρ οὐ

a. 5. ἐμβατῶν B. 9. ἐπαιδοποιήσατο B. 13. τὴν διαμονὴν τῶν σωμάτων] τὰ σώματα B. 16. εὐλόγου — 17. χλευασμῷ B. 18. παραδεξαίμεθα ς. καταραφέντα A: καταραφθέντα ς. 28. φόβου ς. 29. θεοῖς A. 33. συγκαταβαίνειν A. 34. δημήτρας A. b. 1. ᾅδου B: ᾅδη ς. A utrum habeat, non liquet. 3. αἴδη A. 8. κρεμαμένης B et corr A: κρημναμένης ς. 9. θεοὺς om A. 12. οὐδενὸς B. 17. ἀπάγων A: ἄγων ς. 21. μετάγων A: ἐνάγων ς. 22. ἐνέργειαν ς. οὐθὲν AB: οὐδὲν ς. 31. πλέον πέντε γενεῶν B. 38. τέσσαρες ς.

Digitized by Google

λύπης ἀλλὰ φυλακῆς ἕνεκεν, καὶ τὴν ἡδονὴν ἐκ τῶν λόγων ἦρκεν, ὅπως τῆς ἐκ τῶν πραγμάτων χάριτος ἀπολαύοντες μηδέποτε ἀντὶ τοῦ βελτίονος τὸ χεῖρον αἱρώμεθα, ἢ πρὸς Διὸς καὶ θεῶν, ἵνα μηδὲ τῶν ἐν μέσῳ κειμένων ἔνια παρίωμεν.

ἰδιώτου μὲν οὐσίαν μικρῷ βαθυτέραν ἀπραγμόνως χαλεπὸν διασῶσαι· σὺ δὲ τοσούτων καὶ τηλικούτων κληρονομίαν ἀγαθῶν καθέξειν χωρὶς ἀγωνίας ἐλπίζεις; καὶ ταῦτα γινώσκων ὅτι κἀκεῖνα μὲν ὁ νόμος τῷ κτησαμένῳ διαφυλάττει, ταῦτα δὲ ὁ σίδηρος ἀφαιρεῖται τῶν ἀσθενεστέρων.

ὅτι φησίν, Ἐκ πολλοῦ χρόνου προειληφότες ἐσμὲν ὅτι τὰς τῶν δυναστῶν φιλίας ὁ καιρὸς σφραγίζεται καὶ λύει, καὶ τὴν σὴν ἀσχολίαν ἄλλῳ δίδωσιν ἀφορμήν, αὔξων καὶ φθίνων τὰ πράγματα ἐξ ἀλλήλων. ὁ μὲν τῷ λόγῳ συνεχῶς χαριζόμενος, τὸ ἐκ τῶν ἔργων δυνατὸν ὑπερβαίνων, πολλὰ διαψεύδεται· ὁ δὲ προσλαμβάνων τοὺς αὐτοῦ φίλους βουλῆς κοινωνοὺς ἐν καιροῖς τηλικούτοις οὐ τοῦ τὴν ὁρμὴν ἐπώσοντος δεῖται. τίς γὰρ οὕτως ἄβουλος, ὃς τὸ δοκοῦν αὐτῷ παρ' ἑτέρου βούλεται μαθεῖν, καὶ ποιεῖν τὸν σύμβουλον τῶν ἀπορουμένων συνήγορον τῆς ἐπιθυμίας; εἰ γὰρ ὁ κύριος τῶν τοσούτων ἀγαθῶν κρείττων ἐστὶ τῆς ἐπιθυμίας τῆς τῶν βιαζομένων, μακαρίσαι μὲν ἔχω τοῦ ταῦτα κεκτημένου τὴν ἐξουσίαν, ἀφελέσθαι δὲ τοῖς ὅπλοις βιασάμενος τὰς χορηγίας οὐ δύναμαι. τί οὖν ἀμήχανον πρᾶξιν εἰς κενὴν ἐπαγγελίαν ἄγειν, καὶ τὰς ἀδήλους ἐλπίδας τῶν προδήλων κινδύνων πλέον εὐλαβεῖσθαι; ἀλλὰ καταπλήξονται τοὺς
25 H. Ἕλληνας οἱ Αἰθίοπες. τίνι; τῇ μελανίᾳ καὶ τῇ παραλλαγῇ τῆς μορφῆς. οὐχ ὑπερβαίνει τὴν τοῦ παιδὸς ἡλικίαν παρ' ἡμῖν ὁ τοιοῦτος φόβος. ἐν δὲ τοῖς πολέμοις καὶ ταῖς μείζοσι διαφοραῖς οὐκ ὄψει καὶ χρώματι, τόλμῃ δὲ καὶ στρατηγίᾳ τὰ πράγματα κρίνεται. ἐγὼ δ' ἀφ' ἧς ἡμέρας ἡ τύχη με κατέστησεν ἐπίτροπον τοῦ σώματος τοῦ σοῦ, νέου παντελῶς ὄντος, καὶ τῆς ὅλης βασιλείας, ἀπ' ἐκείνης εὐθὺς μέγαν ἐμαυτῷ πόνον ἐπέβαλον. τίνα τοῦτον; τοῖς πρὸς ἡδονὴν ὁμιλοῦσιν ἐναντιοῦσθαι καὶ δυσχεραίνειν, σοῦ πρῶτον αὐτοῦ περιαιρούμενος οὐ τὴν ἐξουσίαν ἀλλὰ τὴν ἄγνοιαν, ἵνα τῶν τοσούτων ἀγαθῶν φρονῶν ἀπολαύσῃς, μὴ διαμαρτάνων. τοῦτο γὰρ ἐζήτουν πατρὸς ἔχων εὔνοιαν χρόνου στοχαζομένην, οὐ
33 R. κόλακος εἰρωνείαν καιρῷ προσομιλοῦσαν. "οἶδα γάρ, πρεσβύτερος ὢν καὶ πολλῶν ἔμπειρος γεγονὼς πραγμάτων, διὰ τοὺς θωπεύειν ἐπιβεβλημένους τοὺς ἐν ταῖς ὑπεροχαῖς καὶ τὰς μεγίστας βασιλείας ἄρδην ἀνῃρημένας, τὴν Κασάνδρου, τὴν Λυσιμάχου, τὴν Ἀλεξάνδρου τηλικαύτην οὖσαν, τὴν Μήδων, τὴν Σύρων, τὴν Περσῶν, ὥστε μηδὲ σπέρμα καταλελεῖφθαι τοῦ γένους. οὐκ ἀλόγως· νέου γὰρ πολλὰ μὲν ἀγνοοῦντος διὰ τὴν ἡλικίαν, εὐλογουμένου δὲ ἐπὶ τοῖς ἁμαρτήμασιν οὐδὲν σφαλερώτερον οὐδὲ ἐπικινδυνότερον. ὁ γοῦν Ἀλέξανδρος, ἀήττητος ὢν ἐν τοῖς ὅπλοις, ἀσθενέστατος ἦν ἐν ταῖς ὁμιλίαις· ἡλίσκετο γὰρ ὑπὸ τῶν ἐπαίνων, καὶ Ζεὺς καλούμενος οὐ χλευάζεσθαι ἐνόμιζεν ἀλλὰ τιμᾶσθαι, τῶν μὲν ἀδυνάτων ἐπιθυμῶν, τῆς δὲ φύσεως ἐπιλελησμένος.

ὅταν ὁ δημαγωγὸς τοῖς πολλοῖς διαλέγηται, μὴ τὴν τοῦ φίλου τάξιν ὑποστησάμενος ἀλλὰ τὴν τοῦ κόλακος, ἡ τῶν ὄχλων ὁρμὴ βεβαιωτὴν λαβοῦσα τῆς ἁμαρτίας τὸν σύμβουλον ἀνέτρεψε τὴν πόλιν. ἐνσκήπτει γὰρ ὁ μῶμος οὐ κατὰ τῶν ὑπαιτίων μόνον, ἀλλὰ καὶ οἷς ἂν ὁ φθόνος αὐτῷ τὴν ἔφοδον προοδοποιήσαιτο. ἢ κρατεῖ γὰρ ὁ μῶμος οὐ τῶν ὑπαιτίων μόνον, ἀλλ' ἔσθ' ὅτε καὶ τῶν ἐπικρατεστέρων αἰτίας, ἐπειδὰν ὁ φθόνος πικρὸν τὸ βέλος ἀφεὶς προκατειργάσατο τὸν οὐκ ἄξιον τοῦτο πείσεσθαι.

χρῶνται δὲ ἐπὶ τῶν κινδύνων τῶν πολεμικῶν Αἰθίοπες τοῖς μὲν τόξοις μεγάλοις, βραχέσι δὲ τοῖς οἰστοῖς· ἐπὶ δὲ τῆς ἄκρας τοῦ καλάμου κερκίδος ἀντὶ τοῦ σιδήρου παραμήκης τῷ τύπῳ λίθος ἀνεστήρικται, νεύροις ἐσφιγμένος, ὀξὺς μὲν ὑπερβολῇ, φαρμάκοις δὲ θανασίμοις βεβαμμένος.

ὅτι Πτολεμαῖος, φησίν, εἰς τὸν κατὰ Αἰθιόπων πόλεμον ἀπὸ τῆς Ἑλλάδος πεντακοσίους συνέλεξεν ἱππεῖς, ὧν τοῖς προκινδυνεύειν μέλλουσι καὶ καθηγουμένοις, τὸ πλῆθος οὖσιν ἑκατόν, ὁπλισμοῦ περιέθηκε τρόπον· στολὰς γὰρ αὐτοῖς τε καὶ τοῖς ἵπποις ἀνέδωκε πιλητάς, ἃς οἱ κατὰ τὴν χώραν ἐκείνην προσαγορεύουσι κάσας, ὥστε πᾶν κρύπτειν τὸ σῶμα πλὴν τῶν ὀφθαλμῶν.

Ἐκ τῆς ε' Ἀγαθαρχίδου ἱστορίας τῆς περὶ τὴν ἐρυθρὰν θάλασσαν. 724 H.

ὅτι πολλοί, φησί, καὶ τῶν πολιτικῶν ἀνδρῶν καὶ τῶν ποίημα γεγραφότων διηπορήκασι πῶς τὰς ὑπερβαλλούσας ἐνίοις ἀκληρίας τὸν ἐκτὸς τῶν κινδύνων κείμενον πρεπόντως ἐξαγγελτέον· ὧν ὁ τρόπος οὐ λίαν

a. 6. ἀπρ. ἐστὶ χαλεπὸν ς. 17. προλαμβάνων A. 19. οὐ τοῦ] αὐτοῦ A. 26. ἀπαγγελίαν A. 32. ταῖς om A. 36. ἐπίβαλλον ς.
b. 6. σπέρματα καταλειφθῆναι ς. 19. ἢ] καὶ ἄλλως mg A. 20. μόνων A. 40. ὑπερβαλούσας ς.

γένοιτ' ἂν ἐμφανής, εἰ μή τις ὑποτάξαιτ' ἂν ἀκόλουθον αἰτίαν τοῖς ἐμφανιζομένοις. Ὄλυνθον καὶ Θήβας δύο πόλεις ἐνδόξους Ἀλέξανδρος καὶ Φίλιππος διαρπάσαντες καθεῖλον εἰς ἔδαφος. τὸ δὲ δεινὸν τοῦ συντελεσθέντος παρ' ἐλπίδα προσπεσὸν καὶ τῶν Ἑλλήνων πολλοῖς ἀγωνίαν περὶ τῶν ὅλων μεγάλην ἐπέστησεν, καὶ τῶν ῥητόρων οὐκ ὀλίγοις λόγου παρέσχεν ἀφορμὴν εἰς τὸ δηλῶσαι τὰ πεπραγμένα τοῦ πάθους οἰκείως. εἰρήκασιν οὖν περὶ τούτου τοῦ πράγματος ἄλλοι μὲν ἀλληγορικῶς τῷ τρόπῳ καὶ ταῖς διαλέκτοις, ὡς δοκοῦσι, περιττῶς, οἱ δ' ἐμβριθέστερον, τὰ συνήθη καὶ τὰς κυριολογίας ἐν τοῖς δεινοῖς οὐ πεφευγότες. ἑκατέρου δέ σοι προοισόμεθα παραδείγματα γένους, ἵνα τοὺς χαρακτῆρας ἐκ παραβολῆς ἐπιδὼν τοὺς ἄμεινον καὶ τοὐναντίον εἰπόντας ἐπ' αὐταῖς εὕρῃς ταῖς δοκιμασίαις.

1336R. Ἡγησίας μὲν οὖν πολλάκις τῆς ἀπωλείας μεμνημένος τῶν πόλεων εὐτελής ἐστιν. ὁ γὰρ μὴ θέλων τοῖς καιροῖς οἰκείως διαλέγεσθαι, ζητῶν δὲ ἐξ ἀνάγκης ἐν αὐστηρῷ πράγματι κομψότητα διαφαίνειν, τοῦ μὲν ἰδίου ζηλώματος ἐπὶ ποσὸν τυγχάνει, τῆς δὲ τῶν ὑποκειμένων ἀξίας οὐ στοχάζεται· ὥσπερ οὗτος ἐν τοῖς αὐτοῦ φωρᾶται λόγοις. οἷον „ὄνομα κατελάβομεν, πόλιν καταλιπόντες." σκόπει τοίνυν. τοῦτο πάθος μὲν οὐδαμῶς ποιεῖ, ἀλλὰ συνάγει πρὸς τὴν ἔμφασιν καὶ ποιεῖ ζητεῖν τί λέγει. οὗ γὰρ ἄν τις τῇ γνώμῃ δισταγμὸν ἐνεργάσηται, ἐκεῖσε ἀπὸ τοῦ λόγου τὸ δεινὸν ἀφῆκε. διὰ τί; ὅτι τὸ ῥηθὲν ἐν τῷ σαφῶς γνῶναι καὶ τὴν συμπάθειαν ἔστι λαβεῖν· ὁ δ' ὑστερήσας τοῦ σαφοῦς ἀπολείπεται καὶ τῆς ἐναργείας. εἶτα ὅμοιον περὶ Θηβαίων φησὶ „τὸν γὰρ μέγιστα φωνήσαντα τόπον ἄφωνον ἡ συμφορὰ πεποίηκε." πάλιν ἐπ' Ὀλυνθίων „ἐκ μυριάνδρου πόλεως ἐξῆλθον, ἐπιστραφεὶς δ' οὐκέτ' εἶδον." ἐζήτεις δὲ τί; τὸ μὲν γὰρ ῥηθέν, ὑπὸ τοιαύτην ἔμφασιν πεπτωκός, πεπλάνηκεν ἡμῶν ἀπὸ τοῦ προκειμένου τὴν γνώμην. δεῖ δὲ τὸν οἰκτιζόμενον ἀφέντα τοὺς ἀστεϊσμούς, τὸ πρᾶγμα σημαίνειν ᾧ οἰκείωται τὸ πάθος, εἰ μέλλοι μὴ τῇ λέξει διακοσμεῖν, ἀλλὰ τῷ τῆς συμφορᾶς αἰτίῳ προσεδρεύειν. ἀλλ' ἐφ' ἕτερον ἰτέον. „Ἀλέξανδρε, καὶ τὸν Ἐπαμινώνδαν νόμισον, ὁρῶντα τὰ λείψανα τῆς πόλεως, παρόντα μοι συνικετεύειν." αἴτημα μὲν μειρακιῶδες καὶ μεταφορὰ σκληρά, τὸ δὲ σκυθρωπὸν τῆς πράξεως ἄρρητον. ἄλλο· „βασιλικῇ μανίᾳ προσπταίσασα πόλις τραγῳδίας 725H. ἐλεεινοτέρα γέγονε." πρὸς πᾶν μᾶλλον ἢ τὸ καθῆκον σοφιστῇ ἡτοιμάσθαι φαίνεται, ὅθεν οὐ λίαν ἅπτεται τοῦ προκειμένου· χαλεπὸν γὰρ οἶμαι χαλεποῖς πράγμασιν μωκωμένην διάλεκτον ἐφορᾶσθαι. ἄλλο· „τί δεῖ λέγειν Ὀλυνθίους καὶ Θηβαίους, οἷα κατὰ πόλεις ἀποθανόντες πεπόνθασιν;" ἕτερον παραπλήσιον κολακείας ἐκ εὐσχήμονος καὶ εὐηθείας ἐχόμενον· „ὅμοιον πεποίηκας Ἀλέξανδρε Θήβας κατασκάψας, ὡς ἂν εἰ ὁ Ζεὺς ἐκ τῆς κατ' οὐρανὸν μερίδος ἐκβάλοι τὴν σελήνην. ὑπολείπομαι γὰρ τὸν ἥλιον ταῖς Ἀθήναις. δύο γὰρ αὗται πόλεις τῆς Ἑλλάδος ἦσαν ὄψεις. διὸ καὶ περὶ τῆς ἑτέρας ἀγωνιῶ νῦν. ὁ μὲν γὰρ εἷς αὐτῶν ὀφθαλμὸς ἡ Θηβαίων ἐκκέκοπται πόλις." ἐμοὶ μὲν οὖν σκώπτειν ὁ σοφιστὴς δοκεῖ διὰ τούτων, οὐκ ὀλοφύρεσθαι τῶν πόλεων τὴν τύχην, καὶ σκοπεῖν πῶς ἂν τάχιστα συγκόψαιτο τὸν λόγον, οὐ πῶς τὸ πάθος ὑπὸ τὴν ὄψιν ἀγάγοι διὰ τῆς ἐναργείας. ἕτερον ὅμοιον· „αἱ δὲ πόλεις αἱ πλησίον ἔκλαιον τὴν πόλιν, ὁρῶσαι τὴν πρότερον οὖσαν οὐκέτ' οὖσαν." εἴ τις οὖν τοῖς Θηβαίοις καὶ τοῖς Ὀλυνθίοις παρ' αὐτὴν τὴν ἅλωσιν τὰς περιόδους ταύτας συναχθόμενος ἔλεγε, δοκοῦσιν ἄν μοι γελάσαι τὸν γράψαντα καὶ τρόπον τινὰ αὐτῶν ὑπολαβεῖν ἀθλιώτερον. ἄλλου γένους ἀψώμεθα, τὸν αὐτὸν ἡγέμενοι σοφιστήν· „δεινὸν τὴν χώραν ἄσπορον εἶναι τὴν τοὺς σπαρτοὺς τεκοῦσαν." ἀλλ' οὐχ οὕτως ὁ Δημοσθένης, ὃ τὴν γνώμην οὗτος ἐπὶ τὸ χεῖρον μετέθηκε· γράφει δὲ δεινὸν μηλόβοτον γενέσθαι τὴν Ἀττικήν, ἢ πρώτη τοῖς ἄλλοις ἐξήνεγκε τὸν ἥμερον καρπόν. ὁ δὲ φήσας δεινὸν εἶναι τὴν γῆν ἄσπορον γενέσθαι τὴν τοὺς σπαρτοὺς τεκοῦσαν, ἐκ τῶν ὀνομάτων τὴν ἐναντίωσιν εἴληφεν, οὐκ ἐκ τοῦ πράγματος. διὸ καὶ ψυχρότητα ἐσχάτην ἐμφαίνει, ὥσπερ καὶ Ἑρμησιάναξ ὁ τὴν Ἀθηνᾶν ἐγκωμιάσας 1337R. οὕτως „ἐκ γὰρ τῆς τοῦ Διὸς γεγεννημένη κεφαλῆς εἰκότως ἔχει τῆς εὐδαιμονίας τὸ κεφάλαιον." τοιοῦτον καὶ τὸ „τίς δ' ἂν δύναιτο ποιῆσαι τὴν Κύρου δόσιν ἄκυρον;" καὶ τόδε δὲ ὅμοιον „τόπος δὲ πῶς γένοιτ' ἂν ἄβατος βάτου περικειμένου;" Πάντα, φησὶν ὁ Ἀγαθαρχίδης, τὰ τοιαῦτα ἀδόκιμα· ἀλλ' εἰ μὲν πρὸς ἐλεεινολογίαν λέ-

a. 1. αἰτίαν ἀκόλουθον ς. 14. ἐπιδὼν] ἐπὶ τεσσάρων A. 15. εὕρῃς B: εὕροις ς. 20. ζηλώματος] δηλώματος A: ζητήματος ς. 28. ἐνεργείας mg. 32. ἐζήτουν A. 36. μέλλοι A: μέλλον ς. 38. καὶ add A. 39. μοι A: μὴ ς. b. 4. φαίνεται ὅθεν A: φάναι οὐδὲν ς. 13. διὸ B: δύο ς. 14. ἀγωνιῶ νῦν A: ἀγωνιῶν ἦν ς. 15. ἐκκεκόλαπται A. 16. ὁ A: καὶ ὁ ς. 18. οὐ πῶς] ὅπως B. 23. συναχθομένας A. 25. ἄλλου — ἀψώμεθα B: ἀλλ' οὐ — ἀψόμεθα ς. 31. γενέσθαι om B. σπαρτοὺς B et corr A: καρποὺς ς. 34. Ἑρμησιάναξ] ἑρμησίας ὁ νάξιος B et corr A. ὁ om A. 35. τῆς om A. 36. τὸ post καὶ add A. 37. τὴν τοῦ Κύρου ς. 38. τόδε δὲ A: τόδε τὸ ς. 40. πρὸς ἐλεεινολογίαν A: προσελθεῖν ὁμολογίαν ς.

γοι, ἐγγὺς τοῦ πρέποντος ἵσταται, εἰ δὲ πρὸς πᾶσαν ἰδέαν λόγου, οὐκ ὀρθῶς τῇ κρίσει ἐπέβαλε. πλὴν προστίθησι καὶ ἕτερα τῶν εἰρημένων ὅμοια, ὑπὸ τὴν αὐτὴν καὶ ταῦτα φέρων διαβολήν, οἷον „Θηβαῖοι ἐν τῇ μάχῃ τῇ πρὸς Μακεδόνας ὑπὲρ τοὺς μυρίους ἀνετράπησαν." ὢ καλῆς ἐμφάσεως! ἄνθρωποι τοσοῦτοι παραλόγως ἀνατετραμμένοι. καὶ πάλιν „τῆς μὲν πόλεως κατασκαφείσης οἱ μὲν ἄνδρες παίδων συμφορὰς ὑπομένουσιν, αἱ δὲ γυναῖκες μετήχθησαν εἰς Μακεδονίαν, τὴν πόλιν θάψασαί τινα τρόπον." ἕτερον ὅμοιον „ἡ δὲ φάλαγξ τῶν Μακεδόνων εἰσβιασαμένη τοῖς ὅπλοις ἐντὸς τείχους τὴν πόλιν ἀπέκτεινεν." ἐκεῖ μὲν ταφὴ πόλεως, ἐνταῦθα δὲ θάνατος· λοιπὸν ἐκφορὰν δεῖ προσθέντας ἐπιγράμματι χρήσασθαι, καὶ παντελὴς ἡ πρᾶξις. πλὴν

726 H. τῆς μὲν τούτου κομψότητος, ἵνα μὴ μανίας εἰπὼν μικρότερος φανῶ, διεληλύθαμεν, φησί, τὰ πλεῖστα. εἰσάγει δὲ μετὰ σαφηνείας καὶ τῆς πρεπούσης λόγῳ κοσμιότητος εἰς τὸν ὅμοιον εἰπόντας τόπον Στρατοκλέα μὲν οὕτως „ἄρουται καὶ σπείρεται τὸ Θηβαίων ἄστυ, τῶν συναγωνισαμένων ὑμῖν τὸν πρὸς Φίλιππον πόλεμον." ἅμα, φησί, τὸ πάθος τῆς πόλεως εὐσήμως ἐξέθηκε, καὶ τῆς τῶν ἠτυχηκότων φιλίας ὑπεμνήσθη· τὸ δεινὸν γὰρ εὐνοίᾳ παρατεθὲν ἐμβριθεστέρους εἴωθε τοὺς οἴκτους ποιεῖν. μετὰ Στρατοκλέα ὁμοίως Αἰσχίνην εἰσάγει λέγοντα „πόλις ἀστυγείτων ἐκ μέσης τῆς Ἑλλάδος ἠφάνισται." ἄριστα, φησί, τῆς μὲν ἀπωλείας τὸ τάχος τῇ μεταφορᾷ σημήνας, τοὺς κινδύνους δὲ ἐφιστὰς ἐκ τοῦ τὸν πεπονθότα τοῖς ἀκούουσι δεικνύειν ὅμορον ὑπάρχοντα. ἀλλὰ γὰρ ὁ Δημοσθένης, φησί, μετενέγκας τοὺς λόγους ἐπὶ τὸν Ἀλέξανδρον οὕτω δεδήλωκε· „τὴν μὲν πόλιν ἐξώρυξεν ἐκ τῶν θεμελίων, ὥστε μηδὲ ἐπὶ ταῖς ἑστίαις καταλιπεῖν τὴν τέφραν, παῖδας δὲ καὶ γυναῖκας τῶν ἡγησαμένων τῆς Ἑλλάδος ἐπὶ τὰς σκηνὰς τῶν βαρβάρων διένειμε." πικρῶς καὶ σαφῶς καὶ βραχέως ἀφ' ἑκάστου τῶν εἰδῶν εἰληφὼς τὴν ὑπερβολήν, ὅμως τῆς διδασκούσης τὸ πρᾶγμα ἐναργείας οὐκ ἐπελάθετο. πάλιν ἐπ' Ὀλυνθίων ὁ αὐτὸς ῥήτωρ „Ὄλυνθον δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν καὶ δύο καὶ τριάκοντα πόλεις τῶν ἐπὶ Θρᾴκης, ἃς πάσας οὕτως ὠμῶς ἀνῄρηκεν, ὥστε εἰ μηδὲ πώποτε ᾠκίσθησαν ῥᾴδιον εἶναι προσελθόντας εἰπεῖν." ἐμφανίσας τὸ πλῆθος τῶν πόλεων, τῶν ἀνδρῶν τὴν συμφορὰν ἐπέβαλεν, ὅπως ὁ πλεῖστος οἶκτος τοῦ παραδόξου τεθέντος μᾶλλον τῶν ἀκροωμένων ἐκκαλέσηται τὸ πάθος. Ταῦτα καὶ τοιαῦθ' ἕτερα καὶ ἑτέρων εἰπὼν συγγραφέων τὰ μὲν ἀποδέχεται, τοὺς δὲ περὶ Ἡγησίαν καὶ τὰ παρ' ἐκείνων παραγράφεται.

ὅτι ἀπὸ τοῦ Μεμφιτῶν ἄστεος εἰς τὴν Θηβαΐδα πέντε εἰσὶ μεταξὺ νομοὶ ἐθνῶν, ἔχοντες πολυάνθρωπον τάξιν, πρῶτος μὲν ὁ Ἡρακλεοπολίτης, δεύτερος ὁ Λυκοπολίτης, τρίτος ὁ Ὀξυρυγχίτης, τέταρτος ὁ Ἑρμο- 1340 R. πολίτης, πέμπτος ὃν οἱ μὲν φυλακὴν οἱ δὲ σχεδίαν καλοῦσιν· ἐν ταύτῃ τῶν ἄνωθεν καταγομένων εἰσπράττονται καὶ τιθέασι τὸ τέλος. τοὺς δὲ εἰρημένους ὑπερβάλλοντι τόπους ἀρχὴ τῆς Θηβαΐδος ἡ λύκων πόλις, εἶτα Ἀφροδίτης ἄλλη, πρὸς δὲ τούτοις Πανῶν, ἔπειτα Θοινίς, μετὰ ταύτην Βοπός, ὑφ' ἣν Διὸς πόλις, ἣν καλοῦσι μικράν. μετὰ δὲ τὸν προσηγορευμένον Τεντυρίτην νομὸν Ἀπόλλωνος ὀνομάζεται πόλις, ἧς ἐπάνω μὲν Κοπτός, ἔπειτα Ἐλεφαντίνη, εἶτα Αἰθιόπων χώρα, Κορτία πρώτη. τὰ μὲν οὖν ἀπὸ Μέμφεως ἕως Αἰθιοπίας εἴρηται.

ὅτι πλησίον τῆς ἐρυθρᾶς θαλάσσης, καθ' ὃν ὁ Νεῖλος πολλὰς ἐκτροπὰς καὶ παραφορὰς ποιούμενος ὅμως ἐκεῖσε ἀποκάμπτει περιφανῶς, καὶ ποιεῖται κατὰ 727 H. τὴν δεξιὰν ῥύσιν τῶν ἀγκώνων τὴν μεγάλην κλίσιν, ἔκ τε τοῦ πελάγους κόλπος εἰς τὴν ἤπειρον ἀνατείνεται πολύς, ὥστε τὴν μεταξὺ διάμετρον τῶν ὑδάτων, τοῦ τε ἁλμυροῦ καὶ ποτίμου, παραπλήσιον πηλῷ πολλῷ τὴν συστολὴν λαμβάνειν. κατὰ γοῦν τὴν εἰρημένην θάλατταν πλησίον ἐστί τινα τῶν καλουμένων γνησίων πλῆθος ἔχοντα μετάλλων, τῇ χρόᾳ μὲν ὄντα καθ' ὑπερβολὴν μέλανα, μαρμάρου δὲ ποιοῦντα τοιαύτας ἐν αὐτοῖς ἐκφύσεις ὥστε πᾶν λείπεσθαι τὸ διαμιλλώμενον, τῆς λευκότητος κρίσιν οὐκ ἐχούσης.

ὅτι οὓς ἔσχατον (φησί) κατέχει ἀκλήρημα, τούτους ἡ τυραννὶς εἰς τὴν τῶν χρυσωρυχίων ἀπάγει πικροτάτην δουλείαν, τοὺς μὲν ἅμα γυναιξὶ καὶ παισὶ ταλαιπωρουμένους, τοὺς δὲ καὶ χωρὶς τῶν εἰρημένων. ὑπερβολὴν οὖν οὐδενὶ τὸ πάθος δυστυχήματι καταλιπεῖν ἐκτραγῳδήσας, τὸν τρόπον ἀπαγγέλλει τῆς περὶ τὸ χρυσίον ἐργασίας. τῶν ὀρῶν, φησίν, ἐν οἷς ὁ χρυσὸς εὑρίσκεται, τὰ μὲν ἀπότομα καὶ τελέως σκληρὰν ἔχοντα φύσιν

a. 12. ἀπέκτειναν A. 16. φασι ς. 18. εἰπόντα B. τόπον AB: τρόπον ς.
b. 1. ἐπέλαβεν ς. 6. τοῦ om A. 7. νόμοι ς. 8. πρῶτον — δεύτερον — τρίτον — τέταρτον — πέμπτον A. Λυκοπολίτης] Ἀφροδίτης mg. Geograph. min. Hudson. biblioth. Berolin. 15. ἣν A: ἣν καὶ ς. 17. νόμον ς. 18. ἔπειτα δὲ ἐλεφ. B. 24. κλίσιν μεγάλην ς. 25. τοῦ μεγάλου πελάγους ς. 27. πηλῷ om B. 29. γνησίων A: χρυσίων ς. 31. ἑαυτοῖς ς. 33. ἐξούσης ς. 39. τόπον ς.

ἐκπρήσαντες ὕλη ϗ χαῦνα τῷ πυρὶ ποιήσαντες, ὥστως αὐτοῖς προσάγουσι τὴν πεῖραν, τὰ δ' ἀνειμένα τῇ πέτρᾳ σιδήρῳ λατομικῷ κερματίζονται. καθηγεῖται δὲ τῶν ἄλλων τεχνίτης ὁ τὸν λίθον διαιρῶν. ὅταν δὲ οὗτος τοῖς μεταλλεῦσι τὰς ὁδοὺς ὑποδείξῃ, τὸ πᾶν ἔργον καταμερίζεται τῇ τῶν ἀτυχούντων ἀνάγκῃ τοῦτον τὸν τρόπον. οἱ μὲν εὔρωστοι ϗ νέοι τυπίσι σιδηραῖς κόπτουσι τὴν χώραν τὴν μαρμαρίζουσαν, οὐ τέχνῃ τὴν πληγὴν ἀλλὰ βίᾳ, καὶ τέμνουσι διὰ τῆς πέτρας ὑπονόμους πλείονας ἐκ εὐθεῖς, ἄλλοτε μὲν ἄνω τῆς χρυσίτιδος ἀπονευούσης λίθου, ποτὲ δὲ κατωτέρω, πάλιν δὲ εἰς τὴν εὐώνυμον κλίσιν, ἐνίοτε δὲ σκολιὰν καὶ διεστραμμένην ϗ παραπλησίαν ταῖς τῶν δένδρων ῥίζαις. οὗτοι μὲν οὖν λύχνους προσδεδεμένους τοῖς μετώποις ἔχοντες λατομοῦσιν, ἀκολουθοῦντες οἷον φλεβὶ τῷ λευκανθίζοντι· ϗ πολλαχῶς καταχηματίσαντες τῶν σωμάτων τὰς θέσεις, καταβάλλουσι τὰ θραύσματα εἰς ἔδαφος, οὐ πρὸς τὴν ἰδίαν ἕξιν τε ϗ δύναμιν, ἀλλὰ πρὸς ὀφθαλμὸν ἐπιστάτου, πληγῆς τὴν ἐπιτίμησιν οὐδέποτε χωρίζοντος. οἱ δὲ ἄνηβοι παῖδες εἰς τοὺς ὑπὸ τούτων ὀρυχθέντας ὑπονόμους εἰσδυόμενοι, ϗ τὴν χάλικα τῶν ῥιπτουμένων ἐπιπόνως συλλέγοντες, ἐκτὸς τῶν στομίων κομίζουσι. παρὰ δὲ τούτων οἵ τε πρεσβύτεροι ϗ τῶν ἀσθενῶν οἱ πολλοὶ τὸν λίθον μεταφέρουσι· μετακομίζουσι δὲ οὗτοι τοῖς καλουμένοις ἐπωπεῦσιν.
1341 R. οἱ γὰρ ἐντὸς τῶν τριάκοντα ἐτῶν ϗ τοῖς εἴδεσι καρτεροὶ ὅλμους λιθίνους παρειληφότες ὑπέρῳ σιδηρῷ πτίσσουσιν ἐπιστρεφῶς, ϗ ποιήσαντες τὸ μέγιστον τρύφος ὀρόβῳ παραπλήσιον πρὸς τὴν αὐτὴν ὥραν ἀπομετροῦσιν ἑτέροις. οὗτος δέ ἐστιν ὁ πόνος τῶν γυναικῶν τῶν εἰς τὰς φυλακὰς συναπηγμένων ἀνδράσιν
728 H. ἢ γονεῦσι. μύλοι γὰρ ἑξῆς πλείους βεβήκασιν, ἐφ' οὓς τὸν ἐπτισμένον ἐπιβάλλουσι λίθον· καὶ παραστᾶσαι τρεῖς ἑκατέρωθεν πρὸς τὴν μίαν κώπην, οὕτως ἐζωσμέναι δυσπροσόπτως ὥστε μόνον τὴν αἰσχύνην τοῦ σώματος κρύπτειν, ἀλήθουσιν· ἀλήθουσι δὲ ἕως ὑπὸ τὸν τῆς σεμιδάλεως τόπον ἀχθῇ τὸ παραδοθὲν μέτρον. οὗτοι πάντες οἱ τὸν εἱρημένον τῆς τύχης κλῆρον ὑπελθόντες ποθεινότερον ἔχουσι τοῦ βίου τὸν θάνατον. παρὰ δὲ τοῦ θήλεος γένους διαδέχονται μὲν τὸ κατειργασμένον οἱ καλούμενοι σηλαγεῖς· εἰσὶ δ' οὗτοι τεχνῖται πρὸς τὸ πέρας ἄγειν δυνάμενοι τὴν βασιλικὴν χρείαν. ἡ δὲ ἐργασία τοιαύτη. καταβάλλουσι τὴν ἀληλεσμένην μάρμαρον ἐπὶ σανίδος πλατείας μὲν καὶ κατεξυσμένης εἰς εὐθεῖαν τομήν, ἐκ ἐν ὀρθῇ δὲ χώρᾳ βεβηκυίας, ἀλλὰ μικρὰν ἐχούσης ἐπίκλισιν. εἶτα καταχέοντες ὕδωρ τρίβουσι ταῖς χερσί, τὰ πρῶτα μὲν κούφως, ἔπειτα μᾶλλον· ὅθεν, οἶμαι, τὸ μὲν γεῶδες ἐκτηκόμενον συναπορρεῖ κατὰ τὴν ἐπίνοιαν τοῦ σανιδώματος, τὸ δ' ἰσχύον καὶ δυνατὸν ἐπὶ τοῦ ξύλου μένει ἀκίνητον. πολλάκις δὲ τοῖς ὕδασιν ἀποπλύνας ὁ καλούμενος σηλαγγεὺς μεταλαμβάνει σπόγγους μαλακοὺς καὶ πυκνούς, οἷς ἐφαπτόμενος τῆς μαρμάρου κούφως καὶ θλίβων ἐπὶ ποσὸν τὸ μὲν ἐλαφρὸν ϗ χαῦνον ἐμπλεκόμενον τοῖς ἀραιώμασιν ἀπὸ τῆς σπόγγου ἀναφέρει καὶ ἐκρίπτει, τὸ δὲ ἐμβριθὲς καὶ στίλβον ἐπὶ τῆς σανίδος ἀποκεκριμένον ἀπολείπει, δυσκινήτου διὰ τὸ βάρος τῆς τοιαύτης φύσεως ὑποκειμένης. οὕτως ἤδη οὗτος ὁ σηλαγγεὺς περικαθάρας τὰ ψήγματα τοῦ χρυσοῦ παραδίδωσι τοῖς ἑψηταῖς. οἱ δὲ λαβόντες μέτρῳ τε ϗ σταθμῷ τὸ συνηγμένον εἰς ἄγγος κεραμοῦν ἐνέβαλον, καὶ μίξαντες κατὰ λόγον τοῦ πλήθους μολίβδου βῶλον καὶ χόνδρους ἁλῶν ϗ κασσιτέρου βραχὺ καὶ κρίθινον πίτυρον, κἄπειτα ἐπιθέντες ἐπίθεμα καλῶς ἡρμοσμένον καὶ πάντοθεν χρίσαντες, ἕψουσιν ἐν καμίνῳ πέντε ἡμέρας καὶ τὰς ἴσας νύκτας, οὐθὲν διαλείποντες. τῇ δ' ἐχομένῃ σύμμετρον τῇ πεπυρωμένῃ προσάγοντες ψῦξιν εἰς ἀγγεῖον κατήρασαν, ἄλλο μὲν τῶν συνεμβεβλημένων οὐθὲν εὑρίσκοντες, αὐτὸ δὲ τοῦ χρυσίου τὸ χύμα, βραχεῖαν εἰληφὸς ἀπουσίαν ἀπὸ τοῦ ψήγματος. ἡ μὲν οὖν πρὸς τοῖς μετάλλοις ἀπώλεια τῶν πολλῶν σωμάτων πρὸς τὸ ῥηθὲν τέλος κομίζεται τὴν διέξοδον, σχεδὸν αὐτῆς τῆς φύσεως δεικνυούσης ὅτι τοῦ χρυσίου συμβέβηκεν ὑπάρχειν καὶ τὴν γένεσιν ἐπίπονον καὶ τὴν φυλακὴν σφαλερὰν ϗ τὴν σπουδὴν μεγίστην καὶ τὴν χρῆσιν ἡδονῆς ϗ λύπης ἀνὰ μέσον κειμένην, τήν τε ἐργασίαν τρόπον τινὰ τοῦ γένους ἀρχαιοτάτην. εὑρηται μὲν γὰρ ὑπὸ τῶν πρώτων τοῦ τόπου βασιλέων τῶν μετάλλων ἡ φύσις, διέλιπε δὲ ἐνεργοῦσα ποτὲ μὲν Αἰθιόπων ἐπὶ τὴν Αἴγυπτον πλήθους συν- 729 H.
ελθόντος ϗ πολλὰ τὰς πόλεις ἔτη φρουρήσαντος (ὑφ'

a. 1. ἐμπρήσαντες ς. 4. ὁ om A. 5. μεταλλεύουσι B. 7. εὔρωστοι B. 9. post βίᾳ deest καταφέροντες (p. R 1353, 29) vel simile verbum. 10. εὐθεῖς A: εὐθὺς ς. 12. διεστραμμένην] διερρηγμένην A. 17. θραύσματα pr A. 22. ἐπιτόνως A. 25. ἐποπεῦσιν B. 27. σιδηρᾷ B. 34. κώπην — δυσπροσόπτως — μόνον A: κοπὴν — δυσπροσώπως — μόνην ς. 36. ὑπὸ — 37. τόπον] ἐς — τρόπον Diodorus Siculus 3, 13. 40. θήλεως ς.
b. 1. σηλλαγγεῖς ς. 7. ἔπειτα δὲ μ. ς. 8. μὲν om B. 9. ἰσχυρὸν ς. 16. ἀποκεκρυμμένον A. 17. τὸ add B. 24. πανταχόθεν ς. 26 et 28. οὐδὲν ς. 28. αὐτὸ — 29. εἰληφὸς A: αὐτοὶ — εἰληφὼς ς. 38. διέλειπε B.

Digitized by Google

ὧν καὶ τὰ Μεμνόνεια συντετελέσθαι φασί), ποτὲ δὲ Μήδων καὶ Περσῶν ἐπικρατησάντων. εὑρίσκονται δὲ ἔτι καὶ καθ' ἡμᾶς ἐν τοῖς χρυσείοις τοῖς ὑπ' ἐκείνων κατα-
1344B. σκευασθεῖσι λατομίδες μὲν χαλκαῖ, διὰ τὸ μήπω τὴν τοῦ σιδήρου κατ' ἐκεῖνον τὸν χρόνον ἐγνωρίσθαι χρείαν, ὀστᾶ δὲ ἀνθρώπων ἄπιστα τῷ πλήθει, πτωμάτων (ὅπερ εἰκὸς γίνεσθαι) οὐκ ὀλίγων ἐν τοῖς χαύνοις καὶ πλακώδεσιν ὑπονόμοις γενομένων, τηλικαῦτα δὲ ὀρυγμάτων μεγέθη, καὶ διατείνοντα βάθεσιν ἐπικαρσίοις ἐπ' αὐτὴν τὴν θάλασσαν.

ὅτι παρὰ τὴν νότιον τῆς Αἰγύπτου κλίσιν τέσσαρά ἐστι φῦλα τὰ μέγιστα, τὸ μὲν τοῖς ποταμοῖς παρεζευγμένον, ὃ σπείρει σήσαμον καὶ κέγχρον, τὸ δὲ περὶ τὰς λίμνας οἰκοῦν, ὃ τοῦ καλάμου καὶ τῆς ὕλης ἅπτεται τῆς ἁπαλῆς, τὸ δὲ εἰκῇ πλανώμενον, ὃ σαρκὶ καὶ γάλακτι παραπέμπει τὸν βίον, τὸ δὲ ἐκ τῆς παραλίας ὁρμώμενον, τοὺς ἰχθύας ἀγρεῦον. τοῦτο δὲ τὸ γένος ἔχει μὲν οὔτε πόλεις οὔτε χώρας οὔτ' ἄλλης ἐντέχνου κατασκευῆς ὑπογραφὴν οὐδεμίαν, ἐστὶ δὲ τῶν ὑπολοίπων, ὡς ἔνιοί φασι, μέγιστον· ἀπὸ γὰρ Αὐταίων, οἳ τὸν ἔσχατον μυχὸν κατοικοῦσιν, ὃν τῇ μεγάλῃ συμβέβηκε συγκλείεσθαι θαλάττῃ, μέχρι τῆς Ἰνδικῆς καὶ Κεδρωσίας, ἔτι δὲ Γερμανίας καὶ Περσῶν καὶ τῶν τοῖς εἰρημένοις γένεσιν ὑποκειμένων νήσων, ἰχθυοφάγοι πάντῃ κατοικοῦσι, γυμνοὶ μὲν ὄντες αὐτοί, γυμνὰς δὲ ἔχοντες τὰς γυναῖκας, κοινὴν δὲ τέκνων γένεσιν, ἔτι δὲ ἡδονῆς μὲν καὶ πόνου φυσικὴν ἔχοντες γνῶσιν, αἰσχρῶν δὲ καὶ καλῶν οὐδὲ τὴν ἐλαχίστην εἰσφερόμενοι ἔννοιαν. τούτοις δὲ τὰ μὲν ἀγχιβαθῆ πάντ' ἐστὶ πρὸς τὸν βίον ἀλλότρια, παραπλησίως δὲ τὰ παρακείμενα μακραῖς ᾐόσι· θήραν γὰρ οὔτε ἰχθύος οὔτ' ἄλλου γένους ὁμοιοπαθοῦς ἁδροτέραν παραδίδωσιν ἡ τοιάδε χέρσος. αἱ δὲ οἰκήσεις πᾶσιν ἔκκεινται τοῖς εἰρημένοις παρὰ τὰς ῥαχίας, αἳ καὶ κοιλάδας βαθείας ἔχουσι καὶ φάραγγας ἀνωμάλους καὶ στεγνοὺς αὐλῶνας καὶ σκολιὰς ἐκτροπάς. ὧν πρὸς τὴν χρείαν ὑποκειμένων οἰκείως, ἀναθέμενοι πέτρους αὐτοπαγεῖς ἐπὶ τῆς κοιλίας οἱονεί τινας ἀραιούς. ὅταν οὖν ἐκ πελάγους ἡ πλημμυρὶς ἐπὶ τὴν χέρσον φέροιτο (ὃ ποιεῖ δὶς ἑκάστης ἡμέρας, πρὸς ὥραν ἐνάτην τε καὶ τρίτην), ἡ μὲν θάλαττα πᾶσαν τὴν ῥαχίαν ἐπικαλύπτει, συναπάγουσα ἐκ τοῦ πόρου πρὸς τὴν ᾐόνα βίᾳ καὶ τῶν ἰχθύων οὐκ ὀλίγους, οἳ τέως μὲν ἐν τῇ παραλίᾳ μένουσι, νομῆς χάριν πλανώμενοι περὶ τὰς ὑποδύσεις· ἐπὰν δὲ αὖθις ἀναδύῃ τὸ τῆς ἀμπώτεως, τὸ μὲν ὑγρὸν διὰ τῶν λίθων καὶ τῶν φαράγγων ἀποῤῥεῖ εἰς τὸν ἐπιφερῆ καὶ κατεπείγοντα τόπον, οἱ δ' ἰχθύες ἐν τοῖς κοιλώμασιν ὑπολειπόμενοι ἕτοιμον θήραμα καὶ τροφὴ γίνονται τοῖς ἰχθυοφάγοις. ἀλλ' οἱ μὲν ἄλλοι ἰχθύες (ὥς 730 H.
ἔφημεν) εὐπετῶς καταγωνίζονται· ἐπὰν δ' ἐμπέσωσι κύνες τε καὶ φῶκαι μείζους καὶ σκορπίοι σμύραιναί τε καὶ πᾶν τὸ τοιοῦτον γένος, μετὰ κινδύνων ἡ συμπλοκὴ γίνεται· ὅταν δὲ θηρεύσωσιν ὁσουσδηποτοῦν, μετενέγκαντες ἐπὶ τὰς πέτρας τὰς κειμένας πρὸς μεσημβρίαν, οὔσας διαπύρους, ταύταις δὲ ἐπέῤῥιψαν. χρόνον δὲ οὐ πολὺν ἐάσαντες στρέφουσιν ἐπὶ τοὔμπαλιν ἅπαντες. εἶθ' ὅταν λάβωνται τῆς οὐρᾶς καὶ τὸν ὅλον ὄγκον σείσωσιν ἐκ ταύτης, ὁ μὲν σαρκώδης τόπος ἅπας ἐκπίπτει θρυπτόμενος διὰ τὴν εἰρημένην θερμασίαν, τὴν δ' ἄκανθαν σωρεύουσιν αὐτοί, ἀφ' ἧς ἐκ πλείονος τόπου κολωνοὶ παμμεγέθεις ὁρῶνται. τὴν δὲ σάρκα τῶν ἰχθύων εἰς λεωπετρίαν συναγαγόντες πατοῦσιν ἐκτενῶς ἐπὶ χρόνον οὐκ ὀλίγον, καὶ μίξαντες τὸν καρπὸν τοῦ παλιούρου. τούτου γὰρ συμμιγέντος κολλῶδες μὲν τὸ πᾶν 1345B.
πολὺ μᾶλλον γίνεται, δοκεῖ δ' οἷον ἡδύσματος ἢ παρεμπλοκῆς τάξιν ἔχειν. ἐπὰν δὲ ἱκανὸν χρόνον τοῖς ποσὶ δεψήσωσι, πλινθίδας παραμήκεις διαπλάσαντες πάλιν εἰς τὸν ἥλιον τιθέασιν· ὧν ξηρασίαν λαβουσῶν καθίσαντες εὐωχοῦνται πάντες, οὐ πρὸς μέτρον καὶ σταθμόν, ἀλλὰ πρὸς τὴν ἑκάστου βούλησιν καὶ χάριν.

ὅτι πρὸς τοὺς αἰφνιδίους χειμῶνας, οἳ τὴν ἀπὸ τῶν ἰχθύων αὐτοὺς θήραν ἀφαιροῦνται, τοιόνδε τι μηχανῶνται· πλανώμενοι παρὰ πᾶσαν τὴν πλησίον παραλίαν κόγχους συνάγουσι (μέγιστοι δὲ τυγχάνουσιν, ὥστε τοῖς μὴ ἰδοῦσιν ἄπιστον αὐτοῖς τοῦ μεγέθους τὴν ὑπερβολὴν εἶναι), ὧν τὸ κρέας ὠμὸν τῆς ἐνδείας ἀναπλήρωσιν κατ' ἐκεῖνο καιροῦ ἔχουσι. τῆς δὲ χρείας τῆς ἀπὸ τῶν ἰχθύων ἔτι τούτοις παραμενούσης, τοὺς εἰρημένους κόγχους συλλέγουσι, καὶ τούτους φύκει τε προσφάτῳ καὶ ἰχθύων τῶν ἐλασ-

a. 1. καὶ add A. 3. ἐν — κατασκευασθεῖσι om B. χρυσίοις A. 4. μήπω τὴν A: μή πον ς. 7. γίνεσθαι A: γίνεται ς. 8. libri γινομένων. 10. θάλατταν ς. 17. ἰχθῦς ς. 19. οὐδεμίαν ὑπογραφήν B. 21. ὃν τῇ μεγάλῃ] ὄντι μεγάλῳ B. θαλάττης B. 24. ὑποκειμένων — κατοικοῦσι om A. 29. ἀγχιβαθῆ] βάθη pr A. 35. στεγνοὺς] στενοὺς B cum Diodoro 3, 15. 39. τε om B.

b. 2. πόρου] πόντου B et corr A. 8. γίνεται B. 10. δὲ πέσωσι A: δ' ἐμπέσωσι ς. 11. μύραιναί B. 12. καὶ om pr A. 13. ὅσους δή ποτ' ἂν ς. 14. τὰς κειμένας om A. πρὸς] περὶ B. 15. δὲ post ταύταις om B. 23. καρπὸν] σπόρον B et corr A. 24. κολλῶδες] libri κολλῶσιν εἰς. cf. Diodor. 3, 16. vocabulum idem infra p. R 1352, 22. τὸ πᾶν πολὺ A: τὸ πάμπολυ ς. 25. οἷον ἡδύσματος] οἱονεὶ δύσματος B et corr A. fuit fortasse οἱονεὶ δέσματος. 27. διαπλάσαντες] ποιήσαντες B et corr A. 34. ἰδοῦσιν A: εἰδόσιν ς. 39. τούτοις pr A.

σόνων κεφαλαῖς ἐν ὀρύγμασι καταθέντες διατρέφουσι· τῆς δὲ ἐνδείας αὐτοὺς καταχούσης ταῦτα (ὡς εἴρηται) ποιοῦνται σίτησιν. εἰ δέ ποθ᾽ ἑκατέρα αὐτοὺς σίτησις ἐπιλείψει, ἀπὸ παντὸς τοῦ τῶν ἀκανθῶν σωροῦ τὰς ἐγχύμους αὐτῶν καὶ προσφάτους ἐπιλέγοντες ἀφαιροῦσι κατ᾽ ἄρθρον, κἄπειτα τὰς μὲν κόπτοντες ἐπὶ πετρώδους τόπου, ἃς δὲ κατεργαζόμενοι διὰ τῶν ὀδόντων, τοῖς φωλεύουσι τῶν θηρίων τὴν αὐτὴν διάθεσιν λαμβάνουσι. ποτῷ δὲ πολὺ θαυμασιωτέρῳ χρῶνται. ἐπὶ μὲν γὰρ τέτταρας ἡμέρας πρὸς ταῖς θήραις γίνονται καὶ πρὸς ᾠδαῖς ἀνάρθροις καὶ πρὸς ταῖς συνουσίαις ταῖς παιδιᾶς χάριν γινομέναις, ὑπ᾽ οὐδενὸς περισπώμενοι, διὰ τὴν εὐκοπίαν τῆς τροφῆς· τῆς δὲ πέμπτης ἐπιλαβούσης ἐξορμῶσιν εἰς τὴν ὑπώρειαν ποτοῦ χάριν, εἰς τὰς συρρύσεις τῶν νομάδων, πρὸς αἷς καὶ τὰ κτήνη ποτίζουσιν. ἑσπέριος 731.H. δὲ ἡ πορεία γίνεται. "κατανύσαντες δὲ εἰς τὰς ποτίστρας τῶν νομάδων τοῦ κοιλώματος κύκλῳ περιέστησαν, εἶτ᾽ ἀπερεισάμενοι τὰς χεῖρας εἰς τὴν γῆν καὶ θέντες τὰ γόνατα βοηδὸν πίνουσιν, οὐ πρὸς μίαν ἀναπνοῆς ὁρμήν, ἀλλὰ πολλάκις αὐτοὺς ἀναπαύοντες. πληρώσαντες δὲ τὰς κοιλίας τῶν ὑγρῶν καθάπερ ἀγγεῖα, πρὸς θάλατταν μόλις ἀποχωροῦσιν. εἶτα ἐπανελθόντες, ἐκείνην μὲν τὴν ἡμέραν ἕκαστος οὔτε ἰχθύος οὔτε ἄλλου τινὸς γεύεται, κεῖται δὲ ὑπεργέμων καὶ δύσπνους, ὥστε εἶναι τρόπον τινὰ τῷ μεθύοντι παραπλήσιον τὸ βάρος· ἀπὸ δὲ τῆς ἐχομένης ἐπὶ τὴν εἰρημένην δίαιταν ἐπανάγει. καὶ τοῦτο κύκλῳ διὰ βίου γίνεται, πρὸς ἀσχολίαν καὶ μέριμναν οὐδενὸς ἀποβλεπόντων αὐτῶν πράγματος. καὶ νοσήμασι μὲν διὰ τὴν ἁπλότητα τῆς διαίτης σπανίοις περιπίπτουσι, τοσούτῳ δ᾽ ἀφαιροῦσιν ἀπὸ τοῦ χρόνου τῶν ἐτῶν, ὅσῳπερ ἀπονωτέραν τῶν λοιπῶν ἔχουσι τὴν ἀναστροφήν.

ἀλλ᾽ οἱ μὲν ἐντὸς τῶν στενῶν τὰς οἰκήσεις ἔχοντες ἰχθυοφάγοι οὕτω καταγίνονται· οἱ δὲ τὴν ἐκτὸς παραλίαν κεκτημένοι ἄγρας μὲν ἐνδελεχῶς τοιαύτης εὐποροῦσιν, ὑγροῦ δ᾽ ἁπλῶς οὐ δέονται· προσενεγκάμενοι δὲ τὸν ἰχθὺν ἔγχυλον, ὥστε μικρὰν εἶναι τῶν ὠμῶν τὴν παραλλαγήν, οὐχ οἷον ποτὸν ἐπιζητοῦσιν, ἀλλ᾽ οὐδὲ ἔννοιαν ἔχουσι τοῦ γένους. φέρουσι δὲ ἀλύπως ἅπερ αὐτοῖς ἀπ᾽ ἀρχῆς ἡ τύχη παραδέδωκεν.

1348B. "ὅτι τοὺς ἐν τοῖς εἰρημένοις τόποις οἰκοῦντάς φησι πρὸς τοῖς εἰρημένοις ἔτι μηδὲ πρὸς τὰ μέγιστα τῶν παρ᾽ ἡμῖν δεινῶν ὁμοίαν ἡμῖν ἔχειν τὴν ἔννοιαν. οὔτε γὰρ σίδηρον κατ᾽ αὐτῶν ἐπαιρόμενον φεύγειν, οὔτε προπηλακισμῷ ἐρεθίζεσθαι, οὔτε τοὺς μὴ πάσχοντας τοῖς πάσχουσι συναγανακτεῖν· ἀλλ᾽ εἴ τι γένοιτο περὶ αὐτοὺς ἐξ ἀλλοφύλων τοιοῦτον, βλέπουσι μὲν οὗτοι ἀτενῶς εἰς τὸ γινόμενον καὶ τὰς κεφαλὰς πυκνὰ διανεύουσι, τῶν δὲ εἰθισμένων ἀνθρώπῳ πρὸς ἄνθρωπον οὐδὲ τὴν ἐλαχίστην διδόασιν ἔννοιαν. ὅθεν (φησὶν ὁ συγγραφεύς) ἔγωγε νομίζω μηδὲ χαρακτῆρα εὔγνωστον ἔχειν αὐτούς, ἐθισμῷ δὲ καὶ νεύματι ἤχοις τε καὶ μιμητικῇ δηλώσει διοικεῖν πάντα τὰ πρὸς τὸν βίον.

ὅτι φησί, Πλησίον τῶν ἀδίψων ἰχθυοφάγων οἱ κατοικοῦντες, ὥσπερ ἀπαραβάτων σπονδῶν μεταξὺ τεθέντων αὐτῶν τε καὶ τῶν φωκῶν, οὔτε αὐτοὶ τὰς φώκας σίνονται, οὐδ᾽ ὑπ᾽ ἐκείνων οὗτοι βλάπτονται, ἀλλὰ καὶ ἀλλήλων θήρας ἀνεπιβουλεύτους τῷ θηράσαντι ἑκάτερον γένος συντηρεῖ, καὶ συναναστρέφονται οὕτως ἀλλήλοις· ὡς μόλις ἂν εὑρεθεῖεν πρὸς ἀνθρώπους συμβιοῦντες ἄνθρωποι.

"ὅτι τῶν ἰχθυοφάγων, φησίν, οἱ μὲν σκηνώμασι 732 H. τοῖς σπηλαίοις, οὐ τετραμμένοις πρὸς μεσημβρίαν διὰ τὸ πνιγῶδες, ἀλλὰ τοῖς ἀπεστραμμένοις αὐτήν, χρῶνται· οἱ δὲ ὑπὸ ταῖς τῶν ἰχθύων πλευραῖς, φυκία ἐπιβάλλοντες αὐτοῖς· οἱ δὲ τὰς τῶν ἐλαιῶν κορυφὰς ἀλλήλαις συνάπτοντες εἶτα χρῶνται σκηνώμασι. τὴν δὲ τοιαύτην ἐλαίαν καρπὸν φέρειν φησὶ κασταναϊκῷ καρύῳ προσεμφερῆ. τὸ δὲ τέταρτον τῶν ἰχθυοφάγων γένος τὴν οἴκησιν ἔχει τοιαύτην. ἄμμου φόρτος ἄπλετος ἐκ τοῦ παντὸς αἰῶνος, ὄρει παραπλήσιος, σεσώρευται, καὶ πᾶς οὗτος ὑπὸ τοῦ προσβάλλοντος ἀεὶ κύματος σκληρῶς πεπιλημένος, ὥστε ὁμογενοῦς ὄγκου καὶ μίαν φύσιν ἔχοντος διὰ τὴν μίξιν καὶ συμπλοκὴν τῆς ἄμμου μηδὲν παραλλάσσειν. εἶτα ὑπονόμους αὐτοῖς ἀνδρομήκεις ὀρύττουσι, τὸν μὲν κατὰ κορυφὴν ὄγκον ἐῶντες ὠχυρῶσθαι καὶ στέγειν διὰ τῆς εἰρημένης συνδέσεως, ἐκ δὲ τοῦ κάτωθεν ἐδάφους παραμήκεις αὐλῶνας κατασκευαζόμενοι, πρὸς ἀλλήλους πάντοθεν συντετρημένους, ἐν οἷς τέως μέν τινος τὰ πρὸς τὸν ἄνεμον φυτίσαντες ἄγουσιν ἡσυχίαν, ἐπὰν δὲ πλημμυρὶς ἐπέλθῃ, τὰ πρὸς τὴν ἄγραν, ὡς καὶ προείρηται, παρασκευάζονται. τοὺς μέντοι γε τελευτῶντας αὐτῶν οὐδεμιᾶς ἀξιοῦσι προνοίας, ἀπαθῆ πρὸς τὸν ἐκ δόξης ἔλεον κεκτημένοι

a. 4. τοῦ add B. 11. παιδείας B. 13. ἐπιβαλούσης A. 15. καὶ om A. ἑσπερίοις B. 16. καταλύσαντες ς. 25. παραπλήσιον τῷ μεθύοντι ς. 34. ἐκτὸς B: ἐντὸς ς. 40. ἡ τύχη ante αὐτοῖς ponit B.
b. 1. δεινῶν ὁμοίαν ἡμῖν om A. 5. οὗτοι A: οὔτε ς. 6. πυκνῷ ς. 7. ἀνθρώπῳ πρὸς ἄνθρωπον] ἀνθρώποις B. 13. ἀβάτων ς. 30. πᾶς add A. 31. πεπιλωμένος ς. 38. τινες B. 40. ἀγορὰν A.

Digitized by Google

τὴν γνώμην· διὸ καὶ κεῖνται ἐῤῥιμμένους ἐῶσιν, ἕως ἂν ἄμπωτις ἐπιγενομένη τροφὴν εἰς τὴν θάλασσαν κομίσῃ τούτους τοῖς ἰχθύσιν.

ὅτι φησὶν ἐνίους τῶν ἀπὸ τῆς θαλάττης σιτουμένων μετὰ τῶν ἄλλων καὶ τοῦτο ἔχειν παραδοξότερον καὶ εἰς λογικὴν καταχωρῆσαι πίστιν οὐ ῥᾴδιον. οὔτε γὰρ πόθεν εἰς τὸν χῶρον, ἐν ᾧ οἰκοῦσιν, ἀφίκοντο, ἔστιν ἐπιγνῶναι, οὔτε ὅπως λισσῆς μὲν πέτρας ἄνωθεν ἐπεζευγμένης, ἐκ πλαγίου δὲ κρημνῶν ἀφαιρουμένων τὰς παρόδους, τὴν δὲ ἀπέναντι πᾶσαν ὁρίζοντος, 1349R. "ὃ καὶ πεζῇ μὲν ἐλθεῖν παντελῶς (ὡς εἶπον) ἀδύνατον, σχεδίαις δ' ὁμοίως ἀπορίᾳ τῶν παρ' ἡμῖν ἐξ ἴσου ἄπορον· τούτων δὲ ὑφεστώτων, φησί, λοιπὸν εἰπεῖν ὡς αὐθιγενεῖς εἰσί, μνήμην τοῦ πρώτου σπέρματος οὐ λαβόντες, ἀεὶ δὲ ὑπάρχοντες, ὃν τρόπον ἔνιοι τῶν καλουμένων ὡρίσαντο φυσικῶν.

ὅτι τῶν στενῶν ἐπέκεινα, φησί, τῶν συγκλειόντων τήν τε Ἀραβίαν καὶ τὴν ἀπέναντι χώραν, νῆσοι κεῖνται σποράδες, ταπειναὶ πᾶσαι, μικραὶ τῷ μεγέθει, τὸ πλῆθος ἀμύθητοι, καρπὸν οὐδένα γεννῶσαι πρὸς τὸν βίον, οὔτε ἥμερον οὔτε ἄγριον, ἀπέχουσαι μὲν τῆς εἰρημένης ἠπείρου σταδίους ὡς ἑβδομήκοντα, τετραμμέναι δὲ πρὸς τὸ δοκοῦν πέλαγος παρεκτείνειν τὴν Ἰνδικὴν καὶ Γεδρω-
733H. σίαν. ἐνταῦθα κῦμα μὲν οὐ γίνεται, ἀλλ' ἄλλη "[μὲν] ἄλλης προκαθημένη τὸν κλύδωνα τοῖς ἀκρωτηρίοις λαμβάνει· ἀέρων δὲ τὸν ἄριστον δοκοῦσιν ἔχειν. ταύτας ἄνθρωποι κατανέμονται ἀριθμῷ μὲν [οὐ] σύμμετροι, ζῶντες δὲ βίον τοιοῦτον. ἐν τῷ παρήκοντι πελάγει, τραχεῖ καὶ χειμερίῳ ὑπάρχοντι τελέως, γίνεται τῷ πλάτει καὶ τῷ μεγέθει πλῆθος ἄπιστον χελωνῶν, ἃς θαλαττίας πάντες νομίζομεν. αὗται νυκτὸς μὲν ἐν τῷ βυθῷ νέμονται, ἡμέρας δὲ εἰς τὴν ἐν ταῖς νήσοις ἡσυχίαν καὶ γαλήνην ἀφικόμεναι κοιμῶνται, καὶ τοῦτο ποιοῦσι πρὸς τὸν ἥλιον μετέωροι, ταῖς κατεσκευασμέναις πορθμίσιν ὁμοιοπαθεῖς. ταύτας κατ' ἐκεῖνο καιροῦ οἱ ἐπιχώριοι τέχνῃ καὶ σπουδῇ καὶ μερμίθαις εἰς τὴν χέρσον ἐκβαλόντες τὰ μὲν ἐντὸς ἅπαντα σιτοῦνται, βραχὺν παροπτήσαντες ἐν τῷ καύματι χρόνον, τοῖς δὲ κύτεσι χρῶνται τὰς σκηνώσεις καθιστῶντες, οἱονεὶ καλύβας ἐφ' ὑψηλοῖς τόποις πρηνεῖς καθιστῶντες, καὶ πρὸς τοὺς διάπλους δὲ καὶ ὑδρείας ἕνεκα κέχρηνται αὐτοῖς· ὥστε εἶναι τὸ αὐτὸ ναῦν οἰκίαν ἀγγεῖον τροφὴν τοῖς εἰρημένοις ἀνθρώποις.

ὅτι οὐ πολὺ διεστῶτες τοῦ εἰρημένου γένους σύμμετροι τῷ ἀριθμῷ βίον ἔχουσι τοιοῦτον. ἐκ τῶν ἐκριπτουμένων εἰς τὴν χέρσον κητῶν ἀποζῶσι. σπανιζούσης δὲ αὐτοῖς τῆς τοιαύτης σιτήσεως (γίνεται δὲ πολλάκις) ἐκ τῶν ὀστῶν τούς τε χόνδρους καὶ τὰ ἄκρα τῶν πλευρῶν κατεργαζόμενοι τὴν ἔνδειαν, εἰ καὶ χαλεπῶς, ὅμως παραμυθοῦνται. τὰ μὲν οὖν τῶν ἰχθυοφάγων γένη, φησίν, ἃ κατειλήφαμεν, μυρίων ὄντων ἃ τὴν ἡμῶν διέφυγε γνῶσιν, τοσαῦτα.

ὅτι τῆς ζωῆς ἡμῶν ἡμῖν ἐφεστώσης ἔν τε τοῖς περιττοῖς καὶ τοῖς ἀναγκαίοις, τὰ εἰρημένα γένη τῶν ἰχθυοφάγων τὰ μὲν ἄχρηστα περιγεγράφασιν ἅπαντα, φησί, τῶν δὲ καθηκόντων οὐδὲν ἐλλείπουσι, τῇ θείᾳ πρὸς τὸ ζῆν ὁδῷ βραβευόμενοι πάντες, οὐ τῇ παρασοφιζομένῃ ταῖς δόξαις τὴν φύσιν. οὐ γὰρ ἀρχῆς ἱμειρόμενοι τυχεῖν ἀγωνίᾳ φιλονείκῳ καὶ δυστυχεῖ συνέχονται· οὐδὲ πλεονεξίας ἐρῶντες πολλὰ μὲν ἄλλους δρῶσι, πολλὰ δὲ πάσχουσι τῶν οὐκ ἀναγκαίων· οὐδ' ἔχθρας ἐνιστάμενοι μείζους ἐπὶ βλάβῃ σώματος πολεμίου σφάλλονται [δ'] ἐν ἀτυχίαις οἰκείων· "οὐδὲ ναυτιλλόμενοι, κέρδους ἕνεκα 1352R.
τὸ ζῆν ὑπερτείναντες, προσπταίσμασι τοῦ βίου μετροῦσι τὴν λύπην· ἀλλὰ μικρῶν δεόμενοι μικρὰ καὶ πενθοῦσι, τὸ μὲν ἀρκοῦν κτώμενοι, τὸ δὲ πλέον οὐ ζητοῦντες. ἐνοχλεῖ δ' ἕκαστον οὐ τὸ ἀγνοούμενον, εἰ μὴ πάρεστιν, ἀλλὰ τὸ βουλητόν, ὅταν ὑστερίζῃ τοῦ καιροῦ τῆς ἐπιθυμίας σπευδούσης. οὐκοῦν ἐκεῖνος πάντ' ἔχων ἃ θέλει, εὐτυχήσει κατὰ τὸν τῆς φύσεως λογισμόν, οὐ κατὰ τὸν τῆς δόξης. νόμοις δὲ οὐ δικαιοῦνται. τί γὰρ δεῖ προστάγματι δουλεύειν τὸν χωρὶς γράμματος εὐγνωμονεῖν δυνάμενον;

"ὅτι μετὰ τοὺς ἰχθυοφάγους παρὰ τὸν Ἀσταβόραν 734H.
ποταμόν, ὃς φέρεται μὲν διὰ τῆς Αἰθιοπίας καὶ τῆς Λιβύης, ἔστι δὲ τοῦ Νείλου πολλῷ ταπεινότερος, συμβάλλων δὲ τὴν οἰκείαν ὁρμὴν τῷ μείζονι ῥείθρῳ νῆσον ποιεῖ τῇ περιῤῥύσει τὴν Μερόην, — παρὰ γοῦν τὸν εἰρημένον ποταμὸν ἐπ' ἀμφοτέροις κατοικεῖ τοῖς χείλεσιν ὄχλος οὐ πολὺς μέν, τῷ δὲ βίῳ τοιοῦτος. ἐκ τοῦ παρήκοντος ἕλους τὰς ῥίζας τῶν καλάμων ὀρύττει, κἄπειτα πλύνας καθαρῶς ἐκκόπτει λίθοις πρὸς μέρος, ποιήσας δὲ λεῖον καὶ κολλῶδες ἀνέπλασεν ἐκ μαγίδος, εἰ καὶ οὐ χειροπλήθεις, ὄγκους, εἶτα ἐν τῷ καύματι

a. 7. ἀφίκοντο *A*: ἀφῆκον ς. 10. ὁρίζοντος] τοῦ πελάγους ὁρίζοντος Hudsonus e Diodoro Sic. 3, 20. 11. ὃ καὶ] malim οἱ. 14. μνήμην *A*: λύμην ς. 20. οὐθένα *B*. 26. ταύτας] libri ταύταις. 27. ἀριθμῷ μὲν οὐ] ἀριθμούμενοι *B*. 28. δὲ τὸν βίον ς. 32. ἡμέρα *A*. ταῖς om *B*. 34. κατεστραμμέναις Diodorus 3, 21. 40. πρηνεῖς] πρηνῆ Salmasius, omisso priore καθιστῶντες. καθιστάντες *B*. 41. καὶ om pr *A*.

b. 7. χαλεπῶς *A*: χαλεπὰ ς. 12. τὰ *A*: καὶ τὰ ς. 14. θείᾳ] fortasse ἰδίᾳ vel εὐθείᾳ. 17. τυχεῖν] τύχης *A*: τύχην ς. 20. σφάλλ.] οὐ σφάλλ. *B* et rc *A*. 27. εὐτυχήσει καὶ κατὰ ς.

παρουπτῶν ταύτην ἔχει προσφοράν. ἔχουσι δὲ οὗτοι κακὸν ἄφυκτον, τοὺς ἐν τοῖς ἕλεσι λέοντας ἐπιτιθεμένους αὐτοῖς. ὑπὸ δὲ τὴν ἐπιτολὴν τοῦ κυνὸς γίνεταί τι κωνώπων πλῆθος ἄπλετον, τηλικαύτην ἔχον δύναμιν ὥστε τὸν λαὸν εἰς τὰς λιμνώδεις ὑγρασίας ἀπελθόντα ἐκεῖ μένειν ἀφανῆ. ὑφ' ὧν καὶ οἱ λέοντες ἐκτοπίζονται, οὐχ οὕτως ὑπὸ τοῦ δηγμοῦ δηλούμενοι, καίπερ ὄντος ἐπαχθοῦς, ὡς τὸν ὑπὸ τῆς φωνῆς ἦχον ἀλλόφυλον ἀδυνατοῦντες φέρειν. ἀλλὰ ταῦτα μὲν ἀπηγγέλθω τοῦ παραδόξου χάριν· τί γὰρ ἰδιώτερον ἢ λέοντας μὲν ἐκχωρεῖν κώνωψιν, ἀνθρώπους δὲ σώζεσθαι ὑπὸ τοιούτου κινδύνου;

ὅτι τοῖς εἰρημένοις, φησί, τὸ τῶν ὑλοφάγων καὶ τῶν τὰ σπέρματα σιτουμένων ἐγγίζει γένος, βραχεῖαν ἔχον τὴν παραλλαγήν. οἱ μὲν γὰρ τὸν πίπτοντα καρπὸν ἀπὸ τῶν δένδρων σιτοῦνται [καὶ] ὑπὸ τὴν θερείαν, τὸ δὲ λοιπὸν τῆς πόας ἅπτονται τῆς ἐν τοῖς σκιεροῖς ἄγκεσι γινομένης στερεᾶς τε τὴν φύσιν καὶ καυλὸν ἐκτρεφούσης παρόμοιον ταῖς καλουμέναις βουνιάσιν· οἱ δὲ τῆς ὕλης τὴν ἁπαλὴν σιτοῦνται. οὗτοι τὰς μὲν νύκτας κοιμῶνται τόπον ἀπὸ τῶν ἐκεῖ θηρίων πρὸς ὀχύρωσιν ἐξειλεγμένοι καὶ φυλακήν, ἅμα δὲ ἡλίῳ μετὰ τέκνων καὶ γυναικῶν ἐπὶ τὰ δένδρα πάντες ἀναβαίνουσι, σπουδῇ καταλαβεῖν ζητοῦντες τοὺς ἄκρους κλῶνας· κἀκεῖθεν τὴν ἁπαλωτάτην ὕλην ἀμέλγοντες εὐμαρῶς σιτοῦνται. τοιαύτην δὲ ἐκ τοῦ παντὸς βίου πεποίηνται τὴν ἕξιν, ὥστε καὶ τὰ τῆς ἀναδρομῆς ἄπιστον ἔχειν τὴν θέαν καὶ τὴν συντονίαν οὐ χειρῶν μόνον καὶ δακτύλων καὶ ποδῶν, ἀλλὰ καὶ τῶν μερῶν τῶν ὑπολοίπων ἁπλῶς. μεταπηδῶσι γὰρ εὐπόρως ἀπ' ἄλλου πρὸς ἕτερον ἀκρέμονα, καὶ τοὺς κλάδους ἀλλήλων πολλάκις ἐν τοῖς ἐπισφαλεστάτοις τόποις ἀφαιροῦνται, καὶ τοιαῦτα ἐνδείκνυνται ὥστε τὸν ἰδόντα αὐτὸν μὲν ἐκπλήττεσθαι, μὴ μέντοι θαῤῥεῖν εἰς τοὺς ἀπείρους ἐξαγγέλλειν. καὶ πάντα δὲ κλάδον τοῖς ὀδοῦσιν ἔγχυλον κατεργάζονται καὶ ταῖς κοιλίαις εὐπόρως πέττουσι·
1353B. καὶ τὸ σφαλὲν ἄνωθεν σῶμα διὰ τὴν ἰσχνότητα οὐ βαρείας τυγχάνει τῆς πληγῆς. οὗτοι δὲ γυμνοὶ μέν εἰσι πάντες, χρῶνται δὲ κοινοῖς καὶ τέκνοις καὶ γυναιξί, πολεμοῦσι δὲ περὶ τῶν τόπων ἀλλήλοις, μεταλλάττουσι δὲ οἱ πλεῖστοι λιμῷ πιεζόμενοι, γλαυκωμάτων περὶ τὰ πεντήκοντα ἔτη τοῖς ὄμμασιν ἐπιτρεχόντων.

735 II. ὅτι μετὰ τοὺς εἰρημένους εἰσὶν οἱ παρὰ τοῖς ἐγχωρίοις λεγόμενοι κυνηγέται. οὗτοι διὰ τὴν τῶν θηρίων φοράν, ἣν ὁ τόπος ἄπλετον φέρει, ἐν τοῖς δένδρεσι μὲν σκηνοῦσιν, ἐξ ἐνέδρας δὲ ἀγρεύοντες τὰ θηρία τροφὴν ἑαυτοῖς ταῦτα ποιοῦνται. εἰσὶ καὶ τοξείας ἐπιστήμονες. ἐπὰν δὲ θήρας ἀπορῶσι, τοῖς δέρμασι τῶν προτεθηραμένων τὴν ἔνδειαν ἀναπληροῦσι, βρέξαντες τὰς βύρσας καὶ ἐπ' ἀνθρακιὰν κούφην ἐπιβαλόντες, εἶτα σποδίσαντες καὶ εἰς διαίρεσιν ἀγαγόντες.

ὅτι μετὰ τοὺς εἰρημένους, πολὺ τούτων ἀφεστῶτες καὶ πρὸς ἑσπέραν μᾶλλον ἀνατείνοντες, εἰσὶν οἱ ἐκ τῆς τῶν ἐλεφάντων θήρας τὸν βίον ποιοῦνται. οἱ μὲν ἀπὸ δένδρου, ἐφ' ᾧ κάθηνται σκοποῦντες τὰς παρόδους τῶν θηρίων, ταῖς μὲν χερσὶ τῆς οὐρᾶς λαβόμενοι, τοῖς ποσὶ δὲ πρὸς τὸν μηρὸν τὸν ἀριστερὸν ἐπιβαίνουσιν· εἶτα πελέκει, ὃν ἐπιτήδειον καὶ ἕτοιμον ἔχουσι, τὴν δεξιὰν ἰγνύν, πυκναῖς ταῖς πληγαῖς χρώμενοι, νευροκοποῦσιν, οὕτω δὲ ἐκτενῶς τῇ μὲν καταφέροντες τῇ δὲ τῆς οὐρᾶς κρατοῦντες, ὡς ἄθλου προκειμένου τῆς ψυχῆς· ἢ γὰρ ἀποκτεῖναι χρὴ ἢ τελευτᾶν, ἄλλην τοῦ καιροῦ διέξοδον οὐκ ἔχοντος. ἐπὰν δὲ τὸ ζῶον ἐκ τῆς πληγῆς καὶ τῆς αἱμοῤῥαγίας πέσῃ, οἱ συνθηραταὶ παραγίνονται ἐπὶ τὸ πτῶμα, καὶ τοῦ θηρίου ζῶντος ἔτι παρατέμνοντες ἐκ τῶν ὀπισθίων τὰς σάρκας εὐωχοῦνται, τὸν ἔσχατον τοῦ καταπονηθέντος οὕτως ὑπομένοντος θάνατον. ἀλλ' οἱ μὲν μετὰ τοῦ ἐσχάτου κινδύνου ἐλεφαντοθῆραι τοιοῦτοι· ἕτεροι δὲ θηρῶσιν αὐτοὺς οὕτως. τρεῖς ἄνδρες ἓν μὲν ἔχοντες τόξον, οἰστοὺς δὲ πλείους κεχρισμένους τῇ χολῇ τῶν ὄφεων, ἑστᾶσιν ἐν δρυμῷ παρὰ τὰς τῶν θηρίων διεξόδους. ἐπὰν οὖν προσάγῃ τὸ ζῶον, ὁ μὲν εἷς κατέχει τὸ τόξον τῷ ποδὶ προσβεβηκώς, οἱ δὲ δύο τὴν νευρὰν ἑλκύσαντες ἐκ τῆς ἁπάσης βίας ἀφῆκαν τὸ βέλος, ἕνα σκοπὸν ἔχοντες ἐπὶ μέσην τὴν πλευράν, ὥστε διανύσαι τῆς περιοχῆς ἐντὸς καὶ τοὺς κυρτοὺς τεμεῖν καὶ τρῶσαι τόπους· ἐκεῖθεν τὸ τηλικοῦτον θηρίον ἐλαυνόμενόν τε καὶ σπαραττόμενον διαλύεται καὶ πίπτει. τρίτον δέ ἐστι γένος ἐλεφαντοφάγων, οὗ ἐπειδὰν οἱ ἐλέφαντες τῆς νομῆς ἐμφορηθέντες πρὸς ὕπνον τραπέσθαι ζητῶσιν, — οὐκ ἐπὶ γῆς δὲ ἀναπεσόντες ὑπνοῦσιν, ἀλλὰ τοῖς παχυτάτοις καὶ μεγίστοις δένδρεσι προσανακλίνοντες ἑαυτούς, ὥστε τοὺς μὲν δύο πόδας τοὺς πλησίον τοῦ στελέχους πρὸς τὴν γῆν ἐλαφρῶς ὑπερείδεσθαι, τὴν δὲ πλευρὰν τὸ πᾶν σῶμα ἐκδεχομένην ὀχεῖσθαι πρὸς τῇ φύσει τοῦ ξύλου, καὶ τοῦτον τὸν τρόπον τῆς καταφορᾶς τυγχά-

a. 7. δειλούμενοι B. 16. ἅπτεται ς. τὴν — 17. γινομένην στερεὰν ς. 34. πέττουσι ς. 37. κοινοῖς χρῶνται δὲ ς. 38. ἀλλήλους B. b. 6. ἐπ'] ἐς B. 12. πρὸς A: ὡς ς. 19. δὲ om B. 23. ὑπομένοντος ς. τοῦ add A. 26. δὲ καὶ πλείους ς. 27. ἑστᾶσιν A: ἱστᾶσιν ς. 28. τὸ post κατέχει add A. 29. προσβεβηκώς ς. 39. τοὺς πλησίον τοῦ A: τοῦ πλησίον ς. 41. προειρημένους ς. 42. τυγχάνει ς.

Digitized by Google

νειν οὐκ εἰλικρινοῦς ἀλλὰ παρεψευσμένης, διὰ τὸ πρόσ- 736 H. κεῖσθαι τοῖς βαθέσιν ὕπνοις ἀγωνίαν ἰσχυράν, φθορᾶς ὑποκειμένης παραχρῆμα τῷ σφαλέντι διὰ τὴν ἔκλυ- 1356 R. σιν τὴν φυσικήν. οἱ οὖν ἀπὸ τῆς τούτων θήρας τὸν βίον ποιούμενοι, τοὺς δρυμοὺς περιπλανώμενοι καὶ τὴν τοῦ θηρίου κοίτην ἐπισημηνάμενοι, ἐκ τῶν ὄπισθεν τοῦ δένδρου τόπων πρίουσιν, ἕως ἂν μήτε κλίνῃ τὸ πᾶν μήτε ἰσχῦον ἄγαν [καὶ ἰσχυρὸν] ἀπολείποιτο, μένῃ δὲ ἑστηκὸς ἐπὶ βραχείας ῥοπῆς. τὸ δὲ ζῶον ἀπὸ τῆς νομῆς ἐπὶ τὸν συνήθη τῆς κοίτης τόπον ἀνακλινόμενον αἰφνίδιόν τε πίπτει τοῦ ξύλου κλασθέντος, καὶ πρόκειται τοῖς θηράσασι δεῖπνον ἕτοιμον· τὰς γὰρ ὀπισθίας κόψαντες οὗτοι σάρκας, καὶ ποιήσαντες ἔξαιμον τὸ ζῶον, εἶτα νεκρόν, πρὸς τὴν ἑαυτοῦ χρείαν ἕκαστος τὰ μέλη διαιροῦσιν.

ὅτι τούτους τοὺς κυνηγοὺς Πτολεμαῖος ὁ Αἰγύπτου βασιλεὺς ἀπoσχέσθαι τοῦ φόνου τῶν ἐλεφάντων παραινῶν, ἵν᾽ ἔχοι αὐτὸς ζῶντας, καὶ πολλὰ καὶ θαυμαστὰ αὐτοῖς ὑπισχνούμενος, οὐ μόνον οὐκ ἔπεισεν, ἀλλ᾽ οὐδ᾽ ἂν τὴν ὅλην ἀλλάξασθαι βασιλείαν πρὸς τὸν ἐνεστῶτα βίον εἰπόντων ἀπόκρισιν ἤκουσεν.

ὅτι τῶν κυνηγῶν τούτων, οὓς οἱ νομάδες ἀκαθάρτους καλεῖν εἰώθασι, τὸ μὲν πρὸς ἑσπέραν ἀπόσπασμα Αἰθιόπων νέμεται οὓς καλοῦσι σιμούς, τὰ δὲ πρὸς μεσημβρίαν οὐ μέγα ἔθνος, οἱ καλούμενοι στρουθοφάγοι, οἳ ταύτας τέχνῃ καὶ δόλῳ καὶ ῥοπάλοις θηρεύοντες ἐκ τούτων βιοῦσι, σιτούμενοι μὲν τὰς σάρκας, ἐνδύσει δὲ καὶ στρωμνῇ τοῖς αὐτῶν χρώμενοι δέρμασι. πολεμούμενοι δὲ ὑπὸ τῶν σιμῶν οὗτοι τοῖς τῶν ὀρύγων κέρασιν ὅπλοις χρῶνται, μεγάλοις καὶ τμητικοῖς οὖσι· τρέφει δὲ ἡ χώρα πολυπληθὲς τὸ ζῶον τοῦτο.

ὅτι τῶν εἰρημένων οὐ πολὺ διεστῶτές εἰσιν οἱ ἀκριδοφάγοι· τὸ δὲ ἔθνος βραχύτεροι μὲν τῶν λοιπῶν, ἰσχνοὶ δὲ τοῖς εἴδεσι, μέλανες δὲ ἐξαισίως. ὑπὸ δὲ τὴν ἐαρινὴν ἰσημερίαν, ὅτε λίβες παρ᾽ αὐτοῖς καὶ ζέφυροι πνέουσι, παμμεγεθῶν ἀκρίδων πλῆθος ἀμύθητον ἐκ τῆς ἀνιστορήτου μετὰ τῶν ἀνέμων παραγίνεται χώρας, τῇ μὲν δυνάμει τῆς πτήσεως τῶν ὀρνίθων μικρὸν παραλλάττον, μακρὸν δὲ τῷ σώματι. ἀπὸ τούτου τοῦ ζώου τρέφονται πάντα τὸν χρόνον, ἄλλως τε τούτοις καὶ τεταριχευμένοις χρώμενοι. καπνῷ δὲ ταύτας θηρῶσιν, ἐκ τοῦ ἀέρος ἐπὶ γῆν καταφέροντες. οὗτοι κοῦφοι μὲν εἶναι λέγονται καὶ τοῖς ποσὶν ὀξύτεροι, ζῶσι δὲ οὐ πλεῖον τεσσαράκοντα ἐτῶν, ξηρᾶς κοινωνοῦντες τελείως τροφῆς. τελευτῶσι δὲ τοῦ ζῆν ἀθλιώτερον· ἅμα γὰρ πλησιάζειν τὸ γῆρας ἐγγίνεται τοῖς σώμασιν αὐτῶν πτερωτὰ γένη φθειρῶν, ὅμοια μὲν τῷ τύπῳ τοῖς 737 H. κρότωσι, βραχεῖ δὲ ἐλάττω τῶν ἐν τοῖς κυσὶ φαινομένων, ἀρχόμενα μὲν ἀπὸ τοῦ στήθους καὶ τῆς κοιλίας, ἐπινεμόμενα δὲ συντόμως μετὰ τοῦ παντὸς προσώπου τὴν ἐπιφάνειαν. οἱ τὰ μὲν πρῶτα τοῖς ὑπὸ ψώρας ἠρεθισμένοις ὁμοίως διάκεινται, ὕστερον δ᾽ ἐπιπόνως ἑαυτοὺς σπαράττουσιν· εἶτα τοῦ πάθους εἰς ἀκμὴν ἑλκομένου, καὶ μετὰ τῆς τῶν θηρίων ἐκφύσεως καὶ λεπτῶν ἀναχεομένων ἰχώρων, ἀκαρτερήτους ὑφίστασθαι τοὺς ἀθλίους τὰς δριμύτητας συμβαίνει. οὗτοι μὲν οὖν εἴτε τοὺς χυμοὺς εἴτε τὴν τροφὴν εἴτε τὸν ἀέρα τῆς κακίας ἔχοντες αἴτιον, οὕτως ἀπόλλυνται.

ὅτι τῶν ἀκριδοφάγων, φησίν, ἀστυγείτων χώρα 1357 R. πολλὴ καὶ νομὰς ἔχουσα ποικιλίᾳ διαφερούσας, ἔρημος δὲ τελέως καὶ πᾶσι τοῖς περιοίκοις ἄβατος, οὐκ ἀπ᾽ ἀρχῆς σπανίσασα ἀνθρωπίνου γένους, ἀλλ᾽ ὑπὸ πλήθους ἀπίστου σκορπίων καὶ φαλαγγίων, οὓς τετραγνάθους ὀνομάζουσιν ἔνιοι. τοῦτο γὰρ τὸ φῦλον ἔκ τινος ἐπομβρίας λέγουσιν ἐπιπολάσαι, καὶ τῶν ἐνοικούντων πρὸς τὸ κακὸν ἀντισχεῖν οὐ δυναμένων, ἀλλὰ φυγῇ τῶν ἐκπεσόντων τοῦ ὀλέθρου τὴν σωτηρίαν ἀντὶ τῆς πατρίδος ἑλομένων, ἔρημον ἐξ ἐκείνου γένους ἀνθρώπων τὴν χώραν ὑπολειφθῆναι. καὶ μυῶν δὲ πλῆθος ἀρουραίων, ὡς τοῖς περὶ Ἰταλίαν, καὶ στρουθοὶ τὰ σπέρματα κατεσθίοντες, ὡς περὶ Μηδίαν, καὶ βάτραχοι, ὃ γέγονε περὶ τοὺς Αὐταριάτας· καὶ ὑπὸ λεόντων ἐπιπολασάντων πόλεις μετανέστησαν, ὡς ἐπὶ Λιβύης· καὶ πολλὰ ἄλλα ἀνέλπιστα πάθη καταλαβόντα πολλὰς χώρας τῶν οἰκητόρων ἐξηρήμωσαν.

ὅτι ὕστατοι, φησί, τῶν πρὸς μεσημβρίαν οἰκούντων εἰσὶν οὓς Ἕλληνες μὲν κυναμολγοὺς καλοῦσιν, οἱ δ᾽ ἀστυγείτονες, ὡς ἄν τις εἴποι, ἀγρίους βαρβάρους. οὗτοι κομῆται μέν εἰσι καὶ πώγωνας φέρουσιν ἐξαισίους, κύνας δὲ τρέφουσι πολλοὺς καὶ μεγάλους, ὁμοίως τοῖς Ὑρκανοῖς, καὶ τοὺς ἐπιφοιτῶντας αὐτῶν τὴν χώραν Ἰνδικοὺς βόας δι᾽ αὐτῶν θηρῶσι, πλῆθος ἐπιφαινομένους ἀμύθητον

a. 8. μένῃ B: μένει ς. 9. ἑστηκὸς A: καὶ ἕστηκεν ς. 11. πρόσκειται ς. 12. ὀπισθίους B. 17. ἀποσχέσθαι ς. 18. ἴσχῃ B. 20. ἐφεστῶτα ς. 30. χρῶνται καὶ μεγάλοις ς. 35. libri λίβυες. vid. Diodor. 5, 29: qui mox παμμεγέθεις. 41. ταῦτα pr A. b. 5. ante πλησιάζειν deest articulus. 7. βραχεῖαν ς. 15. τὰς om A. οὖν add B. 22. ἐπονομάζουσιν ς. 25. τῶν] τούτων B. 27. ἀπολειφθῆναι ς. 28. τοῖς] τοὺς A. 30. περὶ] περ B. μήδειαν A. ἀφθαριάτας ς. 32. ἄλλα add A. 37. εἴπῃ ς.

ἀπὸ τροπῶν χειμερινῶν ἕως μέσου χειμῶνος· εἶτα καὶ τὰς τῶν κυνῶν θηλείας ἀμέλγοντες τῷ γάλακτι τρέφονται, καὶ ἐξ ἄλλων δὲ θήρας ζώων. καὶ τὰ μὲν τελευταῖα τῶν πρὸς μεσημβρίαν τοιαῦτα.

τὰ δὲ κατὰ τοὺς τρωγλοδύτας τοιαῦτα. τὸ μὲν γένος τῆς συστάσεως τυραννίς, αἱ δὲ γυναῖκες κοιναὶ καὶ οἱ παῖδες· μόνῃ δ' οὐκ ἔξεστι πλησιάσαι τῇ τοῦ τυράννου· τῷ δὲ τολμήσαντι πρόβατον καταθέσθαι τὸ ἐπιτίμιον δίδοται. ἡ δὲ ἀναστροφὴ αὐτῶν· τὸν μὲν παρ' αὐτοῖς
738 H. χειμῶνα (ἔστι δ' οὗτος ὑπὸ τοὺς ἐτησίας) πᾶσαν αὐτῶν τοῦ θεοῦ τὴν χώραν ὕδασι λάβροις ἐπέχοντος, ἀφ' αἵματος καὶ γάλακτος ζῶσιν, εἰς ταὐτὸ μίξαντες καὶ κυλίσαντες ἐν ἀγγείοις εἰκῇ πεπυρωμένοις. ἐπὰν δὲ ἐπιστῇ τὸ θέρος, ἐν τοῖς τελματώδεσιν ἀναστρέφονται χωρίοις, μαχόμενοι πρὸς ἀλλήλους περὶ τοῦ χιλώματος. καὶ τὰ πρεσβύτερα τῶν βοσκημάτων καὶ νοσοῦντα δαπανῶσι, διὰ τῶν μαγείρων ταῦτα κτείνοντες, οὓς καλοῦσιν ἀκαθάρτους. οὗτοι ἀνθρώπων μὲν οὐδενὶ περιτιθέασι τὴν τῶν γονέων κλῆσιν, ταύρῳ δὲ καὶ βοΐ, τὸν μὲν πατέρα καλοῦντες, τὴν δὲ μητέρα, ὡσαύτως κριῷ τε καὶ προβάτῳ, διὰ τὸ λαμβάνειν τὴν τροφὴν τὴν καθ' ἡμέραν οὐ παρὰ τῶν τοκέων ἀλλὰ παρ' ἐκείνων. οὗτοι καὶ ποτῷ, ὁ μὲν πολὺς ὄχλος ἀποβρέγματι παλιούρου χρῶνται· οἱ δὲ τύραννοι ἀπό τινος ἄνθους σκευασθέντος πίνουσι, παραπλησίου μοχθηρῷ γλυκεῖ. γυμνοὶ δὲ τὸ ἄλλο σῶμα τυγχάνοντες τὰ ἰσχία δέρμασίν εἰσι διεζωσμένοι. τὰ δὲ αἰδοῖα τοῖς μὲν ἄλλοις τρωγλοδύταις ἐστὶν εἰθισμένον περιτέμνεσθαι, καθάπερ Αἰγυπτίους
1360 R. πάντας· τοὺς δ' ὑπὸ τῶν Ἑλλήνων καλουμένους κολοβοὺς πᾶν τὸ τοῖς λοιποῖς μέρος περιτομῆς τυγχάνον ξυροῖς ἀφαιρεῖν ἐστὶν ἔθος νηπίων ὄντων, ἐξ οὗ καὶ τὴν εἰρημένην κλῆσιν ἑαυτοῖς πεποίηνται.

ὅτι κέχρηται ὁ συγγραφεύς, ἀττικιστὴς καίτοι ὤν, τῇ τῆς καμάρας λέξει.

ὅτι οἱ τρωγλοδύται περὶ τοὺς μετηλλαχότας, φησίν, οὕτω πράττουσι. ταῖς ἐκ τῶν παλιούρων λύγοις τὸν αὐχένα πρὸς τὰ σκέλη συνέδησαν, εἶτα ἐπ' ὄχθον ἐπιθέντες βάλλουσι χειροπληθέσι λίθοις, τωθασμῷ χρώμενοι καὶ γέλωτι, ἕως ἀποκρύψωσι τοῦ τετελευτηκότος τὴν μορφήν· κἄπειτα ἄνωθεν ἐπιθέντες κέρας αἰγὸς ἀπαθεῖς ἀπολύονται καὶ παντελῶς ἱλαροί. οὕτω, φησί, ταῖς κηδείαις καταχρῶνται νουνεχῶς, εἴπερ μὴ λυπεῖν ἑαυτοὺς ἐπὶ τοῖς ἀλυπήτοις συνέσεως σημεῖον. τὰς δ' ὑπὲρ τῆς ἀναφυομένης αἰφνιδίως νομῆς ἔχθρας τε καὶ μάχας καὶ πολέμους αὐτῶν πρὸς ἀλλήλους (οὐδὲ γὰρ ὑπὲρ ἄλλου τινὸς μάχονται) ἀλλ' οὖν ταύτας αἱ πρεσβύτεραι γυναῖκες προπηδῶσαι διαλύουσι, κατὰ τὸ μέσον ἐλθοῦσαι, καὶ τοῖς πραΰνουσι λόγοις τοὺς θυμοὺς ἠρεθισμένους καταστέλλουσαι. ὕπνῳ δέ, φησίν, οὐ κατὰ τοὺς ἄλλους τῶν ἀνθρώπων χρῶνται, ἀλλὰ θρεμμάτων μὲν πλῆθος ἑαυτοῖς ἔχουσι συνεπόμενον, κώδωνας δὲ ἐξέδησαν ἐκ τῶν κεράτων τῶν ἀῤῥένων πάντων, ὅπως ὁ ἀπ' αὐτῶν ψόφος διώκῃ τὰ θηρία· ἐπὰν δὲ νὺξ ἐπῇ, εἰς μάνδρας μὲν συνάγουσι τὴν λείαν, ἄνωθεν δὲ ἐπιβάλλουσι ῥιποὺς ἐκ φοινίκων. καὶ αἱ μὲν γυναῖκες μετὰ τῶν νηπίων τούτοις ἐπιβαίνουσιν· οἱ δὲ ἄνδρες πυρὰ κύκλῳ καίουσιν, ᾄδοντες πατρίους τινὰς μύθους, καὶ τὸν ὕπνον οὕτω παρωθοῦνται, ἐν πολλοῖς τῆς μελέτης δεῖ 739 H. τἀναγκαῖα τὴν φύσιν νικώσης. ἐπὰν δέ τινες τοῦ πᾶσιν ὀφειλομένου γήρους βαρύναντος μηκέτι δύνωνται ταῖς ποίμναις ἐπακολουθεῖν, περιθέντες βοὸς οὐρὰν περὶ τὸν αὐχένα τὸν αὐτῶν, καὶ τὸν ὀπίσω τοῦ τραχήλου δεσμὸν εὖ μάλα περισφίγξαντες, ἀπολύουσι τοῦ βίου. εἰ δέ τις αὐτῶν τὴν τελευτὴν ὑπερβάλλοι, παραστὰς ὁ θέλων ἄφνω, ὡς ἐπ' εὐνοίᾳ τὸν ὄκνον ἀφαιρούμενος, νουθετῶν ἅμα τῷ λόγῳ τῆς ἀναστροφῆς, διὰ τῆς αὐτῆς ὁδοῦ παρέλυσεν. οὐ τοὺς γηράσκοντας δὲ μόνον οὕτω τοῦ ζῆν ὑπεξάγουσιν, ἀλλὰ καὶ οὓς ἢ νόσος ἐπίμονος ἢ μελῶν τινὸς πήρωσις ἀχρήστους εἰς τὸ ταῖς ἀγέλαις παρασκευάσει συνέπεσθαι.

ὅτι φησί, Τῆς ὅλης οἰκουμένης ἐν τέτταρσι κυκλιζομένης μέρεσιν, ἀνατολῆς λέγω, δύσεως, ἄρκτου καὶ μεσημβρίας, τὰ μὲν πρὸς ἑσπέραν ἐξείργασται Λύκος τε καὶ Τίμαιος, τὰ δὲ πρὸς ἀνατολὰς Ἑκαταῖός τε καὶ Βασιλεύς, τὰ δὲ πρὸς τὰς ἄρκτους Διόφαντος καὶ Δημήτριος, τὰ δὲ πρὸς μεσημβρίαν, φορτικόν, φησί, τὸ ἀληθές, ἡμεῖς.

ὅτι τοὺς τῶν ἀνθρώπων διαφορωτάτους βίους οὐ πολὺς διαμετρεῖ καὶ διορίζει τόπος. ἐκ γὰρ τῆς Μαιώτιδος λίμνης πολλοὶ τῶν φορτιζομένων ἐν φορτηγοῖς ἀκάτοις δεκαταῖοι κατῆραν εἰς τὸν Ῥοδίων λιμένα, ἀφ' ὧν ὑπὸ τὸν αὐτὸν καιρὸν τεταρταῖοι μὲν ἀφίκοντο εἰς

a. 1. ἀπὸ τροπῶν χειμερινῶν ἕως μέσου χειμῶνος] „Admodum absurde. rectius Aelianus (H. A. 16, 31): ἀπὸ τῶν θερινῶν τροπῶν εἰς μεσοῦντα χειμῶνα." Wesseling. ad Diodor. 3, 31. 9. δίδοται c. 17. διὰ A: καὶ διὰ c. 18. περιτιθέασιν post γονέων ponit B. 29. Ἑλλ. καὶ καλουμ. c. 36. λύγοις A. 39. ἕως A: τέως c
b. 1. λύπην ἑαυτοῖς c. 12. ἐπῇ] malim ἐπίῃ. 16. καίουσι κύκλῳ c. 18. τἀναγκαῖα] τῶν ἀναγκαίων A. 23. ὑπερβάλοι B. 33. Ἑκαταῖος] ἀκραῖος A. τε add B. 34. βάσιλις c. 39. φορτηγοῖς B, φορτηγικοῖς Ac.

τὴν Ἀλεξάνδρειαν, ἐκ δὲ ταύτης ἐναντίῳ τῷ ῥεύματι πλέοντες ἀνὰ τὸν ποταμὸν ἐν ἄλλαις δέκα παραγένοιντ' 1361B. ἂν οὐ χαλεπῶς εἰς Αἰθιοπίαν· ὥστε ἀπὸ τῆς ὑπερβολῆς τοῦ ψύχους εἰς ἄκραν τοῦ καύματος τὴν ἀκμὴν μὴ πλείους εἴκοσι γίνεσθαι καὶ πέντε τοῖς κομιζομένοις ἐνδελεχῶς ἡμέρας. ἀλλ' ὅμως, τοσαύτης οὔσης τῆς τοπικῆς διαστάσεως, ἀνυπέρβλητον ἔχουσι πρὸς ἀλλήλους οἱ ἄνθρωποι τῶν τε βίων καὶ τῶν ἐθῶν καὶ τοῦ ἀέρος τὴν διαφοράν, ὥστε μηδὲ πιστεύεσθαι παρ' ἑτέροις τὰ παρ' ἄλλοις συνήθη τε καὶ ὁμολογούμενα, μηδὲ στέγειν ὅλως δύνασθαι ὧν χωρὶς ἕτεροι οὐδὲ ζῆν ἂν ἕλοιντο. οὕτως ἔχει τι φίλτρον μέγα πᾶσα συνήθεια, καὶ νικᾷ τὴν ἀπὸ τοῦ περιέχοντος δυσχέρειαν ὁ χρόνος ὁ τὴν πρώτην δεξάμενος εἰς τὸν βίον ἡλικίαν.

ὅτι οἱ κατὰ τὴν Ἀραβίαν λέοντες, φησί, ψιλότεροι μέν εἰσι καὶ θρασύτεροι, τῷ χρώματι δὲ ὁμαλοὶ καθάπερ οἱ γινόμενοι περὶ τὴν Βαβυλωνίαν, οὕτω δὲ τοῖς τριχώμασι στίλβοντες ὥστε ἀπὸ τῶν αὐχένων ξανθότητα ἀπολάμπειν χρυσῷ παραπλησίαν.

τῶν δὲ καλουμένων μυρμήκων οἱ μὲν πλεῖστοι κατὰ 740 H. τὴν ἰδέαν τῶν λοιπῶν οὐδὲν παραλλάττουσι, τὴν δὲ τῶν αἰδοίων φύσιν ἀπεστραμμένην ἔχουσιν, ἐναντίαν τοῖς ἄλλοις.

ὅτι αἱ παρδάλεις οὐκ εἰσὶ καθάπερ ἐν τοῖς τόποις τοῖς περὶ Καρίαν καὶ Λυκίαν, μακραὶ δὲ τῷ σώματι, καὶ κακοπαθεῖν ἐν τραύμασι καὶ πόνοις δυνάμεναι πολὺ μᾶλλον· τῇ δὲ ἀλκῇ τοσοῦτον διαφέρουσι τῶν ἄλλων ὅσον ἄγριον ἡμέρου.

ὅτι ὁ ῥινόκερως ἐλέφαντος μὲν οὐ λείπεται, τῷ δὲ ὕψει καταδεέστερος ὑπάρχει. χρῶμα δὲ ἔχει πύξῳ παρεμφερὲς εὐτελεῖ, καὶ τὴν ἁφὴν τοῦ δέρματος. σιμὸν δὲ ἐπ' ἄκρων φορεῖ τῶν μυκτήρων κέρας, σιδήρῳ τὴν βίαν παραπλήσιον· ᾧ τὸν μὲν ἄλλον χρόνον, πρὸς ἣν ἂν πέτραν παραγένηται, ῥήσσει προσβαλὼν τὰ στέρνα, συμπεσὼν δὲ ἐλέφαντι (τούτῳ γὰρ τὸν πάντα περὶ τῆς νομῆς διαμιλλᾶται βίον) ὑποδὺς τὴν κοιλίαν καὶ τῷ κέρατι τὸ κύκλωμα τῆς σαρκὸς ἀναῤῥήξας ἔξαιμον εὐθὺς ποιεῖ· καὶ πλείστους ἔστιν ἐλέφαντας ἰδεῖν οὕτω τετελευτηκότας. ἂν μέντοι συμβῇ τῷ ῥινοκέρωτι τῆς κοιλίας μὴ ἅψασθαι, τοὐναντίον αὐτὸς ὑπὸ τῆς προβοσκίδος καὶ τῶν ὀδόντων τυπτόμενος πολλαχῶς ἐξαδυνατεῖ καὶ παραλύεται, μεγάλης ὑπαρχούσης κατὰ τὴν ἰσχὺν καὶ βίαν τῆς παραλλαγῆς.

ὅτι παρὰ τοῖς τρωγλοδύταις ἐστὶν ἡ λεγομένη παρ' Ἕλλησι καμηλοπάρδαλις, σύνθετον τρόπον τινὰ κατὰ τὴν κλῆσιν καὶ τὴν φύσιν λαχοῦσα. τὴν μὲν γὰρ ποικιλίαν ἔχει παρδάλεως, τὸ μέγεθος δὲ καμήλου, τὸ πάχος δὲ ὑπερφυές, τὸν δὲ αὐχένα τοιοῦτον ὥστε ἀπ' ἄκρων ἀμέλγεσθαι τῶν δένδρων τὴν τροφήν.

ὅτι αἱ σφίγγες, φησί, καὶ οἱ κυνοκέφαλοι καὶ κῆποι παρεπέμποντο εἰς τὴν Ἀλεξάνδρειαν ἐκ τῆς τρωγλοδυτικῆς καὶ τῆς Αἰθιοπίας. εἰσὶ δὲ αἱ μὲν σφίγγες ταῖς γραφομέναις παρόμοιαι, πλὴν ὅτι πᾶσαι δασεῖαι καὶ ταῖς ψυχαῖς ἥμεροι καὶ πρᾶοι· καὶ πανουργίας κοι- 1364B. νωνοῦσι πλείστης, διδασκαλίας τε μεθοδευτικῆς ἐπὶ ποσὸν ἅπτονται, ὥστε τὴν εὐρυθμίαν ἐν πᾶσι θαυμάζειν. ὁ δὲ κυνοκέφαλος τὸ μὲν σῶμα ἀνθρώπου δυσειδοῦς ὑπογράφει, τὸ πρόσωπον δὲ κυνός· φωνὴν δὲ ἀφίησι μυγμῷ παραπλησίαν· ἄγριον δὲ ὑπερβολῇ καὶ τελείως ἀτιθάσευτον, καὶ τὴν ὄψιν ἐμφαῖνον ἀπό τε τῶν ὀφρύων καὶ τῶν ὀμμάτων αὐστηράν. περὶ μὲν τὸν ἄῤῥενα ταῦτα· τῷ δὲ θήλει πρόσκειται καὶ τὸ τὴν μήτραν ἔξω τοῦ σώματος φορεῖν καὶ οὕτω διαγίνεσθαι πάντα τὸν βίον. ὁ δὲ κῆπος ἔχει τὸ μὲν πρόσωπον λέοντι παραπλήσιον, 741 H. τὸ δὲ σῶμα πάνθηρι, τὸ δὲ μέγεθος δορκάδι, κατὰ τὴν ποικιλίαν καὶ τὴν προσηγορίαν λαβών. πάντων δὲ τῶν εἰρημένων ἀγριώτατον καὶ δυσκατεργαστότατον τὸ τῶν ταύρων τῶν σαρκοφάγων γένος, ὃ τῷ μεγέθει μὲν ὑπάρχει τῶν ἡμέρων ἁδρότερον, τάχει δὲ ὑπερβάλλον, πυῤῥὸν δὲ ἐξαισίως. καὶ τὸ μὲν στόμα μέχρι τῶν ὤτων αὐτοῦ διέστηκεν, ὄμμα δὲ ὑποφαίνει γλαυκότερον λέοντος. τὰ δὲ κέρατα τὸν μὲν ἄλλον χρόνον τοῖς ὠσὶ παραπλησίως κινεῖ, μάχῃ δὲ χρώμενον ἵστησιν ἀραρότως. τὴν δ' ἐπαγωγὴν τῆς τριχὸς ἐναντίαν ἔχει τοῖς ἄλλοις. τοῦτο δὲ τοῖς τε ἀλκιμωτάτοις ἐπιτίθεται, καὶ κυνηγεῖ τὰ λοιπὰ τῶν ζώων, καὶ τὰς ποίμνας τῶν ἐπιχωρίων μάλιστα κακοποιεῖ, καὶ μόνον ἐστὶν ἄτρωτον λόγχῃ καὶ τόξῳ. διὸ καὶ ποιῆσαι μὲν ὑποχείριον οὐδεὶς πολλῶν ἐπιβεβλημένων κατίσχυσε, τὸ δ' εἰς ὄρυγμα ἐμπεσὸν ἤ τινα δόλον τούτῳ παραπλήσιον ὑπὸ τοῦ θυμοῦ συντόμως γίνεται περιπνιγές. καὶ τὸ μὲν θηρίον εἰκότως κρίνεται [καὶ] παρὰ τρωγλοδύταις ἀλκὴν μὲν ἔχειν λέοντος,

a. 6. ἡμέρας] libri ἡμέραις. 10. ἄλλοις A: ἀλλήλοις ς. 31. εὐτελεῖ] εὐταλὴς δὲ B et corr A. καὶ om B. 33. ᾧ A: ὃ ς.

b. 4. καμηλοπάρδαλις] εἶδον τὸ τοιοῦτον ζῶον κἀγὼ παρὰ τοῦ τυραννοῦντος ἐν ἀλεξανδρείᾳ σταλὲν τῷ βασιλεῖ ἡμῶν. ζουράφιν δ' ἐκάλει τοῦτο ὁ ἀγαρηνὸς βάρβαρος mg A. 5. τὴν κλῆσιν καὶ add A. 6. πάχος] an τάχος? 19. ἀτιθάσευτον ς. 20. περὶ — ταῦτα om A. 22. διαγίνεσθαι A. 23. παραπλήσιον add A.

τάχος δὲ ἵππου, ῥώμην δὲ ταύρου, σιδήρῳ δὲ οὐχ ὑπεῖκον.

ὅτι ὁ κατὰ τὴν Αἰθιοπίαν ὀνομαζόμενος κροκόττας ἐστὶ μὲν ὡς ἐκ λύκου καὶ κυνὸς σύνθετον, ἀμφοῖν δὲ ἀγριώτερον καὶ πολλῷ βαρύτερον ἀπό τε τοῦ προσώπου καὶ τῶν ἄκρων ποδῶν, ἀλκῇ δὲ θαυμαστόν, ὀδοῦσι δὲ καὶ κοιλίᾳ δυνατώτατον τῶν ἄλλων. καὶ γὰρ κατάγνυσιν εὐπόρως πᾶν ὀστοῦ γένος, καὶ τὸ διαιρεθὲν εὐθέως δεδαπάνηται, καὶ περὶ τὰς πέψεις ἀδιήγητον. τοῦτο δὲ καὶ μιμεῖσθαί τινες τὴν ἀνθρωπίνην διάλεκτον διηγέμενοι ἡμᾶς μὲν οὐ πείθουσιν· ἐκεῖνοι δὲ καὶ τοῦτο προστιθέασιν, ὡς καὶ ἐξ ὀνόματος κατὰ τὰς νύκτας καλοῦντες, τοὺς δὲ ὡς ἐπ' ἀνθρώπου φωνῇ προσιόντας, οἱ δὲ ἀθρόον ἐπεισπίπτοντες κατεσθίουσιν.

ὅτι ὄφεων, φησί, λέγεται μεγέθη παράδοξα ἐν τοῖς τόποις εἶναι καὶ γένη θαυμαστά, καὶ πάντα ἀπὸ κυνηγίας ἔχοντα τὸν βίον· τῶν μέντοι ὑπὸ τὴν ἡμετέραν, φησίν, ὄψιν πεπτωκότων ὁ μέγιστος πέφηνε πηχῶν τριάκοντα. γίνεται δέ, φησί, πᾶς ὄφις, καὶ ὁ μέγιστος, χειροήθης, ἐνδείᾳ τῶν ἀναγκαίων πιεζόμενός τε καὶ κακουχούμενος. καὶ γὰρ καὶ ὃν ἰδεῖν ἐκεῖνός φησιν, ὅτι ὅτε τῆς τροφῆς ἀπορίᾳ προκειμένης συνεχῶς ἅμα τὸν θυμὸν ἐταπείνου καὶ τροφῆς ὄρεξιν ἐνεποίει σφοδροτέραν, τηνικαῦτα ἐντὸς τοῦ πλέγματος περιβαλόντες ἱερεῖα
1365R. πρὸς τὴν ἐπιθυμίαν οὕτω παρεσκεύασαν χειροήθη καὶ πρᾶον τὸν ἄγριον, ὥστε μηθὲν τῶν ἄλλων νομίζειν μήτε ἡμερώτερον μήτε φοβερώτερον, εἰκότως, οἶμαι, τοῖς ὑποχειρίοις τῶν ζώων τούτου συναντῶντος. τὸ μὲν γὰρ ἀντιβαῖνον κακουχεῖται, τὸ δὲ συγχωροῦν τρέφεται. πᾶν
742H. δὲ θηρίον διδάσκεται σωφρονεῖν οὐ λόγῳ τὴν ἐκδοχὴν τοῦ κρείττονος μανθάνον, παραπεπλεγμένης δ' ἐναλλὰξ τῷ πάθει τῆς μνήμης.

ὅτι φησί, Πολλῶν ὑπαρχόντων θαυμασίων καὶ πόῤῥω κειμένων ἀπὸ τῆς συνηθείας, αὐτοὺς ἐπελεύσομαι τῶν τόπων τοὺς μνήμης ἀξίους. πρῶτον μὲν ἀπ' Ἀρσινόης παραθέοντι τὴν δεξιὰν ἤπειρον θερμὰ πλείοσιν αὐλοῖς ἐκ πέτρας ὑψηλῆς εἰς θάλατταν διηθεῖται, στενοὺς ἔχοντα πόρους, οὐ γλυκέος ὕδατος ἀλλὰ πικρᾶς ἁλμυρίδος τε καὶ πηγῆς φύσιν ἐχούσης τοιαύτην. εἶτα ἀπὸ τῆς λίμνης συμβέβληκεν ὁ Νεῖλος, ὀχετοῦ διά τινων ἀραιωμάτων εἰς τὸν κοιλότατον ὑπερθέοντος τόπον.

πλησίον δὲ τῆς λίμνης εὐμεγέθει πεδίῳ βεβηκὸς ὄρος ἀναφαίνεται μιλτῶδες, ἄλλην μὲν οὐδεμίαν ὑποδεικνύον ἰδιότητα, χροιὰν δὲ τοιαύτην ἀπὸ τῆς κορυφῆς σημαῖνον τῆς ἄκρας ὥστε τῶν ἀτενιζόντων τὰς ὄψεις ἐπὶ πλέον βλάπτεσθαι. ἐφεξῆς δὲ λιμὴν μέγας ἐκδέχεται, ὃς πρότερον μὲν Μυὸς ἐκαλεῖτο ὅρμος, ἔπειτα δὲ Ἀφροδίτης ὠνομάσθη. ἐν οἷς καὶ νῆσοι τρεῖς εἰσὶ προκείμεναι, ὧν αἱ μὲν ἐλαίαις πεπύκνωνται, μία δὲ ἧττον μὲν δασεῖα, τῶν δὲ καλουμένων μελεαγρίδων ἐκτρέφουσα πλῆθος. τούτοις δ' ἐγγίζει κόλπος, ὃν καλοῦσιν ἀκάθαρτον. ὃν παραπλεύσαντι νῆσος ἔκκειται τῇ μὲν θέσει πελαγία, μῆκος ἔχουσα σταδίων ὡς ὀγδοήκοντα, ἣν καλοῦσιν ὀφιώδη, πρότερον μὲν γέμουσαν παντοίων ἑρπετῶν, ἐφ' ἡμῶν δὲ ἐλευθέραν τούτων. ἐν δὲ ταύτῃ γίνεται τῇ νήσῳ, φησί, καὶ τὸ καλούμενον τοπάζιον· ἔστι δὲ τοῦτο λίθος διαφαινόμενος, ὑάλῳ προσεμφερής, ἡδεῖαν ἐν χρυσῷ θεωρίαν ἀποδιδούς. τοῦτον τὸν λίθον οἱ τὴν νῆσον οἰκοῦντες καὶ τὴν λίθον βασιλικῷ φυλάσσοντες καὶ συλλέγοντες προστάγματι οὕτω λαμβάνουσιν. ἐν τῇ νυκτὶ πρὸς μέρος περιπολοῦσιν, ἔχοντες παντοίας τοῖς μεγέθεσι σκαφίδας. ὁ δὲ ἐν ταῖς πέτραις λίθος τὴν μὲν ἡμέραν ὑπὸ τοῦ φέγγους κρατούμενος διὰ τὸ πνῖγος οὐ γίνεται σύνδηλος, σκότου δὲ ἐπιστάντος, ἐν ᾧ ποτ' ἂν ᾖ πεφυκώς, διαλάμπει πάντοθεν. ὁ δὲ συνιδὼν φύλαξ τηλικοῦτον περιέθηκεν ἄγγος σημείου χάριν περὶ τὸ διαστίλβον, ἡλίκον ἂν ᾖ τοῦ θεωρουμένου φαντάσματος τὸ μέγεθος· εἶτα τὴν ἡμέραν ἐπερχόμενος, ἰσοπληθῆ τῇ προειρημένῃ περιτεμὼν πέτραν, τοῖς ἐκλεαίνειν δυναμένοις τεχνίταις παραδίδωσιν.

μετὰ δὲ ταῦτα τὸ πέλαγος οὕτως ἐστὶ ταπεινὸν ὥστε μήτε πλεῖον δυεῖν ὀργυιῶν ἀναμετρεῖσθαι, καὶ χλωρὸν πάντοθεν, οὐ τῇ φύσει τῶν ὑγρῶν ἀλλ' ὑπὸ τοῦ διαφαίνοντος μνίου τε καὶ φύκους· ὅθεν καὶ κυνῶν ἔχει θαλαττίων ἀναρίθμητον πλῆθος. δι' ἣν αἰτίαν ὁ ῥηθεὶς πόρος νηῒ μὲν μακρᾷ καὶ τοῖς ἐπήρεσι πλοίοις γίνεται εὐάρμοστος· ἀκύμων τε γάρ ἐστιν, οὐκ ἐκ πολλῶν 743H.
κυλίων τὸν κλύδωνα, καὶ θήραν ἰχθύων παραδίδωσιν ἄπιστον. τὸ δὲ περὶ τὰς ἐλεφαντηγοὺς κακὸν πολὺν 1368R.
ἔλεον τοῖς πάσχουσιν ἀπὸ τῶν ὁρώντων ἐκκαλεῖται. τὰ γὰρ πλοῖα τὸ κῦμα ἐξαίφνης ἢ πέτρᾳ περιέθηκεν ἢ

a. 3. ὅτι ὁ — ὀνομαζόμενος κροκόττας ἐστὶ μὲν A: ὅτι — κροκόττας ἐστὶ μὲν ὀνομαζόμενος ς. 6. ἄκρων — 7. ἄλλων] ἀκροπόδων ἐσθίει δὲ θαυμαστὸν τῶν ἄλλων corr A. 16. γένη B: γένει ς. 19. πᾶς φησὶν A. 22. προκειμένης A. 26. μηθὲν ς. 38. ἁλμυριάδος A. 40. συμβέβηκεν ς.
b. 16. ὑάλῳ] γάλῳ A. 24. σκότους B. 36. ἐπήρεσι] κωπήρεσι mg: Diodorus enim (3, 40) ἱππικάποις. 41. ἢ πέτρᾳ A, τῇ πέτρᾳ B: ἢ τῇ πέτρᾳ ς.

πρὸς ἀμμώδη συνήλασε περιοχήν, καὶ ἄπορον τὴν σωτηρίαν παρέχε τοῖς ἐμπλέουσι. διὸ τὰ μὲν πρῶτα ὀδυρμὸς τοὺς ἐπιπλέοντας συνέχει πολὺς μέν, οὐκ ἀπογινώσκων δὲ τὴν ἀμείνω προσδοκίαν· ἤδη γάρ τινας οὕτως ἀπενεχθέντας σέσωκε πλημμυρὶς ὑπολαβοῦσα τοῖς ἀνοιδοῦσιν αἰφνιδίως ἐκ τῆς θαλάττης ὄγκοις· ἐπὰν δὲ λήγῃ τὰ τῆς τροφῆς, μυρία μὲν ἀναδέχονται πάθη, τέλος δὲ ἀναλίσκονται πάντες ἢ λιμῷ ἢ (τοῦ λιμοῦ τὸ μακροχρόνιον οὐ φέροντες) ξίφει, ἢ αὐτῇ θαλάσσῃ σφᾶς αὐτοὺς ἐπιῤῥίπτοντες.

ὅτι φησί, Τὰ μὲν ἕως τῶν ταύρων καὶ Πτολεμαΐδος ἡρμήνευται, τὰ δὲ ἀνωτέρω τούτων οὐ τὴν τυχοῦσαν λαμβάνει μετάβασιν. κεῖται γὰρ οὐκέτι τὰ ἐπέκεινα πρὸς μεσημβρίαν τῆς χώρας, ἀεὶ δὲ πρὸς τὴν ἀνατολὴν ἀναστρέφει μᾶλλον, καὶ τὰς σκιὰς βάλλει τέως δυεῖν ὡρῶν εἰς τὸν ἀντικείμενον τόπον τῆς ἄρκτου. ἔτι δὲ ποταμοῖς καταῤῥεῖται τὰς πηγὰς ἀναφαίνουσιν ἀπὸ τῶν Ψεβαιῶν καλουμένων ὀρῶν. τῆς δὲ χώρας ἡ μὲν εἰς τὴν μεσόγειαν ἀνατείνουσα πλήρης ἐλεφάντων καὶ ῥινοκέρων καὶ ταύρων καὶ ὑῶν, τὰ δὲ εἰς τὸν πόρον καθήκοντα νήσοις ἅπαντα πυκνοῦται τῇ φύσει μὲν ἀκάρποις, γεμούσαις δὲ ὀρνέων ἀνιστορήτους ἰδέας ἐχόντων. τὸ δὲ ἀπὸ τοῦδε ἡ μὲν θάλαττα βαθεῖά τε καὶ πλόϊμος, κήτη δὲ ἔχει τηλικαῦτα ὥστε ἀγωνιᾶν τὸν ἰδόντα· οὐ μέντοι διαπεφώνηκεν οὐδείς, πλὴν τῶν περιπεπτωκότων ἀκουσίως ταῖς λοφιαῖς διὰ τὴν τῶν εἰρημένων ἄγνοιαν· καὶ γὰρ οὐδὲ διώκειν δύναται θρασύτερον τοὺς πλέοντας, τῶν ὀμμάτων τοῖς θηρίοις ἀμαυρουμένων, ὅταν ἐκ τῆς θαλάττης τὰ πρόσωπα ἀναφαίνωσιν.

ὅτι τοῦ Φοινικῶνος τὰ μὲν ἄνωθεν ὁρώμενα πέτραις ὕψεσι ποικίλαις κατέχεται, τοῖς δὲ πρὸς θάλασσαν διήκουσιν ἠϊὼν ὑπόκειται στενή τε καὶ μακρά. τῇ δὲ εἰρημένῃ παραλίᾳ συνάπτει μὲν τόπος, ὃν προσηγόρευσαν Νῆσσαν ἀπὸ τῆς τοῦ ζώου πολυπληθίας· αὕτη δὲ ἡ Νῆσσα κεῖται μὲν ἐγγὺς ἀκρωτηρίου καθ᾽ ὑπερβολὴν ὑλώδους, διατείνει δὲ ἐπ᾽ εὐθείας θεωρουμένη πρός τε τὴν Πέτραν καλουμένην καὶ τὴν Παλαιστίνην, εἰς ἣν Γεῤῥαῖοι καὶ Μιναῖοι καὶ πάντες οἱ πλησίον ἔχοντες τὰς οἰκήσεις Ἄραβες τόν τε λιβανωτόν, ὡς λόγος, καὶ τὰ φορτία τὰ πρὸς εὐωδίαν ἀνήκοντα ἀπὸ τῆς χώρας τῆς ἄνω κατάγουσιν.

ὅτι μετὰ τὸν καλούμενον Λαιανίτην κόλπον, ὃν Ἄραβες περιοικοῦσιν, ἡ Βυθημανέων ἐστὶ γῆ, πολλή τε καὶ πεδιάς, καὶ πᾶσα κατάῤῥυτος καὶ βαθεῖα, ἀγρώστει δὲ μόνον καὶ μηδικῇ καὶ λωτῷ βάθος ἀνδρόμηκες ἔχοντι πᾶς ὁ καρπὸς αὐτῇ περιγράφεται, ἕτερον δὲ γεωργεῖ οὐδέν. διὸ πολλαὶ μὲν ἐν αὐτῇ ἄγριαι κά-744H.
μηλοι, πολλαὶ δὲ ἐλάφων καὶ δορκάδων ἀγέλαι, συχναὶ δὲ ποῖμναι προβάτων καὶ ἀμύθητος ἀριθμὸς ἡμιόνων καὶ βοῶν. τούτοις δὲ τοῖς εὐκληρήμασιν ἀντικείμενον παραπέπλεκται κακόν· λεόντων γὰρ καὶ λύκων καὶ παρδάλεων συναναφέρει πλῆθος ἡ γῆ, ὡς εἶναι τὸ τῆς χώρας ἐπίτευγμα τοῖς οἰκηταῖς αἴτιον ἀκληρίας.

ἀπὸ δὲ τῶν ἐφεξῆς αἰγιαλῶν κόλπος ἐστὶ νενευκὼς 1369R.
μὲν εἰς τὸν μυχὸν τῆς χώρας, οὐκ ἔλαττον δὲ σταδίων πεντακοσίων ὑποδείκνυσι τὸ βάθος. οἱ δὲ τὴν ἐντὸς τοῦ κόλπου κατοικοῦντες καλοῦνται μὲν Βατμιζομανεῖς, εἰσὶ δὲ κυνηγοὶ τῶν χερσαίων ζώων. τὴν δ᾽ εἰρημένην χώραν νῆσοι τρεῖς ἐκδέχονται, λιμένας ποιοῦσαι πλείους· ὧν τὴν πρώτην Ἴσιδος ἱερὰν ὠνόμασαν, τὴν δὲ δευτέραν Σουκαβύαν, τὴν δὲ τρίτην Σαλυδώ, ἐρήμους δὲ πάσας καὶ συσκίους ἐλαίαις οὐ ταῖς παρ᾽ ἡμῖν ἀλλὰ ταῖς ἐν ἐκείνοις τοῖς τόποις φυομέναις.

μετὰ δὲ τὰς νήσους τὰς ἐκκειμένας ἔστιν ἰδεῖν αἰγιαλὸν λιθώδη καὶ μακρόν· ἡ δὲ χώρα Θαμουδηνῶν Ἀράβων. ὁ δὲ πρὸς ταύτην παράπλους ἐπὶ σταδίους τῶν χιλίων πλείους πάντων χαλεπώτατος· οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐ λιμὴν εὔορμος, οὐ σάλος ἐπ᾽ ἀγκύρας, οὐ κόλπος ἐπὶ σκέπης, οὐ χηλῆς ἐντύπωμα, ἀναγκαία καταφυγή, τὸν ναυτίλον δεχόμενον. μετὰ ταῦτα δὲ οὐκ εὐθὺς ἐφεξῆς, ἀλλὰ μεθ᾽ ἕτερά τινα, ἔστιν αἰγιαλὸς εἰς ὑπερβολὴν κάθυδρος ἐκτεινόμενος, καὶ τὸ προσηγορευμένον Λαιμὸν ὄρος, ἀμύθητον μὲν ἀναφαῖνον τῆς περιμέτρου τὸ μέγεθος, παντοίας δὲ ὕλης δρυμοῖς διεζωσμένον.

ὅτι τὴν ἀστυγείτονα τῆς ὀρεινῆς χέρσου Δεβαὶ κατοικοῦσιν, οἱ μὲν νομάδες, οἱ δὲ γεοῦχοι. ὧν κατὰ μέσην τὴν χώραν ποταμὸς διαφέρεται τριμερὴς μὲν τῇ φύσει, ψῆγμα δὲ χρυσοῦ κατάγων, οὕτω σύνδηλον τὴν δαψίλειαν ἔχων ὥστε τὴν ἰλὺν τὴν πρὸς ταῖς ἐκβολαῖς συν-

a. 5. ἐπενεχθέντας A. 8. δὲ om A. 10. θαλάττῃ B. 11. ταύρων om A, ταύρων καὶ expungit B. 14. πρὸς B: παρὰ ς. 17. ποταμοῖς om A. καταῤῥεῖται] καταῤῥύτοις corr A. 22. ἀνιστορήτων ὀρνέων ς. 24. πλώϊμος B. 25. διαπεφώνηκεν] vid. Wesseling. ad Diodor. 3, 41. 29. ἀναφαίνωσιν B: ἀναφήνωσιν ς. 32. τοῖς A: καὶ τοῖς ς. 35. πολυπληθείας B. 39. μινναῖοι B.
b. 11. εὐκληρήμασιν] ἐγκλήμασιν A. 12. παραπλέκεται A. 19. τῶν A: τῶν τε ς. 22. Σουκαβύαν] ...καβαν B, incerta syllaba prima. 26. Θαμουδηνῶν B et corr A: Θαμουδινῶν ς. 29. οὐ ante λιμὴν add A. 30. ἐπὶ σκέπης A: ἐπισκεπὴς ς. 31. ναυτίλον A: ναυτιλλόμενον ς. 35. τὸ om A. 37. γαιοῦχοι A.

σηγμένην πόῤῥωθεν ἀποστίλβειν. οἱ δὲ τὸν τόπον οἰκοῦντες τῆς μὲν ἐργασίας εἰσὶ τῆς τοιαύτης ἄπειροι, φιλόξενοι δὲ εἰς ὑπερβολὴν οὐ πᾶσιν ἀνθρώποις, ἀλλὰ τοῖς ἀπὸ Πελοποννήσου διεκβάλλουσι καὶ Βοιωτίας, διά τινα μυθικὴν ἀφ' Ἡρακλέους ἱστορίαν.

τούτων ἀστυγείτονές εἰσιν Ἀλιλαῖοι καὶ Κασανδρεῖς, κέκτηνται δὲ γῆν οὐδαμῶς ἐοικυῖαν ταῖς προειρημέναις. οὔτε γὰρ ἐψυγμένος ὁ ἀὴρ οὔτε ξηρὸς οὔτε ἔμπυρος, μαλακὴν δὲ καὶ δασεῖαν νεφέλην ὑποδεικνύων, ἀφ' ἧς ὑετὸς καὶ χειμῶνες γίνονται καὶ θέρους εὔκαιροι. τῆς τε χώρας ἡ πλείστη πάμφορος μέν ἐστιν, οὐ πᾶσα δὲ τυγχάνει θεραπείας, τῶν ἄλλων ἀπειροτέρων ὄντων. τὸν μέντοι χρυσὸν ὀρύσσοντες ἐν τοῖς πλακώδεσι τῆς χώρας ὑπονόμοις εὑρίσκουσι πολύν, οὐ τὸν συντηκόμενον 745 H. μετ' ἐπιστήμης καὶ τέχνης ἐκ τοῦ ψήγματος, ἀλλὰ τὸν αὐτόματον, καλούμενον δὲ διὰ τὸ συμβαῖνον παρ' Ἕλλησιν ἄπυρον· οὗ τὸ μὲν ἐλάχιστον ἔχει μέγεθος πυρῆνος, τὸ δὲ μέσον μεσπίλου, τὸ δὲ μέγιστον ὥστε βασιλικοῖς παραβάλλεσθαι καρύοις. ὃν τρήσαντες ἐναλλὰξ διαφανέσι λίθοις περί τε τοὺς καρποὺς φοροῦσι τῶν χειρῶν καὶ περὶ τοὺς αὐχένας, πρός τε τοὺς ἀστυγείτονας μετάγοντες πωλοῦσιν εὐτελῶς· τὸν μὲν γὰρ χαλκὸν πρὸς τὸν χρυσὸν τρίσταθμον ἀλλάττονται, τὸν δὲ σίδηρον πρὸς διπλοῦν χρυσίον. ὁ δὲ ἄργυρος τοῦ χρυσοῦ δέκα δύνανται μοίρας, τῇ δαψιλείᾳ καὶ σπάνει τῆς ἀξίας παραμετρουμένης, ἐν οἷς ἀποβλέπει πᾶς ὁ βίος οὐ πρὸς τὴν φύσιν ἀλλὰ πρὸς τὴν χρείαν. τούτων δὲ τῶν ἀνδρῶν συνεχεῖς Κάρβαι κατέχουσι τὴν ἤπειρον ἐκδεχομένου λιμένος ἀγχιβαθοῦς, ἐν ᾧ κρῆναι πλείους ἀναβάλλουσιν.

1372 R. ἑξῆς δὲ τὸ τῶν Σαβαίων ἐπισυνάπτει γένος, μέγιστον τῶν κατὰ τὴν Ἀραβίαν καὶ παντοίας κύριον εὐδαιμονίας. καὶ γὰρ ἡ γῆ πάντα φέρει τὰ παρ' ἡμῖν γινόμενα πρὸς βίον, καὶ τὰ σώματά ἐστι τῶν κατοικούντων ἀξιολογώτερα. βοσκημάτων κεχορήγηνται πλήθεσιν ἀμυθήταις. ὀσμή τε πᾶσαν ἐπέχει τὴν παραλίαν, θέας τε καὶ λόγου κρείττω τέρψιν τοῖς ἀφικνουμένοις κατασκευάζουσα. παρὰ μὲν γὰρ αὐτὴν πέφυκε τὴν θάλατταν τό τε βάλσαμον πολὺ καὶ κασσία καί τις ἄλλη πρόσφατος μὲν ἡδίστην ἔχουσα τῶν ὀμμάτων τέρψιν, ἐν δὲ τῷ χρονίζειν γινομένη συντόμως ἐξίτηλος, ὥστε πρότερον ἀπαμαυροῦσθαι τοῦ φυτοῦ τὴν χρείαν ἢ πρὸς ἡμᾶς παραπέμπεσθαι τοῦ γένους τὴν δύναμιν. ἐπὶ δὲ τῆς μεσογείου δρυμοὶ συνεχεῖς στείχουσι καὶ μεγάλοι· δένδρα γὰρ ἠλίβατα σμύρνης τε καὶ λιβανωτοῦ, πρὸς δὲ καὶ κινναμώμου φοίνικός τε καὶ καλάμου καὶ τῶν ἄλλων ἔνεισι τῶν τοιούτων, ὥστε εἶναι μηδενὶ λόγῳ τὸ πρᾶγμα δηλωτόν, ὃ συμβαίνει τοῖς περὶ τὰς αἰσθήσεις εἰληχόσι τοῦ γένους τὴν δοκιμασίαν. οὐ γὰρ τὴν τεθησαυρισμένην καὶ παλαιὰν ἔχει τῶν ἀρωμάτων ἀπόλαυσιν, οὐδὲ τὴν ἀπὸ τοῦ γεννῶντος καὶ τρέφοντος ὄγκου διακεχωρισμένην, ἀλλὰ τὴν ἀνθοῦσαν ἀπὸ τῆς θείας ἀκμῆς καὶ τὴν ἀπὸ τῶν οἰκείων καὶ φυσικῶν τὸ θαυμαζόμενον ἀποπέμπουσαν· ὥστε πολλοὺς εἰς λήθην ἀφικομένους τῶν θνητῶν εὐτυχημάτων τῆς ἀμβροσίας ὑπονοεῖν ἀπολαμβάνειν, ὄνομα τοῦ πράγματος ἐπιζητοῦντος οἰκεῖον τῆς ὑπερβολῆς.

περὶ δὲ τοὺς δρυμοὺς τῶν εὐωδῶν γένος ἐστὶν ὄφεων ἰδιώτατον πάντων, οἱονεὶ φθονούσης τοῖς ἁδροῖς ἐπιτεύγμασι τῆς τύχης καὶ παραπλεκούσης τἀγαθῷ τὸ βλαβερόν, ὅπως μηδεὶς εἰς τέλος ἐξυβρίζων τιτανῶδες καὶ κατεγνωκὸς τοῦ θείου τὸ φρόνημα λαμβάνῃ τῶν ἀγαθῶν εὐτυχούντων, παιδεύηται δὲ τῇ παραθέσει καὶ μνήμῃ τῶν ἐναντίων. τὸ δὲ γένος τῶν ὄφεων χρῶμα μὲν ἔχει φοινικοῦν, μῆκος δὲ ὅσον σπιθαμῆς, δῆγμα δὲ ἀνίατον, ἂν τῆς λαγόνος ἀνώτερον αἱμάξῃ· 746 H. τὴν δὲ πληγὴν δίδωσι παλλόμενον εἰς ὕψος.

παρ' αὐτοῖς δὲ τοῖς Σαβαίοις ἡ μὲν ὀσμὴ τῶν εὐωδῶν ἀκροτάτη, ἡ δὲ χάρις ἐλλιπής· τὸ γὰρ ἐνδελεχὲς ἐκ νηπίου κινεῖ μὲν τὴν αἴσθησιν ἧττον, ἀμβλυτέραν δὲ κατασκευάζει, μεταβολῆς τοῖς βίοις οὐχ ὑποκειμένης. οὐ μὴν ἀλλὰ κἀπειδὰν οὐ δύνωνται τὴν ζωὴν παιδαγωγεῖν παραπλησίως εὐσταθῆ, διαπνεομένου τοῦ σώματος ὑπ' ἀκράτου καὶ τμητικῆς δυνάμεως, καὶ τὴν σύμμετρον πύκνωσιν ἐπὶ πλεῖον ἀγούσης ὥστε ἄγειν εἰς ἔκλυσιν ἐσχάτην, τότε δὴ ἀσφάλτου παραθυμιῶντες βραχὺ καὶ τράγου πώγωνα τοῖς τοιούτοις ἀφαιροῦνται τὴν ἄγαν εὐώδη τῆς ἐπιφορᾶς ὑπερβολήν, καὶ τῇ μίξει τοῦ δοκοῦντος λυπεῖν τὸ τῆς ἡδονῆς βλαβερὸν ὑποκαταστέλλουσιν. οὕτως ἅπαν ἐπίτευγμα μεσότητι μὲν καὶ τάξει κυβερνώμενον παραπέμπει τὸν βίον, συμμετρίας δὲ καὶ καιροῦ στερηθὲν οὐκ ἔχει τὴν κτῆσιν ὀνησιφόρον.

τὸ δὲ τῶν Σαβαίων ἄστυ τοῦ παντὸς ἔθνους προσηγορίαν δηλοῦν, ἐπ' ὄρους ἐστὶν οὐ μεγάλου, πολὺ κάλλιστον τῶν

a. 10. ὑετὸς om *A*: ὑετοὶ καὶ χειμῶνος Wesseling. ad Diodor. 3, 45. θέρος *B*. 12. ἄλλων] immo ἀνθρώπων vel cum Diodoro λαῶν. 30. δὲ om *A*. 32. libri γενόμενα. 33. πρὸς τὸν βίον ς. 35. θέας] malim θείαν cum Diodoro 3, 46. 37. θάλασσαν ς. 38. κασία ς. ante τις adde πόα e Diodoro. 39. ἔχουσα] libri δὲ ἔχουσα. 41. ἀπομαυροῦσθαι ς. *b* 2. δένδρη *A*. 19. κατεγνωκὼς ς. 24. δὲ om *A*, post πληγὴν ponit ς. 29. δύνανται ς. 32. ἀγούσης] malim ἀραιούσης. Diodorus (3, 47) τῆς συγκρίσεως τῶν ὄγκων εἰς ἀραίωμα συναγομένης. 33. δὴ] δὲ *A*. 35. ἀποφορᾶς Salmasius ap. Sallier. ad Thom. Mag. p. 106.

Digitized by Google

1373B. κατὰ τὴν Ἀραβίαν, ὃ καλεῖται Σάβας. ὁ δὲ βασιλεύων τοῦ παντὸς ἔθνους προεδρίαν ἔχει παρὰ τοῦ λαοῦ τῇ μὲν ἔντιμον τῇ δὲ ἀκληροτάτην, ἔντιμον μὲν ὅτι πολλοῖς ἐπιτάττει, κατὰ κρίσιν ἀνυπεύθυνον ὃ βούλεται πράττων, ἄκληρον δὲ ὅτι παραλαβὼν τὴν ἐπιμέλειαν οὐ δύναται πάλιν ἐκ τῶν βασιλείων ἐξελθεῖν· εἰ δὲ μή, λιθόλευστος ὑπὸ πάντων γίνεται κατὰ χρησμὸν ἀρχαῖον, ὥστε εἶναι τὴν ὑπεροχὴν βλαβεράν. τῶν δὲ ἀνδρῶν οἱ μὲν καταγινόμενοι πρὸς τὸ οἴκοι ἐνδιατρίβειν βραχύ τι τοῦ θήλεος γένους ἀλκιμώτερον ἄγουσιν, ὑπὸ τῆς συνεχοῦς ἀπογυναικούμενοι ῥαστώνης· οἱ δὲ ἄλλοι τά τε πρὸς πόλεμον μελετῶσι καὶ τὴν χώραν ἅπασαν ἐργάζονται καὶ στέλλουσιν ἀπ' οἰκίας, ταῖς μείζοσι χρώμενοι σχεδίαις. κομίζουσι δὲ ἄλλα τε, καὶ μάλιστα τὸν εὐώδη καρπὸν τὸν ἐν τῷ πέραν φυόμενον (ἀραβιστὶ δὲ λέγεται λάριμναν), μεγίστην ἔχοντα τῶν ἄλλων θυμιαμάτων εὐωδίαν· ὃν κρατεῖν λέγεται γένους ἀρρωστίας ὡς ἐπὶ τὸ πολὺ σωματικῆς. οὐδεμίαν δὲ τῆς γῆς ἄλλην ὕλην φερούσης, ἀναγκάζονται πρὸς τὰ καθ' ἡμέραν τὸ κιννάμωμον καὶ τὴν κασσίαν καίειν, καὶ πρὸς τὰς ὑπολοίπους ἐν τῷ βίῳ χρείας· οὕτως ἀνίσως τὰ αὐτῆς ἡ τύχη μεμέρικε, τοῖς μὲν σπάνιν τῶν σπουδαίων τοῖς δὲ πλῆθος διδοῦσα. τῶν δὲ Σαβαίων χρῶνται καὶ τοῖς δερματίνοις οὐκ ὀλίγοι πορείοις, διδασκούσης τὴν χρείαν τῆς ἀναπώτιδος, καίπερ ἐν τρυφῇ καταγινομένους. οὐδὲν γὰρ εὐπορώτερον Σαβαίων καὶ Γερραίων εἶναι δοκεῖ γένος, ἐκτεταμιευμένων πᾶν τὸ πῖπτον εἰς διαφορᾶς λόγον ἀπὸ τῆς Ἀσίας καὶ τῆς Εὐρώπης. οὗτοι πολύχρυσον τὴν Πτολεμαίου Συρίαν πεποιήκασιν, οὗτοι τῇ Φοινίκων φιλεργίᾳ κατεσκευάκασι λυσιτελεῖς ἐμπορίας, καὶ μυρία
747H. ἄλλα. ἔστι δὲ πολυτέλεια παρ' αὐτοῖς οὐ μόνον ἐν τορεύμασι θαυμαστοῖς καὶ ποτηρίων ποικιλίαις, ἔτι δὲ κλινῶν καὶ τριπόδων μεγέθεσι, καὶ τῶν ἄλλων τῶν κατ' οἰκίαν παρ' ἡμῖν ἐκτεινομένων λαμβάνει τὴν ὑπερβολήν, πολλῶν, ὡς ἔοικε, κεκτημένων χορηγίαν βασιλικήν. κίονάς τε πολλοὺς αὐτοῖς φησὶ κατεσκευάσθαι ἐπιχρύσους τε καὶ ἀργυροῦς, πρὸς δὲ καὶ τὰς ὀροφὰς καὶ θύρας φιάλαις λιθοκολλήτοις ἐξειλῆφθαι πυκναῖς, ὡσαύτως καὶ τὰ μεσοστύλια θέαν ἔχειν εὐπρεπῆ, καὶ καθόλου τοὺς παρὰ τῶν ἄλλων πλούτους ἐκκεῖσθαι τὴν διαφορὰν μεγάλην. ἀλλὰ ταῦτα μὲν ἕως τοῦ καθ' ἡμᾶς

παρ' αὐτοῖς ἐπαγγέλλεται βίου. εἰ δὲ μὴ πόρρω διεστηκυῖαν τὴν οἴκησιν κατεῖχον τῶν ἐπὶ πάντα τόπον τὰς δυνάμεις στρεφόντων, οἰκονόμοι τῶν ἀλλοτρίων ἂν ὑπῆρχον οἱ κύριοι τῶν ἰδίων ἄθλων, τῆς ῥαθυμίας ἀδυνατούσης τὸ ἐλεύθερον πλείω χρόνον διατηρεῖν.

παρὰ δὲ τὴν χώραν ταύτην ἡ μὲν θάλαττα λευκὴ φαίνεται, ποταμῷ ἐμφερής, ὥστε παραπλήττεσθαι τοῦ γινομένου τὴν αἰτίαν, νῆσοι δὲ εὐδαίμονες παράκεινται, ἐν αἷς βοσκήματα λευκὰ μέν ἐστι πάντα, οὐδενὶ δὲ τῶν θηλειῶν ἐπιφύεται κέρας. ἐν ταύταις ταῖς νήσοις ἰδεῖν ἔστιν ὁρμούσας ἐμπορικὰς τῶν προσχώρων σχεδίας, πλείστας μὲν ἐκεῖθεν οὗ κατεστήσατο παρὰ τὸν Ἰνδὸν ποταμὸν ὁ Ἀλέξανδρος ναύσταθμον, οὐκ ὀλίγας δὲ ἀπὸ 1376B.
τῆς Περσίδος καὶ Καρμανίας καὶ τῆς σύνεγγυς πάσης.

ἔστι δὲ αὐτοῖς καὶ τὰ κατὰ τὸν οὐρανὸν θαυμασίως ἔχοντα· ὧν ἐστὶ καὶ τὸ περὶ τὴν ἄρκτον συμβαῖνον. ἀπὸ γὰρ μαιμακτηριῶνος, ὃς ἄγεται παρὰ τοῖς Ἀθηναίοις, οὐδεὶς ἀστὴρ τῶν ἑπτὰ φαίνεται μέχρι φυλακῆς πρώτης, ἐν δὲ ποσειδεῶνι μέχρι δευτέρας, ἐν δὲ τοῖς ἑξῆς τῶν μηνῶν κατὰ λόγον. τῶν δ' ἄλλων ἀστέρων οἱ μὲν πλάνητες ἀόρατοι, τινὲς δὲ τοῖς ὄγκοις μείζονες, οἱ δὲ οὐδὲ κατὰ τοὺς ὑφεστῶτας καιροὺς τὰς δύσεις ποιούμενοι καὶ τὰς ἐπιτολάς. τοῦ δὲ ἡλίου τὴν ἔκφασιν ἐν τοῖς ἐπέκεινα Πτολεμαΐδος ἰδίαν λέγουσι καὶ παρηλλαγμένην. πρῶτον μὲν γὰρ οὐ καθάπερ παρ' ἡμῖν φῶς ἀνήλιον ἕωθεν ὁρῶμεν ἐπὶ χρόνον οὐκ ὀλίγον, εἶτα τὴν ἀνατολήν· ἀλλὰ νυκτὸς σκοτίας ὑπαρχούσης ἐξαίφνης ἀνέλαμψεν ἥλιος, ἡμέρα δὲ οὐδέποτε γίνεται ἐκεῖσε πρὶν τὸν ἥλιον ἰδεῖν. δεύτερον ὁ ἥλιος ἀναφερόμενος φαίνεται ἐκ μέσου τοῦ πελάγους. [τρίτον] ποιεῖ δὲ τοῦτο ἄνθρακι μὲν ὢν τῶν πυρωδεστάτων παρόμοιος, σπινθῆρας δὲ μεγάλους ἀπορρίπτων, τοὺς μὲν εἰς τὸν κύκλῳ τόπον τοῦ φωτίζοντος, τοὺς δὲ εἰς τὸν ἀπωτέρω. [τέταρτον] καὶ τὸ σχῆμα δὲ οὐ δισκοειδὲς ἔχειν τὸν ἥλιόν φασιν, ἀλλὰ κίονι παχεῖ τά γε πρῶτα ἐμφερῆ, μικρὸν ἐμβριθέστερον ἔχοντι τὴν ἀπὸ τῶν ἄκρων φαντασίαν, οἱονεὶ κεφαλήν. [πέμπτον] ἔτι τοίνυν οὔτε αὐγὴν οὔτε ἀκτῖνα ἀπολάμπειν οὐδεμίαν, οὔτε ἐπὶ τὴν γῆν οὔτε ἐπὶ τὴν θάλατταν, ἕως πρώτης ὥρας, ἀλλ' ἐπὶ σκότει πῦρ ἀλαμπές· δευτέρας δ' ἐνισταμένης τὸ ὅλον ἄστρον ἀναβαῖνον, ἀσπιδοειδὲς καθιστάμενον, τοῦ σχήματος τὸν τύπον καὶ

a. 1. σαβᾶς ς. 2. τῇ — 3. τῇ] πῇ — πῇ B et corr A. 9. πρὸς τὸ οἴκοι ἐνδιατρίβειν in mg ponit A. 11. τά τε] πάντες A. 13. ἀπ' οἰκίας] libri ἀποικίας. 15. δὲ om B. 16. ἔχοντα A: ἔχων ς. 17. ὃν B: ὧν ς. γένους B et corr A: γένος ς. ὡς ἐπὶ τὸ πολὺ om B. 21. τὰ αὐτῆς B et corr A: ἑαυτῆς ς. 38. ἐξειλῆφθαι λιθοκολλήτοις B. 40. παρὰ — πλούτους] παρ' αὐτῶν τοῖς τῶν ἄλλων πλούτοις B.
b. 1. ἀπαγγέλλεται mg. 3. libri τρεφόντων. 38. ἀπολάμπει B.

τὸ φῶς ἐπί τε τὴν γῆν καὶ τὸ πέλαγος βάλλει οὕτως
748 H. ἄτοπον ″καὶ πυρῶδες, ὥστε ἀμφοῖν νομίζεσθαι παμμεγέθεις τὰς ὑπερβολάς. [ἕκτον] εἰς δὲ τὴν ἑσπέραν ἐναντίον τὸ περὶ τὸν ἥλιον πάθος φασὶν ὁρᾶσθαι· ὑποδείξαντα γὰρ ὅτι δέδυκε κατὰ τῆς γῆς, οὐκ ἐλάττω χρόνον ὡρῶν τριῶν μετὰ ταῦτα φωτίζειν, ὃν καὶ νομίζουσι παρ' αὐτοῖς καιρὸν εἶναι τῆς ἡμέρας τὸν ἥδιστον.

ὅτι εἰπὼν περὶ ἀμπώτεων ὁ συγγραφεὺς διαφόρους αἰτίας, καὶ πάσας ὡς οὐδὲν ἐχούσας ἀληθὲς ἀποδοκιμάσας, ἐπάγει Ὅτι δὲ ταῦτα πάντα λαλιὰν μὲν ἔχει σιγᾶν αἰσχυνομένην, πράγματος δὲ οὐδενὸς ἀντείληπται βοήθειαν δυναμένου τοῖς εἰρημένοις παρασχεῖν, εὐχερές ἐστι μαθεῖν. εἶτα προσθεὶς καὶ ἕτερα τῆς αὐτῆς ἐννοίας ἐχόμενα, πάλιν ἐπιφέρει Διὸ περὶ μὲν ἀμπώτιδος καὶ σεισμοῦ καὶ πνευμάτων καὶ κεραυνῶν καὶ τῶν τοιούτων ἁπάντων τὰς μὲν αἰτίας, δι' ἃς γίνεται, παραχωροῦμεν τοῖς ἑτοιμότερον ἔχουσι πρὸς εὐκολίαν ἡμῶν· τὰ δὲ πάθη τὰ γεννῶντα τὰς προφανεῖς συμφορὰς δεδηλώκαμεν, μαθόντες παρὰ τῶν εἰδότων. εὑρίσκειν δὲ πιθανώτερα τούτων εἰς μὲν ὑπόθεσιν παράδοξον φιλοτιμούμεθα, ἱστορίαν δὲ ἀπαγγέλλοντες ἀληθινὴν οὐκ ἂν ὑπομείναιμεν.

ὅτι ἐν τῷ προειρημένῳ πόρῳ, φησί, περὶ τὰς ἐλαίας τοιοῦτόν τι ξένον συμβαίνει. πλημμυρίδος ὑπαρχούσης πᾶσαι καλύπτονται, τῆς δ' ἀμπώτεως γινομένης ἐν τῇ
1377 R. θαλάσσῃ ″πάντα τὸν χρόνον θάλλουσιν. ἔστι δέ τι φυόμενον αὐτόθι κατὰ βάθος ἐν ταῖς ῥαχίαις, μελαίνῃ σχοίνῳ παραπλήσιον, ὅ φασιν οἱ ἐκεῖσε κατοικοῦντες Ἴσιδος εἶναι τρίχωμα, μυθώδει πλάσματι πίστιν εὐήθη περιτιθέναι ζητοῦντες. συμβέβηκε δ' αὐτῷ τυπτομένῳ μὲν ὑπὸ τοῦ κύματος κάμπτεσθαι πολλαχῶς, ἁπαλῆς οὔσης τῆς ὅλης περιοχῆς καὶ τοῖς ἄλλοις παραπλησίας φυτοῖς· ἂν δέ τις ἀποκόψας εἰς τὸν ὕπαιθρον ἀναφήνῃ τόπον, σιδήρου παραχρῆμα γίνεται τὸ διῃρημένον σκληρότερον.

ὅτι καὶ ἄλλοι μὲν πολλοί, φησίν, ἰχθύες περὶ τοὺς προειρημένους τίκτονται τόπους, παρηλλαγμένην ἔχοντες τὴν φύσιν, γίνεται δέ τις ἰχθὺς ὑπερβαλλόντως μέλας, ἀνδρὸς ἔχων μέγεθος, ὃν καλοῦσιν αἰθίοπα διὰ τὸ καὶ τοῦ προσώπου σιμὸν ἔχειν τὸν τύπον. τοῦτον κατ' ἀρχὰς μὲν οἱ θηρεύσαντες διὰ τὴν ὁμοιότητα οὔτε πωλεῖν ἠξίουν οὔτε καταναλίσκειν, τοῦ δὲ χρόνου προϊόντος ἀμφότερα πράττοντες οὐδὲν ἁμαρτάνουσιν.

τὰ μὲν οὖν ὑπὲρ τῶν ἐθνῶν τῶν ἐκκειμένων πρὸς μεσημβρίαν, ὡς ἦν ἐφ' ἡμῖν, ἐν ε' βιβλίοις ἐπιμελῶς ἱστορήκαμεν· ὑπὲρ δὲ τῶν ἐν τῷ ″πελάγει νήσων ὕστερον 749 H.
τεθεωρημένων, καὶ τῶν ἑξῆς ἐθνῶν, καὶ τῶν εὐωδῶν ὅσα φέρειν συμβαίνει τὴν τρωγλοδῦτιν χώραν, ἡμεῖς μὲν παραιτησάμενοι τὴν ἐξήγησιν ἄρδην ἀπολελοίπαμεν, οὔτε τὸν πόνον τῆς ἡλικίας ὁμοίως ὑποφέρειν δυναμένης, πολλῶν ἡμῖν ὑπέρ τε τῆς Εὐρώπης καὶ τῆς Ἀσίας ἀναγεγραμμένων, οὔτε τῶν ὑπομνημάτων διὰ τὰς κατ' Αἴγυπτον ἀποστάσεις ἀκριβῆ παραδιδόντων σκέψιν· ὁ δὲ καὶ τοῖς κατὰ μέρος πράγμασιν ἐντετευχώς, καὶ λόγοις κατεσκευασμένος ἱστορίας ἀξίοις, καὶ προαίρεσιν ἔχων δυναμένην δόξαν πόνῳ θηρεύειν, οὐκ ἀφέξεται.

ὅτι Ἀῤῥιανὸς περὶ κομητῶν φύσεώς τε καὶ συστάσεως καὶ φασμάτων βιβλιδάριον γράψας, πολλοῖς ἀγωνίσμασι πειρᾶται δεικνύναι ὅτι μηδὲν μήτε τῶν ἀγαθῶν μήτε τῶν φαύλων τὰ τοιαῦτα φάσματα ἀποσημαίνουσι.

## 251.

″Ἀνεγνώσθη ἹΕΡΟΚΛΕΟΥΣ ὁ περὶ προνοίας. 1380 R.
καὶ τί, φησί, καταλέγω σοι τούτους, ὅπου γε καὶ τῶν Πλατωνικῶν τινὲς οὐκ ὀρθὴν τὴν περὶ τοῦ δημιουργοῦ θεοῦ διασῴζουσιν ἔννοιαν; οὐ γὰρ ἱκανὸν αὐτὸν εἶναι ᾠήθησαν αὐτοτελῶς ὑποστῆσαι δύνασθαι κόσμον οἰκείᾳ δυνάμει καὶ σοφίᾳ ἐξ ἀϊδίου ἐνεργοῦντα, ἀλλ' ἀγενήτου ὕλης συνεργίᾳ καὶ τῇ μὴ παρ' αὐτοῦ ὑποστάσῃ φύσει καταχρώμενον μόνως δημιουργεῖν δύνασθαι, πάντων μὲν δυνάμει προϋποκειμένων ἐν τῇ λεγομένῃ ὕλῃ, αὐτοῦ δὲ οἱονεὶ διαζωγραφοῦντος αὐτὰ καὶ τάττοντος μόνον καὶ διακρίνοντος ἐκ τοῦ ὑλικοῦ σχήματος. ὃ περιεργία μᾶλλον ἂν εἴη ἢ ἀγαθότης θεοῦ. τί γὰρ δὴ μαθὼν ἃ μὴ ὑπέστησε διατάττειν πειρᾶται, πάντως οὐ τῆς εὐταξίας αὐτοῖς ἐν τῇ ἀγενησίᾳ τῆς ἑαυτῶν φύσεως κειμένης; τὸ γὰρ ἀγενήτως καθ' ἑαυτὸ ὑφεστὸς εἴ τι προσλάβοι, παρὰ φύσιν προσλήψεται· τὸ δὲ παρὰ φύσιν διατεθῆναι κακὸν τῷ μετατρεπομένῳ· ὥστε οὐκ ἀγαθὸν τῇ λεγομένῃ ὕλῃ τὸ κοσμεῖσθαι, εἴπερ ἀγένητος εἴη μὴ ἀπὸ χρόνου μόνον ἀλλὰ καὶ ἀπὸ αἰτίου, καθ' ὃ σημαινόμενον καὶ τὸν θεὸν ἀγένητον λέγομεν. ἀλλ' οὐδὲ ὁ θεὸς

a. 2. πυῤῥῶδες ς. 9. libri ἀποδοκιμήσας. 25. ἀναπώτεως B: cf. 459 a 24. γενομένης ς. 26. θαλάττῃ B. 27. μέλανι ς. 40. τοῦτον B: τοῦτο ς.
b. 5. τῷ om A. 8. μὲν add A. 13. ἐντετυχηκὼς ς. 27. ἀλλ' ἀγενήτου] ἀλλὰ γενητῆς A. 32. διαγρ. μόνον ἐκ ς. 33. ἀγαθότης A: ἀγαθότητος ς. παθὼν B. 36. ὑφεστὼς ς. 40. καὶ ἀπὸ B: καὶ τὸ ἀπὸ ς.

αὐτὸς κακῶν ἀναίτιος ἔσται, τὴν ἀρχὴν τῆς δημιουργίας ἀπό τινος κακοποιίας ἐνστησάμενος τῷ παρὰ φύσιν διατιθέναι τὴν ἐπ' ἴσης αὐτῷ ἀγένητον οὐσίαν πειρᾶσθαι, καὶ τὴν ἀδελφήν, ἣν τὸ αὐτόματον αὐτῷ συνήγαγε, μὴ ἐᾶν μένειν ἐπὶ τῆς ἀγενήτου τάξεως. πρὸς τῷ μηδὲ δυνατὸν εἶναι κατισχῦσαι πράγματος ἰσοτίμως ἀγενήτου τυγχάνοντος, εἴτε ἐξ ἀϊδίου ποιεῖσθαι τὴν τοιαύτην ἐπικράτειαν εἴτε ἀπὸ χρόνου ἐπιχειροίη. ϗ μᾶλλον ἂν εἴη τῆς ἀληθείας ἀφεστός, εἰ πρὸς τῷ ἐνδεεῖ τῆς ὑλικῆς ἐνεργείας καὶ ἀπὸ χρόνου τινὸς κοσμεῖν ἤρξατο, 1381R. ὅπερ οὐκ ἐᾷ μένειν αὐτὸν ἐν τῷ αὐτοῦ ἤθει. "εἰ γὰρ 150 H. ἄμεινον μὴ ποιεῖν, "πῶς εἰς τὸ ποιεῖν μεταβέβηκεν; εἰ δὲ τὸ ποιεῖν, τί μὴ ἐξ ἀϊδίου ἔπραττεν, εἴγ' ἀδιάφορον αὐτῷ ϗ τὸ ἐξ ἀϊδίου ποιῆσαι ἐφάνη; εἰ μὴ ἄρα φύσεως αὐτὸν εἴποι τις ἀνὰ μέρος ποιεῖν τε ϗ φθείρειν δυναμένης, αἰώνια δὲ δημιουργεῖν ἀσθενούσης, διότι ἡ τῆς ὕλης κακία, ᾗ προσχρῆται, τὴν ἐπίθετον ϗ ἐπεισοδιώδη τάξιν ἀποσείεται, συνεχῶς εἰς τὴν ἀγένητον αὐτῆς (ὡς ἂν εἴποιμι) ἀταξίαν ἀνατρέχουσα, ϗ οὕτως ἀνὰ μέρος τοῖς χρόνοις κόσμον καὶ ἀκοσμίαν ἐπικρατεῖν, ἢ (ἀληθέστερον εἰπεῖν) ἀεὶ ἀκοσμίαν, ἐπεὶ ϗ ἡ κόσμησις, παρὰ φύσιν οὖσα διάθεσις, ἀκοσμία τῷ ὀρθῶς λογιζομένῳ φανήσεται.

ὅτι πολλοὶ τῶν ἀπὸ Πλάτωνος ϗ τῶν ἀπὸ Ἀριστοτέλους συγκρούειν ἀλλήλοις τοὺς σφῶν διδασκάλους κατὰ τὰ καίρια, φησί, τῶν δογμάτων σπουδὴν καὶ μελέτην εἰσενηνοχότες μέχρι τούτου φιλονεικίας ϗ τόλμης ἤλασαν, ὡς ϗ τὰ συγγράμματα τῶν οἰκείων νοθεῦσαι διδασκάλων εἰς τὸ μᾶλλον ἐπιδεῖξαι τοὺς ἄνδρας ἀλλήλοις μαχομένους. καὶ διέμεινε τοῦτο τὸ πάθος ταῖς φιλοσόφοις διατριβαῖς ἐνσκῆψαν ἕως Ἀμμωνίου τοῦ Ἀλεξανδρέως τοῦ θεοδιδάκτου. οὗτος γὰρ πρῶτος ἐνθουσιάσας πρὸς τὸ τῆς φιλοσοφίας ἀληθινόν, ϗ τὰς τῶν πολλῶν δόξας ὑπεριδὼν τὰς ὄνειδος φιλοσοφίᾳ προστριβομένας, εἶδε καλῶς τὰ ἑκατέρου καὶ συνήγαγεν εἰς ἕνα καὶ τὸν αὐτὸν νοῦν, καὶ ἀστασίαστον τὴν φιλοσοφίαν παραδέδωκε πᾶσι τοῖς αὐτοῦ γνωρίμοις, μάλιστα δὲ τοῖς ἀρίστοις τῶν αὐτῷ συγγεγονότων, Πλωτίνῳ ϗ Ὠριγένει ϗ τοῖς ἑξῆς ἀπὸ τούτων.

ὅτι Πλάτωνά φησι τὰς ἀνθρωπίνας μόνας ψυχὰς μετενσωματοῦσθαι, ϗ ταύτας οὐχ ἁπλῶς, ἐξ ἀνθρώπων δὲ μόνον εἰς ἀνθρώπους. ἐξ ἀλόγων δὲ ζώων εἰς ἀνθρώπους μετάβασιν ἢ εἰς ἄλογα ἐξ ἀνθρώπων οὐδαμῶς αὐτὸν φησι δοξάζειν.

ὅτι δημιουργὸν θεόν, φησί, προϋφίστησιν ὁ Πλάτων ἐφεστῶτα πάσης ἐμφανοῦς τε καὶ ἀφανοῦς διακοσμήσεως, ἐκ μηδενὸς προϋποκειμένου γεγενημένης· ἀρκεῖν γὰρ τὸ ἐκείνου βούλημα εἰς ὑπόστασιν τῶν ὄντων. τῆς δὲ σωματικῆς φύσεως συντεταγμένης τῇ ἀσωμάτῳ δημιουργίᾳ κόσμον ἐξ ἀμφοῖν συνίστασθαι τελεώτατον, διπλοῦν ἅμα καὶ ἕνα· ἐν ᾧ ἄκρα εἶναι ϗ μέσα ϗ τελευταῖα, ὧν τὰ μὲν πρῶτα οὐράνια καλεῖ ϗ θεούς, τὰ δὲ μέσα λογικά, αἰθέρια καὶ δαίμονας ἀγαθούς, ἑρμηνέας τε ϗ ἀγγέλους τῶν συμφερόντων ἀνθρώποις γινομένους, τὰ δὲ τελευταῖα λογικὰ καὶ περίγεια καὶ ἀνθρωπίνας ψυχὰς ἢ ἀθανάτους ἀνθρώπους. ϗ τῶν μὲν ὑποβεβηκότων τὰ προηγέμενα ἀεὶ ἡγεῖσθαι, πάντων δὲ βασιλεύειν τὸν ποιητὴν αὐτῶν θεὸν ϗ πατέρα, καὶ ταύτην τὴν πατρονομικὴν βασιλείαν αὐτοῦ "πρόνοιαν εἶναι τὴν ἑκάστῳ γένει τὰ προσήκοντα νο- 151 H. μοθετοῦσαν, τὴν δὲ ταύτῃ ἑπομένην δίκην εἱμαρμένην καλεῖσθαι· οὐ γὰρ τὴν τῶν γενεθλιαλόγων ἀνεπιλόγιστον ἀνάγκην, οὐδὲ τὴν Στωϊκὴν βίαν, οὐδ' ἣν Ἀλέξανδρος ὁ Ἀφροδισιεὺς οἴεται, εἰς ταὐτὸν τῇ Πλατωνικῇ τῶν σωμάτων φύσει ταύτην περιάγων, οὐδὲ τὴν ἐπῳδαῖς καὶ θυσίαις παρατρεπομένην γένεσιν, ὡς οἴονταί τινες, "ἀλλὰ τὴν τῶν ἐκβαινόντων κατὰ τὸν 1384R. τῆς προνοίας θεσμὸν δικαστικὴν τοῦ θεοῦ ἐνέργειαν, τάξει ϗ εἱρμῷ πρὸς τὰς προαιρετικὰς ὑποθέσεις τῶν αὐτεξουσίων ἔργων ἐπανορθουμένην τὰ καθ' ἡμᾶς.

ὅτι κοινῶς μὲν ἡ πρόνοια ϗ τάξις ἀπὸ τοῦ δημιουργοῦ θεοῦ διήκει ἐπὶ πάντα τὰ ἀθάνατα γένη, μάλιστα δὲ ϗ προσφυέστερον ἐπὶ τὰ πρῶτα καὶ προσεχῶς ἀπ' αὐτοῦ τὴν γένεσιν ἔχοντα καὶ ἑξῆς ὄντα ἐκείνῳ, ϗ τῆς τῶν νοητῶν ἀγαθῶν ἀρίστης μετουσίας ἀπολαύοντα. τριῶν γὰρ ὄντων τῶν ἐγκοσμίων νοερῶν γενῶν τὸ μὲν ἀκρότατον ϗ πρῶτον· τῶν τοῦ δημιουργοῦ γεννημάτων ἀτρέπτως καὶ ἀμεταβλήτως τῆς πρὸς αὐτὸν ὁμοιώ-

a. 4. συνήγαγεν αὐτῷ B. 5. μηδὲ A: μὴ ς. 6. κατισχῦσαι A: κατισχῆσαι vel κατασχῆσαι ς. 9. ἀφεστὼς ς. 10. ἀπὸ add A. 13. εἴγ'] libri εἰ δ'. 19. αὐτῆς A: αὐτοῖς ς. 24. τῶν ἀπὸ ante Ἀριστοτέλους add A. 25. συγκρούειν A: συγκροτεῖν ς. 26. φασὶ A. 30. καὶ διέμεινε] διέμεινε δὲ B: A om particulam. 32. τοῦ Ἀλεξανδρέως add A. 34. τὰς πλεῖστον ὄνειδος ς.

b. 1. Πλάτωνα] κατὰ Πλάτωνα Needhamus, recte, nisi mox leg. μετενσωματοῦν. ψυχὰς om pr A. 3. μόνων ς. 10. ἀσωμάτων ς. 11. συνίστασθαι A: ἵστασθαι ς. 13. καλεῖν pr A. 18. πάντων] των sine accentu B. 19. δὲ B et rc A, qui pr om: τε ς. 20. πατρωνυμικὴν B. 21. νομοθετοῦσαν] νέμουσαν Needhamus coll. p. 172 b 2. 22. ταύτῃ A: αὐτῇ ς. 24. ἀνάγκην] ἀνάγκην προσίεται Needhamus coll. p. 172 b 9. 25. ταὐτὸ ς. 28. κατὰ add Needhamus coll. l. l. v. 15. 29. ἐνεργεῖ B. 31. ἔργων add A. 35. ἑξῆς A: ἐφεξῆς ς.



Digitized by Google

σεως τυγχάνον ἐν πάσῃ ἐστὶ θεοειδεῖ εὐταξίᾳ, οἷον τὸ τῶν οὐρανίων ἔφαμεν γένος. τὸ δὲ δεύτερον, δευτέρως καὶ ὑφειμένως τὴν θείαν τάξιν παραδεχόμενον, οὐκ ἀτρέπτως μὲν οὐδ' ἀμερίστως τῆς δημιουργικῆς ὁμοιώσεως μεταλαγχάνει, ἀναμαρτήτως δὲ καὶ ἀκακύντως τῶν πατρικῶν ἐπιστρέφεται νόμων, ὃ τοῖς αἰθερίοις ἀποδεδώκαμεν. τὸ δὲ τρίτον, ὡς ἔσχατον τῶν θείων γενῶν, οὐ μόνον τῷ ὁπωσοῦν τρέπεσθαι τῆς ὑπεροχῆς τῶν οὐρανίων ὑπέβη, ἀλλὰ καὶ τῷ ποτὲ κακύνεσθαι τῆς τῶν αἰθερίων ἀξίας ὑπέστη. τὸ μὲν γὰρ ἀεὶ νοεῖν τὸν θεὸν καὶ ἡνωμένως αὐτοῦ τὴν γνῶσιν ἔχειν τοῖς οὐρανίοις πρόσεστι· τὸ δὲ ἀεὶ μὲν διεξοδικῶς δὲ τοῖς αἰθερίοις κατ' οὐσίαν ὑπάρχει· τὸ δὲ μήτε ἀεὶ νοεῖν καὶ ἐν αὐτῷ τῷ νοεῖν μεμερισμένως νοεῖν ταῖς ἀνθρωπίναις ψυχαῖς ὡς ἴδιον ἀποδέδοται, ἀπολειπομέναις κατὰ φύσιν τῆς τε ἀμερίστου νοήσεως τῶν οὐρανίων καὶ τῆς ἐν τάξει πληθυνομένης γνώσεως τῶν αἰθερίων, ἐπεὶ μήτε ἑνιαίως μήτε ἀϊδίως νοοῦσιν αὗται, ἀλλὰ καὶ ὅταν πρὸς τὴν τοῦ νοεῖν ἀξίαν ἀνάγωνται, τὴν αἰθερίαν μιμοῦνται γνῶσιν, καὶ ταύτῃ συνεπόμεναι τῶν νοητῶν καρποῦνται τὴν θέαν. μετὰ δὲ τὸ τρίτον νοερὸν γένος, τὸ ποτὲ μὲν νοοῦν ποτὲ δὲ μὴ νοοῦν, εἴη ἂν τὸ μηδέποτε νοοῦν κατὰ τὸν τῆς τελείας διαιρέσεως λόγον· ὃ δὴ φύσει ἐστὶν ἀνόητον, ἀληθείας τε καὶ ἀρετῆς οὐδαμῇ μετέχειν δυνάμενον. διὸ καὶ τὸ εἶναι γέννημα ἐκείνου ἐκβάλλεται. πῶς γὰρ εἰκὼν τοῦ νοητοῦ θεοῦ τὸ ἄλογον καὶ ἀνόητον; πᾶσα γὰρ ἐκείνου εἰκὼν ἔννους καὶ λογική, καὶ γινώσκειν ἑαυτὴν καὶ τὸν ποιήσαντα πέφυκεν.

ὅτι τῶν ἐνθάδε πραττομένων ἡμῖν λόγον ἡμᾶς 75 a H. ἐπέχειν, φησίν, ὑπέχειν "τοῖς τὴν μέσην λῆξιν λαχοῦσιν, ἅτε δὴ φύλαξι καὶ ἐφόροις οὖσιν ἡμῶν. πᾶσαν δὲ τὴν περὶ ἡμᾶς αὐτῶν ἐνέργειαν εἱμαρμένην καλεῖσθαι, δίκης νόμοις τὰ ἡμέτερα διατάττουσαν. εἰ δὲ φύλακές εἰσι (φησί) τοῦ πρὸς τὴν ἀξίαν ἀφοριζομένου βίου, δηλονότι καὶ τοῦ χρόνου εἶεν ἂν ἀποπληρωταί, ὃν ἕκαστος βίος ἐκληρώσατο· οὐ γὰρ ἔστι τὸν βίον τηρεῖν τοῦ χρόνου τὸ ἀόριστον ἔχοντος. ὥστε δεῖ τὸν μὲν χρόνον ὡρίσθαι διὰ τὸ σώζεσθαι τὸν εἱμαρμένον βίον, τὸν δὲ τρόπον τῆς τελευτῆς συνδιωρίσθαι τῷ χρόνῳ ὡς μέρος ὄντα τὸ ἔσχατον τοῦ πρὸς τὴν ἀξίαν ἀπονεμηθέντος βίου. καὶ γὰρ τῆς γενέσεως ὡρισμένης ἀνάγκη καὶ τὸν θάνατον ὡρίσθαι. τὴν δὲ ἀρχὴν τῆς γενέσεως ὁρίζει ἡ τῆς ἐκεῖθεν ἐκπομπῆς εἱμαρμένη, θεία βούλησις οὖσα καὶ νόμος τῆς τοῦ θεοῦ δίκης. "ὥστε καὶ τὸν θάνατον ὡρισμένον τηρήσει ἡ τῆς ἐν- 138 B. θένδε ἐκεῖσε μεταστάσεως εἱμαρμένη. διὸ ὥρισται καὶ τὸ διὰ τῶνδε μὲν παρελθεῖν εἰς τὸν βίον, διὰ τῶνδε δὲ ἐκ τοῦ βίου ἀπελθεῖν. εἰ γὰρ ἀόριστα ταῦτα, καὶ ὁ βίος ἅπας ἀόριστος καὶ τῆς κρείττονος ἐπιστασίας ἄμοιρος. ποῦ γὰρ ἔτι ἢ ἐν τίσι τῆς θείας κρίσεως καὶ τῆς πρὸς ἀξίαν διανομῆς ἔσται ἡ ἐπιμέλεια, τῶν περὶ τὸ σῶμα καὶ τὰ ἐκτὸς εἰκῇ καὶ ὡς ἔτυχεν ἡμῖν συμπιπτόντων; οὐ γὰρ ταῦτα μὲν ἄτακτα καταλείψομεν, τὰς δὲ τῆς ψυχῆς προαιρέσεις καὶ κρίσεις καὶ ὁρμὰς ἀπὸ κρείττονος ἀνάγκης ἐγγίνεσθαι φήσομεν· οὕτω γὰρ ἀρετῆς καὶ κακίας οὐχ ἡμᾶς αὐτοὺς ἀλλ' ἐκείνην αἰτιασαίμεθα. οὐδὲ μὴν πάντα τῇ παρ' ἐκείνων ἀνάγκῃ εὔλογον ἀνατιθέναι, τὰ τῆς ψυχῆς λέγω καὶ σώματος καὶ τῶν ἐκτός· ἀλλ' οὐδὲ πάντα ἀνεῖσθαι ταῖς ἀλόγοις καὶ ἀνεπικρίτοις φοραῖς, νοῦ τῶν πάντων ἡγουμένου καὶ θεοῦ τῶν ὅλων ὄντος αἰτίου. ἀναγκαῖον δὴ τὸ λειπόμενον, τὰς μὲν προαιρέσεις ἐφ' ἡμῖν εἶναι, τὰς δ' ἐπὶ ταῖς προαιρέσεσι δικαίας ἀμοιβὰς ἐπὶ τοῖς αἰθερίοις κεῖσθαι ὡς ὑπὸ θεοῦ τεταγμένοις δικασταῖς καὶ πεφυκόσιν ἡμῶν ἐπιμελεῖσθαι. τριττῶν γὰρ ὄντων τῶν καθ' ἡμᾶς, καὶ τὸ πάντα ἠναγκάσθαι καὶ τὸ μηδὲν καὶ τὸ ἐπηλλαγμένως ἢ ὡς δεῖ τὴν ἴσην ἀτοπίαν ἔχει, καὶ προνοίας πάσης ἐπ' ἴσης ἐστὶν ἀναιρετικά. ἥ τε γὰρ τοῦ πρὸς ἀξίαν ὑπόθεσις πάντως συνεισάγει τὴν πρόνοιαν καὶ τὴν ἀπ' αὐτῆς εἱμαρμένην· καὶ ἡ προνοητικὴ κρίσις, δίκῃ καὶ νόμῳ τὰ ἀνθρώπινα τάττουσα, τῆς αὐτεξουσίου ἡμῶν καὶ προαιρετικῆς ἀρχῆς δεῖται. ὥστε μέρος ἐστὶ τῆς ὅλης προνοίας ἡ εἱμαρμένη τὸ πρὸς τὰς ἀνθρωπίνας ψυχὰς δικαστικῶς ἁρμοζόμενον. ἀνθρωπίνων δὲ ψυχῶν ἐνέργεια ἡ αὐτοκίνητος προαίρεσις καὶ τὸ λεγόμενον ἐφ' ἡμῖν, ὃ δὴ τοῖς θείοις δικασταῖς ὑπόθεσις εὔλογος γίνεται τῆς ἀνίσου διανομῆς· τὸ δὲ τυχαῖον ὅλον τοῖς θνητοῖς καὶ ἀλόγοις ἀποδέδοται γένεσιν. οὐ γὰρ καθ' ἕκαστον τεταγμένως, οὐδὲ κατά τινα λελογισμένην ἀξίαν, ἐκ μὲν τοῦδε τοῦ πυρὸς σβεννυμένου ἀὴρ γίνεται, "ἐκ δὲ τοῦ ἀέρος παχυ- 75 b H. νομένου ὕδωρ, οὐδὲ ἐκ τῶνδε μὲν τῶν σιτίων ἵππου σῶμα ἢ κυνός, ἐκ τῶνδε δὲ ἄλλο τι· ἀλλὰ πάντα ἐκ πάντων ταῖς προσπιπτούσαις μεταβολαῖς δύναται γίνεσθαι διὰ τὸ

a. 2. δὲ om *A*. 8 et 9. τῷ *B*: τὸ ς. 16. τε om *B*. 20. μιμ. τάξιν γνῶσιν ς. 25. οὐδαμῇ μετέχειν] οὐδαμοῦ μένον *B* et corr *A*. δυνάμενον om *A*, ut legendum sit οὐδαμῇ μετέχον. 28. καὶ ante γινώσκειν add *A*. 36. βίος *A*: βίον ς. b. 5. δὲ om *A*, ante τῶνδε ponit *B*. 11. τῆς add *A*. 21. ὡς — 22. τεταγμένοις *A*: καὶ — τεταγμένου ς. 24. καὶ post μηδὲν add *A*. 25. ἐπ' ἴσης om *B*. 26. ἀναιρετικόν ς. 28. ἀνθρώπεια ς. 31. εἱμαρμένη] εἱμαρμένη μέρος ἐστὶ *A*. 36. γενέσεσιν ς. τεταγμένων pr *A*.

κοινὸν τῆς ὕλης καὶ πρὸς πάντα εὐάγωγον, τοσοῦτον τάξεως μετέχοντα καὶ θείας ἀνάγκης ὥστε κατὰ γένος ἕκαστα διασώζεσθαι καὶ συμπαραθεῖν πρὸς τὸ ἀΐδιον τῇ διαδοχῇ τοῖς ὑποστήσασιν αὐτὰ αἰτίοις. ἐν δὲ τοῖς κατὰ μέρος ζώοις τε καὶ φυτοῖς, καὶ αὐτοῖς τοῖς ἀψύχοις, οὐδὲν διώρισται οὐδὲ τέτακται ὡς πρὸς ἀξίαν ἀποδιδόμενον πάθος τῷ μήτε ἐκ προβιοτῆς ἀμοιβάς τινας αὐτοῖς ἐποφείλεσθαι μήτ' ἐπὶ τοῖς νῦν δρωμένοις προσδοκᾶσθαι εὐθύνας. οὐ γὰρ ἐπεισῆλθέ τι ἐκείνοις ἐκ τοῦ αἰθερίου τόπου τὴν ὑπόβασιν ποιησάμενον, ἵνα καὶ τῇ θείᾳ κρίσει παιδαγωγηθῇ πρὸς ἐπάνοδον, ὡς ἐν τοῖς καθ' ἕκαστα ἀνθρώποις τὰς λογικὰς καὶ ἀθανάτους ψυχὰς ἐκεῖθεν κατιούσας ἀνάγκη πλείστης ἐπιστροφῆς καὶ κηδεμονίας τυγχάνειν παρὰ τῶν συγγενῶν πρὸς ἐπανόρθωσιν τῆς εἰς κακίαν ὑποφορᾶς. διὸ πάσχουσί τε καὶ αἱροῦνται ἐν αὐτοῖς τοῖς πάθεσι· καὶ πάλιν αἱροῦνται καὶ πάσχουσι πρὸς τὴν ἀξίαν τῶν αἱρεθέντων. διὰ τοῦτο οὖν πολὺ τὸ ὡς ἔτυχεν ἐν τοῖς ἀλόγοις καὶ τὸ θείας κρί- 1388R. σεως ἄμοιρον. ἐν δὲ τοῖς καθ' ἡμᾶς καὶ τὸ δοκοῦν εἶναι τυχαῖον εἰς τὴν τῆς προνοητικῆς εἱμαρμένης ὑπηρεσίαν τελεῖ, ὥστε δοκεῖν μὲν ἀπὸ ταὐτομάτου πάσχειν ἡμᾶς καὶ ὁμοίως τοῖς ἀλόγοις ζώοις, τοῦτο δὲ πάσχειν περί τε σῶμα καὶ τὰ ἐκτός, ὃ ἡ ἔφορος κρίσις ὥρισε. τῇ γὰρ τῶν περὶ ἡμᾶς ἐπιτάσει τε καὶ ἀνέσει καὶ ταῖς παντοίαις τούτων μεταβολαῖς τὸ αὐτεξούσιον τῆς ψυχῆς παιδαγωγεῖται πρὸς εὐταξίαν, θᾶττον μέν, ἐὰν εὐγνωμόνως ὑποδέχηται τὰ περὶ ταῦτα συμβαίνοντα πάθη, ἐν πολλαῖς δὲ καὶ μακραῖς χρόνου περιόδοις, ὅταν ἰταμῶς καὶ ἀνοήτως πρὸς αὐτὰ διατεθῇ. τότε γὰρ δίκας μὲν ὑπέχει τῆς ἀγνωμοσύνης, οὐδὲν δὲ ἧττον δι' ὧν πάσχει φέρεται πρὸς τὸ δέον.

ὅτι ἡ ψυχή, φησίν, οὐκ ἀνεύθυνον ἔχουσα τῆς ὁποιασοῦν αἱρέσεως τὴν ὁρμήν, καὶ ὑπὸ τοῦ προσεχοῦς κρείττονος γένους ἐπιστασίας ἀξιοῦται, δίκης καὶ καθάρσεως καὶ τιμωρίας τυγχάνουσα ἀεὶ πρὸς τὴν ἀξίαν τῶν ἑαυτῆς διαθέσεων. καὶ τὸ μὲν ἑλέσθαι ἐπ' αὐτῇ κεῖται, τὰ δὲ ἐπισυμβαίνοντα ταῖς αἱρέσεσι τῇ τῆς προνοίας κρίσει ὥρισται, πρὸς ἀξίαν ἀμειβομένῃ τὰς ψυχικὰς διαθέσεις. καὶ οὕτως αἱρεῖσθαί τε ἅμα καὶ κληροῦσθαι τὸν αὐτὸν βίον λεγόμεθα. ἡ γὰρ ἐπὶ τοῖς εἰργασμένοις ἡμῖν τεταγμένη ἀμοιβὴ καὶ τὴν αὐτεξούσιον κίνησιν καὶ τὴν θείαν ἐπιστασίαν ἐκφαίνει, ὥστε ἀπ' ἀρχῆς εἰς τέλος αὐτεξουσίους μὲν ἔχειν ἡμᾶς τὰς κινήσεις, εἰ καὶ ἄλλους ἄλλων μᾶλλον καὶ ἧττον, καὶ αὐτοὶ δὲ οὐχ ὁμοίως ἀεὶ τὸ ἐφ' ἡμῖν διασώζομεν, οὐκ ἀδεσπότους δὲ τὰς πρὸς τὴν ἀξίαν ἀντιδόσεις. καὶ τοῦτο εἶναι τὴν ἄγουσαν ἡμᾶς 154 H. πρὸς τὰ τῇδε καὶ πάλιν ἐντεῦθεν ἀπάγουσαν εἱμαρμένην, πλέγμα οὖσαν καὶ συνδρομὴν ἀνθρωπίνης προαιρέσεως καὶ θείας κρίσεως, ὥστε ἑλομένους ἡμᾶς ἃ βουλόμεθα διὰ τὸ τῆς προαιρέσεως ἀδούλωτον, πάσχειν πολλάκις ἃ μὴ βουλόμεθα διὰ τὸ τῆς κρίσεως ἀδιάπταιστον. ἐν ὅλῳ δὴ τῷ ἀφοριζομένῳ βίῳ τά τε ἄλλα κεῖται, ὅσα συνεκτικὰ τῆς ἀνθρωπίνης ζωῆς, καὶ ὁ καιρὸς καὶ ὁ τρόπος τοῦ θανάτου τῷ τῆς εἱμαρμένης ψηφίσματι συνδιατέτακται.

ὅτι φησίν, Ἐπιστῆσαι ἄξιον ὡς ἡ ψυχὴ οὔτε ἐν τῇ πρὸς νοῦν στροφῇ τὴν τοῦ ποτὲ ἀνοηταίνειν ἀσθένειαν ἀφῄρηται, οὔτε ἐν τῇ ἐσχάτῃ κακίᾳ τὴν τοῦ αὖθις νοεῖν δύναμιν καὶ ὀρθῶς μετανοεῖν. φύσει γὰρ ἡ ἀνθρωπίνη ψυχὴ τοιαύτη δημιουργηθεῖσα καὶ πρὸς τὴν θείαν εὐζωΐαν καὶ πρὸς τὴν θνητὴν γένεσιν ἐπιτηδείως ἔχει, ἀνὰ μέρος ἑκατέραν προβάλλουσα δύναμιν, ἐπεὶ καὶ κατὰ πρόνοιαν θεοῦ πρὸς ἄμφω γεγένηται. οὕτω γὰρ τὸ μὲν δύνασθαι αὐτὴν πολιτεύεσθαι κατ' οὐσίαν κέκτηται· τὸ δὲ πλείονα χρόνον ἄνω διάγειν ἢ κάτω πρὸς τὴν αὐτοκίνητον αὐτῆς συμβαίνει διάθεσιν. διὸ αἱ μὲν μυριετεῖς αἱ δὲ τριχιλιετεῖς περιόδους λέγονται ποιεῖσθαι, τῆς ἀρετῆς ἐπιτεμνομένης τὴν πλάνην, καὶ τοῦ συντόνου τῶν ἀγαθῶν ἔρωτος ὑφαιρουμένου τῆς περιγείου λειτουργίας τὸ πολυχρόνιον.

### Ἐκ τοῦ β' λόγου.

ὅτι φησί, Κατ' οὐσίαν ἐκεῖνα λέγεται ποιεῖν, ὅσα μένοντα ἀτρέπτως ἐν τῇ αὐτῶν οὐσίᾳ καὶ ἐνεργείᾳ, καὶ μηδὲν ἑαυτῶν ἀπομερίζοντα μηδὲ κινοῦντα πρὸς τὴν τῶν γεννωμένων ὑπόστασιν, κατ' αὐτὸ μόνον τὸ εἶναι 1389R. ὅ ἐστι παράγει τὴν τῶν δευτέρων γένεσιν. οἷς ἕπεται μήτε ὕλῃ προσχρῆσθαι μήτε ἀπὸ χρόνου ποιεῖν μήτε εἰς χρόνον παύεσθαι μήτε ἔξω τῆς τοῦ ποιοῦντος ἐνεργείας κεῖσθαι τὸ γινόμενον· ταῦτα γὰρ πάντα τῇ κατὰ συμβεβηκὸς ἐνεργείᾳ παρέπεται ἐπὶ τοῦ οἰκοδόμου καὶ τῶν ὁμοίων.

ὅτι φησίν, Ὁ Πλάτων ἐν Φαίδρῳ λέγων „τὸν δὲ ὑπερουράνιον τόπον οὔτε τις ὕμνησέ πω τῶν τῇδε ποιητὴς οὔτε ποτὲ ὑμνήσει κατ' ἀξίαν" τόπον νῦν οὐ τὸν κυρίως φησὶν (οὗτος γὰρ σωμάτων ἐστὶ περιεκτικός), τό-

a. 6. ὡς om A. 9. ἐκείνοις B: ἐν ἐκείνοις ς. 13. πλείστης A: πλεῖστον ς. 16. πάλιν αἱροῦνται] πάλιν ἀναιροῦνται B. 23. ὃ om B et corr A, qui pr om ἡ. 24. περί τε ἡμᾶς ς. 39. αἱρεῖσθαι B: αἱρεῖσθαί ς. 41. καὶ τὴν αὐτεξούσιον κίνησιν add A. b. 10. βίῳ add A. 22. πολιτεύεσθαι] ἐπὶ γῆς πολιτεύεσθαι Bentleius.

πον δὲ νῦν ἀντὶ τοῦ οὐσίαν τοιάνδε καὶ γένος τοιόνδε λέγει, οἷον ὑπερκόσμιον καὶ νοητόν, ὥσπερ εἰώθαμεν περὶ πραγμάτων τινῶν διηγούμενοι λέγειν ὅτι κατ' ἐκεῖνον τὸν τόπον τοῦ λόγου γενόμενοι ἐροῦμεν, τὸ κεφάλαιον ἐκεῖνο καὶ τὸ εἶδος τῶν πραγμάτων τόπον καλοῦντες.

ὅτι ἐν τοῖς νόμοις Πλάτων (φησί) τὸ διαφέρον τῆς περὶ ἡμᾶς τοῦ θεοῦ προνοίας ἐνδείκνυται, λέγων ὡς θεὸς μὲν πάντα, καὶ μετὰ θεοῦ τύχη καὶ καιρὸς τὰ ἀνθρώπινα διακυβερνῶσι ξύμπαντα. ἐξ ὧν δῆλός ἐστι τοῖς
755 H. μὲν ἀπαθέσι καὶ ἀεὶ τελείοις καὶ διὰ τοῦτο ἀναμαρτήτοις τὴν καθαρὰν καὶ μονοειδῆ τοῦ θεοῦ ἐπιστήσας πρόνοιαν, τοῖς δὲ καὶ εἰς ἄνοιάν ποτε ὑποφερομένοις λογικοῖς καὶ διὰ τοῦτο κακίας ἀναπιμπλαμένοις τὴν συμμιγῆ καιροῖς καὶ τύχαις πρόνοιαν ἀποδιδούς. ἔστι γὰρ ἡ μὲν τῶν ἀγαθῶν προηγουμένη δόσις καὶ ἡ τῶν κατὰ φύσιν προσόντων τήρησις ἴδιον ἔργον τῆς καθαρᾶς προνοίας, ἡ δὲ τῶν παρὰ φύσιν διατεθέντων διόρθωσις καὶ αἱ τῶν ἁμαρτημάτων εὐθῦναι τῆς ἐνύλου καὶ τύχῃ καὶ καιρῷ προσχρωμένης. οὐ γὰρ κατὰ τὸν προηγούμενον λόγον ἡ θεία κρίσις τοῖσδε μὲν ἡμῶν ἐμφέρει τὰ δεινά, τοῖσδε δὲ τὰς εὐπαθείας ἀποδίδωσιν, ἀλλ' ἐξ ὑποθέσεως τῆς τῶν προβεβιωμένων ἀξίας, ἐπεὶ καὶ ἔοικεν ἡ κρίσις τῶν ἐφεστώτων ἡμῖν δικαστῶν τῇ ἰατρικῇ τέχνῃ, ἣ παραλαβοῦσα τοὺς ἀφ' ἑαυτῶν νοσήσαντας πάντα πρὸς τὸ δέον αὐτοῖς συντάττει κατὰ καιρόν, ὃν ἂν αὐτοῖς τοῖς θεραπευομένοις εἴη λυσιτελές. καὶ διὰ τοῦτο ἡ μὲν ἀξία τῶν κρινομένων ἄλλοτε ἄλλη τυγχάνουσα, καὶ ταῖς αὐτεξουσίοις κινήσεσιν ἐναλλαττομένη, τύχην τῇ περὶ ἡμᾶς προνοίᾳ συμμίγνυσιν· ἡ δὲ προσήκουσα ἑκάστοις τάξις τὸν τῆς τιμωρίας καὶ τῆς καθάρσεως καιρὸν συνεισάγει. τύχης δὲ καὶ καιροῦ τῇ θείᾳ προνοίᾳ συνταττομένων τὸ ὅλον πλέγμα γίνεται εἱμαρμένη, ἐκ μὲν τῆς ἀνθρωπίνης προαιρέσεως τὴν τύχην προσλαβοῦσα, ἐκ δὲ τῆς θείας κρίσεως ἐκφέρουσα τὸν καιρόν. καὶ γὰρ τῆς τέχνης ἐστὶν ἀφορίσαι τὰ μέτρα τῆς θεραπείας, τοῦ δὲ ἀνθρώπου διατεθῆναι οὕτως ὥστε τομῆς δεηθῆναι ἢ καύσεως ἢ ἄλλης τινὸς ἀλγεινῆς θεραπείας. πολλαχοῦ δέ, φησί, καὶ ἄλλοθι ὁ Πλάτων τὰ τοιαῦτα φιλοσοφεῖ περί τε τῆς ἀνθρωπίνης οὐσίας καὶ τῆς ἀπευθυνούσης ἡμᾶς προνοητικῆς εἱμαρμένης,

ὅτι ἀποδιδούς, φησίν, ὁ Πλάτων φιλοσόφου καὶ ἐρωτικοῦ διαφοράν, καὶ πῶς ἰσοτίμως ἀνάγεσθαι λέγονται, φιλοσοφῆσαι μὲν ἀδόλως λέγει τὸν θεωρίαν ἄνευ πράξεως πολιτικῆς ἀγαπήσαντα, καὶ πάντα τὰ ἄλλα παρ' οὐδὲν θέμενον, καὶ ταῖς καθαρτικαῖς ἀρεταῖς ἑαυτὸν παραδόντα τῇ πρὸς μόνην τὴν ἱερὰν τελείωσιν ἀνα- 1392B.
γωγῇ, ὡς ἐν Θεαιτήτῳ διέξεισιν. ἀλλ' ὁ μὲν ἀδόλως φιλόσοφος κατὰ Πλάτωνα τοιοῦτος· ὁ δὲ ἐρωτικὸς λέγεται παρ' αὐτῷ, ὃς καὶ παιδεραστῆσαι μετὰ φιλοσοφίας, ὁ ταῖς πρακτικαῖς ἀρεταῖς διὰ τὸ θεῖον καὶ τὸ αὐτόκαλον ἐνασκηθείς, καὶ τῶν νοητῶν ἀγαθῶν τὴν μετάδοσιν ἐπιτηδεύσας, πολιτικὸν τῷ ὄντι καὶ παιδευτικὸν τρόπον τοῦ βίου μεταχειριζόμενος. καὶ τοῦτο ἐν πολιτείᾳ παραδίδωσι, τοὺς φιλοσόφους λέγων ἄρχοντας ταῖς πόλεσιν ἐφεστάναι, ἵνα λήξωσί ποτε τῶν κακῶν, καὶ ὡς οὐκ ἄν ποτε εὐδαιμονήσειε πόλις, εἰ μὴ αὐτὴν διαγράψειαν οἱ τῷ θείῳ παραδείγματι χρώμενοι. τίς δ' 756 H.
ὁ τρόπος τῆς διαγραφῆς; ὅτι λαβόντες, ὥσπερ πίνακα, πόλιν τε καὶ ἤθη ἀνθρώπων πρῶτον μὲν καθαρὰν ποιήσειαν, καὶ μετὰ τοῦτο ὑπογράψαιντο ἂν τὸ σχῆμα τῆς πολιτείας, ἔπειτα, οἶμαι, ἀπεργαζόμενοι αὐτὴν πυκνὰ ἂν ἑκατέρωσε ἀποβλέποιεν, πρός τε τὸ φύσει δίκαιον καὶ καλὸν καὶ σῶφρον καὶ πάντα τὰ τοιαῦτα, καὶ πρὸς ἐκεῖνο αὖ ὃ τοῖς ἀνθρώποις ἐμποιεῖ, ὡς καὶ Ὅμηρος ἔφη, τὸ θεοειδές τε καὶ θεοείκελον, καὶ τὸ μὲν ἐξαλείφοιεν, τὸ δὲ πάλιν ἐγγράφοιεν ἐς ὅ τι μάλιστα τὰ ἀνθρώπινα ἤθη θεοφιλῆ ποιήσειαν. τοιοῦτός ἐστι πολιτειῶν ζωγράφος ὁ παιδεραστῶν μετὰ φιλοσοφίας, τουτέστιν ὁ μετὰ θεωρητικοῦ νοῦ πολιτευόμενος. παῖδα γὰρ εἶναι τὴν αἴσθησιν καὶ τὸ ἐν αἰσθήσει καλόν, ὡς πρὸς πρεσβύτην καὶ παιδαγωγὸν τῆς αἰσθήσεως τὸν νοῦν. διὸ τὸν νῷ μόνῳ χρώμενον ἐν ὑπεροψίᾳ τῶν τῇδε σώφρονι ἀδόλως φιλοσοφεῖν ἀποφαίνεται, τουτέστιν ἀπεριεργάστως καὶ ἀΰλως καὶ ἀγοητεύτως· γοητεύειν γάρ πως ἡ αἴσθησις ἐθέλει συνοῦσα, καὶ ἀναπείθειν τὸν λογισμὸν τῶν ἐνύλων τι ἀγαθὸν ὑπολαμβάνειν οἰκεῖον. τὸν δὲ τὴν αἴσθησιν κατὰ νοῦν διατάττοντα παιδεραστεῖν λέγει μετὰ φιλοσοφίας, φυλακτήριον ἔχοντα μέγιστον τοῦ ἀνεξαπατήτως κατὰ τὴν αἴσθησιν ἐνεργεῖν τὸν θεωρητικὸν νοῦν, οὗ εἰκόνας ἰδίᾳ καὶ δημοσίᾳ γράφειν ἐρᾷ, τὰ τῶν ἀνθρώπων ἐπανορθούμενος ἤθη, ἕως

a. 3. πραγμάτων B: γραμμάτων ς. διηγούμενοι] διαλεγόμενοι B. 10. δῆλός mg: libri δῆλόν. 17. προσιόντων ς. τήρησις] ῥῆσις A, ῥύσις B. 21. συμφέρει A. 22. δὲ om A. 29. libri αὐτεξουσίαις. 33. πλέγμα] πρᾶγμα A. 40. τε om A. 41. ὑπευθυνούσης A. b. 6. ἀγωγῇ ς. 7. ἄδολος B. 9. ὃς] ὡς A. 10. πρακτικαῖς A: πραγματικαῖς ς. 16. εὐδοκιμήσειε πόλεις ς. 24. πρὸς] ὡς A. ἐμποιεῖ om A. ὡς καὶ A: καὶ ὡς ς. 25. τε A: τι ς. 26. ὅ τι] ὅταν B. 30. ἐν om B. 31. πρὸς add A, 32. τὸν νῷ] νῷ A, τῷ νῷ B. 36. ἀγαθῶν B. 37. παιδεραστὴν A.

Digitized by Google

εἰς ὅσον ἐνδέχεται θεοφιλῆ ποιήσειεν. ἃ γὰρ ἐκεῖ ὁρᾷ, ἐγγράφειν ἐν ἄλλοις πειρᾶται ὁ τῷ θείῳ χρώμενος παραδείγματι ζωγράφος, οὐδὲν μὲν τοῦ πρώτου κατὰ νοῦν ἀπολειπόμενος, φιλανθρωπίᾳ δὲ αὐτοῦ δοκῶν διαφέρειν, ὥσπερ αὖ ἐκεῖνος τούτου τῇ ἰδιοπραγίᾳ κρατεῖ. τοιαύτας δὲ πρὸς ἀλλήλους ἔχοντες διαφοράς, ὁ μὲν τὸ ἀδόλως, τουτέστιν ἀνενδεῶς καὶ ἀνεπιστρόφως τῶν ἀνθρωπίνων πραγμάτων, ὁ δὲ τὸ ἐρωτικῶς, ὃ ταὐτόν ἐστι τῷ φιλανθρώπως καὶ κοσμητικῶς τῶν συγγενῶν, ὅμως διὰ τὸ μίαν αὐτοὺς καὶ τὴν αὐτὴν φιλοσοφίαν κεκτῆσθαι τῆς ἀποκαταστάσεως ἰσοτίμως τυγχάνειν λέγονται, ἰσοχρονίως πτερούμενοι καὶ τῆς αὐτῆς ὀναγωγῆς ἀξιούμενοι.

Ἐκ τοῦ γ' λόγου, κεφαλαίου δεκάτου.

οὐ μάτην οὖν, φησί, νόμοι κεῖνται τοῖς ἀνθρώποις, οὐδὲ λογισμὸς εἰκῇ δέδοται, οὐδὲ τὸ βουλεύεσθαι παρέλκει, οὐδὲ τὸ εὔχεσθαι περιττόν, εἰ πρόνοια τῶν ἀνθρωπίνων πραγμάτων ἡγοῖτο, νόμῳ καὶ δίκῃ τὰς ἀμοιβὰς 1393R. τῶν προαιρέσεων τάττουσα. οὐδὲ μήν, εἰ ταῦτα ἀναγκαῖα καὶ καλὰ καὶ σωτήρια, ἡ τῆς προνοητικῆς εἱμαρμένης τάξις ἀνῄρηται, ἡ τὸ ἐφ' ἡμῖν τοῖς οὐκ ἐφ' ἡμῖν παιδεύουσα πάθεσι. δι' ἀλλήλων δὲ ταῦτα βεβαιοῦται 757H. μᾶλλον ἢ διὰ θατέρου θάτερον ἀναιρεῖται. προναίας γὰρ οὔσης ἀνάγκη καὶ νόμους καὶ λογισμοὺς καὶ εὐχὰς πλεῖστον ἡμᾶς ὠφελεῖν, μὴ οὔσης δὲ οὐ μόνον ἀνόνητα παντελῶς ταῦτα, ἀλλ' οὐδὲ τὴν ἀρχὴν ὑποστῆναι δυνάμενα. διὸ καὶ τὸ ἐφ' ἡμῖν τὴν πρόνοιαν συνεισάγει, καὶ ἡ πρόνοια τὸ ἐφ' ἡμῖν. ἡ γὰρ ἡμετέρα προαίρεσις τὴν δικαίαν εἱμαρμένην κρατύνει, καὶ αὕτη τὴν αὐτεξούσιον ἡμῶν κίνησιν βεβαιοῦται. ἣν εἰ μὲν καθαρὰν καὶ λελογισμένην προσάγοιμεν τῷ θεῷ, νόμοις ἐμμένοντες καὶ εὐχαῖς χρώμενοι καὶ εὐβουλίαν τιμῶντες καὶ διὰ πάντων ἐπιμέλειαν ἑαυτῶν ποιούμενοι, τῶν μεγίστων ἀγαθῶν τευξόμεθα· εἰ δὲ τἀναντία, πάντως που τῶν ἐπὶ τούτοις τεταγμένων δικῶν τὰς ἰατρικὰς οἴσομεν ἀλγηδόνας, πείρᾳ τὸ δέον μεταμανθάνοντες. πρὸς αὐτὸ δὲ τὸ εὖ καὶ καλῶς ἡμᾶς διατεθῆναι, τῆς χείρονος καθαρεύσαντας προαιρέσεως, πλείστην φέρει συντέλειαν εὐχὴ καὶ νόμος καὶ συμβουλὴ καὶ τὰ τοιαῦτα, εἰς τάξιν ἄγοντα καὶ συμφωνίαν θεοπειθῆ τὴν ἡμετέραν διάνοιαν.

ὅτι οὐ τοιοῦτόν ἐστι, φησί, τὸ ἡμέτερον αὐτεξούσιον, ὡς ταῖς ἑαυτοῦ προαιρετικαῖς κινήσεσι πάντα μετατιθέναι δύνασθαι τὰ ὄντα καὶ τὰ γινόμενα. οὕτω γὰρ ἂν οὐ μόνον καθ' ἕνα ἕκαστον ἄνθρωπον κόσμος ἄλλος ἐγένετο καὶ ἄλλη βίου κατασκευή, μὴ τὰ αὐτὰ βουλομένων ἁπάντων ἡμῶν· ἀλλὰ καὶ ταῖς ἑκάστου διαθέσεσιν, εἴπερ δραστήριοι ἦσαν καὶ οὐσιοποιοί, συμμετέβαλλε τὰ πάντα, ταῖς ὀξυῤῥόποις μεταβολαῖς τῶν ἀνθρωπίνων προαιρέσεων συναλλοιούμενα. διὸ εὐλόγως ἡ δύναμις τοῦ ἀνθρωπίνου αὐτεξουσίου, εὐκινήτου ὄντος καὶ ἐφημέρου, ἀδρανής ἐστι παντελῶς πρὸς ὑπόστασίν τινος ἢ μετάθεσιν, μὴ συνεργουμένη ἔξωθεν. ἀλλὰ δὴ τὰ ὄντα, φησί, μὴ μετατιθέτω ἡ ἀνθρωπίνη προαίρεσις, ἐπειδὴ θεῖος νόμος αὐτὰ φρουρεῖ, μηδὲ τῶν γινομένων ὅσα εἰς κοσμικὰς ἐνεργείας συντελεῖ.

ὅτι οὐδενός ἐστι κυρία πλὴν ἑαυτῆς καὶ τοῦ ἑαυτὴν ἀμείνονα ἢ χείρονα ταῖς διαθέσεσιν ἀπεργάζεσθαι, κριτικὴ μόνον οὖσα τῶν ὄντων καὶ ἀποδεκτικὴ τῶν γινομένων, καὶ οὕτως ἀρετὴν ἢ κακίαν κτωμένη τῷ εὖ ἢ κακῶς ἐν ταῖς οἰκείαις ἐνεργείαις διατεθῆναι. τὸ γὰρ αὐτεξούσιον τοῦτο μόνον ἐφ' ἡμῖν εἶναι δηλοῖ τὴν μετάθεσιν ἡμῶν αὐτῶν πρὸς τὸ δοκοῦν ἡμῖν, τοῦ περικειμένου σώματος καὶ τῶν ἐκτὸς οὐ συναριθμουμένων τῷ αὐτεξουσίῳ. εἰ γὰρ τὸ λεγόμενον ἐφ' ἡμῖν παρελθὸν τὴν οὐσίαν ἐν ᾗ ἵδρυται, καὶ ὥσπερ ἐν ἀλλοτρίᾳ χώρᾳ γενόμενον, ἄλλα ἐπ' αὐτῷ εἶναι βουληθῇ, οἷον τὸ σῶμα ἢ τὴν κτῆσιν, μυρίων ἐναντιωμάτων πειράσεται, μὴ κατὰ σκοπὸν προβαινόντων αὐτῷ τῶν πραγμάτων, 758H. καὶ μυρίων δεήσεται τῶν συνεργούντων, εἰ μέλλοι τι τούτων κατὰ νοῦν αὐτῷ γενήσεσθαι. τὸ δὲ τὰ ἐναντιούμενα μὴ συμβῆναι καὶ τὰ συνεργοῦντα συμβῆναι οὐκ ἦν ἐφ' ἡμῖν, ἀλλ' ἄλλης τινὸς καὶ μακρᾶς ὑποθέσεως καὶ τῆς ἑπομένης ταύτῃ τάξεως, ἣν ἡ εἱμαρμένη ἐπιτε- 1396R. λεῖν λέγεται, κρίσις θεία οὖσα ἐν τοῖς οὐκ ἐφ' ἡμῖν, πρὸς τὴν ἀξίαν ἀμοιβὴν τῶν ἐφ' ἡμῖν. οὐ γὰρ ἀναιρεῖται τὸ αὐτεξούσιον τῆς ἀνθρωπίνης ψυχῆς, εἰ τὰ ἐκτὸς αὐτῆς ἐπὶ τῷ θεῷ εἴη διανέμειν καὶ ἀποδιδόναι ἑκάστῳ πρὸς τὴν ἀξίαν τῶν διαθέσεων. μάλιστα γὰρ τῆς πρὸς ἀρετὴν καὶ κακίαν αὐτοκινησίας ἡμῶν ἡ προνοητικὴ εἱμαρμένη δεῖται· οὐ γὰρ ἄλλως ἔσται δικαία ἡ ἄνισος διανομή, μὴ ὑπόθεσιν λαβοῦσα τὸ ἡμέτερον αὐτεξούσιον.

ὅτι ἐν τῷ τέλει τοῦ Τιμαίου ὁ Πλάτων (φησί) περὶ σωματικῶν παθῶν διαλεγόμενος καὶ τῆς τούτων θεραπείας, καθάρσεσι φαρμακευτικαῖς ἀπαγορεύει χρῆσθαι προχείρως, διὰ τὸ δεῖν περιμένειν τὴν κατὰ φύσιν

a. 1. γὰρ *B*: δὲ ς. 5. αὖ] ἂν *A*. κρατῇ *A*. 7. ἀνενδεῶς Bentleius: libri ἐνδεῶς. 15. βουλεύεσθαι Excerpta Morell.: βούλεσθαι ς. 23. πλεῖστον *B*, πλείστας *A*: πλεῖστα ς. 31. τιμῶντες *B*: τηροῦντες ς.
b. 4. συμμετέβαλε ς. 7. ἀνθρώπου ς. 8. πρὸς] ὡς *A*. 17. ἢ et 28. συμβῆναι et 35. τῆς add *A*.

τῶν νοσημάτων πέπανσιν καὶ μὴ ταῖς βιαίοις ἐκτομαῖς πολλαπλάσια ταῦτα ἀπεργάζεσθαι, καὶ οὕτως ἔκ τινος ἀκολουθίας προϊὼν ἑκάστῃ νόσῳ χρόνον τινὰ φύσει τεταγμένον ἀποφαίνεται, τῇ τῶν ζώων συστάσει ἀνάλογον, ὧν ἡ σύνοδος γεννᾶται τεταγμένους, ὥς φησιν, ἔχουσα τοῦ βίου τοὺς χρόνους καὶ κατὰ γένος, οἷον ἵππος μὲν τοσάδε ἔτη ζήσειε τὸ μήκιστον, βοῦς δὲ τοσάδε, καὶ καθ' ἕκαστον, οἷον ὅδε ὁ βοῦς συσταίη ἔτη δέκα, εἰ μὴ θηρίον ἢ ἄλλη τις ἔξωθεν συμπεσοῦσα περίστασις αὐτὸν προανέλῃ. εἶναι γὰρ ἐκ φύσεως ἀφωρισμένον χρόνον τινὰ ἑκάστῳ, μέχρις οὗ δυνατόν ἐστιν ἐξαρκεῖν τὴν σύστασιν, καὶ οὗ εἰς τὸ πέραν οὐκ ἂν ἔτι βιῴη. μὴ πάντως δὲ πάντας πρὸς τὸν δυνατὸν τῆς συστάσεως ἀφικνεῖσθαι χρόνον διὰ τὰς ἔξωθεν βιαίους ἐπιφοράς, ἃς ἐφ' ἡμῶν μὲν τὴν πρόνοιαν διατάττειν ἔφαμεν, ἐπὶ δὲ τῶν ἀλόγων ζώων ὡς ἔτυχεν ἐπισυμβαίνειν. μὴ γὰρ ἀνάγκην εἶναι, ὡς ἐπ' ἀνθρώπων, οὕτω καὶ ἐπὶ τῶν ἀλόγων ζώων ἢ τῶν φυτῶν, τὴν τάξιν τοῦ θανάτου φυλάττεσθαι πρὸς τὴν ἀξίαν τῆς ψυχῆς ἀποδιδομένην, ἐπεὶ μηδὲ ὁμοίως ἡμῖν ἐκεῖνα εἰς τὸν βίον παρέρχεται. ἡμεῖς μὲν γὰρ κρίσει δικαστῶν δαιμόνων πρὸς τὴν τῶν προβεβιωμένων ἡμῖν ἀξίαν λαγχάνομεν ἕκαστος βίον, ἐν ᾧ πάντα συνείληπται, ἔθνος, πόλις, πατήρ, μήτηρ, καιρὸς ἀποκυήσεως, σῶμα τοιόνδε, ἀναστροφαὶ καὶ τύχαι παντοῖαι τῷ βίῳ προσήκουσαι, τρόπος τελευτῆς καὶ καιρὸς ἀποτεταγμένος· καὶ τούτων ἁπάντων φύλαξ καὶ ἀποπληρωτὴς ὁ εἰληχὼς δαίμων ἕστηκεν. ὧν οὐδὲν ἐπ' ἐκείνων θεωρεῖσθαι πέφυκε. τὰ γὰρ τῇ λογικῇ οὐσίᾳ ὡς λογικῇ προσήκοντα τῆς ἀλόγου φύσεως παντελῶς ἐστὶν ἀλλότρια. οὐ δίκαιον οὖν ἐστὶ τῆς αὐτῆς ἀξιοῦσθαι προνοίας λογικὰ καὶ ἄλογα, ἀλλ' ἐκεῖνα μὲν τῷ κατ' εἶδος σώζεσθαι τὴν ἀρκοῦσαν ἔχει
759H. πρόνοιαν (τοῦτο γὰρ μόνον ἀθάνατον καὶ ἀεὶ τὸ αὐτὸ διαμένον)· ἡμεῖς δὲ εἰ μὴ καὶ καθ' ἕνα ἕκαστον προνοηθησόμεθα, ὥστε μηδὲν ἀλογίστευτον εἶναι τῇ προνοίᾳ τῶν καθ' ἡμᾶς, τῆς προσηκούσης οὔπω τευξόμεθα κηδεμονίας. πρέπει δὲ τοὺς πρὸς ἀριθμὸν ὡρισμένον ὑποστάντας ὑπὸ τοῦ δημιουργοῦ, ἑπομένους τῇ ἀπ' ἐκείνου γενέσει καὶ καθ' ἕνα ἕκαστον τῆς προνοίας αὐτοῦ μεταλαγχάνειν. οὐ γὰρ δὴ μίαν εἰργάσατο ψυχήν, ἕκαστος δὲ ἡμῶν ὡς ἔτυχεν ἀπὸ ταύτης ἀπομερίζεται καὶ πάλιν εἰς ταύτην ἀνακιρνᾶται, ἀλλ' ἑκάστην ἀνθρωπίνην ψυχὴν ἰδίοις ὅροις περιγεγραμμένην ὑπέστησε. διὸ καὶ ἑκάστης ἐστὶ πρόνοια καὶ κρίσις καὶ δίκη καὶ κάθαρσις καὶ εἰς γένεσιν ἔκπεμψις καὶ βίου λῆξις προσήκουσα, καὶ τελευτὴ οὐκ ἀπὸ ταὐτομάτου συμβαίνουσα, καὶ μετὰ τὴν τελευτὴν εἰς Ἅιδου πορεία μετὰ ἡγεμό- 1397R.
νος τοῦ τὴν ζωὴν ἡμῶν εἰληχότος δαίμονος. ἐπὶ μὲν οὖν τῶν ἄλλων ζώων καὶ φυτῶν καὶ προαιρέσεις ἡμέτεραι καὶ ἀλληλοφαγίας ἀναγκαῖαι χρεῖαι, παντοῖαι καὶ τυχηραὶ περιπτώσεις, ἐκβιάζονται ἕκαστα πρὸ τῆς κατὰ φύσιν διαλύσεως ἀτάκτως καὶ ἀορίστως φθείρεσθαι ὡς μήτε προβεβιωμένων αὐτοῖς δίκης ἐφεστώσης, μήτε ἐφ' οἷς νυνὶ ποιοῦσιν ἢ πάσχουσι κρίσεως προσδοκωμένης. ἐπὶ δὲ ἀνθρώπων θεσμοὶ προνοίας καὶ δαιμόνων κρίσεις καὶ βίων κλῆροι καὶ παλαιῶν ἁμαρτημάτων ἀμοιβαὶ τά τε ἄλλα καὶ τοὺς καιροὺς καὶ τοὺς τρόπους τῆς τελευτῆς ἀφορίζουσιν· ὥστε καὶ τὰ ἀπὸ προαιρέσεως ἐνεργούμενα καὶ τὰ ὡς ἔτυχε δοκοῦντα συμπίπτειν πρὸς τὴν ἑκάστου ἡμῶν εἱμαρμένην συνείρεσθαι καὶ τὴν τῆς ἀξίας ἀποπληροῦν δίκην, ἀεὶ τῶν παρεληλυθότων τοῖς ἐφεξῆς τὴν αἰτίαν τῆς συμβάσεως παρεχομένων, καὶ τοῦ ἐφ' ἡμῖν τὰς τῶν οὐκ ἐφ' ἡμῖν περιστάσεις ἐφελκομένου, τῷ τὰς ἀνθρωπίνας προαιρέσεις τοῖς εἱμαρμένοις ἀπευθύνεσθαι νόμοις, οὓς ὁ δημιουργὸς ἔταξε ταῖς ψυχαῖς.

## 252.

Ἀνεγνώσθησαν ἐκλογαὶ τοῦ θεαρέστου βίου Γρηγορίου, ὡς ἱεροπρεπῶς ἀρχιερατεύσας τῆς Ῥωμαίων ἐκκλησίας τοὺς βιωφελεστάτους τέσσαρας διαλόγους ἐφιλοπονήσατο.

Οὗτος ὁ θεῖος Γρηγόριος μητρὸς μὲν προῆλθεν ὄνομα Σιλβίας, οἴκου τῶν περὶ τὴν Ῥώμην λαμπρῶν, μονάζει δ' ἐν τῇ μονῇ τοῦ ἁγίου Ἀνδρέου τοῦ ἀποστόλου, ᾗ ἐπώνυμον κλειοσκαύριν, καὶ ὕστερον καθηγήσατο τῶν ἐν αὐτῇ, τἄλλα μὲν πράττων ἃ πράττειν ἔδει θεοφιλῆ, ἔργον δὲ διδοὺς τῇ χειρὶ καὶ τὸ γράφειν. ἀρεταῖς δὲ τὸν βίον ἰθύνων ἐλεημοσύναις προέλαμπε. μετὰ γὰρ πολλῶν ἄλλων, δι' ὧν αὐτοῦ τὸ πρὸς τοὺς δεομένους ἔλεος καὶ ἡ συμπάθεια ἐγνωρίζετο, καὶ τοῦτο ἂν μάλιστα χαρακτηρίσειε τῆς φιλανθρωπίας αὐτοῦ καὶ ἐλεημοσύνης τὸ θαυμάσιον. ἧκέ τις αἰτῶν ποτέ, καὶ τὴν τοῦ αἰτεῖν ἀνάγκην εἰς ναυάγιον ἀνῆπτεν· ὁ δὲ προθύμως δίδωσι

a. 5. libri τεταγμένως. 19. τῆς add A. 24. ἀνατροφαὶ A. 26. καὶ ante καιρὸς om A. 32. libri ἔχουσ. 34. προνοησόμεθα B. 35. ἀλόγιστον B.
b. 10. πρὸς τὴν — 11. διάλυσιν A. 11. ὡς μήτε A: ὥστε ς. 12. ὑφεστώσης ς. 24. post ψυχαῖς in A vacui versus 10. 26. Ἀνεγνώσθησαν — 28. ἐφιλοπονήσατο] ἀνεγνώσθη γρηγορίου τοῦ διαλόγου ὁ βίος, οὗ ἡ ἔκδοσις ἐκλογήν τινα ἀναγράφει A et (additis τοῦ ἁγίου ante γρηγορίου) B. 31. τῶν om A. λαμπροῦ corr A. 38. χαρακτηρίζοι ς. 40. αἰτῶν] αὐτῷ B.

χρυσοῦ νομίσματα ἕξ. ὁ δ᾽ αὐτὸς ἐκ δευτέρου κατὰ τὴν
760 H. αὐτὴν "ἡμέραν ἐπελθὼν οὐκ ἐξαρκεῖν ἔλεγε πρὸς τὸ μέγεθος τῆς συμφορᾶς τὸ δοθέν, καὶ ᾔτει λαβεῖν· ὁ δὲ πάλιν καὶ γνώμῃ καὶ δώροις τοῖς ἴσοις αὐτὸν ἐδεξιοῦτο. καὶ τρίτον ἐφίστατο, τὰ ὅμοια τοῖς δευτέροις καὶ λέγων καὶ αἰτῶν· ὁ δὲ οὐδὲ τὸ τρίτον ἀλλοιότερος τῷ αἰτοῦντι κατέστη, ἀλλὰ κελεύει πάλιν διὰ τοῦ καὶ τὰ πρότερον διακονησαμένου ἴσην αὐτῷ καὶ ὁμοίαν τὴν ἐπίδοσιν παρασχεῖν. ἐπεὶ δὲ τῶν μὲν νομισμάτων οὐδὲν ὑπελέλειπτο, ἔμαθε δέ, ζητῶν ἐπιμελῶς ὅθεν τῷ δεομένῳ ἐπικουρήσειεν, ὡς ὁ ἐξ ἀργύρου πινακίσκος, ἐν ᾧ ἡ μήτηρ εἰώθει ὀσπρίων τινὰ διάβροχα πέμπειν τῷ παιδί, οὔπω ἀπεδόθη, τοῦτον ἐπιδοθῆναι τῷ αἰτοῦντι προστάττει. ἀλλὰ ταῦτα μὲν τότε. χρόνῳ δ᾽ ὕστερον κρίσει μὲν θείᾳ ψήφῳ δὲ τῶν ἱερῶν ταγμάτων τὸν ἀρχιερατικὸν λαχὼν ἰθύνειν θρόνον, δώδεκά τινας τῶν πενήτων, ὡς ἔθος πράττειν τοῖς πατριάρχαις, συνεστιαθῆναι κελεύει, καὶ συγκαλέσασθαι τούτους τὸν οἰκεῖον σακελάριον
1400 B. ἐπιτρέπει. ὡς δὲ τὸ πρόσταγμα τέλος ἔλαβε "καὶ τὴν τράπεζαν οἱ δαιτυμόνες ἐπλήρωσαν, συνεωρᾶτο δὲ τῷ ἀρχιερεῖ καὶ τρισκαιδέκατος συνεστιώμενος, ᾐτιᾶτο τὸν καλέσαντα ἑνὸς προσθήκῃ τὸν ἀριθμὸν τῶν δώδεκα χυδαιώσαντα· ὁ δὲ ἀπηρνεῖτο τὸν ἐπείσακτον, καὶ ἀπηρίθμει τοὺς συνεστιωμένους, δεικνὺς ἐν τῷ ἀπερίττῳ τοὺς δώδεκα. ἐπεὶ δὲ ὁ ἱερὸς Γρηγόριος καὶ τρισκαιδέκατον ἔβλεπε, καὶ ἡ μορφὴ τούτου οὐ τῶν ἄλλων μόνον ἀλλὰ καὶ ἑαυτῆς πολλάκις ἐπὶ τὸ ξενίζον παρήλλαττε, συνῆκε μὲν μὴ τῶν πολλῶν ἕνα τοῦτον εἶναι, ἀναστὰς δὲ τῆς τραπέζης καὶ τοῦτον ἰδίᾳ μετακαλεσάμενος ὅρκοις ἐδέσμει φρικτοῖς; ὅστις ποτὲ εἴη, δῆλον ποιῆσαι. ὁ δὲ αὐτὸν ἐκεῖνον ἔφη εἶναι τὸν πάλαι ποτὲ τρὶς τῆς αὐτῆς ἡμέρας τὴν αἴτησιν προσενεγκεῖν ἀξιώσαντα καὶ τοσαυτάκις μὴ διαμαρτόντα τῆς αἰτήσεως· καὶ ἡ πρᾶξις ἐκείνη οὕτω τὸ θεῖον ἐξεθεράπευσεν, ὡς ἐξ ἐκείνου μέχρι νῦν κρίσιν ἄνωθεν λαβεῖν σοὶ συμπαρεῖναι φύλακά τε τῆς ζωῆς καὶ ὁδηγὸν τῶν πρακτέων, ἄγγελον δὲ τὴν φύσιν θεοῦ χρηματίζειν. καὶ ὁ μέν, ἀκούσας ταῦτα, πεσὼν προσεκύνησε καὶ τῷ θεῷ ηὐχαρίστησεν· ὁ δὲ ᾤχετό τε καὶ οὐχ ὁρώμενος τὸν εὐεργέτην διεφύλαττεν.

Οὗτος ὁ θαυμάσιος Γρηγόριος πολλὰς μὲν καὶ ἄλλας ψυχωφελεῖς τῇ Ῥωμαίων συνετάξατο βίβλους, ὁμιλίας τε τὰ εὐαγγέλια ἀναπτύσσων προσωμίλησεν· ἀτὰρ δὴ καὶ βίους τῶν κατὰ τὴν Ἰταλίαν ἀξιολόγους, καὶ διηγήματα σωτηρίαν ἐκπαιδεύοντα συγκαταμίξας τούτοις, ἐν τέσσαρσι διαλόγοις ἐφιλοπονήσατο. ἀλλὰ γοῦν πέντε καὶ ἑξήκοντα καὶ ἑκατὸν ἔτη οἱ τὴν Ῥωμαίαν φωνὴν ἀφιέντες τῆς ἐκ τῶν πόνων αὐτοῦ ὠφελείας μόνοι ἀπήλαυον· Ζαχαρίας δέ, ὃς τοῦ ἀποστολικοῦ ἀνδρὸς ἐκείνου χρόνοις ὕστερον τοῖς εἰρημένοις κατέστη διάδοχος, τὴν ἐν τῇ Ῥωμαϊκῇ μόνῃ συγκλειομένην "γνῶσιν καὶ ὠφέ- 761 H. λειαν εἰς τὴν Ἑλλάδα γλῶσσαν ἐξαπλώσας κοινὸν τὸ κέρδος τῇ οἰκουμένῃ πάσῃ φιλανθρώπως ἐποιήσατο. οὐ τοὺς διαλόγους δὲ καλουμένους μόνους, ἀλλὰ καὶ ἄλλους αὐτοῦ ἀξιολόγους πόνους ἐξελληνίσαι ἔργον ἔθετο.

253.

Ἀνεγνώσθη ἐκ τοῦ μαρτυρίου τῶν ἁγίων ἑπτὰ παίδων· ἐξ οὗ κεφαλαιώδης διετυπώθη χρεία.

ὅτι τὸ μαρτύριον τῶν ἁγίων ἑπτὰ παίδων Μαξιμιανόν, Ἰάμβλιχον, Μάρτιμον, Διονύσιον, Ἐξακουστοδιανόν, Ἀντωνῖνον καὶ Ἰωάννην, τούτους τοὺς ἑπτὰ τῶν εὐπατριδῶν ὄντας καὶ τὰ τῆς εὐσεβείας φρονεῖν καὶ κρατύνειν ἐπιγνωσθέντας, ἀχθῆναι μὲν ἐπὶ Δεκίου ἀναγράφει τοῦ τὴν Ῥωμαίων ἀρχὴν θεοῦ παροράσει εἰς τυραννίδα διαφθείραντος, ἀχθέντας δὲ τὴν καλὴν ὁμολογίαν ὁμολογῆσαι, σχολῆς δέ τινος ἄλλης τὸν τύραννον μεθελκούσης ἄδειαν εὑρόντας καταφυγεῖν ἐπί τι σπήλαιον ἐν ὄρει πλησιάζοντι τῇ Ἐφεσίων διακείμενον μητροπόλει· καὶ διακονεῖσθαι αὐτοὺς ἐν ὅσοις ἡ σωματικὴ ἐβιάζετο χρεία, ὑφ᾽ ἑνὸς αὐτῶν, ὃν προεῖπεν Ἰάμβλιχον ὁ λόγος· μετὰ δέ τινα βραχὺν χρόνον μαθόντα καὶ τὴν φυγὴν καὶ τὸ χωρίον τῆς διατριβῆς καὶ τὴν δίαιταν, καὶ ὀργῆς ἔμπλεω γεγονότα, ἀναφραγῆναι τὸ τοῦ σπηλαίου στόμα προστάξαι, ὡς ἂν λιμῷ διαφθαρεῖεν οἱ μάρτυρες. εἶτα μετὰ ἔτη δύο καὶ ἑβδομήκοντα καὶ τριακόσια, Θεοδοσίου μὲν τοῦ ἐκ τριγονίας τὴν βασίλειον ἀρχὴν διαδεξαμένου καὶ διέποντος, "Μάρου δὲ τῆς 1401 R. ἐν Ἐφέσῳ ἐκκλησίας τὰς ἱερὰς φροντίδας ἐγκεχειρισμένου, τὸ παράδοξον τοῦτο καὶ ὑπερφυέστατον θέαμα, ἐφάνησαν οἱ τοῦ Χριστοῦ καλλίνικοι μάρτυρες ἀναβεβιωκότες. οἷς προσελθόντες ὅ τε βασιλεὺς καὶ ὁ ἐπίσκο-

a. 7. πρότερα B. 9. ὑπολέλειπτο B. 13. ἐπιδοθῆναι ς. 18. σακελλάριον B. 21. συνεστιώμενος et 24. συνεστιωμένους A: συνεσθιόμενος et συνεσθιομένους ς. ᾐτ. δὲ τὸν ς. 31. τῆς αὐτῆς om B. ἡμέρας om A. 38. εὐχαρίστησεν B.
b. 3. ἀξιολόγους] fortasse leg. ἀξιολόγων. 4. ἐμπαιδεύοντα A. 10. μόνην A. 14. quae post ἔθετο addebantur, τέλος τῆς ἐκλογῆς τῆς περὶ τὸν βίον τοῦ ἀρχιερέως ῥώμης θαυμασίου Γρηγορίου, omisi cum AB. 18. τὸ μαρτύριον] τὰ ὀνόματα B. τῶν ἁγίων add AB. μαξιμιανὸν A, μαξιμιλιανὸν ς: B μαξιμιανὸς, qui cetera quoque nomina nominative effert. 20. Ἀντωνῖνον] καὶ ἀντωνῖνον A. 21. τὰ A: τὰς vel τοὺς ς. 22. ἀναγράφει add A. 23. εἰς τὴν τυραννίδα ς. 32. ἀναφραγῆναι] quidni ἀποφραγῆναι? infra certe ἀπέφραττον (p. 468 a 35).

*κος (ἐκάλει γὰρ καὶ τὸν βασιλέα καὶ πόῤῥωθεν διατρίβοντα τὸ τοῦ θαύματος ὑπερθαύμαστον) μεθ' ὧν καὶ ἄλλοι πολλοὶ προσέπεσάν τε τοῖς ποσὶν αὐτῶν, καὶ τῆς παρ' αὐτῶν εὐχῆς ἠξιώθησαν καὶ εὐλογίας. συνεκάθισέ τε αὐτοῖς ὅ τε βασιλεὺς καὶ ὁ ἀρχιεπίσκοπος, καὶ τινος ὁμιλίας προελθούσης, δι' ἧς καὶ τὰ κατὰ τοὺς ἁγίους ἐπὶ μᾶλλον ἐβεβαιοῦτο καὶ τὸ ἀδίστακτον προσελάμβανε, κατ' ἐνώπιον αὐτοῦ τε τοῦ βασιλέως καὶ τῶν συμπαρόντων, ἐν αὐτῷ πάλιν τῷ σπηλαίῳ ἐν ᾧ καὶ κατέκειντο, ἀνεπαύσαντο ἅμα, τῆς ἀδιαιρέτου τελευτῆς αὐτῶν ὑπ' ὄψιν πάντων γεγενημένης ἐπιμαρτυρούσης αὐτῶν καὶ τὴν οὐχ ὁραθεῖσαν πρότερον τῆς παρούσης ζωῆς κοινὴν ἀναχώρησιν. ὄγδοον δὲ καὶ τριακοστὸν τη- 762 H. νικαῦτα Θεοδόσιος τῆς βασιλείας ἤνυεν ἔτος, ἡνίκα τὸ τῶν θαυμάτων ὑπερθαύμαστον τῇ οἰκουμένῃ ἀναδειχθῆναι τὸ θεῖον ᾠκονομήσατο. ἐζήτει δὲ ἄρα καὶ ὁ τότε καιρὸς τοιοῦτον τεράστιον. Θεόδωρός τις, ὡς εἴθε μὴ ὤφελε, τῆς Αἰγέων πόλεως ἐπεσκόπει. οὗτος οὐκ οἶδ' ὅθεν τοῦ τῆς ἀπιστίας σπάσας βορβόρου, φωνὰς δυσωδίας ἀπηρεύγετο, τῆς τῶν νεκρῶν ἀναστάσεως καταψηφιζόμενος, καὶ πολλοὺς ἅμα τῶν σὺν αὐτῷ πρὸς τὴν οἰκείαν μεθέλκων ἀπόνοιαν. τοῦ δὲ θαύματος λαμπρὰς τὰς τῆς ἀναστάσεως ἀκτῖνας καθ' ὅλην ἀφιέντος τὴν ὑφ' ἡλίῳ, αὐτοί τε καὶ ὅσον Ἑλληνικὸν ὑπελείπετο, οἱ μὲν εἰς ἀμήχανον αἰσχύνην καὶ ἀφωνίαν κατεδύοντο, οἱ δὲ εἰς ἀμετάθετον ἐλπίδα τῆς ἀναστάσεως μετετίθεντο.*

*Τίς δ' ὁ τρόπος τῆς τοῦ σπηλαίου ἀνοίξεως; Ἀδόλιος ὁ τοῦ ὄρους τότε κύριος, ἐν ᾧ τὸ σπήλαιον λελατόμητο, μάνδραν θρεμμάτων οἰκοδομῆσαι κελεύει τοὺς παῖδας· καὶ τὸ προσταχθὲν ἐπὶ ἡμέρας δύο διεπράττετο. ἡ δ' οἰκοδομὴ αὐτοῖς ἐτελεῖτο μετακομιζομένων τῶν λίθων, οἳ τὸ τοῦ σπηλαίου στόμα ἀπέφραττόν τε καὶ ἀπετείχιζον. καὶ οὕτω μὲν ἠνεῴχθη τὸ σπήλαιον, οἱ δ' ἐγκατακείμενοι αὐτῷ μάρτυρες τηνικαῦτα παραδόξῳ θεοῦ κρίσει ἀναβεβιωκότες ἀποστέλλουσι τὸν συνήθως αὐτοῖς πάλαι ὑπηρετησάμενον Ἰάμβλιχον τροφὰς ὠνήσασθαι καὶ κομίσαι· ὃς τὴν Ἐφεσίων καταλαβὼν πόλιν συλλαμβάνεται δι' ἃ ἐκόμιζε νομίσματα, ὡς θησαυρῶν ἀρχαίων εὑρετής. κἀκεῖθεν τὸ κατὰ τοὺς μάρτυρας θαῦμα εἰς ἀκοὰς πάντων περιηχούμενον διηπλοῦτο καὶ εἰς θέαμα προὔκειτο.*

## 254.

*Ἀνεγνώσθη ἐκ τῆς μαρτυρικῆς Τιμοθέου τοῦ ἀποστόλου συγγραφῆς.*

*ὅτι πρῶτον Τιμόθεον ἡ παροῦσα συγγραφή φησιν Ἐφέσου ἐπισκοπῆσαι, ῥοπάλοις δ' ἀναιρεθῆναι, διότι τοὺς Ἐφεσίους διεκώλυε τὰς μυσαρὰς καὶ μιαιφόνους τῶν Ἑλλήνων ἐπιτελεῖν τελετάς, ὧν μία ἦν καὶ ἡ καλουμένη καταγώγιον, καθ' ἣν ὅτε, καὶ ὅτι ταύτην ἐξεκήρυττε, τοῦ μαρτυρικοῦ τέλους ἠξιοῦτο· Δομετιανὸς δὲ τηνικαῦτα τῆς Ῥωμαϊκῆς ἀρχῆς καθειστήκει τύραννος. τοῦ δὲ ἱεροῦ Τιμοθέου τρόπῳ τῷ εἰρημένῳ τὸν βίον λιπόντος, καὶ Δομετιανοῦ ἐξ ἀνθρώπων ἀποφθαρέντος, Νέρβα δὲ τοῦ Ῥωμαϊκοῦ κράτους τὸ σκῆπτρον ἀναδε- 140 B. δεγμένου, ὁ θεολόγος Ἰωάννης τῆς ὑπερορίου φυγῆς ἀφεθεὶς κατάγεται πρὸς τὴν Ἔφεσον, ἧς καὶ πρότερον ὑπὸ Δομετιανοῦ πεφυγάδευτο. καὶ γὰρ ἐν ταύτῃ διέτριβε ναυαγήσας μὲν περὶ τὸν αἰγιαλόν, ἐκβρασθεὶς δὲ τῆς θαλάσσης ἐμπνέων ἔτι, ἡνίκα Νέρων ὁ ἐμμανὴς τὸν κατὰ τῶν Χριστιανῶν ἐπνει διωγμόν· ὅτε καὶ τοὺς τόμους, οἳ ἀνέγραφον διαφόροις γλώσσαις τὰ σωτήρια τοῦ δεσπότου πάθη τε καὶ θαύματα καὶ διδάγματα, 763 H. τούτους παρὰ τῶν κομιζόντων δεξάμενος διέταξέ τε καὶ διήρθρωσε, καὶ ἑνὶ ἑκάστῳ τῶν τριῶν εὐαγγελιστῶν τὸ ὄνομα ἐνηρμόσατο. ἀλλὰ γάρ, ὅπερ εἶπον, ψηφίσματι Νέρβα τῆς ὑπερορίας ἀνακληθεὶς τῇ Ἐφεσίων ἐπέστη μητροπόλει, καὶ αὐτὸς δι' ἑαυτοῦ, ἑπτὰ συμπαρόντων ἐπισκόπων, τῆς Ἐφεσίων ἀντιλαμβάνεται μητροπόλεως, καὶ διήρκεσε τὸν τῆς εὐσεβείας κηρύσσων λόγον ἄχρι τῆς βασιλείας Τραϊανοῦ. ταῦτα δὴ καὶ τοιαῦθ' ἕτερα διηγεῖται τὸ μαρτύριον ἁπλουστέρᾳ φράσει τοῦ ἁγίου Τιμοθέου.*

*ὅτι ὁ ἀπόστολος Τιμόθεος ὑπὸ τοῦ μεγάλου Παύλου καὶ χειροτονεῖται τῆς Ἐφεσίων μητροπόλεως ἐπίσκοπος καὶ ἐνθρονίζεται.*

*ὅτι ἡ παρὰ τοῖς Ἐφεσίοις δαιμονιώδης καὶ βδελυκτὴ ἑορτή, ἡ λεγομένη καταγώγιον, τόνδε τὸν τρόπον ἐτελεῖτο. προσχήματα μὲν ἑαυτοῖς ἀπρεπῆ περιετίθεσαν, πρὸς δὲ τὸ μὴ ἐπιγινώσκεσθαι προσωπείοις κατακαλύπτοντες τὰ ἑαυτῶν πρόσωπα, πολλά τε καὶ εἴδωλα ἐπιφερόμενοι καί τινα ᾄδοντες ᾄσματα, ἐπῄεσάν τε ἀνδράσι καὶ σεμναῖς γυναιξὶ κατὰ λῃστρικὴν ἔφοδον, καὶ φόνους εἰργάζοντο κατὰ τοὺς ἐπισήμους τόπους τῆς πό-*

a. 3. προσέπεσόν B. 6. προελθούσης mg: libri προσελθούσης. cf. p. 472 a 14. 9. παρόντων A. 14. ἤνυσεν A. 18. αἰγαίων B. 22. μεθεῖλκον A. 24. ἡλίῳ A: ἥλιον ς. ὑπελέλειπτο ς. 41. περιηχεῖτο διαπλούμενον ς.
b. 19. ὅτι A: ὥστε ς. 23. συνδιήρθρωσε ς. 25. ἐπέστη B: ὑπέστη ς. 39. πολλὰ om A. τε om B.

Digitized by Google

λεως, καὶ ἔπραττον προθύμως τὰ ἄθεσμα, ὡς ἐνθέσμοις ἔργοις τοῖς ἀθεμίτοις καλλωπιζόμενοι.

## 255.

Ἀνεγνώσθη ἐκ τοῦ μαρτυρίου τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου, εἰς τὸν αὐτὸν τρόπον ἐκδεδομένον. οὗτος ὁ τοῦ Χριστοῦ μάρτυς Δημήτριος, κῆρυξ ὢν καὶ διδάσκαλος τῆς εὐσεβείας, τοὺς ἀποστολικοὺς δρόμους καὶ τοὺς ἀγῶνας ἐμιμεῖτο, καὶ τὴν Θεσσαλονικέων πόλιν τῷ φωτὶ τῶν αὐτοῦ κηρυγμάτων τοῦ τῆς πλάνης σκότους ἀπάγων Χριστῷ προσῆγεν· ἦν δ' αὐτῷ καὶ ὁ βίος συνεξαστράπτων τοῖς δόγμασι. Μαξιμιανὸς δὲ τότε ὁ θεομάχος ἐβασίλευεν, καὶ τῇ τῆς Θεσσαλονίκης πόλει ἐπεχωρίαζεν. ἐπορεύετο δὲ ἐπὶ θέαν μονομάχων, καὶ ὁ μάρτυς αὐτῷ δεδεμένος, πλησίον που γενομένῳ τοῦ σταδίου, ὑπὸ τῶν τῆς ἀσεβείας ὑπηρετῶν ὡς τὰ Χριστιανῶν καὶ φρονῶν καὶ κηρύσσων προσάγεται. ὁ δὲ πρὸς τὴν θέαν σπεύδων τὸν ἅγιον κελεύει (παρὰ τὸ στάδιον γὰρ λουτρὸν δημόσιον ἐγειτόνευεν) ἔν τινι τούτου φρουρεῖσθαι καμάρᾳ. ἦν δὲ τῶν μονομάχων ὁ μάλιστα τῷ τυράννῳ καὶ φιλούμενος καὶ δοκῶν κατὰ πάντων ἀριστεύειν Λυαῖος ὄνομα. ὁ δὲ μέλλων κατ' ἐκείνην τὴν ἡμέραν ἀνταγωνίζεσθαι αὐτῷ εἷς μὲν ἦν τοῦ δήμου, νέος δὲ τὴν ἡλικίαν, καὶ τὴν κλῆσιν Νέστωρ. ὁ δὲ τύραννος ἔδοξεν αὐτοῦ τῆς ἡλικίας, καίτοι μιαιφονίαν κατὰ πάντων πνέων, φείδεσθαι· καὶ χρήματα μέν, ὧν ἐρῶντα πρὸς τὴν τοῦ τηλικούτου ἀνταγωνιστοῦ μονομαχίαν ἐπιῤῥίπτειν ἑαυτὸν ἐνόμιζε, δώσειν ὑπισχνεῖτο, ἀποστῆναι δὲ τοῦ 1406 R. ἀγῶνος ὡς ὀλεθρίου αὐτῷ ἐσομένου παρῄνει. "ὁ δὲ Νέστωρ οὐκ ἔφη χρημάτων, δόξης δ' ἐρᾶν τῆς δι' ὧν 764 H. ἀναιρεθείη Λυαῖος τῷ ἀνελόντι φυομένης. καὶ τοῦτο εἰπὼν συμπλέκεται μὲν τῷ παρὰ πάντων ὑμνουμένῳ ἀριστεῖ, θᾶττον δὲ καταβάλλει καὶ ἀναιρεῖ. καὶ τυγχάνει μὲν τῶν ἀποκειμένων τοῖς κρατοῦσι βραβείων οὐδενός, πληροῖ δὲ τὸν τύραννον ἀφορήτου λύπης καὶ ὀργῆς. καὶ ἀνίσταται τῆς καθέδρας θυμομαχῶν ὁ δυσσεβής, καὶ οἴκαδε ἐπανῄει. ἐπεὶ δὲ αὐτῷ τινὲς λόγους ἔφερον περὶ τοῦ μάρτυρος Δημητρίου, ἅτε δὴ μεθύων καὶ τῷ θυμῷ καὶ τῇ ἀσεβείᾳ, καὶ ἅμα νομίσας ὡς οἰωνὸς αὐτῷ γέγονεν οὐκ ἀγαθὸς ἡ κατὰ τὸ στάδιον ἀπιόντι τοῦ ἁγίου συνάντησις, λόγχαις ἐν οἷς καθεῖρκτο τόποις κελεύει τοῦτον ἀναιρεθῆναι. τὸ δὲ σῶμα τοῦ μάρτυρος οἱ τότε τῶν εὐσεβούντων λάθρᾳ καὶ νυκτός, καθ' ὅσον αὐτοῖς ὁ τῶν δυσσεβούντων φόβος συνεχώρει, ἐν αὐτοῖς τοῖς ἐρειπίοις ἐν οἷς τὴν σφαγὴν ὑπέστη, τὴν γῆν ἀνορύξαντες θάπτουσι. καὶ χρόνον οὕτως ἔμεινεν ἐφ' ἱκανόν, ἐν ὕβρει μὴ ὑβριζόμενος· τῶν γὰρ θαυμάτων ἡ χάρις καὶ τῶν ἰάσεων ἡ εὐφημία τὴν ὕβριν ἀπήλαυνε. Λεόντιος δέ τις ἀνὴρ θεοφιλέστατος χρόνοις ὕστερον τῆς ἐπαρχότητος, ἣ διεῖπε τὸ Ἰλλυρικόν, τὸν θρόνον λαχών, περικαθάρας τὸ χωρίον ἐν ᾧ τὸ τοῦ μάρτυρος ἀπέκειτο λείψανον, καὶ εὐρύνας ἀνεγείρει τὸν περιώνυμον οἶκον τῷ μάρτυρι, κοινὸν ἱλαστήριον καὶ προσφύγιον οὐ τῇ Θεσσαλονικέων μόνῃ πόλει ἀλλὰ καὶ πᾶσι τοῖς πέρασιν.

## 256.

Ἀνεγνώσθη ἐκ τοῦ λόγου ὃς ἐπιγέγραπται „πολιτεία τῶν ἁγίων πατέρων ἡμῶν, Μητροφάνους καὶ Ἀλεξάνδρου·" ἐν ᾧ καὶ ὁ βίος Κωνσταντίνου τοῦ βασιλέως, τὴν αὐτὴν διὰ τῆς ἐκδόσεως παρεχόμενος χρείαν.

Ἐννεακαιδεκάτῳ ἔτει τῆς Διοκλητιανοῦ βασιλείας, τῆς δὲ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίας πέμπτου καὶ τριακοσιοστοῦ ἔτους, πάλιν ὁ καθ' ἡμῶν ἐκρατύνθη διωγμός· ἐν ᾧ χρόνῳ Κωνσταντῖνος ἔφηβος ἦν, ὁ παῖς Κωνσταντίου. τὸν Κωνσταντῖνον δέ, οὐκ οἶδ' ὅθεν ὁ συγγραφεὺς μαθών, καὶ τὰ ἱερὰ γράμματα παρὰ τοῦ πατρὸς μαθεῖν, ἀλλὰ καὶ Καίσαρα παρ' αὐτοῦ χειροτονηθῆναι ἀναγράφει· καταστῆναι δὲ καὶ εἰς θέαν Κωνσταντίνου ἐν τοῖς ἐφήβοις τελοῦντος ἐν Παλαιστίνῃ, ἡνίκα συνῆν Διοκλητιανῷ κατὰ τῆς Αἰγύπτου στρατεύοντι· ἐπανάστασις δέ τις ἐκίνει τὸν πόλεμον.

ὅτι φησὶ τὸν Μαξιμιανὸν ἐνεδρεύοντα τὸν Κωνσταντῖνον ἀνελεῖν μὴ λαθεῖν· διὸ καὶ πρὸς τὸν πατέρα φεύγει. καὶ τελευτῶντα καταλαβὼν χειροτονεῖται παρ' αὐτοῦ τῆς βασιλείας διάδοχος. τότε καί φασιν εἰπεῖν τὸν εὐσεβῆ Κωνστάντιον „νῦν ὁ θάνατός μοι τῆς ζωῆς ἡδύτερος, μέγιστον ἐντάφιον λαβόντι τὴν σὴν ἡγεμονίαν, υἱέ μου. τὸ γὰρ καταλιπεῖν ἐπὶ γῆς βασιλέα τὰ Χριστιανῶν δάκρυα περιμάξαι δυνάμενον καὶ στῆσαι τὸν ἄδικον φόνον, ὃν Μαξιμιανὸς οὐ λήγει κατὰ τῶν Χριστιανῶν παλαμώμενος, ἤδη μοι τὴν μακαρίαν δίδωσι λῆξιν." τρίτον δ' ἤδη τότε ἦν ἔτος τοῦ καθ' ἡμῶν διωγμοῦ, ἐν ᾧ καὶ Κωνστάντιος πρὸς τὴν ἄφθαρτον βασιλείαν τὴν ἐπίκηρον ἤμειψε, καὶ τὸν υἱὸν ἀνακηρύξας βασιλέα κήρυκα τῆς εὐσεβείας καὶ τῶν Χριστιανῶν ὑπέρμαχον καταλέλοιπεν.

"ὅτι φησί, Σεβήρου νόσῳ τελευτήσαντος Λικιν- 1408 R. 765 H.

a. 5. τόπον A. 11. ἐβασίλευεν ὁ θεομάχος ς. 16. κηρύττων ς. 18. γὰρ A: ᾧ ς. ἔν τινι A: ἐν τῇ ς. 29. δ' A: γ' ς. ὧν] οὗ B et corr A1 30. φαινομένης B. 31. μὲν add B. 35. τῆς B: καὶ τῆς ς. 37. περὶ A: παρὰ ς. 38. καὶ ante τῷ add A. b. 5. χρόνοις A: χρόνον ς.



Digitized by Google

νιος ὁ ἐπ' ἀδελφῇ γαμβρὸς Κωνσταντίνου βασιλεύει· τὴν δὲ λοιπὴν τῆς ἑῴας μοῖραν Μαξιμιανὸς ἐπεῖχε. Μαξέντιος δὲ τῆς κατὰ Ῥώμην ἦρχεν, ἀδελφιδοῦς ὢν Μαξιμιανοῦ· καὶ γὰρ ὁ μὲν ἦν Μαξιμιανοῦ τοῦ προτέρου, ὁ δὲ Διοκλητιανοῦ.

ὅτι Κωνσταντῖνος ὁ εὐσεβὴς βασιλεύς, τοὺς μιαιφόνους φόνους καὶ τὰς διαφθορὰς τῶν παρθένων καὶ τὰς ἁρπαγὰς τῶν ἀλλοτρίων γυναικῶν καὶ τὰς βίας, αἷς ὁ ἐξάγιστος ἐνετρύφα Μαξέντιος, ἀκοῇ μαθών, καὶ τῶν ἐν Ῥώμῃ διαπρεσβευσαμένων σφίσιν αὐτοῖς σωτῆρα καὶ λυτρωτὴν γενέσθαι, παραινεῖ μὲν διὰ γραμμάτων τὸν τύραννον ἀποσχέσθαι τῶν ἐκθέσμων ἔργων, οὐ πείθων δὲ λόγοις ἅπτεται πολέμου. καὶ συμπλακεὶς μάχῃ τὰ πρῶτα μὲν ἐγγὺς γίνεται τοῦ λαβεῖν τὸ ἧττον· φανέντος δ' αὐτῷ κατὰ τὸν οὐρανὸν τοῦ τύπου τοῦ σταυροῦ, φωτὶ ἀΰλῳ ἐγκεχαραγμένου καὶ γράμμασι τῆς αὐτῆς ὕλης εὐαγγελιζομένου τὴν νίκην (ἔλεγε γὰρ τὸ γράμμα „ἐν τούτῳ νίκα“), συμβαλὼν τοῖς πολεμίοις καὶ τοῦ πολέμου καὶ τοῦ τυράννου σκυλεύει τὸ κράτος. πρὸ δὲ τῆς συμπλοκῆς τὴν θείαν ὄψιν εἰς τροπαίου σχῆμα μορφώσας καὶ χρυσοκολλήτοις λίθοις ἁρμόσας ἐδίδου φέρειν τοῖς προϊππεύουσι. καὶ γίνεται μὲν Μαξέντιος αὐτοῦ θήραμα· οἷς γὰρ ἐνήδρευε Κωνσταντῖνον θηράτροις, αὐτὸς ἐθηράθη. ἐπήγνυ μὲν γὰρ πρὸ τῆς Ῥώμης περὶ τὴν Μουλίαν γέφυραν δόλου γέφυραν ἄλλην, δι' ἧς ἤλπιζε τὸν Κωνσταντῖνον ἐπελαύνοντα διαφθαρῆναι· τῆς τροπῆς δὲ τῶν ἀπὸ Ῥώμης ὀξείας καὶ σὺν ταράχῳ πολλῷ γεγενημένης αὐτὸς ὁ τοῦ δόλου τεχνίτης σὺν τοῖς ἑπομένοις, διαρραγείσης αὐτοῖς τῆς σεσοφισμένης γεφύρας, κατέδυ τε εἰς τὸν ποταμὸν καὶ ἐξέπιε τὸν θάνατον. ἀλλ' οὕτω μὲν καὶ Μαξέντιος διεφθάρη καὶ εἰς Κωνσταντῖνον ἡ ἐκείνου μερὶς περιίσταται· καὶ τὸ ὑπήκοον οὐ μόνον ἀνέπνευσε τῶν ἀνηκέστων κακῶν, ἀλλὰ καὶ ἐν εὐδίᾳ πάσῃ ἑώρταζε. Λικίννιος δὲ τὴν Ἕλληνα δόξαν συγκροτῶν ἐξεμαίνετο κατὰ τῶν εὐσεβῶν, τὰ πρῶτα μὲν λάθρα φόβῳ τοῦ κηδεστοῦ, ὕστερον δὲ καὶ κατὰ τὸ ἐμφανές· χρονίζον γὰρ καὶ ὑποτρεφόμενον ἔνδον τὸ δεινὸν ὡς τὰ πολλὰ συγκεκλεισμένον μένειν οὐ δύναται, ἀλλὰ διὰ τῶν ἐκτὸς θριαμβεύει καὶ τὸ πάλαι μελετώμενον. ὁ τοίνυν κατὰ τῶν Χριστιανῶν ἀδιήγητος διωγμὸς κινεῖ τὸν εὐσεβῆ βασιλέα κατὰ τοῦ δυσσεβεστάτου γαμβροῦ εἰς μῖσος δίκαιον, καὶ τὸ μῖσος τὸν πόλεμον ἔτικτε. πολλῆς δὲ καὶ παντοδαπῶς συγκροτουμένης μάχης κατά τε γῆν καὶ κατὰ θάλασσαν ἡττᾶται Λικίννιος, καὶ τῇ τοῦ βασιλέως φιλανθρωπίᾳ πεποιθὼς ἑαυτὸν ἐκδίδωσι. καὶ μάτην θαρρεῖν οὐκ ἠλέγχετο· ἀφίεται μὲν γάρ, πολλῶν ὑπεύθυνος ὢν τιμωριῶν, ἀτιμώρητος, καὶ ἡ Θεσσαλονίκη αὐτῷ σὺν ἀδείᾳ ζῆν ἁπάσῃ διατριβὴ ἀφορίζεται. ὁ δὲ τὸ φιλάνθρωπον εἰς τὸ τὴν ἧτταν ἀναμαχέσασθαι 166 B. ἀπονοίας ποιησάμενος ὅπλον, τὴν ἐπανάστασιν ἐγχειρίζετο, ἥτις αὐτὸν καὶ τοῦ βίου τῷ δικαίῳ ξίφει διέτεμεν.

ὅτι τελευτᾷ μὲν ὁ ἱερομάρτυς Πέτρος, καὶ Ἀχιλλᾶς τὸν Ἀλεξανδρείας θρόνον καὶ τὸν ἅγιον διαδέχεται, τοῦτον δὲ Ἀλέξανδρος. τῆς ἐκκλησίας δὲ τῶν διωγμῶν ἤδη λοιπὸν ἠλευθερωμένης καὶ τοῖς τῶν μαρτύρων ἄθλοις σεμνυνομένης, τὸ ἐγκόλπιον κακὸν καὶ τῆς οἰκουμένης ὁ τάραχος Ἄρειος τὴν εὐφροσύνην τῆς ἐκκλησίας εἰς κατήφειαν πάλιν συνέστελλεν· ἐν κτίσμασι γὰρ κατῆγε τὸν τοῦ θεοῦ υἱὸν καὶ θεόν, οὗ χειρὸς ἔργον ἡ σύμπασα κτίσις. ἐπεὶ δ' ὁ Ἀλεξανδρείας Ἀλέξανδρος καὶ νουθετῶν καὶ παρακαλῶν ἀπεῖπεν (ἐνίκα γὰρ τῶν 1409 B. ζιζανίων τὸ βάθος τὸν σπόρον τοῦ λόγου), ἐκτέμνει τοῦτον καθαιρετικῇ μαχαίρᾳ τῆς ἐκκλησίας.

ὅτι Εὐσέβιος ὁ τὴν Βηρυτὸν μὲν ὑπεριδών, τὴν δὲ Νικομηδέων ἐκκλησίαν ἐποφθαλμίσας, ἐπεὶ μὴ δίκην ἔδωκε τῆς ἁρπαγῆς, ἐπαρθεὶς Ἀρειόν τε καὶ τοὺς τῆς αἱρέσεως συνεραστὰς διὰ προνοίας τῆς πρώτης ἦγεν· ὧν ἐπίσκοποι μέν ποτε γεγονότες Σεκοῦνδος ὑπῆρχε καὶ Θεωνᾶς, ἐν δὲ διακόνοις καὶ πρεσβυτέροις Ἄρειός τε ἡ τῆς αἱρέσεως ἀρχὴ καὶ Ἀχιλλᾶς καὶ ἄλλος Ἄρειος καί τινες ἕτεροι τῆς αὐτῆς καὶ τιμῆς καὶ φρατρίας, ἀριθμὸν ἀπαρτίζοντες τὸν ἐννέα. οὓς καὶ καθεῖλε σύνοδος ἐγγὺς ρ' ἐπισκόπων, οἳ ἐξ Αἰγύπτου καὶ Λιβύης συνεληλύθεσαν, ὑπαγαγόντες καὶ τῷ ἀναθέματι. ὧν τὴν ἀκοὴν Κωνσταντῖνος οὐκ ἀναλγήτως ἐνεγκών, ἀποστέλλει πρὸς τὴν Ἀλεξάνδρειαν Ὅσιον μὲν τοὔνομα ὅσιον δὲ τὸν βίον (πόλις δ' αὐτὸν ηὔχει μία τῶν Ἰσπανιῶν, ἡ Κουδρούβη), ἐγχειρίζει δ' αὐτῷ καὶ γράμματα πρός τε τὸν ἀρχιερέα θεοῦ Ἀλέξανδρον καὶ πρὸς Ἄρειον τὸν τῆς ἀσεβείας διαγεγραμμένον γεννήτορα, ὧν τὰ μὲν ᾔτει φιλανθρωπευθῆναι πρὸς Ἄρειον, τὰ δὲ προσέταττεν ἀποστῆναί τε τῆς λύσσης καὶ τὸ φρόνημα τῆς ἐκκλησίας ἀνθελέσθαι, παρῄνει δὲ καὶ τῆς πρὸς ἀλλήλους ἔριδος καὶ ἀντιλογίας ἀναχωρεῖν ὡς πολλῶν κακῶν

a. 2. ἑώας B: ἕως ς. 22. προϊππεῦσιν A. 25. μουλίαν] φουλβίαν B, βουλβίαν A. 34. ἐν om A. εὐδίᾳ] εὐδαιμονίᾳ A. 41. τῶν om A. b. 1. τε A: γε ς. 2. θάλατταν B. 7. ἀναμάχεσθαι A. 24. ἐποφθαλμήσας A. 29. καὶ ἄλλος AB: ὁ ἄλλος ς. 30. φατρίας A. 36. ἰσπανίων B: σπανίων ς. 39. γεγραμμένον ς.

Digitized by Google

αἰτίας ταύτης ἐν πολλοῖς γινομένης. ἐπεὶ δὲ τὸ τοῦ Ἀρείϐ νόσημα ὔτε τῇ τῦ περιβοήτϐ Ὁσίου παρρησίᾳ καὶ διδασκαλίᾳ ὔτε τῇ τῦ βασιλέως νϐθεσίᾳ προσεδέχετο τὴν θεραπείαν, σύνοδον ἀρχιερέων ἐν τῇ κατὰ Βιθυνίαν Νικαίᾳ ὁ βασιλεὺς συγκροτεῖ· ἧς τῶν ἐπισκόπων συνεδριαζόντων αὐτὸς εἰς τὸ μέσον ςὰς οὐκ ἄλλως ἠνέχετο καθεσθῆναι ἢ τῦ ἱερῦ χοροῦ ἐπινεύσαντος αὐτῷ. καὶ τῆς μὲν Ἀρείϐ αἱρέσεως Εὐσέβιός τε ὁ Νικομηδείας ϗ Θεογόνιος ὁ Νικαίας ϗ Μάρης ὑπερήσπιζον ὁ Καλχηδόνος, τῆς δ' εὐσεβείας Ἀλέξανδρος ὁ Κωνςαντινϐπόλεως πρεσβύτερος, ϗ τὸ πρόσωπον τῦ ταύτης ἀρχιερέως ἐπέχων (Μητροφάνης γ͂ ὁ ὅσιος διά τε βαθὺ γῆρας ϗ νόσον ὐ παρῆν)· μεθ' ὧν Ἀθανάσιός τε ὁ τῆς ἐν Ἀλεξανδρείᾳ ἐκκλησίας 767 H. ἀρχιδιάκονος, καὶ ὁ ταύτης ἀρχιερεὺς Ἀλέξανδρος. παρῆσαν δὲ τῇ συνόδῳ καί τινες ἱερατικὴν μὲν χάριν ὐκ ἔχοντες, ἀλλ' ὐδὲ τὰ Χριςιανῶν τετελεσμένοι, ἐπὶ δὲ διαλεκτικῇ δυνάμει μέγα ὄνομα φέροντες· ὓς ἐν τῷ ἀπλάςῳ καὶ ἀκατασκεύῳ τῆς τῦ θεῦ σοφίας λόγῳ τινὲς τῶν ἱερῶν γερόντων καὶ τῇ ἐνοικϐσῃ θείᾳ χάριτι ἐζώγρησάν τε, καὶ τῆς πλάνης ἐκκαθάραντες τῆς τε Ἑλληνικῆς ϗ τῆς Ἀρείϐ, ἧς ὑπερηγωνίζοντο μάλιςα, τῆς Χριςῦ ποίμνης γενέϑ παρεσκεύασαν.

ἐν τῇ συνόδῳ δὲ παρῆν ϗ Παφνούτιος ὁ θαυμάσιος, Αἰγύπτιος μὲν τὸ γένος, ὁμολογητὴς δὲ τοὺς ἄθλους, ὗ καὶ Μαξιμιανὸς ὁ μισόχριςος τόν τε δεξιὸν ἐξώρυξεν ὀφθαλμὸν ϗ τὴν λαιὰν ἐνευροκόπησεν ἀγκύλην ϗ μεταλλείαις ἐκακώχησεν, ἀνὴρ ὑπερφυῶν ἔργων πολλῶν καὶ δυνάμεων δημιϐργός· ὃν καὶ ὁ φιλοθεώτατος βασιλεὺς διὰ πάσης τε ἦγε τιμῆς, ϗ κόρον ὐκ ἐλάμβανε καταφιλῶν τὸν διωρυγμένον αὐτῦ ὀφθαλμόν.

ἀλλὰ καὶ Σπυρίδων ὁ σεβάσμιος παρῆν, περὶ οὗ βραχέα τινὰ ἐκ μυρίων ὁ λόγος ἐρεῖ. ἐποίμαινεν αὐτός ποτε τὰ πρόβατα αὐτῦ, ϗ ἐν τῷ τῆς ἐπισκοπῆς 412 R. τελῶν ἀξιώματι· λῃςαὶ δ' ἐπῆεσαν τῇ ποίμνῃ, καὶ δεσμοῖς ἀοράτοις ἐπεπέδηντο. ϗ καταλαβὼν δεδεμένϐς ὓς αὐτὸς εὐχαῖς ἐδέσμησε, λύει μὲν τῶν δεσμῶν σοφίᾳ τῇ ἴσῃ, ἐπιδίδωσι δὲ καὶ κριόν, μισθὸν αὐτοῖς λαόμενον εἰπὼν τῆς νυκτερινῆς ταλαιπωρίας. παρθένον δὲ θυγατέρα σύνοικον εἶχε, ϗ αὕτη τινὸς παραθήκην λαβοῦσα μετήλλαξε τὸν βίον· καὶ ὁ παραθέμενος τὸ χρυσίον (ἔςαλτο γ͂ εἰς ἀποδημίαν) ἐπανελθὼν ἐζήτει τὸ χρυσίον. συνεξηρεύνα ὖν καὶ ὁ Σπυρίδων, ϗ οὐχ εὑρίσκετο. διὸ ἐφίςαϑ τῷ τῆς θυγατρὸς τάφῳ ϗ „ὦ τέκνον Εἰρήνη" φησί (τοῦτο γ͂ ὄνομα τῇ παρθένῳ) „πῦ ἡ παραθήκη;" ἡ δὲ ἀποκρίνεϑ τῦ τάφϐ, καὶ τὸ χωρίον ἀναδιδάσκϐσα καὶ τῆς εὑρέσεως τὸν τρόπον· καὶ ἀνευρὼν ῥᾳδίως τὴν παραθήκην ἀποκαθίςησι τῷ παραθεμένῳ. ἀλλὰ τύτοις μὲν ὡς ἐξ ὀνύχων δηλῦμεν τὸν λέοντα.

ὗτοι ὖν οἱ τριςόσιοι ϗ τὸ ἄλλο τῶν τῦ θεῦ ἀρχιερέων σύνταγμα καταδικάζϐσιν αὐτῇ δυσσεβείᾳ τόν τε Ἄρειον καὶ τὺς σὺν αὐτῷ, καὶ ὁμούσιον τῷ πατρὶ τὸν υἱὸν ἀνεκήρυξαν, ὁμοφώνως τὰς ψήφϐς θέμενοι. τινὲς δ', εἰς ἑπτακαίδεκα τὸν ἀριθμὸν συμπληρύμενοι, εἰς τὴν Ἀρείου λύσσαν ἀποκλίνειν ἔδοξαν. ἀλλὰ τούτων ὑπερορίας βασιλικῇ ψήφῳ κυρωθείσης ἓξ μόνοι τῇ δυσσεβείᾳ διέμειναν, τῶν ἄλλων παλινῳδίαν ἐνδειξαμένων καὶ τῷ τῆς εὐσεβείας φρονήματι, εἰ ϗ μὴ ἐξ εἰλικρινείας, ἀλλ' ὑφάλῳ γνώμῃ συνδεδραμηκότων, ὧν ἦν κορυφαῖος ὁ Νικομηδείας Εὐσέβιος. ἐντεῦθεν αἱ ἁπανταχῦ ἐκκλησίαι τῶν πολλῶν θορύβων ϗ ςάσεων πρὸς εἰρήνην ἀνέπνευσαν. ϗ Ὅσιος μὲν ὁ Κϐδρύβης, ἅμα τῶν οἱ συνεπομένων, τὰς συνοδικὰς φέρων πράξεις τοῖς ἑσπερίοις τὴν εἰρήνην ἐβράβευε, τοῖς δὲ κατ' Αἴγυπτον καὶ Λιβύην ὁ θερμὸς Ἀθανάσιος. Ἀλέξανδρος δὲ καίτοι πρὸς γῆρας ἐλαύνων (ἑβδομηκοντέτης γ͂ ἦν) 768 H. τοῖς κατὰ τὴν Θρᾴκην ὅμως ϗ τὸ Ἰλλυρικὸν τὸ τῆς ὁμονοίας ϗ εἰρήνης τῶν ἐκκλησιῶν πόνϐς ὑφίςατο διακομίζειν εὐαγγέλιον, συνέκδημον ἔχων τὸν πανόλβιον Παῦλον, ἀναγνωςῶν τηνικαῦτα ϗ ὑπογραφέων τῆς κατὰ Κωνςαντινύπολιν ἐκκλησίας πληρῦντα βαθμόν· ὃς καὶ κατὰ τὴν σύνοδον δωδέκατον ἔτος ἐκ γενέσεως ἄγων τῷ Ἀλεξάνδρῳ συνδιέτριβεν. ἀλλὰ ταῦτα μετ' ὀλίγον· πρότερον δὲ εἰς θέαν ἧκε τῦ πανοσίϐ Μητροφάνϐς, καὶ τοῖς μὲν εὐαγγελίοις ϗ τῇ παρουσίᾳ εὐφράνας, οὐκ εὐφράνας δ' οἷς ἀποδημεῖν ἔμελλε, μετ' εὐχῶν πρὸς τὴν καταπεπιςευμένην αὐτῷ διακονίαν ἐξέλλετο. διελθόντες δὲ Θρᾴκην τε ϗ Μακεδονίαν καὶ Θεσσαλίαν ϗ Ἀχαΐαν πᾶσαν ϗ Ἑλλάδα ϗ τὰς ἠπείρϐς ὐδὲ τῶν νήσων ὠλιγώρησαν, ἀλλ' ἐπιπλεύσαντες ἅπαν ἀνέσπων ἐκ ῥιζῶν αὐτῶν ζιζάνιον, τὸν εὐγενῆ δὲ σπόρον τῶν εὐαγγελικῶν δογμάτων καὶ συνοδικῶν κηρυγμάτων διέσπειρον.

ὅτι τῆς συνόδϐ τέλος διὰ τριῶν ἥμισυ λαβούσης ἐτῶν (καὶ γ͂ ἤρξατο μηνὸς ἀπριλλίϐ πεντεκαιδεκάτην

a. 9. μάρις B. 10. ἀλέξανδρός τε ὁ A. 17. ἐπὶ A: ἐπεὶ ς. 22. περὶ ἧς ἠγωνίζοντο ς. 32. συνῆν A. 40. παρακαταθήκην ς.
b. 35. πεπιςευμένην ς.

Digitized by Google

ἀνύοντος, ἐπερατώθη δὲ τῆς τριετίας πάλιν τὸν ἀπρίλλιον καταλαβούσης καὶ μέχρι σεπτεμβρίου διαδραμούσης· οὕτω γὰρ ὁ σοφὸς Ἀλέξανδρος τὰ πεπραγμένα γράφων τὰ τῆς συνόδου ἐπεσημήνατο) τελεσθείσης οὖν τῆς ἁγίας συνόδου, στὰς ὁ βασιλεὺς μέσος τοῦ χοροῦ τῶν ἀρχιερέων ᾔτει χάριν αὐτῷ μίαν παρ' αὐτῶν δοθῆναι· οἱ δὲ προθύμως κατένευον. ἡ δὲ χάρις συνεισελθεῖν αὐτῷ ἐν τῇ πόλει, ἐφ' ᾧ θεάσασθαί τε τὸν ἀρχιερέα, ὃν πατέρα
1413B ὁ βασιλεὺς ἑαυτοῦ ἀνωμολόγει, καὶ ὥστε τῇ πόλει, "ἣν αὐτὸς ἀνέστησε, διὰ τῆς αὐτῶν παρουσίας καὶ εὐχῆς τὸ τοῦ κτίσαντος ὄνομα ἐγκαινισθῆναι. ἐπισκεπτομένων δὲ τῶν ἱερέων τὸν διορατικώτατον Μητροφάνην ἡμέρας κυριακῆς ἐνισταμένης καὶ τοῦ βασιλέως συμπαρόντος, ἄλλοι τέ τινες προῆλθον λόγοι, καὶ „ὁρῶ σε" φησὶν ὑπολαβὼν ὁ βασιλεύς, „ὦ πατέρων ἐμοὶ τιμιώτατε, καὶ γήρᾳ καὶ νόσῳ κάμνοντα, καὶ δυσωπῶ ἀνειπεῖν τε καὶ ἀναδεῖξαι ἡμῖν τὸν μετά σε τοῦ ποιμνίου ἡγησόμενον." ὁ δὲ πρὸς τὸν βασιλέα εὐθυμοῦντι προσώπῳ „πέπεισμαι" φησὶν „ἐν κυρίῳ ὅτι νῦν τὸ πανάγιον πνεῦμα διὰ γλώσσης, ὦ τέκνον, εἶπε τῆς σῆς. φροντίζοντι γάρ μοι περὶ τούτου ἐφανέρωσεν ὁ κύριος πρὸ τῶν ἑπτὰ τούτων ἡμερῶν, καὶ ὅτι μετὰ δεκάτην ἡμέραν μεταλλάξω τὸν βίον, καὶ ὃς τὸ ἱερὸν ἀξίωμα ἀναδέξοιτο, καὶ ἔστιν οὗτος ὁ συμπρεσβύτερός μου Ἀλέξανδρος, ἄξιος ὡς ἀληθῶς τῆς ἐκλογῆς ὑπάρχων καὶ τῆς τοῦ ἁγίου προῤῥήσεως πνεύματος· ἔτι δὲ καὶ τοῦτον ὡς τὸ παιδίον Παῦλος ὁ ἀναγνώστης διαδέξεται." ἀποβλέψας δὲ καὶ πρὸς τὸν Ἀλεξανδρείας θεῖον Ἀλέξανδρον „καὶ σύ" φησίν, „ὦ ἀδελφέ, καλὸν σεαυτοῦ διάδοχον καταλείψεις." καὶ τῆς χειρὸς Ἀθανασίου τοῦ
769 H. ἀρχιδιακόνου λαβόμενος „ἴδε, ὁ γενναῖος" ἔφη "„στρατιώτης τοῦ Χριστοῦ οὗτός σε διαδέξεται· ὃς οὐ μόνον νῦν Ἀλεξάνδρῳ κατὰ τῆς δυσσεβείας Ἀρείου τῷ ἐμῷ συνηγωνίσατο ἀδελφῷ, ἀλλ' ἔτι σὺν αὐτῷ μεγάλους ἄθλους καὶ πολλοὺς ἀγωνιεῖται. οὐ μόνον δὲ δεύτεροι αὐτὸν ἐκδέξονται ἀγῶνες, ἀλλὰ καὶ τρίτους σὺν τῷ γενναίῳ ὑποστήσεται Παύλῳ." ταῦτα εἰπεν, καὶ ὥσπερ ἀναζωπυρήσας τῷ πνεύματι κάτεισι σὺν τοῖς ἐπισκόποις εἰς τὴν ἐκκλησίαν, καὶ μετὰ τὴν τοῦ εὐαγγελίου ἀνάγνωσιν ὀλίγα προσομιλήσας τῷ πλήθει καὶ συνταξάμενος ἀνακηρύττει καὶ μὴ παρόντα τὸν πρεσβύτερον Ἀλέξανδρον ἀρχιερέα καὶ τοῦ θρόνου διάδοχον. καὶ ὁ λαὸς μιᾷ φωνῇ σὺν αὐτῷ βασιλεῖ ἐπὶ πλείους ὥρας ἐβόα τὸ ἄξιος. εἶτα τὸ ὠμοφόριον τῇ ἁγίᾳ ἐναποτίθησι τραπέζῃ, ἐντειλάμενος αὐτὸ φυλάττεσθαι τῷ διαδόχῳ· ἥξειν δ' αὐτὸν προεῖπεν οὐκ εἰς μακράν, μετὰ δ' ἑβδόμην ἡμέραν τῆς αὐτοῦ πρὸς Χριστὸν ἀναλύσεως. γίνεται οὖν, ὡς προέφη καὶ ἐνετείλατο, ἁπάντων ἐτῶν δ' ἀνεπαύσατο ἑπτακαίδεκα καὶ ἑκατόν, ἰουνίου μηνὸς τετάρτην ἄγοντος.

ὅτι Κωνσταντία ἡ τοῦ εὐσεβοῦς Κωνσταντίνου ἀδελφή, γυνὴ δὲ τοῦ δυσσεβοῦς χρηματίσασα Λικιννίου, μέλλουσα τελευτᾶν τῷ ἀδελφῷ „μίαν" φησὶ „καὶ τελευταίαν αἰτῶ σε χάριν, τῆς ὑπερορίας Ἄρειον ἀνακληθῆναι, συσκευὴν ἄδικον ὑποστάντα· σύμφρων γὰρ ἐστὶ τῆς συνόδου." ἦν γάρ τις παρ' αὐτῇ τῶν τῆς Ἀρείου σπουδαστῶν αἱρέσεως πρεσβύτερος, ὃς ἑαυτὸν πρότερον τοῖς τῆς Κωνσταντίας εὐνούχοις οἰκειώσας δι' αὐτῶν καὶ πρὸς αὐτὴν διέδυ, καὶ λόγοις ἔπεισεν ἐπαγωγοῖς καὶ πολλὸν προφαίνουσι τὸν θῶπα ὡς Ἄρειος φθόνῳ ἐβλήθη· τὸ γὰρ ὀρθὸν τῆς ἐκκλησίας δόγμα πρεσβεύει. οἷς κἀκείνη, πρὸς τὸν βασιλέα τοιαῦτα εἰποῦσα, διέσεισε· καὶ αὐτίκα γράφει τῆς ὑπερορίας ἀνεθῆναι τὸν Ἄρειον. παρατίθεται δὲ τἀδελφῷ καὶ τὸν οὐδὲν ἧττον τῆς αἱρέσεως ἢ τῆς κολακείας πρεσβύτερον· καὶ τοῖς ἐπικλόποις ἤθεσι καὶ λόγοις οὐκ εἰς μακρὰν παῤῥησίαν καὶ πρὸς τὸν εὐσεβῆ λαμβάνει βασιλέα, καὶ κινεῖ περὶ Ἀρείου λόγους ὀρθόδοξον ποιοῦντας αὐτόν. καὶ ὁ βασιλεὺς „εἰ Ἄρειος" φησὶ „τὰ τῆς συνόδου φρονεῖ, ὄψομαί τε αὐτὸν εὐμενῶς, καὶ σὺν τιμῇ τῇ τῶν Ἀλεξανδρέων ἐγκαταστήσω ἐκκλησίᾳ." ταῦτα ἔλεγε, καὶ πρὸς ἑαυτὸν μετεπέμπετο γράφων. 1468
καὶ ὁ Ἄρειος ἅμα τῷ συγκαθῃρημένῳ Εὐζωΐῳ πρὸς τὴν πόλιν Κωνσταντίνου παραγίνεται· καὶ δέχεται αὐτοὺς φιλανθρώπως ὁ βασιλεύς. καὶ τὸ φρόνημα ἐπερωτῶν ἀκούει λεγόντων μὴ ἄλλο τι φρονεῖν παρὰ τὴν ἔκθεσιν τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων πατέρων. ἀλλὰ καὶ ὅρκον οἱ δείλαιοι τῇ πεπλασμένῃ ἐπετίθουν ὁμολογίᾳ. ὁ δὲ βασιλεὺς ἔγγραφον αὐτοὺς ἐκδοῦναι τὸ φρόνημα κελεύει. οἱ δὲ προθύμως ἐγγράφουσι τὰ ψευδῆ· πιστεύειν γὰρ αὐτούς τε καὶ τοὺς σὺν αὐτοῖς τῷ γράμματι ἔλεγον, ὅσα καὶ τῇ γλώττῃ ἐπλάττοντο. ἠ[illegible]σατο τοίνυν ὁ βασιλεὺς οἷς διωμολόγουν τὴν εὐσέβειαν, καὶ παραχρῆμα πρὸς τὴν Ἀλεξάνδρειαν αὐτόν τε καὶ τοὺς σὺν αὐτῷ μετὰ τιμῆς ἐκπέμπει. ὁ δὲ τῆς 770 H.
Ἀλεξανδρείας ἀρχιερεὺς Ἀλέξανδρος, συμπνέοντος

a. 1. ἀνύοντος B et corr A: ἀνιόντος ς. infra (b 7) est ἄγοντος. 4. τὰ τῆς] τότε τῆς B 9. ὁμολόγει B. 12. ἱερέων A: ἀρχιερέων ς. b. 5. οὖν om B. 8. εὐσεβοῦς βασιλέως Κωνς. ς. 18. [illegible] B. 21 τὸν Ἄρειον ἀνεθῆναι ς. ἀδελφῷ ς. 23. ἐπικόλποις ς. οὐκ] καὶ οὐκ A. 24. καὶ add A. 37. γράφουσι A.

Digitized by Google

αὐτῷ Ἀθανασίου, τὸν ἀποστάτην οὐ δέχεται· καὶ αὖθις Ἄρειος τὴν αἵρεσιν ἀνεκάλυπτε, ϗ τὰ τῆς Αἰγύπτου ἐταράττετο. καὶ ὁ βασιλεὺς μετάπεμπτον ποιεῖται τὸν Ἄρειον, ϗ ἀναπυνθάνεται εἰ διαμένοι οἷς αὐτῷ συνωμολόγησε κατὰ πρόσωπον· ὁ δὲ πάλιν ἑτοίμως τοῖς αὐτοῖς ἐμμένειν συγκατετίθετο, ϗ ὅρκον τοῖς λόγοις ἐπέβαλλεν. ἦν δὲ σκηνὴ ταῦτα πάντα, καὶ σκηνῆς δραματικώτερα. φασὶ δ᾽ ὡς ἐν μυστηρίῳ γράψας Ἄρειος βιβλίον ϗ ὑπὸ μάλης φέρων (τὸ δὲ βιβλίον ἀναιδῶς ἐλάλει τὴν δυσσέβειαν) ὤμνυεν οὕτω φρονεῖν, τὸν τῆς εὐσεβείας εἰς τὸ ἐμφανὲς προτείνων χάρτην, ὡς ϗ ὑπογράψειε.

Μετὰ δὲ βραχὺν χρόνον ὁ βασιλεὺς τὸν ἐπίκηρον εἰς τὸν ἀκήρατον μεταλλάττει βίον, ἕνα μὲν ἐνιαυτὸν ϗ τριάκοντα βασιλεύσας, πέντε δὲ καὶ ἑξήκοντα τὸν ὅλον διαπερανάμενος βίον. τελευτῶν δὲ τῷ τῆς αἱρέσεως πρεσβυτέρῳ τὴν διαθήκην παρατίθησιν, ἐντειλάμενος ἐγχειρίσαι Κωνσταντίνῳ ταύτην τῷ παιδί, ὃν ϗ ἡ διαθήκη τῆς πατρῴας μοίρας καὶ ἀρχῆς διάδοχον καὶ βασιλέα ἔγραφεν. ὁ δὲ ϗ πρὸς θεὸν ϗ πρὸς ἀνθρώπους τὸ πιστὸν οὐκ ἔχων πρεσβύτερος ἐπιδίδωσιν ἐν κρυφῇ τὴν διαθήκην Κωνσταντίῳ, προδότης φανεὶς ἅμα πατρός τε διαθήκης ϗ παιδὸς κληρονομίας. συνέτρεχον δὲ τῇ προδοσίᾳ Εὐσέβιός τε ὁ δυσσεβὴς πραιπόσιτος καὶ ἄλλοι τινὲς καὶ τῆς δυσσεβείας ϗ τῆς ἀνδρογύνου φύσεως συνθιασῶται, ἀλλὰ γὰρ προδίδωσι μὲν τὰ πιστευθέντα Κωνσταντίῳ, τῆς δὲ πρὸς ἀνθρώπους αὐτοῦ ἀπιστίας αἰτεῖ μισθαποδοσίαν Κωνστάντιον τῆς ὀρθῆς αὐτοῦ πίστεως προδοσίαν. καὶ συνεταιρίζεται τὸν Νικομηδείας Εὐσέβιον, καὶ διαμηχανῶνται τὸν Ἄρειον μὴ ἐν Ἀλεξανδρείᾳ ἀλλ᾽ ἐν Κωνσταντινουπόλει ἀχθῆναι, ῥᾷστα οἰόμενοι περιέσεσθαι Ἀθανασίου μὴ παρόντος, καὶ ἅμα τὴν τοῦ βασιλέως αὐθεντίαν μεθ᾽ ἑαυτῶν φέροντες. πολλὰ δὲ τῷ Κωνσταντινουπόλεως Ἀλεξάνδρῳ διαλεχθέντες περὶ συμβάσεως τὰ τῆς εὐσεβείας περικειρούσης δόγματα, ὡς οὐκ ἔπειθον, προτείνουσι δῆθεν βασιλικὸν πρόσταγμα ἢ μετὰ τοῦ φρονήματος δέχεσθαι Ἄρειον ἢ τοῦ θρόνου ὑποχωρεῖν· εἰ δὲ μηδέτερον ἕλοιτο, γινώσκειν αὐτὸν εἰς ὑπερορίαν ἐκπέμπεσθαι. ἔπειθον δὲ καὶ Κωνστάντιον τὸ ἀνδράποδον, ἐν τοῖς ὁμοίοις λόγοις μεταπεμψάμενον τὸν ἱερὸν Ἀλέξανδρον ἀπειλαῖς τε ὑποβαλεῖν, ϗ μνησικακίας ἀλλ᾽ ἐκ εὐσεβείας λόγῳ τὴν πρὸς Ἄρειον στέργειν ἀπέχθειαν. ὁ δὲ τῇ τοῦ Χριστοῦ δυνάμει ϗ τῷ ἀνεπιλήπτῳ καὶ τοῦ βίου ϗ τῆς συνειδήσεως θαρρῶν ἀμείβεται τῷ βασιλεῖ „τῶν μὲν αἰτιαθέντων τὴν ἀλή- 1417 B. θειαν ἡ ἐκεῖθεν ἡμέρα δηλώσει, ἐγὼ δὲ τὸν ἐπὶ τοσαύτῃ δυσσεβείᾳ ἁλόντα ϗ παρὰ τοσούτων ἀρχιερέων κατακριθέντα οὐχ οἷός τέ εἰμι τῶν φρικτῶν μυστηρίων λαβεῖν κοινωνόν.“ ὁ δὲ Κωνστάντιος „ὅρα“ φησὶν H. „ὦ ἐπίσκοπε (καὶ γὰρ σύνοδος ἐπισκόπων ἀθροίζεται) μὴ ϗ ἄκων δέξῃ αὐτόν.“ ἐφ᾽ οἷς ὁ ἀρχιερεὺς ἀναστὰς ἐξῆλθε, καὶ πρὸς τὴν τοῦ θεοῦ παραγεγονὼς ἐκκλησίαν στεναγμοῖς καὶ δακρύοις ἐβόα πρὸς τὸν θεόν, μὴ διὰ τὴν παρείσδυσιν Ἀρείου ἀναχέεσθαι διασκεδασθῆναι τὴν ποίμνην αὐτοῦ· καὶ ἡ εὐχὴ παννύχιος ὑπὸ τὸ θυσιαστήριον κειμένου τοῦ ἀρχιερέως ἐπετελεῖτο. ὁ δὲ Εὐσέβιος, οἷα τῆς ἀσεβείας θερμὸς ἐραστής, παραγίνεται μετὰ τῆς αἱρετικῆς φάλαγγος πρὸς τὸν Ἄρειον, καὶ προϊέναι κελεύει πρὸς τὴν σύνοδον, ἥτις αὐτῷ ϗ ἄκοντος Ἀλεξάνδρου ἀποδώσει τὸ παρὰ δίκην ἀφῃρημένον τῆς ἱερωσύνης ἀξίωμα. ἐπεῖχεν οὖν θόρυβος ϗ ταραχὴ ἐπὶ τοῖς κινουμένοις πᾶσαν τὴν πόλιν, τῶν μὲν ὑπὲρ Ἀρείου σπουδαζόντων, τῶν δὲ τῆς εὐσεβείας τὴν προδοσίαν οὐκ ἀνεχομένων. ἤθροιστο δ᾽ οὖν ἐν τῇ ἐκκλησίᾳ ὁ σύλλογος. καὶ τοῖς ὁμοδόξοις συμπροϊὼν ὁ Ἄρειος, ἀποβὰς τοῦ ἵππου, ἔν τινι ἀφεδρῶνι δημοσίῳ, ὃς ὄπισθεν κατεσκεύαστο τοῦ Κωνσταντίνου φόρου, εἴσεισι, καὶ ἐν τῷ ἀποπατεῖν τοῖς σκυβάλοις μὲν τὰ ἔντερα, τοῖς ἐντέροις δὲ τὴν ψυχὴν ὁ δείλαιος συναποβάλλει. ἐπεὶ δὲ ἐβράδυνε ϗ τὸ πραχθὲν ἐκάλυπτεν ἄγνοια, ἐπεισπηδῆσαι λόγος τὸν Εὐσέβιον ϗ ἐξονειδίζειν μὲν τῆς βραδυτῆτος, ἐξονειδίζειν δὲ τῆς εἰς αὐτοὺς ὕβρεως· ἐν ἀνδραπόδων γὰρ μοίρᾳ τὸ ἄλογον αὐτοὺς ἐκπέμπειν βράδος. ὁ δὲ τῷ ἀφώνῳ μᾶλλον αὐτοὺς ἢ τῷ βραδεῖ καταισχύνων τέως διελάνθανεν. ἀλλ᾽ ὁ Εὐσέβιος μεταβαλόμενος ἀναστῆναι παρεκάλει θαρροῦντα· προσδόκιμον γὰρ εἶναι ἐπὶ ἀθῳώσει πάσῃ τῇ συνόδῳ, ὁ δὲ τὴν ἐσχάτην ἐσίγα σιγήν. καὶ μόλις ὁ κακοδαίμων Εὐσέβιος συνῆκεν ὅτι τέθνηκεν ὁ σπουδαζόμενος. διαλύεται τοίνυν ἡ σύνοδος, ϗ οἱ τὸν Ἀλέξανδρον ὑπερορίᾳ καταδικάζοντες, ῥίψαντες τὰς ἀνοσίους ψήφους, τὸν τῆς αἱρέσεως αὐτῶν ἀρχιστράτηγον ζῶντα εἰς ᾅδην βλέποντες καταβεβηκότα πένθει μεγάλῳ συνέχονται. ἐπ᾽ ὀλί-

a. 4. αὐτοῦ *A*. 6. καὶ τὸν ὅρκον ς. 23. τε καὶ διαθ. ς. 29. τῆς] rectius τὴν τῆς. cf. p. R 1436, 11. 32. ἀθανασίου περιέσεσθαι *A*. 37. δῆθεν] μηδὲν, idque deletum, *A*: om *B*. 41. ἐν add *A*.
b. 13. Ἀρείου om *A*. 18. αὐτῷ *B*: αὐτὸν ς. 28. συναποβάλλει ὁ δείλαιος *B*. 31. εἰς] πρὸς *B*. 34. μεταβαλόμενος corr *B*: μεταβαλλόμενος ς. 35. θαρροῦντως *B*. 40. ἀνοσίου ς.

γον δὲ τῇ θεηλάτῳ πληγῇ αἰσχυνθέντες πάλιν εἰς φατρίας συνετάττοντο, καὶ τὴν κατὰ Ἀρείου θεομηνίαν εἰς τὸν κοινὸν ἐφιλονείκουν ἀναφέρειν θάνατον· καίτοι καὶ ὁ κοινὸς αὐτοῖς κατ' ἐκεῖνο καιροῦ συνενεχθείς, ὅτε τῆς ἐκκλησίας ἐπιβαίνειν αὐτὸν διέσπούδαζον, εἰς τὸν καινὸν καὶ θεήλατον μεταβάλλεται θάνατον. ὅμως Κωνστάντιον τὸ ἀνδράποδον ἔπειθον ὡς τὸ τῆς φύσεως χρέος ἀπέδωκεν, ἀλλ' οὐ θείας ὀργῆς δίκην ἀπέτισεν Ἄρειος. ἀλλ' ὁ μὲν ἄθλιος ἐκεῖνος ταῖς Ἀλεξάνδρου προσευχαῖς ἐλεεινῶς οὕτω τὸν βίον κατέστρεψεν· ὁ δὲ θεῖος Ἀλέξανδρος ὁσιοπρεπῶς τε καὶ ἁγίως μετ' ὀλίγον ἀντὶ τῆς ἐπιγείου τὰς οὐρανίους σκηνὰς ἐκληρώσατο, τρία μὲν καὶ εἴκοσι ἐν τῇ ἐπισκοπῇ διατελέσας ἔτη, βιοὺς δὲ ὀκτὼ καὶ ἐνενήκοντα.

ὅτι ἡ συγγραφή, ἐξ ἧς ἡ παροῦσα προῆλθεν ἐκλογή, 772 H. οὔτε παντελῶς εἰς τὸ διηκριβωμένον καὶ σοφὸν τῆς φράσεως καὶ τῆς διανοίας ἐκμεμόρφωται, οὔτε πρὸς τὸ χυδαῖον καὶ ἠμελημένον διαπέπτωκεν. εἰ δέ τινα παρὰ τοὺς ἄλλους ἱστορεῖ, τοῦτο διαίτης καὶ κρίσεως ἄλλης, ἀλλ' οὐκ ἐκλογῆς οὐδὲ συντομίας.

## 257.

1420 R. Ἀνεγνώσθη ἐκ τοῦ ἐπιγραφομένου λόγου „βίος ἢ ἄθλησις τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου, τοῦ Κωνσταντινουπόλεως ἐπισκόπου, τοῦ ὁμολογητοῦ," ἐφ' ὁμοίᾳ συστελλόμενος ἐκδόσει.

Κωνστάντιος τὴν Ῥωμαϊκὴν ἀρχήν, ἢ τὰ τῆς ἀνατολῆς ἐχειρίζετο σκῆπτρα, προδοσίᾳ τοῦ τῆς αἱρέσεως πρεσβυτέρου καὶ συνδρομῇ τῶν εὐνούχων ὑποτρέχει, καὶ οἱ ἐξ Ἀρείου διωγμὸν κατὰ τῶν εὐσεβούντων πάλιν κινοῦσι, καὶ Ἀθανάσιον αὖθις δέχεται ἡ ἑσπερία. ὁ δὲ θεῖος Ἀλέξανδρος τῷ τοῦ βίου πλησιάσας τέλει οὐδένα μὲν τῆς Κωνσταντινουπόλεως διάδοχον αὐτοῦ χειροτονεῖ, λογάδας δὲ τῶν ἄλλων δύο ποιεῖται, γνώμην τοιαύτην εἰς αἵρεσιν τῷ πλήθει διδούς, ὡς εἰ μὲν βούλοιντο διδασκαλικόν τε ἅμα καὶ ταῖς ἀρεταῖς ἀστράπτοντα, Παῦλον αἱρήσονται, ὃν αὐτὸς ἐχειροτόνησε πρεσβύτερον, εἰ δ' ἐν τῷ σχήματι σεμνὸν καὶ κόσμιον τῇ ἔξωθεν περιβολῇ, Μακεδόνιον, πάλαι χειροτονηθέντα διάκονον καὶ πρὸς γῆρας ἀποκλίνοντα. ταῦτα εἰσηγησάμενος εἰς τὴν ἀμείνω λῆξιν μεταβαίνει, ἀρχιερατεύσας μὲν τρία καὶ εἴκοσι ἔτη, βιοὺς δὲ τὸν πάντα βίον ὀκτὼ καὶ ἐνενήκοντα. γίνεται δὲ φιλονεικία περὶ τὴν αἵρεσιν τῶν προειρημένων ἀνδρῶν· οἱ μὲν γὰρ ἐξ Ἀρείου πρὸς Μακεδόνιον ἔβλεπον, τὸ δὲ ὀρθόδοξον τὸν Παῦλον προὐτίθεσαν. κρατεῖ δ' οὖν ἡ τῶν ὀρθοδόξων ψῆφος, καὶ χειροτονεῖται ὁ Παῦλος ἐπίσκοπος ἐν τῇ τῆς ἁγίας Εἰρήνης ἐπωνύμῳ ἐκκλησίᾳ, ἣν ὁ χρόνος ἀντιδιαστέλλων τῆς νέας ἔδωκε καλεῖσθαι παλαιάν. Κωνστάντιος δὲ οὐ μετὰ πολὺ ἐκ τῆς Ἀντιοχέων πόλεως ἐν τῇ Κωνσταντίνου γεγονὼς δι' ὀργῆς εἶχε τὸν χειροτονηθέντα, ὅτι μὴ σὺν γνώμῃ τῇ αὐτοῦ προῆλθεν ἡ χειροτονία. καὶ Ἀρειανῶν καθίσας συνέδριον τὸν μὲν Παῦλον σχολάζειν κατεψηφίσατο, Εὐσέβιον δὲ τρίτον θρόνον ἀμείβοντα ἐκ Νικομηδείας τῆς βασιλίδος ἐπίσκοπον ἀναδεικνῦσιν. ἀλλ' ὁ μὲν δυσσεβῶς ταῦτα πράξας ὑποστρέφει πρὸς Ἀντιόχειαν, Εὐσέβιος δὲ πάντα λίθον ἐκίνει ὡς ἂν περιέλοι τοῦ ἱεροῦ συμβόλου τὸ ὁμοούσιον. ἄγεται δὴ τὰ ἐγκαίνια τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας, ἣν Κωνσταντῖνος μὲν ὁ εὐσεβὴς ἐκ βάθρων ἤγειρεν, ὁ δὲ Κωνστάντιος καθιερωθῆναι γνώμην ἔθετο· καὶ τῇ τῶν ἐγκαινίων προφάσει ἐπίσκοποι συλλέγονται ἐνενήκοντα. Μάξιμος δ' ὁ τῶν Ἱεροσολύμων ἔφορος, ἀνὴρ εὐσεβής, οὐ παρῆν, ἀλλ' οὐδ' ὁ Ῥώμης Ἰούλιος, οὔτ' αὐτοπροσώπως οὔτε διά τινος τῶν ὑποτελῶν. συγκροτεῖται μὲν ἡ σύνοδος παρόντος καὶ Κωνσταντίου, οἱ δὲ περὶ Εὐσέβιον σπουδὴν ἄγουσι πρὸ τῶν ἄλλων ἀποσκευάσασθαι Ἀθανάσιον. ἐπάγουσιν οὖν πρώ- 773 H. την αὐτῷ αἰτίαν τὸ παρὰ κανόνα πρᾶξαι, κανόνα λέγοντες ὃν αὐτοὶ τηνικαῦτα ἐξέθεσαν (ἐπανελθὼν γάρ, ἔφασκον, τῆς ὑπερορίας οὐχὶ τῇ τοῦ κοινοῦ γνώμῃ ἀλλ' αὐτὸς ἑαυτῷ τὴν ἀρχιερωσύνην ἐπέτρεψε), δευτέραν ὅτι κατὰ τὴν εἴσοδον αὐτῷ στάσεως συρραγείσης πολλοὶ ἀπέθανον, καὶ τρίτην τὰ ἐν Τύρῳ πεπραγμένα· ἐξ ὧν καὶ καταψηφισάμενοι τοῦ τῆς εὐσεβείας ἀθλητοῦ Γρηγόριον ἀντικαθιστῶσι τὸν ὁμόφρονα. καὶ τολμήσαντες ταῦτα ἐπιτολμῶσι καὶ τὸν μεταπλασμὸν τῆς πίστεως, οὐδὲν μὲν κατὰ φωνὴν τῶν ἐν Νικαίᾳ μεμψάμενοι, τῷ δὲ ὑφάλῳ καὶ κακομηχάνῳ τῆς διανοίας σπέρματα προκαταβάλλοντες πρὸς τὴν τοῦ ὁμοουσίου καθαί- 1421 R ρεσιν. καὶ ἡ μὲν κατὰ Ἀντιόχειαν σύνοδος ταῦτα καὶ τοιαῦθ' ἕτερα τολμήσασα, καί τινα κανονίσασα, διαλέλυται. Εὐσέβιος δὲ πρὸς τὸν Ῥώμης Ἰούλιον διαπρεσβεύεται, τὴν κατὰ Ἀθανασίου ψῆφον κυρωθῆναι τεχναζόμενος· ἀλλ' οὐδὲν ὧν ἤλπιζεν ἤνυσε. Παῦλος δ' ὁ ἀρχιερεὺς τὴν Ῥώμην καταλαβών, καὶ ἕτεροι δὲ οὐκ

a. 6. καινὸν B: κοινὸν ς. 7. τὸ] τὸν A: 20. συντομίας οὐδὲ ἐκλογῆς B. 23. τοῦ Κωνσ. ἐπισκ. om A. 26. ἢ] ἣ B, addito mox ἃ ante προδοσίᾳ. 31. τῷ] ἐν τῷ A. 39. ἀποκλίναντα A.
b. 7. Κωνσταντίνου πόλει γεγ. ς. 13. ὑπεστρέφη ς. 21. αὐτοπρόσωπος ς. οὔτε add A. 31. τοῦ — ἀθλητοῦ] τὸν — ἀθλητὴν A.

Digitized by Google

ὀλίγοι ἐπίσκοποι κατὰ συσκευὴν ἐκδιωχθέντες Εὐσεβίου, ἀλλὰ καὶ Ἀθανάσιος, ὁμοῦ διῆγον ἐν τῇ Ῥώμῃ. ὁ δὲ ἱερὸς Ἰούλιος συκοφαντίαν εἶναι μαθὼν τὰ περὶ τῶν ἀρχιερέων πεπραγμένα, γράμμασιν αὐτοὺς ὀχυρώσας ἐπὶ τὴν ἀνατολὴν ἀποστέλλει, τὸν οἰκεῖον ἑκάστῳ θρόνον ἀποδιδοὺς καὶ σὺν δίκῃ αἰτιώμενος τοὺς καθελόντας. ϗ τὰς μὲν οἰκείας ἐκκλησίας ἀναλαμβάνουσιν, ἀλλὰ καὶ τὰς ἐπιστολὰς οἷς ἐγράφησαν διαπέμπονται. ϗ Εὐσεβίου μὲν ἀποφθαρέντος Παῦλος εἰς τὸν οἰκεῖον θρόνον ἀποκαθίσταται, οἱ δ' ἀρειανίζοντες ἐν τῇ νῦν λεγομένῃ ἐπὶ Παύλου ἐκκλησίᾳ χειροτονοῦσι τὸν Μακεδόνιον, ὃς τὸν υἱὸν μὲν τῷ πατρὶ ἀνόμοιον ἐβλασφήμει, παραγραφόμενος τὸ ὁμοούσιον, τὸ δὲ πανάγιον πνεῦμα παντελῶς ἀλλότριον τῆς θεότητος. Ἀθανασίου δὲ τὴν ἰδίαν ἀναλαβόντος ἐκκλησίαν οἱ ἐν Ἀντιοχείᾳ πάλιν συνεδρεύοντες (ϗ γὰρ συνῄεσαν ἀντεγκαλεῖν ἐπιχειροῦντες Ἰουλίῳ τῷ Ῥώμης) τὸν δυσσεβῆ Γρηγόριον διὰ τάχους, ὃν αὐτοὶ παρανόμως ἐχειροτόνησαν, εἰς τὴν Ἀντιόχου ἀποστέλλουσι· καὶ κατῆγεν αὐτὸν ὁ τῆς Ἀλεξανδρείας στρατηγός, ἑπτακισχιλίους στρατὸν ἐπαγόμενος. ὃ μαθὼν Ἀθανάσιος εἰς τὴν Ῥώμην πάλιν ἀπέπλευσεν. ὁ δὲ τῶν Ἀλεξανδρέων λαὸς οὐκ ἐνεγκὼν τὸ ἔκθεσμον, τὴν καλουμένην Διονυσίου ἐκκλησίαν, οὐκ ὀρθῶς ποιοῦντες (τί γάρ, εἰ μεμήνασιν ἄνθρωποι, κατὰ τοῦ μηδὲν ἠδικηκότος δεῖ τὴν ἄμυναν φέρειν;) ἐνέπρησαν. μανθάνει δ' ὁ Κωνστάντιος ἐν Ἀντιοχείᾳ διάγων ὡς Παῦλος ὁ τῆς ἀληθείας κῆρυξ εἰς τὸν ἴδιον ἀπεκατέστη θρόνον, καὶ Ἑρμογένει τῷ στρατηλάτῃ ἐντέλλεται, ἐπὶ τὰ τῆς Θρᾴκης ἐκπεμπομένῳ μέρη, ἐξωθῆσαι τὸν ὅσιον τῆς ἐκκλησίας. ϗ ὁ μὲν τὴν Κωνσταντίνου φθάσας πόλιν ἐσπούδαζεν, ἃ προσετέτακτο, πράττειν τὸ ἔκθεσμον· τὸ δὲ πλῆθος οὐκ ἠνείχετο, ἀλλὰ ϗ
774 H. τὴν οἰκίαν αὐτοῦ κατακαίουσι ϗ αὐτὸν σύροντες διαφθείρουσι. μαθὼν δὲ τοῦτο Κωνστάντιος αὐτὸς καταλαμβάνει τὴν πόλιν, καὶ τὸν μὲν ὅσιον Παῦλον ταύτης ἀπελαύνει, ζημιοῖ δὲ ϗ τὴν πόλιν, τὸ σιτηρέσιον ἀφελὼν αὐτῆς τὸ ἥμισυ τῆς δωρεᾶς, ἣν ὁ φιλάνθρωπος Κωνσταντῖνος αὐτῇ ἐδωρήσατο· ἦν δὲ τὸ ὅλον τῆς δωρεᾶς ἡμερήσιοι ἄρτοι μυριάδες ὀκτώ. ὠργίζετο δὲ ϗ κατὰ Μακεδονίου, οὐ μόνον ὅτι παρὰ γνώμην αὐτοῦ κεχειροτόνητο, ἀλλὰ καὶ διὰ τοὺς φόνους, ὧν αὐτὸς στασιάζων γέγονεν αἴτιος· ὅμως οὖν ἐάσας αὐτὸν ἐν ᾗ ἐκκλησίᾳ τὴν χειροτονίαν ὑπέδυ, εἰς τὴν Ἀντιόχου ἐξώρμησεν. ὁ μέντοι θεσπέσιος Παῦλος πάλιν τὸ δεύτερον καταλαμβάνει τὴν Ῥώμην, ϗ Ἀθανασίῳ συνῆν. ἀναφέρει γοῦν ἃ πεπόνθοι τῷ Ῥώμης, ϗ αὖθις τοῖς παρ' αὐτοῦ, ἔτι δὲ καὶ τοῖς Κώνσταντος τοῦ βασιλέως κατοχυρωθεὶς γράμμασι, παραυτίκα τε ἐπάνεισι ϗ τῷ οἰκείῳ θρόνῳ, μετὰ πολλῆς αὐτὸν θυμηδίας τῆς πόλεως ὑποδεξαμένης, ἐγκαθιδρύεται. καὶ πάλιν περιοργὴς ὁ Κωνστάντιος, καὶ πάλιν πρόσταγμα εἰς ὑπερορίαν ἄγον τὸν ἀοίδιμον. καὶ γὰρ τοῦτο δεξάμενος ὁ ὕπαρχος Φίλιππος ἐξορίζει μὲν τὸν ὅσιον, ἀντικαθίστησι δὲ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ τὸν πνευματομάχον Μακεδόνιον. τὸ δὲ τῆς ὑπερορίας οὐκ ἐκ τοῦ ἐμφανοῦς ἀλλ' ἐξ ἐνέ- 1424 R. δρας προῆλθεν· ὁ γὰρ τοῦ Ὀρέστου φθόρος σοφώτερον κακουργῆσαι τὸν Φίλιππον ἀπειργάσατο. ϗ καλεῖ μὲν σὺν τιμῇ τὸν τοῦ θεοῦ ἀρχιερέα εἰς τὸ λουτρόν, ᾧ ἐπώνυμον ὁ Ζεύξιππος, ὡς ἐπὶ κοινωφελέσι δῆθεν καὶ μυστικοῖς βουλεύμασι· κἀκεῖθεν εἰς τὰς βασιλείους ἐκπέμπει αὐλάς, καὶ δι' αὐτῶν ἐν τῇ Θεσσαλονίκῃ, ἣν ϗ οἱ αὐτοῦ πρόγονοι πατρίδα εἶχον. καὶ τοῖς μὲν τῆς ἀνατολῆς ἐπιβαίνειν μέρεσιν ἐκεκώλυτο, ταῖς δὲ πλησιαζούσαις πόλεσιν οὐκέτι. καὶ ὁ δυσσεβὴς Μακεδόνιος στρατιωτικῆς χειρὸς ὑπηρετούσης, καὶ συνεποχούμενος τῷ ὑπάρχῳ, εἰς τὴν τοῦ θεοῦ ἐκκλησίαν παρεισδύεται· ϗ φόνος γίνεται πολύς, τῆς διαφθορᾶς εἰς πεντήκοντα καὶ τρισχιλίους παραταθείσης, ϗ ταῖς τῶν Χριστιανῶν σφαγαῖς ὁ τρισαλιτήριος ἐνθρονίζεται· καθ' ὃν δὴ καιρὸν ϗ ὁ Κωνστάντιος τὴν μεγάλην ἐκκλησίαν (ἐπώνυμον δ' αὐτῇ ἡ τοῦ θεοῦ σοφία) νεουργεῖ. ϗ Παῦλος τὸ τρίτον ὁ θεσπέσιος μετ' ὀλίγον εἰς τὴν Ἰταλίαν παραγίνεται· ϗ Ἀθανάσιον τὸν σύναθλον λαβών, ἀναδιδάσκουσιν ἃ πεπόνθασι Κώνσταντα τὸν τῆς ἑσπέρας βασιλεύοντα. ὁ δὲ τὰ ἔκθεσμα ὧν ὑπέστησαν ἀκριβέστερον ἐκμαθών, γράφει τἀδελφῷ τρεῖς παρ' αὐτὸν ἀπὸ τῆς ἀνατολῆς ἐπισκόπους, οἳ λόγον δώσουσι τῶν τε περὶ Ἀθανάσιον καὶ Παῦλον τολμημάτων ϗ τὴν τῆς πίστεως ἔγγραφον ἔκθεσιν, παραγενέσθαι. ἐκπέμπονται δὴ τέσσαρες, Νάρκισσος ὁ Κίλιξ, Θεόδωρος ὁ Θρᾷξ, Μάρης ὁ Χαλκηδόνος καὶ Μαρᾶς ὁ Σύρος. οὗτοι τοῖς περὶ Ἀθανάσιον ϗ Παῦλον εἰς λόγους ἐλθεῖν οὐκ ἐθάρρησαν· τὴν δ' ὑπ' αὐτῶν ἐν τῇ Ἀντιόχου ἐκτεθεῖσαν πίστιν ἀποκρύψαντες, ἑτέραν δὲ συνθέντες τὸ μὲν ἐμφανὲς τῆς βλασφημίας φεύγουσαν, τὸ δ' 775 H. ὁμοούσιον οὐ πρεσβεύουσαν, ἐπιδιδόασι τῷ βασιλεῖ, ϗ

a. 19. Ἀντιόχου] immo Ἀλεξάνδρου. 25. ἠδικηκότος] adde ναοῦ. 27. ἀποκατέστη ς. 35. αὐτῆς A.
b. 4. Κωνσταντίου ς. 5. τε] δὲ A, om B. 13. Ὀρέστου] Ἑρμογένους B et corr A. φθόρος] φόνος B. 32. βασιλέα B. 37. νάρκισσός τε ὁ B. 38. μάρης A: Μάρις ς. ὁ ante Σύρος add A.



Digitized by Google

πλέον οὐδὲν οὔτε δράσαντες οὔτε παθόντες ἀνεχώρησαν. τριετίας δὲ διαδραμούσης πάλιν οἱ τῆς ἀνατολῆς συναθροίζονται, καὶ πίστιν ἄλλην συντάττουσι καὶ τοῖς ἐν Ἰταλίᾳ ἐκπέμπουσι· διάκονοι δ᾽ ἦσαν τοῦ συντάγματος Εὐδόξιος ὁ τηνικαῦτα Γερμανικείας ἐπίσκοπος καὶ Μαρτύριος ὅ τε Μοψουεστίας Μακεδόνιος. ἡ δὲ τῆς πίστεως αὐτῶν ἔκθεσις ἡ αὐτὴ μὲν ἦν τὰ ἄλλα τῇ προεκτεθείσῃ, προσθήκαις δέ τισι ταῖς κατὰ τὸ τέλος ἀλλοκότοις εἰς τὸ μακρότερον ἐξετείνετο. ὁ δὲ κατὰ τὴν Ῥώμην τῶν ἀρχιερέων σύλλογος ταύτην οὐ προσεδέξαντο, ἀρκεῖσθαι φάμενοι τῷ συμβόλῳ τῆς πίστεως ὃ ἡ ἐν Νικαίᾳ ὑπηγόρευσε σύνοδος.

Οὕτω δὲ πάντα ταραχῆς κατεχούσης καὶ ἀδιακρίτου ἔριδος κηρύσσεται σύνοδος οἰκουμενικὴ γνώμῃ τῶν δύο βασιλέων, μετὰ ἑνδέκατον ἔτος τῆς τοῦ εὐσεβεστάτου Κωνσταντίνου τελευτῆς. συνῆλθον οὖν ἐν Σαρδικῇ ἐκ μὲν ἑσπέρας ὑπὲρ τοὺς τριακοσίους ἐπισκόπους, ἐκ δὲ τῆς ἀνατολῆς ἓξ μόνοι καὶ ἑβδομήκοντα. καὶ οἱ τῆς ἑῴας τοῖς ἐκ δύσεως εἰς ὁμιλίαν συνελθεῖν οὐκ ἐπένευον· καὶ τὸ αἴτιον, ὅτι Παῦλος αὐτοῖς καὶ Ἀθανάσιος, οἱ τῆς εὐσεβείας ἀθληταί, συνεδρίαζον. ὡς δ᾽ οὔτε οἱ τῆς εὐσεβείας τοὺς περὶ Ἀθανάσιον ἀπεσκευάζοντο οὔτε οἱ τῆς αἱρέσεως τῆς πρὸς τοὺς ἀθλητὰς ἔχθρας ὑπέληγον, διαχίζονται ἀπ᾽ ἀλλήλων. καὶ τὴν ἐν Μακεδονίᾳ Φιλίππου οἱ ἐξ ἀνατολῆς καταλαβόντες συναθροίζονται, καὶ τηνικαῦτα εἰς τὸ ἐμφανὲς ἀναθεματίζουσι τὸ ὁμοούσιον. οἱ δὲ ἐν Σαρδικῇ τούτους μὲν ἐρήμῃ δίκῃ καταδικάζουσι, τοὺς δὲ κατηγόρους Ἀθανασίου 1425R. ὡς συκοφάντας καθελόντες τήν τε ἐν Νικαίᾳ κυρωθεῖσαν πίστιν ἐπικρατύνουσι καὶ τὸ ἀνόμοιον ἀναθεματίζουσιν. ὧν τὴν γνῶσιν ὁ τῶν ἑσπερίων βασιλεὺς Κώνστας λαβὼν ἀναδιδάσκει τε διὰ γραμμάτων τὸν ἀδελφὸν Κωνστάντιον, καὶ παραινεῖ εὐμενῶς διακεῖσθαι πρὸς Παῦλον καὶ Ἀθανάσιον, καὶ μηδαμῶς αὐτοῖς ἐμποδὼν ἵστασθαι πρὸς τὴν τῶν οἰκείων ἀποκατάστασιν θρόνων, προστιθεὶς ὡς εἰ μὴ ἑκὼν τοῖς δικαίοις κατανεύσοι, αὐτὸς δὴ παραγεγονὼς καὶ ἄκοντος τὸ δίκαιον τοῖς ἠδικημένοις ἀποδοίη. δείσας οὖν τὴν τοῦ ἀδελφοῦ ἀπειλὴν ὁ Κωνστάντιος τὸν μὲν ὅσιον Παῦλον τῇ ἰδίᾳ ἐπισκοπῇ οὐκ ἐπέσχεν ἐνιδρύεσθαι, τὸν δὲ σύναθλον Ἀθανάσιον διαφόροις ἐπιστολαῖς καλεῖ παρ᾽ αὐτόν, καὶ εὐμενῶς ἐλθόντα προσδέχεται καὶ τῷ οἰκείῳ θρόνῳ ἀποκαθίστησιν. οὕτω μὲν ὁ πολὺς τάραχος ἐγαληνία, καὶ ἡ ἐκκλησία τοὺς τῆς εὐσεβείας ἔχαιρεν ἔχουσα προμάχους.

Μαγνεντίου δὲ τυραννίδι ἐπιθεμένου καὶ Κώνσταντα τὸν τῆς ἑσπέρας βασιλεύοντα ἀνελόντος, πάλιν ἡ τῆς Ἀρείου λύσσης καταιγὶς τὰς τῆς οἰκουμένης ἐκκλησίας ἐτάραττε. καὶ φεύγει μὲν πάλιν Ἀθανάσιος, ἁρπάζει 776B. δὲ τὸν αὐτοῦ θρόνον Γρηγόριος. καὶ ὑπερορίζεται Παῦλος ἐν Κουκουσῷ τῆς Ἀρμενίας, ὁ τῆς εὐσεβείας ὑπέρμαχος, καὶ τῷ δι᾽ ἀγχόνης, τῶν δυσσεβῶν νύκτωρ ἐπεισπεσόντων, τελειοῦται μαρτυρίῳ· καὶ ἀντεισάγεται τῇ Κωνσταντινουπόλει ὁ δυσσεβὴς Μακεδόνιος. καὶ ἐξωθοῦνται μὲν καὶ τῶν ἄλλων ἐκκλησιῶν οἱ ποιμένες, ἐπεισπηδῶσι δὲ οἱ λύκοι. καὶ τὴν κατὰ τῶν Χριστιανῶν Ἑλλήνων ὠμότητα ἡ Μακεδονίου μανία ἐφιλονείκει ἀποκρύψασθαι. καὶ πᾶσα μὲν ἡ ἀνατολὴ τοῖς δεινοῖς διεφθείρετο, ἡ πόλις δὲ Κωνσταντίνου κατὰ τὸ ἐξαίρετον, ὅτε καὶ Ἀγέλιος ὁ τῶν Ναυατιανῶν ἐπίσκοπος, οἷα δὴ καὶ αὐτὸς τὸ ὁμοούσιον πρεσβεύων, ὑπερορίζεται. καὶ ἦν ἀδιήγητον τὸ κακόν· ὅπερ οὐ μέχρις ἀρχιερέων καὶ ἱερέων ἐκέχυτο, ἀλλὰ καὶ γυναῖκας καὶ παῖδας, ὅσοι τὴν Μακεδονίου κοινωνίαν ἀπετρέποντο, ἐπενέμετο. μαστοὶ γυναικῶν, ὢ τῆς μανίας, κιβωτῶν καλύμμασιν ἐμβαλλόμενοί τε καὶ συμπιεζόμενοι ἀπεπρίζοντο, οἱ δὲ σιδήρῳ· τοὺς δὲ καὶ ᾠοῖς πεπυρακτωμένοις, ταινίαις αὐτὰ τοῖς μορίοις ἐνελίττοντες, κατέκαιον· ἧκε γὰρ τοῖς δυσσεβέσιν ἐπὶ νοῦν καὶ ἃ τοὺς ἀθέους Ἕλληνας κατὰ τῆς φύσεως ἐπινοεῖν αἰδὼς ἀνθρωπίνη ἀνεχαίτιζεν. ἐκτείνει δὲ τὴν λύσσαν Μακεδόνιος καὶ ἐπὶ τὴν τῶν Παφλαγόνων χώραν· πολλοὺς γὰρ ἠκηκόει καὶ τῶν ὀρθοδόξων καὶ τῶν ἀπὸ Ναυάτου ἐν αὐτῇ διατρίβειν· καὶ τέσσαρας φάλαγγας στρατιωτῶν ἐνόπλων παρασκευάζει στάλῆναι κατ᾽ αὐτῶν καὶ τοῖς ὅπλοις βιάζεσθαι πρὸς τὴν ἀσέβειαν. οἱ δὲ κατὰ τὸ Μαντίνειον οἰκοῦντες εἰς πλῆθος συστάντες, καὶ ζήλῳ τῆς εὐσεβείας δρέπανα καὶ ἀξίνας καὶ τὸ παρατυχὸν ὅπλα ποιησάμενοι, ἀντιπαρατάττονται τοῖς στρατιώταις, καὶ συμβολῆς γενομένης πολλοὶ μὲν διαφθείρονται τῶν Παφλαγόνων, τῶν δὲ στρατιωτῶν πλὴν ὀλίγων ἅπαντες. αὕτη τοίνυν ἡ μιαιφόνος καὶ ἀναίσχυντος πρᾶξις οὐ παρὰ τῶν ἠδικημένων μόνον ἀλλὰ καὶ παρὰ τῶν οἰκείως δοκούντων ἔχειν Μακεδονίῳ μῖσος ἀνήγειρε δίκαιον, ἀλλὰ καὶ αὐτὸν τὸν βασιλέα διέσεισε πρὸς ἀπέχθειαν. οὐ τοῦτο δὲ μόνον, ἀλλ᾽ ὅτι καὶ τὸ σῶμα Κωνσταντίνου τοῦ βασιλέων εὐσεβεστάτου (ἐδόκει γὰρ ὁ ναός, ἐν ᾧ κατέκειτο, ἐγγὺς εἶναι τοῦ καταπεσεῖν) λαβὼν ἄνευ γνώμης αὐτοῦ εἰς τὸν τοῦ ἁγίου Ἀκακίου νεὼν μετεκόμισε, καὶ ἐπειδὴ πᾶ- 1428

a. 1. πλεῖον ς. 5. Γερμανίας ς. 10. προσεδέξατο ς. 23. τῆς αἱρέσεως add A. 36. ὡς om B. μὴ A: μὴ καὶ ς.
b. 18. καὶ ἱερέων add A. 25. ἀνθρωπίνη B: ἀνθρώπινος ς. 31. μαντηναῖον A. 36. ὀλίγων AB: ὀλίγου ς.
41. βασιλέως ς.

Digitized by Google

σιν ἡ μετάθεσις οὐ συνεδόκει, ἀλλὰ πολλοῖς ἀνόσιον ἐνομίζετο τὰ τῶν ἀποιχομένων ἀνορύττεσθαι σώματα, ϗ τότε βασιλέως εὐσεβείᾳ διαλάμψαντος, φόνος ἐῤῥύη πολύς. ϗ τῶν πολλῶν ϗ ἀνηκέστων κακῶν, ὧν ἐτόλμα Μακεδόνιος, μικράν τινα δίκην ἀπέτισε τὴν καθαίρεσιν τȣ̃ ἀξιώματος.

Ἐκράτει δ' οὖν ὅμως τὰ Ἀρείου δι' ὅλης τε τῆς Κωνςαντίȣ βασιλείας, ϗ ἔτι μᾶλλον κατὰ τȣ̀ς Οὐάλεντος τȣ̃ δυσσεβεςάτȣ χρόνȣς, ἕως ἂν ἐκεῖνον μὲν ἡ
777 H. θεία μετῆλθε δίκη, Θεοδόσιον δὲ τὸν ἐξ Ἱσπανίας ψήφῳ δικαίᾳ Γρατιανȣ̃ τοῦ τὰ ἑσπέρια περιέποντος εἰς τὸν βασίλειον τῆς ἀνατολῆς θρόνον ἀνεβίβασε, ϗ τῇ ὀρθοδοξίᾳ δι' αὐτοῦ τὸ κράτος ἐβράβευσεν. ἀλλ' ὅτω μὲν ἡ Ἀρείȣ αἵρεσις τὰς ἐκκλησίας ἐπὶ τεσσαράκοντα ἔτη κατανεμηθεῖσα τῇ Θεοδοσίȣ εὐσεβείᾳ ἐξωςράκισαι, καὶ τὸ ὀρθόδοξον τοῖς οἰκείοις ἐνεκαλλωπίζετο δικαιώμασιν. συγκροτεῖ γȣ̃ν ὁ αὐτὸς θεοφιλέςατος βασιλεὺς σύνοδον, μελέτην ἔχων καὶ τȣ̀ς ἀπὸ Μακεδονίȣ πρὸς ἕνωσιν συναγαγεῖν τοῖς ὀρθοδοξȣ̃σι ϗ πρεσβεύȣσι τὸ ὁμοȣ́σιον· διὸ καλεῖ καὶ τοὺς προεςῶτας αὐτῶν τῆς αἱρέσεως. ϗ συνῆλθον τῶν ὀρθοδοξȣ́ντων ἀπὸ μὲν Ἀλεξανδρείας Τιμόθεος, ἐξ Ἱεροσολύμων δὲ Κύριλλος, Μελέτιος δ' ἐξ Ἀντιοχείας, Γρηγόριός τε παρῆν ὁ θεολόγος καὶ Ἀχόλιος ὁ Θεσσαλονίκης ϗ ὁ Νύσσης Γρηγόριος καὶ ἄλλοι πολλοί· πεντήκοντα ϗ ἑκατὸν ἦσαν αὐτῶν ὁ πᾶς σύλλογος. τȣ̃ δ' αἱρετικȣ̃ ςίφȣς ἡγεῖτο μὲν ὁ Κυζίκȣ Ἐλεύσιος καὶ Μαρκιανὸς ὁ Λαμψάκȣ καὶ ὁ Ἐφέσȣ Εὐήθιος καὶ ἄλλοι τινές, εἰς τὸν ἓξ καὶ τριάκοντα συγκεφαλαιȣ́μενοι ἀριθμόν. παρῆν δὴ βασιλεύς τε αὐτός, καὶ ὅσον ὀρθόδοξον, τȣ̀ς τῆς αἱρετικῆς μοίρας συνελθεῖν εἰς ὁμοφροσύνην καὶ ἀσπάσασθαι τὸ ὁμοούσιον, ὡς καὶ χωρὶς παραινέσεως διαπρεσβευσαμένȣς αὐτȣ̀ς οἴκοθεν πρὸς Λιβέριον πρότερον καὶ ὁμολογεῖν ὑποσχομένȣς τὸ ὁμοούσιον, ὑπομιμνήσκοντες ὡς ϗ τὴν τῶν ὀρθοδόξων κοινωνίαν αὐτεπάγγελτοι προσεδέχοντο. τὸ δ' αἱρετικόν, τῶν δικαίων ἐλέγχων καὶ φιλανθρώπων παραινέσεων οὐδένα ποιήσαντες λόγον, τῆς οἰκείας δυσσεβείας οὐ μεθίεντο. ἐξεβάλλοντο οὖν διὰ τȣ̃το καὶ τȣ̃ συνεδρίȣ ϗ τῆς πόλεως· ϗ ἡ σύνοδος χειροτονεῖ τὸν Νεκτάριον, συγκλητικȣ̃ μὲν αἵματος ὄντα, τὴν τȣ̃ πραίτωρος δὲ χειρίζοντα ἀρχήν, τὸν τρόπον δὲ ἐπιεικέςατον, δι' ὃν καὶ μάλιςα ἐθαυμάζετο. βεβαιοῖ δ' ἡ ἁγία σύνοδος αὕτη καὶ ἣν ἡ ἐν Νικαίᾳ διετυπώσατο πίςεως ἔκθεσιν. καὶ σύμψηφος πᾶσιν ὁ βασιλεὺς γίνεται, καὶ ἀνακομίζει μετὰ πολλȣ̃ τȣ̃ σεβάσματος καὶ Παύλου τοῦ ὁμολογητȣ̃ τὸ λείψανον. ϗ ἀπαντῶσι τῶν ἐπισκόπων σὺν αὐτῷ Νεκταρίῳ πρὸ πολλȣ̃ τῆς Χαλκηδόνος ὅσοι παρῆσαν, καὶ μετὰ πολλῆς ὑμνολογίας καὶ τῆς ἄλλης δορυφορίας ὑποδέχονται, καὶ διὰ μέσης τῆς πόλεως τὸ σῶμα κομίζοντες εἰς τὴν ἐκκλησίαν τῆς ἁγίας Εἰρήνης τῆς ἀρχαίας καλȣμένης, ἣν Κωνςαντῖνος ὁ βασιλεὺς εἰς πλάτος καὶ μέγεθος ἐκ βραχυτέρας ἀνήγειρεν, ἧς καὶ προήδρευε, πρὸς ὀλίγον ἀπέθεντο· καὶ παννύχιον ὑμνῳδίαν τελεσάμενοι, ὄρθρου πάλιν ἡ πόλις πᾶσα μετὰ τῆς ἴσης καὶ ὁμοίας τιμῆς ϗ δόξης εἰς τὴν νῦν ἐπώνυμον αὐτȣ̃ ἐκκλησίαν, πάντων τε τῶν ἀρχιερέων 778 H. καὶ τȣ̃ κλήρȣ ϗ αὐτȣ̃ συμπαρόντος τȣ̃ βασιλέως, τῷ ἁγιοδόχῳ τάφῳ κατατίθενται.

ὅτι καὶ ἡ παρȣ̃σα συγγραφή, ἐξ ἧς ἡ προκειμένη 1429 B. προῆλθεν ἐκλογή, τῆς αὐτῆς ἐςὶ κατὰ τὴν φράσιν ϗ τέχνης ϗ δυνάμεως, βραχύ τι πρὸς τὸ ἄμεινον ἀνατρέχουσα.

## 258.

Ἀνεγνώσθη ἐκ τȣ̃ λόγȣ ὃς ἐπιγράφεται „βίος ἤτοι ἄθλησις [τȣ̃ ἐν ἁγίοις πατρὸς ἡμῶν ἐπισκόπȣ Ἀλεξανδρείας] τȣ̃ μεγάλȣ Ἀθανασίȣ," τὸν ἴσον διατυπȣ́μενος τρόπον.

ὁ τῆς ἑορτῆς καιρὸς τȣ̃ ἀρχιερέως θεȣ̃ καὶ μάρτυρος ἐνειςήκει Πέτρȣ, ϗ ἡ Ἀλεξάνδρεια πᾶσα τὴν μνήμην ἐγέραιρε, καὶ ὁ τότȣ διάδοχος ὁ ἱερὸς Ἀλέξανδρος μετὰ τὰς θείας τελετὰς καὶ τραπέζῃ τȣ̀ς ἐν τῷ κλήρῳ λογάδας ἐδεξιοῦτο. ἐν ᾧ δὲ ταῦτα ηὐτρεπίζετο, ὁρᾷ τινὰς ἐξ ἀπόπτȣ παρὰ τὰς ὄχθας τῆς θαλάσσης παῖδας ἀπλάςῳ γνώμῃ παίζοντας· ϗ τὸ παίγνιον μίμησις ἦν ἱερατικῶν καὶ φρικτῶν μυςηρίων, οὐκ εἰς ὕβριν αὐτὰ περιτρέπȣσα, τῷ πόθῳ δὲ τȣ̃ θεάματος τολμȣ̃σα καὶ τὰ ἀτόλμητα. ἀλλὰ γὰρ τὸν μὲν Ἀθανάσιον ἐπίσκοπον ἐποίει ἡ μίμησις, τὸ δὲ λοιπὸν πλῆθος οὓς τε κατηχȣμένȣς καὶ βαπτιζομένȣς ϗ δὴ ϗ εἰς πρεσβυτέρȣς καὶ διακόνȣς ἐσχημάτιζεν. ἐκπλαγεὶς οὖν τοῖς τελουμένοις ὁ Ἀλέξανδρος ἄγει πρὸς ἑαυτὸν τȣ̀ς παῖδας, καὶ γνȣ̀ς οὐ χλεύῃ ταῦτα γινόμενα, ἀλλ' ὡς ἄν τις ἐκ τῶν ἐκβεβηκότων φαίη, ἐπιπνοίᾳ τινὶ ϗ ψυχῆς ἁπλότητι εἰς ἔρωτα προδιανιςαμένης τȣ̃ κρείττονος, ὅσοι μὲν αὐτῶν ἐβαπτίσαντο, τȣ́τȣς ἐπιχρίσας διὰ τῆς ἐν Χριςῷ σφραγῖδος ἐτελείωσεν, Ἀθανάσιον δὲ τοῖς τοκεῦσι παρατίθησιν, ἐντολὰς δεδωκὼς παι-

a. 9. δυσσεβȣ̃ς ς. 24. Ἀχίλλιος ς. 28. ὁ ante Ἐφέσȣ om A. 29. τριακοςὸν A. 33. αἱ τοῖς A. 41. πραίτορος pr A.
b. 3. ὑπαντῶσι B. 4. σὺν om pr A. 22. τȣ̃ — Ἀλεξ. om A. 30. θαλάττης ς. 41. διανιςαμένης A. 44. τοῖς libri om.

δεύειν μὲν τοῖς μαθήμασιν, ἡβῶντα δὲ ἀποδοῦναι αὐτῷ, μᾶλλον δὲ τῇ ἐκκλησίᾳ, ὡς ἄλλον τινὰ Σαμουὴλ παρ' αὐτῶν θεῷ προσαγόμενον. πράττουσιν οὖν οἱ γονεῖς ὡς αὐτοῖς τὸ ἀρχιερατικὸν ἐκέλευε πρόσταγμα, καὶ τοῦ καιροῦ καλοῦντος τὸν παῖδα προσφέρουσιν. ὁ δὲ δέχεται, καὶ ὁμωρόφιον εἶχε καὶ κοινωνὸν βουλῆς καὶ τῆς εὐσεβείας συλλήπτορα.

Τῆς δὲ Ἀρείου λύσσης μικροῦ τὴν οἰκουμένην λυμαινομένης πολλοὺς ἀγῶνας, ἀρχομένης μὲν σὺν Ἀλεξάνδρῳ τῷ θεσπεσίῳ, ὕστερον δὲ καὶ καθ' ἑαυτὸν ὑπὲρ τῆς εὐσεβείας διήθλησε. καὶ γὰρ Ἄρειον μετὰ τὴν καθαίρεσιν καὶ τὸ ἀνάθεμα ὑποκρινόμενον μὲν τὰ τῆς εὐσεβείας, κρατύνειν δὲ τῇ πρὸς ὀλίγον ὑποκρίσει μηχανώμενον τὰ τῆς ἀσεβείας, ἐφώρασέ τε ὁ σοφὸς Ἀθανάσιος, καὶ ἀποσταλέντα πρὸς Ἀλέξανδρον τὸν Ἀλεξανδρείας παρὰ τοῦ εὐσεβοῦς βασιλέως Κωνσταντίνου (οἶδε γὰρ πολλάκις μεμηχανημένος δόλος καὶ τοὺς συνετοὺς ἐκκλέπτειν) μὴ παραδέξασθαι συνηγωνίσατο. εἶτα δὲ τοῦ ἐν ἁγίοις τελευτήσαντος Ἀλεξάνδρου αὐτὸς κα-

779 B. τασταθεὶς διάδοχος, πρὸς πολλῷ μείζους ἀγῶνας ἐναπεδύετο· διὸ καὶ ἅπαν τὸ αἱρετικὸν σύνταγμα σκοπὸν αὐτὸν τῆς ἰδίας προυτίθεσαν γλωσσαλγίας τε καὶ συκοφαντίας. συμφράττονται δὴ μάλιστα κατ' αὐτοῦ οἱ περὶ Εὐσέβιον τὸν Νικομηδείας, καὶ μισθοῦνταί τινας τῆς Μελετίου αἱρέσεως, καὶ δι' αὐτῶν κατηγορίας συρράπτουσιν, ὧν ἡ μὲν πρώτη λινῆν ἐσθῆτα τοὺς Αἰγυπτίους τελεῖν τῇ Ἀλεξανδρέων ἐκ τῆς Ἀθανασίου πλεονεξίας συνέπλαττεν, ἡ δευτέρα δὲ ὡς τοῖς βασιλέων ἐνεδρεύει πράγμασι (Φιλουμένῳ γάρ τινι, ἐπιθέσθαι τυραννίδι φήμην λαβόντι, χρυσίου πλῆρες ἐξαποστεῖλαι γλωσσόκο-

1432 B. μον) ὑπετίθετο. καὶ ἡ τρίτη Ἰσχύραν καὶ τὴν ἀνατραπεῖσαν τράπεζαν καὶ τὸ κατεαγὸς μυστικὸν ποτήριον καὶ τὸν Μαρεώτην καὶ Μακάριον τὸν πρεσβύτερον καὶ τὴν λῃστρικὴν αὐτοῦ ἔφοδον καὶ τὸ ἀνὰ πᾶσαν τὴν οἰκουμένην θεατρισθὲν δρᾶμα σκηνοποιεῖ. ταῦτα καὶ τοιαῦθ' ἕτερα οἱ περὶ Εὐσέβιον δραματουργήσαντες εἰς ἀκοὰς ἐνηχοῦσι τὰς βασιλικάς, καὶ κινοῦσιν εἰς ὀργήν, ἀντιασάμενοι ὅτι καὶ Ἄρειον βασιλικοῖς καὶ γράμμασι καὶ προστάγμασι πεποιθότα, καίτοι τὰ ὀρθὰ φρονοῦντα, οὐκ ἠνέχετο δέξασθαι.

Κατ' ἐκεῖνο δὲ καιροῦ καὶ ἐπὶ τὰ τῶν Ἱεροσολύμων ἐγκαίνια σχεδὸν πάντες συνήεσαν οἱ ἐπίσκοποι· καὶ γράφει Κωνσταντῖνος ὁ εὐσεβὴς βασιλεὺς πάλιν συλλεγῆναι σύνοδον, ἐποψομένην ἃ διέβαλλέ τε Ἀθανάσιον καὶ ἃ συνίστη τὸν Ἄρειον· καὶ εἰ μὲν φθόνος ὀρθοδοξοῦντα τὸν Ἄρειον τῆς ἐκκλησίας διέστησεν, εἰς εἰρήνην συμβιβάσαι τὴν διάστασιν, εἰ δ' αὐτὸς ἀπάτῃ κέχρηται, εἰς Ἀλεξάνδρειάν τε διαπεμφθῆναι κἀκεῖ σὺν ἀκριβείᾳ ὑπ' ἐξέτασιν ἄγεσθαι· τὴν δὲ διάσκεψιν τὴν περὶ Ἀθανάσιον καὶ Ἄρειον πορευομένους ἐπὶ τὰ Ἱεροσόλυμα οὐδὲ πάρεργον ἐν Τύρῳ ποιήσασθαι. τριακοστὸν δὲ τότε ἠνύετο ἔτος τῆς Κωνσταντίνου βασιλείας· ἑξήκοντα δὲ ἐπίσκοποι τὴν ἐν Τύρῳ σύνοδον ἐπλήρουν, Διονυσίου τοῦ ὑπατικοῦ συνάγοντος αὐτούς, μεθ' οὗ καὶ ὁ τῆς ἐπαρχίας ἄρχων καί τινες τῶν ἐν τέλει τῇ συνόδῳ συνήδρευον. παρῆν δὲ καὶ Ἀθανάσιος, ἀλλὰ καὶ Μακάριος ὁ πρεσβύτερος, στρατιωτικῆς χειρὸς ἀπὸ Ἀλεξανδρείας σιδηροδέσμιον αὐτὸν ἀγαγούσης. πρώτην δὲ κατηγορίαν οἱ συκοφάνται τὴν περὶ τῆς λινῆς ἐσθῆτος προβάλλονται. ἀλλὰ ταύτην τὴν διαβολήν, οὐκ ἐν Τύρῳ μόνον κινηθεῖσαν ἀλλὰ καὶ πρότερον ἐν Νικομηδείᾳ ταῖς τοῦ βασιλέως ἐνηχηθεῖσαν ἀκοαῖς, Ἆπίς τε καὶ Μακάριος οἱ τῆς Ἀλεξανδρείας πρεσβύτεροι ἐκεῖσε παρατυχόντες ῥᾳδίως διήλεγξαν. διὸ τῶν μὲν συκοφαντῶν ὁ βασιλεὺς καθήψατο γράμμασιν, Ἀθανάσιον δὲ πρὸς ἑαυτὸν ἐλθεῖν προετρέψατο. καὶ τὰ γράμματα ἧκε πρὸς τὴν ἐν Τύρῳ σύνοδον, καὶ εἰς κατήφειαν τὴν περὶ τὸν Εὐσέβιον φατρίαν συνέστελλεν ἤδη πολλὴν ῥέουσαν κατὰ Ἀθανασίου, ὅτι τε αὐτοὺς ὁ βασιλεὺς ᾐτιάσατο, καὶ ὅτι ἡ κατὰ τὴν λινῆν ἐσθῆτα συκοφαντία προέφθασε δοῦναι τὸν ἔλεγχον. τῆς δὲ διαβολῆς ταύτης ἐκπεσόντες τὰ περὶ Ἰσχύραν καὶ Μακά- 780 E.
ριον τὸν πρεσβύτερον προτείνουσιν. ὁ δὲ σοφὸς Ἀθανάσιος παρεγράφετο μὲν κατὰ νόμους πράττων τοὺς προφανεῖς ἐχθρούς, Εὐσέβιόν φημι καὶ τοὺς ὁμόφρονας, ἠξίου δὲ πρὸ πάντων Ἰσχύραν ἐπιδειχθῆναι πρεσβύτερον, οὗ λειτουργοῦντος ἐπεισπεσεῖν ἔπλαττεν ἡ κατηγορία τὸν Μακάριον κατὰ λῃστρικὴν ἔφοδον ἐξ ἀποστολῆς Ἀθανασίου, καὶ ἀνατρέψαι τὴν ἱερὰν τράπεζαν, καὶ τὸ μυστικὸν κατεάξαι ποτήριον, καὶ τὰ τῆς θείας γραφῆς ἡμῶν βιβλία πυρὶ παραδοῦναι. ἀλλ' ὁ μὲν τὰ δύο ταῦτα νόμῳ κοινῷ ἀντεπαρετίθει καὶ ἀντεπρουβάλλετο· οἱ δὲ κριταὶ οὐχὶ κρίνειν, εἰς δὲ τὸ κρατύνειν τὴν συκοφαντίαν ὅλον ἔτεινον τὸν λογισμόν. διὸ λόγον μὲν τῶν δικαίως λεγομένων οὐδένα εἶχον, εἰσάγεται δὲ ἡ περὶ τὸν Μακάριον καὶ Ἰσχύραν κατηγορία. καὶ τὰ μὲν πρόθυμον

a. 1. ἡβῶντα] ἡμῶν μετὰ B. 15. πρὸς B: τὸν ς. 22. οἰκείας ς. 28. βασιλέως ς. 38. καὶ Ἀρ. βασ. καὶ γράμμ. add A. 39. καίτοι τὰ ὀρθὰ φρονοῦντα om A. b. 15. ἀγούσης ς. 16. οἱ συκοφάνται om A. 31. περιεγράφετο ς. 33. ἀποδειχθῆναι ς. 39. ἀντιπαρετίθει καὶ ἀντιπρουβάλλετο A. 40. εἰς δὲ] ἀλλ' εἰς B. 43. κατηγορίαν ς.

ἦν τῶν συκοφαντῶν ἀφόρητον, τὸ δὲ τῆς ἀποδείξεως ἄπορον τὴν προθυμίαν ἐδείκνυ δυσσεβείας καὶ φθόνου κακόργημα. ὑπερθέσει δὲ καὶ τέχνῃ τὴν τῆς ἀποτυχίας αἰσχύνην συσκιάζοντες πρὸς τὸν Μαρεώτην τῆς 1433R. αὐτῶν συμμορίας ἀποστέλλουσιν, ἐκεῖσε τὴν ἔτασιν, ἐν ᾧ ἡ πρᾶξις προῆλθε, δέον γενέσθαι προφασισάμενοι. ὡς δ' εἶδεν ὁ Ἀθανάσιος οὓς παρεγράψατο κριτὰς στελλομένους (Θεογόνιος γὰρ ἦν ϗ Μάρης ϗ Θεόδωρος καὶ Μακεδόνιος καὶ Οὐρσάκιος), διεμαρτύρατο πᾶσι τὸ περιφανέστατον τοῦ ἀδικήματος, καὶ ὅτι Μακάριος μὲν ὁ πρῶτος τὴν γραφὴν ὑφιστάμενος ἐν σιδήροις ἦν, Ἰσχύρας δ' ὁ κατήγορος τοῖς ἐκθέσμοις κριταῖς συνεστέτακτο. ὡς δ' οὐ προσεῖχον ἡ σύνοδος οἷς ᾐτιᾶτο ϗ διεμαρτύρετο, διαλαθὼν πρὸς βασιλέα, ἅτε δὴ ϗ μετακληθείς, ἀνεχώρησεν. οἱ δὲ τοῦ Μαρεώτου κριταὶ ἐκ μονομερείας, ὡς αὐτοῖς τὸ ψεῦδος ϗ ὁ φθόνος ἐπέταττεν, ὑπομνήματα συνταξάμενοι πρὸς τὴν σύνοδον ἐπανήεσαν. αὐτὴ δέ, πρὶν ἢ παραγενέσθαι τούτους, ἐρήμην Ἀθανασίου κατεδιῄτησε· παραγεγονότων δὲ τήν τε καθαίρεσιν ἐπεκύρωσαν καὶ λοιδορίαις ἐπηύξησαν.

Καὶ παραυτίκα πρὸς τὴν καθιέρωσιν τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας οἱ τὸ ἱερουργικὸν ἐξ ὧν ἔπραξαν ἀνοσιουργήσαντες σπουδῇ παραγίνονται. καὶ τὸν Ἄρειον ἐπιστάντα οἱ μὲν περὶ Εὐσέβιον ἀσμένως προσεδέχοντο, οἱ δὲ τῆς ὀρθῆς ἀπεστράφησαν πίστεως, ὁρίσαντες ἐν Ἀλεξανδρείᾳ τὸν λόγον ὑπέχειν ὧν ἐν αἰτίᾳ καθίσταται· ἐν ᾗ καὶ παραγεγονὼς ἑάλω. ἐν τούτοις δὲ τῶν πραττομένων κινουμένων φθάνει γράμματα τοῦ βασιλέως, καὶ Ἀθανάσιον πρὸς αὐτὸν ἀπαγγέλλοντα ἥκειν καὶ αὐτοὺς ἐπὶ τὴν βασιλίδα παραγενέσθαι· καὶ εἰς ἀγωνίαν ἐμβάλλει τὴν σύνοδον. διὸ οἱ πλείους μὲν αὐτῶν εἰς τὰ οἰκεῖα ἐπανήεσαν, οἱ δὲ περὶ Εὐσέβιον ϗ Θεογόνιον τέως αὐτόθι χρονίζειν ἐγίνωσκον, τῇ παρολκῇ τοῦ 61 H. καιροῦ τὴν ἀγωνίαν λύειν μηχανώμενοι.

Ἐν δὲ τῷ μεταξὺ καὶ τὸ ἕτερον τῶν ἐγκλημάτων, ὃ τῷ Φιλουμένῳ χρυσίον ἔλεγεν Ἀθανάσιον διαπέμψαι, κατὰ πρόσωπον διαλύεται τοῦ βασιλέως ἐν προαστείῳ τῆς Νικομηδείας Ψαμαθίᾳ καλουμένῳ διατρίβοντος. ϗ ἀποστέλλεται εἰς Ἀλεξάνδρειαν μετὰ τιμῆς Ἀθανάσιος, γραμμάτων βασιλικῶν τὴν ἀθώωσιν αὐτοῦ πρὸς τοὺς ἐκεῖσε ἀνακηρυττόντων. παρῆν δὲ ϗ Ἄρειος ἀποσταλεὶς (ὥς μοι προείρηται) ὑπὸ τῶν ἐν Ἱεροσολύμοις καὶ τάραχον ἡ Αἴγυπτος δέχεται πάλιν. καὶ γράφει ταῦτα τῷ βασιλεῖ Ἀθανάσιος, ϗ μετάπεμπτον ὁ βασιλεὺς ἄγει τὸν Ἄρειον. ὁ δὲ τοῖς περὶ Εὐσέβιον κατὰ τὴν ὁδὸν ἐν Καισαρείᾳ συμβάλλει, καὶ ἄλλα πάλιν κατὰ Ἀθανασίου συκοφαντήματα ῥάπτεται.

Ὡς δ' ὀψὲ ϗ μόλις οἱ περὶ Εὐσέβιον τῇ βασιλίδι παρεγένοντο, τὰ μὲν ἄλλα τῶν ἐγκλημάτων ἔλεγον ὑπ' ἐξέτασιν μὴ ἀγαγεῖν, τὰ δὲ περὶ Ἰσχύραν ϗ ἐτάσαι ϗ σαφῶς εἰδέναι ὑπ' Ἀθανασίου τετολμῆσθαι. ὡσαύτως ϗ ὡς τὴν σιτοπομπίαν τὴν ἐξ ἔθους δι' Ἀλεξανδρείας τῇ Κωνσταντινουπόλει φερομένην κωλύσειεν· ἐν οἷς καὶ φωραθεὶς ἔνοχος Ἀθανάσιος, λαθραίως ἀναχωρήσας, τὴν δίκην ἔφυγε. συναρπαγεὶς οὖν τοῖς πλάσμασιν ὁ βασιλεὺς εἰς τὰς Γαλλίας οἰκεῖν ἐν Τριβεριάδι ὑπερόριον ἐκπέμπει τὸν πολύαθλον Ἀθανάσιον.

Θορύβου δὲ ϗ ζάλης τὴν Αἴγυπτον ἐκκυμαινόντων, καὶ λοιμοῦ δίκην τῆς αἱρέσεως τὰ τῶν ἐκκλησιῶν λυμαινομένης, ὁ βασιλεὺς Κωνσταντῖνος κατά τι προάστειον τῆς Νικομηδείας, ἓν καὶ τριακοστὸν ἐν τῇ βασιλείᾳ διανύσας ἔτος, μεθίσταται τῶν ἐνταῦθα, ἄγων ἀπὸ γενέσεως πέμπτον καὶ ἑξηκοστόν. καταλείπει δὲ 1436R. τὴν διαθήκην πρεσβυτέρῳ τινὶ τὴν Ἀρείου λύσσαν νοσοῦντι, προστάξας τῷ ὁμωνύμῳ ταύτην ἐγχειρίσαι Κωνσταντίνῳ· διὰ ταύτης γὰρ αὐτῷ καὶ ἡ τοῦ πατρὸς βασίλειος ἀρχὴ εἰς κλῆρον ἀντὶ τῆς ἑσπερίας ἀφωρίζετο. ἀλλ' ὁ δείλαιος, πολλῶν πυνθανομένων εἰ βασιλέως διαθήκη προελήλυθε, μὴ γενέσθαι διετείνετο, συνεργοὺς ἔχων τοῦ ψεύδους τοὺς ἀνδρογύνους εὐνούχους. μετ' ὀλίγον δὲ πρὸ τῶν ἄλλων παραγεγονότι Κωνσταντίῳ τὴν τοῦ βασιλέως ἐγχειρίζει διαθήκην λάθρᾳ, καὶ χάριν ἀντὶ τῆς προδοσίας αἰτεῖ τῆς πατρικῆς αὐτοῦ καὶ ὀρθῆς πίστεως τὴν προδοσίαν. οἱ δὲ περὶ Εὐσέβιον παρείσδυσιν διὰ τοῦ πρεσβυτέρου πρὸς Κωνστάντιον λαβόντες, Εὐσέβιόν τε τὸν πραιπόσιτον καὶ δι' αὐτοῦ τοὺς ἄλλους εὐνούχους καὶ δὴ ϗ τὴν βασιλίδα τῆς αἱρέσεως παρασκευάζουσιν ἐραστάς· καὶ τὰ Ἀρείου πάλιν ἐκρατύνετο. τῶν δ' ἀρχιερατικῶν θρόνων κατ' ἐκεῖνο καιροῦ Μάξιμος μὲν τῶν Ἱεροσολύμων εἶχε τὴν ἐφορίαν, Ἀλέξανδρος δὲ τῆς βασιλίδος, Ἀθανάσιος δ' ἦν ὑπερόριος. Ἄρειος δὲ παραγεγονὼς ἐν Κωνσταντινουπόλει τὴν τοῦ θεοῦ διαφθείρειν ἐφρυάττετο ἐκκλη-

a. 4. συσκιάζοντες A: σκιάζοντες ς. 7. προεγράψατο A. 8. Θεογένιος B. 9. alteram καὶ add A. 10. περιφανέστατον] malim περιφανές τε. 14. διεμαρτύρατο ς. 18. αὕτη ς. 27. καὶ om B. 36. διαπέμψασθαι B, διαπέμπεται A. 38. ψαμαθίᾳ AB: ψαμαθίῳ ς. b. 7. παρεγένοντο B: παρεγίνοντο ς. 9. ἰάσαι A:] ἐξετάσαι ς. 11. κωλύσειν A. 15. τιβεριάδι B. 25. δι' αὐτῆς ς. 36. καὶ post δὴ om A.

Digitized by Google

σίαν. ἀλλ᾽ ἡ φιλάνθρωπος οὐκ ἐμακροθύμησε δίκη,
782 H. ταῖς δὲ τοῦ ἱεροῦ Ἀλεξάνδρου παροξυνθεῖσα προσευχαῖς αὐτῇ αἱρέσει ἐκκόπτει τὸν Ἄρειον, καὶ τῶν σπλάγχνων αὐτοῦ ἀθρόον διαπεσόντων κάτωθεν τῆς ζωῆς ἀπελαύνεται.

Μικρὸν δὲ τῶν ἐξ Ἀρείου ἐφησυχασάντων, αὖθις ἅπαντα κινοῦσι, τὸ ὑπερόριον Ἀθανασίου μέγα ὅπλον αὐτοῖς εἰς τὸ καταπράξασθαι ἃ διενοοῦντο νομίζοντες. ἀλλ᾽ ἡ θεία πρόνοια τὴν αὐτῶν σπουδὴν προφθάνουσα Ἀθανάσιον ἐπανάγει τῆς ὑπερορίας, γράμμασιν ὠχυρωμένον βασιλικοῖς, οἷς αὐτὸν ὁ τῆς δύσεως ἔχων τὸ σκῆπτρον Κώνστας ἐφοδιάζων εἰς Ἀλεξάνδρειαν ἐξαπέστειλε. καὶ ἥδιστα μὲν τὸν ποιμένα, ὅσοι τῆς ὀρθοδοξίας ἦσαν, ἐδέχοντο· τὸ δ᾽ αἱρετίζον στάσεις ἀνεκίνει, καὶ τοῖς περὶ Εὐσέβιον ἀφορμὰς παρεῖχον ἐνδιαβάλλειν πάλιν τὸν Ἀθανάσιον πρὸς Κωνστάντιον. καὶ τοσοῦτον ταῖς διαβολαῖς εἰς ὀργὴν τὸν εὐρίπιστον ἀνερρίπισαν, ὡς αὐτίκα πάλιν ὑπερορίαν κατὰ τοῦ ἁγίου ψηφίσασθαι. οὗτοι καὶ νεκροῦ τινὸς χεῖρα εἰς ὅπλον συκοφαντίας κατὰ τοῦ ὁσίου ἐκκόψαντες καθωπλίσαντο· Ἀρσενίου δὲ ταύτην ἐφήμιζον, καὶ ὑπὸ Ἀθανασίου μὲν ἐκκεκόφθαι, εἶναι δὲ αὐτῷ ταύτην μαγικῆς τέχνης ὄργανον.

Καὶ ἡ μὲν τῆς ὑπερορίας ψῆφος οὐ λύεται, συνέδριον δ᾽ ἐν Τύρῳ βασιλέως προστάττοντος συναθροίζεται, καὶ προχειρίζεται τὸ βασιλικὸν βούλημα ἄνδρα συνέστιον καὶ ὁμόφρονα, Ἀρχέλαον ὄνομα, καὶ σὺν αὐτῷ τὸν Φοινίκης ἄρχοντα, συνεδριάσαι τε τοῖς περὶ Εὐσέβιον, καὶ συνδιασκέψασθαι ἃ κατὰ τοῦ Ἀθανασίου συνεσκεύαστο. ἐχρόνιζον οὖν οἱ ἐν Τύρῳ, ὡς μὲν οἱ δυσσεβεῖς ἐπλάττοντο, τοὺς ἀπὸ Ἀλεξανδρείας κατηγόρους ἀναμένοντες, οὓς καὶ τοῦ μύσους αὐτόπτας καὶ τὸν Ἀρσένιον καλῶς ἐπιγινώσκειν διήγγελλον, ὡς δὲ τὸ ἐκβεβηκὸς ἔδειξε, κατὰ θείαν πρόνοιαν. ἦν μὲν γὰρ ὁ Ἀρσένιος τῆς ἐν Ἀλεξανδρείᾳ ἐκκλησίας ἀναγνώστης, καί ποτε δίκην αἰσχρᾶς αἰτίας μέλλων ὑπέχειν ἐξαρπάζεται μὲν ὑπὸ Ἀθανασίου, δρασμῷ δὲ τὴν σωτηρίαν καρποῦται, καὶ τὸ ἀφανὲς τοῦ φυγάδος θαρρεῖν τῷ πλάσματι τῆς δυσσεβείας ὑπετίθετο. ἀλλ᾽ οἶκτον λαβὼν τοῦ σωτῆρος ὁ Ἀρσένιος (ἐν γὰρ τῷ βραδύνειν τὸ συνέδριον ἡ τῆς συκοφαντίας φήμη πανταχοῦ
1437 R. διέδραμε) πρὸς τὴν Τύρον παραγίνεται κρεῖσσον λογιζόμενος, εἰ δέοι, αὐτὸν καὶ τεθνάναι, ἢ δι᾽ αὐτὸν τὴν οἰκουμένην περὶ τηλικούτου ἀνδρὸς σκανδαλίζεσθαι. ἐμφανίζεται δὴ κατὰ μυστικὴν ὁμιλίαν τῷ σεβασμίῳ Ἀθανασίῳ, καὶ δέχεται βουλὴν λανθάνειν πάντας πρὸ τῆς δίκης, ἵνα μή τι κακὸν αὐτὸς παρὰ τῶν συκοφαντῶν πάθῃ, ἢ τὸν ἔλεγχον ἄφυκτον τοῦ πλάσματος οἱ δραματουργοὶ συνιδόντες εἰς ὑπέρθεσιν τὸ ἔγκλημα διαλύσωσιν. ἀθροίζουσιν οὖν τὸ συνέδριον καὶ πρώτη συκοφαντία, γύναιον αὐτῷ ἐπαφιᾶσι μοιχείαν ἀνακαλούμενον. ἐβόα δὲ τὸ ἀναιδὲς ἐκεῖνο καὶ μεμισθωμένον γύναιον νύκτωρ ἄκουσα φθορὰν ὑποστῆναι ἐπιπεσόντος αὐτῇ Ἀθανασίου. συνῆν τῷ τῆς παρθενίας ἐραστῇ καὶ Τιμόθεος ὁ αὐτοῦ πρεσβύτερος, καὶ 783 H.
βουλὴν σοφίας, μᾶλλον δὲ θείας ἐπιπνοίας βελτιοῦται, δι᾽ ἧς τὸ κακομήχανον τῶν δυσσεβῶν ῥᾳδίως ἔμελλεν ἀπαιτεῖσθαι τὸν ἔλεγχον. ἐπεὶ γὰρ εἰς πρόσωπον ἤχθησαν τοῦ γυναίου, ὁ μὲν κατηγορούμενος ἡσυχῇ θεὸν ἐδυσώπει, Τιμόθεος δ᾽ ἀναιδευομένης τῆς μαινάδος καὶ τὸν Ἀθανάσιον (ὡς ἐδιδάχθη) φθορέα καλούσης, ὁ πρεσβύτερος ὡς δῆθεν Ἀθανάσιος „εἰπέ μοι, ὦ γύναι," φησίν, „ἐγὼ παρὰ σοὶ ἔμεινα; ἢ σύ με ἐν οἴκῳ τῷ σῷ ὑπεδέξω; ἢ νύκτωρ σε ἐβιασάμην;" ἡ δὲ οἷα γύναιον ἐκ δημοσίου τέγους, ἀναιδεῖ προσώπῳ καὶ ἀτενέσιν ὀφθαλμοῖς πρὸς τὸν Τιμόθεον ἀποβλέψασα, „σὺ εἶ ὁ τὴν βίαν μοι ἐπενεγκὼν καὶ τὴν φθορὰν νύκτωρ" ἀνεβόα, καὶ πρὸς τοὺς κριτὰς ἐπιστραφεῖσα τοὺς φρικτοτάτους ὅρκους ταῖς διαβολαῖς συνῆπτεν, ὡς „οὗτος," τὸν Τιμόθεον πάλιν δακτυλοδεικτοῦσα καὶ ἕλκουσα, „οὗτός ἐστιν καὶ οὐκ ἄλλος ὁ ἐμὸς φθορεύς." οἱ δὲ κριταὶ σὺν τοῖς δορυφόροις τῆς μαχλάδος μὲν κατεγέλων, Ἀθανάσιον δὲ τῆς συνέσεως ἐθαύμαζον ὅπως σιγῶν τὸ κατ᾽ αὐτοῦ ἔγκλημα εἰς τοὺς κατηγόρους περιτρέψας ἀναιδεστάτους συκοφάντας ἀπέδειξεν· αὐτοὶ δὲ ἑαυτῶν οὐδὲν ἀμείνους εἰς τὸ φροντίσαι τοῦ δικαίου γεγόνασιν. οἱ δὲ κατήγοροι, δέον στένειν καὶ χάριν εἰδέναι εἴ τις αὐτοὺς μὴ ἀπαιτοίη τὴν τῆς συκοφαντίας δίκην, οἱ δὲ καὶ πρὸς τὴν Ἀρσενίου δεξιὰν τὴν γλῶσσαν ὁπλίζουσι, καὶ φόνον ἅμα καὶ γοητείαν τῷ τῆς εὐσεβείας ἀγωνιστῇ περιάπτουσιν. ἀλλ᾽ ἐκεῖνος ἐν τῷ ἀταράχῳ καὶ τῆς φωνῆς καὶ τῆς γνώμης „καὶ τίς γάρ ἐστιν ἐξ ὑμῶν" φησὶν „ὁ γινώσκων τὸν Ἀρσένιον ἢ τὴν αὐτοῦ δεξιάν;" φαμένων δ᾽ οὐκ ὀλίγων, οὓς εἶχε τὸ συνέδριον σὺν τοῖς κα-

a. 12. ἐφοδιάσων B. 21. αὐτὴν B. 29. τοῦ om B. 32. μίσους B. 33. διήγγελον ς. 39. τῆς δυσσεβείας AB: τοὺς δυσσεβεῖς ς.
b. 3. τῷ A: τῷ τε ς. 6. πάθῃ B: πάθοι ς. 6. πλάσματος οἱ δραματουργοὶ A: δράματος ς. 24. τὸν om A. 35. στένειν] στέργειν Scaliger. 40. φησὶν ἐξ ὑμῶν ς. B om φησὶν.

τηγόροις, ὡς σαφῶς εἰδεῖεν τὸν Ἀρσένιον, „καὶ ἐπεὶ βεβαίως καὶ ἀκριβῶς“ ὁ Ἀθανάσιος ἔφησε „γινώσκειν οὗτοι συνωμολόγησαν τὸν Ἀρσένιον, ὁ δὲ πάρεστιν, εἰσίτω.“ εἰσελθόντος δέ, πάλιν ἐπηρώτα εἰ τὸν εἰσαχθέντα ἴσασιν ὡς εἴη Ἀρσένιος. τῶν δὲ οὐκ ἐχόντων ἀρνήσασθαι, ἕλκει τε αὐτὸν μᾶλλον τοῦ βήματος ἐγγύτερον, καὶ πρῶτον τὴν δεξιὰν ἀνατεῖναι κελεύσας χεῖρα, εἶτα καὶ τὴν ἀριστεράν, ἀνέκραγεν „ἰδοὺ Ἀρσένιος, ἄνδρες πολῖται· ἰδοὺ καὶ αἱ δύο τούτου χεῖρες, ὦ θαυμάσιοι δικασταί. εἰπάτωσαν οὖν οἱ κατήγοροι τίνος ἐστὶν ἡ χεὶρ καὶ τίνος αὐτὴν ἐξέκοψαν. ἐφ᾽ ᾧ γὰρ ταύτῃ ἐχρήσαντο, οὐκέτι λοιπὸν οὐδενὶ ἀμφισβήτησις· ἐχειροκόπησαν γὰρ ἄνθρωπον, ὡς ἂν ἡμᾶς θανατώσωσιν.“ ἀλλ᾽ ὁ μὲν οὕτω τὰ τῶν ἀντιπάλων πάντα διέλυε μηχανήματα· οἱ δὲ κριταὶ τυφλοὶ καὶ κωφοὶ ἔκ τε τοῦ ζητεῖν ἀρέσκειν Κωνσταντίῳ γεγονότες καὶ ἐξ ὧν ἀπέκλινον τοῖς αἱρετίζουσιν, ἀπέλιπόν τε τὸ βῆμα, καὶ σιγῇ διδόναι τὰ ἐληλεγμένα ἐτεχνάζοντο. ὑποχωρησάντων δὲ τούτων
1440R. κίνησις οὐκέτι συκοφαντιῶν ἀλλ᾽ ἀναιδῶς μιαιφονίας
784 H. κατὰ τοῦ τρισαριστέως ἀναρρήγνυται, καὶ οἱ μὲν λόγοις οἱ δὲ καὶ χερσὶ τὸν νικητὴν προεπηλάκιζον, οἱ δὲ καὶ τὸν ἐκ τοῦ βασιλέως ἐπέσειον θάνατον. ὁ δὲ Ἀρχέλαος μέλλοντα διασπᾶσθαι τὸν ὅσιον ὑπὸ τῶν δυσσεβῶν, μόλις τῆς οἰκίας καταβὰς (εἰ γὰρ καὶ πρὸς τὴν κρίσιν οὐχ ἑώρα, ἀλλ᾽ οὖν εἶχέ τινα τῆς φύσεως αἰδῶ) μετὰ καὶ τῶν δορυφόρων ἐξαρπάζει, καὶ δρασμὸν κρύφιον αὐτῷ παρασκευάζει καὶ ὑποτίθεται. τὸ δὲ δυσσεβὲς συνεδριάσαντες αὖθις γράφουσί τε τὸν ἀναίτιον αἰτίαις ἀτόποις, ἃς αὐτοὶ συνέπλασαν, ἁλῶναι, καὶ διαφόροις βιβλιδίοις ἐγκαταθέμενοι τὰ τοῦ ψεύδους τῷ τε Κωνσταντίῳ καὶ πάσῃ διαπέμπονται τῇ οἰκουμένῃ· καὶ γίνεται τῷ πολυάθλῳ πᾶσα χώρα φυγὴ σφόδρα ζητουμένῳ. καὶ ἡ ζήτησις τοῖς μὲν συνειδόσι καὶ μὴ καταμηνύουσι ζωῆς ἀφαίρεσιν ἐπέβαλλε τὴν ζημίαν· τοῖς δὲ κομίζουσιν ἢ ζῶντα ἢ τὴν αὐτοῦ κεφαλὴν δωρεαὶ προὐτείνοντο μεγάλαι.

Ἃ συνιδὼν ὁ τῆς ὑπομονῆς ἀδάμας ἐν λάκκῳ ὕδωρ μὴ ἔχοντι ἐπὶ ἓξ ἔτεσι λαθὼν ἐκαρτέρει. ὡς δὲ καὶ τὸ χωρίον ἐκεῖνο προδίδοσθαι ἔμελλε, θείας ὄψεως τὴν προδοσίαν τῷ θεράποντι πρὸ μιᾶς ἡμέρας μηνυσάσης κἀκεῖθεν ἀποδιδράσκει καὶ πρὸς τὴν δύσιν ἀπαίρει, τοῦ Κώνσταντος ἤδη τὴν ἀρχὴν ἔχοντος, οὐ τὴν ἑαυτοῦ μόνον ἀλλὰ καὶ τὴν τοῦ ἀδελφοῦ Κωνσταντίνου· καὶ γὰρ αὐτὸν τὸ στρατιωτικὸν τυραννίδι ἐπιθέμενοι ἀνεῖλον. διδάσκει τοιγαροῦν διὰ συνδρομῆς Ἰουλίου τοῦ Ῥώμης τὸν βασιλέα Κώνσταντα τὰς συσκευὰς ἃς ὑπὸ τῶν Ἀρειανῶν ὑπέστη, καὶ τὴν σύνοδον τὴν ἐν Ἀντιοχείᾳ ἐπὶ διαστροφῇ τῆς πίστεως συγκροτηθεῖσαν, καὶ ὡς Γεώργιον εἰς τὸν αὐτοῦ θρόνον ἐκθέσμως χειροτονήσαντες ἐγκαθίδρυσαν, καὶ οὐκ ἐκεῖνον μόνον ἀλλὰ καὶ πρὸ ἐκείνου Γρηγόριον. Εὐσέβιος μέντοι διαπραξάμενος ἃ ἐσπούδαζε, διαπρεσβεύεται πρὸς τὸν ὅσιον Ἰούλιον, κοινωνὸν λαβεῖν τῆς Ἀθανασίου κατακρίσεως μηχανώμενος. ὁ δέ, ἐξ ὧν ἐκεῖνος ἔγραφεν, οὐ κατάκρισιν ἀθῴωσιν δὲ μᾶλλον Ἀθανασίου συνορῶν, γράμμασι τὸν ἠδικημένον ἐπιρρώσας εἰς Ἀλεξάνδρειαν ἀποστέλλει, ἐν οἷς καὶ τοὺς αὐτὸν καθελόντας δίκαια καὶ οὐ μικρὰ μέμψις μετήρχετο.

Ἀλλ᾽ οἱ τῆς Ἀρείου λύσσης ὑποφθείραντες ἐπὶ πλέον τὸν Κωνστάντιον, ὃν αὐτοὶ κεχειροτονήκασι Γρηγόριον ἐπὶ τὴν Ἀλεξάνδρειαν στρατιωτικῇ χειρὶ ἐκπεμφθῆναι καταπράττονται· Συριανὸς ἦν στρατηγὸς τῆς τοιαύτης παρατάξεως, καὶ ὁ στρατὸς εἰς πέντε χιλιάδας ἀπηρτίζετο. διαφεύγει δ᾽ οὖν ὁ σοφὸς Ἀθανάσιος τόν τε στρατηγὸν καὶ τοὺς στρατιώτας πνέοντας κατ᾽ αὐτοῦ τὸν φόνον, καὶ τὸ δεύτερον ἐπὶ τὴν Ῥώμην ἀνατρέχει. ὁ δὲ δυσσεβὴς Γρηγόριος τῆς Ἀλεξανδρέων ἐκράτησε· καὶ ἡ πόλις τὸ συνενεχθὲν οὐκ ἐν τῷ ἀνεκτῷ θεμένη τὴν καλουμένην Διονυσίου ἐκκλησίαν ἐνέπρησαν. συνῆσαν οὖν ἀλλήλοις φυγάδες ὄντες ὅ τε σεβάσμιος Ἀθα- 785 H.
νάσιος καὶ Παῦλος, τοῖς ἴσοις ἀριστείοις κοσμούμενοι. γράφει δὲ Κώνστας τῷ ἀδελφῷ Κωνσταντίῳ, συμπαρορμῶντος αὐτὸν καὶ τοῦ ἀρχιερέως Ἰουλίου, ὥστε τὰς ἰδίας ἐπισκοπὰς ἀναλαβεῖν τοὺς ἠδικημένους. ὡς δ᾽ οὐδὲν ἤνυεν, ἀξιοῦσιν αὐτὸν οἱ περὶ Ἀθανάσιον οἰκουμενικῇ συνόδῳ τὰ περὶ αὐτούς τε καὶ τῆς συνεπηρεαζομένης πίστεως ἐπικριθῆναι. καὶ κηρύσσεται γνώμῃ τῶν δύο βασιλέων 1441R.
κατὰ Σαρδικὴν οἰκουμενικὴ σύνοδος· ἑνδέκατον δ᾽ ἦν ἔτος ἀπὸ τῆς τελευτῆς Κωνσταντίνου τοῦ πατρὸς τῶν βασιλέων. ἐκ μὲν δὴ τῆς ἑσπερίας ὑπὲρ τοὺς τριακοσίους συνῆλθον ἐπίσκοποι, ἐκ δὲ τῆς ἀνατολῆς ἓξ μόνοι καὶ ἑβδομήκοντα, ἐν οἷς καὶ ὁ τοῦ Μαρεώτου Ἰχύρας ἠριθμεῖτο ὡς ἐπίσκοπος. ὡς οὖν ἐν τῇ Σαρδικῇ συνῆσαν ἅπαντες, οἱ τῆς ἀνατολῆς εἰς ὄψιν τῶν ἑσπερίων ἐλθεῖν ἀπηρέσκοντο, εἰ μὴ πρότερον τοὺς περὶ Ἀθανάσιον καὶ Παῦλον τοῦ συλλόγου ἀπελάσωσι. Πρωτογένης δὲ ὁ Σαρδικῆς ἐπίσκοπος καὶ Ὅσιος ὁ Κουδρούβης καὶ οἱ λοιποὶ ἑπόμενοι οὐδ᾽ εἰς ἀκοὴν τὴν

a. 5. ὡς] εἰ B. 10. ἐστὶν] τί ἐστιν A. 33. ἐπέβαλε ς. 42. τοῦ om A.
b. 10. ἔγραφεν ἐκεῖνος B. κατάκρισιν] κατάκρισιν Ἀθανασίου, omisso eo nomine post μᾶλλον, B. 26. κοσμούμενος B. 33. σερδικὴν A, qui sic et infra. 41. ἀπελάσουσι B.

Digitized by Google

ἔκθεσμον αὐτῶν ἀξίωσιν παρεδέξαντο, ἄνδρας οὓς συνῆλθον κρῖναι, ἀκρίτως κατακρῖναι καὶ ἀπελάσαι. ἐξ ὧν οἱ μὲν τῆς ἀνατολῆς σχισθέντες τῶν ἐν Σαρδικῇ ἐν τῇ Φιλίππου πόλει συναθροίζονται, καὶ τὸ ὁμοούσιον οὐκέτι γνώμῃ ὑφάλῳ ἀλλ' ἐμφανεστάτῃ καὶ γλώσσης θρασύτητι ἀναθεματίζουσι, καὶ τὸ ἀνόμοιον δογματίζουσι, καὶ τὰ δυσσεβῆ ψηφίσματα πανταχοῦ διαπέμπονται. οἱ δὲ ἐν Σαρδικῇ πρῶτον μὲν τῶν ἀποσχισάντων ἐρήμην κατεψηφίσαντο, εἶτα τοὺς Ἀθανασίου κατηγόρους συκοφαντίας ἁλόντας καθαιροῦσι τοῦ ἀξιώματος, καὶ τρίτον τῆς ἐν Νικαίᾳ συνόδου τὸν ὅρον κρατύνουσι, καὶ ἀποκηρύττουσι τὸ ἀνόμοιον, ἐπὶ πᾶσι δὲ τὸ ὁμοούσιον ἀνακηρύττουσι· καὶ γράμματα πρὸς πάσας τὰς τῆς οἰκουμένης ἐκκλησίας διαπέμπονται.

Γνοὺς δ' ὁ τῶν ἑσπερίων βασιλεὺς τὰ κατὰ τὴν Σαρδικὴν συνενεχθέντα διδάσκει μὲν παραυτίκα τὸν ἀδελφόν, ἀποδοθῆναι δὲ Παύλῳ καὶ Ἀθανασίῳ καὶ τοῖς περὶ αὐτοὺς τοὺς οἰκείους θρόνους ἅμα μὲν παρῄνει ἅμα δὲ καὶ παρεκελεύετο. καὶ Ἀθανάσιος μὲν ὑπεστέλλετο τὰς τῶν Ἀρειανῶν ἐπιβουλάς, καὶ τῇ Ῥώμῃ προσήδρευεν· ὁ δὲ τῆς δύσεως βασιλεὺς πάλιν γράφει τἀδελφῷ ὡς εἰ μὲν προθύμως δέχοιτο τὸν ἄνδρα καὶ τὸν ἀρχιερατικὸν ἀποδίδωσι θρόνον, ἕτοιμός ἐστιν ἐκπέμπειν τὸν Ἀθανάσιον, εἰ δὲ μὴ βούλοιτο, αὐτὸς δὲ ἑαυτοῦ τοῦ δικαίου γενήσοιτο τιμωρός. καθίσταται δὴ ὁ Κωνστάντιος εἰς δέος, καὶ διὰ γραμμάτων, οὐχ ἅπαξ ἀλλὰ καὶ δὶς καὶ τρὶς σταλέντων, ἐπαγωγῶν τε καὶ θελκτηρίων καλεῖ πρὸς ἑαυτὸν τὸν πολύαθλον Ἀθανάσιον. 786 H. καὶ μετὰ πολλῆς δορυφορίας ἀποστέλλει τοῦτον ὁ τῆς ἑσπέρας βασιλεύς, καὶ Ἰουλίου τοῦ ἀρχιερέως γράμμασιν αὐτὸν διαφόροις ἐφοδιάζοντος. Κωνστάντιος δὲ παραγεγονότα εἰς τὸν οἰκεῖον θρόνον ἀποκαθίστησιν, ὑφειμένῳ πρότερον ὀνειδισμῷ καθυποβαλών. „ἀποδρὰς" γὰρ ἔλεγε „μεγάλην ἐμοῦ λοιδορίαν κατέχεας καίτοι γε περὶ σοῦ φιλάνθρωπα μελετῶντος· πλὴν ἀλλά γε νῦν μίαν μοι δίδου χάριν." ὁ δὲ τὴν κατὰ δύναμιν ἕτοιμος εἶναι διωμολόγει χαρίζεσθαι· καὶ ὁ Κωνστάντιος μίαν ἐκκλησίαν τῶν ἐν Ἀλεξανδρείᾳ ἐπιζητεῖ τοῖς Ἀρειανοῖς δοθῆναι συνακτήριον. ὁ δὲ οὐκ ἀπεῖπεν, συνάπτει δὲ τῇ καταθέσει, εἰ καὶ Κωνστάντιος ἐν Κωνσταντινουπόλει μίαν τοῖς ὁμοδόξοις, ἣν οὔπω εἶχον, ἐγχειρίσειε. Κωνστάντιος δὲ προθύμως τε καὶ σὺν ἡδονῇ ἐπηγγείλατο· ἠγνόει δὲ ἄρα λυπῶν τὰ μέγιστα τοὺς ὁμόφρονας. πλὴν καταπλαγεὶς τὴν τοῦ Ἀθανασίου σύνεσίν τε καὶ ἀγχίνοιαν, ὡς προείρηται, μετὰ πάσης δόξης καὶ τιμῆς ἐκπέμπει, γράφων καὶ πρὸς τὸν Αὐγουστάλιον "τά τε ἄλλα διὰ σεβασμιότητος ἄγειν 1442 αὐτόν, καὶ πάντα, οἷς αὐτὸν αὐτός τε καὶ οἱ σὺν αὐτῷ κατεψηφίσαντο, τὸ ἄκυρον καὶ ἀνενέργητον ἔχειν, ἀλλά γε δὴ καὶ τὸν ὑπ' αὐτῷ κλῆρον τὴν προτέραν τιμὴν καὶ πάσης δημοσίου ὑπηρεσίας ἀναλαβεῖν τὴν ἐλευθερίαν.

Καταλαβὼν οὖν ὁ Ἀθανάσιος τὰ Ἱεροσόλυμα, καὶ Μαξίμῳ τῷ ἀρχιερεῖ τοῦ θεοῦ καὶ ὁμολογητῇ συνελθὼν εἰς ὄψιν τε καὶ ὁμιλίαν, τά τε ἐν Σαρδικῇ διαπεπραγμένα καὶ ὡς πρὸς αὐτὸν Κωνστάντιος διετέθη ἀναδιδαξάμενος, σύνοδον ἀθροῖσαι τὸν ὁμολογητὴν καταπράττεται. καὶ ἡ σύνοδος τῷ θαυμαστῷ Ἀθανασίῳ καὶ τὴν κοινωνίαν καὶ τὸ ἀρχιερατικὸν ἀξίωμα ἐπιψηφίζεται, καὶ γράφει τοῖς ἐν Ἀλεξανδρείᾳ καὶ πάσῃ τῇ τε Αἰγύπτῳ καὶ Λιβύῃ ἃ περὶ Ἀθανασίου ἔγνω τε καὶ διεπράξατο.

Ὁ δὲ γενναῖος οὗτος ἀθλητὴς τῇ Ἀλεξανδρείᾳ ἐπιστὰς καθίζει καὶ αὐτὸς ἀρχιερέων ἐξ Αἰγύπτου τε καὶ Λιβύης σύλλογον· καὶ αὕτη τὰς ὁμοίας καὶ ἀπαραλλάκτους ψήφους ταῖς ἐν Σαρδικῇ καὶ ἐν Ἱεροσολύμοις συνόδοις ψηφίζεται. ἀλλὰ γὰρ Μαγνεντίου τυραννίδι ἐπιθεμένου καὶ τὸν βασιλεύοντα τῆς δύσεως διαφθείραντος, οἱ ἐξ Ἀρείου πάλιν τὸν κονιορτὸν Κωνστάντιον κατὰ τοῦ πολυάθλου ἀναρριπίζουσι· καὶ πάλιν τὰ τῆς ἀσεβείας ψηφίσματα, καὶ πάλιν φυγή, καὶ πάλιν ἔρευνα, καὶ πάλιν ἀναζήτησις. καὶ δὴ καὶ Γεώργιος ὁ τῆς Ἀλεξανδρέων πόλεως ἁρπάσας τὸν θρόνον, ἅμα τοῖς περὶ Ἀκάκιον καὶ Πατρόφιλον, οἱ τῆς Ἀρείου φατρίας, ἐξωθήσαντες Ἱεροσολύμων τὸν ὁμολογητὴν Μάξιμον ἀντεισάγουσι Κύριλλον. ὁ δὲ δυσσεβὴς Γεώργιος τοσούτων τὴν Ἀλεξανδρέων ἐνέπλησε κακῶν, ὡς τὰ τοῖς Ἕλλησι κατὰ Χριστιανῶν τολμηθέντα φιλανθρωπίαν νομίζεσθαι. αἰκισμοί τε γὰρ σωμάτων καιναῖς ἐπινοίαις ἀφορήτους φέροντες τὰς ἀλγηδόνας κατέξαινον, καὶ πῦρ γυμναῖς ταῖς παρθένοις προσεφέρετο, καὶ θάνατος πολλοὺς ἄλλους καὶ τοῦ ζῆν καὶ τῆς τιμωρίας ἅμα ἐξέπαυσε· 787 H. γεγόνασι καὶ ὑπερορίαι τῶν κατὰ τὴν Αἴγυπτον ἱερέων τε καὶ ἀρχιερέων δύο καὶ τριάκοντα.

a. 11. ἀποκηρύττουσι — 12. ἀνακηρύττουσι AB: ἀνακηρύττουσι τὸ ὁμοούσιον ἐπὶ πᾶσι, τὸ ἀνόμοιον δὲ ἀποκηρύττουσι ς. 13. τῆς add A. 17. καὶ τοῖς περὶ αὐτοὺς om B. 22. προσδέχοιτο ς. 34. ἐξέχεας AB. 35. σοῦ] αὐτοῦ A, σαυτοῦ B. 38. ἐπιζητεῖ] αἰτεῖ B. 39. δὲ] δὴ B. b. 8. αὐτὸν B. 18. ἐπιψημίζεται AB. 24. alteram ἐν add A. 34. δὲ add A. τοσοῦτον B. 39. θανάτοις vel θανάτου B. 40. ἅμα] προ B.

Ὁ δὲ Κωνστάντιος προσλαβὼν καὶ τὴν τἀδελφοῦ ὀργήν, καὶ τοὺς ἑσπερίους ἐπισκόπους μεθέλκειν εἴς τε τὴν Ἀθανασίου κατάκρισιν καὶ εἰς τὴν ἰδίαν ἐσπούδαζεν αἵρεσιν· διὸ καὶ σύνοδον διὰ ταῦτα κατὰ Μεδιόλανον πόλιν τῆς Ἰταλίας ἀθροίζει. καὶ τινὰς μὲν πρὸς τὸ οἰκεῖον διαστρέφει βούλημα· Διονύσιος δὲ καὶ Εὐσέβιος καὶ Ῥοδανὸς Παυλῖνός τε καὶ Λουκίφερ τὸ οἰκεῖον καὶ τῆς εὐσεβείας μὴ καθυβρίσαντες φρόνημα, καὶ οὐδ' Ἀθανασίου καταγνῶναι ἀναχόμενοι (ᾔδεσαν γὰρ τὴν Ἀθανασίου κατάκρισιν τὴν τῆς πίστεως προοιμιάζεσθαι καθαίρεσιν) ἐν Ἀριμήνῳ ὑπερορίζονται.

Γνοὺς δ' ὁ τοῦ θεοῦ θεράπων Ἀθανάσιος ὡς πάλιν κατ' αὐτοῦ πικρότερόν τε καὶ φονικώτερον τὸ αἱρετικὸν παροξύνεται στῖφος, λαθὼν ἅπαντας τοὺς ἐν τῇ πόλει παρθένῳ τινὶ καταφεύγει, τῷ ἀνυπόπτῳ τῆς κόρης κλέπτων τὴν εὕρεσιν. ἦν γὰρ ἡ νεᾶνις καὶ τὴν ὄψιν ὡραία, καὶ συνοικεῖν αὐτῇ μηδὲ τὸν τυχόντα ἄνδρα, μήτι γε ἀρχιερέα, πολλὴν καὶ βεβαίαν τὴν πληροφορίαν πᾶσι παρέχουσα· ἔτος δὲ τῆς ἡλικίας εἰκοστὸν ἦγεν ἀπὸ γενέσεως. ἀνατίθησιν οὖν αὐτῇ ὁ τῆς παρθενίας καὶ διδάσκαλος καὶ φύλαξ τὰ καθ' ἑαυτόν, ὅτι πρὸς μιαιφονίαν αὐτοῦ ἐξοπλίζοιτο τὸ αἱρετικόν, καὶ ὡς πάντα τὰ ἔξω τῆς πόλεως προκατείληπται ἐρεύναις, καὶ ὡς ἐκ θείας ὄψεως τὴν σωτηρίαν αὐτῷ πρυτανευούσης πρὸς αὐτὴν ἥκοι. ἡ δὲ μετὰ χαρᾶς ἀνεκλαλήτου καὶ ὑποδέχεται καὶ ἐπὶ ἓξ ἔτη κατακρύπτει· καὶ ἡ Κωνσταντίου τελευτὴ λύσις γίνεται τῆς ἀποκρυβῆς.
1445 B. ἐν πᾶσι δὲ προθύμως καὶ σεβασμίως ἡ παρθένος ἐξυπηρέτει τὸν ὅσιον, πάντας τοὺς ἐν τῇ πόλει μικρούς τε καὶ μεγάλους, καὶ τοὺς φιλοῦντας καὶ τοὺς διώκτας, διαλανθάνουσα.

Προστάττει δ' οὖν ὁ Κωνστάντιος τοὺς μὴ βουλομένους τῶν κατὰ τὴν Ἰταλίαν ἀρχιερέων τῇ Ἀρείου καθυπογράφειν ἐξωθεῖσθαι τῶν ἐκκλησιῶν, καὶ ἀντ' ἐκείνων τοὺς δυσσεβεῖς ἐγκαθίζεσθαι. ὑπερωρίζετο καὶ Λιβέριος τότε ὁ μετὰ Ἰούλιον τὸν θρόνον Ῥώμης ἰθύνων, καὶ ἀντιχειροτονεῖται Φῆλιξ, ὃς παραχρῆμα μὲν ποινῇ θεηλάτῳ τῇ τῶν ὀφθαλμῶν πηρώσει ὑποβάλλεται, ὕστερον δὲ καὶ λοιμικῇ νόσῳ καταχεθεὶς διαφθείρεται. τὰ αὐτὰ δὲ καὶ Μελέτιος ὁ Ἀντιοχείας ὑφίσταται· καὶ ἀντικαθιστᾷ ἡ αἵρεσις τὸν Εὐζώϊον, ἐν Κωνσταντινουπόλει δὲ τὸν Εὐδόξιον, ἄνδρας δυσσεβεῖς καὶ τὸν βίον ἐπαξίους τῆς αἱρέσεως.

Κατ' ἐκεῖνο καιροῦ καὶ Ἰουλιανὸν ὁ Κωνστάντιος ἀναγορεύει Καίσαρα, καὶ πρὸς τὰς Γαλλίας ἐκπέμπει. ἐγκαινίζει δὲ καὶ τὴν ἐν Κωνσταντινουπόλει παρ' αὐτοῦ νεουργηθεῖσαν ἐκκλησίαν ἐπώνυμον αὐτῇ ἡ τοῦ θεοῦ σοφία. καὶ ὁ δυσσεβὴς Εὐδόξιος, κατὰ τὰ ἐγκαίνια ἐνθρονισθείς, "πρώτην ἐκείνην τὴν τολμηρὰν καὶ ἀφρο- 788 H.
νεστάτην ἀφῆκε φωνὴν „ὁ πατὴρ ἀσεβής, ὁ υἱὸς εὐσεβής." θορύβου δὲ δικαίου τὸ πλῆθος περιλαβόντος κακῷ τὸ κακὸν ἐπενόει κατευνάζειν, καὶ „μηδὲν ὑμᾶς" φησὶ „ταραττέτω· ὁ μὲν γὰρ πατὴρ ἀσεβής, ὅτι οὐδένα σέβει, ὁ δὲ υἱὸς εὐσεβής, ὅτι σέβει τὸν πατέρα." ταῦτα τοῦ δυσσεβοῦς εἰπεῖν ἐπιμανέντος, ὁ θόρυβος εἰς χλεύην καὶ μυκτηρισμὸν ἐκλυθεὶς τοὺς πολλοὺς τῶν συνειλεγμένων διεσκέδασε τῆς ἐκκλησίας.

Ὁ μέντοι γε Ἰουλιανὸς κατὰ τὰς Γαλλίας διατρίβων, καὶ νίκας ἀναδησάμενος κατὰ βαρβάρων, ὑπὸ τῶν στρατιωτῶν ἀνακηρύττεται βασιλεύς. καὶ Κωνστάντιος μαθὼν τὴν ἀνάρρησιν βαπτίζεται μὲν τῇ θεομάχῳ χειρὶ Εὐζωΐου, ἐξοπλίζεται δὲ κατὰ τοῦ ἐπαναστάντος. γενόμενος δὲ ἐν Μόψου κρήνῃ (πολίχνιον δὲ τοῦτο τῆς Κιλικίας) ὑπὸ φροντίδων, αἷς αὐτὸν ὁ πόλεμος συνεῖχεν, ἀποπληξίᾳ ληφθεὶς τελευτᾷ, ἔτος μὲν ἄγων ἀπὸ γενέσεως πέμπτον καὶ τεσσαρακοστόν, βασιλεύσας δὲ μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἔτη πέντε καὶ εἴκοσι.

Γεώργιος δ' ὁ ἐν Ἀλεξανδρείᾳ ναὸν Ἑλληνικὸν ἤδη κατηρειπωμένον, ἐν ᾧ τὸ παλαιὸν οἱ Ἕλληνες τελετὰς ἐτέλουν τῷ Μίθρᾳ, θύοντές τε ἄνδρας καὶ παῖδας καὶ γυναῖκας καὶ τοῖς σπλάγχνοις αὐτῶν μαντευόμενοι, τοῦτον ἀνακαθαίρειν ἐπεμελεῖτο ἐπὶ τῷ ἀνοικοδομῆσαι εὐκτήριον. ἀνακαθαιρομένου δὲ εὕρηται πολλὰ κρανία τῶν ἀνῃρημένων, καὶ τῶν Χριστιανῶν οἱ ζηλωταὶ ἐκπομπεύοντες τὰ τῶν Ἑλλήνων μυστήρια εἰς γέλωτα τῷ δήμῳ καὶ χλεύην τὰ κρανία προάγουσι. τὸ δὲ Ἑλληνικὸν τὴν ὕβριν οὐκ ἐνεγκόντες, ὀργῆς αὐτοῖς ἀθέου στρατηγούσης, ὁρμῶσι κατὰ τῶν Χριστιανῶν, καὶ τοὺς μὲν ξίφεσι, τοὺς δὲ ῥοπάλοις, τινὰς δὲ λίθοις, ἄλλους δὲ τοῖς παρατυχοῦσιν ἀπέκτειναν, ἐνίους δ' αὐτῶν καὶ ἀνεσταύρωσαν· τὸν δὲ Γεώργιον τῆς ἐκκλησίας ἐξελκύσαντες καμήλῳ τε προσέδησαν, καὶ διασπαραχθέντα σὺν αὐτῇ πυρὶ παρέδοσαν.

Ἰουλιανός γε μὴν τὸ τῆς βασιλείας κράτος λαβὼν τὰ μὲν Ἑλλήνων ἐσπούδαζεν, ἃ δὲ Κωνσταντίῳ κατὰ τῶν τοῦ θεοῦ ἀρχιερέων πεπαρῴνητο, στέργειν οὐ προη-

a. 20. ἦγεν A: ἠνύετο αὐτῇ ς. 34. καὶ om pr A. 37. φῆλιξ ς.
b. 2. γαλλίους A. 11. ταῦτα δὲ τοῦ ς. 20. μόμψου A. 25. Ἀλεξανδρείᾳ] ἀντιοχείᾳ A. ἑλλήνιον A. 26. ἤδη A: δὴ ς. 28. καὶ ante τοῖς add A. 43. προῃρῆτο ς.



Digitized by Google

ρεῖτο· διὸ τοὺς ἐν ὑπερορίαις πάντας φωναῖς φιλανθρώποις ἀνεκαλέσατο. ἐξ οὗ ϗ Ἀθανάσιος θαῤῥήσας ἔξεισι μὲν τῆς οἰκίας ἐν ᾗ κατεκρύπτετο τῆς παρθένου, κατὰ νύκτα δὲ ἔνδον ὤφθη τῆς ἐκκλησίας. ϗ ὁ Ἀλεξανδρέων δῆμος ἀσμένως αὐτὸν ϗ ὡς ἐκ νεκρῶν ζῶντα
1448 B. κατὰ ἑορτῆς φαιδρότητα ὑπεδέξαντο· ὅσον δὲ ἀρειανίζον ἐν τῇ πόλει ὑπελείπετο, εἰς τὸν Γεωργίου τόπον Λούκιον προχειρίζονται.

Ἰουλιανὸς δὲ πανταχοῦ μὲν ἔσεβε τὰ Ἑλλήνων, ἔθυε δὲ κατὰ τὴν Κωνσταντινούπολιν δημοσίᾳ τῷ τῆς τύχης ἀγάλματι, ἡνίκα καὶ Μάρης ὁ Καλχηδόνος χειραγωγούμενος (ἦν γὰρ ὑπὸ τοῦ γήρως ὑπόχυσιν ἔχων ἐν τοῖς ὀφθαλμοῖς) πολλὰ τὸν ἀποστάτην ἐκάκιζεν. ὁ δὲ τυφλὸν καὶ πονηρὸν ἀντελοιδορεῖτο, ϗ ὡς ὁ Γαλιλαῖος αὐτοῦ θεὸς οὐκ ἐκθεραπεύσειεν αὐτὸν ἐπωνείδιζεν. ὁ δὲ
789 H. Μάρης „τοῦτό με πρὸς τὴν μεγίστην εὐχαριστίαν κινεῖ τοῦ θεοῦ, ὅτι με τυφλὸν ἔθετο, ἵνα τὸ σὸν ἀναιδὲς οὕτω δι' ἀσεβείας ἀμαυρωθὲν μὴ θεάσωμαι πρόσωπον.“ τότε δὴ τότε ϗ Ἰοβιανὸς ϗ Οὐαλεντινιανός, οἱ μετὰ ταῦτα κατὰ διαδοχὴν βασιλεύσαντες, λύσαντες αὐτῶν τὰς ζώνας τῷ τυράννῳ προσέῤῥιψαν, „ἔχε“ λέγοντες „καὶ τὰς ζώνας ϗ τὰς τιμάς· εἰ θέλει δὲ ϗ κολάζειν, προθύμως σοι“ τῷ Ἰουλιανῷ παραστάντες ἔφασαν „παρέχομεν καὶ τὰ σώματα.“

Ὁ μέντοι ἀποστάτης σὺν τοῖς ὁμόφροσι βουλὴν βουλεύεται Ἀθανάσιον ἐκποδὼν ποιῆσαι, ἐννοούμενος ὡς, εἴπερ ἡ Ἀλεξάνδρου πόλις ἐκείνου ἀπαλλαγείη, ῥᾳδίως τοὺς ἐν αὐτῇ Χριστιανοὺς εἰς τὸ οἰκεῖον μεθελκύσει δυσσέβημα. διὸ πάλιν συκοφάνται, καὶ πάλιν στρατηγός, ϗ πάλιν στρατός, καὶ πάλιν Ἀθανάσιος ἐκζητούμενος, ϗ πάλιν φυγή. καὶ τῆς ἐκκλησίας λάθρα διαδρὰς ὁλκάδος ἐπιβαίνει καὶ ἐπὶ τὴν Θηβαΐδα ἰθύνεται. ϗ ὁ σατράπης ὄπισθεν καταδιώκει· καὶ μηνύεται τοῦτο ὁ διωκόμενος, ϗ ὄψις αὐτὸν θεία παρακελεύεται ἀντιστρέψαι τὸ πλοῖον καὶ τὴν ἐναντίαν πλοΐζεσθαι. τῶν δὲ συνόντων κωλυόντων οὐ λόγοις μόνον ἀλλὰ ϗ δάκρυσι, μηδ' εἰς ὄλεθρον οὕτω προφανῆ ἑαυτόν τε κἀκείνους ἐκδοῦναι, ἐθάῤῥυνέ τε μηδὲν δεδιέναι, καὶ ἀνεδίδασκεν ὡς τὸ θεῖον αὐτοῖς εἴη σύμμαχον. ἐξ ὑποστροφῆς οὖν πρὸς τὴν Ἀλεξάνδρειαν ἀναγομένοις συναντῶσιν οἱ διώκοντες, καὶ ἐπερωτῶσιν εἴ που ἴδοιεν Ἀθανάσιον φεύγοντα· οἱ δὲ ἠμείβοντο καὶ ἰδεῖν αὐτόν, ϗ ὡς εἰ ἐπιταχύνειαν τοῦτον καταληφθῆναι. καὶ τούτους μὲν πλανωμένους ἀπέπεμπον, αὐτοὶ δὲ θᾶττον εἰς τὴν Ἀλεξάνδρου κατήχθησαν. ϗ βραχὺν χρόνον ἀποκρυβεὶς ὁ θεσπέσιος, Ἰουλιανοῦ τοῦ ἀποστάτου τὴν δίκην ἐν Πέρσαις ἀπαιτηθέντος ἐπαῤῥησιάσατό τε καὶ τὴν τοῦ σεσωκότος πίστιν ἐδογμάτιζέ τε καὶ ἀνεκήρυττεν.

Ἀλλὰ γὰρ Ἰουλιανὸς μὲν ἐν Περσίδι ἀνῃρέθη, τῶν μὲν εἰς Πέρσην τινὰ τῶν αὐτομόλων τὴν ἀναίρεσιν ἀναφερόντων, τῶν δὲ εἴς τινα τῶν ὑποτελῶν στρατιωτῶν· ὁ δὲ πολὺς καὶ τῆς ἀληθείας ἐγγύτερος λόγος θεήλατον αὐτὸν ὑποστῆναι τὴν σφαγὴν ἐκδιδάσκει. καταστρέφει δ' οὖν τὸν βίον ἓν καὶ τριακοστὸν διαβιοὺς ἔτος, ἐν δὲ τῇ βασιλείᾳ μῆνας εἴκοσι. καὶ διαδέχεται τὴν Ῥωμαϊκὴν βασιλείαν ψήφῳ τοῦ παντὸς στρατεύματος Ἰοβιανός, οὗ ϗ μνήμην ὁ λόγος ἔσχεν ἔμπροσθεν, ἀλλ' ἔτος ὀκτὼ μῆνας μόνους ἐν τῇ βασιλείᾳ διαρκέσας κατὰ Βιθυνίαν ἀπολείπει τὰ ἀνθρώπινα. μετ' ἐκεῖνον δὲ Οὐαλεντινιανός, ἀνήρ, ὥσπερ ὁ πρὸ αὐτοῦ, τῆς εὐσεβείας ὑπέρμαχος· ϗ λαμβάνει κοινωνόν (ὡς εἴθε μὴ ὤφελε) τῶν Ῥωμαϊκῶν σκήπτρων Οὐάλεντα τὸν ἀδελφόν. καὶ μῆνα ἡμερῶν ἐν Κωνσταντινουπόλει διατρίψας ἀφορίζει μὲν Οὐάλεντι τὴν ἀνατολήν, αὐτῷ δὲ λείπει τῆς δύσεως τὴν ἀρχήν.

Ἐπεὶ δὲ ἔτος εἰς δύσιν ἀπῆρεν, ὁ ἀδελφὸς μὲν ταῖς μητρικαῖς ὠδῖσιν, οὐκ ἀδελφὸς δὲ ἀλλὰ ϗ ἀντίπαλος τὴν πίστιν, πόλεμον ἄσπονδον κατὰ τῆς ὀρθοδοξίας 790 H.
κινεῖ. καὶ πρῶτον μὲν τὸν θαυμαστὸν Μελέτιον ὑπὸ 1449
Ἰουλιανοῦ ἀνακληθέντα ϗ τὸν οἰκεῖον ἀπειληφότα θρόνον ὑπερορίζει μετὰ καὶ πολλῶν ἄλλων ἀρχιερέων τε καὶ τῶν ἐν κλήρῳ λογάδων, ἔπειτα δὲ ϗ τὴν Αἴγυπτον ἐκταράσσει. καὶ στάσεις ϗ θόρυβοι χαλεπώτεροι τῶν φθασάντων διέσειον τὴν Ἀλεξανδρέων πόλιν. δεδιὼς δὲ ὁ θεόληπτος μὴ ἄρα τῆς ἐν τῷ πλήθει στάσεως αὐτὸς τὴν αἰτίαν λάβοι, τέσσαρας ὅλους μῆνας ἑαυτὸν ἐν πατρῴῳ τάφῳ κατακρύπτει. ὁ δὲ τοὺς κατὰ τὴν Αἴγυπτον φόνους παλαμώμενος Τατιανὸς ἦν ὁ ταύτης ἔπαρχος, ὃν ἡ θεία δίκη καὶ τῆς μιαιφονίας καὶ τῆς δυσσεβείας θᾶττον μετῆλθε· τοῦ τε γὰρ ἀξιώματος καὶ τῶν πολλῶν ἐκπίπτει χρημάτων, καὶ τῆς τροφῆς αὐτῆς ἐπαίτης ἦν· ἀλλὰ καὶ τοὺς ὀφθαλμοὺς

a. 3. κατεκέκρυπτο B. 8. προχειρίζεται ς. 9. μὲν om A. 10. κατὰ] καὶ κατὰ B. 11. χαλκηδόνος B. 12. γήρους ς. 15. ἐκθεραπεύσειεν] ἂν θεραπεύσειεν B. κατωνείδιζεν ς. 16. με A: γε ς. 21. τῷ — 22. ζώνας om AB. 23. τῷ — ἔφασαν om A. 33. ὄπισθεν A. 35. πλωΐζεσθαι ς. 37. τε om A. 38. μηδὲν A: μη ς.
b. 1. εἰ om A. 13. δ' οὖν A: γοῦν ς. 16. καὶ τὴν μνήμην ς. 27. κατὰ τῆς ὀρθ. AB: κατὰ τῆς ἐκκλησίας ἤγουν τῆς ὀρθ. ς. 32. ἐκταράσσει] χαταράσσει A, καταῤῥάσσει B. 36. πατρῴων ς. 38. ἐπάρχων A.

Digitized by Google

ἀποβαλὼν τὸν βίον ἀλγεινῶς τε καὶ αἰσχρῶς καταστρέφει. ἐν τούτοις δὲ κυμαινομένων τῶν ὅλων σεισμὸς ἐπισκήπτει τῶν πώποτε γεγενημένων ὁ μέγιστος, καὶ πολλὰς ἐδαφίζει τῶν πόλεων, ἀτὰρ δὴ καὶ τῆς Κρήτης τὰς δέκα πόλεις κατηρείπωσε· καὶ ἡ θάλασσα τῶν ἰδίων ὅρων ὑπερχυθεῖσα πολλὴν μὲν τῆς ἠπείρου ἀποτεμομένη θάλασσαν νέαν ἔδειξε, πολλὴν δὲ τῆς ὑποβρυχίου ἀρότρῳ ὑπέθηκεν. ἀλλ' οὐδὲν τούτων ἐσωφρόνισε τὸν Οὐάλεντα. ἐπεὶ δὲ ὁ Ἀλεξανδρέων δῆμος πόθῳ καὶ πίστει τοῦ ποιμένος ἐστασίαζέ τε καὶ πάντα πράξειν ἠπείλει καὶ τά τε σιτηγὰ τῶν πλοίων καὶ αὐτοὺς τοὺς δημοσίους σιτοβολῶνας, εἰ μὴ τὸν διδάσκαλον ἀπολήψοιντο, πυρὶ δοῦναι διετείνοντο, γνοὺς ταῦτα ὁ δυσσεβὴς Οὐάλης διὰ γραμμάτων δίδωσιν Ἀθανασίῳ πᾶσαν ἄδειαν τὰς ἐκκλησίας ἰθύνειν.

Ἐξορμᾷν δὲ μέλλων εἰς Ἀντιόχειαν, ἐπεὶ Εὐδόξιος ὁ μισόχριστος ὁ δέκα καὶ ἐννέα ἔτη κατὰ τῶν εὐσεβῶν ἄσπονδον πόλεμον ἀναλαβὼν ἀπεφθάρη, τῆς ὁδοιπορίας κατὰ τὴν Νικομήδειαν ἐπεσχέθη. καὶ οἱ μὲν ἐξ Ἀρείου Δημόφιλον χειροτονοῦσιν, οἱ δὲ τὸ ὁμοούσιον πρεσβεύοντες Εὐάγριόν τινα, τοῦ μακαρίου Εὐσταθίου τὴν τελεσιουργίαν χειρισαμένου, ὃς πρὸ Μελετίου τὴν Ἀντιοχέων ἐκκλησίαν ποιμαίνων ὑπὸ τῶν Ἀρειανῶν συνεσκευάσθη, καὶ τῆς ὑπερορίας ψηφίσματι τοῦ εὐσεβοῦς Ἰοβιανοῦ ἀνακληθεὶς ἐν Κωνσταντινουπόλει διέτριβεν. ὁ δὲ δυσσεβὴς Οὐάλης μαθὼν τὰ πραχθέντα, οἷς μὲν οἱ ἐξ Ἀρείου ἔπραξαν, συνήσθη τε καὶ ἠγάπησε, τῶν δὲ κηρύκων τῆς εὐσεβείας Εὐστάθιον μὲν τὸν χειροτονήσαντα διὰ στρατιωτικῆς χειρὸς ἐν Βιζύῃ πόλει τῆς Θρᾴκης περιορίζει, Εὐάγριον δὲ τὸν χειροτονηθέντα ἄλλῃ συνεῖχεν ὑπερορίᾳ. καὶ ταῦτα πράξας ὁ δυσσεβὴς ἐπὶ τὴν Ἀντιόχου ἀφικνεῖται, τὰ αὐτὰ κατὰ τῶν εὐσεβούντων καὶ πράττων καὶ διανοούμενος, μᾶλλον δὲ πολλῷ χείρονα. καὶ γὰρ διαφόροις θανάτοις τοὺς εὐσεβοῦντας ὑπῆγε· μάλιστα δὲ τῶν φόνων αὐτῷ τὸ προχειρότατον ἦν ποταμὸς ὁ Ὀρόντης.

Τῆς συγχύσεως οὖν καὶ ταραχῆς ταύτης τὴν οἰκου-
791 H μένην ἀνατρεπούσης, "μετὰ τοὺς πολλοὺς καὶ μακροὺς ὑπὲρ τῆς εὐσεβείας ἄθλους καὶ καμάτους εἰς τὸν κοινὸν δεσπότην, ὃν ἐφίλει καὶ ὑπὲρ οὗ ἔπασχε, χαίρων ὁ ἀθλητής, ἵνα τύχῃ τῶν ἐπάθλων, ἀπεδήμησεν, ἔτη διαρκέσας ἐν τῇ ἀρχιερατικῇ τελετῇ, μᾶλλον δ' ἐν τοῖς ὑπερ αὐτῆς ἀγωνίσμασι, τεσσαράκοντα.

ὅτι ἡ συγγραφὴ ἐξ ἧς ἡ προκειμένη προῆλθεν ἐκλογή, μᾶλλον ἐπὶ τὸ ἠμελημένον ἢ τὸ διηκριβωμένον ἔχει τὴν ῥοπήν, μάλιστα δ' ἐν τῇ τῶν νοημάτων οἰκονομίᾳ. ἐν πολλοῖς δὲ κεφαλαίοις καὶ καινότερα παρὰ τοὺς ἄλλους ἱστορεῖ.

## 259.

Ἀνεγνώσθησαν ΑΝΤΙΦΩΝΤΟΣ λόγοι διάφοροι. 1452 B.
εἰσὶ δ' αὐτοῦ οἱ λόγοι τὸ ἀκριβὲς καὶ πιθανὸν καὶ περὶ τὴν εὕρεσιν δεινὸν οἰκειούμενοι. ἔστι δὲ ὁ ἀνὴρ καὶ ἐν τοῖς ἀπόροις τεχνικός, καὶ τὰς ἐπιχειρήσεις ἐξ ἀδήλου ποιούμενος, καὶ ἐπὶ τοὺς νόμους καὶ τὰ πάθη τρέπων τοὺς λόγους, τοῦ εὐπρεποῦς μάλιστα στοχαζόμενος. ὁ μέντοι Σικελιώτης Καικίλιος μὴ κεχρῆσθαί φησι τὸν ῥήτορα τοῖς κατὰ διάνοιαν σχήμασιν, ἀλλὰ κατευθὺ αὐτῷ καὶ ἀπλάστους τὰς νοήσεις ἐκφέρεσθαι, τροπὴν δὲ ἐκ τοῦ πανούργου καὶ ἐνάλλαξιν οὔτε ζητῆσαι τὸν ἄνδρα οὔτε χρήσασθαι, ἀλλὰ δι' αὐτῶν δὴ τῶν νοημάτων καὶ τῆς φυσικῆς αὐτῶν ἀκολουθίας ἄγειν τὸν ἀκροατὴν πρὸς τὸ βούλημα. οἱ γὰρ πάλαι ῥήτορες ἱκανὸν αὐτοῖς ἐνόμιζον εὑρεῖν τε τὰ ἐνθυμήματα καὶ τῇ φράσει περιττῶς ἀπαγγεῖλαι. ἐσπούδαζον γὰρ τὸ ὅλον περὶ τὴν λέξιν καὶ τὸν ταύτης κόσμον, πρῶτον μὲν ὅπως εἴη σημαντικὴ καὶ εὐπρεπής, εἶτα δὲ καὶ ἐναρμόνιος ἡ τούτων σύνθεσις· ἐν τούτῳ γὰρ αὐτοῖς καὶ τὴν πρὸς τοὺς ἰδιώτας διαφορὰν ἐπὶ τὸ κρεῖττον περιγίνεσθαι. εἶτα εἰπὼν ὡς ἀσχημάτιστος εἴη κατὰ διάνοιαν ὁ τοῦ Ἀντιφῶντος λόγος, ὥσπερ ἐπιδιορθούμενος ἑαυτὸν „οὐ τοῦτο λέγω" φησίν, „ὡς οὐδὲν εὑρίσκεται διανοίας παρὰ Ἀντιφῶντι σχῆμα· καὶ γὰρ ἐρώτησίς που καὶ παράλειψις καὶ ἕτερα τοιαῦτα ἔνεισιν αὐτοῦ τοῖς λόγοις· ἀλλὰ τί φημι; ὅτι μὴ κατ' ἐπιτήδευσιν μήτε συνεχῶς ἐχρήσατο τούτοις, ἀλλ' ἔνθα ἂν ἡ φύσις αὐτὴ μεθοδείας τινὸς χωρὶς ἀπῆγεν· ὃ δὴ καὶ περὶ τοὺς τυχόντας τῶν ἰδιωτῶν ἔστιν ὁρᾶν. διὰ τοῦτο καὶ ὅταν τις ἀσχηματίστους εἶναι λέγῃ λόγους, οὐ καθάπαξ οἰητέον τῶν σχημάτων αὐτοὺς ἀπεστερημένους εἶναι (τοῦτο γὰρ ἀδύνατον), ἀλλ' ὅτι τὸ ἐμμέθοδον καὶ συνεχὲς καὶ ἐρρωμένον τῶν σχημάτων οὐκ ἔστιν ὁρώμενον ἐν αὐτοῖς." φέρονται δὲ αὐτοῦ λόγοι ξ', ὧν ὁ Καικίλιος κ' καὶ ε' φησὶν αὐτοῦ κα-

a. 8. ἰσωφρόνει B. 13. δοῦναι A: παραδοῦναι ς. 17. ὁ δέκα AB: δώδεκα ς. 23. ποιμαίνων mg: libri ποιμαίνειν. 28. δὲ add A. 36. ἦν add B. 37. τῆς — ταραχῆς om pr A.
b. 6. ἐν et δὲ add A. 15. libri κεκίλιος. 23. περί τε τὴν ς. 25. δὲ add A. 31. παράληψις ς. 34. χωρίς τινος B. 37. οἴηται ς. 41. καὶ om B.

ταψεύδεσθαι, ὡς εἶναι τοὺς διαφυγόντας τὸ νόθον ε' καὶ λ'.

Οὗτος τῷ οἰκείῳ πατρὶ Σοφίλῳ σοφιστεύοντι μαθητεῦσαι λέγεται· Καικίλιος δὲ Θουκυδίδου τοῦ συγγραφέως μαθητὴν γεγονέναι φησὶ τὸν ῥήτορα. διενεχθῆναι δέ φασιν αὐτὸν καὶ Σωκράτει τῷ φιλοσόφῳ, οὐ πρὸς φιλονεικίαν ἀλλὰ πρὸς ἔλεγχον ὁρῶντα. συντάξαι δὲ αὐτὸν καὶ πρῶτόν φασι τοὺς ἐν τοῖς δικαστηρίοις ἀγω-
792 H. νιστικοὺς λόγους· τῶν γὰρ πρὸ αὐτοῦ οὐδεὶς φαίνεται καθεὶς ἑαυτὸν εἰς τοῦτον τὸν ἀγῶνα, οὐδ' ἔστι λαβεῖν δικανικὸν λόγον τῶν Ἀντιφῶντι πρότερον γεγραμμένων. πρῶτον δὲ αὐτὸν καὶ ῥητορικὰς συντάξασθαί φασι τέχνας, ἀγχίνουν γεγονότα· διὰ τοῦτο λαβεῖν ἐπώνυμον καὶ τὸν Νέστορα. κωμῳδεῖ δὲ αὐτὸν εἰς φιλαργυρίαν Πλάτων ἐν Πεισάνδρῳ. λόγος δὲ αὐτὸν καὶ τραγῳδίας συνθεῖναι, ἰδίᾳ τε καὶ Διονυσίῳ συνδιατρίβοντα τῷ τυράννῳ. σχολάζοντα δὲ πρότερον τῇ ποιήσει τέχνην φασὶν αὐτὸν ἐξευρεῖν ἀλυπίας, καὶ κατὰ τὴν ἀγορὰν ἐν Κορίνθῳ
1453 R. οἰκημάτιόν τι οἰκοδομησάμενον ἐπιγράψαι δύνασθαι αὐτὸν τοὺς λυπουμένους διὰ λόγων θεραπεύειν· καὶ δὴ καὶ πυνθανόμενος τὰς αἰτίας τῆς λύπης τοὺς ἀνιωμένους παρεμυθεῖτο. τοῦτο δὲ τὸ ἐπιτήδευμα ἧττον εἶναι νομίσας τῆς ἑαυτοῦ μεγαλονοίας ἐπὶ ῥητορικὴν ἐτράπη. συνεγράψατο δὲ καὶ κατὰ Ἱπποκράτους τοῦ ἰατροῦ λόγον, καὶ εἷλεν αὐτὸν ἐξ ἐρήμου. ὁ δὲ χρόνος ἦν, καθ' ὃν ἤκμαζεν, ἐν ᾧ διαπέπρακται τὰ Περσικά, ὀλίγῳ πρότερον Γοργίου τοῦ σοφιστοῦ γεγονώς· παρέτεινε δὲ τὸν βίον ἕως τῆς ὑπὸ τῶν υ' γεγενημένης καταλύσεως τῆς δημοκρατίας, ἧς καὶ αὐτὸν αἰτίαν μετεσχηκέναι φασὶ παρασχεῖν· διὸ καὶ μετὰ τὴν κατάλυσιν τῶν υ' εἰσαγγελθεὶς ἑάλω, καὶ τοῖς τῶν προδοτῶν ἐπιτιμίοις ὑποβληθεὶς ἄταφος ἐῤῥίφη, καὶ γέγονεν ἄτιμος, οὐκ αὐτὸς μόνον ἀλλὰ καὶ οἱ ἐξ αὐτοῦ φύντες. Λυσίας δὲ τοὐναντίον ἱστορεῖ· φησὶ γὰρ μᾶλλον αὐτὸν ὑπὸ τῶν υ' ἀναιρεθῆναι. οἱ δέ φασιν αὐτὸν πρεσβευτὴν πρὸς Διονύσιον τὸν τύραννον παραγεγονότα, καὶ ζητήσεώς τινος παραπεσούσης τίς ἄριστός ἐστι χαλκός, αὐτὸν ἄριστον εἶναι φάναι ἐξ οὗ στῆλαι Ἁρμοδίῳ πεποίηνται καὶ Ἀριστογείτονι· ἀκούσαντα δὲ τὸν Διονύσιον, καὶ εἰς αὐτὸν ὑπονοήσαντα τὸν λόγον ἀπεῤῥῖφθαι καὶ προτροπὴν εἶναι τῆς αὐτοῦ καταλύσεως, τὴν ἐπὶ θανάτῳ τὸν ῥήτορα καταδικάσαι. οἱ δὲ διότι, φασί, τὰς τραγῳδίας αὐτοῦ διασύρων ἐπαῤῥησιάζετο.

## 260.

Ἀνεγνώσθησαν ἸΣΟΚΡΑΤΟΥΣ λόγοι διάφοροι. φέρονται δὲ αὐτοῦ τὸν ἀριθμὸν ξ', ὧν ἐκρίθησαν γνήσιοι κατὰ μὲν Διονύσιον ἐπὶ τοῖς ε' κ', κατὰ δὲ Καικίλιον η' καὶ κ'. γεγραφέναι δὲ αὐτὸν καὶ τέχνην ῥητορικὴν λέγουσιν, ἣν καὶ ἡμεῖς ἴσμεν τοῦ ἀνδρὸς ἐπιγραφομένην τῷ ὀνόματι· οἱ δὲ συνασκήσει μᾶλλον ἢ τέχνῃ χρήσασθαι κατὰ τοὺς λόγους τὸν ἄνδρα φασί.

Γέγονε δὲ κατὰ τὴν π' καὶ ς' Ὀλυμπιάδα, νεώτερος μὲν Λυσίου ἐπὶ δυσὶν ἔτεσι καὶ κ', Πλάτωνος δὲ πρεσβύτερος ι' δεόντων τριῶν. ἦν δὲ παῖς Θεοδώρου Ἐρχιέως, ἑνὸς τῶν μετρίων πολιτῶν. ἐν παισὶ μὲν οὖν τελῶν ἠκροάσατο Προδίκου τε τοῦ Κείου καὶ Γοργίου τοῦ Λεοντίνου καὶ Τισίου τοῦ Συρακουσίου καὶ τοῦ ῥήτορος Θηραμένους. εἰς ἄνδρας δὲ τελέσας πραγμάτων μὲν 793 H.
ἀναχωρεῖ τῶν πολιτικῶν, ὅτι τε τὴν φωνὴν ἰσχνὸς ἦν καὶ τὸν τρόπον εὐλαβής· τὰ πατρῷα μέντοι ἀποβεβληκὼς ἐν τῷ πρὸς Λακεδαιμονίους πολέμῳ, ἕνα μόνον τὸν τῆς ἀντιδόσεως λόγον εἰπὼν ἀπέστη τῆς τοιαύτης προαιρέσεως, ἰδίαν δὲ διατριβὴν ὑποστησάμενος ἐπὶ τὸ φιλοσοφεῖν καὶ γράφειν ὥρμησε, καὶ ὅ τε πανηγυρικὸς αὐτῷ λόγος συνετάγη καί τινες ἄλλοι τῶν συμβουλευτικῶν· ἡγούμενος ταῖς παραινέσεσι τοὺς Ἕλληνας φρονεῖν ἐκδιδάξαι τὰ συμφέροντα. ἀποτυχὼν δὲ τῆς γνώμης τούτου μὲν ἀπέστη τοῦ ἐπιτηδεύματος, σχολῆς δὲ σοφιστικῆς ἡγεῖτο, ὡς μέν τινές φασι τὰ πρῶτα ἐπὶ Χίου, μαθητὰς ἔχων ἐννέα, ἡνίκα καὶ τὸν μισθὸν ἰδὼν τῆς διδασκαλίας ἀριθμούμενον φάναι δακρύσαντα ὡς „νῦν ἐμαυτὸν ἔγνων τούτοις πεπραμένον.“ ἠκροάσαντο δὲ αὐτοῦ ἄλλοι τε πολλοί, ὡς καὶ εἰς ἑκατὸν συντελέσαι, καὶ δὴ καὶ Τιμόθεος ὁ Κόνωνος, μεθ' οὗ καὶ πολλὰς ἐπιὼν πόλεις τὰς πρὸς Ἀθηναίους ἐπιστολὰς συνετίθει, αἳ τὸν Τιμόθεον ἐπεγράφοντο· ὅθεν ἐκεῖνος ταλάντῳ 1454 R.
αὐτὸν ἐδωρήσατο. γεγόνασι δὲ αὐτοῦ ἀκροαταὶ καὶ Ξενοφῶν ὁ Γρύλλου καὶ Θεόπομπος ὁ Χῖος καὶ Ἔφορος ὁ Κυμαῖος, οἷς καὶ ταῖς ἱστορικαῖς συγγραφαῖς προὐτρέψατο χρήσασθαι, πρὸς τὴν ἑκάστου φύσιν ἀναλόγως καὶ τὰς ὑποθέσεις τῆς ἱστορίας αὐτοῖς διανειμάμενος ἐπὶ τούτοις καὶ Ἀσκληπιάδης, ὃς τὰ τραγῳδούμενα συν-

a. 4. Θουκυδίδην ς. cf. Wyttenbach. Plutarch. 4. p. 341. 6. σωκράτει B: Σωκράτη ς. οὐ πρὸς — 7. ὁρῶντα] πρὸς ἔλεγχον ὁρῶντα, οὐ πρὸς φιλονεικίαν B. 11. Ἀντιφῶντι — γεγραμμένων] immo Ἀντιφῶντος — γεγραμμένον. 18. ἐξευρεῖν αὐτὸν B. 20. λόγον B.
b. 6. ε' καὶ κ' ς. 7. καὶ ante τέχνην add A. 13. Ἐρχιέως] ἐρεχθιέως B. 15. κίου A. 16. συρρακουσίου B. 38. οὓς Coraes Isocrat. 2, p. νβ. 41. τραγῳδοῦ μὲν συνεγρ. B.

ἐγράψατο, Θεοδέκτης δὲ ὁ Φασηλίτης, καὶ αὐτὸς ὕστερον τραγῳδίας συνταξάμενος· ἀλλὰ καὶ Λαοδάμας ὁ Ἀθηναῖος καὶ Λύκριτος ὁ νομοθετήσας Ἀθηναίοις, ὡς δέ φασιν ἄλλοι, καὶ Ὑπερείδης καὶ Ἰσαῖος. Δημοσθένης δὲ προσῆλθε μὲν αὐτῷ μετὰ σπουδῆς, καὶ χιλίας μέν, ἃς εἰσεπράττετο, οὐκ ἔχειν ἔφη παρασχεῖν, διακοσίας δὲ ἐφ᾽ ᾧ τὸ πέμπτον μέρος ἐκμαθεῖν δώσειν· πρὸς δὲ ταῦτα τὸν Ἰσοκράτην ἀποκρίνασθαι ὡς „οὐ τεμαχίζομεν τὴν πραγματείαν, ἀλλ᾽ εἰ βούλοιο, ὁλόκληρόν σοι ἀποδώσομαι τὴν τέχνην."

Τὸν μὲν οὖν περὶ τῆς ἀντιδόσεως καὶ τὸν πανηγυρικὸν καὶ τινας τῶν συμβουλευτικῶν εἴρηταί μοι ὅπως τε καὶ ὅτε συνέταξεν. συνέθηκε μέντοι τὸν πανηγυρικὸν οἱ μὲν ἔτεσί φασι ι´, οἱ δὲ ἐπὶ τούτοις ἕτερα ε´. καίτοι Γοργίου τοῦ Λεοντίνου καὶ Λυσίου τῶν ἐνθυμημάτων καὶ ἐπιχειρημάτων μικροῦ μεταβολὴ καθέστηκε καὶ μετάθεσις ὁ πανηγυρικὸς Ἰσοκράτους λόγος. διατρῖψαι δ᾽ ἄν τις οἰηθείη μακρὸν οὕτω χρόνον τοῦ πανηγυρικοῦ προσεδρεύοντα τὸν ῥήτορα τῇ συνθήκῃ διὰ τὸ τῆς λέξεως κατεσκευασμένον καὶ περιττόν, καὶ διὰ τὴν εἰς ἀκρίβειαν τῶν ὀνομάτων ἐκλογήν, καὶ δὴ καὶ τῆς πρὸς ἄλληλα τούτων συνθήκης. ἀλλὰ καὶ ἡ τῶν κώλων καὶ περιόδων ἐπὶ τοσοῦτον ἀκρίβεια ἱκανὴ καταναλῶσαι χρόνον. μάλιστα δὲ αὐτῷ ἡ τῶν πραγμάτων εὕρεσις καὶ διοίκησις τὴν τοσαύτην ἀσχολίαν ἐνεποίησε· τὰ γὰρ κεφάλαια καὶ τὰ ἐπιχειρήματα, οἷς ὁ λόγος οἰκονομούμενος ἀπαρτίζεται, εἴ τις ἐπιμελῶς καὶ
794 H. καθ᾽ ἕκαστον μέρος ἐπισκέψοιτο, εὑρήσει συντελεσθῆναι πολλοῦ δεόμενα χρόνου. διὸ καὶ πολλοῖς πολλὰς παρέσχε τῶν κριτικῶν διατριβὰς μὲν καθ᾽ ἑαυτούς, διαφωνίας δὲ πρὸς ἀλλήλους, τῶν μὲν ἐμβαθυνομένων τῇ μελέτῃ καὶ διασκέψει τοῦ λόγου, τῶν δὲ κατὰ τὸ ἐπιπόλαιον τὴν ἀνάγνωσιν ποιουμένων· ἔξεστι δ᾽ εἰπεῖν καὶ διότι τοῖς μὲν ἔνεστι φύσις εὖ ἔχουσα πρὸς τὰς κρίσεις, τοὺς δὲ ὁ ἐλαττούμενος ἐπιγινώσκει λόγος. τὸν δὲ λεγόμενον παναθηναϊκὸν πρὸ ἐνιαυτοῦ τῆς τελευτῆς αὐτοῦ ἔγραψεν, ἢ ὡς τινές φασι, πρὸ τεσσάρων· καὶ τοὺς πρὸς Φίλιππον δὲ ὀλίγῳ πρότερον τοῦ θανάτου.

Ἐβίω δέ, ὡς μέν τινές φασιν, ἔτη ρ´, ὡς δ᾽ ἕτεροι, δυοῖν δεόντων μόνον. ἐτελεύτησε δὲ ἀπαγγελθέντος αὐτῷ τοῦ περὶ Χαιρώνειαν πάθους, ἐξαγαγὼν ἑαυτὸν τοῦ βίου τέτρασιν ἡμέραις ἀσιτήσας, ἅτε δὴ μὴ ὑπομείνας ἰδεῖν τετράκις δουλουμένην τὴν Ἑλλάδα. εὐπόρησε δὲ ἀργύριον ἱκανόν, οὐ τοὺς γνωρίμους εἰσπράττων μόνον, ἀλλὰ καὶ παρὰ Νικοκλέους, ὃς ἐβασίλευε τῶν Κυπρίων (Εὐαγόρου δὲ ἦν οὗτος υἱός), ὑπὲρ τοῦ πρὸς αὐτὸν γραφέντος συμβουλευτικοῦ λόγου τάλαντα λαβὼν εἴκοσιν. ἐφ᾽ οἷς φθόνον ἐφελκύσας τριηραρχεῖν προεβλήθη, καὶ δὶς μὲν ἀσθένειαν σκηψάμενος διὰ τοῦ παιδὸς παρῃτήσατο, τὸ δὲ τρίτον ἀναστὰς ἀνήλωσεν οὐκ ὀλίγα.

Οὗτος πρὸς τὸν πυνθανόμενον διὰ τί μὴ δυνατὸς ὢν δημηγορεῖν ἄλλους ποιεῖ δημηγόρους, ὅτι καὶ αἱ ἀκόναι, ἔφη, αὐταὶ μὲν τέμνειν οὐ δύνανται, τὸν δὲ σίδηρον τμητικὸν ποιοῦσι. καὶ πρὸς τὸν εἰπόντα δὲ πατέρα ὡς οὐδὲν 1457 B.
ἄλλο ἢ ἀνδράποδον συνέπεμψε τῷ οἰκείῳ παιδὶ „τοιγαροῦν ἄπιθι" ἔφη „δύο γὰρ ἀνθ᾽ ἑνὸς ἕξεις ἀνδράποδα." ἐπὶ δὲ τῷ Σωκράτους θανάτῳ λίαν ἐλυπήθη, καὶ μελανειμονῶν προῆλθε τῇ ὑστεραίᾳ. δύο δὲ ἐν ἅπαντι τῷ βίῳ συνέστησαν αὐτῷ ἀγῶνες, πρότερος μὲν εἰς ἀντίδοσιν προκαλεσαμένου αὐτὸν Μεγακλείδου, πρὸς ὃν οὐκ ἀπήντησε διὰ νόσον, τὸν δὲ θετὸν υἱὸν ἀνθ᾽ αὑτοῦ προβαλλόμενος Ἀφαρέα ἐνίκησε· δεύτερος δὲ Λυσιμάχου προκαλεσαμένου αὐτὸν περὶ τριηραρχίας εἰς ἀντίδοσιν, ἐν ᾧ καὶ ἡττηθεὶς τὴν τριηραρχίαν ὑπέστη.

Τῶν δὲ λόγων αὐτοῦ τὸ εὐκρινὲς καὶ σαφὲς καὶ μεμελετημένον πᾶσι δῆλον, καὶ ὡς ἐπανθεῖ αὐτοῖς οὐ μόνον ἔμφυτον ἀλλὰ καὶ κομμωτικὸν κάλλος. οὐ μέντοι γε πολυσχήμων ὁ ἀνήρ, οὐδὲ ταῖς κατὰ τὸ σχῆμα τροπαῖς ποικιλλόμενος· διὸ καὶ δι᾽ ἔνδειαν τῆς ἐν τούτοις μεταβολῆς οὐδ᾽ ἐναγώνιος. Ἰσοκρατικὴ δὲ καὶ τῶν ἐν τοῖς λόγοις ὑποστάσεων ἡ συνέχεια. τάχα δ᾽ ἄν τις αὐτὸν αἰτιάσαιτο κλοπῆς, ἐξ ὧν ἐν τῷ πανηγυρικῷ λόγῳ αὐτοῦ πολλὰ τῶν κατὰ τοὺς ἐπιταφίους λόγους εἰρημένων Ἀρχίνῳ τε καὶ Θουκυδίδῃ καὶ Λυσίᾳ ὑπεβάλετο. ἀλλ᾽ οὐδὲν κωλύει παραπλησίων ἀνακυπτόντων πραγμάτων ταῖς ὁμοίαις ἐξεργασίαις κεχρῆσθαι καὶ τοῖς ἐνθυμήμασιν, οὐχ ὑποβαλλόμενον τὰ ἀλλότρια, ἀλλὰ τῆς τῶν πραγμάτων ἀναβλαστανούσης φύσεως τοιαῦτα οἷα καὶ τοῖς προ- 795 H.
λαβοῦσι προβαλλομένη ἐπιδείκνυται.

a. 1. δὲ] τε Coraes. 3. νομοθέτης A. Coraes σοφιστεύσας Ἀθήνησιν. 6. ἔφη add A. 7. δὲ μόνας ἐφ᾽ ς. 10. ἀποδώσομεν ς. 15. καίτοιγε ς. 25. διοίκ. καὶ τὴν ς. 29. πολλὰς πολλοῖς ς. 40. δυεῖν B.
b. 2. τέσσαρσιν B. 3. τετράκις] γεγηρακὼς Wyttenbachius. 6. τὸν A: τὴν φ. οὗτος ὁ υἱός ς. 10. ἀναστὰς] ὑποστὰς Coraes. cf. 25. 12. διαπυνθανόμενον ς. 14. αὗται ς. 22. malim προβαλόμενος. 37. χρῆσθαι ς.

Digitized by Google

Ἐτάφη δὲ τελευτήσας λαμπρῶς ἅμα πατρὶ καὶ μητρὶ καὶ ἀδελφῇ καὶ τῇ ἄλλῃ συγγενείᾳ. ἀνάκειται δὲ αὐτοῦ καὶ ἐν Ἐλευσῖνι εἰκὼν χαλκῆ, ἐπιγραφὴν ἔχουσα

Τιμόθεος φιλίας τε χάριν σύνεσίν τε προτιμῶν
Ἰσοκράτους εἰκὼ τήνδ' ἀνέθηκε θεῷ.
Κλεοχάρους ἔργον.

καὶ ἑτέραν δὲ εἰκόνα ἔστησεν αὐτοῦ πρὸς τῷ Ὀλυμπίῳ ἐπὶ κίονος χαλκῆν ὁ θετὸς παῖς Ἀφαρεύς, υἱὸς γεγονὼς Λαγίσκης ἑταίρας τινός, ἣν ἔχουσαν τρεῖς παῖδας ὕστερον Ἰσοκράτης ἠγάγετο, ὧν εἷς ἦν καὶ ὁ Ἀφαρεὺς ὁ τὴν εἰκόνα στησάμενος καὶ ἐπιγράψας

Ἰσοκράτους Ἀφαρεὺς πατρὸς εἰκόνα τήνδ' ἀνέθηκε
Ζηνί, θεούς τε σέβων καὶ γονέων ἀρετήν.

## 261.

Ἀνεγνώσθησαν ἈΝΔΟΚΙΔΟΥ λόγοι δ', οὓς τέως εἴδομεν, ὁ περὶ τῶν μυστηρίων, ὁ περὶ τῆς ἑαυτοῦ καθόδου, ὁ περὶ τῆς πρὸς Λακεδαιμονίους εἰρήνης, καὶ τέταρτος ὁ κατὰ Ἀλκιβιάδου. ἔστι δὲ ἐν τούτοις ὁ ἀνὴρ ἁπλοῦς τε καὶ ἀκατάσκευος ἀφελείας τε φίλος καὶ τῷ ἀσχηματίστῳ σχηματιζόμενος. συνακμάσαι δὲ Σωκράτει τῷ φιλοσόφῳ λέγεται, καὶ ἀρχὴν αὐτῷ τῆς γενέσεως γενέσθαι η' καὶ ο' Ὀλυμπιάδα. παῖς δὲ ἐχρημάτιζε Λεωγόρου, ἐξ εὖ γεγονότων καταγόμενος· Ἑλλάνικος δέ φησι καὶ τοὺς πόρρω τῆς γενέσεως ὀχετοὺς ἥκειν εἰς αὐτὸν ἐξ Ἑρμοῦ. αἰτίαν δὲ λαβὼν τοῦ ἀσεβεῖν ἐπὶ τῇ τῶν Ἑρμῶν περικοπῇ καὶ τῇ τῶν μυστηρίων τῆς Δήμητρος ὕβρει, ἀπέφυγε κριθεὶς ἐπὶ τῷ μηνύσειν τοὺς ἀδικοῦντας. σπουδὴν δὲ πᾶσαν εἰσενεγκάμενος εὗρε τοὺς εἰς τὰ ἱερὰ ἁμαρτήσαντας, οἷς καὶ τὸν ἑαυτοῦ πατέρα συγ-
1460R. κατεμήνυσεν. ἀλλὰ γὰρ τοὺς μὲν ἄλλους πάντας ἐλέγχοις φωράσας ἀπολέσθαι κατεπράξατο, τὸν δὲ πατέρα, καίτοι δεδεμένον ἤδη, ἐξείλετο ὑποσχόμενος ἐν πολλοῖς αὐτὸν λυσιτελῆ γενέσθαι τῇ πόλει. καὶ οὐκ ἐψεύσατο· ὁ γὰρ Λεωγόρας πολλοὺς διήλεγξε χρήματα δημόσια νοσφισαμένους καὶ ἕτερα τοιαῦτα παρανομοῦντας. εὐδοκιμῶν δὲ ἐπὶ τοῖς πολιτεύμασιν ὁ Ἀνδοκίδης ἐπέθετο ναυκληρίαν, καὶ τοῖς τε Κυπρίων βασιλεῦσι ξένος ἐγένετο καὶ πολλοῖς ἄλλοις δοκίμοις, ἡνίκα καὶ θυγατέρα μὲν Ἀριστείδου ἀνεψιὰν δὲ αὐτοῦ τῶν οἰκείων ὑπεκκλέψας δῶρον ἔπεμψε τῷ Κυπρίων βασιλεῖ. μέλλων δὲ εἰς δικαστήριον ἐπὶ τῇ κακουργίᾳ εἰσάγεσθαι πάλιν αὐτὴν ἀπὸ Κύπρου κλέπτει, καὶ ἁλοὺς ὑπὸ τοῦ Κυπρίων βασιλέως δεσμοῖς παρεδόθη. κἀκεῖθεν δὲ διαδρὰς ἐπεδήμησε τῇ πόλει κατ' ἐκεῖνο καιροῦ, ἡνίκα τοῖς υ' τὰ πολιτικὰ μετεχειρίζετο πράγματα· δεθεὶς δὲ καὶ ὑπὸ τούτων πάλιν διέφυγεν. ἡνίκα δὲ ἡ ὀλιγαρχία κατελύθη, ἐφυγαδεύθη τῆς πόλεως, καὶ ἐν Ἤλιδι τὸν τῆς φυγῆς χρόνον διατρίψας τῶν περὶ Θρασύβουλον κατεληλυθότων καὶ αὐτὸς συγκατελήλυθεν· αἱρεθεὶς δὲ περὶ τῆς εἰρή- 796H.
νης εἰς Λακεδαίμονα πρεσβεύειν καὶ ἀδικεῖν δόξας ἔφυγε. τούτου δέ ἐστιν ἐπώνυμος καὶ Ἑρμῆς, ἀνάθημα μὲν φυλῆς Αἰγηΐδος, ἐπικληθεὶς δὲ Ἀνδοκίδου, διότι πλησίον αὐτοῦ Ἀνδοκίδης ᾤκει.

## 262.

Ἀνεγνώσθησαν ΛΥΣΙΟΥ λόγοι διάφοροι· φέρονται δὲ αὐτοῦ κε' καὶ υ', ὧν τοῖς γνησίοις γ' καὶ λ' καὶ διακοσίους ἐγκρίνουσιν, ἐν οἷς δὶς μόνον τὸ ἔλαττον ἐνεγκεῖν τῇ λέξει πρὸς τοὺς ἀνταγωνιστὰς πολλάκις ἀγωνισάμενος λέγεται. ἔστι δὲ τοῖς λόγοις βραχύτατός τε καὶ πιθανώτατος, καὶ τῷ δοκεῖν μὴ δεινῶς λέγειν, εἴπερ τις ἄλλος, δεινότατος· ἀλλὰ γὰρ καὶ εὔκολος εἶναι δοκῶν οὐδὲν ἔλαττον δυσμίμητος ἐπιδείκνυται. τοὺς μέντοι γε τῶν λόγων πλείους ἰδιώταις ἐκδεδωκέναι λέγεται. συγκεφαλαιοῦσι δὲ τοὺς λόγους αὐτοῦ δημηγορίαι, ἐπιστολαί, ἐγκώμια, ἐπιτάφιοι, ἐρωτικοὶ καὶ Σωκράτους ἀπολογία. ἔστι μὲν ἐν οὐκ ὀλίγοις αὐτοῦ λόγοις ἠθικός, γίνεται δὲ κατὰ τὴν διάνοιαν ὁ ἠθικός, ὅταν χρηστὴν ἔχῃ προαίρεσιν καὶ πρὸς τὰ βελτίω ῥέπουσαν. ὅθεν οὐ χρὴ ψιλῶς τὰ πραχθέντα λέγειν, ἀλλὰ καὶ τὴν γνώμην συνάπτειν μεθ' ἧς ἐπράττετο ἕκαστον, οἷον, ἂν μὲν χαλεπὰ ᾖ καὶ πρὸς φίλους ἢ ἄλλως μετρίους, τὴν ἀνάγκην αἰτιᾶσθαι, ἂν δὲ ἀμείνω, τὴν προαίρεσιν. αὕτη δὲ μάλιστα πιθανὴ γίνεται, εἰ τὴν αἰτίαν προσλάβοι. τὰς μέντοι γε αἰτίας οὐ χρὴ τοῦ λυσιτελοῦς ἕνεκα παραλαμβάνειν· φρονίμου γὰρ μᾶλλον ἢ χρηστοῦ καὶ εὐγνώμονος τὰ τοιαῦτα. χαλεπὸς δὲ ὁ τρόπος φυλάξαι· διὸ καὶ Λυσίας ἐν αὐτῷ φαίνεται πολλάκις διαμαρτάνων. θαυμάζονται μέντοι γε αὐτοῦ ἄλλοι τε πολλοὶ λόγοι καὶ δὴ καὶ ὁ πρὸς Διογείτονα ἐπιτροπῆς· πιθανήν τε γὰρ καὶ καθαρὰν τὴν διήγησιν ποιεῖται, ἀλλ' οὐκ εὐθὺς ἐπὶ τὰς αὐξήσεις καὶ τὰς δειγώσεις, ὅπερ πολλοὶ πάσχουσιν, ὑπάγεται. καὶ γὰρ οὐδ' ἔστιν οἰκεῖα τὰ τοιαῦτα

a. 3. Ἐλευσινίῳ Coraes p. μθ. 4. σύνεσιν] ξενίην Pseudo-Plutarchus. 5. θεῷ] θεαῖς Coraes. 6. Λεωχάρους Pseudo-Plutarchus. 7. Ὀλυμπιείῳ Coraes. 8. ἀμφαρεὺς B. 13. θεοῦ A. 19. ἀφελεῖ A. 23. Ἑλλανικὸς B. 33. λυσιτελέσι ς. 36. ναυκληρίᾳ Taylorus Lectt. Lysiac. p. 689. cf. p. 489 b 57 et 490 b 25.
b. 5. ἡ om A. 15. διακόσιοι ς. 19. praestat δεινός. 26. τὴν om A. 30. ᾖ A: εἴη ς. 33. γε om A. 37. τε πολλοὶ add A. 41. οὐδ'] οὐκ B.

τῆς πρώτης διδασκαλίας τοῦ πράγματος, ἀλλ' ἐν
1461R. τοῖς μετὰ ταῦτα χώραν ἔχει καταλέγεσθαι. καὶ πολλὴν δὲ τὴν καθαρότητα καὶ σαφήνειαν ἔν τε τοῖς πράγμασι καὶ ταῖς λέξεσιν ἀπ' αὐτῆς τῆς τοῦ λόγου προβάλλεται ἀρχῆς, ὥσπερ καὶ τὸ σχῆμα τὸ κατ' εὐθεῖαν ἁρμόζον ἀφηγήσει, καὶ τὸ μηδέν τι ἔξωθεν συνεφέλκεσθαι. τὸ δὲ τῆς ἁρμονίας αὐτοῦ κάλλος οὐ παντός ἐστιν αἰσθάνεσθαι· καὶ γὰρ δοκεῖ μὲν ἁπλῶς καὶ ὡς ἔτυχε συγκεῖσθαι, εἰς ὑπερβολὴν δὲ κόσμου κατεσκευάσθαι. καὶ ἁπλῶς ὅλος ὁ λόγος ἄξιος θαυμάσαι κατά τε τὰ σχήματα καὶ τὰ νοήματα καὶ τὰ ὀνόματα καὶ τὴν ἐναρμόνιον τούτων συνθήκην καὶ τὴν εὕρεσιν καὶ τάξιν τῶν ἐνθυμημάτων τε καὶ ἐπιχειρημάτων.

Ἀμφιβάλλεται μὲν παρ' ἐνίοις ὁ περὶ τοῦ σηκοῦ λόγος· ὁ σηκὸς δὲ νῦν εἶδός ἐστιν ἱερᾶς ἐλαίας. ἀλλ' ὅτι μὲν γνήσιος Λυσίου, ἔκ τε τῶν κεφαλαίων δῆλον καὶ ἐκ τῶν περὶ αὐτοῦ ἐπιχειρημάτων καὶ ἐξ αὐτοῦ γε τοῦ προοι-
797H. μίου τῆς τε διηγήσεως καὶ τοῦ ἐπιλόγου (πάνυ γὰρ δαιμονίως καὶ κατὰ τὴν εἰθισμένην τῷ ἀνδρὶ ἐν τῇ ἁπλότητι δεινότητά ἐστιν ἐξειργασμένα ταῦτα)· καὶ μὴν καὶ τὸ κατ' ἐνθύμημα ἀλλὰ μὴ κατ' ἐπιχείρημα προάγειν τὰς ἀποδείξεις τοῦ Λυσίου μάλιστα τὸ ἰδίωμα ἀπαγγέλλει. ἀλλὰ καὶ τὸ μὴ καθ' ἓν διατρίβοντα μηκύνειν τὸν λόγον τῆς τοῦ Λυσίου ἐστὶν ἀκριβείας, καὶ τὸ εὐπαγὲς τῶν λόγων, καὶ τὸ διὰ βραχύτητος πολλὴν παρέχειν ἡδονήν, ὃ μετά γε Δημοσθένην οὗτος μόνος τῶν ἄλλων ῥητόρων φαίνεται κατορθώσας, καὶ τὸ κάλλος δὲ τῆς διατυπώσεως, ἐν ᾧ μήτε Πλάτωνος μήτε Δημοσθένους μήτε Αἰσχίνου τὸ ἔλαττόν ἐστιν ἀπενηνεγμένος. ἰδίωμα δὲ Λυσίου καὶ τὸ τὰς ἀντιθέσεις προάγειν μηδαμῶς μὲν ἐμφαινούσας τὸ ἐπιβεβουλευμένον, τὸ δὲ ὑπ' αὐτῶν τῶν πραγμάτων ἐπεσπασμένον δεικνύειν. τεκμήριον δὲ τῆς Λυσιακῆς δυνάμεως καὶ τὸ ἐν πάσῃ τῇ περιόδῳ τῶν κώλων εὐάρμοσον καὶ μετὰ καθαρότητος εὐανθές. Παῦλος δέ γε ὁ ἐκ Μυσίας τόν τε περὶ τοῦ σηκοῦ λόγον, οὐδὲν τῶν εἰρημένων συνιείς, τῆς [τε] γνησιότητος τῶν Λυσιακῶν ἐκβάλλει λόγων, καὶ πολλοὺς καὶ καλοὺς ἄλλους εἰς νόθους ἀποῤῥιψάμενος πολλῆς καὶ μεγάλης τοὺς ἀνθρώπους ὠφελείας ἀπεστέρησεν, οὐχ εὑρισκομένων ἔτι τῶν ὑπὸ διαβολὴν πεσόντων· ἅπαξ γὰρ ἀποκριθέντες παρεωράθησαν, ἐπικρατεστέρας τῆς διαβολῆς, ὥσπερ καὶ ἐπ' ἄλλων πολλῶν, ἢ τῆς ἀληθείας γεγενημένης.

Ἔστι δὲ ὁ Λυσίας δεινὸς μὲν παθήνασθαι, ἐπιτήδειος δὲ τοὺς πρὸς αὔξησιν διαθεῖναι λόγους. τινὲς μὲν οὖν τῶν περὶ τοὺς ῥητορικοὺς διατριβόντων λόγους οὐκ ὀρθῶς ὑπήχθησαν εἰπεῖν περὶ Λυσίου ὡς ἀποδεῖξαι μὲν τὰ ἐγκλήματα παρ' ὁντιναοῦν τῶν παλαιῶν ἀνδρῶν τὸ προκεκριμένον ἔχει, αὐξῆσαι δὲ ταῦτα πολλῶν ἐνδεής. καὶ γὰρ ἐλέγχονται φανερῶς ὑπὸ τῶν αὐτοῦ λόγων πολὺ τῆς ἐπ' αὐτῷ διασφαλλόμενοι κρίσεως. καὶ μάλιστά γε τούτους ὁ κατὰ Μνησιπτολέμου διελέγχει· θαυμαστῶς γὰρ τὴν κατηγορίαν πρὸς μέγεθος οὗτος ηὔξησε. Καικίλιος δὲ ἁμαρτάνει εὑρετικὸν μὲν τὸν ἄνδρα, εἴπερ ἄλλον τινά, συνομολογῶν, οἰκονομῆσαι δὲ τὰ εὑρεθέντα οὐχ οὕτως ἱκανόν· καὶ γὰρ κἂν τούτῳ τῷ μέρει τῆς ἀρετῆς τοῦ λόγου οὐδενὸς ὁρᾶται φαυλότερος. εἶδε δὲ Δημοσθένην μειράκιον ὄντα.

Παῖς δὲ γέγονεν ὁ Λυσίας Κεφάλου τοῦ Λυσανίου τοῦ Κεφάλου, γένος μὲν Συρακούσιος, μετανάστης δὲ γεγονὼς εἰς Ἀθήνας πόθῳ τε τῆς πόλεως καὶ τῆς Περικλέους τοῦ Ξανθίππου φήμης. ἐν ᾗ τὰ μὲν πρῶτα συνεπαιδεύετο τοῖς ἐπιφανεστάτοις τῶν Ἀθηναίων, ὕστερον δὲ τὴν εἰς Σύβαριν ἀποικίαν στελλούσης τῆς πόλεως ᾤχετο καὶ αὐτὸς σὺν τῷ πρεσβυτάτῳ τῶν 1464R.
ἀδελφῶν Πολεμάρχῳ, ἐφ' ᾧ τοῦ πατρῴου μεταχεῖν κλήρου· ἔτος δὲ ἑξκαιδέκατον ἦγε. καὶ διέτριβεν ἀκροώμενος Τισίου τε καὶ Νικίου τῶν Συρακουσίων. οἰκίαν δὲ κατασκευασάμενος καὶ κλήρου τυχὼν ἐπολιτεύετο τῶν πολλῶν οὐκ ἐνδεέστερον ἕως Κλεάρχου 798H.
τοῦ Ἀθήνησιν ἄρχοντος· τῷ δὲ ἑξῆς ἐνιαυτῷ ἀττικίζειν αἰτιαθεὶς μεθ' ἑτέρων τριῶν ἐξέπεσε τῆς πατρίδος. Ἀθήνησι δὲ παραγεγονὼς τῶν υ' τὴν πόλιν ἐχόντων διέμεινεν αὐτόθι· τῶν λ' δὲ τὴν πόλιν ἀντικαταχόντων ζ' μὲν ἔτη διέμεινεν, ἀφαιρεθεὶς δὲ τὴν οὐσίαν καὶ τὸν ἀδελφὸν Πολέμαρχον ἀποβαλών, αὐτὸς μόλις διαδρὰς τὸν ἐπικρεμάμενον ὄλεθρον, διῆγεν ἐν Μεγάροις. τῶν δ' ἀπὸ Φυλῆς ἐπιθεμένων τῇ καθόδῳ χρησιμώτατος ἁπάντων γέγονε τῇ πράξει· χρήματά τε γὰρ αὐτὸς παρέσχε δραχμὰς διχιλίας καὶ ἀσπίδας σ', σταλεὶς δὲ σὺν Ἕρμωνι ἐπικούρους τε ἐμισθώσατο τ', καὶ Θρασύδαιον τὸν Ἠλεῖον ἔπεισε ξένον

a. 6. τι B et corr A: τὴν ς. 9. ὅλος add A. 14. ὁ παρ' ἐνίοις ς. 17. καὶ add A. 20. καὶ μὴν add A. b. 4. τινὲς — 5. λόγους om B. 6. ὀρθῶς δ' ὑπήχθ. B. εἰπεῖν περὶ Λυσίου] περὶ λυσίου εἰπεῖν τῶν περὶ τοὺς ῥητορικούς τινες διατριβόντων λόγους B. 10. αὐτὸ ς. 12. προσηγορίαν A. 17. μειράκιον Δημοσθένην ς. 26. ἑξκαιδέκατον A: πέντε καὶ δέκατον ς. 27. συρακοσσίων A. 33. διέμενεν A. 39. δραχμὰς δισχιλίας παρέσχε ς.

ὄντα αὐτῷ β' τάλαντα παρασχεῖν. ἐφ' οἷς γράφει μὲν μετὰ τὴν κάθοδον ὁ Θρασύβουλος πολιτείαν αὐτῷ, ὁ δὲ δῆμος ἐκύρωσε τὴν δωρεάν. Ἀρχῖνος δέ, διὰ τὸ ἀπροβούλευτον εἰσαχθῆναι τὸ ψήφισμα, γράφεται [γραφὴν] παρανόμων τὴν δωρεάν· καὶ ἐπεὶ κατεγνώσθη τὸ ψήφισμα, τῆς μὲν πολιτείας ὁ Λυσίας ἀπελαύνεται, τὸν λοιπὸν δὲ χρόνον κατεβίω ἰσοτελὴς ὤν. καὶ τελευτᾷ αὐτόθι, γ' καὶ π' ἔτη γεγονώς· οἱ δὲ ἀφαιροῦσιν αὐτοῦ ζ'.

## 263.

Ἀνεγνώσθησαν ἸΣΑΙΟΥ διάφοροι λόγοι. οὗτοι δὲ ἁπλῶς εἰπεῖν εἰς δ' καὶ ξ' συναριθμοῦνται· τούτων δὲ οἱ τὸ γνήσιον μαρτυρηθέντες ν' καταλείπονται μόνοι. Λυσίου δὲ γέγονε μιμητής, οὗ καὶ μαθητὴς ἐχρημάτισε. τὴν μίμησιν δὲ αὐτῷ προσάπτει τῶν τε ὀνομάτων ἡ ἁρμονία καὶ ἡ ἐν τοῖς πράγμασι δεινότης· οὕτω γὰρ αὐτοῦ οἱ λόγοι πρὸς ἐκείνους τὴν ὁμοιότητα φέρουσιν ὡς, εἰ μή τις πολλὴν αὐτῶν ποιήσαιτο τὴν διάσκεψιν καὶ μελέτην, οὐκ ἂν ἑκατέρων λόγων τοῦ χαρακτῆρος τὴν διαφορὰν διαγνοίη, πλὴν κατά γε τοὺς σχηματισμούς. καὶ γὰρ πρῶτος Ἰσαῖος σχηματίζειν ἤρξατο καὶ τρέπειν ἐπὶ τὸ πολιτικὸν τὴν διάνοιαν, ὃ μάλιστα καὶ Δημοσθένης, μαθητὴς αὐτοῦ γεγονώς, ἐμιμήσατο.

Χαλκιδεὺς δὲ γέγονε τὸ γένος ὁ Ἰσαῖος, εἰς Ἀθήνας δὲ μετελθὼν ἐσχόλασεν (ὡς προείρηται) Λυσίᾳ· ἤκμασε δὲ μετὰ τὸν Πελοποννησιακὸν πόλεμον, καὶ μέχρι τῆς Φιλίππου διήρκεσεν ἀρχῆς. ἀποστὰς δέ ποτε τῆς σχολῆς ἐπὶ δραχμαῖς μυρίαις καθηγήσατο Δημοσθένους· διὸ καὶ μάλιστα γέγονεν ἐπιφανής. φασὶ δὲ αὐτὸν καὶ τοὺς ἐπιτροπικοὺς λόγους Δημοσθένει συντάξαι.

## 264.

Ἀνεγνώσθησαν ΑΙΣΧΙΝΟΥ λόγοι, ὧν τὸ πλῆθος ὁ τρεῖς ἀριθμὸς περιορίζει, καὶ ἐπιστολαὶ θ'. ὁ δὲ Δηλιακὸς ἐπιγραφόμενος οὐκ ἔστιν Αἰσχίνου. ἔστι δὲ τοῖς λόγοις αὐτοῦ γλυκύς τε καὶ καθαρὸς καὶ εὐκρινὴς καὶ
1465R. τῇ τῶν ἐνθυμημάτων σαφηνείᾳ σεμνυνόμενος. Ὁ
799 H. μέντοι κατὰ Τιμάρχου λόγος "ἑταιρήσεως τὸν Τίμαρχον γράφεται· καὶ ὁ Τίμαρχος καταπλαγεὶς καὶ λιπὼν τὸν ἀγῶνα ἑαυτὸν ἀνήρτησεν.

Ἐπήγγειλε δὲ καὶ τὴν ἐν Ταμύναις νίκην πρῶτος Ἀθηναίοις τὸ δεύτερον· διὸ καὶ ἐστεφανώθη. φασὶ δὲ τὰ μὲν πρῶτα εἰπεῖν αὐτὸν ἐν τῷ δήμῳ κατὰ Φιλίππου, ἐνευδοκιμήσαντα δὲ τῷ λόγῳ πρεσβευτὴν πρὸς Ἀρκάδας χειροτονηθῆναι, εἰς οὓς παραγεγονὼς συνεστήσατο τοὺς μυρίους ἐπὶ Φίλιππον.

Οὗτος ὁ Αἰσχίνης παῖς γέγονεν Ἀτρομήτου, φυγόντος μὲν ἐπὶ τῶν λ', συγκαταγαγόντος δὲ τὸν δῆμον. τούτου δὴ καὶ Γλαυκοθέας γίνεται υἱός, Κοθωκίδης μὲν τὸν δῆμον, οὔτε δὲ τῶν ἐπὶ γένει περιφανῶν οὔτε τῶν ἐπὶ χρήμασι λαμπρῶν. ἐν δὲ τῷ νέῳ τῆς ἡλικίας τὸ σωμα φέρων ἐῤῥωμένον τὰ γυμνάσια ἐπονεῖτο, λαμπρόφωνος δὲ πεφυκὼς τραγῳδίαν ἤσκησε μετὰ ταῦτα, ὡς δὲ λέγει Δημοσθένης, ὑπογραμματεύων καὶ τριταγωνιστῶν Ἀριστοδήμῳ ἐν τοῖς κατὰ δήμους Διονυσίοις. καὶ παῖς μὲν ὢν ἐδίδασκε σὺν τῷ πατρὶ γράμματα, εἰς τὸ μειράκιον δὲ προελθὼν ἐστρατεύετο. ἠκροάσατο δέ, οἱ μέν φασιν Ἰσοκράτους καὶ Πλάτωνος, Καικίλιος δὲ Λεωδάμαντος λέγει. πολιτευόμενος μέντοι γε οὐκ ἀφανῶς ἐκ τῆς ἐναντίας μερίδος, συνεπρέσβευε τοῖς περὶ Δημοσθένην ἄλλας τε πρεσβείας πολλὰς καὶ πρὸς Φίλιππον ὑπὲρ τῆς εἰρήνης, ἐφ' ᾗ καὶ παρὰ Δημοσθένους κατηγορήθη, ἔτι δὲ ὡς πόλεμον ἐξάψειε Πυλαγόρας αἱρεθεὶς πρὸς Ἀμφισεῖς Ἀμφικτύοσι, καὶ τὸν λιμένα ἐργαζομένοις· ἐξ ἧς πράξεως συνέβη Φιλίππῳ προσφυγεῖν Ἀμφικτύονας, τὸν δὲ ὑπὸ τοῦ Αἰσχίνου συνεργούμενον ἐπιθέσθαι τοῖς πράγμασι καὶ τὴν Φωκίδα λαβεῖν. συνειπόντος μέντοι γε αὐτῷ Εὐβούλου τοῦ Σπινθάρου Προβαλεισίου δημαγωγοῦντες ψήφοις μόναις λ' ἀπέφυγε. χρόνῳ δὲ ὕστερον Φιλίππου μὲν τετελευτηκότος, Ἀλεξάνδρου δὲ διαβαίνοντος εἰς τὴν Ἀσίαν, ἐπὶ ταῖς Δημοσθένους τιμαῖς Κτησιφῶντα παρανόμων ἐγράψατο. οὐ μεταλαβὼν δὲ τὸ πέμπτον μέρος τῶν ψήφων εἰς Ῥόδον ἔφυγε, δραχμὰς χιλίας οὐ βουληθεὶς ὑπὲρ τῆς ἥττης καταβαλεῖν· ἐν δὲ τῇ Ῥόδῳ σχολὴν καταστησάμενος ἐδίδασκεν· ἐν ᾧ τοῖς Ῥοδίοις τὸν κατὰ Κτησιφῶντος ἐπεδείξατο λόγον, θαυμαζόντων δὲ εἰ ταῦτα δημηγορήσας ἡττήθη, „οὐκ ἂν" εἶπε „θαῦμα κατεῖχεν ὑμᾶς ὦ Ῥόδιοι, εἰ Δημοσθένους ἀντιδημηγοροῦντος ἠκούσατε." ἐκεῖθεν δὲ πλεύσας εἰς Σάμον, καὶ διατρίψας ἐπὶ τῆς νήσου, ὀλίγον ὕστερον ἐτελεύτησεν.

## 265.

Ἀνεγνώσθησαν ΔΗΜΟΣΘΕΝΟΥΣ λόγοι μακροὶ σύμπαντες· φέρονται δὲ αὐτοῦ οἱ γνήσιοι ο' καὶ ξ', ὧν οἱ

a. 11. ἀνεγνώσθη A. 14. λυσία A. 25. δὲ add A. 28. ὑποστὰς A. 33. ἀνεγνώσθη A. 38. libri ἰσαιρίσεως. b. 8. τῶν B: δὲ τῶν ς. 22. ἀμφισσεῖς B. Leichius p. XLII Ἀμφικτύοσι πρὸς Ἀμφισσεῖς τὸ κεκλεισμένες καὶ τὸν λ. ἐργαζομένους. 23. ἐξ ἧς] ἐξῆς ς. 27. libri προβαλεισίου. 31. τῶν ψήφων Pseudo-Plutarchus: nam Photii libri σισύφῳ. 33. καταβαλεῖν] ἀποτῖσαι B. 41. ἀνεγνώσθη A.

Digitized by Google

δημόσιοι μᾶλλον εἰς τὸ ἄριστον κατεσκευάσθαι τοῖς πλείοσι κρίνονται. τινὲς μὲν οὖν τὸν περὶ Ἁλοννήσου λόγον (ὃς καὶ κατὰ Φιλίππου ἐπιγράφεται δεύτερος· καὶ γὰρ 800 H. πρὸς τὴν ἐπιστολὴν ὁ ῥήτωρ "ἀνταγωνίζεται τοῦ Φιλίππου) τοῦτον οὔ φασιν εἶναι γνήσιον Δημοσθένους, καὶ τεκμηριοῦσθαι τὴν δόξαν αὐτῶν ἐπιχειροῦσι τοῖς ῥήμασί τε καὶ ὀνόμασι καὶ τῇ τῆς συνθέσεως ἁρμονίᾳ· πολὺ γὰρ ταῦτα 1468 R. λείπεσθαι τοῦ Δημοσθενικοῦ τύπου· "ἀνειμένην τε γὰρ εἶναι ταύτην καὶ λελυμένην, καὶ τῆς τοῦ ῥήτορος περὶ ταῦτα δυνάμεως ἐλαττουμένην τὴν φράσιν. καὶ οἵ γε αὐτὸν ἀφαιρούμενοι τοῦ Δημοσθένους εἰς Ἡγήσιππον ἀναφέρουσιν. ἐγὼ δὲ εἰδὼς πολλάκις καὶ λόγους διαφόρων γεννητόρων πολλὴν ἔχοντας τὴν ὁμοιότητα καὶ διάφορον ἐργασίαν λόγων τὸν αὐτὸν ἐγνωκότων γεννήτορα (οὐ γὰρ ἀεὶ καθέστηκεν ἄτρεπτος καὶ ἀναλλοίωτος κατὰ πάντα, ὥσπερ οὐδὲ ἐν τοῖς ἄλλοις, οὕτως οὐδὲ κατὰ τοὺς λόγους ἡ ἀνθρωπίνη δύναμις), ἄλλως τε δὲ οὐδὲ ἐν τοῖς καιριωτάτοις τῶν ἰδιωμάτων τοῦ ῥήτορος, ἀλλὰ καὶ ταύτην ἐπ' ὀλίγον ὁρῶν τὴν διαφοράν, οὐκ ἔχω θαῤῥεῖν ἀποφήνασθαι εἴτε Ἡγησίππου πόνος ὁ περὶ Ἁλοννήσου λόγος εἴτε τῆς Δημοσθενικῆς ἐλάττωμα καθέστηκε φύσεως.

ὡσαύτως δὲ καὶ τὸν λόγον, ὃς ἐπιγράφεται περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν, Ὑπερείδῃ μᾶλλον ἢ Δημοσθένει προσνέμουσιν, ὅτι περ πολλοῖς τε ἄλλοις ὁ Δημοσθένης πλεονεκτῶν τῶν λοιπῶν ῥητόρων καὶ τῇ τῶν ὀνομάτων ἐκλογῇ ἐπὶ τὸ ἄμεινον διενήνοχεν, ὁ δὲ νῦν λόγος ἔχει τι καὶ τῶν οὐ λογάδων φωνῶν, ὥσπερ τὸ νεόπλουτος καὶ τὸ βδελυρεύεσθαι καὶ ἕτερά τινα τοιαῦτα.

εἰσὶ δὲ οἳ καὶ τοὺς δύο τοὺς κατὰ Ἀριστογείτονος ὡς νόθους παραγράφονται· ἀλλ' οὗτοι καὶ ὀρφανοὺς αὐτοὺς ἀφιᾶσιν, οὐκ ἔχοντες εἰπεῖν τοὺς τεκόντας. ὧν εἷς γέγονε καὶ Διονύσιος ὁ Ἁλικαρνασσεύς, οὐδὲν μέγα τεκμήριον τῆς ἰδίας ὑπολήψεως παρεχόμενος, οὐδὲ ἐκεῖνο συνιδεῖν ἐθελήσας, ὡς πολλῷ μείζων ἐστὶν ἤπερ ἡ ἐκείνου ἀπόφασις αὐτὸς ὁ Ἀριστογείτων ἀνομολογῶν Δημοσθένην κατ' αὐτοῦ γεγραφέναι· καὶ γὰρ ἀπολογούμενος οὐκ ἐν τῷ παρέργῳ λέγων ἀλλ' ἐπιμελῶς ἀνταγωνιζόμενος ἐν τῷ λόγῳ δείκνυται, ὃς ἐπιγέγραπται ἀπολογία πρὸς τὴν ἔνδειξιν Λυκούργου καὶ Δημοσθένους.

καὶ ὁ κατὰ Μειδίου δὲ καὶ κατ' Αἰσχίνου λόγος αἰτίαν ἔχει τὸ μὴ τὴν αὐτὴν κατὰ πάντα ἀρετὴν τῷ Δημοσθενικῷ συνδιασώσασθαι χαρακτῆρι· καὶ γὰρ ἐν τοῖς δυσὶ τούτοις λόγοις ἐκ διαλειμμάτων τινῶν ταῖς αὐταῖς ἐννοίαις ἐπιβάλλων ἁμιλλᾶσθαι δοκεῖ πρὸς ἑαυτόν, ὥσπερ ἀσκούμενος ἀλλ' οὐκ ἐπ' αὐτοῖς ἀγωνιζόμενος τοῖς ἔργοις. διὸ καί τινες ἔφησαν ἑκάτερον λόγον ἐν τύποις καταλειφθῆναι, ἀλλὰ μὴ πρὸς ἔκδοσιν διακεκαθάρθαι· καίτοι καὶ τοῦτο εὐλαβέστερον οἱ ῥηθέντες λόγοι ποιοῦσιν. ἀλλ' οἵ γε τούτους αἰτιώμενοι τί ἂν φαῖεν περὶ Ἀριστείδου, ὃς καὶ κατακόρως τῷ ἰδιώματι τούτῳ φαίνεται κεχρημένος, ὥσπερ καὶ τῷ προϊέναι κατὰ τὰς ἐργασίας πέρα τοῦ μετρίου, καὶ τῷ περιττῷ μᾶλλον ἢ τῷ μέτρῳ τῆς χρείας συμπαρεκτείνεσθαι; μάλιστα δὲ ὁ κατ' Αἰσχίνου λόγος παρέσχεν αἰτίαν ἐν ὑπομνήμασι καταλελεῖφθαι οὔπω τὴν ἐργασίαν ἀπειληφὼς τελείαν· διότι καὶ ἃ πρὸς τὴν κατηγορίαν "πολλὴν ἔχει τὴν ἁμυ- 801 H. δρότητα καὶ κουφότητα, ἐπὶ τῇ τελευτῇ τοῦ λόγου παρέθετο· ὅπερ οὐκ ἂν περιεῖδεν ὁ ῥήτωρ, εἰς ἐξέτασιν ἀκριβεστέραν τῶν ἰδίων λόγων καταστάς. ἀλλὰ γὰρ οὐχ οὕτω πρόεισιν ὁ Λυσίου κατὰ Μνησιπτολέμου λόγος, ἐν πᾶσι δὲ τοῖς δεομένοις μέρεσι τὸ παθητικὸν φυλάξας οὐδὲ παυόμενος τῆς ἐπιφορᾶς ἀπέστη, ἐπέτεινε δὲ μᾶλλον, οὐδὲ κατὰ τὸ τέλος τοὺς ἀκροατὰς ἀποστὰς παροξύνειν. καὶ μέντοι καὶ τὸν παραπρεσβείας τινὲς ἐν ὑπομνήμασί φασι καταλειφθῆναι, ἀλλ' οὐ πρὸς ἔκδοσιν οὐδὲ πρὸς τὸ τῆς ἐργασίας ἀπηρτισμένον γεγράφθαι. διὰ τί; "διότι μετὰ τὰ ἐπιλογικά, πολλά τε ὄντα καὶ 1469 R. σχεδὸν τὸ πλεῖστον μέρος ἐπέχοντα, πολλὰς πρὸ αὐτῶν ἀντιθέσεις εἰπὼν πάλιν ἐπὶ ἀντιθέσεις ἐτράπετο· ὅπερ ἀνοικονόμητόν τέ ἐστι καὶ διεῤῥιμμένον.

καὶ τὸν ὑπὲρ Σατύρου δὲ λόγον τῆς ἐπιτροπῆς πρὸς Χαρίδημον οἱ μὲν πρὸς τὴν κρίσιν ἔχοντες τὸ ἀσφαλὲς Δημοσθένους λέγουσιν εἶναι, ὁ δὲ Καλλίμαχος, οὐδ' ἱκανὸς ὢν κρίνειν, Δεινάρχου νομίζει. τινὲς δὲ αὐτὸν ὑπεβάλοντο Λυσίᾳ, καίτοι καὶ τὸν χρόνον ἔχοντες αὐτοῖς διαμαχόμενον καὶ τὸν τύπον ἅπαντα τῆς ἐργασίας καὶ τὰ πράγματα καὶ τὴν ἑρμηνείαν. μαρτυρία δὲ τοῦ Δημοσθενικὸν εἶναι τὸν λόγον καὶ ὁ πλαγιασμὸς καὶ ἡ συνέχεια τῶν περιόδων καὶ ἡ εὐτονία· ἐξ αὐτοῦ γὰρ τοῦ προοιμίου τούτοις ὁ λόγος διαποικίλλεται. καὶ μὴν καὶ ἡ περὶ τῶν ὀνομάτων ἐκλογὴ εἰς τὸ ἄριστον ἀνηνέχθαι καὶ ἡ σύνθεσις εὖ ἔχειν πεφιλοτίμηται. μαρτυρεῖ δὲ καὶ τὰ σχήματα· ἔστι γὰρ συνεστραμμένα μετὰ γοργότητος καὶ ποικιλίαν τῷ λόγῳ παρεχόμενα· καὶ γὰρ ἐρωτήσεις προ-

a. 2. ἀλοννήσου ς. 3. καὶ ante κατὰ om. B. 23. Ὑπερείδῃ ς. 26. τὸ add A. 29. τοὺς post δύο add B. 32. ἁλικαρνασσεὺς ς. 35. ὁ add A. 40. μηδίου A. 41. τὸ A: τοῦ ς.
b. 9. προσιέναι A. 10. καὶ A: κατὰ ς. 22. τὸν περὶ παραπρ. ς. 24. γέγραπται A. 30. οἱ — ἔχοντες] ὡς — ἔχοντα B.

βάλλεται καὶ ὑποστροφὰς καὶ τὸ ἀσύνδετον, οἷς μάλιστα Δημοσθένης χαίρει χρώμενος. ἀλλὰ καὶ ἡ σύνθεσις ἐπιμελὴς καὶ τὴν ἐνάργειαν τῷ κόσμῳ οὐ διαφθείρουσα, αἵ τε περίοδοι τῷ ἀπηρτισμένῳ συναγόμεναι καὶ τὸ πρέπον πανταχοῦ διασώζουσι. τὸ μὲν οὖν μηδενὸς φείδεσθαι συνθέσεως ἀλλὰ πάντα διειλῆφθαι περιόδοις ἔστι μὲν Ἰσοκράτους καὶ Λυσίου πρὸς Δημοσθένην κοινόν· ἡ δὲ κατὰ τὰς περιόδους ἐν τοῖς μεγέθεσι ποικιλία συμπληροῦσα τὰ κῶλα λαμβανομένη τὴν πρὸς ἐκείνους διαφορὰν ἀπεργάζεται, τοῦ μὲν Ἰσοκράτους ὡς τὰ πολλὰ μηκύνοντος τὴν ἐργασίαν αὐτῶν, τοῦ δὲ Λυσίου συντέμνοντος· ἐξ ἑκατέρου δὲ τούτων τῷ Δημοσθένει τὸ πρέπον διασώζεται.

ὁ δὲ περὶ τῆς εἰρήνης λόγος καὶ ἄλλοις μέν, μάλιστα δὲ Λιβανίῳ τῷ σοφιστῇ παρεσκευάσθαι μέν, οὐ μὴν εἰρῆσθαι δοκεῖ. κατηγορῶν γὰρ ὁ ῥήτωρ Αἰσχίνου οὐδὲν ἔλαττον αὐτὸν καὶ ἐπὶ τούτῳ αἰτιᾶται, ὅτι συνεβούλευσεν Ἀθηναίοις Ἀμφικτύονα εἶναι ψηφίσασθαι Φίλιππον. ἐν ᾧ οὖν ἐκεῖνον πικρῶς διέβαλλε, πῶς ἂν αὐτὸς ἐθάρρησε γενέσθαι σύμβουλος; καὶ γὰρ ὁ περὶ τῆς εἰρήνης λόγος δῆλον ὅτι τὸν Φίλιππον Ἀμφικτύονα εἶναι συμβουλεύει.

καὶ τὸν κατὰ Νεαίρας δὲ λόγον ὑπτιότητός τινες αἰτιώμενοι τῶν Δημοσθενικῶν ἀποκρίνουσι λόγων, ὥσπερ καὶ τὸν περὶ ἔρωτος αὐτῷ γεγραμμένον καὶ τὸν ἐπιτάφιον.

802 H. Φασὶ δὲ τὸν Δημοσθένην δ' καὶ κ' γεγονότα ἔτη τὸν περὶ τῶν ἀτελειῶν ἤτοι τὸν πρὸς Λεπτίνην φιλοπονήσασθαι λόγον, οὗ τὸ προοίμιον Λογγῖνος μὲν ὁ κριτικὸς ἀγωνιστικὸν νομίζει· ἐπὶ Κλαυδίου δὲ οὗτος ἤκμαζε, καὶ τὰ πολλὰ συνηγωνίζετο Ζηνοβίᾳ τῇ τῶν Ὀσροηνῶν βασιλίδι, τὴν ἀρχὴν κατεχούσῃ Ὀδενάθου τοῦ ἀνδρὸς αὐτῆς τετελευτηκότος, ἣν καὶ μεταβαλεῖν εἰς τὰ Ἰουδαίων ἔθη ἀπὸ τῆς Ἑλληνικῆς δεισιδαιμονίας παλαιὸς ἀναγράφει λόγος. ἀλλὰ γὰρ ὁ μὲν Λογγῖνος τοιαύτην περὶ τοῦ προκειμένου προοιμίου τὴν ψῆφον ἐξάγει. ἕτεροι δὲ οὐκ ὀρθῶς ἔφασαν τὸ προοίμιον ἠθικὸν εἶναι. καὶ πολλοῖς οὗτος ὁ λόγος παρέσχεν ἀγῶνα κρίνεσθαι προτεθείς, ὥσπερ καὶ Ἀσπασίῳ τῷ ῥήτορι, ἅτε μηδ' ἀφιγμένῳ τῆς τοῦ λόγου θεωρίας εἰς ἀκρίβειαν.

ὡσαύτως δὲ καὶ ὁ κατὰ Μειδίου· καὶ γὰρ καὶ οὗτος οὐκ ὀλίγοις γέγονεν ἐν σπουδῇ, καὶ τῆς πρὸς ἀλλήλους ἀμφισβητήσεως ἀφορμὰς παρέσχε. καὶ οἱ μὲν τοῦ παθητικοῦ χαρακτῆρος εἶναί φασιν αὐτόν, μετὰ δεινώσεως ἐπεξειργασμένον, οἱ δὲ τοῦ πραγματικοῦ καὶ ἁπλῶς τῶν τε ῥημάτων αὐτοῦ τὸ σφοδρὸν καὶ κατὰ τὴν σύνθεσιν ἐναρμόνιον. 1472 καὶ ὡς τοῖς παθητικοῖς μὲν τῶν ἐπιχειρημάτων καὶ ἐνθυμημάτων παθητικὴν καὶ τὴν ἀπαγγελίαν περιάπτει, τοῖς πραγματικοῖς δέ, ὅσα τούτοις ἐναρμόττει. ἔχεται μὲν οὖν καὶ τοῦ ἤθους οὐκ ἐν τούτῳ μόνον τῷ λόγῳ, ἀλλὰ καὶ ἐν πολλοῖς ἄλλοις. ἀλλά γε χαλεπώτατόν ἐστι λόγων ἀγωνιστικῶν ἐργάτῃ διὰ τέλους φυλάξαι πρὸς τὸν ἀνταγωνιστὴν τὸ ἦθος, μάλιστα δὲ τοῖς ὅσοι φύσεως ἔτυχον πικροτέρας τε καὶ παθητικωτέρας, ἧς οὐχ ἥκιστα Δημοσθένης τε καὶ Ἀριστείδης μετέχει. διόπερ πολλάκις ἐξάγονται, τῆς προθέσεως ἐλαττουμένης ὑπὸ τῆς φύσεως· οὐδὲ γὰρ οὐδ' ἔστιν ἱκανὴ τέχνη κατορθῶσαι τὸ βούλημα, μὴ συνεργὸν ἔχουσα καὶ τὴν τῆς φύσεως ἰδιότητα.

Ἐτῶν μέντοι γεγονὼς ὁ ῥήτωρ η' καὶ λ', ἔπεισε δημηγορήσας τὸν δῆμον βοήθειαν Ὀλυνθίοις ἀποστεῖλαι πρεσβευσαμένοις κατὰ Φιλίππου.

Οὗτος ὁ Δημοσθένης υἱὸς μὲν γέγονεν ἐκ Κλεοβούλης Δημοσθένους, τὸν δῆμον Παιανιεύς. καταλειφθεὶς δὲ ὑπὸ τοῦ πατρὸς ἐτῶν ζ' σὺν ἀδελφῇ μετὰ γενεστέρα δυσὶν ἔτεσι, τὸν μὲν χρόνον τῆς ὀρφανίας παρὰ τῇ μητρὶ διῆγεν, Ἰσοκράτει σχολάζων τῷ ῥήτορι, ὡς δὲ οἱ πλείους λέγουσιν, Ἰσαίῳ τῷ Χαλκιδεῖ ἐν Ἀθήναις σοφιστεύοντι. ὁ δὲ Ἰσαῖος Ἰσοκράτους γέγονε μαθητής, Θουκυδίδην ζηλῶν καὶ Πλάτωνα τὸν φιλόσοφον. ἄλλοι δὲ ἄλλα περί τε παιδεύσεως Δημοσθένους καὶ τῶν αὐτοῦ διδασκάλων ἱστοροῦσιν. εἰς ἡλικίαν δὲ καταστάς, καὶ ἐλάττω τὴν οὐσίαν παρὰ τῶν ἐπιτρόπων λαβών, ἐγράψατο αὐτοὺς ἐπιτροπῆς γ' ὄντας, Ἄφοβον Θηριππίδην καὶ Δημοφῶντα (οἱ δὲ ἀντὶ Δημοφῶντος Δημέαν εἰσάγουσι), τίμημα ί ταλάντων ἑκάστῃ δίκῃ ἐπιγραψάμενος. τῆς μέντοι καταδίκης οὐδὲν αὐτοὺς εἰσεπράξατο, τοὺς μὲν ἀφεὶς ἀργυρίῳ, τοὺς δὲ καὶ χάριτος. αἱρεθεὶς δὲ χορηγός, Μειδίαν τε τὸν Ἀναγυράσιον, πλήξαντα αὐτὸν ἐν τῷ θεάτρῳ χορη- 803 H. γοῦντα, γραψάμενος εἰς κρίσιν κατέστησε, τρισχιλίας δὲ λαβὼν παρ' αὐτοῦ τῆς δίκης ἀπέλυσεν.

Λέγουσι δὲ αὐτὸν πολλὰ τῆς φύσεως ἐλαττώματα μελέτῃ διορθώσασθαι. καὶ νέος μὲν ὢν εἰς σπήλαιον

a. 14. δὲ] δὲ ἐστιν A. 17. ἔλαττον τὸν αὐτὸν ς. συνεβούλευεν A. 19. διέβαλε ς. 27. ἔτη om pr A, ante γεγονότα ponit B. 38. ἀγῶνα παρέσχεν B. 40. μὴ διαφιγμένῳ B, μηδ' ἐφιγμένῳ Toup. Longin. p. 221.
b. 3. ἐπειργασμένον ς. 8. ἔχεται] ἄρχεται B et corr A. 14. ἐξάγ. καὶ τῆς ς. 27. Ἰσοκράτου ς. 36. οὐδὲν εἰς αὐτούς ς. 39. τρισχιλιάδας ς.

Digitized by Google

ἑαυτὸν ἐναπέκλεισε, κἀκεῖ διῆγε φιλοσοφῶν, τῆς κεφαλῆς ξυρώμενος τὸ ἥμισυ, ἵνα μὴ αὐτῷ ἐξῇ, τῆς ἀσχημοσύνης κωλυέσης, ποιεῖσθαι μηδὲ βϐλομένῳ τὴν πρόοδον. δεύτερον δὲ ἐπὶ στενῆς αὐτόν φασι κλίνης κοιμᾶσθαι, ὡς ἔχειν διὰ ταχέων ἀνίστασθαι. τῶν δὲ στοιχείων τὸ ῥῶ τῇ γλώττῃ μὴ πεφυκότα λέγειν πόνῳ προσλαβεῖν τὸ δύνασθαι. ἀλλὰ καὶ τὸν ὦμον ἐν τῷ μελετᾷν ἀπρεπῶς κινϐντα, ὀβελὸν ἐκ τῆς ὀροφῆς ἀπαρτήσαντα ἐν χρῷ τϐ σώματος ἢ (ὡς ἔνιοι) ξιφίδιον, ὡς ἂν φόβῳ τϐ παθεῖν τὴν ἠρεμίαν ἄγοι, ἀπαλλαγῆναι τϐ συμπτώματος. πρὸς δὲ τὲς τϐ δήμϐ θορύβϐς ταραττόμενος, ἵνα μὴ τϐτο πάσχοι, ἐπὶ τὸ Φαληρικὸν κατιὼν πρὸς τὲς τῶν κυμάτων ἤχϐς τὰς μελέτας ἐποιεῖτο, τῷ ἔθει τὴν φύσιν ἐπανορθϐμενος. ἀλλὰ καὶ κάτοπτρον ἑαυτῷ κατεσκευάσατο, ἴσον αὐτοῦ τῷ μεγέθει, εἰς ὃ τὰς σκέψεις ἀφορῶν ἐποιεῖτο, ἵνα εἴ τι εἴη παρημελημένον ἐν τῷ σχήματι λέγοντος, τοῦτο μανθάνων ἐπανάγοιτο πρὸς τὸ εὔσχημον. ἐνδεῶς δὲ τϐ πνεύματος ἔχοντος αὐτῷ ὥστε μηδὲ δύνασθαι τὰς μακροτέρας τῶν περιόδων ἀπνευστὶ λέγειν, Νεοπτολέμῳ τῷ ὑποκριτῇ μυρίας ἔδωκεν, ἵνα αὐτῷ συνασκήσῃ τὸν τόνον τϐ πνεύματος. καὶ τῶν λεπτῶν δὲ τρημάτων, δι' ὧν ἀναπνέοντες τὸν ἀέρα 1473R. διὰ τῆς ὑπερώας ἀναψύχομεν καὶ ὥσπερ αὔραις τισὶ τὸν θώρακα διαθερμαίνομεν καὶ τὸ λιγνυῶδες ἐκεῖθεν ἐκφέρομεν, στενωτέρων αὐτῷ παρὰ τὴν χρείαν κατεσκευασμένων, ἐπεὶ καὶ τϐτο μέγα μέρος ἐστὶ τῆς λαμπροφωνίας, εἰς τὸ εὐρύτερόν τε καὶ κατὰ φύσιν ἐπανήγαγεν, ἔλαιον μὲν ἐμβάλλων τῷ στόματι, ἀνατρέχων δὲ πρὸς τὰ τῶν χωρίων ἀνάντη· δι' ὧν τὸ ἔλαιον τῇ βίᾳ τῆς κινήσεως πρὸς τὲς μυκτῆρας ἀναῤῥοιβδϐμενον τὴν παρὰ φύσιν τῶν πόρων συνίζησιν εἰς τὴν κατὰ φύσιν ἀπεκατέστησε χρείαν.

Ἐπιδὼς δὲ αὑτὸν εἰς τὸ πολιτεύεσθαι, ἐπεὶ τὲς μὲν ἑώρα τῶν πολιτῶν φιλιππίζοντας, τοὺς δὲ πρὸς τὴν τῆς πόλεως ἐλευθερίαν δημηγορϐντας, τῆς ἀμείνονος μοίρας γίνεται, καὶ συνεπολιτεύετο Ὑπερείδῃ καὶ Ναυσικλεῖ καὶ Πολυεύκτῳ καὶ Διοτίμῳ. διὸ Θηβαίϐς μὲν Ἀθηναίοις συμμάχϐς κατέστησεν, ἀλλὰ καὶ Εὐβοεῖς καὶ Κερκυραίϐς καὶ Κορινθίϐς καὶ Βοιωτίϐς καὶ πολλὲς ἄλλϐς. ἐπεὶ δέ ποτε δημηγορῶν ἐξέπεσε τϐ θεάτρϐ καὶ ἀθυμῶν οἴκαδε ἀπῄει, Εὔνομϐς μὲν αὐτῷ ὁ Θριάσιος ἤδη πρεσβύτης ὢν κατὰ τὴν ὁδὸν συνεκύρησε, καὶ μαθὼν τῆς ἀθυμίας τὸ αἴτιον θαῤῥεῖν τε πρϐτρέψατο καὶ ἀνεκτήσατο· καὶ τότε πλέον Ἀνδρόνικος ὁ ὑποκριτής, τὲς μὲν λόγϐς εὖ ἔχειν καὶ ὡς ἄριστα φάμενος, ἐνδεῖν δὲ αὐτοῖς τὰ τῆς ὑποκρίσεως. ὁ δὲ παραδίδωσί τε ἑαυτὸν τῷ Ἀνδρονίκῳ, καὶ τὴν τῆς ὑποκρίσεως τέχνην ἐκεῖθεν ἐξήσκησε. διόπερ ἐρομένου ποτέ τινος 804 H. αὐτὸν τί πρῶτον ἐν ῥητορικῇ; ἀντεῖπεν ὑπόκρισις· καὶ τί δεύτερον; ὑπόκρισις· τί δὲ τρίτον; ὑπόκρισις, δηλῶν μέγα μέρος εἶναι τῆς ἐν τῷ δήμῳ πειθοῦς τὴν ὑπόκρισιν. ὤμνυ δέ, ὡς ὁ Φαληρεύς φησι, „μὰ γῆν, μὰ κρήνας, μὰ ποταμϐς, μὰ νάματα·" καὶ δὴ καί ποτε ὀμόσας τὲς ὅρκϐς τϐτϐς τῷ δήμῳ θόρυβον ἐνεποίησεν, ὥσπερ καὶ ἐπὶ τῷ ὀμνύναι τὸν Ἀσκληπιόν, χρώμενος τῇ φωνῇ προπαροξυτόνως. ὅμως οὖν σχολάσας τῷ Μιλησίῳ Εὐβϐλίδῃ, ὃς τῶν διαλεκτικῶν ἐδενὸς τὰ δεύτερα ἔφερεν, ἐπηνωρθώσατο πάντα ὅσα παρεῖχεν αἰτίαν ἁμαρτήματος.

Φασὶ δὲ τὸν Μακεδόνα Φίλιππον, ἐπεὶ τὰς κατ' αὐτϐ δημηγορίας τϐ Δημοσθένϐς ἐδέξατο καὶ ἀνέγνω, μέγα θαυμάσαντα εἰπεῖν ὡς „καὶ αὐτὸς ἄν, εἴπερ ἤκϐσα κατ' ἐμϐ δημηγορϐντος Δημοσθένϐς, ἐχειροτόνησα ἂν τὸν ἄνδρα πρὸς τὸν κατ' ἐμϐ πόλεμον." ἐρομένϐ δὲ αὐτόν τινος τῶν συνήθων τίνες ἂν εἶεν πιθανώτεροι καὶ δυνατώτεροι λόγοι, Δημοσθένϐς ἢ Ἰσοκράτϐς, ἔφη ὡς οἱ μὲν Δημοσθένϐς τοῖς στρατιώταις ἐοίκασι, πολεμικὴ γὰρ αὐτῶν καὶ σφοδρὰ ἡ δύναμις, οἱ δὲ Ἰσοκράτϐς τοῖς ἀθληταῖς· θεατρικὴν γὰρ αὐτὲς παρέχειν τέρψιν.

Ἐπεὶ δὲ ἡ καταδίκη φυγὴν τῆς πατρίδος ἐπέβαλε τῷ Αἰσχίνῃ, ἔφιππος καταδιώξας αὐτὸν τά τε ἄλλα παρεμυθήσατο, καὶ τάλαντον ἀργυρίϐ δέδωκε τἀναντία προσδοκῶντι Αἰσχίνῃ. καὶ γὰρ θεασάμενος αὐτὸν ὁ Αἰσχίνης ἐπελαύνοντα, καὶ συλλαβεῖν αὐτὸν ἐπὶ κακῷ νομίσας, προσέπεσέ τε καὶ συγκαλυψάμενος ἐδεῖτο σωτηρίας· ὁ δέ, καθάπερ ἔφημεν, οὐ ῥήτορι μᾶλλον ἀλλ' ἀνδρὶ πρέπον φιλοσόφῳ ἔργον εἰς αὐτὸν ἐπεδείξατο. φέρειν δὲ γενναίως Δημοσθένους ὑποτιθεμένου αὐτῷ τὴν φυγήν, „καὶ πῶς ἂν δυναίμην" Αἰσχίνης ἔφη „τοι- 1476R. αύτης ἀποστερϐμενος πόλεως, ἐν ᾗ καὶ τὲς δοκϐντας

a. 2. τὸ om A. 5. δὲ] τε B. 7. ἀπρεπῶς ἐν τῷ μελετᾷν ς. 12. πάσχῃ B. 18. ἐπανάγοι ς. 23. ἀναπνέοντες ς. 24. καὶ add B. 25. διαθερμαινόμενος ς. 29. ἀνατρέχων δὲ] ἀνατρέχον A. 31. ἀναῤῥυβδούμενον A. 33. ἀποκατέστησε B. 34. δ' ἑαυτὸν B. 36. ἀμείνονος mg: libri ἀμείνω. 37. Ὑπερίδῃ B. 39. κατέστησαν A. 40. Βοιωτίους ς. b. 2. πρεσβύτερος A. 7. αὐτὸν ς. 12. ὤμνυε ς. 14. θόρυβον τῷ δήμῳ B. 17. Εὐβουλίδῃ ς. 27. πορικὴ A. 28. σφόδρα ς. 39. Δημοσθένης vulgo post φυγὴν ponunt.

ἐχθροὺς εἶναι τῶν ἀλλαχόθι φίλων χρηστότητι καὶ καλοκαγαθίᾳ εὑρεῖν ἔστι διαφέροντας;"

Σιτώνης μέντοι γε καταστὰς ὁ Δημοσθένης καὶ κλοπῆς αἰτιαθεὶς ἀπελύθη. Φιλίππου μέντοι τὴν Ἐλάτειαν καταλαμβάνοντος, τοῖς ἐν Χαιρωνείᾳ καὶ αὐτὸς συνεστρατεύσατο μαχεσαμένοις· ἐν ᾗ καὶ λιπὼν ἐφάνη τὴν τάξιν. ἐπεὶ δὲ φεύγοντος αὐτοῦ τὸ φυτὸν ὁ βάτος ἐπελάβετο τῆς χλαμύδος, ἐπιστραφέντα λοιδορεῖσθαι εἰπεῖν „ζώγρει." ἡ δὲ ἀσπὶς αὐτοῦ ἐπίσημον ἔφερε τὴν Τύχην. τοὺς πεπτωκότας δὲ ἐν τῇ μάχῃ ἐκόσμησεν ἐπιταφίῳ, τῆς μὲν συμβάσης τύχης ἴσως οὐδὲν ἐνδεέστερον, τῆς δ' ἄλλης αὐτοῦ περὶ λόγους δυνάμεως οὐκ ὀλίγῳ ἐνδεέστερον. εἶτα τὰ τῆς πόλεως ἐπεσκεύασε τείχη· ἐπιμελητὴς δὲ τούτων καταστὰς ἀπὸ τῆς ἰδίας οὐσίας κατεβάλετο τὸ ἀνάλωμα, ἀργυρίου μνᾶς ἑκατόν. καὶ θεωροῖς δὲ μυρίας ἐπέδωκεν. ἀλλὰ καὶ τριήρους ἐπιβάς,
805 H. τοὺς συμμάχους ἀργυρολογῶν περιέπλευσεν. ἐφ' οἷς καὶ χρυσῷ πολλάκις ἐστεφανώθη στεφάνῳ, τὰ πρῶτα μὲν ὑπὸ Δημοτέλους καὶ Ἀριστονίκου καὶ Ὑπερείδου, τελευταῖον δὲ ὑπὸ Κτησιφῶντος. γραφέντος δὲ τοῦ ὑστέρου ψηφίσματος παρανόμων ὑπὸ Διοδότου καὶ Αἰσχίνου, εἰς ἀπολογίαν καταστὰς ἐνίκησε.

Χρόνῳ δὲ ὕστερον ἐπὶ τὴν Ἀσίαν Ἀλεξάνδρου διαβεβηκότος, καὶ φυγόντος Ἀθήναζε μετὰ χρημάτων Ἁρπάλου, τὰ μὲν πρῶτα δημηγορῶν οὐκ εἴα τὸν ἄνδρα παραδέχεσθαι, ἐπεὶ δὲ εἰσέπλευσε, Δαρεικοὺς χιλίους (ὥς φασι) λαβὼν πρὸς τοὺς ὑπὲρ αὐτοῦ λέγοντας μετετάξατο, καὶ βουλομένων Ἀθηναίων Ἀντιπάτρῳ προδοῦναι τὸν ἄνθρωπον ἀντεῖπεν, τά τε Ἁρπάλεια χρήματα εἰς ἀκρόπολιν ἔγραψεν ἀποθέσθαι, μηδὲ τῷ δήμῳ τὸν ἀριθμὸν αὐτῶν ἀποσημηνάμενος. λέγοντος δὲ Ἁρπάλου ψ' συγκατακομίσαι τάλαντα, τὰ ἀνενεχθέντα εἰς τὴν ἀκρόπολιν η' καὶ τ' ἢ ὀλίγῳ πλείονα εὑρέθη. φυγόντος δὲ ἐκ τοῦ δεσμωτηρίου Ἁρπάλου, οἱ μὲν εἰς Κρήτην φασίν, οἱ δὲ εἰς Ταίναρον τῆς Λακωνικῆς, δωροδοκίας αἰτίαν παρέσχεν ὁ Δημοσθένης. ἐπὶ ταύτῃ δὲ καταστὰς εἰς κρίσιν ὑπὸ Ὑπερείδου Πυθέου Μενεσαίχμου Ἱμεραίου καὶ Προκλέους, οἳ καὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν κατεσκεύασαν αὐτοῦ καταγνῶναι, ἑάλω, καὶ ἁλοὺς ἔφυγε, μὴ δυνάμενος ἀποτῖσαι πενταπλάσια· ᾐτιῶντο δὲ αὐτὸν δωροδοκίας τάλαντα λ'. ἔστι δὲ καὶ ἄλλος λόγος, ὃς οὐδὲ τὴν κρίσιν αὐτὸν ὑπομεῖναι λέγει, ἀλλὰ φυγεῖν τῶν μελλόντων κρίνειν αὐτὸν παρασκευαζομένων. χρόνῳ δὲ ὕστερον ὀλίγῳ Πολύευκτον ἔπεμψαν Ἀθηναῖοι πρὸς τὸ κοινὸν πρεσβεύσασθαι τῶν Ἀρκάδων, ἐφ' ᾧ αὐτοὺς ἀποστῆναι τῆς τῶν Μακεδόνων συμμαχίας. μηδὲν δὲ ἀνύοντος τοῦ Πολυεύκτου ἐπιφανεὶς Δημοσθένης καὶ συνειπὼν ἔπεισε. διὸ καὶ θαυμασθέντα τῇ πράξει παρὰ τῶν Ἀθηναίων καθόδου τυχεῖν αὐτόν, ψηφίσματός τε γραφέντος καὶ τριήρους ἀποσταλείσης. ἐψηφίσαντο δὲ καὶ ἀντὶ τῶν λ' ταλάντων, ἃ ὤφειλε, τὸν τοῦ Διὸς βωμὸν τὸν ἐν Πειραιεῖ ἐπισκευάσασθαι. καὶ ἦν πάλιν κατὰ τὸ πρότερον πολιτευόμενος.

"Ἐπεὶ δὲ Ἀντίπατρος Φάρσαλον μὲν ἀνεῖλεν, ἠπεί- 1477 R.
λει δὲ πολιορκήσειν τοὺς Ἀθηναίους, εἰ μὴ παραδοῖεν αὐτῷ τοὺς ῥήτορας, καταλιπὼν ὁ ῥήτωρ τὴν μηδ' ἑαυτὴν δυναμένην σῶσαι πόλιν ἔφυγε. καὶ πρῶτον μὲν Αἰγίνῃ ἐπέστη, εἶτα κἀκεῖ τὴν ὀργὴν Φιλίππου δεδιὼς εἰς Καλαβρίαν μετέστη. ψῆφον δὲ θεμένων Ἀθηναίων ἐκδοῦναι τοὺς ῥήτορας, ἱκέτης ἐν τῷ τοῦ Ποσειδῶνος προσήδρευεν ἱερῷ. Ἀρχίου δὲ τοῦ ἐπίκλην φυγαδοθήρα προσελθόντος αὐτῷ, καὶ πείθειν ἐπιχειροῦντος ἀνίστασθαί τε τοῦ ἱεροῦ καὶ χρηστὰς ἐλπίδας ἔχειν ἐπ' Ἀντιπάτρῳ, „ἀλλ' ὦ βέλτιστε" εἶπεν „οὔτε τραγῳδῶν ἔπεισάς με, οὔτε νῦν συμβουλεύων πείσεις." ἐπιχειροῦντος δὲ αὐτὸν βιάζεσθαι, οἱ τῆς πόλεως αὐτὸν ἐπέσχον. καὶ ὁ Δημοσθένης μάλα γενναίως καὶ φαιδρῶς ἔφη „οὐ σωτηρίας δεόμενος κατέφυγον εἰς Καλαβρίαν, ἀλλ' ἐλέγξαι Μακεδόνας βουλόμενος ὡς καὶ τὰ τῶν θεῶν εἰσὶ βιάσασθαι
806 H. παλαμναῖοι." καὶ γραμματεῖον αἰτήσας γράψαι λέγεται τὸ ἐπὶ τῆς εἰκόνος αὐτοῦ ἐλεγεῖον, ὅπερ ὕστερον ὑπὸ τῶν Ἀθηναίων ἐνεκολάφθη,

εἴπερ ἴσην γνώμῃ ῥώμην Δημόσθενες εἶχες,
οὔ ποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

ἀλλὰ τοῦτο μὲν Δημήτριος ὁ Μάγνης λέγει· εἰσὶ δὲ οἵ φασι τὸ γραμματεῖον εὑρεθῆναι γράφον ἕτερον οὐδὲν πλὴν ὅτι Δημοσθένης Ἀντιπάτρῳ χαίρειν. ἀποθανεῖν δὲ τὸν ῥήτορά φασιν οἱ μὲν φάρμακον ἐκπιόντα, οἱ δὲ γευσάμενον τοῦ ἐν τῷ καλάμῳ φαρμάκου καὶ γὰρ παρεσκεύαστο δι' οὗ τὴν ἐπιστολὴν ἔγραφεν. ἄλλοι δὲ κρίκον αὐτοῦ τῷ βραχίονι περιάπτουσιν, ἐν ᾧ τὸ φάρμακον ἐναπέκειτο. καὶ σχόντα δὲ αὐτοῦ τὸ πνεῦμα ἄλλος λόγος ἀποθανεῖν λέγει, ὥσπερ ἄλλος διὰ τοῦ

a 14. κατεβάλλετο ς. 22. καταστὰς] ἀποκαταστὰς A. 25. τὰ μὲν πρῶτα δημηγορῶν om B. 28. προδοῦναι] immo παραδοῦναι. 29. ἀνεῖπεν ς. Ἁρπάλια ς. 31. ἐπισημηνάμενος A. 37. Πυθέου B: Πυθαίου ς. 42. αὐτὸν B: αὐτῶν ς. b. 17. αἰγίνῃ B: αἰγίνης ς. Φιλίππου] Ισ. Ἀντιπάτρου Stephanus. 18. καλαβρίαν B, καλάμβριαν A. 32. ῥώμην γνώμῃ A. 34. Μάγνης Leichius: libri μάγνος. 35. ἕτερον μὲν οὐδὲν ς.

φαρμάκου ὃ τῇ σφενδόνῃ τοῦ δακτυλίου ἐναπετεθησαύριστο. ἐβίω δέ, ὡς μὲν οἱ τὰ πλείω λέγουσιν, ἔτη ο', ὡς δ' οἱ τὰ ἐλάττω, ζ' καὶ ξ'. ἐπολιτεύσατο δὲ β' καὶ κ' ἔτη. κατέλιπε δὲ δύο παῖδας ἐκ μιᾶς γυναικὸς τῶν ἐπιφανῶν. ἔστι δὲ αὐτοῦ εἰκὼν ἐν τῷ πρυτανείῳ περιεζωσμένη ξίφος. οὕτω γὰρ αὐτὸν σκευασάμενον δημηγορῆσαι λέγεται κατὰ Ἀντιπάτρου, ὅτε τοὺς ῥήτορας λαβεῖν ἐξ Ἀθηνῶν ἐβιάζετο. χρόνῳ μέντοι ὕστερον σίτησιν ἡ πόλις ἐν τῷ πρυτανείῳ τοῖς τοῦ ῥήτορος συγγενέσιν ἐδωρήσατο, καὶ ἄλλαις τιμαῖς ἐτίμησαν τελευτήσαντα, καὶ τὴν εἰκόνα ἀνέθεσαν ἐν τῇ ἀγορᾷ.

Φέρονται δὲ αὐτοῦ ἀποφθέγματα πλεῖστα καὶ γνωμολογίαι, ἅπερ αὐτὸς μὲν ἑκάστοτε πρὸς τὴν ἀνακύπτουσαν χρείαν ἁρμοττόμενος ἔλεγεν, οἱ δὲ ἀκούοντες μνήμῃ τε καὶ γραφῇ διεσώσαντο. οὗτός ποτε κωλυόμενος ὑπ' Ἀθηναίων ἐν ἐκκλησίᾳ λέγειν βραχύ τι προσδιαλεχθῆναι αὐτοῖς ἔφη βούλεσθαι. τῶν δὲ δεξαμένων „νεανίας τις" ἔφησεν „ὥρᾳ θέρους ἐξ ἄστεος ὄνον ἐμισθώσατο Μεγαράδε. τῆς δὲ φλογὸς κατὰ τὸ μέσον τῆς ἡμέρας ἐπὶ πλέον ἀναπτομένης, ἑκάτερος αὐτῶν ἔσπευδεν ὑπὸ τὴν τοῦ ὄνου γενέσθαι σκιάν, ὁ μὲν λέγων μεμισθωκέναι τὸν ὄνον ἀλλ' οὐκ ἐν σκιᾷ, ὁ δὲ μεμισθωμένος, ἕως ἂν αὐτὸν κύριον τοῦ σώματος ἀποφαίνῃ τὸ μίσθωμα, καὶ τὴν ἄλλην ἔχειν ἐξουσίαν τῶν συμβαινόντων διὰ τοῦ σώματος." καὶ ταῦτα εἰπὼν ἀπῄει, ὀργάσας αὐτῶν τὰς ἀκοὰς πρὸς τὴν τῶν λοιπῶν διή-
1480 R. γησιν ἀπολιπών. "ἐπισχόντων δὲ αὐτὸν Ἀθηναίων καὶ πέρας ἐπιθεῖναι τῷ λόγῳ δεομένων, ὑπολαβὼν „εἶτα" ἔφη „ὑπὲρ μὲν ὄνου σκιᾶς βούλεσθε ἀκούειν, ὑπὲρ δὲ σπουδαίων πραγμάτων καὶ συμφερόντων τῇ πόλει οὐ βούλεσθε;"

Βάταλον δὲ ὀνομασθῆναι οἱ μὲν αὐτόν φασι, διότι νέος ὢν καὶ κωμάζων γυναικείοις ἐσθήμασιν ἀπεκέχρητο· οἱ δὲ ὑποκοριστικῶς αὐτὸν ἐπικληθῆναι τοῦτο ἀπὸ τοῦ ὀνόματος τῆς τροφοῦ λέγουσι λοιδορούμενοι. ἕτεροι δέ φασιν (οἷς καὶ Λιβάνιος ὁ σοφιστὴς ἠκολούθησεν) ὡς
807 H. νέος "ὢν ἀσθενῶς διέκειτο τῷ σώματι καὶ νοσώδης ἦν· διὸ μηδὲ φοιτᾶν εἰς παλαίστραν, ὡς πάντες οἱ τῶν Ἀθηναίων παῖδες εἰώθεσαν· διὰ τοῦτο καὶ ἀνδρωθεὶς εἰς μαλακίαν ὑπὸ τῶν ἐχθρῶν ἐσκώπτετο καὶ Βάταλος ἐπωνομάζετο. ἱστορεῖται γάρ τις Ἐφέσιος Βάταλος αὐλητὴς γενέσθαι, ὃς πρῶτος ὑποδήμασι γυναικείοις ἐπὶ τῆς σκηνῆς ἐχρήσατο καὶ μέλεσι κατεαγόσι, καὶ ὅλως τὴν τέχνην ἐμαλάκισεν· ἀφ' οὗ τοὺς ἐκλύτους καὶ ἀνάνδρους Βατάλους ἐπονομάζουσιν.

## 266.

Ἀνεγνώσθησαν ὙΠΕΡΕΙΔΟΥ λόγοι διάφοροι. τούτων οἱ μὲν εἰς τὸ τοῦ ῥήτορος ἀναφερόμενοι γνήσιον β' καὶ ν' εἰσιν, οἱ δὲ παρασχόντες ἀμφισβήτησιν ε' καὶ κ'· τὸ γὰρ ὅλον αὐτῶν πλήρωμα εἰς ζ' συντείνει καὶ ο'. ἄριστος δὲ γέγονεν ἐν ταῖς τῶν λόγων ἐργασίαις, ὡς τισὶ μὲν ἀμφισβήτησιν παρασχεῖν πότερον ὁ Δημοσθένης κατὰ τοὺς λόγους ἐκείνου προέχει, ἢ Δημοσθένους ὁ Ὑπερείδης· εἰσὶ δὲ οἳ καὶ τὴν νικῶσαν ἔθεντο ψῆφον Ὑπερείδῃ. ἀλλὰ καὶ τὸ ἐπίγραμμα, ὃ τινες ἐγγράφουσι τῇ τοῦ Δημοσθένους στήλῃ, εἰς ἐκεῖνον μεταφέρουσι, τὸ ὄνομα μόνον ἀμειψάμενοι· γράφουσι γὰρ

εἴπερ ἴσην γνώμῃ ῥώμην Ὑπερείδης εἶχεν,
οὔ ποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

Οὗτος δὲ ὁ Ὑπερείδης παῖς μὲν γέγονε Γλαυκίππου τοῦ Διονυσίου, Κολλυτεὺς δὲ τὸν δῆμον· ἔσχε δὲ καὶ ὁμώνυμον υἱὸν τῷ πατρὶ Γλαύκιππον ῥήτορα, ὃς καὶ λόγους συνεγράψατο. Πλάτωνος δὲ τοῦ φιλοσόφου ἠκροάσατο, καὶ δὴ καὶ Ἰσοκράτους. ἐπολιτεύσατο δὲ Ἀθήνησιν, ὅτε Ἀλέξανδρος ὁ Μακεδὼν τῶν Ἑλληνικῶν ἥπτετο πραγμάτων, καὶ δείκνυται ἀντειπὼν αὐτοῦ τῇ αἰτήσει, ἥτις τοὺς στρατηγοὺς τῶν Ἀθηναίων καὶ τὰς τριήρεις ἀπῄτει. συνεβούλευσε δὲ τοῖς Ἀθηναίοις καὶ τὸ ἐπὶ Ταίναρον ξενικὸν διαλῦσαι. ἔγραψε δὲ καὶ Δημοσθένει τιμάς, καὶ γραφέντος ὑπὸ τοῦ Διοδότου παρανόμων τοῦ ψηφίσματος ἀπέφυγε. φίλος δὲ τοῖς περὶ Δημοσθένην καὶ Λυσικλέα καὶ Λυκοῦργον γεγονὼς οὐ μέχρι τέλους τὴν φιλίαν συνετήρησεν, ἀλλ' ἐπεὶ Λυσικλέα μὲν καὶ Λυκοῦργον ὁ βίος ἀπέλιπε, Δημοσθένης δὲ εἰς κρίσιν ἤγετο ὡς παρὰ Ἁρπάλου δωροδοκήσας, ἐξ ἁπάντων αὐτὸς κατήγορος προεχειρίσθη τοῦ ῥήτορος. κριθεὶς δὲ παρανόμων ὑπὸ τοῦ Ἀριστογείτονος, διότι μετὰ τὴν Χαιρώνειαν τοὺς μετοίκους πολίτας ἔγραψε ποιήσασθαι, ἐλευθέρους δὲ τοὺς δούλους, ἱερὰ δὲ καὶ παῖδας καὶ γυναῖκας εἰς τὸν Πειραιᾶ παραθέσθαι, κἀνταῦθα κρείττων τοῦ δοῦναι δίκην ἐγένετο. αἰτιωμένων δὲ αὐτὸν οὐκ ὀλίγων ὡς πολλοὺς τῶν νόμων ἐν τῷ ψηφίσματι παριδόντα, „ἐπισκότει γάρ μοι τὰ Μακεδόνων" ἔλεγεν „ὅπλα· καὶ οὐκ ἐγὼ μᾶλλον τὸ ψήφισμα, ἀλλ' ἡ ἐν Χαιρωνείᾳ μάχη ἔγραψε." "πρότερον δὲ μήπω δημή- 1481 R.
γορος "αἱρεθεὶς Ἀθηναίοις μισθοῦ δίκας ἔλεγε. δόξας 808 H.
δὲ τῶν Περσικῶν μετεσχηκέναι χρημάτων Ἐφιάλτη, εἶτα τριήραρχος αἱρεθείς, ὅτε Φίλιππος ἐπολιόρκει Βυζάντιον, καὶ βοηθήσας προθύμως Βυζαντίοις, ὑπέστη

a. 16. προσδιαλεχθῆναι ς. 21. ὑπὸ] ἐπὶ B. 44. ἐπωνόμαζον B.
b. 2. ἀνεγνώσθη A. 13. ῥώμην γνώμῃ A. 16. κολλυτεύς AB· κολυτεὺς ς. 30. δωροδοκηθεὶς B.

χορηγῆσαι κατὰ τὸν ἐνιαυτὸν τοῦτον, τῶν ἄλλων ἁπάσης λειτουργίας ἀφειμένων. ἐψηφίσατο δ' ἔτος πολιτευόμενος καὶ τιμὰς Ἰόλᾳ, ὃς Ἀλεξάνδρῳ τὸ δηλητήριον ἐκεράσατο φάρμακον. ἐκοινώνησε δὲ καὶ τοῦ Λαμιακοῦ πολέμου τῷ Δημοσθένει, καὶ ἐπὶ τοῖς ἐν τῇ μάχῃ πεσοῦσιν ἐπιτάφιον εἶπεν, πολλῶν ἐπὶ τούτῳ θαῦμα καὶ ἔπαινον καρπωσάμενος. Φιλίππου δὲ πλεῖν ἐπ' Εὐβοίας παρεσκευασμένου, καὶ τῶν Ἀθηναίων εὐλαβῶς διακειμένων, τριήρεις ἤθροισεν ἔτος μ' ἐξ ἐπιδόσεως, καὶ πρὸ τῶν ἄλλων αὐτὸς ὑπέρ τε αὐτοῦ καὶ τοῦ παιδὸς β' τριήρεις ἐπέδωκε. συστάντος δὲ τοῦ πρὸς Δηλίους ἀμφισβητήματος, ποτέρους δεῖ προΐστασθαι τοῦ ἱεροῦ, ᾑρέθη μὲν Αἰσχίνης συνειπεῖν, ἡ δὲ ἐξ Ἀρείου πάγου βουλὴ Ὑπερείδην προεστήσατο· καὶ ἔστιν ὁ λόγος τὴν ἐπιγραφὴν Δηλιακὸς ἐπιφερόμενος. ἡκόντων δὲ καὶ παρὰ Ἀντιπάτρου πρέσβεων, καὶ δι' ἐπαίνου τὸν Ἀντίπατρον ποιουμένων καὶ πολλὴν ἐπιμαρτυρομένων χρηστότητα, „οἶδα μὲν" εἶπεν „ὡς χρηστὸς ὁ Ἀντίπατρος, ἀλλ' ἡμεῖς γε οὐ δεόμεθα χρηστοῦ δεσπότου." γραψάμενος μέντοι γε τὴν Φωκίωνος δωρεάν, ἣν εἶπε Μειδίας Μειδίου Ἀναγυράσιος, κατὰ τοῦτον τὸν ἀγῶνα τὸ ἔλαττον ἤνεγκε. συμβάντος δὲ τοῦ περὶ Κράνωνα πάθους ἐξαιτηθεὶς ὑπὸ Ἀντιπάτρου, ἐπεὶ ἔμελλεν αὐτὸν ὁ δῆμος ἐκδιδόναι, τῆς Ἀθηναίων πόλεως εἰς Αἴγιναν ἀποφεύγει. καὶ συγγεγονὼς Δημοσθένει, καὶ ἀπολογησάμενος ὑπὲρ ὧν πρὸς αὐτὸν διηνέχθη, ἀπαλλαγεὶς ἐκεῖθεν ὑπ' Ἀρχίου τοῦ ἐπονομασθέντος φυγαδοθήρα ἐν αὐτῷ τῷ τοῦ Ποσειδῶνος ἱερῷ συνελήφθη, καίτοι καὶ τοῦ ἀγάλματος ἐχόμενος. ἐντεῦθεν πρὸς Ἀντίπατρον ἀχθεὶς ἐν Κορίνθῳ διατρίβοντα, καὶ βασανιζόμενος ἐφ' ᾧ τὰ ἀπόῤῥητα τῆς πόλεως ἐξειπεῖν, ἐπὶ τοσοῦτον ἠνδρίσατο μηδὲν κατὰ τῆς πατρίδος ἐξειπεῖν, ὥστε καὶ τὴν γλῶσσαν διαφαγών, ἵνα μὴ ἄκων τι παραφθέγξηται, μετήλλαξε τὸν βίον. εἰσὶ δὲ οἵ φασιν αὐτὸν εἰς Μακεδονίαν ἀχθέντα τήν τε τῆς γλώττης ἐκτομὴν ὑποστῆναι καὶ μετὰ θάνατον ἄταφον ῥιφῆναι· πλὴν οἵ γε προσήκοντες αὐτῷ, παρὰ τὸ δόγμα τῶν Μακεδόνων, καύσαντες τὰ ὀστοῦ εἰς Ἀθήνας μετεκόμισαν.

267.

Ἀνεγνώσθησαν ΔΕΙΝΑΡΧΟΥ λόγοι διάφοροι. φέρονται δὲ αὐτοῦ δ' καὶ ξ', οὓς οἱ πλεῖστοι τῶν κριτικῶν γνησίους τιθέασιν· εἰσὶ δὲ οἵ τινας ἐξ αὐτῶν εἰς Ἀριστογείτονα Ὑπερείδῃ συνακμάσαντα μεταφέρουσιν. οἱ δὲ λόγοι αὐτοῦ τοῖς μὲν τοῦ Ὑπερείδου ἰδιώμασιν ἔσθ' ὅτε διαμορφοῦνται, μᾶλλον δὲ πρὸς Δημοσθένην ἀποκεκλικότες φαίνονται, ἐν οἷς τὸ παθητικὸν αὐτοῦ καὶ σφοδρὸν καὶ τῶν σχημάτων τὸν τύπον καὶ τὴν ποικιλίαν σπουδὴν ἔχον ἐκμιμήσασθαι. 309 H.

Οὗτος υἱὸς μὲν ἦν Σωκράτους ἢ Σωστράτου, Ἀθηναῖος τὴν πατρίδα, ὡς δ' ἄλλοις ἐῤῥέθη, Κορίνθιος. ἀφικόμενος δὲ εἰς Ἀθήνας ἔτι νέος ὢν Θεοφράστου 494 R. ἠκροάσατο· Ἀλέξανδρος δὲ τηνικαῦτα ἐπὶ τὴν Ἀσίαν διέβαινεν. ὁμιλητὴς δὲ καθέστηκε Δημητρίου τοῦ Φαληρέως. μετὰ δὲ τὴν Ἀντιπάτρου τελευτήν, ἐπεὶ τῶν ῥητόρων οἱ μὲν ἔφυγον οἱ δὲ ἀνῃρέθησαν, αὐτὸς ἐδείχθη πολιτευόμενος. εἰς φιλίαν δὲ Κασάνδρῳ τῷ Μακεδόνων ἡγεμόνι συνάψας, καὶ χρήματα τῶν λόγων εἰσπραττόμενος οὓς τοῖς δεομένοις συνέταττεν, ἐπὶ πλεῖστον εὐδαιμονίας ἀφίκετο. ἀντετάττετο δὲ πρὸς τοὺς ῥήτορας οὐκ εἰς τὸν δῆμον αὐτὸς παριών (οὐ γὰρ οἷός τε ἦν), τοῖς ἐναντιουμένοις δὲ τοὺς λόγους παρεχόμενος. διὸ καὶ Ἁρπάλου διαφυγόντος ἐξ Ἀθηνῶν πλείστους λόγους τοῖς κατηγόροις ἐξέδωκε κατὰ τῶν δωροδοκῆσαι λαβόντων αἰτίαν. χρόνῳ δὲ ὕστερον ἐμπεσὼν εἰς αἰτίαν ὡς Κασάνδρῳ κοινολογεῖται κατὰ τῆς πόλεως, τὰ πλεῖστα τῆς περιουσίας εἰς ἀργύριον μεταβαλὼν ἔφυγεν εἰς Χαλκίδα. ἐπὶ δὲ τῆς φυγῆς διαμείνας ἐγγὺς ἔτη δέκα πέντε, καὶ πολλὴν οὐσίαν περιβαλόμενος, πραξάντων αὐτῷ τὴν κάθοδον τῶν περὶ Θεόφραστον συγκατῆλθεν ἅμα τοῖς ἄλλοις φυγάσι. παρὰ δὲ Προξένῳ τῷ αὐτοῦ καταλύσας ἑταίρῳ, καὶ τὸ χρυσίον ἀπολωλεκώς, ἤδη γηραιὸς ὢν καὶ τὰς ὁράσεις ἀσθενὴς λαγχάνει τῷ Προξένῳ δίκην, καὶ τότε πρῶτον ὤφθη λέγων ἐν δικαστηρίῳ· φέρεται δὲ αὐτοῦ καὶ ὁ κατὰ Προξένου λόγος.

Τῶν μὲν οὖν θ' ῥητόρων οἱ λόγοι, ὧν ἐποιησάμεθα τὴν ἀνάγνωσιν, ἐν τούτοις περιγράφεται ἡ μνήμη.

268.

ΛΥΚΟΥΡΓΟΥ δὲ οὐδενὸς τῶν ἄλλων, ὅσοι γε τελεῖν εἰς ῥήτορας καὶ δημαγωγούς, τὸ ἔλαττον φερομένου οὔπω παρέσχεν ἡμῖν ὁ χρόνος λόγους ἀναγνῶναι, φέρεσθαι δὲ αὐτοῦ ἐξ ἱστορίας ιε' μεμαθήκαμεν. ἔτος δὲ

a. 5. λαμιακοῦ ego: libri λαβαϊκοῦ. 6. τούτῳ B et corr A: τοῦτο ς. 9. οὗτος ἤθροισεν B. 11. συστάντος] στάντος B. 16. πρεσβευτῶν B. 17. οἶδα μὲν] οἴδαμεν B. 20. μηδίας μηδίου A. 28. καίτοι add A. 31. τοσοῦτο A. 32. εἰπεῖν A. 33. ἄκον ς. 40. ἀνεγνώσθη A.
b. 7. ἔσχον] ἔχων A. 20. ἐναντίοις B. 27. περιβαλόμενος B: περιβαλλόμενος ς. 35. οὖν om B.

Digitized by Google

υἱὸς μὲν ἦν Λυκόφρονος τοῦ Λυκούργου, ὃν ἡ τῶν λ' τυραννὶς ἀνεῖλε, τὸν δῆμον Ἐτεοβουτάδης· ἠκροάσατο δὲ τὰ μὲν πρῶτα (ὡς ἡ ἱστορία λέγει) Πλάτωνος τοῦ φιλοσόφου, ἔπειτα δὲ καὶ τοῦ ῥήτορος Ἰσοκράτους. ἐπολιτεύσατο δὲ καὶ λέγων καὶ πράττων ἐπιφανῶς, καὶ τὰ τῆς πόλεως χρήματα διοικεῖν καταπιστευθεὶς ἐπὶ γ' πενταετηρίδας κατὰ τὸ ἄριστον ταῦτα καὶ φιλοπονώτατον, ταλάντων μυρίων ὄντα καὶ τετρακισχιλίων, διῳκήσατο. χειροτονηθεὶς δὲ ἐπὶ τὴν τοῦ πολέμου παρασκευὴν ἄλλα τε πολλὰ τῆς πόλεως κατεῤῥυηκότα ἐπανέλαβε, καὶ τριήρεις τῷ δήμῳ υ' παρεσκεύασε. πολλὰ δὲ καὶ τῶν ἔργων ἡμιτελῆ παρειληφὼς εἰς τέλος προήνεγκε, νεώς τε οἴκους ἐδείματο, καὶ τὴν σκευοθήκην ἐπεσκευάσατο, καὶ τῷ παναθηναϊκῷ σταδίῳ τὴν κρηπῖδα ὑπεβάλετο. ἐπιστεύθη δὲ καὶ τοῦ ἄστεος
310 H. τὴν ἐπιμέλειαν, καὶ μὴν καὶ τῶν κακούργων τὴν ἀνεύρεσίν τε καὶ σύλληψιν· καὶ οὕτως ἐκάθηρε τὴν πόλιν τῶν κακούργων, ἐξελάσας ἅπαντας, ὡς καὶ παρ' ἐνίοις τῶν σοφιστῶν λέγεσθαι ὅτι μὴ μέλανι Λυκοῦργος ἀλλὰ τῷ θανάτῳ χρίων τὸν κάλαμον τὰ κατὰ τῶν πονηρῶν ψηφίσματα ἔγραψε. τοσοῦτον δὲ πόθον αὐτοῦ καὶ αἰδῶ τοῖς Ἀθηναίοις ἐνεποίησε πολιτευόμενος, ὡς αἰτήσαντος αὐτὸν Ἀλεξάνδρου τοῦ βασιλέως, ὥσπερ καὶ τοὺς ἄλλους, ὁ δῆμος οὐ προήκατο. ἐπρέσβευσε δὲ καὶ πρὸς διαφόρους πόλεις καὶ μετὰ Δημοσθένους εἰς Πελοπόννησον. καὶ διετέλεσε τὸν τοῦ βίου χρόνον εὐδοκιμῶν καὶ δίκαιος εἶναι παρ' Ἀθηναίοις νομιζόμενος·
1485 R. διὸ καὶ τὸ λόγον τινὰ προενεγκεῖν ἐν τοῖς δικαστηρίοις ὑπὲρ ὁτουοῦν μεγάλη τῷ συναγορευθέντι βοήθεια ἐγίνετο. ἐποιήσατο δὲ καὶ νόμων εἰσφορὰς διαφόρων· ὧν ἐστὶ πέμπτος, ὃς οὐκ ἐᾷ τὰς γυναῖκας Ἐλευσῖνάδε ἐπὶ ζεύγους ὀχουμένας ἀφικνεῖσθαι, ὡς ἂν αἱ δημοτικαὶ μὴ ὦσιν ὑπὸ τῶν πλουσίων ἐλαττούμεναι.

Ξενοκράτει δέ ποτε τῷ φιλοσόφῳ τὰς χεῖρας ἐπιβαλόντος τελώνου, καὶ πρὸς τὸ μετοίκιον αὐτὸν ἄγοντος, συναντήσας τὸν μὲν φιλόσοφον ἀπέλυσε, τὴν δὲ κεφαλὴν τοῦ τελώνου ῥάβδῳ παίσας, ἅτε δὴ κατὰ τοῦ πρέποντος ἀποθρασυνομένου, δεσμωτήριον οἰκεῖν παραδέδωκε, καὶ πολλῶν ἐπαίνων ἐπὶ ταύτῃ τῇ πράξει τετύχηκε. διὸ καὶ μεθ' ἡμέρας τινὰς τοῖς παισὶ τοῦ Λυκούργου Ξενοκράτης συντυχὼν „ταχύ γε" ἔφη „τῷ πατρὶ ὑμῶν, ὦ παῖδες, ἀποδέδωκα τὴν χάριν· ἐπαινεῖται γὰρ ὑπὸ τῶν πλειόνων, ὅτι μοι γέγονε βοηθὸς προπηλακιζομένῳ."

Ἓν δὲ ἱμάτιον περιεβάλλετο θέρους τε καὶ χειμῶνος, καίτοι τῶν τῆς πόλεως εὐπόρων οὐδενὸς ἐλαττούμενος. ἀλλὰ καὶ ἀνυπόδετος τὰ πολλὰ διῆγεν, εἰ μὴ τὸ πρέπον αὐτὸν ἐβιάζετο πρὸς τὴν τῶν ὑποδημάτων κατελθεῖν χρείαν. οὐκ εὖ δὲ πεφυκὼς πρὸς τὰ αὐτοσχέδια νυκτὸς καὶ ἡμέρας ἐμελέτα, τὸ ἐνδέον τῇ φύσει ἀναπληρῶν τοῖς πόνοις. καὶ τὸ κλινίδιον δὲ αὐτῷ, ἐφ' ᾧ ἐκάθευδε, κῳδίῳ μόνῳ καὶ προσκεφαλαίῳ ἐστρώννυτο, ὡς ἂν ῥᾳδίως ἀνιστάμενος τοῦ ὕπνου μελετῴη. καὶ παῤῥησιαστὴς δὲ διὰ τὴν εὐγένειαν ὑπῆρχε· διὸ καὶ Ἀθηναίων ποτὲ δημηγοροῦντος αὐτοῦ μὴ ἀνεχομένων εἰς ἐπήκοον ἀνέκραγε πάντων „ὦ Κερκυραία μάστιξ, ὡς πολλῶν ταλάντων εἶ ἀξία." μέλλων δὲ τελευτᾷν εἰς τὸ μητρῷον καὶ τὸ βουλευτήριον προστάξας ἐκομίσθη, εὐθύνας δοῦναι τῶν πολιτευμάτων βουλόμενος. οὐδενὸς δὲ κατηγορήσαντος πλὴν Μενεσαίχμου, τῶν διαβολῶν ὑπέρτερος φανεὶς εἰς τὴν οἰκίαν ἀπεκομίσθη καὶ ἐτελεύτησεν. οὐκ ἐν τούτῳ δὲ μόνον τῷ ἀγῶνι τὴν νικῶσαν ἔσχεν, ἀλλὰ καὶ πολλάκις κατηγορηθεὶς καὶ τὰς αἰτίας εὖ μάλα διαλυσάμενος ἐκράτησε τῶν ἀνταγωνιστῶν· πολλάκις δὲ καὶ στεφάνων ἠξιώθη παρὰ τοῦ δήμου.

Κατέλιπε δὲ καὶ παῖδας ἐκ Καλλιστοῦς Ἄβρωνα, Λυκοῦργον, Λυκόφρονα· οὓς καὶ τελευτήσαντος Λυκούργου οἱ ἀγνώμονες Ἀθηναῖοι τοῖς ἕνδεκα παρέδωκαν, 311 H.
Μενεσαίχμου μὲν κατηγορήσαντος, γραψαμένου δὲ Θρασυκλέους. ὕστερον μέντοι τούτους ἠθῴωσαν, Δημοσθένους ἐπιστείλαντος ἀπὸ τῆς φυγῆς τοῖς Ἀθηναίοις ὡς πολλὴν αὐτῶν κατεσκέδασαν διαβολήν, τηλικούτου παῖδας ἀνδρὸς δεσμωτήριον οἰκεῖν παραδεδωκότες ἀνθ' ὧν ὁ πατὴρ ἐπολιτεύσατο, ὃν καὶ αὐτοὶ ζῶντα δι' αἰδοῦς τε ἦγον καὶ ἐθαύμαζον.

## 269.

Ἀνεγνώσθησαν διαφόρων ἱερῶν ἀνδρῶν λόγοι καὶ διαφόρους ὑποθέσεις μετερχόμενοι, ὧν ἡ παροῦσα ἐκλογὴ τῆς τῶν ῥημάτων καλλονῆς καὶ ὡραιότητος ἔρωτα λαβοῦσα, πρὸς ἐκείνας ὡς ἐπίπαν καὶ τὸν πλεῖστον σκοπὸν τῆς ἐκδόσεως ἀναφερόμενον ἔχει, εἰ καὶ ἕτερά τινα ταύταις συνεισάγεται.

a. 9. δὲ om A. 13. παρήνεγκε A. 15. δὲ om B. 17. καθηρε pr A. τῶν κακούργων τὴν πόλιν ς. 19. σοφῶν ς. 26. ἐτέλεσε A. 30. ἐγένετο ς. 34. τῷ add A. 37. δὴ] fortasse μή. 41. γε A: τε ς.
a. 4. τῶν] καὶ τῶν B. 6. τῶν om A. 14. ἐπήκοον B: ὑπήκοον ς. 27. τοῖς om A. ἕνδεκα] ἐν δεσμωτηρίῳ B. 28. μεναίχμου B. 34. τε A: γε ς. 36. Ἀνεγνώσθησαν — 41. συνεισάγεται om A.

Digitized by Google

*Ἀνεγνώσθησαν ῾ΗΣΥΧΙΟΥ πρεσβυτέρȣ ῾Ιεροσολύμων ἐκ τȣ̃ εἰς τὸν ἅγιον Ἀνδρέαν ἐγκωμίȣ.*

1488R. *"σάλπιγξ ἡμᾶς ἱερατικὴ πρὸς πανήγυριν ἤθροισεν Ἀνδρέας ὁ τȣ̃ χορȣ̃ τῶν ἀποϛόλων πρωτότοκος, ὁ πρωτοπαγὴς τῆς ἐκκλησίας ϛῦλος, ὁ πρὸ Πέτρȣ Πέτρος, ὁ τȣ̃ θεμελίȣ θεμέλιος, ἡ τῆς ἀρχῆς ἀρχή, ὁ πρὶν κληθῆναι καλῶν, ὁ πρὶν προσαχθῆναι προσάγων. εὐαγγέλιον κηρύττει ὃ μή πω πεπίϛευται· πρὶν μαθεῖν τῷ ἀδελφῷ ἀποκαλύπτει τὴν ζωήν· τοσȣ̃τον αὐτῷ πλȣ̃τον ἡ τȣ̃ „πȣ̃ μένεις" ἐρώτησις ἐχαρίσατο. καίτοι τί μέγα εἶχεν ἡ ἀπόκρισις, οἷον Ἀνδρέας ἐμβαθύνων τὸν νȣ̃ν ἐθεώρησεν· „ἔρχȣ" γάρ φησι „καὶ ἴδε." πῶς γέγονας προφήτης; πόθεν θεοφόρος ἀθρόον; τί θορυβεῖς τȣ̃ Πέτρȣ τὰς ἀκοάς; τί φθάσαι σπεύδεις, ὃν ȣ̓ δύνῃ φθάσαι; ὁ πανταχȣ̃ παρὼν πῶς εὑρεθῆναι δύναται; ἀλλὰ γὰρ οἶδεν ὁ Ἀνδρέας ὃ λέγει. εὑρήκαμεν ὃν ἀπώλεσεν ὁ Ἀδάμ, ὃν ἐζημιώθη ἡ Εὔα, ὃν ἡ νεφέλη τῆς ἁμαρτίας ἀπὸ τῶν ὀφθαλμῶν τῶν ἡμετέρων ἔκρυψεν, ὃν ἐχώρισεν ἡμῶν ἡ παρακοή, ὃν ἐζήτει Δαβίδ· „ἐν ἡμέρᾳ θλίψεώς μȣ τὸν θεὸν ἐξεζήτησα." καὶ „ζητήσατε τὸν κύριον" Σοφονίας βοᾷ „πάντες ταπεινοὶ γῆς." πέπαικεν ἡμᾶς ὁ θεός, ἡνίκα τȣ̃ Ἀδὰμ κατεδίκασε θάνατον καὶ βίον ἐπίπονον· ἰάσατο δὲ ϗ πατάξας ἐμότωσεν, ὅτε ϛαυρωθεὶς ὑπὲρ τȣ̃ γένȣς τῷ μώλωπι αὐτȣ̃ κατὰ τὸν Ἡσαΐαν ϗ τῇ ἀναϛάσει πάντας ἰάσατο. γυμνὸς ἐπὶ τοῦ ϛαυρȣ̃ ὁ Χριϛὸς ἀνήγετο· ἁμαρτίαν γὰρ ȣ̓κ ἔχων ἱματίων ȣ̓κ ἔχρῃζεν. ἄμωμος ἦν ϗ λανθάνειν ȣ̓κ ὤφειλεν. ȣ̓δὲν ἦν ἄσχημον αὐτῷ· αὐτὸς γὰρ ἡμῶν τὰ ἀσχήμονα εὐσχήμονα δείκνυσιν. εὗρον αἱ μυροφόροι, ὅπερ διὰ τῆς Εὔας ἀπώλεσαν· εὗρε τὸ κέρδος ἡ παραχȣ̃σα τῆς ζημίας τὴν ὑπόθεσιν. „ἥξει ἡμῖν ὡς ὑετὸς πρώϊμος ϗ ὄψιμος τῇ γῇ." ὅρα τοίνυν τὸν κύριον μετὰ τὴν ἀνάϛασιν πρώϊμον ταῖς γυναιξίν, ὄψιμον τοῖς ἀποϛόλοις φαινόμενον. πρωῒ μὲν γὰρ ταῖς γυναιξὶ χαίρετε, ὀψὲ δὲ ἐν τῇ Σιὼν εἰρήνην τοῖς μαθηταῖς προσεφώνησε, ταῖς μέν, ἵνα λύσῃ τὴν ἀπό-*

812 H. *φασιν τῆς λύπης, τοῖς δέ, ἵνα "καταλύσῃ τὴν ἔχθραν, ἣν ὁ δράκων ἐκακȣ́ργησε. „σὺ κληθήσῃ Κηφᾶς." πρὸ τῆς ὁμολογίας ὁ μισθός· πρὶν ἐργάσῃ τὸν ἀμπελῶνα, τὸ δηνάριον ἔλαβες· πρὶν ἀνάψεις τὸν βωμόν, τὴν θυσίαν προσδέδεξαι· πρὶν κηρύξεις, ἐξεφανώθης. πτωχȣ̀ς ϗ ἀγραμμάτȣς ὁ Χριϛὸς ἐξελέξατο. ἡ σοφία γὰρ οὐ χρῄζει συνηγόρων. ἀλλ' ὑπηρετῶν· οὐδεὶς γὰρ ȣ̓δὲν αὐτῇ παρέχει, παρ' αὐτῆς δὲ πάντες ϗ πάντα λαμβάνομεν.*

## 270.

*Ἀνεγνώσθη τοῦ ΧΡΥΣΟΣΤΟΜΟΥ ἐκ τȣ̃ εἰς τὸν ἅγιον Παῦλον.*

*ἦλθεν εἰς τὴν Ἀντιόχȣ πόλιν ὁ Παῦλος, ϗ τοσȣ̃τον πλῆθος πιϛῶν ἐγεώργησεν ὡς προσηγορίαν τὴν τῶν Χριϛιανῶν τότε πρῶτον ἐν αὐτῇ ἀνθῆσαι. ταύτην τοίνυν ἐκ τῆς ἐπιγραφῆς τȣ̃ βωμȣ̃ τὴν ἀφορμὴν λαβὼν ὁ πνευματικὸς ἡμῶν ῥήτωρ τὴν οἰκείαν παρεισάγει διδασκαλίαν, ἐκ τῶν τȣ̃ διαβόλȣ γραμμάτων πιϛέμενος τὴν ἀλήθειαν. βωμὸν ἀνεϛήσατε διὰ τῆς ἐπιγραφῆς ὡς ἔϛι θεὸς ἕτερος ἀγνοȣ́μενος· τȣ̃τον ἥκω κηρύττων ἐγώ. ὢ παραδόξων πραγμάτων! τὸν βωμὸν τȣ̃ διαβόλȣ συνήγορον πεποίηκε τȣ̃ Χριϛȣ̃· τὸ τῆς πλάνης ἐπίγραμμα ὑπὲρ τῆς ἀληθείας ἐφθέγγετο· "ἡ ϛήλη τῆς ἀπάτης ἐϛηλίτευσε τὴν ἀπά-* 1489R. *την. ἐπειδὴ τὰ τῶν προφητῶν Ἀθηναίοις ἦν δυσπαράδεκτα, ὁ βωμὸς ϗ τὰ γράμματα τῶν δαιμόνων τῇ σοφίᾳ Παύλου ἐκήρυσσε τὴν εὐσέβειαν. εἰϛήκει θρηνῶν ὁ διάβολος, ὁρῶν αὐτȣ̃ τὰ σοφίσματα ὑπὲρ Χριϛȣ̃ ῥητορεύοντα. ἐπένθει βλέπων τὸν αὐτȣ̃ ἀριϛέα Παῦλον κατ' αὐτȣ̃ ϛρατηγȣ̃ντα, ϗ τοῖς οἰκείοις ὅπλοις αὐτὸν καταβάλλοντα.*

## 271.

*Ἀνεγνώσθη τȣ̃ μακαρίȣ ἈΣΤΕΡΙΟΥ, ἐπισκόπȣ Ἀμασείας, ἐκ τȣ̃ προτρεπτικȣ̃ εἰς τὴν μετάνοιαν.*

*ὁ τοίνυν Λȣκᾶς, ὁ πλέον τῶν ψυχῶν ἢ τῶν σωμάτων ἰατρός, αὐτὸν ἡμῶν τὸν θεὸν ϗ σωτῆρα ἀναγράφει συγγνωμονικῶς τοῖς κατεγνωσμένοις συναναϛρεφόμενον, ȣ̓χ ἵνα τι προσλάβῃ τῆς ἐκείνων κακίας, ἀλλ' ἵνα μεταδῷ τῆς οἰκείας δικαιοσύνης. καὶ γὰρ καὶ ὁ ἥλιος, ὅσον ἀπὸ τȣ̃ κτίσματος τȣ̃ κτίϛȣ παραϛῆσαι τὴν πρόνοιαν, ȣ̓ τὰς ἡπλωμένας μόνον ἐπιλάμπει χώρας, ἀλλὰ ϗ ὅσαι κοιλότεραι καὶ τῆς ἀντρώδȣς ἔλαχον θέσεως. ὁ τῆς θεραπείας ἀπελπίσας δῆλος γίνεται καθάπαξ τῆς νόσȣ. εἴ τινες κατὰ παθῶν νικηφόροι ἀνεδείχθησαν ϗ ὡς ἀληθῶς ἐπάνω ὄφεων*

a. 1. ἀνεγνώσθη ἡ ἡσυχίȣ *B.* 2. ἀνδρέαν *B*: Θωμᾶν ϛ. 5. ὁ πρὸ *Πέτρου* πέτρα, ὁ πρὸ τοῦ θ. θ. Saicer. Thes. 2. p. 712. 6. ἡ *A*: ὁ ϛ. ἀρχή *A*: ἀπαρχή ϛ. 10. ποῦ μένεις] Ioann. 1, 39. ἐρώτησις *A*: ἀπόκρισις ϛ. 13. πῶς γὰρ γέγ. ϛ. 26. ἀναστάσῃ ϛ. 27. ἱματίων *B*: ἱμάτιον ϛ. 29. οὐδὲν *A.* 41. ἀνάψεις *B*, ἂν ἄψεις *A*: ἂν ἄψῃς ϛ. b. 10. προσηγ. πρὸς τὴν ϛ. 14. τοῦ add *A.* 25. ἑαυτοῦ ϛ. 29. τοῦ] ἐκ τοῦ *A*, omissis postea ἐκ τοῦ. 30. τὴν om *B.*

Digitized by Google

καὶ σκορπίων τὰ ἴχνη ἔθεντο, οὐδὲ τούτους χρὴ πρὸς τὴν οἰκείαν ἀνδρείαν καὶ τῶν ἄλλων κανονίζειν τὸν βίον, ἀλλὰ τῆς μὲν ἰδίας εὐδοκιμήσεως τῷ δεδωκότι θεῷ τὴν χάριν ὁμολογεῖν, τοῖς δ' ἀσθενεστέροις οὐκ ἐπεμβαίνειν ἀλλὰ φιλάδελφον ὀρέγειν δεξιάν. ζηλώσατε τοῦ Χριστοῦ τὴν ἀγάπην. μέλλων γὰρ ἀνθρώποις ἐπιφαί-
813 H. νεσθαι δι' ἀνθρώπου, προκαθῆκε τὸν Ἰωάννην μετανοίας κήρυκα. Πέτρον ἐρώτησον, ὅπως μετανοήσας ἐκαθάρθη, καὶ οὐκ ἀνέλυσεν εἰς τὸν Σίμωνα, ἀλλὰ διέμεινεν ὁ ἀπόστολος. ἐγὼ δὲ νομίζω ὅτι καὶ Ἰούδας ὁ προδότης, εἰ μὴ ταχέως αὐτὸς ἑαυτοῦ ἐγένετο δήμιος, προσπεσὼν δὲ τὸν ἔλεον ᾔτησεν, οὐκ ἂν τῶν οἰκτιρμῶν τῶν πάσης ὑπερχεομένων τῆς οἰκουμένης ἠστόχησε. τεκμήριον δὲ οἱ μετανοήσαντες ἐκ τῶν σταυρωσάντων καὶ τῆς σωτηρίας διὰ τῆς μετανοίας ἀπολαύσαντες. ἐδέσμει ποτὲ καὶ Παῦλος Χριστιανούς, ἀλλὰ βαστάσας ὕστερον ἁλύσεις ὑπὲρ Χριστοῦ ἔλυσε τὰ ἐγκλήματα. ἐλίθαζε Στέφανον, ἀλλὰ λιθασθεὶς ἐξήλειψε τὸ πλημμέλημα. ταῦτα καὶ Μωσῆς εἰδώς (ἄνθρωπος γὰρ ἦν καὶ τὴν φύσιν ἐγνώριζε) τὸν μόσχον ὑπὲρ τοῦ ἱερέως ἱερουργεῖσθαι διέταξεν, ἡμαρτηκότος πάντως καὶ καθαρσίων δεομένου. ὅπερ δὲ ἦν τότε ὁ ἐν σαρκὶ μόσχος, τοῦτο νῦν ἐστὶν ἡ ἀσώματος μεταμέλεια καὶ ἡ ἀναίμακτος δέησις. ἐπὶ τοσοῦτον δὲ προσῆκε τὸν ἱερέα τὴν φιλανθρωπίαν ἀσκεῖν, ὥστε κἂν ὁ δεσπότης ἐκκόπτειν κελεύσῃ τινὰ ὡς φυτὸν ἄχρηστον, αὐτὸν ὡς φυτοκόμον αἰτεῖν δεῖ τὴν φειδὼ καὶ ὑπέρθεσιν. τοῦτον γὰρ ἡμῖν παρίστησι τὸν νοῦν τῆς ἀκάρπου συκῆς ὁ ἐν τῷ εὐαγγελίῳ λόγος. σκόπησον τὴν ἁμαρτωλὸν γυναῖκα. οὐ τὸ πλῆθος τῶν ἑστιωμένων ἠρυθρίασεν, οὐ τὸν καιρὸν τῆς εὐωχίας ὡς ἄκαιρον τῆς ἐξομολογήσεως ἔφυγεν, ἀλλὰ σφοδρὸν ἔχουσα τὸ πένθος οὐδὲ τὸ βραχύτατον ἠφίει τὸν τῶν ἁμαρτιῶν ἰατρόν. οὐ μὴν οὐδὲ κατ' ὄψιν ἐρχομένη ἱκέτευεν· ἀλλὰ τὸ ἀνάξιον
1492 R. αὐτῆς διὰ τοῦ σχήματος ἑρμηνεύουσα, τὴν κατὰ νῶτα χώραν καταλαβοῦσα, καὶ τῶν ποδῶν λαβομένη, καὶ λύσασα τὰς κόμας, καὶ δημοσιεύουσα πᾶσιν οἷς ἔπραττε τὴν πενθοῦσαν ψυχήν, καὶ τοὺς πόδας τοῦ σωτῆρος τοῖς δάκρυσιν ἐπιῤῥαίνουσα μετὰ πολλῆς τῆς συμπαθείας ᾔτει τὸν ἔλεον.

*Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὸν πρωτομάρτυρα Στέφανον.*

εἰσήκει δὲ μόνος τῷ δήμῳ τῶν φονώντων κεκυκλωμένος, οὐδεὶς δὲ κατ' ἐκείνην τὴν ὥραν ἐγγύς, οὐ φίλος, οὐκ οἰκεῖος, οὐ συγγενής· φέρει γάρ πως παραμυθίαν τοῖς κινδυνεύουσι τὸ βλέπειν παρόντα τινὰ τῶν γνωρίμων. προσετίθει τῇ δεήσει καὶ τὴν ὑπὲρ τῶν λιθαζόντων εὐχήν· εὐηργέτουν γὰρ καὶ λιθάζοντες ἄκοντες. καὶ ἡ εὐχὴ τίνα φέρει σκοπόν; οὐκ ἀνεύθυνον γενέσθαι τῶν ἐχθρῶν αἰτεῖται τὸ ἁμάρτημα· τοῦτο γὰρ φανερῶς τῇ τοῦ θεοῦ διατυπώσει ἀνθίσταται, ἣ τοῖς ἀνδροφόνοις τὴν δικαίαν κρίσιν ὥρισεν· ἀλλὰ τί φησι; μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην, τουτέστι δὸς φόβον κατανύξεως, ἄγαγε πρὸς μετάνοιαν τῶν νῦν τετολμημένων. καὶ ἦν ὑπηρέτης ὁ φυλάττων Παῦλος τὰ ἱμάτια τῶν ἀναιρούντων δήμου δημίου. διά τε οὖν ἄλλα καὶ διὰ τὸν Λίβυν Σαβέλλιον, προανακόπτων αὐτοῦ τῶν ἐκκλησιῶν τὴν βλάβην, δείκνυσι μὲν ἑαυτὸν ἐν ἰδίᾳ καὶ αὐτοτελεῖ δόξῃ, δείκνυσι δὲ 814 H.
καὶ τὸν υἱὸν ἐν ἀπηρτισμένῳ προσώπῳ. ἵστησι δὲ ἐκ δεξιῶν αὐτοῦ, ἵνα τῇ διευκρινήσει τῶν προσώπων ἑρμηνεύσῃ τὰς ὑποστάσεις. καὶ τὸ πνεῦμα τὸ ἅγιον συντέτακται· καὶ γὰρ προεῖπεν „καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι, ᾧ ἐλάλει." ἰδοὺ τοίνυν, καὶ τὸ τοῦ πνεύματος ἡμῖν πρόσωπον εὐκρινῶς ὁ λόγος ὑπέστησεν. εἰ δὲ τὸ πνεῦμα πρότερον γέγραπται, ἔπειτα δὲ ὁ πατὴρ καὶ ὁ υἱός, οὐδὲν τῆς τάξεως ἡ ἐναλλαγὴ τῇ πίστει λυμαίνεται. σύνηθες γὰρ τοῦτο τῇ γραφῇ· ποτὲ μὲν ὀνομάζει τὸν υἱὸν μόνον, ποτὲ δὲ τὸ πνεῦμα σὺν τῷ υἱῷ· ἄλλοτε δὲ ἄρχεται μὲν τοῦ πατρός, καταλήγει δὲ εἰς τὸ πνεῦμα, καὶ τὸ ἀνάπαλιν ἀρχὴν μὲν ποιεῖται τὸ πνεῦμα, ὁδεύει δὲ διὰ τοῦ υἱοῦ ἐπὶ τὸν πατέρα. καὶ τὸ ἰδίωμα τοῦτο μάλιστα τῷ θείῳ συντηρεῖται Παύλῳ.

*Τοῦ αὐτοῦ εἰς τὸ „ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ."*

τί τοίνυν ὁ Χριστὸς πρὸς τὸν πειράζοντα νομικόν φησιν; „ἐν τῷ νόμῳ τί γέγραπται;" ὑπομιμνήσκων αὐτὸν τῆς πρὸς θεὸν καὶ τῆς πρὸς τοὺς πλησίον ἀγάπης, μόνον οὐχὶ λέγων ὡς εἰ μὲν θεὸς ἐγώ σοι δοκῶ, ὀφείλεις μοι τὴν ἀγάπην· εἰ δ' ἀπιστεῖς καὶ ὅμοιον σοὶ νομίζεις ἐμὲ ψιλὸν ἄνθρωπον, καὶ οὕτω τὸ ἀγαπᾶν χρεωστεῖς κατὰ τὸν νόμον. ἀδελφοὺς καλοῦμεν ἐκείνους, οἳ ἐξ ἑνὸς ἔφυσαν σπέρματος καὶ μιᾶς γαστρός. οἱ δὲ τὸν αὐτὸν ἔχοντες ποιητὴν καὶ μίαν μητέρα τὴν γῆν, ἀφ' ἧς διεπλάσθημεν, καὶ ψυχῆς ἀξίωμα παρα-

a. 37. δημοσιεύσασα ς. 41. τοῦ αὐτου A: τοῦ αὐτοῦ μακαρίου Ἀστερίου ἐπισκόπου ἀμασείας ς.
b. 4. τῶν γνωρίμων] γνώριμον A. 7. αἰτεῖται των ἐχθρῶν τὸ ἁμάρτημα γενέσθαι ς. 10. ταύτην add B. 26. ὀνομάζειν B. μόνον τὸν υἱὸν ς. 35. τῆς — τῆς A: τὴν — τὴν ς. B alterum articulum om. 37. ἀγάπην ς. 38. ἐμὲ καὶ ψιλὸν B.

πλήσιον, εὐσεβείας δὲ ϗ πολιτείας ἕνα θεσμόν, καὶ τὴν ἐλπίδα τοῦ μέλλοντος τὴν αὐτήν, πῶς οὐ πάσης ἀδελφότητος καὶ συγγενείας ἐσμὲν ἀλλήλων ἐγγύτεροι; ϗ ὅταν ἄνθρωπον ἴδῃς, σαυτὸν ὁρᾷς ἐν ἐκείνῳ. δεῖ οὖν καὶ τὰ ἐκείνου θεωροῦντα πάθη, λιμόν, δίψαν, γυμνότητα, τὴν ἄλλην ἔνδειαν καὶ τὰς νόσους ϗ τοὺς ἄλλους πειρασμοὺς ὡς οἰκεῖα πάθη ϗ συμφορὰς οἰκτείρειν. πολλοὺς ἔγνωμεν ἐπὶ μὲν τῶν λόγων ὁμολογήσαντας προκινδυνεύειν, ἐπὶ δὲ τῆς πείρας 1493 R. ψευσαμένους τὴν εὔνοιαν. ὁ μὲν σωτὴρ ἡμῶν οὕτως ἠγάπησε τὸ ἴδιον ποίημα, οὐχ ὡς ἑαυτόν, ἀλλ' ὑπὲρ ἑαυτόν· ἡμῖν δὲ τὸ ἔλαττον ἐγκελεύεται, ἀγαπᾷν τὸν πλησίον ὡς ἑαυτόν, τὴν ὑπερβολὴν ἀφελών, ἵνα μὴ βαρεῖαν ποιήσῃ καὶ δυσήνυτον τὴν ἐντολήν. ἵνα διὰ τῶν ἔργων σαφέστερον ἐπιδείξῃ τὸν τῆς ἀγάπης ὁ δεσπότης νόμον, πρᾶγμα γέμον μὲν ἐλέους συμβὰν δὲ πάντως κατὰ τὸν χρόνον ἐκεῖνον ὑπ' ὄψιν ἄγει τῷ λόγῳ, ἐκπαιδεύων τὸν νομικὸν ὅτι πλησίον ἡμῶν ἐκεῖνός ἐστιν, ὃς ἂν τὴν ἐμπαθῆ ταύτην περικείμενος σάρκα χρήζῃ βοηθείας καὶ οἰκτιρμῶν. τὸ δὲ πάθος· ὁδοιπόρος ἐξ Ἱερουσαλὴμ κατέβαινεν εἰς Ἱεριχώ, καὶ λῃστῶν ἐπιδραμόντων ἀφῃρέθη μὲν ἃ ἔφερεν, ἐγυμνώθη δὲ ϗ τῶν ἱματίων, καὶ τραύμασι τοῖς ἀπὸ τῶν λῃστῶν θανάτῳ προσομιλῶν ἥλωτο κατὰ τὴν λεω- 81 H. φόρον ψυχοῤῥαγῶν. πρᾶγμα λίαν οἰκτρὸν ὀφθαλμοῖς ἔχουσιν ἔλεον ἢ εἰδόσιν ἔλεον. ὁ κύριος τοῖς Ἑβραίοις διαλεγόμενος, καὶ διδάσκων ὡς ἄφρονας ϗ μάτην ἀναστρεφομένους ἐν ταύτῃ τῇ τοῦ κλαυθμῶνος κοιλάδι, οὕτω πώς φησιν „ὑμεῖς ἐκ τῶν κάτω ἐστέ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί," ἐκ τῶν ὀνομάτων μόνον τοῦ ἄνω καὶ κάτω τοῦ καλοῦ ϗ τοῦ χείρονος ποιούμενος τὴν διάκρισιν. καὶ νῦν δὲ καταβαίνοντα εἰπὼν κατὰ τὴν αὐτὴν ἔννοιαν ἔφη. ἦν δ' ἂν οὗτος ὁ Ἀδάμ, ἀποκυλιόμενος τῆς μακαρίας ἐκείνης ϗ ὑψηλῆς διαγωγῆς εἰς τὸν βάραθρον ϗ χαμαίζηλον βίον. τίς ὁ ἱερεύς; τίς ὁ λευίτης; εἴησαν δ' ἂν κατὰ θεωρίαν Μωσῆς καὶ Ἰωάννης, ἄμφω τοῖς παραπετάσμασι τῆς παραβολῆς ἔνδον κρυπτόμενοι καὶ τὴν τῶν πολλῶν ὄψιν λανθάνοντες. οὗτοι γὰρ καταλαβόντες τὸν ἄνθρωπον (τουτέστι τὸ γένος ὅλον) γυμνὸν εὐσεβείας ϗ ἀρετῆς ϗ τοῖς ἐναντίοις τετραυματισμένον, ἐθεάσαντο μέν, οὐ μὴν ἐπήρκεσαν θεραπεῦσαι. ἀλλ' ὁ Σαμαρείτης καταλαβών, ἐν ὀνόματι καθυβρισμένῳ θησαυρὸν ἀγαθῶν φέρων, παρέσχε τὴν ἴασιν· ὅς ἐστιν ἡμῶν ὁ σωτήρ, τῇ δυσφήμῳ προσηγορίᾳ τοῦ Σαμαρείτου καλυπτόμενος ϗ τὰς τῆς σωτηρίας τῷ κειμένῳ πηγὰς ἀναβλύζων. Σαμαρείτην δὲ τὸν σωτῆρα ὁ λόγος ὀνομάζει, αἰσχύνων κἀνταῦθα τὴν τῶν οὕτως αὐτὸν καλεσάντων παράνοιαν Ἰουδαίων, ὅτι τὸν ὑπὲρ τοὺς λευίτας καὶ ἱερέας σπλαγχνιζόμενον ϗ θεραπεύοντα τὸν τετραυματισμένον Σαμαρείτην ἐξύβριζον. τί δὲ τυγχάνει τὸ κτῆνος, ἐφ' οὗ τὸν ψυχοῤῥαγοῦντα καταθέμενος εἰς τὸ πανδοχεῖον ἤγαγεν ὁ σωτήρ; ἢ δῆλον ὅτι ὄχημα τοῦ θεοῦ λόγου καὶ (ὡς ἄν τις εἴποι) ὑποζύγιον τὸ ὁμόφυλον ἡμῖν, ὅπερ ἠμπίσχετο, τυγχάνει σῶμα, ἐφ' οὗ ϗ δι' οὗ πάντας ἀνέχων ϗ διαβαστάζων ἄγει πρὸς τὴν ἀπαλλαγὴν τῆς νόσου ϗ τὴν ἐκκλησίαν· καὶ γὰρ τῶν τραυμάτων αὕτη ἐστὶν ἡ τελεία θεραπεία καὶ ἀπαλλαγή.

### Τοῦ αὐτοῦ εἰς τὸ „ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι."

τὸν περὶ τῆς προσευχῆς λόγον ἐν δυσὶ παραβολαῖς κατέκλεισε, τὸ μὲν εὐτόνως προσεύχεσθαι διὰ τοῦ κριτοῦ ϗ τῆς χήρας διδάξας ἡμᾶς, τὸ δὲ μετ' εὐλαβοῦς γνώμης διὰ τοῦ Φαρισαίου ϗ τοῦ τελώνου. ὅτι ἄριστόν ἐστι τὸ συνεχῶς ἐννοεῖν ποιήματα μὲν ἡμᾶς ϗ ζῶα ἐπίκηρα, δημιουργὸν δὲ τὸν θεὸν ϗ ἄριστον τῆς ἡμετέρας ζωῆς οἰκονόμον. τοῦτο δὲ πρὸ πάντων ἡ προσευχὴ κατορθοῖ. οὐκ ἂν γάρ τις προσεύξαιτο τὰ συμφέροντα, μὴ πληροφορίαν πρότερον λαβὼν ὅτι 1496 R. θεός ἐστιν ὁ τῆς ἱκετηρίας ἐπήκοος ϗ δυνατὸς παρασχεῖν ἃ αἰτεῖται. εὐχὴ τῆς ζωῆς ἡμῶν βοήθεια, ὁμιλία πρὸς θεόν, λήθη τῶν γηΐνων, ἄνοδος πρὸς οὐρανόν. καὶ τὸ ὄρθιον δὲ τῆς προσευχῆς, ἐκτεταμένας προβαλλόμενον τὰς χεῖρας, τὸ τοῦ σταυροῦ πάθος 816 H. ἐν τῷ σχήματι ἐξεικονίζει. εἰ δ' ὡς ἀληθῶς προσεύχοιτο καὶ θεαρέστως ὁ προσευχόμενος, οὐκ ἐν τῷ σχήματι μόνον τὸν σταυρὸν διατυποῖ, ἀλλὰ καὶ κατὰ τὴν διάθεσιν. ὡς γὰρ ὁ τῷ σταυρῷ προσηλωθείς, οὕτω νεκροποιεῖ πᾶσαν μὲν ἐπιθυμίαν σαρκὸς τῆς μνήμης ἀποτιναξάμενος, παντὸς δὲ πλούτου ϗ δόξης ϗ ;ένους προσπάθειαν. οὐδὲν δὲ οὕτω πρᾶγμα ἐπιθυμητὸν αὐτῷ ϗ ἐπέραστον ὡς εὑρίσκειν καιρὸν ἢ σχολὴν ἐμπεσεῖν τῇ γνώμῃ. ἀλλὰ πρὸς δύο ταῦτα συντέ-

a. 4. ἴδῃς ἄνθρωπον B. 12. τὸ add A. 16. μὲν om A. 20. χρήζει ς. 23. δὲ om A. 24. λεωφόρου ς. 28. τῇ add B. 35. τὸν A: τὸ ς. b. 11. ἢ δῆλον A: δῆλον εἰ ς. 12. εἴπῃ ς. 13. ἠμπέσχετο ς. 18. ἀνέβησαν — 19. προσεύξασθαι B: ἀνέβαινον — προσεύξεσθαι ς. 30. εὐχὴ δὲ τῆς ς. 33. προβαλλόμενον B: προβαλλόμενος ς. 35. θεαρέστως ς. ὁ om B. 36. καὶ om A.

ταχθ πᾶς ὁ σκοπὸς αὐτῷ, φυγεῖν τὴν κόλασιν καὶ θᾶττον ἀπελθεῖν τοῦ βίου. καὶ οὐδὲν ἕτερον παρὰ ταῦτα ἐπὶ τῆς διανοίας εὑρίσκεται ἢ ἀναστρέφεται τοῦ ἐσταυρωμένου τῇ προσευχῇ. εὐχὴ καὶ τὸν Ἐζεκίαν τῶν πυλῶν τοῦ ᾅδου ἀνέσπασε, καὶ τὸν ἥλιον πρότερον (ἵνα τὰ ἄλλα αὐτῆς ἔργα ἐάσω) ἔδειξεν ὅτι δοῦλός ἐστι, καὶ δοῦλος χρείαις ὁμοδούλων ὑπηρετούμενος. ἔστι καὶ πράττειν τι τῇ φύσει καλὸν καὶ μὴ ποιοῦντα καλῶς ἀφανίζειν τοὺς πόνους, ὡς ὁ Φαρισαῖος ἐν ταῖς προσευχαῖς μεγαλοῤῥημονῶν, καὶ εἴ τις ἄλλος τὴν ἐλεημοσύνην ἐπιδεικνύμενος. καὶ ἐπὶ τῶν ὁμοίων. μετριώτερον ἂν ὁ Φαρισαῖος ἡμάρτανεν, εἰ τὸν τελώνην ἀφῆκε τῆς παροινίας ἐλεύθερον· νῦν δ' ἐνὶ λόγῳ καὶ τῶν ἀπόντων κατεξανίσταται καὶ τοῦ παρεστῶτος ἐπιξαίνει τὰ τραύματα. διὸ ὁ μὲν Φαρισαῖος ἀπὸ δόξης εἰς τὸ τῆς ἀτιμίας κατέπεσε βάραθρον, ὁ δὲ τελώνης ἀπὸ τῆς ἐπονειδίστου ζωῆς εἰς τὴν μακαρίαν ἐπανῆλθε κατάστασιν· καὶ ὁ μὲν πολλῷ τῷ μέσῳ τῆς πρὸς θεὸν ἐγγύτητος ἐκεχώριστο, ὁ δὲ πρὸς τὴν τῆς παῤῥησίας χώραν ἀνείλκυστο.

### Τοῦ αὐτοῦ εἰς τὸν Ζακχαῖον.

Ἱεριχὼ πόλις ἦν τῶν Χαναναίων μητρόπολις, ἣν ποτὲ μὲν Ἰησοῦς ὁ τοῦ Ναυῆ πολεμῶν καὶ ὀλοθρεύων κατέλαβε, νῦν δὲ ὁ ἀληθινὸς Ἰησοῦς θεραπεῦσαι παραγεγονὼς κατηξίωσε. καὶ ὁ μὲν τυφλὸς ἐφωτίσθη, ὁ δὲ δῆμος ἐπιστώθη, πᾶσα δὲ γλῶσσα τὸν Ἰησοῦν ἐλάλει, καὶ τὸν τυφλὸν ὀφθαλμὸς ἅπας εἶχεν ἀναβλέψαντα τοῦ θαύματος καὶ τῆς σωτηρίας διδάσκαλον αὐτοσχέδιον, οὐ λόγοις ἀλλ' ἔργοις ἐκπαιδεύοντα τοὺς μαθητὰς τὴν ἀλήθειαν. πᾶσα μὲν ἀδικία κακὸν καὶ μίσους ἄξιον, ὁ δὲ τελώνης ἀνυπέρβλητον· οὐδὲ γὰρ οὐδὲ πρόφασιν ἔχει τῆς ἁμαρτίας εὐπρόσωπον. ἐπὶ μὲν γὰρ τῶν ἄλλων εὑρίσκεταί τις ἀνάγκη τοῦ κακοῦ καὶ ῥίζα, ἐξ ὧν φύεται τὸ ἀδίκημα· ὁ δὲ τελώνης θηρίον ἐστίν, ἀπροφάσιστος λοιμός, ταῖς λεωφόροις ἐπικαθήμενος. ἐνόσει ταύτην ὁ Ζακχαῖος τὴν νόσον, πρὶν ἐγγὺς ἔλθῃ τοῦ Ἰησοῦ, μακρῷ τῆς ἀῤῥωστίας τοῦ Ἱεριχουντίου τυφλοῦ ὑπάρχουσαν χείρονα, εἴ γε ὁ μὲν σώματος ὁ δὲ ψυχῆς αὐτῆς ἐνόσει τὴν πήρωσιν. μὴ δῷς ἄλλοις τὰ ἀλλότρια, ἀλλὰ τοῖς ἠδικημένοις τὰ οἰκεῖα ἀποκατάστησον· οὐ γὰρ προσδέχεται θεὸς ἐλεημοσύνην ἐξ ἁρπαγῆς. καλὸς ὁ τελώνης τῶν καθ' ἑαυτὸν κριτὴς καὶ οἰκονόμος. „καὶ εἴ τινός τι 817 H.
ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν" φησίν, οὐκ ἄλλοις (ἄμισθον γὰρ τοῦτο καὶ ἀπρόσδεκτον τῷ θεῷ) ἀλλ' αὐτοῖς τοῖς συκοφαντηθεῖσιν. „σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο, καθότι καὶ οὗτος υἱὸς Ἀβραάμ ἐστι." πῶς οὖν ἐκ τοῦ Ἀβραὰμ ὁ ἐξ Ἱεριχὼ τῆς Χαναντίδος; τί κοινὸν Ἀβραὰμ εἰς γένος καὶ Χαναναίοις; 1497 R.
ἢ δῆλον ὡς εἰ καὶ μὴ τῇ σαρκὶ υἱὸς ἦν Ἀβραάμ, ἀλλὰ τοῖς ἤθεσι καὶ τοῖς ἔργοις ἅμα τῷ πλησιάσαι τῷ Χριστῷ τῶν ἐκ σπλάγχνων προελθόντων τοῦ πατριάρχου μακρῷ γνησιώτερος παῖς καὶ γέγονε καὶ ἐπεγνώσθη. οὕτω καὶ ὁ ἀπόστολος υἱὸν ἐκάλεσε τὸν Ἐλύμαν τοῦ διαβόλου, καὶ ὁ κύριος „ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ" τοὺς Ἰουδαίους εἶπεν. καὶ ὁ Ζακχαῖος οὖν, ἐπειδὴ τὴν Ἀβραὰμ ἐμιμήσατο πίστιν· ὡς γὰρ ἐκεῖνος κληθεὶς ἀφῆκε τὴν πατρίδα, οὕτω καὶ οὗτος τὸ τελωνεῖον καὶ τὸν ἐκεῖθεν κατέλιπε πλοῦτον. διὸ καὶ Χριστὸς ἡ ἀλήθεια εἰκότως αὐτὸν υἱὸν Ἀβραὰμ ἀνεκήρυξε.

### Τοῦ αὐτοῦ εἰς τοὺς δύο υἱοὺς τοὺς παρὰ τῷ Λουκᾷ.

Πατέρα μὲν ἡ παραβολὴ τὸν θεὸν καὶ ποιητὴν τοῦδε τοῦ παντὸς ὀνομάζει, τὸν δὲ πρεσβύτερον υἱὸν καὶ νεώτερον ἀνθρώπους δύο, τὸν μὲν παραμείναντα τῇ δοθείσῃ χάριτι καὶ τῷ ἐπιβάλλοντι αὐτῷ τῆς κληρονομίας, καὶ οὐδαμοῦ τῆς ἐκκλησίας οὐδὲ τῆς τῶν ἀχράντων μυστηρίων κοινωνίας διὰ τῆς τοῦ βίου ἀσωτίας ἀφηνιάσαντα, τὸν δὲ κατὰ πάντων τῶν εἰρημένων νεωτερίσαντα, καὶ διὰ τοῦτο καὶ τοῦ ἀληθινοῦ χωρισθέντα πατρὸς καὶ σπαθήσαντα καὶ διαφθείραντα τὰς παρ' αὐτοῦ δοθείσας δωρεάς, ὡς εἰώθεισαν πράττειν οἱ ἄσωτοι. ἔστιν οὖν τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας, ὃ παρὰ τοῦ πατρὸς ὁ νεώτερος υἱὸς ἐπιζητεῖ, τὸ βάπτισμα καὶ ἡ μετοχὴ τοῦ ἀχράντου σώματος· καὶ γὰρ πολλοὶ καὶ τῶν νεωτέρων καὶ ζητοῦσι ταῦτα καὶ λαμβάνουσιν. ἀλλ' οἱ πρεσβυτικὸν ἔχοντες φρόνημα, ἐκεῖνοι καὶ τὸ δῶρον ἐν ἀκριβείᾳ φυλάττουσιν. ἴσον μὲν οὖν ἐστὶ τὸ ἐπιβάλλον ἑκάστῳ· ἡ δὲ τῶν λαμβανόντων κατὰ τὴν σπουδὴν ἑκάστου διαφορὰ ἐκείνη καὶ μεῖζον καὶ ἔλαττον αὐτὸ ποιεῖ ἢ καὶ ὅλως σπαθίζει καὶ ἐκδαπανᾷ, ὥσπερ ὁ ἄσωτος. τὸ μὲν ἐπιβάλλον τοῦτ' ἂν αἰνίττοιτο ἡ παραβολή, τὸ δὲ μακρὰν ἀποδημίαν σειλασθῃ τὸ μακρυνθῆναι καὶ τῶν δωρεῶν καὶ τῶν ἐντολῶν τοῦ θεοῦ. ἐσπάθησε καὶ ὁ Ἀδὰμ τὴν οὐσίαν, καὶ πάσης τῆς πα-

a. 37. ἦλθεν B. b. 3. τῷ om B. 5. ἐγένετο om A. 12. τοῦ om B. 14. Ἰουδαίους] ἰδίους A. 17. κατέλειπε pr A. 24. alterum τῆς ante κοινωνίας punit B. 30. οὖν] καὶ A. 38. καὶ post σπαθίζει om A. ἐκδαπανῶν B.



Digitized by Google

τρικῆς εὐπορίας ἐξέπεσε, ϗ ὑπερωρίσθη χωρὶς ἀφθονίαν βρύοντος ἀγαθῶν. χαλεπὸν μὲν υἱῷ νεωτέρῳ χωρισθῆναι πατρός. δαπάνην γὰρ ἄσωτον ϗ ἀκολασίαν ϗ ὁμιλίας ἤθη φθειρούσας ὁ τοῦ πατρὸς ἐλαύνει καὶ ἀποδιώκει ὀφθαλμός. ὅταν δὲ ἐφ᾽ ἑαυτῆς γένηται νεότης, καὶ μήτε φόβος πάρεστι μήτε αἰδώς, δύο φύλακες ἰσχυροὶ ταραττομένης νεότητος, τότε δὴ
818 H. τότε οἴχεται πάντα ϗ ἀνατέτραπται. ἔστι δὲ "ϗ ὁ πολίτης τῆς μακρὰν ἀπῳκισμένης θεοῦ χώρας ἐκείνης ὁ διάβολος. καὶ γὰρ τῆς ἁμαρτίας ἡ πόλις πρῶτον πολίτην ἔχει καὶ πολιστὴν τὸν διάβολον, πανταχόθεν συνάγοντα πάντας τοὺς ἀσώτους καὶ συμπολίτας ποιούμενον καὶ εἰς ἀτίμους ϗ συώδεις παραπέμποντα πράξεις. καὶ γὰρ ϗ χοιροβίων ἐστὶν ἀγελάρχης, ἀλλ᾽ οὐχὶ ποιμὴν λογικῶν προβάτων, ὥσπερ ὁ δεσπότης ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τοῦ ποιμνίου αὐτοῦ. ἀποστέλλει οὖν ὁ ἀρχισυβώτης τὸν ἄθλιον νεανίσκον βόσκειν χοίρους, ϗ ἦν ὁ ποτὲ εὐδαίμων ὁμοδίαιτος τῶν χοίρων, ἐσθίων κεράτια. τοιοῦτον γὰρ ϗ ἡ ἁμαρτία, πρὸς ὀλίγον μὲν ἡδεῖα, οὐδὲν δὲ τρόφιμον οὐδὲ χρήσιμον φέρουσα. εἰς ἑαυτὸν δὲ ἐλθών· καὶ γὰρ οὐκ ἦν ἑαυτοῦ, ἔκδοτος γεγονὼς καὶ πεπραμένος τοῖς πάθεσι καὶ τῶν ἐμφύ-
1500 R. των φρενῶν ἐξεστηκώς. "μισθωτὸν δὲ μετὰ τὴν ἐπιστροφὴν καὶ μετάνοιαν ὁ ἄσωτος ἑαυτὸν ὀνομάζει, καὶ πάντα τὰ τῆς ἀτιμίας ὀνόματα, ἵν᾽ ἡμῖν ὑπογράψῃ ὁ λόγος ὅπως χρὴ μετανοοῦντας ταπεινοῦσθαι ϗ τὴν καρδίαν διὰ τῶν ῥημάτων συντρίβεσθαι. ὅτι μὴ δεῖ τὸν μετανοοῦντα καὶ ἐξιλεούμενον τὸν θεὸν οὐδὲ ἀτενὲς βλέπειν εἰς τὸν οὐρανόν, ἡ παραβολὴ διδάσκει, ἀλλὰ τῷ ἐρυθριῶντι βλέμματι τὸ τῆς ψυχῆς κατηφὲς ϗ ἀπαρρησίαστον μηνύειν. ὅρα δὲ πῶς τὴν τοῦ θεοῦ διαγράφει ἀγαθότητα. ἐρχόμενον γὰρ τὸν ἄσωτον οὐ μόνον οὐκ ἀποπέμπεται οὐδὲ παρορᾷ, ἀλλὰ καὶ προσυπαντᾷ, καὶ τρέχων, ἵνα θᾶττον ἀπολάβῃ τὸν πλανηθέντα. καὶ περιχεῖται τῷ τραχήλῳ, καὶ περιπλέκεται, καὶ ἐπιρρεῖ δάκρυον, ϗ ἀσπάζεται, τῆς καταλλαγῆς διδοὺς τὸ σύμβολον ϗ τῆς ἀμνηστίας τῶν προλαβόντων τὸ ἐνέχυρον. στολὴ δ᾽ ἂν ἡ πρώτη εἴη οὐκ αὐτὸ τὸ βάπτισμα (οὐ γὰρ οἷόν τε τυχεῖν δευτέρου βαπτίσματος), ἀλλ᾽ ἡ πρώτη στολὴ ϗ χάρις, ἣν ἀπ᾽ ἀρχῆς ἕκαστος τῶν πιστῶν ἐνδύεται διὰ τοῦ βαπτίσματος. ἀντὶ γὰρ τῆς διὰ τοῦ λουτροῦ παλιγγενεσίας ἡ διὰ μετανοίας ἡμῖν παρὰ θεοῦ ἐχαρίσθη ἀναγέννησις, ἥτις τὰ μολύσματα ἡμῶν τῷ δακρύῳ πλύνουσα πάλιν καθαροὺς ἀποφαίνει. δίδοται δὲ τῷ ἀσώτῳ μετὰ τὴν στολὴν ϗ δακτύλιος, σύμβολον τῆς νοητῆς σφραγῖδος τοῦ πνεύματος. ὡς γὰρ ἐν τῇ διὰ τοῦ βαπτίσματος παλιγγενεσίᾳ καὶ στολὴ καὶ σφραγὶς δωρεᾶς πνεύματος ἁγίου, οὕτω ϗ ἐν τῇ διὰ τῆς μετανοίας ἀναγεννήσει. προσφέρεται δὲ ϗ ὑποδήματα, ἵνα θαρρεῖν ἔχῃ τὴν τοῦ ὄφεως καταπατεῖν κεφαλήν. σὺ γάρ φησι τηρήσεις αὐτοῦ κεφαλήν, κἀκεῖνος τηρήσει σου πτέρναν. πρὸς ἑκάτερον οὖν χρήσιμον τὰ ὑποδήματα, καὶ εἰς τὸ καταπατεῖν τὴν τοῦ ὄφεως κεφαλὴν καὶ εἰς τὸ τὴν ἐκεῖθεν βλάβην τὴν πτέρναν διαφυγεῖν. μὴ λυπείτω σε ἡ τοῦ πατρὸς ἀγαθότης, εἰ περιέχεται τοῦ δυσπραγήσαντος παιδός. ὁ ἐλεῶν οὐ δικάζει μετὰ ἀκριβείας, ἀλλὰ φιλανθρώπως χαρίζεται, ϗ ταῦτα, ὅταν ὑπάρχῃ πατήρ, ὥσπερ τινὶ βίᾳ πρὸς τὸν οἶκτον ἑλκόμενος.

**Τοῦ αὐτοῦ εἰς τὸν δοῦλον τοῦ ἑκατοντάρχου, ὃν ὁ κύριος ἐθεράπευσεν.** 819 H.

ὅτι ἐν τῷ παρόντι λόγῳ ὑπόθεσιν τὸν δοῦλον λαβών, εἰς παραίνεσιν δούλων καὶ δεσποτῶν τὸ πλεῖστον τῆς σπουδῆς ἀποτείνει, τοὺς μὲν νουθετῶν εὐπειθῶς ϗ ἀδόλως ὑπηρετεῖν τοῖς δεσπόταις, τοὺς δὲ φιλανθρώπως ϗ ἡμέρως ϗ ὡς ὁμοφύλοις ϗ ἀδελφοῖς προσιέναι. ὁ αὐτὸς γὰρ πηλὸς ἀμφοῖν καὶ ἡ αὐτὴ τοῦ πλάσου χείρ, καὶ τὰ αὐτὰ ἔργα τε φυσικὰ ϗ πάθη ϗ τὸ τῆς κατασκευῆς σχῆμα ϗ ἡ μορφὴ θεωρεῖται. δι᾽ ἃ προσῆκεν, εἰ μή τις ἄλλος ἦν μηδὲ νόμος θεῖος μηδ᾽ ἔμφυτος πρὸς τὸ συγγενὲς ἔλεος ϗ ἀγάπη, ἐχρῆν ἀδελφικῶς αὐτοῖς ϗ πατρικῶς προσφέρεσθαι. καὶ τοῖς ἰατροῖς δὲ παραίνεσιν φιλανθρωπίας ποιεῖται.

ὅτι Σκύθην, φησί, θᾶττόν τε τὴν Ἑλληνίδα μαθόντα εἶδον, εἰς μειρακίων ἡλικίαν ἄρτι παρελθόντα εἶτα τοῦ ὠνησαμένου δεσπότου μαθήμασιν ἐλευθερίοις αὐτὸν ἐκδεδωκότος, τοσοῦτον ἐπιδοῦναι τούτοις καὶ γενέσθαι κατὰ πολλὰ τῶν μαθημάτων περιδέξιον, ὡς ϗ παρ᾽ Ἕλλησι καὶ παρὰ Ῥωμαίοις λαμπρὸν γενέσθαι ϗ περιβόητον, ἐπειδὴ ϗ νόμων ὤφθη διδάσκαλος. ὁ δ᾽ ὠνησάμενος Σύρος ἦν, Ἀντιοχείας πολίτης ϗ γραμματικῆς παίδων διδάσκαλος. γενέσθαι δὲ καὶ μαθητὴν ἑαυτόν φησιν ὁ φιλάρετος οὗτος Ἀστέριος τοῦ ἀργυρωνήτου τούτου Σκύθου· "ποῦ δὲ διατρίβοντος ἢ τίνος 1501 B.

a. 12. ποιούμενον — 13. παραπέμποντα *B*: ποιούμενος — παραπέμπων ς. 16. τὴν ψυχὴν ὑπὲρ τοῦ ποιμνίου *B*: ὑπὲρ τοῦ ποιμνίου τὴν ψυχὴν ς. οὖν *A*: γοῦν ς. 22. πεπραγμένος ς. 25. ἵνα — ὑπογράφῃ ς. 27. διὰ] καὶ ἐκ *B* et corr *A*. b. 6. δωρεᾶς om *A*. 8. ἔχῃ *B*: ἔχοι ς. 12. τὴν post τὸ add *A*. 17. ὥσπερεὶ ς. 26. φυσικά τε ς. 35. δεδωκότος *A*.

μαθήματος, ὃ λέγει. σὺ καὶ τὸν Μωσέα τὸν φυγάδα ἄρχοντα λαῶν καὶ δήμων ἐποίησας, οὐκέτι κατὰ τὸν Νῶε ἐπ' ὀχήματος περαιούμενον πελαγωθέντα τὸν κόσμον, ἀλλὰ δεσποτικῶς ἤδη τὴν θάλασσαν τέμνοντα καὶ πεζεύοντα τὸν βυθόν. σὸς παῖς καὶ ὁ Ἠλίου μαθητὴς Ἐλισσαῖος, ὁ καὶ ζῶντα ἀποδοὺς τὸν παῖδα τῇ Σωμανίτιδι, καὶ μετὰ θάνατον τοῖς λειψάνοις τὸν παρατεθέντα νεκρὸν ζωώσας· ἔτι γὰρ ἡ τῆς πίστεως χάρις, ὥσπερ ἀρώματος πνοή, παραμείνασα ἐδόξαζε τοῦ πιστοῦ καὶ τὸν τάφον.

*Τοῦ αὐτοῦ εἰς τὴν παρείσβασιν τῶν νηστειῶν.*

οὐδεὶς εὐωχίαις σχολάζων ἀρετῆς μαθητής. μία μέθη καὶ τὸν πατέρα τῆς εὐπρεποῦς σκέπης καὶ τὸν υἱὸν ἐλευθερίας ἐγύμνωσεν. ἐβλάβη διὰ γαστέρα καὶ ὁ πρεσβύτερος παῖς τοῦ Ἰσαάκ· περιχανὼν γὰρ διὰ καταχθεῖσαν πεῖναν τῷ φακῷ ἀπέδοτο μὲν τὰ πρωτοτόκια τῷ ἀδελφῷ, ἐκεῖθεν δὲ λοιπὸν καὶ τὴν πατρικὴν εὐλογίαν ἐκλάπη. μὴ νόθευε τὴν νηστείαν, ἵνα μὴ πάθῃς τὰ τῶν καπήλων. εἰ γὰρ ἐκεῖνοι τῷ οἴνῳ παραμιγνύντες ὕδωρ κολάζονται, πῶς οἱ τῷ αὐστηρῷ τῆς νηστείας τὰς σεσοφισμένας ἀπολαύσεις ἐπεισάγοντες τὸ ἀτιμώρητον ἕξουσιν; φεύγωμεν τὴν φιληδονίαν· ἀμήχανον γὰρ τὸν αὐτὸν εἶναι φιλήδονον καὶ φιλόθεον. ὁ βασι-
820 H. λεύς ποτε τῶν Ἀσσυρίων, ἐκεῖνος ὁ πάντα τῇ γαστρὶ ζῶν καὶ τῷ τρυφῶντι βίῳ, ὡς φάτνῃ βοῦς, προσδεδεμένος. ἦν δὲ τοῖς τρισὶν ἱεροῖς παισὶ καὶ ὁ οἶνος φευκτὸς διὰ τὴν σπονδὴν καὶ κρέας ἅπαν διὰ τὰς θυσίας. καὶ ἦν αὐτοῖς καὶ τοῦ ὑπὲρ τοὺς τρυφῶντας κάλλους ὁ θεὸς ἐπιμελητὴς καὶ ἡ νηστεία κομμώτρια. δὸς τὴν ἀκοὴν τῇ μαθήσει τῶν κεκρυμμένων, καὶ ἀμνημονήσεις τροφῆς, ὡς ὁ δῆμος ὁ τῷ Ἰησοῦ ἑπόμενος λόγῳ καὶ ἔργῳ παιδεύοντι. καταλιπὼν τὴν συναγωγὴν τῶν πονηρευομένων πρόσελθε τῇ ἐκκλησίᾳ. εἰ δ' ἔτι τοῖς Ἰουδαϊκοῖς προσδέδεσαι, τί σοι βούλεται ἡ νηστεία ἢ τοὺς Νειλῴους κροκοδείλους μιμεῖσθαι, οὓς φασι ταῖς κεφαλαῖς ἐπιθρηνεῖν τῶν ἀνθρώπων ὧν ἔφαγον καὶ δακρύειν ἐπὶ τοῖς λειψάνοις τῶν φόνων, οὐ μετάνοιαν τῶν γεγενημένων λαμβάνοντας, ἀλλὰ τὸ ἄσαρκον τῆς κεφαλῆς (ἐμοὶ δοκεῖν) ὀδυρομένους ὡς εἰς βρῶσιν οὐκ ἐπιτήδειον. νηστεία μὲν πυκνώσεώς ἐστι, καὶ κοσμίας καταστολῆς ἐπιδείκνυται παιδαγωγός· χορεία δὲ τὸ διακεχυμένον ἑρμηνεύει τῆς ψυχῆς. καὶ ἑκάστου πράγματος ἐξαίρετά ἐστι καὶ τὰ σχήματα, ἐκ τῆς αἰσθητῆς ἐπιφανείας τὴν ἀόρατον τῆς ψυχῆς δηλοῦντα κατάστασιν. ἐπειδὴ γὰρ ὁ νόμον λαμβάνων εἰς κανόνα βίου καὶ εὔτακτον πολιτείαν ὀφείλει δεδοικέναι καὶ τὴν ἐκ τῆς παρακοῆς τιμωρίαν, διὰ τοῦτο ὁ θεὸς τὰ τῆς ζωῆς ἡμῶν παραγγέλματα ἔγγραφα τοῖς ἀνθρώποις ἐκπέμπων εὐθὺς προσέθηκε καὶ τὴν φωνὴν τῆς σάλπιγγος, σύμβολον τῆς ἐκ νεκρῶν ἀναστάσεως, ἵνα οἱ μαθηταὶ τῶν προσταγμάτων διὰ τῆς ἀναστάσεως τὴν κρίσιν προβλέποντες φυλάξωσιν ἀπαράβατα τῆς θείας νομοθεσίας τὰ δόγματα.

*Τοῦ αὐτοῦ εἰς τὸν ἐκ κοιλίας τυφλόν.*

(ἡ ἐνταῦθα τοῦ ὀφθαλμοῦ ἔκφρασις καὶ ἡ τῆς εἰκόνος, ἣ τῆς ἁγίας Εὐφημίας εἰκονίζει τὴν μορφήν, πολλὴν εἰς κάλλος τὴν συγγένειαν φέρει, ὡς μὴ ἕτερον καὶ ἕτερον ἀλλ' αὐτὸν εἶναι δημιουργὸν ἑκατέρας ἐκφράσεως. εὐσεβεῖ δὲ φανερῶς ἐνταῦθα, ἰσότιμον τῷ πατρὶ καὶ προαιώνιον τὸν υἱὸν θεολογῶν, ὥστε οὐκ 1504 R.
ἂν εἴη ὁ Ἀρειανὸς ὁ τὴν ἔκφρασιν τῆς εἰκόνος εὐφυΐα λόγων ὑποβαλών.) ἐπειδὴ λόγῳ καταγγέλλων τοῖς Ἰουδαίοις τὴν ἀλήθειαν ὁ σωτὴρ οὐκ ἔπειθεν εὐσεβεῖν, παρεστὼς ἀπεκρύβη καὶ φαινόμενος οὐκ ἐβλέπετο, ἵνα ἐκ τῆς τοιαύτης αὐτοῦ θαυματεργίας ἑλκύσῃ πρὸς συγκατάθεσιν τοῦ ὅτι καὶ θεὸς ἐτύγχανεν ὁ μὴ βλεπόμενος, καὶ οὐκ ἄλλος ἀλλ' ὁ πρὸς Μωϋσῆν λαλῶν καὶ μὴ φαινόμενος. ἑωρᾶτο γὰρ καὶ τότε πῦρ καὶ βάτος, ἀμφότερα ἄφωνα· ἀλλ' ὅμως καὶ φωνὴ ἠκούετο καὶ λόγος ἐπαίδευε καὶ ἀσφαλῶς τὸ μέλλον προηγορεύετο. καὶ χρὴ τοὺς νῦν ἔχοντας ἐκ τῆς συγγενείας τῶν πραγμάτων γνωρίσαι τὸ πρόσωπον. θεασάμενος δὲ τὸν τυφλὸν ὁ σωτὴρ ἔστη, καὶ πρὸς τὴν θεραπείαν ἕτοιμος ἦν, θεραπείαν ἀνθρωπίνης σοφίας καὶ τέχνης κρείττονα. ἰατρικὴ μὲν γὰρ καὶ ὁ κατ' αὐτὴν λόγος ἐκείνοις 821 H.
τῶν νοσημάτων ἐπιβάλλει τὴν θεωρίαν, ὅσα τῆς φύσεως ἀπαρτισάσης τὸ ζῶον καὶ εἰς φῶς προαγαγούσης χρόνοις ὕστερον κατά τινας περιστάσεις ἐπισυμβαίνει, τῆς δὲ συντεχθείσης τῷ σώματι λώβης οὐκ ἐπαγγέλλεται θεραπείαν, ἀλλ' οὐδὲ πάντων παθῶν τῶν εἰς ὕστερον συμβαινόντων· οὔτε γὰρ ἠκρωτηριασμένοις μέλη ἀνεσώσατο, οὔτ' ἄλλο τι παραπλήσιον θεραπεύειν ἀναδέχεται. διόπερ οἱ μαθηταὶ τὸ πάθος κατελεήσαντες, καὶ βλέποντες ἄνθρωπον τῆς καλλίστης ἡδονῆς τοῦ

a. 6. ἐλισσαῖος *A.* τὸν] τὴν *B.* 22. φεύγομεν ς. 24. ἀσυρίων *A.* 35. μιμεῖσθε *B.*
b. 3. κατάστασιν *A*: διάθεσιν ς. 6. ἐγγράφως ς. 9. προσταγμάτων] πραγμάτων *A.* 16. αὐτὸν] immo τὸν αὐτόν. 22. ἐβλάπτετο pr *A.* 25. Μωσῆν ς. 26. μὴ add *A.* 39. ἠκρωτηριασμένους *B.*

φωτὸς μὴ γευσάμενον, τὴν αἰτίαν ἐπυνθάνοντο. ἀλλ' οὐκ ἐπιστημόνως προσῆγον τὴν ἐρώτησιν· οὔτε γὰρ ἂν ὑπὲρ τῶν πατέρων, οὐδενὸς ὢν ἔνοχος, ὁ παῖς κατεγνώσθη, οὔτε μὴν ἰδίων πλημμελημάτων ὁ μήπω προελθὼν εἰς τὸν βίον ἀπέτισε δίκας. τὸ πάθος, φησὶν ὁ Χριστός, τοῦ τυφλοῦ οὐχ ἁμαρτημάτων ἐστὶν ἀντίδοσις, ἀλλ' ἑτοιμασία μελλούσης οἰκονομίας ἄλλα τε διαπραττούσης, καὶ ὅπως ὁ κτίστης τῶν ὅλων μετὰ τὴν πρώτην ποίησιν εὕρῃ καὶ νῦν τοῦ δημιουργεῖν ἀφορμάς, ἐκ δὲ τῶν μερικῶν καὶ τὰ καθόλου πιστώσηται. ἀνθρώπου μέρος, καὶ μέρος τὸ κάλλιστον, οὐκ ἂν ἐποίησεν ἄλλος, εἰ μή γε ὁ τῆς πρώτης ἀρχῆς τοῦ γένους τὴν δημιουργίαν ἐπιδεδειγμένος. ἐν δὴ τῷ ὀφθαλμῷ μικροῦ μορίου καὶ μέλους περιγραφῇ τὴν παντοδύναμον καὶ ποικίλην τοῦ θεοῦ σοφίαν ἔστι κατόψεσθαι, τοσαύτην ἐπιδειξαμένου τὴν φιλοτιμίαν τῆς τέχνης: πρῶτον μὲν γὰρ αὐτῷ χάρις τις ἐπικέχυται, καὶ ἔστιν ἁπαλώτατός τε καὶ ἄσαρκος, ὡς ἂν εἴποι τις, ἐν τῷ τρυφερῷ τὸ στερεὸν ἔχων καὶ ἐν τῷ μαλακῷ τὸ διατεταμένον· καὶ ποικίλαις διήνθισται ταῖς χρόαις. τὸ γοῦν μέσον αὐτοῦ τὴν περιγραφὴν ἔχει τοῦ μέλανος, καὶ ταύτην οὐ διόλου μονοειδῆ ἀλλὰ ποικίλοις τισὶ κύκλοις συνδεδεμένην, τοῦ κέντρου μὲν αὐτοῦ καὶ μέσου τὸ βαθύτερον ἔχοντος, τῆς δὲ ἐξωτέρω περιφερείας πρὸς τὴν ξανθοτέραν κατὰ μέρος ἀποληγούσης βαφήν. ταύτην ἔξωθεν τὸ λευκὸν περιβέβληται στιλπνὸν καὶ διαυγές, οὐκ ἄκρατον ἔχον τὴν λευκότητα, ἀλλ' ἐν κρυσταλλοειδεῖ τινὶ καὶ διαυγαζούσῃ πεποιωμένῳ τῇ μορφῇ τὸ ἐρυθρὸν κεῖται περὶ τὴν κόρην, ἵνα τῷ λευκῷ καὶ τῷ μέλανι κεράσῃ τὴν χάριν. ἐπὶ τούτοις οὕτως ἐστὶ διαυγὴς καὶ λεῖος ἐν τῇ πυκνότητι, ὥστε καὶ τὰς τῶν ἐγγιζόντων εἰδωλοποιεῖν μορφὰς καὶ οἱονεὶ κάτοπτρον ἀκριβὲς ἐντυποῦσθαι τοὺς χαρακτῆρας. καὶ τὸ μέσον τοῦ κύκλου διὰ τοῦτο προσηγόρευται κόρη, ὡς ἀεὶ τὴν μορφὴν τῷ κατ' ἀντικρὺ βλέποντι παραδεικνύον ἀνθρωπίνην· εἰς ἀλλήλους γοῦν οἱ ἄνθρωποι βλέποντες ἀλ-

1505B. λήλων γίνονται κάτοπτρα. "θαύματος οὖν ἄξιος ἐν τοῖς κτίσμασιν ὁ ὀφθαλμός. οὗτος καὶ θεόν μοι διερμηνεύει, πᾶσαν καταμανθάνων τὴν κτίσιν καὶ δι' αὐτῆς τὸν τεχνίτην ἐπιδεικνὺς καὶ ἐκ τῶν ὁρωμένων ἑρμηνεύων τῇ ψυχῇ τὰ ἀόρατα. διὰ τοῦτον ἄλλα τε τῆς κτίσεως ἔμαθον, καὶ χρωμάτων ποικίλην βαφὴν σκότους τε κατήφειαν καὶ φωτὸς λαμπηδόνα. "ὡς εἰ γε 322 H ὀφθαλμὸς μὴ ὑπῆρχεν, ἀμάρτυρος ἂν ἡ κτίσις ἐγήρασεν, οὐδενὸς καθορῶντος τὴν ἐν αὐτῇ σωζομένην τοῦ θεοῦ σοφίαν καὶ δύναμιν. διὰ ταύτην τοίνυν τὴν θαυμαστὴν τῶν ὄψεων κατασκευὴν ὀφθαλμοὶ καὶ νῦν ἐπλάσθησαν αὐτοσχέδιοι, ἵνα τὰς μικροπρεπεῖς ἐννοίας τὰς ἐκ τῆς σαρκὸς ἐγγινομένας ἡμῖν περὶ τοῦ μονογενοῦς ἀποθώμεθα, καὶ τῇ μεγαλουργίᾳ τῶν γινομένων τῆς ψυχῆς πᾶσαν ἐκβάλλοντες ταπεινὴν ὑπόληψιν καὶ χαμαίζηλον γνωρίσωμεν ὅτι τὸ μακάριον φῶς καὶ κάλλος τῆς θεότητος ὀστράκινον σκεῦος ἐδέξατο, διακονοῦν ἡμῖν κατὰ τοὺς λύχνους τὴν λαμπηδόνα. αὐτουργεῖ δὲ τὴν θεραπείαν ὁ κύριος νῦν οὐ λόγῳ μόνον, ὥσπερ ἀλλαχοῦ πολλαχοῦ, ἀλλὰ καὶ στόματι καὶ χειρὶ καὶ ἄλλῃ προνοίᾳ, ἵνα διὰ πολλῶν πραγμάτων τὴν πίστιν τοῖς ἀπίστοις ἐνεργάσηται. πτύει δὲ καὶ πηλὸν ποιεῖ τῇ μὲν γῇ συγχρώμενος, ἵν' ὅθεν τὸ ὅλον κατ' ἀρχὰς ἐπλάσθη ζῶον, καὶ τὸ μέρος δείξῃ πλαττόμενον, σιάλῳ δὲ παριστῶν ὡς τῇ δυνάμει τοῦ στόματος αὐτοῦ ὁ λόγος πάντα κατώρθωσε· „τῷ λόγῳ" γὰρ „κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν" καὶ ἑξῆς. εἰ δὲ καὶ τοῦτο συνιδεῖν ἐθέλοις, ἵν' εὐλαβεῖσθαι παρασκευάσῃ τοὺς μέλλοντας μικρὸν ὕστερον τοῖς πτύσμασιν αὐτὸν ὑβρίζειν, εἰ καὶ τὸ τῶν μαινομένων θράσος μεῖζον ἦν καὶ προνοίας πάσης καὶ διορθώσεως. ὁ δὲ Σιλωὰμ τὴν δι' ὕδατος ἡμῖν σωτηρίαν προοιμιάζεται, ἣν πᾶσιν ὁ ἀπεσταλμένος Σιλωὰμ ἐχαρίσατο· τότε γὰρ ὡς ἀληθῶς βλέπομεν, ὅταν τῷ μυστικῷ καθαρθῶμεν ὕδατι. οὐδὲν τοὺς ἀγνώμονας καὶ ἀχαρίστους Ἰουδαίους ἦγεν εἰς συναίσθησιν, οὐ λόγος, οὐ πρᾶξις, οὐ θαυματουργήματα. ἀλλὰ καὶ αὐτὰ ταῦτα τὰ πρὸς σωτηρίαν παρακαλοῦντα αὐτοὺς πᾶσιν ἐπεχείρουν τρόποις ἀφανίζειν, εἰ καὶ πρὸς τοὐναντίον αὐτοῖς περιετράπετο ἡ κακουργία· ὅσῳ γὰρ ἠπίστουν καὶ προσερωτῶντες ἀνατρέπειν ἐσπούδαζον, τοσούτῳ πλέον ἐβεβαιοῦτο ἡ ἀλήθεια. πρώτη αὐτοῖς πολυπραγμοσύνη, εἰ αὐτὸς οὗτός ἐστιν ὁ τυφλός, δευτέρα, εἰ ἐκ γενετῆς ἦν τυφλός. καὶ ὁ ἰαθεὶς τὸν σωτῆρα ἐβόα, καὶ τῇ ὁμολογίᾳ τὴν χάριν ἀντιδίδου τῆς ἰάσεως. ἀπίστων πατέρων ὅμοιοι παῖδες. καὶ γὰρ καὶ οἱ τεκόντες ἐκ πολέμων ἐσώζοντο παρ' ἐλπίδας, καὶ τῷ διδόντι τὴν σωτηρίαν ἠπίστουν. ἐτρέφοντο τροφαῖς ὑπερβαινούσαις τὴν φύσιν, καὶ τῶν λιμωτ-

a. 9. τοῦ add *A*. 14. μικρῷ *A*. 24. κατὰ μέρος ξανθοτέραν ς. 28. αὐγαζούσῃ ς. πεποιημένον ς. 29. τῷ λευκῷ καὶ add *A*. 37. οὖν *A*: γοῦν ς.

b. 2. μὴ et 3. τοῦ add *A*. 23. ὑβρίζειν αὐτὸν ς. 26. ὑμῖν ς. πᾶσιν] πάλιν *A*. 31. τὰ om pr *A*. 32. εἰ om *A*. 33. περιετρέπετο ς. 35. τοσοῦτο *B*.

Digitized by Google

τόντων πλέον ἦσαν ἀχάριστοι. ὄντως κληρονόμοι καὶ ὑμεῖς τῆς τῶν πατέρων ἀγνωμοσύνης, οὐ ῥάβδου καρυΐνης ἐπιστασίαν ἀλλὰ σιδηρᾶς χρῄζοντες.

**Τοῦ αὐτοῦ εἰς τὸν Ἰάειρον καὶ τὴν αἱμοῤῥοοῦσαν.**

δυσάγωγον τὸ τῶν ἀνθρώπων γένος εἰς ἀρετήν, ὡς ἔοικε, ϗ μικρὰ φροντίζον τῆς ἐκ λόγων διδασκαλίας. διὰ τοῦτο καὶ ὁ σωτὴρ συγκαταβὰς τοῖς ἀνθρώποις μέχρι τῆς θνητῆς καὶ ἐπικήρου σαρκός, ὡς εἶδε τοὺς Ἰουδαίους πρὸς τοὺς λόγους κωφεύοντας, μετετάξατο πρὸς τὰ πράγματα, ϗ θεραπείαν συνάπτει θεραπείᾳ
1508R. 823H. ϗ θαῦμα θαύματι, "καὶ τὴν ἀπιστουμένην "θεότητα τῇ πείρᾳ τῶν εὐεργεσιῶν ἐπιχειρεῖ βεβαίαν παριστᾶν.

εἰς δεινὸν δὲ τῷ ἀνθρώπῳ περιεστήκει τὸ πρᾶγμα, θυγάτηρ, καὶ μόνη, τῆς οἰκίας ἔρεισμα, τοῦ γένους διαδοχή, μέλλουσα φέρεσθαι πρὸ τῶν θαλάμων εἰς ἐκφοράν, πρὸ τῆς παστάδος εἰς τάφον. γυνή τις ἀσθενοῦσα χαλεπῶς διὰ φλεβῶν ἀταξίαν, καὶ πᾶσαν τὴν ζωτικὴν ὕλην κενώσασα, καὶ δαπανηθεῖσα λοιπὸν ἐκ μὲν τῆς τηκεδόνος τὸ σῶμα, τοῖς ἰατροῖς δὲ τὴν εὐπορίαν, μίαν εἶδεν ἐν ἀπόροις ἐλπίδα προσπεσεῖν τῷ κυρίῳ. ὁ δὲ κύριος τῶν ἀφώνων ἤκουσε τῆς γυναικὸς λογισμῶν, καὶ σιωπῶν σιωπῶσαν ἰάσατο, ἐπειδὴ τοῦ κρασπέδου προσήψατο. καὶ ἡ μὲν ἐνόμιζε κεκλοφέναι τὴν δωρεάν, ὁ δὲ ἐκλάπη τὴν χάριν. καὶ τέως μὲν οὐκ ἐκλαλεῖ τὴν θεραπείαν, ὕστερον δὲ δημοσιεύει, οὐ φιλοδοξῶν (ἄπαγε· ποῦ γὰρ θαυματουργίας πρόεισι φιλοδοξία;) ἀλλὰ καὶ τῆς γυναικὸς τὴν τῆς πίστεως πᾶσιν ἐπιδεικνὺς εὐκαρπίαν, καὶ τῶν παρόντων τοὺς μὲν εἰς θεογνωσίαν ἐπιστρέφων, τῶν δὲ τὴν ἀπόνοιαν ϗ διὰ τῶν ἔργων ϗ διὰ τῶν λόγων στηλιτεύων. εἶδον, φησί, τὴν ὄπισθεν ἁψαμένην· οὐ γάρ μοι μόνος ὁ ταῖς ὀφρύσιν ὀφθαλμὸς ὑποκαθήμενος καὶ τοῖς βλεφάροις σκεπόμενος, ἀλλὰ καὶ ἕτερος ὁ γῆν ὁμοῦ ϗ θάλατταν ἐποπτεύων ϗ κτίσιν τὴν σύμπασαν. σιγῇ δὲ πρόσεισιν ἡ γυνὴ δι' εὐλάβειαν, καὶ οὐ λανθάνει. ἀναγινώσκει γὰρ ὁ θεὸς ϗ σιγώντων ἡμῶν τὸν ἑκάστου νοῦν, ὡς ἡμεῖς βιβλίον παρερχόμενοι. διὸ καὶ τῆς Μωσέως σιωπώσης γλώσσης τὸ τῆς καρδίας ἠκούετο βόημα. εἰ τὴν χάριν ὁ θεὸς ἐσιώπησε, τάχα ἂν οὐδ' αὐτὴ τὴν χάριν ἡ λαβοῦσα ὠφελήθη, εἰς συντυχίαν τὸ δῶρον αἰχμαλωτίζουσα. τοῦτο τὸ θαῦμα εἶδον μὲν ἄπειρον πλῆθος, τὸ πνεῦμα δὲ τὸ ἅγιον πρὸ πολλῶν γενεῶν διὰ Μαλαχίου προεθέσπισεν. „ἀνατελεῖ" γὰρ „ὑμῖν" φησὶ „τοῖς φοβουμένοις τὸ ὄνομά μου ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ," ἥλιον μὲν δικαιοσύνης τὸν κύριον καλῶν, πτέρυγας δὲ τὰ τοῦ ἱματίου κράσπεδα.

καταμάθωμεν τῆς ἰαθείσης γυναικὸς τὸ εὐχάριστον. τῆς γὰρ Πανεάδος οὖσα πολιτείας (πολίχνη δὲ αὕτη τῆς Παλαιστίνης) ἀγάλματι χαλκῷ τὸν εὐεργέτην ἐτίμησε, τοῦτο γέρας οὐκ ἀνάξιον οἰηθεῖσα τῆς χάριτος. ϗ χρόνος πολὺς ἐτήρει τὸ ξόανον, εἰς ἔλεγχον ἀκριβῆ τῶν τὸ ψεῦδος τολμώντων ἐπιφημίζειν τοῖς εὐαγγελισταῖς. ϗ οὐδὲν ἐκώλυε σώζεσθαι τὸν ἀνδριάντα μέχρι νῦν καὶ δεικνύειν ἀμφότερα, καὶ τοῦ θεοῦ τὸ θαυμάσιον ϗ τῆς εὖ παθούσης τὸ χαριστήριον, εἰ μὴ Μαξιμῖνος, ἐκεῖνος ὁ πρὸ τοῦ Κωνσταντίνου τῆς Ῥωμαίων ἄρξας βασιλείας, ἀνὴρ εἰδωλολάτρης ϗ δυσσεβὴς ἦν, καὶ ζηλοτυπῶν ἐν τῷ ἀγάλματι τὸν Χριστὸν ἀνείλετο τῆς πολίχνης τὸν χαλκόν, εἰ καὶ μὴ τὴν μνήμην τῶν γενομένων· ἰδοὺ γὰρ "ὁ μὲν ἀνδριὰς οὐ φαίνεται, τὸ δὲ εὐαγγέλιον τὸ 824H.
θαῦμα πανταχοῦ βοᾷ καὶ κηρύσσει, καὶ ἡ αἱμόῤῥους ἀπ' ἀνίσχοντος ἡλίου μέχρι ϗ δυομένου λαλεῖται, καὶ συνέβη μάταιος πόνος τῷ δυσσεβεῖ ἡ τῆς αἰσθητῆς ὕλης κλοπή. ὁ μὲν γὰρ χαλκὸς ϗ ἔσω ϗ φαινόμενος ἐσιώπα, ἄψυχον τῶν θαυμασίων ὑπόμνημα· ἡ δὲ φήμη μετὰ τοῦ λόγου παραλαβοῦσα τὸ ἔργον καθ' ἡμέραν διατρέχει πόλεις καὶ κώμας, τὸν εὐεργέτην κηρύττουσα.

## 272.

"Ἀνεγνώσθη τοῦ μακαρίου ΛΕΟΝΤΙΟΥ, ἐπισκό- 1509R.
που Ἀραβισσοῦ, ἐκ τοῦ εἰς τὴν κτίσιν λόγου ϗ εἰς τὸν Λάζαρον.

τὸ παρὰ καιρὸν σιωπᾶν τὸ περὶ τοὺς λόγους μιμεῖται θρασύ· καὶ ὃν ἔχει ψόγον ὁ τοῖς χείλεσιν ἄσεμνος, τοῦτον ἀποφέρεται καὶ ὁ δι' ὄκνου σιγῶν. στρατηγῶν ἐστὶν ἀρίστων διὰ τῶν ἡττηθέντων ἐγείρειν τὸ κατὰ τοῦ ἀντιπάλου τρόπαιον, καὶ οἷς ἐκέχρητο βέλεσιν ὁ πολέμιος, τούτοις ἀναιρεῖν ἐκεῖνον. ἵνα οὖν μὴ τὸ σιγᾶν ἁμαρτεῖν λογισθῇ, ϗ κινδυνεύσῃ τῆς ἑορτῆς τὸ κάλλος ἐν σαπρίᾳ σιωπῆς, κἂν τολμηρὸν χείλεσιν ἀκαθάρτοις δεσποτικὰ προϊέναι μυστήρια, πρὸς τὸ παρὸν βλέπων καταθαῤῥήσω τὸν ὕμνον, τὸ λεῖπον εἰς ἀξίαν καταπιστεύων τῷ θαύματι· ὁ γὰρ τῆς τοῦ θανόντος ἀναχόμενος δυσωδίας, ἵνα τῆς οἰκείας φιλανθρωπίας ἐπιδείξηται τὸ εὐῶδες, καὶ τὸ ἐμὸν στόμα τῷ τάφῳ

a. 4. τοῦ αὐτοῦ — b 25. κηρύττουσα om B. 13. τῷ add A. 34. θάλασσαν ς. 37. παρερχόμενοι] περιεχόμενοι A.
b. 1. ἡμῖν A. 6. πανιάδος A. 36. ἀναιρεῖν ἐκεῖνον] ἀναιρεῖνον pr A, ἀναιρεῖν αὐτὸν corr.

Digitized by Google

συνεξανοίξει Λαζάρου, περικαθαίρων τοῦ βίου τὴν κηλῖδα ὡς ἐκείνου τὴν νέκρωσιν. ἐζωογόνει τὰ ὕδατα ἡ φωνή, ἔτικτεν ἡ ξηρά, καὶ συνουσίας ἄνευ ὁ τοκετὸς ἐπληθύνετο. τί λέγεις, αἱρετικέ; βλέπεις ἀντὶ καταβολῆς σπέρματος τὸ τοῦ λόγου γινόμενον πρόσταγμα, ϗ πῶς ἀμφίβολον λέγεις τῆς παρθενικῆς γεννήσεως τὸ μυστήριον; ἃ γὰρ νῦν σπέρματος ἄνευ οὐ τίκτεται, τούτοις ἡ φωνὴ τότε συνέτρεχε τοῦ καλοῦντος πρὸς γέννησιν, καὶ συλλήψεως τρόπον ὁ τῆς κελεύσεως ἐμιμεῖτο νόμος, ϗ διὰ μιᾶς φωνῆς ἐσαρκοῦτο τὰ πάντα. καὶ ὁ τότε σαρκώσας τὴν κτίσιν καὶ σπόρον ἀσπόρως χορηγήσας τοῖς πᾶσιν αὐτὸς ἀπὸ λογικῆς σαρκωθεὶς γῆς προῆλθεν ἀσπόρως, τὴν διὰ σαρκὸς φυτευθεῖσαν τοῦ θανάτου ῥίζαν τῇ δρεπάνῃ τῆς παρθενικῆς ἐκκόπτων γεννήσεως. ἐν παραδείσῳ θέμενος ὁ πλάσας τὸν ἄνθρωπον ἐργάζεσθαι καὶ φυλάττειν προσέταξεν, ἵνα μὴ τῇ ῥᾳθυμίᾳ δεδωκὼς τῆς ἐξουσίας τὸ ἕτοιμον ἀφύλακτος γένηται πρὸς ἐπιβουλὴν τοῦ ἐχθροῦ, φθόνου πρόσοδον τοῦ θεοῦ ποιούμενος τὰ χαρίσματα. ταῦτα ἰδὼν ὁ τοῖς ἡμετέροις ἀεὶ βασκαίνων καλοῖς ἀπροφάσιστον καθ' ἡμῶν ἔχθραν ἀνελάμβανε. φιλεῖ γὰρ τῶν βασκάνων ἡ φύσις πολεμεῖν ἀναιτίως, ἐξ ἑαυτῆς σπερματίζουσα τῆς κακίας τὴν ὕλην, καὶ τὴν κατὰ πρόφασιν μάχην ὡς ἐφύβριστον παραι- 825 H. τεῖται, ἀσθενείας ταύτην λογιζομένη ὑπάρχειν ἔλεγχον. ῥιφεὶς δὲ τῶν ἄνω ὁ ἐχθρὸς ἐπολέμει τοῖς κάτω, βασιλείαν ἐκδικῶν μετὰ πτῶσιν, ἣν ἔχειν ἔσω οὐκ ἠδύνατο. καὶ κατὰ τῆς Εὔας ἐστρατοπέδευε, βέλεσιν αὐτὴν κατατοξεύων ἀπάτης, καὶ ἔπληττεν ἀνωδύνως, ὡς ξίφει χρώμενος τῇ ἐκείνης προθέσει, κἀκείνην λαμβάνων τῆς οἰκείας ἀναιρέσεως ὑπουργόν. ὅθεν, ἐπειδὴ τὴν σφαγὴν ἀναίμακτον ἐπετέλει, οὐδὲ φονευτὴς ἐνομίζετο, ἀλλ' ὡς ἀγαθὸς σύμβουλος ἐπιστεύετο, τῇ ἁπαλότητι τῆς μαχαίρας μαλακύνων τὰ τραύματα ϗ γλυκεῖαν δεικνὺς τῆς ἀλγηδόνος τὴν αἴσθησιν. ἡ δὲ διὰ χειρὸς ἀπειθοῦς ἀποστασίας γράφουσα νόμον, ἐτρύγα καρπὸν ὡραϊζόμενον παραβάσει καὶ τῇ ἀκμῇ πεπαινόμενον τοῦ θανάτου. τῆς Εὔας προπετῶς γευσαμένης τοῦ ξύλου, αὐτὸς τὸν ἐκείνης ὀρεγόμενος ὄλεθρον ἄπεπτον εἶχε τῆς κακίας τὴν βρῶσιν, καὶ 1512R. λιμῷ τῆς τηκομένης τρεφόμενος καὶ τὴν ἐκείνης ἐνδυόμενος γύμνωσιν, πορφυρίδα βασιλικὴν τὰ τῆς συκῆς ἐλογίζετο φύλλα. εἶδεν ἄνωθεν τὴν ἀδικίαν ὁ θεός, καὶ παριδεῖν οὐκ ἠνέσχετο, τὴν ὕβριν τοῦ πρώτου πλάσματος ἑαυτοῦ λογιζόμενος. καὶ κάτεισι δικάσων, κἂν πρὸς τὴν δίκην οὐκ ἐθάῤῥουν ἐλθεῖν οἱ ὑπεύθυνοι, φυγάδες γινόμενοι καὶ τοῖς φθάσασι προστιθέντες καὶ ἄλλο πλημμέλημα. τοπικὴν ἐλογίζοντο τοῦ θεοῦ τὴν ἐπίσκεψιν. „Ἀδὰμ ποῦ εἶ;" οὐκ ὀργιζομένου ἀλλ' ἐλεοῦντος ἡ φωνή· οὐκ ἀποστρεφομένου ἀλλ' ἐλεοῦντος ἡ κλῆσις. παρηλλαγμένον βλέπω τῆς βασιλείας τὸ σχῆμα, ἐνηλλαγμένην τῆς ἀξίας τὴν τάξιν.

„ποῦ εἶ; τῆς φωνῆς σου ἤκουσα περιπατοῦντος, καὶ ἐκρύβην." ἤρκεσέ μοι πρὸς δειλίαν τῶν ποδῶν ἡ φωνή· τοιούτου γὰρ δικαστοῦ ὅλα φωνὴν ἔχει τὰ μέλη, ὅταν πρὸς ὑπεύθυνον ἔχῃ τοιοῦτον. οὐκ ἔχω παῤῥησίαν φωνῆς. δέξαι τὸν φόβον ϗ τὸ ἐμὸν βεβαιοῦντα πλημμέλημα καὶ τῆς σῆς γινόμενον δικαιοκρισίας συνήγορον. νικῶσαν ἔδειξα δραπετεύσας τὴν ψῆφον ἀπεγύμνωσα τῇ φυγῇ τὰ ἐγκλήματα, ἀσυνηγόρητα δείξας τὰ πταίσματα. „ἡ γυνή, ἣν ἔδωκάς μοι, αὐτή μοι ἔδωκε, ϗ ἔφαγον." ἔσχε φιλάνθρωπον δικαστήν, ϗ εὗρε πρόφασιν συμπαθῆ. ἐπὶ τὸ ἀσθενὲς καταφεύγει τῆς Εὔας, ὑπεκλύων τοῦ δικαστοῦ τὴν ἐπίτασιν. ὢ μακροθύμου δικαστοῦ! ἀφῆκεν ὅλον εἰς τὸν ὄφιν συναχθῆναι τὸ αἴτιον, ἵνα κουφότερον καταστήσῃ τοῖς ἐπιβουλευθεῖσι τὸ ἔγκλημα. „ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν ϗ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς" ὡς κατὰ πάσης ἐκζέσας τὴν ἀδικίαν τῆς κτίσεως. οὐρανοὺς ἐνύβρισας, τῷ ἰῷ ῥυπώσας τοῦ φθόνου. ἀγγέλους ἐλύπησας τῇ ἀποστασίᾳ, νομίζων ἐλαττοῦν τῶν ὑμνολόγων τὸ μέτρον, οὐκ εἰδὼς ὅτι τῷ χωρισμῷ τοῦ χείρονος πλεονάζει τὸ κρεῖττον. „πληθύνων πληθυνῶ τὰς λύπας σου" καὶ ἑξῆς. βαβαὶ τῆς δεσποτικῆς συμπαθείας. ἀγανάκτησις φιλανθρωπίαν ὑπερβαίνουσα νόμου λύπας ὁρίζει ϗ στεναγμούς, ἵνα ταύταις ἐγκαρτεροῦσα τὸν ἐκ τῆς τέρψεως ἀποδύσηται θάνατον. πλατύτητα γένους ἀπειλῶν εὐαγγελίζεται· προσθήκην 826B διαδοχῆς ὑπισχνεῖται λυπούμενος· μητέρα κόσμου χειροτονεῖ ὀργιζόμενος, εἰς προκοπὴν ἄγων τὴν πταίσασαν. „ἐν λύπαις τέξῃ τέκνα." διὰ γαστρὸς παιδεύει, δι' ἧς προῆλθεν εἰς ὄλισθον. ἡ τὸν κεκωλυμένον ὑποδεξαμένη καρπὸν αὐτὴ μαστιζέσθω τοῖς τοῦ τόκου πόνοις, ϗ τῆς προπετοῦς ἐπιθυμίας τὴν βλάβην

a. 1. τὴν om pr *A*, ante τοῦ ponit *B*. 7. οὐ om *A*. 18. τοῦ ἐχθροῦ om *A*. 20. βασκαίνων ἀεὶ *A*: 25. ταύτην *A*: ταῦτα ς. 27. ἔχειν om *A*. 34. ἁπαλότητι *B*: ἁπλότητι ς. 36. δὲ] δὴ *B*. 37. τῇ om *A*.
b. 15. βεβαιοῦντα *A*: δικαιοῦντα ς.

Digitized by Google

συστέλλουσα, καὶ τὴν πλατύτητα τοῦ γένους ἀντιτιθεῖσα τῷ ὄφει, καὶ διὰ πολλῶν καταβάλλουσα τὸν δι᾽ ἑνὸς καυχησάμενον. λυπουμένη τίκτε σωφρόνως, ἐπειδὴ χαίρουσα τέτοκας ἀσυμφόρως. „καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου.“ ὑπεξούσιον. τὴν Εὔαν ποιεῖ τῷ ἀνδρί· τὸ γὰρ ἄναρχον ἀνωφελὲς τοῖς ἐξ ἑαυτῶν σωφρονεῖν οὐκ εἰδόσιν. „καὶ αὐτός σου κυριεύσει.“ δέχου τὸν ἄνδρα κύριον ϗ μὴ τὸν ὄφιν δεσπότην, ἐκεῖθεν ὁδηγουμένη πρὸς κρείττονα βίον, ὅθεν ληφθεῖσα προῆλθες εἰς γένεσιν. „ϗ τῷ Ἀδὰμ εἶπεν“ ϗ ἑξῆς. ἄλλη φιλανθρωπίας ἀπόδειξις, τῆς προτέρας νικῶσα τὸν ἔπαινον· θυμὸς πατρικῆς γέμων στοργῆς, ἀπειλὴ μιμουμένη παράκλησιν. ἔδει μέν σε (φησίν) ἐμοὶ πειθαρχοῦντα μὴ δέξασθαι γυναικὸς συμβουλήν, μηδὲ τὸν ὑπὸ τῆς ἐμῆς χειρὸς γραφέντα νόμον δακτύλοις ἀπαλεῖψαι τῆς Εὔας· ἐπεὶ δὲ σχέσει γυναίου ἄσχετον ἔχεις τοῦ κακοῦ τὴν ὁρμήν, δέχου νόμον τοῖς σοῖς ἁρμόζοντα πταίσμασιν. „ἐπικατάρατος ἡ γῆ.“ ὁ Ἀδὰμ ἥμαρ-
1515R. τε, καὶ ἡ γῆ τὴν δίκην εἰσπράττεται. ἐκεῖθεν ἀρχὴν δέχεται ἡ παιδεία, ὅθεν ἐβλάστησε τῆς ἀπάτης τὸ αἴτιον. ἐπειδὴ τοῖς φυτοῖς ἐφαλλόμενος τῶν ἐμῶν ἀπεσκίρτησας ἐντολῶν, ἀκάνθαις ἔσο συνεχόμενος ϗ τριβόλοις. σοφῶν ἐστὶν ἰατρῶν τῆς νόσου τὴν ὕλην εἰς φάρμακον μετασκευάζειν ὑγείας, καὶ τὰ νομιζόμενα βλάπτειν ἐπωφελῆ δεικνύειν τοῖς κάμνουσι. πολυσχιδὴς ἡ τοῦ ὄφεως γλῶσσα, ἀκάνθας καὶ τριβόλους μιμουμένη, ἀπὸ μιᾶς φυῆς εἰς τρία διαιρουμένη κέντρα. ταύτην ἔλαβεν εἰς συμμαχίαν ὁ βάσκανος ὡς πρὸς αὐτὴν μαχόμενος τὴν τριάδα, ϗ διὰ μιᾶς τοῦ Ἀδὰμ εἰκόνος ὅλον τῆς θεότητος ἐνυβρίζων τὸ πλήρωμα. ὅθεν, ἐπειδὴ ταύτῃ πεισθεὶς ἠπείθει θεῷ, διὰ τῶν ὁμοίων δέχεται τὴν παιδείαν, ἵνα ταύτῃ λυπούμενος χαλεπαίνῃ τῷ ὄφει, ἀκατόρθωτον ἔχων τὴν πρὸς ἐκεῖνον φιλίαν. ἔβλεπε νοσοῦσαν τὴν κτίσιν ἀνίατα, ἑνὶ κρατουμένην ἀσεβείας συνθήματι, καὶ τρόπον οὐκ εἶναι διορθώσεως ἕτερον, εἰ μὴ φθάσας ὁ φύσεως ϗ γνώμης θεραπεύων τὴν ἰατρείαν παράσχοι τοῖς κάμνουσι, τότε θεραπεύειν εἰδώς, ὅταν ὅλην λάβῃ τὴν ὑγείαν ἡ νόσος. διὸ ἔλεγεν „κύριε κλῖνον οὐρανοὺς καὶ κατάβηθι“ καὶ πολλὰ τοιαῦτα. ἐμιμήσατο Ἰωάννην ὁ Λάζαρος· ἐκεῖνος ἐν τῇ κοιλίᾳ τῆς τεκούσης ἐσκίρτα τῆς πλάνης ἀγαλλόμενος τὴν κατάλυσιν, ϗ οὗτος ὡς ἐν μήτρᾳ τῷ τάφῳ τῶν πλανηθέντων ἐχόρευε τὴν ἀνάκλησιν. ϗ διπλῆν εἶχε τάξιν τὸ θαῦμα, ϗ τὴν δεσποτικὴν μεγαλύνουσαν χεῖρα, ϗ τὴν τῶν Ἑβραίων ἀμβλύνουσαν γλῶσσαν. ὁ νεκρὸς ἐπειθάρχει, καὶ οἱ ζῶντες ἠπείθουν. ἐβλασφήμουν τὸν ᾅδην ὡς 827 H. προδεδωκότα τὸν Λάζαρον, ἐλοιδόρουν τὸν Χριστὸν ὡς καινοτομοῦντα τὴν ἔγερσιν. θεολογίαν εἶχεν ὁ τῶν παίδων ὕμνος· προφητείαν ἐλάλουν· ἕνα καὶ τὸν αὐτὸν ὡμολόγουν τῶν ἄνω ϗ τῶν κάτω, ϗ χωρισμὸν οὐκ εἶχεν ὁ τόπος. βάϊα φοινίκων ἐκράτουν, οὐ φοίνικας· οὔπω γὰρ τὴν ἀκαρπίαν παρελθόντες τοῦ νόμου τῶν τῆς χάριτος ἀπεγεύσαντο γλυκασμάτων, ἐπειδὴ ὁ Χριστὸς οὔπω τὴν πικρὰν τοῦ ὄφεως ἀναρριζώσας φυτείαν τὸν τῆς ἀφθαρσίας ἐγεώργησε γλυκασμόν.

## 273.

Ἀνεγνώσθη ἐκ τῶν τοῦ μακαρίου ΘΕΟΔΩΡΗΤΟΥ λόγων, οὓς εἰς τὸν ἐν ἁγίοις Ἰωάννην τὸν Χρυσόστομον συνετάξατο· ὧν ἡμεῖς πέντε τέως εἴδομεν, ἐξ ὧν ϗ τινας ἐκλογὰς τὰς ὑποτεταγμένας παρεγραψάμεθα.

ὅτι τῶν πέντε λόγων ὁ πρῶτος ἄλλου πρὸ αὐτοῦ δοκεῖ διαδέχεσθαι ἢ μέρος αὐτοῦ εἶναι. πλὴν διαλαμβάνει ὅθεν τε μετάκλητος εἰς Κωνσταντινούπολιν ἧκε, καὶ ὅπως αὐτῆς ἀρχιερεὺς κατέστη, καὶ ὡς τὴν ἱερωσύνην ϗ ἀρχιερωσύνην εἰς τὸν ἀρχαῖον κόσμον ἐπανάγειν ἐπειρᾶτο σπουδῇ πάσῃ· καὶ ὅσα πρὸς Γαϊνᾶν τοῦτο μὲν ὁ γενναῖος ἐπιστομίζων Ἰωάννης, τοῦτο δὲ ὑπὲρ τῶν κοινῶν τῆς πολιτείας διαπρεσβευόμενος πραγμάτων διεπράξατο· καὶ ὡς φθόνος αὐτῷ τὴν ὑπερορίαν ἐψηφίσατο· καί τινα τῶν μέχρι τέλους ἱστορῶν τῷ θεσπεσίῳ ἀνδρὶ διηνυσμένων, τὰ πολλά, μᾶλλον δὲ τὰ πλεῖστα, παρατρέχει. ὁ δὲ ἐφεξῆς λόγος ἐπαίνους τινὰς ὀλιγοστίχους, καὶ αὐτὸς ὀλιγόστιχος ὤν, διαπεραίνει, ἀρχόμενος ὧδε „πάλιν ἡμῖν Ἰωάννου τὸ μνημόσυνον.“ ὁ δὲ μετὰ τοῦτον ἐγκωμίων μὲν ϗ αὐτὸς ὑπέρχεται νόμους, διαφέρει δὲ τῶν πρὸ αὐτοῦ τῇ 1516R. καλλονῇ τῶν τε ῥημάτων καὶ τῶν νοημάτων. προοιμιάζεται δὲ οὕτω „πολυστόμου τὴν παροῦσαν ὑπόθεσιν σάλπιγγος δεομένην ἐν παιδικῇ νῦν ὁρῶ κινδυνεύουσαν γλώττῃ, καὶ κάλλος ἀθλητοῦ μυρίαις συγγραφόμενον τέχναις ἀσθενεῖ νῦν, εἰς γραφὴν ἐμοὶ τεχνίτῃ προκείμενον.“ τὸ μὲν προοίμιον τοιοῦτον.

ἄλλος αὐτὸν ἕλκει βοηθὸν ἁρπαζόμενος, ἄλλος καλεῖ δικαζόμενος σύνδικον· ἄλλος πεινῶν ὑπὲρ τροφῆς ἱκετεύει, γυμνὸς ὑπὲρ ἐνδύματος· ἄλλος αὐτὸν

a. 2. libri καταβαλοῦσα. 22. ἔσο A: ἔστω ς. 38. λάβοι ς.
b. 2. μεγαλύνουσα et 3. ἀμβλύνουσα A. 9. βαΐα B. 12. ὁ om A. 20. δέχεσθαι ς. 32. τὸ Ἰωάννου A.

ἀποδύει· ἄλλος πενθῶν εἰς παράκλησιν δεῖται· δεσμῶν ἕτερος ἀπολυθῆναι βοᾷ. ἕλκει τις αὐτὸν ἄλλος πρὸς νόσων ἐπίσκεψιν· ξένος αἰτεῖ καταγώγιον· ἕτερος παραστὰς χρέος ὀδύρεται· ἄλλος ἐπόπτην καὶ διαλλάκτην τῶν κατ' οἶκον μεταπέμπεται στάσεων. οὐδὲ δοῦλος πρὸς ἄλλον καταφεύγει, δεσπότου πικρὰν ἀλοφυρόμενος ἀγανάκτησιν. χήρα βοᾷ τὸ ἐλέησον· ἄλλη τὴν ὀρφανίαν ὀδύρεται. μυρίαι τῷ πατρὶ καθ' ἑκάστην πρὸς ἑκάστους ὑπὲρ ἑκάστου τροπαί. ἁρπάζεταί τις, καὶ συνήγο-
828 H. ρος ὁ πατήρ· λιμὸς ἐνοχλεῖ, καὶ τροφεὺς ἐκ συνηγόρου γίνεται· νοσεῖ τις, καὶ εἰς ἰατρὸν ὁ τροφεὺς μεταβάλλεται· πένθει τις περιπέπτωκε, καὶ ὁ νοσοκόμος εὑρίσκεται παραμύθιον· ξένων ἐπέστη φροντίς, καὶ ξενοδόχος ὁ πάντα γεγονὼς ἀναδείκνυται. καὶ τί χρὴ καθ' ἕκαστον λέγειν; ὅσα χρόνου μέρη τὸν ἐκείνου βίον διεμέτρησεν, ἵνα μὴ τὴν ἀρχιερωσύνην μόνην λέγω, τοσαύτη τοὺς ἀνθρώπους ἔργων σωτηρίων ποικιλία προϊοῦσα οὐ διέλιπεν. ὦ στρατιῶτα καὶ μετὰ τελευτὴν ἀριστέως! ὦ λυπηροῦ τοῖς ἐχθροῖς καὶ μετὰ τάφον ὁπλίτου! ὦ παναρμονίου λύρας, τελευτῇ λελυμένης! ὦ δικαστηρίων τηλικοῦτον ῥυθμιστὴν ἐζημιωμένων! ὦ σωτηρίου τοῖς ἀνθρώποις εἰς οὐρανὸν ἀναρπασθείσης σαγήνης! ὦ δένδρου πρὸς οὐρανὸν καὶ γῆν μερισθέντος, καὶ τῇ μὲν τὸ σῶμα τῷ δὲ τὴν ψυχὴν παρασχόντος! ἐν τάφῳ τὸ τῆς ἐκκλησίας συγκέκλεισται στόμα. οἷος εὐσεβείας ἐξ ἀνθρώπων ὀφθαλμὸς ἀνηρπάσθη! οὐ τέθνηκας, ὦ μακάριε πάτερ, ἀλλ' ὡς ἥλιος ἔδυς. οὐχ ὡς ἀποθανόντος ἀλγοῦμεν, ἀλλ' ὡς ἡμῖν κεκρυμμένου· οὐχ ὡς τεθνεῶτα ζητοῦμεν, ἀλλ' ὡς εἰς οὐρανοὺς μεταστάντα. Ἀλλὰ τοιαῦτα μὲν καὶ ὁ τρίτος λόγος.

Ἐγκωμιαστικοῦ δὲ τύπου καὶ ὁ τέταρτος διασώζει, ἐκ τοῦ δεῖν τιμᾶν πατέρας τῶν ἐπαίνων ἀπαρχόμενος· οὗ ἐστι καὶ ταῦτα. Τούτων τῶν ποιμένων εἷς καὶ ὁ Ἰωάννης, ἡ ἄκακος σύνεσις, ὁ πολυόμματος νοῦς, τῆς εὐαγγελικῆς ἐμπειρίας ἡ βίβλος, ὁ κηροῦ πρὸς διαλλαγὰς εὐπλαστότερος, τὸ πρὸς χαρίσματα πέλαγος, ὁ πρὸς δόλους πολεμούντων ἀκέραιος, τῆς ἐκκλησίας ὁ περίβολος. οὐδεὶς ὑποκρίσεως αὐτὸν διελάνθανεν ὄφις. πόθεν σοι βούλει δείξωμεν τὸν Ἰωάννην πολύτιμον; ἐκ φιλοξενίας; καὶ τίς Ἰωάννου φιλοξενώτερος; ἐκ τῆς ἐν προστασίαις στεῤῥότητος; καὶ τίς αὐτὸν δυναστεία κατῄδεσεν; ἐκ τῆς περὶ τὴν ἐκκλησίαν σπουδῆς; καὶ τίνος ἡ τῆς ψαλμῳδίας τῶν δημοτικῶν ταγμάτων μέχρι νῦν εὐρυθμία; Ἀλλὰ τοιαῦτα μὲν καὶ οὗτος ὁ λόγος.

Ὁ δ' ἐφεξῆς τοὺς αὐτοὺς μὲν τῶν ἐγκωμίων πλέκει στεφάνους, λαμπρότερον δέ πως τὴν τῶν νοημάτων ἰσχὺν ἀπαγγέλλει. ἐοίκασι δ' οὗτοι πάντες οἱ πέντε λόγοι μετὰ τὴν ἀπὸ τῆς ὑπερορίας ἀνακομιδὴν συντετάχθαι. τοῦ δὲ νῦν λόγου μέρος εἰσὶν αἱ περικοπαὶ τῶν ὑποκειμένων ῥημάτων.

"χρῆσον ἡμῖν ὦ πάτερ τὴν λύραν τὴν σήν· τὸ 1517 R.
σὸν εἰς τὴν σὴν εὐφημίαν δάνεισον πλῆκτρον. εἰ γὰρ καὶ αἱ χεῖρες ἐλύθησαν τῷ νόμῳ τῆς φύσεως, ἀλλ' ἡ λύρα διὰ πάσης τῆς οἰκουμένης ἠχεῖ τῷ δώρῳ τῆς χάριτος. ἐκείνης ἡμῖν τῆς ἀθανάτου γλώττης μετάδος· μόνη γὰρ ἡ σὴ γλῶττα τῶν σῶν κατορθωμάτων ἀξία. διὰ ταῦτα Ἰωάννης Ἰωάννην ἀπείληφεν, ὁ πεπαῤῥησιασμένος τὸν ζηλωτήν, ὁ μετὰ θάνατον ἐλέγχων τὸν κηρύττοντα μετὰ θάνατον, ὁ τῆς ἐρήμου πολίτης τὸν πάσης πόλεως σωφρονιστήν. "ἔχεις καὶ 829 H.
ἄλλην πρὸς τοὺς ἀποστόλους συγγένειαν. πρῶτος παρὰ τοῖς ἁμαξοβίοις Σκύθαις θυσιαστήρια ἔπηξας· καὶ μόλις τῶν ἵππων ἀποπηδήσας ὁ βάρβαρος ἔμαθε γόνυ κάμπτειν καὶ εἰς ἔδαφος ἐξαπλοῦσθαι. καὶ ὁ τοῖς τῶν αἰχμαλώτων δάκρυσι μὴ καμπτόμενος ἔμαθεν ὑπὲρ ἁμαρτημάτων δακρύειν. ναὶ μὴν καὶ τὸν τοξότην Πέρσην ἀντετόξευσας τῷ κηρύγματι, καὶ σιδηροφοροῦντες προσκυνοῦσιν ἐκεῖνοι τὸν σταυρωθέντα. ἐνίκησεν ἡ σὴ γλῶττα Χαλδαίων καὶ μάγων μαγγανευτήρια, καὶ ἡ κεχερσωμένη Περσὶς εὐκτηρίους οἴκους ἐβλάστησεν. οὐκέτι τῆς εὐσεβοῦς θρησκείας τὰ Βαβυλῶνος ἀλλότρια. ταῦτά σε τοῖς ἀποστόλοις συνέταξεν. ἔτι παρ' ἡμῖν τὰ σπέρματα τῆς σῆς γλώττης ἀνθεῖ· κἂν Ἰωάννην τις ὀνομάσῃ, πολὺς ὁ ἦχος ἐκκρούεται. ἡ γὰρ ἐκκλησιαστικὴ λύρα τὸ ἀρχαῖον πλῆκτρον ἐπιγινώσκει, καὶ ἀντὶ δακτύλων ἀρκοῦσιν αἱ τοῦ σοῦ ὀνόματος συλλαβαί. ἔβλεπεν ἡ βασιλὶς πόλις τὰ ἐκ Σηρῶν ὑφάσματα, καὶ διέπτυεν· ἐθεώρει τοὺς ἐξ Ἰνδῶν λίθους, καὶ κατεφρόνει· οὐδὲ τῆς Τύρου τὸ ἁλουργὲς αὐτὴν ἔτερπεν ἄνθος. πηλίνην ἐπόθει γλῶτταν, ἀθάνατα διδασκαλίας προχέουσαν νάματα. εἶδέ σε καὶ Ἔφεσος ἡ ἀρχαία, καὶ νέον Ἰωάννην προσεῖπεν. εἶδε, καὶ εὐαγγελικῆς ὑπεμνήσθη βροντῆς. ἐντεῦθεν, ἀγαπητοί, τὸ ῥεῦμα τοῦ

a. 15. λέγειν om A. 20. παναρμονίου B: παναρμονίας ς. 26. ἐξ add A. 30. τρίτος B: τρίτος ἢ τέταρτος ὁ λόγος om B. 39. libri δείξομεν.
b. 13. δώρῳ] λόγῳ A. 25. ναὶ A: καὶ ς. 31. συνέταξεν A: συνέζευξεν ς. 36. ἔβλεπεν — 509 a 23. σιφών om B. σιφῶν ς.

Digitized by Google

λόγου τραχύνεται· ἀλλὰ μὴ φύγωμεν τὴν τραχύτητα, τῆς εἰρήνης λοιπὸν ὁδοποιούσης τῷ ῥεύματι. εἰ γάρ τι πρὸς τοὺς σοὺς ναύτας ὦ πάτερ ἀγανακτεῖς, εἴ τι πρὸς τοὺς συμπεπλευκότας λυπῇ, ἐννόησον ὅτι χειμὼν καὶ κλύδων καὶ θάλασσα βρασσομένη ἠνάγκασεν αὐτοὺς καὶ ἄκοντας τὸν Ἰωνᾶν προσρῖψαι τοῖς κύμασιν. οὐκ ἐκείνων μῖσος ἀλλὰ σὸν γυμνάσιον τὸ συμβάν· οὐκ ἐκείνων πόλεμος ἀλλὰ σὸς ἀγὼν τὰ γενόμενα. οὐκ ἐκεῖνοι τῆς ἀδελφικῆς ἀπηνέχθησαν ψήφου, ἀλλ' ἔδει καὶ σὲ τὸν δίαυλον τῶν μαρτύρων δραμεῖν. ἀπόρρητός τις οἰκονομία σκάμματά σοι καὶ διαύλους ηὐτρέπισε. πάντως ἐρρέθη καὶ περὶ σοῦ πρὸς τὸν κοινὸν ἀντίπαλον τῆς ἀνθρωπότητος „προσέσχες τῇ διανοίᾳ σου κατὰ τοῦ θεράποντός μου Ἰωάννου;" καὶ ἑξῆς. ἐχρεωστεῖτο τῷ λαμπρῷ βίῳ καὶ ἡ λαμπρὰ τελευτή. ἐπάλαιε μὲν τῷ Ἰὼβ ὁ διάβολος, ἐδόκουν δὲ προσκρούειν οἱ φίλοι· διὰ τοῦτο ὕστερον ὁ θεὸς ἐξιοῦται τοὺς φίλους, καὶ τοῖς φίλοις φίλον τὸν Ἰὼβ ἀποδίδωσι. τοῦτο καὶ νῦν ὥσπερ αἰσθάνομαι γεγονός, ὦ πάτερ· καὶ τὰς δεξιὰς τῶν πατέρων ἀλλήλαις συνεφαπτομένας φαντάζομαι. ἀπέλαβεν Ἰὼβ πολυπλασιασθέντα τὰ κτήματα· ἀπέλαβες καὶ σὺ μετὰ προσθήκης τὴν παρὰ πάντων τιμήν. Τοῦτον τὸν ἔσχατον λόγον ἡ ἐπιγραφὴ ἐν τῷ ἀποστολείῳ εἰρῆσθαι λέγει· τὸ δὲ προοίμιον αἰνίττεται ὡς ἄλλων προειπόντων ὁ συγγραφεὺς μετ' ἐκείνους δημηγορεῖ· ἔχει γὰρ οὕτως „ἐπειδὴ
1520 R. κἀμὲ πρὸς τὸ λέγειν ὁ κύκλος ἀνίστησιν, ἐπειδὴ τὸ σύνθημα πρὸς τὴν κοινὴν χορείαν ἐγείρει, ἐπειδὴ δεῖ
830 H. κἀμὲ πρὸς εὐφημίαν πατρικὴν ἀνακρούσασθαι μέλος, καὶ πολλοὶ μὲν οἱ τὸ ὄφλημα τὸ ἀπαραίτητον ἀπαιτοῦντες, παρ' ἡμῖν δὲ οὐδὲν τῆς πατρικῆς ἐφάμιλλον ἀρετῆς, χρῆσον ἡμῖν ὦ πάτερ Ἰωάννη τὴν λύραν τὴν σήν."

## 274.

Ἀνεγνώσθη ἸΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ἐκ τοῦ ἐγκωμίου τοῦ εἰς τοὺς ἁγίους μʹ μάρτυρας.

ἐγκωμιάζονται μάρτυρες οὐχ ἵνα αὐτοὶ τὸν ἔπαινον λάβωσιν, ἀλλ' ἵνα ἡμεῖς διὰ τῶν ἐπαίνων διαναστῶμεν πρὸς τὴν μίμησιν. ἐθλίβησαν καὶ δίκαιοι καὶ ἄδικοι, ἀλλ' οἱ μὲν εἰς γυμνάσιον δικαιοσύνης, οἱ δὲ εἰς ἔλεγχον ἁμαρτίας. διὰ τοῦτο τὰ μὲν τῶν δικαίων πάθη θλίψεις ἡ γραφὴ καλεῖ, τὰ δὲ τῶν ἁμαρτωλῶν μάστιγας. „μακάριοι οἱ ὀφθαλμοὶ ὑμῶν ὅτι βλέπουσιν," ἀντὶ τοῦ ὅτι καταμανθάνουσιν. εἰ γὰρ ἀπὸ τοῦ ὁρᾶν ἦν ὁ μακαρισμός, καὶ οἱ Ἰουδαῖοι τὸν σωτῆρα ὀφθαλμοῖς ἰδόντες ἐμακαρίζοντο ἄν. καὶ γὰρ τὸ βλέπειν παρὰ τῇ γραφῇ τὸ τῷ νοερῷ τῆς ψυχῆς ὄμματι καταλαμβάνεσθαι δηλοῖ, καὶ τὸ τὰ βάθη καθορᾶν τῆς ἀληθείας. διὰ τοῦτο καὶ ἐν τοῖς ἀρχαίοις τοὺς προφήτας βλέποντας ἐκάλουν. μακαρίζει τοίνυν ὁ σωτὴρ τὰ ὄργανα τῆς ἀρετῆς, κἂν τοῦ σώματος ᾖ, ὀφθαλμοὺς καλῶς βλέποντας καὶ ὦτα διακριτικῶς ἀκούοντα. δεῖ γὰρ ἀκούσαντα νοῆσαι καὶ νοήσαντα ὑπακοῦσαι κατὰ τὸ γεγραμμένον „ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου" ἀντὶ τοῦ ὑπάκουσον, νόησον. ὥσπερ δεξαμενὴ σωλῆνι προσκέκλιται ῥέοντι, οὕτως ἡ ἀκοὴ τῷ δικαίου προσκέκλιται τοῦ θείου νόμου τοῖς νάμασιν. „κλινῶ γὰρ εἰς παραβολὴν τὸ οὖς μου." διὰ τί κλινῶ; ἐπειδὴ πᾶσα ὑδρία δεχομένη ὕδωρ κεκλιμένῳ τῷ σχήματι δέχεται, διὰ τοῦτο καὶ πᾶσα ἀκοή, δεχομένη τοῦ θείου λόγου τὰ ῥεύματα, προσκεκλίσθαι τούτοις λέγεται. μακαρίζω τὰς τῶν μαρτύρων πλευράς, αἳ τὴν τῆς εὐσεβείας πλευρὰν ἀήττητον ξεόμεναι ἔδειξαν, τὴν εὐσέβειαν μὴ ἀποσμήξασαι· καὶ γὰρ ἐπλήττοντο ὡς ἐπίπαν τὰς πλευράς, ἐπειδὴ ἀπὸ πλευρᾶς ἡ ἁμαρτία ἐβλάστησεν. ἁμαρτία δὲ οὐχ ἡ γυνή· θεοῦ γὰρ πλάσμα καὶ αὐτή· ἀλλ' ὅτι δι' ἐκείνης ὁδὸν εὗρεν ἡ παράβασις. ξέονται οὖν οἱ μάρτυρες τὰς πλευράς, ἐξ ὧν ἐπήγασεν ἡ ἁμαρτία. καὶ ὁ σωτὴρ δὲ διὰ τοῦτο κατὰ τὰς πλευρὰς ἐδέξατο τὴν λόγχην, καὶ ἐξῆλθεν ὕδωρ καὶ αἷμα, τοῦ κόσμου καθάρσιον καὶ τῆς παλαιᾶς ἐκείνης πληγῆς ἀλεξητήριον. ὥσπερ δὲ μέλη δικαίων ἐγκωμιάζονται κατὰ μέρος, οὕτω καὶ μέλη ἀσεβῶν στηλιτεύονται καὶ ταλανίζονται κατὰ μέρος. „μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσῃ με." ποὺς ὑπερηφανίας ἡ ὁδὸς τῆς ὑπερηφανίας, χεὶρ δ' ἡ πρᾶξις, οἷον μήτε πρᾶξις ἁμαρτίας μήτε τρίβος προσέλθῃ μοι, μηδὲ προκοπή. διὸ καὶ Μωϋσῆς οὖς τὸ δεξιὸν τοῦ ἱερέως αἵματι τοῦ ἀμνοῦ χρίει, καὶ τὸ ἄκρον τῆς δεξιᾶς χειρὸς καὶ τοῦ 831 H
δεξιοῦ ποδός, τὸ μὲν ὡς „δοχεῖον τοῦ θείου λόγου μέλλον ἔσεσθαι, τὴν δὲ ὡς πράξεως δηλωτικήν, τὸν πόδα δὲ ὡς προκοπῆς τῆς ἐπ' ἀρετὴν καὶ τελειώσεως σύμβολον. δύο ἐργάζεται ἡ πηγὴ τοῦ εὐαγγελίου, καθαι-

a. 11. σκάμμα — δίαυλον corr A. 16. τὸν A. 30. παραιτοῦντες A. 35. Ἰωάννου om B. 42. ἢ] καὶ ἡ B.
b. 1. ἡμῶν A. ὅτι om B. 25. αὐτὴ B. 28. τὴν add A. 36. προσέλθοι B. 37. τὸ add B et rc A.
41. ἀρετῇ c.

ρει καὶ ποτίζει, ποτίζει μὲν τὰς διψώσας, καθαίρει
1521R. δὲ τὰς ῥυπώσας [ψυχάς]. „ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς." ἐν τοῖς εὐαγγελίοις ἅπαξ εἴρηται, ὡς ἐνταῦθα, ἡ πολὺς φωνή, καὶ ἐν τῇ παλαιᾷ ἅπαξ πρὸς τὸν Ἀβραάμ, μετὰ τὴν κοπὴν τῶν βασιλέων καὶ τὴν ἀνάῤῥυσιν τῶν αἰχμαλώτων, καὶ μετὰ τὸ μὴ καταδέξασθαι μισθὸν λαβεῖν τῶν πόνων καὶ τῆς κατὰ τῶν αἰχμαλωτισάντων νίκης. τότε γάρ φησι πρὸς αὐτὸν ὁ θεὸς „μὴ φοβοῦ, Ἀβραάμ· ὁ μισθός σου πολὺς ἔσται σφόδρα." κατὰ λέξιν δὲ ἅπαξ καὶ ἅπαξ τὸ πολὺς εἴρηται, κατὰ δὲ τὸ σημαινόμενον καὶ πολλάκις. καὶ γὰρ ὁ Δαβίδ φησιν „ἀνταπόδοσις πολλή" ἀντὶ τοῦ μισθὸς πολύς, καὶ ἀλλαχοῦ. ὅταν δὲ θεὸς εἴπῃ „πολὺς ὁ μισθός," ἐννοήσας τὸν ἐπαγγελλόμενον ἐννόει καὶ τὸν ἄφατον λόγον τοῦ πολύς. ἄλλο γάρ ἐστιν εἰπεῖν ἀγρότῃ πολύν, καὶ ἄλλο πολίτῃ· μεῖζον δ' ἀμφοῖν τοῦ στρατηγοῦ τὸ πολύ· τὸ δὲ παρὰ τῷ βασιλεῖ πολὺ μυριοπλάσιον τῶν παρὰ ἄλλοις· τὸ δὲ παρὰ θεῷ πολὺ ποσαπλάσιον ἂν συμπάντων εἴη, οὐδ' ἔστι ῥητόν. πολὺς οὖν ὁ μισθὸς τῶν μαρτύρων, τῶν ἀδίκως διωκομένων, τῶν συκοφαντουμένων ἕνεκα θεοῦ, τῶν θλιβομένων, καὶ τῶν ἀνθρωπίνης δόξης ὥσπερ ὁ Ἀβραὰμ καταπατούντων. καὶ γὰρ ἐκεῖνος τὴν ἵππον πᾶσαν διδόντων τῶν τῆς Γομόῤῥας καὶ τῶν Σοδόμων βασιλέων, καὶ τούτοις τιμώντων ἀνθ' ὧν αὐτοῖς ἀνεσώσατο τῶν γυναικῶν καὶ παίδων τὴν αἰχμαλωσίαν, παρῃτήσατο τὴν παρ' αὐτῶν δόξαν, μὴ θελήσας τῶν ἰδίων καμάτων παρὰ ἀνθρώπων λαβεῖν τοὺς μισθούς. διὸ καὶ ἠξιώθη παρὰ θεοῦ ἀκοῦσαι ὅτι ὁ μισθός σου πολύς.

σφαιρωτήρ φησι τὸ παρὰ τοῖς πολλοῖς λεγόμενον λώριον. σφαιρωτῆρα δὲ λέγεσθαι διὰ τὸ πολλάκις κυκλοειδὲς ἀπεργάζεσθαι τὸ δέρμα τὸν τεχνίτην, καὶ οὕτω τέμνειν. τινὲς δέ φασι τὴν κλῆσιν λαβεῖν ἀπὸ τοῦ σφυρὰ τηρεῖν.

„κρινοῦσιν οἱ δώδεκα τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ." κρινεῖ καὶ Παῦλος τὴν οἰκουμένην, ὁ κῆρυξ τῆς οἰκουμένης. οὐ Παῦλος δὲ μόνος, ἀλλὰ καὶ οἱ τὰ ἐκείνου φρονοῦντες. ἄκουε γὰρ αὐτοῦ λέγοντος „οὐκ οἴδατε ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσι;" καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων.

ἄλλο ἐθνῶν ἐκδίκησις, καὶ ἄλλο λαῶν ἔλεγξις. ἡ μὲν γὰρ ἐκδίκησις ἐν τοῖς ἀπιστήσασι παντελῶς· λαοὺς δὲ τοὺς μὴ θελήσαντας εἰς ἐπίγνωσιν ἐλθεῖν, ὧν καὶ οἱ ἐλεγμοί· ἀφ' ὧν ἐκδίκησιν οὐκ εἰσπράττει (ἡ γὰρ εἴσπραξις τῶν ἐχθρῶν), ἀλλ' ἐλέγχει ὡς δεσπότης, τὰ ἁμαρτήματα ἀνακρίνων.

"ὅταν ἐξέλθῃ ψυχὴ δικαίου ἐντεῦθεν, παραπέμπεται 833a1L.
διὰ χειρῶν ἀγγέλων, καὶ παριστῶσιν αὐτὴν ἐν τῇ βασιλίδι πόλει, ἥτις ἐστὶν ἡ ἄνω Ἱερουσαλήμ.

### Εἰς τὴν ἀποτομὴν Ἰωάννου τοῦ βαπτιστοῦ.

Ἐπιγράφεται μὲν τοῦ Χρυσοστόμου, οὐκ ἐμοὶ δοκεῖ δέ· τοῖς τε γὰρ ἐνθυμήμασι καὶ τῇ πείρᾳ τῆς γραφῆς πολὺ τὸ ἐνδεὲς τῶν ἄλλων αὐτοῦ λόγων ἀποφέρεται. πλήν τινα καὶ ἐξ αὐτοῦ παρεξεβλήθη. ἔστι δὲ αὐτοῦ καὶ ἡ λέξις χυδαία καὶ τῆς ἐκείνου παραλλάττουσα.

ὢ πράγματος ἀλλοκότου! Ἰωάννης τὴν δεδεμένην αὐτοῦ ψυχὴν τῇ σειρᾷ τῆς ἁμαρτίας διὰ τοῦ ἐλέγχου λύειν ἐβούλετο, κἀκεῖνος τὸν λύοντα ἐδέσμει.

### Τοῦ αὐτοῦ ἐπιγράφεται λόγος εἰς τὴν αὐτὴν ὑπόθεσιν, 1524R.
### καὶ ἔστι κατὰ πάντα ὁμοίως ἔχων τῷ πρὸ αὐτοῦ.

Ἰουδαίοις ἐπιτέτραπται γυναῖκα μετὰ θάνατον καὶ ἄπαιδα τοῦ ἀδελφοῦ ἄγεσθαι, τὴν πρὸς τὰ ἔθνη κωλύων ἐπιγαμίαν, ἔθος ἔχουσαν τοῖς εἰδώλοις προστρέχειν. ὡς κουφότερον οὖν τῆς εἰδωλολατρείας ὁ τοιοῦτος γάμος τοῖς Ἰουδαίοις συγκεχώρητο. ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος. ἀξία τῆς ἑορτῆς ἡ τιμή, ἡ τέρψις τῆς πανηγύρεως. μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ ὅ τι ἂν αἰτήσηται· καὶ τοῦτο προσθήκη τῶν αἰσχρῶν βαρυτέρα, ὅρκος ἀδιόριστος, καὶ οὗτος δι' ὄρχησιν. τὴν βασιλικὴν αὐθεντίαν τοῖς ποσὶ τῆς κόρης ὁ μάταιος ὑπέταξεν· ἔδωκε τὴν τῆς βασιλείας ἀξίαν πατηθῆναι· ὑφ' ἧς [γε] ὅρκῳ γέγονε δέσμιος ὁ τῆς ἐπιθυμίας αἰχμάλωτος. ἄκων λοιπὸν τῷ τῆς κόρης δεδούλωται νεύματι, μᾶλλον δὲ τῷ τῆς Εὔας πάλιν ὁ ἄνθρωπος ὑποπίπτει δελεάσματι. δεινὸν τὸ τῆς αἰτήσεως τόλμημα, κεφαλὴν δικαίου λαβεῖν ἐπὶ πίνακι, καὶ τέρψιν ἀνταλλάξασθαι πένθος, καὶ τάφον καταστῆσαι τὴν τράπεζαν. ἔκθεσμον, ἆθλιε, δοῦναι φόνου μισθὸν ἔδει τῇ ὀρχήσει, καὶ θάνατον μέθῃ τέρψιν χαρίσασθαι; ὅρκος σε κατέχει· ἀλλ' ὁ φόνος κωλύει. ὑπόσχεσιν ἀπαιτεῖ· ἀλλ' ἴσην ὀρχήσει, οὐχ ἧς ἀντάξιος οὐδ' ὁ κόσμος. ξένον τοῦ Ἡρώδου τὸ δικαστήριον· τράπεζα καὶ μέθη καὶ ὄρχησις ἐδίκαζεν. ὢ δικαιοσύνης τολμώσης παράνομα! εὐορκεῖν ὑποκρίνεται, καὶ φονεύειν οὐκ αἰσχύνεται.

a. 2. ψυχάς om A. ὁ μισθὸς — 511 a 24. περιηχούσης om B. 4. ἐν τῇ παλαιᾷ] ἡ παλαιὰ A. 10. τὸ πολὺς A: ὁ μισθός σου τὸ πολὺς ς. 37. μόνον ς. 38. οὐκ οἴδατε om A.
b. 9. μὲν] δὲ A. 10. τῷ add A. 24. τῆς ante Ἡρ. om A. 28. αὐθεντείαν A. 29. βασιλίδος ς. 30. γε om A. 35. πάθος ς. 39. οὐχ ἧς A: ψυχῆς ς. 41. ἐδίδαξεν pr A.

Digitized by Google

εἴθε καλῶς ἐπιώρκησας καὶ μὴ παρανόμως εὐώρκησας. ὦ συμπόσιον δικαίου κιρνῶν θάνατον. ὦ συμπόσιον νομοφύλακος οἰνοχοούμενον αἵματι.

**Τοῦ αὐτοῦ εἰς τὴν αὐτὴν ὑπόθεσιν.**

Ἔοικε δ' οὗτος ὁ λόγος συγγενὴς εἶναι τῶν τοῦ
833 H. Χρυσοστόμου λόγων, οὐκ ἔστι δέ, οὐδὲ συνεχῆ τὸν νοῦν ἐκείνοις ἐνδεικνύμενος, ὥσπερ οἱ δύο ἐκεῖνοι τὴν πρὸς ἀλλήλους σχέσιν καὶ ἀλληλουχίαν διασώζουσιν, ἀλλ' ἀπ' ἀρχῆς ἰδίας προέρχεται.

Ἰωάννην ἀνευφημήσω, καὶ τὴν ἐκείνου σοφίαν πᾶσιν ὑμῖν γνώριμον καταστήσω. Ἰωάννην τὸν μερισάμενον μετὰ τοῦ πατρὸς τὸ τοῦ μονογενοῦς κήρυγμα. καὶ γὰρ ὁ μὲν „οὗτός ἐστιν" ἄνωθεν ἐμαρτύρει „ὁ υἱός μου ὁ ἀγαπητός," ὁ δὲ κάτωθεν „ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου." καὶ ὁ μὲν πατὴρ διὰ τῆς περιστερᾶς τὸν ἀγαπητὸν ὑπεδείκνυεν, ὁ δὲ τῇ χειρὶ τὸν τῆς οἰκουμένης λυτρωτὴν ἐνεφάνιζεν. ἐχρῆν φωνῆς γεννηθείσης τὸν λόγον λυθῆναι τοῦ πατρός. ἐπειδὴ γὰρ οὐκ ἐπίστευσεν ὁ Ζαχαρίας ὅτι λύεται τῆς Ἐλισάβετ ἡ στείρωσις, ἐδέθη τὸ ὄργανον τῆς γλώσσης, ἵνα μὴ προέλθῃ λόγος ἐξ ἀπίστου στόματος· ἐπεὶ δ' ἐλύετο ἡ στεῖρα καὶ προῆλθεν ἡ φωνή, ἐλύθη καὶ ἡ τοῦ Ζαχαρίου γλῶσσα καὶ προήρχετο ὁ λόγος. ὦ φωνῆς ἀεννάου καὶ μετὰ θάνατον τὴν οἰκουμένην περιηχούσης.

275.

Ἀνεγνώσθη ἩΣΥΧΙΟΥ, πρεσβυτέρου Ἱεροσολύμων, εἰς Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου καὶ Δαβὶδ τὸν θεοπάτορα.

1525 B. εἰ μὴ ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὁ σωτὴρ ἡμῶν ὑπήκοος μέχρι θανάτου, οὐκ ἂν οἰκέται συγγενεῖς ἐχρημάτιζον, οὐκ ἂν ὁ πηλὸς πατὴρ τοῦ κεραμέως ἐλέγετο. ἐν τῇ Σιὼν τὴν Βηθλεὲμ ὡς παροῦσαν ἀσπάζομαι, ἐν τῇ θυγατρὶ τὴν μητέρα βλέπω. ἐν σοὶ δᾳδοῦχος ἀστὴρ εἷς ἀνήφθη, ἐν ταύτῃ δὲ πολλοί. ἐκεῖνος τοὺς μάγους ὡδήγησεν, αὕτη Πάρθους καὶ Μήδους καὶ Ἐλαμίτας καὶ τοὺς ἐξ ἐθνῶν πάντων τῷ φωτὶ τῆς ἀστραπῆς ἐδαδέχησε. σὺ γάλα ἕλκεις ἐκ μαστῶν παρθενικῶν, αὕτη πνεῦμα ἐκ κόλπων κατάγει πατρικῶν. σὺ τὸν ἄρτον ἐζύμωσας, ἀλλ' ἡ Σιὼν δεῖπνον ἀνέδειξε· σὺ τὸν μόσχον ἐπὶ τῆς φάτνης ἔθρεψας, ἀλλ' ἡ Σιὼν εἰς τὸν βωμὸν ἀνήγαγε· σὺ τὸν Ἰησοῦν ἐν τοῖς σπαργάνοις ἔκρυψας, αὕτη δὲ τῷ Θωμᾷ τὴν πλευρὰν βληθέντι ψηλαφῆσαι ἐγύμνωσε· σὺ παρθένον ἔχεις τίκτουσαν κεκλεισμένων τῶν ὀργάνων τῆς φύσεως, αὕτη παστάδα κεκλεισμένων τῶν θυρῶν ἔνδον τὸν νυμφίον δεχομένην καὶ ἔχουσαν. πῶς ἐγκωμιάσω τὸν τοῦ Χριστοῦ δοῦλον καὶ ἀδελφόν, τὸν τῆς νέας Ἱερουσαλὴμ ἀρχιστράτηγον, τὸν τῶν ἱερέων ἡγεμόνα, τῶν ἀποστόλων τὸν ἔξαρχον, τὸν ἐν κεφαλαῖς κορυφήν, τὸν ἐν λύχνοις ὑπερλάμποντα, τὸν ἐν ἄστροις ὑπερφαίνοντα; Πέτρος δημηγορεῖ, ἀλλ' Ἰάκωβος νομοθετεῖ, καὶ ὀλίγαι λέξεις τὸ τοῦ ζητήματος συνέστειλαν μέγεθος. „ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν" καὶ ἑξῆς. ἐγὼ κρίνω, οὗ τὴν κρίσιν ἀθετεῖν οὐ θέμις οὐδὲ φαυλίζειν τὸ ψήφισμα· ἐν ἐμοὶ γὰρ ὁ πάντων κριτὴς καὶ νεκρῶν καὶ ζώντων φθέγγεται. ἐμὸν τὸ ὄργανον, ἀλλ' ὁ τεχνίτης ὑπὲρ ἐμέ. ἐγὼ τὴν γλῶσσαν παρέχω, ἀλλ' ὁ δημιουργὸς λόγος τὸν λόγον χο- 834 H.
ρηγεῖ. μὴ τῷ καλάμῳ, τῷ δὲ γράφοντι πρόσεχε. τὴν ἀκοὴν ὑπακοῇ διαδεχέσθω.

ΜΟΔΕΣΤΟΥ ἀρχιεπισκόπου Ἱεροσολύμων εἰς τὰς μυροφόρους.

τὸν ἕβδομον ἀριθμὸν καὶ ἐπὶ τῆς ἀρετῆς καὶ ἐπὶ τῆς κακίας εὑρίσκομεν τὴν γραφὴν παραλαμβάνουσαν. εἰκότως οὖν τὴν Μαρίαν ἐκλέγεται τὴν Μαγδαληνὴν ὁ σωτήρ, ἀφ' ἧς ἐκβεβλήκει δαιμόνια ἑπτά, ἵνα τὸν ἄρχοντα τῆς κακίας δι' αὐτῆς ἀπελάσῃ τῆς ἀνθρωπίνης φύσεως. ὅτι φησίν, αἱ ἱστορίαι τὴν Μαγδαληνὴν ταύτην διὰ βίου παρθένον διδάσκουσι. καὶ μαρτύριον δὲ αὐτῆς φέρεται, ἐν ᾧ λέγεται διὰ τὴν ἄκραν αὐτῆς παρθενίαν καὶ καθαρότητα ὡς ὕαλον αὐτὴν καθαρὸν τοῖς βασανισταῖς φαίνεσθαι. ὅτι φησί, μετὰ τὴν κοίμησιν τῆς δεσποίνης ἡμῶν θεοτόκου πορευθεῖσα εἰς Ἔφεσον πρὸς τὸν ἠγαπημένον μαθητήν, ἐκεῖσε τὸν δρόμον τὸν ἀποστολικὸν διὰ τοῦ μαρτυρίου ἡ μυροφόρος Μαρία ἐτελείωσε, μὴ θελήσασα μέχρι τῆς τελευτῆς χωρισθῆναι τοῦ παρθένου καὶ εὐαγγελιστοῦ Ἰωάννου. ὥσπερ, φησίν, ἡ ἀπαρχὴ τῶν ἀποστόλων Πέτρος ὠνομάσθη διὰ τὴν ἀσάλευτον πίστιν, ἣν εἶχεν ἐπὶ Χριστὸν τὴν πέτραν, οὕτω καὶ αὕτη ἀρχηγὸς τῶν μαθητριῶν γενομένη διὰ τὴν καθαρότητα αὐτῆς καὶ τὸν πόθον ὃν εἶχεν εἰς αὐτὸν Μαρία ὁμωνύμως τῇ μητρὶ παρὰ τοῦ σωτῆρος προσηγορεύετο. ὥσπερ τῷ δεσπότῃ τῶν μαθητῶν ἠκολούθει ὁ χορός, οὕτω τῇ

a. 2. κιρνῶν] κρίνον A. 6. συνέχει A. 13. ἐμαρτύρει ἄνωθεν ς. 24. ἀεννάου ς. 42. τὴν πλευρὰν τῷ Θωμᾷ ς.
b. 5. τοῦ om A. 13. οὔτε ς. 18. ὑπακοὴν A. 19. Μοδέστου → 512 a 38. σαρκὶ om B. 21. ἕβδομον] immo ἑπτά. 29. ὕελον C. 38. αὐτὴ ς. 39. καθαριότητα A.

Digitized by Google

δεσποίνῃ καὶ μητρὶ τοῦ κυρίου τῶν μαθητευομένων γυναικῶν ὁ χορός. ἐθαύμαζον γάρ, φησί, ποτὲ οἱ μαθηταὶ ὅτι μετὰ γυναικὸς ἐλάλει, δῆλον ὡς οὐκ οὔσης τοιαύτης συνηθείας τῷ κυρίῳ, ἀλλὰ τὸν εὐαγγελικὸν δρόμον τῆς μητρὸς τοῦ δεσπότου συνεξανυούσης τῷ υἱῷ
1528B. καὶ δημιουργῷ. οὗ καὶ αὗται συνακολουθοῦσαι αὐτῇ τῷ κοινῷ δεσπότῃ ἐκ τῶν ὑπαρχόντων ἐν τοῖς ἀναγκαίοις καὶ τοῖς μαθηταῖς διηκόνουν.

Ἀνεγνώσθη τοῦ αὐτοῦ ἐπιγραφὴν ἔχων „ἐγκώμιον εἰς τὴν κοίμησιν τῆς παναγίας θεοτόκου." πολύστιχος μὲν ὁ λόγος, οὐδὲν δ' ἀναγκαῖον οὐδὲ τοῦ προγεγραμμένου λόγου οἰκεῖον καὶ συγγενὲς ἐπιδεδειγμένος.

*ΜΟΔΕΣΤΟΥ ἀρχιεπισκόπου Ἱεροσολύμων ἐκ τοῦ εἰς τὴν ὑπαπαντήν.*

καὶ ἡ τὸν ἑβδομήκοντα χρόνον σαββατίσασα μετὰ ἀνδρὸς Ἄννα, προσευχαῖς καὶ νηστείαις προσκαρτεροῦσα, ὀγδοήκοντα καὶ τεσσάρων ἐτῶν ὑπάρχουσα, τὴν ἐκ τῶν τεσσάρων στοιχείων νικήσασα σάρκα, καὶ τὸν νοῦν καθάρασα πρὸς ὑποδοχὴν πνεύματος ἁγίου, καὶ ταῖς γενικαῖς ἑαυτὴν ἀρεταῖς κατακοσμήσασα, τὸν τῆς ὀγδοηκοντάδος παρέδραμε καιρόν, καὶ εὗρεν ἐν τῷ ναῷ τὸν σωτῆρα τοῦ μέλλοντος αἰῶνος ἐν ἀγκάλαις
835 H. βασταζόμενον. οὗ εἰκότως ὡς αἰτίας τῆς ἐναμαρτήτου ἡδονῆς τὰς θυγατέρας τῆς Εὔας προσφέρειν ὁ νόμος προσέταξεν ὑπὲρ τοῦ καθαρισμοῦ αὐτῶν τὴν θυσίαν τῶν δύο τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν, δηλοῦντος τοῦ νόμου ὅτι δεῖ τὸν προσερχόμενον θεῷ καθαρεύειν καὶ ψυχῇ καὶ σώματι καὶ ἀκακίας ἔχεσθαι.
ὁ Χριστὸς πληρωτής ἐστιν, οὐκ ὀφειλέτης νόμου· εἰς πτῶσιν δὲ καὶ ἀνάστασιν κεῖται, πτῶσιν μὲν τῆς ἁμαρτίας, ὀνέγερσιν δὲ τῆς δικαιοσύνης, καὶ εἰς σημεῖον ἀντιλεγόμενον τοῖς κυριοκτόνοις Ἰουδαίοις τοῖς λέγουσιν „εἰ υἱὸς εἶ τοῦ θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύομέν σοι." „καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί," ὅτι μήτηρ εἶ κατὰ ἀλήθειαν πάσχουσα τὰ μητρὸς ὑπὲρ τοῦ τέκνου καὶ θεοῦ, τοῦ παθόντος ὑπὲρ ἡμῶν σαρκί.

276.

Ἀνεγνώσθη τοῦ μακαρίου ΝΕΙΛΟΥ ἐκ τοῦ εἰς τὸ πάσχα λόγου πρώτου· οὗ ἡ ἀρχὴ „ἀναστάσεως λόγοις τὴν τῆς ἀναστάσεως ἡμέραν τιμήσωμεν."

ψυχή τίς ἐστι δευτέρα τοῖς ἀνθρώποις ἡ ἀνάστασις, πρὸς τὰς τῆς ἀρετῆς διεγείρουσα πράξεις· κἂν ταύτην τῶν ἀνθρώπων ἀνέλῃς, νεκρὸν πρὸς πράξεις ἀρετῆς ἀπειργάσω τὸ σῶμα. ὡς οὖν ὑπὲρ βλάβης κοινῆς πρὸς τὸν ὑπὲρ τῆς ἀναστάσεως ὁπλισώμεθα πόλεμον, ὅλην λαβόντες ἡμῖν συνοπλιζομένην τὴν κτίσιν. ἐπιστρατεύει γὰρ οὐρανὸς μεθ' ἡμῶν τοῖς ἀπίστοις· ὃν γὰρ ἐξ ἀναστάσεως δεσπότην ἐδέξατο, τῇ τῆς ἀναστάσεως βλέπει συναθετούμενον δόξῃ. κοινωνήσει προθύμως ἡμῖν τοῦ πολέμου καὶ γῆ· συκοφαντουμένην γὰρ τὴν ἀνάστασιν οἶδεν, ἀφ' ὧν πολλάκις νεκροὺς ὑπ' αὐτῆς ἀφῃρέθη. διὰ τοῦτο καὶ Παῦλος τὸν τῆς ἀναστάσεως τῇ κτίσει περιτίθησιν ἔρωτα· „ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως" φησὶ „τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ ἀπεκδέχεται." καθάπερ γὰρ πόλις βασιλικῆς ἐπιδημίας δεξαμένη προδρόμους πρὸς τὴν ἐκείνης ὅλη παρουσίαν ἐπτέρωται, οὕτω καὶ τῆς ἀναστάσεως ὥσπερ τινος βασιλίδος τῇ κτίσει προκηρυχθείσης ὅλη πρὸς τὴν ἐκείνης παρουσίαν συντέταται. καὶ μὴ θαυμάσῃς τὸν τῆς ἀναστάσεως ἐγκείμενον τῇ κτίσει διδασκόμενος πόθον· οὗ τροφὸς γάρ τις τῶν ἀνθρώπων ὑπάρ- 1529B.
χουσα σπεύδει τὴν ἐπαγγελθεῖσαν ἰδεῖν βασιλείαν. καὶ τὸ βραδὺ τῶν μελλόντων οὐκ ἐκλύει τῇ τροφῷ τὰς ἐλπίδας· ἔχει γὰρ ἀεὶ συνόντα αὐτῇ τὰ τῆς ἀναστάσεως σπέρματα, ὧν τοὺς κόκκους ἀναδείκνυσι ζῶντας, τῆς τῶν νεκρῶν σωμάτων ἐγέρσεως ἐν μικροῖς ἡμῖν βεβαιοῦντας τὰς ἐλπίδας. θάπτονται μὲν γὰρ ἐν αὐτῇ, ὡς ὁρῶμεν, τῶν σπερμάτων οἱ κόκκοι, τῶν αὐλάκων ἀντὶ τάφων γινομένων τοῖς σπαρεῖσιν· ἡ δὲ λαβοῦσα τὰ σπέρματα μιμεῖται τὰ μνήματα, καὶ σήπει τὸν κόκκον ὡς ὁ τάφος τὸ σῶμα, καὶ δεξαμένη ζῶντα καταφθείρει νεκρότητι, μέσην οὗ τε σαφῶς τὴν τοῦ κόκ- 836 H.
κου διασήψασα καρδίαν ἄχρηστον καὶ μύρμηξιν εἰς τροφὴν ἀπεργάζεται. ὥσπερ δέ τινα σύλληψιν τὴν φθορὰν κτησαμένη, κυοφορεῖ νεκρωθέντα τῇ σήψει τῶν σπερμάτων τὰ ἔμβρυα· καὶ γίνεται μήτηρ ζωῆς τοῖς κόκκοις ἡ νέκρωσις, καὶ θάνατος τόκου πατὴρ ἀναδείκνυται. καινὸς οὗτος τῇ γῇ τῶν ὠδίνων ὁ νόμος· ἂν μὴ γένηται νεκρὸν τὸ βρέφος, οὐ πλάττεται· ἂν ζῇ, οὐ μορφοῦται. ταύτῃ ἄρα καὶ μύρμηκες τετμημένους τοὺς κόκκους εἰς γῆν ἀποτίθενται, τῇ τομῇ τὴν ἀπὸ τῆς νεκρώσεως βλάστησιν κωλύοντες· ἔδει γὰρ καὶ μυρμήκων

a. 12. οἰκεῖόν τι καὶ ς. 13. ἐκ τοῦ om C. 21. παρέδραμεν A. 23. ἀναμάρτου C. 26. ἢ] καὶ AC. νεοσσῶν C. 34. πιστεύομέν AC: πιστεύσομέν ς. 35. ἂν om A. 37. τοῦ om C.
b. 10. ἡμῖν B: ὑμῖν ς. γῆ A: ἡ γῆ ς. 11. ἀφῃρέθη ὑπ' αὐτῆς ς. 28. τῶν σπερμάτων ὡς ὁρῶμεν B. 31. ὁ om A. 32. τε] δὲ B.

φύσιν μαρτυρῆσαι τῇ γῇ μετὰ φθορὰν γεννώσῃ τὰ σπέρματα. καὶ σκόπει μοι τῆς ὠδῖνος τὸ θαῦμα· λαβοῦσα μόνον τὸν κόκκον φθορᾷ παραδίδωσι, φθαρέντα δὲ πολλοστὸν ἀναθάλλει πρὸς ποικίλα τὸν κόκκον σχηματίζουσα μέλη. τὴν καλάμην τοῖς στάχυσιν ἀντ' ὀστέων ἐντίθησι, καὶ λεπτὸν ἔξωθεν οἷον ἀντὶ δέρματος καθυφαίνει χιτῶνα· δεσμοῖς κάτω τὴν ῥίζαν ὡς νεύροις τισὶ καὶ φλεψὶ περισφίγγει, ἀντ' ὀνύχων τοῖς κόκκοις ἐμπηγνῦσα τὰς μαχομένας τοῖς πτηνοῖς τῶν ἀσταχύων ἀκίδας. πῶς ἅπασι τούτοις ἐξ ἑνὸς κόκκου φθαρέντος ἡ γέννησις; τοῦτο τῆς ἀναστάσεως θαυμαστότερον. τότε μὲν γὰρ οὓς ἔλαβεν ἡ κτίσις νεκροὺς ἀναδίδωσι, νῦν δὲ πολλοὺς ἀνθ' ἑνὸς νεκρωθέντος εἰς ἀναγέννησιν κόκκους προβάλλεται. ὦ τῆς Ἑλλήνων ἀνιάτου φρενοβλαβείας! βλέπουσι τὴν γῆν γεωργῷ διδοῦσαν ἃ μὴ παρέλαβε· τῷ κτίστῃ δὲ ταύτην ἀποδώσειν οὓς αὐτῇ παρακατέθετο οὐκ ἐλπίζουσι. διὰ τοῦτο καὶ Παῦλος τῷ τῶν σπερμάτων παραδείγματι χρῆται, καίτοι γε λαμπρότερον ἔχων παράδειγμα τὴν ἐκ μήτρας τῶν ἀνθρώπων πρόοδον. πλάττεται μὲν γὰρ ὡς ἐν τάφῳ τῇ μήτρᾳ οὐχ ὑπάρχον τὸ βρέφος, τοῖς παρὰ τῆς φύσεως δὲ ἐνειλημένον σπαργάνοις προσέοικε νεκρῷ δεδεμένῳ κειρίαις. κέκλεισται μὲν γὰρ τὸ βλέμμα νεκρῶν ἀκριβέστερον, ἄπρακτον ἐν τῇ νηδύϊ τὸ στόμα, χεῖρες καὶ πόδες ὡς ἐν σορῷ τῇ γαστρὶ συνεκτέτανται. τάφος ἀκριβὴς τοῖς ἐμβρύοις ἡ μήτρα, τάφος οὐδὲ τῆς τῶν μνημάτων δυσωδίας ἐλεύθερος. τηλικούτῳ δὴ τὸ βρέφος ἐμμορφούμενον μνήματι, τῷ τοῦ μορφοῦντος ἕπεται καλοῦμενον νεύματι. τί δὴ τοσοῦτον ὁ μακάριος Παῦλος κεκτημένος παράδειγμα σιγᾷ μὲν τὴν ἐν τῷ τάφῳ τῆς μήτρας εἰς ζωὴν πλαστουργίαν, σπερμάτων δὲ τύποις βεβαιοῖ τὴν ἀνάστασιν; ᾔδει ζῶσαν τῇ νηδύϊ τὴν τὰ βρέφη σπορὰν διαπλάττουσαν, ἐζήτει δὲ νεκρῶν τινῶν ὁρατῶς ἀναζώντων εἰκόνα, καὶ διὰ τοῦτο ἀπέβλεψε πρὸς τὰ σπέρματα. οἱ γὰρ κόκκοι μετὰ τὴν ἐκ σήψεως νέκρωσιν καὶ φθορὰν ἀναζῶσι, καὶ γίνονται τῆς τῶν

1532 B. νεκρῶν ἀναβιώσεως ἐναργέστατον σύμβολον. "Ἀδικεῖς τὴν ψυχὴν συνηγορίας προσχήματι, καὶ τῇ πρὸς τὸ σῶμα μάχῃ κατ' ἐκείνης ὁπλίζῃ. τὰς γὰρ τῶν πραττομένων ἀμοιβὰς μὴ μερίζων τῇ ψυχῇ καὶ τὴν τῆς σαρκὸς ὡς μόνῃ πλημμελούσῃ τιμωρίαν συνεισάγεις.

867 H. εἰ γὰρ ψυχῆς μόνης αἱ "τῶν πόνων καὶ ἀνδραγαθημάτων ἀμοιβαί, δῆλον ὅτι καὶ ὧν ἥμαρτεν ὁ ἄνθρωπος αἱ τιμωρίαι. ἀλλ' ὅρα μὴ σώματι καὶ ψυχῇ καθίζῃς κατ' ἀλλήλων κριτήριον. σῶμα μὲν γὰρ εἰκότως καταβοήσεται ψυχῆς, τῶν κατορθωμάτων αὐτοῦ τὰς τιμὰς ἁρπαζούσης, ψυχὴ δ' αὖ σώματος, τὰς ὀφειλομένας πληγὰς ἐκείνῳ μόνη εἰσπραττομένη. μᾶλλον δ' ἑκάτερον αὐτῶν παροξύνεις κατὰ τοῦ κριτοῦ, τὸ μέν, οἷς δέον ἔχειν ἀμοιβὰς ὧν ἐστέρηται, τὴν δέ, ὧν οὐχ ὑπαίτιος, δέον μηδ' εὐθύνεσθαι οἷς εἰσπράττεται. σώματί με συνῆψας, ὦ δέσποτα, τὴν ἀσώματον, καὶ μόνῃ τὰς ἐπὶ τῆς γῆς οὐκ ἐπίστευσας πράξεις, καὶ παρὰ μόνης ἀπαιτεῖς τὰς εὐθύνας. καὶ δίδωμι δίκας ὧν αἱ πράξεις τοῦ σώματος, μέθης, πορνείας, γαστριμαργίας. ποῦ γὰρ ταῦτα ψυχῆς, ὥσπερ φθόνος τυχὸν ἢ δόξης ἀσέβεια; ὥσπερ γὰρ οὐ σώματος ταῦτα, οὕτως οὐδ' ἐκεῖνα ψυχῆς, εἰ καὶ χωρὶς θατέρου θάτερον ἀργὸν πρὸς ἑκάτερα. τὸ σῶμα δ' ἂν ἄλλα τε φαίη δίκαια, καὶ ὡς ἐγὼ τὴν ὑπὲρ σοῦ τελευτήν, ἀλλ' οὐχ ἡ ψυχὴ δέχεται. οὐδὲ γὰρ πέφυκεν. ἐμὸν τὸ πονεῖν διὰ τοὺς σοὺς νόμους νηστείαις, ἀγρυπνίαις· διὰ τῶν ἐμῶν μελῶν ἡ παρθενία. πῶς οὖν οὐκ ἄδικον, ἐμῶν τῶν ἄθλων ὄντων, τὴν ψυχὴν χωρὶς ἐμοῦ λαμβάνειν τὰ ἔπαθλα; τίς λύσις αὐτῶν τῆς δίκης; κοινὸς ὁ μισθός, κοιναὶ αἱ ποιναί, ὅτι κοιναὶ αὐτῶν αἱ πράξεις, κἂν ἐπ' ἐνίων τὸ ἕτερον τοῦ συγκρίματος πλεονεκτῇ τοῦ ἑτέρου, καὶ τὴν συζευχθεῖσαν ἀπ' ἀρχῆς εἰς κοινοὺς πόνους δυάδα δεῖ ὁμολογεῖν καὶ εἰδέναι κοινῶν καὶ τῶν στεφάνων ἀπολαύειν ἐφ' οἷς νενίκηκε, καὶ εἰς κοινὰς ἀπάγεσθαι τιμωρίας ὧν ἐπλημμέλησεν.

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὸ πάσχα λόγου δευτέρου.

Ἀνάστασις τῆς τοῦ κυρίου προνοίας τὸ κεφάλαιον· τοῦ κεφαλαίου δὲ ψυχὴ μνημονεύουσα, καὶ τῇ περὶ τὸν εὐεργέτην εὐχαριστίᾳ συζῶσα, ταῖς τοῦ ἐχθροῦ δυσαλώτος γίνεται πάγαις. ἀνάβηθι πρὸς τὴν τῶν ἀνθρώπων ἀρχαιολογίαν, καὶ τὴν τῆς ἀναστάσεως σκιαγραφίαν εὑρήσεις. ἡ μὲν γὰρ τῶν ἀλόγων φύσις ἔμψυχος δεδημιούργηται, τῷ σώματι τῆς ψυχῆς συγκατασκευασθείσης· ἄψυχος δὲ ὁ Ἀδὰμ πηλοῦ διαπλασθέντος μεμόρφωται, εἶτα ἡ ψυχὴ τῷ ἐμφυσήματι μεμόρφωται, μᾶλλον δὲ ἀληθῶς εἰπεῖν, ἐπεισάγεται, καὶ τὴν ἐκ νεκρῶν εὐθέως ὁ πλάστης προοιμιάζεται ἔγερσιν. καὶ οὐδ' ἐκ στερεᾶς τὸν πρωτόπλαστον συντίθησιν ὕλης, ἀλλὰ

a. 11. γένεσις B. 22. ἐνειλημμένον A. 25. ἐν add A. 27. δὴ A: δὲ ς. 41. εἰσάγεις ς.
b. 2. καθίζεις A. 6. πραττομένη A. 25. πλεονεκτεῖ ς. 26. δεῖν A. 30. δευτέρου λόγου ς. 35. ἀρχαιογονίαν A. 39. μεμόρφωται μᾶλλον δὲ ἀληθῶς εἰπεῖν om A. 41. καὶ add A.

τῆς γῆς τὸ χνοῶδες χάλκευει πρὸς μόρφωσιν, πείθων ἐκ προοιμίων τὸν ἄπιστον ὅτι, κἂν χοῦς ᾖ νεκρὸς καὶ ἀκίνητος, ῥᾷον ἡ ψυχὴ πρὸς ἀνάστασιν ἄγει καὶ τὸ μηδ' ἴχνη μήτε λαβὸν μήτε φέρον ζωώσεως κοινωνὸν ποιεῖται ζωηφόρου συμβιώσεως. οὐ γὰρ φθορᾶς τὸ σῶμα διέπλασε παρανάλωμα, ἀλλὰ χρόνῳ τινὶ λύσει παρα-
338 H. δίδωσι, τὴν ἐκ τῆς ἁμαρτίας τοῦ σκεύους καθαίρων τε καὶ ἐξιώμενος κάκωσιν· καὶ τῇ παρὰ τῆς ἁμαρτίας εὑρὼν σεσαθρωμένον θνητότητι, τῷ τοῦ θανάτου
1533 B. διαλύει χωνευτηρίῳ, καὶ λύσας πρὸς νεόπλαστον σκεῦος τὸ σαθρωθὲν ἀναπλάττει. καὶ μὴ θαυμάσῃς ὡς λογισμῶν ἀνωτέραν τὴν τῶν νεκρῶν ἀναχάλκευσιν· τοσαύτη γὰρ πρὸς ἀγαλματοποιίαν ἡ τέχνη τοῦ πλάστου, ὡς καὶ φύσιν ὕδατος εἰς ἀνδριάντας ἐν γαστρὶ διαπλάττειν. τοῦτό μοι παραδοξότερον τοῦ περὶ τὴν ἀνάστασιν θαύματος. ἐκεῖ μὲν γὰρ ἐκ χοὸς νεκρὸς πηλουργεῖται, καὶ τὸ σκεῦος ὁ κεραμεὺς ἐκ τῆς γῆς ἀναπλάττει, σύμφωνά πως ταῖς παρ' ἡμῖν ἐνδεικνύμενος τέχναις· ἐνταῦθα δὲ γυμνή τις σταγὼν τῶν πλαττομένων γίνεται πηλός, καὶ λογικὸν ἐκ σταγόνος συντίθεται ζῴδιον. ὢ τέχνης ἐξ ὕδατος γλυφούσης ἀγάλματα! καὶ οὐ τοῦτο μόνον παρέχεται τὸ παράδοξον, ὅτι γλύφει τὸ ὕδωρ εἰς ἔμψυχον ξόανον, ἀλλ' ὅτι καὶ κυματουμένην τὴν γονὴν ἔνδον τεκτονεύει. αἱμάτων γὰρ πάντοθεν περιβράσσοντες χείμαρροι περιῤῥεπεῖς ποιοῦσι τὸ σπαρὲν καὶ δυσστήρικτον· καὶ τῇ τοσαύτῃ ναυαγούμενον τρικυμίᾳ καὶ ζάλῃ πρὸς ἔμψυχον ὅμως ἀπαρτίζεται ἀνδριάντα. ὢ γραφέως ἐπὶ σαλευομένης σινδόνος ἀσφαλῶς ζωγραφοῦντος! τὸ γὰρ αἷμα οἷον σινδών τις ὑπόκειται τῇ μορφουμένῃ γονῇ. τοῦτο καὶ Σολομὼν ἐκπληττόμενος ἔλεγεν „ἐν κοιλίᾳ μητρὸς ἐγλύφην σάρξ, δεκαμηνιαίῳ χρόνῳ παγεὶς ἐν αἵματι." πρόκειται μὲν ὥσπερ ζωγραφεῖόν τι τὸ θῆλυ, τῶν χρωμάτων δὲ τὴν ὕλην τὸ ἄῤῥεν ἐπιβάλλει. κάθηται δέ τις ἐν τῇ μήτρᾳ ζωγράφος, ἐξ ἑνὸς χρώματος πολυσύνθετον καταποικίλλων εἰκόνα. πῶς ἐξ ἰλυώδους γονῆς ὀφθαλμοῖς ἐνηγλάϊσε κόρην; πῶς ἐκ ῥοώδους οὐσίας ὀστῶν συνεπήξατο φύσιν; πῶς ἐκ λελυμένης σπορᾶς νεύρων ἐστερέωσε τόνον; πῶς αἱμάτων σωλῆνας διέγλυψε τὰς φλέβας; πῶς τὰς τῶν ὀστέων ἐγκεφάλῳ περιήρμοσε θήκας; πῶς ἐν ἀφεγγεῖ τὸ βρέφος γραφόμενον ζωγραφείῳ ἀσυγχύτους τὰς τῶν μελῶν ἀπείληφε τοποθεσίας; ἀλλ' ὥσπερ ἀκτῖνός τινος τὴν νηδὺν ἐναυγαζούσης, τὴν οἰκείαν ἑκάστῳ τῶν μελῶν ὁ γραφεὺς ἀποδίδωσι χώραν· ὁ γὰρ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον κρυφαῖος γίνεται τῶν ἐμβρύων ζωγράφος. ὃν καὶ Δαβὶδ δημοσιεύων ἐβόα „οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ." ταύτην τὴν ἐκ σταγόνος λογιζόμενος πλαστικὴν πρὸς τὴν ἐκ γῆς ἀγαλματοποιίαν οὐ διαφέρομαι. ὅταν γὰρ ἴδω τεχνίτην ἐξ ὕδατος πηγνύμενον ξόανα, ὀξύτερον αὐτὸν τοὺς ἐκ γῆς ἀναπλάττειν ἀνδριάντας πιστεύω. ὥσπερ γὰρ εἴ τις ἐφ' ὕδατος γράφει γράμματα καὶ γραμμὰς ἐγκολάπτει, οὗτος τὰς εἰς κηρὸν εὐχερέστερον ἐγχαράττει, οὕτως ὁ τῇ ῥοώδει γονῇ καταγράφων καὶ διαγλύφων τὰ μέλη ῥᾷον εἰς χοῦν τοὺς τῶν μελῶν ἐγκαταγράψει τε καὶ διαμορφώσει χαρακτῆρας. καὶ ὁ πρὸ τῆς ἀρετῆς οὕτω τοῦ σώματος φροντίσας ἐν νηδύϊ, μετὰ τὴν ἐργασίαν τῆς ἀρετῆς 339 H.
πῶς ἂν εἰς γῆν διαῤῥυὲν ἄτιμον καταλείψῃ; ἄνελε τὸ σῶμα, καὶ τὴν κτίσιν ἐνέκρωσας. οὐκ ἔσται πλοῖον χειρῶν οὐκ οὐσῶν, οὐ πλωτὸν πέλαγος σώματος οἰχομένου· τὰ μυρία γένη τῶν ζώων μάτην, οὔτε τροφῆς ἐξ αὐτῶν οὔτε θεραπείας ἄλλης τῷ σώματι χορηγουμένης. τέχναι δὲ ποῦ, σώματος οὐκ ὄντος; ὧραι δὲ καὶ καιρῶν εὔτακτοι μεταβολαὶ καὶ οὐρανίας κινήσεως ἄῤῥητος σοφία τίνα ἂν παράσχοι χρείαν, τῆς σωματικῆς φύσεως οὐ παρούσης; καὶ πόσα ἄν τις ἕτερα θεωρήσοι; πόθεν οὖν εὕρω τὸ σῶμα τῶν μελλόντων δωρεῶν ἀνάξιον, ᾧ τοσαύτην ὁρῶ διὰ πάντων δεδωρημένην τιμήν; ἀλλ' ἄρα ὑμεῖς ἰχθυόβρωτον ὑποπτεύετε 1536 B.
σῶμα τὸν θεὸν ζητοῦντα μὴ εὑρήσειν; καὶ πῶς ὁ μυρίους ἐν ψυχῇ λογισμοὺς στρεφομένους τῷ τῆς γνώσεως ἔχων ἀμιγεῖς καὶ ἀσυγχύτους ταμιείῳ τὴν τῶν σωμάτων μιγεῖσαν οὐκ ἀναλήψεται διακρίνας φύσιν; ἀσθενέστερον τὸ θεῖον τῆς παρ' ἡμῖν ἀναπλάττετε τέχνης. καὶ γὰρ ἡμεῖς ἐκ γεώδους ψάμμου καὶ ὕελον καὶ χρυσὸν (εἰ τύχοι) καὶ χαλκὸν καὶ ἄργυρον πυρὶ δόντες, τὰ ἴδια διακρίνομέν τε καὶ ἀποθλίβομεν, μηδὲν αὐτῶν καθορώμενον ἐν τῇ τοῦ λίθου φύσει· καὶ οἶνον ὕδατι κραθέντα πάλιν διακρίνοντες εἰς τὴν ἰδίαν φύσιν ἀποκαθιστῶμεν ἑκάτερον. ἀλλὰ γὰρ ἡ τοῦ θεοῦ δύναμις καὶ σοφία ἀνεπινοήτοις μέτροις τῆς ἀνθρωπίνης καὶ τέχνης καὶ συνέσεως ὑπερέχουσα, καὶ τὴν τῶν ὅλων οὐσίαν ἐν ἑαυτῇ συλλαβοῦσα καὶ περιέχουσα, καὶ τὴν πολύτροπον τῶν σωμάτων σύγκρισιν καὶ μίξιν ἐν τοῖς τῆς φύσεως εὐκρινῆ συντηρεῖ ταμιείοις. οὐ γὰρ ἔξω τῆς ἐν τῇ κτίσει

a. 25. περιβράσαντες A. 34. κάθηται A: ἤνθηται ς. 40. ὀστῶν ἐν ἐγκ. A. b. 8. ξόανον A. 16. καταλείψει A. ἄνελε — 515 a 4. ἄθλους om B. 18. οὐσῶν A: ὄντων ς. 40. ἐν om A. 42. σύγκρασιν ς.

Digitized by Google

φύσεως ἡ τοῦ σώματος φύσις, κἂν διὰ μυρίων ῥέῃ λυομένη θανάτων. διὸ πρὸς τὴν οἰκείαν εὐκόλως ἐπανάγεται μορφήν, καὶ κοινωνεῖ τῶν τιμῶν, ὧν αὐτῇ μεταχεῖν ἔδει συνδιενεγκούσῃ καὶ τοὺς ἄθλους.

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὴν ἀνάληψιν αʹ λόγου.
τὸ προοίμιον.

Εἰς οὐρανὸν μὲν καὶ γῆν ἡ τῆς κτίσεως διαμεμέρισται φύσις, οὐκ ἐᾷ δέ με τὴν διαίρεσιν βλέπειν ἡ συνάψασα σήμερον τὴν κτίσιν χάρις. τίς γὰρ ἂν εἴποι λοιπὸν οὐρανὸν καὶ γῆν διῃρῆσθαι, καὶ κάτω τῆς φύσεως τῆς ἐμῆς καὶ ἄνω τῆς ἐμῆς βασιλευούσης; ἀλλὰ κάτω μὲν ἔτι τῇ φθορᾷ τυραννούμεθα· ὅταν δὲ εἰς οὐρανὸν ἀναβλέψωμεν, τὴν φθορὰν ἡ φύσις ἀποτίθεται. βλέπει γὰρ ἄνω τὴν τῶν κάτω νεκρῶν ἀναστάσιμον ῥίζαν. ὢ κέρδους ζημίας προελθόντος! κατενεχθέντες ἤρθημεν εἰς ὕψος· ὠσθέντες εἰς οὐρανὸν ἀνηνέχθημεν· ἔσω τοῦ παραδείσου πληγέντες ἔξω τὴν θεραπείαν εὑρήκαμεν. ποῦ σοι, καταποντιστά, τὸ κακούργημα; ὃν ἔπηξας τῷ κυβερνήτῃ σταυρόν, γέγονε τῇ ναυαγούσῃ φύσει πηδάλιον, καὶ πρὸς οὐρανίους οἰακίζει λιμένας κυμαινομένους
840 B. ἡμᾶς καὶ ἀποκαθίστησιν. ὥσπερ αἱ τῶν μαθητῶν ἐκ τῆς γῆς πρὸς οὐρανὸν ἀνηρτήθησαν ὄψεις, τῆς σαρκὸς κατὰ μικρὸν ὑψουμένης, οὕτω καὶ τῶν ἐν οὐρανοῖς ἀσωμάτων ὁ δῆμος ἐξ οὐρανοῦ πρὸς οὐρανὸν ἐκεχήνει, τῆς τοῦ σώματος φύσεως ἐπέκεινα καὶ αὐτῶν ἀνιούσης, ἕως ἐν κόλποις τοῦ πατρὸς ὑπεδέχθη. ἀσφαλεῖς αἱ τοῦ γένους ἐλπίδες, ἐν οὐρανῷ βασιλέα συγγενῆ κεκτημέναι, ὃς καὶ πάλιν μετὰ τῆς αὐτῆς σαρκὸς πᾶσιν ὀφθήσεται.

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὴν αὐτὴν ἑορτὴν βʹ λόγου.

Ὢ βασιλέων πάντων βασιλικωτέρας θρησκείας! ἃ γὰρ ὅπλοις βασιλεῖς συνεκρότουν, αὐτὴ χωρὶς ὅπλων ἐδείκνυτο καταλύουσα· ἃ σφάττοντες διεκώλυον, αὐτὴ σφαττομένη συνεκρότει, καὶ ταῖς σφαγαῖς κατὰ τῶν σφαττόντων ἀνίστη τὰ τρόπαια. τὰ τῆς ἐκκλησίας κατεκόπτετο κλήματα, καὶ ὁ τῆς πίστεως ἐπεδίδου μᾶλλον καρπὸς καὶ τὸ ἄνθος ἀμάραντον ἔφερε. ῥίζης γὰρ ἐκπεφύκει τὰ κλήματα τῆς ἀψευδῶς εἰπούσης „ἐγὼ τὸν κόσμον νενίκηκα· ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα.“ Στέφανος ἐκλαδεύετο, καὶ ἄλλο κλῆμα μαρ-
1037 R. τύρων ἐβλάστανεν. Ἰάκωβος ἀπετέμνετο, καὶ Πέτρος ἄλλος πάλιν μάρτυς ἀνεφύετο. οὗτος ἐξεκόπτετο, καὶ Παῦλον ἄλλο κλῆμα πολύκαρπον ἡ ῥίζα προὐβάλλετο. ἐτετρύγητο Παῦλος, καὶ βότρυς ἄλλος μαρτυρίου περκάζων ὁ Θωμᾶς ἀνεφαίνετο. καὶ πανταχόθεν ἡ ῥίζα τρυγωμένη τῶν τρυγώντων ἔφερε τὴν φορὰν ἀπληστότερον καὶ μονιμωτέραν τὴν βλάστησιν. καὶ οἱ μὲν κόπτοντες κατὰ μικρὸν ἠφανίσθησαν μαραινόμενοι, ἡ δὲ τῷ καρπῷ διὰ παντὸς βρίθουσα τὰ πέρατα τῆς γῆς περιέλαβε τοῖς βλαστήμασιν.

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὴν αὐτὴν ἑορτὴν γʹ λόγου.
τὸ προοίμιον.

Ὁ θεῖος τῆς ἀγαθότητος ὄμβρος ἀρξάμενος τοῖς ἀνθρώποις ἐκχεῖσθαι πρὸς ἀμήχανον σήμερον δωρεῶν ὑπερήρθη πλημμύραν, καὶ τὰ μεγάλα κατέκρυψε μείζοσιν. ἦν μὲν γὰρ καὶ τὰ πρὸ τῆς παρούσης εὐεργεσίας λαμπρά, καὶ τῆς ἄκρας φιλοτιμίας ἀπόδειξις, Ἀδὰμ ἐκ παρθενικῶν αἱμάτων καινουργούμενος, σωμάτων αἱ νόσοι φυγαδευόμεναι καὶ ψυχῶν ἐλαυνόμενα τὰ δαιμόνια, λῃσταὶ τὸν ἀρχιλῃστὴν νικῶντες καὶ θριαμβεύοντες, θάνατος λαμβάνων διάδοχον τὴν ἀνάστασιν. ἀλλ' ἕως μὲν νῦν ταῦτα γέμει καὶ φιλοτιμίας καὶ λαμπρότητος· τὸ δὲ νῦν ἑορταζόμενον δῶρον οὐκ ἀνέχεται συγκρίσεως ἐξέτασιν ἐπιδέξασθαι, καὶ νικᾷ μὲν ἑαυτὴν ἡ περὶ ἡμᾶς τοῦ πλάστου φιλοτιμία, συγκαλλωπίζεται δὲ τῇ νίκῃ καὶ ἃ τὴν πρὸς ἐκείνην ἧτταν ἤνεγκεν, οὐδὲν ἔλαττον ἢ εἴπερ τούτων ἕκαστον τὸν τῆς νίκης ἀνεδήσατο στέφανον. ἡ γηγενὴς φύσις τὴν γῆν ἀφεῖσα, μᾶλλον δὲ φέρουσα, εἰς οὐρανοὺς μετοικίζεται. καὶ τὸ „ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν“ 841 B.
τῆς ἀναπλάσεως μᾶλλον ἔργον ἢ τῆς πλάσεως ἐπιδείκνυται. ἀρχέτυπον τῆς ἀθανασίας ἡ σήμερον ἀναληφθεῖσα μορφή, σκιαγραφία δὲ καὶ προτύπωσις τότε ἡ πρὸς τὴν θείαν εἰκόνα τῆς ἐμῆς δημιουργίας καταβολή. ἔμελλεν ὄνος λαλεῖν ἵνα μηδεὶς ἀπιστῇ, προελάλησεν ὄφις. παρθένος τίκτει· ἵνα μή σοι ξένον δειχθῇ, τίκτει προφθάσασα στεῖρα. ἔμελλεν Ἀδὰμ θανάτου τίκτεσθαι κρείττων· ἵνα μὴ κάμῃς ἐπιζητῶν πιστεῦσαι, ὁ πρῶτος Ἀδὰμ τὰς ἐπ' ἀθανασίᾳ δέχεται ψήφους. καὶ τὸν Ἐνὼχ ἔχεις, ναὶ δὴ καὶ τὸν Ἠλίαν, τὸ τῆς ἀθανασίας σκιαγραφοῦντας μυστήριον· κατέχει γὰρ τούτους ὁ πλάστης ἐν σώματι, ψυχαγωγῶν τὴν ἐξόριστον φύσιν, ὡς καὶ μετὰ τὴν ὑπερόριον φυγὴν πάλιν εἰς τὴν ἀθάνατον ἐπαναγάγοι πολιτείαν. ἡ διὰ πταίσαντος πατρὸς ἐπεισελθοῦσα θνητότης ἀναμαρτήτου παιδὸς εἰς διάλυσιν ἐδεῖτο

a. 3. αὐτῇ] αὐτὸ A  20. κυμαινομένους] κυβερνωμένους A.  30. θρησκεία B.  35. μᾶλλον ἐπεδίδου s.
b. 3. ἀπληστοτέραν A.  10. τοῖς ἀνθρώποις] εἰς ἀνθρώπους B.  29. ἀρχέτυπον — 516 a 29. ἐπουρανίοις om B.
32. ἔμελλον s.  ἀπιστῇ s.

τῆς τιμωρίας, ὃν ἀναμένειν ἡ φύσις διά τε Ἐνὼχ καὶ Ἠλίου διδασκομένη προεμυθίζετο. ὅτι οὐ βληθέντος οὐκ ἀποθνήσκει θνητός, Ἐνὼχ μὲ καὶ Ἠλίας διδάσκουσι, καὶ γένοιτ᾽ ἂν δι᾽ αὐτῶν ἀθανασίας ἐλπὶς τοῖς οὔπω θανάτῳ προσομιλήσασιν· νεκροῖς δὲ τίνα ἂν παράσχοιεν οἱ μήπω θανόντες προσδοκίαν ἀναβιώσεως; ἀλλ᾽ ἐάν τις ἐκ νεκρῶν ἀναστὰς ἐν οὐρανῷ βασιλεύῃ, οὗτος τῷ ἐμῷ παντὶ γένει τὸ τῆς ἀθανασίας ἀναμφίβολον δῶρον παρέχεται. διὰ τοῦτο πλάττει τῇ φύσει θεὸς ἀθανασίας ἐκ τῆς φύσεως πρόσωπον, καὶ δείκνυσιν ὑπὲρ φύσιν ἐκ τῆς φύσεως προστάτην τῆς φύσεως. ὁ θανάτου γευσάμενος ἐν οὐρανοῖς ἐκ νεκρῶν ἐνθρονίζεται, ὡς ἂν κάτωθεν ἡ φύσις πρὸς τὸν ἐν οὐρα-
1540R. νοῖς ἀτενίζουσα μηδὲν ἐπιδιστάζῃ τῇ ἀθανασίᾳ, τὸν ἐξ αὐτῆς ἀιδίως ἐν οὐρανοῖς βλέπουσα βασιλεύοντα. τίς λαλήσει τὰς δυναστείας κυρίου; συμβασιλεύει θεότητι φύσις ἡ πρὶν ἐν παραδείσῳ μηδὲ τῆς θείας φωνῆς τὴν ἀκοὴν στέγουσα, ἀλλὰ τῷ φόβῳ δραπετεύουσα καὶ κρυπτομένη. ὢ τῆς περὶ ἐμὲ χρηστότητος! οὐ μνημονεύει τῆς παραβάσεως, οὐ μνησικακεῖ τοῦ πρὸς τὸν ὄφιν συνθήματος, τοῦ γένους τὴν ἀγνωμοσύνην οὐ λογίζεται, τὴν πτῶσιν οὐκ ἐπησχύνθη τῆς φύσεως· ἀλλ᾽ ἐν αὐτοῖς τοῖς τοῦ θανάτου κειμένης βαράθροις, ἐν αὐτοῖς τοῖς τῆς ἀσεβείας ἀδύτοις περιδράττεται ταύτης ἀῤῥήτῳ φιλανθρωπίας πλέκτῳ, καὶ τῶν μυχῶν ταύτην ἀνασπάσας τοῦ ᾅδου καὶ συνανυψώσας αὐτοῦ τῇ θεότητι ὁ πλαστουργὸς τὸ πλαστούργημα, τοῖς πατρικοῖς κόλποις ἐνίδρυσε. διὰ τοῦτο καὶ Παῦλος ἐβόα „συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις.“

## 277.

Ἀνεγνώσθη τοῦ ΧΡΥΣΟΣΤΟΜΟΥ ἐκ τῆς περὶ τοῦ ἁγίου πνεύματος πρώτης ὁμιλίας, ἧς ἡ ἀρχὴ Χθὲς ἡμῖν, ὦ φιλόχριστοι, οἱ ψευδόχριστοι ἀφ᾽ ἑαυτῶν ἐλάλουν, οὐκ ἐκ νόμου, οὐκ ἐκ προφητῶν, ἀλλ᾽ ἀπὸ τῆς ἰδίας γνώμης καὶ ὁρμῆς. ὁ δὲ σωτὴρ οὐκ ἀπέστη νόμου, οὐκ ἐγκαταλέλοιπε προφήτας, ἀλλ᾽ ἔλεγε νῦν μὲν „καλῶς εἶπεν Ἠσαΐας,“ νῦν δὲ „ὃ γέγραπται ἐν τῷ νόμῳ ὑμῶν“ καὶ μυρία τοιαῦτα. ἐπεὶ οὖν οἱ ἐλθόντες πρὸ Χριστοῦ,
542H. καὶ τὸ ἐκείνου περιθέντες ἑαυτοῖς κακούργως ὄνομα, οὐκ ἀπὸ τῶν ἱερῶν γραφῶν ἀλλ᾽ ἐκ τῆς ἰδίας ἀπονοίας τὰ τῆς πλάνης προὐβάλλοντο, λέγει ὁ σωτὴρ „ἐγὼ ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ,“ ὥσπερ ἐκεῖνοι· τὸ γὰρ ἀφ᾽ ἑαυτοῦ λαλεῖν τὸ ἐκτὸς τῶν ἱερῶν γραφῶν ἐστὶ λαλεῖν. ὅτι δὲ τὸ ἀφ᾽ ἑαυτοῦ λαλεῖν ψευδοχρίστων ἐστὶ καὶ ψευδοπροφητῶν, λέγει διὰ τοῦ προφήτου Ἰεζεκιὴλ ὁ θεός· „οὐκ ἀπέστειλα αὐτούς, ἀφ᾽ ἑαυτῶν ἐλάλησαν, ἐκ τῆς καρδίας αὐτῶν φθέγγονται.“ ἐπεὶ οὖν οἱ ψευδοπροφῆται ἀφ᾽ ἑαυτῶν ἐκήρυττον, ταύτην ἀποδυόμενος τὴν ὑπόνοιαν (καὶ γὰρ ἐδυσφήμει τὸ ἀχάριστον τῶν Ἰουδαίων ἔθνος πλάνον αὐτόν, καὶ πλανᾷν τὸν κόσμον) διὰ τοῦτο ἔλεγεν „ἐγὼ ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ“ ἀλλ᾽ ἀπὸ νόμου, ἀπὸ τῶν προφητῶν, ὅσα ἤκουσα παρὰ τοῦ πατρὸς ἐν νόμῳ, ἐν προφήταις (ἐκ προσώπου δὲ τῆς σαρκὸς ταῦτα λέγει, καὶ εἰς διάλυσιν τῆς δυσσεβούσης ὑπονοίας) ὑμεῖς δέ, ὅσα ἠκούσατε παρὰ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου. τὰ γὰρ τοῦ πατρὸς κλῆρος γίνεται τοῖς παισί, καὶ διὰ τοῦτο τὰ ἐκείνου γίνεται τῶν κληρονόμων, ὡς ἴσον ἐνταῦθα καθορᾶσθαι καὶ εἰς ταὐτὸν συνιέναι τὸ ἐξ αὐτῶν λαλεῖν καὶ τὸ ἐκ τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου λαλεῖν. ὥσπερ ὁ Χριστὸς ἐλθὼν ἐγένετο πλήρωμα νόμου καὶ προφητῶν, οὕτω καὶ τὸ πνεῦμα πλήρωμα τοῦ εὐαγγελίου. Χριστὸς ἐλθὼν ἐβεβαίωσε τὰ παρὰ τοῦ πατρὸς ἐν τῷ νόμῳ εἰρημένα καὶ προφήταις· διὸ καὶ λέγει Παῦλος „πλήρωμα νόμου Χριστός.“ τὸ πνεῦμα τὸ ἅγιον ἐπελθὸν ἐπλήρωσε τὰ τοῦ εὐαγγελίου· ὅσα ἐστὶν ἐν τῇ τοῦ Χριστοῦ διδασκαλίᾳ, τὸ πνεῦμα πληροῖ, ὅσα ἐν τῇ τοῦ νόμου, ὁ Χριστός, οὐχ ὡς ἀτελοῦς ὄντος τοῦ πατρός, ἀλλ᾽ ὡς ἑρμηνευτὴς τῶν τοῦ πατρὸς καὶ τελειωτής. οὕτω δὲ καὶ 1541E
τὸ πνεῦμα διασαφεῖ καὶ διατρανοῖ τὰ τοῦ υἱοῦ· καὶ γάρ φησι „πολλὰ ἔχω ὑμῖν λαλεῖν, ἀλλ᾽ οὐ δύνασθε βαστάζειν ἄρτι. ὅταν δὲ ἔλθῃ τὸ πνεῦμα τὸ ἅγιον, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν“ καὶ ἑξῆς. ὅτι ἀφ᾽ ἑαυτοῦ οὐ λαλεῖ· οὐ γὰρ ἀντιφθέγγεται τῷ υἱῷ, ἀλλ᾽ ἀναπληροῖ τὰ τοῦ υἱοῦ, καθ᾽ ὃν τρόπον ὁ υἱὸς τὰ τοῦ πατρός. ὅτι ἐν τούτῳ τῷ λόγῳ εὑρήσεις πρὸς τῷ τέλει, δεικνύντος τοῦ Χρυσοστόμου ὅτι ἡ ἀποστολὴ οὔτε τὸν υἱὸν οὔτε τὸ πνεῦμα ἐλάττω ποιεῖ τοῦ πατρός, ὅτι καὶ αὐτὸς ὁ πατὴρ ἀποστέλλεται παρὰ τοῦ πνεύματος καὶ παρὰ τοῦ υἱοῦ. λέγει αὐταῖς λέξεσιν· ἐάν σοι δείξω τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς ἀποστελλόμενον παρὰ τοῦ πνεύματος καὶ παρὰ τοῦ υἱοῦ, τί ποιεῖς; ἢ ἄρνησαι τὸν Χριστὸν καὶ ἀπάλειψον τὰς γραφάς, ἢ δοῦλος ὢν τῶν γραφῶν ὑποτάττου ταῖς γραφαῖς. καὶ ποῦ (φησίν) εἴρηται τοῦτο; ἄκουε τοῦ θεοῦ διὰ τοῦ προφήτου λέγοντος

a. 14. ἐπιδιστάξῃ ς. 16. συμβασιλεύει] συμβουλεύει A. 23. κειμένης corr A: κειμένοις ς. 26. καὶ add A. 32. ἧς — 33. φιλόχριστοι om A. b. 7. πλάνον pr A. 8. αὐτὸν add A. 10. παρὰ] ἀπὸ A. 14. γίνεται κλῆρος B. 16. ἑαυτῶν ς. καὶ post λαλεῖν add B. 23. τοῦ ante Χριστοῦ om A. 26. καὶ post δὲ add A. 27. διασαφοῖ A. 33. ὅτι ἐν — 523 b 11. σπούδασον om B.

Digitized by Google

Ὠσηὲ „ἄκουέ μου Ἰσραήλ, ὃν ἐγὼ καλῶ." καὶ ὅλην τὴν περικοπὴν ἐκτιθεὶς τοῦ χωρίου μέχρι τοῦ „καὶ νῦν κύριος ἀπέστειλέ με καὶ τὸ πνεῦμα αὐτοῦ," διισχυρίζεται τὸν πατέρα ταῦτα εἰπεῖν, ἐκ τῶν προτεταγμένων βεβαιῶν τὸν λόγον, καὶ καθιστῶν δῆλον ὡς ὁ πατὴρ εἴη νῦν ὁ λέγων καὶ ἀποστελλόμενος παρά τε τοῦ πνεύματος καὶ τοῦ υἱοῦ.

845 H. Τοῦ αὐτοῦ ὅτι Χριστὸς ἀνατολή, καὶ εἰς τὸ ἀνέβη καὶ κατέβη, καὶ ὅτι τὸ πνεῦμα τὸ ἅγιον παντοκράτωρ ἐστίν.

Ὅτι ὁ θεὸς λόγος, φησὶν Ἰωάννης, τὸν βραχίονα ὡς τὴν οἰκονομίαν ἐκλαμβάνων τοῦ σωτῆρος καὶ τὴν αὐτοῦ θεότητα. πολλά, φησί, σημεῖα ποιήσαντος τοῦ Ἰησοῦ οὐκ ἐπίστευσαν εἰς αὐτὸν οἱ Ἰουδαῖοι, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ Ἠσαΐου „κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη;" αὐτὸς τοίνυν καὶ δικαιοσύνη· ἐγγίζει γὰρ ἡ δικαιοσύνη μου παραγενέσθαι. αὐτὸς καὶ σωτήρ, αὐτὸς καὶ βραχίων. διὰ τοῦτο καὶ ὁ Παῦλος περιλαβὼν ἅπαντα εἰς ἓν ἀναφέρει, λέγων „ὃς ἐγενήθη ἡμῖν ἀπὸ θεοῦ σοφία καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις." οὗτος ἡμῖν ἀνέτειλεν ἀνατολὴν δικαίαν· ἰδοὺ γάρ φησιν ἀνατελῶ τῷ οἴκῳ Δαβὶδ ἀνατολὴν δικαίαν. καὶ βασιλεὺς δίκαιος. μία μὲν οὖν ἡ ἀνατολή, πολλαὶ δὲ αὐτῆς αἱ ἀκτῖνες, φιλανθρωπίας, ἰάσεως, εἰρήνης, δικαιοσύνης ἀκτῖνες καὶ μυρίων ἄλλων. διὸ καὶ ὁ Δαβὶδ προθεσπίζων ᾖδεν „ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη." αὕτη γοῦν ἡ ἀνατολὴ ἐξ ὕψους ἀνέτειλε καὶ ἀπὸ τῆς γῆς, ἐξ ὕψους μὲν κατὰ τὴν θεότητα, ἀπὸ γῆς δὲ κατὰ τὴν οἰκονομίαν.

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὴν ἐνανθρώπησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ ὅτι ἑκάστῳ κλίματι ἐφεστήκασιν ἄγγελοι.

Ἐδούλευσεν ἡ κτίσις τῷ ἀνθρώπῳ [οὐχ ὡς ἀξίῳ], ἥλιος καὶ σελήνη καὶ ἄστρα καὶ θάλασσα καὶ γῆ καὶ τὰ ἐν αὐτοῖς, οὐχ ὡς ἀξίῳ δέ (καὶ γὰρ παραβάτης ἦν καὶ ὑπόδικος) ἀλλὰ τοῦ θεοῦ δουλεύειν προστάξαντος, ὡς ἂν μὴ ἐξυβρισθῇ διὰ πάντων ἡ εἰκών, εἰ καὶ παρέβη. πάσης τοίνυν τῆς κτίσεως στασιαζούσης ὁ θεὸς κελεύει τῇ κτίσει μὴ ἀφηνιᾶν, ἀλλὰ παρέχειν μὲν τὸν ἥλιον

1544 R. τὴν ἑαυτοῦ ἀκτῖνα, τὴν γῆν τοὺς καρπούς, τὴν θάλασσαν ἰχθύας καὶ τὰς ἐμπορίας, καὶ ἕκαστον τῶν κτισμάτων τὴν ἐξ ἑαυτῶν χρείαν καὶ ὠφέλειαν τοῖς ἀνθρώποις. ταύτην ἀπογυμνῶν ὁ ἀπόστολος τὴν ἔννοιαν φάσκει „ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ ἀπεκδέχεται. τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα ἀλλὰ διὰ τὸν ὑποτάξαντα, ἐπ' ἐλπίδι ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ." οἷον τί λέγω; ὡς εἶδεν ὁ θεὸς τὸν ἄνθρωπον ἐκπεσόντα καὶ τὴν κτίσιν ἀνανεύσασαν πρὸς ὑπηρεσίαν τοῦ ἡμαρτηκότος, ἐχαλίνωσεν αὐτὴν καὶ μὴ θέλουσαν, καὶ ἐκέλευσεν ὑπηρετεῖν ὡς πρότερον, ἡνίκα τὸ βασιλικὸν ἑαυτῷ καὶ ἀρχικὸν τὴν ἐντολὴν φυλάττων συνδιέσωζεν. ἠσχύνετο γὰρ ἡ κτίσις τὸν αἰχμάλωτον τῇ παραβάσει κύριον ἐπιγράφεσθαι, καὶ ἐξυπηρετεῖν αὐτῷ, τῆς ἁμαρτίας αὐτὸν δοῦλον ὁρῶσα γενόμενον· ἀλλ' ἐκέλευσεν 844 H.
ὁ κτίστης μὴ ἐξαρνεῖσθαι τὸν παραβάτην, ἀλλ' ἐπιδεικνύναι τοῦ κοινοῦ δεσπότου τὴν ἄφθονον χάριν καὶ τὸ τῆς εὐεργεσίας ἀμετάθετον, ἐπαγγειλάμενος καὶ τῇ κτίσει ὅτι περ ἀνακαινιζομένου καὶ ἐλευθερουμένου τοῦ φθαρέντος καὶ αἰχμαλωτισθέντος ἀνθρώπου ἀνακαινισθήσεται καὶ αὐτή, ὡς ἂν εἰ ἔλεγεν „ἔπεσεν ἡ εἰκὼν καὶ ὠλίσθησε διὰ τὴν παράβασιν καὶ φθείρεται διὰ τὴν παρακοήν. ἀνάσχου δουλεῦσαι τῇ τοῦ φθαρέντος φθορᾷ, ἵνα, ὅταν αὐτὸν ἀνακαινίζω, τὴν ἐμὴν εἰκόνα, τὸν φθαρέντα ἄνθρωπον, σὺν αὐτῷ καὶ σὲ τὴν κτίσιν ἀνακαινίσω καὶ σύνθρονον αὐτοῦ τῆς δόξης ποιήσω. συγκατεσπάσθης αὐτοῦ τῇ ταλαιπωρίᾳ, συναναστήσῃ τῇ δόξῃ." τί δέ ἐστι τὸ τὴν κτίσιν φεύγειν τὴν τοῦ ἀνθρώπου δεσποτείαν; λέγει γὰρ „τῇ ματαιότητι ἡ κτίσις οὐχ ἑκοῦσα ὑπετάγη." ποίᾳ ματαιότητι; ἀφ' οὗ ἂν ἐκτραπῇ ὁ ἄνθρωπος τοῦ θεοῦ, ματαιότης καλεῖται. ἄκουσον ψάλλοντος τοῦ Δαβὶδ „πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν." πᾶς ἄνθρωπος μάταιός ἐστιν ὁ τὸν θεὸν καταλιμπάνων καὶ τὰ μάταια μεταδιώκων.

Ἔστησεν ὁ θεὸς ἀγγέλους κατὰ τὰ κλίματα τῆς οἰκουμένης ἕνα ἕκαστον ἐπιτροπεύειν, ὡς καὶ Μωϋσῆς λέγει, ἑνὸς ἑκάστου ἔθνους· ἔστησε δέ, ἵνα τὴν ἄψυχον κτίσιν χαλινώσωσιν, ἥλιον καὶ σελήνην καὶ θάλασσαν καὶ γῆν καὶ τὰ ἐν αὐτοῖς, ὑπηρετεῖν τῇ τοῦ ἀνθρώπου ἀπολαύσει. πάλιν οἱ ἄγγελοι ἐτρύχοντο ὑπηρετούμενοι ἀναξίοις καὶ δίκης ἐνόχοις ἀνθρώποις, μάλιστα ὁρῶντες αὐτοὺς τὴν δεσποτικὴν ἀξίαν τοῖς εἰδώλοις ἀνά-

a. 1. ἐμοῦ ς. 8. ὅτι A: ἐκ του ὅτι ς. 22. καὶ βασιλεύσει βασιλεὺς A. 33. καὶ ante ἄστρα add A. καὶ θάλασσα om A. 39. τὴν γῆν τοὺς καρπούς add A. τὴν δὲ θάλ. ς. 40. ἰχθῦς ς. ἐμπορείας A.
b. 3. ὑπετάγη om pr A. 25. τῆς — 26. αὐτοῦ add A. 26. συναναστήσω ς. 29. ἑκοῦσα om pr A.

πτοντας καὶ ἀνιερῶντας. ἔφερεν ἡ γῆ τὸν οἶνον, καὶ οἱ βωμοὶ τὰς σπονδὰς ἐδέχοντο, τοὺς ἄλλους καρπούς, καὶ τοῖς εἰδώλοις ἀνετίθεντο. διὰ τοῦτο ἐδυσφόρουν οἱ ἄγγελοι, τὰ μὴ ὄντα ὁρῶντες ἀντὶ τοῦ ὄντος τιμώμενα. ἐντεῦθεν καὶ τὸ ἕτερον ζήτημα, τὸ εἰς τὸν προφήτην ἀναφερόμενον· „ἦλθε πρὸς αὐτόν" φησίν „ὁ ἄγγελος Γαβριήλ, καὶ λέγει αὐτῷ· Δανιὴλ ὁ δοῦλος τοῦ θεοῦ, ἀφ' ἧς ἡμέρας προέθου κακῶσαι τὴν ψυχήν σου ἔναντι κυρίου, εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἀπεστάλην ἀπαγγεῖλαί σοι τὰ ῥήματα ταῦτα. ἀλλ' ὁ ἄρχων τῆς βασιλείας Περσῶν ἀντέστη μοι, εἰ μὴ Μιχαὴλ ὁ ἄρχων τοῦ ἔθνους ὑμῶν ἦλθεν εἰς βοήθειαν." ἀπορήσειε γὰρ ἄν τις, εἰ ὁ τῆς Περσίδος ἐπιτροπεύων ἄγγελος παρὰ θεοῦ ἐπιτροπεύειν τέτακται, ὡσαύτως δὲ καὶ ὁ Γαβριὴλ ἀνακομίσαι τὸν Ἰσραὴλ τῆς αἰχμαλωσίας παρὰ θεοῦ ἀπέσταλται, πῶς αὐτῷ τῶν Περσῶν ὁ ἄρχων ἀνθίστατο; λυθείη δ' ἂν τὸ διαπορούμενον ὧδε.
1545 B. ὁ κόσμος εἰδωλολατρείας ἐπεπλήρωτο, οἱ δὲ ἄγγελοι οἱ ἐφεστῶτες τῶν ἐθνῶν ἠγανάκτουν καὶ ἐθλίβοντο. αἰχμάλωτος δὲ Δανιὴλ εἰς Βαβυλῶνα μετὰ τῶν ὁμοφύλων ἀπαχθεὶς τὴν θεογνωσίαν ἐκήρυττεν· ὡσαύτως καὶ οἱ τρεῖς παῖδες, οὓς τὸ πῦρ εἰς ἱλαρὰς αὔρας τὴν καυστικὴν δύναμιν ἀμείψαν ἀνέψυχε. διὸ καὶ πολλοὺς τῆς εἰδωλικῆς μεταστήσαντες πλάνης θεοσεβεῖν
945 H. παρεσκεύασαν. ὁ οὖν τῆς ἀρχῆς τῶν Περσῶν ἐφεστηκὼς ἄγγελος ἔχαιρεν ὁρῶν ἐν τοῖς αὐτοῦ μέρεσι τὸν θεὸν ἀντὶ τῶν εἰδώλων λατρευόμενον. τὸν Ναβουχοδονόσορ ἑώρα, ἀντὶ τοῦ καταναγκάζειν θύειν εἰδώλοις καὶ ἐσχάταις τοὺς μὴ πειθομένους ὑποβάλλειν τιμωρίαις, λαμπρῶς θεολογοῦντα καὶ λέγοντα „Σιδρὰχ Μισὰχ καὶ Ἀβδεναγὼ οἱ δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου" καὶ πολλὰ τοιαῦτα. ἐπεὶ οὖν ὁ μακάριος Δανιὴλ ἐδεῖτο τοῦ θεοῦ, πληρωθέντων τῶν ἑβδομήκοντα ἐτῶν τῶν ἐπὶ τῇ αἰχμαλωσίᾳ διορισθέντων, ἀναγαγεῖν τῆς αἰχμαλωσίας τὸν Ἰσραήλ, ἀπεστάλη δὲ Γαβριὴλ μηνῦσαι αὐτῷ τὴν ἀνάρρυσιν, ἀνθίστατο τῷ Γαβριὴλ ὁ τῆς Περσικῆς ἀρχῆς ἐπιστάτης, λυπούμενος ὅτι πάλιν ἡ γῆ ἧς ἐπεστάτει, τῶν διδασκάλων τῆς εὐσεβείας ἐκεῖθεν ἀνακομισθέντων, εἰς τὴν προτέραν ἐπαναστρέψει ἀσέβειαν καὶ πλάνην. ἀνθίστατο δὲ οὐ μαχόμενος ἀλλὰ δικαιολογούμενος, „τίς ἡ σπουδή" λέγων „τῆς ἀνόδου; τὴν οἰκείαν οἰκῶν πατρίδα ὁ Ἰσραὴλ καὶ εὐπαθῶν εἰς εἰδωλολατρείαν πολλάκις ἐξώκειλε· νῦν δὲ καθαρῶς εὐσεβεῖ, τὴν ἀλλοτρίαν παροικῶν, καὶ οὐκ εὐσεβεῖ μόνον, ἀλλὰ καὶ ὑπεραθλεῖ τῆς εὐσεβείας, πολλοὺς τῶν πεπλανημένων πρὸς τὸν ἀληθινὸν ἐπιστρέφουσι θεόν. ὅτε οὖν καὶ τοῖς τὴν χάριν δεχομένοις οὐδὲν κατὰ ψυχὴν λυσιτελέστερον ἐπακολουθεῖ, καὶ τοὺς εὐσεβοῦν δι' αὐτοὺς ἀρξαμένους τὸ ἔσχατον κακὸν ἡ δυσσέβεια πάλιν ὑποχειρίους ποιεῖ, πόσον ἦν ἄμεινον καὶ τὸν Ἰσραὴλ τέως τῆς αἰχμαλωσίας μὴ ἀναγαγεῖν, καὶ τοὺς ἄρτι πρὸς τὸ φῶς ἀναβλέψαντας τῆς θεογνωσίας ἐν τῇ αὐτῇ συντηρεῖν εὐσεβείᾳ; ἀπεστάλην, φῄς, τὸν λαὸν ἀποκαταστῆσαι τῇ πατρίδι. ποίᾳ πατρίδι; πρὶν οἰκοῦντες ἐμίαινον ἐνίσσαν, δαίμοσι θύοντες, καὶ εἰδωλομανίαις. ὃ ταῦτα κατηγορεῖ λέγων Ἱερεμίας „κατὰ ἀριθμὸν τῶν πόλεών σου ἦσαν οἱ θεοί σου, Ἰούδα καὶ κατὰ τὰ ἄμφοδα Ἱερουσαλὴμ ἔθυες τῷ Βάαλ;" μυρίοις τότε παρὰ θεοῦ περιεκλύζοντο ἀγαθοῖς, καὶ τῆς κακίας καὶ ἀσεβείας οὐκ ἀνεχώρουν· μυρία νῦν ὑπομένουσι κακά, καὶ τοῦ θεοῦ οὐκ ἀφίσταντο. τί ποτ' οὖν ἔσται τὸ τῆς ἐπανόδου κέρδος; ἦν τοίνυν ἡ ἀντίστασις οὐ κακοῦ πρὸς ἀγαθόν· οὐ γὰρ εἶπεν ἐμάχετο, ἀλλ' ἀνθίστατο. καὶ γάρ ἐστι πολλάκις ἀντίστασις δικαίου πρὸς ἀγαθόν, ὡς ἀνθίσταται πολλάκις νόμῳ φιλανθρωπία καὶ φιλανθρωπίᾳ νόμος. ὁ νόμος τὸν ἁμαρτήσαντα κολάζει· φιλανθρωπία πολλάκις βασιλέως τὸν ἁμαρτήσαντα ἐλεεῖ καὶ ἐξαρπάζει τῆς τιμωρίας. ὧδε οὖν ἡ μάχη οὐκ ἐναντίου πρὸς ἐναντίον, ἀλλὰ συγγενοῦς πρὸς συγγενές· οὔτε γὰρ τὸ δίκαιον ἔξω ἀγαθότητος, οὔτε τὸ ἀγαθὸν ἔξω δικαιοσύνης εὑρίσκεται. ὅτι τῆς κτίσεως (φησίν) ὡς προείρηται διακειμένης, καὶ ἀγανακτούσης ἐφ' ᾧ καὶ ἄκουσα τῷ παραβάτῃ παρεῖχε τὴν χρείαν καὶ ἐξυπηρέτει, καὶ ἀγγέλων ἀχθομένων ἐπὶ τῇ τοῦ εὐεργετουμένου ἀγνωμοσύνῃ, καὶ ὅλου κακωθέντος τοῦ κόσμου διὰ τὰς παρανομίας (καὶ 946 H.
γὰρ „εἶδε" φησὶν „ὁ θεὸς τὴν γῆν, καὶ ἦν κατεφθαρμένη, ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτῆς"), οὐκ ἦν ἡ κτίσις οἵαν ὑπέστησεν αὐτὴν ὁ θεὸς ἀπ' ἀρ- 1548 B.
χῆς· οὐκ ἦν τοῖς ἄστροις ὁ οὐρανός, ὡς τὸ πρίν, ἄνευ τινὸς μιάσματος καταλαμπόμενος· οὐκ ἦν ἡ γῆ τοὺς καρποὺς ἀμολύντους, ὡς τὸ πρίν, ἀναδιδοῦσα· οὐ θάλασσα, οὐκ ἄλλο τι τῶν ἐν τῇ κτίσει. ὁ γὰρ παραβάτης εἰσελθὼν ἐν αὐτῇ κατεμίανε καὶ ἀνεθόλωσεν ἅπαντα ταῖς βλασφημίαις, ταῖς θεομάχοις καὶ αἰσχραῖς φω-

a. 5. ἐντεῦθεν] ἐντεῦθεν λέγεται A. 12. ἡμῶν A. 14. δὲ om A. 18. εἰδωλολατρίας ς. 25. παρεσκεύασεν ἐπ' αὐτῆς ὁ ς. 30. καὶ λέγοντα om A. σεδρὰχ μισὰκ ἀβδιναγὼ A. 34. διορηθέντων A.
b. 4. ἐπιστρέφουσι] quidni ἐπιστρέφων? 9. ἀνάγειν ς. 12. ἐνίσαις A. 36. αὐτὴν] αὐτοῖς pr A. 41. ἀνεθόλωσεν A: ἀνεθάλωσεν Hoesch. et Genev., ἀπεπαλαίωσεν Roth.

ναῖς, ταῖς μιαιφονίαις· τοῖς πειραταῖς καὶ λῃσταῖς τὴν θάλατταν· τὰς πηγὰς καὶ ποταμοὺς ταῖς εἰδωλολατρείαις, νύμφαις καὶ δαίμοσιν ἀνάπτοντες αὐτά. πᾶσα τοῖς ἀνθρώποις ἡ κτίσις εἰς θεοὺς ἀνεπλάττετο· οὐδὲν δὲ κτίσιν οὕτω μιαίνει καὶ κιβδηλεύει ὡς τὸ θεοποιεῖσθαι αὐτήν. διὰ ταῦτα εἰσῆλθεν ὁ σωτὴρ τοῦ κόσμου διὰ σαρκὸς ἐν αὐτῇ, καὶ ταύτην τῶν μυρίων τούτων ἀπαλλάξας μιασμάτων ἀνεκαίνισε, πολὺ χαλεπωτέρων ἢ σωματικῆς διαφθορᾶς ἐλευθερώσας αὐτὴν κακώσεων καὶ παθῶν. ἀνακαινίζει διὰ τῆς πρώτης παρουσίας τὴν κτίσιν, ἵνα μάθῃς ὅτι αὐτός ἐστιν ὁ καὶ ἀπ' ἀρχῆς αὐτὴν δημιουργήσας· οὐ γὰρ ἄλλου μὲν κτίζειν, ἄλλου δὲ διαφθαρεῖσαν ἀνακαινίζειν, ἀλλὰ τῆς αὐτῆς ἑκάτερον σοφίας καὶ τέχνης. ἀνακαινίζει τὴν κτίσιν κατὰ τὴν πρώτην ἐπιδημίαν, ἵνα μηδεμία σοι χώρα καταλειφθῇ ἀπιστίας ὡς κατὰ τὴν δευτέραν παρουσίαν οὐ καινισθήσεται, καὶ σὺ πρὸ αὐτῆς εἰς ἀφθαρσίαν, εἰς ἀπάθειαν, εἰς ἄφατον καλλονήν. εἰ γάρ, ὅτε ἦν ἑκὼν ἐν ἀσθενείᾳ σαρκός, ἐν ἱδρῶσιν, ἐν πάθεσιν ὁ Χριστός, ὅτε πλάνος καὶ Σαμαρείτης ἐσυκοφαντεῖτο, τὴν κτίσιν ἐκάθαρε τῶν τοσούτων καὶ τηλικούτων καὶ πολυχρονιωτάτων παθῶν καὶ μιασμάτων, ὅταν ὡς κριτὴς ζώντων παραγένηται καὶ νεκρῶν, ὅταν μυριάσιν ἀγγέλων δορυφορούμενος τάγμασιν, ὅταν πάντων δεσπόζων καὶ κύριος, ὅταν πάντα φρίσσῃ καὶ τρέμῃ, πῶς ἡ ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μεταβολὴ οὐ τὸ ῥᾷστον ἔχουσα καθορᾶται καὶ τὸ ἀκόλουθον καὶ θεοπρεπές;

ὅτι παραγίνεται ὁ σωτὴρ προκηρυττόντων τῶν προφητῶν, ἵνα μή τις νομίσῃ ὅτι καθ' ὃν τρόπον ἄνθρωπος τῆς προτέρας διαμαρτὼν ἐπιβολῆς καὶ βοηθείας ἐπὶ δευτέραν ἔρχεται, οὕτω καὶ ὁ θεός. ἵνα οὖν μή τις ὑπονοήσῃ τοῦτο, ἄνωθεν προέλεγον οἱ προφῆται τὴν παρουσίαν αὐτοῦ, ἵνα δείξωσιν ὅτι θεὸς οὐ σκεπτόμενος εὑρίσκει τὸ συμφέρον, ἀλλ' ἀπ' ἀρχῆς προείδεν ἅπαντα. ἡμεῖς μὲν γὰρ οἱ ἄνθρωποι σκεπτόμεθα, καὶ ἐὰν ἀποτύχωμεν τῆς πρώτης πείρας, ἐφ' ἑτέραν μεταβαίνομεν· ὁ δὲ θεὸς οὐχ οὕτως, ἀλλ' ἔδωκε νόμον, προφήτας, καὶ μετὰ ταῦτα τὸ εὐαγγέλιον, οὐ χρόνῳ τὸ συμφέρον μεταμαθών· ἀπ' ἀρχῆς δὲ εἰδὼς ὡς οὐχ οἷόν τε ἄλλως ἦν τὴν κτίσιν καὶ τὸν ἐν αὐτῇ ἄνθρωπον οὔτε γενέσθαι οὔτε παιδαγωγηθῆναι, οὔτε τὸ τῆς ἀφθαρ-

347 Η. σίας ἀξίωμα ἀναλαβεῖν, εἰ μὴ καθ' ὃν τρόπον ἡ ἄφατος πρόνοια καὶ φιλανθρωπία ᾠκονόμησεν.

ὅτι φασίν, εἰ προῄδει ἁμαρτῆσαι τὸν Ἀδὰμ ὁ θεός, τί καὶ προήγαγεν αὐτόν; καὶ πολλαὶ μὲν εἰσι καὶ πάγκαλοι τοῦδε τοῦ ἀπορήματος ἐπιλύσεις, λέγει δ' οὖν καὶ ὁ θεόσοφος Ἰωάννης ὁ Χρυσόστομος ὅτι οὐ τοῦτο μόνον φημὶ ὅτι προῄδει, ἀλλ' ὅτι καὶ πεσόντα ἀναστήσει αὐτὸν διὰ τῆς οἰκονομίας. καὶ οὐ πρότερον εἶδε τὴν πτῶσιν, εἰ μὴ προεπενόησε τὴν ἀνάστασιν. ᾔδει ὅτι πεσεῖται, ἀλλὰ προαπέθετο τὸ τῆς ἀναστάσεως φάρμακον· καὶ συνεχώρησεν εἰς πεῖραν ἐλθεῖν θανάτου τὸν ἄνθρωπον, ἵνα μάθοι τίνος μὲν ἀπολαύει δι' ἑαυτόν, τίνος δὲ τῇ τοῦ πλάσαντος χάριτι. ᾔδει πεσούμενον τὸν Ἀδάμ· ἀλλ' ἔβλεπεν ἐξ αὐτοῦ προελευσόμενον τὸν Ἄβελ, τὸν Ἐνώς, τὸν Ἐνώχ, τὸν Νῶε, τὸν Ἠλίαν, τοὺς προφήτας, τοὺς θαυμαστοὺς ἀποστόλους, τὴν εὐγένειαν τῆς φύσεως, τὰ θεοκίνητα τῶν μαρτύρων καὶ στάζοντα τὴν εὐσέβειαν νέφη. ἔβλεπε ταῦτα, καὶ ποῦ ἦν καλόν, ποῦ δὲ δίκαιον, ποῦ δὲ θεοπρεπές, [ἵνα] διότι ἔμελλεν εἷς ἄνθρωπος ἁμαρτάνειν, τοῦτον μὴ ἀγαγεῖν ἐκ μὴ ὄντων, καὶ τοσούτων ἀνδρῶν, ὧν οὐδὲ καθ' ἕνα ἄξιος ὁ κόσμος, φορὰν ἀνακόψαι, καὶ θερίσαι πρόρριζον τὴν τοσαύτην τοῦ γένους βλάστησιν καὶ καλλονήν, καὶ κατ' αὐτῆς ἐπαφιέναι τὴν ἐκτομὴν καὶ ὀργήν, καὶ τότε τοῦ τὴν ἁμαρτίαν ὕστερον ἑλομένου οὔτε ἁμαρτόντος οὔτε ἁμαρτεῖν μεμελετηκότος, ἅτε μήπω μηδὲ ὑφεστῶτος; εἰ γὰρ σωφρόνων ἐστὶν ἀνδρῶν τὸ μελετήσαντα μὲν ἁμαρτῆσαι μὴ ἁμαρτήσαντα δὲ μὴ εἰσπράττειν εὐθύνας ἁμαρτημάτων, ἢ πού γε ἂν εἴη θεοῦ τὸν μηδὲ μελετήσαντα ἐξαμαρτῆσαι τὰς τῶν ἡμαρτηκότων ἀπαιτεῖν δίκας, καὶ τότε χαλεποῦ μὲν ὄντος τοῦ ἁμαρτήματος (πῶς γὰρ οὐ χαλεπὸν ἀθέτησις δεσποτικῆς ἐντολῆς;) οὐκ ἀνιάτου δὲ ἐσομένου, τῇ ἀφάτῳ φιλανθρωπίᾳ τοῦ πλάσαντος καὶ τοῦ πρωτοπλάστου εἰς τὴν ἀρχαίαν ἐπανάγεσθαι μέλλοντος εὐγένειαν. ὥστε εἰ μὴ προῆκτο, διότι ἔμελλεν ἁμαρτεῖν ὁ ἀρχέγονος, ἐδείκνυτο ἂν τὸ θεῖον τὸν μήπω ἁμαρτήσαντα κολάζον, καὶ τῆς ὕστερον ἀνακλήσεως καὶ σωτηρίας ἀποστεροῦν, καὶ τοσούτων ἀνδρῶν καλῶν τε καὶ ἀγαθῶν ἔρημον τὴν κτίσιν ἀποφαῖνον.

ὅτι τοῦ θείου Παύλου εἰπόντος „πρωτότοκος πάσης κτίσεως" οἱ αἱρετικοί, φησί, μὴ νοήσαντες περὶ ποίας κτίσεως λέγει, εἰς κτίσμα τὸν υἱὸν οἱ ἀνόητοι καταβιβάζουσι. διττὴ δὲ ἡ κτίσις· ἡ μὲν γάρ ἐστιν ἡ γεγενημένη, ἡ δὲ ἡ ἀνακαινιζομένη· αὐτὸς γὰρ πάλιν Παῦλος βοᾷ „εἴ τις ἐν Χριστῷ καινὴ κτίσις." ἵνα δὲ λαμπρῶς

a. 6. διὰ ταῦτα om A. 26. οὐ κατὰ τὸ c. ἔχουσα om A.
b. 3. ἀπολύσεις A. 8. οὐ libris deest. 40. λαμπρὸν c.

ἐπιδείξῃ ὅτι τῆς ἀνακαινισθείσης κτίσεως λέγει πρωτότοκον τὸν Χριστόν, ἐπάγει „πρωτότοκος ἐκ νεκρῶν,“ ἵνα γένηται ἐν πᾶσι πρωτεύων, πρωτεύων τῶν ἀνακαινιζομένων, τῶν εἰς ἀφθαρσίαν καλουμένων, τῶν ἐκ
848 H. νεκρῶν ἐγειρομένων, "πρωτεύων οὐ κατὰ τὴν θεότητα (ἄπαγε· ὕβρις γὰρ θεῷ τὸ καλεῖσθαι πρῶτον τῶν κτισμάτων, ὃς ἀῤῥήτῳ λόγῳ καὶ ἀνεπινοήτῳ ὑπεροχῇ πάσης ὑπερήρτηται καὶ ὑπερίδρυται φύσεως), ἀλλὰ πρωτεύει κατά γε τὴν ἀνθρωπότητα, ἀρχηγὸς ἡμῶν γεγονὼς τῆς ἀναστάσεως καὶ τῆς ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μεταστοιχειώσεως. εἰ γὰρ καὶ Ἠλίας τὸν υἱὸν τῆς χήρας ἤγειρε καὶ Ἐλισσαῖος τὸν τῆς Σωμανίτιδος, καὶ αὐτὸς ὁ σωτὴρ τεταρταῖον τὸν Λάζαρον ἐξανέστησεν, ἀλλ' οὐδεὶς αὐτῶν εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν ἐξανέστη· πάλιν γὰρ αὐτῶν ὁ θάνατος ἐκυρίευσε. Χριστὸς δὲ ἀναστὰς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει. ἀλλ' οὐδὲ ἐκείνων, οὓς κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν ἀναστήσει. ὢ κακῆς καὶ ἄφρονος ὑμῶν γνώμης! ἦλθεν ὁ Χριστὸς πρὸς ἡμᾶς, ἔδωκεν ἡμῖν τὸ αὐτοῦ πνεῦμα, καὶ ἀνέλαβε τὸ ἡμέτερον σῶμα, καὶ τὸ συνάλλαγμα προῆλθε, καὶ λαβὼν ἡμῶν τὸ φύραμα ἀνύψωσεν αὐτὸ καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ πατρός· καὶ ἡ ἀγνωμοσύνη τὴν εὐεργεσίαν ὑβρίζει. ἔλαβε παρ' ἡμῶν τὸ πλάσμα καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ πατρός·
1552 R. "ἐλάβομεν ἐξ αὐτοῦ τὸ πνεῦμα, καὶ ὑβρίζομεν, ἐν κτίσμασι καὶ δούλοις αὐτὸ καταλέγοντες.

ὅτι φησί, δέησις μὲν λέγεται, ὅταν τις τὸν θεὸν ἀξιοῖ εἰς πρᾶγμα, προσευχὴ δέ, ὅταν ὑμνῇ τὸν θεόν, εὐχαριστία δέ, ὅταν τις ὑπὲρ ὧν ἔπαθε χάριν ἀνθομολογῇ τῷ θεῷ, ἐντυχία δέ, ὅταν τις κατὰ τῶν ἀδικούντων ἐντυγχάνῃ τῷ θεῷ, προσκαλούμενος αὐτὸν εἰς ἐκδίκησιν. ὅτι δὲ τὸ ἐντυγχάνειν οὐκ ἔστι (φησίν) ἱκετεύειν ἀλλ' ἐρωτᾶν καὶ ἀπόκρισιν δέχεσθαι, λέγει ὁ θεὸς πρὸς τὸν Ἠλίαν „τί σὺ ἐνταῦθα Ἠλία;“ ἀποκρίνεται ἐρωτηθεὶς ὁ προφήτης „ζηλῶν ἐζήλωκα κυρίῳ παντοκράτορι, ὅτι ἐγκατέλιπόν σε οἱ υἱοὶ Ἰσραὴλ“ καὶ ἑξῆς. καὶ οὐκ ἔστιν ἐνταῦθα δέησις, ἀλλ' ἐρώτησις καὶ ἀπόκρισις· καὶ γέγονε τὸ ἐξ ἀμφοῖν ἔντευξις. καὶ πόθεν δῆλον; Παύλου λέγοντος ἄκουσον· „οὐκ ἀνέγνωτε ἐν Ἠλίᾳ τῷ προφήτῃ τί λέγει ἡ γραφή; ὡς ἐντυγχάνει τῷ θεῷ κατὰ τοῦ Ἰσραήλ.“ οὐκοῦν ἡ ἐντυχία οὐκ ἔστι δέησις. Ἀλλὰ ταῦτα μὲν ὁ Χρυσόστομος. δεῖ δ' οὖν ἔτι λεπτομερέστερον τὰς διαφορὰς τῶν εἰρημένων ὀνομάτων διασκέψασθαι καὶ ἐπιθεωρῆσαι, ὥστε μὴ τῷ πλήθει μόνον ἱκανὰ εἶναι λέγεσθαι, ἀλλὰ καὶ τοῖς δευτέρον διακωδωνίζειν ταῦτα βουλομένοις ἀνάλωτα καὶ ἀνεπηρέαστα διαμένειν.

Ἐκ τοῦ λόγου, ὅτι παλαιᾶς καὶ καινῆς διαθήκης αὐτὸ νομοθέτης· καὶ εἰς τὸ ἔνδυμα τοῦ ἱερέως· καὶ περὶ μετανοίας.

ὅτι φησὶν ὁ Παῦλος „οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον· δικαιοσύνη γὰρ θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται.“ πῶς οὖν δικαιοσύνη θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται; πῶς; ἐπειδὴ ὁ πρῶτος νόμος Ἰουδαίοις μόνοις ἐδέδοτο, καὶ "τῶν ἄλλων ἀνθρώπων τῆς αὐτῆς ὑπαρχόντων δημιουργίας καὶ φύσεως, τὸ δὲ εὐαγγέλιον πᾶσιν ὁμοτίμως τοῖς ὁμοφυέσιν, εἰκότως ἐν αὐτῷ δικαιοσύνη θεοῦ ἀποκαλύπτεται, καὶ καλεῖται δικαιοσύνης εὐαγγέλιον. ἐν τοίνυν τῇ παλαιᾷ διαθήκῃ οὐκ ἦν ἡ κλῆσις δικαία· οὐ γὰρ ὁμοίως πάντας ἐκάλει καὶ ἐφώτιζε, τοὺς Ἰουδαίους δὲ μόνους. οὐκ ἦν οὖν δικαία ἀλλ' οἰκονομική, προπαρασκευάζουσα ὁδὸν τῇ δικαιοσύνῃ. οὐ λέγω ταύτην δικαίαν κἀκείνην ἄδικον, ἀλλ' ἐκείνην ὁδὸν ταύτης καὶ προκατασκευὴν ταύτης. ὑπελάμβανον οἱ Ἰουδαῖοι ὅτι καὶ τὸ εὐαγγέλιον αὐτοῖς δοθήσεται μόνοις, ὥσπερ καὶ ὁ νόμος· ἐξέβη δὲ παρ' ἐλπίδας ἡ προσδοκία. διὸ καὶ Δαβὶδ λέγει „ὑπελάβομεν, ὁ θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου,“ εἶτα „κατὰ τὸ ὄνομά σου, ὁ θεός, οὕτω καὶ ἡ αἴνεσίς σου,“ οὐχὶ ἐν μέσῳ τοῦ λαοῦ σου μόνον, ἀλλ' ἐπὶ τὰ πέρατα τῆς γῆς. καὶ ἵνα δείξῃ ὅτι τὸ ἐλεῆσαι τὰ πέρατα τῆς γῆς δικαιοσύνης ἐστίν, ἐπάγει „δικαιοσύνης πλήρης ἡ δεξιά σου.“

„ὁ κύριος“ φησίν „ἐβασίλευσε.“ πῶς ὁ κύριος ἐβασίλευσεν; ἆρ' ὡς πρόσφατον λαβὼν τὸ τῆς βασιλείας ἀξίωμα; εἰ μὲν γὰρ εἶπεν „ὁ κύριος βασιλεύει,“ τὴν ἀΐδιον αὐτοῦ ἡρμήνευεν ἐξουσίαν· εἰπὼν δὲ „ἐβασίλευσε“ τὴν διὰ σαρκὸς αὐτοῦ οἰκονομίαν λέγει, δι' ἧς ἡ φύσις ἡμῶν τὴν ἐπικράτειαν τοῦ διαβόλου, τῆς ἁμαρτίας, τοῦ θανάτου ἀποσεισαμένη, ἐπέγνω πλάστην τὸν ὡς ἀληθῶς βασιλέα, τὸν χορηγὸν τῆς ἀφθαρσίας, τῆς ἀναστάσεως. εὐαγγελίζεται τοίνυν ὁ Δαβὶδ τοῖς ὑπὸ τῆς ἁμαρτίας, ὑπὸ τοῦ θανάτου, ὑπὸ τοῦ διαβόλου πάλαι βασιλευομένοις, "ὅτι ὁ ζυγὸς ἐκεῖνος συντέτριπται, τὸ κράτος λέλυται, καὶ βασιλεύει πάντων ὁ κύριος. ὡς καὶ αὐτὸς μετὰ τὴν ἀνάστασιν ἔφη „ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.“ πρὶν δὲ ἐβασίλευεν ἡμῶν ὁ θάνατος

(right margin: 849 H., 1553 R.)

a. 5 ἐγειρομένων καὶ περομένων, πρωτ. c. 13. συνεξανέστησεν A. 18. ἡμῶν A. 26. αὐτὸ] imme αὐτόν.
b. 5. καὶ καινῆς add A. 22. μόνοις] καὶ μόνοις A. 30. φησὶν om A. 33. ἡρμήνευσεν c.

καὶ ἡ ἁμαρτία· „ἐβασίλευσε“ γὰρ „ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως“ καὶ ἑξῆς, καὶ ὁ σωτὴρ περὶ τοῦ διαβόλου „καὶ εἰ ὁ Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει, ἐμερίσθη ἡ βασιλεία αὐτοῦ.“ ὥστε ἐβασίλευε πρὸ τῆς ἐπιδημίας τοῦ Χριστοῦ τοῦ γένους ἡμῶν ὁ Σατανᾶς. ἀλλὰ καὶ ἡ ἁμαρτία. λέγει γὰρ πάλιν ὁ Παῦλος „ὥσπερ γὰρ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν σώματι, οὕτω καὶ ἡ χάρις βασιλεύσει διὰ Χριστοῦ.“ ὁ κύριος ἐβασίλευσε· πέπαυται τῆς ἁμαρτίας τὸ κράτος, τοῦ θανάτου, τοῦ διαβόλου. οὐκοῦν „ἀγαλλιάσθω ἡ γῆ,“ ἡ φύσις ἡ γηγενής, ἡ ποτὲ πλανωμένη, νῦν δὲ δοξαζομένη, ἡ ποτὲ ἐν τάφοις, νῦν [δὲ] ἐν θρόνοις.

ὅτι φησίν, οἰκονομίας ἦν τὰ πλεῖστα τῶν ἐν τῇ παλαιᾷ, ἀλλ' οὐκ ἀρεσκείας θεοῦ καὶ προηγουμένης εὐδοκίας, καὶ τύποι τῶν μελλόντων καὶ σκιαί, ἀλλ' οὐκ αὐτὰ τὰ πράγματα. καὶ ἔστιν ἰδεῖν ἐπ' αὐτῶν ἄλλα μὲν τὰ σχήματα, ἄλλα δὲ τὰ νοήματα. οἷον οὐ πάντως θεὸς
50 H. ἀναπαύεται ὑακίνθῳ καὶ πορφύρᾳ καὶ κόκκῳ καὶ βύσσῳ (θεὸς γὰρ ψυχῶν ἀπαιτεῖ καθαρότητα, οὐ σωμάτων ἄνθη καὶ λαμπρότητας), ἀλλ' ἐν ταῖς σωματικαῖς φαιδρότησι τὴν εἰκόνα τῶν ἀρετῶν διαγράφει. εἰ γὰρ ταῖς στολαῖς ἐκείναις ὡς ἀληθῶς ἀνεπαύετο, πῶς τὸν Μωϋσῆν πρὸ τοῦ Ἀαρὼν οὐκ ἐνέδυσεν, ἀλλ' ἣν ἐκεῖνος οὐκ ἐνεδύσατο, ταύτην τοὺς ἱερέας ἠμφίασε; καὶ Μωϋσῆς μὲν οὐκ ἐλούσθη ὕδατι, καὶ ἔλουε. διὰ τί; ἵνα μάθῃς ὅτι οὐκ ἦν ταῦτα προηγούμενα τῷ θεῷ, ὅτι τῷ τελείῳ πρὸς κόσμον ἀρκεῖ ἡ ἀρετή, καὶ ὅτι ταῦτα τύπος ἦν τῆς ἀρετῆς, ἀλλ' οὐκ ἀρετή.

ὅτι ἐπὶ τῆς κεφαλῆς, φησίν, ἔφερεν ὁ ἀρχιερεὺς τιάραν, διότι τὸν προχειριζόμενον ἁπάντων κεφαλὴν κατὰ τῆς κεφαλῆς ἔχειν τὴν ἐξουσίαν ἔδει, καὶ εἰδέναι ὅτι κεφαλὴν τῶν ἄλλων προβαλλόμενος καὶ αὐτὸς ὑπὸ κεφαλήν ἐστι τὸν κοινὸν ἁπάντων δεσπότην καὶ ἐξουσιαστήν· ἀπολελυμένη γὰρ αὐθέντεια καὶ αὐτόνομος ἀφόρητός ἐστι καὶ χαλεπή. διὰ τοῦτο καὶ ἐν τῇ χάριτι οἱ ἀρχιερατεύειν τελούμενοι τὸ εὐαγγέλιον ἐπὶ κεφαλῆς δέχονται, ἵνα μάθῃ ὁ χειροτονούμενος ὅτι τὴν ἀληθινὴν τοῦ εὐαγγελίου τιάραν λαμβάνει, καὶ ὅτι εἰ καὶ τῶν ἄλλων ἱερουργεῖται κεφαλή, ἀλλ' οὖν καὶ αὐτὸς ὑπὸ τούτους τελεῖ τοὺς νόμους, καὶ τῶν ἄλλων κρατῶν τῷ νόμῳ κρατεῖται. ἀλλ' ἡ μὲν τιάρα τὴν ἐξουσίαν ἐτύπου, ἥν τε αὐτὸς εἶχε τοῦ λαοῦ καὶ ὑφ' ἣν αὐτὸς ἀνεφέρετο τοῦ θεοῦ. τὸ δὲ πέταλον τὸ χρυσοῦν, ἐν ᾧ τὸ ὄνομα ἐκεκόλαπτο τοῦ θεοῦ, ἐπέκειτο μὲν τῷ στήθει, φυλακῆς δ' ἐπεῖχε τύπον τῶν ἐν καρδίᾳ κινημάτων, καὶ ὡς δεῖ ταῦτα καταρρυθμίζειν τῇ πρὸς τὸ θεῖον νεύσει καὶ ἀναφορᾷ. ἐπὶ δὲ τῶν ὤμων σμαράγδου λίθοι δύο, ἔχοντες τὰς ἓξ φυλὰς ἐντεῦθεν καὶ τὰς ἓξ ἐντεῦθεν· οὗτοι δὲ σύμβολον ἦσαν τῆς ὄψεως τῆς ἀρχιερατικῆς. ἔχει γὰρ ἡ τοῦ σμαράγδου ψῆφος καὶ χλωρότητα εὐπρεπῆ καὶ καθαρότητα διαυγῆ, κατόπτρου δύναμιν ὑποφαίνουσα· καὶ γὰρ δεῖ τὸν ἱερέα καὶ ἀσκήσει νήφειν καὶ τὸν βίον τοῖς ὑπ' αὐτὸν ὥσπερ κάτοπτρον παρέχειν. ἐπὶ τῶν ὤμων δὲ ἡ σμάραγδος, ἐπειδὴ πράξεώς ἐστι σημεῖον· ἡ γὰρ πρακτικὴ δύναμις τῶν ὤμων ἤρτηται. διὸ καὶ ὁ θεὸς πρὸς τὴν Ἱερου- 1556 R.
σαλὴμ λέγει „θὲς τὴν καρδίαν σου ἐπὶ τῶν ὤμων σου, θύγατερ ἠτιμωμένη, ὅτι κύριος κτίζει σε εἰς σωτηρίαν.“ καὶ γὰρ τὰς χεῖρας καὶ τοὺς ὤμους εἰς πράξεις ἡ γραφὴ λαμβάνει, ὡς ὅταν λέγῃ περὶ τοῦ Δαυὶδ „καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς.“ ἐνῆσαν δὲ τῷ λογείῳ τῷ ἐπὶ τοῦ στήθους καὶ οἱ δώδεκα λίθοι ἐνηρμοσμένοι, τὰς δώδεκα φυλὰς ὑποδηλοῦντες. καὶ ὅρα, ἄνω μὲν καὶ ἐπὶ τῶν ὤμων μία ἦν φύσις τῶν λίθων ὁ σμάραγδος, κάτω δὲ καὶ ἐπὶ τοῦ στήθους οἱ δώδεκα, αἰνιττομένου τοῦ λόγου ὅτι ἄνωθεν μὲν ἅπαντες ἐκ μιᾶς προήλθομεν φύσεως, προϊόντος δὲ τοῦ χρόνου διαφόροις γνώμαις ἐμερίσθημεν· καὶ τὸ μὲν δίδωσι τῇ γνώμῃ, τὸ δὲ τῇ φύσει. ὑπὸ δὲ τὸ κράσπεδον τοῦ ἱερέως, τὸ 861 H.
λεγόμενον λῶμα, ἄνθη ῥόαι καὶ ῥοΐσκοι χρυσοῖ καὶ κώδωνες ἀπῃώρηντο. καὶ πῶς ἂν εἴη θεῷ ταῦτα κατὰ πρῶτον λόγον ἀρέσκοντα; ἀλλ' ἐν τῷ σχήματι τοῦ ἱερέως ἐφῆκεν ἐξεικονίζεσθαι τὰς ἀρετάς. κάτω ἄνθη καὶ καρποὶ τὰ τῶν ἀρετῶν κατορθώματα, ἅ τινά ἐστιν ἐλεημοσύνη καὶ δικαιοσύνη καὶ φιλανθρωπία καὶ τῶν ἄλλων ὁ σύστοιχος αὐταῖς χορός.

ὅτι φησί, μὴ μετάβαλλε ῥήματα θεοῦ ζῶντος. εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ἐβαπτίσθης· τί ἀναιρεῖς τὰ ὀνόματα τὰ ζῶντα, καὶ εἰσάγεις ὀνόματα λογισμῶν, γέννημα λέγων καὶ ἀγέννητον καὶ γεννητόν, ὂν ἀεὶ καὶ μὴ ὂν ἀεί. τούτων ἀνέχεται θεὸς τῶν ματαίων ῥημάτων; ἓν ῥῆμα ἵνα μεταβάλῃ, προφήτης ποτὲ ἐκινδύνευσεν ἀπολέσθαι. καὶ βλέπε ῥήματος μικροῦ ἀκριβολογίαν. τὰ ῥήματα τῶν προφητῶν τινὲς ἐκάλουν ὑπὸ ἀπειρίας λῆμμα κυρίου. λέγει ὁ θεὸς διὰ Ἠσαΐου „ἐὰν ἐρωτήσῃ σε ὁ λαὸς ἢ ὁ ἱερεὺς ἢ ὁ προφήτης, καὶ εἴπῃ σοι τί τὸ λῆμμα; εἰπὲ αὐτοῖς ὅτι τὸ λῆμμα κυρίου

a. 4. ἐβασίλευσε ς. 6. ὁ add A. 20. λαμπρότητα A. 31. κατὰ τῆς A: καὶ κατὰ ς. b. 2. ταῦτα καὶ καταρρ. ς. 16. λέγει ς. 22. μὲν om A. ἐκ μιᾶς ἅπαντες ς. 32. αὐταῖς om A. 33. μετάβαλε ς.

ὑμεῖς ἐστέ. λήψομαι γὰρ ὑμᾶς [λῆμμα] καὶ ῥάξω ὑμᾶς, ἵνα μὴ λέγητε λῆμμα." ἓν ῥῆμα ἵνα μὴ μεταποιηθῇ, ἀπειλεῖ ὁ θεός· καὶ σὺ ὁλόκληρον δογμάτων ἀκρίβειαν διαστρέφων νομίζεις διαφυγεῖν τὰς τοῦ θεοῦ χεῖρας;

**Ἐκ τοῦ εἰς τὸ „ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται."**

ὅτι ἦλθε (φησί) παρὰ τοῦ πατρὸς ὁ Χριστὸς πρὸς τοὺς ἀνθρώπους πρεσβευτής· ἐσφάγη ὁ πρεσβευτής· καὶ τότε γέγονεν ἡ εἰρήνη. ἀλλ' οἱ πρέσβεις ἐρχόμενοι καὶ δῶρα φέρουσι καὶ δῶρα λαμβάνουσι. ποῖον οὖν ἧκε φέρων δῶρον, καὶ ποῖον ἀντέλαβε; παράδοξον τὸ δῶρον, ὡς καὶ ὁ πρεσβευτὴς παράδοξος. τὸ αἷμα αὐτοῦ φέρων ἦλθε δῶρον, τὸ σῶμα αὐτοῦ φέρων ἦλθε δῶρον. καὶ τί παρ' ἐμοῦ ἔλαβε δῶρον; πίστιν. καὶ τί ἀντ' αὐτῆς μοι παρέσχε; χάριν. ἐπίστευσα ἐγώ, ἐχαρίσατο ἐκεῖνος, ἐλύθη ἡ ἔχθρα. ὁ πρεσβευτὴς ὅταν ἔλθῃ πρὸς ἔθνος, οὐκ ἀξιοῖ τινὶ τῶν ἀγοραίων ἢ πενήτων διαλεχθῆναι, ἀλλ' εὐθὺς τῷ βασιλεῖ πρόσεισιν. οὗτος δὲ ὁ πρεσβευτὴς ἦλθε, καὶ εὐθέως πόρνῃ καὶ λῃστῇ καὶ τελώνῃ καὶ μάγοις διελέχθη. εἶδες πρεσβευτοῦ φιλανθρωπίαν; οὐ γὰρ πρὸς ἕνα καὶ δεύτερον ἦλθεν, ἀλλὰ πρὸς τὴν κοινὴν φύσιν· καὶ ἦλθε τὸ ἐμὸν περιβεβλημένος ἱμάτιον, ἵνα μὴ γυμνῇ τῇ θεότητι παραγενόμενος φοβήσῃ τὴν θήραν.

**Ἐκ τοῦ εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου „εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα."**

ὅτι φασὶν οἱ ἑλληνισταὶ καὶ τὸ ἰουδαΐζον, τί κομπάζει

1557 B. Παῦλος λέγων „τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε

526a H. καινὰ τὰ πάντα· εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις." ἐγὼ γάρ, φησί, καινὸν οὐδὲν βλέπω. οὐ γὰρ ἔχεις ὀφθαλμούς, ἵνα ἴδῃς ταῦτα. δεῦρο, καὶ ποιήσω σοι ὀφθαλμούς. καὶ ὁρᾷς, καὶ σὺ ποιεῖς ὀφθαλμούς; ναί. καὶ δημιουργὸς εἶ; καὶ πάνυ. σὺ ἀπονενόησαι; οὐχί. οὐκοῦν ποίησον ὀφθαλμοὺς τοῦ σώματος; οὐκ, ἀλλὰ τὸ μεῖζον, τῆς διανοίας. καὶ ποιεῖς μοι ὀφθαλμούς; μάλιστα. οὐ γὰρ ἔχω; οὐχί. σὺ δὲ ἔχεις; ναί. πῶς, εἰπέ μοι; ὅταν ἀπέλθῃς εἰς ναόν, καὶ ἴδῃς ἐκεῖ ξόανον γυμνόν, λίθον ἄφωνον, καὶ εἴπῃς οὗτος ὁ θεός ἐστιν, ἆρα ὀφθαλμοὺς ἔχεις; μὴ γὰρ ὄφελός τι τῶν ἔξωθεν ὀφθαλμῶν, τῶν ἔνδοθεν πεπηρωμένων; ὁρᾷς ὅτι χρείαν ἔχεις ἵνα ποιήσω σοι ὀφθαλμούς, ὥστε τὸν λίθον σε ἰδεῖν λίθον καὶ τὸ ξύλον ξύλον. ὀφθαλμοὺς ἔχεις, ὅταν ἴδῃς ξύλον καὶ προσκυνήσῃς; ὅταν λαβὼν αὐτὸ ἐγὼ καύσω, ἆρα ἔχεις ὀφθαλμοὺς τὸ καιόμενον θεὸν ὀνομάζων; ὅταν τὰ πάθη θεοποιῇς, ὀφθαλμοὺς ἔχεις; μεθύει ὁ ἄνθρωπος καὶ περιφέρεται καὶ καταγελᾶται καὶ γίνεται ἀντὶ ἀνθρώπου ἄλογος· σὺ δὲ λέγεις ἡ μέθη θεὸς ὁ Διόνυσος, ἡ κλοπὴ θεὸς ὁ Ἑρμῆς. ὁρᾷς ὅτι χρεία σοι ὀφθαλμῶν; ὁ νόμος τὰ πάθη κολάζει, καὶ σὺ ταῦτα θεοποιῶν οὐκ αἰσθάνῃ. εἰ βούλει δέ, πρόσχες, ὅπως γέγονε πάντα καινά. κτίσις ἐν τῇ γραφῇ λέγεται οὐ μόνον ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγή, ἀλλὰ καὶ ἡ ἐκ τοῦ ὄντος ἐπὶ τὸ βέλτιον μεταβολή. ἔκτισεν ὁ θεὸς τὸν οὐρανόν, τοῦτ' ἔστιν ἐκ τοῦ μὴ ὄντος εἰργάσατο. κτίζει καὶ ὅταν τὸν πονηρὸν ἄνθρωπον καλὸν ἀπεργάσηται· ἐνταῦθα τὸ κτίζειν πραγμάτων ἐστὶν ἐπὶ τὸ βέλτιον μεταβολή. καὶ ἄκουσον τοῦ Δαυὶδ λέγοντος. ἐπειδὴ γὰρ ἦν αὐτὸς καὶ ἡ καρδία αὐτοῦ ἐκτισμένη, ἐῤῥυπώθη δὲ τῇ μοιχείᾳ καὶ τῷ φόνῳ καὶ πρὸς φθορὰν κατεφέρετο, παρακαλεῖ τὸν θεὸν καὶ λέγει „καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός," οὐχ ὅτι πρότερον οὐκ εἶχε καρδίαν, οὐδὲ περὶ τῆς οὐσίας τῆς καρδίας λέγει, ἀλλὰ περὶ τῆς κοσμούσης αὐτὴν ἀρίστης πολιτείας. ἰδοὺ τοίνυν κτίσις λέγεται οὐ μόνον ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγή, ἀλλὰ καὶ ἡ τῆς οὐσίας διαφθαρείσης εἰς τὸ βέλτιον μεταβολή. οὕτω κτίζεται σώφρων ἡ πόρνη, οὕτως ἐλεήμων ὁ ἅρπαξ· οὕτω μεταβάλλεται εἰς πρόβατον ὁ λύκος καὶ ὁ ἱέραξ εἰς περιστεράν. δύο κτίσεις· διὰ τοῦτο καὶ τὸ λουτρὸν κτίσμα λέγεται, τὸ λουτρὸν λέγω τῆς παλιγγενεσίας· „ἀποδυσάμενοι" γάρ φησι „τὸν παλαιὸν ἄνθρωπον, ἐνδυσάμενοι δὲ τὸν νέον, τὸν ἀναγεννώμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν." ὁρᾷς οὖν ὅ τι ἐστὶ καινὴ κτίσις. τί γάρ μοι ὄφελος, ἐὰν γένηται οὐρανὸς καινὸς καὶ γῆ καινή, ἐγὼ δὲ ταῖς ἁμαρτίαις πεπαλαίωμαι; ὁ οὐρανὸς οἶκός ἐστιν, ἐγὼ δὲ διαιτώμενος ἐν αὐτῷ καὶ νοσῶν. ἐὰν ἰατρὸς εἰς τὴν οἰκίαν τοῦ ἀῤῥωστοῦντος εἰσέλθοι, καὶ τοῦ μὲν οὐδεμίαν πρόνοιαν λάβοι, λευκαίνῃ δὲ τοὺς τοίχους καὶ χρυσογραφῇ τὸν ὄροφον, οὐκ ἂν εἶπες αὐτῷ „ἄνθρωπε, ἀνάστησον τὸν νοσοῦντα· τί τὴν οἰκίαν καλλωπίζεις; βοήθησον τῷ κειμένῳ." καὶ ὁ Χριστὸς εἰσῆλθεν 1553 H. εἰς τὸν κόσμον τοῦτον, ἐν ᾧ κατακειμένην εὗρε τὴν φύσιν μου [καὶ] νοσοῦσαν· καὶ πρὸς τὴν θεραπείαν αὐτῆς ἅπαντα δέχεται τὸν ἀγῶνα, καὶ ἀνακαινίζει καὶ ἀνορθοῖ τὴν φύσιν. τί οὖν τὸν ἰατρὸν μέμφῃ ὅτι μὴ ταῦτα ποιεῖ, τὸν Χριστὸν δὲ πάλιν ὑπὸ μῶμον ποιεῖς ὅτι

a. 1. λῆμμα om A. 7. φησὶ valgo post πατρὸς ponunt. 24. ἐκ τοῦ αὐτοῦ εἰς e. 42. λαβὼν] καὶ λαβὼν A. ἐγὼ αὐτὸ e. b. 8. λέγεται καὶ οὐ A. 9. παραγωγή] fortasse προαγωγή. 27. ἐνδυσάμενοι] ἐνδυσώμεθα corr A. 28. δὲ om A. 32. δὲ ὁ διαιτώμενος A. 39. καὶ ante νοσοῦσαν om A. 42. ποιεῖ] ἐποίει A.

ταῦτα ποιεῖ; οὕτω παρῆλθε τὰ ἀρχαῖα, οὕτω γέγονε τὰ πάντα καινά, οὕτω καινὴ κτίσις. καὶ μυρία ἄν τις τοιαῦτα ἐπισυνάψῃ.

1560R. Ἐκ τοῦ μετὰ τὰς Καλάνδας τῇ ἑξῆς· καὶ κατὰ μεθυόντων.

ὁ τοίνυν Χριστὸς τὰ ἄπειρα πλήθη ἑστιάσας ἐπὶ τῆς ἐρήμου, οὐκ ἐπὶ σκηνὴν καὶ ὕπνον αὐτοὺς ἔπεμψεν, ἀλλ' ἐπὶ θείων ἀκρόασιν ἐκάλεσε λογίων. οὕτω καὶ ἡμεῖς ποιῶμεν, καὶ τοσοῦτον ἐθίσωμεν ἑαυτοὺς ἐσθίειν, ὅσον πρὸς τὸ ζῆν μόνον, οὐχ ὅσον διασπᾶσθαι καὶ βαρύνεσθαι. οὐ γὰρ διὰ τοῦτο ἐγενόμεθα καὶ ζῶμεν, ἵνα φάγωμεν καὶ πίωμεν, ἀλλὰ διὰ τοῦτο ἐσθίομεν, ἵνα ζῶμεν. οὐ τὸ ζῆν διὰ τὸ φαγεῖν, ἀλλὰ διὰ τὸ ζῆν τὸ φαγεῖν γέγονεν ἐξ ἀρχῆς. ἡμεῖς δὲ ὡς διὰ τοῦτο ἐλθόντες εἰς τὸν κόσμον, οὕτως ἅπαντα εἰς τοῦτο καταναλίσκομεν.

Ἐκ τοῦ εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου „περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ἵνα μὴ λυπῆσθε ὡς καὶ οἱ λοιποί" καὶ ἑξῆς.

τί δή ποτε, ὅταν μὲν περὶ τοῦ Χριστοῦ διαλέγηται Παῦλος, θάνατον καλεῖ τὸν ἐκείνου θάνατον, ὅταν δὲ περὶ τῆς ἡμετέρας τελευτῆς, κοίμησιν αὐτὴν καὶ οὐ θάνατον ὀνομάζει; καὶ γὰρ ἐν τῷ αὐτῷ λόγῳ τρίτον μνησθεὶς τῆς τελευτῆς τῶν ἀνθρώπων οὐδαμοῦ θάνατον λέγει, ἀλλὰ κοίμησιν τὴν ἀναχώρησιν ὀνομάζει. οὐ γὰρ παρέργως ταύτῃ κέχρηται τῶν λέξεων τῇ παρατηρήσει, ἀλλὰ σοφόν τι καὶ μέγα κατασκευάζει. ἐπὶ μὲν οὖν τοῦ Χριστοῦ θάνατον καλεῖ, ἵνα τὸ πάθος πιστώσηται, ἐπὶ δὲ ἡμῶν κοίμησιν, ἵνα τὴν ὀδύνην παραμυθήσηται· ἔνθα μὲν γὰρ προεχώρησεν ἡ ἀνάστασις, θαῤῥῶν καλεῖ θάνατον· ἔνθα δὲ ἐν ἐλπίσιν ἔτι μένει, κοίμησιν καλεῖ, καὶ διὰ ταύτης παραμυθούμενος ἡμᾶς τῆς προσηγορίας, καὶ χρηστὰς ἐλπίδας ὑποτείνων ἡμῖν. ὁ γὰρ κοιμώμενος ἀναστήσεται πάντως, ἐπεὶ καὶ θάνατος οὐδὲν ἕτερόν ἐστιν ἢ μακροχρόνιος ὕπνος.

Τοῦ αὐτοῦ Χρυσοστόμου ἐκ τοῦ περὶ μετανοίας.

μάννα ἤσθιον οἱ Ἰουδαῖοι, καὶ τὰ ἐν Αἰγύπτῳ κρόμμυα ἐπεζήτουν· οὕτως αἰσχρὸν ἡ συνήθεια πρᾶγμα καὶ κάκιστον. κἂν εἰς δέκα ἡμέρας κατορθώσῃς, κἂν εἰς εἴκοσι, κἂν εἰς τριάκοντα, οὐκ ἀγαπῶ, οὐ χάριν ἔχω, οὐ περιπτύσσομαί σε; μόνον μὴ ἀποκάμῃς, ἀλλ' αἰσχύνου καὶ καταγίνωσκε. πάλιν διελέχθην περὶ ἀγάπης· ἤκουσας, ἀπῆλθες, καὶ ἥρπασας· οὐκ ἐπεδείξω διὰ τῶν ἔργων τὸν λόγον. μὴ αἰσχυνθῇς πάλιν εἰσελθεῖν εἰς τὴν ἐκ- 854 B.
κλησίαν. αἰσχύνου ἁμαρτάνων, μὴ αἰσχύνου μετανοῶν. δύο ταῦτά ἐστιν, ἁμαρτία καὶ μετάνοια, τραῦμα μὲν ἡ ἁμαρτία, φάρμακον δ' ἡ μετάνοια. ἐν τῷ τραύματι σηπεδών, ἐν τῷ φαρμάκῳ τῆς σηπεδόνος καθαρισμός. ἐν τῇ ἁμαρτίᾳ ὄνειδος, γέλως· ἐν τῇ μετανοίᾳ ἔπαινος, παῤῥησία, ἐλευθερία. ἀλλ' ἀντιστρέφει τὴν τάξιν ὁ Σατανᾶς, καὶ δίδωσι τοῖς πειθομένοις αὐτῷ ἐν μὲν τῇ ἁμαρτίᾳ τὴν παῤῥησίαν, ἐν δὲ τῇ μετανοίᾳ τὴν αἰσχύνην. σὺ δὲ μὴ πεισθῇς αὐτῷ, ἀλλ' ἑκατέρᾳ πράξει τὸ οἰκεῖον ἀπονέμεσθαι σπούδασον.

Ὅρασις ἣν εἶδεν Ἡσαΐας κατὰ Ἰουδαίας καὶ κατὰ Ἱερουσαλήμ.

εἰπὲ τὴν ὅρασιν ἣν εἶδες. ὁ δὲ λέγει „ἄκουε οὐρανέ, καὶ ἐνωτίζου γῆ, ὅτι κύριος ἐλάλησεν." ἄλλα ἐπαγγέλλῃ καὶ ἄλλα λέγεις. ἀρχόμενος εἶπας „ὅρασις κατὰ Ἰουδαίας καὶ κατὰ Ἱερουσαλήμ," καὶ ἀφεὶς 1561R
τὴν διήγησιν οὐρανῷ καὶ γῇ διαλέγῃ. ἀφῆκας τοὺς ἀνθρώπους, καὶ τοῖς ἀλόγοις στοιχείοις προσδιαλέγῃ. ναί φησιν, ἐπειδὴ τῶν ἀλόγων ἀλογώτεροι γεγόνασιν οἱ λογικοί. καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ διότι μέλλων ὁ Μωϋσῆς εἰσάγειν αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ προορῶν τὰ μέλλοντα ἔσεσθαι, οὕτω πώς φησιν „ἄκουε οὐρανέ, καὶ λαλήσω· προσεχέτω ἡ γῆ ῥήματα ἐκ στόματός μου." διαμαρτύρομαι ὑμῖν, φησίν, Ἰουδαῖοι, τὸν οὐρανὸν καὶ τὴν γῆν, ὁ Μωϋσῆς, ὅτι ἐὰν εἰσέλθητε εἰς τὴν γῆν τῆς ἐπαγγελίας καὶ ἐγκαταλίπητε κύριον τὸν θεόν, διασκεδασθήσεσθε εἰς πάντα τὰ ἔθνη. ἦλθε τοίνυν Ἡσαΐας· ἔμελλεν ἡ ἀπειλὴ περατοῦσθαι· οὐκ ἐδύνατο καλεῖν Μωϋσέα τὸν ἤδη τεθνηκότα οὐδὲ τοὺς τότε ἀκηκοότας· λοιπὸν τὰ στοιχεῖα καλεῖ, ἅπερ διαμαρτυρόμενος αὐτοῖς ἐκάλει καὶ ὁ Μωϋσῆς. καίτοι γε ἐκεῖνος καὶ τὸν Ἀαρὼν ἐδύνατο καλεῖν εἰς μαρτυρίαν καὶ πολλοὺς ἄλλους· ἀλλὰ διὰ τοῦτο, φαίη ἄν, οὐκ ἐκάλεσα τούτους, ἐπειδήπερ ἔμελλον ἐκεῖνοι τελευτᾶν καὶ μὴ παρεῖναι μάρτυρες, ἐπειδὰν εἰς παρανομίαν ἐξέκλινεν ὁ Ἰσραήλ· διὸ τὰ μένοντα στοιχεῖα εἰκότως εἰς μαρτυρίαν καλῶ. οὕτω καὶ Ἡσαΐας ποιεῖ, οὐ διὰ τὰ εἰρημένα μόνον, ἀλλὰ καὶ ἐπειδὴ διαλεχθεὶς τοῖς Ἰουδαίοις εὗρεν αὐτοὺς μὴ ἀκούοντας αὐτοῦ, ἐπὶ τὰ στοιχεῖα στρέφεται καὶ μάρτυρας παραλαμβάνει αὐτοῦ. „ἄκουε οὐρανέ," σὺ γὰρ τὸ μάννα ἤνεγκας· „ἐνωτίζου γῆ," σὺ γὰρ τὴν

a. 4. τῇ A: καὶ ς. 8. τοσοῦτο ς. 15. δὲ om A. 24. τῇ add A. 25. τι Scaliger: libri τε. 34. Τοῦ — μετανοίας] ἀνεγνώσθη ἐκ τοῦ περὶ μετανοίας τοῦ αὐτοῦ χρυσοστόμου A. 40. διελέχθην ς.

b. 6. παῤῥησία ἔπαινος A. 12. Ὅρασις] τοῦ χρυσοστόμου εἰς τὸ ὅρασις B. 23. ἡ om B. 28. ἠδύνατο ς. 29. τούς ποτε ς. 32. ἠδύνατο καὶ τὸν Ἀαρὼν ς. 34. τούτους] τούτους εἰς μαρτυρίαν B. 39. αὐτοὺς om A.

ὀρτυγομήτραν ἔδωκας. „ἄκουε οὐρανέ," τὰ γὰρ ὑπὲρ φύσιν αὐτοῖς ἐχορήγησας· ἄνω καθ' ὃν τρόπον ἐστερεώθης ἔμενες, καὶ μίμησιν οὐχ ὑπερεῖδες ἅλωνος. „ἐνωτίζου γῆ·" σὺ γὰρ κάτω ἧς, καὶ τράπεζαν αὐτοῖς παρετίθεις αὐτοσχέδιον. διὰ τοῦτο καὶ ἕτερος προφήτης ὁρῶν τὸν βασιλέα μαινόμενον, τὸ εἴδωλον λατρευόμενον, τὸν θεὸν ὑβριζόμενον, τοὺς ἄλλους ἐπτηχότας, πρὸς οὐδένα τούτων ποιεῖται τὸν λόγον, ἀλλ' ἀποστραφεὶς „ἄκουσον" φησὶν „θυσιαστήριον, ἄκουσόν μου." τί οὖν λίθῳ διαλέγῃ; ναί φησιν, ἐπειδὴ λίθου ἀναισθητότερος ὁ βασιλεύς. „ἄκουσον θυσιαστήριον, τάδε λέγει κύριος·" καὶ εὐθέως ἐσχίσθη τὸ θυσιαστή-
855 H. ριον καὶ ἐῤῥάγη "καὶ ἐξέχεε τὴν θυσίαν. ὁ δὲ ἄνθρωπος οὐκ ἤκουσεν, ἀλλ' ἐκτείνει τὴν χεῖρα ὁ βασιλεὺς τὸν προφήτην ἁρπάσαι βουλόμενος. ὁ δὲ θεὸς τί ποιεῖ; ἐξήρανεν αὐτοῦ τὴν χεῖρα. οὐ ξηραίνει δὲ αὐτοῦ ἐξ ἀρχῆς τὴν χεῖρα, ἵνα τῷ τοῦ λίθου πάθει σωφρονέστερος γένηται. ἐβούλετο γὰρ αὐτὸν ἄνευ τῆς εἰς αὐτὸν κολάσεως σωφρονισθῆναι· ἀλλ' ἐπειδή, φησίν, ὁ λίθος ἐσχίσθη καὶ σὺ οὐ διωρθώθης, ἐπὶ σὲ τὴν δικαίαν ὀργὴν ἐπιστρέφω.

**Ἐκ τοῦ εἰς τὸν ἄσωτον, καὶ εἰς μετάνοιαν, καὶ εἰς τὸ ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ, καὶ εἰς τὸν λῃστήν.**

ὅτι τὸ τάγμα τῶν δικαίων οὐ βούλεται εἰς ἑαυτὸ ἁρπάσαι τὴν ἐξουσίαν τῶν κτισμάτων, ἀλλ' ὑπὸ τὴν τοῦ πατρὸς πρόνοιαν θέλει κεῖσθαι τὰ τῆς οἰκονομίας. διὸ καὶ ἡ παραβολὴ τὸν νεώτερον εἰσάγει, λαβόντα τὴν πατρικὴν οὐσίαν, εἰς χώραν ἀποδημῆσαι μακράν. τὸ δὲ μῆκος οὐ σταδίοις διετείνετο, ἀλλὰ τρόποις ἐξετοπίζετο· καὶ γὰρ ὁ ἁμαρτάνων μακρὰν γίνεται θεοῦ οὐ τόπῳ ἀλλὰ τρόπῳ. λαβὼν δὲ τὴν οὐσίαν τὴν πατρικὴν ἀπώλεσεν αὐτήν, ἀσώτως ζῶν. ἔλαβεν ἥλιον εἰς ἀπόλαυσιν, καὶ τὸ δῶρον ὡς θεὸν προσεκύνησεν. ἔλαβε πηγὰς εἰς τρυφήν, καὶ τὸ δῶρον ἐθεοποίησεν. ἠγνόησε
1564 R. τὸν χαρισάμενον, καὶ τὸ χάρισμα ὑπερεδόξασεν. "ἡ αὐτὴ κτίσις, ἀλλ' οὐ πᾶσιν ὁμοίως ὁρωμένη. πατρικὴ ἡ οὐσία· ἀλλ' ὁ μὲν καλῶς αὐτῇ, ὁ δὲ κακῶς ἀπεχρήσατο. τάγμα τοῦτο κἀκεῖνο, εἰ καὶ διάφορον. ὁ εὐσεβὴς τὸ κάλλος ὁρᾷ τοῦ οὐρανοῦ, καὶ ἀπὸ τοῦ κάλλους τὸν δημιουργὸν ἀνυμνεῖ· „ὄψομαι" γάρ φησι „τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου." εἶδεν ὁ ἀσεβής, καὶ πρὸς μὲν τὸν κτίστην τὴν διάνοιαν οὐ διεβίβασεν, ἐναπομείνας δὲ τῷ κάλλει τοῦ οὐρανοῦ θεὸν ἐφαντάσθη τὸ δημιούργημα. ὁ εὐσεβὴς οὐχ ὑβρίζει τὴν κτίσιν, ἀλλὰ τῷ δεσπότῃ τὴν προσκύνησιν ταμιεύεται. τιμᾷ τὴν κτίσιν, ἀλλ' ὡς ὁμόδουλον, οὐκ ἀφαιρῶν δὲ τὸ σέβας τοῦ κτίσαντος περιάπτει τῷ κτίσματι. ἐπαινεῖ τὸ φιλοτέχνημα, ἀλλ' οὐχὶ τὴν τοῦ τεχνίτου δόξαν εἰς ἐκεῖνο περιίστησιν. ὁ δὲ δυσσεβὴς κακῶς μὲν εἶδε, κακῶς δὲ προσεκύνησε, καὶ πᾶσαν τὴν τάξιν ἀνέτρεψεν.

ὅτι δράκοντα πολλάκις ἡ γραφὴ καλεῖ τὸν διάβολον, καὶ ὄφιν σκολιόν· διὸ καὶ ὁ σωτήρ φησιν „ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων." καὶ ἵνα μὴ τὰ ἕρποντα ὑπολάβῃς, ἐπήγαγε „καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ." δράκων καὶ ὄφις ὁ διάβολος οὐχ ὡς ῥίζα κακίας, ὥς φασιν οἱ Μανιχαῖοι, ἀλλ' ὡς κατάρχων τῶν δαιμονίων καὶ ἀρχηγὸς αὐτοῖς τῆς ἐκπτώσεως γεγονώς.

**Ἐκ τοῦ παραινετικοῦ λόγου τοῦ περὶ μετανοίας.**

"τοῦ εἰπόντος „καθελῶ μου τὰς ἀποθήκας, καὶ μεί- 856 H.
ζονας οἰκοδομήσω," τότε τὴν ἐκ θεοῦ ἐπενεχθεῖσαν ἀπόφασιν εἰς μνήμην, ἄνθρωποι, λαβόντες ἀνοίξατε τοὺς θησαυροὺς ὑμῶν, καὶ δότε ἐλεημοσύνην. ποιήσατε ἑαυτοῖς θησαυρὸν ἀνέκλειπτον ἐν τῷ οὐρανῷ, καθὼς προστάσσει ὁ κύριος· οἱ τὸν ἐμπαίκτην πλοῦτον ἐκ τόκου καὶ ἐξ ἀδικίας συλλέξαντες, ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ, καθὼς ὁ δεσπότης παρακελεύεται, ἵνα ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς.

**Ἐκ τοῦ εἰς τὸν σεισμόν. καὶ εἰς τὸν Λάζαρον καὶ τὸν πλούσιον.**

οὐ παύομαι λέγων ἐγώ, κἂν μηδεὶς ὁ ἀκούων ᾖ. ἰατρός εἰμι, τὰ φάρμακα ἐπιτίθημι· διδάσκαλός εἰμι, παραινεῖν ἐκελεύσθην. οὐδένα διορθοῦμαι; καὶ τί τοῦτο; ἀλλ' ἐγὼ τὸν μισθὸν ἔχω. καὶ τοῦτο καθ' ὑπερβολὴν εἶπον· ἀμήχανον γὰρ ἐν τοσούτῳ πλήθει μὴ διορθωθῆναί τινα.

ἀκούω, φησί, καθ' ἡμέραν, καὶ οὐ ποιῶ. ἄκουε, κἂν μὴ ποιῇς· ἐκ γὰρ τοῦ ἀκούειν καὶ τὸ πράττειν περιγίνεται. κἂν μὴ ποιῇς, αἰσχύνῃ ἐπὶ τῇ ἁμαρτίᾳ· κἂν μὴ ποιῇς, μεταβάλλῃ τὴν γνώμην· κἂν μὴ ποιῇς, καταδικάζεις ἑαυτὸν ὅτι οὐ ποιεῖς. τὸ δὲ κατηγορεῖν ἑαυτοῦ ἀρχὴ διορθώσεως. ὅταν εἴπῃς „οἴμοι, ἤκουσα καὶ οὐ ποιῶ," τὸ οἴμοι προοίμιόν ἐστι τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς.

a. 10. προσδιαλέγῃ ς. 16. οὐ — 17. χεῖρα om *A*. 17. ἵνα — 18. γένηται] ὅτι μὴ — ἐγένετο *B*. 22. ἐκ τοῦ — b 16 γεγονώς om *B*. 24. τὸ om *A*. b. 7. κακῶς δὲ] οὐ κακῶς δὲ pr *A*, οὐ καλῶς δὲ corr. 15. δαιμόνων ς. 17. τοῦ post λόγου om *A*. 28. εἰς ante τὸν πλ. omisi cum *B*. 30. ὁ add *A*. 34. ἀμήχανον *A*: ἀδύνατον ς. 38. ποιεῖς ς. idque ter. κἂν — 39. γνώμην om *B*. 39. μεταβάλλει ς.

„πέμψον Λάζαρον" καὶ ἑξῆς. καὶ ποῦ νῦν οἱ οἰνοχόοι σου, οἱ τάπητες, οἱ παράσιτοι, οἱ κόλακες; ποῦ ὁ τῦφος, ποῦ ἡ φαντασία; φύλλα ἦν, καὶ χειμὼν κατέλαβε, καὶ πάντα ἀπώλετο· ὄναρ ἦν, καὶ ἡμέρα γέγονε, καὶ τὸ ὄναρ διαλέλυται.

διὰ τί δὲ οὐ τὸν Νῶε ἢ τὸν Ἰακὼβ ἢ τὸν Ἰσαάκ,
1565R. ἀλλὰ τὸν Ἀβραὰμ ὁ πλούσιος ὁρᾷ; "διὰ τί; ἐπειδὴ φιλόξενος ἦν ὁ Ἀβραάμ, καὶ τῆς ἀπανθρωπίας τούτου μείζων γίνεται κατηγορία ἡ ἐκείνου φιλοξενία.

Ἐκ τοῦ εἰς τὸ μὴ οὕτω σφοδρῶς θρηνεῖν τοὺς τελευτῶντας.

θάνατος μεριμνῶν λύσις. εἰ μὴ θάνατος ἦν, ἑαυτοὺς ἂν κατηθιόμεν· εἰ μὴ κόλασιν ἐξεδεχόμεθα, οὐδαμῶς τῶν κακῶν ἐπαυόμεθα. εἶδες δεσπότου φιλανθρωπίαν; τὸ ἐκ παραβάσεως ἐπιτίμιον ἀφορμὴν σωτηρίας ἀπειργάσατο. εἰ μὲν οὖν δίκαιός ἐστιν ὁ ἀποθανών, χαῖρε, διότι θαῤῥῶν πρὸς τὸν δεσπότην πορεύεται· εἰ δὲ ἁμαρτωλός, μὴ λυποῦ· ἐκέρδησεν οἷς τὴν προσθήκην τῶν ἁμαρτημάτων ἀφῄρηται.

Ὅτι ἐν τῇ πρὸς τὸν ἐπίσκοπον Κυριακὸν ἐπιστολῇ, ἣν ἀπὸ τῆς δευτέρας ἐξέπεμψεν ἐξορίας, καθάπτεται μὲν τοῦ Ἀρσακίου, λῆρον αὐτὸν καὶ μοιχὸν καλῶν, ἐπαινεῖ δὲ τοὺς ἀποστρεφομένους τὴν αὐτοῦ κοινωνίαν, ὡς διὰ θεὸν καὶ τὸ εἰς τὸν ἀρχιερέα αὐτῶν ἀδίκημα τὴν
857H. ἀποστροφὴν αὐτῶν ποιουμένους. "καίτοι γε ἐν ἄλλοις φαίνεται παραινῶν μὴ ἀφίστασθαι ἀπὸ τῆς ἐκκλησίας. εἰς τοῦτο δὲ ὕστερον (ὡς ἔοικε) μετέστη, ἐπειδὴ καὶ οἱ τοῦτον ἀδίκως ἐκβαλόντες οὐχ οἷς ἔπραξεν ἔστερξαν, ἀλλὰ καὶ καταδρομὰς καὶ ἐπιβουλὰς κατὰ τῶν αὐτῷ προσανακειμένων καὶ ὑπερορίας ἐπαλαμήσαντο.

## 278.

Ἀνεγνώσθη ἐκ τῶν ΘΕΟΦΡΑΣΤΟΥ περὶ τῶν μεταβαλλόντων τὰς χρόας.

ὅτι τὰς χρόας μεταβαλλόμενοι καὶ ἐξομοιούμενοι φυτοῖς καὶ τόποις καὶ λίθοις, οἷς ἂν πλησιάσωσι, πολύποδες εἰσὶ καὶ χαμαιλέων καὶ τὸ θηρίον ὁ τάρανδος, ὃ ἐν Σκύθαις φασὶν ἢ Σαρμάταις γίνεσθαι. μεταβάλλει δ' ὁ χαμαιλέων εἰς πάντα τὰ χρώματα, πλὴν τὴν εἰς τὸ λευκὸν καὶ τὸ ἐρυθρὸν οὐ δέχεται μεταβολήν· καὶ οὐ πρὸς τὰ παρακείμενα μόνον χρώματα μεταβάλλει, ἀλλὰ καὶ αὐτὸς καθ' ἑαυτόν, ἐάν τις μόνον ἅψηται αὐτοῦ, τὸ χρῶμα μεταβάλλει. ὁ δὲ τάρανδος τὸ μὲν μέγεθός ἐστι κατὰ βοῦν, τὸ πρόσωπον δὲ ὅμοιος ἐλάφῳ, πλὴν πλατύτερος, ὡσανεὶ ἐκ δύο συγκείμενος ἐλαφείων προσώπων. δίχηλον δέ ἐστι καὶ κερασφόρον. ἔχει δὲ τὸ κέρας ἀποφυάδας ὥσπερ τὸ ἐλάφου, καὶ τριχωτόν ἐστι δι' ὅλου· περὶ γὰρ τὸ ὀστοῦν δέρματός ἐστι περίτασις, ὅθεν ἡ ἔκφυσις. τὸ δὲ δέρμα τῷ πάχει δακτυλιαῖόν ἐστιν, ἰσχυρὸν δὲ σφόδρα· διὸ καὶ τοὺς θώρακας ἐξαυαζοντες αὐτὸ ποιοῦνται. σπάνιον δὲ τὸ ζῷον καὶ ὀλιγάκις φαινόμενον. θαυμαστὴ δ' ἡ μεταβολὴ καὶ ἐγγὺς ἀπιστίας. τοῖς μὲν γὰρ ἄλλοις ἐν τῷ δέρματι γίνεται ἡ μεταβολή, ἀλλοιουμένης τῆς ἐντὸς ὑγρότητος, εἴτε αἱματώδους ἢ καί τινος ἄλλης τοιαύτης οὔσης, ὥστε φανερὰν εἶναι τὴν συμπάθειαν· ἡ δὲ τριχῶν μεταβολή, ξηρῶν τε οὐσῶν καὶ ἀπηρτημένων καὶ ἀθρόον οὐ πεφυκυιῶν ἀλλοιοῦσθαι, παράδοξος ἀληθῶς καὶ ἀπίθανος, μάλιστα πρὸς πολλὰ ποικιλλομένη. ὁ δὲ χαμαιλέων δοκεῖ τῷ πνεύματι ποιεῖν τὰς μεταβολάς· πνευματικὸν γὰρ φύσει. σημεῖον δὲ τὸ τοῦ πνεύμονος μέγεθος· σχεδὸν γὰρ δι' ὅλου τοῦ σώματος τέταται. ἅμα καὶ ἐξαιρόμενος αὐτὸς καὶ φυσώμενος δῆλός ἐστιν.

"Ἐκ τοῦ περὶ παραλύσεως Θεοφράστου. 1568R.

ὅτι ὑπὸ καταψύξεώς φησιν, ὡς κοινῷ λόγῳ φάναι, τὴν παράλυσιν γίνεσθαι· καὶ ταύτην οἱ μὲν ὑπὸ πνεύματος (πνευματικὸν γὰρ τὸ πάθος), οἱ δὲ ἐκλείψει καὶ στερήσει τοῦ πνεύματος· τοῦτο γὰρ εἶναι τὸ τὴν θερμότητα καὶ τὴν κίνησιν ὅλως ποιοῦν. ἀκινησίας δὲ γινομένης κατάψυξις γίνεται τοῦ αἵματος, ἢ ἁπλῶς εἰπεῖν τῆς ὑγρότητος. διὰ τοῦτο γὰρ καὶ ἡ νάρκη γίνεται ἐν τοῖς ποσὶν ἢ καὶ ἐν τοῖς ἄνω μέρεσιν, ὅταν ἀποπιεσθῶσιν ἀπὸ καθέδρας ἢ ἄλλου τινὸς "τρόπου. τότε γὰρ διαλαμ- 858H.
βάνει τῇ πιέσει τὸ πνεῦμα, καὶ οὐ δυναμένου τὴν οἰκείαν κίνησιν κινεῖσθαι ἵστησι καὶ ἀποψύχει τὸ αἷμα.

Ἐκ τοῦ περὶ λειποψυχίας.

ὅτι ἡ λειποψυχία στέρησις ἢ κατάψυξις τοῦ θερμοῦ περὶ τὸν ἀναπνευστικὸν τόπον. τοῦτο δὲ συμβαίνει ἢ ὑπὸ τοῦ ψυχροῦ ἢ καὶ ὑπ' αὐτοῦ τοῦ θερμοῦ· τὸ γὰρ πλέον πῦρ ἀναιρεῖ τὸ ἔλαττον. μαρτυρεῖ δὲ καὶ ἡ πεῖρα. ὑπὸ γὰρ πνίγους ἢ ἄλλης θέρμης, καὶ μάλιστα πολλῆς, ἀθρόον τούτων προσπεσόντων ἡμῖν, ἐκλυόμεθα καὶ λειποθυ-

a. 1. Εἰς τὸ πέμψον ς. καὶ τὰ ἑξῆς ς. 6. τί A: τοῦτο ς. 10. εἰς τὸ add A. 13. ἐπαυσάμεθα ς. 17. ἐκέρδ. ἐφ' οἷς ς. 19. ὅτι — 29. ἐπαλαμήσαντο om B. 27. ἐκβάλλοντες ς. ἔστεξαν A. 28. αὐτῷ corr A. αὐτῶν pr: αὐτοῖς ς. 31. περὶ τῶν add A.

b. 4. διχηλοῦν A. 5. τριχώτατον A. 6. περίτασις A: ἐπίτασις ς. 9. ποιοῦνται] ἴωνται ς. 15. οὐσῶν — πεφυκυιῶν B: ὄντων — πεφυκότων ς. 17. χαμαιλέων] πολύπους B et corr A. 20. φυσσώμενος ς. 22. περὶ παραλύσεως Θεοφράστου A: αὐτοῦ περὶ παραλύσεως ς. 27. ποιῶν ς. 29. ἐν om B. 31. ἄλλῳ τινὶ τρόπῳ Schneiderus. qui mox τὸ πνεῦμα, ὃ οὐ δυνάμενον. 34. ἐκ τοῦ A: τοῦ αὐτοῦ ς. 36. ἢ ὑπὸ τοῦ ψυχροῦ add A.

μοῦμεν· καταμαραίνεται γὰρ τὸ ἐν ἡμῖν κατάψυξιν οὐ λαμβάνον. τάχα δὲ καὶ τὴν ἀναπνοὴν ὅλως τὸ πνῖγος κωλύει· ὅθεν καὶ πνῖγος ὠνομάσθη· πνίγεται γὰρ ἢ καὶ πνιγομένῳ ὅμοιός ἐστιν ὁ μὴ δυνάμενος ἀναπνεῖν. μαρτυρεῖ δὲ καὶ ἡ διὰ τῶν λουτρῶν καὶ τῶν πυριάσεων ἔκλυσις· δῆλον γὰρ ὡς αἱ τοιαῦται ἐκλύσεις τῷ θερμῷ καὶ διὰ τὸ θερμὸν γίνονται, μαραίνοντος τοῦ ἔξωθεν θερμοῦ τὸ ἐν ἡμῖν σύμφυτον. γίνεται δὲ λειποψυχία καὶ τῶν ἐν οἷς πέφυκεν ἡ θερμότης ἐκλιπόντων, οἷον αἵματος ἢ τῆς φυσικῆς ἁπλῶς ὑγρότητος, ὥσπερ ἐν ταῖς αἱμοῤῥαγίαις καὶ ἐν ταῖς τῆς γαστρὸς φοραῖς ὁρῶμεν λειποψυχοῦντας. καὶ διὰ πόνους δὲ γίνονται ἐκλύσεις. ὅτι τὸ πλέον θερμὸν λειποψυχίαν ποιεῖ καὶ ὡς μαραῖνον τὸ ἔλαττον, καὶ ὡς κωλῦον τὴν ἀναπνοήν, καὶ ἔτι ὡς μὴ παραχωροῦν τῇ καταψύξει εἴσοδον. ὅτι διὰ τοῦτο ὡς ἐπὶ τὸ πολὺ λουόμενοι μὲν οὐ λειποψυχοῦσι, παυσάμενοι δὲ μᾶλλον, διότι τὴν ὑγρότητα τὴν γινομένην ἀπὸ τῆς συντήξεως λουομένων μὲν θερμὴν εἶναι συμβαίνει, λουσαμένων δὲ ψύχεσθαι· ψυχρὰ δὲ οὖσα καὶ ἐμπίπτουσα κυρίοις τόποις ποιεῖ λειποψυχίαν. εἰ μὴ ἄρα καὶ ἡ ἄνεσις αὐτὴ τοῦ πνεύματος προεκλύει. διότι καὶ κατέχειν κελεύουσιν ἐν ταῖς λειποψυχίαις τὸ πνεῦμα· κωλύει γὰρ ὁ κατέχων ἐξιέναι τὸ θερμόν, ὁ δ' ἀνιεὶς ἐνδίδωσιν. ὅτι ὁ ῥαίνων ὕδατι τοὺς λειποψυχοῦντας, συμφράττων καὶ πυκνῶν τοὺς πόρους, καὶ συναθροίζων ἐντὸς τὸ θερμὸν (ἀντιπερίσταται γάρ) ὠφελεῖ. ὅτι ἡδοναὶ καὶ λῦπαι ποιοῦσι λειποψυχίαν. καὶ γὰρ ἀμφότεραι πλῆθος ὑγρότητος ἐπάγουσιν, ἡ μὲν ἡδονὴ τῷ συντήκειν καὶ διαχεῖν, ἡ λύπη δὲ τῷ πηγνύειν. ὅταν οὖν ἡ ὑγρότης ῥυῇ πρὸς τὸν πνευματικὸν τόπον, ποιεῖ λειποψυχεῖν.

*Ἐκ τοῦ περὶ ἰλίγγων.*

ὅτι οἱ ἴλιγγοι γίνονται, ὅταν πνεῦμα ἀλλότριον εἰς τὴν κεφαλὴν ἔλθῃ ἢ ὑγρότης περιττωματική, ἢ ἀπό τινος τροφῆς, ὡς ἀπὸ τοῦ οἴνου, ἢ ἀπό τινος ἄλλου χυμοῦ· ἔτι δὲ καὶ ὅταν τις κινῇ τὴν κεφαλὴν κύκλῳ. ὁ
859 H. γὰρ τόπος ὁ περὶ τὸν ἐγκέφαλον ὑγρὸς ὤν, ὅταν δέ-
1569 R. ξηταί τι πλέον ἀλλότριον, τὸ δὲ βιάζηται διαδυόμενον πρὸς τὰς φλέβας, ὠθεῖ κύκλῳ τὸ προϋπάρχον ὑγρόν. οὔσης δὲ οἷον δίνης τῆς φορᾶς, καὶ τοῦ ὑγροῦ μὴ συνεχοῦς, ἀλλ' ἐν τῇ κινήσει τοῦ μὲν προλαμβάνοντος τοῦ δὲ ὑστεροῦντος διὰ τὸ μὴ ἰσοῤῥοπεῖν ὁμοίως, τὸν ἴλιγγον ποιεῖ καὶ καταβάλλει πολλάκις. ὅτι τὰ ὠμὰ ὠὰ διὰ τοῦτο οὐ δινεῖται ὥσπερ τὰ ἑφθά, διότι τὰ μὲν ὑπὸ τῆς ὑγρότητος ἀνωμάλου καὶ οὐκ ἰσοῤῥόπου οὔσης σφάλλεται, τὰ δ' οὔ, διὰ τὸ μὴ ἔχειν τὸ σφάλλον ὑφιστάμενον ἑνὸς ὄντος καὶ συνεχοῦς τοῦ ἐντός. ἐκ δὲ τῆς αὐτῆς θεωρίας ἐπιλύεται καὶ τὸ διὰ τί κύκλῳ περιπατοῦντες ἰλιγγιῶσι, καὶ ὅτι μᾶλλον, ἐὰν ἐν ἐλάττονι κύκλῳ, καὶ ἔτι ἐὰν θᾶττον θέωσι, καὶ ὅτι, εἰ μετὰ πολλῶν, μᾶλλον ἢ μόνοι, καὶ διὰ τί ἐπ' ἀριστερὰ θέοντες μᾶλλον ἢ ἐπὶ δεξιά. πάντων γὰρ τούτων καὶ τῶν ὁμοίων προείρηται ἡ αἰτία. εἰ γὰρ ὁ ἴλιγγος γίνεται, ἐάν τις ἐν τῷ αὐτῷ στρέφῃ τὴν κεφαλήν, δῆλον ὡς εἴ τις ἐγγὺς τούτου στρέφοιτο, τάχιστα καὶ μάλιστα τῶν ἄλλων ἰλιγγιῴη. ἐγγυτάτω δὲ ὁ ἐν ἐλάττονι κύκλῳ στρέφων τὴν κεφαλήν, καὶ ὅσον ἂν θᾶττον, μᾶλλον. διόπερ καὶ οἱ θέοντες τῶν περιπατούντων μᾶλλον ἰλιγγιῶσι, καὶ οἱ ταχέως τῶν βραδέως· θέουσι γὰρ ἐγκεκλικότες πρὸς τὸ κέντρον [μᾶλλον ἰλιγγιῶσιν]. οἱ δ' ἐπ' ἀριστερὰ θέοντες τῶν ἐπὶ δεξιὰ μᾶλλον, διότι ὀξυτέραν γωνίαν ποιοῦσι πρὸς τὸν κύκλον· ἐμβριθέστερα γὰρ ὄντα τὰ δεξιὰ προσβιάζεται μᾶλλον ἐντὸς διὰ τὴν ἀσθένειαν τῶν ἀριστερῶν. καὶ εἰ μετὰ πολλῶν θέουσι, μᾶλλον ἢ μόνοι, διότι πρὸς τῇ κύκλῳ περιφορᾷ καὶ ἡ ὄψις προσβάλλουσα τοῖς θέουσι, μὴ συνεχὴς οὖσα, ποιεῖ τινὰ κίνησιν ἐν τῷ ἐγκεφάλῳ καὶ ταραχήν· διὸ ἰλιγγιῶσι μᾶλλον, διὰ τὸ διπλῆν τὸν ἐγκέφαλον ὑφίστασθαι κίνησιν, τήν τε ἀπὸ τῆς περιδινήσεως, καὶ ἣν ἡ ὄψις παθοῦσα τῷ ἐγκεφάλῳ παρέπεμψεν. ὅτι δὲ διὰ τὴν τῆς ὄψεως κίνησιν ἰλιγγιῶσι πολλάκις, φανερὸν ἐκ πολλῶν. οἵ τε γὰρ πλέοντες θᾶττον καὶ μᾶλλον ἰλιγγιῶσιν, ἐπειδὰν τοῖς κύμασιν ἐμβλέψωσιν, καὶ οἱ τὰς αἰώρας καὶ οἱ τοὺς τροχοὺς θεωροῦντες ταχὺ σκοτοῦνται. ἰλιγγιῶσι δὲ καὶ οἱ πρὸς τὰ ὑψηλὰ καὶ μεγάλα καὶ ἀπότομα ἀποβλέποντες, διὰ τὸ συμβαίνειν μακρὰν τεινομένην σείεσθαι καὶ κραδαίνεσθαι τὴν ὄψιν· σειομένη δὲ καὶ κραδαινομένη ταράττει καὶ κινεῖ τὰ ἐντός. τοῖς δ' ἄνω βλέπουσιν οὐ συμβαίνει τὸ πάθος, διὰ τὸ μὴ ἀποτείνειν μακρὰν ἀλλ' ἀποτέμνεσθαι τῷ φωτί. γίνονται ἴλιγγοι καὶ ὅταν βλέπωσι συνεχῶς καὶ

a. 1. ἐν ἡμῖν] θερμὸν addit Schneiderus. 13. τὸ om *A*: idem add θερμὸν et 16. τό. 18. ἀπὸ] ἐκ *A*. 21. αὕτη ς. προσεκλύει ς. καὶ add *A*. 26. γὰρ ὠφελεῖ om *A*. 32. ἐκ *A*: τοῦ αὐτοῦ ἐκ ς. post ἰλίγγων cum *B* omisi λόγου. 38. πλέον] apud Theophrastum πνεῦμα. βιάζεται ς. διαδ. καὶ πρὸς ς.

b. 1. τοῦ] τὸ *A*. προσλαμβάνοντος ς. 3. post πολλάκις cum *B* omisi titulum: Διὰ τί τὰ ὠμὰ ὠὰ οὐ περιδινοῦνται. 4. περιδινεῖται ς. ὥσπερ τὰ ἑφθά et 5. τῆς add *A*. 6. δ' οὐ Schneiderus post Furlanum; δὲ ς. 9. ἐὰν om *B*. 11. ἀριστερᾷ — 12. δεξιᾷ ς. 20. μᾶλλον] διὸ μᾶλλον *B*. 21. ἐπὶ τὰ δεξιὰ *A*. 27. διότι ς. 32. μᾶλλον καὶ θᾶττον *B*. 33. οἱ ante τοὺς add *A*. 39. ὑποτέμνεσθαι *B*.

Digitized by Google

ἐνατενίζωσιν. ὃ καὶ διαπορεῖται, τί δή ποτε κύκλῳ κινουμένης τῆς ὄψεως καὶ ἠρεμούσης τὸ αὐτὸ πάθος συμ-
860 H. βαίνει. τὸ δ᾽ αἴτιον τῆς μὲν κύκλῳ φορᾶς εἴρηται· διὰ τί δὲ ἐν τῇ ἐπιστάσει καὶ τῷ ἀτενισμῷ τὸ αὐτὸ συμβαίνει πάθος; διότι τὰ ἐν τῇ κινήσει σωζόμενα ἡ στάσις διίστησι. στάσης οὖν τῆς ὄψεως, καὶ τὰ ἄλλα συνεχῆ τὰ ἐν τῷ ἐγκεφάλῳ ἵσταται. ἱστάμενα δέ, καὶ συνδιίσταται καὶ χωρίζεται τὰ βαρέα, καὶ καταβαρύνει, καὶ ποιεῖ τὸν ἴλιγγον. καὶ ἡ κύκλῳ φορὰ δὲ διίστησι τὰ βαρέα καὶ τὰ κοῦφα. ποιεῖ δὲ καὶ τὸ κύπτειν ἰλίγγους· καὶ γὰρ ἐν τῷ κύπτειν χωρίζεται τὰ βαρέα καὶ τὰ ἐλαφρά, τὰ μὲν ἄνω, τὰ δὲ κάτω· δεῖ δὲ ἅμα εἶναι,
1572R. καθάπερ ἐλέχθη. ποιεῖ δὲ τὸ πάθος καὶ πλησμονὴ καὶ ἔνδεια, ἡ μὲν ἔνδεια σύντηξιν, ἡ δὲ πλησμονὴ περίττωσιν ποιοῦσα, ὥστε πλήρεις γίνεσθαι τοὺς πόρους. ἀνιοῦσα γὰρ παρ᾽ αὐτὰ καὶ καταβαίνει, καὶ διίστησι τὰς περιόδους· ὅπερ ἐστὶν ἴλιγγος. ὅτι καὶ αἱ μέθαι καὶ αἱ φαρμακεῖαι καὶ τὰ παραπλήσια ποιοῦσιν ἰλίγγους· ἡ γὰρ ὑγρότης ἡ ἀλλοτρίως ἐμπίπτουσα ποιεῖ τὴν ταραχήν. ὅτι ἀνιστάμενοι μᾶλλον ἢ καθίζοντες ἰλιγγιῶσι, διότι ἠρεμούντων μὲν συνίσταται τὸ ὑγρὸν ἐν τῇ κεφαλῇ πλέον, ὅταν δὲ κινῶνται, διίσταται, καὶ εἰς ἓν μόριον ἐμπῖπτον ποιεῖ τὸν ἴλιγγον.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ κόπων.

ὅτι καταβαίνοντες μὲν τόπον κατάντη τοὺς μηροὺς μάλιστα πονοῦσιν, ἀναβαίνοντες δὲ τὰς κνήμας, διότι κατὰ μὲν τὴν ἀνάβασιν ὁ πόνος τοῦ αἴρειν φορτίον τὸ σῶμα γίνεται· ᾧ οὖν ἐπίκειται τὸ βάρος καὶ ᾧ αἴρεται, τούτῳ μάλιστα ὁ πόνος. ἐν δὲ τῷ καταβαίνειν ὁ πόνος ἐν τῷ ἐμπίπτειν γίνεται τὸ σῶμα καὶ παρωθεῖν παρὰ φύσιν· ὥστε οὖν ᾧ μάλιστα ἐμπίπτει καὶ σαλεύει, τούτῳ μάλιστα καὶ τὸν πόνον ἐμποιεῖ. ὡς οὖν ἡ κνήμη μᾶλλον ἐν τῷ ἀναβαίνειν κακοπαθεῖ, οὕτως ὁ μηρὸς ἐν τῷ καταβαίνειν. διότι δὲ τὰ βάρη κάτω φέρεται, χαλεπώτερον τὸ ἀναβαίνειν τοῦ καταβαίνειν. ὅτι κοπιαρώτερον τῷ βραχίονι διὰ κενῆς ῥίπτειν ἢ λίθον ἢ ἄλλο τι βάρος, διότι σπασματωδέστερον. οὐ γὰρ ἀπερείδεται, καθάπερ ὁ βάλλων, πρὸς τὸν ἐν τῇ χειρὶ ὄγκον. ὅτι οἱ ὁμαλοὶ περίπατοι τῶν ἀνωμάλων κοπιαρώτεροι, διότι ἡ πολλὴ κίνησις ποιεῖ κόπον· πολλὴ δ᾽ ἡ συνεχὴς καὶ μία. αἱ δ᾽ ἀνώμαλοι κατὰ τὰς μεταβολὰς ποιοῦσιν ἀνάπαυσιν· ἐν δὲ τοῖς ὁμαλοῖς ἡ ὁμοιότης τοῦ σχήματος ἀπεργάζεται συνεχῆ τὴν κίνησιν. ὅτι ἐξονειρωκτικοὶ οἱ κοπιῶντες, διότι θερμὰ καὶ κάθυγρα τὰ σώματα γίνεται διὰ τὴν σύντηξιν. ἡ δὲ τοιαύτη διάθεσις σπερματική. ὅτι καὶ ὕπτιοι κατάκεινται διὰ τὴν ἔκλυσιν. συνεργεῖ δὲ τὸ σχῆμα τοῦτο καὶ πρὸς τοὺς ἐξονειρωγμούς. ὅτι τὰ ὑγρὰ σώματα 861 H.
κοπιαρώτερα τῶν σκληρῶν, διότι ἀσθενέστερα, εἰ καὶ ἄλλον τρόπον τὰ σκληρὰ εὐθραυστότερα.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τῶν ἀθρόως φαινομένων ζώων.

ὅτι τῶν ἀθρόον φαινομένων ζώων οὐχ ἡ αὐτὴ πάντων αἰτία, ἀλλὰ τῶν μὲν καὶ ἡ γένεσις εὐθὺς φανερά, ὥσπερ τῶν μυιῶν, αἳ ἐν τοῖς στρατοπέδοις καὶ ἐν ταῖς πανηγύρεσι καὶ μετὰ τὸ παρελθεῖν αὐτὰ ἔτι μᾶλλον γίνονται· τούτων γὰρ ἥ τε κόπρος αἰτία καὶ ἡ τῶν ἄλλων σῆψις. ἄλλα δὲ προϋπάρχει μέν, ἐκφαίνεται δὲ διὰ τοὺς ὑετούς, ὥσπερ οἵ τε κοχλίαι καὶ οἱ μικροὶ βάτραχοι· οὐ γὰρ ὕονται, ὥς τινες ᾠήθησαν, ἀλλὰ προφαίνονται μόνον, κατὰ γῆς ὄντα πρότερον, διὰ τὸ εἰσρεῖν τὸ ὕδωρ εἰς τὰς θαλάμας αὐτῶν. ἄλλο δὲ γένος ἐστὶ τοῦτο βατράχων παρὰ τὸ ἐν ταῖς λίμναις καὶ τοῖς τέλμασι. τὸ δὲ πλῆθος καὶ τοῦτο καὶ τῶν ἄλλων, ὅταν εὐθηνήσωσιν. ὅτι μᾶλλον μετὰ τὰς διαλύσεις καὶ τῶν πανηγύρεων καὶ τῶν στρατοπέδων, ἢ ἔτι συνισταμένων, αἱ μυῖαι γίνονται. συμβαίνει γὰρ παρόντων μὲν διὰ τὰς καθημερινὰς χρείας καὶ κινήσεις φθείρεσθαι τὰς γενέσεις αὐτῶν, κινήσεως ἀεὶ καὶ με- 1573R.
ταβολῆς γινομένης, ὡς ἐν τοῖς ἄλλοις, καὶ ἐν αὐτοῖς τοῖς καθάρμασιν ἐκβαλλομένοις αὐτῶν· ὅταν δὲ διαλυθῶσιν, ἡσυχίας γινομένης ταχὺ συντελεῖται διὰ τὸ μὴ ὑπ᾽ οὐδενὸς κωλύεσθαι, μέχρις οὗ ἂν ξηρανθῇ τὸ ἐν τοῖς καθάρμασιν ὑγρόν. ἡ μὲν οὖν τῶν μυιῶν γένεσις ταχεῖαν καὶ πολλήν, ὡς εἴρηται, τὴν γένεσιν λαμβάνει· οἱ δὲ ἀττέλεβοι καὶ αἱ ἀκρίδες πανταχοῦ μέν εἰσιν ὡς εἰπεῖν, πλήθεται δὲ ταῦτα τῷ τε τόπους οἰκείους λαμβάνειν καὶ τῷ μὴ διαφθείρεσθαι αὐτῶν τὰ ᾠά, ὃ συμβαίνει διὰ τὴν ἀργίαν τῆς χώρας· ἐν γὰρ τῇ γεωργουμένῃ ἀπόλλυνται. διὸ καὶ ἐκ τῆς ἐρήμου καὶ ἀργούσης καταφέρονται πρὸς τὴν οἰκουμένην καὶ ἐργάσιμον. ἐγχρο-

a. 1. ποτε A: που ς. 5. πάθος συμβαίνει ς. 7. συνίσταται A. 15. γίνεσθαι apud Theophrastum est: hic γενέσθαι ς. 16. καὶ post αὐτὰ om A. 19. ἀλλοτρία ap. Theophrastum. 24. τοῦ αὐτοῦ om A. 33. ἀναβαίνειν — 35. καταβαίνειν B: καταβαίνειν — ἀναβαίνειν ς. 39. ὁμαλεῖς B.
b. 1. αἱ] malim οἱ. 2. ὁμαλέσιν A. 10. εὐθραυστότερα B, εὐθραστέστερα ς: A quid habeat, non liquet. 11. Τοῦ αὐτοῦ om A. 12. ἀθρόως B. 14. μυῶν A. 17. ἐκφ. δὲ A: καὶ ἐκφ. ς. 24. ὅτι μᾶλλον — 528 b 37. αἰτίας om B. 26. μίαι A. 29. ὡς] ὡς καὶ A. 32. μέχρι C. 33. ταχεῖαν] hac voce finitur A.

Digitized by Google

νίζουσι δὲ ἢ διὰ τὸ περιέχεσθαι τὸ χωρίον ὄρεσιν ὑψηλοῖς καὶ ὑπεραῖραι ταῦτα μὴ δύνασθαι, ἢ διὰ τὸ ἐπιτήδειον τῆς χώρας· τοιαύτη δὲ ἥ τε μαλακὴ καὶ νοτίδα ἔχουσα καὶ δροσοβόλος. χαλεπαὶ μὲν οὖν καὶ αἱ ἀκρίδες, χαλεπώτεροι δὲ οἱ ἀττέλεβοι, καὶ τούτων μάλιστα οὓς καλοῦσι βρούκους. ἡ δὲ γένεσις αὐτῶν ἐξ ἀλλήλων. τινὲς δὲ οἴονται οὐκ ἀκριβεῖ σημείῳ, τῷ χρώματι παραπλήσιά τινας αὐτῶν ἔχειν τοῖς ἐν τῇ χώρᾳ, ὅτι καὶ αὐτόματος· δῆλον γὰρ ὅτι τὸ τοιοῦτον ἀπὸ τῆς τροφῆς, ἀλλ᾽ οὐκ ἀπὸ τῆς γενέσεως προσλαμβάνουσιν. ἡ δὲ φθορὰ τούτων ἡ μέν ἐστιν οἷον φυσική τις καὶ λοιμώδης (ὑπὸ κύνα γὰρ οἰστρᾷ, καὶ ἐγγίνεταί τι σκωλήκιον ἐν τῇ κεφαλῇ, καὶ φθείρεται), ἡ δὲ ἐν τῇ μετακινήσει καὶ τῇ πτήσει· ὅταν γὰρ ἀρθῶσιν, ὑπὸ τῶν ἀνέμων καταφέ-
862 a H. ρονται εἰς τὴν θάλασσαν καὶ φθείρονται. "φθείρονται δὲ καὶ διὰ χειμῶνα καὶ ψύχος καὶ αὐτὰ καὶ τὰ ᾠὰ αὐτῶν. φθείρονται δὲ καὶ ἐκ μηχανῆς ἀνθρώπων· τάφρους γὰρ ποιοῦντες συνελαύνουσιν αὐτὰ εἰς αὐτάς, καὶ καταχωννύντες διαφθείρουσιν. ὅτι τῶν ὄφεων δύο τινὰ τῆς γενέσεως αἴτιά ἐστιν· ἢ γὰρ ἀὴρ ἔπομβρος, ἢ πόλεμοι καὶ χύσεις αἱμάτων, ὃ σχεδὸν καὶ τῶν ἄλλων θηρίων τῆς γενέσεως αἴτιον. ἐξ οὗ ποτὲ καὶ περὶ Θετταλίαν πλῆθος ὄφεων ἱστοροῦσι γενέσθαι. ὅτι καὶ οἱ μύες ἐν ταῖς ἀρούραις ἀθρόον γίνονται· καὶ ἐν τοῖς αὐχμοῖς μᾶλλον ἢ ἐν ταῖς ἐπομβρίαις· πολέμιον γὰρ αὐτοῖς τὰ ὕδατα. πολύγονον δὲ τὸ ζῷον. ἀπόλλυνται δὲ τῇ μὲν ἐμφανεῖ καὶ ἔξωθεν φθορᾷ διὰ πλῆθος ὑδάτων· τοῦτο γὰρ καὶ ἔξω χειμάζει καὶ εἰς τὰς μυωπίας παρεισρεῖ. φθείρουσι δ᾽ αὐτοὺς καὶ αἱ ἄγριαι γαλαῖ. ἔστι δέ τις αὐτῶν καὶ ἀφανὴς καὶ ἀθρόα φθορὰ καθάπερ τις ἐπισυμβαίνουσα λοιμώδης· τίκτεται γὰρ καὶ τούτοις ἐν τῇ κεφαλῇ σκώληξ, καὶ φθείρονται. ὃ καὶ οἱ ἔμπειροι ἐπισκοποῦντες, ἐπὰν ἴδωσι, τὴν φθορὰν αὐτῶν προνοοῦσι καὶ προαγγέλλουσιν. ὅτι οἱ μύες ἱστοροῦνται καὶ σίδηρον κατεσθίειν καὶ χρυσίον· διὸ καὶ ἀνατέμνοντες αὐτοὺς οἱ ἐν τοῖς χρυσείοις τὸν χρυσὸν ἀνιμῶνται. ὅτι ἐν Αἰγύπτῳ δίποδάς φασι μύας γίνεσθαι καὶ μεγάλους. ἔχουσι δὲ οὗτοι καὶ τοὺς ἐμπροσθίους πόδας, ἀλλ᾽ οὐ βαδίζουσιν ἐπ᾽ αὐτοῖς, χρῶνται δὲ αὐτοῖς οἷα χερσίν. ὅταν δὲ φεύγωσι, πηδῶσιν.

*Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τῶν λεγομένων ζῴων φθονεῖν.*

ὅτι ὁ γαλεώτης, φασί, φθονῶν τῆς ὠφελείας τοῖς ἀνθρώποις καταπίνει τὸ δέρμα, ὅταν ἐκδύηται· ἔστι γὰρ βοήθημα ἐπιλήπτῳ. καὶ ὁ ἔλαφος τὸ δεξιὸν κατορύττει κέρας, πρός τε τὰ τῆς φρύνης φάρμακα καὶ πρὸς ἄλλα πολλὰ χρήσιμον. καὶ ἡ ἵππος ἀπεσθίει τῶν πώλων τὸ ἱππομανές· καὶ γὰρ καὶ τοῦτο "πρὸς ἔνια χρήσιμον. καὶ 1576 R.
ἡ φώκη ὅταν μέλλῃ ἁλίσκεσθαι, ἐξεμεῖ τὴν πιτύαν, χρησιμεύουσαν καὶ ταύτην τοῖς ἐπιλήπτοις. καὶ ὁ χερσαῖος ἐχῖνος ἐνουρεῖ τῷ δέρματι καὶ διαφθείρει. καὶ ἡ λύγξ κατακρύπτει τὸ οὖρον, ὅτι πρὸς τὰς σφραγῖδας καὶ πρὸς ἄλλας χρείας ἐπιτήδειον. ἀλλ᾽ ὅτι μὲν οὐ διὰ φθόνον ταῦτα ποιεῖ τὰ ζῷα, ἀλλ᾽ οἱ ἄνθρωποι ἐκ τῆς ἰδίας ὑπολήψεως ταύτην αὐτοῖς περιῆψαν τὴν αἰτίαν, παντὶ δῆλον. πόθεν γὰρ τοῖς ἀλόγοις ἡ τοσαύτη σοφία, ἣν καὶ οἱ λογικοὶ μετὰ συχνῆς μελέτης μανθάνουσιν; ἀλλ᾽ ἡ μὲν φώκη διὰ τὸν φόβον ἴσως ταραττομένη ἐμεῖ τὴν πιτύαν, καὶ ὁ γαλεώτης καταπίνει τὸ δέρμα φυσικόν τι ποιῶν πάθος, καθάπερ οἱ κύνες καὶ αἱ ὕες καὶ σχεδὸν τὰ τετράποδα πάντα· κατεσθίει γὰρ τὰ χόρια μετὰ τοὺς τόκους. καὶ ὁ ἐχῖνος δὲ διὰ φόβον ἢ δι᾽ ἄλλο τι πάθος "φυσικὸν ἐνουρεῖ, ἀλλ᾽ οὐχ ἵνα φθείρῃ τὸ 863 H.
δέρμα. πολλὰ δὲ καὶ ἄλλα πράττεται τοῖς ἀλόγοις, ὧν οὐκ ἔχομεν λόγον ἀποδοῦναι, οἷον διὰ τί ἡ ὄρνις ὅταν τέκῃ, περιῤῥίπτει τὰ κάρφη; διὰ τί οἱ κύνες ἐπαίροντες τὰ σκέλη προσουροῦσι; διὰ τί ἡ αἲξ ὅταν λάβῃ τὸ ἠρύγγιον εἰς τὸ στόμα, μένει καὶ τὰς ἄλλας ἵστασθαι ποιεῖ; καὶ τὸ τῆς λυγκὸς οὖν καὶ τὸ τῆς ἐλάφου ὁ αὐτὸς κατάλογος περιέξει.

*Τοῦ αὐτοῦ περὶ ἱδρώτων.*

ὅτι ἁλμυρὸς γίνεται ὁ ἱδρώς, διότι τὸ ἀλλότριον ἐκκρίνεται, τῇ προσφύσει τῆς σαρκὸς ἐξανηλωμένου τοῦ γλυκυτάτου καὶ κουφοτάτου. τὸ γὰρ τοιοῦτον περίττωμα ἐν μὲν τῇ κατὰ τὴν κύστιν ὑποστάσει οὖρον, ἐν δὲ τῇ σαρκὶ ἱδρὼς καλεῖται. ἐκκρίνεται δὲ ὁ ἱδρὼς διὰ κίνησιν ἢ πόνον ἢ διὰ τὴν τοῦ θερμοῦ καὶ τοῦ πνεύματος δύναμιν. ὅτι ὁ ἱδρὼς ἁλμυρὸς ὢν προσλαμβάνει ὀξύτητα ἢ πικρότητα ἢ δυσωδίαν ἢ εὐωδίαν διὰ πολλὰς καὶ διαφόρους αἰτίας. ὅτι οἱ παῖδες τῶν ἀνδρῶν μᾶλλον δυσίδρωτες, καὶ μάλιστα τὰ παιδία, καίτοι τὴν φύσιν ὄντα θερμὰ καὶ ὑγρά, ἐξ ὧν ἡ τῶν ἱδρώτων γένεσις, διότι πυκνότατοι τῶν παίδων οἱ χρῶτες καὶ ὥσπερ συγκεκλεισμένοι. ἔτι δὲ ἡ θερμότης ἐπικρατοῦσα πέττει

a. 6. βρούκους Sylburgius, Bochartus, interpretes Hesychii v. βροῦκος: βαρούκτους ς. 7. χρώματι παραπλήσια] malim χρῶμα παραπλήσιον. 18. αὐτὰς] libri αὐτοὺς. praestat cum Sylburgio scribere ταύτας. 29. ἔστι] ἔτι C. 31. τούτοις C: τούτων ς. 35. χρυσείοις C: χρυσίοις ς. 40. τῶν — φθονεῖν] horum loco lacuna est in C.
b. 17. οἱ] αἱ Schneiderus. 18. καὶ σχεδὸν Sylburgius: σχεδὸν καὶ ς. 26. λυγκὸς Sylburgius: λυγγὸς ς. 37. οἱ add B.

διὰ τὴν αὔξησιν. ἐὰν δέ τι καὶ γένηται περίττωμα, τοῦτο ἐκκρίνεται κατὰ κοιλίαν· εὔρους γὰρ ὡς ἐπίπαν ἡ τῶν παιδίων. οἱ δὲ γέροντες μανόχροες μέν, ἀλλὰ ξηροί· δεῖ δὲ τῷ ἱδρῶτι καθάπερ ὕλην ὑπάρχειν τὸ ὑγρόν. ἄλλως τε δὲ καὶ αὐτὸ τὸ εὔπνουν καὶ μανὸν ἱκανὴν τὴν ἔκκρισιν ποιεῖ, καὶ τῷ συνεχῶς γίνεσθαι καὶ τῷ μὴ πολλὰ ἐνυπάρχειν τὰ ὑγρά. διὰ τοῦτο καὶ ὧν αἱ κοιλίαι ὑγραὶ καὶ εἰς κύστιν ἡ ἐπιῤῥοὴ τοῦ περιττώματος, οὐκ εὐίδρωτες γίνονται, διότι πᾶν τὸ ὑγρὸν ἐνταῦθα ὥρμησεν.

ὅτι οἱ μὴ πέψαντες τὰ σιτία καὶ οἱ ἀγρυπνήσαντες εὐίδρωτες, διότι ἡ πέψις διαμερίζει τὴν ὑγρότητα καὶ ὁ ὕπνος πέττει. ὅτι οἱ γυμναζόμενοι καὶ εὖ ἔχοντες εὐίδρωτες μᾶλλον τῶν ἀγυμνάστων. ὅτι καὶ οἱ πεπεμμένην καὶ οἱ ἄπεπτον ἔχοντες τὴν τροφὴν εὐίδρωτες· καίτοι δόξει ἄτοπον εἶναι· οὐκ ἔστι δέ. οἱ μὲν γὰρ γεγυμνασμένοι τῷ μανὰ τὰ σώματα ἔχειν καὶ ἀνεῳγμένους τοὺς πόρους, καὶ τῷ συνήθεις εἶναι πρὸς τοὺς ἱδρῶτας, εὐίδρωτες· τῶν δὲ μεμύκασιν οἱ πόροι διὰ τὸ μὴ χρῆσθαι. οἱ δὲ μὴ πεπεμμένην ἔχοντες τὴν τροφὴν τῷ πλήθει τῆς ὑγρότητος εὐίδρωτες· οἱ δὲ πεπεμμένην τῷ τὴν ὑγρότητα διακεκρίσθαι τῇ πέψει τοῦ ἄλλου 1577R. χυλοῦ ῥᾳδίαν ἔχουσι τὴν ἐξόρμησιν. ὅτι οὐ πονοῦντες, ἀλλ᾽ ὅταν παύωνται, μᾶλλον ἱδροῦσιν, οὐδὲ συντείνοντες οὐδὲ κατέχοντες τὸ πνεῦμα, ἀλλ᾽ ὅταν ἀνῶσι, 864 H. διότι πονούντων μὲν ὑπὸ τοῦ πνεύματος αἱ φλέβες ἐμφυσώμεναι συμμύειν ποιοῦσι τοὺς πόρους, ὥστε δι᾽ εὐρυτέρων μᾶλλον ἐξέρχεται τὸ ὑγρόν. καὶ ἡ κάθεξις δὲ τοῦ πνεύματος πληροῖ τὰς φλέβας, ὥστε κωλύειν διιέναι.

ὅτι μετὰ τοὺς πόνους καὶ τοὺς δρόμους οἱ ἐν σκιᾷ μᾶλλον καθεζόμενοι ἱδροῦσιν ἤπερ οἱ ἐν τῷ ἡλίῳ, διότι ὁ ἥλιος ἀναξηραίνει καὶ πυκνοῖ τοὺς πόρους. ὅτι τοὺς πόδας οἱ τῷ ὕδατι ἐμβάλλοντες οὐχ ἱδροῦσι, διότι τὸ ὕδωρ κωλύει τὴν τῆξιν. ὁ δὲ ἱδρὼς τῆξίς ἐστι τῶν κακῶς προσῳκοδομημένων ταῖς σαρξίν, ὅταν ἐκκρίνηται διὰ τὸ θερμόν. ὅτι τὸ γυμνάσιον, ἐὰν γίνοιτο συνεχῶς, ἀναξηραίνει καθάπερ ὁ ἥλιος· διὸ ἧττον ἱδροῦσιν. ὅτι τὸ μέτωπον πρῶτον καὶ μάλιστα ἱδροῦσι διὰ τὸ ὑπὸ τὸν ἐγκέφαλον εἶναι ὑγρὸν ὄντα. καὶ ἡ κεφαλὴ δὲ μάλιστα ἱδροῖ διὰ τὸ μανόν (σημεῖον δὲ αἱ τρίχες), καὶ διότι τοῦ πνεύματος ἡ κάθεξις διατείνεταί πως εἰς τὴν κεφαλήν. ὅτι οἱ ἀγωνιῶντες τοὺς πόδας ἱδροῦσι, τὸ δὲ πρόσωπον οὔ, διότι ἡ ἀγωνία οὐ μετάστασις θερμότητος ἀλλ᾽ αὔξησις, καθάπερ ὁ θυμός. διὸ τὸ μὲν πρόσωπον ἐξέρυθροι γίνονται καὶ οὐχ ἱδροῦσι διὰ τὸ μᾶλλον ἐκθερμαίνεσθαι (ξηραίνει γὰρ ἡ θερμότης ἐπιπολάζουσα), τὸ δ᾽ ἐν τοῖς ποσὶ συντήκει διὰ τὸ ἔλαττον εἶναι ὥστε ξηρᾶναι, πλείω δὲ τῆς ἐμφύτου καὶ προϋπαρχούσης. ὅτι ἐν τοῖς ὕπνοις μᾶλλον οἱ ἱδρῶτες ἢ κατὰ τὴν ἐγρήγορσιν, διότι καὶ τὰ ὑγρὰ καὶ τὰ θερμὰ μᾶλλον διὰ τὴν ἀντιπερίστασιν· ἐξ ἀμφοῖν δὲ τούτων ὁ ἱδρώς.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ μελίτων.

ὅτι αἱ τοῦ μέλιτος γενέσεις τριτταί· ἢ ἀπὸ τῶν ἀνθῶν καὶ ἐν οἷς ἄλλοις ἐστὶν ἡ γλυκύτης, ἄλλη δὲ ἐκ τοῦ ἀέρος, ὅταν ἀναχυθὲν ὑγρὸν ὑπὸ τοῦ ἡλίου συνεψηθὲν πέσῃ (γίνεται δὲ τοῦτο μάλιστα ὑπὸ πυραμητόν), ἄλλη δὲ ἐν τοῖς καλάμοις. πίπτει δὲ τὸ ἐκ τοῦ ἀέρος μέλι καὶ ἐπὶ τὴν γῆν καὶ ἐπὶ τὰ προστυχόντα τῶν φυτῶν, εὑρίσκεται δὲ μάλιστα ἐπὶ τοῖς φύλλοις τῆς δρυὸς καὶ ἐπὶ τῆς φιλύρας, διότι πυκνότητα ἔχει ταῦτα καὶ ἔνικμά ἐστι. δεῖ δὲ μήτε τελείως εἶναι ξηρά, ἵνα μὴ εἰς αὐτὰ ἕλκῃ, μήτε μανά, ἵνα μὴ διίῃ· ταῦτα δὲ καὶ ἔνικμα καὶ πυκνότητα ἔχει, τὸ δὲ τῆς φιλύρας καὶ γλυκύτητα. ἔχει δέ πως ἡ μέλισσα οἰκείωσίν τινα πρὸς τὴν δρῦν.

## 279.

Ἀνεγνώσθη ἐκ τῆς ἙΛΛΑΔΙΟΥ Βυσαντινοῦ ἐπιγραφομένης πραγματείας χρηστομαθειῶν α΄ β΄ γ΄ δ΄.

ὅτι φλυαρεῖ καὶ οὗτος τὸν Μωσῆν ἄλφα καλεῖσθαι, 865 H. διότι ἀλφοῖς τὸ σῶμα κατάστικτος ἦν· καὶ καλεῖ τοῦ ψεύδους τὸν Φίλωνα μάρτυρα. ὅτι Διονύσιός φησι μὴ λέγειν τοὺς ἀττικιστὰς ὠνησάμην, ἀλλ᾽ ἀντ᾽ αὐτοῦ τὸ ἐπριάμην, καίτοι καὶ ὠνεῖσθαι καὶ ὠνήσατο καὶ ὠνούμενος καὶ τὰ ἄλλα λέγοντας. ὅτι καλὸς καὶ ἀγαθός οἱ Ἀττικοὶ λέγοντες ἀγαθὸς καὶ καλός οὐ λέγουσι· καίτοι λέγοντες ἀγαθὴ τύχη λέγουσι καὶ τύχη ἀγαθή. ὅτι 1580R. ὑπὸ μάλης λέγουσι συντιθέντες, αὐτὴν δὲ καθ᾽ ἑαυτὴν μάλην οὐ λέγουσι. καὶ κιθάραν λέγοντες λέγουσι καὶ κιθαριστήν, λύραν δὲ λέγοντες λυριστὴν οὐ λέγουσιν. ὅτι οὗτος μέν φησιν οὐχὶ Μαγνῆτιν ἀλλ᾽ Ἡράκλειαν καλεῖσθαι τὴν λίθον ἥτις ἕλκει τὰ σιδήρια· πολλοὶ δὲ ἄλλοι τὴν αὐτὴν καλεῖσθαι καὶ Μαγνῆτιν καὶ Ἡράκλειαν λέγουσιν, ἀποδιδόντες καὶ τὰς αἰτίας τῆς διαφόρου ὀνομασίας.

a. 2. παίδων B. 3. μονόχροες B. 6. τῷ μὴ] τὰ μὴ B. 9. γίνονται add B. 11. διαμερίζει B: μερίζει ς. 16. ἀνεῳγμένους B: γεγυμνασμένους ς. 22. ἴχει B. 28. κωλύει B. 40. καὶ om B. 41. ἀγωνιῶντες B: ἀγωνιοῦντες ς. b. 3. διότι B. καὶ οὐχ ἱδροῦσι add B. 6. ἐλάττων — πλείων Stephanus. 11. ἐκ τοῦ om B. μελίτων B: μελιττῶν ς. 14. ὑπὸ B: ἀπὸ ς. 18. ἐπί τε τοῖς B. 20. αὐτὰ B: αὐτὸ ς. 25. Ἀνεγνώσθη — 1597, 8 R. ἐγκωμιαστικοὶ λόγοι om B. 27. οὗτος — 28. μάρτυρα] pro his in C lacuna est versuum duorum. 29. φησι μὴ λέγειν] lacuna in C. 30. ἀντ᾽ om C. 31. καὶ ὠνεῖσθαι] lacuna in C. 38. ἡράκλειαν C: ἡρακλείαν ς.

Digitized by Google

λέγει δὲ καὶ ὡς ὁ Γαληνὸς τὴν ἤλεκτρόν φησιν ἕλκειν τὰ κηρύβια. ὅτι τοῦ μὲν ἀνδρὸς τὸν ἀδελφὸν αἱ γυναῖκες δαέρα καλοῦσι, τὴν δὲ ἀδελφὴν οὐκέτι δάειραν ἀλλὰ γάλον, καθὼς καὶ Ὅμηρός φησιν „εἰδομένη γαλόῳ Ἀντηνορίδαο δάμαρτι." καὶ θεῖον μὲν ὀνομάζουσι τὸν τοῦ πατρὸς ἀδελφόν, οὐκέτι δὲ θείαν τὸ θῆλυ ἀλλὰ τηθίδα. καὶ πάππον μέν φασι τὸν πατέρα τοῦ πατρός, μάμμην δ' οὐκέτι τὴν τοῦ πατρὸς μητέρα ἀλλὰ τιθήν. μάμμας δὲ οἱ παλαιοὶ τὰς αὐτῶν μητέρας καλεῖν εἰώθεσαν. ὅτι Δίδυμος περὶ παροιμιῶν δεκατρία βιβλία συντέταχε, πρὸς τοὺς περὶ παροιμιῶν συντεταχότας ἐπιγράψας αὐτά. ὅτι τὰς νῦν λεγομένας κουρίδας οἱ Ἀττικοὶ κομμωτρίας ἐκάλουν. εὕρηται δὲ παρὰ Μενάνδρῳ καὶ τὸ κουρίδα. ὅτι ὁ στίχος ὁ καὶ παροιμιαζόμενος „ὅρκους ἐγὼ γυναικὸς εἰς ὕδωρ γράφω" ἐστὶ μὲν Σοφοκλέους, τοῦτον δὲ παρῳδήσας ὁ Φιλωνίδης ἔφη „ὅρκους δὲ μοιχῶν εἰς τέφραν ἐγὼ γράφω." οἱ δὲ τὰς γυναῖκας σκώπτοντές φασιν „ὅρκους ἐγὼ γυναικῶν εἰς οἶκτον γράφω." ὅτι τῶν εἴκοσι τεσσάρων στοιχείων τὸ μῦ καὶ τὸ νῦ καὶ τὸ ῡ ἐκτεταμένον ἔχουσι τὸ δίχρονον καὶ περισπῶνται, καὶ τὰ ἄλλα δὲ τὰ εἰς ῑ μονοσύλλαβα καὶ δίφθογγον ἔχει τὴν συλλαβὴν καὶ περισπᾶται, οἷον εἶ φεῖ χεῖ ψεῖ. τὸ δὲ ω̄ δῆλον ὅτι περισπᾶται. τῶν δὲ δισυλλάβων ὅσα μὲν ἔχει τὴν παραλήγουσαν μακράν, φύσει περισπᾶται, οἷον βῆτα θῆτα ἦτα, ὅσα δὲ μή, παροξύνεται, ἄλφα κάππα δέλτα. ὅτι ὄνομα θεραπαίνης Πηλέσιον ἦν, δι' ἧς ὁ Μολοσσὸς Πύῤῥος
866 H. ἀνεῖλε φαρμάκῳ τὴν μητέρα. ὅτι ἀνθρακεὺς ὁ ἐν τῇ συνηθείᾳ καλούμενος καρβωνάριος. ὅτι ὀνηλάτου μὲν υἱὸς Διονύσιος ἦν ὁ τῆς Σικελίας ἄρξας ἔτη τεσσαράκοντα δυοῖν ἀποδέοντα, Ἀγαθοκλῆς δὲ κεραμέως, καὶ αὐτὸς συχνὸν χρόνον Σικελίας ἄρξας. τῆς δ' Ἀταρνέως (πόλις δ' αὕτη Θρᾳκίας) ἐκτομίας ὢν καὶ δοῦλος ἦρξεν Ἑρμείας. Πῶρος δ' ὁ βασιλεὺς Ἰνδῶν κουρέως ἦν υἱός. Βράδυλλις δέ τις Ἰλλυριῶν ἐστρατήγησεν ἀνθρακεὺς γεγονώς, καὶ Ὀρθαγόρας Σικυῶνος ἐτυράννησεν ὁ μάγειρος. ὅτι τὸ μόγις ἀναλογώτερον διὰ τοῦ γ̄, φησί, γράφεται, ἐπὶ τῶν μετὰ πόνου γινομένων ταττόμενον· οἱ δὲ Ἴωνες καὶ Αἰολεῖς παραλόγως διὰ τοῦ λ̄, μόλις λέγοντες, ἐκφέρουσι καὶ γράφουσιν. ὅτι τὸ ὦ τάν δύο μέρη φησὶν εἶναι, τὸ μὲν ὦ καθ' αὐτό, τὸ δὲ τάν κατὰ ἀποβολὴν τοῦ ε̄· τὸ γὰρ πλῆρες ἐτάν ἐστι, καὶ συναλιφέντος τοῦ ω̄ γέγονεν ὦτάν. ἐτάν γὰρ ὁ ἀληθὴς φίλος· καὶ γὰρ ἐτεὸν τὸ ἀληθές.

ὅτι νεκρός λέγεται κατὰ στέρησιν τῆς κηρός, νήκηρός τις ὢν καὶ νέκηρος, καὶ κατὰ συγκοπὴν νεκρός. τὸ γὰρ νη̄ στερητικὸν καὶ νε̄ φασί· διὸ καὶ νεβρὸς ὁ μήπω δυνάμενος νομῆς καὶ βορᾶς μεταχεῖν, γάλακτι δὲ 1581R.
μόνῳ τρεφόμενος. καὶ νέκταρ, οὗ μή ἐστι δυνατὸν τοῖς θνητοῖς, τουτέστι τοῖς κτεινομένοις, μεταχεῖν· ἔστι γὰρ κτὰρ ῥηματικὸν ὄνομα, ἀπὸ τοῦ ῥήματος παρηγμένον τοῦ κτῶ τοῦ δηλοῦντος τὸ κτείνω. ὅτι τὸ ὦ οἱ ἄρθρον κλητικὸν ὑπειληφότες πλανῶνται· τὰ γὰρ ἄρθρα οὐ χρήζουσι κλητικῆς· καὶ γὰρ αὐτὰ μὲν τῶν μὴ παρόντων τὴν ἀναφορὰν δηλοῖ, τὸ δὲ ὦ κατ' ἐνέργειαν μόνον τῆς δείξεως τῇ κλητικῇ προσῆλθεν. ὅτι δὲ ἁμαρτάνουσιν οἱ νομίζοντες αὐτὸ κλητικήν, καὶ ὁ χρόνος καὶ ὁ τόνος δηλοῖ καὶ τὸ πνεῦμα. καὶ γὰρ ψιλοῦται, τῶν ἄλλων ἄρθρων, ὅσα πνεῦμα δέχεται, δασυνομένων· καὶ τὰ μὲν ὀξύνεται, τὸ δὲ περισπᾶται· καὶ τὰ μὲν βραχύνεται, τὸ δὲ μακρόν ἐστι φύσει. ὅτι δὲ οὐκ ἔστι τῆς ὁ εὐθείας τὸ ὦ κλητικόν, κἀντεῦθέν ἐστι καταφανές· ἡ κλητικὴ τῇ ἰδίᾳ εὐθείᾳ ἰσοχρονεῖ ἢ τὸν ἐλάττω ἀναδέχεται χρόνον, οἷον Ἀγαμέμνων καὶ ὦ Ἀγάμεμνον· ἐνταῦθα δὲ τοὐναντίον. οὐκ ἔστιν οὖν ἄρθρον ἀλλ' ἐπίῤῥημα. συντάττεται δ' ὅμως τῇ κλητικῇ, ἐπίῤῥημα ὄν, ὥσπερ καὶ ἄλλα τῶν ἐπιῤῥημάτων γενικῇ συντάττεται, ὡς παρὰ τῷ ποιητῇ ἐν τῇ ω' τῆς Ὀδυσσείας, καὶ αἰτιατικῇ τὸ νή καὶ τὸ μά· καὶ γὰρ ὀμνύντες αἰτιατικῇ συνάπτουσι τὰ ἐπιῤῥήματα ταῦτα. ὅτι τὸ κνέφας οἱ μέν φασιν ἀπὸ τοῦ κενέφας γενέσθαι (κενὸν γάρ ἐστι φάους), οἱ δὲ κατὰ πλεονασμὸν τοῦ κ̄· νέφος γὰρ εἶναι καὶ νέφας τὸ αὐτοτελές, διὰ τοῦ νε̄ στερητικοῦ τὸ ἐστερημένον τοῦ φωτὸς ὑποσημαῖνον. ὥσπερ καὶ τὸ κτύπος γέγονε κατὰ πλεονασμὸν τοῦ κ̄· τύπος γάρ ἐστιν ὁ κτύπος, ῥηματικὸν ὄνομα παρὰ τὸ τύπτω. καὶ τὸ καί- 867 H
νυτο, αἴνυτο ὄν, περισσὸν ἔχει τὸ κ̄. καὶ τὸ καῦρος· αὖρος γάρ ἐστιν, οἷον ὁ κατὰ νοῦν ἐλαφρός. ὅτι τὴν Μοῦσαν οἱ μὲν ἐτυμολογοῦσιν ἀπὸ τοῦ μυοῦσάν τινα

a. 1. Γαληνὸς] de nat. fac. 1. 11. πρὸς C: καὶ πρὸς ς. 14. vid. Meinek. Menandri reliq. p. 296. 19. γυναικὸς εἰς οἶνον Scaliger ex Athenaeo. 22. ῑ et 23. εῖ add C. χεῖ ψεῖ C: ψει χεῖ ς.
b. 2. δύο add C et ms. Meursii p. (ap. Gronov.) 955. 3. τὸ δὲ — 3. πλῆ] lacuna in C. 5. ὦτάν ἐτάν γὰρ] lacuna in C. ὦτάν ἔτης γὰρ ms. Meursii: ὦτὰν γὰρ ς. 7. καὶ νέκηρος] καὶ νεβήρος C: om ς. 8. νεβρὸς] libri νεκρὸς. correxit Schottus. μήπω] μ C. 11. θνητοῖς — κτεινομένοις] immo κτεινομένοις — θνητοῖς. 16. malim ἐνάργειαν. 18. ὁ add C, 30. ὀμνύντες C: ὀμνύοντες ς. 38. καῦρος C: ναῦρος ς. 40. μυοῦσάν Hoeschelius: libri μαιοῦσάν.

εἶναι· ἡ γὰρ μουσικὴ παίδευσις οὐδὲν μυστηρίων διαφέρει. οἱ δὲ παρὰ τὸ μαάσαι· τὸ γὰρ ζητεῖν Δωριεῖς λέγουσι μῶ, καὶ μῶται τὸ τρίτον πρόσωπον παρ' Ἐπιχάρμῳ, καὶ μῶνται παρ' Εὐφορίωνι, καὶ μώμεναι ἡ μετοχὴ παρὰ Σοφοκλεῖ. εὐλογώτερον οὖν τὴν Μοῦσαν ἐντεῦθεν εἰρῆσθαι, παντὸς νομιζομένην εὑρέτιν μαθήματος. μαίεσθαι δὲ καὶ Ὅμηρος οἶδε τὸ ζητεῖν, καὶ μαῖάν φαμεν τὴν ζητοῦσαν ἰατρὸν τὸ κρυπτόμενον. ὅτι ἡ μάκαρ, φησί, μονήρης ἐστὶ λέξις, καὶ ἐν τοῖς θηλυκοῖς τὸ δάμαρ. τὸ δὲ μάκαρ ἐκ τοῦ μακάριος ἀποκέκοπται, ὥσπερ καὶ τὸ ὑμέναιε γέγονεν ἀποκοπὲν ὑμέν. ὅτι τὸ μακκοᾷν ἀρχαϊκῶς ἐστὶ τὸ μὴ ἀκούειν, ἢ τὸ μὴ κόειν, ὅπερ τὸ νοεῖν ἐδήλου. Καλλίμαχος δ' ἐν Ἑκάλῃ ἐκόησέ φησιν ἀντὶ τοῦ ἐνόησεν. ὅτι τὸ μακάριος τινὲς ἐτυμολογοῦσιν ἐκ τοῦ μηκήριος, οἷον ἐκ τοῦ μὴ κηρὶ ὑποκεῖσθαι τὸν ἀθάνατον· ἢ ἐκ τοῦ ἀκήριος κατὰ πλεονασμὸν τοῦ $\overline{\mu}$ μακάριος. ὅτι τὸ ἄλευρον κατὰ πλεονασμὸν τοῦ $\overline{\mu}$ ἔστιν εὑρεῖν μάλευρον. καὶ τὸ μία δέ, ἐκ τοῦ ἴα γεγονός, κατὰ πλεονασμὸν ἔχει τὸ $\overline{\mu}$. ὅτι περὶ τῆς ἀηδόνος μυθολογεῖται ὡς Ζήτης ὁ Βορέου παῖς ἔλαβεν Ἀηδόνα τοῦ Δουλιχιέως Πανδάρεω τὴν θυγατέρα, Ἄκτυλος δὲ αὐτοῖς υἱὸς γίνεται. ἡ οὖν Ἀηδὼν ὑπονοήσασα τὸν ἄνδρα νύμφης ἁμαδρυάδος ἐρᾷν τινός, ζη- 1584 R. λοτυπήσασα, ἐπεὶ αὐτῇ ἐδόκει ὁ υἱὸς Ἄκτυλος τὴν κλοπὴν τῆς μίξεως συνειδέναι τε καὶ συνεργῆσαι, ἀνεῖλεν ἀπὸ θήρας ἐρχόμενον τὸν παῖδα. ᾤκτειρε δ' αὐτὴν ἡ Ἀφροδίτη τοῦ πάθους, καὶ εἰς ὄρνεον μετέβαλε τὴν ἀηδόνα. μεταγνοῦσα δὲ ἡ πάλαι μὲν γυνὴ νῦν δ' ὄρνις θρηνεῖ τὸν παῖδα, λύσιν οὐχ εὑρίσκουσα τοῦ τολμήματος. ὅτι τὸ τέττα, ὃ παρ' Ὁμήρῳ κεῖται εἰρημένον ὡς ἀπὸ τοῦ Διομήδους πρὸς Σθένελον, γραφικῆς ἐστὶ πλάνης. τί ποτε γὰρ δηλοῖ τὸ τέττα, μέχρι νῦν οὔπω συνομολογεῖται· ἀλλ' οἱ μὲν σεπτικὴν αὐτὸ φωνὴν εἶναι φίλου πρὸς ἑταῖρόν φασιν, οἱ δὲ „κώτιλλε ὦ οὗτος," ἄλλοι δὲ πάλιν „σὲ λέγω." οἱ πλείους δὲ τῶν γραμματικῶν νεωτέρου φασὶν εἶναι προσφώνησιν εἰς πρεσβύτερον· καίτοι γε οὐδ' ἔχουσι δεῖξαι Διομήδην Σθενέλου νεώτερον. οὐ μὴν ἀλλ' οὐδὲ φαίνεται Ὅμηρος ἀλλαχοῦ χρησάμενος τῇ φωνῇ, ἵν' ἐκ τῆς ἀλλαχόθι φανερᾶς διανοίας καὶ τὸ ἐνταῦθα τῆς λέξεως ἀνακαθαρθείη ἀμφίβολον, ὥσπερ ἐπὶ τοῦ ἐλλὸν ἐποίησε· καὶ γὰρ εἰπὼν ἐκεῖ πρότερον „πόδεσιν ἐλλὸν εἷλε ποικίλον κύων," 363 H. τὸ ἄδηλον τῆς λέξεως διεσάφησεν ὑποκατιών, νεβρὸν τὸν ἐλλὸν ὀνομάσας. ὡσαύτως τὸ λάε ἐκ τῆς ἐτυμολογίας σαφῆ παρίστησι τὴν φωνήν, ἐπεὶ ἀλαός ἐστιν ὁ μὴ βλέπων τὸ φῶς· ἢ ὅτι τὸ λάειν τὸ ἀπολαυστικῶς ἔχειν ἐστίν, ὅπερ δείκνυσιν ἐμφατικωτέραν διάθεσιν. καὶ ἄλλα δέ ἐστι ξενίζοντα ἐν τοῖς Ὁμήρου, μεθ' Ὅμηρον δὲ τοῖς νεωτέροις σαφῆ τῇ χρήσει γεγονότα καὶ τὴν λύσιν τῆς ἀπορίας ἐπιδεξάμενα. τὸ δὲ τέττα οὐδὲν τοιοῦτον τῆς ἀγνωσίας καὶ τοῦ μὴ διημαρτῆσθαι ἐξείλετο. οὐ τοίνυν τέττα δεῖ γράφειν, ἀλλὰ τέτλα, τῆς ἐπὶ τέλους συλλαβῆς ἀποκοπείσης τοῦ τέτλαθι. καὶ γὰρ ἔστιν εὑρεῖν τὸ τέτλα λεγόμενον παρὰ διαφόροις, ὡς καὶ Ἄρατός φησιν ἐν χαρίτων πρώτῃ τέτλα. διὸ καὶ τὸν παρ' Ὁμήρῳ στίχον τινὲς οὐ τέττα ἀλλὰ τέτλα προήνεγκαν ἀναγινώσκοντες, καὶ ἐπισημηνάμενοι ὡς ἡ ἀπάτη γέγονεν ἐκ τοῦ τινὰς τὸ δεύτερον $\overline{\tau}$ ἀντὶ τοῦ $\overline{\lambda}$ λαβεῖν, τῆς βραχυτέρας γραμμῆς τοῦ $\overline{\lambda}$ φαντασίαν αὐτοῖς τῆς ὀρθῆς κεραίας τοῦ $\overline{\tau}$ παραχομένης, τῆς δὲ μείζονος τῆς ἐπικειμένης ἐγκαρσίας. ὅτι φησί, τοῦ βασιλέως Κορίνθου ἡ μήτηρ, γυνὴ δὲ Ἀμφίονος, κολοβωτέρῳ σκάζουσα τῷ ἑτέρῳ ποδί, Λάβδα ἐκαλεῖτο. ὅτι ἀναλογώτερον ἡ χροιά, κατὰ πάθος δὲ ἐλλειπτικὸν ἡ χρόα· καὶ ἡ βοτάνη ποιὰ μᾶλλον ἢ πόα λεγομένη. ὅτι τὸ ἄττα φησὶ ψιλοῦσθαι· οἱ δὲ ἄλλοι ἀκριβέστερον εἰς τὰ σημαινόμενα διαιροῦντες, οἰκειότερον καὶ περὶ τῶν πνευμάτων διείλοντο. ὅτι τὸ ἐλαύνω παράλογόν ἐστι, φησί· πρὸ τέλους γὰρ ῥῆμα σύμφωνον ἔχον καὶ παραλήγουσαν τὴν $\overline{\alpha\upsilon}$ οὐδέ ποτε βαρύνεται. δυοῖν γὰρ θάτερον, ἢ καθαρεῦον βαρύτονόν ἐστιν, ἢ σύμφωνον ἔχον περισπᾶται. τοῦ μὲν ψαύω, φαύω, ἐξ οὗ καὶ τὸ ἔφαυσε· τοῦ δευτέρου δὲ ἀμαυρῶ καὶ τὰ ὅμοια. τὸ δὲ χαύνω παραλόγως βαρύνεται. τεχνολογοῦσι δὲ τὸ ἐλαύνω οἱ μὲν ἀπὸ τοῦ ἐλῶ ἐλαύνω· τινὲς δὲ ὥσπερ ἀπὸ τοῦ βῶ βαίνω, οὕτω φασὶ καὶ ἀπὸ τοῦ ἐλῶ γέγονεν ἐλαίνω, καὶ μεταθέσει τοῦ διχρόνου ἐλαύνω. πλὴν μονῆρές ἐστι τὸ ἐλαύνω, καὶ διὰ τοῦτο οὐδὲ κλίσιν βεβαίαν ἔχει. ἑτερόκλιτος οὖν ἐστὶν ὁ παρακείμενος· ἀπὸ γὰρ τοῦ ἐλάζω γίνεται τὸ ἐλήλακα. ὅτι ὁ τέ συμπλεκτικὸς

a. 2. μαάσαι] μαάσαν C. ζητεῖν] immo ζητῶ. cf. Etym M. p. 589, 42. nisi mox cum Küstero (ad Suid. v. μῶσθαι) μῶσθαι malis quam μῶ. 4. Εὐφορίωνι Scaliger: libri εὐθυφορίωνι. μωμένου Reisig. comment. in Oed. Colon. p. CXVIII, 9. μονηρές C. 13. Ἑκάλῃ Scaliger: libri ἐκάβῃ. 15. μὴ κηρὶ mg, μηκήριον C, μακήριον ς. 20. παῖς] lacuna in C. 22. Ἄκτυλος] Ἴτυλος Scaliger, Ἀήτυλος Eustathio auctore Meursius. 29. τολμήματος C: τελήματος ς. b. 2. ποικίλον C: ποικίλων ς. 3. νεβρὸν Meursius: libri νεκρόν. 6. λαεῖν ς. 7. ἐμφατικωτέραν C: ἐμφατικώτερον ς. 11. καὶ τοῦ C: τῷ καὶ ς. 12. τέτλα — 13. τέτλαθι Scaliger: libri τέτελα — τετέλαθι. 21. φησὶ] an Κυψέλου? 32. ψαύω add C.

ἐγκλίνεται μόνος, ἴσως διότι τοῖς παραπληρωματικοῖς [1585R.] κατὰ φωνὴν συνεμπίπτει. οἱ δὲ Αἰολεῖς "ἂν μὲν ὡς συμπλεκτικὸν αὐτὸν παραλάβωσιν, ὁμοίως ἡμῖν ἐκφωνοῦσι τὸν τέ· ἂν δὲ παραπληρωματικῶς, εἰς ο τρέπουσι τὴν συλλαβήν, καὶ το λέγουσιν ἀντὶ τοῦ τε.

ὅτι τὸ γλωσσοκομεῖον κυρίως μέν ἐστι τὸ ἀγγεῖον ὃ τὰς αὐλητικὰς ὑποδέχεται γλώσσας· οἱ δὲ νῦν καταχρώμενοι καὶ ἐπὶ τῶν ἕτερά τινα δεχομένων τιθέασι τὴν λέξιν. καὶ τοῦτο μὲν ἀνεκτόν, οἱ δὲ προσδιαστρέφουσι [869H.] καὶ τὸν "τόνον καὶ τὸν χρόνον· δέον γὰρ προπερισπᾶν τὴν παραλήγουσαν μακράν, οὗτοι καὶ συστέλλουσι καὶ προπαροξύνουσιν. ὅτι μάζης μὲν εἶδος οἱ παλαιοὶ θριδακίνην καλοῦσι, τὴν δὲ βοτάνην θρίδακα. οἱ δὲ ἰατροὶ θρίδακα μὲν τὸ ἥμερον λάχανον, θριδακίνην δὲ τὸ ἄγριον καλοῦσιν. ὅτι ὥσπερ τὰ νῦ φαμὲν καὶ τὰ μῦ, πληθυντικῶς ἐκφωνεῖν ἐθέλοντες τὰ στοιχεῖα, οὕτω καὶ τὰ σῖγμα δεῖ λέγειν, ἀλλ' οὐχὶ τὰ σίγματα· καὶ γὰρ ἄκλιτα τῶν στοιχείων τὰ ὀνόματα. διὸ καὶ τὸ παρὰ τῷ Ξενοφῶντι ἐν τοῖς Ἑλληνικοῖς εἰρημένον οὐχ ὑφ' ἓν „τὰ σίγματα τῶν ἀσπίδων" ἀναγνωστέον, ἀλλὰ δισυλλάβως μὲν „τὰ σῖγμα" καὶ ἀπ' ἄλλης ἀρχῆς „τὰ τῶν ἀσπίδων" κατὰ διάστασιν. ὅτι τὸ ἀρχέτυπον, φασίν, οὐδενὶ τῶν ἀρχαίων συγγραφέων οὐδὲ ῥητόρων οὐδὲ τῶν Μούσαις κατόχων εἴρηται, ὡς Διονύσιος ὁ Ἁλικαρνασεὺς ἱστορεῖ. ὅτι κρήγυον τὸ ἀληθὲς εἴρηται, καρέγυόν τι ὄν· οἱ γὰρ ἀληθῶς τι πράττειν μέλλοντες ἐγγυῶνται τοῦτο τῇ κεφαλῇ κατανεύοντες. οἱ δὲ κρήγυον οὐ τὸ ἀληθὲς ἀλλὰ τὸ ἀγαθὸν σημαίνειν φασί, καρήγυον ἐτυμολογοῦντες, οἷον ἡδῦνον τὸ κῆρ, τουτέστι τὴν ψυχήν· ἡδύνειν γὰρ πέφυκε τὴν ψυχὴν τὸ ἀγαθόν. ὅτι ὀργιζομένου ἐστὶ τὸ τὰ αὐτὰ πολλάκις λέγειν· καὶ γὰρ τὸ τῆς ὀργῆς πάθος ἄγονον. διὸ καὶ ὁ Ἀγαμέμνων ὀργιζόμενος τῷ Κάλχαντι ἐν τοῖς αὐτοῖς ῥήμασι τὴν βλασφημίαν περιφέρει, μάντι λέγων κακῶν, καὶ ἀεί σοι φίλον τὰ κακὰ μαντεύεσθαι, καὶ ἐσθλὸν οὐδὲ πώποτε εἶπες. ὅτι τὸ ἐπιτάξ παρὰ Καλλιμάχῳ καὶ Ἀράτῳ κείμενον ἀπὸ τοῦ ὁριστικοῦ μέλλοντος γέγονε κατὰ ἀποβολὴν τῆς ἐπὶ τέλει μακρᾶς συλλαβῆς, ὥσπερ καὶ τὸ χωρὶς τοῦ χωρίσω καὶ τὸ πέλας τοῦ πελάσω καὶ τὸ μίξ ἀπὸ τοῦ μίξω, ὅθεν καὶ τὸ ἐπιμίξ παρ' Ὁμήρῳ, καὶ τὸ δάξ ἀπὸ τοῦ δάξω· καὶ γὰρ οἱ Ἴωνες ἀπὸ τοῦ δάκνω τὸ δάξω ἐκφέρουσιν· ἐκ δὲ τοῦ δάξ τὸ ὀδάξ. καὶ ἀπὸ τοῦ πτύξω δὲ πτύξ, καὶ ἀποβολῇ τοῦ τ πύξ. οὕτως οὖν καὶ ἀπὸ τοῦ οὐδίσω οὐδίς καὶ ἀμφουδίς· ἀμύξω ἀμύξ παρὰ Νικάνδρῳ, καὶ πλήξω πλήξ καὶ ἀμφιπλήξ, καὶ ἀγκάσω ἀγκάς, καὶ τύψω τύψ καὶ προτύψ. ὡσαύτως καὶ ὀκλάσω ὀκλάς καὶ ὀκλάξ, πρίσω πρίς πρίξ καὶ ἀπρίξ. οὕτως οὖν καὶ ἐκ τοῦ ἐπιτάξω ἐπιτάξ, ὃ κατ' ἐπίταγμα καὶ κέλευσιν πράττεται. ὅτι τὸ κύρβεις οἱ μὲν Ἀττικοὶ ἀῤῥενικῶς ἐκφωνοῦσι, Καλλίμαχος δὲ οὐδετέρως. καὶ τὸ φοιτάζειν δὲ Καλλίμαχος παραλόγως εἶπε φοιτίζειν, φάμενος ἀγαθοὶ πολλάκις ἠΐθεοι. ῥύψαι δὲ σημαίνει. βρενθύεται δὲ "τὸ ἀλαζονεύεται. γέγονε δὲ [870H.] ἀπὸ τοῦ βρένθιον, ὅ ἐστι μύρον· οἱ γὰρ ἀλαζονευόμενοι καὶ βρενθυόμενοι μύρῳ χρῆσθαι εἰώθεισαν. ὅτι μύρων εἴδη, φησί, βακκάριος, ναρκίτανος, στάκτη, πλαγγόνιον, ὅπερ εὗρε γυνὴ Ἠλεία καλουμένη Πλάγγων, μεταλεῖον, ὅπερ εὗρε Μέταλος Συρακούσιος. "ὅτι [1586R.] παρὰ Εὐφορίωνι τῷ φύσει μὲν Χαλκιδεῖ, θέσει δὲ Ἀθηναίῳ, κακοζήλους ἔστιν εὑρεῖν λέξεις. καὶ γὰρ τὸν Ἰάσονα ναυαγὸν εἶπεν, ὅπερ οὐ νεναυαγηκότα μᾶλλον, τὸν δὲ ναῦν ἄγοντα δηλοῖ· καὶ τὸν τὰ χρυσᾶ μῆλα τῶν Ἑσπερίδων φρουροῦντα ὄφιν κηπουρὸν ὠνόμασε. παρεζήλωσε δὲ τὸν πρῶτον Διονύσιον τὸν Σικελίας τύραννον, ὃς ὑπὸ τῆς ἐξουσίας καὶ τῶν κολάκων καὶ τῆς τρυφῆς διαφθειρόμενος ἐπεχείρησε καὶ τραγῳδίας γράφειν, ἐν αἷς καὶ τοιαῦτα συνεφόρησε ῥήματα, τὸ μὲν ἀκόντιον καλῶν βαλάντιον, τὸν δὲ κάδον ἐλκύδριον, σκέπαρνον δὲ τὸ ἔριον, τὴν δὲ χλαῖναν ἐριώλην οἷον ὄλεθρον οὖσαν τῶν ἐρίων, καὶ πολλὰ τοιαῦτα καταγέλαστα. ὅτι ὁ τῆς θυΐας τριβεὺς δοῖδυξ μὲν παρὰ τοῖς Ἀττικοῖς ὀνομάζεται, ἀλετρίβανος δὲ παρὰ τῇ συνηθείᾳ, καὶ οὐδὲν ἧττον παρὰ Ἀθηναίοις· Διονύσιος δὲ ὁ προειρημένος τύραννος θυέστην τὸν δοίδυκα ἐκάλει. εἰκότως ἄρα τῆς τῶν τοιούτων ἀκροάσεως τὰς λατομίας μᾶλλον ᾑρεῖτο Φιλόξενος. ὅτι οἱ κωμικοὶ τοὺς οἰκέτας τὸ μὲν πλέον ἀπὸ τοῦ γένους ἐκάλουν, οἷον Σύρον Καρίωνα Μίδαν Γέταν καὶ τὰ ὅμοια, ἐκάλουν δὲ καὶ τὰ ἐξ ἐπιθέτων, ὡς ἀπὸ τοῦ χρώματος μὲν Πυῤῥίαν καὶ Ξανθίαν, ἀπὸ τοῦ τρόπου δὲ Παρμένωνα καὶ Πιστὸν καὶ Δρόμωνα. ἐκάλουν δὲ καὶ ἀπὸ τῆς ἡμέρας ἐν ᾗ ὠνήσαντο τὸν οἰκέτην, ἐξ οὗ καὶ

a, 3. αὐτὸν] libri αὐτό. 32. ἄλογον Wassenberghus ad Homer. Schol. p. 162, inepte. ὁ add A.
b. 10. παραλόγως — 12. ἀλαζονεύεται] lacuna in C versus 1½. φοιτίζειν bis ponendum esse liquet ex Etym. M. p. 63, 31. addunt Hoesch. et Genev. ὅτι … νιδὴ …… καὶ τὰ …, Roth. vero, quae ὅτι νὴ δί' ante ἀγαθοὶ ponit, καὶ τὰ ἑξῆς. 11. ῥύψαι — 12. βρενθ. δὲ] ὅτι χλίδη μὲν ἡ τρυφή, καὶ βρενθ. δὲ σημαίνει μὲν ms. Meurs. 14. χρῆσθαι Etym. M. p. 212, 51. 15. βάκκαρος C, βακάριος ς. ναρκίσσινον Meursius. 16. Πλάγγων] κλάτων C. μεταλεῖον — Μέταλος] apud plures scriptores Μεγαλεῖον — Μεγάλος. 18. θέσει] cf. Meinek. de Euphorionis vita et scriptis p. 5.
22. φρουροῦντα C: φοροῦντα ς. 37. τὰ add C.

τοὺς Νουμηνίας ὠνόμαζον. ὅτι τρεῖς ἱστοροῦνται φθειριάσει τεθνάναι· ἔστι δὲ τὸ νόσημα μὲν τῶν σπανίων, γίνεται δὲ ὅταν εἰς φθεῖρας ἀναλυθῇ ἅπαν τὸ σῶμα. ἀλλὰ τῶν ἐκ τῆς νόσου ταύτης τεθνεώτων τῶν μὲν ἡρώων Ἄκαστός ἐστιν ὁ Πελίου, δεύτερος ὁ Σύρος Φερεκύδης, ὁ τὴν γενεαλογίαν συγγράψας, ὃν καὶ λέγουσι γενικῶς τὴν συμφορὰν ἐνεγκεῖν· τρίτος ὁ Ῥωμαίων πολλάκις ὑπατεύσας Σύλλας, ἤδη σφόδρα γηραιὸς ὤν, ὃς καὶ Ἐπαφρόδιτος διὰ τὴν τύχην ἐπωνομάζετο.

ὅτι ἀναλογώτερον ἀντὶ μὲν τῆς εἰς προθέσεως τὸ ἐς λέγειν, ἀντὶ δὲ τῆς ἐξ τὸ ἐκ· πᾶσα γὰρ πρόθεσις βραχυκαταληκτεῖν θέλει. ἀλλ' ἕτερος πάλιν λόγος τὴν ἐκ ξενίας διώκει· οὐδεμία γὰρ παρὰ Ἀττικοῖς λέξις εἰς κ̄ καταλήγει. ὅτι τὸ Κυθνώλης διὰ τοῦ λ̄ γράφουσιν,
871 B. ἀλλ' οὐ διὰ τοῦ δ̄. Ἄργους γὰρ ἦν "χωρίον τι καλούμενον Κύθνιον, οὗ τοὺς ἄνδρας ποτὲ Ἀμφιτρύων ἀνεῖλε πάντας, πλὴν ὀλίγων πάνυ. ὅτι ὁ παρ' ἄλλοις μισθοῦ δουλεύων θὴς καλεῖται, ἢ παρὰ τὸ θεῖναι, ὃ δηλοῖ τὸ χερσὶν ἐργάζεσθαι καὶ ποιεῖν (καὶ γὰρ τοῖς παλαιοῖς λέγειν ἔθος τὸ ἔθηκεν ἐπὶ τοῦ τι δρᾶν, καὶ ὡς δραστικώτατος ἥρως διὰ τοῦτο κέκληται Θησεύς), ἢ κατὰ μετάθεσιν τοῦ τ̄ εἰς τὸ θ̄· τὸ γὰρ πένεσθαι καὶ τητᾶσθαι βίου, οἷον στέρεσθαι, ἀναγκάζει πολλοὺς τὰ δούλων πράττειν. ὅτι παρὰ γράμμα, φησί, μυρία ἐστὶν ἡμαρτημένα, ὥσπερ ἀντὶ τοῦ ὁ σίκυος ἁμαρτάνοντες λέγουσιν ὁ σίκυς, καὶ ἀντὶ τοῦ ἀνδράχλη διὰ τοῦ λ̄ (οὕτω γάρ φασιν οἱ Ἀττικοί) λέγουσιν ἀνδράχνη. καὶ τὸ εἴσω δὲ ἀναλογώτερον τοῦ ἔσω. καὶ τὸν ὤλου .... προφέρουσιν· ἡ δὲ συνήθεια διὰ τοῦ ᾱ. ὅτι ὁ Εὐφορίων, φησίν, ἱστορεῖ τινὰ ἐνύπνια μηδέποτε ἑωρακέναι. ὅτι τὴν ἡμίονον, ἐφ' ἧς ὀχούμεθα, φησίν, ἀζύγου οὔσης, Ἀθηναῖοι καλοῦσιν ἀστράβην· ἔνθεν λέγεται καὶ ὁ ἀστραβηλάτης.
1569 B. "λέγεται μέντοι ἀστράβη καὶ τὸ κατασκεύασμα, ὡς Δημοσθένης ἐν τῷ κατὰ Μειδίου λόγῳ „ἐπ' ἀστράβης ὀχούμενος ἀργυρᾶς." ὅτι ἄρτος ἐκ τοῦ αἴρειν εἴρηται, φησίν, ὃ δηλοῖ τὸ προσφέρεσθαι· καὶ γὰρ καθ' ἑκάστην τοῦτον προσφερόμεθα. καὶ ἄρμα δὲ ἡ τροφὴ παρὰ Ἱπποκράτει καὶ πολλοῖς ἄλλοις. ὅτι τὸ τάριχος ὡς ἐπὶ τὸ πολὺ μὲν λέγουσιν οὐδετέρως οἱ Ἀττικοί, ἐπ' ἔλαττον δὲ καὶ ἀρσενικῶς· οἱ δὲ γραμματικοὶ τεχνολογοῦντες ἀναλογώτερόν φασι τὸν τάριχον λέγεσθαι. ὅτι τὸ ἄριστος κυρίως μὲν ἐπὶ τῶν κατὰ πόλεμον εὐδοκιμούντων ἂν ῥηθείη, διότι καὶ ἀριστέας τούτους καλοῦμεν καὶ τὸν Ἄρην ἔφορον τῶν πολεμικῶν ἔργων νομίζουσιν· ἐν καταχρήσει δὲ καὶ ἐπὶ τῶν ἄλλο τι κατορθούντων λέγεται.

ὅτι τὸ μάκτραν καλεῖν, ἐν αἷς τὰς μάζας μάττουσιν, Ἀττικόν, καὶ οὐχ (ὡς ἔνιοι δοκοῦσιν) ἰδιωτικόν. ἀλλὰ καὶ τῆς βελόνης ἡ ῥαφὶς παλαιότερον, καὶ ἡ ξύστρα τῆς στλεγγίδος, καὶ τοῦ ὀχετοῦ ἡ ὑδρορρόη. καὶ ὁ ἀλέτων δὲ τοῦ μύλου· τὸν γὰρ ἄνω τοῦ μύλου λίθον οὕτως ἐπονομάζομεν, ὄνον δὲ τὴν κάτω μύλην. καὶ ἡ μαγὶς δὲ ἀντὶ τῆς τραπέζης Αἰγύπτιον δόξει καὶ παντελῶς ἔκθεσμον· Ἐπίχαρμος δὲ ὁ Δωριεὺς καὶ Κερκίδας ὁ μελοποιὸς ἐπὶ τῆς αὐτῆς διανοίας ἐχρήσαντο τῇ λέξει, καὶ μὴν καὶ ὁ Ἀττικὸς Σοφοκλῆς. ὅτι, φησὶν οὗτος, Ἀριστοτέλης ὁ τοῦ περιπάτου προστάτης ὑπὸ Πλάτωνος ἵππος ἐπωνομάζετο, ἐναντιοῦσθαι δοκῶν τῷ διδασκάλῳ· καὶ γὰρ ὁ ἵππος τὸν ἑαυτοῦ φιλεῖ πατέρα δάκνειν. "ὅτι παρ- 872 B.
οιμίαν εἶναί φησι τὸν δεξιὸν ὑποδεῖσθαι πόδα, τὸν δ' ἀριστερὸν νίζειν· φησὶ γὰρ ὁ Πολέμων, ὡς μαρτυρεῖ Δίδυμος, δεξιὸν εἰς ὑπόδημα, ἀριστερὸν εἰς ποδάνιπτρα.

ὅτι δήμιον μέν φησι καλεῖσθαι τὸν τῶν ἐπὶ θανάτῳ καταδικασθέντων φονέα, δημόκοινον δὲ τὸν βασανιστήν.

ὅτι ἱππεῖς μὲν καὶ νομεῖς δεῖ γράφειν καὶ λέγειν τὴν εὐθεῖαν τῶν πληθυντικῶν, οὐκέτι δὲ καὶ τὰς αἰτιατικάς, ἀλλ' ἱππέας καὶ νομέας. εἰ δὲ καὶ Ξενοφῶν εἴρηκε τοὺς νομεῖς, οὐδὲν θαυμαστόν, ἀνὴρ ἐν στρατείαις σχολάζων καὶ ξένων συνουσίαις εἴ τινα παρακόπτει τῆς πατρίου φωνῆς· διὸ νομοθέτην αὐτὸν οὐκ ἄν τις ἀττικισμοῦ παραλάβοι. ὅτι πρῶτα μὲν τὰ Παναθήναια συνέστη· εἶτα τὰ Ἐλευσίνια ἐπὶ Πελίᾳ τεθνηκότι προὔθηκαν ἆθλα Θετταλοί· εἶτα τὰ Ἴσθμια ἐπὶ Μελικέρτῃ· ἔπειτα ὁ τῶν Ὀλυμπίων ἀγὼν ἀρχὴν λαμβάνει ὑφ' Ἡρακλέος, εἶτα τὰ Νέμεα ἐπ' Ἀρχεμόρῳ τεθέντα, εἶτα μετὰ τὸ τὴν Κίρῤαν πεσεῖν τὰ Πύθια. ὅτι τὸ ποτνιᾶσθαι κυριώτερον ἐπὶ γυναικὸς τάττεται, φησίν, ὅταν κακόν τι πάσχῃ καὶ θήλειαν ἱκετεύῃ θεόν· ποτνιώμενον δὲ ἄνδρα ἄν τις εἴπῃ, ἁμαρτάνει. ὅτι τὸ μόνος ἐπίτασιν φασὶ μὴ λαμβάνειν οἱ γραμματικοί· διὸ τὸ μονώτατος σόλοικον ἡγοῦνται. Ἀριστοφάνης δὲ ὅμως κέχρηται τῇ φωνῇ. ὅτι τὸ ἐν Θετταλίᾳ ἱερὸν Ἀφροδίτης ὀνομάζεται ἀνοσίας, διότι τὴν ἑταίραν τὴν Λαΐδα πα-

a. 5. Σύρος — 7. γενικῶς] immo Σύριος — γενναίως. 9. ὃς C: ὡς ς. 20. καὶ ὡς C: ὡς καὶ ς. 23. βίου C: τοῦ βίου ς. οἷον] malim ὅ ἐστι. 27. αν ἀνδράχνη καὶ τὸ εἴσω δὲ] et 28. τὸν ὤλε...προφε] lacunae in C. pro τὸν ὤλε Roth. τὴν ὅμιλλαν. 30. εἴ τινὰ] lacuna in C. μηδέποτε] μηδέπω C, μηδέπου ς. 31. φησίν] lacuna in C.
b. 20. ποδάνιπτρα C: ποδάνιπτα ς. 30. πελίᾳ C: πελίῳ ς. 33. νέμαια ς. 35. cf. Ruhnken. ad Tim. p. 221. 39. Ἀριστοφ.] Plut.

ραγενομένην αὐτόθι ἐζηλοτύπησαν ἐκτόπως αἱ γυναῖκες, καὶ ξυλίναις αὐτὴν ἀπώλεσαν χελώναις. ὅτι ἔθος ἦν ἐν Ἀθήναις φαρμακοὺς ἄγειν δύο, τὸν μὲν ὑπὲρ ἀνδρῶν, τὸν δὲ ὑπὲρ γυναικῶν, πρὸς τὸν κα- 1592 R. θαρμὸν ἀγομένους. καὶ ὁ μὲν τῶν ἀνδρῶν μελαίνας ἰσχάδας περὶ τὸν τράχηλον εἶχε, λευκὰς δ' ἅτερος. συβάκχοι δέ φησιν ὠνομάζοντο. τὸ δὲ καθάρσιον τοῦτο λοιμικῶν νόσων ἀποτροπιασμὸς ἦν, λαβὸν τὴν ἀρχὴν ἀπὸ Ἀνδρόγεω τοῦ Κρητός, οὗ τεθνηκότος ἐν ταῖς Ἀθήναις παρανόμως τὴν λοιμικὴν ἐνόσησαν οἱ Ἀθηναῖοι νόσον, ϗ ἐκράτει τὸ ἔθος ἀεὶ καθαίρειν τὴν πόλιν τοῖς φαρμακοῖς. ὅτι ὀργὰς μὲν κοινῶς, φησί, πᾶσα ἡ γῆ, ὅση ἐπιτηδεία πρὸς καρπῶν γονάς· ὀργάδα δὲ ἰδίως ἐκάλουν οἱ Ἀθηναῖοι τὴν ταῖν θεαῖν ἀνειμένην τῆς Ἀττικῆς μεταξὺ καὶ τῆς Μεγαρίδος. ὥσπερ καὶ Ἴδην μὲν κοινῶς ἕκαστον ὄρος, ἐξ οὗ ῥᾴδιόν ἐστιν ἰδεῖν τὰ κάτω, ἰδίως δὲ Κρήτης τε καὶ Τροίας ὄρη. καὶ ῥίον μέν, φησί, λέγομεν ἅπαν ὄρους ἀκρωτήριον, ἰδίως δὲ τὸ Μολυκρικόν. ϗ ἰσθμὸς μὲν κοινῶς ἅπαν τὸ ὑπὸ δυοῖν πελαγῶν περιεχόμενον, ἰδίως δὲ τὸ χω- 873 H. ρίον ὅπερ ἰσθμὰ Κορίνθιοι λέγουσιν. ὡσαύτως ϗ χεῤῥόνησος κοινῶς μὲν πᾶν τὸ ὑπὸ θαλάσσης ἐπὶ πλεῖστον περιεχόμενον, καθ' ἓν δὲ μέρος τῇ γῇ συναπτόμενον· καὶ ἴδιον δὲ ὄνομα Θρᾳκίου τόπου. ϗ αἰγιαλὸν μὲν ϗ ἀκτὴν ἁπλῶς τὰ παραθαλάττια πάντα λέγομεν, ἰδικώτερον δὲ τὴν Ἀττικὴν ἀκτὴν λέγουσιν. ὡσαύτως καὶ αἰγιαλὸν ἐξῃρημένως φασὶ τὸ περὶ τὴν Ἑλίκην παράλιον μέρος· ἔστι δὲ τῆς Ἀχαΐας, ἀφ' οὗ καὶ τοὺς Ἀχαιοὺς Αἰγιαλεῖς τινὲς εἰώθασι καλεῖν. καὶ μὴν καὶ ἤπειρος μὲν πᾶσα ἡ γῆ, ἤπειρος δὲ ἰδίως καὶ ἡ Θεσπρωτιάς. ὅτι τὴν Ἀντίκυραν, ἐν ᾗ φασὶ γίνεσθαι τὸν λευκὸν ἐλλέβορον οὐδενὸς χείρω τῶν ἀλλαχόθι γινομένων, Φωκικὴν εἶναι πόλιν λέγει. ὅτι ἐν τοῖς ἐφεξῆς τοῦ τετάρτου λόγου ἀποφθέγματά τινα λέγει ϗ σύμβολα τῆς Ἀθηναίων φιλανθρωπίας τε καὶ συμπαθείας ϗ τῆς προνοίας ϗ ἐπιμελείας τοῦ πρέποντος ϗ τῆς ἄλλης ὁσιότητος· ὧν ἐστὶ ϗ ταῦτα. ἱέρακα φεύγων στρουθὸς ἐν Ἀρείῳ πάγῳ τῶν Ἀρεοπαγιτῶν ἑνὸς κατέπεσεν εἰς τὸν κόλπον· ὁ δὲ τὸν πρόσφυγα, δέον σώζειν, ἀνεῖλε· τὸ δὲ συνέδριον ἀπεκήρυξεν ὡς οὐχ ὅσια δράσαντα τοῦτον. ἔδωκε τοίνυν οὐχὶ στρουθοῦ χάριν δίκην, τῆς δ' ἰταμότητος τῶν τρόπων. φιλανθρωπίας δὲ ϗ συμπαθείας παράδειγμα· τὸν Δημοσθένην, φησίν, ἐπὶ τοῖς Ἁρπαλείοις χρήμασιν αἰτίαν λαβόντα ϗ φεύγειν μέλλοντα συνέχον μὲν οἱ Ἀθηναῖοι ϗ περιστάντες εἶχον ὀῤῥωδοῦντα, ἕκαστος δ' ὑπὸ μάλης ἔχων τι εἰς ἐφόδιον ἐπεδίδου, ὁ μὲν ἀργύριον, ὁ δὲ χρυσίον, καὶ προὔπεμπον αὐτὸν εὐμενῶς, καὶ θαῤῥεῖν ἐκέλευον καὶ φέρειν τὴν συμφορὰν γενναίως· ὁ δὲ ἀναστενάξας „πῶς" ἔφη „φέρειν δυνήσομαι, τοιαύτην ἀπολιμπάνων πόλιν, ἐν ᾗ τοιοῦτοι τυγχάνουσιν ἐχθροί, οἵους οὐκ ἄν τις ἀλλαχόθι φίλους εὑρήσει;" οἱ δὲ τοῦτο τὸ ἀπόφθεγμα Αἰσχίνην λέγουσιν εἰπεῖν, ἡνίκα φεύγοντα καταλαβὼν Δημοσθένης ϗ φιλοφρονησάμενος παρηγγύα φέρειν τὸ συμβεβηκὸς γενναίως. ϗ Καλλικλέα δὲ ἐπὶ τῇ αὐτῇ τῶν Ἁρπαλείων χρημάτων αἰτίᾳ ὑπόνοιαν παρασχόντα ἐπείπερ ἄγειν ἐκέλευσαν οἱ Ἀρεοπαγῖται, τὴν οἰκίαν καταλαβόντες οἱ ἀπεσταλμένοι ϗ τὰ πρόθυρα ἰδόντες ἐστεφανωμένα ϗ γνόντες ὡς εἴη τεθυκὼς νυνὶ γάμους, ἀφέντες τὴν ζήτησιν ἀνεχώρησαν· οὐ γὰρ ᾠήθησαν εὖ ἔχειν ἐπεισελθεῖν γυναικὶ νεογάμῳ. ϗ τοῦ 1593 R. πρὸς Φίλιππον δὲ τοῖς Ἀθηναίοις ἔτι συνεστῶτος πολέμου, ἐπεὶ γράμματα αὐτοῦ πρὸς διαφόρους συνελήφθησαν, τὰ μὲν ἄλλα ἐν τῇ ἐκκλησίᾳ ἀνεγινώσκετο, ἐπιγραφὴν δέ τινος γραμματείου ἔχοντος „Ὀλυμπιάδι Φίλιππος" ὁ δῆμος ἅμα ἐβόησε μήτε λύειν μήτε ἀναγινώσκειν· πρὸς γὰρ γαμετὴν γυναῖκα τὴν διὰ γραμμάτων ὁμιλίαν ἀπόῤῥητον ἀνδρὸς οὐκ ἐνόμισαν δημοσιεύειν εὐπρεπὲς εἶναι. καίτοι συνέφερεν αὐτοῖς μηδὲν λανθάνειν· ἀλλ' ὡς Ἀθηναῖοι τὸ πρὸς εὔκλειαν φέ- 874 H. ρον τοῦ λυσιτελοῦντος οὐκ ἔθεντο δεύτερον. τῆς δὲ πολλῆς εὐλαβείας τεκμήριον, ὅτι στάσεως ἐν Ἄργει γενομένης σφοδρᾶς, ἣν σκυταλισμὸν ἐκάλεσαν, διότι παίοντες ἀλλήλους ἀνεῖλον χιλίους πεντακοσίους, τοῦτο ἀπαγγελθὲν εἰς τὰς Ἀθήνας, ἕνεκα τῆς ἀκοῆς μόνης ἐψηφίσαντο, καταπλαγέντες τὸ ξένον, ὅλην καθᾶραι τὴν πόλιν παραυτίκα. καὶ Πραξιτέλης δέ τις ὄνομα κριὸν ἐξέδειρε ζῶντα· ἀλλὰ ϗ τοῦτον ὀργισθέντες ἀπετυμπά-

a. 3. ἔθος — δύο] nota trimetrum (cf. p. 535 b 42). similiter a 6. περὶ — ἅτερος, et 9 ἀπ' Ἀνδρόγεω — 10. τὴν λοιμικήν, et 11 ἀεὶ — 12 φαρμακοῖς, et 14 τὴν — 15 Ἀττικῆς, et 17 ἰδίως δὲ [τὰ] — ὄρη, et 37 ἱέρακα — 38 πάγῳ. ἄγειν — 4. τὸν δὲ] lacuna in C. 6. συβάκχοι C: συμβάκχοι ς. 19. μολυκρικὸν C: Μολύκριον ς. 29. αἰγιαλοὺς libri. b. 4. δὲ C: τε ς. 7. εἶχον] εἰ C. 15. libri παρεγγυᾷ. 19. καὶ add C. 21. γάμοις libri. 27. ἅμα] malim ἅπας. post ἐβόησε in C lacuna est septem aut octo litterarum capax. 30. αὐτοῖς μηδὲν] his transponendis metrum restitues: καίτοι συνέφερε μηδὲν αὐτοῖς λανθάνειν· ἀλλ' ὡς Ἀθηναῖοι τὸ πρὸς εὔκλειαν φέρον τοῦ λυσιτελοῦντος οὐκ ἔθεντο δεύτερον. 34. ἣν] ἣν καὶ C. 36. εἰς — 38. παραυτίκα] hi quoque trimetri tres. et mox p. 536 a 1. τιμωρίαν — 2. τυραννικόν: et v. 8. καὶ τὴν — 9. βόρβορον: et 38. οἱ δ' αὐτὸν — 39. σοῦ, μαρτυρεῖν δὲ τοὔνομα: et 40. διότιπερ — 41. δοράν: b 19. τὸ δὲ — 20. κυρίως: 29. ἔξω (ita enim legendum) — 31. ψόφον.

Digitized by Google

νισαν, οὐχὶ τοῦ προβάτου τιμωρίαν λαβεῖν ἐθέλοντες, ἀλλὰ καὶ τὸν ἄνδρα μισήσαντες ὡς τυραννικὸν ἔχοντα φρόνημα καὶ καινὸν τρόπον οὕτω παρανόμων ἐπινοοῦντα κολάσεων. ὅτι τὸ μὴ λέγειν δύσφημα πᾶσι τοῖς παλαιοῖς μὲν φροντὶς ἦν, μάλιστα δὲ τοῖς Ἀθηναίοις. διὸ καὶ τὸ δεσμωτήριον οἴκημα ἐκάλουν, καὶ τὸν δήμιον κοινόν, τὰς δὲ Ἐριννύας Εὐμενίδας ἢ σεμνὰς θεάς, τὸ δὲ μύσος ἄγος, τὸ δὲ ὄξος μέλι καὶ τὴν χολὴν γλυκεῖαν, τὸν δὲ βόρβορον ὀχετόν. οἱ δὲ γραμματικοὶ τὰ τοιαῦτα κατὰ ἀντίφρασιν ὀνομάζουσιν. οἶδα δέ τινας, φησί, τῶν φιλολόγων καὶ τὸν πίθηκον ὀνομάζοντας Καλλίαν. ὅτι τὸ νύξ μὲν ἀπὸ τοῦ νύξω γέγονε, κατὰ ἀποκοπήν· νυττόμεθα γὰρ ἐν τῷ σκότει προσπταίοντες καὶ οὐχ ὁρῶντες, ἐξ ὧν νυγμοί τε καὶ πληγαί. πέντε δέ εἰσι μονοσύλλαβα εἰς ῡξ λήγοντα θηλυκά, τρύξ, στύξ, νύξ, πτύξ καὶ πνύξ. τούτων διὰ μὲν τοῦ γ̄ κλίνεται τὸ τρύξ καὶ τὸ στύξ, διὰ δὲ τοῦ χ̄ τὸ πτύξ καὶ τὸ νύξ. πτὺξ γὰρ πτυχὸς καὶ νὺξ νυχός, ἐξ οὗ καὶ πάννυχος καὶ παννυχὶς καὶ παννύχιον, καὶ κατὰ ἀντιστοιχίαν νυκός, καὶ ἐπενθέσει τοῦ τ̄ νυκτός· φιλεῖ γὰρ πλεονάζειν ἐν ταῖς γενικαῖς τὸ τ̄, ὥσπερ ἐπὶ τοῦ ἄνακτος καὶ γάλακτος. τὸ δὲ πνύξ μόνον διὰ τοῦ κ̄ κλίνεται. ὅτι ἐν ταῖς Ἀθήναις καὶ οὗτός τέσσαρα δικαστήρια φονικὰ εἶναι λέγει, α' τὸ ἐν Ἀρείῳ πάγῳ, ὃ δικάζει τοὺς ἐκ προνοίας τὸν φόνον δεδρακότας, β' τὸ ἐπὶ Παλλαδίῳ, ὅπερ ἐτάζει τοὺς ἀκουσίως, γ' τὸ [δὲ] ἐπὶ Δελφινίῳ, ὃ συνίσταται ἐπὶ τῶν λεγόντων δικαίως τὴν ἀναίρεσιν πεποιηκέναι, καὶ τέταρτον τὸ ἐν Φρεατοῖ, ὃ δικάζει τὸν χρόνον μέν τινα φεύγοντα ῥητόν, αἰτίαν δὲ πρότερον ἔχοντα φόνου· ὃς καὶ κρινόμενος ἐπὶ νηὸς ἔξωθεν τοῦ Πειραιῶς ἀπολογούμενος ἄγκυραν καθίει, διότι ὁ νόμος αὐτὸν οὐκ ἐδίδου τῆς γῆς ἐπιβῆναι. Ἀρεοπαγῖται μὲν οὖν ἐκαλοῦντο οἱ τὸν ἑκούσιον φόνον κρίνοντες, οἱ δὲ ἐν τοῖς ἄλλοις δικαστηρίοις κοινῶς ἐφέται. ὅτι μυθολογεῖ ἄνδρα τινὰ ὠνομασμένον Ὦην τῆς ἐρυθρᾶς θαλάσσης ἀνελθεῖν, τἄλλα μὲν τῶν μελῶν ἰχθύος ἔχοντα, κεφαλὴν δὲ καὶ πόδας καὶ χεῖρας ἀνδρός, καὶ καταδεῖξαι τήν τε ἀστρονομίαν καὶ τὰ γράμματα. οἱ δὲ αὐτὸν ἐκ τοῦ πρωτογόνου πεφηνέναι λέγουσιν ᾠοῦ, καὶ μαρτυρεῖν τοὔνομα· ἄνθρωπον δὲ ὄντα τὰ πάντα ἰχθὺν δόξαι,
1596 R. διότι περ ἠμφίεστο κητώδη δοράν. ὅτι τὸ μὲν αὖ-
875 H. τις Ἰωνικόν, τὸ δὲ αὖθις Ἀττικόν. ὡσαύτως δὲ καὶ τὸ μέχρι καὶ ἄχρι χωρὶς μὲν τοῦ σ̄ Ἀττικόν, μετὰ δὲ τοῦ σ̄ Ἰωνικόν. ὅτι οἱ Ἀττικοὶ κατά τι πάτριον ἔθος οὐ χρῶνται τῇ ει̅ διφθόγγῳ ἐν τῷ λέγειν ἐς κόρακας ἢ ἐς μακαρίαν, ἀλλ' ἄνευ τοῦ διχρόνου ἐκφωνοῦσι τὴν πρόθεσιν· ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων καὶ μετὰ τοῦ διχρόνου καὶ χωρὶς τοῦ διχρόνου τὴν πρόθεσιν λέγουσιν. ὅτι κατ' εὐφημισμὸν οἱ Ἀττικοὶ τὸν κλέπτην φιλητὴν λέγουσιν, οἱονεὶ μισητόν· ἢ καὶ φιλητὴς ὁ κλέπτης, διότι φιλεῖ λαμβάνειν τὰ ἀλλότρια. ὅτι τὸ αἰσυμνήτης ἢ ὁ τὸ καθῆκον ὑμνῶν καὶ σέβων (καὶ γὰρ τὸ καθῆκον αἶσάν φασιν) ἢ ὁ μένων ἐν τῇ αἴσᾳ, τουτέστι τῷ καθήκοντι· τοῦτο δὲ ῥηματικὸν ὂν παραλόγως βαρύνεται. τινὲς δὲ οὐκ ἀπὸ τοῦ μένειν ἐν τῇ αἴσᾳ, ἀλλ' ἀπὸ τοῦ νέμειν τὸν αἰσυμνήτην φασὶ γεγονέναι. ὅτι τὸ ἔαρ παρὰ τὸ εὔαρ εἶναι εἴρηται· ἡδίστη γὰρ τότε ἡ τοῦ ἀέρος κρᾶσις. ὅτι ἡ μέλιττα ἢ ἀπὸ τοῦ μέλειν εἴρηται (οἰκονομικὸν γὰρ τὸ ζῶον), ἢ μήλιζαν αὐτὴν λεκτέον ὡς ἐφιζάνουσαν πᾶσι τοῖς καρποῖς· τὸ γὰρ μῆλον κατὰ πάντων ληπτέον τῶν καρπίμων. τὸ δὲ τῶν μελισσῶν σμῆνος ἑσμὸς κυρίως λέγοιτο, παρὰ τὸ τὴν ἕσιν ὁμοῦ ποιεῖσθαι καὶ μὴ διεστώσας ἀπ' ἀλλήλων. διὸ καλῶς ὁ ποιητὴς ἀδινὰς αὐτὰς ἔφη, ἄδην καὶ ἀθρόως πετομένας· ἀγελαστικὸν γάρ ἐστι τὸ γένος. ὅτι τὸν ὄνειρον ἐτυμολογοῦσι, φησί, διότι τὸ ὂν εἴρει, τουτέστι λέγει· ὥστε ἐπὶ τῶν ἀληθῶν ὀνείρων τακτέον τὴν φωνήν· τὰ γὰρ ἄλλως ἔχοντα μᾶλλον ἐνύπνια. ὅτι φησί, τούτου χάριν κόπτουσι παρὰ τοῖς κωμικοῖς οἱ ἐξιόντες τὰς θύρας, διότι οὐχ ὡς παρ' ἡμῖν νυνὶ τὸ παλαιὸν ἀνεῴγνυντο αἱ θύραι, ἀλλ' ἐναντίῳ τρόπῳ. ἔξωθεν γὰρ αὐτὰς ἀνατρέποντες ἔνδοθεν ἐξῄεσαν. πρότερον δὲ τῇ χειρὶ ψόφον ἐποίουν κρούοντες ἐπὶ τῷ γνῶναι τοὺς ἐπὶ τῶν θυρῶν, καὶ φυλάξασθαι μὴ πληγεὶς ἔσω λάθῃ τῶν θυρῶν ὠθουμένων ἄφνω. τὸν Λοξίαν γὰρ προσεκύνουν, ὃν πρὸ τῶν θυρῶν ἕκαστος ἱδρύοντο, καὶ πάλιν βωμὸν παρ' αὐτῷ στρογγύλον ποιοῦντες, καὶ μυρρίναις στέφοντες, ἵσταντο οἱ παριόντες. τὸν δὲ βωμὸν ἐκεῖνον ἀγυιὰν Λοξίαν ἐκάλουν, τὴν τοῦ παρ' αὐτοῖς θεοῦ προσηγορίαν νέμοντες τῷ βωμῷ. τὸ δὲ κνισᾶν ἀγυιὰς παρὰ Ἡσιόδῳ τοῖς θεοῖς θύειν λέγει. Ὅτι οὗτος ὁ συγγραφεύς, ὁ ταῦτα συνταξάμενος, γένος μὲν Αἰγύπτιος ἦν, πόλεως δὲ τῆς Ἀντινόου ἢ (ὡς αὐτὸς ἐπιγράφει) Βησαντινόου, ἰαμβικῷ δὲ μέτρῳ διεξῆλθε τὰ προκείμενα.

a. 11. φασί C. 18. πάννυχος καὶ παννυχὶς] πάννυχες καὶ παννυχὶ C. 29. δὴ C: γε ς. πρότερον] fortasse ἑτέρου. b. 11. τῇ] τῷ C. 15. ἡδίστη γὰρ τότε ἡ C: ἡ ἡδίστη γὰρ τότε ς. ἀέρος] libri ἔαρος. 22. ἀδινὰς] libri ἀδήνας. 36. ἀγυιὰν] immo ἄγυια.

γέγονε δὲ κατὰ τοὺς χρόνους Λικιννίου καὶ Μαξιμιανοῦ, Ἕλλην ἐξ ὧν γράφει τὴν θρησκείαν. ἔγραψε δὲ τῷ αὐτῷ μέτρῳ ϗ ἑτέρους λόγους, ὧν ὁ μὲν ἐπιγράφεται
876 H. Ἀθῆναι, ὁ δὲ Νεῖλος, ὁ δὲ Αἰγύπτιος, ὁ δὲ προτρεπτικός, ὁ δὲ Ῥώμη, ὁ δὲ Εὐφήμη, ὁ δὲ νίκη, ὁ δὲ πόλις Ἀντινόου· δῆλον δὲ ὅτι ἑκάστη ἐπιγραφὴ ὑπόθεσίς ἐστι τοῦ ἐπιγραφομένου λόγου.

Ἐν δὲ τῷ αὐτῷ τεύχει τῷ αὐτῷ περιείχετο μέτρῳ ϗ ἙΡΜΕΙΟΥ Ἑρμοπολίτου πάτριά τε τῆς Ἑρμουπόλεως ϗ ἕτερά τινα, καὶ μὴν καὶ ΣΕΡΗΝΟΥ γραμματικοῦ ἐν διαφόροις μέτροις δράματα διάφορα, καὶ ἈΝΔΡΟΝΙΚΟΥ πολιτευομένου, καὶ αὐτοῦ Ἑρμοπολίτου, πρὸς τὸν κόμητα Φοιβάμμωνα τὸν κοινοπολίστην· ϗ οὗτος δὲ δραμάτων ἐστὶ ποιητής, διαφόροις μέτροις
1597 R. τοὺς λόγους ἐντείνων. ἔτι δὲ ϗ ὩΡΑΠΟΛΛΩΝΟΣ γραμματικοῦ περὶ τῶν πατρίων Ἀλεξανδρείας· συντίθησι δὲ ϗ αὐτὸς δράματα τῷ ὁμοίῳ τύπῳ. ἀλλὰ ϗ ΚΥΡΟΥ Ἀντιοπολίτου εἰς Μαυρίκιον δοῦκα ϗ τὸν ἡγεμόνα παρόντα τῇ ἀκροάσει· ἐν ἰαμβικῷ δὲ μέτρῳ ϗ οὗτος τὸν αὐτοῦ συντίθησι πόνον. εἰσὶ δὲ αὐτοῦ ϗ ἐπιστολαὶ διάφοροι πρὸς διαφόρους, γραφαῖς ποικιλλόμεναι διαφόροις, καὶ ἕτεροί τινες ἐγκωμιαστικοὶ λόγοι.

## 280.

Ἀνεγνώσθη τοῦ ἐν ἁγίοις ΕΥΛΟΓΙΟΥ, ἀρχιεπισκόπου Ἀλεξανδρείας, βιβλίον τοῦ κατὰ Ναυατιανῶν, διὰ πέντε λόγων ἀπαρτιζομένου, ὅσα εἰς ἑρμηνείαν γραφικῶν ῥητῶν ἥκοι.

### Ἐκ τοῦ α' λόγου.

ὅτι ματαίως, φησίν, οἱ Ναυατιανοί, εἰ ϗ καθαροὶ ἦσαν ϗ ἐξῃρημένοι τὸν βίον, ὅπερ οὐκ εἰσί, τὸ μετὰ τῶν ἄλλων συνάγεσθαι καὶ τὰς εὐχὰς καὶ ψαλμῳδίας ποιεῖσθαι παραιτοῦνται. Ἀβὲλ γὰρ τῷ Κάϊν πλεῖστον ἐν πᾶσι διενηνοχὼς συνεθυσίαζε, ϗ τοῦ μὲν ὁ θεὸς τὴν θυσίαν ἐδέχετο τοῦ δὲ ἀπεπέμπετο, καὶ οὐδὲν γέγονεν ἐμποδὼν ὁ βέβηλος τῷ θεοσεβεῖ εἰς τὸ μὴ προσδεχθῆναι αὐτοῦ τὰ δῶρα. ϗ Νῶε, φησί, τὰ καθαρὰ τῶν ζώων ϗ τὰ ἀκάθαρτα ἅμα προσετάττετο ἐν τῇ κιβωτῷ παραδέχεσθαι. ϗ τὸν Φαρισαῖον τῷ τελώνῃ ἅμα προσεύχεσθαι ἡ δεσποτικὴ παραβολὴ δεικνύει. ϗ τῷ προφήτῃ Ἠλίᾳ κόραξ τὴν τροφὴν τὸ ἀκάθαρτον διηκόνει ζῶον. ϗ τὸ ἐγγύτερον, οὐ γεγόνασιν ἐμπόδιον οἱ τῶν δαιμόνων ἱερεῖς παρόντες αὐτοῦ τῇ θυσίᾳ, οὐδ' αὐτὸς ἐμολύνετο ἐφεστηκὼς αὐτοῖς θυομένοις, ὅτε καὶ τὸν πίονα βοῦν ἐκείνοις θύειν, ϗ πρότερον, ἀνῆκε. ϗ Λὼτ δὲ Σοδομίταις συνοικῶν οὐκ ἀπήλαυσεν αὐτῶν τοῦ ὀλέθρου, ὅτι, κἂν τὴν πόλιν συνῴκει, τοῖς ἔργοις διεστήκει· σῴζει δὲ μᾶλλον δι' αὐτοῦ καὶ τὴν Σηγὼρ πόλιν, ἐν αὐτῇ καταφυγών, μίαν τῶν περὶ Σόδομα οὖσαν. οἶδε γὰρ ὁ δίκαιος σῴζειν τοὺς ἀσεβεῖς, οὐκ ἐκείνοις συναπόλλυσθαι. καὶ ὁ ἀπόστολός φησιν ὁμοθυμαδὸν ἐπεύχεσθαι πάντας ϗ ἐν ἑνὶ στόματι δοξάζειν τὸν θεόν. καὶ πολλὰ ἄλλα. ὥστε δυσσεβοῦσιν οἱ Ναυατιανοί, φησίν, οὐκ ἀνεχόμενοι τοῖς ἄλλοις συνεύχεσθαι ἀνθρώποις.

ὅτι ϗ αὐτὸς τὰ ἐπὶ τῆς δεσποτικῆς παραβολῆς εἰρημένα, ἥτις τὸν ἀπὸ Ἱεριχὼ κατιόντα καὶ τραυματισθέντα ὑποβάλλει, ὁμοίως τῷ Χρυσοστόμῳ ἀναπτύσσει, πανδοχεῖον μὲν 877 H.
τὴν ἐκκλησίαν ἐκλαμβάνων, δύο δὲ δηνάρια τὴν παλαιὰν ϗ καινὴν διαθήκην, πανδοχέα δὲ τὸν τῆς ἐκκλησίας προεστῶτα, ἐμπεπτωκότα δὲ εἰς τοὺς λῃστὰς τὸν ἡμαρτηκότα.

ὅτι ἐπὶ τοῦ „μακάριοι ὧν ἀφείθησαν αἱ ἀνομίαι" καὶ ἑξῆς τὸ μὲν ἀφείθησαν, φησίν, ἐπὶ τοῦ βαπτίσματος, τὸ δὲ ἐπεκαλύφθησαν ἐπὶ τῆς μετανοίας τάττεται. ϗ τὸ „μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν" ἐπεξήγησιν τοῦ ἐπεκαλύφθησάν φησιν· ἡ γὰρ ὀρθὴ μετάνοια ἐπικαλύπτει τὰς ἁμαρτίας, ϗ οὐ λογίζεται ταύτας ὁ κύριος.

ὅτι ὁ μακάριος Παῦλος λέγων „Ἰησοῦς Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι" διὰ τοῦτο οὐκ εἶπεν „ὧν πρῶτος ἐγενόμην ἐγώ" ἀλλ' „εἰμὶ ἐγώ," ἵνα μὴ νομίσῃς ταῦτα λέγειν αὐτὸν περὶ τῶν πρὸ τῆς κλήσεως, ἀλλὰ περὶ τοῦ μετὰ τὴν κλῆσιν βίου ϗ ἐν ᾧ ταῦτα ἔλεγε. τοῦτο δὲ ἔλεγε, φησίν, ἅμα μὲν ταπεινῶν ἑαυτόν, ἅμα δὲ ὑπογραμμὸν ἡμῖν τοῦ ταπεινοῦ φρονήματος εἰσηγούμενος.

ὅτι ὁ ἐν τῷ εὐαγγελίῳ σὺν τῷ Φαρισαίῳ προσευ- 1600 R.
χόμενος ἐν τῷ ἱερῷ τελώνης διὰ τοῦτο ἔτυπτε τὸ στῆθος, διότι δοχεῖον τοῦτο τῶν ἁμαρτημάτων ἐκέκτητο, φησίν· ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται, φησὶν ὁ σωτήρ, διαλογισμοὶ πονηροί, ϗ ἑξῆς. ὅθεν τύπτει τὴν πηγὴν

a. 4. ὁ δὲ Νεῖλος et 5. ὁ δὲ Ῥώμη add C. 13. συνοπολίτην Meursius, κοινοπολίτην Reinesius Var. Lect. 3. p. 436. 20. καὶ add C. 24. τοῦ ἐν — 27. ἥκοι C: εὐλογίου ἀλεξανδρείας σύνταγμα· ῥητῶν δὲ γραφικῶν διάνοιαν ἀναπτύσσει· οἷς συναπαρτίζεσθαί σοι, φίλτατε ἀδελφῶν, ἴσθι καὶ τὴν ποθουμένην ἐξαίτησιν B. ea in summario ponit A, additis post σύνταγμα his: ἔχον λογ ἀπαρτιζόμενον ς. 28. ἐκ τοῦ πρώτου λόγου om B. 36. τὰ post καὶ om B.
b. 1. τὴν τροφὴν ante a 39. τῷ προφήτῃ ponit ς. 7. διεστήκει B: διιστήκει ς. 8. αὐτοῦ B: ἑαυτοῦ ς. 12. ἐν add B. 13. οἱ ναυατιανοὶ φησὶν B: φησι ναυατιανοι ς. 14. συνεύχεσθαι B: συνέχεσθαι ς. 15. ἥτις add B. 17. ὁμοίως B: καὶ ὁμοίως ς. 21. ἀφείθησαν B: ἀφέθησαν ς. 22. ἑξῆς B: τὰ ἑξῆς ς. 24. τάσσεται B. 30. ταῦτα et 31. priorem περὶ add B. 35. ὁ ante 36. τελώνης ponit B.

Digitized by Google

τῶν κακῶν, τῇ συνειδήσει πληττόμενος, ἵνα ξηράνῃ τῶν ἁμαρτημάτων τὰ ῥεύματα. ὅτι διάβολος, φησίν, ἐκ τοῦ διαβάλλειν τὸν πλάστην τοῖς πλάσμασιν εἴρηται. ἔφη γὰρ πρὸς αὐτοὺς ὡς εἰδὼς ὁ θεὸς ὅτι διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ καὶ ἔσεσθε ὡς θεοί, διὰ τοῦτο τῆς τοῦ ξύλου ἐκώλυσε βρώσεως. ὅτι ἐν τῷ ἀποστολικῷ ῥητῷ τῷ „ὁ θεὸς τοῦ αἰῶνος τούτου" καὶ οὗτος τὸν διάβολον ἐκλαμβάνει· ὅτι τὸ „πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις" καὶ τὰ ἑξῆς ἁπλούστερον οὗτος ἐκλαμβάνεται καὶ κατὰ τὸ γράμμα· φησὶ γὰρ τὰ μὲν ἄλλα τῶν ἁμαρτημάτων μετανοούντων τῶν ἡμαρτηκότων ἀφίεσθαι, τοῖς δὲ εἰς τὴν θεότητα ἐξυβρικόσιν οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι ἀφίεσθαι, οὐδὲ παρ' αὐτοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν. καίτοι τούτων ἐναντία φανερῶς φρονεῖ· Κορνηλίου γὰρ ὑπεραγωνίζεται, οὗ Ναυάτος ἀπέρρωγεν, ὅτι τοὺς ἀρνησαμένους τὸν Χριστόν, ἐν ᾧ δηλονότι ἡ θεότης συνεξύβριστο, μετανοοῦντας ἐδέξατο. ὅμως οὖν οὕτω τὸ ῥητόν, τάχα πρὸς Ναυάτον ἀγωνιζόμενος, ἐδέξατο.

Ἐκ τοῦ β' λόγου.

ὅτι διὰ τοῦτο, φησίν, οὔτε πρὸς Ἰωάννην οὔτε πρὸς ἕτερόν τινα τῶν μαθητῶν ἔφη ὁ σωτὴρ τὸ „καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν" καὶ τὰ ἑξῆς, ἀλλ' ἢ πρὸς Πέτρον, ὃς ἔμελλε τῷ τῆς ἀρνήσεως περιπίπτειν ὀλισθήματι καὶ διὰ δακρύων καὶ μετανοίας ἀπονίπτειν τὸ ἁμάρτημα, ἵνα τῷ καθ' ἑαυτὸν ὑποδείγματι πρὸς τοὺς ἐξαμαρτάνοντας φιλανθρωπότερον δια-
878 H. τίθοιτο· οἱ γὰρ ἄλλοι ἀπείραστοι μεμενηκότες τάχα ἂν ἀποτομώτερον αὐτοῖς διεκέχρηντο. τοῦτο μέν φησιν ὁ Εὐλόγιος, πιθανώτερον μᾶλλον ἢ ἀληθέστερον λέγων. εἰ γὰρ καὶ πρὸς Πέτρον εἴρητο, ἀλλ' οὖν ἐν προσώπῳ τοῦ κορυφαίου καὶ τοῖς λοιποῖς τῶν μαθητῶν ἡ τοιαύτη ἐξουσία ἐδέδοτο, ὅπου γε καὶ τοῖς ἀπ' ἐκείνων τὸ ἀρχιερατικὸν κατὰ διαδοχὴν περιβεβλημένοις ἀξίωμα τὴν αὐτὴν προσεῖναι τοῦ δεσμεῖν καὶ λύειν ἐξουσίαν πιστεύομεν. εἶτα, ὡς οὖν λαβών, φησίν, ὁ Πέτρος τὴν ἐξουσίαν τοῦ δεσμεῖν καὶ λύειν, ἐρωτᾷ καὶ τὸ μέτρον τῆς ἀφέσεως, „ποσάκις" λέγων „ἐὰν ἁμάρτῃ εἰς ἐμὲ ὁ ἀδελφός μου, ἀφήσω αὐτῷ; ἕως ἑπτάκις;" τὸ ἕως ἑπτάκις εἰπών, τὴν ἐπὶ τοῦ Κάϊν κατάκρισιν λῦσαι σπουδάζων ἐν τῷ ἀφιέναι τοσαυτάκις τοῖς ἁμαρτάνουσιν. ὁ δὲ σωτὴρ οὐ ταύτην μόνον λύων, ἀλλὰ καὶ τὴν ἐπὶ τοῦ Λάμεχ ἐξενηνεγμένην, ἐπήνεγκεν „οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά." τὸ δὲ διήγημα τὸ περὶ τοῦ Λάμεχ τοιοῦτόν φησιν. ἕβδομος ἦν ἀπὸ Κάϊν, καὶ τελευταῖος τῶν ἀπογόνων· τοῦτον γὰρ ὁ κατακλυσμὸς φθάσας ἐξήλειψε τὸ τοῦ Κάϊν γένος. καὶ τοσοῦτον ὑπερέβαλε τὸ τοῦ Λάμεχ, φησίν, ὡς εἶναι τῶν τοῦ Κάϊν ἁμαρτημάτων πολλαπλάσια κατὰ τὸ ἑβδομηκοντάκις ἑπτά, ὡς καὶ αὐτὸς Λάμεχ ταῖς γυναιξὶν ἀπαγγέλλων τὰ ἡμαρτημένα ἐδήλωσεν, αὐτανδρον ὄλεθρον κατὰ τῆς γενεᾶς αὐτοῦ διηγούμενος. ἐπὶ τοσοῦτον γὰρ τῶν τότε ἀνδρῶν ηὐξήθη τὰ ἁμαρτήματα, οἷς καὶ ὁ Λάμεχ συνήκμασεν, ὡς εἰς πανωλεθρίαν αὐτῶν τὴν φιλανθρωπίαν τοῦ θεοῦ παροξῦναι, κατακλυσμῷ τὴν δίκην αὐτοῖς ἐπιτιθεῖσαν. καὶ σάρκα 1601 R.
δὲ τὴν τότε γενεὰν ἐκάλεσεν ὁ θεός, „οὐ μὴ μείνῃ τὸ πνεῦμά μου ἐν αὐτοῖς" λέγων „διὰ τὸ εἶναι αὐτοὺς σάρκα," ἐπεὶ ὅλοι τῆς σαρκὸς καὶ τῶν ἐμπαθῶν λογισμῶν γεγονότες καὶ πάσης ἄλλης ἁμαρτίας ὄντως, ὅπερ ἐδέξαντο πνεῦμα κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν θεοῦ, εἰς σάρκα μετέβαλον. οὕτω μέν, ἐξ ὧν φησιν ὁ ἀρχιερεὺς Εὐλόγιος, τὸν Λάμεχ ἀπολωλέναι φησίν· οἱ δὲ πλεῖστοι τῶν πατέρων διὰ τῆς ἐπαγγελίας καὶ μετανοίας συγγνώμην εὑρεῖν τοῦ ἁμαρτηθέντος αὐτὸν ἀπαγγέλλουσιν. ὅτι φησίν, Ἐπειδὰν Πέτρου τοῦ κορυφαίου τὴν ἄρνησιν καὶ μετάνοιαν εἰς ἔλεγχον τῆς Ναυατιανῆς ἀπονοίας προβαλλώμεθα, ἀνταποκρίνεσθαι πειρῶνται ὅτι ὁ Πέτρος τὸ ἀτελὲς τότε βάπτισμα ἦν βεβαπτισμένος· τὸ γὰρ Ἰωάννου μόνον ἐβεβάπτιστο, τὸ δὲ ἅγιον πνεῦμα οὔπω ἦν δεδεγμένος· μετὰ γὰρ τὴν ἀνάστασιν τοῦτο, πεντήκοντα ἡμερῶν διαγεγονυιῶν, ἐδέξατο. ἀλλ' ἔστιν εἰπεῖν πρὸς αὐτοὺς ὅτι καὶ τὸ Ἰωάννου τότε τέλειον ἦν, ὕστερον δ' ἀπέβη τοῖς χρωμένοις ἀτελές, μεθ' ὃ τὸν τρόπον τοῦ βαπτίσματος ὁ σωτὴρ τοῖς μαθηταῖς παραδιδοὺς ἔλεγε „πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος." ὅτε οὖν τὸ μυστικὸν τοῦτο βάπτισμα παρεδόθη, 879 H.
τότε τὸ Ἰωάννου βάπτισμα ἤργησε, καὶ οἱ βαπτίζοντες αὐτὸ λοιπὸν ἀτελῶς ἐβάπτιζον, τὴν δεσποτικὴν παρορῶντες παράδοσιν· πρὶν δὲ τέλειον ἦν. ὅτι δὲ τέλειον ἦν, δῆλον, φησί, καὶ ἐξ ὧν οὐδαμοῦ φαίνεται τοὺς μαθητὰς τὸ παρὰ Ἰωάννου δεδεγμένους βάπτισμα ἀνα-

a. 1. συνειδήσει B: συνδήσει ς. 5. ἔσεσθε B: ἔσεσθαι ς. 7. τῷ] τὸ B. 8. ὅτι τὸ — b 24. ἀπαγγέλλουσιν om B. 20. titulum om C. 31. εἴρητο C: εἴρηται ς. 39. τὸ ἕως ἑπτάκις add C.
b. 16. αὐτοὺς] αὐτοῖς C. 19. κατ' εἰκόνα καὶ add C. 20. μετέβαλλον ς. 26. προβαλλώμεθα B: προβαλώμεθα ς. 28. γὰρ add B. 30. διαγεγονυιῶν B cum Suicero 1. p. 627: διαγεγονότων ς. 34. παραδ. τοῖς μαθ. ς. 41. φησὶ B: φασι ς.

Digitized by Google

βαπτίσας. Ἰησοῦς γάρ, φησίν, οὐδένα ἐβάπτιζεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ. ἐξ ὧν πάλιν δῆλον ὅτι τέλειον ὑπῆρχε. καὶ ὁ σωτὴρ δὲ οὐκ ἀπαξιώσας αὐτὸ βαπτισθῆναι, ὅτι τέλειον ἦν ἔδειξεν, οὐκ αὐτός, ὡς δῆλον, καθάρσεως δεόμενος, ἀλλὰ καθάρσιον τῶν ὑδάτων γενόμενος καὶ τοῖς τότε βαπτιζομένοις ἁγιασμὸς καὶ τελείωσις. εἴσοδον δὲ τῆς εἰς Χριστὸν γνώσεως οἱ βαπτιζόμενοι τὸ βάπτισμα παρεδέχοντο. ἐπεὶ γὰρ τοῦτο εἰς τὸν ἐρχόμενον ἐβαπτίζοντο, ἐζήτουν λοιπὸν τίς ὁ ἐρχόμενος, καὶ ζητοῦντες εὕρισκόν τε καὶ ἐμαθητεύοντο, καὶ προσιόντες τῷ σωτῆρι οὐχ ἕτερον βάπτισμα προσελάμβανον, μόνον δὲ τὰς ἐντολὰς προσεδέχοντο. ἕως μὲν οὖν οὐδέπω διὰ τοῦ σταυροῦ ἐδοξάσθη ὁ Ἰησοῦς, τέλειον ἦν τὸ Ἰωάννου βάπτισμα· μετὰ ταῦτα δ' οὐκέτι. διὸ καὶ τὸν Ἀπολλὼ βαπτισθέντα ὑπὸ Ἰωάννου κατὰ τὸν ἁρμόζοντα καιρὸν οὐδεὶς ἀνεβάπτισεν, ἀλλὰ Πρίσκιλλα καὶ Ἀκύλας κατὰ τὴν Ἔφεσον παραγεγονότα ἐξ Ἀλεξανδρείας τῆς πατρίδος προσελάβοντο μὲν αὐτόν, καὶ ἀκριβέστερον ἀνεδίδαξαν τὰ περὶ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, βαπτίσαι δὲ οὐκ ἐτόλμησαν. τοὺς μέντοι γε ὑπ' αὐτοῦ βαπτισθέντας, ἐπεὶ μετὰ τὴν τοῦ κυρίου εἰς οὐρανοὺς ἄνοδον τὸ Ἰωάννου βάπτισμα ἐβαπτίσθησαν, ὅτε οὐκέτι ἦν ἐρχόμενος ὁ Χριστὸς ἀλλ' ἐληλυθὼς ἤδη καὶ πᾶσαν πεπληρωκὼς οἰκονομίαν καὶ βάπτισμα παραδεδωκὼς οἰκεῖον, εἰκότως τούτους εὑρὼν ὁ Παῦλος, καὶ ὅτι οὐδὲ εἰ πνεῦμα ἅγιόν ἐστιν ᾔδεισαν, τῷ δεσποτικῷ βαπτίσματι παρεσκεύασεν ἀναβαπτισθῆναι. πολλαχόθεν δέ, φησί, καὶ ἀλλαχόθεν ἔστι λαβεῖν ὡς τέλειον ἦν τὸ Ἰωάννου βάπτισμα πρὸ τῆς παραδόσεως τοῦ δεσποτικοῦ. καὶ γάρ, φησίν, ὁ σωτὴρ τῷ Ἰωάννου βαπτίσματι Πέτρον καὶ τοὺς ἄλλους μαθητὰς βεβαπτισμένους
1604R. κατὰ τὸν καιρὸν τοῦ πάθους τῶν φρικτῶν μυστηρίων ἠξίωσεν, οὐκ ἂν μεταδοὺς τοῦ ἀχράντου σώματος αὐτοῖς καὶ τοῦ αἵματος, εἰ μὴ τὸ τέλειον αὐτοῖς τὸ Ἰωάννου ἐκεχάριστο βάπτισμα. ἀλλὰ καὶ ὅτε Πέτρος νίψασθαι τοὺς πόδας παρῃτεῖτο, ἀκούει παρὰ τοῦ σωτῆρος „ὁ λελουμένος οὐ χρείαν ἔχει πάλιν λούσασθαι, ἀλλ' ἔστι καθαρὸς ὅλος· καὶ ὑμεῖς καθαροί ἐστε." δι' ὧν καὶ ὅτι οὐ δεῖται δευτέρου βαπτίσματος ὁ τὸ Ἰωάννου ἐν καιρῷ βαπτισθεὶς βάπτισμα ἐπιδείκνυται, καὶ ὅτι δύναμιν εἶχε καθαροὺς ἀποφαίνειν τοὺς βεβαπτισμένους αὐτό. ἀλλ' οὕτω μὲν ὁ Εὐλόγιος, τῶν πλείστων πατέρων ἀτελὲς δὲ ὅλου τὸ Ἰωάννου βάπτισμα δεικνύντων.

ὅτι τὸ ἐν ταῖς πράξεσιν εἰρημένον περὶ τῶν ἐχόντων τὸ Ἰωάννου βάπτισμα, "ὅτι „ἀκούσαντες δὲ ἐβα- 880H.
πτίσθησαν εἰς τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ," τοιοῦτόν ἐστι, φησίν, ὅτι ἐβαπτίσθησαν κατὰ τὴν παράδοσιν καὶ διδασκαλίαν τοῦ κυρίου Ἰησοῦ, ὥστε καὶ ἀλλαχοῦ, ὅταν λέγῃ ὅτι εἰς Χριστὸν ἢ εἰς θάνατον τοῦ Χριστοῦ ἐβαπτίσθησαν, τὴν αὐτὴν ἔννοιαν ὀφείλομεν ἐννοεῖν δηλοῦσθαι, τουτέστιν ὅτι εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐβαπτίσθησαν. οὕτω γὰρ ἐδίδαξε καὶ παρέδωκε βαπτίζειν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός.

ὅτι φησίν, Ὁ ἀπόστολος πλέον τι τῆς συμπαθείας ἐνδεικνύμενος περὶ τοὺς μήπω πεπιστευκότας Ἰσραηλίτας φησὶν „ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι". καὶ ἑξῆς, ἀντὶ τοῦ ἤθελον, φησίν, ἐγὼ ἐν κατακρίσει γενέσθαι, μόνον ἵνα ἐπιστρέψωσιν οἱ υἱοὶ Ἰσραὴλ ἐπὶ τὸν κύριον. ὅτι Παῦλος, φησί, δεδοικὼς τὴν Γαλατῶν ἔκπτωσιν „φοβοῦμαι μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς" φησίν· εἶτα ἐπάγει „γίνεσθε ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς." ὢ συμπάθεια ἀποστόλου, τοσοῦτον συγκαταβαίνουσα ὅσον οἱ ἁμαρτήσαντες καταπεπτώκασιν, ἵνα τῇ συγκαταβάσει τοὺς πεσόντας εἰς τὸ οἰκεῖον μέτρον ἐπαναγάγῃ. ὅτι τεκνία, φησίν, ὁ ἀπόστολος τοὺς παραπεσόντας λέγει, οὓς καὶ ὠδίνειν πάλιν φησίν, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν αὐτοῖς. τοὺς τοιούτους καὶ ὁ Ἰωάννης τεκνία καλεῖ, „γράφω ὑμῖν" λέγων „τεκνία, ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ." ὅταν δὲ λοιπὸν διὰ τῆς ἐπιστροφῆς τελειωθῶσιν, οὐκέτι τούτους καλεῖ τεκνία ἀλλὰ πατέρας καὶ ἀδελφούς· ἐπιφέρει γὰρ „ἔγραψα ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς· ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι νενικήκατε τὸν πονηρόν." ὅτι προφέρουσι, φησίν, οἱ ἀπὸ Ναυάτου τὸ ἀποστολικὸν ῥητὸν τὸ φάσκον „ἀδύνατον τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δω-

a. 2. αὐτοῦ add *B*. 3. οὐκ ἀπαξιώσας αὐτὸ βαπτισθῆναι *B*: βαπτισθῆναι αὐτὸ οὐκ ἀπαξιώσας ς. 4. δῆλον *B*: δῆλόν ἐστι ς. 6. γενόμενος *B*: γινόμενος ς. τοῖς τότε βαπτιζομένοις vulgo post τελείωσις ponunt. 7. τῆς εἰς Χριστὸν γνώσεως οἱ βαπτιζόμενοι *B*: οἱ τότε βαπτιζόμενοι τῆς εἰς Χριστὸν γνώσεως ς. 13. διὰ τοῦ σταυροῦ ἐδοξάσθη *B*: ἐδοξάσθη διὰ τοῦ σταυροῦ ς. 19. ἀνεδίδαξαν *B*: ἐδίδαξαν ς. 22. τὸ — βάπτισμα *B*: τῷ — βαπτίσματι ς. ὅτι ς. 24. παραδεδωκὼς *B*: δεδωκὼς ς. 28. καὶ ἀλλαχόθεν add *B*. 32. τῶν φρικτῶν μυστηρίων ἠξίωσε *B*: ἠξίωσε τῶν φρικτῶν μυστηρίων ς. 34. τὸ ante τέλειον add *B*. 36. νίψασθαι τοὺς πόδας παρῃτεῖτο *B*: παρῃτεῖτο τοὺς πόδας νίψασθαι ς. 38. ὧν] ὃ videtur esse in *B*. b. 1. ὅτι οὐ δεῖται δευτέρου β. ὁ τὸ Ἰωάννου ἐν καιρῷ β. β.] οὐ δεῖται δευτέρου β. ὃς τὸ Ἰωάννου ἐν καιρῷ β. β. *B*: ὅτι ὁ τὸ τοῦ Ἰωάννου ἐν καιρῷ β. β. οὐ δεῖται δευτέρου β. ς. 3. καθαροὺς ἀποφαίνειν τοὺς β. αὐτό *B*: τοὺς β. αὐτὸ ἀποφαίνειν καθαρούς ς. 17. μήπω *B*: μηδέπω ς. 19. ἑξῆς, ut solet, *B*: τὰ ἑξῆς ς. 25. ἁμαρτήσαντες *B*: ἡμαρτηκότες ς. 30. γράφω — 31. λέγων] libri γράφων — λέγω. 37. ἀδύνατον add *B*. 38. τε *B*: δὲ ς.

Digitized by Google

ρεᾶς τῆς ἐπουρανίου καὶ μετόχους γεγονότας πνεύματος ἁγίου καὶ καλὸν γευσαμένους ῥῆμα θεοῦ καὶ παραπεσόντας πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν" καὶ ἑξῆς. τοῦτο δέ, φησίν, ὅτι μὲν πρὸς Ἑβραίους γράφει πεπιστευκότας δῆλον ἐξ αὐτῶν τῶν τῆς ἐπιστολῆς ῥητῶν· πλὴν οἵ γε πλεῖστοι τῶν τότε πεπιστευκότων Ἰουδαίων καὶ τῷ Χριστῷ προσήεσαν καὶ τὰς νομικὰς καὶ Ἰουδαϊκὰς παρατηρήσεις τὰς πλείστας ἐφύλαττον, διὸ καὶ διαφόροις ἐχρῶντο βαπτίσμασι. πρὸς γοῦν ἐκείνους ἀποτεινόμενος, φησίν, ὁ θεσπέσιος Παῦλος, καὶ τῶν ἄλλων παρὰ τὸ ἓν βάπτισμα τούτους ἀπάγων, ἔφησε τὸ ῥητόν, οὐχὶ δέ (μὴ γένοιτο) τὴν μετάνοιαν, ὃ πολλαχοῦ ταύτην καὶ πολλάκις κηρύξας, ἀναιρῶν. ὃ γοῦν λέγει διὰ τοῦ ῥητοῦ, τοιοῦτόν ἐστιν. ἀδύνατον, φησί, τοὺς ἅπαξ φωτισθέντας 1605R. "πάλιν δεύτερον βάπτισμα προσδοκᾷν. ἅπαξ γὰρ ὁ Χριστὸς ἐπὶ συντελείᾳ τῶν αἰώνων ἔπαθεν· ὅθεν καὶ εἰς τὸν θάνατον αὐτοῦ βαπτιζόμεθα. συνετάφημεν οὖν αὐτῷ τῷ βαπτισμῷ καὶ συνηγέρθημεν. ὁ γοῦν ζητῶν φυλάττειν 881 H. τὰ νομικὰ βαπτίσματα "ἀνασταυροῖ τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζει τὸν ἅπαξ σταυρωθέντα. εἰ δ' ἦν πλείω βαπτίσματα, ἔδει καὶ τὸν Χριστὸν πολλάκις παθεῖν. νυνὶ δὲ ἅπαξ πεπονθὼς οὐκ εἰς χειροποίητα ἅγια εἰσῆλθεν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ ὑπὲρ ἡμῶν. ἀδύνατον οὖν τοὺς ἅπαξ εἰς τὸν θάνατον αὐτοῦ φωτισθέντας ἐκ δευτέρου ἢ καὶ πλεονάκις βαπτίζεσθαι καὶ ἀνασταυροῦν πειρᾶσθαι τὸν υἱὸν τοῦ θεοῦ. ἐγκαλεῖ γοῦν τοῖς Ἰουδαίοις τοῦτο τολμῶσι καὶ ἐπὶ τὰ νομικὰ ἐπανιοῦσι βαπτίσματα, ἃ οὐ δύναται ψυχὴν καθαρίσαι. διὸ καί φησιν "ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ" καὶ ἑξῆς. στοιχεῖα δὲ τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ ἡ εἰς αὐτὸν ἐπίγνωσις. οἷον τοὺς προσιόντας τῷ Χριστῷ δεῖ πρῶτον ἀποστῆναι τῶν ἁμαρτημάτων οἷς ἐνείχοντο, τουτέστιν ἀναχωρεῖν τῶν νεκρῶν ἔργων, δεύτερον τὴν ἀπολύτρωσιν τῶν προτέρων ἁμαρτημάτων διὰ τοῦ βαπτίσματος δέξασθαι, καὶ δεξαμένους ἐν πίστει τοῦτο βαπτισμῶν διαφορᾶς διδαχὴν μανθάνειν, τοῦτο μὲν τίνα ἦν τὰ Ἰουδαϊκά, τί δὲ τὸ σωτήριον, εἶτα κατὰ προκοπὴν ἰόντας ἀξιοῦσθαι τῆς τοῦ παναγίου πνεύματος ἐπιφοιτήσεως, ἥτις διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων ἐγίνετο, διδάσκεσθαί τε τὴν τῶν νεκρῶν ἀνάστασιν καὶ τὸ μέλλον κριτήριον. αὕτη τοίνυν ἡ διδασκαλία ἀπαρχὴ τῆς τῶν πιστευόντων μαθήσεως γίνεται. ἣν οἱ ἐξ Ἰουδαίων δεξάμενοι, καὶ τῷ πολλῷ χρόνῳ διδάσκαλοι ἑτέρων ὀφείλοντες εἶναι καὶ τελειοῦν ἄλλους, αὐτοὶ μαθήσεως πάλιν δέονται. ἀλλ' ὅμως, φησίν, εἰ καὶ αὐτοὶ γεγόνατε ὥστε πάλιν δεῖσθαι μαθεῖν τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Χριστοῦ, ἀλλ' ἡμεῖς οὐ τὴν ἀρχὴν πάλιν τῆς πίστεως ὑμᾶς ἐκδιδάξομεν. φησὶ γὰρ "διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα." οὐ χρὴ γὰρ ἡμᾶς πάλιν εἰς τὰ στοιχεῖα τῆς ἀρχῆς ἀνάγειν ὑμᾶς, ἵνα μὴ δόξωμεν πάλιν ἕτερον θεμέλιον καταβάλλεσθαι· καὶ γάρ φησι "μὴ πάλιν θεμέλιον καταβαλλόμενοι [μετανοίας] ἀπὸ νεκρῶν ἔργων καὶ πίστεως ἐπὶ θεόν, βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν καὶ κρίματος αἰωνίου." τοῦτο τοιγαροῦν δηλοῖ τὸ "διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ θεοῦ λόγον" καὶ ἑξῆς. τὸ δὲ "καὶ τοῦτο ποιήσομεν, ἐὰν ἐπιτρέπῃ ὁ κύριος" εἰς τὸν αὐτὸν συντρέχει νοῦν, τὸ μηκέτι, φησίν, ἀπάρχεσθαι τῆς στοιχειώδους διδασκαλίας ὑμῖν, ἥνπερ κατ' ἀρχὰς οἱ τῷ βαπτίσματι προσιόντες ἐδιδάσκοντο· ἀλλ' ἐπὶ τὴν τελειότητα ἀναγώμεθα. εἰ γὰρ καὶ ὠλισθήσατε, ἀλλ' οὖν οὐ δύνασθε θεμέλιον πίστεως πάλιν δέχεσθαι οὐδὲ βάπτισμα δεύτερον οὐδὲ χειρῶν ἐπιθέσεις. οὕτως οὖν ἀφίησι ταύτην τὴν στοιχειώδη διδασκαλίαν ὁ Παῦλος, καὶ ἐπὶ τὴν τελειότητα ἔρχεται, τὴν ἱερωσύνην τοῦ σωτῆρος διηγούμενος, καὶ ταύτην κατὰ μέρος διέξεισι, καὶ ὅπως κατὰ τὴν τάξιν "Μελχισεδὲκ τυγχάνει ὁ κύριος ἀρχιερεύς. 882 H. τὸ τοίνυν βούλημα τοῦ ἀποστολικοῦ ῥητοῦ, ὡς πολλάκις εἴρηται, οὐδὲν (κἂν αὐτὸ προφέρωσι) τοῖς Ναυατιανοῖς συμφωνεῖ, "ἀλλὰ θεσπίζει τὸν ἅπαξ φωτισθέντα μὴ 1608R. περιεργάζεσθαι ἕτερον βάπτισμα. "ὁ λελουμένος" γάρ, ὡς καὶ ὁ κύριός φησιν, "οὐκ ἔχει χρείαν λούσασθαι ἀλλ' ἢ τοὺς πόδας νίψασθαι," τουτέστιν οὐ πάλιν βάπτισμα χρείαν ἔχει μετὰ τὸ ἁμαρτῆσαι δέξασθαι, ἀλλ' ἢ διὰ δακρύων ἀποκαθαρθῆναι τοὺς πόδας ἤτοι τὰ σαρκικὰ διαβήματα. ὅτι φησίν, Ἡ κυριακὴ ἐντολὴ ἡ λέγουσα "εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε καὶ δέχωνται ὑμᾶς, πάντα τὰ παρατιθέμενα ὑμῖν ἐσθίετε, μηδὲν ἀνακρίνοντες," αὕτη σύνδρομός ἐστι τῷ ἀποστολικῷ ῥητῷ, ἐν ᾧ φησὶν "εἰ δέ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων καὶ βούλεσθε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν ἀνακρίνον-

a. 2. καλὸν — ῥῆμα B: καλῶν — ῥημάτων ς. 3. ἑξῆς. τοῦτο δέ, φησίν add B. 17. οὖν add B. 26. ἢ B: εἰ ς. 33. τῷ om B. 38. βαπτισμῶν διαφορᾶς add B. 42. ἐγίνετο B: ἐγένετο ς.
b. 8. ἐδιδάξαμεν B. 9. ἀφέντες vulgo post λόγον ponunt. 10. ὑμᾶς B, omisso v. 11. ὑμᾶς. 13. μετανοίας om B. 22. οὖν add B. 24. ταύτην τὴν B: τὴν τοιαύτην ς. 32. ἕτερον B: δεύτερον ς. 34. νίψασθαι add B.

τες.” ὅτι φησίν, Ἀντιπίπτοντες οἱ ἀπὸ Ναυάτου τῇ ἀναπτύξει τοῦ προειρημένου ῥητοῦ περὶ τῶν δεύτερον ἐπιζητούντων βάπτισμα, φασὶν οὐ περὶ δευτέρου βαπτίσματος τοῦτο εἰρῆσθαι· εἰς μετάνοιαν γάρ, φασίν, ἔφησεν ἀνακαινίζεσθαι τοὺς ἅπαξ φωτισθέντας καὶ παραπεσόντας ἀδύνατον εἶναι, οὐχὶ εἰς βάπτισμα, βάπτισμα δὲ καὶ μετάνοια πάντη διέστηκε· τὸ μὲν γὰρ δωρεὰ καὶ χάρις ἐστὶ καὶ ἄφεσις ἀταλαίπωρος τῶν ἡμαρτημένων, ἡ δὲ μετάνοια καμάτῳ καὶ δάκρυσι καὶ ἐλέῳ τὸ οἰκεῖον ἔργον περαίνει. οὕτω μὲν ἐκεῖνοί φασι, καὶ ὅτι οὐδαμοῦ τὸ βάπτισμα καλούμενον εὕρομεν μετάνοιαν. ὁ δέ φησιν ὡς εἰ καὶ πολλὴ διαφορὰ μεταξὺ βαπτίσματος καὶ μετανοίας, ἀλλ' οὖν δείκνυται ὅτι καὶ πρὸ τοῦ βαπτίσματος καὶ μετὰ τὸ βάπτισμα τὸ τῆς μετανοίας ὄνομα παραλαμβάνεται. εἰ γάρ τις μὴ ἀποτάξηται τῷ προτέρῳ βίῳ, καὶ πολιτείαν ἁρμόζουσαν τῷ πιστῷ πρὸ ὀφθαλμῶν θείη, καὶ οὕτω τῷ βαπτίσματι προσέλθοι, μάτην προσέρχεται, ἀμετανοήτως ἔχων ἐπὶ τοῖς πρώην αὐτῷ πεπονηρευμένοις, καὶ πρὸς ἐπιστροφὴν ἀμείνονος βίου οὐδένα ποιούμενος λόγον. οὕτως οὖν εἰ καὶ διάφορος ἡ μετάνοια, ἀλλ' οὖν καὶ πρὸ τοῦ βαπτίσματος ἔχει χώραν ἐννοεῖσθαι καὶ μετὰ τὸ βάπτισμα. τὴν γοῦν μετάνοιαν τὴν πρὸ τοῦ βαπτίσματος ἀδύνατον ἐκ δευτέρου φησὶ κατεργασθῆναι, ὅτι μηδὲ τὸ βάπτισμα δυνατόν ἐστι δεύτερόν τινα δέξασθαι. οὕτω καὶ ὁ Ἰωάννης βαπτίζων, ὅτε καὶ τοὺς τοῦ κυρίου μαθητὰς ἐβάπτισε, λέγει „ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν“ καὶ πάλιν τοῖς ὄχλοις „ποιήσατε ἡμῖν καρποὺς ἀξίους τῆς μετανοίας,“ δηλονότι τῆς κατ' αὐτό, φησί, τὸ βάπτισμα μετανοίας. καὶ ὁ κορυφαῖος, φησί, τοῖς Ἰουδαίοις διαλεγόμενος περὶ τῶν εἰς Χριστὸν αὐτοῖς παρανομηθέντων, ὅτε κατανυγέντες τῇ διδασκαλίᾳ εἶπον „τί ποιήσομεν ἄνδρες ἀδελφοί;“ ἔφη αὐτοῖς „μετανοήσατε, καὶ βαπτισθήτω
883 H. ἕκαστος ὑμῶν ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ“ καὶ ἑξῆς. καὶ μυρία ἄλλα. ὥστε ἡ τῆς μετανοίας λέξις οὐδὲν ὧν ἐβούλοντο δίδωσι τοῖς Ναυατιανοῖς. ὅτι τὸ παρὰ τοῦ Σίμωνος τοῦ μάγου εἰρημένον τῷ κορυφαίῳ Πέτρῳ „δεήθητε οὖν ὑμεῖς ὑπὲρ ἐμοῦ, ὅπως μηδὲν ἐπέλθῃ μοι ὧν εἰρήκατε“ οὐκ ἦν μετανοίας, φησίν, οὐδὲ ἐκ διαθέσεως· ἦ γὰρ ἂν καὶ ἐδεήθησαν καὶ συγγνώμης μετέδωκαν. εἰδὼς δὲ μᾶλλον ἐξ ἁγίου πνεύματος τὰ τῆς αὐτοῦ διανοίας ὁ Πέτρος, ὡς χλεύης καὶ ἀπάτης τὰ ἐκείνου παρέδραμε ῥήματα. ὅτι τοῦ „ἢ ἀγνοεῖτε ὅτι, ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν;“ τὸ μὲν εἰς Χριστὸν Ἰησοῦν βαπτισθῆναι σημαίνοι ἂν τὸ κατὰ τὴν ἐντολὴν καὶ παράδοσιν τοῦ Χριστοῦ Ἰησοῦ βαπτισθῆναι, τουτέστιν εἰς πατέρα καὶ υἱὸν καὶ 1609 B.
ἅγιον πνεῦμα, τὸ δὲ εἰς τὸν θάνατον αὐτοῦ, τουτέστι τυποῦντες ἐν τῷ βάπτισμα τὸν θάνατον αὐτοῦ. ὅτι προτεινόμενον παρὰ τοῖς Ναυατιανοῖς τὸ „ἑκουσίως γὰρ ἡμῶν ἁμαρτανόντων μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς [μετανοίας καὶ] ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ὑπολείπεται θυσία, φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως“ καὶ τὰ ἑξῆς, τοῦτο οὖν τὸ ῥητὸν εἰς ἀναίρεσιν τῆς μετανοίας προβαλλόμενον ἐπιλύεται, καί φησιν ὅτι ἐνταῦθα οὐχ ἁπλῶς θυσίαν ἀποτρέπει, ἀλλὰ νομικὴν θυσίαν, καὶ οὐχ ἁπλῶς ἀπαγορεύει, ἀλλὰ καὶ κρίσιν ἐσχάτην ἀπειλεῖ τοῖς μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας καὶ τῆς μυστικῆς θυσίας τὴν ἀπόλαυσιν εἰς ἐκείνην τὴν νομικήν, τὴν διὰ μόσχων καὶ ταύρων τελουμένην, ἐπανιοῦσι. τοῦτο λέγειν φησὶ τὸν ἀπόστολον ἀφιστᾶν σπεύδοντα τοὺς Ἰουδαίους, ἤδη Χριστῷ προσεληλυθότας, ἀπὸ τῆς νομικῆς παρατηρήσεως. ὥσπερ οὖν τὰ νομικὰ βαπτίσματα κωλύει τούτους ἐπιτελεῖν, οὕτω καὶ τὰς ἐναίμους θυσίας. καὶ γὰρ τὸ Ἑβραίων γένος ἁμαρτάνοντες πρότερον μὲν ἡγνίζοντο, εἶτα βαπτίσμασιν ἀπελούοντο, καὶ λοιπὸν ἤδη τὰς ὑπὲρ τῶν ἡμαρτημένων θυσίας προσέφερον. ὧν αὐτοὺς ἀπάγων ὁ ἀπόστολος καὶ τὴν ἀπειλὴν φοβερὰν ἐπήνεγκε. καὶ γὰρ ἔδει τῆς ἀληθινῆς θυσίας ἅπαξ ἐπὶ συντελείᾳ τοῦ αἰῶνος ὑπὲρ ἁμαρτιῶν προσενεχθείσης, ἤτοι τοῦ ἀμνοῦ τοῦ θεοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου σφαγιασθέντος, μηκέτι ὑπολελεῖφθαι ἀλλ' ὅλως πεπαῦσθαι τὰς πολλὰς καὶ τυπικὰς θυσίας ὑπὲρ ἁμαρτιῶν προσφερομένας. ἀδύνατον γάρ, ὡς αὐτὸς ὁ ἀπόστολός φησι, πάλιν αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας, ἅπαξ τοῦ ἀμνοῦ τοῦ θεοῦ προσενεχθέντος· μιᾷ γὰρ προσφορᾷ τετελείωκε, φησίν, εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. ὃν οὖν τρόπον εἴρηκεν ἀδύνατον αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας, τὸν αὐτὸν καὶ τὸ ἐπαγόμενον ἔφη, ὅτι ἑκουσίως ἡμῶν ἁμαρτανόντων μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας οὐκέτι περὶ ἁμαρτιῶν ὑπολείπεται θυσία καὶ τὰ ἑξῆς. καὶ γὰρ καὶ ἡ παρ' ἡμῶν ἐπιτελουμένη τοῦ σώματος τοῦ κυρίου φρικτὴ τελετὴ οὐ θυσιῶν ἐστι διαφόρων προσαγωγή, ἀλλὰ τῆς ἅπαξ προσενη- 884 H.

a. 4. φασίν] libri φησίν. 9. ἐλέῳ καὶ δάκρυσι καὶ καμάτῳ ς. 11. φησιν B: φασιν ς. 12. καὶ post βαπτ. et 13. τοῦ add B. 15. ἀποτάξηται B: ἀποτάξεται ς. 23. κατεργασθῆναι B: κατεργάσασθαι ς. 25. ὁ add B. 30. Ἰουδαίοις B: ἀποστόλοις ς. 34. Ἰησοῦ B: τοῦ κυρίου Ἰησοῦ ς. 37. τοῦ et b 6. τουτέστι add B.
b. 7. αὐτοῦ] hactenus B. 41. τοῦ ante κυρίου om C. 42. διαφόρων C: καὶ διαφόρων ς.

Digitized by Google

νεγμένης θυσίας ἀνάμνησις· „τοῦτο" γάρ φησι „ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν," καὶ „ὁσάκις γὰρ τοῦτο ποιοῦμεν, τὸν θάνατον τοῦ κυρίου καταγγέλλομεν." Ταῦτα μὲν ὁ ἐξ Ἀλεξανδρείας Εὐλόγιος ἐπ' ἀνατροπῇ τῆς Ναυατιανῆς δόξης ἀντέφησεν.

Ἐκ τοῦ γ' λόγου.

ὅτι ἀπαγορεύει, φησίν, ὁ κύριος ἐν τῷ παρόντι βίῳ διαχωρίζεσθαι τοὺς ἁμαρτωλοὺς ἀπὸ τῶν δικαίων· καὶ τοῦτο δῆλον, φησίν, ἐκ τῆς παραβολῆς ἥτις λέγει „ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα" καὶ τὰ ἑξῆς ἕως τοῦ „θέλεις οὖν ἀπελθόντες συλλέξωμεν αὐτά; ὁ δέ φησιν οὔ, μή ποτε συλλέγοντες τὰ ζιζάνια ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον. ἄφετε συναυξάνεσθαι αὐτὰ ἕως τοῦ θερισμοῦ" καὶ τὰ ἑξῆς. αὕτη οὖν ἡ παραβολή, φησίν, ἀπαγορεύει πρὸ τῆς τοῦ αἰῶνος συντελείας διαχωρίζειν τοὺς ἁμαρτωλοὺς ἀπὸ τῶν δικαίων, κἂν οἱ τὰ Ναυάτου νοσοῦντες τοῦτο λέγωσιν, ὡς καθαροὺς ἑαυτοὺς κρίνοντες τῶν ἄλλων ἀνθρώπων. εἰς τὸ αὐτὸ δὲ ἀφορᾷ καὶ τὸ παρὰ τοῦ βαπτιστοῦ εἰρημένον „οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ" καὶ τὰ ἑξῆς, καὶ μυρία ἄλλα. ὅτι τὸ „ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας" τοιοῦτόν ἐστι. φίλους φησὶ ποιήσατε τοὺς ἐν τῷ 1612R. κόσμῳ τούτῳ πενομένους, πλουσίους δὲ κατὰ θεόν. ἀλλ' ἄμεινον μὲν αὐτοὺς κτᾶσθαι φίλους ἐξ ἰδίων κόπων („τίμα γὰρ τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων")· εἰ δὲ μὴ πρόσεστι τὰ ἐκ δικαίων πόνων, κἂν γοῦν ἃ ἐξ ἀδικίας συνελέξαμεν, δι' ἐκείνων αὐτοὺς φίλους ποιησώμεθα. μαμωνᾶν γὰρ ἀδικίας τὴν πλεονεξίαν καλεῖ. δέχεται δὲ καὶ ταῦτα διὰ τῶν πενομένων ὁ θεός, ἂν μόνον τοῦ λοιποῦ τὸ ἁμαρτάνειν διαφυλαξαίμεθα. καλὸν γὰρ κἂν διὰ τῶν τῆς πλεονεξίας χρημάτων φίλους κτᾶσθαι, ἵνα ὅταν ἐκλίπωμεν, μηδὲν ἕτερον ἔχοντες ζωτικὸν δικαίωμα, δι' ὧν αὐτοὺς εὖ ἐποιήσαμεν, εἰς τὰς ἑαυτῶν ἡμᾶς σκηνὰς οἱ ἠλεημένοι ὑποδέξωνται. εἰ δὲ μηδ' ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας ἤτοι τῆς πλεονεξίας εὖ ποιεῖν ἐθελήσομεν, πῶς ἂν πιστευθείημεν ὅτι εἰ προσῆσαν ἐξ οἰκείων κόπων ἡμῖν χρήματα, τούτοις ἂν τοὺς ἐνδεεῖς ἠλεήσαμεν; εἰ γὰρ ἃ χωρὶς μόχθου τινὸς καὶ πόνων δικαίων, ἐκ τοῦ ῥᾴστου δὲ καὶ πλεονεκτικῆς χειρὸς ἡμῖν προσεγένετο, τούτων οὕτω ῥᾳδίως κτηθέντων καὶ ἀλλοτρίων ὄντων κυρίως οὐδενὶ τῶν ἐνδεῶν μεταδιδόαμεν, ἃ καὶ οἰκεῖα δοκεῖ εἶναι καὶ πόνων καρποί, πῶς ἄν τινι τούτων μεταδοῦναι πιστευθείημεν; ὅτι ὁ προφήτης, φησί, λέγων „ὃν τρόπον ὁ ποιμὴν ἐκσπάσει ἐκ τοῦ στόματος τοῦ λέοντος σκέλος ἢ λοβὸν ὠτίου," αἰνίττεται διὰ τούτων ὡς οὐ χρὴ παντελῶς ὑπερορᾶν οὐδὲ τὸν ἐμπεσόντα εἰς αὐτὸ τὸ στόμα τοῦ διαβόλου, ἀλλὰ τὴν σφραγῖδα, ἣν ὁ ἄνθρωπος ἐν τῷ βαπτίσματι ἐδέξατο, ἐκ- 885 H. σπᾶν προσήκει ἀπὸ τοῦ διαβόλου, ἵνα μὴ τὴν παντελῆ ἀπώλειαν τοῦ λογικοῦ προβάτου ζημιωθῶμεν. τῶν γὰρ ἀλόγων ἔνια μὲν ἐπὶ τοῦ ὠτός, ἄλλα δὲ ἐπὶ τοῦ σκέλους σφραγίζονται· διὸ ἀνάγκην ἔχει ὁ ποιμὴν ἢ τὸ οὖς ἢ τὸ σκέλος ἐν τῇ ἀπαριθμήσει παρασχεῖν καὶ παραστῆσαι τῷ δεσπότῃ. ὁ δὲ τῶν λογικῶν προβάτων ποιμήν, ἐπεὶ τὰ πρόβατα, ὧν ἐστὶ ποιμήν, τὴν σφραγῖδα διὰ τοῦ βαπτίσματος καὶ τῆς ὁμολογίας τῆς πίστεως ἐπὶ τῆς ψυχῆς ἐδέξατο, κἀκεῖ τὸ σημεῖον τὸ δεσποτικὸν φέρει, εἰκότως ταύτην ἀποσπᾶν τοῦ διαβόλου πολλὴν σπουδὴν ὀφείλει ποιεῖσθαι, ἵνα, εἰ καὶ ταῖς ἄλλαις πράξεσι κατάβρωμα γένηται τὸ πρόβατον τοῦ πονηροῦ, ἀλλ' οὖν κἂν γοῦν τὴν σφραγῖδα τῆς πίστεως, ἣν ἐνεσημάνθημεν διὰ τοῦ βαπτίσματος τῇ ψυχῇ, δυνηθῇ ἐκεῖθεν ἀποσπάσας ἐν καιρῷ ἐπισκοπῆς ἐπιδεῖξαι τῷ δεσπότῃ, μέγα σύμβολον ἐπιφέρων τοῦ μὴ ἐκ τῆς ἰδίας ῥᾳθυμίας καὶ ἀπωλείας παραπολωλέναι τὰ πρόβατα. ὅτι ἐρωτῶν ὁ κύριος τὸν Πέτρον „Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων;" οὐκ αὐτὸς ὁ πάντα εἰδὼς θέλων μαθεῖν ἐπηρώτα· ἀλλ' ἐπεὶ ἔμελλεν αὐτῷ τὸ ποίμνιον καταπιστεύειν, ἵνα δείξῃ ὅσην ἔχει πρόνοιαν τοῦ ποιμνίου, τοῦτο ποιεῖ. ὁ γὰρ τὸν φίλτρῳ πολλῷ πρὸς τὸν δεσπότην ἀναπτόμενον ἐφιστῶν τῷ ποιμνίῳ, τὴν ὅσην περὶ τὰ πρόβατα διάθεσιν παρίστησιν ἀναμφιβόλως. διὰ τὴν αὐτὴν αἰτίαν καὶ τρίτον ἐρωτᾷ, τὴν πολλὴν περὶ τὰ λογικὰ πρόβατα ἐπιμέλειαν ἐνδεικνύμενος. ἅμα δὲ καὶ βαθμόν τινα τῶν ποιμαινομένων διέξεισιν, ἀρνία πρότερον ποιμαίνειν ἐγκελευόμενος, εἶτα προβάτια, ἃ πρόβατα ὄντα, διά τινα πταίσματα κατασμικρυνθέντα τῆς ἀρετῆς καὶ τῆς τελειότητος, εἰς προβάτια ἀνθυπέστρεψε· καὶ λοιπὸν τὸ τρίτον τὰ τέλεια ἐπιφέρει πρόβατα. ἀρνίοις οὖν εἰκάζονται οἱ ἔτι γάλακτος καὶ στοιχειώδους διδασκαλίας δεόμενοι, προβατίοις δὲ οἱ διά τινα παραπτώματα κατασμικρυνθέντες τῆς τελειότητος, προβάτοις δὲ οἱ εἰς τὸ τέλειον ἀναβεβηκότες καὶ 1613R τῆς πίστεως καὶ τῶν πράξεων. καὶ σκόπει ὅπως προτάττει τὰ ἀτελῆ τῶν τελείων· προηγούμενος γὰρ τῷ δεσπότῃ

a. 3. ταῦτα C: τοῦτο ς. 6. titulum om C. 11. οὖν om C. 23. φασὶ C. 28. φίλους om C.
b. 18. κἂν] κανὸν C.



Digitized by Google

σκοπὸς ἡ τῶν ἁμαρτωλῶν σωτηρία. „οὐ γὰρ ἦλθόν" φησι „καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν."

Ἐκ τοῦ δ' λόγου.

ὅτι μέγα μέν, φησίν, ἄνθρωπος, καθ' ὃ εἰκὼν θεοῦ ϗ χερσὶ θείαις ἐπλάσθη· τίμιον δὲ ἀνὴρ ἐλεήμων διὰ τῶν δεσποτικῶν ἐντολῶν γίνεται, τὴν τιμὴν ἑαυτῷ δι' ὧν πράττει κατασκευαζόμενος. ὅτι ὁ μακάριος, φησί, Παῦλος λέγων „ἐγὼ οὐ λογίζομαι ἐμαυτὸν κατειληφέναι· ἓν δέ, τῶν μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος" καὶ τὰ ἑξῆς, εἶτα ἐπάγων „πλὴν εἰς ὃ ἐφθάσαμεν, τῷ αὐτῷ κανόνι στοιχεῖν," κανόνα λέγει τοῦ κατὰ θεὸν δρόμου τὸν προαποδεδομένον. ποῖον τοῦτον; τὸ λήθην μὲν ποιεῖσθαι τῶν
886 H. προκατωρθωμένων, ἐνακμάζειν δὲ ϗ ἐπεκτείνεσθαι τοῖς ἔμπροσθεν, ὡς ἄρτι τῶν ἀγαθῶν πράξεων ἀπαρξαμένους, πάντοτε τὸ σήμερον ϗ ἐννοοῦντας ϗ λέγοντας ἑαυτοῖς, ἄχρις οὗ τὸ τέλος τῆς ζωῆς ἡμῖν ἐπιστῇ. δεῖ γὰρ μέχρι τότε τὸν κατὰ θεὸν τρέχειν ἡμᾶς δρόμον καὶ πρὸς τὸν ἀντίπαλον ἀνταγωνίζεσθαι. ὅτι εἰπών, φησίν, ὁ ἀπόστολος „κρεῖσσον γαμῆσαι ἢ πυροῦσθαι" πύρωσιν τὴν εἰς ἀσέλγειαν ἄγουσαν εἶπε, βέλτιον λέγων ἐννόμῳ γάμῳ τὸ ἀσθενὲς ψυχαγωγῆσαι τῆς φύσεως ἢ τοῦτον ἐκκλίνοντα διὰ τῆς πυρώσεως ἀναφλεγῆναι πρὸς ἀσέλγειαν. ὅτι τὸ „μηδεὶς πειραζόμενος λεγέτω ὅτι ἀπὸ θεοῦ πειράζομαι" ϗ τὰ ἑξῆς ἰδίως οὗτος ἐπὶ τοῦ κατὰ τὴν πορνείαν ἐκλαμβάνει πειρασμοῦ. ἕκαστος γάρ, φησί, διὰ τῆς θέας τὴν ἐπιθυμίαν δεξάμενος ἑαυτῷ τὸν πειρασμὸν προξενεῖ, οὐκ ἔξωθεν μόνον ἔχων προσπαλαίοντα, ἀλλὰ ϗ ἔνδοθεν ὑφ' ἑαυτοῦ ἀναπτόμενον. ἐγκειμένης γὰρ τῆς ἐπιθυμίας πρὸς τὴν ὄψιν τῆς θεαθείσης ϗ εἰδωλοποιούσης αὐτὴν ἐν τῇ ψυχῇ ὁ πειρασμὸς αὔξει ϗ αἱρεῖται, ὃν αὐτοὶ ἑαυτοῖς διὰ τῆς θέας ἀνήψαμεν. λοιπὸν δὴ τοῦτο τὸ ἔμβρυον τῶν ϗ ἐμπαθῶν λογισμῶν τῷ χρόνῳ τρέφουσα ϗ διαπλάττουσα ἡ δεξαμένη καρδία κυοφορεῖ τε ϗ ἀπογεννᾷ τὴν ἁμαρτίαν, ἧς ἐστὶν ὁ θάνατος ἀποτέλεσμα. ὅτι τὸ „εἰ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε" καὶ τὰ ἑξῆς ἀναπτύσσων, ὀφθαλμοὺς φησιν ἐνταῦθα τὸν σωτῆρα τοὺς τῆς καρδίας αἰνίττεσθαι λογισμούς· ὃν ἐκκόπτεσθαι κελεύει, ὅταν εἰς ἁμαρτίαν ἀπάγῃ, ἐκκόπτεσθαι δὲ διὰ τοῦ ἐπιλογισμοῦ κατασελλόμενον ϗ ἀποῤῥιπτόμενον τῆς ψυχῆς. χεῖρα δὲ τὴν πρᾶξιν δηλοῦν, ἥν, ἐπειδὰν εἰς ἁμαρτίαν τρέπηται, ἐκκόπτειν αὐτίκα χρὴ τῇ τῆς ἀρετῆς ὀξείᾳ ϗ ταχείᾳ ἐπαγωγῇ. ϗ ὁ ποὺς δὲ τῶν ἐν τῷ βίῳ διαβημάτων ϗ τῆς πολιτείας τὴν κίνησιν ὑποδηλοῖ· ἥν, ὥσπερ ϗ τὴν χεῖρα ϗ τὸν ὀφθαλμόν, ἐκκόπτειν προσήκει, ἀγαθῇ κινήσει τὴν πονηρὰν διακόπτοντα. οὕτω μὲν οὗτος παρὰ τοὺς ἄλλους ἀναπτύσσειν ἔγνω τὸ ῥητόν, ἴσως συντελούσης αὐτῷ τῆς τοιαύτης ἀναπτύξεως εἰς τὴν κατὰ τῶν Ναυατιανῶν μάχην, οἳ ῥᾳδίως ἀφ' ἑαυτῶν τοὺς ϗ μικρόν τι παρασφαλέντας ϗ ἀπὸ τῆς ἐκκλησίας ἐκκόπτεσθαι βούλονται. δεῖ οὖν, φησίν, ἀφελομένους τὸν τὰ ἐναντία βλέποντα ὀφθαλμὸν ϗ τὴν μεριζομένην πρᾶξιν ϗ κίνησιν εἰς τὸ πονηρόν, μονοτρόπως ὁρῶντας ϗ πράττοντας τὸ ἀγαθὸν ϗ πρὸς αὐτὸ κινουμένους μόνον, οἷον μονόχειράς τε ϗ μονόποδας ϗ μονοφθάλμους εἰς τὴν τῶν οὐρανῶν ἐπείγεσθαι εἰσελθεῖν βασιλείαν. ὅτι τὸ παρὰ τῷ Ἰὼβ 1616 B.
εἰρημένον „μυρμηκολέων ὤλετο παρὰ τὸ μὴ ἔχειν βοράν" τὸν διάβολόν φησιν αἰνιγματίζειν. ὡς λέων μὲν προέρχεται ὠρυόμενος ϗ τίνα καταπίῃ ζητῶν· ἡττηθεὶς δέ, οὐκέτι ὡς λέων ἀλλ' εἰς μύρμηκα συσταλείς, κατῃσχυμμένος ἀφίσταται ϗ διόλλυται, βορὰν ἐν ἀνθρώποις μὴ εὑρίσκων. βορὰ δὲ ϗ ἰσχὺς τοῦ διαβόλου ἡ ἐν ἀνθρώποις εὑρισκομένη ἁμαρτία· ἧς ἀπούσης ἐκεῖνος ὄλλυται.

ὅτι φησίν, Αὐτὸς ὁ διάβολος τὸν ἄνθρωπον καὶ 887 H.
ἐπὶ τὰ ἁμαρτήματα προκαλεῖται, ϗ πάλιν αὐτὸς κατὰ τοῦ πεισθέντος αὐτῷ ἔκδικος γίνεται τοῦ θεοῦ, ἐχθρὸς ϗ ἐκδικητὴς παρὰ τῆς γραφῆς ὀνομαζόμενος, ἐχθρὸς μέν, καθότι ταῖς θείαις ἐντολαῖς ἀντινομοθετῶν πείθει τοὺς ἀνθρώπους ἀντὶ τῶν κρειττόνων τὰ χείρονα αἱρεῖσθαι, ἐκδικητὴς δέ, καθότι πάλιν αὐτὸς ἀναγκάζεται τὸν ἁμαρτήσαντα κολάζειν· παράδοτε γάρ φησι τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου. ϗ ὅρα λοιπὸν φιλανθρωπίαν θεοῦ ϗ κακίαν τοῦ διαβόλου. ὁ μὲν θεὸς τὸν ἁμαρτήσαντα θέλων καθᾶραι παραδίδωσι διὰ τῆς ἀποστολικῆς φωνῆς ὡς δημίῳ τῷ διαβόλῳ ὁ δὲ ἔστηκε βουλόμενος ὡς λέων καταπιεῖν ὃν αὐτὸς ἔπεισεν ἐξαμαρτεῖν, καὶ οὐκ ἔγνω ὅτι τὸ σῶμα παρεδόθη αὐτῷ οὐχὶ εἰς πανωλεθρίαν ἀλλ' εἰς σωφρονισμόν, ἵνα τὸ πνεῦμα σωθῇ. τῆς γὰρ ψυχῆς οὐδεμίαν ἐγχειρίζεται ἐξουσίαν, ὡς δέδεικται ϗ ἐπὶ τοῦ γενναίου Ἰὼβ καὶ γὰρ ϗ ἐπ' ἐκείνου λαβὼν τῶν ἄλλων τὴν ἐξουσίαν, ἐπιτάττεται μὴ τολμῆσαι ἅψασθαι τῆς ψυχῆς, τουτέστι φρενῶν ἑκάστου μὴ ἐπενεγκεῖν. ϗ σημείωσαι ὅτι καὶ

a. 3. titulum om C. 11. τῷ C: ἐν τῷ ς. 16. σήμερον C: τήμερον ς.
b. 25. ante ἐχθρὸς et 543 a 8. ante ἀναγκάζεται omisi καὶ cum C.

ἐπὶ τοῦ δικαίου Ἰὼβ καὶ ἐπὶ τοῦ ἡμαρτηκότος ἐν Κορίνθῳ οὐ δέχεται τὴν τῆς ψυχῆς ἐξουσίαν ὁ πονηρός, μᾶλλον μὲν οὖν ὑπερορίζεται αὐτῆς. παραδίδοται γὰρ αὐτῷ καὶ ὁ ἐν Κορίνθῳ, ἵνα, φησί, τὸ πνεῦμα σωθῇ. ἐμπεσὼν γὰρ ὁ ἡμαρτηκὼς τῷ πειρασμῷ εἰς ὄλεθρον τῆς σαρκός, καὶ ταῖς ἀλγηδόσι τοῦ σώματος κατατρυχόμενος, ἐπεγνούς τε ἐκ ποίας ῥίζης αὐτῷ βλαςάνει τὰ ἀλγεινά, ἀναγκάζεται καὶ μὴ θέλων μισῆσαι τὴν ἁμαρτίαν καὶ πρὸς τὴν ἐπιςροφὴν δραμεῖν συνδιασώσασθαί τε τῷ σώματι τὴν ψυχήν. πῶς δὲ ἔλαβεν ὁ Σατανᾶς τὴν ἐξουσίαν κατὰ τοῦ ἡμαρτηκότος; ἀφοριαθέντος αὐτοῦ ἀπὸ πάντων, ἀπό τε τῆς ἐκκλησίας καὶ τῆς τῶν φρικτῶν μυςηρίων κοινωνίας. διὸ ἀξίως ἐπιτιμηθέντι καὶ πληγέντι καὶ ἐπιςραφέντι πάλιν χαριαθῆναι αὐτῷ, ὧν ἐκεκώλυτο, γράφει. ὧν ἀξιωθέντος οὐκέτι οὐδὲ τὴν ἐξουσίαν εἶχεν ὁ Σατανᾶς, ἥνπερ εἰλήφει κατὰ τοῦ σώματος αὐτοῦ. ὅτι φησί, Τοὺς μὲν ἀφ᾽ ἑαυτῶν ἐπιςρέφοντας εἰς μετάνοιαν ἐναγκαλιζόμενος ὁ κύριος ἀποδέχεται, τοὺς δὲ μὴ οἴκοθεν μετανοοῦντας σωφρονίζων ἀνακαλεῖται. καὶ ταύτην δὲ ἀναπτύσσων τὴν ἔννοιαν ὁ ἀπόςολος λέγει „εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ τοῦ κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν." τὸ δὲ „ἵνα μὴ σὺν τῷ κόσμῳ" οὐχὶ τῷ ποιήματι λέγει (καλὸν γὰρ τὸ τοῦ θεοῦ ποίημα), ἀλλὰ κόσμον νυνὶ τὴν ἐν τῷ κόσμῳ λέγει πονηρίαν, τὰ σκάνδαλα τοῦ πονηροῦ. διὸ καὶ ὁ κύριός φησιν „οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων αὐτοῦ." ὅτι τὸ „ἐπισκοποῦντες μή τις
888 H. ὑςερῶν τῆς χάριτος τοῦ θεοῦ, μή τις "ῥίζα κακίας ἐνοχλῇ" καὶ τὰ ἑξῆς περὶ τῶν λογισμῶν εἰρῆσθαι τῷ ἀποςόλῳ φησί, τουτέςι μή τις ᾖ λογισμὸς ἐν ὑμῖν
1617 B. "προσκείμενος ἔτι τῷ διαβόλῳ καὶ ὑςερούμενος τῆς χάριτος τοῦ θεοῦ. ὅταν γάρ τις λογισμὸς ὥσπερ τις ῥίζα πονηρίας ἐγκεχωσμένος ἐν ἡμῖν ᾖ, κἂν τοὺς πλείους δι᾽ ἐπιςροφῆς ἐξεῤῥιζώσαμεν, ἀλλ᾽ οὖν ἐκεῖνος ὁ ὑπολειφθεὶς κατὰ μέρος αὐξανόμενος καὶ εἰς ἐπιφάνειαν προελθὼν ἐπικρατέςερος γίνεται, καὶ μαίνει τοὺς ἄλλους τοὺς τὸ ἀγαθὸν μετιόντας λογισμούς. ἐκκόπτειν οὖν παραινεῖ πάσης ἁμαρτίας ῥίζαν, ἵνα διὰ πάντων ὁ ἄνθρωπος τὰς ἐντολὰς κυρίου ἀνενοχλήτως καρποφορῇ. ὅτι καὶ διὰ τῶν κυνῶν, φησίν, ἡ παραβολὴ ἀπηνέςερον ἐλέγχει τὸν πλούσιον ἐκεῖνον, οὗ πρὸ τοῦ πυλῶνος ὁ Λάζαρος ἔῤῥιπτο. οἱ μὲν γὰρ κύνες οἰκτείροντες αὐτοῦ τὴν πολλὴν ταλαιπωρίαν, ὅπερ ἠδύναντο ποιεῖν, ἔπραττον, περιλείχοντες καὶ οἷον ἀποσμήχοντες αὐτοῦ τὸ ἕλκος ταῖς γλώσσαις· ὁ δὲ καὶ τῶν κυνῶν περὶ τὸ ὁμόφυλον ἀπηνέςερος καὶ δι᾽ αὐτῶν ἠλέγχετο τῶν κυνῶν. διὰ τοῦτο κἀκεῖνον τὸ πῦρ ἀδυσωπήτως ἐπέρχεται. ὅτι τὴν παραβολὴν τὴν περὶ τὸν γάμον καὶ τοὺς καλοῦντας καὶ τοὺς καλουμένους καὶ μὴ ὑπακούοντας καὶ τὰ ἄλλα τὰ περὶ αὐτὴν οὕτως ἀναπτύσσει, γάμον μὲν τὴν βασιλείαν τοῦ θεοῦ, καλοῦντας δὲ τέως τοὺς προφήτας, καλουμένους δὲ πρῶτον τοὺς ἐξ Ἰσραήλ, οἳ οὐδὲ ἠθέλησαν εἰσελθεῖν. ὅθεν ἀποςείλας ὁ βασιλεὺς τὰ ςρατεύματα αὐτοῦ, ἤτοι τὴν Ῥωμαϊκὴν ἀρχήν, πάντας τοὺς μὴ ὑπακούσαντας ἐπὶ τὸ πιςεῦσαι τῷ κηρυττομένῳ Χριςῷ καὶ σωτῆρι ἡμῶν ἀπέσφαξε, καὶ τὴν πόλιν ἤτοι τὰ Ἱεροσόλυμα ἐνεπύρισε πυρί. καὶ λοιπὸν πέμπει δούλους ἑτέρους ἤτοι τοὺς ἀποςόλους, καὶ ἐξελθόντες εἰς τὰς ὁδοὺς καὶ φραγμούς... τουτέςι τοὺς εὐτελεῖς καὶ τῆς πόλεως τοῦ θεοῦ ἀναξίους, ἤτοι τοὺς ἔτι διεῤῥιμμένους τε καὶ ποικίλῃ πλάνῃ θεοῦ διαπεφραγμένους, τούτους καλοῦσι. καὶ ...... ἢ οἱ δοκοῦντες οἰκεῖοι τῇ κλήσει ὑπακούουσι. καὶ μαθητεύουσιν ἀπόςολοι πονηροὺς τε καὶ ἀγαθούς. ἐν δὲ τῇ συντελείᾳ· τότε γὰρ ὁ γάμος πληροῦται τῶν ἀνακειμένων, τότε καὶ τοὺς κεκλημένους ὁ βασιλεὺς φιλοινεῖ, καὶ οὐδένα ἐξωθεῖ πλὴν τοὺς οὐκ ἐνδεδυμένους ἔνδυμα γάμου, ἤτοι ὅσοι τὸ τῆς ἀφθαρσίας ἔνδυμα οὐκ ἐνεδύσαντο διὰ τοῦ βαπτίσματος· καὶ οὐδὲ εἶχον ἔνδυμα· καὶ ἢ καθαρὸν αὐτὸ ἀμφιέννυντο, ἢ καὶ ῥυπώσαντες ἐλεημοσύνης καὶ τῆς μετανοίας ἀπεπλύναντο· καὶ εἰς τὸν νυμφῶνα εἰσάγει φιλοφροσύνης τοῦ νυμφίου μετόχους ἀποφαίνει.

### Ἐκ τοῦ ε´ λόγου.

ὅτι „ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου," ᾄδει ὁ Δαυίδ· [ταὐτὸν] πράττειν φησὶ καὶ τοὺς ἐν τῇ Ἀλεξανδρείᾳ Ναυατιανούς, κατὰ τῶν μαρτύρων τοῦ Χριςοῦ κενολογοῦντας παριςῶν· φησὶν ὅτι κατὰ τὴν "μέλλουσαν ἡμέραν οὐκ ἂν ἕξουσιν 889 H. ἀπολογίαν, οὐδὲ διᾶραι ςόμα καὶ κινῆσαι χείλη δυνήσονται, ὅτι ἐν τῷ παρόντι κατὰ τῶν Χριςοῦ μαρτύρων τὴν γλῶσσαν ἠκόνησαν. ὅτι τὸ περὶ Ἀλεξάνδρου τοῦ χαλκέως εἰρημένον παρὰ τοῦ ἀποςόλου „Ἀλέξανδρος χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο· ἀποδώσει αὐτῷ κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ" οἱ μὲν ἄλλοι τῶν πατέρων οὐκ ἀρὰν εἶναί φασι τὸν λόγον, ἀλλὰ μόνον ἀπόφασιν

a. 19. ἀποδέχεται C: ἐπιδέχεται ς. 21. ἐκρίνομεν C: διεκρίνομεν ς. 22. τοῦ om C. 29. τῆς C: ἀπὸ τῆς ς. 31. ὑμῖν C: ἡμῖν ς. 35. ὑπολειφθεὶς] in secunda huius vocis syllaba desinit C: cui reliqua adscripsit nescio quis bibliothecarius Parisiensis.

Digitized by Google

1620 B. ὧν ἔμελλεν ''Ἀλέξανδρος πείσεσθαι ὑπὸ κυρίου, οὗτος δὲ ἀρὰν ἄντικρυς εἶναί φησι, ϗ ἐπενηνέχθαι Ἀλεξάνδρῳ διὰ τὸ ἀμεταμέλητον ϗ ἀνεπίστροφον τῆς αὐτοῦ μοχθηρίας. ὅτι ὁ Δαβίδ, φησί, περὶ τῶν διὰ θλίψεως δικαιωθέντων λέγων „φυλάσσει κύριος πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται" δείκνυσιν ὅτι ζωτικὴ ..... ἔχουσι,' ϗ παρέχειν ἐστὶν ἱκανὰ τοῖς προσιοῦσιν ἰάματα. διὰ γὰρ τὰ αὐτὰ τὰ νῦν ὑπὸ τοῦ κυρίου φυλασσόμενα ὀστᾶ, ἑνωθέντα ἀλλήλοις, ἀπολαμβάνει ..... τὴν οἰκείαν ψυχήν, καὶ κοινωνεῖ τῶν ἐπάθλων, ἃ ἐν τοῖς ἄθλοις ...... ϗ πολλὰ μὲν ἐστι ϗ ἄλλα λαβεῖν εἰς ἀπόδειξιν, ἐνεῖναι δύναμίν τινα τοῖς τῶν ἁγίων ὀστέοις, δηλοῖ δὲ ϗ ὁ νεκρὸς ὃν οἱ κομίζοντες κατά τινα ἐχθρῶν ἐπιδρομήν, μὴ δυνηθέντες τῷ εὐτρεπισθέντι τάφῳ παραδοῦναι τῆς περιστάσεως αὐτοὺς ἐμβιαζομένης, τῷ τάφῳ ἔνθα τὰ ὀστᾶ τοῦ ἀνθρώπου ἐτέθαπτο ... θεοῦ συγκατέθαψαν. ϗ γὰρ ὁ νεκρὸς πελάσας τοῖς τοῦ προφήτου λειψάνοις θᾶττον λόγου τοῦ τάφου ἀνίσταται, ϗ δρόμῳ τὸν οἶκον καταλαβὼν ἐξετάζεται ἔμψυχος στήλη ϗ ἀπόδειξις τοῖς τῶν ἁγίων προτεθειμένος. ϗ πολλὰ ἄλλα. ὅτι τὸ μὲν ἀφεθῆναί φασι τὰς ἁμαρτίας διὰ τοῦ βαπτίσματος [τῶν μὲν ἄλλων μακαρίζων τοὺς τοιούτους, τοῖς δὲ] περιγίνεται ϗ ἀφεθῆναι δι' ἐξομολογήσεως ϗ μετανοίας. εἰσὶ δ' ἄλλοι τῶν πατέρων, οἳ ἄλλως τὴν τοῦ ῥητοῦ ποιοῦνται ἀνάπτυξιν. ὅτι φησίν, Οὔ μοι δοκῶ ἀκριβῶς λέγειν, ὅτι τρία τάγματα τῶν ἀνθρώπων ὁ ἀπόστολος μηνύει, ἓν μὲν τῶν μαρτύρων ϗ δικαίων, οὓς οὐ [κρίνεσθαι] δεομένους ἀλλὰ κριτὰς αὐτοὺς ἀποφαίνει κατὰ τὸ εἰρημένον φησὶν „οὐκ οἴδατε ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσι"; δεύτερον δὲ μὴ κρι[νομένων] τῶν ἀσεβῶν τυγχάνει, τῶν μὴ λελατρευκότων θεῷ· ἀναστήσονται μὲν γὰρ ϗ οὗτοι, εἰς κρίσιν δὲ οὐκ ἀχθήσονται, ἀλλ' εἰς [κατάκρισιν]· ϗ γάρ φησιν ὁ Δαβίδ „διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει μετὰ κρινομένων." τρίτον δ' εἶναι τάγμα, ὃ θεοσεβεῖν ᾑρετίσατο, πταίσμασι δὲ πολλοῖς ἐνέχεται, ὧν ϗ ἡ κρίσις ἔσται πρὸς ἀπολογίαν ἐκκαλουμένη, ὧν [ἕτεροι ἑτέροις ἐκοίν]ώσαμεν. οὕτω μὲν ὁ Εὐλόγιος. ἀλλ' οὔτε τὸ κριτὰς συγκαθεσθῆναι τῷ Χριστῷ ἀκριβῶς λόγος δίδωσιν, οὔτε τὸ μὴ πάντας παραστῆναι τῷ βήματι· ἀεὶ γὰρ ϗ οἱ ἀσεβεῖς αὐτοκατάκριτοι. ἀλλ' οὖν λόγον ἀπαιτούμενοι τὴν κρίσιν ....οῦσι. ϗ τὸ ἀποστολικὸν δὲ ῥητὸν οὐ συγκαθίζει Χριστῷ κριτὰς τοὺς ἁγίους, ἀλλὰ ἔλεγχον τοῦ κόσμου καὶ κατάκρισιν τῶν ὅσοι μὴ κατ' ἐκείνους ἐπολιτεύσαντο παρίστησιν ἔσεσθαι, ὥσπερ λέγει 290 B.
ϗ ἐν τοῖς εὐαγγελίοις Νινευΐτας ϗ βασίλισσαν νότου τὴν τότε κατακρίνειν ἀπίστως ἔχουσαν τῷ Χριστῷ γενεάν.

ὅτι ὁ Δαυὶδ τὰ τρία προσαγορεύει τάγματα διὰ τούτων τῶν ῥημάτων. „διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει·" ἰδοὺ τὸ ἔσχατον τάγμα. „οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων·" ἰδοὺ τὸ ἐχόμενον. „ὅτι γινώσκει κύριος ὁδὸν δικαίων·" ἰδού, φησί, ϗ τὸ ἄριστον τάγμα. ϗ τούτων ἕκαστον ἰδίαν ἔχειν ἐκνενεμημένην αὐτῷ δι' ὧν ἔπραξε χώραν.

### '''Ἐκ τοῦ ϛ' λόγου. 1621 B.

ὅτι ἐν τῷ ἕκτῳ λόγῳ ἐλέγχει τὸ φερόμενον Ναυάτου ψευδομαρτύριον, ὃ ϗ εἰς Ναυάτον μὲν [λέγει] ἕνα ὄντα τῶν ὑπὸ Μακεδόνιον ἐπίσκοπον Ῥώμης τεταγμένων ὀκτὼ πρεσβυτέρων μόνον τὸ μαρτύριον τῆς εἰς Χριστὸν ὁμολογίας διενεγκεῖν, τοὺς δὲ ἑπτὰ ἅμα Μακεδονίῳ ἐπιθῦσαι τοῖς εἰδώλοις· μεμαρτυρηκέναι δὲ σὺν αὐτῷ μόνους ἐκ πάντων σχεδὸν τῶν τῆς δύσεως Χριστιανῶν Μάρκελλον ϗ Ἀλέξανδρον ἐπισκόπους Ἀκυληΐας ϗ Ἀγαμέμνονα ἐπίσκοπον Τιβέρεως, οὓς ἅμα Ναυάτῳ μετὰ τὸ μαρτύριον ἰδίᾳ συνοικοῦντας ϗ συνάγοντας μὴ ἀνέχεσθαι τοῖς ἐπιτεθυκόσι συνιερᾶσθαι. ἐπιθεῖναί τε τούτους αὐτῷ τοὺς ἐπισκόπους τὰς χεῖρας, τὴν τῆς Ῥώμης ἀρχιερατικὴν ἀξίαν τελεσιουργούσας. γενέσθαι δὲ τὸ μαρτύριον Δεκίου μὲν καὶ Οὐαλερίου Ῥωμαίων βασιλεύοντος, Περεννίου δὲ δουκηναρίου τὴν κατὰ τῶν Χριστιανῶν ἀπόνοιαν ϗ τιμωρίαν ἐγκεχειρισμένου. καὶ μαρτύριον ἐκεῖνο τὸ γράμμα τὴν ἐπιγραφὴν ἔχει, οὔτε δὲ μάστιγας οὔτε ποινὴν ἢ βάσανον τὸν Ναυάτον διενεγκεῖν ἀναγράφει. καίτοι τῶν πώποτε ὠμότατον κατὰ Χριστιανῶν γεγονότων Περέννιον ἀναγράφων, εἰς διαλέξεις περὶ μαρτυρίου ἀλλοκότους Ναυάτου τὴν μαρτυρίαν περικλείσας, οὕτως αὐτὸν ἐξάγει τοῦ [ζῆν], ὀνείρων ἄνθεσιν ἐστεφανωμένον. τοῦτο δὴ τὸ κακόπλαστόν τε ϗ ἀδιάστατον γραμματίδιον ἐν τῷ ἕκτῳ αὐτοῦ διελέγχει λόγῳ. λέγει δὲ αὐτὸς τὸν Ναυάτον ἀρχιερατεύοντος Κορνηλίου Ῥώμης τὸν πρῶτον βαθμὸν τῶν διακόνων ἔχειν λαβόντα παρὰ Κορνηλίου, εἶναι δὲ τότε θεσμὸν τῇ ἐκκλησίᾳ Ῥωμαίων τὸν ἀρχιδιάκονον τελευτῶντος τοῦ ἐπισκόπου εἰς τὸν τῆς ἐπισκοπῆς ἀντιχειροτονεῖσθαι

a. 22. 28. 31. 33. 38. b 15. 35. et 545 a 6. quae uncis inclusa sunt, ea sola habet Rothomagensis. a 24. καὶ ἀφεθῆναι δι' Roth., καμφθῆναι δὲ Gen. et Hoesch. 29. αὐτὸν ἀποφαίνειν GH. 35. κρινομένων τρίτον δ' R, .....ριμένων GH. 36. δὲ ἢ πολλοῖς ... ἑτέροις ἐνέχεται GH.
b 34. περὶ μαρτυρίας R, ἁμαρ .... GH.

θρόνον· τὸν δὲ Κορνήλιον θείᾳ ἐμπνεύσει τὸ φίλαρχον ϗ νεωτεροποιὸν ἀνάξιον τοῦ τηλικούτου ἀξιώματος διορῶντα, εἰς πρεσβυτέρους χειροτονήσαντα μετατάξαι, τὴν πάροδον αὐτῷ τὴν εἰς τὸν ἀρχιερατικὸν θρόνον Ῥώμης παντελῶς ἀποκλείσαντα. τὸν δὲ καιροφυλακήσαντα τὴν νομισθεῖσαν [διατελεῖν]. Κορνήλιος ἄλλα τε τῶν ἡμαρτηκότων εἰλικρινῶς μετανοοῦντας, ϗ τοὺς ὅσοι προσεκύνησαν εἰδώλοις, σπλάγχνοις πατρικοῖς 891 H. ὀδυρόμενος προσεδέχετο. τοῦτο ἐκεῖνος πρόφασιν θέμενος, ἐῤῥάγη τε τῆς ἐκκλησίας ϗ Κορνηλίου κατηυθαδίσατο, καθαροὺς μὲν τοὺς ὅσοι αὐτῷ ἐπλήρουν τὸ κατὰ τῆς ἐκκλησίας ὀνομάσας σύνταγμα, Κορνηλιανοὺς δὲ τοὺς τὴν αὐτοῦ βδελυξαμένους φιλαρχίαν καὶ κατὰ τῶν μετανοούντων ἀπόνοιαν. Κορνήλιον μέντοι τὸν τῆς Ῥώμης ἐπίσκοπον μετὰ ταῦτα ϗ καλλινίκῳ μαρτυρίου τέλει τὸν βίον ἀναλῦσαι ὁ ἀρχιερεὺς Ἀλεξανδρείας Εὐλόγιος ἀναγράφει.

Ἔστι δὲ τὴν φράσιν ὁ ἀνὴρ οὐ τῶν ἐπὶ παιδείᾳ δυναμένων ἢ συγγραφῇ ὄνομα ἔχειν· ὅς γε οὐδ᾽ αὐτὸ τὸ σόλοικα καὶ ὑποβάρβαρα γράφειν ἐνίοτε παραιτεῖται. ἐν μέντοι τοῖς γραφικοῖς νοήμασι πολλαχοῦ οὐδὲ τῶν ἀρίστων ἀπολείπεται. τὸ πιθανὸν δὲ καὶ ἡδύ, ὡς τοιαύτῃ φράσει, οὐκ ἀδύνατός ἐστιν ἐνεργάσασθαι.

1623 R. Ἃ μὲν οὖν φιλολογουμένοις ἡμῖν καθ᾽ ἑαυτοὺς εἰς ἀνάμνησιν ἐλθεῖν συνηνέχθη, χωρὶς ὧν ἡ σπουδὴ ϗ μελέτη τέχνας φιλεῖ ϗ ἐπιστήμας ἐργάζεσθαι, ἀφ᾽ οὗ πέρ τις αἴσθησις ἡμῖν ἀμηγέπη ϗ κρίσις λόγων ἀνεφύη μέχρι τῆς παρούσης τῶν ἀνεγνωσμένων ὡς ἐν τύπῳ συνεκδόσεως, εἰς τοσοῦτον οἶμαι συνάγεσθαι πλῆθος, τριακοσιοστῷ ϗ πεντεκαιδεκάτῳ μέρει προελθεῖν ἄχρι τῶν τριακοσίων κωλυόμενον. σὺ δ᾽ ὦ τῶν ἐμοὶ κεκοινωνηκότων μητρικῶν ὠδίνων ἐρασμιώτατε, εἰ μὲν ταύτην τὴν πρεσβείαν διανοοῦντα τὸ κοινὸν ϗ ἀνθρώπινον καταλάβοι τέλος, ἔχεις τὴν αἴτησιν τῆς ἐλπίδος οὐ διαμαρτοῦσαν, φιλίας τε ἅμα ϗ παραμυθίας ὑπόθεσιν καὶ ἀνάμνησιν, ϗ δὴ ϗ ἀπαρχὴν ϗ τελευτὴν ἀφοσιουμένην τῶν σῶν κατὰ λογικὴν θεωρίαν αἰτήσεων τὴν ἐκπλήρωσιν. εἰ δ᾽ ἐκεῖθεν ἡμᾶς ἀνασωσάμενον τὸ θεῖόν τε καὶ φιλάνθρωπον νεῦμα εἰς τὴν ἀλλήλων θέαν καὶ προτέραν ἀπόλαυσιν ἀποκαταστήσει, τάχα ἂν ἑτέρων ἐκδόσεων οὐκ ἐλαττόνων ἀρχὴ ταῦτα εἴη, παραπλησίῳ τύπῳ παρεχομένων σοι τὴν ὠφέλειαν.

Τέλος ϗ τῷ θεῷ τῷ πανοικτίρμονι δόξα εἰς αἰῶνας αἰώνων. Ἀμήν.

a. 6. τὴν] τοῦ GH. v. 17. διανοοῦντα R, διανοούντων GH. malim διανύοντα.

# INDEX.


ᾱ unde nomen traxerit 151 *b* 9.
Abaris 374 *a* 5.
Abae Arabiae civitas 377 *a* 37.
Abas scriptor 150 *b* 23.
Abasgi Armeniorum socii 26 *b* 37.
Abderus Patrocli frater 150 *b* 32. Herculis amasius 147 *b* 20.
Abdymon Citiensis 120 *a* 19.
Abibus Gamalielis f. baptizatur 118 *a* 28.
Abinna s. Abyla Africae promontorium 328 *a* 23.
Abraamus 345 *b* 23.
Abrames Nonnosi pater ab Iustino ad Alamundarum, ab Iustiniano ad Caisum legatur 2 *a* 29 et 37.
Abron v. Habron.
Abydus a Xerxe ponte iungitur 39 *a* 20.
Abyla v. Abinna.
Acacius Beroeae ep. 17 *b* 28. 81 *b* 15.
Acacius Caesareae Palaestinensis ep. 8 *b* 18. 482 *b* 32.
Acacius Constantinopolis ep. 9 *a* 23.
Acacius Melitenae ep. 116 *b* 22. Cyrilli ad hunc epistola 257 *a* 36. 262 *b* 15. 270 *a* 42.
Acacius presbyter adv. Chrysostomum testimonium dicit 19 *a* 39.
Acacius Scythopolis ep. 117 *b* 19. ad eum Cyrillus 253 *a* 9.
S. Acacii ecclesia Constantinopoli 476 *b* 44.
Academiae reditus 346 *a* 35.
Academici quid a Pyrrhoniis differant 169 *b* 36.
Acarnanes in Romano exercitu 390 *a* 7.
Acastus Peliae f. quo morbo perierit 533 *a* 5.
accipiter nunquam sitit 342 *b* 35.
Acephali 286 *b* 27. 241 *a* 39. 245 *b* 21. Leonem papam calumniantur 243 *a* 30. ad hos referuntur Cainitae et Theodosiani 244 *a* 11.
Acestaliae aves 148 *a* 31.
Acestoridae τὰ κατὰ πόλιν μυθικά 146 *a* 15.
Achaei αἰγιαλεῖς 534 *a* 29. eorum πολιτεία ab Aristotele scripta 104 *b* 42.
Achaemenides Artoxerxis frater 40 *a* 32.
Achaeus Creusae f. tetrapolin Achaicam condit 135 *b* 14.
Achaeus fugitivorum in Sicilia dux 385 *b* 26.
Achillas Petro Alexandriae succedit 470 *b* 11.
Achillas Arianus 470 *b* 29.
Achilles quem moderatorem habuerit 147 *a* 24. quomodo apud Lycomedem appellatus sit 147 *a* 19. e Deidamia liberos duos, ex Helena filium alatum suscipit 148 *b* 21. 149 *a* 19. inter praelia lyrae memor 373 *b* 23. ab Heleno vulneratur 151 *b* 34. a Penthesilea occisus reviviscit 151 *b* 30. quomodo mortuus sit 146 *b* 22. talum Damysi gerit 152 *a* 4. cur ποδάρκης vocetur 152 *a* 12. πυρίσσοος 152 *b* 30. equi eius vocales 443 *a* 3. insula in Ponto 133 *b* 18. scutum ad Aiacis tumulum eiicitur 150 *b* 10.
Achilles omnes clari 152 *a* 34.
Achilles canes 152 *b* 8.
Achilles canus a puero 152 *b* 6,
Achilles Chironis magister 152 *a* 37.
Achilles Iovis et Lamiae f. 152 *a* 40.
Achilles Lysonis f. ostracismum invenit 152 *a* 39.
Achilles terra genitus 152 *a* 29.
Achillis Tatii Alexandrini τὰ περὶ Λευκίππην καὶ Κλειτοφῶντα cod. 87. Heliodoro similis 66 *a* 24. sed impurior 73 *b* 31.
ad Achillium scribit Heraclianus 65 *b* 31.
Acholius Thessalonic. ep. 477 *a* 24.
ἄχρι Atticum, ἄχρις Ionicum 535 *b* 1.
ἄκοπα χρίσματα 175 *a* 18.
Acores Aegyptius cum Pisidis societatem init 120 *a* 4.
Ἀκρεῶτις 144 *a* 39. *b* 22.
Acridophagi 453 *a* 32.
Acromitae sophistarum Atticorum antistites 60 *b* 30.
Acridophagi 453 *a* 32.
ἀκτή i. q. Ἀττική 534 *a* 26.
Actylus Zetae et Aëdonis f. 531 *a* 20.
Adami corpus an immortale fuerit 105 *a* 42. cf. 289 *b* 38 et 40.
Adaulfus Alaricho succedit 57 *a* 40. ad Iovinum se confert 58 *b* 22. Placidiam redditurum se negat 59 *a* 15. Massiliam aggressus a Bonifacio vulneratur 26. Placidiam uxorem ducit *b* 14. Romanorum amicitiam magis amplectitur *b* 36. interficitur 60 *a* 2. liberi eius interimuntur 14.
Adda 65 *b* 8 et 16.
Adea Cynanae filia, Aridaei uxor 70 *b* 6.
Adelphiani v. Messaliani.
Adelphianus laicus Messalianorum haeresiarcha 12 *b* 23. liber eius asceticus 13 *a* 30.
ἀδελφόθεος Iacobus 90 *a* 10.
Adiabene a Tigrane Phradati offertur 239 *a* 15.
ἀδιναὶ μέλισσαι 535 *b* 22.
Adolius Ephesius 468 *a* 28.
ἀδωνίδεια melici poëmatis genus 320 *b* 30.
Adonis hermaphroditus 151 *b* 5. Apollinis et Herculis amasius 151 *b* 7. 147 *b* 10. ab Apolline interficitur 147 *a* 1. a Cocyto curatur 146 *b* 32. idem Osiridi 343 *a* 21.
Adrastus Gordiae f. Agathonem occidit 146 *b* 36.
Adrianus v. Hadrianus.
Adulis Aethiopiae urbs 2 *b* 35.
Aedesia Hermiae uxor 341 *b* 2.
Aëdon Pandarei filia 531 *a* 21.
Aegae Ciliciae 340 *b* 16.
Aegeidis Ἑρμῆς 488 *b* 10.
Aegestaeorum servi tumultuantur 389 *a* 3.
Aegialenses 534 *a* 29.
Aegialus Cauni et Pronoës f. Caunum urbem condit 131 *a* 23.
Aegina ab Atheniensibus obsidetur 404 *a* 39. eo Demosthenes confugit 494 *b* 17.
Aegisthus e Clytaemnestra Helenam gignit 149 *b* 14.
Aegyptii hominum antiquissimi 335 *a* 22. cum Aethiopibus merces permutant 329 b 37. genitalia praecidunt 454 *a* 28. ab Atheniensibus adiuvantur 404 *a* 37. concilium Chalcedonense calumniantur 283 *a* 26. vestem linteam ab Athanasio poscuntur 478 *a* 27.
Aegyptus multis olim peregrinis habitata 380 *a* 11. ab Aethiopibus occupatur 488 *b* 39. in Cambysis potestatem redigitur 37 *a* 33. adversus Artoxerxem rebellat 40 *a* 27. fines eius 444 *b* 38. 449 *a* 11.
Aelii Dionysii ὀνόματα Ἀττικά cod. 152.
Aelius Dius περὶ Ἀλεξανδρείας 104 *a* 12 cf. p. 529 *b* 29. 532 *a* 24.
L. Aemilii Pauli funus 383 *a* 28.
M. Aemilius Paulus 382 *a* 13.
Aenea s. Aenus ab Aenea conditur 140 *b* 34.
Aeneas Anchisae et Veneris f. 140 *b* 18. post Troiam captam Idam incolit, mox Hectoris filiis cedit 20. Aeneam s. Aenum urbem condit 34. Laviniam ducit 16 *b* 11. Albam condit 140 *b* 38. bello perit 19.
Aeneas Sylvius 16 *b* 18.
Aenesidemi πυῤῥώνεια cod. 212. Aegensis 170 *a* 41.
Aenus v. Aenea.
Aeolenses Pelasgos Thessalia expellunt 139 *a* 27. eorum qui Arnea incolunt, Thebas obsident 321 *b* 1.
Aeolus Hellenis f. inter Asopum et Enipeum regnat 135 *b* 5.
Aesara Pythagorae filia 438 *b* 30.
Aeschines Atrometi f. cod. 61 et 264. Platonis auditor, Antalcidae discipu-


Digitized by Google

lus 20 *a* 40. eius de Thebarum interitu dictum 447 *a* 24. de Delo orationem suppositam censet Caecilius 20 *a* 9. in exsilium abeuntem prosequitur Demosthenes 493 *b* 31. 534 *b* 14. de revocando eo declamatio Himerii 354 *a* 20.
Aeschines Lysaniae f. Attici sermonis norma 20 *b* 23. 101 *b* 8 et 20. Socraticus 20 *b* 25. eius dialogi septem 101 *b* 21. de Themistocle iudicium 430 *b* 30.
Aeschylus norma Attici sermonis 101 *a* 13.
Aesculapius Apollinis f. 332 *b* 17. 352 *b* 11. et 15. Beryti i. q. Esmunus 352 *b* 15.
Aesepus fl. 233 *b* 12.
Aesernia Samnii urbs 392 *a* 13.
Aesopus Theta cognominatus 151 *b* 23. interfectus reviviscit 152 *b* 11. eius fabulae 332 *b* 17.
Aethilla Laomedontis filia a Protesilao capta 133 *a* 1.
Aethiopes Aegyptum invadunt 448 *b* 39. a Ptolemaeo bello petuntur 445 *b* 30, a Chosroë 26 *b* 25. minus quam Graeci ingenio excellunt 441 *a* 13. qualibus arcubus utantur 445 *b* 24.
Aethiopia olim Cephenia 442 *a* 15. tempestate varia 3 *a* 3. montibus altissimis 441 *b* 3. quantum distet ab Alexandria 455 *a* 1.
Aethiops piscis 460 *a* 39.
Aëthlius Iovis f. Endymionis pater 133 *a* 14.
Aethus Delphus 150 *a* 6.
Aëtius Amidenus cod. 221. cf. p. 123 *b* 31.
Aëtius Arianus 8 *b* 5.
Aetna 46 *a* 30. 139 *b* 23.
Aetolus Endymionis f. Aetoliam capit 133 *a* 15.
Africae urbes desertae ob leonum multitudinem 453 *b* 32.
Africani ἱστορικὸν cod. 34. idem ad Origenem de Susanna, ad Aristidem de Matthaei et Lucae dissensu scribit ib.
Africanum excerpit Vindanius 107 *a* 1.
Agamemnon Cinyram expellit 120 *a* 20. imperio exuitur 150 *b* 38.
Agamemnon ep. Tiburis 127 *b* 27. 544 *b* 22.
Agapius haer. cod. 179.
Agapius τετράγωνος τὴν σοφίαν 352 *a* 34.
Agatharchides Cnidius cod. 213. τὰ κατὰ τὴν Ἀσίαν 171 *a* 11. τὰ κατὰ τὴν Εὐρώπην 12. τὰ περὶ τὴν ἐρυθρὰν 14 et cod. 250, horumque ἐπιτομὴ 177 *a* 21. περὶ τρωγλοδυτῶν 23. ἐπιτομὴ τῆς Ἀντιμάχου Λύδης 24. περὶ θαυμασίων ἀνέμων 25. ἐκλογαὶ ἱστοριῶν 26. περὶ τῆς προσφιλοῦς ὁμιλίας 27. de Nilo 32 *a* 4. Thucydidem aemulatur 171 *b* 10.
Agathon ab Adrasto Gordiae f. interficitur 146 *b* 35.
Agathocles Lysimachi f. 225 *b* 8.
Agathocles Siciliae tyrannus figuli f. 530 *a* 32.
ἀγκάς 532 *b* 5.
ἀγχιδίκα 144 *b* 11.
ἀγέλαστος πέτρα 319 *b* 20.
Agelius Novatianorum ep. 476 *b* 15.
Aglaidas Iustinae amator 128 *a* 40.
ἀγλαοφωτίς 215 *a* 33.
Agnoitae haer. 88 *b* 28. 284 *a* 18.
ἄγος i. q. μύσος 538 *a* 8.
agnus bilinguis 149 *b* 26.
Agrippa Albae rex 16 *b* 31.
Agrippa ultimus Iudaeorum rex 6 *b* 27.
ἀγυιὰ λοξία 535 *b* 36.
Ἀγυιεὺς 145 *a* 2.
Agyrium Diodori Siculi patria 35 *a* 23.
Aiax Locrus Locros in proelio tuetur 133 *b* 11.
αἰγιαλὸς 534 *a* 27.
Αἰγύπτιος Helladii liber 536 *a* 4.
αἰσυμνήτης 535 *b* 9.
Ἀλαλκομένεια 144 *b* 24.
Alamundarus Saracenorum regulus 2 *a* 30. Antiochiae imminet 23 *b* 38. Phoeniciam incursat 26 *a* 8.
Alani Armeniorum socii 26 *b* 37.
Alani servi in Gerontium fides 58 *b* 14.
Ἀλανικὴ Arriani 17 *a* 27.
Alarichus a Stilichone ad Illyricum tuendum vocatus Romam expugnat 56 *b* 42. quantam mercedem a Stilichone acceperit 57 *a* 19. Attalum imperatorem facit 84 *b* 17. a Sicilia invadenda ἀγάλματι τετελεσμένῳ prohibetur 58 *a* 21. moritur 57 *a* 40.
Alba ab Aenea condita 35 *a* 61. 140 *b* 38.
Alba fl. 388 *a* 19.
Albani 22 *b* 19.
Albanus carcer 381 *b* 35.
ad Albinum scribit Ambrosius 271 *b* 29.
Albinus praefectus Syriae 53 *a* 27.
Albinus praefectus urbi 59 *b* 30.
Alcaei dictum 430 *a* 1.
Alcestis rediviva 443 *b* 14.
Alcetas frater Perdiccae 70 *a* 38. Cynanen tollit 41. damnatur 71 *a* 30. fugit 72 *a* 27. Eumenis societatem spernit *b* 8.
Alcibiades Hadriani corporis custos 83 *b* 25.
Alcibiades Socratis familiaris 418 *b* 24. moribus variis 372 *b* 3. a Cleophonte accusatur 377 *a* 18.
Alcides Caunius Zopyrum interficit 41 *b* 31.
Alcinous arguitur 11 *b* 19.
Alcinous Phaeacis f. 131 *a* 35.
Alcmanis κολυμβῶσαι 151 *a* 8.
ἀλεκτρυονῶδες 54 *a* 13.
Aletes Hippotae f. 135 *a* 29.
ἀλετρίβανος - δοίδυξ 532 *b* 30.
ἀλέτων - μύλος 533 *b* 8.
Alex fl. inter Reginos et Locros 131 *b* 34.
Alexander Alexandri e Roxane f. 64 *b* 14. 69 *a* 6.
Alexander Alexandriae episc. 470 *b* 13. Arium expellit 21, nec revocatum recipit 472 *b* 43. Athanasium puerum ecclesiae destinat 477 *b* 43. ad Metrophanem visit 472 *a* 27.
Alexander Amyntae et Peucestae pater 72 *a* 14.
Alexander Aphrodisiensis 172 *b* 10. 461 *b* 24.
Alexander Aquileiae ep. 127 *b* 26. 544 *b* 18.
Alexander Coelaesyriae et Antiochiae rex 377 *a* 33.
Alexander Cpolit. presbyter, mox ep. concilio Nicaeno interest 66 *a* 35. 474 *a* 10. moritur annos natus XCVIII 474 *a* 11.
Alexander Hierosolym. ep. Origenem probat 92 *b* 42. 291 *b* 26.
Alexander Iudaeorum pontifex et rex 53 *a* 4.
Alexander M. non Philippi sed Draconis f. 148 *a* 21. φιλέταιρος 146 *b* 30. Cratini studiosus 151 *a* 11. Theopompum patriae suae restituit 120 *b* 23. ἐπικήδειον scribit 148 *a* 8. ad pop. Rom. litteras dat 229 *a* 19. portas Caspias munit 22 *b* 38. Nili incrementum explorat 441 *b* 8. prope Indum stationem navalem habet 459 *b* 13. oratores Atticos exposcit 497 *a* 23. a solo Apelle pingitur, a solo Lysippo sculpitur 375 *a* 8. insidiatur ei Tityus 149 *a* 8, venenum ministrat Iolas 496 *a* 3. regnum eius dividitur 64 *a* 29. cf. Amyntianus, Arrianus, Cephalio, Dexippus, Praxagoras.
Alexander martyr 30 *b* 31.
Alexander medicus 123 *b* 31.
Alexander Myndius 147 *b* 23.
Alexander Pheraeus ab uxore interficitur 142 *a* 7.
Alexander Phocae minister 33 *a* 13 et 33. *b* 21.
Alexander Polysperchontis f. 72 *a* 16.
Alexander Priami f. v. Paris.
Alexander proconsul Phoebi pater 108 *a* 31.
Alexander Romanorum ad Chosroën legatus 24 *a* 26.
Alexander Severus imp. Dionis Cassii in consulatu collega 35 *b* 10.
Alexander tribunus militum 30 *b* 38.
Alexandri θαυμασίων συναγωγὴ cod. 188.
Alexandria quantum distet ab Aethiopia 455 *a* 1. statuae ibi sponte sedi-



Digitized by Google

bus suis motae 33 a 36. museum v. Aristonicus. scholas habet Hierocles 338 b 29.
Alexandrini Dionis Chrysostomi oratione admonentur 166 a 39. felices in somniando 335 b 27. Osirim eundem atque Adonidem colunt 343 a 21. Athanasio iterum expulso tumultuantur 475 a 22.
Alilaeorum gens 458 a 6.
AllorichusEusebiumcalumniatur58a4. spectante Honorio occiditur ib. 14.
Aloadarum statura 442 b 40.
Alogune Artoxerxis concubina 42 a 2.
ἀλὸς θείοιο 152 a 28.
Ἅλος πύργος 150 a 13.
Alpha ab Alpheo nomen traxisse 151 b 9. Mosis cognomen 529 b 27.
Alpheus presb. haer. 13 b 32.
Alpheus Rhinocorurorum ep. Lampetio defenso damnatur 13 b 28.
Althaemenes Heraclida Rhodum tenet 140 b 42.
Alypius Caesareae Cappad. ep. 13 a 40.
Amaltheae cornu 143 b 36. 368 b 14.
Amaphas e septem Persis 382 a 31.
Amasea 230 b 27.
Amasidis anima in leone 10 a 6.
Amastris Dionysii Heracl. et Amastridis filia 224 b 16.
Amastris Oxathrae filia Cratero, mox Dionysio Heracleensi nubit 224 a 24. liberorum suorum tutrix b 18. a Lysimacho repudiatur 34. a filiis necatur 225 a 7.
Amastris urbs 224 b 39. ab Eumene Ariobarzanae traditur 227 a 24. a Connocorige occupatur 237 b 8.
Amathusii Cinyrae genus 120 a 22.
Ambazuces Hunnus Caspias portas tenet 22 b 40. liberi eius a Cabade depelluntur 23 a 2.
Ambrosius Mediolani ep. ab Acephalis impugnatur 243 a 2. scribit ad Albinum 271 b 29: adv. Apollinarium 251 b 2. 257 a 23. 261 a 5: περὶ ἐνανθρωπήσεως 251 a 25. 257 a 1 et 24. 271 b 5: ad Gratianum 257 a 23.
Ambrus Caisi frater 2 b 14.
ἀμέλει 437 a 24.
Ameritae s. Homeritae 2 a 21.
Amestris Ochi filia, Terituchmae uxor 43 a 14 et 19.
Amestris Xerxis uxor 38 b 37 — 41 b 33.
Amida Armeniae urbs 22 a 34.
Aminias Narcissi amator 134 b 31.
Amisus 228 b 36. 235 a 29 et 41.
Ammon geometra 63 a 28.
Ammoniani asinus poëticae studiosus 339 a 31.
Ammonius αἰσχροκερδής 352 a 11.
Ammonius grammaticus Alexandrinus Constantinopoli degens 6 a 16. Hermiae f., mathematicus insignis 145 a 38. θεοδίδακτος 172 a 4. Damascii, Origenis, Plotini, Socratis magister 127 a 5. 173 a 21. 461 a 39. 6 a 16. Aristotelis studiosissimus 341 b 24, quem cum Platone consentire docet 461 a 31.
Ammonius praeest monasteriis Aegyptiis 82 a 1.
Amor a Thespiensibus maxime colitur 134 b 40. non ad omnes venit 368 a 22.
Amoraeus Derbicum rex 36 b 36.
Amorges Sacarum rex 36 a 30. Cyrum occisum ulciscitur 37 a 5.
Ampelius proconsul 108 a 29. b 3.
Amphiaraus unde nomen traxerit 148 a 36. terra hauritur 443 b 18.
Amphictyones ad Philippum confugiunt 490 b 23.
Amphilochius Iconii ep. concilii Sidensis praeses 12 b 9. ab Acephalis oppugnatur 243 b 3. cum Leone papa consentit 246 b 6. de incarnatione quid senserit 251 a 17. 257 a 6. ad Seleucum scribit 264 b 8.
Amphilochius Sidae ep. 13 a 7. 283 a 37.
Amphimachus Lyciorum rex 132 a 6.
Amphimachus Mesopotamiam et Arbelitidem sortitur 71 b 26.
Amphinomus Catanensis pietate insignis 139 b 29.
Amphion Labdae coniux 531 b 22.
ἀμφιπλήξ 532 b 4.
Amphipolis a Taxille capitur 231 a 22.
Amphitruo Cythnios occidit 533 a 16.
ἀμφουδίς 532 b 3.
Amulius Albae rex 16 b 35. 141 a 30. b 15.
Amyclas donum accipit Philonomus 137 b 16.
Amycus a Dioscurorum altero superatur 148 b 30. cum Iasone, non cum Polluce pugnat 150 a 20. sepulcrum eius 148 b 26.
Amyntas Macedonum dux 382 b 27.
Amyntas Perdiccae f. Cynanae coniux 70 b 2.
Amyntianus εἰς Ἀλέξανδρον cod. 131. idem Augusti et Philippi, Dionysii et Domitiani vitas comparavit 97 a 19.
Amyrtaeus Aegyptiorum rex a Cambyse vincitur 37 a 33.
Amytis Astyagis filia a Cyro ducitur 36 a 32. patrem ulciscitur b 20 — 29. magi dolum suspicatur 37 b 13. se ipsa interficit 38 a 2.
Amytis Xerxis filia 38 b 39 — 41 b 16.
ἀμύξ 532 b 3.
Anacharsis 374 b 36. 375 b 34.
Anacletus Romae ep. tertius 90 b 15.
ἀναλογιστικὴ αἵρεσις medicorum 107 a 21.
Ananias Macedo 319 b 30.
Anaphas Anaphae f. 382 a 36.
Anaphas Artamnis f. 382 a 31.
Anaphe insula 141 b 27.
Anapias Catan. pietate insignis 139 b 29.
S. Anastasiae marmora 18 a 5.
Anastasius 7 b 34.
Anastasius imp. 9 a 33. 2 a 27. 22 a 32. b 40. 88 a 36.
Anastasius Iustiniani ad Chosroën legatus 24 b 35.
Anastasius Theopolis ep. 287 a 29.
Anatolius praefectus orientis 21 b 31.
Anatolius scholasticus 249 a 38.
Anatolius Vindanius v. Vindanius.
Anaxagoras 357 b 8. 412 a 1.
Anaxagoras Cypriorum rex 44 b 24.
Anchialus opp. 27 b 7. 30 b 5.
Anchises 140 b 18 — 26.
Ancus Hostilius 15 b 23.
Ancus Marcius 15 b 24.
ἡ Ἀγχυλίων χώρα 387 b 28.
Ancyra a Trogmis condita 228 a 3.
Andocides cod. 261.
ἀνδράχλη 533 a 26.
Andragathius philosophus Io. Chrysostomi magister 79 a 9.
Andreae apostoli acta 125 a 4. monasterium Romae 466 b 32. laudes cod. 269.
Andreae monachi ad Eusebium ep. παραινετικὸν 105 a 19. alter eiusdem libellus b 14.
Andreas 32 b 34.
Andreas Byzantius 23 b 9.
Andria Artoxerxis concubina 42 a 6.
Androgeus 534 a 9.
ἀνδρογυνία 144 a 36. b 6.
Andromache Achilli supplicat 151 b 37.
Andromeda 138 b 24.
Andronicianus πρὸς Εὐνομιανάς cod. 45.
Andronicus Demosthenem actionem docet 493 b 4.
Andronicus Hermopolita dramatum poëta 536 a 12.
Andrus Anii f. insulae nomen indit 139 a 19. quam mox relictam Pelasgi incolunt 23.
angeli quando creati sint 289 a 40. singulos singulis regionibus praeesse 517 b 35.
Anius Apollinis et Creusae f. 139 a 18.
Anniceris Afer 432 b 27.
annulus castitatis 339 a 23. 353 a 4.
Anomoeus haer. 279 b 20 et 26.
ἀνοσίας Veneris in Thessalia templum 533 b 40.
Ansimuth dux Romanus 28 b 5.
Antalcidas Aeschinis magister 20 a 40. eius pax 120 a 31.
Antandrus a Pelasgis habitatur 139 a 12. unde nomen traxerit 15 et 23.
Antenor rerum Cretensium scriptor 151 b 15.

Digitized by Google

Arce Iridis soror 152 *a* 15.
Archelao res a Temeno gestas tribuit Euripides 444 *b* 29.
Archelaus Caesareae Cappad. ep. 13 *a* 32.
Archelaus Carrharum ep. adv. Manetem disputat 65 *b* 5.
Archelaus Constantii familiaris 480 *a* 27. 481 *a* 22.
Archelaus Cyprius 149 *b* 33.
Archelaus leprosus 79 *b* 23.
Archelaus Mesopotamiae praeficitur 64 *b* 28.
Archelaus Mithridatis dux 230 *b* 22. 231 *a* 24. 233 *a* 32. alius fortasse classi praefectus 232 *b* 32.
Archelaus Philopator 130 *b* 26.
Archemorus 533 *b* 33.
ἀρχέτυπον 532 *a* 22.
Archiadas Hegiae pater 349 *a* 24.
Archias Macedo 70 *a* 35.
Archias Thurius φυγαδοθήρας 69 *b* 40. 494 *b* 20. 496 *a* 26.
Archidamus rex Lacedaem. 102 *a* 38.
archidiaconus Romae episcopo succedebat 127 *a* 26.
Archigenem excerpit Aëtius 177 *a* 11.
Archilochus Parius 319 *b* 27. eius πίθηκος 437 *b* 36.
Archinus Lysiam civitate privat 490 *a* 3. ab Isocrate compilatur 487 *b* 34.
Archytas maior magister Platonis 438 *b* 18.
Ardaburius Asparis f. 55 *a* 11. ab Ioanne tyranno capitur 63 *b* 16 et 21. Isauros concitat 55 *a* 42. a Leone tollitur *b* 5.
Ardagastus 30 *b* 36.
Ardoates Armeniae rex 382 *b* 26.
Arelate 58 *a* 42.
Areobindus orienti praefectus 22 *b* 1.
Areopagus 496 *a* 13. 534 *a* 37. 535 *a* 22.
ἀρετὴ unde dicatur 311 *a* 24.
Aretha Saracenorum princeps 2 *a* 25. 24 *a* 3. 26 *a* 1.
Argarizus mons 345 *b* 20.
Argivorum Crotopo rege pestis 133 *b* 33. σπιταλισμός 534 *b* 33. de rubro mari fabula 442 *a* 20.
Argo ab Hercule fabricata 147 *b* 28. Cyzicum appellit 139 *a* 31, Cierum 233 *b* 25.
Argos Cypri urbs 153 *a* 14.
Argos sub Perseo habitari coeptum 139 *a* 11.
Argus Iasonis f. Herculis amasius 147 *b* 30.
Ariadnae insidiatur Psalacanthe 150 *a* 33.
Ariadne Leonis imp. filia 55 *b* 11.
Ariamnes I. Datamae f. Cappadociae rex 382 *b* 1.
Ariamnes II. Ariarathae f. 382 *b* 30.
Arianis Cpoli ecclesias adimit Chrysostomus 80 *b* 40. Alexandriae unam concedit Athanasius 482 *a* 37. ab Eustathio Antioch. impugnantur 240 *a* 33.
Ariaramnes a Dario Hyst. adv. Scythas mittitur 38 *b* 5.
Ariarathes I. Ariamnis f. 382 *a* 1.
Ariarathes II. Holophernis f. 382 *b* 11 et 13. 69 *b* 26.
Ariarathes III. Ariarathae II. f. patrium regnum recuperat 382 *b* 20.
Ariarathes IV. Ariamnis f. 382 *b* 33.
Ariarathes V. Ariarathae IV. f. 382 *b* 49.
Ariarathes spurius Ariarathae V. f. 383 *a* 2.
Ariarathes VI, qui et Mithridates, 383 *a* 5 et 10.
Aridaeus Philippi et Philinae f. 64 *a* 23. 69 *a* 4. Philippus nominatur 9. Adeam ducit 70 *b* 7. summae rerum praeficitur 71 *a* 29. Phrygiam obtinet 72 *a* 10.
Arimnaeus Datamae frater 382 *a* 38.
Ariobarzanes Cappadociae rex 232 *a* 32. 238 *b* 13.
Ariobarzanes Mithridatis f. 227 *a* 24. 228 *b* 31.
Arion chorum cyclicum invenit 320 *a* 30. νόμον excoluit *b* 6.
ad Aristidem scribit Africanus 7 *a* 21.
Aristides iustus laudatur 419 *b* 10. sagittarios Cretenses arcessit 39 *b* 19. filiam eius furatur Andocides 488 *a* 38.
Aristides rhetor cod. 246-8. Παναθηναϊκῷ 400 *b* 8. πρὸς Πλάτωνα ὑπὲρ ῥητορικῆς 409 *b* 11. laudibus effertur a Phrynicho 101 *a* 17. cf. 491 *b* 8 et 492 *b* 13.
Aristobulus Philippico exercitum reconciliat 28 *b* 13.
Aristodemus histrio 490 *b* 13.
Aristogiton Hyperidem παρανόμων accusat 495 *b* 32. huic quaedam Dinarchi orationes tribuuntur 496 *a* 1. Demosthenicae adv. eum orationes an spuriae sint 491 *a* 29. ἀπολογία πρὸς τὴν ἔνδειξιν Λυκούργου καὶ Δημοσθένους 38.
Aristolochus Eleus quadrigis vincit 84 *a* 4.
Aristonicus Alexandri σφαιριστής 146 *b* 27.
Aristonicus Marathonius Demosthenem coronat 494 *a* 19. cum Demosthene exsulat 69 *b* 35.
Aristonicus Tarentinus περὶ τοῦ ἐν Ἀλεξανδρείᾳ μουσείου 104 *b* 40. 147 *a* 18. *b* 22.
Aristonus Pisaei f. Alexandri dux 69 *a* 14.
Aristonymidas Cous pentathlus 83 *b* 38.
Aristophanes com. Attici sermonis norma 101 *b* 11.
Aristophanes gramm. περὶ ζώων 104 *b* 33.
ἄριστος 533 *b* 1.
Aristoteles Pythagorae successor 438 *b* 19. a Platone ἵππος nominatus 533 *b* 14. cum Platone consentit 171 *b* 34. quem dithyrambi auctorem fuisse tradat 320 *a* 32. de Nilo et de πελειάσιν quid existimet 441 *b* 6. 147 *a* 5. zodiacum obliquum esse vidit 440 *a* 9. πολιτεῖαι Ἀχαιῶν Θετταλῶν Κίων Λυκίων Παρίων 104 *b* 42. Isidori de eo iudicium 337 *b* 11 et 30. φυσικὴν ἀκρόασιν impugnat Iustinus martyr 94 *b* 23.
Aristoxeni σύμμικτα ὑπομνήματα 103 *b* 9.
Arius a conciliis Nicaeno et Chalcedonensi damnatur 66 *b* 6. 260 *b* 13. a Constantino revocatur 472 *b* 20. ab Athanasio non recipitur 478 *a* 14. Constantinopoli causam dicit 473 *a* 30. moritur *b* 25. adv. eum Athanasii libri 5 cod. 140 et Cyrilli θησαυροί 97 *a* 31. Eusebii de eo narratio 95 *b* 23 sqq.
Arius alius 470 *b* 29.
ἄρμα ἡ τροφή 533 *a* 37.
Armaton ad Chaganum legatus 31 *b* 37.
Armatus Zenonem reducit 54 *b* 15. Basilisci uxorem corrumpit 55 *b* 40. ad magnam potentiam evectus interficitur 56 *a* 1.
Arne ab Aeolibus obsidetur 321 *b* 1.
ἀρνεῖος mensis 134 *a* 1.
ἀρνὶς ἑορτή 134 *a* 2.
Arrianus Nicomedensis 73 *a* 35. Epicteti familiaris 17 *b* 12. Cereris sacerdos 73 *b* 2. eius Ἀλανική 17 *a* 27. τὰ κατὰ Ἀλέξανδρον cod. 91. coll. p. 17 *a* 24. τὰ μετὰ Ἀλέξανδρον cod. 92. Βιθυνιακά cod. 93. coll. p. 17 *a* 26. Δίων 73 *b* 6. Ἐπικτήτου διατριβαὶ καὶ ὁμιλίαι 17 *b* 18. Ἰνδικὴ 68 *b* 1. περὶ κομητῶν 460 *b* 17. Παρθικὰ 17 *a* 23. Τιμολέων 73 *b* 5.
Arsaces Armeniae rex 22 *a* 28. alius 324 *b* 8.
Arsaces Arsacis et Tiridatis avus 17 *a* 34.
Arsaces i. q. Artoxerxes Mnemon 42 *b* 7. 43 *a* 11.
Arsaces Tiridatis frater Parthiam a Macedonibus liberat 17 *a* 34.
Arsacius protopresbyter adv. Chrysostomum testimonium dicit 19 *a* 35. probris ab eo increpatur 525 *a* 20. expulso succedit 53 *b* 40.
Arsenius lector Alexandriae 480 *a* 35.
Arsinoë Darii filia Alexandro nubit 68 *b* 7.
Arsinoë Ptolemaei Philadelphi f. Lysimacho nubit 224 *b* 35, fratri 226

Digitized by Google

*b* 34. Heracleam dono accipit 225 *a* 35.
Arsinoë urbs 456 *a* 35.
Arsites Artoxerxis f. 42 *a* 3. ab Ocho deficit *b* 16. fraude captus perit 30.
Artabanus Bactrorum satrapa 40 *a* 23.
ἀρτάβας 229 *a* 7.
Artabrorum mulieres bellum gerunt 109 *b* 35.
Artamnes Smerdis f. 382 *a* 31.
Artapanus multum valet ap. Xerxem 38 *b* 33. ap. Thermopylas dux 39 *a* 25. Xerxem occidit 39 *b* 41. Artoxerxi insidiatur 40 *a* 6.
Artaphernes unus e septem magi interfectoribus 38 *a* 23.
Artarius Artoxerxis frater 41 *a* 14. ad Cyrum defecturus necatur 43 *b* 33.
Artasyras ab Artyphio vincitur 42 *b* 18.
Artasyras Hyrcanius Cambysi gratus 37 *a* 30. magum regem facit 38 *a* 13. conspirat adv. eundem 24. moritur 30.
Artemisia Leucade desilit 153 *a* 25.
ἀρτεμισία herba 150 *a* 37.
Artemo haereticus 12 *a* 14.
Artemonis Magnetis τῶν κατ' ἀρετὴν γυναιξὶ πεπραγματευμένων διηγημάτων 103 *a* 37.
Artibarzanes eunuchus 42 *b* 5.
ἄρτος unde dicatur 533 *a* 35.
Artoste Ochi filia 42 *b* 10.
Artoxares eunuchus 41 *a* 24 et 39. 42 *a* 34. 43 *a* 5.
Artoxerxes Longimanus 40 *a* 5—41 *b* 37.
Artoxerxes Mnemon ante regnum Arsaces 42 *b* 7. 43 *a* 11. Statiram ducit 43 *a* 13. regnat 43 *b* 5—44 *b* 42.
Artyphius Megabyzi f. 41 *a* 10. 42 *b* 17 et 30.
Arvaci 383 *b* 6.
Arxanes Aegypti praefectus 42 *a* 33.
Aryses Holophernis f. 382 *b* 11.
Asamonaeorum familia 52 *b* 37.
Asander Cariae praeficitur 64 *a* 40. 69 *b* 1 (ubi Casander). 72 *a* 8. ab Attalo vincitur 72 *b* 13.
Ascania palus 35 *b* 23.
Ascanius Creusae vel Laviniae f. 16 *b* 21 et 23. post Troiam captam in Ida regnat 139 *a* 16. Pelasgis Antandro cedit 13.
Asclepiadae 120 *a* 6.
Asclepiades phil. 342 *b* 20. 343 *a* 28.
Asclepiades τραγῳδουμένων scriptor, Isocratis auditor 486 *b* 41.
Asclepiodorus Adeae scriba 71 *b* 9.
Asclepiodotus 343 *b* 24. 344 *a* 36. *b* 12. 345 *a* 9. *b* 12. 346 *b* 2. Aphrodisiensis 343 *b* 36. Iacobi et Procli discipulus 344 *b* 23. 345 *b* 6.
Asclepiodotus Asclepiodoti gener 346 *b* 6.
Asclepius Constantii et Placidiae in Sicilia procurator numen eius insulae tutelare tollit 58 *a* 29.
Asculani adv. Romanos rebellant 391 *b* 12.
Ascus gigas 348 *a* 18.
Asiae fines 370 *b* 37.
asini Indici 48 *b* 19. 325 *a* 26.
asinus poësi delectatus 339 *a* 34. vaticinatus 340 *a* 11.
Asochaeus Aegypti rex 300 *b* 37.
Asopus fl. Aeoli regnum terminat 135 *b* 4.
Aspadates Cambysis eunuchus 37 *a* 31.
Aspamitres eunuchus Xerxem interficit 39 *b* 40. σκαφεύεται 40 *a* 14.
Aspar Alanus Leonem ad imperium evehit 55 *a* 8 et 33. adv. Ioannem mittitur 63 *b* 16. tollitur 3?? *b* 32.
Aspasius rhetor de Leptinea dubitat 492 *a* 39.
Aspendii 120 *b* 6.
Aspetus i. q. Achilles 147 *a* 21.
Aspeuedas Persa 22 *b* 15.
asphodelus saxum Gigonium movet 148 *a* 33.
Assaracus Trois f. Dardaniae rex 132 *b* 34.
Assyriorum res scripserunt Ctesias 35 *b* 37 et Nicolaus Damasc. 146 *a* 12.
Astabaras fl. 451 *b* 31.
Astacus Atheniensium et Megarensium colonia 228 *a* 6 et 13.
Astacus terrigena 228 *a* 9.
Aster Philippum oculo privat 149 *a* 4.
ἀστερίτης λίθος 153 *b* 24.
Asterius episc. Amaseae cod. 271. Scythae servi discipulus 502 *b* 40. Arianus non est 503 *b* 19.
ἀστράβη 533 *a* 31.
Astronoë apud Phoenices mater deum 352 *b* 18.
Astyages 36 *a* 9 sqq. *b* 20.
Astyanassa Helenae ancilla 149 *a* 28.
Astyigas Ctesiae, qui aliis Astyages 36 *a* 10.
Astymedes a Rhodiis ad pop. Rom. legatus 381 *b* 9.
Atarneus Thraciae urbs 530 *a* 34.
Athanasii vita cod. 258. cf. p. 244 *b* 22. 347 *a* 20. adv. Arium libri quinque cod. 140. cf. p. 255 *a* 27. comment. in Ecclesiastam et Cant. Cant. cod. 139. epistolae cod. 32. cf. p. 98 *a* 26: ad Epictetum 251 *b* 11; ad Iulianum imp. 259 *b* 24; ad virgines 257 *a* 33; ad Maximum phil. 257 *b* 11. de fide 258 *a* 15. de incarnatione 271 *b* 32. 259 *a* 27. 276 *a* 40. concilio Nicaeno interest 66 *a* 40 et 471 *a* 14; ab Antiocheno damnatur 83 *a* 21, a Sardicensi restituitur 22. cum Leone papa consentit 243 *b* 1. 246 *b* 3 et 21. Dionysium Alexandrinum defendit 291 *a* 30. Origenis multa probat *b* 18.
Athanasius sacerdos daemonum 129 *a* 31.
Athenae Helladii 536 *a* 4. a Sulla captae 231 *a* 14. regnum earum ab Erechthidis ad Melanthidas transit 138 *b* 18.
Athenaei δειπνοσοφισταὶ 103 *a* 32.
Athenaeus comes 108 *a* 28.
Athenagoras 293 *b* 6.
Athenienses Iones 135 *b* 17. coloniam emittunt Neleo duce 141 *a* 4. Astacum condunt 228 *a* 13. urbe relicta Salaminem petunt 39 *b* 11. Inaro auxilia mittunt 40 *a* 29. cum Boeotis de Oenoë certant 138 *b* 4, cum Deliis de templo 496 *a* 11. laudes eorum 354 *b* 19. 441 *a* 24. humanitas 534 *a* 35. euphemismus 535 *a* 4. servi tumultuantes 386 *a* 11. φαρμακοὶ 534 *a* 3.
Athenio fugitivorum in Sicilia dux 389 *a* 6.
Athenodori Eretriensis ὑπομνήματα 150 *a* 37.
Athenodorus pirata 84 *a* 30.
Athous Ochi eunuchus 42 *b* 5.
Atlas 443 *a* 40. 444 *a* 6.
Atossa Assyrii filia 132 *b* 34.
Atossa Cyri amita 382 *a* 28.
Atreus 444 *a* 21.
Atrometus Aeschinis pater 20 *a* 34.
ἄττα 531 *b* 26.
Attalus Adeae studet 71 *a* 10. a Rhodiis repellitur 72 *a* 32. Asandrum vincit *b* 12.
Attalus ab Alaricho imp. creatur 57 *a* 8. 84 *b* 17. Honorium obsidet 57 *b* 29. Adaulfum ad Iovinum amandat 58 *b* 22. eidem epithalamium dicit 59 *b* 26. ab Alaricho regno exutus occiditur 58 *a* 7.
Attes 345 *a* 6.
Attica prius ἀκτὴ 534 *a* 26.
Attica τετράπολις 135 *b* 10.
Atticus Cpolis ep. Messalianos eiicit 13 *a* 4. ad Eupsychium scribit 258 *a* 21.
Atticus presb. adv. Chrysostomum testimonium dicit 19 *a* 36.
Attilae adv. Romanos pugna 339 *b* 12.
Atyanas Adramytenus pugil 83 *b* 40.
Aue Aethiopiae opp. 2 *b* 38.
Augarus rex Edessae 25 *b* 5.
Augusta opp. 27 *b* 6.
Augustalis Alexandriae 81 *b* 1. 482 *b* 5.
Augustinus Pelagianos convincit 14 *b* 26. post mortem reprehenditur 15 *a* 4. Leonis papae de eo epistola 14 *a* 25.
Augustus cum Antonio Caesaris percussores persequitur 16 *a* 30. Antonium superat 393 *a* 25. Augaro amico utitur 25 *b* 6. quales in con-

Digitized by Google

vivis proposuerit quaestiones 151 a 25. Augusti et Philippi Mac. vitas composuit Amyntianus 97 a 20.
Augustulus imp. 55 b 32.
αὐλοὶ Apollinis 343 b 34.
aurea aetas 350 a 8.
Aurelius Cotta 232 a 13.
Aurelius ep. concilii Carthag. praeses 14 a 1.
aurifodinae Aethiopicae 447 b 34 — 449 a 10. Bactrianae Indicis profundiores 46 b 26.
aurum ἄπυρον 458 a 17. liquidum in fonte Indico 45 a 41. in Pactolo 46 b 29.
Autaeorum gens 449 a 20.
Autariatae a ranis expulsi 453 b 30.
αὖθις - αὖτις 535 a 41.
Autoleon Crotoniata ab Aiacis spectro vulneratur 133 b 14.
Autolycus Agathoclis f. 72 a 13.
Autophradates Lydiae satrapa cum Euagora bellum gerit 120 a 24.
Auxumis urbs Aethiopiae 2 b 4.
Auxumitae 2 b 1.
Avari 26 a 32. 27 a 37. 28 b 1. 30 b 27. 31 a 33. 32 a 22.
Aventinus Albae rex 16 b 31.
Azabarites 42 a 21.
Azarethes Persa 24 a 5.
Babia dea 341 b 14.
babia Syri pueros nominant 341 b 11.
Babylon describitur 323 b 35. adv. Xerxem rebellat 39 a 8. a fide Christiana non abhorret 508 b 30.
βακκάριος unguenti species 532 b 15.
βακχασμός 144 a 16.
Bacchus quomodo natus sit 320 a 26. Melanthides 138 b 20. Nysius 324 b 10. 332 a 25. Chironis amasius 150 a 2. Lycurgi metu ad Thetidem confugit 444 a 26. Lycurgum vino debellat 348 a 13. Nicaeam decipit 234 a 2. a Psalacantha amatur 150 a 30. eius Athenis templum 322 a 24.
apud Bacchylidem Sileni dictum 153 a 6.
Bactri Cyro se dedunt 36 a 29. Tanyoxarci tribuuntur 37 a 14. rebellant 40 a 22.
Bactriae fodinae 46 b 26.
Baetica, Baetis 329 a 14 — 22.
βαίτυλος 348 a 28 — b 29. multi in Libano 342 b 29.
Bagapaeus Artoxerxis f. 42 a 5.
Bagapates eunuchus 37 a 28. 38 a 13. b 31.
Bagorazus Artoxerxem sepelit 41 b 41. lapidatur 42 a 22.
βαλάντιον i. q. ἀκόντιον 532 b 27.
Balara emporium 327 b 34.
Balimeris Theuderichi pater 340 a 15.
Balius equus olim gigas 150 b 7. Pelei a Neptuno datur 152 a 25.
Βαλλάδη fons Indiae 49 b 19.
balsamum 458 a 38.
baptisma infantium 14 a 7.
Baradatus 248 a 42. 266 a 9. 283 a 41.
Baraïdes Iustiniani sobrinus 24 b 14.
Baram Persa 29 a 28 — 30 a 26.
Baramaanes Persarum dux 26 b 35.
Barba 233 b 17.
Barcaeorum cum Pacoride foedus 120 a 16. exsules 70 a 18.
Barcanii 36 b 32. 37 a 18.
Barcinone sepelitur Adaulfi filius 60 a 1.
Bardisanum refellit. Theodorus Tarsensis 208 b 19. 222 a 13.
Barene urbs prope Ecbatana 36 b 17.
Barises inter septem magi interfectores 38 a 22.
Bas Bithyniae rex 228 a 16.
Basileus de oriente scripsit 454 b 34.
Basilides Milesius sophista 101 a 31.
Basilina Iuliani mater 81 a 18.
Basiliscus Armati filius, Caesar, mox clericus 56 a 2.
Basiliscus Berinae frater 55 b 28. imp. 54 b 11. 55 b 28. 67 a 17. quas res antea in Africa gesserit 55 b 13. ab Armato deceptus eiicitur, mox occiditur 56 a 10.
Basiliscus Comanorum ep. martyr 83 a 39.
Basilius Antioch. ep. 266 a 10.
Basilius Caesareae Cappad. ep. familiaris Chrysostomi 79 a 38. ex Athanasio hausit 98 b 3. reprehenditur a Philostorgio 8 b 36. defenditur a Theodoro, Sophronio, Gregorio Nysseno cod. 4 et 5 et 6. eius ἀσκητικά cod. 144 et 191. εἰς τὴν ἑξαήμερον cod. 141. cf. 9 b 14. ἐπιστολαὶ cod. 143: ad Iulium Halicarnass. 241 a 11, ad monachos 241 a 3, ad Sozopolitas 240 b 3. 257 b 14. de fide 253 a 8. 258 a 18. ἠθικοὶ λόγοι cod. 142. κατὰ Εὐνομίου 97 b 4. 261 b 17. 264 a 34. b 4. cf. 243 b 2. 252 a 14. 257 a 25. 279 a 32. b 16. 287 a 11.
Basilius Cilix presb. Antioch. 88 a 6. Nestorianus b 5. eius ἐκκλησιαστικὴ ἱστορία cod. 42. adv. Io. Scythopolitam cod. 107. adv. Nestorium 78 b 21.
Basilius proconsul 108 b 1.
Basilius Seleuciae ep. cod. 168. amicus Chrysostomi 116 a 26. Theclam martyrem carmine celebrat 116 b 1.
Bassacus Armenius 24 b 31.
Basternae 233 a 10.
Batalus 495 a 31.
Batmizoma..enses 457 b 18.
Battaces magnae deae sacerdos 390 b 36.
βδελυρεύεσθαι 491 a 28.
Bebryces ab Ilo victi 132 b 36.
Beindaes castellum 28 b 28.
Bel i. q. Saturnus 343 b 21.
Belisarius praetorianus miles 23 a 37. orienti praefectus b 1. 24 a 2 et 21. b 10 et 38. 25 b 23. 26 a 5.
Belitanae sepulcrum 39 a 5.
Bellerides Sari domesticus ab Honorio interficitur 58 b 32.
Belus Assyriorum rex 34 a 41.
Beodes Persa 23 a 23.
Berina Zenonis socrus 54 b 21. 55 b 23 et 33. 56 a 25. b 3.
Berinianus v. Verinianus.
Beroë s. Beroea a Chagano obsidetur 25 a 11. 28 b 6.
Beryti Aesculapius 352 b 12.
Bessus Darium interficit 67 b 36.
Beta cognomen Galerii Crassi 151 b 12.
βησάκιον 151 b 14.
Bettus Francorum legatus 30 b 20.
bibliothecam quis primus tyrannorum collegerit 222 b 25. bibliothecis abundare Athenas 408 a 30.
Biblus insula 327 b 15.
Bindoës Hormisdam regno exuit 29 b 17. fugit 39. regios thesauros Chosroi tradit 30 a 25. tollitur 40.
Bisaltae Thraciae populus 134 a 8. sedibus suis expelluntur 136 b 3.
Bithyni Patroclem cum exercitu occidunt 227 a 12. Zeilam arcent 228 b 17. in exercitu Rom. militant 236 a 12. 390 a 7.
Bithyniaca Arriani cod. 93. cf. p. 17 a 25.
Bithyniae reges 228 a 15 — 30.
Bito Sylvestri ad concilium Nicaenum legatus 66 a 33.
Biza Seleuciae ep. 12 b 16.
Bizye Thraciae urbs 485 a 29.
Blachernae 56 a 3.
Blasis Perozae frater 22 a 24.
Blemmyes 62 a 12.
Bleschames Persarum dux 25 b 41.
Bleschanes 30 a 9.
Boeoti Phoenicibus succumbunt 138 a 1. cum Atheniensibus de Oenoë certant b 4. δαφνηφοροῦσιν 321 a 35. τριποδηφορικὸν canunt b 32. hospitio excipiuntur a Dedebis 458 a 4.
Boëthi λέξεων Πλατωνικῶν συναγωγή cod. 154. περὶ τῶν παρὰ Πλάτωνι ἀπορουμένων λέξεων cod. 155.
Boeum a Doro conditum 135 b 8.
Bolathen Saturnus 343 b 22.
Bolum castellum 24 a 33.
bombyces quando sint Byzantium allati 26 a 37. 31 a 39.
Bonifacius Massiliam ab Adaulfo defendit 59 a 28. Africae praefectus 62 b 23. Placidiae fidus ib. fortis et iustus 36.
Bononia Galliae opp. 57 b 20.
Bopos Thebaïdis opp. 447 b 15.
Boreas utre inclusus 443 a 18.
Borysthenes 166 b 23.
βοσόρ 252 b 27.
Bosporus 23 a 28. 443 a 26.
Bossus Francorum legatus 30 b 20.

Digitized by Google

Bostra Arabiae urbs 347 b 19.
Botiras Bithyniam tenet 228 a 16.
Botryas Myndius 147 a 21.
Bottiaca a Cretensibus conditur 135 a 14.
boves Indici 453 b 40.
Boxus Persa Graecis litteris imbutus 442 a 22.
βούτραγοι 330 a 37.
Brachmanes 340 a 31.
Bradyllis carbonarius Illyriorum dux 530 a 36.
Branchidarum oraculum 136 b 35. 140 a 11.
Branchus Smicri f. Apollinis amasius 136 b 25. Euangelio Carystio oraculum tradit 140 a 18.
Brangas Strymonis f. 131 b 34. Olynthum condit 27.
Brazes Persa 248 a 12.
Bremius mons 130 b 32.
βρενθύεται 532 b 12.
Briareus canis Molossus 148 a 26.
Briges qui postea Phryges 130 b 29 et 38.
Brithagoras Heracleensis 237 a 4. 239 b 14.
βροῦκοι 528 a 6.
Brusorum regnum Aeneae offertur 140 b 29.
Bruti Rom. epistolas normam esse eloquentiae 101 a 20.
Bubastia 144 a 34.
Buccellarii genus militum 57 a 26. b 1.
Bucolabra magus 27 b 19.
Bulagoras Leucade desilit 153 a 40.
Bupalus Stesichori rivalis 149 b 36.
Busa Avarus machinas fabricari docet 28 b 12.
Busiridis metu profugus Proteus 136 a 38.
Buzes Belisarii collega 23 b 11.
Byblis Cauni soror 131 a 4.
Byblus Aegypti opp. 40 b 10.
byssus Indica 324 b 37.
Bythemanenses 457 b 4.
Byzantini a Philippo obsidentur 495 b 43. ager eorum a Gallis vastatur 227 b 9. adv. Calatianos et Istrianos bellum gerunt 228 a 36. contra Antiochum ab Heracleensibus adiuvantur b 28. a Chagano terrentur 31 b 33.
Byzantium a Constantino restauratur 21 b 3.
Byzes Bebrycum rex 132 b 38.
Cabades Perozae f. 22 a 18 et 31. 23 a 2 et 13. b 1 et 21 et 37. 24 a 24.
Cabades Zamae f. 24 a 38.
Cabera 235 a 17 et 25.
Cabiri Sadyci filii 352 b 14. Cabirorum mysteria 367 a 26.
Cadmus Phoenicis. f. Europam quaerit 136 a 36; regnum 137 b 29. ex Aegypto in Graeciam venit 380 a 23. draconis dentes serit 443 b 20. Thebas Boeotias condit 138 a 1. Harmoniam ducit 9. in leonem mutatur 146 b 38.
Caecilius Siculus de Aeschine 20 a 10, Antiphonte 485 b 15 et 11. 486 a 4, Isocrate 486 b 6, Lysia 489 b 13.
Caeneus Lapitha 443 a 27.
Caesar aditur ut Heracleensibus libertatem restituat 239 b 25.
Caesarius Gregorii Naz. frater cod. 210.
Caini 93 b 42.
Caïnitae Acephali 244 a 11.
καλίνυτο i. q. αἴνυτο 530 b 37.
Caïsus Saracenorum princeps 2 a 25. b 15.
Caius presb. Romanus, mox ep. περὶ τοῦ παντός cod. 48. λαβύρινθος eius 11 b 43. διάλογος πρὸς Πρόκλον 12 a 1. epistolam ad Hebraeos Pauli esse negat 12 a 17.
Caius Romanus dolichi victor 83 b 37.
calamus Indicus 45 b 24. Midae aures arguit 148 a 30.
Calandio Antiochiae ep. 56 a 12.
Calantus Alexandri M. dux 228 a 17.
Calanus gymnosophista 68 b 3.
Calas Eleus pugil 84 a 1.
Calas Phrygiae Hellespont. praeponitur 69 b 2.
Calatis Heracleensium colonia 228 a 37.
Calauria ins. 494 b 18.
Calchas ab Agamemnone incessitur 531 a 32. Helenum capi iubet 137 a 1. cum Mopso certat 132 a 4.
Calles fl. 228 b 26.
Calliades Trachinius Xerxi auxiliatur 39 a 33.
καλλίας i. q. πίθηκος 535 a 11.
Callicles ab Harpalo corruptus 534 b 16.
Calligraphus Alexandrinus 33 a 37.
Callimachus Batti f. Cyrenensis 319 b 14. psalacantham ignorat 150 a 25. verbis utitur inusitatis 531 a 13. 532 a 36. b 9. Demosthenicam adv. Charidemum orationem cui tribuat 491 b 31.
Callinici ἀποσχιςαί 248 a 38.
Callinus Ephesius 319 b 12.
Calliope Orphei mater 140 a 20.
Callippus κέλητι vincit 84 a 7.
Callirrhoë Athen. 369 b 1. Scamandri filia, Trois uxor 132 b 33.
Callisto Lycurgi oratoris uxor 497 b 25.
Callitrope vidua ad Chrysostomum confugit 81 a 41.
Callixeni ζωγράφων καὶ ἀνδριαντοποιῶν ἀναγραφή 104 b 39.
Callo s. Callon hermaphroditus 378 b 8.
Calonymus i. q Themistius 88 b 27 et 30.
καλὸς καὶ ἀγαθός dici, ἀγαθὸς καὶ καλός non dici 529 b 32.
Calpis promontorium 328 a 31.
Calystrii capite canino 47 b 31.
καμάρα vox non Attica 454 a 33.
Cambyses Cyri f. 37 a 13 — 38 a 17.
camelopardalis 455 b 4.
Camillus urbem obsidio liberat 229 a 17.
Camirus ab Althaemene conditur 141 a 24.
Candaulis uxor quomodo vocetur 150 b 19—24.
Candidianus Adaulfo ducendae Placidiae auctor 59 b 13. adv. Ioannem tyrannum mittitur 63 b 24.
Candidi ἱςορία cod. 79. Isaurus, christianus 55 a 15.
Candidus Sergiopolis ep. 25 a 2.
canes sublatis cruribus meiunt 528 b 23. ab Argivis in Lini festo interficiuntur 134 a 2. Hyrcani 453 b 39. Indici 45 b 13. Ptolemaei 148 a 22.
Canobicum ostium 132 a 31.
Canobus Menelai gubernator 152 a 23. urbi et extremo Nili ostio nomen dat 29.
in Canticum canticorum commentaria 7 b 37.
Capetus Albae rex 16 b 30.
Capitolium a Catulo dedicatur 84 a 26.
Cappadocia Graecis litteris iam patefacta 383 a 11 et 21. reges genus ad Cyrum referunt 382 a 23.
caprae Indicae 46 b 35.
Caprianus mons 388 a 20.
caprificus sacra in foro Romano 141 b 23.
Capuae tumultus servilis 386 b 34.
Capys Aeneae avus 16 b 5.
Capys Latini Sylvii f. 16 b 29.
Carbarum gens 458 a 27.
Carbo in Cottam invehitur 239 b 5.
καρβωνάριος i. q. ἀνθρακεύς 530 a 29.
carcer Albanus 381 b 33.
Cardarega Persarum dux 28 a 11.
Cares Rhodum tenent 141 a 20.
Cario servi nomen 532 b 37.
Carmani Indorum gens 375 b 30. his praeficitur Tanyoxarces 37 a 16.
Carmania 459 b 14.
Carnus Apollinis spectrum 135 a 22.
κάῤῥων 226 a 18.
κάρπιον arbor Indica 49 a 29.
Carthaginiensium ad Alexandrum legati 68 b 25.
Carthaginis moenia 383 b 11.
Carus imp. 93 b 21.
Carystus a Milesiis expugnatur 140 a 6.
Casander v. Asander.
Casandrensium gens 458 a 6.
κάσαι 445 b 35.
caseus Indicus 49 b 3.

Digitized by Google

Caspiae portae 22 *b* 21. 71 *b* 33.
Cassander Antipatri f. equitatui praefectus 72 *a* 17. ab Antigono dissentit *b* 14. Demadem interficit 70 *a* 1. Dinarcho familiari utitur 4.
*κασσία* 468 *a* 38. 459 *a* 20.
Cassianus monachus Romanus cod. 197.
Cassius Cocceianus v. Dio Cassius.
Castor ep. 161 *a* 1.
Castus dux Romanorum 28 *b* 3.
*καταγώγιον* Ephesiorum 468 *b* 35.
Catana ad Aetnam opp. 139 *b* 25.
*καταφθορά* 106 *a* 8.
*καθαροί* Novatiani 127 *a* 39. 545 *a* 11.
Cato cum Cn. Pompeio in bello sociali cos. 392 *a* 4.
Q. Luctatius Catulus Capitolium dedicat 84 *a* 26. quomodo perierit 381 *a* 15.
Caucasus mons 324 *a* 26.
Caunus ab Aegialo condita 131 *a* 25. ibi Zopyrus occiditur 41 *b* 27.
Caunus Mileti f. Byblidis frater 131 *a* 5.
*καῦρος* 530 *b* 38.
*κῆβοι* simiarum genus 343 *a* 10. cf. *κῆποι*.
ad Cecryphaliam pugna navalis 404 *a* 29.
Celaenae Phrygiae opp 166 *b* 18.
Celer Magister 22 *b* 3.
Celestiniani 14 *a* 33.
Celestinus Romae ep. Pelagium impugnat 14 *a* 24. Augustinum defendit 15 *a* 8.
Celestius cod. 53. Pelagii discipulus 14 *a* 30. haeresis eius eadem Nestorianae 14 *a* 36.
Censorinus classi Rom. praefectus 238 *a* 9.
Centauri fame pereunt 150 *b* 29.
Centaurus Lamii f. 149 *a* 12.
Cephalionis *σύντομον ἱστορικόν* cod. 68. scriptum in Sicilia ab exsule 34 *a* 16. eius *Ἐρατώ* 104 *b* 13.
Cephalus Lysiae proavus 489 *b* 19.
Cephalus Lysiae pater 489 *b* 18.
Cepheus Andromedae pater 138 *b* 29. 442 *a* 16.
Cephenia quae nunc Aethiopia 442 *a* 15.
*κῆποι* simiarum genus 455 *b* 9. cf. *κῆβοι*.
*κηπουρὸς ὄφις* 532 *b* 22.
Cercidas Arcadum legislator 151 *a* 14.
Cercidas lyricus 533 *b* 12.
Cercola 391 *b* 33.
*Κερκυραία μάστιξ* 497 *b* 14.
Cercysera nomen Achillis 147 *a* 19.
Ceres Pheneatis quid dederit muneris 133 *a* 23. Eleusina venit 319 *b* 20. in equam se mutat 148 *a* 15. 444 *a* 34. *Δημήτηρ Ἐριννύς* 148 *b* 41.
Cermichiones Turci 26 *a* 30.
cervae albae in India 326 *b* 16.
cervus cornu dexterum defodit 528 *b* 2.
*κεστὸς ἱμάς* 149 *a* 26.
Chaganus Avarorum 27 *b* 9. sqq.
Chalcedonense concilium v. concilium.
Chalcedonensium domus et templa a Dario comburuntur 38 *b* 20. Heracleensium ad eos legati 226 *a* 25. Galli eis auxilium promittunt 227 *b* 25.
Chalcidicum bellum 363 *b* 42.
Chalcis Eub. Dinarcho confugium 496 *b* 26. Mithridati se dedit 231 *a* 7.
Chalcis Syr. a Chosroë se redimit 25 *a* 41.
Chalcon Antilochi armiger et moderator 147 *a* 30.
Chaldaeorum sapientia 344 *b* 2.
Chamaeleon Heracleensium ad Seleucum legatus 226 *a* 18.
chamaeleon 215 *a* 37. 525 *a* 35. *b* 17.
Chanaranges 24 *b* 3.
Charato Hunnorum regulus 58 *b* 40.
Chariclea v. Heliodori Aethiopica.
adv. Charidemum Demosthenis oratio 491 *b* 30.
L. Charini *τῶν ἀποστόλων περίοδοι* cod. 114.
Charinus iamborum scriptor 153 *b* 5.
*χάριτες* 147 *b* 14.
*Χαριτία* 143 *b* 38.
Charitimides Atheniensium in Aegypto dux 40 *a* 37.
*χαύνω* 531 *b* 34.
*χεῖ* littera 530 *a* 23.
*χεῤῥόνησος* 534 *a* 21.
Cherson 23 *a* 28.
Chersonesitae Scyth. 236 *a* 29.
*ἡ Χερουβικὴ ὑμνολογία* 191 *b* 6. 245 *b* 27.
Cherubim a Mose facti 93 *b* 13.
*χιαστὸν σχῆμα* 401 *a* 37.
Chii Scindapsum multant 152 *b* 22. a Dorylaeo capti abducuntur 231 *a* 39. Isocrates apud eos artem oratoriam docet 486 *b* 29.
Chilo sapiens 440 *b* 22.
Chindeni Sarac. 2 *a* 36.
Chion Clearchum interficit 222 *b* 30.
Chiris Aegypti opp. 62 *a* 22.
Chiron Bacchi magister et amator 150 *a* 2. rei medicae peritus 146 *b* 33. Damysi talum Achilli indit 152 *a* 6.
Chlomarorum obsidium 28 *a* 34.
Choramniis praeficitur Tanyoxarces 37 *a* 15.
Choricii sophistae Gaz. *μελέται καὶ συντάξεις λόγων διάφοροι* cod. 160. magistri sui oratio funebris 103 *b* 15.
*χωρίς* 532 *a* 39.
Chosroës Cabadae f. 33 *a* 13. 24 *a* 25. *b* 27 sqq.
Chosroës Hormisdae f. 29 *b* 22 sqq.
Christiani vel Christini *βίβλος, ἑρμηνεία εἰς τὴν ὀκτάτευχον* cod. 36.
Christiani damnati ad metalla 93 *a* 18.
ad Christophorum scribit Eulogius 281 *b* 41.
Christus an lacte nutritus sit 290 *b* 8. quando ederit pascha 91 *a* 16. *b* 19. 290 *b* 18. corpus eius post resurrectionem quale 105 *b* 29. 288 *b* 42. 290 *b* 32. quot annos natus crucifixus sit 290 *b* 14. statua eius 505 *b* 7.
*χροιά* - *χρόα* 531 *b* 24.
*χρωματικὸν γένος* 344 *b* 15.
Chrysippus philosophus 337 *b* 30.
Chrysippi presbyteri Hierosolym. in Theodorum martyrem encomium 118 *a* 33.
Chrysonoë Cliti filia 136 *b* 2.
Chrysothemis Cretensis 320 *b* 1.
Chubda opp. bombycibus abundans 31 *a* 40.
Chuni 31 *a* 34.
Ciani 228 *b* 14.
cicadae olim homines 368 *a* 16. ap. Regium mutae, in Locride canorae 131 *b* 35.
Cicero Medeam legens occiditur 151 *a* 18.
Cierum redimunt Heracleenses 227 *a* 19. Prusiadem appellat Prusias 229 *b* 39. 233 *b* 25.
Cierus fl. ap. Prusiadem.
Cilicia secunda 254 *b* 36.
Cilicum proverbium 331 *b* 19.
Cimbri 381 *a* 28. 386 *b* 19. 387 *a* 3.
Cimmerii solis expertes 370 *a* 12.
de Cimone Aristidis oratio 435 *b* 23. 431 *b* 21.
Cineas Thessalus 369 *a* 2.
Cinna 381 *a* 16.
*κιννάμωμον* 325 *a* 40. 459 *a* 19.
Cinyras ab Agamemnone expellitur 120 *a* 20.
Circe gigantem superat 149 *b* 40.
circenses ludi sub Iustiniano tumultus causa 24 *b* 9.
circumcisione utuntur Aegyptii et Troglodytae 454 *a* 27.
Cirrha 533 *b* 34.
*κιθαριστὴν* dici, *λυριστὴν* non dici 529 *b* 36.
Citium Cypri opp. 425 *b* 28.
Clarium oraculum Mopsus tenet 132 *a* 2.
Claudius imp. boletis necatur 149 *a* 9. forum eius 129 *b* 8.
Clearchus Atheniensis 489 *b* 29.
Clearchus Heracleae tyrannus 222 *b* 9 — 223 *a* 7.
Clearchus minor Dionysii Heracleensis f. 224 *b* 16 et 40 — 225 *a* 24.
Clearchus Lacedaemonius dux Graecorum ap. Cyrum 43 *b* 23. 44 *a* 23.
Clemens Alexandrinus Pantaeni discipulus 89 *a* 38. 92 *b* 30. pro Origene testis 91 *b* 33. Nicolaïtas condemnat, Nicolaum non condemnat 291 *b* 9. eius *παιδαγωγός* cod. 110.


Digitized by Google

κόρυς a quo inventa 147 b 35.
Corythus Iberus Herculis amasius 147 b 34.
Corythus Paridis et Oenonae f. 134 b 2.
C. Cosconius 392 a 7.
Cosmas diaconus Alexandrinus 158 b 11.
Cosmas Indopleusta cod. 36.
Cosmas trib. pleb. 32 b 14. 33 a 11.
κόσμος 440 a 27. μικρὸς κόσμος 33.
Aurelius Cotta Bithyniam sortitur 232 b 14. apud Chalcedonem vincitur 233 a 6. Heracleam obsidet 234 b 22. 235 b 20. 236 a 9 sqq. captam diripit et incendit b 10. Ponticus 239 a 20. a Thrasymede accusatus 30 latum clavum amittit b 9.
κουρῆτις 145 a 3. ἀργυρόπεζα 143 b 42.
κυρίδας Attici κομμωτρίας vocant 530 a 13.
κραδιάτης 144 a 39.
Cranonia clades 496 a 22.
Κραταῖς 143 b 42.
Craterus regis vicarius 64 b 7. 69 a 20. Amastride relicta Philam ducit 224 a 30. partem Europae accipit 69 b 12. Antipatro adv. Graecos socius et auctor victoriae b 29. a Paphlagonibus occiditur 71 a 4.
Cratetis vita a Plutarcho scripta 104 b 3.
Cratini Εὐνεῖδαι 151 a 11. de Pericle dictum 411 b 25. 424 a 20.
κρήγυον 532 a 25.
Crescens cynicus Iustini martyris obtrectatur 95 a 10.
Creta Iovis insula 141 a 14. hanc invadunt Magnetes 135 b 41. Amyclenses 137 b 24. Dorienses Althaemene duce 141 a 15. circuit quotidie Talos 443 a 22. urbes eius decem terrae motu evertuntur 485 a 4.
Cretenses ἀεὶ ψευσταί 150 a 41. rei navalis periti 424 b 34. Diognetum ut heroem colunt 151 a 23. sagittarii a Themistocle arcessuntur 39 b 19.
Κρητικὰς ἱστορίας scripsit Antenor 151 b 15.
Creusa Achaei et Ionis mater 135 b 11.
Creusa Anii mater 139 a 19.
Crinagorae epigramma 150 a 23.
Critias Callaeschri f. Attici sermonis norma 101 b 9.
crocodilus capitibus hominum a se devoratorum illacrimatur 503 a 35.
κροκόττας 456 a 3.
Croesus festo Veneris dienatus 148 b 31. a Cyro expugnatus 36 a 38. urbem Barenen accipit b 17. igni ereptus 146 b 21.
Crotoniatarum adv. Locros proelium 133 b 14.
Crotopus Psamathae pater 133 b 26. Argis relictis Tripodiscium condit 134 a 4.
Ctesias Parysatidis medicus 44 a 31. Herodoto et Xenophonti contradicit 35 b 41. 36 a 5. Ionica dialecto utitur 45 a 7 et 21. eius Περσικά cod. 72. Ἰνδικά 45 a 20.
Ctesiphon Demosthenem coronat 494 a 20.
κτύπος unde dicatur 530 b 35.
Cucusus Armeniae opp. 83 a 30. 476 b 6.
culices leones fugant 452 a 6.
Curba Cariae regio 339 b 31.
Curetes ὑπορχήματος inventores 320 b 36. pelluntur ab Aetolo 133 a 17.
κυροπαλάτης 29 b 5.
Cybele Nicaeae mater 233 b 41.
Cyclopes tres Caeli f. 319 a 24.
κυκλιοῦχος 144 a 36.
cyclus epicus 319 a 21.
Cycnus Troadis rex 135 b 19.
Cydonia Cretae opp. 70 a 15.
Cyllene mons 133 a 27.
Cyllenius 349 a 4.
Cynamolgorum gens 453 b 36.
Cynane Philippi et Eurydices f. 70 b 42.
Cynocephali Indorum gens 47 b 19. 48 a 4. Troglodytarum 455 b 9.
Cypria poemata 319 a 35.
Cyprianus ep. Antiochiae 129 a 16. de eo carmen Eudociae cod. 184.
Cypris Arabissa Herodis mater 53 a 16.
Cyprus ab Agamemnone occupata 120 a 20. pugna navali nobilis 27. Veneri dicata 372 b 12.
κύρβεις 532 b 8.
Cyrenenses exsules Thibronem arcessunt 70 a 17. seditionem eorum componit Ptolemaeus Lagi f. 27.
Cyriacus Cpol. ep. 33 a 7.
Cyriacus Paphi ep. 257 a 20. εἰς τὰ θεοφάνια 264 b 20.
Cyrillus Alexandrinus concilio Ephesino interest 272 a 28. Chalcedonensi non adversatur 275 a 36. 283 b 26. a Theodori Mopsuest. communione non abhorret 244 b 36. cum Leone papa consentit 246 a 30. ab Acephalis, a Basilio Cilice, a Theodoreto impugnatur 243 a 39. 88 b 7. 5 a 7. 286 b 21. eius ἀναθεματισμοί 259 b 34. cf. 255 a 37. adv. Arium 263 a 2. comment. in epist. ad Hebraeos 255 a 39. 257 b 17. 261 b 5: in euang. Ioannis 250 a 21. 251 a 3. 254 a 23. 258 a 25. 262 a 34: in Leviticum 262 b 30: in Malachiam 258 a 24: in Matthaeum 262 a 35. b 37. de cultu spirituali 12 a 23. 262 a 33. epistolae 116 b 13: ad Acacium Meliten. 255 a 37. 257 a 36. 262 b 15. 270 a 42: ad Acacium Scythopolit. 116 b 29. 253 a 9: ad Eulogium presb. 257 a 38. 261 b 33: ad Hermiam, 12 a 23: ad imperatrices 255 a 38: ad Nestorium 4 b 30. 116 b 13. 251 b 35. 255 a 36. 263 a 25: ad Orientales 256 b 40. 257 a 35. 262 b 13: ad Succensum 268 a 25. 157 a 26. 249 a 35. 250 a 6. 251 b 30. 257 a 34. b 17. 262 b 1. 268 a 25. 272 a 26. 273 a 20. 273 a 37. 276 b 39. 277 a 7. 281 a 37: ad Theodosium imp. 14 a 38: ad Valerianum 276 b 8. de fide 251 a 29. 261 b 35. 275 a 32. de Maria dei matre 274 b 27. adv. Nestorium cod. 49 et 169: cf. 251 a 24. 258 b 3. 261 b 35. 263 a 14. scholia de incarnatione 116 b 31: cf. 257 b 18. 259 b 31. 262 b 21. 263 a 30 et 36; et 248 b 14. 254 b 38. 256 a 1. 257 a 37. b 15. 258 b 17. 259 a 41. b 1 et 4. 281 a 10. κατὰ συνουσιαστῶν 253 a 7. thesauri cod. 136: cf. 255 a 36. 257 a 39. 258 a 23. 261 b 36. 263 a 41. 276 b 36.
Cyrillus Arianus Hierosolym. ep. 487 b 34.
Cyrillus Hierosolym. ep. Rufinum Graece vertit 67 a 16. concilio Cpolitano interest 477 a 22.
Cyrinus Chalcedonis ep. 17 b 30.
Cyrisicius ep. 157 b 16.
Cyrus Antiochi satelles 153 b 5.
Cyrus Antiopolita 536 a 18.
Cyrus Cambysis f. 36 a 10 — 37 a 25.
Cyrus a Mauricio ad Germanum missus 32 b 27.
Cyrus monotheleta 5 a 14.
Cyrus Ochi f. 42 b 10. 43 b 10. 44 a 14.
Cythnium Argivorum regio 583 a 15.
κυθνώλης 533 a 14.
Cytinium a Doro conditum 135 b 8.
Cyziceni optimatibus remp. committunt 139 a 38.
Cyzicus Apollinis f. 139 a 25.
Cyzicus a Cyzico conditur 139 a 27. a Tyrrhenis, deinde a Milesiis incolitur 40. a Mithridate oppugnatur 233 a 23. apud eam pugna navalis Lacedaemoniorum et Atheniensium 405 a 13.
Dadoes Messalianus 12 b 28.
Daedalus e Creta profugus 135 a 5.
daemonum in homines vis 161 b 3.
δαής 530 a 3.
Dagaues Armeniorum socii 26 b 38.
Dagaris Romanus 24 a 34.
Daiphanti vita a Plutarcho scripta 104 b 3.
Dalmatia 31 a 8.
δάμαρ 531 a 8.
Damascius Ammonii Isidori Marini Theonis Zenodoti discipulus 126 b 40 — 127 a 10. εἰς τὸν Ἰσιδώ-

Digitized by Google

ρου τοῦ φιλοσόφου βίον cod. 181. περὶ παραδόξων cod. 130.
Damascus unde nomen traxerit 348 a 16.
Damaspia Artoxerxis uxor 41 b 39.
Damasus papa 81 b 27.
Δαματράμη 143 b 40.
Damiane Asclepiodoti uxor 144 b 32.
Damis Apollonii comes 330 b 27. 331 b 39.
Damopheles Heracleam prodit 236 b 36. 237 a 23.
Damophilus Ennensis 385 a 8.
Damostrati ἁλιευτικά 104 a 1.
Damostratus Theopompi pater 120 b 19.
Damysus gigantum velocissimus 152 a 6.
Danaë 443 b 36.
Danaus 380 a 23.
Daphne 249 a 25.
δαφνηφορικά 321 a 34.
Daras castellum 23 a 5 et 39. 25 b 13. 28 a 20.
Dardania Troum regia 132 a 35. a Dardano conditur 134 a 29.
Dardanum 232 a 11.
Dardanus Abydenus Artemisiam aspernatur 153 a 26.
Dardanus Iovinum interimit 59 a 11.
Dardanus Iovis f. prius Samothracen incolit 134 a 19.
Dardanus Protesilai moderator 147 a 29.
Dareni Cardaregam expellunt 28 a 21.
Dares Hectoris moderator, Iliadis ante Homerum auctor 147 a 27.
Dariaeus Xerxis f. 38 b 37. 40 a 1.
Dariaeus i. q. Ochus 42 a 37.
Darius Codomanus a Besso interficitur 67 b 35.
Darius Hystaspis f. equae uberibus nutritus 148 b 36. adv. magum conspirat 38 a 23. regnum adeptus quas res gesserit 38 a 37 — b 32.
Datames Anaphae f. 382 a 37.
Datis 38 a 23.
Daulia Thraciae regio 136 a 19.
δάξ 532 a 41.
Decius imp. Christianos vexat 127 b 14. 467 b 22.
Dedebarum gens 457 b 36.
Deïdamia Neoptolemi et Oniri mater 148 b 22.
Deïphobus cum Heleno de Helena contendit 136 b 36.
Delii cum Atheniensibus certant utri templo praesint 496 a 11.
Delphi Apollini sacri 369 b 32. terrae et Graeciae umbilicus 404 a 2. ibi Magnetum pars Troia redux considit 135 b 38. tripodem barbaris victis victores dicant 430 a 11.
ἐπὶ Δελφινίῳ 535 a 26.
Delphus coloniae dux 137 b 21. 141 a 7.
Delta Antenoris cognomen 151 b 15.
Δέλτον τὸ ἀγαθόν ap. Cretenses 151 b 17.
Delus ab Athenodoro diripitur 84 a 30. a C. Triario munitur 32. servilis ibi tumultus 388 a 11.
Demades Demosthenem et Hyperidem capitis damnat 69 b 39. a Cassandro occiditur 70 a 2.
δημαγωγοὶ unde dicantur 414 a 25.
Demaratus Lacedaemonius Xerxem comitatur 39 a 21.
Demaratus Rhodiorum nauarchus 72 a 35.
Demarchus Phrygiae praeponitur 69 b 3.
Demeas tutor Demosthenis 492 b 34.
Δημήτηρ Ἐρινύς 148 b 41.
Demetrius Alexandriae ep. 91 b 32. 92 b 35.
Demetrius Magnes 494 b 34.
Demetrius martyr cod. 255.
Demetrius Phalereus 493 b 12. Dinarchi familiaris 496 b 12.
Demetrius Scepsius 151 a 7. septentrionalem terrae partem descripsit 454 b 34.
δήμιος - δημόκοινος 533 b 21.
Democedes Crotoniata medicus 376 a 34.
Democlus Delphus Smicri pater 136 b 10.
Democritus cum magis versatur 331 b 1. eum excerpit Vindanius 107 a 1.
Democydes de Pythagora 151 b 26.
Demodoci carmen de Troiae excidio 152 b 35.
Demophilus Arianus Cpolis ep. 485 a 20.
Demophon Demosthenis tutor 492 b 33.
Demosthenes Athenis praefectus 79 a 17.
Demosthenes Demosthenis f. cod. 265. Attici sermonis norma 101 b 6 et 19. orator κατ' ἐξοχήν 319 a 16. Ἑρμῆς λόγιος 437 b 28. θηρίον 20 a 29. Isaei discipulus 490 a 23. ab Isocrate repulsus 487 a 4. exsul 69 b 35. cum Aeschine confertur 20 b 16. cum Isocrate 121 b 13. cum Lysia 489 a 27. oratio eius Leptinea 421 b 21, Midiana 533 a 34, pro Satyro adv. Charidemum 491 b 29. loci alii 424 b 33. 426 a 23. 446 b 27. 447 a 29 et 37.
Demoteles Demosthenem coronat 494 a 19.
Derbices Cyrum vincunt 36 b 35, ab Amorge vincuntur 37 a 5.
Deucalion Protogeniae pater 133 a 14. Phthiotidis rex 135 a 40.
Dexippi τὰ μετὰ Ἀλέξανδρον cod. 82. σύνταγμα ἱστορικὸν 64 a 13: cull. 53 b 37. τὰ Σκυθικά 64 a 15.
Dia insula 322 a 22.
Dia urbs deserta 347 b 30.
diabolus unde dicatur 537 a 2.
Diadochus Photicae ep. 163 b 7. 287 a 3.
διαφθορά 106 a 9.
διακονικὸν γένος 344 b 16.
Dicaearchus Telesini f. 149 b 21.
Dicaeus Neptuni f. Sylei frater 133 a 38.
δίκηρον avis Indica 47 a 27.
dictamnus herba 215 a 30.
dictatorum insignia 393 b 4.
Δίκαιννα 143 b 13.
Διδυμαία 144 a 37.
Didymi proverbia 530 a 10. 533 b 19.
Didymis vaticinatur Branchus 136 b 33.
διηγηματικὸν poësis genus 319 a 4.
δίεσις 344 b 20.
Dilmaïni 26 b 37.
διμάτωρ 144 a 14.
Dinarchus Corinthius cod. 267. Demadem accusat 70 a 7. πρὸς Χαρίδημον 491 b 32. κατὰ Προξένου 496 b 34.
Δινδυμήνη 143 b 12. 144 b 34.
Dio Cassius cod. 71.
Dio Chrysostomus cod. 209. Pasicratis f., Prusensis, Traiani aequalis.
Dio Platonis hospes 416 b 37. res ab eo gestas scripsit Arrianus 78 b 6. ad amicos eius Platonis epistola 418 b 6.
Diocles Arabum princeps 377 a 37.
Diocletianopolis 28 b 17.
Diocletianae thermae 63 a 26.
Diocletianus imp. 20 b 35. 469 b 17 et 28.
Diodori λεξικὸν τῶν παρὰ τοῖς δέκα ῥήτορσι 99 b 9.
Diodori Siculi βιβλιοθήκη cod. 70 et 244. de aetate Herodoti sententia 19 b 38.
Diodorus Tarsi ep. Nestorianismi arguitur 86 a 27: cf. 208 b 5. damnatur 5 a 5. περὶ εἱμαρμένης cod. 223. adv. Manichaeos 65 b 11. de S. Spiritu 86 a 26.
Diodorus tibicen 153 b 1.
Diodotus Demosthenem coronari vetat 494 a 21. 495 b 25.
Diogenes Antonius v. Antonius.
Diogenes cynicus 403 a 39.
Diogenes Laërtius φιλοσόφων βίους scripsit 104 a 2.
Diogeniani lexicon poet. 99 a 4 et 36. adv. Diogitonem Lysiae oratio 488 b 38.
Diognetus pugil ut heros colitur 151 a 23.
Diognetus vates 149 a 3.
Διομήνης 143 b 11.
Diomedes palladium rapit 137 b 8. ἡ Διομήδειος ἀνάγκη 137 a 25.
Dionysienses 346 b 22.
S. Dionysii ecclesia Alexandriae 475 a 23.
Dionysius Aegensis cod. 185 et 211.
Dionysius Alexandrinus testis pro Ori-



Digitized by Google

gene 91 b 31. de Christi post resurrectionem corpore 290 b 37. multis in locis a Basilio non probatur 291 a 24. Origenem laudat 291 b 22.
Dionysius Areopagita Athen. ep. 287 a 6, apostolis aequalis 2 a 1. libri eius an genuini sint cod. 1. citatur 255 b 21.
Dionysius consularis concilium Tyrium convocat 478 b 11.
Dionysius Halicarnass. orationes Aristog. spurias esse indicat 491 a 32, Isocratearum viginti quinque genuinas 486 b 6. eius βιβλία ἱστορικῶν λόγων κ' cod. 83. σύνοψις τῶν τῆς ἱστορίας ε' βιβλίων cod. 84.
Dionysius Heracleensis Clearchi f. 223 a 9. b 17, 31, 39 — 224 b 23.
Dionysius Hyperidis avus 495 b 16.
Dionysius orthodoxus exul 483 a 6.
Dionysius e septem pueris 467 b 19.
Dionysius Siciliae tyrannus agasonis filius 530 a 30. in tragoediis κακόζηλος 332 b 23. Antiphontem interficit 486 a 35. huius supellectilem emit Dionysius Herael. 224 a 37, vitam eius Domitiani vita componit Amyntianus 97 a 19.
Dionysius sophista de Aeschine 20 b 2.
Διόνυσος Μελανθίδης 138 b 20.
Diophanis παράδοξα 107 a 3.
Diophantus i. q. Heraïs.
Diophantus Heraïdis pater 377 b 15.
Diophantus Mitharae f. Mithridatis dux 231 b 28. 232 b 18. 234 b 37. 235 a 1.
Diophantus septentrionalem orbis plagam descripsit 454 b 34.
Διοσκορία 143 b 40.
Dioscorus concilii τοῦ λῃστρικοῦ praeses 9 a 10. Eutychem recipit 273 a 35. damnatur 4 b 36. 275 a 42. adv. hunc Io. Scythopolita cod. 95.
Dioscorus monasterii Aegyptiis praefectus 81 b 42.
Dioscorus Theraeus pugil 148 b 29.
Dioscuri Sadyci f. 362 b 13.
Dioscurides Anazarb. vel Pedanius 424 a 12. περὶ ὕλης cod. 178. usus eo Aëtius 177 a 12.
Διὸς πόλις ἡ μικρὰ 447 b 15.
Diotimus Atheniensis 493 a 38.
Κόσμος 143 a 14.
διθύραμβος 320 a 25.
ad Docium epistola Iulii Romani 258 a 12.
Dodonaeum aes 373 a 25. 438 a 27. oraculum 321 b 36.
dogmatici medici 107 a 20.
δοῖδυξ 532 b 30.
Dolbza Persa 30 a 19.
Domitianus imp. pueros exsecari, vites seri vetat 331 a 5. Apollonium Tyanensem in vincula coniicit 10 a 13. Ioannem apostolum in exsilium mittit 468 b 16. eius et Dionysii vitas scripsit Amyntianus 97 a 19.
Domitianus Melitenae ep. 30 a 1 et 19. ad hunc Eulogius 240 a 20 et 280 b 37, Ephraemius 247 a 21.
Domna Isidori uxor 362 b 7.
Domnus monachus 249 a 41.
Donatus historicus 58 b 35.
Dorienses a Doro vocati 135 b 9. Lacedaemonem capiunt 137 b 16. Cretam petunt 141 a 8. Rhodi tria oppida condunt 22.
Dorotheus Armeniae dux 23 b 24.
Dorotheus περὶ τῶν ξένως εἰρημένων λέξεων cod. 156.
Dorus Hellenis f. Boeum Cytinium Erineum condit 135 a 6.
Dorus philosophus 345 a 2.
Dorylaeus Mithridatis dux 231 a 40.
Dositheani 94 a 26.
Dosthenî 285 a 36.
Dosthes s. Dositheus 285 a 32.
Dotianus Teptentesii ep. concilio Carthaginiensi praesidet 14 a 1.
Dotor equus 158 a 1.
draco Aulidensis 147 b 26. aureorum malorum custos 150 b 16. Cretensis pueri servator 134 a 32. dracones septem capitibus 340 b 8.
Draco Areas Alexandri M. pater 148 a 21.
Draco Eupompi f. ὀξυπτέρυγος 148 b 5.
Drizipera opp. 30 b 30. 31 b 23.
Drocton Rom. dux 28 b 24.
Dromo servi nomen 532 b 40.
Dryas Pallenae procus 132 b 14.
Dubios Armeniorum opp. 26 b 25.
Dubius Gothus Adaulfum interficit 60 a 4.
Duridis Samii de Theopompo et Ephoro iudicium 120 a 41.
Dydalses Bithynorum rex 229 a 15.
ἔαρ unde dicatur 535 b 14.
ἔβδομον 82 b 19.
ἐκ – ἐξ 533 a 11.
Echo i. q. Helena 149 b 3. Echo amat Pan 152 b 3.
ἐκ τρίτων i. e. τρίτον 336 a 33. 342 b 23.
Edaphius diaconus 18 a 16.
Edessa 25 b 2.
Egestus Numitoris f. 16 b 38.
ει vocalis 530 a 23.
Eioneus, qui postea Strymo 131 b 23.
εἰς – ἐς 533 a 10. ἐς κόρακας, ἐς μακαρίαν 535 b 2.
εἴσω – ἔσω 533 a 27.
El Phoenicum Saturnus 343 b 21.
Elagabalus 35 b 3.
Elatea a Philippo capitur 494 a 4.
ἐλαύνω 531 b 28.
ἐλαφοδίκερον 54 a 13.
Electra Atlantis f. Dardani mater 134 a 20.
electrum gerit Hyparchus fl. 47 b 9. 48 a 16. electri vis attractoria 530 a 1.
elegia 319 a 5. b 6.
ἔλεγος i. q. θρῆνος 319 b 8.
Elei Diognetum victorem non coronant 151 a 21. Alpheum cum lacrimis prosequuntur 369 b 35.
elephanti in Aethiopia et India 2 b 40. 457 a 19. 444 b 35. Indici τειχομαχοῦντες 45 a 32. quamdiu vivant 332 a 28. quis eos primus sit venatus 441 b 30.
Elephantine 447 b 18.
Elephantophagi 330 b 4. 452 b 9.
Elesbaas Auxumitarum rex 2 b 2.
Eleus Endymionis nepos Elidem condit 133 a 19.
Eleusine statua senex Isocratis 488 a 3. mulieres eo curru vehi vetantur 497 a 31.
Eleusinia 533 b 30.
Eleusius Cyzici ep. Arianus 477 a 27.
ἠλιτομήνα 144 b 36.
ἐλιφρίδα 28 b 40.
Elis ab Eleo condita 133 a 19. exsulat ibi Andocides 488 b 6.
Ἦλον 531 b 1.
Elpidia Placidiae nutrix 62 b 13.
Elpidius ad Avaros legatus 27 b 7 et 11.
Elpidius presb. adv. Chrysostomum testis 19 a 38.
Emesa urbs 348 a 33.
Emesion 347 b 16.
empirici medici 107 a 22.
ἐμπορικὰ melici carminis genus 320 a 8. 322 a 32.
ἐναγώνιον σχῆμα 401 a 36.
ἐναρμόνιον musicae genus intercidit 344 b 13.
Enceladus Aetnae suppositus 329 a 27.
Endymion Aethlii et Protogeniae f. 133 a 13.
Enipeus fl. Aeolidis terminus 135 b 4.
Enna a Rutilio capitur 386 a 28.
Epaminondae vita a Plutarcho conscripta 104 b 27.
ἤπειρος 534 a 30.
Ephesi tabulam Palamedis videt Alexander 146 b 27. Ephesiorum κατογύγιον 468 b 8 et 36.
ἐφέται 535 a 34.
Ephialtes Martem in vincula coniicit 444 a 3.
Ephialtes a Persis corruptus 495 b 42.
Ephorus Isocratis discipulus 121 a 23. 486 b 37. Duridis de eo iudicium 41.
Ephraemius Syrus comes Orientis, patriarcha Theopolit. cod. 196. 245 a 20. 287 a 3. eius ad Anatolium lib. 249 a 38. ad Anthimum 247 a 15.

Digitized by Google

ad Brazem Persam 248 *a* 12. ad Callinici desertores 248 *a* 37. concilii Chalcedonensis apologia 249 *a* 39. pro Cyrilli ad Succensum epistola 249 *a* 35. ad Domitianum 247 *a* 21. ad Eunoïum monachum 249 *a* 10. de humilitate 160 *b* 9. de incarnatione 261 *b* 29. ad Iustinianum imp. 247 *a* 8. in margaritam 261 *b* 29. ad Megan Beroeae ep. 248 *b* 24. ad monachos quosdam 248 *a* 25. ad monachos Orient. Severi assectas 249 *a* 42. panegyricae orationes septem 249 *a* 20. ad Syncleticum Tarsi ep. 247 *a* 42. συνοδικὴ πρᾶξις 248 *a* 3. ad Zenobium scholasticum 245 *a* 35, orationes supra mille 160 *b* 35.
Ephthalanus Hunnorum rex 26 *b* 7.
Ephthalitae v. Hunni.
Ephyra urbs 370 *a* 22.
ἐπικήδειον quomodo differat a θρήνῳ 321 *a* 30.
Epicharmus 531 *a* 3. 533 *b* 12. ab Achille genus ducit 147 *a* 7.
epici carminis principes 319 *a* 18.
Epictetus Arriani familiaris 17 *b* 12. σχολαὶ eius 339 *a* 18.
Epicureos Hierocles impugnat 172 *a* 12.
Epicurum impietatis accusat Himerius 355 *b* 31.
Epicydes Teuchiris praefectus 70 *a* 21.
Epidaurii Helenam Epidamnii f. ut Venerem colunt 149 *b* 17.
ἐπιμίξ 532 *a* 40.
ἐπίνικος 321 *a* 2.
Epinicius Berinae familiaris 56 *a* 25.
Epiphanius Cyri ep. Heraclidem non recipit 18 *b* 34. inscio Chrysostomo in ecclesia eius diaconum ordinat 82 *a* 17. Origenem damnat 82 *a* 22. 291 *b* 28. Nicolaum 7. a Chrysostomo λῆρος vocatur 18 *a* 10. eius ἀγκυρωτὸς cod. 123. πανάρια κατὰ αἱρέσεων π' cod. 122 et p. 258 *a* 20.
Epipole virili habitu ad Troiam militat 150 *b* 33.
ἐπιτάξ 532 *a* 36.
ἐπιθαλάμια melici carminis genus 320 *a* 3. 321 *a* 17.
Epopeus Hyllum occidit 148 *a* 12.
epos unde nomen traxerit 319 *a* 10.
ἦ πον i. q. πολλῷ πλέον 429 *b* 7.
ἐπριάμην, non ὠνησάμην Atticum 529 *b* 30.
epsilon Apollonii cognomen 151 *b* 19.
equus Severi 340 *a* 4. Troianus 137 *a* 5. 441 *a* 1.
Ἐράνα 143 *b* 37.
Erechtheus Creusae pater 135 *b* 11.
Erechthidae regno exuti 138 *b* 18.
Erechthius 258 *b* 18. 259 *a* 37. Eutychianus 40.
Eretria Mithridati se dedit 231 *a* 6.
Eretrienses in Media 332 *a* 4. σαγηνευθέντες 364 *a* 24.
Eretrieus σκινδαψὸν invenit 132 *b* 24.
Erichthonius Trois pater 132 *b* 31.
erinaceus pellem suam urina inquinat 528 *b* 7.
Erineum a Doro conditum 135 *b* 7.
Ἐρινὺς Δημήτηρ 148 *b* 41.
ἐριώλη i. q. χλαῖνα 532 *b* 28.
Ἐρίσνιος 144 *a* 13.
Eritharses Milesius 136 *b* 14.
ἐρίθιος Ἀπόλλων 153 *a* 15.
Ermenarichus v. Hermenarichus.
Eros Eupatoris pincerna 153 *b* 6.
ἐρωτικὰ melici carminis genus 320 *a* 2.
Erymanthus Apollinis f. a Venere excaecatur 146 *b* 41.
Erythras Myozaei f. mari rubro nomen indit 442 *a* 26.
Erythras Persei f. 442 *a* 18.
ἐς v. εἰς.
ἐσμὸς unde dicatur 535 *b* 20.
Esmunus Phoenicum Aesculapius 352 *b* 15.
Esseni 86 *a* 35.
ἐστὼ 143 *b* 14.
Etazeta Nicomedis uxor 228 *b* 9.
Etesiae quando spirent 441 *a* 34.
Euagoras Salaminius 44 *b* 20. 120 *a* 16 — *b* 3.
Euagrii Scholastici ἐκκλησιαστικὴ ἱστορία cod. 29.
Euagrius Alexandriae ep. 485 *a* 21.
Eualces Thebae vitricus 142 *a* 11.
euangelium Manichaei vivum 65 *b* 14. quintum 121 *b* 37.
Euangelus Brancho succedit 140 *a* 18.
Euboea a Philippo petitur 496 *a* 7. Mithridati se dat 231 *a* 6.
Euboeenses Demosthenis opera Atheniensium socii 493 *a* 39.
Eubulides Milesius dialecticus 493 *b* 17.
Eubulus comicus 150 *a* 25.
Eubulus Spinthari f. 490 *b* 26.
Eucherius Stilichonis f. 57 *a* 25.
Euchitae v. Messaliani.
Eucleus a Chrysostomo curatur 79 *b* 28.
εὐκτικὰ melici carminis genus 322 *a* 30.
Eudaemon 19 *a* 42.
Eudociae Augustae μετάφρασις τῆς ὀκτατεύχου cod. 183. Danielis et Zachariae 128 *a* 30. de Cypriano carmen 32.
Eudorus Patrocli moderator 147 *a* 26.
Eudoxia Augusta Chrysostomo inimica 80 *b* 27. 81 *b* 9. 82 *b* 1 et 30. 83 *a* 4.
Eudoxius Germaniceae ep. 476 *a* 5.
Euethius Ephesi ep. Arianus 477 *a* 28.
Eugenius philosophus, Themistii pater 52 *a* 13.
Eugenius tritheita Ioannem Philoponum refellit cod. 23, non damnat cod. 24.
Eugenius tyrannus 59 *a* 14.
Eugnomonius Chrysostomum accusat 19 *b* 10.
Eulogius presb. Antioch., deinde ep. Alexandriae 244 *a* 3. κατὰ Ἀγνοητῶν 284 *a* 18. κατὰ τῆς τῶν Ἀκεφάλων ἑνώσεως cod. 227: cf. 287 *a* 20. πρὸς Εὐτύχιον 245 *a* 14. κατὰ Θεοδοσίου καὶ Σεβήρου cod. 226. λόγοι ια' cod. 230. κατὰ Ναυατιανῶν cod. 182 et 208 et 280. ὅρος ἐκφωνηθεὶς τοῖς Σαμαρείταις 285 *a* 25. κατὰ Τιμοθέου καὶ Σεβήρου cod. 225. πρὸς Χριστοφόρον 281 *b* 41.
εὐμαθίας partes tres 440 *b* 39.
Eumelus curru excussus 435 *a* 29.
Eumenes Amastrim Ariobarzani tradit 227 *a* 24.
Eumenes Cardianus 69 *a* 15. Cappadociae et Paphlagoniae praeficitur 64 *a* 37. 69 *a* 37. 382 *b* 17. Artonen ducit 68 *b* 12. a Perdicca restituitur 69 b 25. ei ut Cleopatram ducat suadet 70 *a* 37. Neoptolemum et Craterum vincit *b* 34. 71 *a* 29. hostis Macedonum declaratur 72 *a* 25. Sardibus recedit 40.
Εὐμενίδες - Ἐρινύες 534 *a* 7.
Eunapii χρονικῆς ἱστορίας τῆς μετὰ Δέξιππον λόγοι ιδ' cod. 77. Sardianus, ethnicus 54 *a* 4. opus suum bis edit 54 *a* 26. id exscripsit Zosimus 84 *b* 27.
Eunoïus monachus 249 *a* 10.
Eunoïus rhetor 341 *b* 33.
Eunomiani ab Androniciano impugnantur cod. 45.
Eunomius haer. a Philostorgio laudibus effertur 8 *b* 14. eius libellus quidam cod. 137, adv. Basilium liber cod. 138, epistolae 98 *a* 17. adv. hunc Basilius M. 97 *b* 4, Cyrillus cod. 136, Gregorius Nys. cod. 6 et 7 coll. 257 *b* 12, Sophronius cod. 5, Theodorus Mopsuest. cod. 4. cf. 97 *b* 30.
Eunomus Locrus citharoedus 131 *b* 32.
Eunomus Thriasius 493 *b* 1.
eunuchus episcopus 83 *b* 5. eunuchi ab Arcadibus περίτανοι vocantur 147 *a* 17. amant 332 *a* 13.
Eunus Syrus fugitivorum in Sicilia dux 384 *b* 14 et 37. 386 *a* 34. *b* 8.
Eupatoria a Lucullo capitur 235 *a* 31.
Euphemia Belisarii filia 24 *b* 21.
Euphemia martyr 33 *b* 3.
euphemismi Atheniensium 535 *a* 4.
Euphorbi crines 147 *b* 15.
Euphorion Achillis et Helenae f. 149 *a* 20.
Euphorion Chalcidensis 532 *b* 18. Hyacinthus eius 146 *b* 32. cf. 531 *a* 4. 533 *a* 29.

Digitized by Google

di se suspendit 149 *a* 37. in insulis beatorum ex Achille filium parit 18.
Helena Micythi filia Stesichoro amata 149 *b* 34.
Helena Musaei filia Iliadem ante Homerum scripsit 149 *b* 22.
Helena Paridis et Helenae filia 149 *b* 8.
Helena Timonis filia pugnam apud Issum pinxit 149 *b* 30.
Helena Tityri filia ab Achille occisa 149 *b* 26.
Helena vorax 149 *b* 20.
Helenae XVIII 149 *b* 22.
ἑλένιος βοτάνη 149 *a* 35.
Helenus Priami f. Apollinis amasius 151 *b* 34. cum Deïphobo de Helena contendit 136 *b* 36. a Graecis capitur 137 *a* 1.
Heliadae Rhodiis indigenis imperant 141 *a* 19.
Heliades Alexandrum Coelesyriae regem prodit 377 *a* 39.
Ἡλιὰς αἴγειρος 328 *b* 9.
Helice Achaiae urbs 534 *a* 27.
Helicon mons 321 *b* 5.
Heliconius leo 147 *b* 13.
Helicus Teritucheae frater 43 *a* 38.
Heliodori Aethiopica cod. 73.
Heliodorus Hermiae f. 341 *a* 9.
Helion patricius Valentinianum imp. renuntiat 63 *b* 28.
Heliopolis Syriae urbs 342 *b* 26.
Heliopolitae τὸν γενναῖον colunt 348 *b* 4.
ἡλίτης λίθος 349 *b* 27.
Ἕλιξ 143 *b* 39.
ἑλκύδριον i. q. χάδος 532 *b* 27.
Helladius Besantinous Socratis magister 6 *a* 17. eius λεξικὸν cod. 145. cf. p. 109 *a* 38. πραγματεία χρηστομαθειῶν cod. 279. alia 536 *a* 2.
Hellanicus mendacii arguitur a Ctesia 43 *b* 29. eius Αἰγυπτιακὰ 104 *a* 13. de genere Andocidis 488 *a* 23.
Hellanicus Eleus auriga 84 *a* 5.
hellebori usum invenit Anticyreus 147 *a* 34. albi renovat Asclepiodotus 344 *b* 25.
Hellen Deucalionis vel Iovis f. 135 *a* 42.
Helle ariete vecta 443 *a* 34.
Hemithea Cycni filia 135 *b* 19.
Heosphorus Philonidis pater 123 *a* 13.
Hephaestio Drypetin ducit 68 *a* 10. moritur 22.
ἑπτάχορδος ἁρμονία 131 *b* 38.
Heraclea Pontica cod. 224. Lysimachi beneficio libera 225 *a* 28. mox Arsinoae donatur 37. libertatem repetit *b* 26. a Mithridate occupatur 234 *b* 1. Romanis traditur 237 *a* 23.
Heraclea Siciliae oppidum 388 *a* 21.
Heracleenses Heraclidem in vincula coniiciunt 225 *b* 40. a Zipoete incursantur 226 *a* 2. Ptolemaeo Cerauno naves ministrant 226 *b* 20. a Zipoete clade afficiuntur 227 *a* 28. Byzantinos et Calatianos reconciliant 228 *a* 36. liberorum Nicomedis tutelam gerunt *b* 14. Mithridati frumentum suppeditant 35. a Ptolemaeo donantur 229 *a* 4. ad duces Romanos legatos mittunt 40. a Prusia vexantur *b* 38. Chios captivos liberant 231 *b* 1. a Murena simul et Mithridate legatos accipiunt 232 *a* 36. publicanos Rom. interficiunt 233 *a* 2. post urbem captam in libertatem vindicantur 239 *b* 11.
ἡράκλεια λίθος 529 *b* 38.
Ἡράκλειον τὸ ἐπικώτατον τῆς Ἀττικῆς 39 *b* 17.
Ἡρακλεοπολίτης νομός 447 *b* 8.
Heraclianus Chalcedonis ep. 287 *a* 25. κατὰ Μανιχαίων cod. 85.
Heraclianus rebellis 59 *a* 40.
Heraclidae in Peloponnesum redeunt 135 *a* 27. Melanthum expellunt 138 *b* 2.
Heraclidae Nyssae ep. adv. Messalianos epistolae 13 *a* 34.
Heraclides Chrysostomi diaconus, mox ep. Ephesi 17 *b* 34. 81 *a* 29. Origenista 18 *b* 24 et 41. damnatur 83 *a* 42.
Heraclides Cymaeus v. Heraclitus.
Heraclides Lembus 171 *a* 9.
Heraclitus Cymaeus Heracleae praefectus 225 *a* 42. *b* 31.
Heraclius imp. 33 *a* 18 et 27.
Heraclius imperatoris pater 28 *a* 31 et 38. 29 *b* 25.
Herais s. Diophantus hermaphroditus 377 *b* 18.
Heraïscus philosophus 343 *a* 23.
Hercules Ibyci servus 148 *b* 38.
Hercules Iovis et Iunonis f. 148 *a* 39. ἀντιδάκτυλος 147 *a* 39. Dedebis notus 458 *a* 5. prius Nilus nominatus 147 *b* 16. cur Ἡρακλῆς dicatur 17. Argo navim fabricatur 147 *b* 28. cur Iasonem secutus sit 30. Hylam quaerit 233 *b* 26. Centauros fugat 150 *b* 29. Augiae stabulum purgat 151 *a* 32. adv. leonem Heliconium a Nireo iuvatur 147 *b* 13, adversus Nemeaeum a dracone 24. non leonis Nemeaei sed gigantis Leonis pellem gestat 150 *b* 13. Plutonem vulnerat 444 *b* 3, Iunonem 147 *b* 32. cum bobus Geryonis a Locro exceptus 131 *a* 2 hospitem suum invitus interficit 13. Syleum interficit, filiam eius amat 133 *b* 1. Protei filios interficit 136 *b* 7. in suos furit 152 *b* 38. helleboro sanatur 147 *a* 33. Olympia instituit 533 *b* 32, vincit 151 *a* 8. cum Theseo luctatur 35. mare patera traiicit 443 *a* 37. Africam solus peragrat 38. Alcestim ab inferis reducit 443 *b* 14. quomodo mortuus sit 146 *b* 19. rogum eius quis incenderit 147 *a* 37. inde locustarum vis evolat *b* 7. ab Atheniensibus primis consecratur 400 *b* 30. huic Lindii cum exsecratione sacrificant 132 *b* 21. eius signum et templum Heracleae 237 *b* 15. 229 *a* 7. Aegyptii et Thebani arae Gadibus 328 *b* 19. digiti sepulcrum Lacedaemone 147 *b* 3.
Hercules pugil 151 *a* 22.
Hermae truncati 488 *a* 25.
Hermaeus Mithridatis dux 233 *a* 1.
hermaphroditi Romae et Athenis combusti 379 *a* 8 et 16.
Hermena(e)richus Asparis f. 55 *a* 11. *b* 9. 352 *a* 5.
Hermesianax s. Hermesias Naxius 446 *b* 34.
Hermias Alexandrinus Ammonii et Heliodori pater 341 *a* 8. auditor Syriani 10. Gregorii frater 33. eius filiolus miro ingenio 341 *b* 1.
Hermias Atarnae tyrannus 530 *a* 34.
Hermias fugitivus 385 *b* 6.
Hermias Hermopolita de patria sua 536 *a* 9.
Hermias Sozomenus v. Sozomenus.
Hermogenes Aspendius 227 *a* 7.
Hermogenes ad Chosroem legatus 24 *a* 26.
Hermogenes Graeciae proconsul 108 *b* 2.
Hermogenes Paulum ep. Cpoli expellit 475 *a* 28.
Hermon Atheniensibus exsulibus reditum parat 489 *b* 40.
Ἑρμουπολίτης νομός 447 *b* 9.
Herodes Antipatri f. 53 *a* 14.
Herodes sophista Veneris signum dedicat 342 *a* 7.
Herodianus histor. cod. 99.
Herodianus Mauricio futura praedicit 31 *a* 14.
Herodorus Orphei et Musaei historiam scripsit 61 *a* 31.
Herodotus cod. 60. multa mentitus 35 *b* 41. 43 *b* 21. oasin insulam beatorum vocat 61 *a* 31. prooemium quis scripserit 148 *b* 10. Aethi et uxoris Candaulis nomina reticuit 150 *a* 7. *b* 24. excerptus a Sopatro 104 *a* 16.
Herodotus medicus 177 *a* 12.
Hesiodus 103 *b* 37. 151 *a* 13. 319 *a* 18. 412 *b* 4. 427 *a* 20. 437 *b* 35. 443 *a* 2. 444 *a* 12. 535 *b* 38.
Hesychius Hesychii Illustris pater 34 *a* 39.

Digitized by Google

Hesychius Illustris Milesius σύνοψιν scripsit κοσμικῆς ἱστορίας cod. 69. Iustinique et Iustiniani res gestas 34 b 33.
Hesychius monachus de Chrysostomo somniat 79 b 9.
Hesychius presb. Cpolit. εἰς τὸν χαλκοῦν ὄφιν cod. 51.
Hesychius presb. Hierosol. cod. 269 et 275. coll. 162 a 13.
hexameter inventus 319 a 8.
Hierapoli in Phrygia templum Apollinis 344 b 35.
Hierapolis a Chosroe oppugnatur 25 a 5.
Hierax Alexandrinus Ammonii aequalis 341 b 17.
Hierocles 337 b 34. 338 b 28. περὶ προνοίας καὶ εἱμαρμένης καὶ τὸ ἐφ' ἡμῖν cod. 214 et 251. de Apollonio Tyanensi 8 a 28. Platonis Gorgiam exponit 338 b 35.
hieroglyphicae litterae 342 b 37.
Hieronymi presb. ad Ctesiphontem adv. Pelagium epistola 14 a 28.
Hierosolyma a Mose condita 379 b 19. sexies expugnata 300 b 33. ab Antiocho Epiphane capta 379 a 35.
Hierius Plutarchi f. 342 a 16.
Hilarius Gabalorum ep. περὶ πίστεως 257 a 19. περὶ ἑνώσεως 20.
Hilarius philos. 351 a 11.
Hilaria matris deorum 345 a 7.
Himeraeus Demetrii Phaler. frater 69 b 36. Demosthenem accusat 494 a 38.
Himerensium plebs adv. optimates pugnat 139 a 4.
Himerius ab Iuliano arcessitur 108 a 36. declamationes eius cod. 165 et 243.
ἱππέας - ἱππεῖς 533 b 23.
Hippocrates voce ἅρμα utitur 533 a 37. Antiphontis adv. eum oratio 486 a 24.
Hippodamia a Pelope amata 366 b 32.
Hippolytus ep. Irenaei discipulus 94 a 24, Origenis ἐργοδιώκτης 41. Nicolaum condemnat 291 b 6. κατὰ αἱρέσεων cod. 121. ἑρμηνεία εἰς τὸν Δανιὴλ cod. 202. περὶ Χριστοῦ καὶ Ἀντιχρίστου 164 a 14.
ἱππομανὴς 528 b 4.
Hippomedon Epidamnius Leucade desilit 153 a 30.
Hipponax Ephesius 319 b 29.
hippopotamus iniustus 342 b 36.
Hipnota Heraclida Carnum interficit 135 a 22.
Hispania a Vandalis vastata 60 b 35.
Holophernes Ariarathae ɪ frater 382 b 2.
Holophernes spurius Ariarathae v f. 382 a 2.
Homeritae 2 a 21. olim μακρόβιοι 26 b 16.
Homerus poëta κατ' ἐξοχὴν 319 a 15. e Thebaide oriundus 61 b 6. ante eum Iliadem scripserunt Dares et Helena 147 a 27. 49 b 23, Iliadem et Odysseam Phantasia 151 a 37. de διωνυμίᾳ eius 150 a 9. famulo utitur Scindapso 152 b 21. a Platone incusatur 410 b 2 et τραγῳδοποιὸς vocatur 422 b 33.
homo μικρὸς κόσμος 440 a 33.
Honoria Constantii et Placidiae filia 61 b 16.
Honorius ad Aurelium contra Pelagianos scribit 14 a 15. Thermantiam ducit 56 b 35. undecimum consul 61 b 8. sororis amore, mox odio nimius 62 b 8. hydrope moritur 27.
Honorius Rom. ep. a concilio sexto damnatur 5 a 16.
horas canentes irridet Lampetius 13 b 10.
Horapollo περὶ τῶν πατρῴων Ἀλεξανδρείας 536 a 15.
Horiscus classis Persicae adv. Inarum dux 40 b 3.
Hormisda Persarum rex 29 a 29. b 17.
Hormisda Zurvami f. Satanae frater 63 b 40.
Hormiza Comanae ep. in Lampetium inquirit 13 b 3.
horologia in Oasi 61 a 28.
Herpyllis meretrix 151 b 15.
L. Hortensius Sullae legatus 231 a 28.
Hosius Cordubae ep. Sylvestri papae legatus 66 a 32. 95 b 34. 470 b 35. 481 b 42.
Hunni ubi habitent 22 b 29. reguli eorum sagittandi periti 58 b 36.
Hunni Ephthalitae unde nomen traxerint 26 b 7. a Turcis subiguntur 31 a 24.
hyaenae sexu ambiguo 379 a 18.
hydrae caput medium aureum 147 b 22.
Hydraotes fl. 325 a 5.
ὑδρορρόη - ὀχετός 533 b 8.
ὑδροσεληνίτης λίθος 349 b 34.
Hylas Cieri perit 233 b 26.
Hyllus Herculis f. 132 b 24. cornutus 148 a 10.
Hylophagorum gens 452 a 12.
ὑμὴν i. q. ὑμέναι 531 a 11.
Hymenaeus Atticus 321 a 22.
Hymenaeus Terpsichorae f. 321 a 21.
ὑμέναιος melici carminis genus 321 a 19.
hymnus unde dicatur 320 a 9. in Herculem Thebis cani solitus 148 a 38.
τρισάγιος 245 a 42.
Hyparchus fl. Indiae 47 b 5.
Hypatia 346 b 14.
Hypatius Anastasii cognatus 22 b 4. 23 a 24. imperator creatur 24 b 6.
Hyperbolus Niciam calumniatur 377 a 17.
Hyperides cod. 266. Isocratis discipulus 487 a 4. Philippi adversarius 493 a 37. Demosthenem coronat 494 a 19, accusat 37. ψήφισμα eius post pugnam Chaeronensem 495 b 31. Athenis fugit 69 b 35. ei Demosthenica περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν oratio tribuitur 491 a 23.
Ὑπερίων 145 a 3.
Hypermenes περὶ Χίου 152 b 20.
Hyphasis fl. 325 a 4. 327 b 2.
Hypius fl. 234 a 34.
ὑπὸ apud veteres i. q. μετά 320 b 34.
ὑπὸ μάλης 529 b 35.
ὑποφρύγιος νόμος 320 b 20.
ὑπόρχημα quis invenerit 320 b 35.
L. Hypsaeus 386 a 3.
Hypsicles Sicyonius dolichi victor 83 b 37.
Hyrcanus regno adempto pontifex 53 a 7.
Hystaspes Xerxis f. 38 b 38.
ἴα i. q. μία 531 a 18.
Iacimus summus pontifex 52 b 31.
Iacobus Alexandrinus medicus 344 a 5. b 22.
Iacobus frater domini 90 a 10.
Iacobus Syrus acephalus 286 b 27.
Iacobus vitae sanctitate clarus 248 a 42. 255 a 6. ad Leonem imp. scribit 266 b 2.
Ialysus ab Althaemene conditur 141 a 23.
Iambe Thressa 319 b 17.
ἰαμβίζειν i. q. ὑβρίζειν 319 b 25.
Iamblichi Babyl. δραματικὸν cod. 94.
Iamblichus philos. 337 b 5 et 7 et 25. ad Sampsigeramum et Monimum genus refert 126 a 2. περὶ ἀγαλμάτων 173 b 5.
Iamblichus inter septem pueros 467 b 19.
iambus 319 b 15.
Iandysus Scytharum rex 17 b 6.
Iania ἡγουμένη 157 b 13.
Iapygia a Cretensibus condita 135 a 10. .eo Cosconius dux mittitur 392 a 7.
Iarchas cum Apollonio philosophatur 332 b 11.
Iason Aesonis f. ad Scythas navigat 147 b 31. Cyzicum interficit 139 a 35. cum Amyco pugnat 150 a 20. Apollini in Anaphe insula templum condit 141 b 31. Ἰησόνιος αἰχμὴ 150 a 21.
Iason Iovis et Electrae f. 134 a 21.
Iason Thessaliae tyrannus 142 a 8.
Ibas 4 b 39.
Iberi 22 b 19. 23 a 32. 26 b 28.
Ibycus a servo suo proditur 148 b 38.
Ichthyophagi 449 a 17 — 451 a 16.



Digitized by Google

iconomachi a concilio septimo debellantur 5 a 21.
Ida mons quivis 534 a 16. Troiana ab Aenea habitata 140 b 20.
Idaeus Priami f. 150 a 6.
ἰδίας καθαρᾶς λεξικόν cod. 140. σεμνῆς cod. 141.
Idernes inter septem Persas 38 a 22. eius filius Ochi filiam ducit 43 a 13.
Idmon Aesopi dominus 151 b 23.
Idomeneus inter Thetidem et Medeam iudex 150 a 40.
Ielysus v. Ialysus.
ἱερακώδεις 54 a 14.
Iesus Gamalielis f. pontifex 52 b 24.
Iesus Naue 285 a 29.
Iezidus Caïsi frater 2 b 14.
Ignatius ὁ θεοφόρος auctor ἀντιφώνων 81 a 3. Traiano imp. martyrium passus 2 a 10. ad Philippenses scribit 95 a 43, ad Smyrnaeos 258 a 11. Nicolaïtas condemnat 291 b 8. quae diabolum latuisse dicat 195 b 14.
Ilia Numitoris f. virgo Vestalis 141 a 31.
Iliadis libri primi cum Cercida sepulti 151 a 14.
Ilias a Darete scripta 147 a 27.
Ilium unde nomen traxerit 132 b 33. non esse captum 166 a 13.
Illus 54 b 23. 56 a 1, 6, 16, 24, 31, 35, 40. b 1. 343 b 9. 346 b 31. 352 a 7.
Illustrium dignitas 393 a 32.
Ilus Trois et Callirrhoës f. Ilium condit 132 b 33. ἵππουριν habet 150 b 6.
Imbro coloni Amyclas deducuntur 137 b 18.
Inarus 40 a 27 — b 32.
Indi Derbicum adv. Cyrum socii 36 b 39. albi 31 b 2. 46 a 25. morbis exempti 47 a 11. ventorum et imbrium arbitri 10 a 25. Indorum multitudo 45 a 24, mores 47 a 1. Bacchi munera spernunt 372 b 30. vinum dulcissimum habent 49 b 3. ultra eos non habitatur 45 a 26.
Indiae fecunditas 325 b 36. fluvii Nilo similes 68 a 16. in India non pluit 45 a 27.
Indus fl 45 a 21. b 23. stadia XL latus 324 b 28. Nilo similis 329 b 20.
de inferis fabulae 443 b 3.
Ingenius Narbonensis 59 b 15.
Innocentius Rom. ep. Chrysostomo studet 83 b 12. Chrysostomi epistolae ad eum 66 a 3. eius aetate Pelagiani expelluntur 14 b 29.
insulae beatorum 328 b 14. 444 a 14.
Io Inachi filia 331 b 38. 347 b 23.
Ioannes Aegeata contra concilium quartum 15 a 1. eius ἱστορία ἐκκλησιαστική cod. 41.
Ioannes Alexandrinus ad Gelasium Rom. apologiam mittit 15 a 25.
Ioannes Antiochiae ep. de ἑνώσει 116 b 24. 269 a 25. de Messalianis 13 a 26.
Ioannes apostolus ὁ παρθένος 245 a 6. post exsilium Ephesi ep. 468 b 14. superstes 245 a 6. sub Traiano mortuus 37. 468 b 28.
Ioannes Armeniae dux 26 b 34. 29 a 36.
Ioannes baptista quando conceptus sit 287 b 39. baptisma eius non perfectum 537 b 27.
Ioannes Cappadociae praefectus 24 b 18.
Ioannes Cappadox Cpolit. ep. 287 a 18.
Ioannes Carpathius πρὸς τοὺς ἀπὸ τῆς Ἰνδίας προτρέψαντας μοναχοὺς 163 b 30.
Ioannes Chrysostomus ad Quercum damnatur cod. 59. vitam eius scripsere Georgius Alexandrinus cod. 96 et Palladius 78 b 31. περὶ ἀκαταλήπτου 80 a 2. περὶ τῆς ἀναλήψεως 264 b 24. ἐπιστολαὶ cod. 86. ἑρμηνεῖαι εἰς τὸν ἀπόστολον 119 a 28 et 37. 257 a 30. 258 a 22: εἰς τὰς πράξεις 119 a 27: εἰς τὸν ψαλτῆρα ὑπομνήματα 119 a 29 et 41. περὶ ἱερωσύνης 80 a 2. 126 a 28. πρὸς Σταγείριον λόγοι γ' 80 a 1. ὁμιλίαι cod. 172 - 4. 270. 274. 277. p. 256 b 36. σχόλια εἰς τὸν θάνατον cod. 25.
Ioannes Chrysostomi diaconus 17 b 40.
Ioannes comes a Chrysostomo proditus 18 a 20.
Ioannes cubicularius 157 b 10 et 17.
Ioannes Ieiunator Cpolit. ep. Mauricii tempore 27 a 24. Paulinum supplicio tradit b 28.
Ioannes imp. s. tyrannus 61 b 20. 62 b 31. 63 b 11.
Ioannes Iustini dux a Saracenis captus 2 a 32.
Ioannes Lazis praefectus 25 b 30.
Ioannes Lydus περὶ διοσημειῶν, περὶ μηνῶν, περὶ ἀρχῶν πολιτικῶν cod. 180.
Ioannes monachus in Cilicia secunda 249 a 41.
Ioannes monachus Heraclidem accusat 13 b 21.
Ioannes Moschus λειμῶνος auctor cod. 199.
Ioannes Mystaco Mauricii dux 28 b 22.
Ioannes Philoponus concilium Chalcedonense reiicit 5 b 1. Theodorum Mopsuest. castigat 8 a 23. 9 b 17. περὶ ἀναστάσεως cod. 21: cf. cod. 22 et 23. διαιτητὴς 12 a 30. εἰς τὴν ἑξαήμερον cod. 43 et 240. κατὰ Ἰαμβλίχου περὶ ἀγαλμάτων cod. 215. κατὰ τῆς τετάρτης συνόδου cod. 55. κατὰ τῶν δογματισθέντων περὶ τῆς τριάδος ὑπὸ Ἰωάννου τοῦ ἀπὸ σχολαστικῶν cod. 75.
Ioannes quaestor 27 a 26.
Ioannes Rufini f. ad Chosroëm legatus 25 a 26.
Ioannes Scholasticus Scythopolis ep. κατὰ Εὐτυχοῦς καὶ Διοσκόρου cod. 95. adv. eum Basilius Cilix cod. 107.
Ioannes ὁ ἀπὸ σχολαστικῶν, ep. Cpolit., 5 b 5. de trinitate 52 a 27.
Ioannes e septem sanctis pueris 467 b 20.
Ioannes Stobaeus cod. 167.
S. Ioannis ecclesia Constantinopoli 33 a 7.
ἴοβακχος 320 b 31.
Iobi librum Mosi tribui 304 a 14.
Iobii monachi οἰκονομικὴ πραγματεία cod. 222. κατὰ Σεβήρου 184 b 5.
Iolas Alexandro M. venenum porrigit 496 a 3. Nicaeam ad Perdiccam ducit 70 a 33.
Ion Creusae f. 135 b 14.
Ionathan pontifex 52 b 40.
Iones unde vocentur 135 b 16. Corinthum incolunt a 32. in Asiam transeunt 141 a 10.
Ionia 136 a 1.
Ionius sinus 370 a 32.
Ioppa quae nunc Phoenice 138 b 27.
Iordanes presbyter 157 b 14.
Iosephus Iudaeus Iusti Tiberiensis in republica rivalis 6 b 40. vita eius 53 a 35 — b 32. τὰ κατὰ Ἰουδαίους πάθη cod. 47. περὶ τοῦ παντὸς cod. 48. Ἰουδαϊκὴ ἀρχαιολογία cod. 76 et 238.
Iotapatis capitur Iosephus 53 b 24.
Iovianus Iuliano succedit 484 a 19. b 14. moritur 381 a 10.
Iovianus patricius ad Attalum mittitur 57 b 30.
Iovinus tyrannus 58 b 19. fratrem invito Adaulfo imperatorem renuntiat 59 a 3. ad Honorium missus interficitur 10.
Iovius ad Philippicum deficit 28 a 27.
Iphigenia Helenam et Menelaum immolat 149 a 40.
ἰφικρατίδες calceorum genus 321 b 28. 342 a 31.
Irenae aedes vetus et nova 474 b 4. 477 b 7.
Irenaeus Lugduni ep. Polycarpi discipulus 94 a 16. Pothini successor 18. Hippolyti magister 24. testis citatur 290 a 15. 291 a 21. b 12. eius ἔλεγχος καὶ ἀνατροπὴ τῆς ψευδωνύμου γνώσεως cod. 120. περὶ τοῦ παντὸς 12 a 4.
Irene Leoni nubit 33 b 19.
Irene Spyridonis f. 471 b 2.
Irus Boeotus 150 b 18.
Isaacius ep. Heraclidem et Chrysostomum accusat 18 b 33.

Digitized by Google

Isaeus Chalcidensis cod. 263. Isocratis discipulus 487 a 4. Demosthenis magister 492 b 26.
Isauri a Belisario adv. Alamundarum ducuntur 24 a 3. a Leone et Ardaburio ambiuntur 55 a 38. eorum strages 55 b 29.
Isauriam ab Esau nomen trahere 55 a 30. b 22.
Ischyras presbyter 478 a 31. b 29 sqq.
Isdigerdes Persarum rex Theodosii minoris tutor 21 b 25.
Isdigerdes Vararanae f. 21 b 33.
Isidora Antonii Diogenis soror 111 a 33 et 42.
Isidorus Alexandrinus luctator 83 b 39.
Isidorus Alexandrinus monachus 247 a 2.
Isidorus Alexandrinus presb. a Theophilo expellitur 81 b 25.
Isidorus Pelusii ep. 291 a 42. b 3.
Isidorus philosophus cod. 242.
Isidorus Pierii frater martyr 93 a 24 et 32.
Isis ab Aegyptiis praecipue colitur 335 a 30. eadem Sothis 340 b 36. eius insula 457 b 21. Ἴσιδος τρίχωμα 460 a 29.
Isocrates cod. 159 et 260. Aeschinis magister 490 b 16, Clearchi 222 b 12, Demosthenis 492 b 25, Ephori et Theopompi 121 a 23, Hyperidis 495 b 19, Lycurgi 497 a 4. cum Aeschine confertur 20 b 14, cum Demosthene 121 b 11. locus eius 402 b 26.
Issan i. q. Achilles 147 a 20.
ἰσθμιὰ 534 a 21.
Isthmia 533 b 30.
ἴσθμιος 534 a 19.
Istrianorum adv. Byzantios bellum 228 a 38.
Italiae regio propter murium multitudinem deserta 453 b 28.
Iuba περὶ γραφικῆς 103 a 32. θεατρικὴ ἱςορία 104 b 35.
de Iudaeis quid crediderint Antiochi amici 379 a 35 — 380 b 5, tradiderit Hellanicus 380 a 8 — 381 a 8.
Iudas Aristobulus pontifex 52 a 41.
Iulianus 347 a 21 et 27.
Iulianus Apostata Caesar 481 b 1. imp. 16. episcopos exsules revocat 9 b 9. 481 b 41. fidem Christianam impugnat 351 b 31. 484 a 9. Galeni opera in compendium redigi iubet 173 b 41. 174 a 26. perit 484 b 8. ab Eunapio laudibus effertur 54 a 10.
Iulianus ἀρχιερεὺς Io. Scythopolitam adv. Eutychem excitat 78 b 9.
Iulianus Constantini tyranni f. 57 b 28. 58 b 1.
Iulianus Halicarnassensis 241 b 11.
Iulianus lexici auctor τῶν παρὰ τοῖς δέκα ῥήτορσι λέξεων cod. 150.
Iulianus Pelagianus 15 a 27.
Iulianus primicerius notariorum 57 b 33.
Iulianus scriba ad Chosroëm legatus 25 a 26.
C. Iulius cum Mario contendit 392 b 4.
Sex. Iulius consul 391 b 4.
Iulius Romae ep. cum Leone consentit 246 a 32. concilio Antiocheno non interest 474 b 21, nec decreta eius probat 39. Athanasium et Paulum excipit 474 a 41. 475 b 1 et 28. ad Docium scribit 258 a 12. 272 a 28, ad Dionysium 272 a 26. πρὸς τοὺς κατὰ τῆς τοῦ λόγου σαρκώσεως ἀγωνιζομένους 259 b 28. περὶ τῆς ἐν Χριςῷ ἑνώσεως τοῦ σώματος πρὸς τὴν θεότητα 257 b 8: cf. 258 b 17. 265 b 18.
Iuno Iovi ab Achille gigante conciliatur 152 a 29. a Venere zonam accipit 149 a 26. pedibus suspenditur 444 b 7. ab Hercule defenditur 147 b 17, vulneratur 32. Peleo trabeam donat 152 a 25. Melum sacerdotem concupiscit 152 a 15.
Iuppiter recens natus septem dies continuos ridet 152 b 27. ubi primum cum Iunone concubuerit 152 a 33. a Titanibus servatur 444 a 37. Thetidi alas Arces donat 152 a 19. amoris aestum quomodo sedet 153 a 21. in cygnum mutatur 444 a 33. Euphorionem fulmine ferit 149 a 21. ἀπατήριος 138 b 22. planeta 440 a 23. ara eius in Piraeeo 494 b 10. sepulcrum in Creta 147 b 37. templum in Argarizo monte 345 b 20, Heliopoli 348 b 4, Heracleae 229 b 34.
Iustina martyr 128 a 36. 129 a 13.
Iustinianus imp. Iustini sobrinus regnique socius 23 a 17 et 35. pius 247 b 22. Caisum Palaestinae praeficit 2 a 58. b 12. adv. Persas bellum gerit 23 b 1. seditionem opprimit 24 b 5. a Chosroë pacem emit 25 a 29. ad Zoilum scribit 287 a 33. eo regnante bombyces Cpolim afferuntur 26 a 37.
Iustinus I 5 b 5. adv. Persas dux 22 b 6. Anastasio succedit 23 a 12. de Chosroë adoptando cogitat 16. Iberis receptis bello cum Persis implicatur 32. Abramum ad Saracenos legat 2 a 33. Iustinianum in societatem imperii adsciscit 35.
Iustinus II 26 a 17 sqq.
Iustinus Constantini dux 57 b 18.
Iustinus martyr Prisci Bacchii f. 95 a 6, Neapoli Palaest. natus ib. apostolis proximus 298 a 37. testis duplicis in Christo operationis 287 a 8, Platonem refellit 290 a 22. eius ἀπολογία ὑπὲρ Χριςιανῶν 94 b 1. κατὰ πασῶν αἱρέσεων 95 a 4. ἀπορεῶν κατὰ τῆς εὐσεβείας ἐπιλύσεις 94 b 28. κατὰ τῶ α´ καὶ β´ τῆς φυσικῆς ἀκροάσεως 26. κατὰ τῶν ἐθνῶν 38. περὶ θεοῦ μοναρχίας 95 a 2. κατὰ Μαρκίωνος 3. κατὰ τῶ ε´ σώματος καὶ κατὰ τῆς ἀϊδίου κινήσεως 94 b 27. ψάλτης 95 a 3. eidem opus περὶ τῶ παντὸς tribuitur 12 a 4.
Iustus Tiberiensis auctor χρονικῶ Ἰουδαίων βασιλέων cod. 33.
ἴυγγες in regia Babylonia 324 a 20.
Izabates eunuchus Cambysis 37 a 30. magum aggressus interficitur 38 a 17.
Izala mons 28 a 11.
labarum Constantini 470 a 19.
Labda Amphionis uxor 531 b 21. Cypseli mater 151 b 25.
Labyrinthus vel Caii presbyteri liber 11 b 43 vel Origenis 12 a 5.
Labyxus eunuchus Tanyoxarcae 37 b 32.
Lacedaemon a Philonomo Doriensibus proditur 137 b 16. sepulcrum habet digiti Herculis 147 b 3.
Lacedaemonii comam alunt 326 b 26. Philonomi posteros alio habitatum mittunt 137 b 18. ad Artoxerxem legant 44 b 35. foedus cum rege rumpunt 120 a 29. ab Atheniensibus ap. Cyzicum vincuntur 405 a 13. Thebanorum et pacem et pugnam detrectant 36. 425 a 21.
Lachares rhetor 342 a 1 et 2. Metrophanis avus 6.
Lacritus Isocratis discipulus 487 a 3.
lacus in India olei ferax 46 b 18.
λάϊ 531 b 4.
Laeanites sinus 457 b 3.
Laemus mons 457 b 34.
Lagisca meretrix 488 a 9.
Laïs quomodo mortua sit 146 b 23. 533 b 41.
Lamachus Heracleam Mithridati tradit 234 a 36. misere perit 236 b 29
Lamiacum bellum 496 a 5.
Lampadius in Basilii Cilicis adv. Io. Scythopolitam libro interlocutor 87 b 8.
Lampadius Victorini pater 86 a 7.
Lampetius Messalianus 13 a 41. ab Alpheo defenditur b 28. eius διαθήκη 23.
Lamponius Lucanorum reliquias ducit 392 a 39.
Laodamas Isocratis discipulus 487 a 2. Aeschinis magister 490 b 17.
Laomedon Apollinem et Neptunum mercede fraudat 444 a 23.
Laomedon Mytilenensis Syriae praeficitur 64 a 35. 69 a 36.
λάριμναν 459 a 15.
Lasthenes Cretensium dux 84 a 29.
Latini unde nomen traxerint 16 b 16.
Latinus Locrum excipit 131 a 39, boves Herculis abigit b 5.
Latinus Sylvius 16 b 29.



Digitized by Google

Laurentium 16 b 7.
Laurina Latini filia 131 a 40.
Lavinia Fauni filia 16 b 11.
Lavinium ab Aenea conditum 16 b 13.
Lazarus Galliae ep. Pelagium accusat 14 b 38.
Lazarus redivivus 505 b 30.
Lazi 218 a 8. 238 a 39. eorum fines 24 a 33.
leaenae a pantheris ineuntur 332 a 30.
Leda a Sole compressa 149 a 31. in palude parit b 5. ovum parit 443 a 31.
λειμωνάριον τὸ μέγα 161 b 23.
de λειποψυχίᾳ excerpta e Theophrasto 525 b 34.
Lemno coloni Amyclas deducuntur 137 b 18.
leo in sepulcro positus 147 b 3. simiae insidiatur 325 b 13. a culicibus fugatur 452 a 6. Africi urbes vastant 453 b 31. Arabici 455 a 15.
Leo gigas 150 b 14.
Leo Heracleensis contra Clearchum conspirat 222 b 32.
Leo I Asparis opera regnum adeptus 55 a 8. inimicitias cum eo exercet 37. caede exstinctas 340 b 32. Zenoni regnum tradere frustra conatur 55 b 15. decreta concilii Chalcedonensis proclamat 283 a 25. moritur 54 b 7. ad eum Leonis papae epistola 246 a 8. 247 b 15.
Leo III Irenam ducit 33 b 19.
Leo papa Pelagianos opprimit 15 a 15. Mariam primus deiparam vocat 246 a 19. duplicem in Christo operationem ponit 286 b 41. epistolae eius 14 a 20: ad Flavianum 246 a 8. 256 b 13: ad Leonem imp. 246 a 9. 247 b 16. τόμος 240 a 15. 241 a 25. b 3. 243 a 30. impugnatur a Severo Theodosio Timotheo 240 a 16. 243 a 31. defenditur ab Ephraemio cod. 228, ab Eulogio cod. 225 et 226.
Leo de re rustica 107 a 3 et 15.
Leo Zenonis et Ariadnae f. 55 b 18.
Leodamas cum Phitre de regno Milesiorum contendit 139 b 38.
Leogoras Andocidis pater 488 b 22.
Leonidas Origenis pater 92 b 8.
Leonidas rex 39 a 24.
Leonippus Sinopae praefectus 237 b 39.
Leonnatus Anthis f. 69 a 12. Phrygiam accipit 64 a 41. 69 b 1. Antipatro auxilium laturus perit 22.
Leonnorius Gallorum dux 227 b 30.
Leonte eadem Helenae 149 a 32.
Leonteus Placidiae curator 62 b 15.
Leontia Phocae uxor 33 a 10.
ad Leontium scribit Basilius Cilix 87 b 7. 88 b 13.
Leontius 338 a 38.
Leontius Arabissae ep. εἰς τὴν κτίσιν καὶ εἰς τὸν Λάζαρον cod. 272.
Leontius eremita 287 a 27.
Leontius ab Illo imp. renuntiatur 56 b 2. idolis favet 343 b 9.
Leontius Illyrico praefectus 469 b 5.
Leontius rhetor 60 b 9.
λεοντοφόρος Heracleensium ἀκτήρης 226 b 21.
Leosthenes Graecorum adv. Antipatrum dux 69 b 20.
Lesbonactis λόγοι πολιτικοί 52 a 22.
λήθης φρούριον 22 a 19.
Leucas rupes 153 a 7.
Λευκάτης Ἀπόλλων 153 a 10.
Leucocomas Gnossius Promachi amasius 133 a 29.
Leucophrys quae postea Tenedos 135 b 28.
Leucotheae spectrum 136 b 20.
Leucus Ulyssis socius 153 a 8.
lexica cod. 145 — 158.
Libanius Asianus praestigiator 62 a 27.
Libanius sophista cod. 90. Io. Chrysostomi magister 79 a 8. orationem de pace non esse habitam putat 492 a 14. de Batalo 495 a 35.
Libanus mons baetulorum plenus 342 b 27.
Liberius papa 477 a 33. 483 a 35.
Libethra orgiorum Orphicorum sedes 140 a 37.
Licinius Constantini M. affinis 469 b 43. regno ab eo exuitur 21 a 17. 470 a 34.
Ligures a Vitige ad Persas legati 24 b 30.
Lilius Mauricii percussor 33 a 17. a Phoca ad Chosroëm legatur b 10.
Lilybaetanorum servi tumultuantur 389 a 3.
Lilybaeum ab Athenione obsidetur 389 a 23.
Lindii quomodo Herculi sacrificent 132 b 21.
Lindus ab Althaemene condita 141 a 23.
lintea Indorum vestis 324 b 36.
Linus Apollinis et Psamathae f. 133 b 28. eius θρῆνος 39.
Linus secundus Romae ep. 90 b 15.
litterarum nomina 530 a 20. 532 a 15.
Litoïus Armeniae ep. de Messalianis 12 b 39.
Locrorum adv. Crotoniatas proelium 133 b 11.
Locrus Phaeacis f. 131 a 35. Latini filiam ducit 40. ab Hercule occiditur b 11. super sepulcrum urbs conditur 16.
locustae 215 a 41. 453 a 36. 527 b 35.
λογικὴ medicorum αἵρεσις 107 a 20.
Longi fratres 82 a 1. Theophilum accusant 24.
Longinus criticis 492 a 29 — 35.
Longobardi 29 a 21.
Lous fluvius 136 a 16.
Λοξίας 143 b 39. 535 b 33.
Lucani belli socialis participes 391 b 12.
λουκανικά 438 b 14 not.
Lucas a Matthaeo dissentit 7 a 23.
Lucianus cod. 128. an Lucium Patrensem exscripserit 96 b 17.
Lucianus Hierosolym. presb. 118 a 35.
Lucifer orthodoxus Ariminum relegatur 483 a 7.
Lucius Arianus Alexandriae ep. 484 a 8.
Lucius Charinus cod. 114.
Lucius Patrensis cod. 129.
Lucius Theodosio imp. insidiatur 351 b 32.
L. Lucullus tumultum servilem in Italia opprimit 387 a 26, in Sicilia 390 a 4.
L. Lucullus adv. Mithridatem bellum gerit 84 a 7. 232 a 14 sqq.
lunam scrutatur Apollonius astronomus 151 b 18. eius cursus 440 a 26.
Lusitani 383 a 41. b 38.
Luturius Gallorum dux 227 b 30.
Lyaeus gladiator 469 a 21.
Lycaeus campus prope Heracleam 236 a 25.
Lyciae montes ignem perennem emittunt 212 b 10.
Lycias Hermionensis pietate insignis 148 b 19.
Lyciorum adv. Telmissenses bellum 120 b 13. πολιτείαν conscripsit Aristoteles 105 a 1.
Lycon Atheniensis a Pissuthne conductus 42 b 40.
Lycophron in Alexandra 151 b 32.
Lycophron Lycurgi oratoris pater 497 a 1.
Lycophron Lycurgi oratoris f. 497 b 26.
Lycophron Thebae frater 142 a 10.
Λυκοπολίτης νομός 447 b 8.
Λύκων πόλις 447 b 13.
Lycurgus a Baccho debellatur 348 a 14.
Lycurgus orator cod. 268.
Lycurgus Lycophronis pater, Lycurgi oratoris avus 497 a 1.
Lycurgus Lycurgi oratoris f. 497 b 26.
Lyous occidentalem orbis plagam descripsit 454 b 32.
Lydii quomodo Veneris festum agant 148 b 32.
Λύδιον σύστημα 320 b 21. Λύδιος τόνος 320 b 21.
Λύδιος 144 a 2.
Lygdamis Artemisiae pater 153 a 25.
lynx urinam abscondit 528 b 8.
Lyperus mons 228 a 28.
λυριστὴν non dici 529 b 37.
Lysanias Aeschinis philos. pater 20 b 23.

Digitized by Google

Lysias Antiochi dux 52 b 27.
Lysias orator cod. 262. Isaei magister 490 a 14. Isocrate maior natu 486 b 12: qui multa ab eo mutuatus est 487 a 15. cum Aeschine confertur 20 b 15. quid ei cum Demosthene commune sit 492 a 7. de Antiphontis morte quid tradiderit 486 a 33. eius oratio in Mnesiptolemum 491 b 18. πρὸς Χαρίδημον 32.
Lysicles Hyperidis familiaris 495 b 27.
Lysimachia opp. 226 b 11.
Lysimachus Isocratem in ius vocat 487 b 23.
Lysimachus Agathoclis f. 69 a 13. Thraciam et Chersonesum accipit 64 b 2. 69 b 5. Amastrim, mox Arsinoën ducit 224 b 29 — 38. Amastris necem ulciscitur 225 a 10. Agathoclem filium interficit 225 b 8. a Getis capitur 225 a 1. cum Seuthe bellum gerit 69 b 23. in pugna perit 225 b 20.
Lysippus statuarius 371 b 7. 357 a 8.
Lyssus mons 137 a 27.
λυτὸν σχῆμα 401 a 37.
Maadeni Saracenorum gens 2 a 36.
μάκαρ 531 a 8. μακάριος 14.
Macarius Alexandrinus presb. 478 a 33. b 13.
Macarius Hierosolymorum ep. concilio Nicaeno interest 66 a 41.
Macarius Magnesiae ep. Heraclidam accusat 17 b 37.
μακκοᾶν 531 a 11.
Macedones musicae student 140 a 23. ab Orpheo reguntur 20.
Macedonia ad Taxillem deficit 231 a 22.
Macedonianos Theodosius cum orthodoxis conciliare studet 477 a 17.
Macedonius Mopsuest. ep. 476 a 6.
Macedonius πνευματομάχος Cpolit. ep. 475 a 11. b 10. 476 b 9. ab Athanasio reiicitur 479 a 9. dignitate exuitur 477 a 4. damnatur 260 b 13.
Macedonius Romae ep. presb. 127 b 19. 544 b 13.
Maces Buthrotius Leucopetra 153 a 36.
Machares Mithridatis f. 238 a 24.
Macrinus imp. 7 a 13. Dionem Cassium Pergamo et Smyrnae praeficit 35 b 15.
Macrobii qui postea Homeritae 26 b 16.
Macrocephali 327 a 14.
μάκτρα 533 b 5.
Maeander fl. 343 b 23.
Maeotis palus 22 b 30. quot inde diebus Rhodum navigetur 454 b 38.
magiae genera 75 b 20. περὶ τῆς ἐν Περσίδι μαγικῆς cod. 81.
μαγὶς i. q. τράπεζα 533 b 10.
magistratus Romani 398 a 34.
Magnentius Constante sublato rerum potitur 476 b 1. 482 b 25.
Magnes lapis 213 a 28. 529 b 38.
Magnetes Asiani ubi prius habitaverint 135 b 34.
Magnus cum Apollinari damnatur 286 b 21.
Magnus consul quo anno Anastasius imp. moritur 34 b 30.
μαγοφονίας dies festus 38 a 36.
μαῖα 531 a 7.
Μαιάδης vel Μαιαδεύς 144 a 11.
μαίεσθαι apud Homerum i. q. ζητεῖν 531 a 6.
μαιμακτηριών 459 b 17.
mala aurea 436 a 16.
Malacon Heracleensis Lysimachum occidit 225 b 22.
Malchi Philadelphensis Βυζαντιακά cod. 78.
μάλευρον i. q. ἄλευρον 531 a 17.
μάλη 529 b 35.
malva abstinent Pythagorei 344 a 35.
Mamercus 392 a 23.
μάμμη 530 a 8.
Manes 182 b 29. 268 b 7. ad Scythianum scribit 273 b 4.
Manichaei de diabolo quid sentiant 524 b 14. eorum euangelium 65 b 2.
Manichaeus v. Manes: cf. Heraclianus Chalcedonensis.
Manius a Menophane fugatur 230 b 29.
Mantinaeum Paphlagoniae opp. 476 b 31.
Manto Mopsi mater 132 a 1.
Manuel Vardani frater 27 b 23.
Maras Syrus ep. 475 b 38.
Marcellinus Dalmatiae princeps 342 b 4.
Marcellus Aquileiae ep. 127 b 26. 544 b 18.
Marcianistas s. Marcionitas multos convertit Io. Chrysostomus 80 a 24. b 7.
Marcianus Anthemii f. 54 b 21. 56 a 33 — 40.
Marcianus criticus 101 a 18.
Marcianus imp. 285 b 13. concilium Chalcedonense cogit 283 a 23.
Marcianus Iustini patruelis adv. Chosroëm mittitur 26 b 31. revocatur 27 a 5.
Marcianus Lampsaci ep. Arianus 477 a 27.
Marcionis haeresis 80 b 7.
L. Marcius Philippus cos. 391 b 4.
Marcus Basilisci f. Caesar, mox imp. 56 a 4.
Marcus euang. cum discipulis suis commemoratur a Philone 86 b 16.
Marcus monachus cod. 200.
Marcus quidam in Britannia imp. creatur 57 b 14.
Mardonius inter septem magi interfectores 38 a 22.
Mardonius multa apud Xerxem gratia 38 b 35. apud Plataeas fusus 89 a 1. templum Delphicum spoliat 8. mare rubrum unde nomen traxerit 441 b 31 — 442 b 23.
Mares Chalcedonis ep. 471 a 9. 475 a 38. 479 a 8. 484 a 11.
Mares Ephesi ep. 467 b 36.
μαργαρίδαι, μαργαρῖται, μάργαροι 22 a 12.
Maria Magdalena ad Ioannem Ephesum se confert 511 b 30.
Maria virgo ab Agapio impugnatur 124 b 12. θεοτόκος abs quo primo vocata sit 246 a 19. quando conceperit 287 b 41. discipularum eius chorus 511 b 41. imago 30 b 2. monasterium Antiochiae 244 a 5.
Marianus presb. 159 a 41.
Marinus Io. Scythopolitae causam agit 87 b 9.
Marinus Samarita Neapoli Palaest. natus 345 b 20 et 24. Procli successor 127 a 1. 338 a 19. 345 b 18 sqq. 351 a 30 et 37 et 40. in Philebum Platonis commentatur 338 a 21.
Marinus Rom. dux 28 b 3.
C. Marius a Nicomede adv. Cimbros auxilium petit 387 b 5. consul quintum 390 b 11. proscriptio eius 381 a 16.
C. Marius minor cum Sulla contendit 392 b 35.
Marius Mithridatis dux 233 b 1.
marmor candidissimum ad mare rubrum 447 b 31.
Mars ab Oto et Ephialte vinctus 444 b 2. Martis planetae cursus 440 a 24.
Marsagetes Scytharbae frater 38 b 9.
Marsi Romanis se dedunt 392 a 11.
Marsicum bellum 230 a 31. 891 a 30 — 392 b 32.
Marsus 56 a 31. 352 a 7.
Marsyas festo Apollinis die natus 149 a 6.
martichora bellua 45 a 31.
Martimus inter septem pueros 467 b 19.
Martinus Ardaburium prodit 55 b 2.
Martinus Rom. dux 25 b 13.
Martyrius protodiaconus 18 b 4. Arianus 476 a 6.
Martyropolis 29 a 9 et 17. b 41.
Marueini 230 a 32.
Maruthas ad Philippicum deficit 28 a 27.
Maruthas Sufaren. ep. 12 b 17.
Maruza Persarum dux 29 a 11.
Massagetae qui postea Turcae 26 a 29.


Digitized by Google

Massilia ab Adaulfo tentatur 59 a 26.
Massinissa 383 b 17.
Mastubius Armenius chorep. 63 b 35.
Matacas eunuchus Delphos spoliat 39 b 30.
μαθηματικοὶ Pythagorae discipuli 438 b 23.
Matris Chionis pater 222 a 30.
Matris Thebanus hymnorum scriptor 148 b 1.
matri misceri apud Medos et Persas fas est 132 b 2.
Matthaeus a Luca dissentit 7 a 22.
Matthias Asamonaei nepos 52 b 37.
Matthias Theophili f. pontifex 52 b 25.
Mauricius dux 536 a 18.
Mauricius imp. 27 a 23 sqq.
Maurusii 29 a 22. 31 a 21.
Mavias Caisi f. obses Byzantium mittitur 2 a 40.
Maxentius imp. 21 a 6. 470 a 6.
Maximianus e septem pueris 467 b 18.
Maximini duo imp. 20 b 33 et 34.
Maximinus imp. Christi statuam evertit 505 b 13. Demetrium supplicio afficit 469 a 11. Constantino M. insidiatur b 28.
Maximinus magus 348 b 29.
Maximinus tyrannus sub Theodosio M. 59 a 14.
Maximus Alexandrinus sophista cod. 135.
Maximus dives 63 b 2.
Maximus a Gerontio patre imp. renuntiatur 58 a 36. ad barbaros fugit b 17.
Maximus Hierosolym. ep. concilio Antiocheno non interest 474 b 19. Athanasium restituit 482 b 11. expellitur 33.
Maximus monachus confessor περὶ ἀγάπης 158 a 1. ἀπορήματα γραφικὰ cod. 192 (A). ἀσκητικὸς λόγος cod. 193. ἐπιςολαί cod. 192 (B) et 158 a 13, 29 — 159 b 13. περὶ τῶν δύο θελημάτων καὶ τῶν δύο ἐπὶ Χριςοῦ ἐνεργειῶν 159 b 14.
Maximus philosophus, ad quem Athanasius 257 b 11.
Maximus Seleuciae ep. Chrysostomi condiscipulus 79 a 36.
Maximus senator 421 b 16.
μέχρι - μέχρις 535 b 1.
Medea Babyloniae regina 323 b 40.
Medea ab Iasone rapta 141 b 31. cum Thetide de pulchritudine certat 150 a 19. hirco iuventam reddit 443 b 27.
Medi cum matribus suis concumbunt 132 b 1.
Media propter passerum multitudinem deserta 453 b 30.
Megabernes Spitamae f. 36 a 17. Barcaniorum satrapa 37 a 18.
Megabyzus Xerxis gener 39 a 13. b 30 et 37. 40 a 7 sqq.
Megaclides Isocratem ad permutationem provocat 487 b 20.
μεγαλεῖον μύρον 532 b 16.
Megallis Damophili uxor 385 a 11.
Megalus Syracusanus 532 b 16.
Megarenses Astacum condunt 228 a 6. moenia sua Atheniensibus debent 404 a 30.
Megaris commoratur Lysias exsul 489 b 36.
Megas Beroeae ep. 25 a 15. 248 b 24.
S. Melaena 14 a 19 not.
Melanippus Priami f. 150 a 6.
Melanthus e Nelidarum genere 138 a 40. Xanthum Boeotorum regem occidit b 9.
Melas fl. 321 b 6.
Melchisedecitae 163 a 19.
Meleager dux peditum 69 a 16. Perdiccae vicarius 23. ab eo tollitur 28.
μελεαγρίδες 456 a 9.
Meles fl. 140 b 7. 371 a 8.
Meletii haeresis 478 a 25.
Meletius Armeniae, postea Antiochiae ep. 78 b 40. Chrysostomum baptizat 79 a 1. et diaconum ordinat b 41. concilio Cpolitano interest 477 a 23. sede sua movetur 483 a 40. ab Iuliano revocatus a Valente iterum expellitur 484 a 28.
μέλι i. q. ὄξος 535 a 8.
Melias Mopsi filia 120 b 9.
μελικὴ ποίησις 319 b 32.
Melicertes 533 b 31.
melicum carmen 319 a 6. b 32.
Melienses cum Milesiis bellum gerunt 140 a 3.
μελίλωτον herba 150 a 37.
Melitenae ep. ad Chosroëm legatus 29 b 35.
μέλιττα unde dicatur 535 b 16.
μῆλον 535 b 18.
Melus insula unde condita 137 b 22. ibi Iuppiter Euphorionem occidit 149 a 21.
Melus Scamandri f. 152 b 16.
Memmii in Lusitania clades 383 b 1.
Memnon a Chrysostomo colapho percutitur 18 b 6.
Memnon de Heraclea Pontica cod. 224.
Memnonea ab Aethiopibus absoluta 449 a 1.
Memnonis lapis 373 a 15.
Memphis quantum distet a Thebaide 447 b 6.
Menander comicus 438 a 5. 530 a 14.
Menander Lydiam sortitur 64 a 41. 69 b 1.
Menander Mithridatis dux 231 b 28.
Menas patricius 8 a 3.
Mende opp. 133 a 4.
Mendeis nympha Pallenae mater 132 b 7.
Menedemus Eleus 151 a 30.
Menelaus votum Veneri non solvit 149 a 34. ab Helena amatur 39. ubi abfuerit cum Paris Helenam raperet 150 b 36. Paridem vincit 443 b 39, interficit 151 a 5. Canobum sepelit 132 a 28. Dianae immolatur 149 b 1.
Menesaechmus Demosthenem et Lycurgum accusat 494 a 38. 497 b 18.
Menestheus Atheniensium ad Troiam dux 408 b 27.
Menon Thessalus 43 b 28. Clearchum et Graecos prodit 44 a 22.
Menophanes duodecimum Theopompi librum periisse tradit 120 a 11.
Menophanes Mithridatis dux 230 b 32.
Menostanes 42 a 12 et 21 et 38. b 34.
Menostates Artarii f. 41 a 16.
meranis vel miranis dignitas 23 a 3: cf. 26 b 18 et 34.
Mercurii planetae cursus 440 a 25.
Mercurius Pollucem amat 152 b 40. cum Venere luctatur 153 a 2.
Meroë insula 451 b 35.
Merops Anthemusiae rex, Pallenae procus 132 b 10.
Merops Cyzici socer ad Rhyndacum regnat 139 a 30.
Mesopotamia Phradati offertur 239 a 14. terrae motu quatitur 26 a 26.
Messaliani a concilio Sidensi damnantur cod. 52.
Messene a Nilidis regnatur 138 b 1.
μεταλεῖον v. μεγαλεῖον.
μέταλλα Aethiopiae 447 b 29 — 449 a 10.
μετασυγκριτικὴ θεραπεία 175 a 14.
Metebini monachi 160 b 14.
Metellus Cretam invadit 84 a 26. Venusiam expugnat 392 a 25.
μετεμψυχώσεις Origenis 3 b 42.
methodici medici 107 a 23.
Methodius ep. et martyr περὶ ἁγνείας cod. 237. περὶ ἀναστάσεως 293 a 2. ἀποςολικῶν ῥητῶν ἑρμηνεία 294 a 22. περὶ τοῦ αὐτεξουσίου cod. 236. περὶ τῶν γεννητῶν cod. 235. eo utitur Eusebius adv. Andream 106 a 36.
Μῆτις 143 b 40.
Metrodori computus paschalis 91 a 25 et 41.
Metrophanes Cpolit. ep. cod. 236.
Metrophanes Lacharis nepos 342 a 6.
μικρὸς κόσμος homo 440 a 33.
Midas Brigum rex 130 b 28. asininis auribus 40. 148 a 30. Silenum capit 32.
Midas nomen servile 532 b 37.
Midias 492 a 37.
Midias Midiae f. 496 a 20.
Milesii admonentur ut Leucotheam


Digitized by Google

colunt 130 *b* 21. Cyzicum incolunt 139 *b* 1. cum Carystiis et Meliensibus bellum gerunt 140 *a* 2. Milesii cuiusdam cum trapezita Tauromenitano lis 138 *a* 16.
Miletum Cares, mox Iones incolunt 131 *a* 5. expugnat Harpagus 138 *a* 16.
Miltiades ad Marathonem victor 38 *b* 25. ab Aristide defenditur 426 *b* 17.
μιμητικὸν poësis genus 319 *a* 4.
Mimnermus Colophonius 319 *b* 12.
Minaei Arabum gens 457 *a* 39.
Minerva Peleo tibias donat 152 *a* 25. Melum sacerdotem sibi cupit *b* 17. in testudinem abit 444 *a* 32. Σκιρὰς 322 *a* 25. eius apud Emesam templum 348 *a* 35.
Minos a Cocali filiabus interficitur 135 *a* 4, idque aqua fervida 443 *b* 25.
Minucianus rhetor 365 *a* 42. 366 *a* 39.
T. Minucius tumultum servilem movet 386 *b* 36.
Mithrae Alexandriae sacrificia 483 *b* 25.
Mithridates ab Heracleensibus aditur 226 *a* 24.
Mithridates sororis filium, matrem, fratrem interficit 230 *a* 41. b 3 et 6. Asiam subigit 33. octoginta millia Romanorum una die interficit 231 *a* 1. bellum gerit cum populo Romano 6 — 239 *a* 10. ab Italis advocatur 392 *a* 29.
Mithridates Ariarathae et Antiochidis f. 383 *a* 5.
Mithridates Ariobarzanis f. 228 *b* 31.
Mithridates Mithridatis f. 231 *b* 27 et 41.
Mithridates Udiastae f. Teritachmae armiger 43 *a* 22. *b* 8.
Mitrostes Idernae f. 43 *a* 33.
μῖξ 532 *a* 39.
μνήμονες heroum 147 *a* 23.
μνημονευτικὴ αἵρεσις medicorum 107 *a* 23.
Mnesarchus Pythagorae f. 438 *b* 29.
adv. Mnesiptolemum oratio Lysiae 489 *b* 11.
μῶ Dorice i. q. ζητῶ 531 *a* 2.
Modestus Hierosolym. ep. εἰς τὰς μυροφόρους 511 *b* 19. εἰς τὴν κοίμησιν τῆς Θεοτόκου 512 *a* 9. εἰς τὴν ὑπαπαντὴν 13.
Moeris ἀττικιστής cod. 157.
μόγις - μόλις 530 *a* 38.
μῶλυ 149 *b* 39.
Μαλυκρικὸν ῥίον 534 *a* 19.
ad Monimum genus refert Iamblichus 126 *a* 2
μονώτατος 533 *b* 38.
monotheletae a concilio sexto damnantur 5 *a* 15.
μόνται 531 *a* 4.
Montanistae 12 *a* 2. 291 *b* 30.
Mopsucrene Cappadociae opp. 483 *b* 20.
Mopsuestia unde nomen traxerit 120 *b* 10.
Mopsus vates 120 *b* 9. Apollinis et Mantus f. 132 *a* 1.
morbus sacer in Oasi aut non est aut curatur 61 *a* 13.
Μορφώ 143 *a* 32.
Morsimus Trachinius Herculis rogum incendit 147 *a* 37.
Moyses 4 *a* 9. 380 *a* 25. alpha appellatur 151 *b* 10. 529 *b* 27. statua eius in templo 379 *b* 18.
Mucri 31 *a* 33.
Mulvius pons 470 *a* 25.
Mundus Iustiniani dux 24 *b* 10.
Murena adv. Mithridatem bellum gerit 232 *a* 27. Luculli legatus 84 *a* 8.
mures aurum et ferrum arrodunt 528 *a* 34. bipedes in Aegypto 36.
Murgentum 386 *b* 5. 388 *b* 12.
Musa unde dicatur 530 *b* 39.
Musarum nomina 34 *a* 8. *cum Thamyride certamen 132 *a* 18.
muscae unde nascantur 527 *b* 24.
Musonius Graeciae proconsul 108 *a* 23.
mustelae agrestes 528 *a* 28.
Mycale 324 *a* 29. —
Μυχαλα 143 *b* 15.
Myia Pythagorae filia 438 *b* 31.
Myïscus Ulyssis μνήμων 147 *a* 23.
Μυὸς ὅρμος 456 *b* 6.
Myosaeus Persa 442 *a* 27.
μυροφόρα arbor Indica 49 *b* 33.
Myrtilli 150 *a* 4.
Mys Samius 402 *a* 10.
Mysorum et Phrygum termini 345 *a* 29.
Narbone Placidia Adaulfo nubit 59 *b* 15.
Narcissus Cilix ep. 475 *b* 37.
Narcissus Thespiensis 134 *b* 27.
ναρκίσσινος unguentorum species 523 *b* 15.
Narses Comentiolo succedit 30 *a* 15. Barami copias fundit 27.
Nasamones gens Aethiopum 330 *b* 7.
νάσις 143 *b* 42.
Natacas Xerxis eunuchus 88 *b* 36.
ναυαγὸς Ἰάσων 532 *b* 20.
Naucrates Erythraeus Theopompi aequalis 120 *b* 32 et 37.
Nausicles Philippo adversatur 493 *a* 37.
Naxi fons vini 46 *a* 33.
Naxiorum urbs 364 *a* 21.
Neapolis Palaestinensis 345 *b* 19.
Nearchus classi Alexandri praefectus 68 *a* 35. 327 *b* 9. Barsinae et Mentoris filiam ducit 68 *b* 13.
νεβρός νεκρός νέκταρ unde dicantur 530 *b* 8 et 6 et 10.
Nectarius aedi S. Anastasiae marmora comparat 18 *a* 6.
Nectarius praetor, mox ep. Cpolit. 477 *a* 40. Chrysostomi decessor 89 *a* 26.
Nectenibis Aegypti rex 120 *a* 34.
Neleus coloniae Atticae dux 141 *a* 4.
Nelidae Pyli et Messeniae reges 138 *a* 40.
Nemea 533 *b* 33.
Neon ep. 13 *a* 19.
νεόπλουτος vox recens 491 *a* 28.
Neoptolemus Achillis et Deidamiae f. 148 *b* 21. in equo ligneo 444 *a* 3.
Neoptolemus Caramaniae praeest 64 *b* 21. ab Eumene occiditur 71 *a* 2.
Neoptolemus histrio 493 *a* 21.
Neoptolemus Maciota 150 *a* 6.
Neovigastes Constantini dux 57 *b* 18.
Neporus Galliae ep. Pelagium accusat 14 *b* 37.
Nepos Glycerio tonso rerum potitur 54 *b* 27.
Neptunus Patrocli amator 147 *a* 9. Cererem tentat 148 *a* 16. Peleo equos donat 152 *a* 24. Laomedonti servit 444 *a* 23. templum eius Calauriae 494 *b* 19. 496 *a* 27.
Nereus Peleo salem donat 152 *a* 26.
Nero imp. parricida 333 *b* 10. Agrippae favet 6 *b* 30.
Nerva imp. 10 *a* 14. 335 *a* 5. 468 *b* 25.
Nerva Siciliae praetor 387 *b* 13.
Nessa regio 457 *a* 34.
Nessus a Venere adversus Herculem instigatur 147 *b* 11.
Nestor Herculis amasius 147 *a* 37.
Nestor Lyaeum interficit 469 *a* 23.
Nestoriana haeresis eadem Celestianae 14 *a* 36.
Nestorius naturas ponit duas divisas et ἰδιοϋποστάτους 252 *b* 41, filios duos 258 *b* 40. Mariam non dei sed hominis matrem vocat 246 *a* 16. 247 *b* 17. impugnatur a Cyrillo Alex. cod. 49 et 169 (cf. cod. 230), ab Eulogio 240 *b* 43, a Leone 241 *a* 30. 246 *a* 15. 247 *a* 14. damnatur a concilio Chalcedonensi 4 *b* 37. 247 *b* 33. 260 *b* 13. 265 *a* 31: cf. 283 *a* 26. epistola eius ad Cyrillum 4 *b* 31. 116 *b* 15. Celestini ad eum epist. 14 *a* 24.
Nicaea Antipatri filia a Perdicca ducitur 70 *a* 34. repudiatur *b* 24.
Nicaea Naias 233 *b* 35.
Nicaea urbs 233 *b* 35.
Nicaeenses Alexandri milites 233 *b* 37. Phocensium vicini 234 *a* 13. eorum cum Nicomedensibus concordia 166 *b* 37.
Nicagoras rhetor 365 *b* 1. 366 *a* 40.
Nicander 532 *b* 4.
Nicanor Cappadociam obtinet 72 *a* 6.
νίκη Helladii liber 536 *a* 5.
Nicephori Cpolit. ep. ἱστορικὸν σύντομον cod. 66.

Digitized by Google

Nicias ab Hyperbolo vexatur 377 a 17.
Nicias monachus κατὰ Ἑλλήνων cod. 50. κατὰ Σεβήρου et κατὰ τοῦ Φιλοπόνου ib.
Nicias Syracusanus rhetor 489 b 27.
Nicocles Euagorae f. 487 b 5.
Nicocreon Euagorae insidiatur 120 a 34.
Nicodemus a Petro et Ioanne baptizatus 118 a 24.
Nicolaïtae haeretici 291 b 11.
Nicolai Damasceni Ἀσσυριακὴ ἱστορία 146 a 12. παραδόξων ἐθῶν συναγωγή 145 b 35. ab eo placentae genus vocat Augustus 146 a 10.
Nicolaus unus e septem diaconis 291 b 7. haereticus non est 11.
Nicomachi Geraseni ἀριθμητικὰ θεολογούμενα cod. 187.
Nicomedensium cum Nicaeensibus concordia 166 b 37.
Nicomedes I Zipoetae f. Bithyniae rex 227 a 16. Antigono auxiliatur b 1. Gallos in Asiam traducit b 14. eorum auxilio Bithyniam subigit 36. Nicomedeam condit 228 a 27. filium natu maximum expellit b 6.
Nicomedes II parricida 383 b 34.
Nicomedes III Nicomedis et Nysae f. a senatu Romano rex appellatur 230 b 16. fugatur 25. regnum populo Romano relinquit 73 b 20.
Nicomedes Chrestus 230 b 18.
Nicomedia a Nicomede conditur 228 a 27. a Triario capitur 233 b 29. a Constantino obsidetur 21 a 32.
Nicostratus comicus Leucade desilit 153 a 34.
Nilus fl. Aegyptum inundat 3 a 13. 212 a 20. 329 b 13. flexus eius 447 b 21. incrementum πήχεις 371 b 28. incrementi causae 32 a 2. 441 b 4.
Nilus Herculis nomen 147 b 16.
Nilus monachus εἰς τὴν ἀνάληψιν 515 a 5. εἰς τὸ πάσχα 512 a 40. κεφάλαια ρκγ' 163 b 11.
Ninus urbs 331 b 37.
Niobe in saxum mutata 443 a 6. eius liberi omnes ab Apolline interfecti 147 a 22.
Nireus Catanensis Leucade desilit 153 b 14.
Nireus Sym. Herculis amasius vel filius 147 b 12.
Nisaei Soli pullos educant 371 a 35.
Nisibis opp. 25 b 38. 26 b 40.
Nitria mons 81 b 40.
Noëmon Achillis μνήμων 147 a 25.
Noëtiani haer. 94 a 27.
Noëtus ib.
Nolani belli Marsici participes 391 b 12.
Nomades Aethiopes 330 b 3. 453 a 22.
νομεῖς - νομέας 533 b 23.
νόμος melici carminis genus 320 a 38.
Nomus Damascenus 342 b 16.
Nonnosi ἱστορία cod. 3.
Norondabates unus e septem magi interfectoribus 38 a 22.
Novatiani Alexandrini martyrum reliquias non venerantur 127 b 4. multi in Paphlagonia 476 b 27.
Novatus Cornelii papae archidiaconus, mox presbyter 127 a 25. 544 b 35. novae sectae auctor 127 a 39. eius ἄθλησις ψευδεπίγραφος b 9. 544 b 11. adv. eum Eulogius cod. 182 et 208 et 280.
Nuceria 386 b 32.
Numa Pompilius 15 b 23.
Numenias servi nomen 533 a 1.
Numitor Albae rex 16 b 35. 141 a 30.
Nymphis historicus Heracleensis exsules reducit 226 a 26. ad Gallos legatur 228 b 41.
Nymphius fl. 27 b 22.
Nysa 324 b 10. 332 a 25. ibi Bacchus educatus 320 a 27.
Nysia Candaulis uxor 150 b 19.
Nysiam amat Plesirrhous 150 b 26.
Νυσῆτις 145 a 1.
νύξ 535 a 12.
ὦ non esse articulum 530 b 14 — 31.
Oarius fugitivorum dux 387 b 29.
de Oasi mirabilia narrat Olympiodorus 61 a 12. fuit insula 29. nec pluvia nec fluviis rigatur 212 a 24. Oases tres 37.
Oblias Iacobi cognomen 202 a 26.
Oceanus Tethyïs coniux 367 b 2. orbem circumfluit 44 a 10. Aethiopicus 330 b 9.
ὀχετός i. q. βόρβορος 535 a 9.
Ochus Dariaeus Artoxerxis f. 42 a 2. Hyrcaniae satrapa 8. Secydiano occiso succedit 31 — 43 b 3.
ὀχλάξ 532 b 6.
ὀκτήρης Heracleensium 226 b 21.
oculi fabrica 504 a 13.
ὀδάξ 532 b 1.
Odenathus Zenobiae maritus 491 b 32.
Odoacer urbe et Italia potitur 56 a 20.
Odrysis imperat Orpheus 140 a 21.
Oeager Orphei pater 140 a 20.
Oebaras Astyagem capit 36 a 19. Sardes expugnat 36 a 40. Astyage sublato inedia obit 36 b 27.
de Oenoë bellum inter Athenienses et Boeotos 138 b 5.
Oenone Corythi mater 134 b 1. Paridem mori passa se suspendit 14 — 27.
Oës e mari rubro emersus astronomiam et litteras docet 535 a 35.
οἴκημα i. q. δεσμωτήριον 535 a 6.
Olurus Thucydidis pater 19 b 41.
Olympia 533 b 32.
Olympias Alexandri mater ubi Philippum adamaverit 367 a 25. Cleopatram filiam Perdiccae destinat 70 a 35. de ea scripsit Amyntianus 97 a 21.
Olympias diaconissa dignitate sua exuitur 82 b 10. ad eam Chrysostomi epistolae 66 a 2 et 8.
Olympiodori Thebani ἱστορία cod. 80. ad Hunnos legatio 58 b 37.
Olympiodorus philosophus 171 b 22.
Olympius Stilichonem interficit 56 b 39. magister officiorum fit 57 b 30. occiditur ib. Probi pater 63 a 38.
Olympus Cretensis Iovem educat 147 b 38.
Olympus Lyciae mons 298 b 22.
Olynthus Strymonis f. 131 b 25.
Olynthus urbs a Branga conditur 131 b 21. a Philippo excisam quomodo scriptores lamententur 446 a 2.
ὀμφαχόιον 351 a 26.
ὄνειρος unde dicatur 535 b 23.
ὠνησάμην - ἐπριάμην 529 b 30.
Onesimus 19 a 42.
Onias Menelaus pontifex 52 b 29.
Onirus Achillis et Deïdamiae f. ab Oreste occiditur 148 b 21.
Onophas inter septem magi interfectores 38 a 22. socer Xerxis 38 b 36. ad Salaminem dux 39 b 23.
ὄνος ἡ κάτω μύλη 533 b 10.
Onnilus Armatum interficit 54 b 16.
Ophellas Cyrenensibus auxilio mittitur 70 a 22.
optimates Gothorum 57 a 36.
Ὀφιώδης insula 456 b 13.
Ὄφιον 143 b 36.
x oratorum lexica cod. 150.
C. Orbanus Siciliae praetor 392 b 23.
ὀργάς 534 a 12.
Ὀρεία 144 b 35.
Orestes Augustulum filium suum imp. efficit 55 b 31.
Orestes parricida 333 b 10. quo die natus sit 148 b 40. Onirum interficit 148 b 23. Helenam Aegisthi filiam interficit 149 b 15.
Orestes alius 475 b 13.
Orestiadae Cappadoces 340 b 17.
orgia a Thracibus et Macedonibus celebrata 140 a 37.
Oribasius cum Aëtio comparatur 181 a 2, cum Dioscuride 123 b 39. opera eius medica quattuor cod. 216—9. εὐπόριστα spuria 176 b 5.
Origenes Leonidae filius 92 b 8. Ammonii discipulus 173 a 21. 461 a 39. Clementis successor 92 b 28. adamantinus 92 b 27: cf. 286 b 24. Centaurus 302 a 30. ab Hippolyto ad exponendam scripturam excitatur et adiuvatur 94 a 36. Demetrii in eum odium 92 b 35. Africanum refellit

Digitized by Google

7 a 20. Sabellium impugnat 92 a 3. animam ante corpus esse docet 93 b 11; corpus carcerem esse animae 293 a 6 et 13, nec resurgere 297 a 37. 299 a 36: cf. 14. de Lazaro et divite quid senserit 300 b 42, deque angelis hominibus stellis 206 a 21. damnatur 5 a 4. martyriumne perpessus sit 92 b 14 — 24. περὶ ἀρχῶν cod. 8. 87 a 15. Labyrinthus ei tribuitur 12 a 5. pro eo incertus quidam cod. 117, Pamphilus et Eusebius cod. 118: cf. 291 b 18.
Origenes ὁ ἀδαμάντιος 286 b 24.
Oritae 327 b 21.
Orondes Parysatidis adulter 43 b 15.
Orontes Tiribazum in vincula coniicit 120 a 34.
Orontes fl. 485 a 36.
Orontis dictum 435 b 5.
Oropius Sogdianis praeest 64 b 22.
Orpheus Oeagri et Calliopes f. 140 a 20. Platonicae de providentia sententiae auctor 173 a 15. montes et saxa trahit 443 b 1. a mulieribus laceratur 140 a 31. fanum eius mulieribus inaccessum b 14. auditor eius Midas 130 b 30.
Orthagoras coquus Sicyoniis imperat 530 a 37.
Orthagoras de mari rubro quid tradiderit 327 b 10.
Ὀρθιῶτις 144 a 40.
Orus digito ori imposito natus 343 a 35.
oryx Sothidis ortum nuntiat 343 a 12. eorum cornua pro armis sunt 453 a 29.
ὀσχοφορικὰ μέλη 322 a 13.
Ὀσιριάδες περιβολαὶ 343 a 29.
Osiris 335 a 29. idem Adonidi 343 a 21.
Osroenensium epp. ad Flavianum epistola 12 b 36.
ostracismus 433 b 9. abs quo inventus sit 152 a 39.
ostrea eximia magnitudine 327 b 17.
ὦ τάν 530 b 2.
Otus Martem in vincula coniicit 444 b 3.
ova cruda 526 b 4. ovum primitivum 535 a 39.
oves Indicae 46 b 35.
Oxathres Darii frater, Amastridis pater 224 a 24.
Oxathres Dionysii Heracleensis f. 224 b 16. fraterni regni socius 225 a 4. a Lysimacho tollitur 24.
Oxendras Ochi f. 42 b 15.
Oxyartes Roxanae pater Bactrus 64 b 14. 68 a 6. 71 b 37.
Oxynius Hectoris f. 140 b 17.
Ὀξυρυγχίτης νομὸς 447 b 9.
οὐδὶς 532 b 3.
οὐρανία stella navibus salutaris 62 a 4.
Pacis templum in urbe 149 b 32.
Pacoris Aegypti rex 120 a 15.
Pacorus Parthus 53 a 11.
Pactolus fl. 46 b 29.
Pacurius Persarum rex 22 a 28.
παιάν 320 a 21.
Palaestinae praeficitur Caisus Saracenus 2 b 15. Arabes eo thus afferunt 457 a 38.
Palaestinenses deos esse non credunt 438 a 22.
Palamedes a Graecis dux creatur 150 b 38. mors eius Ephesi picta 146 b 27.
Palici 387 b 25.
ἐπὶ Παλλαδίῳ 535 a 25.
Palladium a Diomede rapitur 137 a 8, a duobus 148 a 29.
Palladius Hellenopolis ep. 18 b 20. Origenista 18 b 42. vitam Chrysostomi scripsit 78 b 31.
Palladius sophista cod. 132.
Pallene Sithonis filia 132 b 7.
Pallenen appellunt Cadmus et Proteus 136 a 39.
pallium sophistarum 60 b 10.
palmae Indicae 46 b 39.
Pamphila Aegyptia sub Nerone 119 b 38. eius σύμμικτα ἱστορικὰ ὑπομνήματα cod. 175: cf. 103 a 35.
Pamphilus martyr Pierii discipulus 93 a 22, Eusebii amicus 4 b 9. testis pro Origene 91 b 34, pro quo scripsit τόμους sex cod. 118.
Pamphilum excerpit Vindanius 107 a 3.
Pamphylia Mopsi filia 120 b 11.
Pamphylia a Graecis habitata 120 b 12. ἀρωματοφόρος 324 a 41. lanam fert αὐτοφυῆ 326 b 31.
Pamprepius Aegyptius grammaticus impius 56 a 31. 343 b 11 et 15. 346 b 23 et 38. 347 a 2. 351 b 24.
Pan Mercurii f. 427 a 31. Achillem omnium formosissimum esse indicat 152 b 1. a Venere turpatur 4. eius χορεία 402 b 4. Πανικόν τι ζῶον 341 b 17.
Pan piscis marinus 153 b 22.
Panactus Boeotiae opp. 321 b 34.
Panathenaea 533 b 29.
Panathenaïcum stadium 497 a 14.
Pandareus Dulichiensis 531 a 21.
Pandion Atheniensium rex 136 a 20.
Pannoniam Avari sedem sibi petunt 26 a 34.
Panon Thebaïdis opp. 447 b 14.
Pantaenus magistris usus qui Apostolos viderant 92 b 31. ipse Clementis Alex. magister 89 a 38. 92 a 30.
pantarba lapis 45 a 28. 51 a 38.
panthera v. pardalis.
Panyasis poëta 319 a 19.
Paphlagonia Timonitis 232 b 26.
Paphnutius confessor concilio Nicaeno interest 471 a 24.
Papias Hierapolis ep. 291 a 20.
paradisus 288 a 41
de paralysi Theophrastus 525 b 22.
pardalis semper sitit 342 b 35. styracis odore in Pamphyliam ducitur 324 a 40. Africa differt ab Asiatica 455 a 24.
πάρηβον lignum Indicum 47 a 33.
Pariorum πολιτεία ab Aristotele scripta 105 a 1.
Paris dearum iudex 152 b 18. citharam a Venere accipit 153 a 4. Peritanum exsecat 147 a 15. Corythum filium suum occidit 134 b 1 — 9. a Philocteta vulneratur 134 b 15. a Menelao interficitur 151 a 5.
Parmenides Eleata e schola Pythagorae profectus 439 a 36.
Parmenides Platonis dialogus 351 a 31.
Parmenio Philotae pater capitis damnatur 67 b 41.
Parmeno nomen servile 532 b 40.
Parmises Amytis frater 36 a 36. 42 b 37.
παροίνιον i. q. σκόλιον 321 a 4.
Parrhasius pictor 369 b 32.
παρθενία unde dicatur 311 a 20.
παρθενικὰ melici carminis genus 321 a 33.
Parthenius mons 149 a 24.
Parthi a Scythis oriundi 17 b 5. Tanyoxarci parent 37 a 16. ab Antiocho desciscunt 17 a 31. Mithridatis societatem detrectant 234 b 27. a Traiano vincuntur 17 b 7.
partus monstrosi 30 b 40.
Parysatis Artoxerxis filia Ochi coniux 42 a 6 et 38. b 5 et 24. 43 b 12 — 18.
Parysatis Ochi filia Alexandro nubit 68 b 8.
Pasargadae 442 a 30.
de Paschae tempore cod. 115 — 6.
Pasicrates Dionis Chrysostomi pater 165 a 40.
Pasiphaë cum tauro rem habet 443 a 20.
Patala Indiae urbs 71 b 41. 327 b 8.
Patermuthius martyr 93 a 20.
Patricius Asparis f. 55 a 11. necem aegre effugit b 7.
Patricius magister 55 b 26 et 33.
Patricius Phryx 22 b 3.
Patrocles Antiochi dux 227 a 6.
Patroclus Abderi frater 150 b 32. cur ἱππεὺς appelletur 147 a 8. Eudorum μνήμονα habet 26.
Patron Epicureus 84 a 18.
Patrophilus Arianus Maximum Hierosolymis expellit 482 b 32.
Paulacius Alexandriae augustalis 81 a 42.
Paulinus orthodoxus Ariminum relegatur 483 a 7.



Digitized by Google

Paulinus praestigiator 27 *b* 26.
Paulus apostolus epistolam ad Hebraeos non scripsit 12 *a* 17. 94 *a* 33. Timotheum in sede Ephesia collocat 468 *b* 32. Chrysostomum ut epistolas suas interpretetur excitat 80 *b* 24.
Paulus Cpolit. ep. martyr cod. 257. eius ecclesia 477 *b* 12.
Paulus Emisae ep. 257 *a* 12. a Cyrillo probatur 269 *a* 34. *b* 27.
Paulus haereticus 5 *b* 7.
Paulus Heracleae ep. 19 *a* 1.
Paulus medicus 123 *b* 31.
Paulus Mysus multas Lysiae orationes spurias esse censet 489 *a* 35.
Paulus Samosatensis 259 *a* 38. 265 *b* 21. 273 *b* 40.
paupertatis ara 328 *b* 19.
Pausaniae λεξικόν cod. 153.
Pausanias ap. Plataeas victor 39 *b* 3.
Pelagiana haeresis 14 *b* 23 sqq.
Pelagius cod. 53 et 54. monachus, Celestii magister 14 *a* 30.
πέλας 532 *a* 39.
Pelasgi Althaemenem sequuntur 141 *a* 1. Antandrum incolunt 139 *a* 12, Andrum 24, Cyzicum 25, Thebas 321 *b* 3. Panactum obsident 34.
πελειάδες 147 *a* 4.
Peleus Achillem igni eripit 152 *a* 3. a diis donatur in nuptiis 152 *a* 20—29. pentathli auctor 409 *a* 13.
Pelias iuventae restitutus 443 *b* 29. mors eius ludis celebrata 533 *b* 30.
Peligni 230 *a* 31.
Pelion Dicaei et Sylei sedes 133 *a* 39, Magnetum 135 *b* 36.
Peloponnesii ad Cecryphaliam victi 404 *a* 29. Dedebarum hospites 458 *a* 4.
Pelops Lydus 375 *b* 35. Hippodamiam amat 366 *b* 32.
Pelusium Pyrrhi Molossi ancilla 530 *a* 28.
Peneas Palaestinae opp. 505 *b* 6.
Penei accolae Magnetes 135 *b* 35.
Pentadia diaconissa 83 *a* 11.
pentathlum 409 *a* 8. 440 *b* 2.
Penthesilea Achillem occidit 151 *b* 30.
Perdiccas Orontae f. 69 *a* 11. Hephaestioni succedit 64 *b* 8. 69 *a* 21. regnum Alexandri partitur 64 *b* 30. 69 *a* 30. Eumenem ab Ariarathe pulsum restituit *b* 26. Antigonum in ius vocat 70 *a* 30. Nicaeam, mox Cleopatram ducit 39 *b* 24. Cynanen tollit *a* 40. necatur 224 *a* 19.
Perennius ducenarius Christianos vexat 127 *b* 15. 544 *b* 25.
Pericles Anaxagorae auditor 365 *b* 24. summa eloquentia 376 *b* 24 et gravitate 423 *a* 25. a Cratino et Aristophane laudatur 424 *a* 21 et 26. a Cleone vexatur 377 *a* 17. filii eius ignobiles 371 *b* 40.
Pericles Lyciorum rex 120 *b* 13.
Perinthus a Mithridate oppugnatur 233 *b* 15.
Periphetes Mygdoniae rex, Pallenae procus 132 *b* 11.
Peritanus Arcas Helenam adulterat 147 *a* 14.
Perozes miranes 23 *b* 3.
Perozes Persarum rex ab Hunnis victus 21 *b* 35. 22 *a* 11. 26 *b* 8.
Persae a Perseo nomen trahunt 442 *a* 17. id nomen quo accentu efferant *b* 26. cum matribus suis concumbunt 132 *b* 2. sagittarii 373 *a* 8. quo modo excaecent 22 *a* 26. Serum portus tenent 26 *b* 6. Christum colere discunt 508 *b* 25.
Persarmenii 22 *b* 18. 23 *b* 22.
Περσεία 144 *b* 10.
Perseus Danaës f. Erythrae pater 442 *b* 29. Andromedam liberat 139 *a* 2. 442 *a* 15.
Perseus Macedo captivus moritur 381 *b* 24.
Pessinus Tectosagum urbs 228 *a* 4. 390 *b* 36.
Petesacas eunuchus Astyagem occidit 36 *b* 21.
Petesas Usiridis et Spitamae pater 41 *a* 27.
Petra Arabiae urbs 457 *a* 37.
Petra Colchidis opp. 25 *b* 30.
Petrus apostolus Philone familiariter usus 86 *b* 15. res eius et cum Simone mago sermones scripsit Clemens Alexandrinus 90 *a* 11. ipse an Thomas Malcho aurem absciderit 290 *b* 23. de baptismo eius 537 *b* 24.
Petrus Illustris 158 *a* 30.
Petrus martyr Alexandriae ep. 257 *a* 25. 470 *b* 11. 477 *b* 25.
Petrus Mauricii dux 31 *a* 2. 32 *a* 40. 33 *a* 34.
Petrus Mongus Alexandriae ep. concilium Chalcedonense damnat 9 *a* 24. Orientis ecclesiam turbat 56 *a* 11. 346 *b* 35.
Petrus Myrorum ep. 287 *a* 1.
Petrus protopresb. Alexandrinus 81 *b* 20.
Peucestes Persis praeficitur 64 *b* 21. 71 *b* 31.
φακιόλιον 2 *b* 19.
Phaeacis oasis 61 *a* 32.
Phaeax Alcinoi et Locri pater 131 *a* 34.
Phaedrus Epicureus 84 *a* 17.
Phanes 143 *b* 9. 145 *a* 16.
Phanites ἱερογραμματεύς 151 *b* 4.
Phantasia Memphitis ante Homerum bellum Iliacum et Ulyssis errores scripsit 151 *a* 37.
τὸ φαράγγιον 23 *b* 29. 24 *a* 32.
φαρμακοί 534 *a* 3.
Pharnabazus Cyzici ab Atheniensibus vincitur 405 *a* 15. Cononem classi praeficit 44 *b* 38.
Pharnabazus Parthus 53 *a* 10.
Pharnaces Cappadociae rex 382 *a* 29.
Pharnacyas eunuchus Xerxem interficit 42 *a* 11. necatur *b* 33.
Pharsalus ab Antipatro tollitur 494 *b* 13.
Pharsan Aethiopiae 3 *a* 31.
apud Phaselin in Lycia ignis immortalis 46 *a* 34.
φασώλιν vel φασκιόλιον 2 *b* 19.
Phavorinus v. Favorinus.
φεῖ 530 *a* 23.
φήμη liber Helladii 536 *a* 5.
Phemonoë 150 *a* 5. 319 *a* 8.
Pheneatae indicatae Proserpinae quod praemium tulerint 133 *a* 23.
Pherechanis caedes 29 *b* 16.
Pherecles ab Antiocho Parthiae praefectus 17 *a* 36.
Pherecydes Syrius morbo pediculari periit 533 *a* 5.
Phidias quomodo usus sit oleo 293 *a* 1.
Phila Antipatri filia 224 *a* 33.
Philae 62 *a* 15.
Philagrius medicus 177 *a* 13.
Philammon Philonidis f. 132 *a* 11.
Philetas Cous Telephi f. 319 *b* 13.
φιλητής i. q. κλέπτης 535 *b* 7.
Philina Aridaei mater 64 *a* 23.
Philippicus Mauricii affinis 27 *b* 39. 28 *a* 28 et 35. *b* 30. 29 *a* 5 et 15.
Philippopolis 32 *a* 39.
Philippus Amyntae f. puer stellas sagittis petit 149 *a* 1. ab Olympiade adamatur 367 *a* 25. inter Amphictyones recipitur 492 *a* 18. Phocidem occupat 490 *b* 25. ad Chaeroneam vincit 494 *a* 5. Byzantium oppugnat 495 *b* 43. Euboeam petit 496 *a* 7. eius ad Olympiadem litteras interceptas non solvunt Athenienses 534 *b* 23. de Demosthene et Isocrate iudicium 493 *b* 24. Philippi et Augusti vitas composuit Amyntianus 97 *a* 20.
Philippus III Theopompi historiam in libros XVI redigit 121 *a* 37.
Philippus praef. Paulum ep. dolo eiicit 475 *b* 10.
Philippus Sideta χριστιανικῆς ἱστορίας auctor cod. 35.
Philippus Sogdianis praeest 64 *b* 19, Parthis 71 *b* 33.
Philo Iudaeus Christianis sacris initiatus 86 *b* 12. allegoricae interpretationis auctor 10. ad Caesarem legatus 5. πλατωνίζει 26. ab Helladio citatur 529 *b* 29. eius Γάϊος ψεγόμε-

Digitized by Google

νος καὶ Φλάκκος φεγόμενος cod. 105. τῶν παρὰ Ἰουδαίοις φιλοσοφησάντων βίοι 86 *a* 33. νόμων ἱερῶν ἀλληγορία καὶ περὶ βίου πολιτικοῦ cod. 103.
Philocharis Aeschinis frater 20 *a* 35.
Philoctetes Herculis rogum non incendit 147 *a* 37. serpentis morsu perit 151 *a* 4. Lemni sanatur 152 *b* 13.
Philomela Pandionis filia 136 *a* 20. in hirundinem mutatur 29, in lusciniam 443 *a* 21.
Philonides versum Sophoclis παρῳδεῖ 530 *a* 17.
Philonis Heosphori et Cleoboeae filia 132 *a* 11.
Philonomus Lacedaemone Doriensibus prodita Amyclas accipit 137 *b* 16. gens eius novam sedem quaerit 141 *a* 6.
Philophron a Rhodiis ad pop. Rom. legatur 381 *b* 9.
Philoponus. v. Ioannes Philoponus.
Philosophia Hesychii Illustris mater 34 *a* 39.
Philostephanus poëta 148 *a* 41.
Philostorgii Ariani ἐκκλησιαστικὴ ἱστορία cod. 40.
Philostrati Tyrii λεξικὸν τῶν παρὰ τοῖς δέκα ῥήτορσι λέξεων 99 *b* 6. vita Apollonii Tyanensis cod. 44 et 241.
Philotas Ciliciae praeficitur 64 *a* 36. 69 *a* 36.
Philotas Parmenionis f. capitis damnatur 67 *b* 40.
Philoxenus Ciliciae praeficitur 71 *b* 24.
Philoxenus in lautumias coniectus 532 *b* 35.
Philtatius modum τοῦ κόλλου demonstrat 61 *a* 9.
Philumenus imperium affectat 478 *a* 29.
Philumenus medicus 177 *a* 13.
Phineus Cephei frater Andromedae procus 138 *b* 25 et 33.
φιλοχρονηγόρος 84 *b* 5.
Phitres et Leodamas de regno Milesiorum contendunt 139 *b* 38.
Phlegontis Tralliani ὀλυμπιονικῶν καὶ χρονικῶν συναγωγή cod. 97.
phocae coagulum 528 *b* 5. cum Ichthyophagis foedus 450 *b* 13.
Phocas imp. 32 *b* 11. 33 *a* 6. *b* 7.
Phocioni donum decernit Midias 496 *a* 20.
Phocritus Heracleae praeest 226 *a* 2.
Phoebadius Adaulfo epithalamium dicit 59 *b* 27.
Phoebammon comes 536 *a* 13.
Phoenice prius Ioppa appellata 138 *b* 27. Chrysostomi studio ab idolorum cultu purgatur 80 *a* 41.
Phoenices Thebis Aegyptiis regia utuntur 137 *b* 33. Rhodum tenent 141 *a* 19. Saturnum quo nomine vocent 343 *b* 21. cum Sabaeis commercium habent 459 *a* 29.
Phoenicon 2 *b* 20. 62 *a* 20. 457 *a* 31.
phoenix 95 *a* 27.
Phoenix Andromedae procus 138 *b* 33.
Phoenix Europae pater 136 *a* 34.
φοιτάζειν – φοιτίζειν 532 *b* 10.
Phorbantis filia Tiresias 146 *b* 40.
Φορκία 144 *a* 1.
Phorcides tres uno oculo contentae 443 *b* 30.
Photice veteris Epiri urbs 163 *b* 9.
Photius ad Assyrios legatus 1, 1.
Phraates Θεός 84 *a* 17.
Phraates Parthorum rex 84 *a* 17.
Phraates Persarum dux 29 *a* 26.
ad Phradatem Parthorum regem Mithridates et Lucullus legatos mittunt 239 *a* 13.
ἐν Φρεαττοῖ 535 *a* 28.
Phrixus ariete vectus 443 *a* 34.
Phryges tibiae et tympani inventores 369 *b* 24. Phrygum et Mysorum termini 345 *a* 29.
Phrygia Menandri 438 *a* 5.
φρύγιος νόμος 320 *b* 20.
Phrynichi Arabii σοφιστικὴ παρασκευὴ cod. 158. de Aeschine Socratico iudicium 20 *b* 23.
Phrynis Mytilen. nomi rationem mutavit 320 *b* 8.
φθαρτολάτραι 106 *b* 19.
φθειρίασις 533 *a* 1.
φθορὰ 105 *a* 31. 106 *a* 8.
φυγαδοθήρας 494 *b* 20. 496 *a* 27.
φυλακεῖα quid dicant Alexandrini 338 *b* 25.
φυλακὴ νομός 447 *b* 10.
Φυλακῖτις 144 *b* 23.
Picentini adv. Romanos rebellant 391 *b* 12.
Pierius presbyter 93 *b* 19. Pamphili magister 92 *a* 22. 93 *a* 33. scholae Alexandrinae praeest 22 et 34. martyr 24. novus Origenes 93 *b* 24. eius λόγοι ιβ´ cod. 119.
Pindarus 337 *b* 17. dithyrambum invenit 320 *a* 30. laudatur 331 *a* 2. 337 *b* 17. 435 *a* 27. vitam eius scripsit Plutarchus 104 *a* 3.
piper quo pacto ab Indis colligatur 325 *b* 6.
Piragustus Sclavorum dux 31 *a* 11.
Pirithous eunuchus Centaurum interficit 149 *a* 13.
πισάγας ὁ λεπρός 41 *a* 1.
Pisander poëta epicus 319 *a* 18.
Pisidae Acoris socii 120 *a* 4.
Pissuthnes rebellat 42 *b* 36.
Pistus Iusti Tiberiensis pater 6 *b* 38.
Pistus servi nomen 532 *b* 40.
Pithemus Apolloniata Solis oves pascit 136 *a* 6.
Pithon Agenoris f. Indiae finitimas regiones tenet 64 *b* 12. 71 *b* 39.
Pithon Crateuae f. 69 *a* 14. Mediam accipit 64 *a* 36. 69 *a* 37.
Placidia Honorii soror ab Alaricho capitur 57 *a* 6. ab Adaulfo non redditur 59 *a* 16. Adaulfo nubit *b* 13. ignominia afficitur a Singericho 60 *a* 17. a Valia ad fratrem remittitur 61 *a* 3. Constantio invita nubit *b* 10. Libanium interficit 62 *a* 33. querelas eorum quos Constantius vexavit frustratur *b* 2. a fratre nimis amatur, mox eidem odio est 7. cum liberis suis Constantinopolim relegatur 21. adv. Ioannem tyrannum mittitur 63 *b* 11.
πλαγγόνιον μύρον a Plangone Elea inventum 532 *b* 15.
ad Plataeas pugna 39 *a* 41.
Plato com. in Pisandro 486 *a* 14.
Plato philos. Pythagorae successor, Archytae discipulus 438 *b* 18. 439 *a* 33. Isocrate minor natu 486 *b* 12. Aeschinis magister 20 *a* 40. 490 *b* 16, Clearchi 222 *b* 11, Hyperidis 495 *b* 18. summus philosophus 337 *b* 3 et 15 et 21. Attici sermonis norma 101 *a* 20. *b* 6 et 19. pauper 346 *a* 34. secum pugnat 11 *b* 18. cum Aristotele consentit 171 *b* 34. 440 *a* 30. 461 *a* 24: cf. 533 *b* 13. Homerum incusat 410 *b* 2. 422 *b* 33. de δημιουργῷ quid sentiat 460 *b* 24. 461 *b* 6, deque animarum migratione 461 *b* 1. colores ponit duodecim 439 *a* 38. ἰδέαι eius ubi sint 439 *b* 20. citatur 125 *a* 11. 345 *b* 39. 349 *b* 3. 422 *b* 4. 441 *a* 22. 463 *b* 39. 464 *a* 7. *b* 1. 465 *b* 39. ab Iustino refellitur 290 *a* 22, ab Aristide cod. 247 et 248. successorum eius opes 346 *a* 32. σειρὰ χρυσῆ 346 *a* 18. lexica Platonica v. Boëthus et Timaeus.
πλεκτὸν σχῆμα 401 *a* 37.
Plesirrhous Thessalus Herodoti amasius 148 *b* 10. 150 *b* 25.
Plocianus proconsul 108 *b* 3.
Plotinus Ammonii familiaris 173 *a* 21. 461 *a* 39.
Plutarchus Atheniensis 173 *a* 37, Hierii pater 342 *a* 16. 365 *a* 41. 366 *a* 40.
Plutarchus Chaeron. 340 *a* 12. cod. 245. Cratetis Daiphanti Epaminondae Pindari vitas scripsit 104 *b* 3 et 27. de Tiberii asino quid tradiderit 340 *a* 11. excerptus a Sopatro 104 *a* 24 et 39. *b* 18 et 26.
Pluto ab Hercule telo ictus 444 *b* 3.
Pnytagoras Euagorae f. 120 *a* 40.



Digitized by Google

Ptolemais urbs 457 a 11. 459 b 24.
πτύξ 535 a 17.
publicani Rom. ab Heracleensibus interfecti 232 b 41.
Pulydamas 148 a 27.
purpura Indica 47 b 33.
Pygmaei in Aethiopia 329 b 28. 330 b 7. trans Gangem 327 a 12. in India media 46 a 38.
Pygmalionis oliva aurea 328 b 27.
Pylius Vulcani f. 152 b 14.
Pylus a Nelidis regitur 138 a 40.
Πυράλιος 143 a 31.
Pyrrhan i. q. Achilles 147 a 20.
Pyrrhias servi nomen 532 b 39.
πυῤῥίχη 321 a 1.
Pyrrho philosophus 169 b 27.
Pyrrhonii quid differant ab Academicis 169 b 36.
Pyrrhus Achillis f. ὑπόρχημα invenit 320 b 36.
Pyrrhus Molossus matrem veneno tollit 530 a 28.
Pyrrhus presbyter 159 a 10. ep. Cpolit. 159 b 24. ut monotheleta damnatur 5 a 14.
Pythagoras philosophorum antiquorum summus 337 b 21. cum magis versatur 331 b 1. eius vita cod. 249. cognomen 151 b 26.
Pythagorei, Pythagorici, Pythagoristae 438 b 24 — 26. malva et faba abstinent 344 a 35. 439 a 29.
Pytheas Athen. Demosthenem accusat 494 a 37.
Pytheas Car 335 b 9.
Pythia certamina 533 b 33.
Pytholaus Thebae frater 142 a 10.
Python Byzantius 334 b 32.
Python draco 153 a 1.
Python Ennensis 385 b 21.
πύξ 532 b 2.
Quadrato utitur Eusebius adv. Andream 106 a 37.
quadringenti viri Athenis 486 a 28.
Quirini domus 342 a 17.
Razates Persa 33 a 28.
Recithangus Romanorum dux 26 a 6.
Reginus citharoedus 131 b 32.
Regium Bruttorum urbs 58 a 20. ἄγαλμα habet τετελεσμένον ib.
Remus 17 a 6. 141 a 28.
de Republica dialogus cod. 37.
de resurrectione sententiae Philoponi, Synesii, Theodosii monachi 5 a 25. 31 b 36.
Rhadaphernes Hyrcaniae praeficitur 64 b 20.
ῥαφὶς - βελόνη 533 b 7.
Rhea Silvia 16 b 39.
Rhesus Strymonis f. 131 b 24.
rhinoceros 455 a 29.
ῥίον 534 a 18.
Rhodane v. cod. 94.
Rhodanus Ariminum relegatur 483 a 7.
Rhode Mopsi filia 120 b 9.
Rhodii Mithridati resistunt 230 b 38. a Chiis adiuvantur 231 a 39. in classe Triarii peritissimi rei navalis 236 b 12. Persae student 381 b 2. auro apud eos pluit 371 a 26. mos eorum absurdus 166 a 29.
rhododaphne in Amyci sepulcro 148 b 26.
Rhodogune Xerxis filia 38 b 40.
Rhodope Amisena Leucade desilit 153 b 2.
Rhodus Solis insula 141 a 14. post indigenas a Phoenicibus Caribus Doriensibus tenetur 18. quantum distet ab Alexandria 454 b 40.
Rhodus urbs e tribus coalescit 141 a 25. ibi Aeschines pueros instituit 20 a 25.
Rhopalus Herculis f. 148 a 34.
Rhosas Zadespram necat 30 a 9.
ῥυνδάκη avis Persica 44 b 3.
Rhyndacus 139 a 30.
Rodogaisus Gothus 57 a 36.
Roma a Longobardis terretur 29 a 21. civium numerus Ol. CLXXXVII 84 a 14. ambitus moenium 28. magnarum domorum opulentia 68 a 18 et 30. servorum conspiratio 386 a 9. in conspectu pugna cum Hunnis 339 b 12.
Romani Alexandro M. coronam auream donant 229 a 20. a Cimbris caeduntur 386 b 18. in funeribus imagines maiorum praeferunt 383 a 30. laudis avari 381 b 15. superstitiosi 391 a 19.
Romulus Albae rex 16 b 31.
Romulus urbis conditor 15 b 27. 141 a 28.
Roxane Cambysis uxor 38 a 5.
Roxane Oxyartae filia 64 a 26. b 14. 69 b 16.
Roxane Terituchmae soror 43 a 17.
Rubrum mare ab Agatharchide descriptum 171 a 14 et cod. 250. caeruleum esse 327 a 39.
Rufina martyribus aedem condit 129 b 9.
Rufinus ad Chosroëm legatus 23 a 24. 24 a 25. Ioannis pater 25 a 26.
Rufinus Himerii f. 108 a 7. 365 a 28. b 12.
Rufi δραματικὴ ἱστορία 103 b 12. μουσικὴ ἱστορία 16 et 35. ῥωμαϊκὴ ἱστορία 104 b 8.
Rufum excerpit Aëtius 177 a 12.
Rupilius 386 a 18.
Rusticius Adaulfo epithalamium dicit 59 b 27.
Sabaei Arabum gens 458 a 30. navibus utuntur coriaceis 459 a 23.
Sabas Arabiae urbs 459 a 1.
Sabas M. 162 a 36.
Sabas ἀπόκοπος Messalianus 12 b 25.
Sabas alius, et ipse Messalianus 12 b 27.
Sabbatius Armenios ad defectionem incitat 29 a 36.
Sabelli Nolae rebellant 392 a 38.
Sabellius Afer 499 b 14. hunc impugnant Dionysius Alexandrinus 291 a 27 et Origenes 92 a 3.
Sabiri cum Persis militant 23 b 23. 26 b 38.
sacerdotum Iudaeorum vestitus 521 a 29.
Sadycus Dioscurorum aut Cabirorum pater 352 b 13.
Salex fl. 328 a 28.
Sallustius Cynicus 342 b 27. ex oculorum obtutu mortem violentam divinatur 6. eloquentiae studet 350 b 21.
Sallustius ἔπαρχος 108 a 39.
Salvius s. Tryphon fugitivorum dux 388 a 1. 389 b 11.
Salydo insula 457 b 22.
Samaritae 285 a 25.
Sami Aeschines moritur 20 a 33.
Samiades Heraïdem ducit 377 b 20.
Samnites bellicosi 15 b 41. belli Marsici participes 391 b 11. 392 a 37.
Samothrace Dardani et Iasonis patria 134 a 20.
Sampsigeramus Iamblichi proavus 126 a 2.
Samus ep. 12 b 17.
Sanaturces Homeritarum rex 26 b 18.
Sandalium locus Lacedaemone 149 b 5.
Saneges Ponti accolae 238 a 38.
Sangarius fl. 233 a 20.
Sangarius rex 233 b 40.
Sani i. q. Tzani 23 b 31.
Saper miles 28 b 29.
sapores septem 439 b 7.
sapphirus lapis 332 a 10.
Sapphus liber octavus 103 a 40.
Saraceni 2 a 22. bina quotannis concilia agunt b 20. Chosrois regnum incursant 32 a 13.
Sarames Persarum dux 29 a 42.
Sarapion presb. v. Serapion.
Sarapion Syrus fugitivos prodit 386 a 25.
sarda gemma 46 a 16.
Sardicense concilium 476 a 16.
Saroes Alanorum rex 26 b 37.
Sarsamas Aegypti satrapa 40 b 19.
Sarus Gothus Alarichi inimicus 57 a 11. 84 b 22. ab Honorio desciscit 58 b 31. ab Adaulfo occiditur 26.
Satanas a Zurvamo genitus 63 b 41.
Satibarzanes Persa 43 b 15. 44 b 33.
Saturni apud Phoenices nomina 343 b 21. periodus eius annus magnus 440 a 20.

Digitized by Google

σάτυροι dramatis genus 319 a 6.
Satyrus Aristarchi familiaris zeta cognominatus 151 b 21.
Satyrus Bacchi et Nicaeae f. 234 a 11.
Satyrus a Demosthene defensus 491 b 29.
Satyrus fugitivorum in Sicilia dux 390 b 23.
Satyrus Heracleensis 232 b 33.
Satyrus Heracleensis Clearchi frater 223 a 8 — b 6.
Satyrus a Mida captus 372 a 15.
Satyrus in scena Herculi maledicens 438 b 2.
Saunitae pro Persis militant 23 b 23.
Scamander fl. 419 b 6. Teucri pater 134 a 26.
Scamander Hectoris f. 140 b 18.
σκέπαρνον i. q. ἴριον 532 b 28.
σχιδία νομός 447 b 10.
Scheria insula a Phaeacibus, mox a Corinthiis habitatur 131 a 30.
Sciapodes fabulosi 327 a 14.
σκινδαψὸν quis invenerit 252 b 23.
Scindapsus Homeri famulus 152 b 21.
scintillae ab hominibus et bestiis editae 340 a 4 — 27.
Scione quomodo condita 133 a 12.
L. Scipio 229 b 16.
P. Scipio ab Hispanis rex creatur 229 a 28. ad Heracleenses litteras dat b 11.
P. Scipio Africanus minor Viriathum vincit 384 a 23.
Σκιράς 322 a 25.
Scirthaea opp. 390 a 17.
Sclaveni s. Sclavi 27 b 17. 30 b 39. 32 a 35. iidem Getae 29 a 20. tres ab Oceano missi 30 b 15.
σκολιὸν 321 a 4.
Scylacius proconsul Graeciae 108 a 26.
Scylax fabulator 327 a 15.
σκυταλισμὸς 534 b 33.
Scythae Thamyridem regem creant 132 a 18. societatem Mithridatis detrectant 234 b 27, Heracleensium accipiunt 236 a 29. ad Istrum Chrysostomi studio Christiani 80 b 5. 508 b 20. apud eos tarandus nascitur 525 a 36.
Scytharbes Scytharum rex Darium repellit 38 b 10.
Sebastianus ab Iovino imperator renuntiatur 59 a 3. ab Adaulfo interficitur 7.
σεβαστικοὶ 438 b 20.
Secundus ep. Arianus 470 b 27.
Secydianus Artoxerxis f. spurius 42 a 1. Xerxi interfecto succedit 11 et 20. deceptus ab Ocho perit 41.
σηλαγγεῖς 448 b 1 et 18.
σεληνίτης λίθος 349 b 33.
Seleucis avis 215 a 41.
Seleucus Antiochi f. 69 a 15. Antiochi pater 228 a 25. Babyloniae praeficitur 64 b 26. 71 b 28. Spitamenis filiam ducit 68 b 14. pro Antipatro dicit 71 b 11. Lysimachum vincit 225 b 17. Heracleensibus irascitur 226 a 14. a Ptolemaeo Cerauno interficitur b 1.
Seleucus Mithridatis dux 237 b 42. 238 a 13.
Seleucus Nicator 151 a 13.
Selira sacra insula 327 b 37.
Semiramis Nini filia, non uxor 132 a 32.
σεμνεῖα therapeutarum monasteria 86 a 36.
σεμναὶ θεαὶ - Ἐρινύες 535 a 7.
senectutis ara 328 b 17.
Seoses legatus Persarum 23 a 23.
septem Persae magum interficiunt 38 a 22.
septem pueri martyres 467 b 16.
Septimius Io. Stobaei f. 112 a 17.
Septimus de Pelagianis ad Leonem papam scribit 15 a 14.
Serapion presb. 18 a 30. b 30. diaconus 80 b 18. Heracleae ep. 83 b 1.
Serapion Thmuid. ep. adv. Manichaeos scripsit 69 b 11.
Serena uxor Stilichonis 56 b 33. occiditur 57 a 21.
Sereni grammatici δράματα διάφορα 536 a 10.
Sergiopolis 25 a 3.
Sergius confessor ἱστορικῶ auctor cod. 67.
Sergius Cpolitanus 321 b 4.
Sergius grammaticus 283 b 28.
Sergius monotheleta damnatur 5 a 14.
Sergius tribunus plebis 32 b 14.
S. Sergius a barbaris quoque colitur 30 a 6. a Chosroë donatur 34.
Seriphum appellit Danae 443 b 38.
serpentes Aethiopici 456 a 15. Arabici 458 b 15. Indici 47 a 15. 326 a 6. 332 b 2. unde nascantur 528 a 19.
e Serum regione Persa quidam bombyces Byzantium affert 26 a 39. illorum portus Persae, deinde Turcae tenent b 5.
servilia bella 384 a 32 — 390 b 35.
C. Servilius 390 b 4.
servorum nomina apud Comicos 532 b 36.
e sesamo oleum 46 b 22.
Sesostris Aegypti rex 17 b 5.
Seuthes Thrax cum Lysimacho bellum gerit 69 b 23.
Severianus Gabalorum ep. 17 b 29. 80 b 18. 81 a 35. b 16. 287 a 17. 290 a 15.
Severianus 346 b 16. 352 a 2.
Severiani haeretici Leonem calumniantur 246 a 34. de unitate quid sentiant 255 b 12. 256 b 18. 281 b 6.
Severus Acephalus 243 a 31. Cononis et Theodori magister 5 b 12. sedem Antiochenam invadit 13 b 26. Cyrilli dictum quoddam invertit 271 b 13. Isidorum Origeniasmi arguit 291 b 2. Lampetii διαθήκην refellit 13 b 26. de SS. patribus quid senserit 291 a 15. de unitate 158 b 40. 283 a 9. ad Iulianum Halicarnass. scribit 241 a 11. ad Sergium grammaticum 283 b 28. a Themistio Calonymo lacessitur 88 b 31. adv. hunc Ephraemius 249 a 37 et 43, Eulogius 240 a 16, Iobius 181 a 5, Maximus 158 a 32. b 40, Nicias 12 a 33, Theophilus 287 a 40.
Severus imp. Bostra condit 347 b 20.
Severus patricius 335 b 16. 349 b 21. consul 340 a 4. Brachmanas excipit 340 a 31. eius equus scintillas edit 340 a 8.
Severus Himerii familiaris 374 a 21.
Sextus καρτερικός 366 a 41.
Sibyllae 103 b 41.
Sibyrtius Arachosiis et Gedrosiis praeest 64 b 18. 71 b 37.
Sicania 135 a 5.
in Sicilia mons perennem ignem emittens 212 b 9. bellum servile 384 a 32 sqq. 387 b 3 sqq.
σίκυς i. q. σίκυος 533 a 25.
Sicyoni imperat Orthagoras 530 a 37.
sidera esse animata Origenes existimat 4 a 1.
Sigesaro ep. liberi Adaulfi vi eripiuntur 60 a 16.
τὰ σίγμα 532 a 15.
Silenus a Mida captus 130 b 32. apud Bacchylidem quid dicat 153 b 5.
Silenus Heracleensis 232 b 33.
σίλλος 321 a 28.
Silvana diaconissa 83 b 11.
Silvia Gregorii papae mater 466 b 31.
Simi nomadum gens 453 a 24.
simiae Indicae 45 a 32. 325 b 9. 327 a 36.
Simon magus 90 a 12. b 31. 93 b 38.
Simonides Amorgius vel Samius 319 b 28.
Simplicius Romae ep. 9 a 22.
Sinatruces Parthorum rex 84 a 15.
Singerichus Sari frater Adaulfo succedit 60 a 12. liberos eius interficit, uxorem ignominiose habet 14. post dies VII interficitur 20.
Singe(i)don opp. 27 b 5. 30 b 27.
Sinope 232 a 2. 237 b 39 — 238 b 2.
Sinonis v. cod. 94.
sinus impurus Aethiopiae 456 b 10.
σιπταχόρας arbor Indica 47 b 15. 48 a 9.
Sirem Chosrois uxor 30 a 36.

Digitized by Google

Sirenes cantu exitiabili 443 *a* 5. κενταυροκτόνοι 151 *b* 32. Telemachum interficiunt 152 *b* 32.
Sirius Orionis canis 340 *b* 38.
Sirmium ab Avaris oppugnatur 27 *a* 37.
Sisarbanum prope Nisibin 29 *a* 23.
Sisinnius Cpolit. ep. 6 *b* 14. 13 *a* 8. perstringitur a Philippo Sideta 7 *b* 2.
Sisyphidas Aletes Corintho expellit 135 *a* 31.
Sithon Neptuni et Ossae f. 132 *b* 5.
Sithones Thraciae gens 136 *b* 1.
Sithonia 131 *b* 29.
Sittas Martyropolin prodit 29 *a* 7. comburitur *b* 42.
Sittas praetorianus miles 23 *a* 38. dux *b* 25 et 33. orienti praefectus 24 *a* 22. in pugna cadit *b* 33.
smaragdi fodinae 62 *a* 22.
Smerdis Galli f. 382 *a* 30.
Smicrus Democli f. Branchi pater 136 *b* 10.
in Smyrnae suburbiis Meletis fons 371 *a* 10.
Sosemus Achaemenidis f. Babyloniae rex, senator et consul 75 *b* 29.
Socrates Sophronisci f. Homeri aemulus 167 *b* 5. Platonis magister 439 *a* 35. scire se quidquam negat 411 *b* 32. iuventutem corrupit 418 *b* 24. defendit eum Lysias 488 *b* 24. tribuuntur ei dialogi septem 101 *b* 21.
Socrates pater Dinarchi 496 *b* 8.
Socratis ἱστορία ἐκκλησιαστική cod. 28.
Soene 62 *a* 10.
Sogda olim lacus 339 *b* 29.
Sol digito labris imposito natus 343 *a* 36. Circae adv. Gigantem auxiliatur 149 *b* 42. propter Thyestae facinus cursum mutat 444 *a* 21. Helenae pater 149 *a* 31. oves ei sacrae 136 *a* 7, boves 443 *b* 2.
sol ultra Ptolemaidem qualis 459 *b* 23. in India decuplo maior 45 *b* 16. centuplex quam terra 440 *a* 17.
Sopatri sophistae ἐκλογαί cod. 161.
σοφία θεοῦ 32 *b* 33. 475 *b* 28.
Sophilus Antiphontis pater 486 *a* 3.
sophistarum Atheniensium θρόνος 60 *a* 9. τρίβων 10.
Sophocles norma Attici sermonis 101 *b* 14. vocibus μώμεναι et μαγίς usus 531 *a* 4. 533 *b* 14. quomodo mortuus sit 146 *b* 17. eius Aiax Locrus 437 *a* 14. Aiax Telamonius 433 *a* 16. Satyri 438 *a* 6. versus proverbialis 530 *a* 16.
Sophronius Eucratas monachus 157 *b* 11.
Sophronius Hierosol. pro Basilio adv. Eunomium 3 *b* 8 et 21. 97 *b* 31. συνοδικὴ ἐπιστολή cod. 231.
Soranus Cilix medicus 177 *a* 13. 344 *b* 33.
Σωρῖται 144 *a* 11.
Sosigenes Asianus cursu vincit 83 *b* 41.
Sosius Antigonum expugnat 53 *a* 33. Hierosolyma capta incendit 300 *b* 39.
Sostratus Dinarchi pater 496 *b* 8.
Soterichus Eleus pugil 84 *a* 1.
Soteridae Pamphiles ἐπιτομαί 103 *a* 35.
Sothis Aegyptiis Isis, Graecis Sirius 340 *b* 36. 343 *a* 12.
Sotion περὶ ποταμῶν καὶ κρηνῶν καὶ λιμνῶν 145 *b* 28.
Sozomeni ἱστορία ἐκκλησιαστική cod. 30.
ad Sozopolitas scribit Basilius 240 *b* 4.
Spadusa 62 *b* 13.
Sparethra Sacarum regina Cyrum vincit 36 *a* 31.
Spargapises Darium Hystaspis educat 148 *b* 37.
Spartamas Aegypti satrapa 40 *b* 19.
Spartani Meliis cognati 137 *b* 23.
σπαρτοί unde vocati sint 138 *a* 12.
spectrorum pugnae 339 *b* 18 — 340 *a* 4.
sphaerae duodecim 439 *b* 17.
σφαιρωτήρ 510 *a* 30.
Sphendadates magus Tanyoxarcem calumniatur 37 *b* 6. occisi speciem induit 21. Bactris praeficitur 38. Cambysi succedit 88 *a* 13. a septem viris tollitur 20 — 37.
sphinges 455 *b* 9.
Sphinx aenigmata proponens 443 *a* 4.
Sphodrias Sicyonius pancrat. 83 *b* 40.
Spitaces Spitamae f. 36 *a* 16. Derbicum satrapa 37 *a* 17.
Spitamas Astyagis gener 36 *a* 14.
Spithradates adv. Pissuthnem mittitur 42 *b* 37.
Sporacius 15 *b* 10.
Spyridon concilio Nicaeno interest 471 *a* 32.
στά 60 *b* 21.
στάκτη unguentorum species 532 *b* 15.
Stasander Ariis et Drangenis praefectus 71 *b* 34.
Stasanor Solius Ariis et Drangis praeest 64 *b* 19. Bactrianae et Sogdianae 71 *b* 36.
Stasinus Cyprius 319 *a* 36.
Statira Darii filia Alexandro nubit 224 *a* 26.
Statira Idernae filia Artoxerxis uxor 43 *a* 12. *b* 9. 44 *a* 35 et 40.
statuae magicae barbaros arcent 60 *a* 23: cf. τετελεσμένον ἄγαλμα.
στῆναι 62 *b* 33.
stellio homini invidet 528 *a* 41.
Stentoris vox 419 *b* 3.
Stephanus eunuchus Mauricii liberorum tutor 32 *b* 27.
Stephanus Gobarus tritheita cod. 292.
Stephanus haer. Philoponum damnari vult cod. 24.
Stephanus martyr ubi sepultus sit 118 *b* 3.
Stephanus monachus Syncletici syncellus 248 *b* 8.
Stephanus presbyter et ἡγούμενος 157 *b* 15 et 17.
Stesichorus Helenam amat Himer. 149 *b* 34. aves Acestalias quas dicat 148 *a* 31. fabula eius de equo et cervo 139 b 8. palinodia 133 *b* 22.
Stichius Aetolus Herculis amasius 152 *b* 36.
Stilicho Arcadii et Honorii tutor 56 *b* 30 — 41. Rodagaïsum vincit 57 *a* 36. ab Eunapio vituperatur 84 *b* 29.
Stobaeus v. Io. Stobaeus.
Stobera Ichthyophagorum urbs 327 *b* 27.
Stoïca βία 461 *b* 24.
Stoïcos impugnat Hierocles 172 *a* 12.
Stratocles orator 447 *a* 24.
Stratonice Antiochi Dei f. 382 *b* 32.
στρεπτόλυτον σχῆμα 401 *a* 37.
Strymon Thracum rex Eïoneo fl. nomen indit 131 *b* 23.
struthophagorum gens 453 *a* 25.
Stygis aqua 148 *a* 14. 347 *b* 18 et 28.
στύξ 535 *a* 17.
Suania ab Iustino II reposcitur 26 *a* 24.
Sucabya insula 457 *b* 22.
ad Succensum Cyrilli epistolae v. Cyrillus.
suchus crocodili genus 342 *b* 39.
L. Sulla adv. Marsos bellum gerit 392 *a* 1. adv. Mithridatem mittitur 231 *a* 9. Athenas capit 14. Archelaum superat 37. pacem icit 232 *a* 5. cum Mario minore contendit 392 *b* 34. Ἐπαφρόδιτος 533 *a* 9. phthiriasi perit 7.
Superianus rhetor 341 *b* 35.
Sura opp. 24 *b* 39.
Surena Armenios ad defectionem adigit 26 *b* 21.
sus in India non nascitur 46 *b* 38.
Susanna 7 *a* 16.
συβάκχοι 534 *a* 6.
Sybaris Atheniensium colonia 489 *b* 23.
Sycaminum Aegypti et Aethiopiae terminus 329 *b* 33.
Syennesis Cilix et Artoxerxis et Cyri minoris socius 43 *b* 24.
Syleus Neptuni f. Dicaei frater 133 *a* 38. ab Hercule occiditur 40. filiam eius Hercules ducit *b* 2.
Συμβηνία 144 *a* 1.
Symeon stylites 266 *a* 8. 283 *a* 39.
Symeones Amidae ep. 28 *b* 18.
Symeones Messalianus 12 *b* 28.
Symeonius monachus et presb. ad Iustinianum imp. scribit 287 *a* 29.



Digitized by Google

Symmachi oratoris divitiae 63 *b* 40.
Symmachus V.T. interpres 121 *b* 41.
Syncleticus Tars. ep. 247 *a* 42. 248 *b* 5.
*συνείσακτοι* 80 *a* 36.
Synesius Cyren. ep. cod. 26. de resurrectione dubitat ib.
*συνοδίτης λίθος* 349 *b* 27.
Syria dea 384 *b* 32.
Syrianus dux 481 *b* 17.
Syrianus philos. 337 *b* 25. Hermiae et Procli magister 341 *a* 10.
e Syrno primi Podalirii posteri 120 *b* 7.
Syri pueros recens natos Babia nominant 341 *b* 11.
Syrus servi nomen 532 *b* 37.
Tabia Tolostobogorum urbs 228 *a* 4.
Taenarum fugit Harpalus 494 *a* 35. *τὸ ἐπὶ Ταίναρον ξενικὸν* 495 *b* 23.
Talmis in Aegypto 62 *a* 11.
Talos Minois custos 443 *b* 22.
Tamynensis victoriae nuntius Aeschines 490 *a* 41.
ad Tanain Turcae 26 *a* 28.
Tantali poena 443 *a* 10.
Tanyoxarces Cyri f. a patre Bactris praefectus 37 *a* 14. a Sphendadate accusatus *b* 6, a Cambyse occiditur 27.
*ταὼς* piscis in Hyphasi 325 *a* 15.
tarandus colorem mutat 525 *a* 35. *b* 1.
Tarantinum excerpit Vindanius 107 *a* 2.
Tarasicodissa v. Zeno.
Tarasius a Basilio Cilice producitur 87 *b* 12.
Tarasius Photii frater 1 tit.
*Ταράξιππος* 150 *a* 4.
Targitius Avarus 27 *b* 13.
*ὁ τάριχος* et *τὸ τάριχος* 533 *a* 38.
ad Tarsenses Dionis Chrysostomi orationes 166 *b* 4.
Tartessi vita 368 *b* 14.
Tatianus Aegypti praef. 484 *b* 37.
Tatianus Iustini martyris discipulus haereticus 93 *b* 39.
Tatimer 30 *b* 37.
Taugast 31 *a* 32.
Taureni montes 2 *b* 21.
tauri carnivori 455 *b* 27.
Tauromenium 138 *a* 18. a Rupilio capitur 386 *a* 18.
Taurus mons 22 *b* 17.
Tautamus Viriathi successor 384 *a* 28.
Taxila regia Indiae urbs 324 *b* 35.
Taxiles cum Poro Indiam partitur 64 *b* 10. 72 *a* 2.
Taxilles Mithridatis dux 231 *a* 22. 234 *b* 37. 235 *a* 1.
*τί - τό* 531 *b* 40.
Tectosagae Gallorum pop. 228 *a* 1.
Telauges Pythagorae f. et successor 438 *b* 30.
Telegonus Ulyssis f. patrem interficit 319 *a* 29.
Telemachus a Sirenibus occisus 152 *b* 32.
Tellidis liber 150 *a* 7.
Telmissenses cum Lyciis bellum gerunt 120 *b* 13.
Temenus Heraclida 141 *a* 1.
tempestas in Aethiopia varia 3 *a* 3.
Tenedos quae prius Leucophrys 135 *b* 27. pugna ibi navalis Romanorum et Ponticorum 234 *a* 28. 236 *a* 1.
Tennes Cycni f. insulae nomen indit 135 *b* 18.
*Τεντυρίτης νομὸς* 447 *b* 16.
*τηρητικὴ* medicorum *αἵρεσις* 107 *a* 22.
Tereus Thracum circa Daulidem rex 136 *a* 18. in upupam mutatur 31.
Terituchmes Idernae f. 43 *a* 15 — 28.
Terpander 320 *b* 5.
Tertullae librum suum inscribit Ptolemaeus Hephaestionis 146 *b* 10.
*τεσσαρεσκαιδεκατῖται* 91 *a* 13.
testudines marinae 451 *a* 30.
*τετελεσμένον ἄγαλμα* 58 *a* 22: cf. statuae magicae.
*τηθὶς* 530 *a* 7.
*τεθνάναι τινὰ φόβῳ* 426 *a* 23.
Tethyis et Oceani connubium 367 *a* 2.
*τέτλα* 531 *b* 13.
*τετράγνυθοι* 453 *b* 22.
*τετρακτὺς* 439 *a* 8.
*τετράπολις* Attica 135 *b* 10. Achaica 14.
Tetrapyrgium Siciliae campus 340 *a* 1.
*τέττα* 531 *a* 30.
Tettigidaea Myrrhinaea 153 *a* 34.
Teucer Scamandri f. Teucriae rex 134 *a* 26.
Teucer Telamonius in Oceanum delatus 328 *b* 40.
Teuchira opp. 70 *a* 22.
Thalassius presbyter 154 *b* 3. 157 *b* 9.
*θαλασσοῦχος* 143 *b* 41.
Thamudeni Arabes 457 *b* 26.
Thamyris Philammonis et Philonidis f. 132 *a* 16. Scytharum rex 18.
Thapis urbs Aegypti 62 *a* 21.
Thasus Cadmi frater insulae nomen indit 137 *b* 37.
Thaumas Iridis et Arces pater 152 *a* 15.
*θαυμάτων συναγωγὴ* auctoris incerti 109 *b* 8.
Theagenes v. Heliodori Aethiopica.
Theagenis *Μακεδονικὰ πάτρια* 104 *b* 18.
Theagenes senator 346 *a* 30.
Theandrites 347 *b* 26.
Theano Pythagorae filia et discipula 438 *b* 31.
Thebae Aegyptiae Phoenicum regia 137 *b* 33.
Thebae Boeotiae a Cadmo conditae 138 *a* 1. ab Aeolibus obsidentur 321 *a* 37. ab Alexandro excisas quomodo scriptores lamententur 446 *a* 2.
Thebaïdem inter et Memphim *νομοὶ* quinque 447 *b* 7.
Thebani Herculem hymno celebrant 148 *a* 38. Panactum adv. Pelasgos defendunt 321 *b* 35. Xerxem adv. Plataeenses concitant 39 *b* 1. Demosthenis opera Atheniensium socii 493 *a* 38.
Thebe Iasonis filia, Alexandri Pheraei uxor 142 *a* 7.
Thecla *πρωτομάρτυρ* 116 *b* 1.
*θεῖαν* non dici 530 *a* 5.
*θηλυποιὸς* 144 *b* 33.
Themistii *πολιτικοὶ λόγοι* cod. 74. in Platonem et Aristotelem commentaria 52 *a* 15.
Themistius Calonymus Agnoëta et patripassianus 88 *b* 27. *ὑπὲρ Θεοσεβίου* *b* 30. *κατὰ Ἰωάννου τοῦ Φιλοπόνου* 5 *a* 37. eum refellit Theodorus monachus cod. 108, respondentemque (88 *b* 38) iterum refellit (40).
Themistocles natus patre eius taurum immolante 148 *b* 34. Cretenses sagittarios arcessit 39 *b* 19. Xerxem fugat 25. 371 *b* 32. *γνώμην ταχὺς* 376 *b* 25. defenditur ab Aeschine Socratico 430 *b* 30, ab Aristide 427 *b* 19.
Theoclus Chalcidensis Bisaltas prodit 134 *a* 7.
*θεοκρασία* 335 *a* 34.
Theoctistus martyr 129 *a* 2.
Theoctistus Rom. dux 25 *a* 21. 26 *a* 6.
Theodectes Phaselita Theopompi aequalis 120 *b* 31 et 35. poeta tragicus 487 *a* 1.
Theodorichus Francus legatos ad Mauricium mittit 30 *b* 18.
Theodora Diogenis et Cyrinae filia ab Isidoro et Damascio erudita 125 *b* 33.
Theodoretus Cyri ep. Cyrillum reprehendit nec tamen excommunicatur 286 *b* 21. Dionysium Alex. defendit 291 *a* 35. Nicolaitas condemnat *b* 10. absolvitur 4 *b* 39. *κατὰ τῶν αἱρέσεων* cod. 56. *ἐρανιστὴς ἢ πολύμορφος* 11 *a* 6. *ἑρμηνεία εἰς τὸν Δανιὴλ* cod. 203, *εἰς τὴν ὀκτάτευχον* cod. 204, *εἰς τὰς προφήτας* cod. 205. *πρὸς Θέσεις* cod. 46. *ἱστορία ἐκκλησιαστικὴ* cod. 31, quam continuavit Euagrius 6 *a* 28. *εἰς Ἰωάννην τὸν Χρυσόστομον* cod. 273. *κατὰ Κυρίλλου* 5 *a* 7.
Theodorichus patricius opes suas pauperibus donat 80 *b* 27.
Theodorus Aegensium ep. 468 *a* 18.
Theodorus Antiochenus Mopsuestiae ep. condiscipulus Chrysostomi 79 *a* 35. Nestorianus ante Nestorium 8 *a* 20. 122 *b* 4: cf. 276 *a* 1 et 11. damnatur 5 *a* 6, nec tamen ab eius

Digitized by Google

communione abhorret Cyrillus 244 b 36. pro Basilio adv. Eunomium cod. 4: cf. cod. 5 et 6. et p. 97 b 31. 123 a 23. ἑρμηνεία τῆς κτίσεως cod. 38, quam refellit Io. Philoponus 9 b 17. 322 b 28. 323 b 14. πρὸς τοὺς λέγοντας φύσει καὶ οὐ γνώμῃ πταίειν τοὺς ἀνθρώπους cod. 177. περὶ τῆς ἐν Περσίδι μαγικῆς cod. 81 (64 a 6).
Theodorus Asinaeus Porphyrii auditor 346 b 20.
Theodorus ad Chaganum legatus 31 a 3.
Theodorus Isocratis pater 486 b 13.
Theodorus martyr 118 a 34.
Theodorus monachus κατὰ Θεμιστίου cod. 108.
Theodorus presb. cod. 1. genuinum esse S. Dionysii librum.
Theodorus Samius Xerxi auream vitem facit 375 b 2.
Theodorus Samothrax 152 b 26.
Theodorus Thrax ep. 475 b 37. 479 a 8.
Theodorus Tzirus Iustiniani f. 27 a 8.
Theodosiani haer. 244 a 10.
Theodosiani in Scythia 236 a 30.
Theodosiopolim recuperat Anastasius 23 a 7.
Theodosius Acephalus 5 b 13. 243 a 31.
Theodosius Adaulfi e Placidia f. 59 b 36.
Theodosius M. imp. 23 a 8. 477 a 10.
Theodosius Mauricii f. 32 b 1 et 20 et 30 et 39. 33 a 33.
Theodosius minor Isdigerde tutore utitur 21 b 26. cum Vararane pacem pangit 30. Constantium pro imperatore non habet 61 b 25. Valentiniano minori imperium occid. tradit 8 b 29. ad Aurelium contra Pelagianos scribit 14 a 14. hoc regnante septem pueri reviviscunt 467 b 35.
Theodosius monachus Io. Philoponum περὶ ἀναστάσεως refellit cod. 22.
Theodotus Ancyrae ep. 287 a 17.
Theodotus Antiochiae ep. 13 a 8.
Theognostus Alexandrinus Origenem sequitur 86 b 37. 87 a 15. eius ὑποτυπώσεις cod. 106.
Theognostus senatorius 82 a 41.
Theogonius Nicaeae ep. Ario studet 471 a 9. 479 a 8.
Theon archiater Alexandrinus cod. 220.
Theon rhetor Damascii magister 126 b 40. 339 b 7.
Theonas Alexandriae ep. Arianus 93 b 20. 470 b 28.
Theonoë Protei filia 132 a 23.
Θεοπασχῖται 88 b 26. 260 b 31.
Theophanes Byzantius cod. 64.
Theophilus Alexandriae ep. Synesii aequalis 6 a 4. eius aetate Pelagiani expelluntur 14 b 27. Chrysostomum ep. Cpolit. ordinat 80 a 30. eidem insidiatur 81 b 16 et 20. Petrum et Isidorum expellit 32. adv. Chrysostomum concilium habet 17 b 27. 19 b 4. 82 b 33. a fratribus longis accusatur 82 a 25. adv. Chrysostomi sectatores grassatur 83 a 42. Gelasio communionem non renuntiat 244 b 33. ab Origene abhorret 291 b 28: cf. 83 a 13.
Theophilus Indus 8 b 18.
Theophilus Severi adversarius 287 a 40.
Theophobii apologia 88 b 31.
Theophrastus cod. 278. auditur a Dinarcho 496 b 10 et 29. περὶ τῶν ἀθρόως φαινομένων ζώων 527 b 11. περὶ ἱδρώτων 528 b 28. περὶ ἰλίγγων 526 a 32. περὶ κόπων 527 a 24. περὶ λειποψυχίας 525 b 35. περὶ μελίττων 529 b 11. περὶ τῶν μεταβαλλόντων τὰς χρόας 525 a 31. περὶ παραλύσεως b 22. περὶ τῶν λεγομένων ζώων φθονεῖν 528 a 40. in epistolis 148 b 20.
Theophylacti ἱστορίαι cod. 65.
Theopompus cod. 176. Damostrati f. Chius 120 b 19. Isocratis auditor 121 a 23. antiquiorum contemptor a 7. a Philippo Macedonum rege excerptus 121 a 37. Duridis de eo iudicium 41.
Theosebius auditor Hieroclis 338 b 37. daemonium expellit 339 a 8. uxori castitatis anulum dat 20. 353 a 4.
Theotecnus Caesareae Palaest. ep. Origenem presbyterum ordinat 92 b 39, probat 291 b 18, a Demetrio pulsum excipit 93 a 10.
Thera insula 141 b 28.
Theramenem Isocrates audivit 486 b 17.
Therapeutae 86 a 35.
Therippides Demosthenis tutor 492 b 33.
thermae Romanae 63 a 23.
Thermantia Stilichonis filia Honorio nubit 56 b 35.
Thermus sinus 140 b 26.
Θὴς 533 a 17.
Theseus unde nomen traxerit 533 a 21. ἄλλος Ἡρακλῆς 151 a 37. Abderum occidit 147 b 21. ὠσχοφορικὰ instituit 322 a 17. alius videtur qui Centaurum interficit 149 a 13.
Thespesion 334 a 16.
Thespiae Heliconi vicinae 134 b 28.
Thespienses Amorem potissimum colunt 134 b 40.
Thesprotia proprie ἤπειρος 534 a 30.
Thessali Eleusinia instituunt 533 b 30. in exercitu Romano militant 390 a 7. eorum πολιτεία scripta ab Aristotele 104 b 2.
Thessalia a Pelasgis habitata 139 a 26.
Thessalonice Demetrii opera Christiana 469 a 8.
Theta Aesopi cognomen 151 b 23.
Thetis liberos suos sex in ignem coniicit 152 a 1. cum Medea de pulchritudine certat 150 a 38. Helenam et Menelaum occidit 149 a 1.
Theuderichus Balimeris s. Malamiri f. 340 a 17. 54 b 18 et 24. 61 b 38.
Theuderichus Otriarii f. 54 b 17.
Theuderichus Valiae succedit 61 b 39.
Thibron Harpalum interficit 70 a 11.
Thmuis opp. 65 b 11.
Thoenis Thebaïdis opp. 447 b 15.
Thomam, non Petrum, Malcho auriculam abscidisse 290 b 24.
Thomas Apameae ep. 25 a 35.
Thomas ad Chosroëm legatus 24 a 26.
Thomas Germaniceae ep. 291 a 17.
Thomas referendarius 8 a 3.
Thorax Thessalus Xerxis comes 39 a 32.
Thoricus pagus Atticus 132 a 12.
Θρᾴκη Θυνιακὴ 227 a 30.
Thraces musicae student 140 a 23. in exercitu Romano militant 238 b 26.
Thrasybulus Athenienses exsules reducit 488 b 7. 490 a 1.
Thrasycles 497 b 28.
Thrasydaeus Eleus eunuchus Euagoram et Pnytagoram interficit 120 a 41. Lysiae hospes 489 b 41.
Thrasymachus nunquam erubuit 437 b 5.
Thrasymedes Heracleensis Cottam accusat 239 a 30. patriae restituendae operam dat b 13.
Θρῆνος melici carminis genus 321 a 30.
Θρῆνος Lini 133 b 39.
Θυσδαχίτη – Θρίδαξ 532 a 13.
Θρόνος ὁ σοφιστικός 60 b 9.
Thucydides magister Antiphontis 486 a 4. norma sermonis Attici 19 b 18. puer Herodoti historiae illacrimat 38. ab hoc multa mutuatus est Isocrates 487 b 35.
Thule insula cod. 166.
Θουλίτης 110 b 5.
Thurii comam alunt 326 b 27.
Thyestae facinus 444 a 21.
Θυίστης i. q. δοῖδυξ 532 b 32.
Θυματρὶς 347 a 35.
Thylae in Sicilia 150 b 10.
Thymoetes Athen. rex 138 b 6.
Thynidem Heracleenses recuperant 227 a 20.
Tiani Gallorum socii 227 b 24.
Tiberinus rex 16 b 30.
Tiberii imp. asinus scintillas edit 340 a 11.
Tiberius imp. Mauricium successorem sibi capit 27 a 23. moribundus futura praevidet 31.
Tibethis eunuchus 37 b 40.
Tigranes Mithridatis gener 234 b 28. rex regum 235 b 16.
Tigranocerta 238 b 17. 239 a 3.
tigris gryphi resistit 327 a 26. 332 b 31.



Digitized by Google

Timaeus occidentalem terrae partem descripsit 454 b 33.
Timaeus περὶ τῶν παρὰ Πλάτωνι λέξεων cod. 151: cf. 100 a 16.
Timaphernes Trachinius Xerxem comitatur 39 a 32.
Timarchus ab Aeschine accusatus se suspendit 490 a 40.
Timasius Aegyptius 330 a 4.
Timoleontis res gestas Arrianus scripsit 73 b 5.
Timonitis regio 232 a 26.
Timostratus Iustini dux a Saracenis captus 2 a 31.
Timotheus Alexandriae ep. Alpheum presb. ordinat 13 b 34. concilio Cpolitano interest 477 a 22.
Timotheus Antioch. Cyprianum a metu diaboli liberat 128 b 34.
Timotheus apostolus primus Ephesi ep. cod. 254.
Timotheus Cononis f. Isocrate scriba utitur 486 b 33. statuamque ei ponit 458 a 4.
Timotheus haer. Leonem impugnat 283 a 10. ab Eulogio refellitur 240 a 16.
Timotheus Heracleensis, Clearchi f. 223 a 9. b 7—38.
Timotheus musicus 369 a 11. 372 a 33. νόμον absolvit 320 b 10.
Timotheus presb. accusatores Athanasii revincit 480 b 12.
Tingae Afri 328 a 26.
Tiphilis Iberorum metropolis 26 b 30.
Tiresias septies transformatus 146 b 39. Phorbantis puella cur vocetur 40. aetates vivit quinque 444 b 30.
Tiribazus cum Euagora bellum gerit 120 a 31.
Tiridates Arsacida 17 a 34.
Tisias Syracusanus Isocratis magister 486 b 16. Lysiae 489 b 27.
Tisiphonus Thebae frater 142 a 10.
Tissaphernes Pissuthnem capit 42 b 36. Cyrum minorem calumniatur 43 b 10. Graecos circumvenit 44 a 21.
Titanes Iovem servant 444 a 38.
τιθή 530 a 9.
Titianus 55 a 36.
C. Titinius fugitivos prodit 387 b 40.
M. Titinius 388 a 29.
Titus Bostrorum ep. 289 a 18. adv. Manichaeos vel potius adv. Addam scribit 288 b 24. 65 b 8. Origenem laudat 291 b 20.
Titus imp. 334 a 22.
Tityus Alexandro insidiatur 149 a 8.
Tius urbs 224 a 34. 227 a 19. 229 b 41.
Tlepolemo Caramania tribuitur 71 b 32.
τό i. q. τί 532 a 2.
Tolostobogi Gallorum gens 228 a 1. b 16.
Tomis emporium 228 a 38.
τοπάζιον 456 b 15.
Traianus imp. Parthis regem dat 17 b 8. eo regnante Ignatius necatur 2 a 10.
Trapezus Sinopensium colonia 69 a 40.
Treviros Athanasius relegatur 479 b 15.
C. Triarius s. Otriarius 233 b 18. 234 a 25. b 14 et 22. 235 b 38. 236 a 42. b 40. 237 b 9. Delum muro cingit 84 a 32.
τρίβων sophistarum 60 b 10. ῥητορικὸς ὡς καὶ φιλόσοφος 352 a 18.
Tribonianus Phryx quaestor 24 b 15.
Τριδύμη 143 b 41.
τρίμετρα ἔπη 319 a 17.
Triocala 389 b 12.
τριποδηφορικὸν μέλος 321 b 32.
Tripodiscium a Crotopo conditur 134 a 6.
Triptolemus Eleusinius 374 a 10.
ὁ τρισάγιος ὕμνος 245 a 40.
τρίσαμος 144 a 2.
tritheïtae 5 b 7.
Τριτογένεια 143 b 41.
Τρίτων 143 b 41.
Troglodytae 454 a 5. κολοβοὶ 29.
Trogmi Gallorum gens 228 a 1.
Troia littus 16 b 9.
Tros Erichthonii f. Dardani nepos 132 b 31.
τρούλα 60 b 33.
Truli Gothi 60 b 31.
Trypho i. q. Salvius.
τρὺξ 535 a 16.
L. Tubero 169 b 33.
Tudo Candaulis uxor 150 b 22.
Turcae Tanaïdis accolae 26 a 28. Serum portus tenent b 5. a Baramo debellantur 29 a 28. crucis signum in fronte gestant 30 a 28. inter se bellum gerunt 31 a 24. eorum Chaganus Hunnos subigit 26.
Turum Turca 31 a 30.
Tynnichus 150 a 9 not.
Typhon sub Aetna monte 329 a 27.
Tyrrheni Pelasgos Cyzico expellunt 139 a 40.
Tyro a fluvio compressa 443 a 20.
Tyronichus Chalcidensis 150 a 9.
Tzani a Romanis subacti Christiani fiunt 23 b 31.
Tzurulon opp. 30 b 32.
Udiastes Teritucbmen interficit 43 a 22. b 6.
Ulphilas Constantinum persequitur 58 a 40, Gerontium b 9.
Ulysses cur Οὖτις et Ὀδυσσεὺς appelletur 147 a 10. μνῆμονα habet Myiscum Cephallenem 147 a 24. palladium rapit 137 a 9. 148 a 29. in equo ligneo periclitatur 444 a 3. circa Siciliam errat 150 b 10, circa Hispaniam et Oceanum 63 b 5. in Tyrrhenia tibia certat 152 b 34. ab Hale in equum mutatur 150 a 15. a Telegono interficitur 319 a 28. eius comites in porcos mutati 443 a 7.
upupa luscinias et ceteras aves persequitur 136 a 32.
Uranius Apamensis 342 b 12.
Ursa 459 b 16.
Ursacius 479 a 9. comes 108 a 25.
Usiris Persa 44 a 1 et 11.
Utis i. q. Ulysses 147 a 10.
Valens imp. Arianus 477 a 8. 484 b 25.
Valens ad Attalum legatur 57 b 32. apud eum remanet 58 a 1.
Valentem excerpit Vindanius 107 a 2.
Valentinianus I fratrem Valentem in regni societatem assumit 484 b 20.
Valentinianus II Constantii et Placidiae f. 61 b 17. ab Helione imperator renuntiatur 63 b 28. cum Attila bellum gerit 339 b 14.
Valentinus haereticus 93 b 36. 240 b 6. 273 a 42.
Valentinopolis 81 a 13.
Valerianus Iconii ep. 270 a 29. 274 b 4.
Valerii Threciae praef. de signis magicis barbaros arcentibus narratio 60 a 24.
Valerius Flaccus a militibus suis occiditur 231 b 21.
Valia Singericho succedit 60 a 21.
Vandali Hispaniam vastant 60 b 35.
vermis Indicus 49 a 9.
venatores Aethiopum gens 452 a 41.
venena Indica 47 a 15.
Venerius presb. 18 a 38.
Venetorum factio 32 b 16.
Venus e mari et Caelo orta 372 b 15. cum Mercurio luctatur 153 a 2. dum lavatur, ab Erymantho conspicitur 146 b 41. Nessum adv. Herculem excitat 147 b 11. Leucade desilit 153 a 18. Paleo scyphum donat 152 a 23. zonam Iunoni donat, Astyanassae aufert 149 a 26. Melum sacerdotem sibi cupit 152 b 17. irascitur Menelao 149 a 32, Pani 152 b 2. signum eius ab Herode sophista dedicatum 342 a 7. ἀροσία 533 b 40. planetae cursus 444 a 25.
Venusia a Metello expugnatur 392 a 25.
Verina v. Berina.
Verinianus Pamphyliae ep. 13 a 9.
L. Verus adv. Parthos mittitur 75 b 36.
Vespasianus imp. in templo Pacis tabulam Timonis ponit 149 b 32.
Vettius v. Minucius.
Vicentius papae ad concilium Nicaenum legatus 66 a 33.
Victor papa 12 a 12. 94 a 19.
Victor tribunus 83 b 5.

Digitized by Google

Victorini Antioch. λόγοι ὑπατικοὶ καὶ βασιλικοὶ cod. 101.
Vindanii Anatolii γεωργικὰ ἐπιτηδεύματα cod. 163.
Virgilii annus natalis 84 a 18.
Viriathus 383 b 40 — 384 a 27.
Vitellius a Viriatho caeditur 384 a 17.
Vologesus Parthus 75 b 36.
Vulcanus sine patre natus 444 a 20. caelo deiectus b 6. in Aetna artem exercet 329 a 36. Peleo ensem donat 152 a 23.
Xanthias servi nomen 532 b 39.
Xanthus Achillis equus olim gigas 150 b 7. Neptuni donum 152 a 24.
Xanthus Boeotorum rex cum Melantho pugnat 138 b 9.
Xanthus solus inter fluvios Iovis f. 150 a 10.
Xenocratem tuetur Lycurgus 497 a 34.
Xenophon Grylli f. 486 b 36. Attici sermonis regula esse dicitur 101 b 8, negatur 533 b 28. Hellenicorum locus 532 a 19.
Xerxes Artoxerxis f. 41 b 37 — 42 a 20.
Xerxes Darii f. 38 b 33 — 39 b 41.
ξύστρα - στλεγγίς 533 b 7.
Zabertas Persa 28 a 33.
Zacharias papa Gregorii M. opera Graece vertit 467 b 8.
Zacynthi fontes piscosi picem gerunt 46 a 31.
Zadespras 29 b 16. 30 a 9.
Zalabzan Persa 30 b 7.
Zames Chosrois frater 24 a 39.
Zamerdes Baramo necem parat 29 b 37.
Zamolxis 110 a 13.
Ζανὸς πύργος 143 a 32. 144 a 37.
Zarades Persarum dogma invenit 63 b 38.
Zaris opp. Persicum 43 a 30.
Zeïlas Nicomedis f. 228 b 7 et 15.
Zemarchus ad Turcas legatus 26 b 12.
Zeno ante imperium Tarasicodissa 55 a 39. Leonis gener 10. a filio suo imp. creatur b 19. a Berina expellitur 23. redit 54 b 9. Illo invidet 346 b 30.
Zeno Eleata e schola Pythagorae profectus 439 a 36.
Zeno Hierosolym. ep. 79 b 3.
Zenobia Osroënae regina 491 b 31.
Zenobius scholasticus Emisenus Acephalus 245 a 35. ad eum epistola 247 a 7.
Zenodotus Procli deliciae 346 a 24, successor 127 a 3.
Zenonis Basilisci uxor 56 a 8.
Zephyrinus ep. Romae 12 a 12.
Zeta Satyri cognomen 151 b 21.
Zetes Boreae f. 531 a 20.
Ζεὺς ὑπατούριος 138 b 22.
Zeuxippi balneum 475 b 16.
Zeuxis fugitivus 385 b 6.
Zeuxis pictor 369 b 32.
Zipoetes Bithyniae rex 226 a 2. 228 a 22.
Zoanambes Baramo insidias struit 29 b 38.
zodiacus 210 b 16. 440 a 8.
Zoilus Alexandriae ep. 287 a 34.
Zooras 5 a 9.
Zopyrus a Babyloniis interficitur 39 a 9.
Zopyrus Megabyzi f. 40 b 24 — 34.
Zosimus comes ἱστορικὸν scripsit cod. 98. vel potius Eunapium exscripsit 84 b 27.
Zosimus Panopolita chemicus 117 a 28.
Zurvam ἀρχηγὸς πάντων 63 b 38.
ζυγῖτις 144 b 6.

---

Praef. p. 1. v. 14. Stephanum Gobarum] *lege* Germanum
p. 12 *b* 20. H.] R.
17 *a* 28. διέρχεται
21 *a* 20. τῶν] τοῦ
27 summa. 64] 65
31 *b* 30. 47 H.] 96 R.
97 *a* 26. *ΜΑΧΙΜΟΥ*] *ΜΑΞΙΜΟΥ*
151 *b* 7: γ'] malim ε'.
183. 185. 187. 189. 191. *ΟΙΚΟΥΜΕΝΙΚΗ*] *ΟΙΚΟΝΟΜΙΚΗ*
232 *a* 35. Ἐνίκειαν] Νίκαιαν Rhodomannus.
Ind. dele Acridophagi ubi iterum ponuntur.
adde Antinoi urbs 535 *b* 41. 536 *a* 5.

---

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

DO NOT CIRCULATE

Digitized by Google

Digitized by Google

DO NOT CIRCULATE
Digitized by Google